# Commentarii in Joannem
# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ. ΕΡΜΗΝΕΙΑ ΗΤΟΙ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ.

"ΚΥΡΙΟΣ δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει "πολλῇ," καλῶς γε σφόδρα ποιῶν ὁ μελῳδὸς ἀναφθέγ γεται· χρῆναι δὲ οἶμαι πρὸς τοῦτο βαδίζειν, οὐ τοὺς τυχόντας ἁπλῶς, ἀλλὰ τοὺς διὰ τῆς ἄνωθεν πεφωτισμένους χάριτος· ἐπεὶ καί "Πᾶσα σοφία παρὰ Κυρίου," καθὰ γέγραπται, καὶ "Πᾶσα δὲ δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν "ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων." πρᾶγμα μὲν γὰρ σφαλερόν τε καὶ οὐκ ἀζήμιον τοῖς πολλοῖς, ὁ περὶ τῆς ἀνωτάτω πασῶν οὐσίας καὶ τῶν κατ' αὐτὴν μυστηρίων ὁρᾶται λόγος· χρῆμα δέ τι κινδύνων ἀπηλλαγμένον ἡ ἐπὶ τούτοις σιγή. ἀλλ' ἐξίστησι μὲν ἡμᾶς ταύτης, καίτοι λίαν ὅτι προσήκοι σιωπᾶν οἰομένους, ὁ ἐπὶ πάντων Θεός "Λάλει, 1.2 "καὶ μὴ σιώπα," πρός τινα τῶν ἁγίων εἰπών· Παῦλος δὲ οὗτος ἦν. καὶ ἡ νομικὴ δὲ οὐδὲν ἧττον διάταξις, ὡς ἐν τύπῳ παχυτέρῳ τὰ πνευματικὰ σημαίνουσα· τοὺς γὰρ πρὸς τὴν θείαν κεκλημένους ἱερωσύνην, τοῖς διὰ σαλπίγγων ἀπηχή μασι κατασημαίνειν τῷ λαῷ περὶ ὧν ἂν δεήσῃ μαθεῖν, ἐπιτάττει. οὐ γὰρ, οἶμαι, δεῖν ἐλογίζετο, νομοθετήσειν τὰ κάλλιστα Θεὸς ἐθελήσας, τοὺς τῶν λαῶν ἡγεμόνας χεῖρα θέντας ἐπὶ στόματι κατὰ τὸ γεγραμμένον, ὄκνῳ τε τοῦ μὴ δοκεῖν τοῖς ὑψηλοτέροις, ἢ κατὰ νοῦν τὸν ἀνθρώπινον, ῥιψο κινδύνως ἐπιχειρεῖν, τὸν οὕτως ἀναγκαῖον τοῖς εἰς εὐλάβειάν τε καὶ θεογνωσίαν παιδαγωγουμένοις παραιτεῖσθαι λόγον, καὶ σιωπὴν τοῖς εἰς μαθητείαν ἰοῦσιν ἑλέσθαι τὴν ἐπιζήμιον. Θορυβεῖ δὲ πάλιν ἡμᾶς "Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε" λέγων ὁ Χριστοῦ μαθητής· ἔτι δὲ πρὸς τούτῳ, καὶ ὁ σοφώ τατος ἐκκλησιαστὴς, αἰνιγματωδῶς τὴν ἐπὶ τῷ τὰ τοιαῦτα διδάσκειν σφαλερότητα δεικνύς· "Σχίζων γὰρ, φησὶ, ξύλα "κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτὸς "πρόσωπον ἐτάραξε, καὶ δυνάμεις δυναμώσει." σιδηρίῳ μὲν γὰρ παρεικάζει τοῦ νοῦ τὴν ὀξύτητα, ἅτε δὴ διικνεῖσθαι πεφυκότος, εἰσδύνοντός τε πρὸς τὰ ἐσώτατα, κἂν πυκνότητί πως καὶ τῷ νενασμένῳ τῆς ὕλης διακωλύηται· ξύλα δὲ πάλιν τροπικώτερον ἀποκαλεῖ τὰ ἐν τῇ θεοπνεύστῳ γραφῇ θεωρήματα, παράδεισόν τινα νοητὸν τὰς αἷς ἐντέθεινται βίβλοις κατασκευάζοντα, ἔτι τε πρὸς τούτῳ καὶ τὴν τοῦ Ἁγίου Πνεύματος καρποφορίαν ὠδίνοντα. τὰ τοίνυν ξύλα τὰ νοητὰ, τουτέστι, τὰ θεῖά τε καὶ μυστικὰ θεωρήματα τῆς θεοπνεύστου γραφῆς, διὰ τῆς ἐρεύνης καὶ ἀκριβεστάτης τοῦ νοῦ προσβολῆς τε καὶ ὀξύτητος διαπτύσσειν πειρώμενος, κινδυνεύσει δὴ τότε μάλιστα, φησὶν, ὅταν ἐκπέσῃ τὸ 1.3 σιδήριον, τουτέστιν, ὅταν, μὴ κατὰ τῆς ἀληθοῦς διανοίας τῶν γεγραμμένων ὁ νοῦς ἐνεχθεὶς, ἔξω γένηται τῆς ὀρθῆς διαλήψεως, καὶ τὴν εὐθεῖαν ὥσπερ ἀφεὶς, ἐφ' ἑτέραν τινὰ φέρηται θεωρίας ὁδὸν ἐκτετραμμένην τοῦ πρέποντος. ὃ δὴ καὶ παθὼν, ἐν θορύβῳ μὲν καταστήσει τὸ οἰκεῖον τῆς ψυχῆς πρόσωπον, τουτέστι τὴν καρδίαν, δυναμώσει δὲ καθ' ἑαυτοῦ καὶ τὰς πονηράς τε καὶ ἀντικειμένας δυνάμεις, αἳ πικροῖς τε καὶ διεστραμμένοις κατασοφίζονται λόγοις τῶν πλανωμένων τὸν νοῦν, πρὸς μὲν τὸ τῆς ἀληθείας κάλλος αὐτὸν ἀναβλέπειν οὐκ ἐπιτρέπουσαι, διαστρέφουσαι δὲ ποι κίλως καὶ εἰς ἐκτόπους ἐννοίας ἀποφοιτᾶν ἀναπείθουσαι· λέγει γὰρ οὐδείς "Ἀνάθεμα Ἰησοῦς" εἰ μὴ ἐν Βεελζεβούλ. Καὶ μή τις οἰέσθω πεπλανημένος πεπλανημένην ἢ καὶ ἄλλως ἐκ παραλογισμοῦ ποιεῖσθαι τὴν ἐπὶ τούτοις ἐξήγησιν· ξύλα γὰρ ἔθος ὀνομάζειν ἐσθ' ὅτε τῇ θείᾳ γραφῇ, καθάπερ ἤδη προείπομεν, τὰ ἐν ταῖς θεοπνεύστοις γραφαῖς θεωρή ματα. καὶ γοῦν διὰ τοῦ πανσόφου Μωυσέως πρὸς τοὺς κατ' ἐκεῖνο καιροῦ τοιοῦτόν τι φησὶν ὁ ἐπὶ πάντων Θεός "Ἐὰν "δὲ περικαθίσῃς περὶ πόλιν ἡμέρας πλείους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκπολεμῆσαι "αὐτὴν εἰς κατάληψιν αὐτῆς, οὐκ ἐξολοθρεύσεις τὰ δένδρα "αὐτῆς ἐπιβαλεῖν ἐπ' αὐτὰ σίδηρον, ἀλλ' ἀπ' αὐτοῦ φάγῃ, "αὐτὸ δὲ οὐκ ἐκλήψεις. μὴ ἄνθρωπος τὸ ξύλον τὸ ἐν τῷ "δρυμῷ, εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς τὸν χάρακα; "ἀλλὰ τὸ ξύλον ὃ ἐπίστασαι ὅτι οὐ καρπόβρωτόν ἐστι, "τοῦτο ἐξολοθρεύσεις καὶ ἐκλήψεις." ὅτι δὲ ἡμῖν τὰ τοιαῦτα νομοθετεῖν, εἰ περὶ ξύλων τῶν ἀπὸ τῆς γῆς νοοῖτο τὸ εἰρη μένον, οὐκ ἂν ὁ τῶν ὅλων ἠξίωσε Θεὸς, παντὶ μέν που δῆλον ὑπάρχειν ὑπολαμβάνω· χρῆναι δ' οὖν ὅμως φημὶ καὶ ἐξ 1.4 ἑτέρας ὑποδεικνύειν ἐντολῆς, πολὺ τῶν τοιούτων ἀφειδή σαντα καὶ λόγον οὐδένα πεποιημένον. τί γὰρ δὴ καὶ ἐπιτάττει πάλιν ἐπὶ τοῖς ψευδωνύμοις γενέσθαι θεοῖς; "Τοὺς "βωμοὺς αὐτῶν καθελεῖτε, φησὶ, καὶ τὰς στήλας αὐτῶν "συντρίψατε, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψατε." παρὰ δέ γε τὸ οἰκεῖον θυσιαστήριον γεωργεῖσθαι ξύλον οὐκ ἐφίησι παντελῶς· "Οὐ φυτεύσεις γὰρ σεαυτῷ πᾶν ἄλσος παρὰ "τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ σου" καὶ διαγγέλλει σαφῶς. καὶ εἰ χρὴ τούτοις τι προσειπεῖν, κατὰ τὸν Παῦλον ἐρῶ τὸν σοφώτατον "Μὴ τῶν ξύλων μέλει τῷ Θεῷ; ἢ δι' "ἡμᾶς πάντως λέγει;" διὰ παχυτέρων παραδειγμάτων ἐπὶ τὰς τῶν πνευματικῶν θεωρίας χειραγωγῶν. οὐκοῦν ἤδη λέγωμεν, ὅτι τὰ μὲν τῶν ἀνοσίων αἱρετικῶν συγγράμματα, πόλεις ἂν νοοῖντο, καὶ οὐκ ἀκόμψως τάχα τῇ τοῦ κόσμου σοφίᾳ καὶ πολυπλόκοις νοημάτων ἀπάταις πεπυργωμέναι· ἀφικνεῖται γεμὴν ἐκπολιορκήσων αὐτὰς, καὶ τρόπον τινὰ κυκλῶν περιϊζάνει "τὸν τῆς πίστεως θυρεὸν ἀναλαβὼν, "καὶ τὴν τοῦ Πνεύματος μάχαιραν, ὅ ἐστι ῥῆμα Θεοῦ," πᾶς τις ὁ τοῖς ἱεροῖς τῆς Ἐκκλησίας ἐπαγωνιζόμενος δόγμασι, καὶ σθένει παντὶ ταῖς ἐκείνων ψευδομυθίαις ἀντιταττόμενος, λο γισμούς τε καθαιρεῖν μελετήσας, ὡς ὁ Παῦλός φησι, "καὶ "πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ "αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ." ὅταν οὖν ὁ τοιοῦτος, φησὶ, στρατιώτης Χριστοῦ, καθάπερ τινὰ γῆν ἀλλόφυλον τὰ πικρὰ τῶν αἱρέσεων περινοστεῖ συγγράμματα, δένδροις τε περιτυγχάνει τοῖς ἡμερωτάτοις, τουτέστιν, ἂν λόγους εὑρίσκῃ τοὺς ἀπὸ τῆς θεοπνεύστου γραφῆς, ἢ προφητῶν δηλονότι ῥητὰ περιειλκυσμένα πρὸς 1.5 τὸν ἐκείνων σκοπὸν, ἢ καὶ μαρτυρίας τὰς ἐκ διαθήκης τῆς 1.5 καινῆς, μὴ ἐπαγέτω τοῦ νοῦ τὴν ὀξύτητα, καθάπερ τινὰ σίδηρον, αὐτοῖς εἰς ἀναίρεσιν καὶ ἀποκοπήν. οὐ γὰρ ἐπει δήπερ ἐλήφθη παρὰ τῶν οὐκ εἰδότων ἑρμηνεύειν ὀρθῶς, διὰ τοῦτο δὴ πάντως καὶ ἀπόβλητον ἔσται τὸ διὰ στόματος Θεοῦ· ἀλλ' ἐπείπερ ἐστὶ καρποφόρον, ἔσται σοι μᾶλλον εἰς βοήθημα καὶ τροφήν. τὸ γὰρ παρ' ἐκείνων ἀνοήτως ἔσθ' ὅτε ληφθὲν εἰς τὸν ὀρθὸν τῆς πίστεως περιτρέποντες λο γισμὸν, οὐχ ὅπως ἀτονοῦντες οὐχ ἁλωσόμεθα, νευρούμεθα δὲ μᾶλλον εἰς τοὺς κατὰ τῆς αἱρέσεως λόγους. ἐπιφέρει δὲ παραχρῆμα καὶ λογισμὸν ἀναπείθοντά πως τοὺς ἀκροω μένους, ὅτι προσήκοι τὰς τοῦ συναγορεύειν ὁρμὰς οὐκ ἐπ' ἀνατροπῇ μᾶλλον ποιεῖσθαι τῶν θείων λογίων, ἀλλ' εἰς ἀναίρεσιν τῶν οὐκ ὀρθῶς λεγομένων παρὰ τῶν δι' ἐναντίας· "Μὴ γὰρ, φησὶν, ἄνθρωπος τὸ ξύλον τὸ ἐν τῷ ἀγρῷ "εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς τὸν χάρακα;" ἆρα γὰρ, φησὶν, οἰήσῃ ποτὲ, καθάπερ τινὰ τῶν αἱρεσιαρχῶν, αὐτό μολόν σοι πρὸς μάχην ἐξαναστήσεσθαι τὸ ἐκ τῶν συγγραμ μάτων τῶν ἱερῶν ῥητὸν, καὶ οὐχὶ μᾶλλον διὰ τῆς ἐκείνων ἀπονοίας πλεονεκτούμενον; μὴ οὖν ἀποτέμῃς, φησὶν, ἔστω δέ σοι καὶ τροφή· τὸ δὲ ξύλον, ὅπερ οὐκ οἶσθα "καρπό "βρωτον ἐξολοθρεύσεις καὶ ἐκκόψεις." ἄβρωτος γὰρ τοῖς ὀρθῶς ἐθέλουσι νοεῖν, ὁ τῶν παρ' ἐκείνοις συγγραμμάτων καρπός· κατ' ἐκείνων ἡκέτω πᾶς σίδηρος· ἐκεῖ φαινέσθω τῶν πνευματικῶν ὑλοτόμων ἡ δύναμις, ἐπ' ἐκείνοις στιλβέτω τῆς ἐν τῷ συναγορεύειν εὐτονίας ὁ πέλεκυς· τὸ γὰρ ἄχρηστόν τε καὶ ἀνωφελὲς τῆς τῶν ἑτεροδοξούντων φλυαρίας, καὶ ὁ προ φήτης ἡμῖν Ὠσηὲ ἄριστα διερμηνεύει λέγων "Δράγμα οὐκ "ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον, ἐὰν δὲ καὶ ποιήσῃ, ἀλλό 1.6 "τριοι καταφάγονται αὐτά·" οἱ γὰρ τῆς πρὸς Θεὸν φιλίας ἑαυτοὺς ἀλλοτριοῦν σπουδάζοντες, τὸν γραώδη καὶ ἀσθενῆ τῆς ἐκείνων ἀμαθίας καταθοινήσονται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγον. Ὅπερ οὖν ἔφημεν ἐν ἀρχῇ· χρῆναι γὰρ οἶμαι παλινδρομεῖν ἐπ' ἐκεῖνο δυσχερεστάτη λίαν ἐστὶν ἡ περὶ τῶν θείων μυστηρίων ἐξήγησις, καὶ τάχα κρείττων ἡ σιωπή· ἀλλ' ἐπείπερ ἡμᾶς πολὺς ἀναπείθει λόγος, ὦ φιλοπονώτατε ἀδελφὲ, καθάπερ τινὰ χειλέων καρπὸν καὶ θυσίαν πνευμα τικὴν ἀναθεῖναι τὸ σύγγραμμα, καὶ τοῦτο ποιεῖν οὐκ ὀκνήσω, τῷ σοφοῦντι τοὺς τυφλοὺς ἐπιθαρσήσας Θεῷ, καὶ ζητοῦντι μὲν παρ' ἡμῶν, οὐ πάντως τὸ ὑπὲρ ἡμᾶς, δεχομένῳ δὲ ὡς ἐκεῖνα καὶ τὰς ἐκ τῶν πτωχευόντων προσαγωγάς. τὸν γὰρ δὴ προσκομίζειν ἐθέλοντα δῶρον εἰς ὁλοκαύτωμα τῷ Κυρίῳ, καθάπερ οὖν ἐν ἀρχῇ κεῖται τοῦ Λευιτικοῦ, βουθυτεῖν ἐπι τάξας ὁ νομοθέτης, καὶ δὴ καὶ ἐν τούτῳ τῆς ἐν τύπῳ τιμῆς ὁρίσας τὸ μέτρον, ὑποβιβάζει πάλιν αὐτὸ, μηλοσφαγεῖν χρῆναι λέγων τοὺς οἵπερ ἂν εἶεν οὐχ ἱκανοὶ πρὸς ἐκεῖνο· ἀλλ' ᾔδει δὴ πάντως, ὅτι καὶ πρὸς τοῦτο τυχὸν ἀτονῆσαί τινας ἡ στυγνὴ καὶ ἀνουθέτητος ἀναπείσει πενία· διά γε τοι τοῦτο "καὶ προσοίσει, φησὶν, ἀπὸ τῶν τρυγόνων ἢ ἀπὸ τῶν "περιστερῶν τὸ δῶρον αὐτοῦ·" τὸν δὲ καὶ τούτων ἔτι κατα δεέστερον, καὶ μετὰ τῶν εὐτελεστάτων προσιόντα τιμᾷ. "Σεμίδαλις γὰρ, φησὶν, ἔσται τὸ δῶρον αὐτοῦ," εὐπόριστον οἶμαί που παντὶ, καὶ πτωχείαν τὴν εἰς ἄκρον οὐ σφόδρα πλεονεκτεῖν ὁρίζων ἀνάθημα. κρεῖττον γὰρ δήπου καὶ ἄμεινον ὁ νομοθέτης ἐξηπίστατο τὸ κἂν ἐν ὀλίγοις καρπο φορεῖν τοῦ ἀπεστειρῶσθαι παντελῶς, αἰδοῖ τε τοῦ μὴ δοκεῖν τῆς ἑτέρων ἡττᾶσθαι χειρὸς, εἰς τὸν ἐπὶ τῷ μὴ χρῆναι τιμᾶν τὸν ἁπάντων Δεσπότην συνελαύνεσθαι λογισμόν. 1.7 Διὰ δὴ τούτων ἁπάντων ἀναπεπεισμένος εὐλόγως, ὄκνον τε τῆς σιωπῆς τὸν συνήγορον τῆς ἐμαυτοῦ διανοίας ἀπο πέμψας, οἷσπερ ἂν ἔχοιμι τιμᾶν οἰήσομαι δεῖν τὸν ἐμαυτοῦ Δεσπότην, καὶ προσοίσω καθάπερ τινὰ σεμίδαλιν, ἐλαίῳ δεδευσμένην, τὸν τρόφιμόν τε καὶ ἱλαρὸν τοῖς ἐντευξομένοις λόγον· ἀρξόμεθα δὲ τῆς Ἰωάννου συγγραφῆς, μεγάλῳ μὲν λίαν ἐπιχειροῦντες πράγματι, πλὴν οὐκ ἀτονοῦντες διὰ τὴν πίστιν. καὶ ὅτι μὲν ἔλαττον, ἤπερ ἐχρῆν, ἐροῦμέν τε καὶ νοήσομεν, ἀναμφιλόγως ὁμολογητέον· ὅτι δὲ δικαίαν ἐπὶ τούτῳ τὴν συγγνώμην αἰτήσομεν, ἡ πολλὴ τοῦ συγγράμ ματος ἀναπείσει δυσχέρεια, ἢ καὶ, ὅπερ ἐστὶν ἀληθέστερον, ἡ τῆς ἐν ἡμῖν διανοίας ἀσθένεια. πανταχῆ δὲ τὸν λόγον εἰς δογματικωτέραν περιτρέποντες ἐξήγησιν, ταῖς τῶν ἑτερο διδασκαλούντων ψευδοδοξίαις, ὡς ἐνῆν, ἀντιτάξομεν, οὐκ εἰς ὅσον ἐξῆν ἐκτείνοντες μῆκος, ἀλλὰ καὶ τῶν περιττῶν ἀπαλ λάττοντες, καὶ τοῦ πρέποντος οὐκ ἐπιδεᾶ καταστῆσαι σπου δάσαντες. ἡ δὲ ὑποτεταγμένη τῶν κεφαλαίων ὑποσημείωσις, τὰ ἐφ' οἷς ἡμῖν ἐκτέταταί πως ὁ λόγος καταστήσει φανερὰ, οἷς καὶ ἀριθμοὺς παρεπήξαμεν, πρὸς τὸ καὶ λίαν ἑτοίμως ἀνευρίσκεσθαι τοῖς ἐντευξομένοις τὸ ζητούμενον.

1.9 ΚΕΦΑΛΑΙΑ ΕΝ ΤΩ ΠΡΩΤΩ ΒΙΒΛΙΩ.

α. Ὅτι ἀΐδιος καὶ πρὸ τῶν αἰώνων ὁ Μονογενής· προκειμένου ῥητοῦ Ἐν ἀρχῇ ἦν ὁ Λόγος. β. Ὅτι καὶ Θεὸς ὁμοούσιος ὑπάρχων τῷ Πατρὶ ὁ Υἱὸς ἐν ἰδίᾳ ἐστὶν ὑποστάσει, ὁμοίως δὲ καὶ ὁ Πατήρ· προκειμένου ῥητοῦ Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. γ. Ὅτι καὶ Θεὸς κατὰ φύσιν, κατ' οὐδένα τρόπον, ἢ ἐλάττων, ἢ ἀνόμοιός ἐστι τοῦ Πατρὸς ὁ Υἱὸς, προκειμένου ῥητοῦ Καὶ Θεὸς ἦν ὁ Λόγος. δ. Πρὸς τοὺς τολμῶντας λέγειν, ὅτι ἕτερός ἐστιν ὁ ἐνδιάθετός τε καὶ φυσικὸς ἐν Θεῷ καὶ Πατρὶ Λόγος, καὶ ἕτερος ὁ παρὰ ταῖς θείαις γραφαῖς λεγόμενος Υἱός· ἔστι δὲ τῶν περὶ τὸν Εὐνόμιον ἡ τοιαύτη κακοδοξία· πρόκειται δὲ ῥητόν Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. ε. Ὅτι κατὰ φύσιν δημιουργὸς ὁ Υἱὸς μετὰ τοῦ Πατρὸς, ὡς ἐκ τῆς οὐσίας ὑπάρχων αὐτοῦ, καὶ οὐχ ὥσπερ ὑπουργὸς παραλαμβανό μενος· προκειμένου ῥητοῦ Πάντα δι' αὐτοῦ ἐγένετο. ϛ. Ὅτι ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, καὶ διὰ τοῦτο οὐ γενητὸς, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός· προκειμένου ῥητοῦ Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν. ζ. Ὅτι φῶς κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φύσιν ἐστὶν ὁ Υἱὸς, καὶ διὰ τοῦτο οὐ γενητὸς, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ, προκειμένου ῥητοῦ Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀν θρώπων. 1.10 η. Ὅτι μόνος ὁ Υἱὸς τοῦ Θεοῦ φῶς ἐστὶν ἀληθινὸν, ἡ δὲ κτίσις οὐκέτι, φωτὸς οὖσα μέτοχος ὡς γενητή· προκειμένου ῥητοῦ Ἦν τὸ φῶς τὸ ἀληθινόν. θ. Ὅτι οὐ προϋπάρχει τοῦ σώματος ἡ τοῦ ἀνθρώπου ψυχὴ, οὐδὲ ἐκ πρεσβυτέρων ἁμαρτημάτων ἡ σωμάτωσις κατά τινας· προκειμένου ῥητοῦ Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχό μενον εἰς τὸν κόσμον· ἐν τῷ κόσμῳ ἦν. ι. Ὅτι μόνος κατὰ φύσιν ὁ Υἱὸς ἐκ Πατρὸς ὁ Μονογενὴς, ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ· προκειμένου ῥητοῦ Θεὸν οὐδεὶς ἑώρακε πώποτε.

1.11 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ.

ΛΟΓΟΣ ΠΡΩΤΟΣ. ΑΚΡΙΒΗΣ ὄντως καὶ θεοδίδακτος τῶν ἁγίων εὐαγγε λιστῶν ἡ διάνοια, καθάπερ ἀπό τινος γηλόφου καὶ περιωπῆς, τῆς ἐν τῷ δύνασθαι θεωρεῖν μεγαλειότητος, πανταχόθεν τὸ τοῖς ἀκροωμένοις περιαθροῦσα χρήσιμον, καὶ μετὰ συντόνου τινὸς θηρωμένη σπουδῆς, ὅπερ ἂν ὑπάρχειν οἴηται λυσιτελὲς τοῖς τὸν ἀληθῆ τῶν θείων δογμάτων διψῶσι λόγον, καὶ μετὰ προαιρέσεως ἀγαθῆς τὴν ἐγκεκρυμμένην ταῖς θείαις γραφαῖς ἐρευνῶσι διάνοιαν. οὐ γὰρ τοῖς περιεργότερον ἐξετάζουσι, καὶ πολυπλόκοις λογισμῶν ἀπάταις ἐφηδομένοις μᾶλλον, ἢ τῇ ἀληθείᾳ προσχαίρουσιν, ἐναποκαλύπτει τὸ Πνεῦμα, ἐπεὶ μήτε "εἰς κακότεχνον εἰσέρχεται ψυχὴν," μήτε μὴν ἄλλως κυλίεσθαι παρὰ τοῖς ὑῶν ποσὶ τοὺς τιμίους ἐφίησι μαργα ρίτας· ἥδιστα δὲ λίαν ταῖς ἁπλουστέραις διανοίαις προσ ομιλεῖ, ἅτε δὴ καὶ ἀπανουργότερον ἐχούσαις τὸ κίνημα, καὶ 1.12 τὸ σοφίζεσθαι περιττὰ παραιτουμέναις, ᾧ δὴ πάντως καὶ τὸ ἐκπλήττεσθαι συμβαίνειν ἀκολουθεῖ, καὶ τὸ ἐκ τοῦ λίαν ἐκκλίνειν εἰς δεξιὸν τῆς εὐθείας καὶ βασιλικῆς ἔξω πίπτειν ὁδοῦ. "Πορεύεται γὰρ πεποιθὼς, ὃς ἁπλῶς πορεύεται," κατὰ τὴν τοῦ Σολομῶνος φωνήν. Θαυμαστὴν δὲ λίαν ἐχόντων τῶν ἁγίων εὐαγγελιστῶν τὴν ἐν τῷ γράφειν ἀκρίβειαν· οὐ γὰρ αὐτοὶ λαλοῦσι, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἀλλὰ τὸ πνεῦμα τοῦ Πατρὸς τὸ ἐν αὐτοῖς, πάντως εὐλόγως ἐπέκεινα θαύματος τὴν τοῦ Ἰωάννου συγ γραφὴν ἀνατεθεῖσθαι δοίη τις ἂν, εἴς τε τὸ τῶν θεωρημάτων ἀποβλέπων ὑπερφερὲς, καὶ τῆς διανοίας αὐτοῦ τὴν ὀξύτητα, καὶ τὴν συνεχῆ καὶ ἀλλεπάλληλον τῶν νοημάτων ἔπεισ φοράν. σύνδρομοι μὲν γὰρ ἀλλήλοις εἰσὶ περὶ τὴν τῶν θείων δογμάτων ἐξήγησιν, καὶ πρὸς ἕνα καθάπερ ἀπὸ νύσσης ἀφέντες ἱπποδρομοῦσι σκοπόν· διάφορον δέ πως αὐτοῖς ἐξυφαίνεται τοῦ λόγου τὸ σχῆμα, καί μοι δοκοῦσι προσεοικέναι τισὶν, οἷς εἰς μίαν συνενεχθῆναι μὲν πόλιν τὸ σύνταγμα, τὸ γεμὴν διὰ μιᾶς καὶ τῆς αὐτῆς λεωφόρου βαδίζειν οὐ πάντως συνδοκοῦν. ἔστι μὲν γὰρ τοὺς μὲν ἄλλους ὁρᾶν εὐαγγελιστὰς μετὰ πολλῆς τινος τῆς ἀκρι βείας τὸν περὶ τῆς κατὰ σάρκα γενεαλογίας τοῦ Σωτῆρος ἡμῶν ποιουμένους λόγον, καὶ τοὺς ἐξ Ἁβραὰμ ἕως Ἰωσὴφ στοιχηδὸν καταφέροντας, ἢ αὖ πάλιν ἀναβιβάζοντας τοὺς ἐξ Ἰωσὴφ ἐπὶ τὸν Ἀδάμ· τὸν δέ γε μακάριον Ἰωάννην, τῆςμὲν ἐπὶ τούτοις οὐ λίαν πεφροντικότα σπουδῆς, θερμοτάτῳ δέ τινι καὶ διαπύρῳ διανοίας κινήματι κεχρημένον, ὡς αὐτῶν ἅπτεσθαι τῶν ὑπὲρ νοῦν τὸν ἀνθρώπινον ἐπιχειρεῖν, καὶ τὴν ἄῤῥητόν τε καὶ ἄφραστον τοῦ Θεοῦ Λόγου γέννησιν ἐξηγεῖ σθαι τολμᾶν. ᾔδει μὲν γὰρ ὅτι "Δόξα Θεοῦ κρύπτει λόγον," καὶ πάσης ἐστὶ μεῖζον τῆς ἐν ἡμῖν ἐννοίας τε καὶ φωνῆς τὸ 1.13 θεοπρεπὲς ἀξίωμα, δυσεκφώνητά τε καὶ πρὸς τὸ ἐκτρανοῦ σθαι χαλεπώτατα τὰ τῆς θείας φύσεως ἴδια. Ἐπειδὴ δὲ ἦν ἀναγκαῖον τρόπον τινὰ σπιθαμῇ μετρῆσαι τὸν οὐρανὸν, καὶ τοῖς ὀλίγοις τῆς ἀνθρωπότητος μέτροις ἐπιτρέψαι χωρεῖν ἐπὶ τὰ πᾶσι δυσέφικτά τε καὶ δυσδιήγητα, ἵνα μὴ τοῖς ἑτεροδιδασκαλοῦσιν ὁ κατὰ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁπλουστέρων ἐκπλατύνηται δρόμος, ὡς οὐδεμιᾶς τῶν ἁγίων φωνῆς, οἳ καὶ "αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου" γεγόνασι, ταῖς ἐκείνων παραποδιζούσης κακονοίαις, ἔρχεται δριμὺς ἐπ' αὐτὸ τῶν θείων δογμάτων τὸ κυριώτατον, "Ἐν ἀρχῇ, βοῶν, ἦν ὁ "Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ "Λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν." χρῆναι δὲ οἶμαι τοὺς τοῖς ἱεροῖς ὁμιλοῦντας γράμμασι τοὺς παρὰ πάντων προσίεσθαι λόγους, οἵπερ ἂν εἶεν καλοί τε καὶ ἀγαθοὶ, καὶ τὸ βλάβος ἔχοντες οὐδέν· οὕτω γὰρ ἂν τὰ παρὰ τοῖς πολλοῖς ποικίλως τεθεωρημένα κατὰ ταυτὸν καταγείροντες, καὶ εἰς ἕνα συνεισφέροντες σκοπὸν καὶ νοῦν εἰς καλὸν ἀναβήσονται τῆς γνώσεως μέτρον, καὶ τὴν ἐργάτιν καὶ σοφὴν ἀπομιμού μενοι μέλιτταν, τὰ γλυκέα τοῦ Πνεύματος κηρία συμπήξειαν. φασὶ τοίνυν τῶν φιλοπονωτάτων τινὲς, ὡς μετὰ τὸν τοῦ Σωτῆρος ἡμῶν σταυρὸν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, ψευδο ποιμένες καὶ ψευδοδιδάσκαλοί τινες θηρίων ἀτιθάσων δίκην τοῖς τοῦ Σωτῆρος ἐπεισπεσόντες ποιμνίοις τεθορυβήκασιν οὐ μικρῶς, "ἀπὸ καρδίας αὐτῶν λαλοῦντες, καθὰ γέγραπται, "καὶ οὐκ ἀπὸ στόματος Κυρίου," μᾶλλον δὲ οὐκ ἐκ μόνης τῆς ἑαυτῶν καρδίας, ἀλλ' ἐκ διδαγμάτων τοῦ οἰκείου πατρὸς, τοῦ διαβόλου δηλαδή. εἰ γὰρ οὐδεὶς δύναται εἰπεῖν "Ἀνά θεμα Ἰησοῦς" εἰ μὴ ἐν βεελζεβοὺλ, πῶς οὐκ ἀληθὴς ἡμῖν ὁ περὶ τούτων ὀφθήσεται λόγος; τίνα τοίνυν ἐστὶν ἅπερ ἐκεῖνοι 1.14 κατὰ τῆς οἰκείας ἠρεύγοντο κεφαλῆς; τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον, τὸ φῶς τὸ ἀΐδιον, ἐν ᾧ δὴ πάντες καὶ κινούμεθα καὶ ἐσμὲν, τότε πρῶτον κεκλῆσθαι πρὸς ὕπαρξιν ἀμαθῶς τε καὶ ἀσεβῶς διϊσχυρίζοντο, ὅτε καὶ ἄνθρωπος διὰ τῆς ἁγίας ἐτέχθη παρθένου, καὶ τὸ κοινὸν δὴ τοῦτο σχῆμα λαβὼν "ἐπὶ "τῆς γῆς ὤφθη, καθὰ γέγραπται, καὶ τοῖς ἀνθρώποις συν "ανεστράφη." τοῖς μὲν οὖν τῇδε διακειμένοις, καὶ τὴν ἄῤῥητόν τε καὶ προαιώνιον τοῦ Υἱοῦ γέννησιν συκοφαντῆσαι τολμήσασιν ὁ προφητικὸς ἐπισκήπτει λόγος ἔχων ὡδί "Ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν "καὶ πόρνης· ἐν τίνι ἐνετρυφήσατε, καὶ ἐπὶ τίνα ἠνοίξατε "τὸ στόμα ὑμῶν, καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν "ὑμῶν;" οὐκ ἐξ ἀγαθῆς δηλονότι καρδίας ἐκβάλλουσαν ἀγαθὰ, ἀλλὰ τὸν τοῦ μιαιφόνου δράκοντος ἰὸν ἀναπτύουσαν, περὶ οὗ φησιν ὁ μελῳδὸς, ὡς πρὸς τὸν ἕνα καὶ ἐπὶ πάντων Θεόν "Σὺ "συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος ἐπὶ τοῦ ὕδατος." Ἐπειδὴ δὲ οὐ μικρὸς περὶ τούτων ἐν τοῖς πεπιστευκόσιν ὁ θόρυβος ἦν, καὶ τὰς τῶν ἁπλουστέρων ψυχὰς λοιμοῦ δίκην τὸ ἐκ τοῦ σκανδάλου κατεβόσκετο βλάβος· ᾤοντο γὰρ ὄντως τινὲς, ταῖς παρ' ἐκείνων φλυαρίαις τῶν ἀληθῶν ἐξελ κόμενοι δογμάτων, εἰς ἀρχὴν τοῦ εἶναι τότε μόλις κεκλῆσθαι τὸν Λόγον, ὅτε γέγονεν ἄνθρωπος· συνενεχθέντες, καὶ κατὰ ταυτὸν γενόμενοι, τῶν πιστευσάντων οἵπερ ἦσαν νουνεχέ στεροι, πρὸς τὸν τοῦ Σωτῆρος ἀφίκοντο μαθητὴν, αὐτὸν δὲ δηλονότι τὸν Ἰωάννην φημὶ, καὶ δὴ καὶ τὴν τοῖς ἀδελφοῖς ἐπισκήψασαν ἐξήγγελον νόσον, τάς τε τῶν ἑτεροδιδασκα λούντων ἐξεκάλυπτον φλυαρίας, ἐπαμῦναί τε γοργῶς σφίσι τε αὐτοῖς παρεκάλουν ταῖς διὰ τοῦ Πνεύματος φωταγωγίαις, καὶ τοῖς ἤδη σεσαγηνευμένοις, εἴσω τε δικτύων γεγονόσι 1.15 διαβολικῶν χεῖρα προτείνειν σωτήριον. ἐπαλγήσας τοίνυν τοῖς ἀπολώλοσι καὶ τὸν νοῦν κατεφθαρμένοις ὁ μαθητὴς, εἶναί τε ὁμοίως οἰηθεὶς ἀτοπώτατον τὸ μηδεμίαν τῶν ἐφεξῆς καὶ μετ' ἐκείνους ἐσομένων ποιήσασθαι πρόνοιαν, ἐπὶ τὴν τοῦ βιβλίου τρέχει συγγραφήν· καὶ τὰ μὲν, ὅσαπερ ἦν ἀνθρω πινώτερον εἰπεῖν, γενεαλογεῖν τὰ περὶ τῆς κατὰ σάρκα νομικῆς τε καὶ φυσικῆς τοῖς ἑτέροις ἐξηγεῖσθαι πλατύτερον συγκεχώρηκεν εὐαγγελισταῖς· θερμῶς δὲ λίαν αὐτὸς καὶ σφόδρα νεανικῶς ταῖς τῶν ἐκεῖνα παρεισαγόντων φλυαρίαις ἐνάλλεται λέγων·

**1.16 ΚΕΦΑΛΗ Α.** Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Ὅτι ἀΐδιος καὶ πρὸ τῶν αἰώνων ὁ Μονογενής. ΤΙ πρὸς τοῦτό φασιν οἱ νέον ἡμῖν καὶ πρόσφατον εἰσφέ ροντες τὸν Υἱὸν, ἵνα μηδὲ ὅλως ὑπάρχειν ἔτι πιστεύηται Θεός; "Οὐ γὰρ ἔσται, φησὶν, ἐν σοὶ θεὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρόσφατος," ἡ θεία γραφή. πῶς οὖν οὐ πρόσφατος, εἰ ἐν ὑστέροις ἐγεννήθη καιροῖς; πῶς δὲ οὐκ ἐψεύδετο λέγων πρὸς Ἰουδαίους "Ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί·" πρόδηλον γὰρ δήπου καὶ πᾶσιν ὁμολογούμενον, ὡς πολ λοῖς ὕστερον χρόνοις, μετὰ τὸν μακάριον Ἀβραὰμ, ἐγεν νήθη Χριστὸς διὰ τῆς ἁγίας παρθένου. ποῦ δὲ ὅλως τὸ ἦν ἐν ἀρχῇ σωθήσεται καὶ χωρήσει καλῶς, εἴπερ ἐπὶ τέλει τῶν αἰώνων γέγονεν ὁ Μονογενής; ὅρα γάρ μοι καὶ διὰ τῶν ἐφεξῆς, ὅσην ἔχει τὴν ἀτοπίαν τὸ κολοβοῦν τοῦ Υἱοῦ τὴν ἀΐδιον ὕπαρξιν, καὶ ἐν ὑστέροις αὐτὸν γενέσθαι χρόνοις ὑπονοεῖν. αὐτὸ δὲ δὴ πάλιν ἡμῖν εἰς λεπτοτέραν παρακείσεται βάσανον, ὅπερ ἔφη ὁ μακάριος Εὐαγγελιστής· 1.17 Ἐν ἀρχῇ ἦν ὁ Λόγος. 1.17 Τῆς ἀρχῆς οὐδέν τι ἐστὶ πρεσβύτερον, εἴπερ ἔχοι σωζό μενον ἐφ' ἑαυτῇ τὸν τῆς ἀρχῆς ὅρον· ἀρχὴ γὰρ ἀρχῆς οὐκ ἂν εἴη ποτέ· ἢ πάντως ἐκβήσεται τοῦ εἶναι κατὰ ἀλήθειαν ἀρχὴ, προεπινοουμένου τινὸς ἑτέρου καὶ προανίσχοντος αὐτῆς· ἄλλως τε εἰ ἐνδέχεταί τι προυπάρχειν τῆς ὄντως ἀρχῆς, ἐπ' ἄπειρον ἡμῖν ὁ περὶ αὐτῆς οἰχήσεται λόγος, ἀεὶ προανατελ λούσης ἑτέρας, καὶ δευτέραν ἀποφαινούσης τὴν ἐφ' ᾗπερ ἂν ἡ παρ' ἡμῶν γένοιτο ζήτησις. οὐκοῦν ἀρχὴ μὲν ἀρχῆς οὐκ ἔσται, κατὰ τὸν ἀκριβῆ τε καὶ ἀληθῆ λογισμὸν, ἀλλ' εἰς ἀμήρυτον μέν τι καὶ ἀκατάληπτον ὁ περὶ αὐτῆς ἀποδημήσει λόγος. τέλος δὲ οὐκ ἐχούσης τῆς ἀεὶ πρὸς τὸ ἄνοπιν φυγῆς, καὶ τὸ τῶν αἰώνων ἀναφοιτώσης μέτρον, οὐκ ἐν χρόνῳ γεγονὼς ὁ Υἱὸς, ἀϊδίως δὲ μᾶλλον ὑπάρχων μετὰ Πατρὸς εὑρεθήσεται· ἦν γὰρ ἐν ἀρχῇ· εἰ δὲ ἦν ἐν ἀρχῇ, ποῖος, εἰπέ μοι, δυνήσεται νοῦς, τὴν τοῦ ἦν ὑπερανίπτασθαι δύναμιν; πότε δὲ ὅλως τὸ ἦν ὡς ἐν τέλει στήσεται, προανατρέχον τ' ἀεὶ τοῦ διώκοντος λογισμοῦ, καὶ τῆς ἑπομένης αὐτῷ προανα πηδῶν ἐννοίας; ἐπὶ τούτῳ δὴ ἄρα καταπεπληγμένος ὁ προ φήτης φησὶν Ἡσαΐας "Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; "ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ·" αἴρεται γὰρ ὄντως ἀπὸ τῆς γῆς ὁ περὶ τῆς γεννήσεως λόγος τοῦ Μονογενοῦς, τουτέστιν, ὑπὲρ πᾶσάν ἐστι διάνοιαν τῶν ὄντων ἐπὶ τῆς γῆς, καὶ ὑπὲρ πάντα λόγον, ὡς εἶναι λοιπὸν ἀνεξήγητον· εἰ δὲ ὑπὲρ νοῦν ἐστι καὶ λόγους τοὺς ἐν ἡμῖν, πῶς ἂν εἴη γενητὸς, οὐκ ἀτονούσης τῆς ἐνούσης ἡμῖν διανοίας καὶ χρόνῳ καὶ λόγῳ περιορίζειν τὰ γενητά; 1.18 Ἑτέρως, εἰς τὸ αὐτὸ θεωρητέον Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Ἀρχὴν ὅλως τὴν ἐν χρόνῳ νοουμένην οὐκ ἔστι λαβεῖν ἐπὶ τοῦ Μονογενοῦς, ἐπείπερ ἐστὶ πρὸ χρόνου παντὸς, καὶ προ αιώνιον ἔχει τὴν ὕπαρξιν, ἔτι τε πρὸς τουτοισὶ τὸ καταλήγειν εἰς τέλος ἡ θεία παραιτεῖται φύσις· ἕξει γὰρ ὡσαύτως ἀεὶ, κατὰ τὸ ἐν ψαλμοῖς μελῳδούμενον "Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ "ἔτη σου οὐκ ἐκλείψουσιν·" ἀπὸ ποίας οὖν ἡμῖν ἀρχῆς τῆς ἐν χρόνῳ καὶ ποσῷ μετρουμένης ὁ Υἱὸς ἐκβήσεται, τρέχειν εἰς τέλος οὐκ ἀνεχόμενος, ἅτε δὴ καὶ κατὰ φύσιν ὑπάρχων Θεὸς, καὶ διὰ τοῦτο βοῶν "Ἐγώ εἰμι ἡ ζωή;" ἀρχὴ γὰρ αὐτὴ καθ' ἑαυτὴν οὐκ ἂν ὅλως ὑπάρχειν νοοῖτό ποτε μὴ πρὸς τὸ οἰκεῖον βλέπουσα τέλος, ἐπείπερ ὡς πρὸς τέλος μὲν ἀρχὴ, τέλος δ' αὖ πάλιν ὡς πρὸς ἀρχὴν ὀνομάζεται· ἀρχὴν δὲ πάλιν ἐν τούτοις, τὴν κατὰ χρόνον ἤτοι ποσότητα σημαί νομεν. οὐκοῦν ἐπειδήπερ καὶ αὐτῶν ἐστι τῶν αἰώνων πρεσ βύτερος ὁ Υἱὸς, τὸ μὲν ἐν χρόνῳ γεγενῆσθαι διαφεύξεται· ἦν δὲ καὶ διὰ παντὸς ὡς ἐν πηγῇ τῷ Πατρὶ κατὰ τὸ παρ' αὐτοῦ λελεγμένον "Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω." πηγῆς τοιγαροῦν νοουμένου τοῦ Πατρὸς, ἦν ὁ Λόγος ἐν αὐτῷ σοφία καὶ δύναμις καὶ χαρακτὴρ καὶ ἀπαύγασμα καὶ εἰκὼν ὑπάρχων αὐτοῦ. καὶ εἰ χρόνος ἦν οὐδεὶς, ὅτε Λόγου χωρὶς καὶ σοφίας καὶ χαρακτῆρος καὶ ἀπαυγάσματος ἦν ὁ Πατὴρ, ἀνάγκη συνομολογεῖν ἀΐδιον ὑπάρχειν τὸν Υἱὸν, ὃς ταὐτά ἐστι τῷ ἀϊδίῳ Πατρί. πῶς γὰρ ὅλως ἐστὶ χαρακτὴρ, πῶς δὲ εἰκὼν ἀκριβὴς, εἰ μὴ πρὸς ἐκεῖνο μεμορφωμένος ὁρᾶται τὸ κάλλος, οὗ καί ἐστιν εἰκών; Ἀδικήσει δὲ ὅλως οὐδὲν τὸ ὡς ἐν πηγῇ τῷ Πατρὶ τὸν 1.1 Υἱὸν ὑπάρχειν ἐννοεῖν· μόνον γὰρ τό Ἐξ οὗ τὸ τῆς πηγῆς ἐν τούτοις ὄνομα σημαίνει. ἔστι δὲ ὁ Υἱὸς ἐν Πατρὶ καὶ ἐκ Πατρὸς, οὐκ ἔξωθεν ἢ ἐν χρόνῳ γεγονὼς, ἀλλ' ἐν τῇ τοῦ Πατρὸς ὑπάρχων οὐσίᾳ, καὶ ἐξ αὐτῆς ἀναλάμψας, ὥσπερ ἐξ ἡλίου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυχὸν τὸ ἀπαύγασμα αὐτοῦ, ἢ καθάπερ ἐκ πυρὸς ἡ ἔμφυτος αὐτοῦ θερμότης· ἐν γὰρ τοῖς τοιούτοις παραδείγ μασιν, ἓν μὲν ἐξ ἑνὸς γεννώμενον ἔνεστιν ἰδεῖν, ἀεὶ δ' οὖν ὅμως συνυπάρχον καὶ ἀχωρίστως προσὸν, ὡς δίχα τοῦ ἑτέρου μὴ εἶναι δύνασθαι καθ' ἑαυτὸ τὸ ἕτερον, καὶ διασώζειν ἀληθῆ τὸν τῆς οἰκείας φύσεως λόγον. πῶς γὰρ ὅλως ἥλιος οὐκ ἔχων ἀπαύγασμα, ἢ πῶς ἀπαύγασμα μὴ ἐντὸς ὂν ἡλίου τοῦ ἀπαυγάζοντος αὐτό; πῶς δὲ καὶ πῦρ, εἰ τὸ θερμαίνειν οὐκ ἔχει; πόθεν δὲ τὸ θερμὸν, εἰ μὴ ἐκ πυρὸς, ἢ παρά τινος ἑτέρου τυχὸν τῆς τοῦ πυρὸς οὐσιώδους ποιότητος οὐ μακράν που κειμένου; ὥσπερ οὖν ἐν τούτοις τὸ ἐνυπάρχειν τὰ ἐξ αὐτῶν οὐκ ἀναιρεῖ τὴν συνύπαρξιν, ἀεὶ δὲ συντρέχοντα τοῖς γεννῶσι δεικνύει τὰ γεννώμενα, καὶ μίαν ὡς πρὸς αὐτὰ τὴν φύσιν κληρωσάμενα· οὕτω καὶ ἐφ' Υἱοῦ. κἂν γὰρ ἐν Πατρὶ καὶ ἐκ Πατρὸς νοῆται καὶ λέγηται, οὐκ ἔκφυλος ἡμῖν καὶ ξένος ἢ ὡς μετ' αὐτὸν δεύτερος, εἰσβήσεται, ἀλλ' ὢν ἐν αὐτῷ, καὶ συνυπάρχων ἀεὶ, καὶ ἐξ αὐτοῦ πεφηνὼς, κατὰ τὸν ἄῤῥητον τῆς θείας γεννήσεως τρόπον. ὅτι δὲ καὶ ὡς ἀρχὴ τοῦ Υἱοῦ, κατὰ μόνον τό Ἐξ οὗ, λέγεται καὶ παρὰ τοῖς ἁγίοις ὁ Θεὸς καὶ Πατὴρ, ἄκουε τοῦ ψαλμῳδοῦ τὴν δευτέραν τοῦ Σωτῆρος ἡμῶν ἐπιφάνειαν διὰ τοῦ Ἁγίου Πνεύματος προκηρύττοντος καὶ ὡς πρὸς αὐτὸν λέγοντος τὸν Υἱόν "Μετὰ "σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν τῇ λαμπρότητι 1.20 "τῶν ἁγίων σου·" ἡμέρα γὰρ δυνάμεως τοῦ Υἱοῦ, καθ' ἣν ὅλην κρίνει τὴν οἰκουμένην, καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ἥξει δὲ πάντως καὶ τότε αὐτός τε ὢν ἐν Πατρὶ, καὶ ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα, τὴν ἄναρχον τῆς οἰκείας φύσεως οἱονεί πως ἀρχὴν κατὰ μόνον τό Ἐξ οὗ, διὰ τὸ ὑπάρχειν ἐκ Πατρός. Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Εἰς πολλὰς ἡμῖν καὶ διαφόρους ἐννοίας ὁ περὶ τῆς ἐνθάδε σημαινομένης ἀρχῆς καταποικίλλεται λόγος, πανταχόθεν θη ρᾶσθαι σπουδάζων τὰ εἰς ὠφέλειαν συντείνοντα, καὶ κατά ληψιν ἀληθῆ τῶν θείων δογμάτων καὶ τὴν ἐν τοῖς μυστηρίοις ἀκρίβειαν κυνὸς δίκην ἰχνηλατῶν· "Ἐρευνᾶτε γάρ που τὰς "ἁγίας γραφὰς, φησὶν ὁ Σωτὴρ, ὅτι ἐν αὐταῖς ὑμεῖς δοκεῖτε "ζωὴν αἰώνιον ἔχειν· καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ "ἐμοῦ." ἔοικε τοίνυν ὁ μακάριος Εὐαγγελιστὴς ἀρχὴν ἐνθάδε, τουτέστι τὴν κατὰ πάντων ἐξουσίαν, τὸν Πατέρα σημαίνειν, ἵνα δὴ καὶ ἐπάνω πάντων ἡ θεία φαίνηται φύσις, πᾶν ὅπερ ἐστὶ γενητὸν ὑπὸ πόδας ἔχουσα, μονονουχὶ καὶ ἐποχουμένη τοῖς δι' αὐτῆς εἰς τὸ εἶναι κεκλημένοις. Ἐν ταύτῃ τοιγαροῦν τῇ ἀρχῇ τῇ κατὰ πάντων καὶ ἐπὶ πάντας, ἦν ὁ Λόγος, οὐ μετὰ πάντων ὑπὸ πόδας αὐτῆς, ἀλλ' ἔξω πάντων ἐν αὐτῇ φυσικῶς, ὡς καρπὸς συναΐδιος, τόπον ὥσπερ ἔχων τὸν ἁπάντων ἀρχαιότατον τὴν τοῦ γεννήσαντος φύσιν. διὸ δὴ καὶ ἐλεύθερος ἐλευθέρου Πατρὸς πεφυκὼς τὴν κατὰ πάντων ἀρχὴν σὺν αὐτῷ κεκτήσεται. τίς οὖν ἄρα καὶ νῦν ὁ τῆς ἐν τούτῳ κατασκευῆς γενήσεται λόγος ἀκόλουθον συνιδεῖν. ῥιψοκινδύνως τινὲς, καθάπερ ἔφημεν ἐν τοῖς ἄνω 1.21 τέρω, τὸν τοῦ Θεοῦ Λόγον τότε δὴ πρῶτον εἰς τὸ εἶναι κεκλῆσθαι διισχυρίζοντο, ὅτε τὸν ἐκ τῆς ἁγίας παρθένου ναὸν λαβὼν ἄνθρωπος γέγονε δι' ἡμᾶς· τί οὖν ἂν εἴη λοιπὸν, εἴπερ οὕτως ἔχοι φύσεως ὁ Υἱὸς, ἢ γενητὸς καὶ πεποιημένος, καὶ τοῖς ἄλλοις ἅπασιν ὁμοφυὴς, οἷς ἐξ οὐκ ὄντων ἡ γένεσις, καὶ τὸ τῆς δουλείας ὄνομά τε καὶ πρᾶγμα δικαίως ἐπαλη θεύεται; τί γὰρ τῶν πεποιημένων τὴν ὑπὸ τῷ πάντων κρατοῦντι Θεῷ δουλείαν ἀκινδύνως παραιτήσεται; τί δὲ οὐχ ὑποκύψει τῇ κατὰ πάντων ἀρχῇ τε καὶ ἐξουσίᾳ καὶ κυριό τητι, ἣν καὶ αὐτός που σημαίνει λέγων ὁ Σολομών "Μετὰ "γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς." ἕτοιμος γὰρ καὶ πολὺ λίαν εὐπρεπὴς εἰς δικαιοσύνην ὁ τῆς ἀρχῆς θρόνος, τῆς ἐπὶ πάντας δηλαδή. καὶ τίς ὁ θρόνος περὶ οὗ νῦν ὁ λόγος, ἄκουε λέγοντος τοῦ Θεοῦ δι' ἑνὸς τῶν ἁγίων "Ὁ "οὐρανός μοι θρόνος." οὐκοῦν ἕτοιμος εἰς δικαιοσύνην ὁ οὐρανὸς, τουτέστι, τὰ ἐν τοῖς οὐρανοῖς ἅγια πνεύματα. Ἐπειδὴ τοίνυν ἦν ἀνάγκη συνομολογεῖν μετὰ τῶν ἄλλων ποιημάτων ὑποκεῖσθαι τῷ Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν, ὡς οἰκετικὴν ἔχοντα τάξιν, καὶ ὑπὸ τὴν τῆς ἀρχῆς ἐξουσίαν ὁμοίως πίπτοντα τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλοις, εἴπερ ἐστὶ κατ' ἐκείνους ὀψι γενὴς καὶ τῶν ἐν χρόνῳ πεποιημένων εἷς· ἀναγκαίως ὁ μακάριος Εὐαγγελιστὴς δριμύτερον τοῖς ἑτεροδιδασκαλοῦσιν ἐπιπηδᾷ, καὶ δουλείας μὲν ἁπάσης ἐξέλκει τὸν Υἱόν· ἐκ δὲ τῆς ἐλευθέρας καὶ πάντων ἀρχούσης οὐσίας ἐκπεφήνοτα δεικνύει, καὶ ἐν αὐτῇ φυσικῶς ὑπάρχειν ἰσχυρίζεται λέγων Ἐν ἀρχῇ ἦν ὁ Λόγος. ἐπιπλέκει δὲ τῷ τῆς ἀρχῆς ὀνόματι χρησίμως τὸ ἦν, ἵνα μὴ μόνον εὐκλεὴς, ἀλλὰ νοῆται καὶ προαιώνιος· τέθειται γὰρ ἐν τούτοις τὸ ἦν, εἰς βαθεῖάν τινα καὶ ἀκατάληπτον καὶ τὴν ἔξω χρόνων ἄῤῥητον γέννησιν ἀνατεῖνον τοῦ θεωροῦντος τὴν ἔννοιαν. τὸ γὰρ ἦν ἀδιορίστως 1.22 ἐκφωνηθὲν, εἰς ποῖον ἡμῖν καταλήξει τόπον, ἀεὶ προελαύνειν τοῦ διώκοντος νοῦ πεφυκὸς, καὶ ἥνπερ ἂν οἴηταί τις ἔχειν αὐτοῦ τὴν κατάπαυσιν, ταύτην τοῦ ἐπέκεινα δρόμου ποιού μενον ἀρχήν; ἦν οὖν ὁ Λόγος ἐν ἀρχῇ, τουτέστιν, ὡς ἐν ἀρχῇ τῇ ἐπὶ πάντα, καὶ ἐξ αὐτῆς ὑπάρχων φυσικῶς τὸ δεσποτικὸν ἔχων ἀξίωμα· εἰ δὲ τοῦτο ἀληθὲς, πῶς ἔτι γενητὸς ἢ πεποιημένος; ὅπου δὲ ὅλως τὸ ἦν, κατὰ τίνα τρόπον τὸ οὐκ ἦν εἰσβήσεται, ἢ ποῖον ἕξει λοιπὸν τὸν κατὰ τοῦ Υἱοῦ τόπον;

1.23 ΚΕΦΑΛΗ Β. Ὅτι καὶ Θεὸς καὶ ὁμοούσιος τῷ Πατρὶ ὑπάρχων ὁ Υἱὸς ἐν ἰδίᾳ ἐστὶν ὑποστάσει, ὁμοίως δὲ καὶ ὁ Πατήρ. Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. ἝΩΛΟΝ ἤδη, καὶ τῆς ἀληθείας ἀπεσφαλμένην ἀποδείξας ἱκανῶς τὴν ἀμαθῆ τῶν ἐκεῖνα δοξαζόντων διάνοιαν, καὶ διὰ τοῦ εἰπεῖν "Ἐν ἀρχῇ ἦν ὁ Λόγος," πᾶσαν ἀποκλείσας παρ είσδυσιν τοῖς ἐξ οὐκ ὄντων εἶναι λέγουσι τὸν Υἱὸν, καὶ πᾶσαν αὐτῶν τὴν ἐν τούτοις εἰκαιολογίαν ἀποτόμως περι ελὼν, ἐφ' ἑτέραν ἔρχεται γείτονά τε καὶ δυστροπωτάτην αἵρεσιν. καὶ ὥσπερ ἂν εἴ τις ἄριστός τε ὁμοῦ καὶ τληπαθὴς φυτουργὸς, τοῖς μὲν ἐπὶ τῇ δικέλλῃ καὶ μάλα δὴ πόνοις ἐφήδοιτο, περιεζωσμένος δὲ τὴν ὀσφῦν, καὶ ὡς ἔνι μάλιστα τοῖς αὐτῷ πρέπουσιν ἀγροικιζόμενος σχήμασι, πᾶσαν ποιοῖτο σπουδὴν τῆς ἐξ ἀκανθῶν ἀηδίας ἐλευθέραν ἀποδεῖξαι τοῦ παραδείσου τὴν ὄψιν, ἄλλην δὲ ἐπ' ἄλλην καταστρέφων οὐ παύεται, καὶ κύκλῳ περινοστῶν ἀεὶ τὸ λυποῦν ἀνοχλίζει ξύλον, τὸν σκληρὸν ὀδόντα τῆς δικέλλης ὑποτιθείς· οὕτω καὶ ὁ μακάριος Ἰωάννης τὸν ζῶντα καὶ ἐνεργῆ καὶ τομώ τατον τοῦ Θεοῦ Λόγον ἐν διανοίᾳ φορῶν, ὀξυωπέστατά τε καὶ νουνεχέστατα τῆς τῶν ἑτεροδοξούντων κακίας τὰ πικρὰ 1.24 περιαθρῶν βλαστήματα, μονονουχὶ πρὸς αὐτὰ δρομαῖος ἔρχε ται, καὶ ἀποτέμνει γοργῶς πανταχόθεν, τοῖς ἐντευξομένοις τοῖς παρ' αὐτοῦ συγγράμμασι τὸ ἐν ὀρθῇ τῇ πίστει φυλάττεσθαι προξενῶν. θέα γὰρ δὴ πάλιν τοῦ πνευματοφόρου τὴν νῆψιν. ἐδίδαξεν ἐν τοῖς προλαβοῦσιν, ὡς ἦν ὁ Λόγος ἐν ἀρχῇ, του τέστιν, ἐν τῷ Θεῷ καὶ Πατρὶ, καθάπερ εἰρήκαμεν. ἐπειδὴ δὲ τὸ τῆς διανοίας ὄμμα πεφωτισμένον ἔχων οὐκ ἠγνόει, κατὰ τὸ εἰκὸς, ὡς ἀναστήσονταί τινες ἐκ πολλῆς ἀμαθίας ἕνα καὶ τὸν αὐτὸν εἶναι λέγοντες Πατέρα καὶ Υἱὸν, καὶ μόνον ὀνόμασι τὴν ἁγίαν Τριάδα διαστέλλοντες, ἐν δὲ ὑποστάσεσιν ἰδικαῖς οὐ συγχωροῦντες ὑπάρχειν, ἵν' ὁ Πατὴρ μὲν ὄντως νοῆται Πατὴρ καὶ οὐχ Υἱὸς, Υἱὸς δ' αὖ πάλιν ὑπάρχειν ἰδίως ὁ Υἱὸς καὶ οὐ Πατὴρ, ὥσπερ οὖν καὶ ὁ τῆς ἀληθείας ἔχει λόγος· ἀναγκαίως καὶ πρὸς ταύτην, ὡς ἐπιπαροῦσαν ἤδη, κατ' ἐκεῖνο καιροῦ κεκινημένην, ἢ καὶ ἔσεσθαί ποτε μέλλουσαν, τὴν αἵρεσιν ἐξοπλίζεται, καὶ δὴ πρὸς ἀναίρεσιν αὐτῆς παρατίθησιν εὐθὺς τῷ Ἐν ἀρχῇ ἦν ὁ Λόγος τό Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· πανταχῇ μὲν τὸ ἦν ἀναγκαίως ἐπιφέρων διὰ τὴν προαιώνιον γέννησιν αὐτοῦ, διὰ δὲ τοῦ φάναι τὸν Λόγον ὄντα πρὸς τὸν Θεὸν, ἓν μέν τι καὶ ὑφε στηκὸς αὐτὸ καθ' ἑαυτὸ τὸν Υἱὸν ἐπιδεικνύων, ἕτερον δὲ πάλιν τὸν Θεὸν καὶ Πατέρα, πρὸς ὃν ἦν ὁ Λόγος· πῶς γὰρ ἂν ὅλως τὸ ἓν ἀριθμῷ αὐτὸ πρὸς ἑαυτὸ, ἤτοι παρ' ἑαυτῷ, νοοῖτο ὑπάρχειν; Ὅτι δὲ ἀμαθὴς τοῖς αἱρετικοῖς καὶ ὁ περὶ τούτων εὑρεθή σεται λόγος, διὰ τῆς ἐν τοῖς ὑποτεταγμένοις θεωρίας διδά ξομεν, τὴν τῶν ζητουμένων βάσανον ἀκριβῆ ποιησάμενοι. 1.25 Ἀπόδειξις μετὰ συλλογισμῶν καὶ μαρτυριῶν γραφικῶν, ὅτι καὶ ὁ Πατὴρ ἐν ἰδίᾳ ἐστὶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποστάσει καὶ ὁ Υἱὸς ὡσαύτως, συνθεολογουμένου δηλονότι καὶ τοῦ Ἁγίου Πνεύματος, εἰ καὶ μηδὲν ἐπὶ τοῦ παρόντος ἐξετάζοιτο περὶ αὐτοῦ. Ὁμοούσιος μὲν οὖν ὁ Υἱὸς τῷ Πατρὶ, καὶ ὁ Πατὴρ τῷ Υἱῷ, διὸ δὴ καὶ εἰς ἀπαράλλακτον ἀναβαίνουσιν ὁμοιότητα, ὡς ὁρᾶσθαι μὲν ἐν Υἱῷ τὸν Πατέρα, ἐν δὲ τῷ Πατρὶ τὸν Υἱὸν, καὶ τῷ ἑτέρῳ τὸν ἕτερον ἐναστράπτειν, καθάπερ καὶ αὐτός που φησὶν ὁ Σωτὴρ "Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα μου," καὶ πάλιν "Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί." ἀλλ' εἰ καὶ ἔστιν ἐν τῷ Πατρὶ, ἔχει δὲ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα· καλῶς μὲν αὐτὸς, καθάπερ ἤδη προείρηται, πρὸς τὴν τοῦ γεννήσαντος ἀπηκριβωμένος μορφὴν, ἀπαραποιήτως δὲ πάλιν, ἐξ ὧν ἐστιν αὐτὸς, ἐν ἑαυτῷ τὸν γεννήσαντα ζωγραφῶν· οὐ διὰ τοῦτο τὸ ὑπάρχειν ἰδίως ζημιωθήσεται, οὐδ' αὖ πάλιν ἀπολέσει ὁ Πατὴρ τὸ ὑφεστάναι καθ' ἑαυτόν· ἀλλ' οὐδὲ ἡ πολλὴ λίαν ἐμφέρειά τε καὶ ὁμοιότης ἀνάχυσίν τινα τῶν ὑποστάσεων ἐργάσεται, ὡς ἓν νοεῖσθαι τῷ ἀριθμῷ τὸν γεννήσαντα Πατέρα καὶ τὸν ἐξ αὐτοῦ γεννηθέντα Υἱόν· ἀλλ' ἡ μὲν ταυτότης τῆς φύσεως ἐπ' ἀμφοῖν ὁμολογηθή σεται, τὸ δὲ ἰδίως ἑκάτερον ὑφεστάναι πάντως ἀκολουθεῖ· ἵνα καὶ ὁ Πατὴρ ὄντως νοῆται Πατὴρ, καὶ ὁ Υἱὸς δὲ Υἱός. ἐπαριθμουμένου γὰρ οὕτω καὶ συνθεολογουμένου τοῦ Ἁγίου Πνεύματος, ἡ ἁγία καὶ προσκυνουμένη Τριὰς τὸ οἰκεῖον ἕξει πλήρωμα. {Ἄλλο.} Εἰ αὐτός ἐστιν ὁ Υἱὸς καὶ Πατὴρ, ποῖον ἔχει λόγον ἡ τῶν ὀνομάτων διαστολή; εἰ μὴ γὰρ ὅλως ἐγέννησεν, ἱνατί καλεῖται Πατήρ; πῶς δὲ ὅλως Υἱός, εἰ μὴ ἐγεννήθη 1.26 παρὰ Πατρός; αἰτεῖ γὰρ ὡς ἐξ ἀνάγκης τὴν τοιαύτην ἐφ' ἑαυτοῖς θεωρίαν τὰ ὀνόματα. ἐπειδὴ δὲ γεγεννῆσθαι τὸν Υἱὸν αἱ θεῖαι κηρύττουσι γραφαὶ, καὶ ὁ τῆς ἀληθείας οὕτως ἔχει λόγος, ὑφέστηκεν ἄρα καὶ καθ' ἑαυτόν. ἔστι δὲ πάλιν ἰδια ζόντως καὶ ὁ Πατὴρ, εἴπερ ἕτερον ἐξ ἑτέρου φαίνεται, τὸ γεννώμενον ὡς πρὸς τὸ γεννῶν. {Ἄλλο.} Ὁ μακάριος Παῦλος ἐπιστέλλων Φιλιππησίοις περὶ τοῦ Υἱοῦ φησιν "Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ "ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ." τίς οὖν ἄρα ἐστὶν ὁ ἁρπαγμὸν οὐ θελήσας ἡγήσασθαι τὸ εἶναι ἴσα Θεῷ; ἢ γὰρ οὐκ ἀνάγκη λέγειν, ἕνα μέν τινα ὑπάρχειν τὸν ἐν μορφῇ Θεοῦ, ἕτερον δὲ πάλιν τὸν οὗπερ ἦν ἡ μορφή; ἀλλ' ἔστι δῆλον ἅπασι καὶ ὁμολογούμενον. οὐκοῦν οὐχ ἕν τι καὶ ταυτὸν τῷ ἀριθμῷ Πατὴρ καὶ Υἱὸς, ἀλλ' ἰδιοσύστατοι καὶ ἐν ἀλλήλοις θεωρούμενοι, κατὰ τὴν ταυτότητα τῆς οὐσίας, εἰ καὶ εἷς ἐξ ἑνὸς, ἐκ Πατρὸς ὁ Υἱὸς δηλαδή. {Ἄλλο.} "Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν," ἔφασκεν ὁ Σωτήρ· ὡς εἰδὼς δηλονότι καὶ ἑαυτὸν ἰδίως ὑφεστηκότα καὶ τὸν Πατέρα· εἰ δὲ μὴ οὕτως ἔχει τοῦ πράγματος ἡ ἀλήθεια, τί μὴ τηρήσας τῇ ἑνάδι τὸ πρέπον ἔφασκεν Ἐγὼ καὶ ὁ Πατὴρ ἕν εἰμι; ἐπειδὴ δὲ εἰς πληθυντικὸν ἀριθμὸν τὸ ση μαινόμενον ἐξαπλοῖ, δῆλος ἂν εἴη λοιπὸν τὴν τῶν ἑτερο δοξούντων ἀνατρέπων ὑπόνοιαν· οὐδὲ γὰρ ἂν καθ' ἑνὸς τὸ ἐσμὲν ἐπενεχθείη συνετῶς. {Ἄλλο.} Ἐπὶ τῇ τοῦ ἀνθρώπου κατασκευῇ φωνὴ φέρεται Θεοῦ "Ποιήσωμεν, λέγοντος, ἄνθρωπον κατ' εἰκόνα "ἡμετέραν καὶ καθ' ὁμοίωσιν." εἴπερ οὖν εἰς ἕν τι τῷ ἀριθμῷ τὸ τῆς ἁγίας Τριάδος πλάτος, ἵνα οὕτως εἴπω, συστέλλεται, καὶ δυσσεβοῦντες ἀναιροῦσι τὸ ὑφεστάναι καθ' ἑαυτοὺς Πατέρα καὶ Υἱόν· τίς ὁ πρὸς τίνα λέγων ἐστί 1.27 "Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα τὴν ἡμετέραν;" χρῆν γὰρ δήπου λέγειν, εἴπερ οὕτως ἔχει, καθάπερ ἐκεῖνοι λη ροῦντές φασι Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἐμὴν καὶ καθ' ὁμοίωσιν. νυνὶ δὲ τοῦτο μὲν οὐκ εἰπὼν, πληθυντικῷ δὲ δοὺς ἀριθμῷ τὴν ποίησιν, καὶ τὸ κατ' εἰκόνα τὴν ἡμετέραν ἐπαγαγὼν, ὁ τοῦ βιβλίου συγγραφεὺς, μονονουχὶ λαμπρᾷ καὶ μεγάλῃ βοᾷ τῇ φωνῇ τὴν ὑπὲρ ἑνάδα τῆς ἁγίας Τριάδος ἀπαρίθμησιν. {Ἄλλο.} Εἰ ἀπαύγασμά ἐστι τοῦ Πατρὸς ὁ Υἱὸς, ὡς φῶς ἐκ φωτός· πῶς οὐχ ἕτερος πρὸς αὐτὸν, ὡς ἰδιοσύστατος; τὸ γὰρ ὅλως ἀπαυγασθὲν, ὡς ὑφ' ἑτέρου δηλονότι τοῦ ἀπαυγάζοντος καὶ οὐκ αὐτὸ ἐξ ἑαυτοῦ, τοῦτο πείσεται. {Ἄλλο.} Ἐκ τῆς οὐσίας ὄντα τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἐπιδεικνύων ἑαυτὸν ὁ Υἱὸς, φησί που πάλιν "Ἐγὼ ἐκ τοῦ "Πατρὸς ἐξῆλθον καὶ ἥκω· πάλιν πορεύομαι πρὸς τὸν "Πατέρα." πῶς οὖν οὐχ ἕτερος ἔσται παρ' αὐτὸν, ὡς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποστάσει καὶ ἀριθμῷ, παντὸς ἡμᾶς ἀναπείθοντος λόγου, τὸ ἔκ τινος προελθὸν, ἕτερον εἶναι παρ' ἐκεῖνο νοεῖν, ἀφ' οὗ δὴ καὶ προελήλυθεν; οὐκοῦν οὐκ ἀληθὴς τοῖς δι' ἐναντίας ὁ λόγος. {Ἄλλο.} Εἰς Θεὸν Πατέρα καὶ εἰς Υἱὸν μονογενῆ καὶ εἰς Ἅγιον Πνεῦμα πιστεύοντες δικαιούμεθα. διά τοι τοῦτο καὶ αὐτὸς ὁ Σωτὴρ τοῖς οἰκείοις μαθηταῖς ἐπιτάττει λέγων "Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες "αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ "Ἁγίου Πνεύματος." εἴπερ οὖν ὅλως οὐδὲν ἡμῖν εἰσοίσει πρὸς νόησιν ἡ τῶν ὀνομάτων διαφορὰ, Πατέρα δέ τις εἰπὼν σημαίνει τὸν Υἱὸν, καὶ Υἱὸν ὀνομάσας αὐτοῦ μνημονεύει 1.28 τοῦ Πατρὸς, τίς ἦν ἡ χρεία μὴ πρὸς ἑνάδα μᾶλλον, ἀλλ' εἰς τριάδα κελεύειν βαπτίζεσθαι τοὺς πιστεύοντας; ἐπειδὴ δὲ εἰς τὸν τρεῖς ἀριθμὸν ὁ περὶ τῆς θείας φύσεως ἐκτρέχει λόγος, πρόδηλον δήπου πᾶσίν ἐστιν, ὡς ἐν ὑποστάσει μὲν ἰδίᾳ τῶν ἀριθμουμένων ἕκαστον εἶναι· τῷ δὲ μηδαμόθεν ἐξηλλάχθαι κατὰ τὴν φύσιν, εἰς μίαν ἀναβαίνει Θεότητα, καὶ προσ κύνησιν ἔχει τὴν αὐτήν. {Ἄλλο.} Ἐξ ὀργῆς ἐμπεπρῆσθαι Θεοῦ τὰς τῶν Σοδομιτῶν πόλεις ἡ θεία λέγει γραφή· ἐξηγουμένη δὲ ὅπως αὐτοῖς ὁ θεῖος ἐπενήνεκται θυμὸς, καὶ τὸν τρόπον τῆς ἀπωλείας ἐκδιδάσκουσα σαφῶς, "Ἔβρεξε, φησὶ, Κύριος "παρὰ Κυρίου ἐπὶ Σόδομα πῦρ καὶ θεῖον·" ἐπεὶ καὶ αὕτη τοῖς ἐκεῖνα πλημμελεῖν εἰωθόσιν ἡ μερὶς τοῦ ποτηρίου πρε πωδεστάτη. ποῖος οὖν ἄρα Κύριος παρὰ ποίου Κυρίου τὸ πῦρ ἐπηφίει, καὶ τὰς τῶν Σοδομιτῶν κατέφλεξε πόλεις; ἀλλ' ἔστι δῆλον, ὡς ὁ Πατὴρ δι' Υἱοῦ πάντα ἐνεργῶν, ἐπεὶ καὶ δύναμις αὐτοῦ καὶ βραχίων ἐστὶν, αὐτὸν Σοδομίταις ὕειν ἐποίει τὸ πῦρ. ὅτε τοίνυν Κύριος παρὰ Κυρίου τὸ πῦρ ἐκείνοις ἐφίησι, πῶς οὐχ ἕτερος, ὅσον εἰς τὸ ἰδίως ὑπάρχειν, παρὰ τὸν Υἱὸν ὁ Πατὴρ, καὶ αὖ πάλιν ὁ Υἱὸς παρὰ τὸν Πατέρα; τὸ γὰρ ἓν ὡς ἐξ ἑνὸς ἐν τούτῳ σημαίνεται. {Ἄλλο.} Προφητικῷ κινούμενος πνεύματι, καὶ δι' αὐτοῦ τὰ ἐσόμενα προγινώσκων ὁ μακάριος ψαλμῳδὸς, οὐχ ἑτέρως δύνασθαι διασωθῆναι τὸ γένος ἐνενόει τὸ ἀνθρώπινον, εἰ μὴ διὰ μόνης τῆς ἐπιφανείας τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ πάντα ῥᾳδίως, ἐφ' ὅπερ ἂν βούλοιτο, μεταῤῥυθμίζειν ἰσχύοντος. διά τοι τοῦτο πέμπεσθαι πρὸς ἡμᾶς παρεκάλει τὸν Υἱὸν, ἅτε δὴ καὶ μόνον αὐτὸν διασώζειν ἰσχύοντα τοὺς ὑπὸ χεῖρα καὶ 1.29 πλεονεξίαν γενομένους διαβολικήν· καὶ δὴ καὶ ἔφασκεν, ὡς πρὸς τὸν Θεὸν καὶ Πατέρα "Ἐξαπόστειλον τὸ φῶς σου καὶ "τὴν ἀλήθειάν σου." ποῖον οὖν ἄρα ἐστὶ τὸ φῶς, ποία δὲ ἡ ἀλήθεια, αὐτοῦ λέγοντος ἄκουε τοῦ Υἱοῦ Ἐγώ εἰμι τὸ φῶς καὶ ἐγώ εἰμι ἡ ἀλήθεια· εἰ δὲ πέμπεται πρὸς ἡμᾶς τὸ φῶς καὶ ἡ ἀλήθεια τοῦ Πατρὸς, τουτέστιν ὁ Υἱὸς, πῶς οὐχ ἕτερός ἐστι παρ' αὐτὸν, ὅσον εἰς τὸ ἰδίως ὑπάρχειν, εἰ καὶ ἕν ἐστιν ὡς πρὸς αὐτὸν, ὅσον εἰς τὴν τῆς οὐσίας ταυτότητα; εἰ γὰρ μὴ οὕτως ἔχειν οἴονταί τινες, ὁ αὐτὸς δὲ καὶ εἷς ἐστι Πατὴρ καὶ Υἱὸς, τί μὴ ἕτερον ἐποιεῖτο τὸν τῆς εὐχῆς τρόπον ὁ πνευματοφόρος βοῶν Ἐλθὲ πρὸς ἡμᾶς ὦ φῶς καὶ ἀλήθεια; ἐπειδὴ δὲ τό Ἐξαπόστειλον λέγει, δῆλος ἂν εἴη λοιπὸν, ἕτερον μέν τινα τὸν ἀποστέλλοντα εἰδὼς, ἕτερον δὲ τὸν ἀποστελλόμενον· ὁ δὲ τῆς ἀποστολῆς τρόπος νοείσθω θεοπρεπῶς. {Ἄλλο.} Δι' Υἱοῦ πεποιῆσθαι τὰ πάντα φασὶν αἱ θεῖαι γραφαὶ "τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ "τὰ ἐπὶ τῆς γῆς," καὶ οὕτω πιστεύοντες ἐν ὀρθότητι λογισμῶν, καὶ τῶν τῆς εὐσεβείας δογμάτων εἴσω βεβήκαμεν οἱ τῆς ἀληθείας προσκυνηταί· οὐκοῦν ἐξετάζωμεν τό Δι' Υἱοῦ, καὶ ποίαν ἡμῖν εἰσφέρει τὴν διάνοιαν ἐρευνήσωμεν. ἀλλ' ἔστι δῆλον, ὡς ἕτερον μέν τινα νοεῖν ἀναπείθει τὸν ποιοῦντα καὶ ἐργαζόμενον, ἕτερον δέ τινα τὸν δι' οὗ τὰ πάντα ἐργάζεται. δύο γὰρ προσώπων ὡς ἐξ ἀνάγκης παρά στασιν ἔχει τό Δι' Υἱοῦ. ἢ λεγέτωσαν κατὰ τίνα τρόπον τὸ ἓν ὡς ἐν ἀριθμῷ καὶ τῇ κατ' αὐτὸν ποσότητι ἐν τῷ τι ποιεῖν λέγεσθαι, τό Δι' Υἱοῦ κυρίως τε καὶ ἀληθῶς ἐπιδέξεται, οὐδενὸς ἑτέρου συνεπινοουμένου καὶ συνειστρέχοντος· ἀλλ' οἶμαι παντελῶς ἀπορήσειν τὸν δι' ἐναντίας. ἐπειδὴ δὲ δι' Υἱοῦ τὸν Πατέρα τὰ πάντα εἰργάσθαι, καὶ αὐταὶ κηρύττουσιν 1.30 αἱ θεῖαι γραφαὶ καὶ ἡμεῖς πιστεύομεν, οἶμαι δὲ ὅτι κἀ κεῖνοι· πῶς οὐκ ἀνάγκη νοεῖν Πατέρα μὲν ἰδίως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ καθ' ἑαυτὸν ὑφεστάναι, Υἱὸν δὲ πάλιν ὁμοίως, οὐκ ἀνατρέποντος τούτου τὸ ἐν ταυτότητι τῆς οὐσίας τὴν ἁγίαν ὁρᾶσθαι Τριάδα; 1.31 ΚΕΦΑΛΗ Γ. Ὅτι καὶ Θεὸς κατὰ φύσιν, καὶ κατ' οὐδένα τρόπον ἢ ἐλάττων ἢ ἀνόμοιός ἐστι τοῦ Πατρὸς ὁ Υἱός. Καὶ Θεὸς ἦν ὁ Λόγος. ΟΥΚ ἠγνόησεν ὁ πνευματοφόρος, ὡς ἀναστήσονταί τινες ἐν ἐσχάτοις καιροῖς τῆς τοῦ Μονογενοῦς κατηγοροῦντες οὐσίας "καὶ τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην ἀρνούμενοι," διὰ τοῦ κατὰ φύσιν οἴεσθαι μὴ εἶναι Θεὸν τὸν ἐκ Θεοῦ καὶ Πατρὸς πεφηνότα Λόγον, ἀλλὰ νόθον ὥσπερ τινὰ καὶ ψευ δώνυμον ἡμῖν ἐπεισφέρεσθαι, τὸ μὲν τῆς υἱότητός τε καὶ θεότητος ὄνομα περικείμενον, ἔχοντα δὲ οὐχ οὕτω κατὰ ἀλήθειαν. ὁποιόν τι ποιοῦσιν, οἱ τὴν Ἀρείου δυσσέβειαν Ἰουδαικὴν εἰς τὸν ἑαυτῶν εἰσοικίζοντες νοῦν, διὸ δὴ καὶ ἀπὸ νεκρᾶς προφέρουσι καρδίας, οὐ τὸν ζωοποιὸν τῆς εὐσεβοῦς θεωρίας λόγον, ἀλλ' εἴ τι πρὸς θάνατον ὁρᾷ τε καὶ βλέπει· "Βολὶς ὄντως τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν, δόλια τὰ "ῥήματα τοῦ στόματος αὐτῶν." Ὥσπερ οὖν ἤδη τινὸς τοῖς ἐξ ἀληθείας ἀντιτείνοντος ῥήμασι, καὶ μονονουχὶ λέγοντος πρὸς τὸν ἅγιον Εὐαγγε λιστήν Ἦν μὲν ὁ Λόγος, ὦ οὗτος, πρὸς τὸν Θεὸν, καὶ ἐχέτω τῇδε, πειθόμεθα δὲ τοῖς σοῖς περὶ τούτου συγγράμμασιν· ἔστω δὲ καὶ ὑπαρχέτω Πατὴρ μὲν ἰδίως, Υἱὸς δὲ πάλιν ὁμοίως. τίνα δὴ οὖν ὑπάρχειν οἴεσθαι προσήκει κατὰ φύσιν 1.32 τὸν Λόγον; τὸ γὰρ εἶναι πρὸς Θεὸν, οὐ πάντως ἔχει καὶ τῆς οὐσίας τὴν δήλωσιν. ἐπειδὴ δὲ Θεὸν ἕνα κηρύττουσιν αἱ θεῖαι γραφαὶ, ἀναθήσομεν τοῦτο μόνον τῷ Πατρὶ, πρὸς ὃν ἦν ὁ Λόγος; τί οὖν ἄρα καὶ πρὸς τοῦτό φησι τῆς ἀλη θείας ὁ κήρυξ; οὐ μόνον ἦν ὁ Λόγος πρὸς Θεὸν, ἀλλ' ἦν καὶ Θεὸς, ἵνα διὰ μὲν τοῦ εἶναι πρὸς Θεὸν, ἕτερος ὢν παρὰ τὸν Πατέρα γνωρίζηται, καὶ Υἱὸς ὑπάρχειν ἰδίᾳ καὶ καθ' ἑαυτὸν πιστεύηται· διὰ δὲ τοῦ εἶναι Θεὸς, ὁμοούσιός τε καὶ ἐξ αὐτοῦ νοῆται κατὰ φύσιν, ἅτε δὴ καὶ Θεὸς καὶ ἐκ Θεοῦ προελθών. ἀμήχανον γὰρ, μιᾶς εἶναι παρὰ πᾶσιν ὁμολογουμένης θεό τητος, μὴ πάντως εἰς ταυτότητα φύσεως τὴν ἁγίαν ἀναβαί νειν Τριάδα, οὕτως τε εἰς τὸν ἕνα τῆς Θεότητος ἀναφέρεσθαι λόγον. ἦν οὖν καὶ Θεός· οὐ γέγονεν ὕστερον, ἀλλὰ πάλιν ἦν, εἰ καὶ ὅτι μάλιστα τῷ εἶναι Θεὸν ἀκολουθήσει πάντως καὶ τὸ ἀϊδίως εἶναι· ἐπεὶ τὸ ἐν χρόνῳ γεγονὸς, ἢ καὶ ὅλως ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παρενεχθὲν, οὐκ ἂν εἴη φύσει Θεός. ἔχοντος τοίνυν τοῦ Θεοῦ Λόγου διὰ μὲν τοῦ ἦν τὸ ἀΐδιον, διὰ δὲ τοῦ εἶναι Θεὸν τὸ πρὸς τὸν Πατέρα ὁμοούσιον, πόσης οἴεσθαι χρὴ κολάσεώς τε καὶ τιμωρίας ἐνόχους εὑρεθήσεσθαι, τοὺς ἐλάττονα κατά τι γοῦν ἢ καὶ ἀνόμοιον τοῦ γεγεννηκότος οἰομένους ὑπάρχειν αὐτὸν, καὶ εἰς τοῦτο προελθεῖν δυσσε βείας οὐκ ἀποφρίττοντας, ὡς ἤδη τολμᾶν καὶ ἑτέροις τὰ τοιαῦτα προσλαλεῖν, "μὴ νοοῦντας, μήτε ἃ λέγουσι, μήτε "περὶ τίνων διαβεβαιοῦνται;" Ὅτι γὰρ οὐδαμόθεν ἐλάττων ἐστὶν τοῦ Πατρὸς ὁ ἐξ αὐτοῦ καὶ κατὰ ἀλήθειαν Υἱὸς, ἐκ τῶν συνεζευγμένων ἐν νοιῶν εἰσόμεθα πάλιν. {Ἄλλο.} Πολλοῖς καὶ διαφόροις ὀνόμασι τὸν Υἱὸν αἱ θεῖαι καλοῦσι γραφαί. σοφίαν μὲν γὰρ καὶ δύναμιν τοῦ Πατρὸς εἶναί φασιν αὐτὸν, κατὰ τὸ εἰρημένον παρὰ τῷ 1.33 Παύλῳ "Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία." εἴρηται δὲ πάλιν καὶ φῶς αὐτοῦ καὶ ἀλήθεια, κατὰ τὸ ἐν ψαλμοῖς ὑπὸ τοῦ τῶν ἁγίων μελῳδούμενον "Ἐξαπόστειλον τὸ φῶς "σου καὶ τὴν ἀλήθειάν σου." εἴρηται καὶ δικαιοσύνη, κατὰ τό "Ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με·" ζωοποιεῖ γὰρ ὁ Πατὴρ ἐν Χριστῷ τοὺς πιστεύοντας εἰς αὐτόν· ὠνόμασται καὶ βουλὴ τοῦ Πατρὸς, κατὰ τὸ εἰρημένον "Ἐν τῇ βουλῇ "σου ὡδήγησάς με," καὶ πάλιν "Ἡ δὲ βουλὴ τοῦ Κυρίου "εἰς τὸν αἰῶνα μένει." ὅτε τοίνυν ταῦτα πάντα ἐστὶν ὁ Υἱὸς τῷ Θεῷ καὶ Πατρὶ, λεγέτωσαν ἡμῖν οἱ τὴν Ἀρείου κολακεύοντες πλάνην καὶ τῆς ἐκείνου παρανοίας ἀναπεπλη σμένοι, πῶς ἐστιν ἐλάττων αὐτοῦ. ὥρα γὰρ λέγειν, εἴπερ οὕτως ἔχοι κατ' αὐτοὺς, ὅτι περ οὐ τελείως ἐστὶ σοφὸς ὁ Πατὴρ, οὐ τελείως δυνατὸς, οὐ τελείως φῶς, οὐ τελείως ἀλήθεια, οὐ τελείως δίκαιος, ἀλλ' οὐδὲ τέλειος ἐν βουλῇ, εἴπερ ὄντως διὰ τὸ ἔλαττον ἔχειν, οὐ φανεῖται τέλειος ὁ Υἱὸς, ὃς πάντα ταῦτά ἐστιν αὐτῷ. ἀλλὰ μὴν τὸ οὕτω φρονεῖν ἢ λέγειν δυσσεβές· τέλειος δὲ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατὴρ διὰ τὸ πάντα ἔχειν ἐν ἑαυτῷ τελείως· τέλειος ἄρα δηλονότι καὶ ὁ Υἱὸς, ἡ σοφία καὶ ἡ δύναμις, τὸ φῶς καὶ ἡ ἀλήθεια, ἡ δικαιοσύνη καὶ ἡ βουλὴ τοῦ Πατρός. ὁ δὲ τὴν ἐν τῷ οἰκείῳ γεννήτορι τελειότητα πληρῶν, πῶς ἂν ἐλάττων νοοῖτο; {Ἄλλο.} Εἰ τὸ ἔλαττον ἔχων ὁ Υἱὸς ὡς πρὸς Θεὸν καὶ Πατέρα, προσκυνεῖται παρά τε ἡμῶν καὶ τῶν ἁγίων ἀγγέ λων, δύο λατρεύοντες ἁλωσόμεθα θεοὺς, εἴπερ οὐδαμόθεν εἰς ταυτότητα φύσεως ἀναβήσεται τῷ τελείῳ τὸ μὴ οὕτως ἔχον· πολλὴ δέ τις ἐστὶν ἡ διαφορὰ τὰ μὴ ὡσαύτως ἔχοντα κατὰ τὸν τῆς φύσεως λόγον εἰς ἀλλοτριότητα διατέμνουσα. ἀλλ' οὐκ εἰς πολύθεον ἀριθμὸν ἡ πίστις, εἷς δὲ Θεὸς καὶ ὁ Πατὴρ, ἀναβαίνοντος εἰς ἑνότητα τὴν πρὸς αὐτὸν τοῦ Υἱοῦ, δῆλον δὲ ὅτι καὶ τοῦ Ἁγίου Πνεύματος· οὐδὲν ἄρα τὸ κατηγόρημα 1.34 λοιπὸν ἐν Υἱῷ. πῶς γὰρ ἔτι τὸ ἔλαττον ἐπιδέξεται εἰς ἑνότητα τῷ τελείῳ Πατρὶ, καὶ εἰς οὐσίας ταυτότητα ἑνού μενος φυσικῶς; {Ἄλλο.} Εἰ πλήρωμά ἐστιν ὁ Υἱός· "Ἀπὸ γὰρ τοῦ "πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν·" κατὰ τίνα τρόπον τὸ ἔλαττον ἐπιδέξεται; ἀσύμβατα γὰρ καθ' ἕν τι τὸ ὑποκείμενον ἐν ταυτῷ τὰ ἀλλήλοις ἐναντία. {Ἄλλο.} Εἰ τὸ ἔλαττον ἔχων ὁ Υἱὸς τὰ πάντα πληροῖ, ποῦ χωρήσει τὸ μεῖζον τοῦ Πατρός; εἰρήσεται γὰρ καὶ σωματικώτερον, ὡς ἐν παραδείγματος τρόπῳ, νοουμένης ἑτέ ρως τῆς ἐν ἀσωμάτοις ὑπεροχῆς τε καὶ ἐλαττώσεως. {Ἄλλο.} Εἰ τὸ ὑπὲρ πᾶν ὄνομά ἐστιν ὁ Θεὸς, εἶτα τούτου κληρονόμος ὑπάρχων ὁ Υἱὸς οὐκ ἔχει τὸ τέλειος εἶναι διὰ τὸ ἔλαττον, οὐδὲν ἐν τῷ ὑπὲρ πάντα τὸ μέγα· τοῦτο δέ ἐστι Θεός. ἀλλὰ τοῦτο ἄτοπον ἢ φρονεῖν ἢ λέγειν· τέλειος ἄρα ἐστὶν ὁ Υἱὸς, ὡς ὑπὲρ πᾶν ὄνομα, καὶ Θεός. {Ἄλλο.} Εἰ ἡ θεῖα φύσις οὐ πεπόσωται, συμβαίνειν δὲ οἶδε τὸ ἔλαττον ἐν ποσοῖς, πῶς ἂν ἐλάττων νοοῖτο κατὰ φύσιν ὑπάρχων Θεὸς ὁ Υἱός; οὐ γὰρ ἔξω τοῦ ποσοῦ κεί σεται, κἂν ὡς πρὸς Πατέρα τὸ ἔλαττον λέγωσιν ἔχειν αὐτόν. {Ἄλλο.} Ὁ μακάριος Ἰωάννης περὶ τοῦ Υἱοῦ φησιν, ὅτι"οὐκ ἐκ μέτρου δίδωσι τὸ Πνεῦμα," τοῖς ἀξίοις δηλαδή. ὅτε τοίνυν μέτρον οὐκ ἔστιν ἐν τῷ Υἱῷ, ἀμέτρητος ἄρα ἐστὶ, καὶ πᾶσαν ἀναβαίνων κατάληψιν τὴν ἐν ποσῷ νοουμένην ὡς Θεός. πῶς οὖν ἐλάττων ὁ μὴ μετρούμενος; {Ἄλλο.} Εἰ ἐλάττων ἐστὶν ὁ Υἱὸς, μείζων δὲ ὁ Πατὴρ, διαφόρως δηλονότι καὶ ἀναλογούντως οἷς ἑκάτερος ἔχει μέτροις ἐνεργήσουσι περὶ τὸν εἰς ἡμᾶς ἁγιασμόν. καὶ ἁγιάσει μὲν μειζόνως ὁ Πατὴρ, ἔλαττον δὲ καὶ καθ' ἑαυτὸν 1.35 ὁ Υἱός. ἔσται τοιγαροῦν καὶ τὸ Πνεῦμα διπλοῦν, καὶ μεῖον μὲν ἐν Υἱῷ, μεῖζον δὲ ἐν Πατρί. καὶ τελείως μὲν οἱ παρὰ Πατρὸς ἁγιασθήσονται· οὐ τελείως δὲ πάλιν οἱ δι' Υἱοῦ. ἀλλὰ πολλή τις ἐστὶν ἐν τούτοις ἡ τῶν λογισμῶν ἀτοπία. ἓν γὰρ τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστιν, εἷς καὶ τέλειος ὁ ἁγιασ μὸς, παρὰ Πατρὸς δι' Υἱοῦ φυσικῶς χορηγούμενος· οὐκ ἄρα ἐλάττων ἐστὶν ὁ τὴν αὐτὴν ἐνέργειαν ἔχων τῷ τελείῳ Πατρὶ, καὶ τὸ τοῦ γεννήσαντος Πνεῦμα φύσεως ἰδίας ἔχων ἀγαθὸν, ζῶν, καὶ ἐνυπόστατον, ὥσπερ οὖν ἀμέλει καὶ ὁ Πατήρ. {Ἄλλο.} Εἰ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ὑπῆρχεν ὁ Υἱὸς κατὰ τὴν τοῦ Παύλου φωνὴν, πῶς ἐλάττων αὐτοῦ ἐστιν; οὐ γὰρ δήπου τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ λόγος, καὶ ἡ διὰ τοῦτο λεγομένη ταπείνωσις, τοῦ κατὰ φύσιν προσόντος ἀξιώματος ἀπογυμνώσει τὸν Υἱὸν, λύσιν ἔχουσα τὴν δευτέραν ἐξ οὐρανοῦ παρουσίαν. ἥξει γὰρ πάντως, ὡς ἠκούσαμεν λέγοντος "ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ." πῶς οὖν ὅλως ἐν τῇ δόξῃ τοῦ τελείου Πατρὸς ὁ ἐλάττων αὐτοῦ; {Ἄλλο.} Εὑρίσκεταί που λέγων δι' ἑνὸς τῶν προφητῶν ὁ Θεὸς καὶ Πατήρ "Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω." ἐρωτη τέον τοιγαροῦν τοὺς ὅσοι τὸν Υἱὸν ἀτιμάζουσιν ἀσεβῶς, μᾶλλον δὲ δι' αὐτοῦ καὶ τὸν Πατέρα· ὁ γὰρ μὴ τιμῶν τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα τιμᾷ· πότερόν ποτε, καθάπερ ὑπει λήφασιν αὐτοὶ, τοῦ Θεοῦ καὶ Πατρὸς ἐλάττων ὢν ὁ Υἱὸς, ὁμοούσιός ἐστιν, ὡς πρὸς αὐτὸν, ἢ οὐχί; εἰ μὲν οὖν ἐροῦσιν, ὡς ἔστιν ὁμοούσιος, τί μάτην τὸ ἔλαττον ἐπιφέρουσιν αὐτῷ; τὰ γὰρ τῆς αὐτῆς οὐσίας ὄντα καὶ φύσεως, οὐκ ἂν ὅλως ἔχοι καθ' ἑαυτῶν τὸ μεῖζον, κατά γε τὸν τοῦ πῶς εἶναι λόγον· τοῦτο δὲ πάντως ἐστὶ τὸ ζητούμενον. Ἀλλ' οὐ συνθήσονται τυχὸν, οὐδὲ ὁμοούσιον εἶναι δώ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

1.36 σουσι τῷ Πατρὶ τὸν Υἱὸν, ὡς ἐλάττονα κατ' αὐτούς· οὐκοῦν ἕτερος ἔσται παντελῶς καὶ ἀλλότριος τοῦ Πατρός. πῶς οὖν ἔχει τὴν δόξαν αὐτοῦ; "Αὐτῷ γὰρ ἐδόθη," καθά φησιν ὁ μακάριος Δανιὴλ, "ἡ τιμὴ καὶ ἡ βασιλεία·" ἢ γὰρ διαψεύ σεται λέγων ὁ Θεὸς καὶ Πατήρ "Τὴν δόξαν μου ἑτέρῳ οὐ "δώσω·" ἢ εἴπερ ἐστὶν ἀληθὴς, δέδωκε δὲ τὴν ἑαυτοῦ δόξαν τῷ Υἱῷ, οὐχ ἕτερος ἄρα ἐστὶ παρ' αὐτὸν, καρπὸς ὑπάρχων τῆς οὐσίας αὐτοῦ καὶ γνήσιον γέννημα. ὁ δὲ ὡσαύτως ἔχων τῷ Πατρὶ κατὰ τὸν τῆς φύσεως λόγον, πῶς ἂν εἴη λοιπὸν ἐλάττων αὐτοῦ; {Ἀλλὰ ἁπλᾶ καὶ ἀσύνδετα.} Εἰ παντοκράτωρ ἐστὶν ὁ Πα τὴρ, παντοκράτωρ δὲ ὁμοίως καὶ ὁ Υἱὸς, πῶς ἐλάττων αὐτοῦ ἐστιν; οὐ γὰρ δήπου κατά γε τὸν τῆς ἀκολουθίας λόγον, εἰς τὸ τοῦ τελείου μέτρον τὸ μὴ τέλειον ἀναβήσεται. καὶ, εἰ κύριός ἐστιν ὁ Πατὴρ, κύριος δὲ ὁμοίως καὶ ὁ Υἱὸς, πῶς ἐλάττων αὐτοῦ ἐστιν; ἔσται γὰρ οὐ τελείως ἐλεύθερος, εἴπερ ἐστὶν ἐλάττων ἐν κυριότητι καὶ οὐ πλῆρες ἔχων ἐν ἑαυτῷ τὸ ἀξίωμα. καὶ εἰ φῶς ἐστιν ὁ Πατὴρ, φῶς δὲ ὁμοίως καὶ ὁ Υἱὸς, πῶς ἐλάττων αὐτοῦ ἐστιν; ἔσται γὰρ οὐ τελείως φῶς, καταληφθήσεται δὲ ἀπὸ μέρους ὑπὸ τῆς σκοτίας, καὶ ψεύσεται λέγων ὁ Εὐαγγελιστής "Ἡ σκοτία αὐτὸ οὐ κατέ "λαβε." καὶ εἰ ζωή ἐστιν ὁ Πατὴρ, ζωὴ δὲ ὁμοίως καὶ ὁ Υἱὸς, πῶς ἐλάττων αὐτοῦ ἐστιν; οὐ γὰρ ἔσται τελείως ἐν ἡμῖν ἡ ζωὴ, κἂν εἰς τὸν ἔσω ἄνθρωπον κατοικήσῃ Χριστός· νεκροὶ δέ πως κατά τι μέρος οἱ πιστεύσαντες, εἴπερ ἐστὶν οὐ τελείως ζωὴ τὸ ἔλαττον ἔχων ὁ Υἱός. ἐπειδὴ δὲ χρὴ τὴν ἐν τούτοις ἀτοπίαν ὡς πορρωτάτω ποιεῖσθαι, τέλειον εἶναί φαμεν τὸν Υἱὸν τὸν τῷ τελείῳ Πατρὶ παρισούμενον διὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον. {Ἄλλο.} Εἰ ἐλάττων ἐστὶ τοῦ Πατρὸς ὁ Υἱὸς, διά τε τοῦτο οὐχ ὁμοούσιος· ἕτερος ἄρα ἐστὶ κατὰ φύσιν καὶ ἀλλότριος 1.37 παντελῶς· οὐκοῦν οὐχ Υἱὸς, ἀλλ' οὐδὲ ὅλως Θεός. πῶς γὰρ ἂν καὶ καλοῖτο Υἱὸς ὁ μὴ ἐκ Πατρὸς, ἢ πῶς ἔτι Θεὸς, ὁ μὴ ἐκ Θεοῦ κατὰ φύσιν; ἐπειδὴ δὲ εἰς Υἱὸν ἡ πίστις, ἔτι κατὰ τὸ εἰκὸς πλανώμεθα, τὸν ἀληθινὸν οὐκ ἐπεγνωκότες Θεόν. ἀλλὰ τοῦτο ἄτοπον· πιστεύοντες δ' εἰς Υἱὸν, καὶ εἰς τὸν Πατέρα πιστεύομεν, καὶ εἰς τὸ Ἅγιον Πνεῦμα δηλαδή. οὐκ ἄρα ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἐλάττων, ἀλλότριος ὁ Υἱὸς, ἀλλ' ἓν ὡς πρὸς αὐτὸν, διὰ τό Ἐξ αὐτοῦ κατὰ φύσιν, ἴσος τε διὰ τοῦτο καὶ τέλειος. {Ἄλλο.} Εἰ μὲν Υἱός ἐστι κατὰ ἀλήθειαν ὁ ἐκ Θεοῦ Πατρὸς ἀναλάμψας Θεὸς Λόγος, ἀνάγκη πᾶσα καὶ οὐχ ἑκόντας τοὺς δι' ἐναντίας ὁμολογεῖν ἐκ τῆς οὐσίας αὐτὸν ὑπάρχειν τῆς τοῦ Πατρός. τοῦτο γὰρ ἡ κατὰ ἀλήθειαν υἱότης σημαίνει. εἶτα πῶς ὁ τοιοῦτος ἐλάττων ἐστὶ τοῦ Πατρὸς, εἴπερ ἐστὶν οὐσίας καρπὸς, οὐδαμόθεν τὸ ἔλαττον ἐφ' ἑαυτῇ δεχομένης; πάντα γὰρ τελείως ἐν τῷ Θεῷ. εἰ δὲ οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, οὐδὲ Υἱὸς ἄρα· νόθος δὲ ὥσπερ τις καὶ ψευδώνυμος. ἀλλ' οὐδὲ αὐτὸς ὁ Πατὴρ, πατὴρ ἂν καλοῖτο δικαίως τε καὶ ἀληθῶς· Υἱοῦ γὰρ οὐκ ὄντος τοῦ κατὰ φύσιν, δι' ὅν ἐστι πατὴρ, πῶς ἂν νοοῖτο πατήρ; ἀλλὰ τοῦτο ἄτοπον· ἔστι δὲ Πατὴρ ἀληθινὸς ὁ Θεός· τοῦτο γὰρ δὴ καὶ ὅλαι βοῶσιν αἱ θεῖαι γραφαί· Υἱὸς ἄρα πάντως ὁ ἐξ αὐτοῦ φυσικῶς. εἰ δὲ τοῦτο, οὐκ ἐλάττων· ὁμοούσιος γὰρ ὡς Υἱός. {Ἄλλο.} Τὸ τῆς πατριᾶς ἤτοι πατρότητος ὄνομα οὐκ ἐξ ἡμῶν κυρίως ἔχει Θεὸς, ἀλλ' ἡμεῖς μᾶλλον ἐξ αὐτοῦ λαβόντες ὁρώμεθα. πιστὸς δὲ ὁ λόγος Παύλου βοῶντος ὡδί "Ἐξ οὗ πᾶσα πατριὰ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται." ἐπειδὴ 1.38 δὲ Θεὸς τὸ πάντων ἐστὶ πρεσβύτατον, κατὰ μίμησιν δη λονότι πατέρες ἡμεῖς, οἱ πρὸς τὸ ἐκείνου σχῆμα διὰ τοῦ πεποιῆσθαι κατ' εἰκόνα κεκλημένοι. εἶτα πῶς, εἰπέ μοι, λοιπὸν οἱ καθ' ὁμοίωσιν γεγονότες αὐτῷ, κατὰ φύσιν ἐσμὲν τῶν οἰκείων τέκνων πατέρες, εἰ μὴ πρόσεστι τοῦτο τῇ ἀρχε τύπῳ εἰκόνι, πρὸς ἣν καὶ μεμορφώμεθα; πῶς δ' ἂν ὅλως τὸ τῆς πατριᾶς ἤτοι πατρότητος ὄνομα καὶ εἰς τοὺς ἄλλους ἐκβῆναι παρὰ Θεοῦ δοίη τις ἂν, εἴ γε ὄντως οὐκ ἔστι πατήρ; φαίνεται γὰρ, ἂν οὕτως ἔχῃ, παντελῶς ἀνεστραμμένη τοῦ πράγματος ἡ φύσις, ἡμεῖς δὲ μᾶλλον αὐτῷ καθ' ὁμοίωσιν τὴν πρὸς ἡμᾶς τό Πατὴρ καλεῖσθαι δώσομεν, ἤπερ αὐτὸς ἡμῖν. τοῦτο γὰρ ὁ λόγος συνομολογεῖν ἀναγκάσει καὶ ἄκοντα τὸν αἱρετικόν. οὐκοῦν ψεύδεται τῆς ἀληθείας ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μάρτυς, ἐξ αὐτοῦ λέγων πᾶσαν εἶναι πατριὰν ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς. ἀλλ' ἔστι τοῦτο φάναι τῶν ἀτοπωτάτων· ἀληθεύει γὰρ ὁ θαρσήσας εἰπεῖν "Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν "ἐμοὶ λαλοῦντος Χριστοῦ;" καὶ ἐκ Θεοῦ τὸ τῆς πατριᾶς ὄνομα καὶ εἰς ἡμᾶς καταῤῥεῖ. οὐκοῦν ἐστι κατὰ φύσιν τοῦ Λόγου Πατήρ· τέτοκε δὲ πάντως οὐκ ἀνόμοιον ἑαυτῷ, διὰ τοῦ τὸ ἔλαττον ἔχειν, ἢ ἐν οἷσπέρ ἐστιν αὐτός· οἱ γὰρ πρὸς μίμησιν γεγονότες ἡμεῖς τὴν ἐκείνου ἔχομεν οὐχ οὕτω τὰ ἐξ ἑαυτῶν γεννώμενα, ἴσα δὲ παντελῶς κατά γε τὸν τῆς φύσεως λόγον. {Ἄλλο.} Μὴ σοφιζέσθω τὴν ἀλήθειαν ὁ ποικίλος εἰς λόγους αἱρετικὸς, μηδὲ Υἱὸν ὁμολογῶν τὸν τοῦ Θεοῦ Λόγον, ψιλὴν αὐτῷ καὶ τὴν ἐν ῥήμασι μόνοις χαριζέσθω τιμὴν, οὐκ εἶναι λέγων αὐτὸν ἐκ τῆς οὐσίας τῆς τοῦ Πατρός. πῶς γὰρ ὅλως Υἱὸς, εἰ μὴ οὕτως ἔχοι κατὰ φύσιν; ἢ τοίνυν τὸ τῆς ὑποκρίσεως περιελόντες προσωπεῖον δυσφημείτωσαν ἀνα φανδὸν, μήτε Θεὸν μήτε Υἱὸν ὁμολογοῦντες· ἢ εἴπερ ἐκ πάσης ἐλεγχόμενοι τῆς θείας γραφῆς, καὶ τοῖς τῶν ἁγίων 1.39 λόγοις κατασφενδονούμενοι, δυσωποῦνται τὴν ἀλήθειαν, καὶ Υἱὸν εἶναι λέγουσι καὶ Θεὸν, μὴ φρονείτωσαν ὡς ἔστιν ἐλάττων τοῦ γεγεννηκότος. πῶς γὰρ ὅλως ἐπιδέξεται τὸ ἔλατ τον ὡς πρὸς τὸν Πατέρα καὶ Θεὸν, Θεὸς ὢν ὁ Λόγος; καίτοι καὶ ἄνθρωπος ἀνθρώπου χρηματίζει τε καὶ ἔστιν υἱὸς, ἀλλ' οὐκ ἐλάττων ἔσται τοῦ πατρὸς κατά γε τὸ εἶναι ἄνθρωπος· ἄνθρωπος γὰρ ἀνθρώπου, καθὸ ἄνθρωπος, οὐκ ἂν εἴη μείζων ἢ ἐλάττων, ἀλλ' οὐδὲ ἄγγελος ἀγγέλου τυχὸν, καθὸ ἄγ γελος, ἢ ἕτερόν τι τῶν ὄντων πρὸς πᾶν ὁτιοῦν ὁμοφυὲς, καὶ τὸν τῆς αὐτῆς οὐσίας λόγον ἀποκεκληρωμένον. οὐκοῦν εἰ κατὰ ἀλήθειάν ἐστιν Υἱὸς, ἀνάγκη λέγειν, ὡς ἔστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, πάντα τὰ ἐκείνης ἴδια φέρων ἐν ἑαυτῷ φυσικῶς· καὶ εἰ φύσει Θεὸς ὁ Πατὴρ, Θεὸς δηλονότι κατὰ φύσιν καὶ ὁ Λόγος ὁ ἐξ αὐτῆς γεννηθείς. πῶς οὖν ἐλάττων ἔσται Θεὸς Θεοῦ, κατ' αὐτὸ δὴ τοῦτο τὸ εἶναι Θεός; {Ἄλλο.} Πόθεν ὑμῖν, ὦ οὗτοι, πάρεστι τολμᾶν τὸ ἐν ἐλάττοσι κεῖσθαι λέγειν τὸν Υἱὸν, ἢ ἐν οἷς ἐστιν ὁ γεννήσας αὐτόν; κατὰ τίνα δὲ τρόπον τὸ ἔλαττον ἐπιδέξεται; κατὰ μὲν οὖν τὸν ἐν τῷ εἶναι χρόνον, οὐκ ἄν τις, οἶμαι, καὶ σφόδρα ληρῶν ὑπολάβοι· προαιώνιος γὰρ ὁ Υἱὸς, καὶ αὐτός ἐστι τῶν αἰώνων ὁ ποιητὴς, καὶ ὅτι οὐκ ἂν ὅλως περιορίζοιτο χρόνῳ, τὸ χρόνου παντὸς πρεσβυτέραν ἔχον τὴν γέννησιν, νοηθείη εἰκότως. ἀλλ' οὐδὲ ἐν ποσῷ τῷ κατὰ μέγεθος ἐλάττων αὐτοῦ· ἀμεγέθης γὰρ, ἄποσός τε καὶ ἀσώματος ἡ θεία νοεῖται καὶ ἔστι φύσις. πῶς οὖν ἄρα τὸ ἔλαττον ἐπὶ τοῦ γεννηθέντος δειχθήσεται; ἐν δόξῃ λοιπὸν, ἐρεῖ τις τυχὸν, ἐν δυνάμει, ἐν σοφίᾳ. λεγέτωσαν τοίνυν, πόσος ἐστὶν ἐν τούτοις καὶ πηλίκος ὁ Πατὴρ, εἴ γε χρὴ καὶ τοῦτο εἰπεῖν· ἵνα νοῆται λοιπὸν ἐλάττων ὁ Υἱὸς, ὡς πρὸς ἐκεῖνον ἐκμετρού 1.40 μενος· ἢ εἴπερ ἐκεῖνός ἐστιν ἐν ἀκαταλήπτοις καὶ ἀνεκμετρή τοις ὁ Πατὴρ ἀγαθοῖς, καὶ πολὺ τὸ τῆς ἡμετέρας διανοίας ἀνατρέχουσι μέτρον, πόθεν ἐλάττονα λέγουσι τὸν Υἱὸν οἱ πάντα τολμῶντες ἑτοίμως Ἀρειανοὶ, πρὸς ἀνατροπὴν τοῦ προσόντος αὐτῷ κατὰ φύσιν ἀξιώματος; ἐλέγχεται γὰρ ἀντιπαραθέσει τῇ πρὸς τὸ μεῖζον τὸ ἔλαττον, οὐκ ἐκμετρου μένης δὲ τῆς ἀξίας τοῦ Πατρὸς, ποία δεῖξις ἐν Υἱῷ τοῦ μειονεκτήματος; {Ἄλλο.} Ἐπὶ τῇ βδελυρίᾳ τῶν ἀνοσίων αἱρετικῶν, ἔξεστιν ὄντως εἰπεῖν ἀληθεύοντας "Οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι." πῶς γὰρ οὐκ ἂν εἶεν πάσης ἀμαθίας ἀνάπλεῳ, μὴ εἰδότες "μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται," καθάπερ ὁ Παῦλός φησιν; ὅτου δὲ δὴ χάριν ἐπισκήπτειν αὐτοῖς οἰόμεθα δεῖν, ἐκεῖνό ἐστιν. εἰ κατὰ ἀλήθειαν Θεὸν ἐκ Θεοῦ τοῦ Πατρὸς γεγεννῆσθαι λέγουσι τὸν Υἱὸν, καὶ οὕτω πιστεύ ουσι, πῶς ἐλάττων ἐστὶ τοῦ Πατρός; πολλὴ γὰρ ἐντεῦθεν ἀποτεχθήσεται λογισμῶν ἀτοπία, πανταχῇ τὸ δύσφημον ἔχουσα, καὶ ὅσαπερ ἄν τις καὶ μόνον ἀκοῦσαι παραιτήσεται. εἰ γὰρ ὅλως Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς ἐπιδέξεται κατά τι γοῦν ἐφ' ἑαυτῷ τὸ ἔλαττον, ἀνάγκη λοιπὸν ἐννοεῖν, ὡς ἔστι τι τὸ μεῖζον Θεοῦ. οὐκοῦν οὐκ ἐν τελειότητι τῇ κατὰ πᾶν ὁτιοῦν ἡ τοῦ Πατρὸς οὐσία νοεῖται, κἂν ὑπάρχῃ φύσει Θεός· προκόψει δέ ποι καὶ αὐτὸς ἐπὶ τὸ μεῖζον, ἐλεγχόμενος, ὥσπερ ἐν εἰκόνι τῷ Υἱῷ, ὅτι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέρ ἐστι καὶ αὐτὸς τῆς τὸ ἔλαττον ἐπιδεχομένης οὐσίας. φορέσει δὲ αὐτὸ δυνάμει, καὶ εἰ μήπω πεφόρεκεν· ἐπεί περ τὰ δεκτικά τινος ὄντα, δέξεται πάντως καὶ τὰ ὧν ἐστι δεκτικὰ, καὶ καιροῦ καλοῦντος εἰς τὸ παθεῖν οὐ παραιτήσεται. ἀλλὰ πολλή τις ἐν τούτοις ἡ δυσφημία φαίνεται. οὔτε γὰρ προβήσεταί ποι πρὸς τὸ μεῖζον ὁ Πατὴρ, ἀλλ' οὐδὲ τὸ ἔλαττον ἐπιδέξεται, διὰ τὸ 1.41 εἶναι κατὰ φύσιν Θεός. οὐκοῦν τὸ ἔλαττον οὐδὲ ὁ Υἱὸς ἐφ' ἑαυτῷ καταδέξεται, Θεὸς καὶ αὐτὸς ὑπάρχων κατὰ φύσιν, ἵνα μὴ τῆς ἀνωτάτω πασῶν οὐσίας κατηγόρημα νοοῖτο, τὸ ἐξ ἀμαθίας τῶν αἱρετικῶν ἐπινοηθὲν ῥημάτιον. {Ἄλλο.} Εἰ Υἱὸς κατὰ φύσιν ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ ἐξ αὐτοῦ Λόγος ἐλάττων ἐστὶν αὐτοῦ, ἢ κατὰ τὸν τῆς θεοπρεποῦς ἀξίας λόγον, ἢ ὡς κατὰ φύσιν οὐκ ἔχων ἀπαραλλάκτως, ἢ κατά τι γοῦν τῶν ἐν τοῖς μειονεκτήμασι τρόπων, οὐκ αὐτοῦ τοσοῦτον ἔσται τὸ κατηγόρημα μᾶλλον, ὅσον τῆς οὐσίας ἐξ ἧς εἶναι πεπίστευται, εἴπερ ὅλως τὸ ἔλαττον, ἤτοι τὸ χεῖρον, ὡς πρὸς αὐτὴν ἀπογεννῶσα φαί νεται, καίτοι τῆς γενητῆς καὶ πεποιημένης κτίσεως οὐκ ἀνεχομένης τοῦτο παθεῖν. τίκτει γὰρ πάντως τὸ ὅμοιον ἑαυτῷ πᾶν ὅπερ ἐστὶ καρπογόνον. εἰ δὲ ἄνω παντὸς κεῖσθαι πάθους τὴν θείαν τοῦ Πατρὸς ἐροῦσι φύσιν, ἔξω δηλονότι καὶ τῆς ἐπὶ τοῦτο κατηγορίας κείσεται, ὡς δὲ ἀρχέτυπος οὖσα τῶν ἐν ἡμῖν ἀγαθῶν, οὐκ ἐλάττονα τὸν Υἱὸν ἀπο τέξεται, ἀλλ' ἴσον τε καὶ ὁμοούσιον, ἵνα μὴ καὶ ἡμῶν ἀπο λιμπάνηται Θεὸς ὁ τοσοῦτον ὑπὲρ ἡμᾶς. Ἄλλο διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς. Ἴσον ἑαυτὸν ἐπιδεικνύων τῷ Θεῷ καὶ Πατρὶ φησί που Χριστὸς πρὸς τοὺς οἰκείους μαθητάς "Ὁ ἑωρακὼς ἐμὲ, "ἑώρακε τὸν Πατέρα." εἶτα πῶς ὁ κατὰ φύσιν τοιοῦτος, οὕτω τε ὑπάρχων ὡς αὐτὸς ἀληθεύων διισχυρίζεται, τὸ ἔλαττον ἕξει κατὰ τὴν τινῶν ἀβουλίαν; εἰ γὰρ ὑπάρχων ἐλάττων ἐν ἑαυτῷ δεικνύει τὸν Πατέρα, μηδεμιᾶς μεσολα βούσης παραλλαγῆς, ἐπὶ τὸν Πατέρα τὸ ἔλαττον ἀναβή σεται, ὡς ἐν ἀμεταποιήτῳ φαινόμενον εἰκόνι τῷ Υἱῷ. ἀλλὰ 1.42 τοῦτο ἄτοπον· οὐκοῦν οὐκ ἐλάττων ὁ Υἱὸς, ἐν ᾧπερ ἐξεικονί ζεται τέλειος ὢν ὁ Πατήρ. {Ἄλλο.} Καὶ πῶς ἂν τὸ ἔλαττον, ἢ ἐν οἷσπέρ ἐστιν ὁ Πατὴρ, ὢν ὁ Υἱὸς ἐπιδέξηται, λέγων ἀνεγκλήτως "Πάντα "ὅσα ἔχει ὁ Πατὴρ ἐμὰ ἐστί·" καὶ πάλιν, ὡς πρὸς τὸν Θεὸν καὶ Πατέρα, ὅτι "πάντα τὰ ἐμὰ σά ἐστιν, καὶ τὰ σὰ ἐμά;" εἰ γὰρ ὄντως ἐστὶ κατὰ τὴν τινῶν ἀβουλίαν ἐλάττων ὁ Υἱὸς, ἐπειδήπερ ἀληθεύει λέγων πρὸς τὸν Πατέρα "Τὰ ἐμὰ σά "ἐστι καὶ τὰ σὰ ἐμὰ," χωρήσει καὶ ἐπὶ τὸν Πατέρα τὸ ἔλαττον, καὶ τὸ μεῖζον ὁμοίως ἐπὶ τὸν Υἱὸν, ἀδιαφορούσης τῆς τῶν πραγμάτων τάξεως, εἴπερ ἐν ἑκατέρῳ τὰ ἑκατέρῳ προσόντα φαίνεται, καὶ ὅπερ ἂν εἴη τοῦ Πατρὸς, τοῦτό ἐστι καὶ τοῦ Υἱοῦ, καὶ πάλιν, ὅπερ ἂν ὑπάρχον ἴδιον φαίνηται τοῦ Υἱοῦ, τοῦτό ἐστι καὶ τοῦ Πατρός. οὐδὲν οὖν κωλύσει λέγειν ἐλάττονα τοῦ Υἱοῦ τὸν Πατέρα, καὶ μείζονα τοῦ Πατρὸς τὸν Υἱόν. ἀλλ' ἔστι τῶν ἀτοπωτάτων, καὶ μόνον ἐννοεῖν τι τοιοῦτον· ἴσος ἄρα καὶ οὐκ ἐλάττων ὁ κοινὰ πρὸς τὸν Πατέρα τὰ τῆς οὐσίας ἔχων πλεονεκτήματα. Ἄλλο ἐκ τοῦ αὐτοῦ. Εἰ πάντα ὅσα ἔχει ὁ Πατὴρ, ταῦτα πάντως ἐστὶ τοῦ Υἱοῦ, ἔστι δὲ ἐν Πατρὶ τὸ τέλειον, τέλειος ἔσται καὶ ὁ Υἱὸς ὁ τοῦ Πατρὸς ἔχων τὰ ἴδια καὶ ἐξαίρετα. οὐκοῦν οὐκ ἐλάττων, κατὰ τὴν τῶν αἱρετικῶν δυσσέβειαν. Ἄλλο διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, μετὰ συμπλοκῆς συλλογισμοῦ. Λεγέτωσαν ἡμῖν οἱ τὴν ἄσβεστον φλόγα τῆς ἑαυτῶν καταχέοντες κεφαλῆς, καὶ τὴν μὲν ἐν τοῖς θείοις δόγμασιν ὀρθότητα παραιτούμενοι, στροφὰς δὲ ποικίλων ἐπινοοῦντες 1.43 συλλογισμῶν πρὸς ἀπάτην τῶν ἀκεραιοτέρων καὶ ἀνατροπὴν, πότερόν ποτε κρείττων ἐστὶν ὁ Πατὴρ τοῦ Υἱοῦ, τὸ μεῖζον ὡς πρὸς αὐτὸν ἔχων, εἴπερ ἐλάττων ἐστὶ, καθὼς ἐκεῖνοι λη ροῦντές φασιν, ἢ οὐχί; ἀλλ' οἶμαι δὴ πάντως, ὅτι Κρείττων ἐροῦσιν. ἢ λεγέτωσαν τί τὸ περισσὸν ἐν τῷ κεκτῆσθαι τὸ μεῖζον ὁ Πατὴρ ἔχων φανεῖται, εἰ μὴ κρείττων ἐστίν; εἰ μὲν γὰρ ὅλως οὐδὲν, λέλυται λοιπὸν ἤδη πᾶν τὸ ἐφ' Υἱοῦ κατη γόρημα· εἰ δὲ πολύ τι τὸ διάφορόν ἐστι, κρείττων ἄρα λοιπὸν, ὡς ἔχων τὸ μεῖζον. ἀπολογείσθωσαν τοίνυν, καὶ διδασκέτωσαν ἡμᾶς, εἴπερ εἰσὶν ὄντως σοφοὶ, τοῦ δὴ χάριν γεννήσας τὸν Υἱὸν ὁ Πατὴρ, οὐκ ἴσον ἑαυτῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γεγέννηκεν, ἀλλ' ἐλάττονα. εἰ μὲν γὰρ φαίνοιτο κρεῖττον τὸ ἴσον ἑαυτῷ κατὰ πάντα γεννῆσαι τὸν Υἱὸν, τίς ὁ κωλύσας τοῦτο ποιεῖν; εἰ μὲν γάρ τι τὸ κωλύσαν ὡς ἐξ ἀνάγκης ἐστὶν, ὁμολογή σουσι καὶ οὐχ ἑκόντες εἶναί τι τὸ μεῖζον τοῦ Πατρός. εἰ δὲ τὸ κωλύον ἦν ὅλως οὐδὲν, ἔχων δὲ τὴν ἐξουσίαν, καὶ εἰδὼς, ὅτι κάλλιόν ἐστι γεννῆσαι τὸν Υἱὸν ἴσον, βεβούληται τὸν ἐλάττονα, φθόνος ἄρα περὶ αὐτὸν καὶ βασκανία γενομένη φαίνεται· οὐ γὰρ ἠθέλησεν ἀποδοῦναι τὸ ἴσον τῷ Υἱῷ. ἢ τοίνυν ἀδυνατήσει περὶ τὴν γέννησιν ὁ Πατὴρ, ἢ βάσκανος ἔσται κατὰ τὸ ἐκ τῶν συλλογισμῶν συναγόμενον θεώρημα, ἂν ἔχῃ τὸ ἔλαττον ὁ Υἱὸς κατὰ τὸν ἐκείνων λόγον. ἀλλὰ τοῦτο ἄτοπον· ἄνω γὰρ πάθους παντὸς ἡ θεία καὶ ἀκήρατος φύσις. οὐκοῦν οὐκ ἐλάττων ὁ Υἱὸς, ἵνα μὴ τὸ ἴσον ἀπολέσῃ, κατ' οὐδένα τρόπον ἀτονήσαντος τοῦ Πατρὸς περὶ τὸ ἴσον ἑαυτοῦ γεννῆσαι τὸν ἐξ αὐτοῦ, μήτε μὴν ἐκ βασκανίας κεκω λυμένου τὸ ἐθελῆσαι τὸ ἄμεινον. {Ἄλλο.} Αὐτός που φησὶν ὁ Σωτὴρ, ὡς εἴη μὲν αὐτὸς ἐν Πατρὶ, καὶ ὁ Πατὴρ δὲ ὁμοίως ἐν αὐτῷ. ἀλλ' ἔστι παντί που δῆλον, ὡς οὐ προσήκει νοεῖν, καθάπερ σῶμα ἐν σώματι, 1.44 ἢ σκεῦος ἐν σκεύει, οὕτως εἶναι χωρητὸν ἐν Υἱῷ τὸν Πατέρα, 1.44 ἢ αὖ πάλιν τὸν Υἱὸν ἀντεμβιβάζεσθαι τρόπον τινὰ τῷ Πατρί· οὗτος δὲ ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ φαίνεται ὡς ἐν ταυτότητι τῆς οὐσίας ἀπαραλλάκτῳ, καὶ τῇ κατὰ φύσιν ἑνότητί τε καὶ ὁμοιότητι. ὥσπερ ἂν εἴ τις καὶ ἐν εἰκόνι τὴν οἰκείαν καταθεώμενος μορφὴν λέγοιτο πρός τινας ἀληθεύων, καὶ τὴν εἰς ἄκρον ἐξησκημένην ἐμφέρειαν τοῦ οἰκείου σχή ματος ἀποθαυμάζοι βοῶν Ἐγὼ ἐν τῇδε τῇ γραφῇ καὶ ἡ γραφὴ δὲ ἐν ἐμοί. ἢ καὶ καθ' ἕτερον τρόπον, ὥσπερ ἂν εἰ καὶ ἡ τοῦ μέλιτος γλυκεῖα ποιότης ἐντεθεῖσα γλώττῃ περὶ ἑαυτῆς λέγοι Ἐγὼ ἐν τῷ μέλιτι καὶ τὸ μέλι δὲ ἐν ἐμοί· ἢ καὶ ὥσπερ πάλιν εἰ ἡ ἐκ πυρὸς φυσικῶς προϊοῦσα θερμότης φωνὴν ἀφιεῖσα λέγοι Ἐγὼ ἐν τῷ πυρὶ καὶ τὸ πῦρ δὲ ἐν ἐμοί. ἔστι μὲν γάρ πως τῶν εἰρημένων ἕκαστον ἐπινοίᾳ μεριστὸν, ἓν δὲ τῇ φύσει, καὶ ἓν ἐξ ἑνὸς, ἀμερίστῳ τινὶ καὶ ἀδιαστάτῳ προόδῳ προκύπτον, ὥσπερ καὶ χωρίζεσθαι δοκοῦν τοῦ ἐν ᾧπέρ ἐστιν. ὅμως δ' οὖν εἰ καὶ τοῦτον ἔχει τὸν τύπον τῶν ἐπ' αὐτοῖς νοημάτων ἡ δύναμις, ἀλλ' ἓν ἐν ἑτέρῳ φαί νεται, καὶ ταὐτόν εἰσιν ὅσον εἰς οὐσίαν ἀμφότερα. εἴπερ οὖν διὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον καὶ τὸ ἐν τῷ χαρακτῆρι παντελῶς ἀπαραποίητον, ὁ Πατήρ ἐστιν ἐν Υἱῷ, πῶς ὁ μείζων ἐν ἐλάττονι κατ' ἐκείνους ὄντι τῷ Υἱῷ χωρήσει καὶ ὀφθήσεται; ἐπειδὴ δὲ ὅλος ἐστὶν ἐν αὐτῷ, τέλειος ἄρα πάντως ἐστὶν ὁ Υἱὸς, ὁ τοῦ τελείου χωρητικὸς καὶ χαρακτὴρ τοῦ μεγάλου Πατρός.

**1.45 ΚΕΦΑΛΗ Δ.** Πρὸς τοὺς τολμῶντας λέγειν, ὅτι ἕτερός ἐστιν ὁ ἐνδιάθετός τε καὶ φυσικὸς ἐν Θεῷ καὶ Πατρὶ Λόγος, καὶ ἕτερος ὁ παρὰ ταῖς θείαις γραφαῖς λεγόμενος Υἱός· ἔστι δὲ τῶν περὶ Εὐνόμιον ἡ τοιαύτη κακοδοξία. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. **ἈΝΑΚΕΦΑΛΑΙΩΣΙΝ** μὲν ὥσπερ τινὰ τῶν ἤδη προει ρημένων ἐν τούτοις ὁ Εὐαγγελιστὴς ἐποιήσατο. προσθεὶς δὲ τό οὗτος, μονονουχὶ βοήσας ὁρᾶται Ὁ ὢν ἐν ἀρχῇ, ὁ παρὰ τῷ Πατρὶ Λόγος, ὁ ὑπάρχων Θεὸς ἐκ Θεοῦ, οὗτός ἐστι καὶ οὐχ ἕτερος, περὶ οὗ τὸ σεμνὸν ἡμῖν πρόκειται σύγγραμμα. ἔοικε δὲ πάλιν οὐ μάτην τοῖς εἰρημένοις ἐπενεγκεῖν τό Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. ὡς γὰρ ὑπὸ θείου Πνεύματος εἰς τὴν τῶν ἐσομένων γνῶσιν φωταγωγούμενος οὐκ ἠγνόησεν, ὥς γε μοι δοκεῖ, καὶ ὡς ἔστιν εἰπεῖν ἀληθεύοντας, ὅτι περ ἀναφανοῦνταί τινες ἀπωλείας ἐργάται, διαβόλου θήρατρα, θανάτου παγίδες εἰς ταμεῖα καταφέρουσαι καὶ εἰς πέταυρον ᾅδου τοὺς ἐξ ἀμαθίας προσέχοντας οἷς ἂν ἐκ καρδίας ἐρεύ γωνται πονηρᾶς. ἐνστήσονται δὲ καὶ κατὰ τῆς ἑαυτῶν ἀνδριοῦνται κεφαλῆς λέγοντες, ἕτερον μὲν εἶναι τὸν ἐνδιά θετον ἐν τῷ Θεῷ καὶ Πατρὶ Λόγον, ἕτερον δέ τινα καὶ τῷ ἐνδιαθέτῳ λίαν ἐμφερέστατόν τε καὶ ὁμοιότατον τὸν Υἱὸν καὶ 1.46 Λόγον, δι' οὗ Θεὸς τὰ πάντα ἐργάζεται· ἵνα λόγος λόγου νοῆται, καὶ εἰκὼν εἰκόνος, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπαύγασμα ἀπαυγάσματος. ὥσπερ οὖν ἤδη δυσφημούντων ἀκούσας αὐτῶν, καὶ πρὸς τὰς ἐκτόπους ἀπονοίας τῶν παρ' αὐτοῖς συγγραμμάτων εὐλόγως κεκινημένος, ὁ μακάριος Εὐαγγελιστὴς, ὁρισάμενος ἤδη καὶ διὰ πολλῶν, ὡς ἔδει, κατασημήνας τὸν ἕνα καὶ μόνον καὶ ἀληθινὸν ἐκ Θεοῦ, καὶ ἐν Θεῷ, καὶ πρὸς Θεὸν ὄντα Λόγον, ἐπιφέρει γοργῶς Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, ὡς Υἱὸς δηλαδὴ πρὸς τὸν Πατέρα, ὡς ἔμφυτος, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ, ὡς Μονογενής· οὗτος, οὐκ ὄντος δευτέρου. Ἐπειδὴ δὲ προσήκειν ἡγοῦμαι τὰ περὶ τῆς τοιαύτης δυσ σεβείας ἐξηγεῖσθαι σπουδάζοντας, γυμνοτέραν αὐτῶν κατα στῆσαι τὴν δυσφημίαν, διὰ τὴν τῶν ἀκεραιοτέρων ἀσφά λειαν· φυλάξεται γὰρ ὁ μαθὼν, καὶ ὡς ὄφιν ὑπεραλεῖται κατὰ μέσην λανθάνοντα τὴν ὁδόν· ἀναγκαίως αὐτὴν ἐκθή σομαι τὴν ἐκείνων δόξαν, ὡς ἐν ἀντιθέσεως σχήματι. λάβοι γὰρ ἂν ὄντως τὰς λύσεις ἐφεξῆς, καθ' οὕσπερ ἂν ἐπιδοίη τρόπους ὁ πάντα σοφῶν Θεός. Εὐνομίου δόξα περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ὁ Μονογενὴς, φησὶ, τοῦ Θεοῦ Υἱὸς, οὐκ ἔστιν αὐτο κυρίως ὁ Λόγος αὐτοῦ· ἀλλ' ὁ μὲν ἐνδιάθετος λόγος τοῦ Θεοῦ καὶ Πατρὸς ἐν αὐτῷ κινεῖται καὶ ἔστιν ἀεί· ὁ δὲ ἐξ αὐτοῦ γεννηθῆναι λεγόμενος Υἱὸς τὸν ἐνδιάθετον αὐτοῦ λόγον δεχόμενος, πάντα τε οἶδεν ἐκμαθὼν, καὶ καθ' ὁμοιό τητα τὴν ἐκείνου, λόγος καλεῖται καὶ ἔστιν. Εἶτα πρὸς βεβαίωσιν, ὡς οἴεται, τῆς ἑαυτοῦ δυσσεβείας καὶ τῶν διεστραμμένων ἐννοιῶν τοιούτους τινὰς ἀναπλέκει συλλογισμοὺς, ἵνα, καθὰ γέγραπται, ταῖς τῶν οἰκείων ἁμαρ τημάτων σειραῖς ὁ δείλαιος κατασφίγγηται. 1.47 Εἰ ὁ Λόγος, φησὶν, ὁ ἐν τῷ Θεῷ καὶ Πατρὶ φυσικός τε καὶ ἐνδιάθετος αὐτός ἐστιν ὁ Υἱὸς, ἔστι δὲ ὁμοούσιος τῷ γεννήσαντι, τὶ τὸ κωλύον ἔτι Λόγον εἶναί τε καὶ καλεῖσθαι καὶ τὸν Πατέρα, ὡς ὁμοούσιον Λόγῳ; {Καὶ πάλιν·} Εἰ ὁ Λόγος ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, καὶ παρ' αὐτὸν οὐκ ἔστιν ἕτερος· διὰ ποίου λόγου, φησὶν, ὁ Πατὴρ πρὸς αὐτὸν εὑρίσκεται λέγων Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε· πρόδηλον γὰρ ὡς οὐ δίχα λόγου τὰς πρὸς αὐτὸν διαλέξεις ὁ Πατὴρ ἐποιήσατο, ἐπεὶ πᾶν τὸ λαλούμενον, ἐν λόγῳ πάντως λαλεῖται, καὶ οὐχ ἑτέρως. καὶ αὐτὸς δέ που φησὶν ὁ Σωτὴρ, ὅτι οἶδα τὸν Πατέρα, καὶ τὸν λόγον αὐτοῦ τηρῶ· καὶ πάλιν Ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός. ὅτε τοίνυν ἐν λόγῳ Πατὴρ μὲν πρὸς αὐτὸν δια λέγεται, συνομολογεῖ δὲ καὶ αὐτὸς, ποτὲ μὲν ὅτι τηρεῖ τὸν λόγον τοῦ Πατρὸς, ποτὲ δὲ πάλιν, ὡς οὐ τὸν αὐτοῦ λόγον, ἀλλὰ τὸν τοῦ Πατρὸς ἤκουον οἱ Ἰουδαῖοι· πῶς οὐκ ἂν εἴη, φησὶν, ἀνενδοιάστως ὁμολογούμενον, ὡς ἕτερός ἐστιν ὁ Υἱὸς παρὰ τὸν ἐνδιάθετον, ἤτοι τὸν ἐν κινήσει νοηματικῇ λόγον, οὗ μετέχων καὶ ἀναπιμπλάμενος καλεῖται λόγος ὁ προφορικὸς καὶ τῆς τοῦ Πατρὸς οὐσίας ἐκφαντικὸς, του τέστιν ὁ Υἱός. Τοιαῦτα μὲν οὖν ὁ παράφρων ἑαυτῷ συνείρει κακὰ, καὶ πάσαις ὁμοῦ ταῖς θείαις γραφαῖς ἀντιφωνῶν οὐκ αἰσχύνεται, τὸ γεγραμμένον ἐφ' ἑαυτῷ δεικνύων ἀληθές "Ὅταν ἔλθῃ "ἀσεβὴς εἰς βάθος κακῶν καταφρονεῖ." λίαν γὰρ ὄντως ἐβάθυνεν εἰς κάκωσιν ἐξ ἀνοίας ὁ θεομάχος, τὸ μὲν ἐξ ἀληθείας ὀρθοῦσθαι παραιτούμενος, τῇ δὲ σαθρότητι τῶν οἰκείων ὀκλάζων λογισμῶν· ὅτι γὰρ ὁ Μονογενὴς τοῦ Θεοῦ 1.48 καὶ Πατρὸς Υἱὸς αὐτοκυρίως ἐστὶν ὁ Λόγος αὐτοῦ, διὰ τῶν ὑποτεταγμένων εἰσόμεθα. Λύσις ἐφεξῆς τῆς Εὐνομίου κακοδοξίας. Δυσμαθὴς ὁ παράφρων αἱρετικός· πῶς γὰρ ἂν ὅλως εἰς κακότεχνον ψυχὴν εἰσέλθοι σοφία; ἢ τί τῶν τοιούτων γένοιτ' ἂν, εἰπέ μοι, κακοτεχνέστερον, οἵ γε κατὰ τὸ γεγραμμένον, "ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέφουσιν, ἐπὶ δὲ "τοὺς μύθους" τῶν οἰκείων διανοημάτων εὐπετέστερον τρέ χουσιν, ἵνα δὴ καὶ δικαίως ἀκούσειαν, οὐ τὰ ἐκ τῆς θείας λαλοῦντες γραφῆς "οὐαὶ οἱ προφητεύοντες ἀπὸ καρδίας "αὐτῶν, καὶ οὐκ ἀπὸ στόματος Κυρίου·" τίς γὰρ ἀπὸ στόματος Κυρίου "λαλῶν, λέγει Ἀνάθεμα Ἰησοῦς;" ὃ δὴ καὶ ποιοῦσί τινες τῶν τῆς εὐσεβείας δογμάτων ἀνέδην κατα σοβαρευόμενοι· καὶ καθάπερ ἔφη τις τῶν ἁγίων προφητῶν "Πάντα τὰ ὀρθὰ διαστρέφοντες·" φασὶ γὰρ ἕτερον μὲν εἶναι τὸν φυσικὸν καὶ ἐνδιάθετον ἐν τῷ Θεῷ καὶ Πατρὶ λόγον, ἕτερον δὲ αὖ πάλιν τὸν ὠνομασμένον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Υἱὸν καὶ Λόγον· καὶ φέρουσι πρὸς ἀπόδειξιν τῆς ἑαυτῶν, ὡς οἴονται, δόξης, μᾶλλον δὲ ἀχαλίνου δυσσεβείας, λέγοντα τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ἐν ταῖς πρὸς Ἰουδαίους ὁμιλίαις, ὅτι "οἶδα τὸν Πατέρα καὶ τὸν λόγον αὐτοῦ τηρῶ·" πρὸς δέ γε τούτῳ καὶ τὸ πρὸς αὐτὸν εἰρημένον παρὰ τοῦ Πατρός "Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε·" εἶτά φασι τὸν ἐκ τοῦ οἰκείου πατρὸς ἰὸν ἐρευγόμενοι Εἰ ὁ λαλῶν ἕτερος ὡς πρὸς τὸν ᾧ διαλέγεται· διαλέγεται δὲ διὰ λόγου πρὸς τὸν Υἱὸν ὁ Πατήρ· ἕτερος ἄρα παρ' αὐτὸν ὁ ἔμφυτος ἂν εἴη λόγος, ὁ ἐν ᾧπερ ἐποιεῖτο τὰς διαλέξεις ὁ Πατήρ· καὶ πάλιν Εἰ αὐτός που, φησὶν, ὁ Υἱὸς τηρεῖν τὸν τοῦ Πατρὸς λόγον διισχυρίσατο· πῶς οὐκ ἂν ἕτερος εἴη λοιπὸν ὁ τηρῶν παρὰ τὸν τηρούμενον· πρὸς δέ γε ταῦτα χαλεπὸν μὲν 1.49 ἴσως οὐδὲν ἀντιλέγειν· "Δώσει γὰρ ὁ Κύριος ῥῆμα τοῖς "εὐαγγελιζομένοις δυνάμει πολλῇ." χρῆν δέ γε τοὺς οἵπερ εἰσὶ τὴν τοιαύτην νοσοῦντες ἀμαθίαν ἀναμιμνήσκεσθαι τοῦ λέγοντος "Ὢ οἱ ἐγκαταλιπόντες ὁδοὺς εὐθείας τοῦ πορεύ "εσθαι ἐν ὁδοῖς σκότους·" ἡμᾶς δὲ ἀκόλουθον πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀναφθέγγεσθαι μυσταγωγόν "Ἀπόστρεψον "τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα·" ματαιότης γὰρ ὄντως, λῆρός τε καὶ ἕτερον οὐδὲν τὰ ἐκ τῆς ἐκείνων κενοφωνούμενα ἀπαιδευσίας· οὐ γὰρ ὡς λόγον ἔχων ἕτερον ἐν ἑαυτῷ τοῦ Πατρὸς, ὁ Υἱὸς τὸν τοῦ Πατρὸς ἔφασκε λόγον τηρεῖν· ἀλλ' οὐδ' ὥσπερ τινὰ παιδαγωγὸν ἐπικομιζόμενος πρὸς ἡμᾶς ἀφῖχθαι διισχυρίσατό ποτε, ὡς δὲ μόνος ἐνυ πάρχων κατὰ φύσιν τῷ Πατρὶ, ἔχων τε αὖ πάλιν ὁμοίως ἐν ἑαυτῷ τὸν Πατέρα, μεσολαβοῦντος ἑτέρου μηδενός· "Ἐγὼ, "φησὶν, ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοὶ," οὐχ ὁ ἔμφυτος, ἀλλ' οὐδὲ ἕτερός τις λόγος· ἀλλ' ὁ Πατήρ· ἐν ἐμοί. πῶς οὖν ἄρα νοῆσαι προσήκοι τὸ παρ' αὐτοῦ πρὸς τοὺς Ἰουδαίους εἰρημένον, εἴποι τις ἂν ἡμῖν, καὶ μάλα εἰκότως· πρὸς δὴ τοῦτο ἐροῦμεν ἀληθεύοντες τὰ εἰς νοῦν ἀναβαίνοντα τὸν ἡμέτερον Ἐδίδασκεν ὁ Σωτὴρ τὸν δυσπειθέστατον τῶν Ἰουδαίων λαὸν, καὶ κατὰ βραχὺ τῆς νομικῆς ἐξέλκων λα τρείας τοὺς ἀκροωμένους, ἐπεφώνει πολλάκις "Ἐγώ εἰμι ἡ "ἀλήθεια," μονονουχὶ λέγων Ἀποσείσασθε τὸν νομικὸν, ὦ οὗτοι, ζυγόν· καταδέξασθε τὴν ἐν πνεύματι λατρείαν· οἰχέσθω λοιπὸν ἡ σκιὰ, χωρείτω μακρὰν ὁ τύπος, ἐπέλαμψεν ἡ ἀλή θεια. ἀλλ' οὐ πᾶσιν ἐδόκει ποιεῖν ὀρθῶς, ἀνατρέπων τὰ Μωυσέως, μᾶλλον δὲ ἄγων ἐπὶ τὸ ἀληθέστερον, ὡς καί τινας ἤδη βοᾶν Εἰ ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ σάββατον· ὅπερ ἂν ἦν ἄντικρυς ἁμαρτίαν καταψηφί 1.50 ζεσθαι τοῦ μὴ εἰδότος αὐτήν. πρὸς οὖν τὰς τοιαύτας τῶν Ἰουδαίων ἀπονοίας ἀπολογούμενος, πάντα μὲν ὑφαιρεῖ τὸν ἐν τοῖς ῥήμασι κόμπον, ὑφειμένως δὲ καὶ οὐ τρανῶς ἐκδιδάσκειν βούλεται, ὡς οὐκ ἄν τι παρὰ τὸ δοκοῦν ἐργάσαιτο τῷ Θεῷ καὶ Πατρὶ, ὁ μὴ εἰδὼς ἁμαρτίαν Υἱός· ἵνα δὲ μὴ γυμνότερον λέγων Ἁμαρτίαν οὐκ οἶδα, παροτρύνῃ πάλιν αὐτοὺς εἰς τὸ καταλεύειν αὐτόν. ἢ γὰρ ἂν εὐθὺς ἀναζέοντες εἰς ὀργὰς ἐπεπήδων λέγοντες Θεῷ μόνῳ τὸ μὴ ἁμαρτάνειν οἰκεῖον· σὺ δὲ ἄνθρωπος ὢν, μὴ λάλει τὰ μόνῳ πρέποντα Θεῷ· ὃ δὴ καὶ ἑτέρωθί που πεπράχασι, λέγοντες λιθάζειν αὐτὸν εἰκότως, ὅτιπερ ἄνθρωπος ὢν, ἑαυτὸν ποιεῖ Θεόν· περιεσταλμένως ὁ Σωτὴρ, ἅτε δὴ καὶ ἄνθρωπος γεγονὼς καὶ ὡς ὑπὸ νόμον μετὰ τῶν ὑπὸ νόμον, τὸν λόγον ἔφη τηρεῖν τοῦ Πατρὸς, μονονουχὶ λέγων Οὐδαμοῦ τὸ τοῦ Πατρὸς θέλημα παρεκβή σομαι· ἐν γὰρ τῷ τὸν θεῖον ἐξέρχεσθαι νόμον ἡ ἁμαρτία γίνεται, ἐγὼ δὲ ἁμαρτίαν οὐκ οἶδα, κατὰ φύσιν ὑπάρχων Θεός· οὐκοῦν διδάσκων οὐ λυπῶ τὸν Πατέρα. λοιπὸν ἐπι τιμάτω μηδεὶς τῷ κατὰ φύσιν μὲν νομοθέτῃ, διὰ δὲ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν νομοφύλακι. εἰδέναι δὲ τὸν Πατέρα φησὶν, οὐχ ἁπλῶς καθάπερ ἡμεῖς, ἀπεριεργότερον δὲ αὐτὸ τοῦτο μόνον, ὅτιπερ εἴη Θεὸς, ἀλλ' ἐξ ὧν ἔστιν αὐτὸς τὴν τοῦ Πατρὸς φύσιν διισχυρίζεται νοεῖν. ἐπειδὴ δὲ οἶδεν ὑπομένειν οὐκ εἰδότα τροπὴν τὸν γεννήσαντα, οἶδε δηλονότι καὶ ἑαυτὸν ἄτρεπτον ἐξ ἀτρέπτου Πατρός· τὸ δὲ τροπὴν οὐκ εἰδὸς, πῶς ἂν λέγοιτό τι καὶ ἁμαρτάνειν, καὶ οὐχὶ μᾶλλον ἀκλονήτως ἐν τοῖς ἰδίοις ἑστάναι φυσικοῖς πλεονεκτήμασιν; Εἰκαῖον οὖν ἄρα τῶν Ἰουδαίων τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φρόνημα ἤγουν τὸ κα τηγόρημα, παρὰ τὴν τοῦ Πατρὸς βούλησιν ἕτερόν τι φρονεῖν οἰομένων τὸν Υἱόν· τηρεῖ γὰρ, ὥς φησι, τὸν λόγον αὐτοῦ, καὶ ἀγνοεῖ τὸ ἁμαρτάνειν φυσικῶς· οἶδε γὰρ τὸν Πατέρα τοῦτο 1.51 παθεῖν οὐ δυνάμενον, ᾧπέρ ἐστιν ὁμοούσιος ὡς Υἱὸς ἀλη θινός. ἐπειδὴ δὲ πρὸς τοῦτό φασι καὶ τὸ συνημμένον τῇ παρ' αὐτῶν ἀντιθέσει "Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά "σε·" φέρε δὴ πάλιν, καὶ ἐπὶ τούτῳ τὸν περὶ τῆς εὐσεβείας ἀναπτύξωμεν λόγον. οὐ γὰρ ἐπειδήπερ τὰ τοιαῦτά φησι πρὸς τὸν Υἱὸν ὁ Πατὴρ, διὰ τοῦτο δὴ πάντως οἴεσθαι χρὴ, λόγον μὲν ἐνυπάρχειν ἔμφυτον αὐτῷ, ἕτερον δέ τινα παρ' ἐκεῖνον ἐννοεῖν τὸν Υἱόν· ἀλλὰ πρῶτον μὲν ἐκεῖνο καθ' ἑαυτοὺς ἐνθυμώμεθα, ὅτι προφήτης ἐν πνεύματι λαλεῖν μελε τήσας μυστήρια, τὸ πρόσωπον ἡμῖν ὑποκρίνεται τοῦ Υἱοῦ, καὶ δὴ καὶ εἰσφέρει παρὰ τοῦ Πατρὸς ἀκούοντα αὐτόν "Υἱός "μου εἶ σὺ," καὶ τὰ τούτοις ἀκόλουθα. καὶ οὐ δήπου πάντως ἡ κατὰ τὸ ἀνθρώπινον σχῆμα γενομένη διασκευὴ, δύο λόγους ἡμᾶς ἀναγκάσει νοεῖν, ἀλλὰ τοῖς ἡμετέροις ἔθεσιν ἀναθέντες τὴν διὰ τῶν τοιούτων ἀπαραίτητον οἰκονομίαν, αἰτιασόμεθα μὲν, εἰ γεμὴν πράττοιμεν ὀρθῶς, τῆς ἑαυτῶν φύσεως τὴν ἀσθένειαν, οὔτε λόγους ἐχούσης οὔτε μὴν τρόπους θεωρη μάτων τοὺς τοῖς ὑπὲρ ἡμᾶς μυστηρίοις ἀκριβῶς διακονου μένους, ἢ καὶ ἀνεγκλήτως διερμηνεύειν ἰσχύοντας τὰ θεοπρε πέστερα· τὸ νικᾶν δὲ πάλιν ἐπιτρέψομεν τῇ θείᾳ φύσει τὸν ἐν ἡμῖν νοῦν τε καὶ λόγον, οὐχ ὡς λέγεται πάντως νοοῦντες τὰ περὶ αὐτῆς, ἀλλ' ὡς αὐτῇ πρέπει καὶ βούλεται. ἢ εἴπερ οὐκ ὀρθῶς τοῖς τοιούτοις ἡμᾶς ἀποκεχρῆσθαι λόγοις οἴονταί τινες τῶν ἀνοσίων αἱρετικῶν, τὴν δὲ καθ' ἡμᾶς ἀναβαίνειν συνήθειαν οὐκ ἐπιτρέπουσι τὸ σχῆμα τοῦ λόγου, δικαίως ἀκούσονται Νοείσθω καθ' ἡμᾶς καὶ γεννῶν ὁ Πατὴρ, μὴ ἀρνείσθω γαστέρα καὶ τὰς ἐπὶ τῷ τίκτειν ὠδῖνας. "Ἐκ "γαστρὸς γὰρ ἐξεγέννησά σε," φησὶ τῷ Υἱῷ. ἀλλ' ἴσως, μᾶλλον δὲ πάντως, ἐροῦσιν ἐκ τῆς καθ' ἡμᾶς ὁμοιότητος τὴν ἐφ' Υἱῷ γνησίαν ὠδῖνα σημαίνεσθαι τοῦ Πατρός. οὐκοῦν 1.52 εὐσεβῶς κἀκεῖνο νοείσθω, κἂν ὡς ἐν ἀνθρωπίνῳ λαλῆται σχήματι, καὶ λέλυται τὸ πικρὸν αὐτῶν καὶ ἀνόσιον πρό βλημα. Ἐξήρκει μὲν οὖν, ὡς οἶμαι, καὶ ταῦτα· ἐπειδὴ δὲ χρῆναι δεῖν ὑπειλήφαμεν τὰ ἐκ τῆς ἐκείνων δυστροπίας ἐπινοηθέντα προβλήματα, καθάπερ τινὰ πολεμίων ἑσμὸν, τῇ τῶν εὐσεβῶν δογμάτων ὀρθότητι κατακρούεσθαι, φέρε δὴ παραθέντες αὐτὰ κατὰ λόγον ἑκάστῳ τὸν δέοντα, τὸ ἀντιστατοῦν ἀντεγεί ρωμεν, καὶ θερμοτέροις κατ' αὐτῶν ἐξοπλίσωμεν θεωρήμασι τὴν ἀεὶ νικῶσαν ἀλήθειαν· πρόβλημα δὲ πάλιν, ὡς παρ' ἐκείνων, τῶν ἐπιλυόντων αὐτὸ συλλογισμῶν προτετάξεται, τὴν τοῦ λόγου νῆψιν εἰς ἀκριβεστέραν χωρεῖν ἐρεθίζον βάσανον, καὶ οἱονεί τινος ποταμίου ῥεύματος φορὰν, ἐπὶ τὸ πρανὲς ἀεὶ καταφέρον τὴν ἐπὶ τὸ βούλεσθαι τὸ ἀντιτεῖνον μανθάνειν ἀεὶ τῶν ἐντευξομένων ἀγαθὴν προθυμίαν. Προβλήματα ἤτοι ἀντιθέσεις ὡς ἐκ τῶν αἱρετικῶν. Εἰ μὴ ἕτερος, φησὶν, ἐνυπάρχει τῷ Θεῷ καὶ Πατρὶ λόγος, οὐσιώδης τε καὶ ἐνδιάθετος παρὰ τὸν ἐξ αὐτοῦ μονογενῆ Υἱὸν, ὃς δὴ καὶ κατὰ τὴν ἐκείνου μίμησιν κα λεῖται λόγος, ἄτοπόν τι τὸ ἐντεῦθεν ἐκβήσεται, καὶ ὁμολο γεῖν ἡμᾶς ἀναγκαῖον τοὺς ὀρθὰ φρονεῖν οἰομένους, ὅτιπερ εἰ ὁμοούσιός ἐστιν ὁ Λόγος τῷ Πατρὶ, καὶ ὁ Πατὴρ δὲ τῷ Λόγῳ, οὐδὲν ἔτι τὸ κωλῦον ὁρᾶται λόγον εἶναί τε καὶ καλεῖσθαι τὸν Πατέρα, ὡς ὁμοούσιον Λόγῳ. Πρὸς τοῦτο λύσις. Οὐδεὶς, ὦ βέλτιστοι, τρόπος ἡμᾶς ἀναγκάσει Λόγον οἴεσθαι δεῖν τὸν Πατέρα νοεῖν τε καὶ λέγειν, ἢ καὶ εἶναι 1.53 δύνασθαι πιστεύειν, ὅτιπέρ ἐστιν ὁμοούσιος Λόγῳ· οὐ γὰρ πάντως τὰ τῆς αὐτῆς ὄντα φύσεως, τὴν εἰς ἄλληλα χωρήσει μεταβολὴν καὶ ἀνάκρασιν ὥσπερ τινὰ τὴν ἐξ ἑτέρου πρὸς τὸ ἕτερον ἐπιδέξεται, ὡς ἐκ πλήθους εἰς ἑνάδα δύνασθαι συστα λῆναι τὰ σημαινόμενα, ἢ καὶ ἐκ δυάδος εἰς μονάδα τυχόν. οὐ γὰρ ἐπειδήπερ ὁμοούσιος ὑπῆρχεν ὁ προπάτωρ Ἀδάμ πως τῷ ἐξ αὐτοῦ φύντι παιδὶ, διὰ τοῦτο χωρήσει μὲν ὁ πατὴρ εἰς υἱὸν, ἀνταναβήσεται δὲ αὖθις ὁ υἱὸς εἰς πατέρα· ἀλλ' ἓν ὑπάρχων πρὸς αὐτὸν, ὡς πρὸς τὴν ἑνότητα τῆς οὐσιώδους ποιότητος, φορέσει τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἴδιον, καὶ υἱὸς μέν τις ὁ ἐκ πατρός τινος νοηθήσεται· πατὴρ δὲ πάλιν ὁ γεννήτωρ τινὸς ἀναδεδειγ μένος. εἰ δὲ οἴεσθε σοφὸν ἐπὶ τούτῳ κατασκευάζειν λόγον, ἓν δὲ εἶναι πάντως ἡ ὁμοουσιότης ἀναγκάσει τὸ ὁμοούσιον τῷ ὁμοουσίῳ, καὶ διαστολὴν οὐδεμίαν ἐπιτρέψει κρατεῖν, ὡς ἕκαστον εἶναι καθ' ἑαυτὸ, καὶ ἐν ᾧπέρ ἐστι· τί τὸ πεπεικὸς τὸν ἁπάντων Κριτὴν πατέρα μὲν μὴ κολάζειν ὑπὲρ υἱοῦ, υἱὸν δὲ ὑπὲρ πατρὸς μὴ εἰσπράττεσθαι δίκας; "Ψυχὴ γὰρ, "φησὶν, ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται, ὁ δὲ υἱὸς οὐ "λήψεται τὴν ἁμαρτίαν τοῦ πατρὸς αὐτοῦ, οὐδὲ ὁ πατὴρ "λήψεται τὴν ἁμαρτίαν τοῦ υἱοῦ αὐτοῦ." ἐπειδὴ δὲ ὁμοού σιον ὄντα τὸν πατέρα τῷ υἱῷ, οὐκ εἰς τὸν τῆς υἱότητος τόπον ὁ τοῦ τὰ δίκαια κρίνοντος καταφέρει λόγος, οὔτε μὴν ἀνατίθησι τὸν υἱὸν εἰς τὴν τῆς πατρότητος θέσιν, ἀλλ' ἰδιαζόντως ἑκάτερον οἶδεν, οὔτε τοῦτο εἰς ἐκεῖνο χωροῦν, οὔτε μὴν ἐκεῖνο πρὸς τοῦτο βαδίζον, καίτοι μιᾶς οὔσης ἐπ' ἀμφοῖν τῆς οὐσίας· πρόδηλον δήπουθεν, ὡς οὐδεὶς ἀναγκάσει τρόπος μεταχωρῆσαι λοιπὸν εἰς τὸ εἶναι Λόγον, τὸν Θεὸν καὶ Πατέρα, ἐπείπερ ἐστὶν ὁμοούσιος Λόγῳ· μένει γὰρ πάντως ἐφ' ἑαυτῷ, τουτέστι Πατὴρ, κἂν ὁ ἐξ αὐτοῦ γεννηθεὶς νοῆται καὶ ὑπάρχῃ Λόγος, καὶ διὰ τοῦτο Υἱὸς, ἵνα μὴ καὶ ἐν χείροσι τῶν καθ' ἡμᾶς φαίνηται τὰ θειότερα. 1.54 Ἄλλο πρὸς τὸ ἴσον τῇ ἀντιθέσει σχῆμα, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς. Ὡς οὐδεμίαν ἔχων παραλλαγὴν πρὸς τὸν ἑαυτοῦ Πατέρα ὁ Υἱὸς, εἰκὼν δὲ ὑπάρχων ἀκριβεστάτη, "καὶ χαρακτὴρ τῆς "ὑποστάσεως αὐτοῦ," πρὸς τοὺς ἑαυτοῦ μαθητὰς εὑρίσκεται λέγων "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα." ἀλλ' εἴπερ οὕτως ἔχων ὁμοούσιός ἐστι τῷ Πατρὶ, τὴν δὲ εἰς ἄλληλα πάντως ἀνάχυσιν ἐπιδέξεται τὰ ὁμοούσια, οὐδὲν κωλύσει κατὰ τὸ εἰκὸς Πατέρα νοεῖσθαι τὸν Υἱὸν, ὡς ὁμοούσιον Πατρὶ, καὶ μεταχωρεῖν εἰς ἐκεῖνο δυνάμενον, οὐδενὸς πρὸς τοῦτο παραποδίζοντος, εἴπερ ἐξαρκεῖ πρὸς τὸν τῆς μεταβολῆς τρόπον, ἤτοι μεταστάσεως, ὁ τῆς ὁμοουσιότητος λόγος. οὐκοῦν νοείσθω Πατὴρ ὁ Υἱὸς, λεγέτω δὲ, ὡς τοῦτο ὑπάρχων ἤδη, πρὸς τὸν ἀληθῶς ὄντα Πατέρα "Ἐκ γαστρὸς πρὸ "ἑωσφόρου ἐξεγέννησά σε·" ἀναλαμβανέτω δὲ εἰς ἑαυτὸν καὶ πᾶσαν ἁπλῶς τὴν Πατρὶ πρέπουσαν φωνήν. οὗ δὴ γεγονότος, τὸ πᾶν ἤδη συγκέχυται, καὶ τὸ ἀεὶ ὡσαύτως ἔχον, τουτέστιν ἡ ἁγία καὶ ὁμοούσιος Τριὰς, συσταλήσεται πρὸς ἑνάδα λοιπὸν, εἴπερ τὸ ἑκάστῳ κυρίως τε καὶ ἰδιαζόντως προσὸν, τῷ τῆς ὁμοουσιότητος ἀφανισθήσεται λόγῳ, καὶ ἀνατρέψει τὴν τῶν προσώπων διαστολὴν ἡ τῆς φύσεως ταυτότης. ἀλλὰ τοῦτο ἄτοπον· οὐκ ἄρα ἔσται Λόγος ὁ Πατὴρ, ὡς ὁμοούσιος Λόγῳ, μενεῖ δὲ ἄτρεπτος, τοῦτο ὑπάρχων ὅπερ ἐστὶ, κἂν ἔχῃ πρὸς τὸν ἴδιον Λόγον τὸ ὁμοφυὲς, ἤτοι τὸ ὁμοούσιον. καὶ δέδεικται λοιπὸν εἰκαῖον τὸ ἐκείνων πρόβλημα. {Ἄλλο.} Εἰ πᾶς λόγος τινός ἐστι λόγος, τοῦ προσχέοντος ἀπὸ γλώττης δηλονότι, ἢ καὶ ἐκ καρδίας ἐρευγομένου καὶ ἀναφέροντος· ἔσται δὲ Λόγος ὁ Πατὴρ, ἐπείπερ ἐστὶν ὁμοούσιος Λόγῳ· ἑαυτοῦ λόγος ἔσται λοιπὸν, μᾶλλον δὲ οὐδενὸς, ἢ καὶ ὅλως οὐχ ὑπάρχει· πῶς γὰρ ἔσται λόγος, 1.55 μὴ ὄντος τινὸς, οὗ λόγος ἐστίν; ἀλλὰ τοῦτο ἄτοπον· οὐ γὰρ ἔσται ποτὲ τοῦ μὴ εἶναι δεκτικὴ ἡ θεία καὶ ἀκήρατος φύσις, οὐδὲ μεταχωρήσει ποτὲ εἰς Λόγον ὁ Πατὴρ, κἂν ὁμοούσιος ὑπάρχῃ Λόγῳ· μενεῖ δὲ Πατὴρ, οὗ καὶ Λόγος ἐστὶν ὁ Υἱός. {Ἄλλο.} Εἰ τροπῆς ἁπάσης καὶ ἀλλοιώσεως τῆς κατὰ τὸν τῆς οὐσίας λόγον ἡ θεία φύσις ἀνεπίδεκτος εἶναι πιστεύεται· πῶς τὸν οἰκεῖον ὥσπερ ἀφεὶς τόπον, εἰς τὸ εἶναι Λόγος ὁ Πατὴρ μεταστήσεται; τροπῆς γὰρ ἔσται δεκτικὸς, ὡς ἐξ ἀνάγκης τοῦτο παθὼν, ὁ αὐτὸς δὲ οὐκ ἔσται μὴ τηρήσας ὅπερ ἦν ἐξ ἀρχῆς. εἰ δὲ τοῦτο ἄτοπον· τὸ γὰρ ἀλλοιοῦσθαι τῆς θείας φύσεως παντελῶς ἀλλότριον· οὐκ ἄρα ἕξει τὴν μεταβολὴν τὴν εἰς Λόγον ὁ Πατὴρ, ἀλλ' ἔσται Πατὴρ ἀεὶ, τὸ ἄτρεπτον ἔχων καὶ ἀναλλοίωτον ὡς Θεός. Ἄλλο ὡς ἐκ τοῦ αὐτοῦ, διηγηματικῶς. Θεὸν ἀληθινὸν ἐκ Θεοῦ Πατρὸς ἀληθινοῦ πεφηνότα δεικ νύων ἑαυτὸν ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος τε καὶ Υἱὸς, "Πάντα, φησὶν, ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν·" ἀλλ' εἰ καὶ πάντων ἐστὶ τῶν ἐνόντων τῷ Πατρὶ φυσικῶν ἰδιωμάτων κληρονόμος ὁ Υἱὸς, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπάρχων· ἀλλά γε τὸ εἶναι Πατὴρ οὐχ ἕξει ποτέ· καὶ τοῦτο γὰρ ἓν τῶν προσόντων τῷ γεννήτορι· μενεῖ δὲ ὁ Υἱὸς οὐδενὸς ἀποστε ρούμενος τῶν ἐνόντων τῷ Πατρὶ, κἂν μὴ νοῆται Πατὴρ, πάντα δὲ ἔχων ἐν ἑαυτῷ τελείως τὰ τῆς τοῦ Πατρὸς οὐσίας ἴδια καὶ ἐξαίρετα. τὸν αὐτὸν δὴ τοῦτον τοιγαροῦν καὶ τῷ προσώπῳ τοῦ Πατρὸς ἐφαρμόσαντες λόγον, πάντα μὲν ἔχειν αὐτὸν τὰ τοῦ Υἱοῦ φαμεν φυσικῶς, μὴ μὴν δύνασθαί ποτε, καὶ εἰς υἱότητα καὶ εἰς τὸ εἶναι Λόγος μεταχωρεῖν, ὡς δὲ 1.56 ἄτρεπτον ὄντα κατὰ φύσιν τοῦτο μένειν ὅπερ ἐστὶν, ἵνα πρὸς τῷ εἶναι Θεὸς καὶ Πατὴρ, ὑπάρχῃ καὶ ἀναλλοίωτος, ἀναλλοίωτον ἔχων ἐν ἑαυτῷ τὸν ἐξ αὐτοῦ πεφηνότα Λόγον, τουτέστι τὸν Υἱόν. {Ἄλλο.} Κατητιᾶτό τινας διὰ τῶν ἁγίων προφητῶν ὁ Νομοθέτης καὶ Θεὸς λέγων "Ἀνὰ μέσον ἁγίου καὶ βεβήλου "οὐ διέστελλον·" πολλὴ γὰρ ὄντως ἐν τούτοις ὁρᾶται τρόπων διαφορὰ, ἤτοι ἐναντιότης, παρὰ τοῖς ἐθέλουσι φιλο κρινεῖν. ἀλλ' εἴπερ ἐνδέχεται τὴν τῶν ὁμοουσίων εἰς ἑαυτὴν ἀνακιρνᾶσθαι φύσιν, καὶ τὰ ἐν ἰδιαζούσαις τε καὶ ἀτόμοις ὑποστάσεσιν ὄντα δραπετεύσει πρὸς ὅπερ ἂν βούληται τῶν ὁμογενῶν, ἢ ὁμοειδῶν· ποῖος ἡμῖν ἄρα διαστέλλει λόγος τῶν ἁγίων τὸν βέβηλον, εἰ μηδαμόθεν ὁρᾶται τοῦ ἰδίως ὄντος, ἢ τοῦ τίς ἐστι, διαφορὰ, διὰ δὲ τὴν ταυτότητα τῆς οὐσίας ἐν τῷ ἑτέρῳ κεῖται τὸ ἕτερον; ἔστω τοίνυν ἡμῖν, ἀδιαφορούσης ἐντεῦθεν τῆς ἐφ' ἑκάστῳ γνώσεως, συγκεχυμένα τὰ πάντων εἰς πάντα· καὶ ὁ μὲν προδότης Ἰούδας, ὡς Πέτρος ἢ Παῦ λος, ὡς ὁμοούσιος Πέτρῳ καὶ Παύλῳ· Πέτρος δ' αὖ πάλιν ἢ Παῦλος, Ἰούδας, ἅτε δὴ καὶ πρὸς αὐτὸν ὄντες ὁμοούσιοι. ἀλλ' ἔστι τὸ οὕτω φρονεῖν ἀλογώτατον, καὶ οὐκ ἀναιρήσει πάντως τὴν κατά τι τῶν ὁμογενῶν ἢ ὁμοειδῶν πρὸς ἄλληλα διαφορὰν τὸ εἶναι τῆς αὐτῆς οὐσίας αὐτά. οὐκ ἄρα καὶ τὸ ἐφ' ἡμῶν ἀσθενοῦν κατὰ τῆς θείας οὐσίας τοσοῦτον ἐκνεανι εύσεται, ὡς ἐπαναγκάσαι Λόγον εἶναί τε καὶ καλεῖσθαι τὸν Θεὸν καὶ Πατέρα, ἐπειδήπερ ἐστὶν ὁμοούσιος Λόγῳ. μένει γὰρ ἀεὶ Πατὴρ, τὴν τοῦ τί ἐστι κατὰ τοῦτο διαφορὰν οὐδα μόθεν ζημιοῦσθαι δυνάμενος, ἀλλ' οὐδὲ τῇ ταυτότητι τῆς οὐσίας τὸ μηδὲν ἰδίως κεκτῆσθαι παραχωρῶν· καὶ πλεονεκ τήσει μὲν οὐδαμῶς κατὰ τοῦτο τὸν Υἱὸν, γνήσιον δὲ μᾶλλον ἀποδείξει, καὶ ἐξ αὐτοῦ κατὰ φύσιν ἔχοντα τὸ ἄτρεπτον καὶ 1.57 ἀναλλοίωτον τοῦ γεννήσαντος, καὶ διὰ τοῦ κεκτῆσθαι καὶ αὐτὸν ἰδίως καὶ μόνον τὴν υἱότητα, καὶ εἰς Πατέρα μὴ μετα βάλλεσθαι, ὥσπερ οὖν οὐδὲ ἐκεῖνος εἰς Υἱόν. Πρόβλημα, ἤτοι ἀντίθεσις ἑτέρα ὡς παρὰ τῶν αἱρετικῶν. Οὐκ εὐλόγως, φασὶν, ὡς οὐ φρονοῦσιν ὀρθῶς ἐπισκή πτετε τοῖς ἕτερον εἶναι λέγουσι τὸν ἔμφυτον ἐν τῷ Θεῷ καὶ Πατρὶ Λόγον παρὰ τὸν Υἱόν· καίτοι σαφῶς αὐτοῦ λέγοντος ἀκούοντες ἐν ταῖς εὐαγγελικαῖς ἐξηγήσεσιν, ὅτι οἶδα τὸν Πατέρα καὶ τὸν λόγον αὐτοῦ τηρῶ. εἰ δὲ, καθάπερ αὐτὸς διισχυρίσατο, τὸν τοῦ Πατρὸς τηρεῖ λόγον, ἕτερος ἂν εἴη πάντως δήπου καὶ ἀναγκαίως, ὡς πρὸς αὐτὸν, ἐπειδήπερ ἀνάγκη τὴν τῆς ἑτερότητος σώζεσθαι διαφορὰν τῷ τηροῦντι πρὸς τὸ τηρούμενον. Λύσεις ἐφεξῆς διάφοροι δεικνύουσαι σαφῶς, ὅτι ὁ Λόγος ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός. Εἰ μὴ αὐτός ἐστιν ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Λόγος αὐτοῦ, ἕτερος δέ τις ἐνυπάρχει τῷ Θεῷ παρ' αὐτὸν, ὃν ἐνδιάθετον ὀνομάζουσιν, οἱ τὴν ἐναντίαν προϊσχόμενοι δόξαν λεγέτωσαν ἡμῖν, πότερόν ποτε ὁ διὰ τῆς αὐτῶν ἀμαθίας ἐπινοούμενος λόγος ἐνυπόστατός ἐστιν, ἢ οὐχί· εἰ μὲν γὰρ ἐροῦσιν ὑφεστάναι καθ' ἑαυτὸν ἐν ὑπάρξει νοούμενον ἰδίᾳ, δύο δὴ πάντως ὁμολογήσουσιν εἶναι υἱούς· εἰ δὲ ἀνυπόστατον ἐροῦσιν αὐτὸν, οὐδενὸς μεσολαβοῦντος ἔτι καὶ διατειχίζοντος τὸν Υἱὸν, πῶς ἔσται τρίτος ἐκ Πατρὸς, καὶ οὐχὶ μᾶλλον προσεχῶς, ὡς Υἱὸς πρὸς Πατέρα; Ἄλλο διὰ τῶν αὐτῶν θεωρημάτων. Λόγον μὲν ὑπάρχειν τῷ Θεῷ καὶ Πατρὶ τὸν ἐνδιάθετον οἱ 1.58 δι' ἐναντίας ὁρίζονται, δι' οὗ κατὰ τὴν αὐτῶν ἀκαλλεστάτην ὑπόνοιαν, τὴν τοῦ Πατρὸς βούλησιν ὁ Υἱὸς ἐκδιδάσκεται· ἀλλ' ὅσην ἔχει μωρίαν αὐτοῖς τὸ ἐπὶ τούτῳ δόγμα, θεωρεῖν ἀναγκαῖον. ἐννοῆσαι δὲ τοιῶσδε προσήκει τὸν ἐπὶ τῷ πράγματι λογισμόν. τὸ πατὴρ ὄνομα, ὡς πρὸς τὸν υἱὸν οὐδὲν ἔχει τὸ μέσον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς ἐξ ἀνάγκης εἰσβαῖνον. τί γὰρ ἔσται μέσον πατρὸς πρὸς υἱὸν, ἢ αὖ πάλιν υἱοῦ πρὸς πατέρα; ἀλλ' εἴπερ κατὰ τὴν ἐκείνων ἀμαθίαν διατειχίζει τοῦ Πατρὸς τὸν Υἱὸν μεσολαβοῦσα βούλησις καὶ λόγος ἐνδιάθετος, ὃν καὶ ταύτης εἶναί φασιν ἑρμηνευτικὸν, οὐκ ἔτ' ἂν νοοῖτο πατὴρ ὅλως ὁ Πατὴρ, ἀλλ' οὐδὲ υἱὸς ὁ Υἱὸς, εἴπερ ἐν ἰδίαις ὑποστάσεσι κεῖσθαι νοήσομεν τήν τε βούλησιν τοῦ Θεοῦ καὶ τὸν ταύτην διερμηνεύοντα λόγον. εἰ δὲ ἀνυπόστατα δώσομεν ὑπάρχειν αὐτὰ, ἀμέσως ἄρα καὶ προσεχῶς ὁ Υἱός ἐστιν ἐν τῷ Θεῷ καὶ Πατρί· ποῖ δὴ ἄρα λοιπὸν ὁ ἐνδιάθετος χωρήσει λόγος, ἢ ποῖον ἕξει τόπον ἡ βούλησις, ἑτέρα νοου μένη παρὰ τὸν Υἱόν; Ἄλλο διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς. Ὁμοούσιον εἶναι πιστεύομεν τὴν ἁγίαν καὶ προσκυνου μένην Τριάδα, κἂν ἡ τῶν αἱρετικῶν μανία μὴ βούληται· ἀλλ' οἶμαι προσήκειν ἐπὶ τῶν ὁμοουσίων παραδέχεσθαι καὶ τὸ ἀλλήλοις αὐτὰ κατὰ πάντα προσεοικέναι, κατά γε τὸν τῶν φυσικῶν ἰδιωμάτων λόγον. εἴπερ οὖν κατὰ τὴν τινῶν ἀβουλίαν ἐνυπάρχει τῷ Θεῷ καὶ Πατρὶ λόγος τις ἕτερος ἐνδιάθετος παρὰ τὸν Υἱὸν, ἕξει πάντως καὶ ὁ Υἱὸς λόγον ἐνδιάθετον ἐν ἑαυτῷ, ὡς εἰκὼν αὐτοῦ καὶ ἀπαράλλακτος τῆς ὑποστάσεως χαρακτὴρ, καθὰ γέγραπται· ἕξει δὲ ὁμοίως αὐτῷ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, κατὰ τὴν ἴσην τῶν νοη μάτων ἀναλογίαν. γέγονεν οὖν ἡμῖν ἡ Τριὰς ἐν διπλῷ, καὶ 1.59 ἐν συνθέσει λοιπὸν ἡ θεία φαίνεται φύσις. ἀλλὰ τοῦτο ἄτοπον· ἐν δὲ ταῖς ἁπλαῖς οὐσίαις, οὐδὲν ἕτερόν τι ἐστὶ τὸ παρ' αὐτάς· οὐδὲν ἄρα διακωλύσει τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα προσεχῶς συνῆφθαι, μεσολαβοῦντος οὐδενός. Ἄλλο διηγηματικῶς. Ὅτε τὰ ὀνόματα προταττομένων τῶν ἄρθρων ἡ θεία τί θησι γραφὴ, τότε καὶ ἕν τι σημαίνει, ὃ μόνον ἐστὶ κυρίως καὶ ἀληθινῶς, ὁποῖον εἶναι λέγεται· ἄρθρον δὲ οὐ προθεῖσα, γενικωτέραν ποιεῖται κατὰ παντὸς τοῦ σημαινομένου τὴν δήλωσιν, οἷον· ἥξει γὰρ ὁ λόγος καὶ δι' ἐναργοῦς ἀποδεί ξεως· πολλοὶ καλοῦνται θεοί· ἀλλ' ὅταν μετὰ τοῦ ἄρθρου λέγηται Ὁ Θεὸς, τὸν μόνον ὄντα καὶ κυρίως σημαίνει· ἁπλούστερον δὲ, καὶ ἄρθρου χωρὶς, ἕνα τυχὸν τῶν εἰς τοῦτο κατὰ χάριν κεκλημένων. καὶ πάλιν ἄνθρωποι πολλοί· ἀλλ' ὅτε μετὰ τοῦ ἄρθρου φησὶν ὁ Σωτὴρ Ὁ υἱὸς τοῦ ἀνθρώπου, ὡς ἐκλελοχισμένον ἀπὸ μυριάδων ἑαυτὸν κατασημαίνει. τοῦτον ἐχόντων τῶν ὀνομάτων τὸν τύπον παρὰ τῇ θείᾳ γραφῇ, πῶς ἄρα προσήκει νοῆσαι τό Ἐν ἀρχῇ ἦν ὁ Λόγος; εἰ μὲν γὰρ πᾶς λόγος τοῦ Θεοῦ διὰ τούτου σημαίνεται, ὡς ὑπάρχων ἐν ἀρχῇ, δεικνύτωσαν αὐτοὶ, καὶ ληροῦμεν ἡμεῖς· εἰ δὲ προτάξας τὸ ἄρθρον ὁ εὐαγγελιστὴς, ὡς ἕνα καὶ κυρίως ὄντα σημαίνει, βοῶν Ἐν ἀρχῇ ἦν ὁ Λόγος· τί μάτην φιλο νεικοῦσιν ἕτερον ἐπεισφέροντες, ἵνα μόνον ἐκπέμπωσι τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱόν; ἐννοοῦντας δὲ τὸ ἐπὶ τούτοις ἄτοπον παραιτεῖσθαι προσήκει τὴν τῶν ἑτεροδοξούντων ἀβουλίαν. Ἄλλο, δεικνύον ὅτιπερ οὐ κατὰ τὸν ἐνδιάθετον λόγον, ὡς ἐκεῖνοί φασι, μορφοῦται ὁ Υἱὸς, ἀλλ' εἰκών ἐστιν αὐτοῦ τοῦ Πατρός. Εἰ διὰ τοῦτο Λόγος ἐστί τε καὶ ὀνομάζεται κατ' ἐκείνους 1.60 ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὅτι δὴ τὸν ἐνδιάθετον τοῦ Πατρὸς δεχόμενος λόγον, οἱονεὶ μορφοῦται πρὸς ἐκεῖνον, τί μὴ λέγων ὁρᾶται πρὸς τοὺς ἑαυτοῦ μαθητάς Ἐγὼ καὶ ὁ λόγος τοῦ πατρὸς ἕν ἐσμεν, ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν λόγον τοῦ πατρός; ἐπειδὴ δὲ πάντα ὑπερβὰς ἑαυτὸν ἐξο μοιοῖ μόνῳ μόνος τῷ Πατρὶ, οὐδενὸς ἄρα μέσου χωροῦντος πρὸς τὴν ὁμοίωσιν, αὐτῷ τῷ γεννήτορι καὶ οὐχ ἑτέρῳ τινὶ παρ' αὐτὸν προσεοικὼς ὁ Υἱὸς νοηθήσεται. Ἀντίθεσις, ὡς ἐκ τῶν δι' ἐναντίας. Ἕτερον, φασὶν, ὄντα τὸν Υἱὸν παρὰ τὸν ἐνδιάθετον τοῦ Θεοῦ λόγον εὑρίσκομεν, οὐ ταῖς ἑαυτῶν ἐννοίαις εἰς τοῦτο προσέχοντες, ἀλλὰ τοῖς ἀπὸ τῆς θείας γραφῆς θεωρήμασι· τί γὰρ ἐροῦμεν ὅταν ἀκούσωμεν τοῦ Υἱοῦ λέγοντος πρὸς τὸν Πατέρα Δόξασόν σου τὸν Υἱόν· τοῦ δὲ Πατρὸς αὖ πάλιν ἀποκρινομένου καὶ λέγοντος Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. ἆρα οὐχὶ πάντως ἐν λόγῳ δώσομεν ἀπολογεῖσθαι τῷ Υἱῷ τὸν Πατέρα; πῶς οὖν οὐχ ἕτερος παρὰ τὸν Υἱὸν ὁ δι' οὗ πρὸς αὐτὸν ὁ Πατὴρ ἀντιφθέγ γεται; Πρὸς τοῦτο λύσεις ἐφεξῆς διάφοροι. Ἀποθαυμάζειν ἄξιον, μᾶλλον δὲ ἤδη καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀλοφύρεσθαι τοὺς ἀνοσίους αἱρετικοὺς, καὶ δὴ κἀκεῖνο λέγειν ἐπ' αὐτοῖς τὸ ἐν προφήταις λαλούμενον "Μὴ κλαίετε τὸν τεθνηκότα "μηδὲ θρηνεῖτε αὐτόν· κλαύσατε κλαυθμῷ τὸν" τοιαῦτα περὶ τοῦ Μονογενοῦς φρονοῦντα καὶ λέγοντα· τί γὰρ ἂν γένοιτο τῶν τοιούτων ἀθλιώτερον, εἴ γε κυρίως τε καὶ ἀληθῶς ταύτην εἶναι τοῦ Πατρὸς ὑπετόπασαν τὴν φωνὴν, ἧς οὐ μόνος 1.61 ὑπήκουσεν ὁ Σωτὴρ, ἀλλὰ καὶ αὐτὴ τῶν Ἰουδαίων ἡ περιε στῶσα πληθὺς, μᾶλλον δὲ τῶν ἁγίων μαθητῶν ὁ χορός; ἔδει γὰρ μᾶλλον αὐτοὺς τὰ θεοπρεπῆ φαντάζεσθαι πλεονεκ τήματα, καὶ μὴ τοῖς καθ' ἡμᾶς νόμοις ὑπάγειν πειρᾶσθαι τὰ ὑπὲρ ἡμᾶς. τὴν μὲν γὰρ τοῦ σώματος ἀκοὴν σωματικὴ προσαράσσει φωνὴ, καὶ κτύπος ὁ διὰ χειλέων εἰς ἀέρα προκύψας, ἢ διά τινος μηχανῆς ἑτέρας ἐπινοηθείς· τὴν δὲ ἐν ἀῤῥήτοις φωναῖς ἠρέμα καὶ οἱονεὶ κατὰ νοῦν στρεφομένην βούλησιν τοῦ Πατρὸς, μόνος οἶδεν ἐν αὐτῷ φυσικῶς ὑπάρ χων ὁ Υἱὸς ὡς σοφία αὐτοῦ. φωνῇ δὲ τῇ διὰ κτύπου κεχρῆ σθαι τὸν Θεὸν ὑπολαμβάνειν παντελῶς ἀπίθανον, εἴπερ οἰόμεθα δεῖν ἀποσώζειν τῇ ὑπὲρ πάντα φύσει τὰ ὑπὲρ τὴν κτίσιν. ἄλλως τε καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς οὐκ ἔφη αὐτὴν φωνὴν εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς, ἀλλ' οὐδὲ τῆς παρ' ἑτέρου δεόμενον ἑρμηνείας πρὸς τὸ δύ νασθαι μαθεῖν τὴν τοῦ Πατρὸς βούλησιν ἑαυτὸν ἐπιδεικνύει λέγων "Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς·" χρῆν δέ γε, ὦ βέλτιστοι, μᾶλλον εἰπεῖν, εἴ γε καλῶς τὰ τοιαῦτα περὶ αὐτοῦ δοξάζετε Ἠκούσατε μετ' ἐμοῦ τῆς φωνῆς τοῦ Πατρός· νυνὶ δὲ εἰς πᾶν τοὐναντίον περιτρέψας τὸ δηλούμενον, οὔτε φωνῆς ἑαυτὸν δεδεῆσθαι προσομολογεῖ, γεγενῆσθαι δὲ μᾶλλον αὐτὴν δι' ἐκείνους διισχυρίζεται, οὐκ ἐκπεφωνῆσθαι παρὰ τοῦ Πατρὸς, ἀλλὰ γενέσθαι καὶ δι' ἐκείνους. καὶ εἰ πάντα δι' αὐτοῦ ὁ Θεὸς καὶ Πατὴρ ἐργάζεται, δι' αὐτοῦ δὴ πάντως καὶ τοῦτο, μᾶλλον δὲ αὐτὸς ἦν ἡ φωνὴ, οὐχ ἑαυτῷ τὴν τοῦ γεννήσαντος ἑρμηνεύων διάθεσιν· ᾔδει γὰρ ὡς Υἱός· ἀλλὰ ταῖς τῶν περιεστώτων ἀκοαῖς, ἵνα πιστεύσωσιν. {Ἄλλο.} Εἰ λόγου τινὸς ἐμφύτου δεδεῆσθαί φασι τὸν Υἱὸν, 1.62 ἵνα διδάσκηται παρ' αὐτοῦ τὴν βούλησιν τοῦ Θεοῦ καὶ Πατρός· ποῖ ποτε ἄρα χωρήσει λέγων ὁ Παῦλος "Χριστὸς "Θεοῦ δύναμις καὶ Θεοῦ σοφία;" πῶς γάρ ἐστι σοφία τοῦ Πατρὸς ὁ Υἱὸς, εἰ σοφίας ὑπάρχων ἐπιδεὴς τὸ τέλειον παρ' ἑτέρου κομίζεται, διὰ τοῦ μανθάνειν ἅπερ οὐκ οἶδε δηλαδή; ἢ πῶς οὐκ ἀνάγκη λέγειν, οὐκ εἶναι τελείαν ἐν τῷ Πατρὶ τὴν σοφίαν αὐτοῦ; καὶ εἰ σοφία τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, πῶς ἂν ἑτέρα νοοῖτο παρ' αὐτὸν ἡ βούλησις; ὥρα γὰρ λέγειν μὴ ἐν σοφίᾳ τελεῖσθαι τὴν βούλησιν τοῦ Θεοῦ καὶ Πατρός. ἀλλὰ πολλή τις ἐστὶν ἡ ἐν τούτοις ἀσέβεια, καὶ πανταχόθεν ὁ λόγος τὸ δύσφημον ἔχει. οὐκ ἄρα τῆς παρ' ἑτέρου μαθη τείας μέτοχος ὢν ὁ Υἱὸς οἶδε τὰ ἐν τῷ ἰδίῳ Πατρὶ, ἀλλ' αὐτὸς ὢν ὁ Λόγος καὶ ἡ σοφία καὶ ἡ βούλησις "πάντα "ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ," καθὰ γέγραπταί που καὶ περὶ τοῦ Πνεύματος. {Ἄλλο.} Ὡς εἰκόνα καὶ χαρακτῆρα τοῦ Πατρὸς ἀπαράλλακτον εἰσφέρουσιν ἡμῖν τὸν Υἱὸν αἱ θεῖαι γραφαί· καὶ αὐτὸς δέ που φησὶν ὁ Σωτήρ "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν "Πατέρα." ἀλλ' εἴπερ ἔχων οὕτως ὁμοιότητος πρὸς αὐτὸν οὐκ οἶδεν ἐξ ἑαυτοῦ τὰ ἐν αὐτῷ, δεῖται δὲ ὥσπερ τῶν παρ' ἑτέρου διηγημάτων εἰς τὸ μαθεῖν· ὥρα καὶ αὐτὸν ἐν τούτοις εἶναι τὸν Πατέρα νομίζειν, εἴπερ ἐστὶν ἐν ὁμοιότητι τῇ πρὸς τὸν Υἱὸν, δεήσεται δὲ καὶ αὐτὸς τοῦ διερμηνεύοντος τὰ ἐν τῷ γεννήματι κατὰ τὸ ἀφανὲς κείμενα. καὶ γέγονεν ἡμῖν πρὸς τοῖς ἐντεῦθεν ἀτόποις ἡ θεία φύσις καὶ ἀγνοίας δεκτική. ἐπειδὴ δὲ τὸ οὕτω φρονεῖν ἀσεβὲς, χωρητέον ἐπὶ τὰ πρεπω δέστερα· τοῦτο γὰρ τὸ συμφέρον ὁρᾶται καὶ χρήσιμον. {Ἄλλο.} "Πάντα," φησὶν ὁ μακάριος Παῦλος, "τὸ Πνεῦμα "ἐρεῦνᾳ καὶ τὰ βάθη τοῦ Θεοῦ·" πρὸς δέ γε τούτῳ "Τίς "γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα "τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς 1.63 "ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ." ὅτε τοίνυν τὸ πάντα ἐξακριβοῦν Ἅγιον Πνεῦμα, οὐ μόνον τοῦ Πατρός ἐστιν, ἀλλὰ καὶ τοῦ Υἱοῦ· πῶς ἂν ἔτι λοιπὸν ἀγνοήσαι τι τῶν ἐν τῷ γεγεννηκότι τὸ Πνεῦμα ἔχων ἐν ἑαυτῷ φυσικῶς τὸ πάντα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰδός; οὐκοῦν περιττὸν ἤδη φανεῖ ται τὸ δι' ἑτέρου μανθάνειν οἴεσθαι τὸν Υἱὸν τὴν τοῦ Πατρὸς θέλησιν, ἀργήσει δὲ πάντως ἡ χρεία τοῦ μάτην μεσιτεύοντος λόγου, κατὰ τὴν ἐκείνων ἀπαιδευσίαν. πάντα γὰρ οἶδεν ὁ Υἱὸς ἐξ ἑαυτοῦ. {Ἄλλο διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.} Οἱ τῆς τοῦ Μονο γενοῦς κατηγοροῦντες οὐσίας, διὰ τοῦ μὴ εἰδέναι λέγειν αὐτὸν τὸ τοῦ Πατρὸς θέλημα, διδασκάλῳ δὲ ὥσπερ ἀπο κεχρῆσθαι πρὸς τὸ μαθεῖν, ἑτέρῳ τῷ παρ' αὐτῶν ἐπινοηθέντι λόγῳ, ὃν δὴ καὶ ἐνδιάθετον ὀνομάζουσι, λεγέτωσαν ἡμῖν, εἴπερ οἴονται δεῖν τὴν οἰκείαν ἐπὶ τούτῳ κρατύνειν δόξαν, πότερόν ποτε κατὰ φύσιν ἴσον ἐροῦσιν ὑπάρχειν τῷ Υἱῷ τὸν ἐνδιάθετον λόγον· ὑποκείσθω γὰρ ὡς καὶ ὑφεστὼς ἤδη καθ' ἑαυτόν· ἢ οὐκ ἴσον μὲν, χείρονα δέ πως, ἢ καὶ ἀμείνω; εἰ μὲν οὖν ἐλάττονα νομιοῦσιν αὐτὸν, καὶ εἰς αὐτὸν ἀσεβή σουσι τὸν Πατέρα· ἔσται γάρ τι πάντως ἐν αὐτῷ τὸ χεῖρον αὐτοῦ, καὶ ἕτερον παρ' αὐτὸν, τουτέστιν, ὁ ἐνδιάθετος λόγος. εἰ δὲ χείρονα μὲν οὐκ ἐροῦσιν, ἐπιτρέψουσι δὲ αὐτῷ τὸ ἐν ἀμείνοσι κεῖσθαι παρὰ τὸν Υἱὸν, διπλοῦν ἔσται πάντως κατὰ τοῦ Πατρὸς τὸ ἐφ' Υἱῷ κατηγόρημα. πρῶτον μὲν γὰρ γεν νήσας ἁλώσεται τὸ χεῖρον ἢ ἐν οἷς ἐστιν αὐτός. εἶτα πρὸς τούτῳ καὶ αὐτὸς ἕξει κρείττονα τὸν ἐνδιάθετον λόγον, εἴπερ ἐστὶν ὁ Πατὴρ ὁμοούσιος τῷ Υἱῷ τῷ κατ' ἐκείνους τὸ ἔλαττον ἀποφερομένῳ. ἀλλ' εἰκός γε δήπου τῆς ἐπ' ἄμφω δυσφημίας ἀποπηδᾶν τοὺς δι' ἐναντίας· ἴσον δὲ κατ' οὐσίαν ὑπάρχειν ἐροῦσι τῷ Υἱῷ τὸν ἐνδιάθετον τοῦ Πατρὸς λόγον. 1.64 οὐκοῦν λέλυται τὸ ζητούμενον. πῶς γὰρ ὁ εἷς διδάξει τὸν ἕτερον, ὡς εἰδὼς μὴ γινώσκοντα, εἴπερ ἴσοι κατὰ φύσιν εἰσὶν ἀμφότεροι; πανταχόθεν τοιγαροῦν ἀσθενοῦντος τοῦ παρ' ἐκείνοις λόγου, παρέλκον ἂν εἴη λοιπὸν μεσιτεύεσθαι παρά τινος ὑπονοεῖν τὸν Υἱὸν, καὶ οὐχὶ μᾶλλον αὐτὸν εἶναι πιστεύειν τὸν ἐν Θεῷ Πατρὶ Θεὸν Λόγον, ὃς ἦν ἐν ἀρχῇ. {Ἄλλο.} Ἐν Υἱῷ φησιν ὁ μακάριος Παῦλος τοὺς ἁπάσης σοφίας καὶ πάσης γνώσεως ἀποκεκρύφθαι θησαυρούς· ἀλλ' εἴπερ ἐστὶ λέγων τὰ τοιαῦτα ἀληθὴς, πῶς ἂν ἔτι τῆς παρ' ἑτέρου δεδεῆσθαι διδασκαλίας ὑπονοήσαιμεν αὐτὸν, ἢ ἐν τίνι λοιπὸν τὸ ἐν γνώσει τέλειον ἐπιζητήσομεν, εἴπερ ὁ πᾶσαν ἔχων αὐτὴν παρ' ἑτέρου σοφοῦται; πῶς δὲ ὅλως σοφία τὸ σοφούμενον; ἐπειδὴ δὲ οὐ τοῖς παρ' ἐκείνων λόγοις, ἀλλὰ τοῖς διὰ τοῦ Πνεύματος προσέχειν ἡμᾶς ἀναγκαῖον, ἔχει δὲ, ὡς ὁ Παῦλός φησιν, ὁ Υἱὸς τοὺς τῆς σοφίας καὶ πάσης γνώσεως ἐν ἑαυτῷ θησαυροὺς, οὐ παρά τινος ἑτέρου τὰ δι' ὧν ἐστι σοφία γνώσεται, ἀλλ' ὑπάρχων ἐν Πατρὶ πάντα γινώσκει τὰ τοῦ Πατρὸς, ὡς σοφία αὐτοῦ.

1.65 ΚΕΦΑΛΗ Ε. Ὅτι κατὰ φύσιν δημιουργὸς ὁ Υἱὸς μετὰ Πατρὸς, ὡς ἐκ τῆς οὐσίας ὑπάρχων αὐτοῦ, καὶ οὐχ ὥσπερ ὑπουργὸς παραλαμβανόμενος. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ΤΑ πολύπλοκα τῶν ἀνοσίων αἱρετικῶν ἀνατρέψας προ βλήματα, καὶ λεπτὸν ἡμῖν καὶ ἀκριβέστατον περὶ τοῦ Μονο γενοῦς ἐξυφήνας τὸν λόγον ὁ μακάριος Εὐαγγελιστὴς, ἐφ' ἑτέραν ἔρχεται τοῦ διαβόλου παγίδα συμπεπηγμένην ἐξ ἀρχαίας ἀπάτης, καὶ τῆς πολυθέου πλάνης τὸ κέντρον ἡμῖν ἀνατείνουσαν, ἣ "πολλοὺς μὲν τρώσασα καταβέβληκε," τὴν δὲ τῆς ἀπωλείας ὁδὸν ἀνευροῦσα, καὶ τὴν πλατεῖάν τε καὶ εὐρύχωρον ἐκπετάσασα τοῦ θανάτου πύλην, ἀγεληδὸν μὲν εἰς ᾅδου τὰς τῶν ἀνθρώπων συνεσώρευσε ψυχὰς, πλουσίαν δὲ ὥσπερ τῷ διαβόλῳ παρετίθει τροφὴν, καὶ "τὰ βρώματα" αὐτῷ προσῆγεν "ἐκλεκτά." ἐπειδὴ γὰρ Ἑλλήνων παῖδες τῇ τοῦ κόσμου σοφίᾳ προσκείμενοι, καὶ τὸ πνεῦμα τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου πλουσίως ἔχοντες εἰς νοῦν, εἰς πολύθεον κατεφέροντο πλάνην, καὶ τὸ μὲν τῆς ἀληθείας κάλλος ἀπεστρέφοντο, τοῖς δὲ ἐν ἀχλύϊ καὶ σκότῳ βαδίζουσι παραπλήσιοι, πρὸς τὸν ἐκ τῆς οἰκείας ἀμαθίας κατῴχοντο βόθρον, εἰδώλοις ἀψύχοις λατρεύοντες, καὶ τῷ μὲν ξύλῳ 1.66 λέγοντες "Θεός μου εἶ σὺ, τῷ δὲ λίθῳ Σὺ ἐγέννησάς "με," ἕτεροι δὲ πάλιν πλημμελοῦντες τὰ συγγενῆ μὲν ἐκείνοις, ἀστειοτέραν δ' οὖν ὅμως ἐπιτηδεύοντες πλάνην, τῇ κτίσει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λατρεύειν ᾤοντο χρῆναι παρὰ τὸν κτίσαντα, καὶ τὴν μόνῃ πρέπουσαν δόξαν τῇ θείᾳ φύσει, τοῖς παρ' αὐτῆς γεγενημένοις ἐχαρίζοντο στοιχείοις, ἀναγκαίως ἡμῖν ὁ θεο λόγος ποιητὴν ὄντα καὶ δημιουργὸν κατὰ φύσιν εἰσφέρει τὸν Μονογενῆ, πάντα λέγων δι' αὐτοῦ γεγενῆσθαι, καὶ χωρὶς αὐτοῦ μηδὲν εἰς τὸ εἶναι παρελθεῖν, ἵνα ταῖς παρ' ἐκείνων ἀπάταις ἀποκλείσῃ τὴν εἰς τὸ πρόσω πάροδον, καὶ δείξῃ μὲν τοῖς οὐκ εἰδόσι τὸν ἁπάντων Γενεσιουργὸν, δι' ὧν δὲ τὴν κτίσιν πεποιῆσθαί φησι, διὰ τούτων αὐτῶν ἐκδιδάσκῃ σα φῶς, ὅτιπερ ἕτερός ἐστι παρ' ἐκείνην ὁ πρὸς τὸ εἶναι καλῶν, καὶ ἀῤῥήτῳ δυνάμει παρενεγκὼν ἐκ μὴ ὄντων τὰ ὄντα πρὸς γένεσιν. ἦν γὰρ οὕτω λοιπὸν ἀπὸ καλλονῆς κτισμάτων ἀναλόγως τὸν τεχνίτην ὁρᾷν, καὶ τὸν ὄντα κατ' ἀλήθειαν ἐπιγινώσκειν Θεὸν, δι' οὗ τὰ πάντα γέγονέ τε ἤδη καὶ γεγονότα σώζεται. ταῖς μὲν οὖν Ἑλλήνων ψευδολατρείαις, οὕτως ἂν οἶμαι καλῶς τὸν εὐαγγελικὸν ἀντιπαρατάξασθαι λόγον, ταύτης τε ἕνεκα τῆς αἰτίας ποιητὴν εἰσῆχθαι καὶ δημιουργὸν διὰ τῆς τοῦ ἁγίου φωνῆς τὸν Μονογενῆ πισ τεύομεν. Ἐπειδὴ δὲ ἀκόλουθον ἐννοεῖν καὶ τὰς τῶν αἱρετικῶν δυστρόπους εὑρεσιλογίας, προσήκειν ἡγοῦμαι καὶ πρὸς τὰ ἐκείνων ἀποβλέποντας ἔθη μικρὰ πάλιν εἰπεῖν. Πάντα, φησὶ, δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Θεοπρεπὲς καὶ τοῦτο περιτίθησι τὸ ἀξίωμα τῷ Υἱῷ, πανταχόθεν ὁμοούσιον ὄντα δεικνύων αὐτὸν τῷ γεννήτορι Θεῷ, καὶ πάντα τὰ ἐκείνῳ προσόντα φυσικῶς ἐνυπάρχειν τῷ 1.67 γεννήματι λέγων· ἵνα Θεὸς ἐκ Θεοῦ νοῆται κατὰ ἀλήθειαν, οὐ καθάπερ ἡμεῖς ἐπίκτητον ἔχων τὴν προσηγορίαν, καὶ διὰ μόνης ἡμῖν προσγενομένην χάριτος, κατὰ τό "Ἐγὼ εἶπα Θεοί "ἐστε καὶ υἱοὶ ὑψίστου πάντες." εἰ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο, ἕτερος ἂν εἴη τῶν πάντων αὐτός· ἐν γὰρ τῷ πάντα, οὐδέν ἐστιν ὃ μὴ ἐν τοῖς πᾶσιν ὁρᾶται. ὥσπερ οὖν ἀμέλει καὶ ὁ μακάριος Παῦλος οὕτω τὸ Πάντα νοήσας εὑρίσκεται· ἐπειδὴ γὰρ ἐν μιᾷ που τῶν ἐπιστολῶν, τὸν περὶ τοῦ Σωτῆρος ἡμῶν ἐποιεῖτο λόγον, πάντα τε ἔφασκεν ὑποτετάχθαι ὑπὸ τοὺς πόδας αὐτοῦ, καλῶς γε σφόδρα ποιῶν ἐπιφέρει "Ἐν "γὰρ τῷ εἰπεῖν τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον." οὐκοῦν ἐπειδήπερ τὰ πάντα γεγενῆσθαι δι' Υἱοῦ πιστεύομεν, οὐκ ἂν αὐτὸν ἕνα τῶν πάντων εἶναι νοήσαιμεν, ἀλλ' ἔξω μὲν κεῖσθαι πάντων λογιούμεθα, τῆς δὲ τῶν γενητῶν ἀποδιορί ζοντες φύσεώς τε καὶ ὁμοειδίας, οὐδὲν ἕτερον εἶναι λοιπὸν, ἢ Θεὸν ἐκ Θεοῦ κατὰ φύσιν ὁμολογήσομεν. τί γὰρ ἄν τις δοίη τὸ μεταξὺ Θεοῦ καὶ κτίσεως, καὶ οὐ κατὰ λόγον φημὶ τὸν τῆς οὐσίας· πολὺ γὰρ τὸ μεταξύ· κατὰ μόνην δὲ τὴν ἑτέρου τινὸς τῶν ὄντων, ὡς ἐν νοήσει, θέσιν; ἢ ποῖον ἕξει τόπον ἕτερον ὁ Υἱὸς, τὴν τῶν ποιημάτων φύσιν ὑπερκεί μενος, μᾶλλον δὲ αὐτὸς ὑπάρχων ὁ ποιητής; γέγονε μὲν γὰρ τὰ πάντα δι' αὐτοῦ, ὡς διὰ δυνάμεως, ὡς διὰ σοφίας τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ ἐν τῇ φύσει τοῦ γεννήσαντος κρυπτομένης, ὥσπερ οὖν καί ἐστι καὶ ἐν ἀνθρώπῳ τυχὸν ἡ ἐνυπάρχουσα αὐτῷ σοφία καὶ δύναμις, ἀλλ' ἰδίως μὲν καὶ καθ' ἑαυτὴν ὑφεστώσης, προκυπτούσης δ' οὖν ὅμως κατὰ τὸν ἄῤῥητον τῆς γεννήσεως τρόπον ἐκ Πατρὸς, ἵνα καὶ νοῆται κατὰ ἀλήθειαν ὑπάρχων Υἱὸς ἡ σοφία καὶ ἡ δύναμις τοῦ Πατρός. Ἀλλ' εἰ καὶ πάντα δι' αὐτοῦ γεγενῆσθαί φησιν ὁ μακάριος Εὐαγγελιστὴς, οὐδὲν οἶμαι τὸ βλάβος τοῖς περὶ αὐτοῦ προ 1.68 ξενήσειν λόγοις τὸ ῥῆμα. οὐ γὰρ ἐπειδήπερ δι' αὐτοῦ γενέ σθαι τὰ ὄντα λέγεται, πάντως δήπου καὶ ὑπουργὸς ἡμῖν, ἢ καὶ ἀλλοτρίων θελημάτων καὶ ὑπηρέτης ὁ Υἱὸς εἰσβήσεται, ἵνα μηκέτι νοῆται κατὰ φύσιν ὑπάρχων δημιουργὸς, ἤ καὶ ἐξ ἑτέρου τινὸς τὴν ἐπὶ τῷ δύνασθαι κτίζειν χορηγούμενος δύ ναμιν, ἀλλὰ μᾶλλον αὐτὸς καὶ μόνος ἡ ἰσχὺς ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς Υἱὸς, ὡς Μονογενὴς τὰ πάντα ἐργά ζεται, συνεργαζομένου δηλονότι καὶ συνόντος αὐτῷ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος· πάντα γὰρ ἐκ Πατρὸς δι' Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι. συνεῖναι δὲ τῷ Υἱῷ τὸν Πατέρα νοοῦμεν, οὐχ ὡς ἀτονοῦντι περὶ τὸ ἐργάζεσθαί τι τῶν ὄντων, ἀλλ' ὡς ὅλον ὄντα ἐν αὐτῷ διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας, καὶ τὸ ἄκρως προσεχές τε καὶ ἄμεσον αὐτοῦ πρὸς τὸ ἐξ αὐτοῦ φυσικῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προελθόν· ὥσπερ ἂν εἴ τις λέγοι καὶ τῇ ἐξ ἄνθους εὐωδίᾳ συνεῖναι κατ' ἐνέργειαν τὴν ἐκ τῆς εὐοσμίας αὐτὸ δὴ τὸ ἄνθος, ἐπείπερ ἐξ αὐτοῦ πρόεισι φυ σικῶς. ἀλλ' ὀλίγη μὲν ἐν τούτοις ἡ τοῦ παραδείγματος δύναμις, ἡ δὲ ὑπὲρ πάντα φύσις καὶ τοῦτο ὑπερκείσεται, μικροὺς ἐξ αὐτοῦ δεχομένη τῶν θεωρημάτων τοὺς χαρακ τῆρας. ἐπεὶ πῶς νοήσομεν τό "Ὁ Πατήρ μου ἕως ἄρτι "ἐργάζεται κἀγὼ ἐργάζομαι;" οὐ γὰρ ἰδίᾳ μὲν καὶ καθ' ἑαυτὸν ἐνεργεῖν τι περὶ τὰ ὄντα τὸν Θεὸν καὶ Πατέρα φησὶν ὁ Υἱὸς, ἑαυτὸν δὲ πάλιν ὁμοίως ἐργάζεσθαι λέγει δίχα τοῦ Πατρὸς, καὶ ἀτρεμούσης τρόπον τινὰ τῆς ἀφ' ἧς ἐστιν οὐσίας· εἶεν γὰρ ἂν οὕτω δύο δὴ πάντως, καὶ οὐχ εἷς ὁ Δημιουργὸς, εἴπερ ἀνὰ μέρος ἑκάτερος καὶ κεχωρισμένως ἐργάζεται, ἐπιδέξεται δὲ καὶ ἑτέρως τὸ δύνασθαι μὴ ἔχειν εἰσαεὶ τὸν Υἱὸν ὁ Πατὴρ ἐν ἑαυτῷ, καὶ ὁ Υἱὸς ὁμοίως οὐκ ἀεὶ τὸν Πατέρα ἔχων ἐν ἑαυτῷ ὀφθήσεται, εἴπερ ὅλως ἐνδέ χεται περί τι τῶν ὄντων ἐνεργεῖν ἀνὰ μέρος καὶ κεχωρισ μένως ἑκάτερον, καθάπερ ἤδη προείπομεν, καὶ οὐ πάντως 1.69 ἀληθεύσει λέγων ὁ Υἱός "Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ "ἐν ἐμοί." οὐ γὰρ δήπου κατὰ μόνην τὴν ὁμοιότητα τῆς οὐσίας, ὡς χαρακτῆρα τὸν Υἱὸν ἐν Πατρὶ θεωρήσομεν, ἢ αὖ πάλιν ὡς ἀρχέτυπον ἐν Υἱῷ τὸν Πατέρα· ἀλλ' Υἱὸν μὲν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας γεννητῶς ἐκλάμποντα, καὶ ἐν αὐτῇ καὶ ἐξ αὐτῆς ἰδιοσυστάτως ὑπάρχοντα καὶ ὑφεστῶτα Θεὸν Λόγον παραδεξόμεθα· Πατέρα δὲ πάλιν ἐν Υἱῷ, ὡς ἐν ὁμοουσίῳ γεννήματι, συμφυῶς μὲν, κατὰ δὲ μόνην τὴν ἑτερότητα τοῦ εἶναι καὶ νοεῖσθαι τοῦθ' ὅπερ ἐστὶ μεμερισ μένως. μένει γὰρ ὁ Πατὴρ τοῦθ' ὅπερ ἐστὶ, κἂν ὑπάρχῃ συμφυῶς ἐν Υἱῷ, καθάπερ εἶναί φαμεν ἐν τῷ ἀπαυγάσματι τὸν ἥλιον· καὶ πάλιν ὁ Υἱὸς οὐχ ἕτερόν τι παρ' ὅπερ ἐστὶ νοηθήσεται, κἂν ὑπάρχῃ συμφυῶς ἐν Πατρὶ, καθάπερ ἐν ἡλίῳ τὸ ἀπαύγασμα αὐτοῦ. οὕτω γὰρ, Πατρὸς μὲν κατ' ἀλήθειαν νοουμένου τε καὶ ὄντος τοῦ Πατρὸς, Υἱοῦ δὲ πάλιν ὄντος τε καὶ νοουμένου τοῦ Υἱοῦ, συνεισβαίνοντος δηλαδὴ τοῦ Ἁγίου Πνεύματος, ὁ τῆς ἁγίας Τριάδος ἀριθμὸς εἰς μίαν καὶ τὴν αὐτὴν ἀναβαίνει θεότητα. Ἐπεὶ πῶς ἂν ὅλως καὶ εἷς ὑπάρχειν νοοῖτο Θεὸς, εἴπερ ἕκαστον τῶν σημαινομένων ἀναχωρήσει μὲν εἰς ἰδιότητα παντελῆ, ὁλοκλήρως δὲ τῆς πρὸς τὸ ἕτερον συμφυΐας τε καὶ σχέσεως οὐσιώδους ἀπενηνεγμένον, ὀνομάζοιτο Θεός; οὐκοῦν κατὰ μὲν τὸν λόγον τοῦ εἶναι ἰδιοσυστάτως, καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα νοήσαιμεν, οὐκ ἀναμίσγοντες εἰς τὴν ὅπερ ἐστὶν ἕκαστον θέσιν, τὴν τῶν προσώπων, ἤτοι τῶν ὀνομάτων, διαφοράν· ἀλλὰ τηροῦντες μὲν ἰδιαζόντως ἑκάστῳ τὸ εἶναι καὶ λέγεσθαι τοῦθ' ὅπερ ἐστὶ, καὶ οὕτω πιστεύοντες, εἰς μίαν δ' οὖν ὅμως θεότητα φυσικῶς ἀναφέ ροντες αὐτὰ, καὶ τὸ πάντη διενηνεγμένως εἶναι νοεῖν παραι τούμενοι, διὰ τὸ λόγον καὶ σοφίαν καὶ ἀπαύγασμα καὶ χαρακτῆρα καὶ δύναμιν τοῦ Πατρὸς ἀποκαλεῖσθαι τὸν Υἱόν. 1.70 λόγος μὲν γὰρ καὶ σοφία, διὰ τὸ ἐκ νοῦ καὶ ἐν νῷ προσεχῶς καὶ ἀδιαστάτως, καὶ τὴν εἰς ἄλληλα τῶν σημαινομένων, ὡς ἂν εἴποι τις, ἀντεμβολήν. νοῦς γὰρ ἐν λόγῳ καὶ σοφίᾳ, καὶ λόγος εἰς νοῦν ἀμοιβαδὸν ὀφθήσονται, καὶ τὸ μεσολαβοῦν οὐδὲν ἢ χωρίζον τοῦ ἑτέρου τὸ ἕτερον· δύναμις δὲ πάλιν, ὡς ἀδιαστάτως τοῖς ἔχειν αὐτὴν πεφυκόσιν ἐνυπάρχουσα, καὶ μηδαμόθεν αὐτῶν ὡς ἐν τάξει συμβεβηκότος δυναμένη χωρί ζεσθαι δίχα τῆς τοῦ ὑποκειμένου φθορᾶς· χαρακτὴρ δὲ πάλιν, ὡς ἀεὶ συμπεφυκὼς, καὶ χωρίζεσθαι μὴ δυνάμενος τῆς οὐσίας, ἧς ἐστι χαρακτήρ. οὐκοῦν, ἐπειδήπερ ἑκάτερος ἐν ἑκατέρῳ φυσικῶς τέ ἐστι καὶ ἀναγκαίως, ἐργαζομένου δη λονότι τοῦ Πατρὸς ὁ Υἱὸς ἐργάσεται, ὡς δύναμις φυσική τε καὶ οὐσιώδης καὶ ἐνυπόστατος αὐτοῦ· ἐργαζομένου δὲ ὁμοίως τοῦ Υἱοῦ, καὶ ὁ Πατὴρ ἐργάζεται, ὡς πηγὴ τοῦ δημιουρ γοῦντος Λόγου, ἐνυπάρχουσα φυσικῶς τῷ ἰδίῳ γεννήματι, ὡσπερανεὶ καὶ τὸ πῦρ τῇ ἐξ αὐτοῦ προϊούσῃ θερμότητι. Πρόδηλον οὖν, ὅτι μάταιον ἀναπέφαται τὸ κατὰ τοῦ Μονογενοῦς τῶν δι' ἐναντίας κατηγόρημα, δημιουργὸν ἐκ μαθήσεως, μᾶλλον δὲ ἤδη καὶ ὑπουργὸν, εἰσφερόντων ἡμῖν αὐτὸν, διὰ τὸ φάναι τὸν μακάριον Εὐαγγελιστὴν Πάντα δι' αὐτοῦ ἐγένετο καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. θαυμάζειν δέ μοι καὶ λίαν ἐπέρχεται τοὺς ἀνοσίους αἱρετικούς. τὰ μὲν γὰρ, ὅσα παραλύειν δοκεῖ πως αὐτοῖς τοῦ Μονογενοῦς τὸ ἀξίωμα, καὶ δεύτερον αὐτὸν ἀποφαίνειν τοῦ γεννήτορος, κατά γε τὸν ἐν ἐκείνοις ὄντα σκοπὸν, ταῦτα μετὰ πολλῆς τινος θηρῶνται σπουδῆς, καὶ πανταχόθεν τὰ τῆς ἑαυτῶν δυστρο πίας ἐρανίζονται φάρμακα· τὰ δὲ ὅσα πάλιν ἐστὶν ὑγιῶς τε καὶ ὀρθῶς εἰρημένα, καὶ εἰς τὴν τοῦ Πατρὸς ἀναφέροντα δόξαν τὸν Υἱὸν, ταῦτα δὴ καὶ μάλα βαθείαις καταχωννύουσι σιωπαῖς, ὥσπερ ἕνα καὶ μόνον ἔχοντες σκοπὸν τὸ διαλοιδο ρεῖσθαι μάτην τῷ παρὰ πάσης δοξολογουμένῳ τῆς κτίσεως. ἀκούοντες μὲν γὰρ ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, τὸ τῆς ὑπουρ 1.71 γίας ὄνομα θερμῶς ἐπιφέρουσι, δοῦλον ἀντ' ἐλευθέρου, καὶ θεραπευτὴν ἢ δεσπότην ὀνειροπολοῦντες τὸν Υἱόν· μανθά νοντες δὲ πάλιν ὅτι χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ἐπὶ τὸ φρονεῖν ἐπ' αὐτῷ μέγα τι καὶ ἀξιάγαστον οὐκ ἀναβαίνουσιν. ὡς γὰρ ἑτέρως οὐ πεφυκότος δημιουργεῖν τοῦ Θεοῦ καὶ Πατρὸς, εἰ μὴ διὰ τοῦ ἰδίου γεννήματος, ὅς ἐστιν αὐτὸς σοφία καὶ δύναμις, οὐδὲν ὅλως χωρὶς αὐτοῦ γεγενῆσθαί φησιν ὁ Εὐαγγελιστής· διὰ γὰρ τοῦτο καὶ δόξα τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Μονογενής· δοξάζεται γὰρ ὡς δημιουργὸς δι' Υἱοῦ· τὰ πάντα γὰρ ἐνεργῶν, καὶ εἰς τὸ εἶναι τὰ μὴ ὄντα παραφέρων. Νοήσαι δ' ἄν τις καλῶς τό Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, τὸ εἰρημένον ἐπὶ τῇ τοῦ ἀνθρώπου κατασκευῇ, καθ' ἑαυτὸν ἐνθυμούμενος· "Ποιήσωμεν γὰρ ἄνθρωπον, φησὶν, κατ' "εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν." ἔξεστι γὰρ ἐν τούτῳ δὴ μάλιστα καταθεάσασθαι σαφῶς οὐδὲν ἐν Υἱῷ τὸ ταπεινὸν, ὡς ἐν ὑπουργῷ τῷ κατὰ τὸν ἐκείνων λόγον. οὐ γάρ Ποίησον ἄνθρωπον, ἐπιτάττει τῷ Λόγῳ ὁ Θεὸς καὶ Πατὴρ, ἀλλ' ὡς συνόντα κατὰ φύσιν, καὶ ἀδιαστάτως ἐνυπάρχοντα συνερ γάτην ὥσπερ, ἐποιεῖτο καὶ τῆς ἐπ' ἀνθρώπῳ βουλήσεως κοινωνὸν, οὐ προλαμβάνων μὲν τὴν ἐν Υἱῷ γνῶσιν ἐν τῷ τι νοεῖν, ὡς δὲ νοῦς ἀδιαστάτως τε καὶ ἀχρόνως τῷ ἐγκεχαραγ μένῳ καὶ ἐνυπάρχοντι Λόγῳ φανερούμενος. Ἔστω δὲ πάλιν ὑπὲρ τὴν τοῦ παραδείγματος δύναμιν τὰ θεοπρεπῆ θεωρήματα· συνεργάζεσθαι δέ φαμεν αὐτὸν τῷ Υἱῷ, οὐχ ὡς δύο νοοῦντες διῃρημένως, ἵνα μὴ δύο νοῶνται θεοὶ, οὐδ' ὡς ἓν τὸ συναμφότερον, ἵνα μήτε εἰς Πατέρα Υἱὸς, μήτε μὴν ὁ Πατὴρ εἰς Υἱὸν συστέλληται, ἀλλὰ μᾶλλον ἐκείνως, ὡς ἄν τις δοίη συνεῖναι τῷ ἐκ φωτὸς 1.72 ἀπαυγάσματι, τὸ ἐξ οὗπερ ἐξηστράφθη φῶς· ἐν γὰρ τοῖς τοιούτοις χωρίζεσθαι μέν πως ἐπινοίᾳ δοκεῖ τὸ γεννῶν τοῦ γεννωμένου καὶ προεκκύπτοντος ἀμερίστως· ἓν δέ ἐστι καὶ ταὐτὸν τῇ φύσει τὸ συναμφότερον, καὶ δίχα τοῦ ἑτέρου τὸ ἕτερον οὐδαμῶς· ἔσται δὲ πάλιν καὶ ὑπὲρ τοῦτο Θεὸς, ἅτε δὴ καὶ ὑπερούσιος ὢν, καὶ τὸ ἄκρως προσεοικὸς οὐκ ἔχων ἐν γενητοῖς, ἵνα δὴ καὶ εἰς εἰκόνα λαμβάνηταί τι τῆς ἁγίας Τριάδος, οὐδὲν ἔχουσαν τὸ διαλλάττον, ὡς εἰς δογμάτων ἀκρίβειαν. εἰ δὲ νομίζουσι δύνασθαι τό Δι' οὗ, λεγόμενον ἐφ' Υἱοῦ, καταφέρειν αὐτοῦ τὴν οὐσίαν τῆς πρὸς τὸν Πατέρα ἰσότητός τε καὶ φυσικῆς ὁμοιότητος, ὡς ὑπουργὸν εἶναι μᾶλλον ἢ δημιουργὸν, διασκεπτέσθωσαν οἱ παράφρονες, καὶ εἰς μέσον ἡμῖν ἡκόντων ἀπολογησόμενοι, τί ποτε ἄρα καὶ περὶ αὐτοῦ τοῦ Πατρὸς ἐννοήσομεν, τίνα δὲ εἶναι καὶ αὐτὸν ὑποληψόμεθα, ὅταν φαίνηται δεχόμενος τό Δι' οὗ παρὰ τῇ θείᾳ γραφῇ; "Πιστὸς γάρ ἐστιν, φησὶν, ὁ Θεὸς, δι' οὗ "ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ," καὶ "Παῦλος "ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ·" καὶ πάλιν πρός τινας ὁ Παῦλος ἐπιστέλλει "Ὥστε οὐκέτι εἶ "δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος διὰ Θεοῦ." ταῦτα δὴ σύμπαντα τὴν ἀναφορὰν εἰς τὸ τοῦ Θεοῦ καὶ Πατρὸς ἔχει πρόσωπον, καὶ οὐ δήπου πρὸς τοῦτο μανίας ἐλάσειέ τις, εἰ μὴ τύχοι τοῖς προειρημένοις τὰ ἴσα φρονῶν, ὡς τὸ τῆς ὑπουργίας ὄνομά τε καὶ πρᾶγμα καὶ αὐτῆς κατη γορεῖσθαι τῆς τοῦ Πατρὸς δόξης εὐλόγως εἰπεῖν, ἐπείπερ ἠνέχθη καὶ ἐπ' αὐτοῦ τό Δι' οὗ. ἀδιαφορεῖ γὰρ ἔσθ' ὅτε περὶ τὰς λέξεις ἡ θεία γραφὴ, μηδὲν ἀδικοῦσα τὸ ὑποκεί μενον, καταχρηστικώτερον δέ πως ἐπιφέρουσα τοῖς σημαινο μένοις τά τε ῥήματα καὶ τὰ δι' ὧν ἂν οἴηται καταδηλοῦσθαι καλῶς. πλὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκεῖνο συμφέρον ἐπὶ τούτοις εἰπεῖν, ὅτι "Δόξα "Κυρίου κρύπτει λόγον·" ὀλίγη γὰρ πᾶσα λόγων ἰσχὺς, ὡς 1.73 πρὸς ἐξήγησιν ἀκριβῆ τῆς ἀῤῥήτου δόξης καὶ θεοπρεποῦς. διόπερ οὐ σκανδαλιστέον ἐπὶ τῇ τῶν λαλουμένων σμικρο πρεπείᾳ, παραχωρητέον δὲ μᾶλλον τὸ νικᾶν, καὶ τὴν ἐν γλώττῃ δύναμιν, καὶ παντὸς ὀξύτητα νοῦ τῇ θείᾳ καὶ ἀφράστῳ φύσει· καὶ κατὰ τοῦτον γὰρ δὴ τὸν τρόπον οὐ μικρῶς εὐσεβήσομεν.

1.74 ΚΕΦΑΛΗ ς΄. Ὅτι ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, καὶ διὰ τοῦτο οὐ γενητὸς, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός. Ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν. ἜΤΙ τὰς περὶ τοῦ Θεοῦ Λόγου διαλέξεις ποιεῖται πρὸς ἡμᾶς ὁ μακάριος Εὐαγγελιστής· καί μοι δοκεῖ διὰ πάντων ἰέναι χρησίμως τῶν ὅσαπέρ ἐστι κατὰ φύσιν αὐτῷ, ἵνα καὶ τὰς τῶν ἑτεροδοξούντων δυσωπήσῃ παροινίας, καὶ τοὺς ὀρθῇ διαπρέπειν ἐθέλοντας πίστει, τοῖς εἰς αὐτὴν ὀχυρώσῃ θεωρή μασιν, οὐκ ἐκ λόγων σοφίας κοσμικῆς τὸ ἀπίθανον ἐρανιζο μένους, ἀλλ' ἐν ἀποδείξει Πνεύματος τὸ τῆς ἀληθείας ἀποθαυμάζοντας κάλλος. ὅπερ οὖν βούλεται καὶ διὰ τοῦ προκειμένου διδάσκειν, ἐκεῖνό ἐστι. ποιητὴν ἡμῖν ἀρτίως καὶ κατὰ φύσιν ὄντα δημιουργὸν ἀπέδειξε τὸν Υἱὸν, πάντα δι' αὐτοῦ γεγενῆσθαι λέγων, καὶ χωρὶς αὐτοῦ μηδὲ ἓν κεκλῆσθαι πρὸς γένεσιν. ἐπειδὴ δὲ οὐ μόνον τῇ κτίσει τὸ πρὸς τὸ εἶναι κεκλῆσθαι χαρίζεται, συνέχει δὲ καὶ γεγενη μένην δι' ἑαυτοῦ, τοῖς τὸ ἀϊδίως εἶναι κατὰ φύσιν ἰδίαν οὐκ ἔχουσιν ἑαυτὸν οἱονείπως ἐγκαταμιγνὺς, καὶ ζωὴ τοῖς οὖσι γινόμενος, ἵνα μένῃ γεγονότα, καὶ σώζηται κατὰ τὸν οἰκεῖον ἕκαστον τῆς φύσεως ὅρον, ἀναγκαίως φησίν Ὃ γέγονεν, ἐν 1.75 αὐτῷ ζωὴ ἦν· οὐ μόνον, φησὶ, δι' αὐτοῦ τὰ πάντα ἐγένετο, ἀλλὰ καὶ εἴτι γέγονεν, ἦν ἐν αὐτῷ ἡ ζωὴ, τουτέστιν, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἡ πάντων ἀρχὴ καὶ σύστασις, ὁρατῶν τε καὶ ἀοράτων, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ κατα χθονίων. αὐτὸς γὰρ ὑπάρχων ἡ κατὰ φύσιν ζωὴ, τὸ εἶναι καὶ ζῆν καὶ κινεῖσθαι πολυτρόπως τοῖς οὖσι χαρίζεται, οὐ κατὰ μερισμόν τινα καὶ ἀλλοίωσιν εἰς ἕκαστα τῶν τῇ φύσει διεστηκότων χωρῶν· ἀλλ' ἡ μὲν κτίσις, ὡς πρὸς ἑαυτὴν, ἀφάτῳ δυνάμει καὶ σοφίᾳ τοῦ Δημιουργοῦ ποικίλλεται· μία δὲ ἡ πάντων ζωὴ χωροῦσα πρὸς ἕκαστον, ὡς ἂν αὐτῷ πρέπῃ, καὶ δυνήται μετασχεῖν. ἐπειδὴ δὲ τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρενεχθὲν ἀνάγκη καὶ φθείρεσθαι, καὶ τὸ ἀρχὴν ὅλως ἔχον εἰς τέλος ἐπείγεται· μόνῃ γὰρ τῇ θείᾳ καὶ τὰ πάντα ὑπερκειμένῃ φύσει, τὸ μήτε ἀπὸ ἀρχῆς ἦρχθαί τινος, καὶ ἀτελευτήτως εἶναι πρέπει· σοφίζεται τρόπον τινὰ τὴν ἐν τοῖς πεποιημένοις ἀσθένειαν ὁ Δημιουργὸς, καὶ μηχανᾶταί πως ἐκ τέχνης αὐτοῖς τὸ ἀΐδιον. αἱ γὰρ εἰς ἕκαστον ἀεὶ τῶν ὁμοίων διαδοχαὶ, καὶ τῶν ὁμογενῶν ἢ ὁμοειδῶν αἱ εἰς ἄλληλα μεταβάσεις φυσικαὶ πρὸς τὸν ἐφεξῆς ἀεὶ βλέπουσαι δρόμον, ἀειφανῆ μὲν τὴν κτίσιν ἐργάζονται, ἀεισύστατον δὲ τῷ πεποιηκότι τηροῦσι Θεῷ. καὶ τοῦτο ἄρα ἐστὶ τὸ τῶν ὄντων ἕκαστον ἐν ἑαυτῷ σπείρειν σπέρμα κατὰ γένος καὶ καθ' ὁμοίωσιν, κατὰ τὴν ἄφατον τοῦ δημιουργοῦντος ἀπό φασιν. ἦν οὖν ἐν ἅπασιν ἡ ζωὴ, τοῦτο γὰρ τὸ προ κείμενον. Ἀλλ' ὦ βέλτιστε· πάλιν ἐρεῖ τις εὐλόγως πρὸς τὸν τῇ ἀληθείᾳ μαχόμενον αἱρετικόν· τί καὶ πρὸς τοῦτο ἐρεῖς, ὅταν ἀκούσῃς τοῦ πνευματοφόρου λέγοντος, ὡς ἐν πᾶσι τοῖς γεγενημένοις ἦν ἡ ζωὴ, τουτέστιν, ὁ Λόγος ὁ ὢν ἐν ἀρχῇ; ἆρα καὶ νῦν ἀποτολμήσεις εἰπεῖν, ὡς οὐκ ἔστιν ἐκ τῆς τοῦ 1.76 Θεοῦ καὶ Πατρὸς οὐσίας ὁ Υἱὸς, ἵνα γενητὸς νοῆται καὶ πεποιημένος; καὶ πῶς οὐκ ἄν τις τῆς σῆς, ὦ οὗτος, ἀμαθίας καταβοήσῃ, καὶ μάλα δικαίως; εἰ γὰρ ἐν τοῖς γεγονόσιν ὁ Λόγος ἦν, ὡς ζωὴ κατὰ φύσιν, διὰ μετοχῆς τοῖς οὖσιν ἑαυτὸν ἀναμιγνύς· ἕτερος ἄρα ἐστὶ τῶν ἐν οἷς εἶναι πιστεύ εται. ὁ δὲ τὴν φύσιν ἕτερος ὢν, ἢ ὅπερ ἐστὶν ἡ κτίσις, πῶς οὐκ ἂν εἴη λοιπὸν ὁ ὑπὲρ ταύτην Θεός; εἰ δὲ ἐπιμένεις ἀναισχυντῶν, καὶ γενητὸν εἶναι νομίζων οὐ καταλήγεις τὸν Υἱὸν, τὸν ὄντα ἐν τοῖς γεγονόσιν ὡς ζωήν· πρῶτον μὲν αὐτό τι ὑπάρχων ἐν ἑαυτῷ νοηθήσεται· εἶτα καὶ πρὸς τούτῳ, καὶ αὐτὸς ἑαυτοῦ μέτοχος, καὶ ζωὴ, εἴπερ ὢν ἐν τοῖς γενο μένοις, εἷς καὶ αὐτὸς ἐξ αὐτῶν ὑπάρχειν ὑποληφθήσεται·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' ὁρᾷ που πάντως καὶ αὐτὸς ὁ θεομάχος, ὅσην ἔχει τὴν ἀπαιδευσίαν τὸ οὕτω νοεῖν. οὐκοῦν εἰ μεθεκτὸς ἐν τοῖς γενητοῖς ἐστιν ὁ ζωογονῶν αὐτὰ Λόγος, οὐκ ἐν τοῖς μετέ χουσιν ἔσται καὶ αὐτὸς, ἀλλ' ἕτερος δηλονότι παρ' ἐκεῖνα. εἰ δὲ τοῦτο, οὐκ ἄρα γενητὸς, ἀλλ' ὡς ζωὴ κατὰ φύσιν ἐν αὐτοῖς. διὰ δὲ τῶν ὑπεζευγμένων ἐννοιῶν τοῦτο πάλιν εἰσόμεθα. Ἔννοιαι, ἤτοι συλλογισμοί. Εἰ μὴ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, ἔξωθεν δὲ αὐτὸν κατ' ἐκείνους ὑπέστησε, γενητὸς ἄρα ἐστὶ καὶ πεποιημένος. πῶς οὖν ὁ ἐν τοῖς γεγονόσιν ἐστὶ τὰ πάντα ζωογονῶν; τί δὲ τὸ ἐξαίρετον ἐν τῇ θείᾳ φύσει λοιπὸν εὑρήσομεν; ἢ πῶς ὁ σοφώτατος Παῦλος, ὡς ἀξιά γαστόν τι φησὶν ἐπὶ τοῦ κατὰ φύσιν ὄντος Θεοῦ "τοῦ "ζωογονοῦντος τὰ πάντα;" εἰ γὰρ γενητὸς ὑπάρχων ὁ Υἱὸς τὰ πάντα ζωοποιεῖ, ἑαυτὴν ἡ κτίσις ζωοποιεῖ χρῄζουσα 1.77 μηδαμῶς εἰς τοῦτο τοῦ ποιήσαντος Θεοῦ. οὐδὲν οὖν ἄρα τὸ πλεῖον ἐν Θεῷ παρὰ τὴν κτίσιν. ἐνεργεῖ γὰρ οὐχ ἧττον, ἢ ὡς ἂν δύνηται Θεός. ἀλλὰ τοῦτο ἄτοπον· οὐκ ἄρα γενητὸς ὁ Υἱὸς, Θεὸς δὲ μᾶλλον, καὶ διὰ τοῦτο κατὰ φύσιν καὶ ζωή. {Ἄλλο.} Τὴν θείαν ὑπερθαυμάζει φύσιν, καὶ μάλα εἰκότως, ὁ ψαλμῳδὸς, καὶ δὴ καὶ ἀξίωμα κάλλιστον ἀνατίθησιν αὐτῇ λέγων "Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς." ἀλλ' εἴπερ ὑπέστησε τὸν Υἱὸν ὁ Πατὴρ, καὶ οὐκ ἐκ τῆς οὐσίας ἔχει τῆς ἑαυτοῦ, ζωοποιεῖ δὲ καὶ οὕτως ἔχων τὰ γενητὰ καὶ ζωὴ κατὰ φύσιν ἐστὶν ὡς ζωοποιὸς, τί μάτην ὁ ψαλμῳδὸς διατείνεται παρὰ μόνῳ τῷ Θεῷ πηγὴν ζωῆς εἶναι λέγων; ἐπιδέχεται γὰρ αὐτὸ καὶ ἡ τῶν γενητῶν φύσις, εἰ ζωοποιεῖ, καίτοι τῆς θείας οὐκ ὑπάρχων οὐσίας ὁ Υἱὸς κατὰ τὴν τινῶν ἀβουλίαν. ἀλλὰ τοῦτο ἄτοπον· οὐκοῦν ζωὴ κατὰ φύσιν ὁ Υἱὸς, ὡς Θεὸς ἐκ Θεοῦ, καὶ ζωὴ ἐκ ζωῆς. {Ἄλλο.} Εἰ ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς γενητός ἐστι καὶ πεποιημένος, ἅτε δὴ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς οὐκ ἔχων κατὰ τὴν ἐκείνων ὑπόνοιαν, ἐπιδέξεται τῶν γενητῶν ἡ φύσις τὸ εἶναί τε καὶ καλεῖσθαι ζωή· ἔσται δὲ πάντα ζωὴ κατά γε τὸν ἐν δυνάμει λόγον, καὶ εἰ μήπω τὴν τοῦ πράγματος ἐνέργειαν ἔχει· τὸ γὰρ ὅλως εἶναί τι πε φυκὸς, εἴη δήπου πάντως ἂν, καὶ εἰ μήπω γέγονεν· ἔχει γὰρ ἐν τῇ φύσει τὸ δύνασθαι. ὅτε τοίνυν κοινὸν μὲν τῇ κτίσει τὸ εἶναι ζωὴ, ἴδιον δὲ καὶ μόνον οὐδενὸς, τί μάτην ἐφ' ἑαυτῷ κομπάζει λέγων ὁ Υἱός "Ἐγώ εἰμι ἡ ζωή;" χρῆν γὰρ δήπου μᾶλλον εἰπεῖν Ἐγώ εἰμι μεθ' ὑμῶν ἡ ζωή. τοῦτο δὲ ἦν πως καὶ ἀληθέστερον, εἴπερ ὄντως γενητὸς ὑπάρχων ἐστὶ καὶ ζωή· ἐπειδὴ δὲ, ὡς ἴδιον ἀγαθὸν ἑαυτῷ περιτίθησι μόνῳ τὸ εἶναι ζωὴ, δῆλος ἂν εἴη λοιπὸν οὐ τοῖς γενητοῖς ἑαυτὸν, 1.78 ἀλλὰ τῇ θείᾳ τοῦ Πατρὸς συντάττων οὐσίᾳ, ᾗ καὶ τὸ εἶναι ζωὴ πρόσεστι φυσικῶς. {Ἄλλο.} Τὸ ζωῆς μετέχον οὐκ αὐτοκυρίως ἐστὶ ζωή, ἕτερον γάρ τι ὑπάρχον ἐν αὐτῷ φαίνεται· εἰ τοίνυν μεθεκτὸς ὁ Υἱὸς τοῖς γενητοῖς ὡς ζωὴ, ἕτερος ἂν εἴη παρὰ τὰ μετέχοντα αὐτοῦ καὶ ζωῆς δεόμενα· οὐκοῦν οὐ γενητὸς, οὔτε μὴν ζωο ποιεῖσθαι ζητῶν παρ' ἑτέρου· Θεὸς οὖν ἄρα λοιπὸν ὡς ζωοποιός· εἰ δὲ τοῦτο, καὶ τῆς τοῦ Πατρὸς οὐσίας ὁμολογη θήσεται, εἴπερ ἕνα προσκυνοῦμεν Θεὸν, καὶ οὐχ ἑτέρῳ τινὶ παρὰ τὸν ὄντα λατρεύομεν. {Ἄλλο.} Τὴν τῶν ὄντων ἀκριβῶς ἐξετάζοντες φύσιν, Θεὸν ὁρῶμεν καὶ κτίσιν, καὶ ἕτερον ἐπὶ τούτοις οὐδέν. ὃ γὰρ ἂν ἐκπίπτῃ τοῦ εἶναι Θεὸς κατὰ φύσιν, τοῦτο πάντως ἐστὶ γενητὸν, καὶ ὅπερ ἂν τὸν τοῦ πεποιῆσθαι διαφεύγῃ λόγον, εἴσω πάντως ἐστὶ τῶν τῆς θεότητος ὅρων. ὅτε τοίνυν ἄριστά πως τὰ τοιαῦτα διεσκέμμεθα, λεγέτωσαν ἡμῖν οἱ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐξωθοῦντες τὸν Υἱὸν, πῶς ἂν δύναιτο ζωογονεῖν ὡς ζωὴ, ἴδιον ἐχούσης αὐτὸ τῆς θείας φύσεως, ἑτέρῳ δὲ παραχωρούσης οὐδενί. εἰ δὲ γενητὸς ὑπάρχων εἶναι δύναται καὶ ζωὴ, φθάσει δὴ πάντως ἐπὶ πάντα τὰ γενητὰ τοῦ πλεονεκτήματος ἡ χάρις, ἔσται δὲ πάντα κατὰ φύσιν ζωή· τίς οὖν αὐτοῖς ἔσται χρεία τῆς τοῦ Υἱοῦ μετοχῆς, ἢ τί τὸ πλέον ἐντεῦθεν εὑρήσουσιν; ἔχει γὰρ καὶ αὐτὰ τὸ εἶναι κατὰ φύσιν ζωή. ἀλλ' οὐκ ἀληθὴς ὁ λόγος, μετέχει δὲ ἀναγκαίως ὡς ζωῆς χρῄζοντα τοῦ Υἱοῦ. μόνος ἄρα ἐστὶν ὁ Μονογενὴς κατὰ φύσιν ζωὴ, καὶ οὐκ ἐν τοῖς γενητοῖς διὰ τοῦτο τετάξεται, ἀλλ' εἰς τὴν τοῦ τεκόντος αὐτὸν ἀναβήσεται φύσιν· ζωὴ γὰρ κατὰ φύσιν καὶ ὁ Πατήρ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

{Ἄλλο.} Ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, ἢ ἕτερός ἐστι 1.79 παρὰ τὴν κτίσιν, δῆλον δὲ ὅτι κατὰ τὴν φύσιν, ἢ ὁμοφυὴς ταύτῃ. εἰ μὲν οὖν ὁμοφυής τε ἐστὶ καὶ ὁμοούσιος, πῶς οὐ διαψεύσεται λέγων "Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς ὁ κατα "βαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ;" ἔχει γὰρ ἡ κτίσις οἴκοθεν τὸ εἶναι ζωὴ, ζωὴ δὲ ζωῆς ἀμέτοχος, ἵνα φαίνηται ζωή. εἰ δὲ οὐκ ἔστιν ὁμοφυὴς, καὶ τὸ εἶναι γενητὸς διαφεύξεται, συνεξέλκων ἑαυτῷ τῆς κτίσεως καὶ τὸ ἴδιον ἀγαθόν. οὐ γὰρ ἡ κτίσις ἔσται κατὰ φύσιν ζωὴ, ζωῆς δὲ μᾶλλον δεομένη καὶ μέτοχος. {Ἄλλο.} Εἰ ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ. Υἱὸς, ὁμοφυής ἐστι τοῖς πεποιημένοις, διὰ τὸ μὴ ὑπάρχειν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, κατά γε τὸν παρ' ἐκείνοις λόγον, ὅτου δὴ χάριν ὁ μακάριος ψαλμῳδὸς, οὐρανοὺς μὲν ἀπολεῖσθαί φησι, καὶ ὡς ἱμάτιον παλαιωθήσεσθαι· ἴδιον δὲ ὥσπερ ἀνετίθει γέρας αὐτῷ "Σὺ δὲ ὁ αὐτὸς εἶ, βοῶν, καὶ τὰ ἔτη σου οὐκ "ἐκλείψουσιν." ἢ γὰρ ἀπολεῖται καὶ ἐκλείψει σὺν ἡμῖν ὡς ὁμοφυὴς, καὶ οὐκέτι νοηθήσεται ζωὴ, ἢ καὶ ἡμᾶς εἰς τὸ ὡσαύτως ἔχειν ἀεὶ καὶ εἰς ἀνέκλειπτον ἐτῶν ἀριθμὸν καὶ εἰς τὸ εἶναι ζωὴν ἀνελκύσει ἡ πρὸς αὐτὸν συνάφεια φυσική. ἀλλὰ μὴν ἕξει μὲν αὐτὸς ὡσαύτως ἀεὶ, ἡμεῖς δὲ ἐκλείψομεν· οὐκ ἄρα γενητὸς ὡς ἡμεῖς· ἀλλ' ἐπείπερ ἐστὶν ἐκ τῆς κατὰ φύσιν ζωῆς, ζωογονήσει καὶ αὐτὸς ὡς ζωὴ τὰ ζωῆς δεόμενα. {Ἄλλο.} Εἰ οὐδὲν ἑαυτοῦ μέτοχον, μετέχει δὲ ἡ κτίσις, ὡς ζωῆς, τοῦ Υἱοῦ· οὐκ ἄρα ἡ κτίσις αὐτὸς, ἀλλ' οὐδὲ ἡ κτίσις ζωὴ, ὅπερ ἐστὶν ὁ Υἱός. {Ἄλλο.} Εἰ τὸ ζωοποιεῖν ἕτερόν ἐστι, τὸ δὲ ζωοποιεῖσθαι ἕτερον, ὡς ἐνέργεια καὶ πάθος, καὶ ζωοποιεῖ μὲν ὁ Υἱὸς, ζωοποιεῖται δὲ ἡ κτίσις· οὐκ ἄρα ταὐτὸν Υἱὸς καὶ κτίσις, ἐπεὶ μηδὲ τὸ ἐνεργοῦν τῷ ἐνεργουμένῳ.

**1.80 ΚΕΦΑΛΗ Ζ.** Ὅτι φῶς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, καὶ διὰ τοῦτο οὐ γενητὸς, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ. Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. ΚΑΙ διὰ τούτων ἡμῖν ὁ μακάριος Εὐαγγελιστὴς Θεὸν ὄντα κατὰ φύσιν ἐπιδεικνύει τὸν Υἱὸν, καὶ τῶν τοῦ γεννή σαντος ἀγαθῶν οὐσιωδῶς κληρονόμον. προδιδάξας γὰρ ὅτι ζωὴ κατὰ φύσιν ὑπάρχων, αὐτὸς ἦν ἐν πᾶσι τοῖς δι' αὐτοῦ γενομένοις, συνέχων αὐτὰ καὶ ζωογονῶν καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρελθεῖν ἀφάτῳ δυνάμει δωρούμενος καὶ γεγενη μένα διασώζων, ἐφ' ἑτέραν ἔρχεται νοημάτων διασκευὴν, πανταχόθεν ἡμᾶς ἐπὶ τὴν τῆς ἀληθείας κατάληψιν χειρα γωγεῖν, ὅτι δὴ καὶ μάλα προσήκοι, διενθυμούμενος. οὐκοῦν τοῖς γεγενημένοις ὁ Λόγος ἐνυπῆρχεν, ὡς ζωή· ἐπειδὴ δὲ ζῷον λογικὸν ἐν αὐτοῖς ὂν ἐπὶ γῆς, νοῦ τε καὶ ἐπιστήμης δεκτικὸν, ὁ ἄνθρωπος, καὶ τῆς παρὰ Θεοῦ σοφίας μέτοχον, ἀναγκαίως ἡμῖν ὁ πνευματοφόρος, καὶ τῆς ἐν ἀνθρώποις σοφίας χορηγὸν ὄντα τὸν Λόγον ἐπιδεικνύει σαφῶς, ἵνα νοῆται δι' Υἱοῦ τὰ πάντα ἐν πᾶσιν ὑπάρχων ὁ Θεὸς καὶ 1.81 Πατὴρ, ζωὴ μὲν ἐν τοῖς δεομένοις ζωῆς· φῶς δὲ πάλιν καὶ ζωὴ, ἐν τοῖς ζωῆς καὶ φωτὸς δεομένοις. καὶ διὰ τοῦτό φησι Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, τουτέστιν, ὁ τὰ πάντα ζωογονῶν Θεὸς Λόγος, ἡ ἐν πᾶσι τοῖς οὖσι ζωὴ, καὶ τὸ λογικὸν φωτίζει ζῷον, καὶ τοῖς συνέσεως δεκτικοῖς τὴν σύνεσιν ἐπιδαψιλεύεται· ἵνα σώζηται καὶ ἰσχύῃ καλῶς τὸ ἐπὶ τῇ κτίσει λεγόμενον "Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;" πλουτεῖ γὰρ οὐδὲν οἴκοθεν ἡ γενητὴ καὶ πεποιημένη φύσις, ἀλλ' ὅπερ ἂν ἔχουσα φαίνοιτο, τοῦτο πάντως ἐστὶ παρὰ Θεοῦ, τοῦ καὶ τὸ εἶναι, καὶ ὅπως ἕκαστον εἶναι προσήκει χαριζομένου. εὖ δὲ πάλιν τὸ ἦν ἐπὶ τῆς ζωῆς τέθειται, ἵνα πανταχῇ τὸ ἀϊδίως εἶναι σημαίνῃ τὸν Λόγον, καὶ τὰς τῶν ἀνοήτων ἀνακόπτῃ φλυαρίας, ἐξ οὐκ ὄντων ἡμῖν εἰσφε ρούσας τὸν Υἱὸν, ὅπερ ὅλῃ μαχόμενον φαίνεται τῇ θείᾳ γραφῇ. Περὶ μὲν οὖν τῆς τοῦ Λόγου μετὰ Πατρὸς ἀϊδιότητος, ἀρκούντως ἤδη διειληφότες, ἔν τε τῷ προκειμένῳ βιβλίῳ, καὶ τῷ κατ' ἐπίκλην Θησαυρῷ, σιγᾶν ἔχειν οἰησόμεθα δεῖν. ὃ δὲ δὴ τῶν προκειμένων εἰσφέρει μᾶλλον ἡμῖν ἡ διάνοια, τοῦτο καὶ μάλα προθύμως ὡς ἔνι μάλιστα βασανίζοντες, ἑαυτούς τε ὠφελῆσαι σπουδάσομεν καὶ τοὺς ὕστερον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐντευ ξομένους, Θεοῦ πάλιν ἡμῖν καὶ θύραν καὶ στόμα τοῖς λόγοις ἀνοίγοντος. Τί οὖν ἄρα πάλιν ἡμῖν ὁ χριστομάχος ἐρεῖ, τὸ φῶς τῶν ἀνθρώπων μανθάνων ὑπάρχειν τὴν ζωὴν, τουτέστι, τὸν ἀεὶ ζῶντα Θεὸν Λόγον; ποίοις ἡμᾶς κατασφενδονήσει λο γισμοῖς, ὅταν εἰς μέσον ἥκωμεν λέγοντες Εἰ μὴ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, καὶ τῆς τοῦ γεννήσαντος οὐσίας καρπὸς, εἰ μὴ φῶς ἡμῖν ἀληθινὸν ἐκ φωτὸς ἐξέλαμψεν ἀληθινοῦ, ἔξωθεν δὲ καὶ αὐτὸς ὑπέστη κατὰ τὴν ὑμῶν ἀμαθίαν· 1.82 ὁμοφυὴς ἄρα ἐστὶ τοῖς πεποιημένοις, καὶ τὸ εἶναι γενητὸς οὐδαμόθεν διαφεύξεται; πῶς οὖν, ὦ πάσης μωρίας ἀνάπλεω, φωτίζει μὲν αὐτὸς, τὰ δὲ ὑπ' αὐτοῦ φωτίζεται; ἢ γὰρ οὐχ ἕτερον μὲν τὸ φωτίζον ἐστὶν, ἕτερον δὲ τὸ φωτιζόμενον; ἀλλ' ἔστι δῆλον καὶ παντί τῳ σαφές. εἰ γὰρ ταὐτὸν εἶναι δοίημεν, ὅσον εἰς οὐσίας ποιότητα, καὶ τὸν τοῦ πῶς εἶναι λόγον, τί τὸ πλέον ἐν τῷ φωτίζειν ἰσχύοντι, τί δὲ τὸ ἔλαττον αὖθις ἐν τῷ φωτὸς δεομένῳ; ἥξει γὰρ ἐπ' ἀμφοῖν, ὅπερ ἂν ἴοι, καὶ ἀνὰ μέρος ἐφ' ἑκατέρῳ, καὶ φῶς μὲν ἔσται τὸ ἐν χρείᾳ φωτὸς, τὸ δὲ φῶς ἀδιαφορήσει φωτιζόμενον. ἀλλὰ πολλή τις ἐν τούτοις ἡ τῶν θεωρημάτων ὁρᾶται σύγχυσις, καὶ ἀναγκαῖος ἡμῖν ἀποτέμνει λόγος τῶν ὀνομα σθέντων ἑκάτερον, ἐν ἰδίᾳ τε τίθησι φύσει τὸ χορηγοῦν ἐν τούτοις παρὰ τὸ χορηγούμενον. οὐκ ἄρα ὁμοφυὴς τοῖς πεποιημένοις ὁ Υἱὸς, ἀλλ' ἐν τῇ τοῦ Πατρὸς οὐσίᾳ κείσεται, φῶς ἀληθινὸν ἐκ φωτὸς ὑπάρχων ἀληθινοῦ. Χαλεπὸν δὲ οὐδὲν τὸν ἐπὶ τοῖς προλαβοῦσι μεταῤῥυθμί ζοντας λόγον, ὃν ἐπὶ τῷ κατὰ φύσιν ὑπάρχειν ζωὴν τὸν Υἱὸν πεποιήμεθα, ἕτερόν τε ὄντα παρὰ τὰ ἐν οἷς ἐστιν ἐδεικνύ ομεν, καὶ τὴν ἐν τῷδε τῷ κεφαλαίῳ διευκρινήσασθαι γνῶσιν· ἐπὶ δὲ τοῦ μὴ ἑτέροις τὸν ἐπὶ τούτοις καταλεῖψαι πόνον, ἢ καὶ ὄκνῳ κεκρατῆσθαι δοκεῖν, αὐτὸς ἐγὼ πάλιν τὸν ἐν τοῖς προλαβοῦσι συλλογισμοῖς μεταστοιχειῶσαι τὸν τύπον, ὡς ἂν οἷός τε ὦ, πειράσομαι. ὡς γὰρ ἐν ἐκείνοις ζωὴ κατὰ φύσιν ὑπάρχων, ἕτερος ὢν παρὰ τὰ ἐν οἷσπερ ἦν ἀναφαί νεται, οὕτω κἀν τούτῳ τὸ φῶς τῶν ἀνθρώπων εἶναι λεγό μενός τε καὶ κατ' ἀλήθειαν ὢν, ἕτερος εὑρεθήσεται παρὰ τὰ φωτὸς δεόμενα καὶ μετέχοντα αὐτοῦ· ἀπὸ δὲ τῶν ἐφεξῆς ἀκριβέστερον εἰσόμεθα. 1.83 Ἀποδείξεις διὰ συλλογισμῶν, ὅτι κατὰ φύσιν ἕτερος ὁ φωτίζων Υἱὸς παρὰ τὴν φωτιζομένην κτίσιν. Εἰ ἐν τοῖς λεγομένοις ὁ Λόγος ἦν ὡς φῶς κατὰ φύσιν διὰ μετοχῆς τοῖς οὖσιν ἑαυτὸν ἀναμιγνὺς, ἕτερος ἄρα ἐστὶ τῶν ἐν οἷς εἶναι πιστεύεται. ὁ δὲ τὴν φύσιν ἕτερος ὢν, ἢ ὅπερ ἐστὶν ἡ μετέχουσα αὐτοῦ καὶ φωτιζομένη κτίσις, πῶς οὐκ ἂν εἴη λοιπὸν ὁ ὑπὲρ πάντα Θεός; {Ἄλλο.} Εἰ φῶς κατὰ φύσιν ὄντα τὸν Υἱὸν ἐν τοῖς γενητοῖς ὡς γενητὸν ὁ θεομάχος εἶναί φησι, τὰ φωτὸς δεδεημένα φωτίζοντα· πρῶτον μὲν αὐτὸς ὑπάρχων ἐν ἑαυτῷ νοηθή σεται, εἶτα πρὸς τούτῳ, καὶ αὐτὸς ἑαυτοῦ μέτοχος ἔσται, καὶ φῶς, εἴπερ ὢν ἐν τοῖς γενητοῖς, εἷς καὶ ὁ αὐτὸς ἐξ αὐτῶν ὑπάρχειν ὑποληφθήσεται. ἀλλ' ὁρᾷ που πάντως ὁ πεπαι δευμένος "τὴν καρδίαν ἐν σοφίᾳ," καθὰ γέγραπται, ὅσην ἔχει τὴν ἀτοπίαν τὸ οὕτω νοεῖν. οὐκοῦν εἰ μεθεκτῶς ἐν τοῖς γενητοῖς ἐστιν ὁ φωτίζων αὐτὰ Λόγος, οὐκ ἐν τοῖς μετέ χουσι καὶ φωτιζομένοις ἔσται καὶ αὐτὸς, ἀλλ' ἕτερος δη λονότι παρ' ἐκεῖνα. εἰ δὲ τοῦτο, οὐκ ἄρα γενητὸς, ἀλλ' ὡς φῶς κατὰ φύσιν, καὶ Θεὸς ἐν τοῖς φωτὸς δεομένοις. {Ἄλλο.} Εἰ μὴ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, ἔξωθεν δὲ αὐτὸν κατ' ἐκείνους ὑπέστησε, γενητὸς ἄρα ἐστὶ καὶ πεποιημένος· πῶς οὖν ἐν τοῖς γεγονόσιν ἐστὶ φωτίζων αὐτά; τί δὲ τὸ ἐξαίρετον ἐν τῇ θείᾳ φύσει λοιπὸν εὑρήσομεν; ἢ πῶς ὁ σοφώτατος ψαλμῳδὸς, ὡς ἀξιάγαστόν τι φησὶν ἐπὶ τοῦ κατὰ φύσιν ὄντος Θεοῦ "Ἐν τῷ φωτί σου "ὀψόμεθα φῶς;" εἰ γὰρ γενητὸς ὑπάρχων ὁ Υἱὸς φωτίζει τὰ πάντα, ἑαυτὴν ἡ κτίσις φωτιεῖ, χρῄζουσα μηδαμῶς πρὸς τοῦτο τοῦ ποιήσαντος Θεοῦ. οὐδὲν οὖν ἄρα τὸ πλέον ἐν Θεῷ παρὰ τὴν κτίσιν, ἐνεργεῖ δὲ οὐχ ἧττον ἢ ὡς ἂν δύνηται 1.84 Θεός· ἀλλὰ τοῦτο ἄτοπον· οὐκ ἄρα γενητὸς ὁ Υἱὸς, Θεὸς δὲ μᾶλλον, καὶ διὰ τοῦτο φῶς κατὰ φύσιν, ὡς ὁ Πατήρ. {Ἄλλο ἐκ τοῦ αὐτοῦ.} Εἰ φῶς τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων ὁ Υἱὸς, κατὰ τό "Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς," καὶ "Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου," γενητός



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστι καὶ εἰς ὑπόστασιν ἐνεχθεὶς, οὐδὲν ἔτι διακω λύσει, κατὰ τὴν ἴσην ἀναλογίαν, φῶς καλεῖσθαι τοῦ Θεοῦ καὶ Πατρὸς πάντα τὰ γενητά. εἰ γὰρ ὅλως ἐπιδέχεται τοῦτο τῶν πεποιημένων ἡ φύσις, ἔσται τοῖς πᾶσι δυνάμει κοινὸν, καὶ οὐχ ἑνὸς ἴδιον τοῦ Υἱοῦ· ἀλλὰ τοῦτο ἄτοπον· μόνῳ γὰρ ἁρμόσει τῷ Υἱῷ τὸ καλεῖσθαί τε καὶ εἶναι φῶς τοῦ Θεοῦ καὶ Πατρός. οὐκ ἄρα ἐστὶ γενητὸς, ἀλλὰ φῶς, ὡς Θεὸς ἐκ Θεοῦ φωτίζοντος δι' αὐτοῦ τὰ φωτὸς δεόμενα. {Ἄλλο.} Εἰ φῶς κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς οὐκ ἐκ τῆς οὐσίας ἐστὶ τοῦ Πατρὸς, ἀλλ' ἔξωθεν ὑπέστη κατὰ τὸν ἀπαίδευτον τῶν θεομάχων λόγον· ὁμοφυὴς ἄρα ἐστὶ τοῖς πεποιημένοις καὶ ἀδελφὸς, ἅτε δὴ τῆς θείας ἐκπίπτων οὐσίας· πῶς οὖν ἄρα φῶς μὲν αὐτὸς καλεῖται καὶ ἔστι· περὶ δὲ τοῦ ἁγίου λέγεται βαπτιστοῦ "Οὐκ ἦν ἐκεῖνος τὸ φῶς;" καίτοι δυνάμει φῶς ὁ μακάριος βαπτιστὴς, καὶ οὐ μόνος αὐτὸς, εἴπερ ὅλως ἐνεχώρει γενητὸν ὄντα τὸν Υἱὸν φῶς εἶναι δύνασθαι κατὰ φύσιν. τὸ γὰρ ἐν τῇ φύσει κείμενον ἅπαξ, κοινὸν δήπου παντί τῳ γένοιτ' ἂν τῷ ταύτης μετεσχηκότι, κατά γε τὸν τῆς ἀκολουθίας λόγον. ἀλλὰ μὴν Ἰωάννης οὐ φῶς, φῶς δὲ ὁ Υἱός· ὡς ἕτερος ἄρα κατὰ φύσιν, καὶ οὐχὶ τοῖς γεγονόσιν ὁμοφυής. {Ἄλλο ἐκ τοῦ αὐτοῦ.} Εἰ φῶς κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς γενητός ἐστι καὶ πεποιημένος, ἅτε δὴ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς οὐκ ἔχων, κατὰ τὴν τινῶν ὑπόνοιαν, ἐπιδέξεται τῶν γενητῶν ἡ φύσις τὸ εἶναί τε καὶ καλεῖσθαι 1.85 φῶς· ἔσται δὲ κατὰ πάντα φῶς κατὰ τὸν ἐν δυνάμει λόγον. τὸ γὰρ ὅλως εἶναί τι πεφυκὸς εἴη δήπου πάντως ἂν, καὶ εἰ μήπω γέγονεν. ὅτε τοίνυν κοινὸν μὲν τῇ τῶν γενητῶν φύσει τὸ εἶναι φῶς, ἴδιον δὲ καὶ μόνως οὐδενὸς, τί μάτην ἐφ' ἑαυτῷ κομπάζει λέγων ὁ Υἱός Ἐγώ εἰμι τὸ φῶς· χρῆν γὰρ δήπου μᾶλλον εἰπεῖν Ἐγώ εἰμι μεθ' ὑμῶν τὸ φῶς· ἐπειδὴ δὲ ὡς ἴδιον ἀγαθὸν ἑαυτῷ περιτίθησι μόνῳ τῶν ἄλλων οὐδένα προσλαβὼν, δῆλος ἂν εἴη λοιπὸν, οὐ τοῖς γενητοῖς ἑαυτὸν, ἀλλὰ τῇ θείᾳ τοῦ Πατρὸς συντάττων οὐσίᾳ, ᾗ καὶ τὸ εἶναι φῶς πρόσεστι φυσικῶς. {Ἄλλο.} Τὸ φωτὸς μετέχον οὐκ αὐτοκυρίως ἐστὶ τὸ φῶς, ἕτερον γάρ τι ὑπάρχον ἐν ἑτέρῳ φαίνεται· εἰ τοίνυν μεθεκτὸς ὁ Υἱὸς τοῖς γενητοῖς ὡς φῶς, ἕτερος ἂν εἴη παρὰ τὰ μετέ χοντα αὐτοῦ καὶ φωτὸς δεόμενα· οὐκοῦν οὐ γενητὸς, οὐδ' ὥσπερ τὰ γενητὰ φωτίζεσθαι παρ' ἑτέρου ζητῶν· Θεὸς δὲ ἄρα λοιπὸν καὶ φωτίζειν δυνάμενος· εἰ δὲ τοῦτο, καὶ τῆς τοῦ Πατρὸς οὐσίας ἐκπεφυκὼς νοηθήσεται, εἴπερ ἕνα προσκυ νοῦμεν Θεὸν, καὶ οὐχ ἑτέρῳ τινὶ παρὰ τὸν ὄντα λατρεύομεν. {Ἄλλο.} Τὴν τῶν ὄντων ἀκριβῶς ἐξετάζοντες φύσιν, Θεὸν ὁρῶμεν καὶ κτίσιν, καὶ ἕτερον ἐπὶ τούτοις οὐδέν· ὃ γὰρ ἂν ἐκπέσῃ τοῦ εἶναι Θεὸς κατὰ φύσιν, τοῦτο πάντως ἐστὶ γενητὸν, καὶ ὅπερ ἂν τὸν τοῦ πεποιῆσθαι διαφεύγῃ λόγον, τοῦτο καὶ εἴσω πάντως ἐστὶ τῶν τῆς Θεότητος ὅρων. ὅτε τοίνυν ἄριστά πως τὰ τοιαῦτα διεσκέμμεθα, λεγόντων ἡμῖν οἱ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐξωθοῦντες τὸν Υἱὸν, πῶς ἂν δύναιτο φωτίζειν ὡς φῶς, ἴδιον ἐχούσης αὐτὸ τῆς θείας φύσεως, ἑτέρῳ δὲ παραχωρούσης οὐδενί. εἰ δὲ γενητὸς ὑπάρχων ὁ Υἱὸς, καὶ φῶς εἶναι δύναται, φθάσει δὲ πάντως ἐπὶ πάντα τὰ γενητὰ τοῦ πλεονεκτήματος ἡ χάρις, ἔσται δὲ πάντα φῶς κατὰ φύσιν. τίς οὖν αὐτοῖς ἔτι χρεία τῆς τοῦ Υἱοῦ μετοχῆς, ἢ τί τὸ πλέον ἐντεῦθεν εὑρήσουσι, κατὰ φύσιν 1.86 ἔχοντα καὶ αὐτὰ τὸ εἶναι τὸ φῶς, ὥσπερ οὖν ἀμέλει καὶ ὁ Υἱὸς εἶναι ἐν ἑαυτοῖς; ἀλλὰ χρῄζει τοῦ φωτίζοντος ἡ κτίσις, οἴκοθεν οὐκ ἔχουσα τοῦτο. Θεὸς ἄρα κατὰ φύσιν ὁ Υἱὸς, καὶ διὰ τοῦτο φῶς, ὡς τὰ φωτὸς δεόμενα φωτίζειν δυνά μενος. {Ἄλλο.} Φῶς κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, ἢ ἕτερός ἐστι παρὰ τὴν κτίσιν, δῆλον δὲ ὅτι κατὰ τὸν τοῦ πῶς εἶναι λόγον, ἢ ὁμοφυὴς αὐτῇ. εἰ μὲν οὖν ὁμογενής ἐστι καὶ ὁμοούσιος, μάτην, ὡς ἔοικεν, ἡμῖν ἐπεφοίτησε λέγων "Ἐγὼ "φῶς εἰς τὸν κόσμον ἐλήλυθα·" ἔχει γὰρ ἡ κτίσις οἴκοθεν τὸ φῶς εἶναι καὶ αὐτή· φῶς δὲ φωτὸς ἀμέτοχον, ἵνα νοῆται φῶς· εἰ δὲ οὐκ ἔστιν ὁμοφυὴς, δεῖται δὲ φωτὸς ἡ κτίσις ἀκούσασα "Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες," ἀναγκαίως ἤδη τὸ εἶναι γενητὸς ὁ Υἱὸς διαφεύξεται, συνεξέλκων ἑαυτῷ τῆς κτίσεως τὸ ἴδιον ἀγαθόν· οὐ γὰρ ἡ κτίσις ἔσται κατὰ φύσιν τὸ φῶς, φωτὸς δὲ μᾶλλον δεομένη καὶ μέτοχος. {Ἄλλο.} Εἰ οὐδὲν ἑαυτοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέτοχον, μετέχει δὲ ἡ κτίσις ὡς φωτὸς τοῦ Υἱοῦ· οὐκ ἄρα κτίσις αὐτὸς, ἀλλ' οὐδὲ ἡ κτίσις τὸ φῶς, ὅπερ ἐστὶν ὁ Υἱός. {Ἄλλο.} Εἰ τὸ φωτίζειν ἕτερον, ἕτερον δέ ἐστι τὸ φωτί ζεσθαι, ὡς ἐνέργεια καὶ πάθος, καὶ φωτίζει μὲν ὁ Υἱὸς, φωτίζεται δὲ ἡ κτίσις· οὐκ ἄρα ταὐτὸν Υἱὸς καὶ κτίσις, ἐπεὶ μηδὲ τὸ ἐνεργοῦν τῷ ἐνεργουμένῳ. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἀναγκαίως ἡμῖν ὁ σοφώτατος Εὐαγγελιστὴς, τὴν ἐν τοῖς προλαβοῦσι θεωρίαν ἐκπλατύνειν καὶ διὰ τῶν προκειμένων ἐπείγεται. οὐ γὰρ δήπου τοῖς ἀκροωμένοις ἀποχρήσειν 1.87 ἐνόμιζεν εἰς τὸ δύνασθαι νοεῖν ἀπλανῶς περὶ τοῦ Θεοῦ Λόγου, ὅτιπερ ὄντως ἐστὶ τὸ φῶς τῶν ἀνθρώπων αὐτὸς, διὰ τοῦ φάναι μόνον "Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀν "θρώπων·" ἦν γὰρ δὴ καὶ εἰκὸς, ἀναδειχθήσεσθαί τινας ἀβασανίστως τῶν λαλουμένων ἀκούοντας· καὶ δὴ καὶ πρεσ βεύειν ἢ καὶ ἑτέρους διδάσκειν ἐπιχειρεῖν, ὅτι φῶς μέν ἐστιν ὄντως ὁ τοῦ Θεοῦ Λόγος, πλὴν οὐ πᾶσι φωτὸς χορηγὸς, ἀλλ' οἷς ἂν αὐτὸς βούληται τὸ τῆς συνέσεως ἐνίησι φῶς, δοκιμάζων τὸν ὀφείλοντα λαβεῖν καὶ τῆς οὕτω λαμπρᾶς ἄξιον ὄντα δωρεᾶς· ἡ δέ γε τῶν ἄλλων λογικῶν κτισμάτων φύσις, ἢ ἐξ οἰκείων ὥσπερ σπερμάτων, τὴν ἐπὶ τῷ δύνασθαι φρονεῖν ἐρανίζεται δύναμιν, ἢ ἐντίθησιν αὐτῇ νοῦν καὶ σύνεσιν ὁ Θεὸς καὶ Πατὴρ, ὡς οὐκ ἐξισχύοντος τοῦτο δρᾷν τοῦ Υἱοῦ. ἵνα τοίνυν φαίνηται σαφῶς αὐτὸς ὁ Θεὸς Λόγος, ὃς ἦν ἐν Θεῷ καὶ Πατρὶ, καὶ ζωὴ καὶ φῶς, οὐ τινῶν μὲν ὢν ἀνὰ μέρος, ἑτέρων δὲ οὐκέτι, ἀλλὰ κατά τινα μετουσίας ἄῤῥητον τρόπον, ὡς σοφία καὶ σύνεσις· ὅπερ ἐστὶν ἐν τοῖς λογικοῖς τὸ καλούμενον φῶς· ἑαυτὸν ὅλοις τοῖς οὖσι κατα μιγνὺς, ἵνα λογικεύηται τὰ λογικὰ, καὶ φρόνησιν ἔχῃ τὰ φρονήσεως δεκτικὰ, οὐκ ἂν ἑτέρως εἶναι τοῦτο δυνηθέντα ποτὲ, ἀναγκαίως φησὶν ὅτι Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. μόνον γὰρ οὐχὶ τοιοῦτόν τι τοῖς ἀκροωμένοις ἐκ πολλῆς ἀκριβείας ἀναβοᾷ Ἔφην, ὦ οὗτοι, καίτοι σφόδρα διδάσκων τὰ ἀληθῆ, τὴν ζωὴν εἶναι τῶν ἀνθρώπων τὸ φῶς, οὐχ ἵνα νοῇ τις ἔν γε τοῖς παροῦσι μάλιστα λόγοις, ἐξ ἑτέρου πολιτείας κομίζεσθαι γέρας τὸν παρ' αὐτοῦ φωτισμὸν, τοὺς ὅσοιπερ ἂν φαίνοντ' ἂν δίκαιοί τε καὶ ἀγαθοί· ἀλλ' ἵνα μανθάνητε πάλιν, ὅτιπερ ὃν τρόπον ἐστὶν ἐν πᾶσι τοῖς γεγονόσιν ὁ Λόγος ζωὴ, ζωογονῶν δη λονότι τὰ ζωῆς δεκτικά· οὕτως ἐστὶν ἐν αὐτοῖς καὶ φῶς, τὰ 1.88 συνέσεώς τε καὶ φρονήσεως δεκτικὰ, τοῦτο δεικνύων ὅπερ εἰσί· πάντα γὰρ ἐν πᾶσίν ἐστιν ὁ Θεὸς καὶ Πατὴρ δι' Υἱοῦ ἐν Πνεύματι. Σκοτίαν δὲ ὀνομάζει τὴν τοῦ φωτίζεσθαι δεομένην φύσιν, τουτέστι, καθόλου τὴν γενητήν. ἐπειδὴ γὰρ αὐτὸν ὠνόμασε τὸ φῶς, ἑτέραν οὖσαν ἐπιδεικνύων τὴν ἐπιδεᾶ καὶ ἀμέτοχον αὐτοῦ κτίσιν λογικὴν, εἰς τὸ ἐναντίον περιτρέπει τοῦ σημαι νομένου τὴν δύναμιν, οὐκ ἀπὸ σκοποῦ, κατά γε τὸν ἡμέτερον νοῦν, καὶ τοῦτο ποιῶν, ἀλλ' ἐκεῖνο δὴ πάντως καθ' ἑαυτὸν ἐννοήσας, ὅτι τῶν γενητῶν ἡ φύσις, οὐδὲν ὅλως ἐξ ἑαυτῆς πηγάζουσα, σύμπαν δὲ τὸ εἶναι καὶ τὸ εὖ εἶναι τοιῶσδε τυχὸν δεχομένη παρὰ τοῦ Δημιουργοῦ, δικαίως ἀκούει "Τί "γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;" ἐπειδὴ δὲ πρὸς τοῖς ἄλλοις, καὶ αὐτὸ θεόσδοτον ἔχει τὸ φῶς, οὐκ ἔχουσα δηλονότι λαμβάνει· τὸ δὲ φῶς οὐκ ἔχον ἐξ ἑαυτοῦ, πῶς οὐκ ἂν εἴη τὸ ἐναντίον; ἢ πῶς οὐκ ἂν λέγοιτο σκοτία; πιθανὴ γὰρ, μᾶλλον δὲ ἤδη καὶ ἀναγκαιοτάτη λίαν, ἀπόδειξις, τοῦ τὴν μὲν κτίσιν εἶναι σκοτίαν, φῶς δὲ πάλιν τὸν τοῦ Θεοῦ Λόγον, τὸ φαίνειν ἐν τῇ σκοτίᾳ τὸ φῶς. εἰ γὰρ δέχεται τῶν γενητῶν ἡ φύσις τὸν τοῦ Θεοῦ Λόγον κατὰ μετουσίαν, ὡς φῶς, ἢ ὡς ἐκ φωτός· αὕτη μὲν ὡς σκοτία δηλονότι λαμβάνει, φαίνει δὲ ἐν αὐτῇ, καθάπερ ἐν σκοτίᾳ τὸ φῶς, ὁ Υἱὸς, εἰ καὶ οὐκ οἶδε πάντως ἡ σκοτία τὸ φῶς· τοῦτο γὰρ οἶμαι σημαίνει τό Ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. ἅπασι μὲν γὰρ ὁ τοῦ Θεοῦ Λόγος ἐκλάμπει τοῖς ἐλλάμψεως δεκτικοῖς, καὶ φωτίζει καθόλου τὰ φύσιν ἔχοντα τοῦ φωτίζεσθαι δεκτικήν· ἀγνοεῖται δὲ ὑπὸ τῆς σκοτίας· ἡ γὰρ ἐπὶ γῆς τυγχάνουσα λογικὴ φύσις, τουτέστιν ὁ ἄνθρωπος, ἐλάτρευσέ ποτε τῇ κτίσει παρὰ τὸν κτίσαντα· οὐ κατέλαβε τὸ φῶς· οὐ γὰρ ἔγνω τὸν Δημιουργὸν, τὴν 1.89 πηγὴν τῆς σοφίας, τῆς συνέσεως τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρχὴν, τὴν τῆς φρονήσεως ῥίζαν. ἔχει δ' οὖν ὅμως ἐκ φιλανθρωπίας τὸ φῶς, καὶ συγκαταβεβλημένην ὥσπερ ἐπάγεται τὴν τοῦ φρονεῖν δύναμιν ταῖς εἰς τὸ εἶναι παρόδοις συντρέχουσαν τὰ γενητά. Σημειωτέον δὲ πάλιν ἐν τούτοις, ὅτι λόγος οὐδεὶς ἐπι τρέψει γενητὸν εἶναι νοεῖν ἢ πεποιημένον ὑπάρχειν οἴεσθαι τὸν Υἱὸν τοῦ Θεοῦ, ἀλλ' ἀνεστηκότα πάντη τῶν καθ' ἡμᾶς, καὶ τὴν τῶν κτισμάτων ἀναβαίνοντα φύσιν, ἕτερόν τε παν τελῶς, ἢ ὅπερ εἰσὶν αὐτὰ, καὶ πολὺ διεστηκότα κατὰ τὴν τῆς οὐσίας ποιότητα, ὥσπερ οὖν ἀμέλει τὸ φῶς πρὸς τὴν σκοτίαν ἐστὶν οὐ ταὐτὸν, ἀλλ' ἤδη καὶ ἐναντίον καὶ ἀσυγ κρίτοις ταῖς διαφοραῖς εἰς ἀλλοτριότητα φυσικὴν χωριζό μενον. ἀποχρώντως δὲ ἤδη τὸν περὶ τούτου διαλαβόντες λόγον ἐν τοῖς προεξητασμένοις, τὰ λοιπὰ τῶν ἐφεξῆς προσθήσομεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης, οὗτος ἦλθεν εἰς μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Πολλὰ προεξηγησάμενος περὶ τοῦ Θεοῦ Λόγου, καὶ δι' ὧν ἂν φαίνοιτο κατὰ φύσιν ὑπάρχων Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς ἀκριβέστατα διειπὼν, τὴν ἐκ τῶν ἀκροωμένων πίστιν τοῖς εἰρημένοις ἐκπραγματεύεται· ἐπειδὴ δὲ κατὰ τὸ εἰρη μένον διὰ Μωυσέως ὑπὸ τοῦ Θεοῦ "Ἐπὶ στόματος δύο καὶ "τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα·" συνάγει φρονίμως ἐφ' ἑαυτῷ τὸν μακάριον βαπτιστὴν, καὶ ἀξιολογώτατον ὄντως συνεισφέρει τὸν μάρτυρα. οὐ γὰρ ᾤετο δεῖν, εἰ καὶ λίαν ὑπάρχοι σεμνὸς, τὴν ὑπὲρ νόμον ἀπαιτῆσαι πίστιν τοὺς ἐντευξομένους τῇ περὶ τοῦ Σωτῆρος ἡμῶν συγγραφῇ, καὶ μόνῳ πιστεύειν αὐτῷ τὰ ὑπὲρ νοῦν καὶ φρόνησιν ἐξηγου 1.90 μένῳ τὴν καθ' ἡμᾶς. οὐκοῦν μαρτυρεῖ μὲν αὐτὸς ὁ μακάριος Εὐαγγελιστὴς, ὅτιπερ "Ἦν ὁ Λόγος ἐν ἀρχῇ, καὶ Θεὸς ἦν "ὁ Λόγος, καὶ ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν," καὶ ὅτι "πάντα "δι' αὐτοῦ ἐγένετο," καὶ ἦν ἐν τοῖς γενομένοις, ὡς ζωὴ, καὶ ὅτι "τὸ φῶς τῶν ἀνθρώπων ἦν ἡ ζωὴ," ἵνα διὰ τούτων ἁπάντων Θεὸν ὄντα κατὰ φύσιν ἀποδείξῃ τὸν Υἱόν. ἐπιμαρ τυρεῖ δὲ αὐτῷ καὶ ὁ θεσπέσιος βαπτιστής "Ἑτοιμάσατε τὴν "ὁδὸν τοῦ Κυρίου, βοῶν, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ "Θεοῦ ἡμῶν." εἶναι γὰρ δὴ πάντως ἐρεῖ τις Θεὸν ἀληθινὸν, τὸν ᾧ κατὰ φύσιν ἐνυπάρχει τὸ τῆς κυριότητος ἀξίωμα, καὶ οὐκ ἐν ἑτέρῳ φαίνοιτο προσὸν κυρίως τε καὶ ἀληθῶς, ἐπείπερ "Εἷς μὲν ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ, εἷς δὲ Κύριος Ἰησοῦς "Χριστὸς" κατὰ τὴν Παύλου φωνήν· καὶ εἰ θεοὶ κατὰ χάριν καὶ κύριοι καλοῦνται πολλοὶ ἔν τε τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ἀλλ' εἷς μετὰ τοῦ Πατρὸς Θεὸς ἀληθινὸς ὁ Υἱός. οὐκοῦν, ἀξιολογωτάτη μὲν τῶν ἁγίων μαρτύρων ἡ ξυνωρὶς, πίστις δὲ λοιπὸν οὐδαμόθεν κατηγορουμένη τοῖς λεγομένοις ὀφείλεται, καὶ τὸ ἐκ νόμου λαβοῦσα πλήρωμα, καὶ τῇ τῶν προσώπων περιφανείᾳ βεβαιουμένη. τὸ μὲν οὖν περὶ ἑαυτοῦ τι φάναι τὸν μακάριον Εὐαγγελιστὴν, καὶ τῶν ἰδίων ἐγκω μίων ἐφάψασθαι, φορτικὸν ἦν ὄντως καὶ ἄλλως ἀπαίδευτον· ἢ γὰρ ἂν ἤκουσε δικαίως "Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ "μαρτυρία σου οὐκ ἔστιν ἀληθής." διά τοι τοῦτο τοῖς εἰδόσιν αὐτὸν τὰ καθ' ἑαυτὸν ἐννοεῖν ἐπιτρέπει, ἐπὶ δὲ τὸν ὁμώνυμον ἔρχεται, καλῶς γε σφόδρα καὶ τοῦτο ποιῶν, καὶ ἀπεστάλθαι φησὶν αὐτὸν παρὰ Θεοῦ. ἔδει γὰρ οὐκ αὐτόμολον, οὐδὲ αὐτο κλήτῳ σπουδῇ, πρὸς τὴν ὑπὲρ τοῦ Σωτῆρος ἡμῶν ἰόντα μαρτυρίαν δεικνύειν τὸν ἅγιον βαπτιστὴν, ἀλλὰ τοῖς ἄνωθεν διατεταγμένοις ὑπείκοντα, καὶ τοῖς θείοις τοῦ Πατρὸς ὑπηρε 1.91 τοῦντα θελήμασι. διὰ τοῦτό φησιν Ἐγένετο ἄνθρωπος ἀπε σταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Ἐπιτηρητέον δὲ ὅπως ἀσφαλῆ τε καὶ πρέποντα τὸν περὶ ἑκάστου λόγον ἐποιήσατο, καὶ τῇ τῶν σημαινομένων φύσει κατάλληλον. ἐπὶ μὲν γὰρ τοῦ Θεοῦ Λόγου, τὸ ἦν ἀκολούθως εἰσφέρεται πανταχῆ τὴν ἀϊδιότητα σημαῖνον αὐτοῦ, καὶ τὸ πάσης ἀρχῆς τῆς ἐν χρόνῳ πρεσβύτερον, καὶ τὸ πεποιῆσθαι νομίζειν αὐτὸν ἀναιροῦν. τὸ γὰρ ὂν ἀεὶ πῶς ἂν νοοῖτο καὶ γενητόν; ἐπὶ δὲ τοῦ μακαρίου βαπτιστοῦ, πρεπόντως φησὶ τό Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὡς ἐπ' ἀν θρώπου γενητὴν ἔχοντος τὴν φύσιν. δοκεῖ δέ μοι καὶ λίαν ἠσφαλισμένως ἐν τούτοις ὁ Εὐαγγελιστὴς οὐχ ἁπλῶς ὅτι γέγονεν εἰπεῖν, ἀλλὰ διὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ προσθεῖναι καὶ ἄνθρωπος, ἀβου λοτάτην τινῶν ἀνατρέπειν ὑπόνοιαν. ἤδη γάρ τις παρὰ πολλοῖς περιηνέχθη λόγος, οὐκ ἄνθρωπον ὄντως ὑπάρχειν τῇ φύσει τὸν ἅγιον βαπτιστὴν διαθρυλλῶν, ἀλλ' ἕνα τῶν ὄντων ἐν τοῖς οὐρανοῖς ἁγίων ἀγγέλων, ἀνθρωπίνῳ χρησάμενον σώματι, καὶ πρὸς τὸ κηρύττειν ἀπεσταλμένον παρὰ Θεοῦ. ἐξηύρηται δὲ πάλιν αὐτοῖς τῆς ὑπονοίας τῆς ἐπὶ τούτῳ πρόφασις, τὸ εἰρῆσθαι παρὰ Θεοῦ "Ἰδοὺ ἐγὼ ἀποστέλλω "τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν "ὁδόν σου ἔμπροσθέν σου." ἀποσφάλλονται δὲ τῆς ἀλη θείας οἱ τῇδε δοξάζοντες, οὐ νοοῦντες, ὅτι τό Ἄγγελος ὄνομα λειτουργίας μᾶλλόν ἐστιν, ἤπερ οὐσίας σημαντικὸν, ὥσπερ οὖν ἀμέλει καὶ ἐν τοῖς κατὰ τὸν μακάριον Ἰὼβ ἄλλος ἐπ' ἄλλῳ τρέχουσιν ἄγγελοι τὰ πολύτροπα κηρύττοντες πάθη, καὶ ταῖς ἀνηκέστοις ἐκείναις διακονούμενοι συμφοραῖς. ὁρίζει δέ τι τοιοῦτον καὶ ἐπὶ τῶν ἁγίων ἀγγέλων καὶ αὐτὸς ἡμῖν ὁ σοφώτατος Παῦλος ἐπιστέλλων ὡδί "Οὐχὶ πάντες εἰσὶ 1.92 "λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ "τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;" οὐκοῦν ἄγγελος ὁ μακάριος βαπτιστὴς Ἰωάννης διὰ τῆς τοῦ Δεσπότου κατωνό μασται φωνῆς, οὐκ αὐτὸ κατὰ φύσιν ἄγγελος ὢν, ἀλλ' ὡς εἰς τὸ ἀγγέλλειν ἀπεσταλμένος, καὶ Τὴν ὁδὸν τοῦ Κυρίου ἑτοι μάσατε βοῶν. χρησίμως δὲ λίαν καὶ παρὰ Θεοῦ τὸν ἄγγελον ἀπεστάλθαι διισχυρίσατο, βεβαιοτάτην αὐτοῦ τὴν μαρτυρίαν ἀποδεικνύων. οὐδὲ γὰρ ἂν ὁ παρὰ Θεοῦ πρὸς τὸ κηρύττειν ἀπεσταλμένος, ἕτερόν τι παρεφθέγξατο διδάσκων, ὃ μὴ πάντως ἦν κατὰ βούλησιν τοῦ τὴν ἀποστολὴν ἐπιθέντος αὐτῷ. οὐκοῦν ἀληθὴς ὁ μάρτυς θεοδίδακτος ὤν· τοῦτο γὰρ οἶμαι σημαίνειν τό Ἀπεσταλμένος παρὰ Θεοῦ· ἐπεὶ καὶ Παῦλος ἡμῖν ὁ σοφώτατος ἀπεστάλθαι λέγων διὰ Ἰησοῦ Χριστοῦ, τοῦ μυστηρίου τὴν δύναμιν οὐ παρ' ἑτέρου τινὸς ἐκμαθεῖν, ἀλλὰ "δι' ἀποκαλύψεως" τοῦ πεπομφότος, διεβε βαιώσατο, συνημμένως ἡμῖν ὥσπερ καὶ ἀδιαστάτως, ἐν τῷ ἀπεστάλθαι λέγειν διὰ Ἰησοῦ Χριστοῦ, τὴν ἀποκάλυψιν ὑπεμφαίνων. οὐκοῦν ἐν τῷ ἀπεστάλθαι παρὰ Θεοῦ, τὸ θεοδίδακτον εἶναι πάντως ἀκολουθεῖ. τὸ δὲ ἀψευδεῖν ὅτι λίαν ἐσπούδασται τοῖς τῆς ἀληθείας λειτουργοῖς, οὐκ ἀμφίλογον. Ἦν δὲ καὶ ὄνομα, φησὶ, τῷ ἀνθρώπῳ Ἰωάννης. ἔδει γνωρίζεσθαι τὸν ἀπεσταλμένον, καὶ τῇ τοῦ ὀνόματος ση μασίᾳ, πολλὴν, ὡς οἶμαι, τῷ λόγῳ τὴν ἀξιοπιστίαν εἰσφέ ροντος· ἄγγελος γάρ· Γαβριὴλ δὲ οὗτος "ὁ παρεστηκὼς "ἐνώπιον τοῦ Θεοῦ," καθά φησιν αὐτός· ὅτε τῷ Ζαχαρίᾳ τὴν γέννησιν αὐτοῦ τὴν ἐκ τῆς Ἐλισάβετ εὐηγγελίσατο, πρὸς οἷς εὑρίσκεται λέγων, καὶ τοῦτο προστέθεικεν, ὅτι καὶ Ἰωάννης ἔσται τὸ ὄνομα αὐτοῦ. δῆλον δὲ δήπου, καὶ πᾶσιν ὁμολο γούμενον, ὡς ἄρα κατὰ τὴν θείαν βούλησίν τε καὶ πρόσ ταξιν οὕτω παρὰ τοῦ ἀγγέλου κατωνομάζετο. εἶτα πῶς οὐκ 1.93 ἂν νοηθείη λοιπὸν παντὸς ἐπαίνου κρείττων ἅμα καὶ ἀξιολο γώτερος ὁ τοσαύτῃ παρὰ Θεοῦ κατεστεμμένος τιμῇ; διὸ δὴ καὶ ἡ τοῦ ὀνόματος μνήμη χρησίμως τε καὶ ἀναγκαίως παρα λαμβάνεται. ἐπειδὴ δὲ προστέθεικεν ὁ Εὐαγγελιστὴς εἰς μαρτυρίαν ἀπεστάλθαι παρὰ Θεοῦ τὸν ἅγιον βαπτιστὴν, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ, πάλιν ἐκεῖνο ἐροῦμεν, ὅταν ἡμῖν οἱ δι' ἐναντίας ἀντιπίπτωσι λέγοντες Διατί μὴ πάντες τῷ θεόθεν ἀπεσταλμένῳ πεπιστεύκασι; πῶς δὲ ἠτόνησεν εἰς τὸ πεῖσαί τινας ὁ πρὸς τοῦτο διὰ τῆς ἄνωθεν ψήφου προκεχει ρισμένος; Οὐ τῆς Ἰωάννου ῥαθυμίας, ὦ οὗτοι, δίκαιον ἡμᾶς ἐν τούτοις κατηγορεῖν, ἀλλὰ τῆς τῶν ἀπειθούντων δυστρο πίας καταβοᾶν. ὅσον μὲν γὰρ εἰς τὸν τοῦ προκηρύττοντος σκοπὸν, καὶ τὸν τῆς ἀποστολῆς τῆς ἄνωθεν τρόπον, οὐδεὶς ἂν ηὑρέθη τῆς διδασκαλίας ἀμέτοχος, οὐδ' ἂν ἔμεινεν ἀπει θής· ἐπειδὴ δὲ διάφορος ἐν τοῖς ἀκροωμένοις ἡ γνώμη, καὶ τῆς οἰκείας προαιρέσεως ἕκαστος ἔχει τὴν ἐξουσίαν, ἀπεσφά λησάν τινες τοῦ συμφέροντος οὐ παραδεξάμενοι τὴν πίστιν. διὸ αὐτοῖς ῥητέον δηλονότι κατὰ τὸ ἐν τῷ προφήτῃ κείμενον "Ὁ ἀκούων ἀκουέτω, καὶ ὁ ἀπειθῶν ἀπειθείτω." Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἔμφασιν ἀρετῆς καὶ τῆς τοῦ προσώπου περιφανείας ὠδίνει τό Οὗτος. ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ἐκ Θεοῦ, φησὶν, ἀπεσταλμένος, ὁ πᾶσαν εἰκότως καταπλήξας τὴν Ἰουδαίαν, τῇ τε τοῦ βίου σεμνότητι καὶ ταῖς εἰς ἄσκησιν ὑπερβολαῖς, ὁ διὰ φωνῆς ἁγίων προκηρυττόμενος προφητῶν· καὶ παρὰ μὲν τῷ Ἡσαΐᾳ "Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·" παρὰ δὲ τῷ μακαρίῳ Δαυεὶδ λύχνος Χριστῷ προητοιμασμένος ὀνομασθείς· οὗτος ἦλθεν εἰς 1.94 μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός· καὶ φῶς μὲν ἐν τούτῳ τὸν Θεὸν Λόγον ἀποκαλεῖ, ἕνα δὲ ὄντα δεικνύει, καὶ αὐτὸ δὴ τοῦτο κυρίως ὑπάρχοντα φῶς, μεθ' οὗ κατὰ φύσιν ἕτερον οὐδὲν, τὴν τοῦ δύνασθαι φωτίζειν ἐνέργειαν ἔχον, καὶ φωτὸς οὐ δεηθέν. οὐκοῦν ἔκφυλός τε καὶ, ἵν' οὕτως εἴπωμεν, ἑτερο φυὴς ὡς πρὸς τὴν κτίσιν ὁ τοῦ Θεοῦ Λόγος, εἴπερ ὄντως τε καὶ ἀληθῶς αὐτὸς μέν ἐστι κυρίως τὸ φῶς, φωτὸς δὲ ἡ κτίσις μέτοχος. ὁ δὲ τοῖς πεποιημένοις ἀσύντακτος ἤδη, καὶ ἑτερο φυὴς διὰ τοῦτο νοούμενος, πῶς ἂν εἴη γενητὸς, μᾶλλον δὲ πῶς οὐκ ἂν εἴη λοιπὸν εἴσω τῶν τῆς θεότητος ὅρων, καὶ τῆς τοῦ τεκόντος εὐφυΐας ἀνάπλεως; Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Τὰς ἐν τῇ ἐρήμῳ διατριβὰς τῶν ἐν πόλεσιν ἐνδιαιτημάτων προτιμήσας ὁ βαπτιστὴς, καὶ ξένην ἐν ἀσκήσει τὴν καρ τερίαν ἐπιδειξάμενος, καὶ εἰς αὐτὸ τῆς ἐν ἀνθρώποις δικαιο σύνης τὸ ἀκρότατον ἀναδραμὼν, καὶ μάλα δικαίως ἀπεθαυ μάζετο, καὶ δὴ καὶ ὑπείληπτο παρά τισιν εἶναι Χριστὸς αὐτός. καὶ γοῦν οἱ τῶν Ἰουδαϊκῶν ἡγούμενοι ταγμάτων διὰ τῶν προσόντων αὐτῷ κατὰ ἀρετὴν πλεονεκτημάτων εἰς τοιαύτην ἐνεχθέντες ὑπόνοιαν, ἀποστέλλουσί τινας πρὸς αὐτὸν ἀναπυθέσθαι προστάξαντες, εἰ αὐτός ἐστιν ὁ Χριστός. οὐκ ἀγνοήσας τοίνυν ὁ μακάριος Εὐαγγελιστὴς τὰ παρὰ πολλοῖς διατεθρυλλημένα περὶ αὐτοῦ, τίθησιν ἀναγκαίως τό Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἵνα καὶ πλάνην ἀποῤῥιζώσῃ τὴν ἐπὶ τούτῳ, καὶ πάλιν ἀξιοπιστίαν ἐπισωρεύσῃ τινὰ τῷ πρὸς μαρτυρίαν ἀπεσταλμένῳ παρὰ Θεοῦ. πῶς γὰρ οὐ λίαν ὑπερφερὴς, πῶς δὲ οὐχὶ κατὰ πάντα τρόπον ἀξιοθαύμαστος, ὁ μεγάλην οὕτω κατημφιεσμένος ἀρετὴν, καὶ διαπρεπὴς εἰς 1.95 δικαιοσύνην, ὡς αὐτὸν ἀπομιμήσασθαι τὸν Χριστὸν, διά τε τὸ ἐξαίρετον τῆς εὐλαβείας κάλλος, αὐτὸ δὴ λοιπὸν ὑπάρχειν ὑπονοεῖσθαι τὸ φῶς; οὐκ ἦν οὖν φησιν ἐκεῖνος τὸ φῶς ἀλλ' εἰς μαρτυρίαν τὴν περὶ τοῦ φωτὸς ἀπεσταλμένος. τὸ φῶς δὲ λέγων, μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, ἓν αὐτὸ δεικνύει σαφῶς· ἔχει γὰρ οὕτω κατὰ ἀλήθειαν. ὅτι μὲν γὰρ φῶς ἂν καλοῖτο δικαίως καὶ ὁ μακάριος βαπτιστὴς, ἢ καὶ ἕκαστος τῶν ἄλλων ἁγίων, οὐκ ἀρνησόμεθα, διὰ τὸ ἐπ' αὐτοῖς παρὰ τοῦ Σωτῆρος ἡμῶν εἰρημένον "Ὑμεῖς ἐστε τὸ φῶς τοῦ "κόσμου." εἴρηται δὲ πάλιν περὶ τοῦ ἁγίου Βαπτιστοῦ "Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου." καὶ "Ἐκεῖνος ἦν ὁ "λύχνος ὁ καιόμενος καὶ φαίνων· ὑμεῖς δὲ ἠθελήσατε πρὸς "ὥραν ἀγαλλιαθῆναι ἐν τῷ φωτὶ αὐτοῦ." ἀλλ' εἰ καὶ φῶς οἱ ἅγιοι, καὶ λύχνος ὁ βαπτιστὴς, τὴν ἐπ' αὐτοῖς οὐκ ἀγνοή σομεν χάριν, καὶ τὴν ἀπὸ τοῦ φωτὸς χορηγίαν. οὔτε γὰρ ἴδιον ἐν τῷ λύχνῳ τὸ φῶς, οὔτε μὴν ἐν τοῖς ἁγίοις ὁ φωτισμὸς, ἀλλὰ τῇ τῆς ἀληθείας ἐλλάμψει φαιδροὶ καὶ διαφανεῖς ἀνεδείκνυντο, καὶ "φωστῆρές εἰσιν ἐν κόσμῳ λόγον "ζωῆς ἐπέχοντες." καὶ τίς ἡ ζωὴ, ἧς "τὸν λόγον ἐπέχοντες" ἐχρημάτιζον φῶς, ἢ πάντως αὐτὸς ὁ Μονογενὴς, ὁ λέγων Ἐγώ εἰμι ἡ ζωή; οὐκοῦν, ἓν μὲν ὄντως ἐστὶ τὸ κατὰ ἀλήθειαν φῶς, φωτίζον, οὐ φωτιζόμενον· τῇ δὲ τοῦ ἑνὸς μετοχῇ, πᾶν εἴ τι λέγεται φῶς, κατὰ μίμησιν τὴν ὡς πρὸς ἐκεῖνον νοηθήσεται.

**1.96 ΚΕΦΑΛΗ Η.** Ὅτι μόνος ὁ Υἱὸς τοῦ Θεοῦ φῶς ἐστιν ἀληθινὸν, ἡ δὲ κτίσις οὐκέτι, φωτὸς οὖσα μέτοχος, ὡς γενητή. Ἦν τὸ φῶς τὸ ἀληθινόν. ΕΠΕΞΕΡΓΑΖΕΤΑΙ πάλιν χρησίμως τὸ εἰρημένον ὁ θεσπέσιος Εὐαγγελιστὴς, καὶ ἀποδιορίζει σαφῶς τὸ κατὰ ἀλήθειαν φῶς, τουτέστι τὸν Μονογενῆ, τῶν μὴ οὕτως ἐχόντων, τουτέστι τῶν γενητῶν· ἀποδιίστησιν ἐναργῶς τὸ φύσει τῶν κατὰ χάριν, τῶν ἐν μεθέξει τὸ μετεχόμενον, τῶν ἐν χορηγίᾳ τὸ τοῖς δεομένοις ἑαυτὸ χορηγοῦν. καὶ εἰ φῶς ἐστιν ἀληθινὸν ὁ Υἱὸς, οὐδὲν ἄρα παρ' αὐτὸν κατ' ἀλήθειαν φῶς, οὐδὲ οἴκοθεν ἔχει δυνάμει τὸ εἶναι καὶ καλεῖσθαι φῶς· ἀλλ' οὐδὲ φύσεως τῆς ἰδίας ἐκδώσει καρπὸν τὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενητὰ τὸ δηλούμενον, ὥσπερ δὲ ἐξ οὐκ ὄντων ἐστὶν, οὕτως ἐκ τοῦ μὴ εἶναι φῶς, ἐπὶ τὸ εἶναι φῶς ἀναβήσεται, τοῦ φωτὸς τοῦ ἀληθινοῦ δεξάμενα τὴν αὐγὴν, καὶ τῇ μεθέξει τῆς θείας καταλαμπρυνόμενα φύσεως, πρὸς τὴν ἐκείνης μίμησιν, χρη ματιεῖ τε ἅμα καὶ ἔσται φῶς. καὶ ὁ μὲν τοῦ Θεοῦ Λόγος οὐσιωδῶς ἐστι φῶς, οὐ μεθέξει τῇ κατὰ χάριν τοῦτο ὑπάρ χων, οὐδὲ συμβεβηκὸς ἔχων ἐν ἑαυτῷ τὸ ἀξίωμα, ἀλλ' οὐδὲ ἐπείσακτον, ὡς χάριν, ἀλλὰ φύσεως ἀπαραποιήτου καρπὸν 1.97 ἄτρεπτον καὶ ἀναλλοίωτον ἀγαθὸν, ἐκ Πατρὸς διῆκον εἰς τὸν τῆς οὐσίας αὐτοῦ κληρονόμον. ἡ δὲ κτίσις οὐχ οὕτω φορέσει τὸ εἶναι φῶς· ὡς οὐκ ἔχουσα λαμβάνει, ὡς σκοτία φωτίζεται, ἐπίκτητον ἔχει τὴν χάριν, ἐκ φιλανθρωπίας τῆς τοῦ διδόντος τὸ ἀξίωμα. οὐκοῦν ὁ μὲν φῶς ἀληθινὸν, ἡ δὲ οὐκέτι. τοσαύτης τοιγαροῦν μεταξὺ κειμένης διαφορᾶς, καὶ οὕτω μακροῦ διατειχίζοντος λόγου τῆς κτίσεως τὸν Υἱὸν τοῦ Θεοῦ, ὅσον εἰς ταυτότητα φύσεως, πῶς οὐκ ἄν τις καὶ μάλα εἰκότως ὑπολάβοι παραληρεῖν, μᾶλλον δὲ πάσης ἔξω γενέ σθαι φρενὸς ἀγαθῆς, τοὺς ὅσοιπερ ἂν γενητὸν εἶναι λέγωσιν αὐτὸν, καὶ τοῖς πεποιημένοις συντάττωσιν τὸν ἁπάντων γενεσιουργὸν, οὐχ ὁρῶντες, ὥς γε μοι φαίνεται, πρὸς ὅσην αὐτοῖς ἀσέβειαν ἀποκινδυνεύσει τὸ τόλμημα, μὴ νοοῦσι "μήτε "ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται." ὅτι γὰρ τοῖς ἀκριβέστερον βασανίζειν εἰωθόσι τὴν ἐν τοῖς προκειμένοις ἀλήθειαν, οὐδαμόθεν ἡμῖν ὁ Μονογενὴς, τουτέστι, τὸ φῶς τὸ ἀληθινὸν, γενητὸς ἢ πεποιημένος, ἢ καὶ ὅλως τῇ κτίσει συμφυὴς ὑπάρχων κατά τι γοῦν ἀποδειχθήσεται, πανταχόθεν μὲν ἄν τις κατίδοι καὶ μάλα ῥᾳδίως, οὐχ ἥκιστα δὲ διὰ τῶν ἐφεξῆς ὑποτεταγμένων ἐννοιῶν, διὰ τὴν ἐν τοῖς προκειμένοις ἡμῖν θεωρίαν συνειλεγμένων. Ἔννοιαι ἤτοι συλλογισμοὶ, δι' ὧν ἔξεστι μαθεῖν, ὅτι μόνος ὁ Υἱὸς φῶς ἐστιν ἀληθινὸν, ἡ δὲ κτίσις οὐκέτι, διόπερ οὐδὲ ὁμοφυὴς αὐτῇ. Εἰ ἀπαύγασμα τῆς δόξης τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων ὁ Υἱὸς, φῶς ἀληθινὸν διὰ τοῦτό ἐστιν, οὐκ ἔσται τῇ κτίσει ὁμοφυὴς, ἵνα μὴ καὶ ἡ κτίσις ἀπαύγασμα νοῆται τῆς δόξης τοῦ Θεοῦ καὶ Πατρὸς, ἔχουσα δυνάμει τὸ εἶναι τοῦτο κατὰ φύσιν, ὅπερ ἐστὶν ὁ Υἱός. {Ἄλλο.} Εἰ πᾶσα ἡ κτίσις ἀληθινὸν εἶναι δύναται φῶς, διὰ 1.98 ποίαν αἰτίαν ἐπὶ μόνου τέθειται τοῦτο τοῦ Υἱοῦ; χρῆν γὰρ δήπου κατά γε τὸν τῆς ἰσότητος λόγον, καὶ τοῖς πεποιη μένοις ἐπιφημίζεσθαι τὸ ἀληθινὸν εἶναι φῶς. ἀλλ' οὐδενὶ μὲν ἁρμόσει τῶν γενητῶν, κατηγορεῖται δὲ μόνης τῆς οὐσίας τοῦ Υἱοῦ. κυρίως ἄρα καὶ ἀληθῶς κείσεται μὲν ἐπ' αὐτοῦ, ἐπὶ δὲ τῶν ποιημάτων οὐκέτι. πῶς οὖν ἔτι τῇ κτίσει συμφυὴς, καὶ οὐχὶ μᾶλλον τῶν ὑπὲρ τὴν κτίσιν, ὡς ὑπὲρ αὐτὴν ὑπάρχων μετὰ Πατρός; {Ἄλλο.} Εἰ φωτὶ τῷ κατὰ ἀλήθειαν οὐ ταὐτόν ἐστι τὸ μὴ κατὰ ἀλήθειαν φῶς· ἔχει γάρ τι τὸ ἑτεροῖον ἡ ἑκατέρου δήλωσις· φῶς δὲ ἀληθινὸν ὁ Υἱὸς κατωνόμασται, καὶ τοῦτό ἐστι κατὰ φύσιν· οὐκ ἄρα ἡ κτίσις ἀληθινὸν ἔσται φῶς. οὐκοῦν οὐδὲ ἀλλήλοις ὁμοφυῆ τὰ οὕτως ἐξηλλαγμένα. {Ἄλλο.} Εἰ μὴ μόνος ὁ Μονογενὴς τὸ φῶς ἐστι τὸ ἀλη θινὸν, ἔχει δὲ καὶ ἡ κτίσις τὸ εἶναι φῶς ἀληθινὸν, διὰ ποίαν αἰτίαν αὐτὸς "φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν "κόσμον;" ἐχούσης γὰρ οἴκοθεν τοῦτο καὶ τῆς γενητῆς οὐσίας, περιττὸν ἦν ἔτι τὸ φωτίζεσθαι δι' Υἱοῦ· ἀλλὰ μὴν φωτίζει μὲν αὐτὸς, μέτοχοι δὲ αὐτοῦ πάντες ἡμεῖς· οὐκ ἄρα ταὐτὸν εἰς οὐσίας ποιότητα Υἱὸς καὶ κτίσις· ὥσπερ οὖν οὐδὲ τῷ μετέχοντι τὸ μετεχόμενον. {Ἄλλο.} Εἰ μὴ μόνῳ πρόσεστι κατὰ φύσιν τῷ Υἱῷ τὸ ὑπάρχειν φῶς ἀληθινὸν, ἔχει δὲ αὐτὸ καὶ ἡ κτίσις, περιττὸς, ὡς οἶμαι, φανεῖται πρός τινας λέγων ὁ ψαλμῳδός "Προσ "έλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε·" τὸ γὰρ ὅλως κατ' ἀλήθειαν φῶς, οὐκ ἂν γένοιτο μεθέξει τῇ πρὸς ἕτερόν τινα φῶς, ἀλλ' οὐδὲ ἐλλάμψει τῇ παρ' ἑτέρου φαιδρυνθήσεται, τελείαν δὲ μᾶλλον ἀπὸ τῆς ἰδίας φύσεως τὴν καθαρότητα χορηγηθήσεται· ἀλλ' ὁρῶμεν ὅτι φωτὸς ἐπιδεὴς ὁ ἄνθρωπος, κτιστῆς ὑπάρχων φύσεως· καὶ ἀληθεύει βοῶν ὁ ψαλμῳδὸς, 1.99 ὡς πρὸς τὸν τοῦ Θεοῦ Λόγον "Ὅτι σὺ φωτιεῖς λύχνον μου "Κύριε, ὁ Θεός μου φωτιεῖς τὸ σκότος μου·" οὐκ ἄρα φῶς κατὰ ἀλήθειαν ἡμεῖς, μέτοχοι δὲ μᾶλλον τοῦ φωτίζοντος Λόγου, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλότριοι κατὰ φύσιν τοῦ φωτὸς τοῦ ἀληθινοῦ, ὅπερ ἐστὶν ὁ Υἱός. {Ἄλλο ἐκ τοῦ αὐτοῦ.} Εἰ λύχνος ὁ ἀνθρώπινος κατωνό μασται νοῦς, κατὰ τὸ ἐν ψαλμοῖς ᾀδόμενον "Ὅτι σὺ "φωτιεῖς λύχνον μου Κύριε," πῶς ἐσόμεθα κατὰ ἀλήθειαν φῶς; ἐπείσακτον γὰρ καὶ δοτὸν τῷ λύχνῳ τὸ φῶς. καὶ εἰ τὸ σκότος τὸ ἐν ἡμῖν φωτίζει μόνος ὁ Μονογενὴς, πῶς οὐχὶ μᾶλλον αὐτὸς κατὰ ἀλήθειαν φῶς, ἡμεῖς δὲ οὐκέτι; εἰ δὲ τοῦτο ἀληθὲς, πῶς ἂν εἴη λοιπὸν ὁμοφυὴς τῇ κτίσει, τοσοῦτον αὐτῆς ὑπερκείμενος; {Ἄλλο.} Εἰ προσεῖναι δύναται τῇ κτίσει τὸ εἶναι φῶς ἀλη θινὸν, ὥσπερ οὖν ἀμέλει καὶ τῷ Υἱῷ, ἔσται δηλονότι φῶς ἀληθινὸν ὁ ἄνθρωπος, μέρος ὑπάρχων αὐτῆς. τίσιν οὖν ἄρα διὰ τῶν ἁγίων προφητῶν ὁ Θεὸς καὶ Πατὴρ ἐπηγγέλλετο, λέγων "Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου "ἥλιος δικαιοσύνης;" τί γὰρ ἂν ὅλως ἡλίου τοῦ καταυγά ζοντος τὸ κατ' ἀλήθειαν ἐδεήθη φῶς; ἀλλὰ μὴν ὡς ἐν χρείᾳ καθεστηκόσιν ὁ Θεὸς καὶ Πατὴρ ἐπηγγέλλετο δώσειν αὐτὸν, καὶ λαβόντες πεφωτίσμεθα. ἕτερος ἄρα πρός τε ἡμᾶς καὶ τὴν κτίσιν, ὅσον εἰς ταυτότητα φυσικὴν, ὁ Μονογενὴς, φῶς ὑπάρχων ἀληθινὸν, καὶ φωτίζειν πεφυκὸς τὰ φωτὸς δεόμενα. {Ἄλλο.} Εἰ μὴ μόνος ὁ Υἱὸς φῶς ἐστιν ἀληθινὸν, ἔχει δὲ αὐτὸ καὶ ἡ κτίσις, ἔσται δηλονότι καὶ ἐν ἡμῖν. ποῖος οὖν ἄρα τοὺς ἁγίους ἀνέπεισε λόγος πρὸς Θεὸν ἀναβοᾶν "Ἐξαπόστειλον "τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου;" τί δὲ ἡμᾶς ἐντεῦθεν ὠφελήσειν οἰόμενοι τὰς τοιαύτας πολλάκις ἠφίεσαν, εἰπέ μοι, φωνάς; εἰ μὲν γὰρ ᾔδεσαν ἐν χρείᾳ φωτὸς ὑπάρχειν τὸν ἄνθρωπον, καὶ τῆς παρ' ἑτέρου προσθήκης ἐπιδεᾶ, πῶς ἐρεῖ τις ἀληθεύων, ὅτι φῶς ὑπάρχει καὶ αὐτὸς ἀληθινόν; εἰ δὲ οὐκ 1.100 ἐδεῖτο τοῦ φωτίζοντος Λόγου, τί μάτην ἐκάλουν τὸν οὐδὲν ὠφελῆσαι δυνάμενον; ἀλλ' οὐκ ἔστιν εἰπεῖν, ὅτι τῆς ἀλη θείας ἀπεσφάλλετο τῶν ἁγίων ὁ νοῦς, καὶ αὐτὸς δὲ πάλιν ὁ Θεὸς καὶ Πατὴρ, ὡς φωτὸς δεομένοις πέμπει τὸν Υἱόν. ἕτερος ἄρα κατὰ φύσιν, ὡς πρὸς τὴν κτίσιν ὁ Μονογενὴς, ὡς φωτίζων τὰ φωτὸς δεόμενα. {Ἄλλο.} Εἰ φωτὸς ὁρῶμεν τὴν κτίσιν ἐπιδεᾶ, φωτίζει δὲ αὐτὴν ὁ Μονογενὴς, οὐχ ἑαυτὴν ἡ κτίσις ἄγει πρὸς τὸ φῶς· οὐκοῦν οὐδὲ φῶς ἀληθινὸν ὥσπερ ὁ Υἱός. {Ἄλλο.} Εἰ τὸ φύσει καὶ κατὰ ἀλήθειαν φῶς οὐ σκοτίζεται, φῶς δὲ ἀληθινὸν ὁ Μονογενὴς, καὶ φῶς ὁμοίως ἀληθινὸν ἡ κτίσις, ὅτου δὴ χάριν ἐπὶ μὲν τοῦ Υἱοῦ τίθησιν ἡ γραφὴ τό "Η σκοτία αὐτὸ οὐ κατέλαβεν·" ἐφ' ἡμῶν δὲ ὁ Παῦλος "Εν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα "τῶν ἀπίστων;" καὶ πάλιν αὐτὸς ὁ Σωτήρ "Ἕως τὸ φῶς "ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς "καταλάβῃ." πρόδηλον γὰρ δήπου πᾶσίν ἐστιν, ὡς εἰ μή τινας ὑπὸ τῆς σκοτίας ἐνεχώρει καταλαμβάνεσθαι τῶν καθ' ἡμᾶς, οὐδ' ἂν ἔφη τι τοιοῦτον ὁ Σωτήρ. πῶς οὖν ἔτι ταὐτὸν εἰς φύσιν ὁ Μονογενὴς καὶ ἡ κτίσις, ὁ ἀναλλοίωτος τῇ ἀλλοιουμένῃ, ὁ παθεῖν οὐδὲν τῶν ἀδικούντων ἀνεχόμενος τῇ σκοτιζομένῃ καὶ ἀποκτήσασθαι δυναμένῃ τὸν φωτισμὸν, ὡς ἐν προσθήκης μέρει προσόντα δηλονότι, καὶ οὐχὶ κατὰ φύσιν ἐῤῥιζωμένην ἐν ἑαυτῇ; {Ἄλλο.} Εἰ μὴ μόνος ὁ Μονογενὴς τὸ φῶς ἐστι τὸ ἀλη θινὸν, ἔχει δὲ αὐτὸ καὶ ἡ κτίσις, ὡς ὁμοφυὴς αὐτῷ, κατὰ τίνα τρόπον ἀναβοῶμεν ἡμεῖς, ὡς πρὸς Θεὸν καὶ Πατέρα "Εν τῷ φωτί σου ὀψόμεθα φῶς;" εἰ γὰρ φῶς ἐσμεν ἀληθινὸν, πῶς ἐν ἑτέρῳ φωτισθησόμεθα; εἰ δὲ ὡς χρῄ ζοντες ἐπεισάκτου φωτὸς, τὰ τοιαῦτά φαμεν, οὐκ ὄντες 1.101 δηλονότι κατὰ ἀλήθειαν φῶς ἁλωσόμεθα. οὐκοῦν οὐδὲ ὁμοφυεῖς τῷ τοσοῦτον κατὰ φύσιν ὑπὲρ ἡμᾶς ὑπάρχοντι Λόγῳ. {Ἄλλο διηγηματικῶς.} Ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸςἐν τοῖς εὐαγγελίοις εὑρίσκεται λέγων "Αὕτη δέ ἐστιν ἡ "κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν "οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ αὐτῶν "πονηρὰ τὰ ἔργα. πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ "φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς." ἀλλ' εἴπερ ἐστὶ τὸ φῶς τὸ ἀληθινὸν ὁ Μονογενὴς, φῶς δὲ ὁμοίως ἀληθινὸν εἶναι δύναται καὶ ἡ κτίσις· πῶς ὁ μὲν ἔρχεται φωτιῶν αὐτὴν, ἡ δὲ ἠγάπα τὸ σκότος; πῶς δὲ ὅλως οὐκ ἔρχεται πρὸς τὸ φῶς, εἴπερ ἐστὶν αὕτη τὸ φῶς τὸ ἀληθινόν; τὰ μὲν γὰρ φύσει προσόντα τισὶν ἐῤῥιζωμένην ἔχει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν κτῆσιν· τὰ δὲ αἱρετὰ κατὰ θέλησιν, οὐ τοιαύτην ἔχει τὴν στάσιν, οἷον φέρε εἰπεῖν· οὐκ ἐκ βουλῆς τῆς ἰδίας τὸ ἄνθρωπος εἶναι λογικὸς κεκτή σεταί τις· ἔχει γὰρ αὐτὸ παρὰ τῆς φύσεως· ἕξει δ' οὖν ὅμως κατὰ θέλησιν τὴν ἑαυτοῦ, τὸ εἶναι πονηρὸς ἢ ἀγαθὸς, ἀγαπήσει τε ὁμοίως ἐπ' ἐξουσίας τὸ δίκαιον ἢ τὸ ἐναντίον. εἴπερ οὖν ἐστιν ἡ κτίσις κατὰ φύσιν τὸ φῶς· τοῦτο γὰρ σημαίνει τὸ ἀληθινόν· πῶς οὐκ ἔρχεται πρὸς τὸ φῶς; ἢ πῶς ἀγαπᾷ τὸ σκότος, ὡς οὐκ ἔχουσα δηλονότι κατὰ φύσιν τὸ εἶναι φῶς ἀληθινὸν, προαιρετικὴν δὲ μᾶλλον ποιουμένη τὴν ἐπὶ τὸ ἄμεινον ἢ τὰ χείρω ῥοπήν; ἢ τοίνυν ἀποτολμάτωσαν οἱ δι' ἐναντίας μὴ φυσικῶς ἐνυπάρχειν τῷ Υἱῷ τὰ ὑπὲρ τὴν κτίσιν πλεονεκτήματα λέγειν, ἵνα γυμνότερον δυσφημοῦντες ἐλέγχωνται καὶ παρὰ πάντων ἀκούσωσιν "Ἐξολοθρεύσαι "Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥή "μονα," ἢ εἴπερ ὁμολογοῦσι σαφῶς οὐσιωδῶς ἐνυπάρχειν αὐτῷ τὰ ἀγαθὰ, μὴ συναπτέτωσαν αὐτῷ πρὸς ἑνότητα τὴν 1.102 κατὰ φύσιν, τὴν οὐχ οὕτως ἔχουσαν κτίσιν, ὡς ἀρτίως ἡμῖν ἀποδέδεικται. {Ἄλλο.} Εἰ μὴ μόνος ὁ τοῦ Θεοῦ Λόγος τὸ φῶς ἐστι τὸ ἀληθινὸν, ἔχει δὲ καὶ ἡ κτίσις τὸ εἶναι φῶς ἀληθινὸν, καθάπερ αὐτὸς, διὰ ποίαν αἰτίαν "Ἐγώ εἰμι, φησὶ, τὸ φῶς τοῦ "κόσμου;" ἢ πῶς ἀνεξόμεθα τοῦ καλλίστου πλεονεκτή ματος ἀπογυμνοῦντος τὴν φύσιν, εἴπερ ὅλως ἐνδέχεται καὶ ἡμᾶς ἀληθινὸν εἶναι φῶς, ὡς ἐχούσης αὐτὸ καὶ τῆς γενητῆς οὐσίας; εἰ δὲ ἀληθεύει λέγων ὁ Μονογενής "Ἐγώ εἰμι τὸ "φῶς τοῦ κόσμου," σχέσει δηλονότι τῇ πρὸς αὐτὸν ἡ κτίσις, καὶ οὐχ ἑτέρως, ἔσται φῶς· εἰ δὲ τοῦτο, οὐχ ὁμοφυὴς αὐτῷ. {Ἄλλο.} Εἰ μὴ μόνος κατὰ ἀλήθειαν φῶς ἐστιν ὁ Υἱὸς, κεῖται δὲ τοῦτο καὶ ἐν τοῖς γενητοῖς· τί ποτε ἄρα ἐροῦμεν, ὅταν ἡμῖν ὁ σοφώτατος ἐπιστέλλῃ Πέτρος "Ὑμεῖς δὲ γένος "ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περι "ποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους "ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς;" ποῖον γὰρ ὅλως ἐν ἡμῖν ἐστι σκότος, ἢ ἐν ποίῳ γεγόναμεν σκότῳ, καὶ αὐτοὶ κατὰ ἀλήθειαν ὄντες τὸ φῶς; κατὰ τίνα δὲ τρόπον ἀνακεκλήμεθα πρὸς τὸ φῶς, οἱ μὴ ὄντες ἐν σκότῳ; ἀλλ' οὐδὲ ψεύδεται τῆς ἀληθείας ὁ κῆρυξ ὁ θαρσήσας εἰπεῖν "Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;" καὶ κεκλήμεθα πρὸς "τὸ θαυμαστὸν αὐτοῦ φῶς," ὡς ἀπὸ σκότους ἄρα, καὶ οὐχ ἑτέρως· εἰ δὲ τοῦτο ἀληθὲς, οὐκ ἄρα ἡ κτίσις κατὰ ἀλήθειαν φῶς, ἀλλὰ μόνος μὲν κυρίως τε καὶ ἀληθῶς φῶς ὁ Υἱὸς, κατὰ μέθεξιν δὲ τὴν πρὸς ἐκεῖνον τὰ γενητὰ, καὶ διὰ τοῦτο οὐχ ὁμοφυῆ. 1.103 Ἄλλα μετὰ παραθέσεως ῥητῶν, ἐξ ἁπλουστέρων ἐννοιῶν εἰς ὁμολογίαν συνάγοντα τοὺς ἐντευξομένους, ὅτι μόνος ὁ Υἱὸς τοῦ Θεοῦ τὸ φῶς ἐστι τὸ ἀληθινὸν, ἡ δὲ τῶν γενητῶν φύσις ἐκ χορηγίας τῆς παρ' αὐτοῦ φωτίζεται, τὸ εἶναι φῶς οὐσιωδῶς οὐκ ἔχουσα, καθάπερ ἐκεῖνος. Ὁ ψαλμῳδός "Ἐσημειώθη, φησὶν, ἐφ' ἡμᾶς τὸ φῶς τοῦ "προσώπου σου Κύριε." καὶ ποῖον ἄρα ἐστὶ τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς, οὗ τὸ φῶς ἐφ' ἡμᾶς σεσημείωται; ἢ πάντως ὁ Μονογενὴς τοῦ Θεοῦ Υἱὸς, ἡ ἀπαράλλακτος εἰκὼν, καὶ διὰ τοῦτο λέγων "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα;" ἐνεσημάνθη δὲ ἡμῖν, συμμόρφους ἡμᾶς ἀποδείξας ἑαυτῷ, καὶ τὸν διὰ τοῦ Πνεύματος τοῦ ἰδίου φωτισμὸν ἐγχαράξας ὡς θείαν εἰκόνα τοῖς πιστεύουσιν εἰς αὐτὸν, ἵνα καὶ αὐτοὶ χρηματίζοιεν ἤδη κατ' αὐτὸν θεοί τε καὶ Θεοῦ υἱοί· ἀλλ' εἴπερ ἦν τι τῶν γενητῶν τὸ φῶς τὸ ἀληθινὸν, πῶς ἡμῖν ἐνεσημάνθη; "τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει," κατὰ τὴν ἀψευδῆ τοῦ πνευματοφόρου φωνήν. φῶς γὰρ ἐν τῷ φωτὶ πῶς ἂν γένοιτο καταφανές; {Ἄλλο.} Ὁ ψαλμῳδός "Φῶς ἀνέτειλε τῷ δικαίῳ," φησίν. εἰ μὲν ἔχοντι καὶ μὴ δεομένῳ, περιττόν· εἰ δὲ ὡς οὐχ ἔχοντι τὸ φῶς ἀνατέλλει, φῶς ἄρα μόνος ὁ Μονογενὴς, φωτὸς δὲ ἡ κτίσις μέτοχος, καὶ διὰ τοῦτο ἀλλοφυής. {Ἄλλο.} Ὁ ψαλμῳδός φησιν "Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ "αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ "ἔσωσεν αὐτοὺς, ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ "φωτισμὸς τοῦ προσώπου σου." φωτισμὸν τοῦ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς ὀνομάζει πάλιν ἐν τούτοις, τὴν ἐξ Υἱοῦ διὰ τοῦ Πνεύματος ἀποκάλυψιν, καὶ τὴν εἰς ἕκαστα τῶν ὄντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χειραγωγίαν, ὃ δὴ καὶ μόνον διέσωσε τὸν Ἰσραὴλ, καὶ 1.104 τῆς Αἰγυπτίων πλεονεξίας ἀπήλλαξεν· εἴπερ οὖν οὐ μόνος ἐστὶν ὁ Μονογενὴς τὸ φῶς τὸ ἀληθινὸν, ἐνυπάρχει δὲ καὶ τοῖς γενητοῖς τὸ ἴσον ἀξίωμα, τί μὴ τῷ οἰκείῳ διεσώζοντο φωτὶ οἱ περὶ ὧν ὁ λόγος, προσθήκαις δὲ ὥσπερ ἀλλοτρίου καὶ οὐκ ἀναγκαίου φωτὸς ἐφοδιαζόμενοι φαίνονται; ἀλλ' ἔστι δῆλον, ὡς δεομένοις φωτὸς ἐπέλαμψεν ὁ Μονογενής· οὐκοῦν αὐτὸς μὲν καὶ μόνος τὸ φῶς ἐστι τὸ ἀληθινὸν, δανείζεται δὲ παρ' αὐτοῦ τὴν χάριν ἡ κτίσις. εἰ δὲ τοῦτο, πῶς ἂν εἴη λοιπὸν καὶ ὁμοφυὴς αὐτῷ; {Ἄλλο.} Ὁ ψαλμῳδός "Μακάριος, φησὶν, ὁ λαὸς ὁ γινώ"σκων ἀλαλαγμόν· Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου "πορεύσονται·" διατί μὴ μᾶλλον ἐν τῷ ἰδίῳ καὶ αὐτοὶ βαδιοῦνται φωτί; τί δὲ, εἰπέ μοι, τὸν παρ' ἑτέρου συλλέ γοντες φωτισμὸν, μόλις ἑαυτοῖς κατορθοῦσι τὴν σωτηρίαν, εἴπερ ὄντως εἰσὶ καὶ αὐτοὶ κατὰ ἀλήθειαν φῶς, ὥσπερ οὖν ἀμέλει καὶ τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς, τουτέστιν ὁ Υἱός; ἀλλ' ἔστιν οἶμαι παντί τῳ καὶ διὰ τούτου καταφανὲς, ὅτι χορηγεῖ μὲν ὁ Λόγος, ὡς δεομένῃ, τῇ κτίσει τὸν φωτισμὸν, ἡ δὲ ὅπερ οὐκ ἔχει λαβοῦσα σώζεται. πῶς οὖν ἔτι ταὐτὸν εἰς οὐσίαν ὁ Μονογενὴς, καὶ τὰ δι' αὐτοῦ γεγονότα; {Ἄλλο.} Ὁ ψαλμῳδός "Ἐξαπέστειλεν ἐν σκότει φῶς τοῖς"εὐθέσι" φησίν. πῶς γὰρ ὅλως ἦν ὁ εὐθὴς ἐν σκότει, φῶς ὑπάρχων καὶ αὐτὸς τὸ ἀληθινὸν, εἴπερ ἔχει τοῦτο καὶ τῶν γενητῶν ἡ φύσις, ὥσπερ ὁ Μονογενής; εἰ δὲ ὡς οὐκ ἔχουσι τοῖς εὐθέσι τὸ φῶς ἀποστέλλεται, πολλῶν ἡμῖν οὐ δεήσει λόγων· αὐτὴ γὰρ ἡ τῶν πραγμάτων ἀναβοήσει φύσις, ὡς οὐκ ἂν εἴη ταὐτὸν εἰς οὐσίαν τῷ τελείῳ τὸ ἐπιδεὲς, τῷ δεομένῳ τὸ χορηγοῦν ἐκ πλεονασμοῦ. {Ἄλλο.} "Φωτίζου, φωτίζου Ἱερουσαλὴμ, ἥκει γάρ σου τὸ 1.105 "φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν." εἰ μὲν οἴκοθεν ἔχει τὸ φῶς ἡ τῶν γενητῶν φύσις, καὶ τοῦτό ἐστι κυρίως ὅπερ εἶναί φαμεν τὸν Μονογενῆ κατά γε τὸ εἶναι φῶς ἀληθινὸν, πῶς ἂν ἐδεήθη τοῦ φωτίζοντος αὐτὴν ἡ Ἱερου σαλήμ; ἐπειδὴ δὲ ὡς ἐν χάριτος μέρει τὸ φωτίζεσθαι λαμ βάνει, μόνος ἄρα τὸ φῶς τὸ ἀληθινὸν ὁ Υἱὸς ὁ φωτίζων αὐτὴν καὶ ὅπερ οὐκ ἔχει διδούς. εἰ δὲ τοῦτο, πῶς οὐ πάντως καὶ ἕτερος κατὰ φύσιν, ὡς πρὸς αὐτήν; {Ἄλλο.} "Ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς "ἐθνῶν." πῶς γὰρ ὅλως ἐδεήθη φωτὸς ἡ ἐπὶ γῆς οὖσα λογικὴ κτίσις, εἴπερ ἔνεστιν αὐτῇ κατὰ φύσιν τὸ εἶναι φῶς τὸ ἀληθινόν; ὡς γὰρ οὐκ ἐχούσῃ ἤδη δίδωσιν ὁ Θεὸς καὶ Πατὴρ τὸν ἴδιον Υἱόν· ἡ δὲ οὕτω λαβοῦσα δι' αὐτοῦ βοήσει τοῦ πράγματος, καὶ τῆς οἰκείας φύσεως τὴν πενίαν καὶ τοῦ φωτίζοντος Λόγου τὸ πλούσιον ἀξίωμα. {Ἄλλο.} "Καὶ νῦν ὁ οἶκος τοῦ Ἰακὼβ, δεῦτε πορευθῶμεν "τῷ φωτὶ Κυρίου." διατί οὗτοι μᾶλλον μὴ τῷ οἰκείῳ πορεύονται φωτὶ, δᾳδουχεῖ δὲ αὐτοῖς ὁ Μονογενὴς τὸ ἴδιον αὐτοῦ τῆς οὐσίας ἐντιθεὶς ἀγαθόν; ἀλλ' οὐ τῷ οἰκείῳ θαῤ ῥήσαντες δανείζονται τὸ ἀλλότριον· ὡς οὐκ ἔχοντες ἄρα, τοῦτο ποιεῖν ἐγνώκασιν. {Ἄλλο.} Ὁ Σωτήρ "Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, φησὶν,"ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' "ἕξει τὸ φῶς τῆς ζωῆς." ἀποτολμάτω καὶ ἡ κτίσις τὴν τοιαύτην ἀναφθέγξασθαι φωνὴν, εἴπερ ἐστὶ καὶ αὐτὴ κατὰ ἀλήθειαν φῶς· εἰ δὲ ἀποφρίττει τὸ ῥῆμα, καὶ τὸ πρᾶγμα φεύξεται, τὸ ἀληθινὸν ὁμολογήσασα φῶς, τουτέστι τὸν Υἱόν. {Ἄλλο.} Ὁ Κύριος "Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ"φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε" φησίν. ἆρα γὰρ ἔμελλον 1.106 οὐ πιστεύοντες ἀπολέσαι τὸ φῶς, οἱ φῶς κατὰ φύσιν ὑπάρχοντες; εἴπερ ὅλως ἐνδέχεται τὴν γενητὴν οὐσίαν τὸ φῶς εἶναι τὸ ἀληθινόν. καὶ πῶς ἂν γένοιτο τοῦτό ποτε; οὐ γὰρ ἐπὶ τῶν οὐσιωδῶς προσόντων τισὶν αἱ στερήσεις κατὰ τὸ παντελὲς ἐκ ῥᾳθυμίας συμβαίνουσιν, ἀλλ' ἐφ' ὧν ἂν ἡ θέλησις τὴν κτῆσιν ἐργάζηται, καὶ ἐπὶ τῶν ὅσα δὴ πέφυκε προσγίνεσθαί τε καὶ ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. οἷον λογικὸς μὲν κατὰ φύσιν ὁ ἄνθρωπος, ναυ πηγὸς δὲ κατὰ θέλησιν, ἢ καὶ ἀσθενὴς τὸ σῶμα κατὰ συμβεβηκός· ἄλογος μὲν οὖν οὐκ ἂν εἴη παντελῶς, τὴν δέ γε ναυπηγικὴν ἐμπειρίαν ἀπολέσει, ὁ ῥᾳθυμήσας τυχὸν, καὶ τὸ ἐκ πάθους συμβεβηκὸς ἀποκρούσεται, θεραπείαις τισὶν ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ ἄμεινον ἀνατρέχων. οὐκοῦν τὰ οὐσιωδῶς προσόντα τισὶν, ἐῤῥιζωμένην ἔχει τὴν στάσιν. εἴπερ οὖν ὅλως ἡ τῶν γενητῶν φύσις τὸ φῶς εἶναι δύναται τὸ ἀληθινὸν, πῶς ἀπολ λύουσι τὸ φῶς οἱ πιστεύειν οὐκ ἐθέλοντες, ἢ πῶς ἂν υἱοὶ φωτὸς γένωνται οἱ πιστεύοντες; εἰ γάρ εἰσι καὶ αὐτοὶ κατὰ φύσιν τὸ φῶς, ἑαυτῶν ἄρα χρηματιοῦσιν υἱοί. καὶ ποῖός ἐστι τοῖς πιστεύουσιν ὁ μισθός; εἰσὶ γὰρ μᾶλλον ἑαυτῶν υἱοὶ καὶ τὴν πίστιν οὐ παραδεξάμενοι. ἀπὸ δὴ τῶν τοιούτων ἐννοιῶν τὸ ἀληθὲς λογιζόμενοι, μόνον ἐροῦμεν εἶναι τὸ φῶς τὸ ἀληθινὸν τὸν Μονογενῆ, φωτὸς δὲ τὴν κτίσιν ἐπιδεᾶ καὶ διὰ τοῦτο ἀλλοφυᾶ. {Ἄλλο.} "Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἔτι μικρὸν χρόνον"τὸ φῶς ἐν ὑμῖν ἐστι, περιπατεῖτε ὡς τὸ φῶς ἔχετε, ἵνα μὴ "ἡ σκοτία ὑμᾶς καταλάβῃ." καὶ τοῖς προκειμένοις ἐφαρ μόσεις ἐντέχνως τὸν ἐν τοῖς προαποδεδομένοις λόγον. τὸ γὰρ φῶς κατὰ φύσιν ὑπάρχον, οὐκ ἂν ὑπὸ σκότους καταληφθείη ποτέ. {Ἄλλο.} Ὁ Ἰωάννης "Ὁ λέγων μὲν ἐν τῷ φωτὶ, φησὶν"εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως 1.107 "ἄρτι." προαιρετικὸν ἄρα τὸ φῶς ἐν ἡμῖν, καὶ κατὰ θέλησιν μᾶλλον ἢ κατ' οὐσίαν προσπέφυκε τοῖς γενητοῖς, εἴπερ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστί· φῶς δὲ κατ' οὐσίαν ὁ Μονογενής· οὐ γὰρ προαιρέσεως ἔχει καρπὸν τὸ ἀξίωμα. οὐκοῦν, οὐδὲ ὁμοφυὴς τοῖς γενητοῖς ὁ τοσοῦτον ὑπερκείμενος. {Ἄλλο τούτῳ συγγενές.} "Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ "ἐν τῷ φωτὶ μένει." ἡ ἀγάπη τοῖς γενητοῖς ἅπερ οὐκ ἔχουσι προξενεῖ, τὸ φῶς δηλονότι· φῶς δὲ ὁ Μονογενής· ἕτερος οὖν ἄρα ἐστὶ παρὰ τὰ ἐν οἷς ἐξ ἀγάπης γίνεται.

**1.108 ΚΕΦΑΛΗ Θ.** Ὅτι οὐ προϋπάρχει τοῦ σώματος ἡ τοῦ ἀνθρώπου ψυχὴ, οὐδὲ ἐκ πρεσβυτέρων ἁμαρτημάτων ἡ σωμάτωσις κατά τινας. Ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἈΣΦΑΛΗΣ ὁ θεολόγος· οὐ γὰρ μόνον οἴεται δεῖν, ὅτι δὴ φῶς ὑπάρχοι τὸ ἀληθινὸν ὁ Μονογενὴς, ἐξειπεῖν, ἀλλ' ἐπάγει τοῖς εἰρημένοις παραχρῆμα τὴν ἀπόδειξιν, μονονουχὶ καὶ συντόνῳ λίαν ἀνακεκραγὼς τῇ φωνῇ Φῶς εἶναί φημι τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἆρ' οὖν, εἴποι τις ἂν ὅτῳ δὴ φίλον οὐκ ἀβασανίστως τῶν θείων ἐπακροᾶσθαι δογμάτων, οὐ φωτίζουσιν ἄγγελοι τῶν ἀνθρώπων τὸν νοῦν; Κορνήλιος δὲ, εἰπέ μοι, διὰ τίνος ἐμάν θανεν, ὅτι χρὴ βαπτισθέντα διασώζεσθαι παρὰ Θεοῦ; Μανωὲ δὲ τοῦ Σαμψὼν ὁ πατὴρ, οὐ διὰ φωνῆς ἀγγέλου τὰ ἐσόμενα προεπαιδεύετο; Ζαχαρίας δὲ ὁμοίως ἡμῖν ὁ προφήτης οὐχὶ σαφῶς ἀναφθέγγεται "Καὶ εἶπεν ὁ ἄγγελος ὁ λαλῶν ἐν "ἐμοί Ἐγὼ δείξω σοι τί ἐστι ταῦτα·" καὶ πάλιν διὰ τῶν αὐτῶν ἡμῖν ἐρχόμενος λόγων, οὐκ ἐπιδεικνύει σαφῶς, ὅτι τῶν κεκρυμμένων τὴν γνῶσιν ἐξεκάλυπτον ἄγγελοι κατὰ 1.109 νοῦν αὐτῷ; "Καὶ ἰδοὺ γὰρ, φησὶν, ὁ ἄγγελος ὁ λαλῶν ἐν "ἐμοὶ εἱστήκει, καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς ἀπάν "τησιν αὐτῷ καὶ εἶπε πρὸς αὐτὸν λέγων Δράμε καὶ λάλησον "πρὸς τὸν νεανίαν ἐκεῖνον λέγων Κατάκαρπος κατοικηθή "σεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν "τῶν ἐν μέσῳ αὐτῆς." τί δὲ, εἰπέ μοι, καὶ ὁ σοφώτατος Δανιὴλ ταῖς ἀξιαγάστοις ὀπτασίαις προσβαλὼν, οὐχὶ τῶν ὁρωμένων τὴν ἀποκάλυψιν διὰ τῆς τῶν ἀγγέλων ἐρανίζεται φωνῆς; ἄκουε γὰρ λέγοντος "Καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, "ἐγὼ Δανιὴλ, τὴν ὅρασιν καὶ ἐζήτουν σύνεσιν, καὶ ἰδοὺ "ἔστη ἐνώπιόν μου ὡς ὅρασις ἀνδρός· καὶ ἤκουσα φωνὴν "ἀνδρὸς ἀνὰ μέσον τοῦ Οὐβὰλ, καὶ ἐκάλεσε καὶ εἶπε "Γαβριὴλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν." οὐκοῦν ἔνεστι τὸ δύνασθαι φωτίζειν ἀγγέλοις, καὶ οὐ μόνον αὐτοῖς, ἀλλ' ἤδη καὶ ἄνθρωπος τὸν ἐξ ἀνθρώπου δανείζεται φωτισμόν. καὶ γοῦν ὁ φιλομαθὴς ἐκεῖνος εὐνοῦχος τὰς περὶ τοῦ Σωτῆρος ἡμῶν προφητείας οὐ συνεὶς τῷ Φιλίππῳ φησί "Δέομαί σου "περὶ τίνος ὁ προφήτης λέγει; περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου "τινός;" καὶ οἱ τοῖς κατὰ τὸν βίον διδασκάλοις προστρέ χοντες, οὐχ ἑτέρου τινὸς οἶμαι χάριν, τούτου δὲ καὶ μόνου προσίασιν. ἀλλὰ τί δὴ τούτοις ἐνδιατρίβομεν, ἐξὸν ἀπαλ λάττεσθαι ῥᾳδίως, ἐκεῖνο παραθέντας εἰς ἀπόδειξιν τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρὰ τοῦ Σωτῆρος ἡμῶν πρὸς τοὺς ἁγίους εἰρημένον ἀποστόλους "Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου;" Τοιαῦτα μὲν δή τις κατὰ τὸ εἰκὸς ἐπαπορήσας ἐρεῖ, παρὰ δὲ ἡμῶν ἀντακούσεται Ἐν συνθέσει τὰ κατὰ τὴν κτίσιν ὁρῶμεν, ὦ οὗτος, καὶ οὐδὲν ἐν αὐτῇ τὸ ἁπλοῦν· οὐκοῦν ὁ σοφοῦν ἑτέρους δυνάμενος, εἴπερ εἴη γενητὸς, οὐκ αὐτόχρημά ἐστιν ἡ σοφία, ἀλλὰ τῆς ἐνούσης αὐτῷ σοφίας διάκονος· ἐν σοφίᾳ γὰρ ὁ σοφός ἐστι σοφός. καὶ ὁ συνετοὺς ἐκδιδάσκων, 1.110 οὐκ αὐτόχρημά ἐστιν ἡ σύνεσις, ἀλλὰ τῆς ἐνυπαρχούσης αὐτῷ συνέσεως ὑπουργός· ἐν συνέσει γάρ εἰσι καὶ οὗτοι συνετοί. καὶ ὁ φωτίζειν αὖ πάλιν ἑτέρους εἰδὼς, οὐκ αὐτο κυρίως ἂν νοοῖτο τὸ φῶς, ἀλλὰ φωτὸς τοῦ ἐν αὐτῷ δανει στὴς, καὶ εἰς ἑτέρους αὐτὸ παραπέμπων διδακτῶς, καὶ κοινο ποιούμενος τοῖς ἄλλοις ὅπερ εἴληφεν ἀγαθόν. διά τοι τοῦτο καὶ πρὸς τοὺς ἁγίους ἀποστόλους ἐλέγετο "Δωρεὰν ἐλάβετε, "δωρεὰν δότε·" ὅσα γὰρ ἦν ἐν αὐτοῖς ἀγαθὰ, ταῦτα δὴ πάντως ἐστὶ καὶ θεόσδοτα, καὶ οὐκ ἂν ὅλως ἰδίοις ἀγαθοῖς ἡ τῶν ἀνθρώπων ἐναγλαΐζοιτο φύσις, ἀλλ' οὐδὲ ἡ τῶν ἁγίων ἀγγέλων. μετὰ γὰρ τοῦ κεκλῆσθαι πρὸς γένεσιν, καὶ τὸν τοῦ πῶς εἶναι λόγον ἕκαστον τῶν ὄντων παρὰ Θεοῦ ἔχει, καὶ οὐδὲν ἐν αὐτοῖς οὐσιωδῶς ἐνυπάρχειν διακεισόμεθα, ὃ μὴ δῶρόν ἐστι τῆς τοῦ κτίσαντος φιλοτιμίας, καὶ ῥίζαν ἔχει τὴν τοῦ δημιουργήσαντος χάριν. οὐκοῦν ἐπειδήπερ ἐν συνθέσει τὰ γενητὰ, φῶς μὲν ἐν αὐτοῖς οὐδὲν ἔσται κυρίως τε καὶ ἁπλῶς, ἤτοι ἀσυνθέτως, μεθεκτῶς δὲ καὶ τοῦτο φορέσει μετὰ τῶν ἄλλων καὶ λαβόντα παρὰ Θεοῦ· φῶς δὲ αὖ τὸ ἀλη θινὸν, τὸ φωτίζον ἐστὶν, οὐ τὸ παρ' ἑτέρου φωτιζόμενον, ὅπερ ἐστὶν ὁ Μονογενὴς ἐν ἁπλῇ καὶ ἀσυνθέτῳ νοούμενος φύσει, διπλόης γὰρ ἁπάσης τὸ θεῖον ἀποφοιτᾷ. Καὶ ταῦτα μὲν τῇδε· πάλιν δὲ ἡμῖν ἐρεῖ τυχὸν ὁ δι' ἐναντίας Εἰ μὴ φῶς ὑπῆρχον κατὰ φύσιν οἱ ἅγιοι, διὰ ποίαν αἰτίαν αὐτοὺς οὐχὶ φωτὸς ἀπεκάλει μετόχους, ἀλλὰ φῶς ὠνόμαζεν ὁ Σωτήρ; πῶς δὲ ἑτεροφυὴς ἡ κτίσις ὡς πρὸς αὐτὸν, εἰ καθάπερ αὐτὸς ὠνόμασται φῶς, οὕτω καὶ τὰ λογικά; "Ὑμεῖς γάρ ἐστε τοῦ κόσμου τὸ φῶς," ἤκουον οἱ μαθηταί. Τί οὖν, ὦ βέλτιστε; πάλιν ἐροῦμεν αὐτῷ· Θεοῦ υἱοὶ καὶ θεοὶ παρὰ ταῖς θείαις κεκλήμεθα γραφαῖς, κατὰ τό "Ἐγὼ εἶπα Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες;" ἆρ' οὖν ἀφέντες τὸ εἶναι κατὰ φύσιν, ὅπερ ἐσμὲν, ἐπὶ τὴν θείαν τε 1.111 καὶ ἄῤῥητον οὐσίαν ἀναβησόμεθα, καὶ τὸν τοῦ Θεοῦ Λόγον τῆς κατ' ἀλήθειαν ἐκβάλλοντες υἱότητος, ἀντ' ἐκείνου τῷ Πατρὶ συνεδρεύσομεν, καὶ ὑπόθεσιν ἀσεβείας τὴν τοῦ τι μῶντος ποιησόμεθα χάριν; μὴ γένοιτο· ἀλλ' ἔσται μὲν ἐν οἷσπέρ ἐστιν ἀπαραποιήτως ὁ Υἱός· θετοὶ δὲ ἡμεῖς εἰς υἱότητα, καὶ θεοὶ κατὰ χάριν, οὐκ ἀγνοοῦντες ὅπερ ἐσμέν· οὕτω δὲ εἶναι καὶ φῶς τοὺς ἁγίους πιστεύομεν. χρῆναι δὲ οἶμαι κἀκεῖνο διασκεπτομένους ὁρᾷν. τὰ μὲν γὰρ λογικὰ τῶν κτισμάτων φωτιζόμενα φωτίζει, κατὰ μετάδοσιν θεωρη μάτων τῶν ἐκ νοῦ πρὸς ἑτέραν εἰσχεομένων διάνοιαν, καὶ διδασκαλία μᾶλλον, ἤτοι ἀποκάλυψις, ὁ τοιοῦτος ἂν δικαίως καλοῖτο φωτισμός· ὁ δὲ τοῦ Θεοῦ Λόγος φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον οὐ διδασκαλικῶς, καθάπερ ἄγγελοι τυχὸν, ἢ καὶ ἄνθρωποι, ἀλλὰ μᾶλλον ὡς Θεὸς δημιουργικῶς ἑκάστῳ τῶν εἰς τὸ εἶναι καλουμένων σπέρμα σοφίας, ἤτοι θεογνωσίας, ἐντίθησι, καὶ ῥίζαν ἐμφυτεύει συνέ σεως, λογικόν τε οὕτως ἀποτελεῖ τὸ ζῷον τῆς οἰκείας φύσεως μέτοχον ἀποδεικνύων, καὶ τῆς ἀφράστου λαμπρότητος ὥσπερ τινὰς ἀτμοὺς φωτοειδεῖς ἐνιεὶς τῷ νῷ, καθ' ὃν αὐτὸς οἶδε τρόπον τε καὶ λόγον· δεῖ γὰρ, οἶμαι, λέγειν ἐν τούτοις οὐ περιττά. διά τοι τοῦτο καὶ ὁ προπάτωρ Ἀδὰμ, οὐκ ἐν χρόνῳ, καθάπερ ἡμεῖς, τὸ εἶναι σοφὸς ἀποκερδάνας ὁρᾶται, ἀλλ' ἐκ πρώτων εὐθὺς τῶν τῆς γενέσεως χρόνων τέλειος ἐν συνέσει φαίνεται, τὸν δοθέντα τῇ φύσει παρὰ Θεοῦ φωτισμὸν ἀθό λωτον ἔτι καὶ καθαρὸν διασώζων ἐν ἑαυτῷ, καὶ ἀκαπήλευτον ἔχων τῆς φύσεως τὸ ἀξίωμα. φωτίζει τοιγαροῦν δημιουρ γικῶς μὲν ὁ Υἱὸς, ἅτε δὴ τὸ φῶς ὑπάρχων αὐτὸς τὸ ἀληθινὸν, κατὰ μετοχὴν δὲ ἡ κτίσις τὴν πρὸς τὸ φῶς ἐκλαμπρύνεται, καὶ καλεῖται διὰ τοῦτο καὶ γίνεται φῶς, εἰς τὰ ὑπὲρ φύσιν ἀναβαίνουσα διὰ τὴν τοῦ δοξάσαντος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χάριν, καὶ διαφόροις αὐτὴν στεφανοῦντος τιμαῖς, ὡς ἥκειν εὐλόγως 1.112 εἰς μέσον τῶν τετιμημένων ἕκαστον, καὶ δὴ καὶ χαριστηρίους ἀνατείνοντα προσευχὰς, μεγάλῃ λοιπὸν ἀναμελῳδεῖν τῇ φωνῇ "Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλαν "θάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ, τὸν εὐιλατεύοντα "πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους "σου· τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν "στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς, τὸν ἐμπιπλῶντα "ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου·" ποιεῖ γὰρ ὄντως "ἐλεημο "σύνας ὁ Κύριος," τὰ μικρὰ καὶ ἐξουθενημένα, κατά γε τὸν τῆς οἰκείας φύσεως λόγον, μεγάλα καὶ ἀξιοθαύμαστα διὰ τῆς εἰς αὐτὰ χρηστότητος ἀποδεικνύων, ὥσπερ οὖν ἀμέλει καὶ ἡμᾶς τοῖς ἰδίοις αὐτοῦ κατασεμνύνειν ἀγαθοῖς χρῆναι δεῖν ἀφθόνως ἐδοκίμασεν ὡς ὁ Θεὸς, καὶ διὰ τοῦτο θεούς τε καὶ φῶς καὶ τί γὰρ οὐχὶ τῶν ἀγαθῶν ἀποκαλεῖ. Εἶτα τί πρὸς τούτῳ φησίν; ὅτι καὶ ἐν τῷ κόσμῳ ἦν. ἐπάγει καὶ τοῦτο χρησίμως ὁ θεολόγος, ἀναγκαιοτάτην ἡμῖν δι' αὐτοῦ τὴν θεωρίαν εἰσφέρων· ἐπειδὴ γὰρ ἔφη Ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἦν δὲ οὐ σφόδρα τοῖς ἀκροωμένοις συμφανὲς, πότερόν ποτε τὸν ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον φωτίζει τὸ φῶς, ἢ αὐτὸ τὸ φῶς τὸ ἀληθινὸν, ὡς ἀπό τινος ἑτέρου τόπου μεταχωροῦν εἰς τὸν κόσμον, τὸν εἰς πάντας ἀνθρώπους ποιεῖται φω τισμόν· ἀναγκαίως ἡμῖν ὁ πνευματοφόρος ἐκκαλύπτει τὸ ἀληθὲς, καὶ τῶν οἰκείων ῥημάτων διερμηνεύει τὴν δύναμιν, λέγων εὐθὺς περὶ τοῦ φωτὸς, ὅτι ἐν τῷ κόσμῳ ἦν· ἵνα λοιπὸν τὸ ἐρχόμενον εἰς τὸν κόσμον κατὰ τοῦ ἀνθρώπου νοῇς, καὶ μᾶλλον τῆς φωτιζομένης κατηγορῆται φύσεως, ὡς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι καλουμένης· τόπος γὰρ ὥσπερ τις ἐστὶ τοῖς γενητοῖς ἐπινοίᾳ θεωρούμενος τὸ μὴ εἶναί ποτε, ἀφ' οὗ δὴ τρόπον τινὰ πρὸς τὸ εἶναι βαδίζοντα, τόπον ἕτερον ἤδη 1.113 τὸν ἐν ὑπάρξει λαμβάνει. οὐκοῦν οἰκειότερόν τε καὶ πρεπω δέστερον ἡ τῶν ἀνθρώπων ἐπιδέξεται φύσις τὸ ἐκ πρώτων εὐθὺς φωτίζεσθαι χρόνων, σύνδρομόν τε καὶ συγκατεσκευασ μένην τῷ εἶναι λαμβάνειν τὴν σύνεσιν παρὰ τοῦ ὄντος ἐν τῷ κόσμῳ φωτὸς, τουτέστι τοῦ Μονογενοῦς, ὃς δὴ καὶ ἀῤῥήτῳ τῇ τῆς θεότητος δυνάμει τὰ πάντα πληροῖ, καὶ συμπάρεστι μὲν ἀγγέλοις ἐν οὐρανῷ, σύνεστι δὲ τοῖς ἐπὶ τῆς γῆς, κενὸν δὲ τῆς ἑαυτοῦ θεότητος οὐδὲ αὐτὸν ἀφίησι τὸν ᾅδην, καὶ πανταχῇ τοῖς πᾶσιν ἐπιδημῶν οὐδενὸς ἀπανί σταται, ὡς ἐπὶ τούτῳ καὶ λίαν εἰκότως ἀποθαυμάζοντα τὸν σοφώτατον λέγειν μελῳδόν "Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύ "ματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν "ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ εἶ ἐκεῖ· ἐὰν καταβῶ εἰς τὸν "ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον "καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ "ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου." παντὸς γὰρ τόπου καὶ πάσης κτίσεως ἡ θεία περιδράττεται χεὶρ, συνέχουσα πρὸς τὸ εἶναι τὰ πεποιημένα, καὶ περισφίγ γουσα πρὸς ζωὴν τὰ ζωῆς δεόμενα, καὶ τοῖς συνέσεως δεκτικοῖς τὸ νοητὸν ἐνσπείρουσα φῶς. ἔστι δὲ οὐκ ἐν τόπῳ, καθάπερ ἤδη προείπομεν, οὐδὲ τὴν μεταβατικὴν ὑπομένει κίνησιν· σωμάτων γὰρ ἴδιον τοῦτό γε· πληροῖ δὲ μᾶλλον τὰ πάντα ὡς Θεός. Ἀλλ' ἐρεῖ τις πρὸς ταῦτα τυχόν Τί οὖν ἄρα φαμὲν, ὦ γενναῖε, ὅταν τις ἡμῖν εἰς μέσον ἄγῃ λέγοντα τὸν Χριστόν "Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα;" τί δὲ ὅταν ὁ ψαλ μῳδὸς ἀναφθέγγηται "Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν "ἀλήθειάν σου;" ἰδοὺ γὰρ ἐνθάδε σαφῶς αὐτὸς μὲν ἐληλυ θέναι φησὶν εἰς τὸν κόσμον, ὡς οὐκ ὢν ἐν αὐτῷ δηλονότι· πέμπεσθαι δὲ πάλιν ὁ μελῳδὸς ἐλιπάρει τὸν οὔπω παρόντα, 1.114 κατά γε τὸ ἐν τῷ λόγῳ σχῆμα καὶ τῆς ὡς ἡμᾶς ἀποστολῆς τὴν ἔμφασιν. πρὸς δὴ τὰ τοιαῦτά φαμεν, ὅτι τῷ Μονογενεῖ θεοπρεπὲς ἀξίωμα περιτιθεὶς ὁ θεολόγος, ἐν τῷ κόσμῳ φησὶν ἀεὶ καὶ διὰ παντὸς ὑπάρχειν αὐτὸν, ὡς ζωὴν κατὰ φύσιν, ὡς φῶς κατ' οὐσίαν, πληροῦντα τὴν κτίσιν, ὡς Θεὸν, οὐ τόπῳ περιγραπτὸν, οὐ διαστήμασι μετρητὸν, οὐ ποσότητι κατα ληπτὸν, οὐδὲ ὑπό τινος ὅλως ἐμπεριεχόμενον, οὐδὲ μεταβά σεως τῆς εἰς τόπον ἐκ τόπου δεόμενον, ἀλλ' ἐνδημεῖν μὲν ἅπασιν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπολιμπάνεσθαι δὲ μηδενός· ἐληλυθέναι δὲ αὐτὸν ἐν κόσμῳ διισχυρίσατο, καίτοι παρὼν ἐν αὐτῷ, κατὰ τὸν τῆς ἐνανθρωπήσεως τρόπον. "Ὤφθη γὰρ ἐπὶ τῆς γῆς καὶ τοῖς "ἀνθρώποις συνανεστράφη" μετὰ σαρκὸς, ἐμφανεστέραν ἑαυτοῦ τὴν ἐν κόσμῳ παρουσίαν διὰ τούτου τιθεὶς, καὶ ὁ πάλαι νοήσει καταληπτὸς, καὶ αὐτοῖς ἤδη τοῖς τοῦ σώματος ὁρώμενος ὀφθαλμοῖς, παχυτέραν, ἵνα οὕτως εἴπω, τῆς θεο γνωσίας ἡμῖν ἐνετίθει τὴν αἴσθησιν, διὰ θαυμάτων καὶ μεγα λουργίας ἐπιγινωσκόμενος. ἀποστέλλεσθαι δὲ ὡς ἡμᾶς φωτιοῦντα τὸν κόσμον τὸν τοῦ Θεοῦ Λόγον, ὁ μελῳδὸς οὐ καθ' ἕτερον δέ τινα τρόπον, ὥς γε μοι φαίνεται, κατὰ δὲ τοῦτον αὐτὸν παρακαλεῖ. χρῆναι δὲ οἶμαι πρὸς τούτῳ κἀκεῖνο διενθυμεῖσθαι τὸν φιλομαθῆ, ὅτι παντὸς μὲν λόγου τομώτερος νοῦς, ὀξυτέρα δὲ γλώττης τῆς διανοίας ἡ κίνησις. οὐκοῦν ὅσον ἧκεν εἰς λεπτότητα νοῦ καὶ τὴν ὀξεῖαν ἐν αὐτῷ κίνησιν, τὸ ποικίλον τῆς θείας φύσεως καταθεώμεθα κάλλος· λαλοῦμεν δὲ τὰ περὶ αὐτῆς ἀνθρωπινότερον καὶ λόγῳ τῷ καθ' ἡμᾶς, οὐκ ἐχούσης τῆς γλώττης πρὸς τὸ τῆς ἀληθείας ἐκτείνεσθαι μέτρον. διὸ δὴ καὶ ὁ Παῦλος ὁ τῶν τοῦ Σω τῆρος μυστηρίων ταμίας, λόγον ἀπῄτει παρὰ Θεοῦ τὸν "ἐν "ἀνοίξει τοῦ στόματος" αὐτοῦ. οὐδὲν οὖν ἄρα λυμανεῖται 1.115 τοῖς φυσικοῖς τοῦ Μονογενοῦς ἀξιώμασιν ἡ τῶν παρ' ἡμῖν λόγων πενία, ἀλλὰ νοηθήσεται μὲν θεοπρεπῶς τὰ περὶ αὐτοῦ, λαληθήσεται δὲ διὰ τὴν χρείαν ἀνθρωπινώτερον, παρά τε αὐτοῦ δι' ἡμᾶς, καὶ παρὰ τῶν ἁγίων περὶ αὐτοῦ κατὰ τὸ τῆς φύσεως μέτρον. Ἦν μὲν οὖν, ὡς ἔοικε, τοῖς εἰρημένοις ἀρκεῖσθαι καλὸν εἰς τὴν τῶν προκειμένων ἐξήγησιν· ἐπειδὴ δὲ οἶμαι προσ ήκειν ὄκνου φέρεσθαι κρείττονα τὸν τοῖς θείοις δόγμασιν ὑπηρετοῦντα κάλαμον, φέρε πάλιν αὐτὸ παραθέντες τὸ ἀνάγνωσμα βασανίσωμεν ἀκριβέστερον, πῶς ἂν νοοῖτο κατὰ τὸν πρέποντα λόγον τοῦ ἀνθρώπου κατηγορούμενον, τὸ ἐρχόμενον εἰς τὸν κόσμον· ἦν γὰρ ἐν αὐτῷ τὸ φῶς, καθάπερ οὖν καὶ αὐτὸς ἡμῖν ὁ Εὐαγγελιστὴς διεμαρτύρατο, καὶ οὐ τὸ φῶς εἰς τὸν κόσμον ἔρχεσθαι μᾶλλον, ἀλλὰ τὸν φωτιζόμενον ἄνθρωπον διαβεβαιούμεθα. φασὶ τοιγαροῦν τινες, τὰ ἐκ καρ δίας αὐτῶν ἐρευγόμενοι καὶ οὐκ ἀπὸ στόματος Κυρίου, καθὰ γέγραπται, ὅτι πρὸ τῆς τῶν σωμάτων κατασκευῆς προϋ πῆρχον μὲν κατὰ τὸν οὐρανὸν αἱ τῶν ἀνθρώπων ψυχαὶ, μακρὸν ἐν ἀσωμάτῳ μακαριότητι τρίβουσαι χρόνον, καὶ καθαρώτερον ἀπολαύουσαι τοῦ ὄντως ἀγαθοῦ· ἐπειδὴ δὲ αὐτὰς ὁ τῶν ἀμεινόνων εἰσῄει κόρος, καὶ πρὸς τὰ χείρω λοιπὸν ἀποκλίνουσαι, πρὸς ἐκτόπους κατέβαινον ἐννοίας τε καὶ ἐπιθυμίας, ἀγανακτήσας εἰκότως ὁ Δημιουργὸς ἀπο στέλλει μὲν αὐτὰς εἰς τὸν κόσμον, τοῖς δὲ ἀπὸ γῆς ἐνέπλεξε σώμασιν ἀχθοφορεῖν ἀναγκάσας, καὶ μονονουχὶ σπηλαίῳ τινὶ τῶν ἐκτόπων ἐγκατακλείσας ἡδονῶν, παιδεύειν αὐτὰς ἐξ αὐτῆς ἐδοκίμασε τῆς πείρας αὐτῶν, πικρὸν ὅπως ἐστὶ τὸ ἐπὶ τὰ χείρω φέρεσθαι, καὶ ποιεῖσθαι λόγον τῶν ἀγαθῶν οὐδένα. ἁρπάζουσι δὲ εἰς ἀπόδειξιν τῆς οὕτω γελοιοτάτης ἑαυτῶν μυθολογίας, καὶ αὐτὸ δὴ πρῶτον τὸ νῦν ἡμῖν ἐν χερσίν Ἦν τὸ 1.116 φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· πρὸς δέ γε τούτῳ, καὶ ἕτερά τινα τῶν ἀπὸ τῆς θείας γραφῆς, οἷον τό "Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημ "μέλησα·" καὶ δὴ καί φασι παραληρεῖν οὐκ αἰδούμενοι Ἰδοὺ πρὸ τῆς ταπεινώσεως, τουτέστι τῆς ἐνσωματώσεως, πεπλημ μεληκέναι φησὶν ἡ ψυχὴ, διά τε τοῦτο τεταπεινῶσθαι δικαίως ἐνδεθεῖσαν θανάτῳ καὶ φθορᾷ, καθάπερ οὖν καὶ ὁ Παῦλος οὕτως ὀνομάζει τὸ σῶμα λέγων "Ταλαίπωρος ἐγώ "εἰμι ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου "τούτου;" εἰ δὲ πλημμελεῖ, φησὶν, πρὸ τῆς ταπεινώσεως ἡ ψυχὴ, καὶ ἔρχεται εἰς τὸν κόσμον, ὡς προϋπάρχουσα δη λονότι· πῶς γὰρ ἂν ὅλως ἁμάρτοι τὸ μήπω ὑφεστηκός; ἔρχεται δὲ εἰς τὸν κόσμον ἀπό τινων δηλονότι τόπων κινουμένη. τοιαῦτά τινα τῶν τῆς Ἐκκλησίας καταῤῥαψῳ δοῦντες δογμάτων, καὶ ὕθλους εἰκαίων διηγημάτων ταῖς τῶν ἁπλουστέρων ἐπισωρεύοντες ἀκοαῖς, δικαίως ἀκούσονται "Οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ "καθόλου μὴ βλέπουσιν." ὁράσεις γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄντως καὶ οἰωνίσ ματα καὶ προφητείας καρδίας αὐτῶν τοῖς διὰ τοῦ Πνεύ ματος ἀντιπαραθέντες λόγοις, οὐκ αἰσθάνονται πρὸς ὅσην αὐτοῖς ἀτοπίαν δραμεῖται τὸ ἐπιχείρημα, λέγοντος τοῦ ψαλ μῳδοῦ πρὸς Θεόν "Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι "ἀπὸ τῆς ὀργῆς σου;" ὅτι δὲ λίαν ἐστὶν ἀτοπώτατον προϋπάρχειν μὲν οἴεσθαι τὴν ψυχὴν, ἐκ προγενεστέρων δὲ ἁμαρτημάτων εἰς τὰ ἐκ γῆς καταπέμπεσθαι σώματα νομίζειν αὐτὴν, διὰ τῶν ὑπεζευγμένων ἐννοιῶν κατὰ τὸ ἐγχωροῦν ἡμῖν ἀποδεῖξαι πειρασόμεθα, τὸ γεγραμμένον εἰδότες "Δίδου "σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δὲ δικαίῳ, "καὶ προσθήσει τοῦ δέχεσθαι." 1.117 Ἔννοιαι ἤτοι θεωρήματα συμπεπλεγμένου καὶ σχήματος συλλογιστικοῦ. α. Εἰ τῆς τῶν σωμάτων κατασκευῆς ἡ τοῦ ἀνθρώπου προϋφεστήκει ψυχὴ, ἀποκλίνασα δὲ πρὸς τὸ φαῦλον, κατὰ τὰς τινῶν ὑπονοίας, κόλασιν ἔχει τοῦ πλημμελήματος τὴν εἰς σάρκα κάθοδον, πῶς εἰπέ μοι φωτίζεσθαί φησιν ἐρχο μένην αὐτὴν εἰς τὸν κόσμον ὁ Εὐαγγελιστής; τιμὴ γὰρ οἶμαι τὸ πρᾶγμά ἐστι καὶ χαρισμάτων προσθήκη λαμπρῶν· κολάζεται δέ τις οὐ τιμώμενος, οὐδὲ τιμωρεῖται μέτοχος θείων ἀναδεικνύμενος ἀγαθῶν, ἀλλὰ τοῖς ἐξ ὀργῆς τῆς τοῦ κολάζοντος ὁμιλῶν. ἐπειδὴ δὲ οὐκ ἐν τούτοις ἐρχόμενος εἰς τὸν κόσμον ὁ ἄνθρωπος, ἀλλ' ἐκ τῶν ἐναντίων καὶ φωτίζεται, πρόδηλον δήπου λοιπὸν, ὅτιπερ οὐ κόλασιν ἔχει τὴν σάρ κωσιν ὁ μετὰ σαρκὸς τιμώμενος. β. {Ἄλλο.} Εἰ πρὸ τοῦ σώματος ἡ ψυχὴ νοῦς ἦν ἔτι κα θαρὸς ἐν μακαριότητι διατελῶν, ἀποκλίνας δὲ πρὸς τὸ φαῦλον ὑπέβη, καὶ διὰ τοῦτο ἐν σαρκὶ γέγονε, πῶς εἰσερχό μενος εἰς τὸν κόσμον φωτίζεται; ἀνάγκη γὰρ λέγειν ἔρημον εἶναι φωτὸς πρὶν ἐλθεῖν αὐτόν· εἰ δὲ τοῦτο, πῶς ἦν ἔτι νοῦς καθαρὸς ὁ τότε μόλις ἔχων τοῦ φωτίζεσθαι τὴν ἀρχὴν, ὅτε καὶ εἰς τὸν κόσμον ἔρχεται, καὶ οὐ δίχα σαρκός; γ. {Ἄλλο.} Εἰ προϋφεστήκει τοῦ σώματος ἡ τοῦ ἀνθρώπου ψυχὴ, καὶ νοῦς ὑπῆρχεν ἔτι διὰ τοῦτο καθαρὸς, οἰκειότερον τῇ τῶν ἀγαθῶν ἐφέσει προσκείμενος, ἐκ παρατροπῆς δὲ τῆς ἐπὶ τὸ χεῖρον εἰς τὸ γεῶδες πέμπεται σῶμα, καὶ γεγονὼς ἐν αὐτῷ τὸ μηκέτι βούλεσθαι πλημμελεῖν ἀπαιτεῖται, πῶς οὐκ ἀδικεῖται μὴ τότε μάλιστα τοῦτο ποιεῖν ἐπιτετραμμένος, ὅτε δὴ καὶ μᾶλλον ὑπῆρχεν ἑτοιμότερος εἰς ἀρετὴν, οὔπω τοῖς ἀπὸ τοῦ σώματος ἐνδεδεμένος κακοῖς, ἀλλ' ὅτε γέγονεν ἐν θολώσει τῆς ἁμαρτίας, τότε τοῦτο ποιεῖν οὐκ εὐκαίρως ἀναγ 1.118 κάζεται; καιροῦ δὲ τοῦ πρέποντος οὐκ ἂν ἁμάρτοι τὸ θεῖον, ἀλλ' οὐδ' ἂν ἀδικήσαι ποτὲ τὸ ἀδικεῖν οὐ πεφυκός. εὐκαίρως ἄρα καὶ δικαίως μετὰ σαρκὸς τὸ μὴ ἁμαρτάνειν ἀπαιτούμεθα, μόνον ἔχοντες τοῦτον τοῦ εἶναι τὸν καιρὸν, καθ' ὃν μετὰ σώματος εἰς τὸν κόσμον ἐρχόμεθα, τὸ μὴ εἶναι πρότερον, ὥσπερ τινὰ τόπον καταλιμπάνοντες, καὶ ἐξ αὐτοῦ πρὸς ὑπάρξεως ἀρχὴν μεθιστάμενοι. δ. {Ἄλλο.} Ποῖον ἔχει λόγον, ἐροίμην ἂν ἡδέως αὐτοὺς, τὸ ἁμαρτήσασαν πρὸ σωμάτων εἰς σῶμα πέμπεσθαι τὴν ψυχὴν, ἵνα δὴ μάθοι τῇ πείρᾳ τῶν οἰκείων ἐπιθυμιῶν τὴν αἰσχρό τητα; καὶ ταῦτα γὰρ οὐκ ἐρυθριῶσιν ἐξηγούμενοι, καίτοι μᾶλλον ἐχρῆν καὶ αὐτῆς τῆς τῶν κακῶν ἐξέλκεσθαι φαντα σίας αὐτὴν, καὶ οὐκ εἰς αὐτὸν κατωθεῖσθαι τῶν ἐκτόπων ἡδονῶν τὸν πυθμένα· τρόπος γὰρ ἦν θεραπείας ἐκεῖνο μᾶλλον ἢ τοῦτο. εἰ μὲν οὖν ἵνα ταῖς τοῦ σώματος ἡδοναῖς ἐντρυφήσῃ προσθήκην ἔχει νοσημάτων τὴν σάρκωσιν, οὐκ ἄν τις ἐπαινέσαι τὸν σωφρονιστὴν, δι' ὧν ὠφελεῖν ὑπετόπησεν ἀδικοῦντα τὸ νενοσηκός· εἰ δὲ ἵνα παύσηται τῶν παθῶν, πῶς εἰς αὐτὸ πεσοῦσα τῆς ἐπιθυμίας τὸ βάθος ἀνακύπτειν ἐδύνατο, καὶ οὐχὶ μᾶλλον καὶ αὐτὴν ἀποπτύσασα τοῦ νοσή ματος τὴν ἀρχὴν, ὅτε καὶ γυμνὴ τοῦ καθέλκοντος εἰς ἁμαρ τίαν ἐφαίνετο; ε. {Ἄλλο.} Εἰ προοῦσα πεπλημμέληκεν ἡ ψυχὴ, διά τε τοῦτο συνεπλάκη σαρκὶ καὶ αἵματι, εἰς τιμωρίας τρόπον λαβοῦσα τὸ πρᾶγμα, πῶς οὐκ ἔδει τοὺς πιστεύοντας εἰς Χριστὸν, καὶ κομισαμένους διὰ τούτου τῆς ἁμαρτίας τὴν ἄφεσιν, παραχρῆμα σωμάτων ἐξέρχεσθαι, καὶ τὸ λόγῳ τιμωρίας περιτεθὲν ἀποβάλλειν; ἐπεὶ πῶς, εἰπέ μοι, τελείαν ἔχει τὴν ἄφεσιν ἡ τοῦ ἀνθρώπου ψυχὴ, ἔτι περικειμένη τὸν 1.119 τῆς κολάσεως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρόπον; ἀλλ' ὁρῶμεν ὅτι τοσοῦτον ἀφεστή κασι τοῦ σωμάτων ἀπαλλάττεσθαι θέλειν οἱ πιστεύοντες, ὡς ταῖς εἰς Χριστὸν ὁμολογίαις συνεπιφθέγγεσθαι τῆς σαρκὸς τὴν ἀνάστασιν. οὐκ ἄρα κολάσεως ἔσται τρόπος, τὸ καὶ πίστεως ὁμολογίᾳ τετιμημένον, ὡς τῇ θείᾳ τοῦ Σωτῆρος δυνάμει τὸ πάντα δύνασθαι ῥᾳδίως ἐπιμαρτυροῦν, διὰ τοῦ παλινδρομῆσαι πρὸς ζωήν. . {Ἄλλο.} Εἰ προοῦσα κατ' ἐκείνους ἐξήμαρτεν ἡ ψυχὴ, διά τε τοῦτο συνεπλάκη σαρκὶ, διὰ ποίαν αἰτίαν ὁ νόμος τὰ μὲν τῶν ἐγκλημάτων βαρύτερα τιμᾶσθαι θανάτῳ, τὸν δὲ οὐδὲν ἡμαρτηκότα διαζῆν ἐπιτρέπει; χρῆν γὰρ δήπου μᾶλλον, τοὺς μὲν ἐπὶ τοῖς αἰσχίστοις ἁλόντας κακοῖς ἐπι τρέπειν ἐγχρονίζειν σώμασιν, ἵνα δὴ καὶ μειζόνως κολάζοιντο, τοὺς δὲ οὐδὲν ἡμαρτηκότας σωμάτων ἀνεῖσθαι, εἴπερ ἐν τάξει τιμωρίας ἡ ἐνσωμάτωσις. ἀλλ' ἐκ τῶν ἐναντίων, θανάτῳ μὲν ὁ φονευτὴς καταδικάζεται, πάσχει δὲ οὐδὲν ὁ δίκαιος εἰς τὸ σῶμα· οὐκ ἄρα τιμωρίας τρόπος ἡ σάρκωσις. ζ. {Ἄλλο.} Εἰ ἐκ πρεσβυτέρων ἁμαρτημάτων ἐσαρκώθησαν αἱ ψυχαὶ, καὶ τρόπος αὐταῖς τιμωρίας ἡ τοῦ σώματος ἐπενοήθη φύσις, πῶς ἡμᾶς ὠφέλησε καταργήσας τὸν θάνατον ὁ Σωτήρ; πῶς δὲ οὐχὶ μᾶλλον ἠλέησεν ἡ φθορὰ, τὸ κολάζον ἡμᾶς ἀφανίζουσα, καὶ πέρας ἐπιτιθεῖσα τῇ καθ' ἡμῶν ὀργῇ; διὸ δὴ καὶ μᾶλλον εἴποι τις ἂν εὐχαριστεῖν ἀκολουθότερον τῇ φθορᾷ ἤπερ ἐκ τῶν ἐναντίων τῷ διηνεκὲς ἡμῖν ἐπιτιθέντι τὸ κολαστήριον, διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως· ἀλλὰ μὴν εὐχαριστοῦμεν, ὡς ἀπηλλαγμένοι θανάτου καὶ φθορᾶς διὰ Χριστοῦ· οὐκ ἄρα τιμωρίας τρόπος ἡ σάρκωσις τῇ τοῦ ἀνθρώπου ψυχῇ. η. {Ἄλλο ὡς ἐκ τοῦ αὐτοῦ θεωρήματος.} Εἰ προγενεστέρων ἁμαρτημάτων ἀπαιτούμεναι δίκας αἱ τῶν ἀνθρώπων ψυχαὶ τοῖς ἀπὸ τῆς γῆς ἐνεπλάκησαν σώμασι, ποίαν, εἰπέ μοι, 1.120 χάριν ὁμολογήσομεν τῷ τὴν ἀνάστασιν ἡμῖν ἐπαγγελλομένῳ Θεῷ; ἀνανέωσις γὰρ τιμωρίας τὸ πρᾶγμα φαίνεται καὶ τοῦ λυποῦντος ἀνασκευὴ, καὶ εἰ πικρὸν παντί τῳ φανεῖται τὸ κολάζεσθαι μακρά· χαλεπὸν ἄρα ἐστὶ τὸ ἀνίστασθαι σώ ματα τιμωρίας τάξιν ἐπέχοντα ταῖς ἀθλίαις ψυχαῖς. ἀλλὰ μὴν ὡς δῶρον ἡ φύσις ἀνανεοῦν εἰς εὐθυμίαν τὴν ἀνάστασιν ἔχει παρὰ Χριστοῦ. οὐκ ἄρα τιμωρίας τρόπος ἡ σωμάτωσις. θ. {Ἄλλο.} Ὡς μεγάλην ἡμῖν καὶ τριπόθητον ἑορτὴν προφητικός που λόγος εὐαγγελιζόμενος φαίνεται· "Ἀναστή "σονται γὰρ οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνη "μείοις" φησίν. ἀλλ' εἴπερ ἦν ὄντως κολάσεως τρόπος τὸ σωματωθῆναι τὰς ἀθλίας τῶν ἀνθρώπων ψυχὰς, πῶς οὐχὶ μᾶλλον ἐλύπει τὰ τοιαῦτα βοῶν ὁ προφήτης ὡς ἐκ Θεοῦ; πῶς δὲ ὅλως ἀγαθὸν ἔσται τὸ κήρυγμα, τῶν λυ πούντων ἡμᾶς εἰσφέρον τὴν διαμονήν; ἔδει γὰρ μᾶλλον εἰπεῖν, εἴπερ ἐβούλετο τοὺς ἐξ ἁμαρτίας σωματωθέντας εὐ φραίνειν Οὐκ ἀναστήσονται οἱ νεκροὶ, ἀπολεῖται δὲ καὶ ἡ τῆς σαρκὸς φύσις. ἀλλ' ἐκ τῶν ἐναντίων εὐφραίνει τὴν τῶν σωμάτων ἀνάστασιν ἔσεσθαι λέγων κατὰ βούλησιν Θεοῦ· καὶ πῶς ἂν εἴη λοιπὸν ἐν κολάσεως τάξει τὸ σῶμα κατὰ τὴν τινῶν ἀβουλίαν, ἐφ' ᾧ καὶ ἡμεῖς ἡδόμεθα καὶ ὁ Θεὸς εὐδοκεῖ; ι. {Ἄλλο.} Ἐπηγγείλατό που Θεὸς τὸν μακάριον εὐλογῶν Ἀβραὰμ, ὅτι κατὰ τὴν ἀναρίθμητον τῶν ἀστέρων πληθὺν ἔσται τὸ σπέρμα αὐτοῦ. εἰ δὲ ἀληθὴς ὁ λόγος, ὅτι πλημ μελήσασα πρὸ σώματος ἡ ψυχὴ, καὶ εἰς γῆν καὶ εἰς σάρκα κολασθησομένη πέμπεται, καταδίκων ὄχλον οὐκ εὐγενῆ, δρα πετευόντων τοῦ ἀγαθοῦ, τῷ δικαίῳ Θεὸς ἐπηγγείλατο, καὶ οὐχὶ μᾶλλον εὐλογίας μέτοχον σπέρμα. ἀλλὰ μὴν εὐλο γήσων τὸν Ἀβραὰμ τοῦτο λέγει ὁ Θεός· ἁπάσης ἄρα κατη γορίας ἡ τῶν σωμάτων ἀπήλλακται γένεσις. 1.121 ια. {Ἄλλο.} Εἰς πλῆθος μέγα καὶ ἀναρίθμητον τὸ τῶν Ἰσραηλιτῶν ἐξετείνετο γένος· καὶ δὴ καὶ τοῦτο δικαίως ὑπερθαυμάσας ὁ ἱεροφάντης Μωυσῆς ἐπεύχεται λέγων αὐτοῖς "Καὶ ἰδού ἐστε σήμερον ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ "πλήθει· Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν προσθείη ὑμῖν "ὡς ἐστὲ χιλιοπλασίως." ἀλλ' εἴπερ ἦν κόλασις ταῖς ἀν θρώπων ψυχαῖς τὸ εἶναι μετὰ σωμάτων ἐν κόσμῳ, ἔδει δὲ εἶναι καὶ οὐ γυμνὰς, ἀρὰ μᾶλλον εἴη περ ἀληθῶς, οὐκ ἐπ' εὐχῇ καὶ ὁ τοῦ Μωυσέως εὑρίσκεται λόγος. ἔχει δὲ οὐχ οὕτως, ἀλλ' ἐν εὐλογίας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τάξει πεποίηται· οὐκ ἄρα τιμωρίας ἐπέχει λόγον ἡ σάρκωσις. ιβ. {Ἄλλο.} Τοῖς αἰτεῖν ἐπιχειροῦσι κακῶς ἐπινεύειν Θεὸς οὐκ ἀνέχεται. καὶ τούτου μάρτυς ἡμῖν ἀψευδὴς ὁ τοῦ Σωτῆρος γενήσεται μαθητής "Αἰτεῖτε, λέγων, καὶ οὐ λαμ "βάνετε, ὅτι κακῶς αἰτεῖσθε." εἴπερ οὖν ἐστι κόλασις τὸ σωματωθῆναι ψυχὴν, Ἄννα τοῦ Ἑλικανὰ ἡ γυνὴ, πῶς οὐκ εὐλόγως ἐρεῖ τις, ὅτι τοῦ πρέποντος ἀπεσφάλλετο μακρὰν, οὕτω πρὸς Θεὸν ἀνατείνουσα τὴν εὐχὴν, καὶ αἰτοῦσα "σπέρμα ἀνδρός;" ψυχῆς γὰρ ᾔτει κατάπτωσιν καὶ τὴν εἰς σῶμα κάθοδον· πῶς δὲ ὅλως καὶ υἱὸν αὐτῇ ἐδίδου Θεὸς τὸν ἅγιον Σαμουὴλ, εἴπερ ἔδει πάντως ἁμαρτῆσαι ψυχὴν, ἵνα δὴ καὶ ἐμπλακεῖσα σώματι τῇ γυναικὶ πληρώσῃ τὴν αἴτησιν; ἀλλὰ μὴν καὶ Θεὸς ἐδίδου, μόνα πεφυκὼς διδόναι τὰ ἀγαθὰ, καὶ προχείρως ἐπινεύσας αὐτῇ λοιδορίας ἁπάσης ἐλευθεροῖ τὴν αἴτησιν. οὐκ ἄρα ἐξ ἁμαρτίας ἡ σάρκωσις, ἀλλ' οὐδὲ κολάσεως τρόπος κατά τινας. ιγ. {Ἄλλο.} Εἰ ἐν τάξει τιμωρίας δέδοται τὸ σῶμα τῇ τοῦ ἀνθρώπου ψυχῇ, τί τὸ πεπεικὸς Ἑζεκίαν τὸν τῆς Ἱερουσαλὴμ βασιλέα, καίτοι σοφὸν ὄντα καὶ ἀγαθὸν, δακρύων οὐ 1.122 δίχα πικρῶν παραιτεῖσθαι μὲν τὸν τῆς σαρκὸς θάνατον, καὶ ἀποδύσασθαι τὸ κολάζον ὀκνεῖν, ἐτῶν δὲ προσθήκῃ τιμᾶσθαι παρακαλεῖν, καίτοι λίαν ἐχρῆν, εἴπερ ἦν ὄντως ἀγαθὸς, οὐ τὸ τεθνάναι παραιτεῖσθαι μᾶλλον, ἡγεῖσθαι δὲ φορτικὸν τὸ συμπεπλέχθαι σώματι, καὶ ἐπὶ τούτῳ χάριν ἤπερ ἐπὶ τοῖς ἐναντίοις ὁμολογεῖν. πῶς δὲ ὡς ἐν χάριτος μέρει Θεὸς ἐπηγγέλλετο λέγων αὐτῷ "Ἰδοὺ προστίθημι εἰς τὸν χρόνον "σου ἔτη δεκαπέντε," καίτοι προσθήκη κολάσεως, οὐκ εὐ ποιΐας τρόπος, ἡ ὑπόσχεσις ἦν, εἴπερ ἐκεῖνοι πρεσβεύουσιν ἀληθῆ; ἀλλὰ μὴν δῶρον ἄνωθεν ἡ ὑπόσχεσις ἦν, καὶ ἡ προσθήκη χάρις· οὐκ ἄρα κόλασις ταῖς ψυχαῖς ἡ σω μάτωσις. ιδ. {Ἄλλο.} Εἰ ἐν τάξει κολάσεως δέδοται τὸ σῶμα τῇ τοῦ ἀνθρώπου ψυχῇ, ποίαν ἀντεδίδου χάριν τῷ εὐνούχῳ Θεὸς τῷ ἀνενεγκόντι τὸν Ἱερεμίαν ἐκ τοῦ λάκκου, λέγων Καὶ δώσω τὴν ψυχήν σου εἰς εὕρεμα, καὶ διασώσω σε ἐκ τῶν Χαλ δαίων. ἔδει γὰρ μᾶλλον ἀποθνήσκειν ἐᾶν, ἵνα καὶ τιμήσῃ, δεσμοῦ καὶ κολάσεως ἀπολύων αὐτόν. τί δὲ, εἰπέ μοι, τοῖς ἐξ Ἰσραὴλ νεανίαις ἐχαρίζετο, διασώζων αὐτοὺς ἐκ φλογὸς, καὶ τῆς τῶν Βαβυλωνίων ἀπανθρωπίας; ὅτου δὲ χάριν τῆς τῶν λεόντων ὠμότητος τὸν σοφὸν ἐξήρπαζε Δανιήλ; ἀλλὰ μὴν ταῦτα πράττων εὐεργετεῖ, καὶ δι' αὐτὰ δοξάζεται. οὐκ ἄρα τρόπος τιμωρίας ἐστὶ τὸ ἐνοικεῖν τῇ σαρκὶ, ἵνα μὴ ταὐτὸν εἴη παρὰ Θεῷ τιμὴ καὶ κόλασις. ιε. {Ἄλλο.} Ὅτι τῶν ἑκάστῳ βεβιωμένων ἐξέτασις ἔσται κατὰ καιρὸν ἐπὶ τοῦ θείου βήματος ἐκδιδάσκων ὁ Παῦλός φησι "Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν "τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ "τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον·" εἰ δὲ ἐπὶ μόνοις τοῖς διὰ τοῦ σώματος ἢ κολάζεταί τις παρὰ τοῦ κρίνοντος, ἤγουν τῆς δεούσης ἀξιοῦται τιμῆς, μνήμη δὲ 1.123 οὐδεμία προγενεστέρων ἁμαρτημάτων, ἀλλ' οὐδὲ πρεσβύ τερον τῆς γενέσεως ἔγκλημα ζητηθήσεται· πῶς ἄρα προῆν ἡ ψυχὴ, ἢ πῶς ἐξ ἁμαρτίας ἐταπεινώθη κατά τινας, ᾗ καὶ μόνος ὁρίζεται χρόνος ὁ μετὰ σαρκὸς, διὰ τοῦ μόνα ζητεῖσθαι τὰ δι' αὐτῆς; ι. {Ἄλλο.} Εἰ ἐκ πρεσβυτέρων ἁμαρτημάτων ἐσωματώ θησαν αἱ ψυχαὶ, πῶς ὁ Παῦλος ἡμῖν ἐπιστέλλει "Παρα "στήσατε λέγων τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, "εὐάρεστον τῷ Θεῷ·" εἰ γὰρ ἐν τάξει τιμωρίας δέδοται ταῖς ἀθλίαις ψυχαῖς, πῶς εἰς ὀσμὴν εὐωδίας παραστήσωμεν αὐτὰ τῷ Θεῷ; κατὰ τίνα δὲ τρόπον εὐάρεστον ἔσται τὸ δι' οὗ κατακεκρίμεθα; ἢ ποῖον ὅλως ἀρετῆς ἐπιδέξεται τρόπον τὸ κολάζειν πεφυκὸς, καὶ ῥίζαν ἔχον τὴν ἁμαρτίαν; ιζ. {Ἄλλο.} Κατὰ πάσης ἐκτεινομένην τῆς ἀνθρώπου φύ σεως τὴν φθορὰν, διὰ τὴν ἐν Ἀδὰμ παράβασιν ἐπιδεικνύων ὁ Παῦλός φησιν· "Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ "μέχρι Μωυσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ "ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ." πῶς οὖν ἄρα φησὶ καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας βασιλεύειν τὸν θάνατον, εἴπερ ἐκ πρεσβυτέρων ἁμαρτημάτων τὸ ἀποθνῆσκον ἡμῖν δέδοται σῶμα; ποῦ γὰρ ὅλως οἱ μὴ ἁμαρτήσαντες, εἰ δίκη πταισμάτων ἡ σάρκωσις καὶ τὸ ἐν τῷδε τῷ βίῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενέσθαι μετὰ σώματος, προανατέλλον ἔχει τὸ ἔγκλημα; ἀμαθὲς οὖν ἄρα τῶν δι' ἐναντίας τὸ πρόβλημα. ιη. {Ἄλλο.} Προσήγαγόν ποτε τῷ Σωτῆρι πεῦσιν οἱ μα θηταὶ περί τινος τῶν ἐκ γενετῆς τυφλῶν, καὶ δὴ καὶ ἔφασκον "Ῥαββὶ, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς "γεννηθῇ;" ἐπειδὴ γὰρ ἐν προφητικοῖς ἀναγέγραπται λόγοις περὶ Θεοῦ, ὡς ἔστιν "ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ "τέκνα," τοῦτο πεπονθέναι τὸν ἄνθρωπον ὑπενόουν οἱ μα 1.124 θηταί. τί οὖν πρὸς ταῦτα Χριστός; "Ἀμὴν λέγω ὑμῖν, "οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανε "ρωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ." πῶς οὖν ἔξω τίθησιν ἁμαρτίας αὐτοὺς, καίτοι μὴ ὄντας ἀνεγκλήτους κατὰ τὸν βίον; ἄνθρωποι γὰρ ὄντες, ἔνοχοί που πάντως ἦσαν καὶ πταίσμασιν. ἀλλ' ἔστι πρόδηλόν τε καὶ συμφανὲς, ὅτιπερ ὁ λόγος εἰς τὸν πρὸ τῆς γενέσεως ἀναβαίνει καιρὸν, καθ' ὃν οὔπω γεγονότες, οὐδὲ ἡμάρτανον, ἵνα καὶ ἀληθεύῃ Χριστός. ιθ. {Ἄλλο.} Ὁ μακάριος προφήτης Ἡσαΐας, τὴν αἰτίαν τοῦπεποιῆσθαι τὴν γῆν ἐξηγούμενος "Οὐκ εἰς κενὸν, φησὶν, "ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι·" ἔδει δὲ πάντως κατοικεῖσθαι τὴν γῆν, οὐ πνεύμασι πληρουμένην γυμνοῖς, ἀλλ' οὐδὲ ἀσάρκοις καὶ ἀναμφιέστοις ψυχαῖς, ἀλλὰ τοῖς καταλλήλοις αὐτῇ κεχρημέναις σώμασιν. ἦν οὖν ἆρα βού λημα θεῖον τὸ ἐνεργοῦν εἰς τὸ ἁμαρτάνειν ψυχὰς, ἵνα καὶ ἡ τῶν σωμάτων γένηται φύσις, οὕτω τε λοιπὸν ἡ γῆ μὴ εἰς κενὸν φαίνηται γεγενημένη; ἀλλὰ τοῦτο ἄτοπον, κρεῖττον οὖν ἄρα τὸ ἕτερον. κ. {Ἄλλο.} Ἡ πάντων τεχνῖτις σοφία περὶ ἑαυτῆς που φησὶν ἐν βίβλῳ παροιμιῶν "Ἐγὼ ἤμην ᾗ προσέχαιρεν·" ὁ πάντων δηλονότι Δημιουργός· "καθ' ἡμέραν δὲ εὐφραινόμην "ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε εὐφραίνετο τὴν "οἰκουμένην συντελέσας, καὶ ἐνευφραίνετο ἐν υἱοῖς ἀνθρώ "πων." ὅτε τοίνυν συντελέσας τὴν οἰκουμένην τῇ τοῦ ἀνθρώπου κατασκευῇ λίαν ἐφήδεται Θεὸς, πῶς οὐχὶ πάσης ἔξω κείσεται φρενὸς, ὁ προγενεστέροις ἁμαρτήμασιν ὑποτι θεὶς τὴν ψυχὴν, διά τε τοῦτο σεσωματῶσθαι λέγων αὐτὴν, καὶ κατὰ τοῦτον τετιμωρῆσθαι τὸν τρόπον; ἢ γὰρ οὐχὶ δεσμωτηρίου μᾶλλον, ἤπερ οἰκουμένης, ἐργάτης ἔσται Θεός· εὐφρανθήσεται δὲ παραλόγως ἐπὶ τοῖς ὑπέχουσι δίκας; καὶ πῶς ἂν εἴη λοιπὸν ἀγαθὸς ἐπ' ἀτόποις οὕτω γανύμενος; 1.125 ἀλλὰ μήν ἐστιν ἀγαθὸς, διά τοι τοῦτο ποιητὴς ἀγαθῶν· οὐκ ἄρα τιμωρίας ἔσται τρόπος ἡ σάρκωσις. κα. {Ἄλλο.} Εἰ πλημμελημάτων τῆς ἐν κόσμῳ γενέσεως ἀρχαιοτέρων εἰσπράττεται δίκας ἡ τοῦ ἀνθρώπου ψυχὴ διὰ τῆς εἰς σάρκα συμπλοκῆς, καὶ τιμωρίας ἐπέχει λόγον αὐτῇ τὸ σῶμα, διὰ ποίαν αἰτίαν, κόσμῳ μὲν ἀσεβῶν κατακλυσμὸς ἐπενήνεκται, διεσώθη δὲ δίκαιος ὢν ὁ Νῶε, καὶ ταύτην ἔχει παρὰ Θεοῦ τῆς πίστεως τὴν ἀντίδοσιν; ἢ γὰρ οὐχὶ μᾶλλον ἐχρῆν τοὺς μὲν ἀφόρητα δυσσεβήσαντας, μακροτέρους ἐν σώμασι κατατρίβειν χρόνους, ἵνα καὶ μειζόνως κολάζωνται, δεσμῶν δὲ τῶν ἀπὸ σαρκὸς ἀνίεσθαι τοὺς ἀγαθοὺς, καὶ τῆς πρὸς Θεὸν εὐσεβείας ἀντικομίζεσθαι γέρας τὴν ἐκ σώματος ἀποφοίτησιν; ἀλλ' οἶμαι δίκαιον ὄντα τὸν ἁπάντων Δημι ουργὸν, τὴν ἑκάστῳ χρεωστουμένην τάγματι ψῆφον ἐπε νεγκεῖν. ἐπειδὴ δὲ δίκαιος ὢν θανάτῳ μὲν τῷ τῆς σαρκὸς κολάζει τὸν παράνομον, ζωῇ δὲ πάλιν τῇ μετὰ σώματος εὐφραίνει τὸν δίκαιον· οὐ κόλασις ἄρα τὰ σώματα ταῖς ἀνθρώπων ψυχαῖς, ἵνα μὴ ἄδικος φαίνηται Θεὸς, χάριτι μὲν κολάζων τὸν ἀσεβῆ, τιμῶν δὲ πάλιν κολάσει τὸν δίκαιον. κβ. {Ἄλλο.} Εἰ προγενεστέρων πταισμάτων ἐκτίσουσα δίκας εἰς σάρκα καὶ σῶμα καταβέβηκεν ἡ ψυχὴ, πῶς "ἐφίλει" τὸν Λάζαρον ἀναστήσας αὐτὸν ὁ Σωτὴρ καὶ τὸν ἅπαξ δεσμῶν ἀνεθέντα παλινδρομεῖν εἰς αὐτοὺς ἀναγκάσας; ἀλλ' ἔπραττεν ὠφελῶν, καὶ ὡς φίλον ἐτίμα τὸν τεθνεῶτα Χριστὸς δια νιστὰς ἐκ νεκρῶν. εἰκαῖον οὖν ἄρα τῶν δι' ἐναντίων τὸ πρόβλημα. κγ. {Ἄλλο.} Εἰ, καθάπερ ἐκεῖνοι ληροῦντές φασιν, ὡς ἐν τάξει τιμωρίας δέδοται τὸ σῶμα τῇ ψυχῇ, διὰ πρεσβυτέραν αὐτῆς ἁμαρτίαν ἐπινοηθὲν, ἁμαρτία τὴν τῶν ἀνθρωπίνων σωμάτων παρεισήνεγκε φύσιν· ἀλλὰ καὶ πάλιν "εἰσῆλθε 1.126 "διὰ τῆς ἁμαρτίας ὁ θάνατος·" αὐτὴ τοιγαροῦν καθ' ἑαυτῆς ἡ ἁμαρτία λοιπὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξοπλίζουσα φαίνεται, λύουσα τοῖς ὑστέροις τὰ ἐν ἀρχῇ, καὶ ὁ σατανᾶς ἐφ' ἑαυτῷ μεμέρισται διὰ τοῦτο· "Πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ," κατὰ τὴν τοῦ Σωτῆρος φωνήν; ἀλλὰ μὴν τὸ οὕτω νοεῖν ἀπίθανον· ἀληθὲς οὖν ἄρα τὸ ἐναντίον. κδ. {Ἄλλο.} Ἔκτισε Θεὸς ἐν ἀφθαρσίᾳ τὰ πάντα· καὶ "θάνατον μὲν οὐκ ἐποίησεν" αὐτὸς, "φθόνῳ δὲ διαβόλου "θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον." ἀλλ' εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἐν τάξει τιμωρίας δέδοται τὸ σῶμα τῇ τοῦ ἀνθρώπου ψυχῇ, διὰ ποίαν αἰτίαν, ὦ οὗτοι, τὸν τοῦ διαβόλου φθόνον αἰτιασόμεθα, τὸ πέρας ἡμῖν τῶν ἀνιαρῶν εἰσφέροντα, καὶ τὸ κολάζον ἡμᾶς ἀφανίζοντα σῶμα; ἐπὶ τίσι δὲ ὅλως ἀναθήσομεν τῷ Σωτῆρι τὰ χαριστήρια, προσδεσμοῦντι πάλιν ἡμᾶς τῇ σαρκὶ διὰ τῆς ἀναστάσεως; ἀλλὰ μὴν εὐχαρι στοῦμεν, καὶ λελύπηκε τὴν φύσιν ὁ τοῦ διαβόλου φθόνος, προξενήσας τοῖς σώμασι τὴν φθοράν. οὐ τρόπος ἄρα τιμωρίας τὸ σῶμά ἐστιν, ἀλλ' οὐδὲ ἀρχαίας ἡμῶν ἁμαρτίας ὀψώνιον. Καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. Διὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ, τουτέστι τοῦ. Μονογενοῦς πεποιῆσθαι τὸν κόσμον, ἀναγκαίως ἐν τούτοις ὁ Εὐαγγε λιστὴς ἐπισημαίνεται. εἰ γὰρ καὶ ὅτι μάλιστα Λόγον αὐτὸν ἀποκαλέσας κατὰ τὴν ἀρχὴν, πάντα δι' αὐτοῦ γενέσθαι, καὶ χωρὶς αὐτοῦ παρῆχθαι μηδὲν πρὸς γένεσιν διεβεβαιώσατο, ποιητήν τε διὰ τούτων ἀπέδειξε καὶ δημιουργόν· ἀλλ' ἦν ἀναγκαῖον νυνὶ δὴ μάλιστα τοῦτο καὶ εἰσαῦθις ἀναλαβόντα εἰπεῖν, ἵνα μὴ τοῖς παρατρέπειν εἰωθόσι τὴν τῶν θείων δογμάτων ὀρθότητα, πλάνης τε καὶ ἀπωλείας περιλιμπάνηται 1.127 τόπος. ἐπειδὴ γὰρ ἔφη περὶ τοῦ φωτὸς, ὅτι ἐν τῷ κόσμῳ ἦν, ἵνα μήτις εἰς ἐκτόπους ἐννοίας περιέλκων τὸ εἰρημένον, τοῖς κατ' εἶδος τοῦ κόσμου μέρεσιν ἐναρίθμιον ποιοῖτο τὸ φῶς, ὥσπερ οὖν ἀμέλει καὶ ἥλιος καὶ σελήνη καὶ ἀστέρες τυχὸν, ἐν τῷ κόσμῳ μέν εἰσι, πλὴν ὡς μέρη τοῦ κόσμου, καὶ καθάπερ ἑνὸς μέλη σώματος, χρησίμως τε καὶ ἀναγκαίως ὁ Εὐαγγελιστὴς γενεσιουργὸν εὐθὺς, καὶ παντὸς τοῦ κόσμου τεχνίτην εἰσφέρει τὸν Μονογενῆ, καὶ διὰ τούτου πάλιν ἡμᾶς ἐξασφαλιζόμενος, καὶ χειραγωγῶν εἰς ἀπλανῆ καὶ εὐθεῖαν τῆς ἀληθείας κατάληψιν. τίς γὰρ οὕτως ἀμαθὴς, ἢ τοσαύτην ἕξει τὴν ἠλιθιότητα κατὰ τὸν νοῦν, ὡς μὴ πάντως ἕτερον εἶναι παρὰ τὸν κόσμον ὑποτοπῆσαι τὸν δι' οὗ γεγενῆσθαι λέ γεται, καὶ τιθέναι μὲν ἐν ἰδίῳ μέρει τὴν κτίσιν, ἀποδιελεῖν δὲ τῷ λόγῳ τὸν Δημιουργὸν, καὶ τὴν θείαν αὐτοῦ φαντάζεσθαι φύσιν; δεῖ γὰρ ἕτερον εἶναι τῇ φύσει τὸ ποιηθὲν παρὰ τὸν ποιητὴν, ἵνα μὴ φαίνηται ταὐτὸν τὸ ποιοῦν καὶ τὸ ποιού μενον. εἰ γὰρ νοοῖτο ταὐτὸν, οὐδὲ μιᾶς ἐνούσης κατὰ τὸν τοῦ πῶς εἶναι λόγον ἐξαλλαγῆς, ἀναβήσεται μὲν τὸ ποιηθὲν εἰς τὴν τοῦ ποιοῦντος φύσιν, καταβήσεται δὲ καὶ εἰς τὴν τῶν κτισμάτων ὁ Δημιουργὸς, οὐκέτι δὲ μόνος ἕξει τὸ δύνασθαι γενεσιουργεῖν, ἀλλ' ἐνυπάρχον τοῦτο δυνάμει καὶ τοῖς ποιή μασιν εὑρεθήσεται, εἴπερ ὅλως οὐδεὶς αὐτὰ τῆς πρὸς Θεὸν ὁμοουσιότητος ἀποδιελεῖ τρόπος· οὕτω τε λοιπὸν ἑαυτῆς ἡ κτίσις ἔσται δημιουργὸς, καὶ ψιλὸν περιθήσει τῷ Μονογενεῖ τὸ ἀξίωμα λέγων ὁ Εὐαγγελιστὴς, ὅτι καὶ "ἐν τῷ κόσμῳ "ἦν" καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. ἀλλ' οἶδεν ἕνα κατὰ φύσιν ὄντα τῶν ἁπάντων Δημιουργόν. οὐκ ἄρα ταὐτὸν ἂν νοοῖτό ποτε παρά γε τοῖς εἰδόσι πιστεύειν ὀρθῶς, ποίημα καὶ ποιητὴς, Θεὸς καὶ κτίσις, ἀλλ' ἡ μὲν ὑποκείσεται δουλο πρεπῶς, τὸν τῆς οἰκείας φύσεως ὅρον ἐπιγινώσκουσα· 1.128 βασιλεύσει δὲ ἐπ' αὐτὴν ὁ Υἱὸς, μόνος ἔχων μετὰ τοῦ Πατρὸς τὸ δύνασθαι καὶ ὡς ὄντα τὰ μὴ ὄντα καλεῖν, καὶ τὸ μήπω ὑπάρχον ἀῤῥήτῳ δυνάμει παράγειν εἰς γένεσιν. ὅτι δὲ ὑπάρχων κατὰ φύσιν Θεὸς ὁ Υἱὸς, ἕτερος δήπου πάντως ἐστὶ παρὰ τὴν κτίσιν, ἀρκούντως ἤδη διειληφότες ἐν τῷ περὶ τῆς ἁγίας Τριάδος λόγῳ, περιττὸν ἐν τούτοις ἐροῦμεν οὐδέν· πλὴν ἐκεῖνο χρησίμως προσθήσομεν, ὅτι δι' αὐτοῦ τὸν κόσμον πεποιῆσθαι λέγων, εἰς ἔννοιαν ἡμᾶς ἀναφέρει τὴν περὶ Πατρὸς, καὶ συνεισφέρει τῷ δι' οὗ τὸν ἐξ οὗ. πάντα γὰρ παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι. Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Νήφει πάλιν ὁ πνευματοφόρος, καὶ φθάνειν ἐπείγεται τὰς παρά τινων εὑρεσιλογίας· θαυμάσεις δὲ πάλιν τὸν ἐν τοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεωρήμασι λογισμόν. φῶς ἀληθινὸν ἀπεκάλεσε τὸν Υἱὸν, διισχυρίσατό τε φωτίζειν αὐτὸν πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· πρὸς δέ γε τούτῳ, ὅτι καὶ "ἦν ἐν τῷ κόσμῳ "φησὶν καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο." ἀλλ' εἶπεν ἄν τις εὐθὺς ἡμῖν τῶν δι' ἐναντίας Εἰ φῶς ἦν ὁ Λόγος, ὦ οὗτοι, καὶ εἰ φωτίζει παντὸς ἀνθρώπου καρδίαν, εἰς θεογνωσίαν δηλονότι καὶ εἰς σύνεσιν ἀνθρωποπρεπῆ, καὶ εἴπερ ἦν ἀεὶ ἐν τῷ κόσμῳ, καὶ αὐτὸς ἦν ἐργάτης αὐτοῦ, πῶς ἠγνοήθη καὶ εἰς χρόνους οὕτω μακρούς· οὐκοῦν οὐκ ἐφώτιζεν, ἀλλ' οὐδὲ ὅλως ὑπῆρχε τὸ φῶς αὐτός. πρὸς δὴ τὰ τοιαῦτα θερμότερον ὁ θεολόγος ὑπαντιάζει λέγων Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· οὐκ αὐτὸς δι' ἑαυτὸν ἠγνοήθη, φησίν· αἰτιάσθω δὲ ὁ κόσμος τὴν οἰκείαν ἀσθένειαν. φωτίζει μὲν γὰρ ὁ Υἱὸς, ἀπαμβλύνει δὲ τὴν χάριν ἡ κτίσις. ἐδανείζετο τὸ βλέπειν ἵνα τὸν κατὰ φύσιν νοήσῃ Θεὸν, καὶ δεδαπάνηκεν ἀσώτως τὸ δοθὲν, μέχρι τῶν ποιημάτων ἔστησε τῆς θεωρίας τὸ μέτρον· ἐνάρκησε τὸν 1.129 ἐπέκεινα δρόμον, κατέχωσε ῥᾳθυμίαις τὸν φωτισμὸν, ἠμέλησε τοῦ χαρίσματος, ὅπερ ἵνα μὴ πάθοι, νήφειν ὁ Παῦλος κελεύει τῷ οἰκείῳ μαθητῇ· οὐδὲν οὖν ἄρα πρὸς τὸ φῶς ἡ τῶν φωτισθέντων φαυλότης· ὅνπερ γὰρ τρόπον ἀνίσχει μὲν ἅπασι τοῦ ἡλίου τὸ φῶς, ὠφελεῖται δὲ οὐδὲν ὁ τυφλὸς, ἀλλ' οὐ διὰ τοῦτο τῆς ἡλιακῆς ἂν εὐλόγως κατηγορήσαιμεν αὐγῆς, αἰτιασώμεθα δὲ μᾶλλον τὸ τῆς ὄψεως πάθος· ἡ μὲν γὰρ ἐφώτιζεν, ἡ δὲ τὸν φωτισμὸν οὐκ ἐδέχετο· οὕτως οἶμαι δεῖν καὶ ἐπὶ τοῦ Μονογενοῦς ἐννοεῖν, ὅτι φῶς μέν ἐστι τὸ ἀληθινόν "Ὁ δὲ θεὸς τοῦ αἰῶνος τούτου," καθὰ καὶ ὁ Παῦλός φησιν, "ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς "τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν" ἐν αὐτοῖς τῆς γνώσεως τοῦ Θεοῦ. τύφλωσιν δέ φαμεν τὴν ἐν τούτοις ὑποστῆναι τὸν ἄνθρωπον, οὐκ εἰς ὁλόκληρον τοῦ φωτὸς ἐρημίαν ἐρχό μενον· σώζεται γὰρ ἐν τῇ φύσει πάντως ἡ θεόσδοτος σύνεσις· ἀλλ' εἰς ἕξιν ἀμαθεστέραν κατασβεννύμενον, καὶ ταῖς ἐπὶ τὰ χείρω παρατροπαῖς καταμαραίνοντά πως καὶ κατατήκοντα τὸ τῆς χάριτος μέτρον· διά τοι τοῦτο καὶ ὁ σοφώτατος μελῳδὸς, ὅτε τὸν τοιοῦτον ἡμῖν ἄνθρωπον ὑπο κρίνεται, τότε δὴ καὶ δικαίως καταφωτίζεσθαι παρακαλεῖ, λέγων ὡς πρὸς Θεόν "Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, "καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου·" "Νόμον γὰρ εἰς βοήθειαν ἔδωκε," τὸ θεῖον ἐν ἡμῖν ἀναζω πυρήσαντα φῶς, καὶ ὥσπερ τινὰ λήμην τῶν τῆς καρδίας ὀφθαλμῶν ἐκκαθαίροντα τὸν ἐξ ἀρχαίας ἀμαθίας ἐπισκή ψαντα σκοτισμόν. ἀχαριστίας οὖν ἅμα καὶ ἀναισθησίας ὁ κόσμος ἐν τούτοις ὑπομένει γραφὴν, καὶ τὸν οἰκεῖον ἀγνοήσας γενεσιουργὸν, καὶ τὸν ἐκ τοῦ πεφωτίσθαι καρπὸν οὐκ ἀγαθὸν ἐπιδείξας, ἵνα φανῆται λοιπὸν ἐπ' αὐτῷ κἀκεῖνο πάλιν ἀληθὲς, τὸ ἐφ' υἱοῖς Ἰσραὴλ διὰ προφητικῆς ᾀδόμενον φωνῆς 1.130 "Ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας." ἦν γὰρ ὄντως ὁ τοῦ πεφωτίσθαι καρπὸς, ἡ ἀληθὴς περὶ τοῦ Μονογενοῦς διάληψις, σταφυλή τις ὥσπερ κληματίδος ἐξηρ τημένη, τῆς ἀνθρώπου διανοίας φημὶ, καὶ οὐχὶ τὸ ἐναντίον, ἡ εἰς πολύθεον ἕλκουσα πλάνην ἀβουλία, ὀξείας ἀκάνθης δίκην, ἐν ἡμῖν ἀνατέλλουσα καὶ πλήττουσα πρὸς θάνατον ταῖς ἀπάταις τὸν νοῦν. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ἐπιτείνει τὴν ἀπολογίαν ὁ Εὐαγγελιστὴς τοῦ μὴ ἐγνω κέναι τὸν κόσμον τὸν φωτίζοντα αὐτὸν, τουτέστι τὸν Μονο γενῆ, καὶ ἀπὸ τῆς χείρονος τῶν ἐξ Ἰσραὴλ ἁμαρτίας, καὶ τὰ τῶν ἐθνῶν ἐγκλήματα κρατύνειν ἐπείγεται, καὶ τὴν ἐπισκή ψασαν τῷ κόσμῳ παντὶ δυσμαθείας τε ὁμοῦ καὶ ἀπειθείας ἐπιδεικνύει νόσον. εὐαφόρμως δὲ λίαν εἰς τὸν περὶ τῆς ἐνανθρωπήσεως εἰσελαύνει λόγον, καὶ καθέρπει λοιπὸν ἐξ ἀκράτου θεολογίας, εἰς ἐξήγησιν οἰκονομίας τῆς μετὰ σαρκὸς, ἣν ἐποιήσατο δι' ἡμᾶς ὁ Υἱός. θαυμαστὸν γὰρ οὐδὲν, εἰ μὴ ἔγνω, φησὶν, ὁ κόσμος τὸν Μονογενῆ, τῆς μὲν ἀνθρώπῳ πρεπούσης συνέσεως ἐκδεδραμηκὼς, καὶ ὅτι μὲν ἐν τιμῇ τέ ἐστι καὶ γέγονεν οὐκ εἰδὼς, παραβληθείς τε τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καθάπερ οὖν καὶ ὁ θεῖος ἔφασκε μελῳδὸς, ὅπου καὶ αὐτὸς ὁ προσήκειν ἰδίως αὐτῷ παρὰ πᾶσιν ὑπο νοηθεὶς λαὸς ἀπεσείσατο παρόντα μετὰ σαρκὸς, καὶ ἐπὶ σωτηρίᾳ τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ πάντων ἐπιδημήσαντα λαβεῖν οὐκ ἠθέλησε, τὴν τῶν οὐρανῶν βασιλείαν τῆς πίστεως ἀντιδιδόντα. ἐπι τήρει δὲ ὅπως γέγονεν ἀσφαλὴς ὁ περὶ τούτων λόγος. τοῦ μὲν γὰρ κόσμου τὸ μηδόλως ἐγνωκέναι τὸν φωτίζοντα 1.131 κατηγορεῖ, συγγνώμην ὥσπερ αὐτῷ δικαίαν διὰ τούτου πραγματευόμενος, καὶ τῆς δοθείσης αὐτῷ χάριτος ἀφορμὰς εὐλόγους προδιοικούμενος· ἐπὶ δέ γε τῶν ἐξ Ἰσραὴλ, οἳ καὶ ἐν μέρει τῶν ἰδίως αὐτῷ προσηκόντων ἐτετάχαντο, τό Οὐ παρέλαβον τίθησιν· οὐ γὰρ ἦν ἀληθεύοντα λέγειν Οὐκ ἔγ νωσαν, νόμου μὲν ἀρχαιοτέρου κηρύττοντος, προφητῶν δὲ τῶν μετ' ἐκεῖνον παιδαγωγούντων αὐτοὺς ἐπὶ τὴν τῆς ἀλη θείας κατάληψιν. δίκαιον οὖν ἄρα καὶ ἐπ' αὐτοῖς τῆς ἀποτομίας τὸ κρῖμα, καθάπερ ἀμέλει καὶ ἐπὶ τῶν ἐθνῶν ἡ χρηστότης. ὁ μὲν γὰρ κόσμος, ἤτοι τὰ ἔθνη, τὴν πρὸς Θεὸν οἰκείωσιν ἀπολέσαντα διὰ τῆς εἰς φαυλότητα καταδρομῆς, καὶ τὸ εἰδέναι προσεζημιώθη τὸν φωτίζοντα αὐτά· οἱ δὲ διὰ νόμου τὴν γνῶσιν καταπλουτήσαντες, καὶ εἰς τὴν θυμήρη τῷ Θεῷ πολιτείαν ἀνακεκλημένοι, λοιπὸν ἑκόντες ἐσφάλλοντο, τὸν ἤδη γνωσθέντα καὶ ὡς ἐν ἰδίοις ἐπιδημήσαντα τοῦ Θεοῦ Λόγον οὐ παραδεξάμενοι. ἴδιος μὲν γὰρ σύμπας ὁ κόσμος ἐστὶ τῷ Θεῷ, κατά γε τὸν τοῦ πεποιῆσθαι λόγον, καὶ τὸ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ παρῆχθαι πρὸς γένεσιν· πρεπωδέστερον δέ πως ὁ Ἰσραὴλ τῷ τῆς ἰδιότητος ἀποκεκλήσεται λόγῳ, καὶ τὴν ἐπὶ τούτῳ δόξαν ἀποκληρώσεται, διά τε τὴν τῶν ἁγίων πατέρων ἐκλογὴν, καὶ διὰ τὸ ἀρχὴ καὶ πρωτότοκος ὠνομά σθαι τῶν τοῦ Θεοῦ τέκνων· "Υἱὸς γὰρ πρωτότοκός μου "Ισραὴλ," φησί που πρὸς Μωυσέα Θεὸς, ὃν δὴ καὶ ὡς ἕνα καὶ ἐξαίρετον ἑαυτῷ πάλιν ἀνατιθεὶς, ἴδιον ὠνόμαζε λαόν "Ἐξαπόστειλον τὸν λαόν μου," πρὸς Φαραὼ τὸν Αἰγύπτου τύραννον εἰπών. δεικνύει γεμὴν ἰδίως ἀνήκοντα τῷ Θεῷ τὸν Ἰσραὴλ, καὶ ἐκ Μωυσαϊκῶν βιβλίων λόγος ἀληθής. " Οτε γὰρ, φησὶ, διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν "υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων 1.132 "Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, "σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ·" ᾧ καὶ ἐπεφοί τησεν, ὡς ἐν ἰδίῳ κλήρῳ καὶ οἰκείῳ σχοινίσματι, λέγων "Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα "οἴκου Ἰσραήλ." ἐπειδὴ δὲ οὐ παρεδέχθη, τὴν χάριν εἰς τὰ ἔθνη μεθίστησι, καὶ φωτίζεται μὲν ὁ κόσμος διὰ μετανοίας καὶ πίστεως ἀγνοήσας αὐτὸν ἐν ἀρχῇ, παλινδρομεῖ δὲ ὁ Ἰσραὴλ εἰς τὸν ὅθεν ἐκβέβληκε σκότον· διὸ δὴ καὶ ἔφασκεν ὁ Σωτήρ "Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, "ἵνα οἱ μὴ βλέποντες βλέπωσι καὶ οἱ βλέποντες τυφλοὶ "γένωνται." Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Κρῖμα δίκαιον ὄντως καὶ θεοπρεπές. ὁ πρωτότοκος Ἰσ ραὴλ ἐκρίπτεται· οὐ γὰρ ἠθέλησεν ἐν οἰκειότητι διαμεῖναι τῇ πρὸς Θεὸν, οὐδὲ προσήκατο τὸν Υἱὸν, ὡς ἐν ἰδίοις ἐπιδημήσαντα, τὸν τῆς εὐγενείας ἀπεδοκίμασε χορηγὸν, τὸν δοτῆρα τῆς χάριτος ἀπεώσατο, προσεδέξατο δὲ τὰ ἔθνη διὰ τῆς πίστεως. οὐκοῦν ἕξει μὲν εἰκότως ὁ Ἰσραὴλ τὰ τῆς ἀπονοίας ὀψώνια· θρηνήσει τῶν ἀγαθῶν τὴν ζημίαν, πικρὸν ἀπολήψεται τὸν τῆς ἑαυτοῦ δυσβουλίας καρπὸν, τῆς υἱο θεσίας ἀπογυμνούμενος· ἐντρυφήσει δὲ τὰ ἔθνη τοῖς ἐκ πίστεως ἀγαθοῖς, λαμπρὰ τῆς ὑπακοῆς εὑρήσει τὰ γέρα, καὶ πρὸς τὸν ἐκείνου μεταμοσχευθήσεται τόπον· ἐκκοπήσεται μὲν γὰρ ἐκ τῆς κατὰ φύσιν ἀγριελαίου, καλλιελαίῳ δὲ τῇ παρὰ φύσιν ἐγκεντρισθήσεται, καὶ ἀκούσεται μὲν ὁ Ἰσραήλ "Οὐαὶ 1.133 "ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, "υἱοὶ ἄνομοι· ἐγκατελίπετε τὸν Κύριον καὶ παρωργίσατε τὸν "ἅγιον τοῦ Ἰσραήλ·" ἐρεῖ δέ τις πρὸς τὰ ἔθνη τῶν Χριστοῦ μαθητῶν "Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, "ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγεί "λητε τοῦ ἐκ σκότους ὑμᾶς καλοῦντος εἰς τὸ θαυμαστὸν "αὐτοῦ φῶς·" ἐπειδὴ γὰρ παρεδέξαντο διὰ τῆς πίστεως τὸν Υἱὸν, δέχονται τὴν ἐξουσίαν τοῦ ἐν τέκνοις τετάχθαι Θεοῦ· δίδωσι γεμὴν ὁ Υἱὸς τὸ μόνῳ καὶ ἰδίως αὐτῷ καὶ κατὰ φύσιν ὑπάρχον ἐξουσιαστικῶς, εἰς κοινότητα προθεὶς, ὥσπερ εἰκόνα φιλανθρωπίας τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνούσης αὐτῷ καὶ τῆς εἰς τὸν κόσμον ἀγάπης τὸ πρᾶγμα ποιούμενος. οὐ γὰρ ἦν ἑτέρως διαφυγεῖν τὴν φθορὰν, τὴν εἰκόνα τοῦ χοϊκοῦ τοὺς φορέ σαντας, εἰ μὴ τῆς εἰκόνος τοῦ ἐπουρανίου, διὰ τοῦ κεκλῆσθαι πρὸς υἱοθεσίαν, τὸ κάλλος ἡμῖν ἐνεσημάνθη. μέτοχοι γὰρ αὐτοῦ γεγονότες διὰ τοῦ Πνεύματος, κατεσφραγίσθημεν εἰς ὁμοιότητα τὴν πρὸς αὐτὸν, καὶ εἰς τὸ ἀρχέτυπον τῆς εἰκόνος ἀναβαίνομεν σχῆμα, καθ' ἥνπερ ἡμᾶς καὶ πεποιῆσθαί φησιν ἡ θεία γραφή. μόγις γὰρ οὕτω τὸ ἀρχαῖον τῆς φύσεως ἀνακομισάμενοι κάλλος, καὶ πρὸς τὴν θείαν ἐκείνην ἀναμορ φωθέντες φύσιν, κρείττους ἐσόμεθα τῶν ἐκ παραβάσεως ἡμῖν συμβεβηκότων κακῶν. οὐκοῦν ἀναβαίνομεν εἰς τὸ ὑπὲρ φύσιν ἀξίωμα διὰ Χριστὸν, ἀλλ' οὐ κατ' ἐκεῖνον ἀπαραλ λάκτως ἐσόμεθα καὶ ἡμεῖς υἱοὶ Θεοῦ, ἀλλ' ὡς πρὸς ἐκεῖνον διὰ τῆς κατὰ μίμησιν χάριτος· ὁ μὲν γάρ ἐστιν Υἱὸς ἐκ Πατρὸς ὑπάρχων ἀληθινὸς, θετοὶ δὲ ἡμεῖς ὡς ἐκ φιλαν θρωπίας, ὡς ἐν χάριτος μοίρᾳ λαμβάνοντες τό "Ἐγὼ εἶπα "Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες." ἡ μὲν γὰρ πεποιημένη καὶ δούλη κτίσις καλεῖται πρὸς τὰ ὑπὲρ φύσιν νεύματι γυμνῷ καὶ θελήσει τοῦ Πατρός· ὁ δὲ Υἱὸς καὶ Θεὸς καὶ 1.134 Κύριος, οὐκ ἐν τοῖς θελήμασι τοῦ Θεοῦ καὶ Πατρὸς, οὐδὲ ὅσον εἰς τὸ βεβουλῆσθαι μόνον, αὐτὸ τὸ εἶναι Θεὸς καὶ Υἱὸς κεκτήσεται, ἀλλ' ἐξ αὐτῆς τῆς οὐσίας ἀναλάμψας τοῦ Πατρὸς, τὸ ἴδιον αὐτῆς ἀγαθὸν κατὰ φύσιν ἐπάγεται· ὁρᾶται δὲ πάλιν Υἱὸς ὑπάρχων Υἱὸς ἀληθινὸς, καὶ τῇ πρὸς ἡμᾶς ἀντιπαραθέσει δοκιμαζόμενος. ἐπειδὴ γὰρ τὸ φύσει λόγον ἕτερον ἔχει τῷ κατὰ θέσιν, καὶ τῷ κατὰ μίμησιν τὸ κατ' ἀλήθειαν, υἱοὶ δὲ ἡμεῖς κεκλήμεθα κατὰ θέσιν καὶ κατὰ μίμησιν· κατὰ φύσιν ἄρα καὶ κατὰ ἀλήθειαν αὐτὸς, ᾧ καὶ ταῦτα γεγονότες ἀντιπαρακείμεθα, τὸ ἐκ χάριτος ἀγαθὸν ἀντὶ φυσικῶν ἀξιωμάτων ἀποκερδαίνοντες. Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Οἱ διὰ πίστεως, φησὶ, τῆς εἰς Χριστὸν εἰς υἱοθεσίαν κεκλημένοι Θεοῦ, τῆς μὲν οἰκείας φύσεως τὴν εὐτέλειαν ἀπεδύσαντο, κατηγλαϊσμένοι δὲ ὥσπερ ἀμφίῳ λαμπρῷ τῇ τοῦ τιμῶντος χάριτι, πρὸς τὸ ὑπὲρ φύσιν ἀναβαίνουσιν ἀξίωμα· οὐ γὰρ ἔτι χρηματίζουσι τέκνα σαρκὸς, Θεοῦ δὲ μᾶλλον κατὰ θέσιν γεννήματα. ἐπιτήρει δὲ ὅσην ὁ μακάριος Εὐαγγελιστὴς ἐν τοῖς ἑαυτοῦ λόγοις ἐποιήσατο τὴν ἀσφά λειαν. ἐπειδὴ γὰρ ἔμελλεν ἐρεῖν ἐκ Θεοῦ γεγεννῆσθαι τοὺς πεπιστευκότας, ἵνα μήτις οἴηται τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπεφυκέναι κατὰ ἀλήθειαν αὐτοὺς, καὶ εἰς ἀπαράλ λακτον ὁμοιότητα τρέχειν τῷ Μονογενεῖ, ἢ καὶ κατ' ἐκείνου καταχρηστικώτερον λέγεσθαι τὸ "ἐκ γαστρὸς πρὸ ἑωσφόρου "ἐξεγέννησά σε," οὕτω τε λοιπὸν εἰς τὴν τῶν ποιημάτων καὶ αὐτὸς καταφέροιτο φύσιν, καὶ εἰ λέγοιτο γεγεννῆσθαι παρὰ Θεοῦ, ἀναγκαίως ἡμῖν προσεπινοεῖ τὴν ἀσφάλειαν. 1.135 δεδόσθαι γὰρ αὐτοῖς ἐξουσίαν εἰπὼν παρὰ τοῦ κατὰ φύσιν Υἱοῦ πρὸς τὸ γενέσθαι τέκνα Θεοῦ, καὶ τὸ θέσει καὶ χάριτι διὰ τούτου προεισενεγκὼν, ἀκινδύνως ἐπάγει λοιπὸν τό Ἐκ Θεοῦ ἐγεννήθησαν· ἵνα καὶ τῆς ἐπ' αὐτοῖς χάριτος ἐπιδείξῃ τὸ μέγεθος, ὥσπερ εἰς οἰκειότητα φυσικὴν συλλέγοντος τὸ ἀλλότριον τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τὸ δοῦλον εἰς δεσπο τικὴν εὐγένειαν ἀναβιβάζοντος, διὰ τὴν εἰς αὐτὸ θερμὴν ἀγάπησιν. Τί οὖν ἄρα τὸ πλέον, ἐρεῖ τις τυχὸν, ἢ τί τὸ ἐξαίρετον ἐν τοῖς πιστεύουσιν εἰς Χριστὸν παρὰ τὸν Ἰσραὴλ, ἐπεὶ καὶ αὐτὸς γεγεννῆσθαι λέγεται παρὰ Θεοῦ κατὰ τό "Υἱοὺς "ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν;" πρὸς δὴ τὰ τοιαῦτα λέγειν οἶμαι δεῖν, πρῶτον μὲν ὅτι "Σκιὰν ἔχων ὁ "νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν "πραγμάτων," οὐδὲ τοῦτο κατ' ἀλήθειαν ἔχειν ἐδίδου τοῖς ἐξ Ἰσραὴλ, ἀλλ' ὡς ἐν τύπῳ καὶ σχήματι γραφόμενον ἐν αὐτοῖς "ἄχρι καιροῦ διορθώσεως," καθὰ γέγραπται, καθ' ὃν ἔμελλον ἀναδειχθήσεσθαι λοιπὸν, οἱ πρεπωδέστερόν τε καὶ ἀληθέστερον ἀποκαλοῦντες Πατέρα τὸν Θεὸν, διὰ τὸ ἐνοι κῆσαι αὐτοῖς τὸ Πνεῦμα τοῦ Μονογενοῦς· οἱ μὲν γὰρ εἶχον "πνεῦμα δουλείας εἰς φόβον," οἱ δὲ "πνεῦμα υἱοθεσίας," εἰς ἐλευθερίαν, "ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ Πατήρ." οὐκοῦν ὁ διὰ πίστεως τῆς εἰς Χριστὸν ἀναβήσεσθαι μέλλων εἰς υἱοθεσίαν λαὸς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθάπερ ἐν σκιαῖς ἐν ἐκείνῳ προκατεγράφετο, ὥσπερ οὖν ἀμέλει καὶ τὴν ἐν πνεύματι νοοῦμεν περιτομὴν ἐν τῇ ἐκείνων πάλαι προανατυποῦσθαι σαρκί· καὶ συλλήβδην εἰπεῖν, πάντα ἦν ἐν ἐκείνοις τὰ ἡμέτερα τυπικῶς. πρὸς δέ γε τοῖς εἰρημένοις, κἀκεῖνο φαμὲν, ὅτι κέκληται τυπικῶς εἰς υἱοθεσίαν ὁ Ἰσραὴλ διὰ μεσίτου Μωυσέως· διὸ καὶ εἰς 1.136 αὐτὸν ἐβαπτίζοντο, καθάπερ ὁ Παῦλός φησιν, "ἐν τῇ νεφέλῃ "καὶ ἐν τῇ θαλάσσῃ," καὶ εἰς νόμον δουλείας ἐξ εἰδωλολα τρείας ἀνεσκευάζοντο διακονουμένης αὐτοῖς τῆς ἐν γράμμασιν ἐντολῆς δι' ἀγγέλων· οἱ δὲ πίστει τῇ εἰς Χριστὸν εἰς υἱοθεσίαν ἀναβαίνοντες Θεοῦ, οὐκ εἰς ἕν τι τῶν γενητῶν, ἀλλ' εἰς αὐτὴν τὴν ἁγίαν βαπτίζονται Τριάδα, διὰ μεσίτου τοῦ Λόγου, συνάπτοντος μὲν ἑαυτῷ τὰ ἀνθρώπινα διὰ τῆς ἑνωθείσης σαρκὸς, συναπτομένου δὲ φυσικῶς τῷ γεννήσαντι, καθὸ φύσει Θεός· οὕτω γὰρ ἀνατρέχει τὸ δοῦλον εἰς υἱότητα, διὰ μετοχῆς τοῦ κατ' ἀλήθειαν Υἱοῦ, πρὸς τὸ ὑπάρχον αὐτῷ κατὰ φύσιν ἀξίωμα καλούμενόν τε καὶ οἷον ἀναβιβαζόμενον. διά τοι τοῦτο γεννητοὶ λεγόμεθα καί ἐσμεν τοῦ Θεοῦ, οἱ τὴν διὰ τοῦ Πνεύματος ἀναγέννησιν διὰ πίστεως παρα δεξάμενοι. Ἐπειδὴ δὲ ῥιψοκινδύνως ἀποτολμῶσί τινες, ὥσπερ τοῦ Μονογενοῦς, οὕτω καὶ τοῦ Ἁγίου καταψεύδεσθαι Πνεύματος, γενητὸν αὐτὸ καὶ κτιστὸν εἶναι φάσκοντες, καὶ ὅλως τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἐξέλκειν ὁμοουσιότητος, φέρε δὴ πάλιν ταῖς ἐκείνων ἀθυρογλωσσίαις τὸν τῆς ὀρθῆς πίστεως ἀντε ξάγοντες λόγον, ἑαυτοῖς τε καὶ τοῖς ἐντευξομένοις ὠφελείας γεννήσωμεν ἀφορμάς. εἰ γὰρ μήτε Θεὸς κατὰ φύσιν, ὦ οὗτοι, μήτε μὴν ἐκ Θεοῦ τὸ Πνεῦμά ἐστιν ἴδιον αὐτοῦ, καὶ διὰ τοῦτο οὐσιωδῶς ἐνυπάρχον αὐτῷ· ἕτερον δέ τι παρ' αὐτὸν, καὶ τῆς τῶν πεποιημένων ὁμοφυΐας οὐκ ἀπῳκισμένον, πῶς οἱ δι' αὐτοῦ γεννηθέντες ἡμεῖς ἐκ Θεοῦ γεγεννῆσθαι λεγόμεθα; ἢ γὰρ ὅτι ψεύδεται πάντως ἐροῦμεν ὁ Εὐαγγε λιστὴς, ἢ εἴπερ ἐστὶν ἀληθὴς, ἔχει δὲ οὕτω, καὶ οὐχ ἑτέρως, Θεὸς ἔσται καὶ ἐκ Θεοῦ κατὰ φύσιν τὸ Πνεῦμα, οὗ δὴ καὶ μετίσχειν διὰ πίστεως τῆς εἰς Χριστὸν ἀξιούμενοι, θείας τε φύσεως ἀποτελούμεθα κοινωνοὶ, καὶ ἐκ Θεοῦ γεγεννῆσθαι λεγόμεθα, καὶ θεοὶ διὰ τοῦτο χρηματίζομεν, οὐ χάριτι μόνον 1.137 εἰς τὴν ὑπὲρ ἡμᾶς ἀνιπτάμενοι δόξαν, ἀλλ' ὡς ἤδη καὶ Θεὸν ἔχοντες ἐν ἑαυτοῖς ἐνοικοῦντα καὶ ἐναυλιζόμενον, κατὰ τὸ ἐν τῷ προφήτῃ κείμενον "Ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπερι "πατήσω·" ἐπεὶ κατὰ τίνα τρόπον λεγόντων ἡμῖν οἱ τῆς τοσαύτης ἀμαθίας ἀνάπλεῳ, ναοὶ Θεοῦ κατὰ Παῦλόν ἐσμεν τὸ Πνεῦμα ἔχοντες κατοικοῦν ἐν ἡμῖν, εἰ μὴ Θεὸς κατὰ φύσιν ἐστίν; εἰ γὰρ κτίσμα ἐστὶ καὶ γενητὸν, διὰ ποίαν αἰτίαν ἡμᾶς καταφθείρει Θεὸς, ὡς Θεοῦ καταφθείροντας ναὸν, ὅταν τὸ σῶμα καταμολύνωμεν, ἐν ᾧ τὸ Πνεῦμα ἐνοικεῖ, ὅλην ἔχον τοῦ Θεοῦ καὶ Πατρὸς τὴν φυσικὴν ἰδιότητα, καὶ ὁμοίως τοῦ Μονογενοῦς; ἐπεὶ πῶς ἀληθεύσει λέγων ὁ Σωτὴρ "Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ "Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα "καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα," καὶ ἐν αὐτῷ καταλύ σομεν. καίτοι τὸ Πνεῦμά ἐστι τὸ κατοικοῦν ἐν ἡμῖν, καὶ δι' αὐτοῦ πιστεύομεν ἔχειν ἅμα τὸν Πατέρα καὶ τὸν Υἱὸν, καθάπερ οὖν ἔφη καὶ αὐτός που πάλιν ὁ Ἰωάννης ἐν ἐπιστολαῖς "Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ "αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν." πῶς δὲ ὅλως καὶ Θεοῦ κεκλήσεται Πνεῦμα, εἰ μὴ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ κατὰ φύσιν ἐστὶ, καὶ διὰ τοῦτο Θεός; εἰ γὰρ ὑπάρχον, ὡς ἐκεῖνοί φασι, γενητὸν, Πνεῦμά ἐστι τοῦ Θεοῦ, τὸ κωλύον οὐδὲν πνεύματα Θεοῦ καὶ τὰ ἄλλα καλεῖσθαι ποιήματα· φθάσει γὰρ καὶ ἐπ' αὐτὰ δυνάμει τὸ πρᾶγμα, εἴγε ὅλως ἐνδέχεται γενητὴν οὐσίαν Πνεῦμα ὑπάρχειν τοῦ Θεοῦ. καὶ ἦν μὲν ὄντως ἀκόλουθον μακρὸν ἐπὶ τούτοις ἀναπτύξαι λόγον, καὶ διὰ πλειόνων ἀδολεσχῆσαι, τὰς τῶν ἀνοσίων αἱρετικῶν ἀνατρέποντας ἀβουλίας· ἀρκούντως δὲ ἤδη διειλη φότες περὶ τοῦ Ἁγίου Πνεύματος, ἐν τῷ περὶ τῆς ἁγίας 1.138 Τριάδος βιβλίῳ, τὸ πολλὰ λέγειν ἔτι διά τοι τοῦτο παρή σομεν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο. Εἰσβέβηκεν ἤδη καθαρῶς διὰ τούτου εἰς τὸν περὶ τῆς ἐνανθρωπήσεως λόγον. ὅτι γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

υἱὸς ἀνθρώπου γέγονέ τε καὶ κεχρημάτικεν ὁ Μονογενὴς, ἐξηγεῖται σαφῶς· σημαίνει γὰρ τοῦτο, καὶ ἕτερον οὐδὲν, τὸ σάρκα γενέσθαι τὸν Λόγον εἰπεῖν· ὅμοιον γὰρ ὡς εἰ καὶ γυμνότερον ἔφασκεν Ὁ Λόγος ἄνθρωπος ἐγένετο. ξένον δὲ πάλιν ἡμῖν ἢ ἀσύνηθες οὐδὲν οὕτω λέγων εἰσφέρει, πολλάκις τῆς θείας γραφῆς καὶ ἀπὸ μόνης τῆς σαρκὸς ὅλον ἀποκαλούσης τὸ ζῷον, κατὰ τὸ ἐν τῷ προφήτῃ κείμενον Ἰωὴλ "Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός "μου ἐπὶ πᾶσαν σάρκα·" καὶ οὐ δήπου νομιοῦμεν ἀψύχῳ καὶ μόνῃ τῇ ἀνθρωπείᾳ σαρκὶ τὸ θεῖον χορηγηθήσεσθαι Πνεῦμα τὸν προφήτην εἰπεῖν· ἀμοιρήσει γὰρ οὕτω γελοιό τητος οὐδαμῶς τὸ δηλούμενον, ἀλλ' ἐκ μέρους τὸ ὅλον συλλαβὼν, ἀπὸ τῆς σαρκὸς ὀνομάζει τὸν ἄνθρωπον, ἔδει δὲ μᾶλλον οὕτω καὶ οὐχ ἑτέρως· καὶ διὰ ποίαν αἰτίαν, ἀναγ καῖον, ὡς ἔοικεν, εἰπεῖν. ἔστι τοίνυν λογικὸν μὲν, σύνθετον δὲ ὅμως ζῷον ὁ ἄνθρωπος, ἐκ ψυχῆς δηλονότι καὶ τῆς ἐπικήρου ταυτησὶ καὶ γηΐνης σαρκός. ἐπειδὴ δὲ ἐπεποίητο παρὰ Θεοῦ, καὶ παρήχθη πρὸς γένεσιν, οὐκ ἔχων ἐξ οἰκείας φύσεως τό τε ἄφθαρτον καὶ ἀνώλεθρον· μόνῳ γὰρ ταῦτα πρόσεστιν οὐσιωδῶς τῷ Θεῷ· κατεσφραγίζετο τῷ πνεύματι τῆς ζωῆς, σχέσει τῇ πρὸς τὸ θεῖον τὸ ὑπὲρ τὴν φύσιν ἀποκερδαίνων ἀγαθόν "Ἐνεφύσησε γὰρ, φησὶν, εἰς τὸ πρόσωπον αὐτοῦ "πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν·" 1.139 ἐπειδὴ δὲ διὰ τὴν παράβασιν ἐκολάζετο, τό "Γῆ εἶ καὶ εἰς "γῆν ἀπελεύσῃ," τότε δικαίως ἀκούων ἀπεγυμνώθη τῆς χάριτος· ἀπανίστατο δὲ τῆς γηΐνης σαρκὸς ἡ πνοὴ τῆς ζωῆς, τουτέστι, τὸ Πνεῦμα τοῦ λέγοντος Ἐγώ εἰμι ἡ ζωὴ, καὶ πίπτει τὸ ζῷον εἰς θάνατον διὰ μόνης τῆς σαρκὸς, σωζομένης ἐν ἀθανασίᾳ τῆς ψυχῆς, ἐπεὶ καὶ πρὸς μόνην εἴρητο τὴν σάρκα "Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ." ἔδει τοίνυν τὸ μάλιστα κινδυνεῦσαν ἐν ἡμῖν, γοργότερον ἀνασώζεσθαι, καὶ συμπλοκῇ πάλιν τῇ πρὸς ζωὴν τὴν κατὰ φύσιν ἀνακαλεῖ σθαι πρὸς ἀφθαρσίαν. ἔδει τὸ πεπονθὸς λύσιν εὑράσθαι τοῦ κακοῦ. ἔδει λοιπὸν ἀτονῆσαι τό "Γῆ εἶ καὶ εἰς γῆν "ἀπελεύσῃ," ἑνωθέντος ἀφράστως τοῦ πεσόντος σώματος τῷ τὰ πάντα ζωογονοῦντι Λόγῳ. Σάρκα γὰρ ἔδει γενομένην αὐτοῦ, τῆς ἀπ' αὐτοῦ μετα σχεῖν ἀθανασίας· καὶ γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων τὸ μὲν πῦρ ἐντιθέναι δύνασθαι ταῖς ὕλαις τῆς κατὰ φύσιν αὐτῷ προσούσης ἐνεργείας τὴν ἐν αἰσθήσει ποιότητα, καὶ μονονουχὶ μετασκευάζειν εἰς ἑαυτὸ τὰ ἐν οἷς ἂν γένοιτο μεθεκτῶς· τὸν δὲ ὑπὲρ πάντα τοῦ Θεοῦ Λόγον, μὴ πάντως οἴεσθαι τὸ ἴδιον ἀγαθὸν ἐνεργάσασθαι τῇ σαρκὶ, τουτέστι τὴν ζωήν. ταύτης οὖν οἶμαι μάλιστα τῆς αἰτίας ἕνεκα τὸν ἅγιον Εὐαγγελιστὴν, ἀπὸ τοῦ παθόντος μάλιστα τὸ ζῷον σημαίνοντα, σάρκα γενέσθαι τὸν τοῦ Θεοῦ Λόγον εἰπεῖν· ἵνα θεωρῇ τις ὁμοῦ τὸ τραῦμα καὶ τὸ φάρμακον, τὸ νοσοῦν καὶ τὸν ἰατρὸν, τὸ κεκλιμένον εἰς θάνατον καὶ τὸν ἐγείραντα πρὸς ζωὴν, τὸ φθορᾷ νενικημένον καὶ τὸν ἐλαύνοντα τὴν φθορὰν, τὸ θανάτῳ κρατηθὲν καὶ τοῦ θανάτου τὸν κρείττονα, τὸ ζωῆς ἐστερη 1.140 μένον καὶ τὸν χορηγὸν τῆς ζωῆς. οὐκ εἰς σάρκα δὲ τὸν Λόγον ἐλθεῖν, ἀλλὰ σάρκα γενέσθαι φησὶν, ἵνα μὴ καθάπερ ἐν προφήταις τυχὸν, ἢ καὶ ἑτέροις τῶν ἁγίων τισὶν ἐπιφοι τῆσαι σχετικῶς ὑπολάβοις αὐτὸν, ἀλλ' αὐτὸ κατὰ ἀλήθειαν γενέσθαι σάρκα, τουτέστιν ἄνθρωπον· τοῦτο γὰρ ἀρτίως ἐλέγομεν. διὰ τοῦτο καὶ Θεός ἐστι κατὰ φύσιν ἐν σαρκὶ, καὶ μετὰ σαρκὸς, ὡς ἰδίαν ἔχων αὐτὴν, καὶ ὡς ἕτερόν τι παρ' αὐτὴν νοούμενος, καὶ ἐν αὐτῇ καὶ σὺν αὐτῇ προσκυνούμενος, κατὰ τὸ ἐν τῷ προφήτῃ γεγραμμένον Ἡσαΐᾳ "Ἄνδρες "ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι καὶ "ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ προσ "κυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός "ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ." ἰδοὺ καὶ ἐν αὐτῷ Θεὸν εἶναί φασι, μὴ ἀποδιελόντες τοῦ Λόγου τὴν σάρκα· καὶ πάλιν οὐκ εἶναι ἕτερον Θεὸν πλὴν αὐτοῦ διισχυρίσαντο, ἑνοῦντες τῷ Λόγῳ τὸ φορούμενον, ὡς ἴδιον αὐτοῦ, τουτέστι τὸν ἐκ παρθένου ναόν· εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός. Καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Ἐπεξεργάζεται χρησίμως τὸ εἰρημένον ὁ Εὐαγγελιστὴς, καὶ εἰς ἐμφανεστέραν ἄγει διάνοιαν τὴν τοῦ θεωρήματος δύναμιν· ἐπειδὴ γὰρ ἔφη σάρκα γεγενῆσθαι τὸν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεοῦ Λόγον, ἵνα μήτις ἐκ πολλῆς ἀμαθίας τῆς μὲν ἰδίας αὐτὸν ὑπολάβοι φύσεως ἐκδραμεῖν, μεταπεποιῆσθαι δὲ ὄντως εἰς σάρκα, καὶ παθεῖν, ὅπερ ἦν ἀδύνατον· ἀλλοιώσεως γὰρ ἁπάσης καὶ μεταβολῆς τῆς ἐφ' ἕτερόν τι, κατὰ τὸν τοῦ πῶς εἶναι λόγον, τὸ θεῖον ἀπῴκισται· καλῶς γε σφόδρα ποιῶν ὁ θεολόγος ἐπήνεγκεν εὐθὺς, ὅτι Καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα δύο νοήσας τὰ σημαινόμενα, τόν τε σκηνοῦντα καὶ τὸ ἐν ᾧ ἡ σκήνωσις, μὴ εἰς σάρκα παρατετράφθαι νομίσῃς αὐτὸν, 1.141 σκηνῶσαι δὲ μᾶλλον ἐν σαρκὶ, ὡς ἰδίῳ προσχρησάμενον σώματι, τῷ ἐκ τῆς ἁγίας παρθένου ναῷ. "Ἐν αὐτῷ γὰρ "κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς," ὡς ὁ Παῦλός φησιν· ἐσκηνωκέναι γεμὴν τὸν Λόγον ἐν ἡμῖν χρησίμως διισχυρίζεται, βαθὺ καὶ τοῦτο λίαν ἡμῖν ἐκκα λύπτων τὸ μυστήριον· πάντες γὰρ ἦμεν ἐν Χριστῷ, καὶ τὸ κοινὸν τῆς ἀνθρωπότητος εἰς τὸ αὐτοῦ ἀναβαίνει πρόσωπον, ἐπεὶ καὶ ἔσχατος Ἀδὰμ διὰ τοῦτο κατωνόμασται, τῇ κοι νότητι τῆς φύσεως πάντα πλουτῶν τὰ εἰς εὐθυμίαν καὶ δόξαν, ὥσπερ οὖν καὶ ὁ πρῶτος Ἀδὰμ τὰ εἰς φθορὰν καὶ κατήφειαν. ἐν πᾶσι τοιγαροῦν ὁ Λόγος ἐσκήνωσε δι' ἑνὸς, ἵνα τοῦ ἑνὸς "ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα "ἁγιωσύνης," εἰς ὅλην ἔρχηται τὴν ἀνθρωπότητα τὸ ἀξίωμα, οὕτω τε φθάσῃ καὶ ἐφ' ἡμᾶς δι' ἕνα τῶν ἐξ ἡμῶν τό "Ἐγὼ "εἶπα Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες." οὐκοῦν ἐν Χριστῷ μὲν ἀληθινῶς ἐλευθεροῦται τὸ δοῦλον, ἀναβαῖνον εἰς ἑνότητα τὴν μυστικὴν τῷ φορέσαντι τὴν τοῦ δούλου μορφὴν, ἐν ἡμῖν δὲ κατὰ μίμησιν τὴν πρὸς τὸν ἕνα διὰ τὴν κατὰ σάρκα συγγένειαν. ἐπεὶ διὰ ποίαν αἰτίαν "οὐκ ἀγγέλων "ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ, ὅθεν ὤφειλε "κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι," καὶ γενέσθαι κατὰ ἀλήθειαν ἄνθρωπος; ἆρ' οὐχὶ πᾶσίν ἐστι καταφανὲς, ὅτι καταβέβηκεν εἰς τὸ δοῦλον, αὐτὸς οὐχ ἑαυτῷ τοῦτό τι διὰ τούτου προξενῶν, ἀλλ' ἡμῖν ἑαυτὸν χαριζόμενος "ἵνα ἡμεῖς "τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν," ἀνατρέχοντες διὰ τῆς πρὸς αὐτὸν ὁμοιότητος εἰς τὸ ἴδιον αὐτοῦ καὶ ἐξαίρετον ἀγαθὸν, θεοί τε καὶ Θεοῦ τέκνα διὰ τῆς πίστεως ἀναφαινώ μεθα; ἐσκήνωσε γὰρ ἐν ἡμῖν ὁ κατὰ φύσιν Υἱὸς καὶ Θεός· 1.142 διὸ καὶ ἐν τῷ Πνεύματι αὐτοῦ "κράζομεν Ἀββᾶ ὁ πατήρ·" σκηνοῖ δὲ ὁ Λόγος ὡς ἐν πᾶσιν, ἐν ἑνὶ τῷ δι' ἡμᾶς καὶ ἐξ ἡμῶν ληφθέντι ναῷ, ἵνα πάντας ἔχων ἐν ἑαυτῷ, "ἀποκαταλ "λάξῃ πάντας ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα," καθάπερ ὁ Παῦλός φησι. Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. Σάρκα γεγενῆσθαι τὸν Λόγον εἰπὼν, τουτέστιν ἄνθρωπον, καὶ, εἰς ἀδελφότητα καταγαγὼν τὴν πρὸς τὰ δοῦλα καὶ ποιήματα, φυλάττει καὶ οὕτως ἀκέραιον αὐτῷ τὸ θεοπρεπὲς ἀξίωμα, καὶ τῆς ἑνούσης αὐτῷ πατρικῆς ἰδιότητος ἀναπλέω πάλιν ὄντα δεικνύει. πέπηγε γὰρ ὄντως ἡ θεία φύσις ἐφ' ἑαυτῇ, τὴν ἐφ' ἕτερόν τι παρατροπὴν οὐκ ἀνεχομένη παθεῖν, ἔχουσα δὲ μᾶλλον ὡσαύτως ἀεὶ, καὶ ἐν τοῖς ἰδίοις ἑστῶσα πλεονεκτήμασιν. οὐκοῦν εἰ καὶ σάρκα φησὶ γεγενῆσθαι τὸν Λόγον ὁ Εὐαγγελιστὴς, ἀλλ' οὐ ταῖς τῆς σαρκὸς ἀσθενείαις αὐτὸν νενικῆσθαι διισχυρίζεται, οὐδὲ τῆς ἀρχαιοτάτης ἰσχύος τε καὶ δόξης ἀποπεσεῖν, ἐπειδήπερ τὸ ἀσθενὲς ἡμῶν καὶ ἀδο ξότατον περιεβάλετο σῶμα. εἴδομεν γὰρ αὐτοῦ τὴν δόξαν, φησὶ, παρὰ τὴν τῶν ἄλλων ἐξαίρετον, καὶ ὁποίαν ἄν τις ὁμολογήσοι πρέπειν τῷ ἐκ Θεοῦ Πατρὸς Υἱῷ Μονογενεῖ. πλήρης γὰρ ἦν χάριτός τε καὶ ἀληθείας. ἀφορῶν μὲν γάρ τις εἰς τὸν τῶν ἁγίων χορὸν, καὶ τὰ δι' ἑκάστου γεγενημένα παραδόξως ἀναμετρούμενος, θαυμάσει μὲν κατὰ τὸ εἰκὸς, καὶ τοῖς ἑκάστῳ προσοῦσιν ἀγαθοῖς ἐφησθήσεται, δόξης τε αὐτοὺς ἀναπεπλῆ σθαι πάντως ἐρεῖ τῆς παρὰ Θεοῦ· τὴν δέ γε τοῦ Μονογενοῦς 1.143 δόξαν τε χάριν, οὐ ταῖς τῶν ἄλλων ἁμιλλωμένην τεθεᾶ σθαί φασιν οἱ θεόλογοι καὶ μάρτυρες, ἀλλὰ πολὺ λίαν ὑπερτενῆ, καὶ ἀσυγκρίτοις ὑπεροχαῖς ἀναβαίνουσαν, οὐ μεμε τρημένην ἔχουσαν, ὡς ἑτέρου διδόντος, τὴν χάριν, ἀλλ' ὡς ἐν τελείῳ τελείαν καὶ ἀληθῆ, τουτέστιν, οὐκ ἐπείσακτον, οὐδὲ ἔξωθεν ὡς ἐν προσθήκης μέρει προσπεπορισμένην, ἀλλ' οὐσιωδῶς ἐνυπάρχουσαν, καὶ πατρῴου καρπὸν ἰδιώματος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φυσικῶς ἐπὶ τὸν ἐξ αὐτοῦ διήκοντος Υἱόν. Εἰ δέ τῳ δοκεῖ πλατυτέροις θεωρήμασι βασανίζειν τὸ εἰρημένον, ἀποσκοπείτω καθ' ἑαυτὸν καὶ τὰ δι' ἑκάστου τῶν ἁγίων παραδόξως γεγενημένα καὶ τὰ διὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ τοσαύτην οὖσαν εὑρήσει τὴν διαφορὰν, ὅσην ἤδη προλαβόντες εἰρήκαμεν· πρὸς δέ γε τούτῳ κἀκεῖνο· οἱ μὲν γὰρ ὡς οἰκέται γνήσιοι περὶ τὸν οἶκόν εἰσιν, ὁ δὲ "ὡς "υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ·" καὶ περὶ μὲν τοῦ Μονογενοῦς ἡ θεία λέγει γραφή "Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι "Κυρίου·" περὶ δὲ τῶν ἁγίων ὁ Θεὸς καὶ Πατήρ "Καὶ "ἀπέστειλα πρὸς ὑμᾶς πάντας τοὺς δούλους μου τοὺς προ "φήτας." καὶ οἱ μὲν τὴν ἄνωθεν ἐδανείζοντο δύναμιν, ὁ δὲ ὡς τῶν δυνάμεων Κύριος "Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός "μου, φησὶ, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ "πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε." οὐκοῦν εἰ τοσοῦτος εἰς δύναμιν ὁ Μονογενὴς, ὅσοσπερ ἂν εἴη καὶ ὁ Πατὴρ, δι' αὐτῶν ὁρᾶται τῶν ἔργων, ἰσοστάθμοις ἀναλόγως μεγαλυν θήσεται δόξαις, ἅτε δὴ καὶ τῶν ἴσων ἐργάτης· ὑπερέξει δὲ πάντως τοσοῦτον, καὶ ἐν σαρκὶ γεγονὼς, τοὺς εἰς ἀδελφότητα κεκλημένους, ὅσον ἀνθρώπους ὁ κατὰ φύσιν Θεὸς, καὶ υἱοὺς τοὺς κατὰ θέσιν ὁ κατὰ ἀλήθειαν ἐξάλλεται. ἐπειδὴ δὲ γέγραπται παρὰ τῷ μακαρίῳ Λουκᾷ "Ἰησοῦς δὲ προέκοπτεν "ἐν σοφίᾳ καὶ χάριτι·" σημειωτέον ἐν τούτοις, ὅτι πλήρη 1.144 χάριτος ἔχειν τὴν δόξαν ἔφη τὸν Υἱὸν ὁ πνευματοφόρος· εἶτα ποῖ ποτε προκόψει τὸ πλῆρες, ἢ ποίαν ὅλως ἐπιδέξεται προσθήκην, οὗ ἐπέκεινα μηδέν; οὐκοῦν, οὐχ ᾗ Λόγος ἐστὶ καὶ Θεὸς προκόπτειν εἴρηται, ἀλλ' ὅτι μειζόνως ἀεὶ θαυμαζό μενος, χαριέστερος παρὰ τοῖς ὁρῶσι διὰ τῶν ἀποτελεσμάτων ἀνεδείκνυτο, προκοπτούσης, ὡς ἔστι μᾶλλον εἰπεῖν ἀληθέ στερον, τῆς τῶν θαυμαζόντων ἕξεως, ἤπερ αὐτοῦ τοῦ τελείου, πρὸς χάριν, ὡς Θεοῦ. εἰρήσθω δὲ ταῦτα χρησίμως, εἰ καὶ ἔστι παρεκβατικὸς ὁ λόγος. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγεν. Ἀκολουθεῖ πάλιν ταῖς ἰδίαις ἐννοίαις ὁ σοφώτατος Εὐαγ γελιστὴς, καὶ ὡς τοῖς ὀπίσω χρεωστούμενον τὸν ἐφεξῆς εὐρύθμως ποιεῖται λόγον. ἐπειδὴ γὰρ ἔφη περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ "Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς "παρὰ Πατρὸς," ἵνα μὴ μόνος τοῦτο φαίνηται λέγων, οὐχ ἑνὶ προσώπῳ τοῦ Ἐθεασάμεθα πρέποντος, τὸν ὁμώνυμον συνάπτει μάρτυρα, μίαν ἔχοντα πρὸς αὐτὸν καὶ τὴν αὐτὴν εὐσέβειαν. μαρτυρῶ, φησὶ, τοιγαροῦν ἐγώ· τεθέαμαι γὰρ ὅπερ εἶπον· μαρτυρεῖ δὲ ὁμοίως καὶ ὁ βαπτιστής· ἀξιολο γωτάτη τῶν πνευματοφόρων δυὰς καὶ ἀξιόχρεως ξυνωρὶς ἀνδρῶν ἀληθείᾳ συντεθραμμένων, καὶ οὐκ εἰδότων τὸ ψεύ δεσθαι. θέα δὲ ὅπως ἐμφαντικωτάτην ἡμῖν ἐποιήσατο τὴν ἐξήγησιν· οὐ γὰρ μόνον ὅτι μαρτυρεῖ φησιν ὁ Ἰωάννης περὶ αὐτοῦ, προστίθησι δὲ χρησίμως ὅτι καὶ κέκραγεν, ἀπὸ τοῦ "Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ" λαμβάνων τοῦ λόγου τὴν ἀπόδειξιν· καλῶς δὲ καὶ τοῦτο λίαν. ἐνεχώρει γάρ τινας τῶν δι' ἐναντίας εἰπεῖν Πότε τῷ Μονογενεῖ μεμαρτύρηκεν ὁ βαπτιστὴς, ἢ καὶ τίσιν ἐκεῖνος περὶ τούτων ἀνεκοινώσατο; 1.145 κέκραγεν οὖν, φησὶν, τουτέστιν, οὐκ ἐν παραβύστῳ λαλεῖ, οὐκ ἠρέμα καὶ ψιθυρίζων μαρτυρεῖ, σάλπιγγος ἀκούσῃ βοῶντος εὐηχέστερον. οὐ μόνος ἀκούσας τὰ τοιαῦτά φημι, πλατὺς καὶ εἰς πάντας ὁ λόγος, λαμπρὸς ὁ κήρυξ, ἐπίσημος ἡ φωνὴ, μέγας καὶ οὐκ ἄγνωστος ὁ πρόδρομος. Οὗτος ἦν ὃν εἶπον Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Ὀνομάσας τὸν μάρτυρα τὸν ὁμογνώμονα καὶ ὁμώνυμον αὐτῷ, καὶ μεγάλῃ δείξας ἀποχρησάμενον τῇ φωνῇ πρὸς τὴν τοῦ κηρύγματος διακονίαν, ἐπάγει χρησίμως καὶ τῆς μαρ τυρίας τὸν τρόπον· ἐν τούτῳ γὰρ μάλιστα σύμπαν ἦν τὸ ζητούμενον. τί οὖν ἄρα τὸν τοιοῦτον Ἰωάννην ἀνακεκραγότα περὶ τοῦ Μονογενοῦς εὑρήσομεν; Ὁ ὀπίσω μου ἐρχόμενος ἐμπροσθέν μου γέγονεν ὅτι πρῶτός μου ἦν; βαθὺς ὁ λόγος, καὶ πολλὴν ἐφ' ἑαυτῷ τὴν βάσανον ἀπαιτῶν· ἡ μὲν γὰρ πρό χειρος τοῖς πολλοῖς καὶ τετριμμένη διάνοια, τοιαύτη τις οὖσα τυγχάνει· ὅσον γὰρ ἧκεν εἰς τὸν τῆς γεννήσεως χρόνον τῆς μετὰ σαρκὸς, προεβάδιζε τοῦ Σωτῆρος ὁ βαπτιστὴς, ἠκο λούθει δέ πως καὶ ὀπίσω τρέχων ἐφαίνετο μησὶν ἓξ ὑστε ρίζων ὅλοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ Ἐμμανουὴλ, ὡς ὁ μακάριος ἱστόρησε Λουκᾶς. τοῦτο λέγειν οἴονται τὸν Ἰωάννην τινὲς, ἵνα νοῆται τοιῶσδε Ὁ ὀπίσω μου ἐρχόμενος κατὰ τὸν τῆς ἡλικίας χρόνον, ἔμπροσθέν μου γέγονεν. ἀλλ' ἔστιν ἰδεῖν τὸν ὀξυωπέστερον τοῖς θείοις ἐνατενίζοντα θεωρήμασι, πρῶτον μὲν, ὅπως εἰς ἐξιτήλους ἐννοίας ὁ λόγος ἡμῖν εἰσφέρεται, καὶ μακράν που τῶν ἀναγκαίως ζητουμένων ἀποδημεῖ. παρελήφθη γὰρ μάρτυς ὁ ἅγιος βαπτιστὴς, οὐχ ἵνα τῷ τῆς γεννήσεως χρόνῳ, ποτὲ μὲν ὑστερίζοντα, ποτὲ δὲ αὖ πάλιν προτερεύοντα 1.146 δείξῃ Χριστὸν, ἀλλ' ὡς συντεθεαμένος "τὴν δόξαν αὐτοῦ, "δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς πλήρης χάριτος καὶ "ἀληθείας." Ποῖον οὖν ἄν τις ἐφαρμόσαι λόγον τοῖς οὕτως ἀκαίρως εἰσβεβηκόσι διηγήμασιν; ἢ πῶς ἄν τις ἡμῖν ἑρμηνεύσοι σαφῶς, εἰς ποσότητα χρόνου λαβὼν τὸ ζητούμενον, τουτ έστιν Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονε; κείσθω γὰρ δὴ καὶ ὁμολογουμένως τὸ κατόπιν ἔρχεσθαι τοῦ βαπ τιστοῦ τὸν Κύριον, ἅτε δὴ γεγονότα τῷ χρόνῳ τῷ κατὰ τὴν σάρκα δεύτερον· κατὰ τίνα τρόπον καὶ ἔμπροσθεν αὐτοῦ γενή σεται, κατὰ χρόνον δὲ δηλονότι; καλεῖ γὰρ εἰς τοῦτον ἡμᾶς τὸν νοῦν ἡ τοῖς προλαβοῦσιν ἀναλόγως ὀφειλομένη τάξις τε καὶ ἀκολουθία. ἀλλ' οἶμαι τοῦτο παντί τῳ γενέσθαι σαφὲς, ὡς οὐκ ἂν εἴη τῶν ἐνδεχομένων. τὸ γὰρ ὑστερίζον τινὸς κατὰ χρόνον, οὐκ ἄν ποτε φθάσαι τὸ ἡγούμενον. οὐκοῦν ἀμαθὲς κομιδῇ, καὶ παντελῶς ἀπίθανον, περὶ χρόνου τοῦ κατὰ τὴν σάρκα τὸν ἅγιον εἰπεῖν οἴεσθαι βαπτιστήν Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν· ἀκολούθως δὲ μᾶλλον τῷ ἡμῖν προτεθέντι σκοπῷ νοοῦντες αὐτὸ, τοιῶσδέ πως εἰρῆσθαι πιστεύσομεν. χαριέντως ὁ μακάριος βαπ τιστὴς ἀπὸ τοῦ κατὰ συνήθειαν σχήματος ἀναφέρει τὸν λόγον, ἐπὶ ποιότητα πραγμάτων πνευματικὴν, καὶ ὥσπερ ἀπό τινος εἰκόνος τῶν καθ' ἡμᾶς εἰς ἐξήγησιν ἔρχεται νοημάτων λεπτομερεστέρων. Φιλεῖ μὲν γάρ πως ἀεὶ τὸ ἡγεῖσθαι πεφυκὸς, τῶν ἕπεσθαι λεγομένων ὑπάρχειν ἐπιδοξότερον, παραχωρεῖ δὲ τοῖς ἡγου μένοις τὰ ἑπόμενα· οἷον ὁ χαλκευτικὴν ἀκριβώσας τέχνην, ἢ τεκτονικὴν τυχὸν, ἢ ὑφαντικὴν, ἡγεῖταί πως, καὶ τὸ ἄμεινον ἔχει τοῦ κατὰ μαθητείαν ἕπεσθαι νοουμένου, καὶ εἰς τὸ τελείως εἰδέναι βαδίζοντος· ἀλλ' ὅταν ὁ τοιοῦτος τὴν τοῦ 1.147 διδάσκοντος ὑπεραναβαίνῃ τέχνην, καὶ κατόπιν ἐάσας αὐτὴν ἐργάζηται τὸ ἄμεινον, οὐκ ἀκόμψως ἐρεῖν τὸν νενικημένον ὑπολαμβάνω περὶ τοῦ νικήσαντος μαθητοῦ Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονε. κατὰ τοῦτο τοίνυν μετακομίζων τὸ σχῆμα τὴν τοῦ θεωρήματος δύναμιν, ἐπί τε τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καὶ τοῦ ἁγίου βαπτιστοῦ, νοήσεις ὀρθῶς· δέχου δὲ τὰ καθ' ἕκαστον ἐξ ἀρχῆς. ἐθαυ μάζετο παρὰ πάντων ὁ βαπτιστὴς, πολλοὺς ἐποίει τοὺς μαθητὰς, ὄχλος αὐτὸν περιέθει τῶν βαπτιζομένων πολὺς, ἠγνοεῖτο δὲ καίτοι κρείττων ὢν ὁ Χριστὸς, ἐλάνθανεν ὅτι Θεὸς ὑπῆρχεν ἀληθινός· ἐπειδὴ δὲ ἠγνοεῖτο, θαυμαζομένου τοῦ βαπτιστοῦ, ἐδόκει πως καὶ ὑστερίζειν αὐτοῦ· ἐβάδιζεν ὀπίσω βραχὺ τὸ μεῖζον ἔχοντος ἔτι κατὰ τιμὴν καὶ δόξαν τὴν ἐν ἀνθρώποις ἐκείνου· ἀλλ' ὁ ἐρχόμενος ὀπίσω γέγονεν ἔμπροσθεν, μείζων Ἰωάννου καὶ κρείττων ἀναδεικνύμενος. ὁ μὲν γὰρ ἤδη Θεὸς ὑπάρχων διὰ τῶν ἔργων ἀπεκαλύπτετο, ὁ δὲ τῆς ἀνθρωπότητος οὐκ ἀναβαίνων τὸ μέτρον, ὀπίσω λοιπὸν γεγονὼς εὑρίσκεται. οὐκοῦν αἰνιγματωδῶς ὁ μακάριος ἔφασκε βαπτιστής Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ἀντὶ τοῦ Ὁ ποτὲ κατόπιν τῆς ἐμῆς ὑπάρχων τιμῆς, ἐπιδοξότερος ὤφθη, καὶ ἀσυγκρίτοις ὑπεροχαῖς τὸ ἐμοὶ πρέπον τε καὶ προσὸν ὑπερεκτρέχει μέτρον. οὕτω νοοῦντες τὸ εἰρημένον, μάρτυρα τῆς δόξης τοῦ Μονογενοῦς εὑρήσομεν αὐτὸν, καὶ οὐκ εἰκαίων πραγμάτων ἄκαιρον ἐξηγητήν. τὸ γὰρ μείζονα λέγειν ἑαυτοῦ τὸν Χριστὸν, μεγάλην ἔχοντος ἐπὶ ἁγιότητι τὴν ὑπόληψιν, τί ἂν ἕτερον εἴη λοιπὸν, ἢ δόξαν αὐτῷ τὴν ἐξαίρετον ἐπιμαρτυρεῖν; ὅτι πρῶτός μου ἦν. ἔμπροσθέν μου γέγονεν εἰπὼν, ἀναγκαίως ἐπιφέρει τό Ὅτι πρῶτός μου ἦν, πρεσβυτάτην αὐτῷ τὴν δόξαν ἀνατιθεὶς, καὶ τὸ προὔχειν 1.148 ἁπάντων οὐκ ἐν χρόνῳ προσγεγονὸς, ἀλλ' ἐνυπάρχον ἄνωθεν ὡς Θεῷ κατὰ φύσιν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαβεβαιούμενος. ἦν γάρ μου πρῶτος, φησὶν, ἀντὶ τοῦ ἀεὶ καὶ διὰ παντὸς ἀμείνων καὶ ἐπιδοξότερος· διὰ δὲ τῆς πρὸς ἕνα τῶν γενητῶν συγκρίσεως, ἡ κατὰ πάντων ψῆφος τῷ ὑπὲρ πάντας συνάγεται. οὐ γὰρ ἐν τούτῳ καὶ μόνον τὸ μέγα καὶ ἀξιάγαστον τοῦ Υἱοῦ θεωρήσομεν ἀξίωμα, ἐν τῷ τὴν Ἰωάννου δόξαν ὑπερδραμεῖν, ἀλλ' ἐν τῷ πάσης ὑπερκεῖσθαι γενητῆς οὐσίας. Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. Ἀποδέχεται διὰ τούτων τὴν ἀληθῆ τοῦ βαπτιστοῦ μαρτυ ρίαν ὁ Εὐαγγελιστὴς, καὶ σαφῆ ποιεῖται τὴν ἀπόδειξιν τῆς τοῦ Σωτῆρος ἡμῶν ὑπεροχῆς, καὶ τοῦ κεκτῆσθαι τὸ πλέον οὐσιωδῶς κατὰ παντὸς γενητοῦ, κατά τε τὴν δόξαν αὐτὴν, περὶ ἧς ὁ λόγος μάλιστα νῦν, καὶ τὸν ἐπὶ τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς εὐκλεᾶ κατάλογον. ἄριστα γάρ μοι, φησὶ, καὶ ἀλη θέστατα λέγων ὁ βαπτιστὴς ἀναφαίνεται περὶ τοῦ Μονο γενοῦς "Ὅτι πρῶτός μου ἦν," τουτέστι, πολὺ δὴ κρείττων καὶ ἀμείνων. ἐπεὶ καὶ πάντες ἡμεῖς οἱ εἰς τὸν τῶν ἁγίων κατα τεταγμένοι χορὸν, τὸ ἴδιον αὐτοῦ καταπεπλουτήκαμεν ἀγα θὸν, καὶ τοῖς ἐκείνου μᾶλλον ἤπερ τοῖς ἑαυτῆς ἐπισεμνύνεται πλεονεκτήμασιν ἡ ἀνθρώπου φύσις, ὅταν ἔχουσά τι τῶν ἀξιαγάστων εὑρίσκηται· ἀπὸ γὰρ τοῦ πληρώματος τοῦ Υἱοῦ, καθάπερ ἐξ ἀεννάου πηγῆς, ἡ τῶν θείων χαρισμάτων ἀναβλύ ζουσα δόσις εἰς ἑκάστην ἔρχεται ψυχὴν, ἥπερ ἂν φαίνοιτο τοῦ λαβεῖν ἀξία. εἰ δὲ χορηγεῖ μὲν ὡς ἐκ φυσικοῦ πληρώ ματος ὁ Υἱὸς, χορηγεῖται δὲ ἡ κτίσις· πῶς οὐκ ἂν νοοῖτο λοιπὸν οὐχ ὁμοίαν ἔχων τοῖς ἄλλοις τὴν δόξαν, ἀλλ' ἥπερ 1.149 ἂν πρέποι τῷ ἐκ Θεοῦ Μονογενεῖ, φύσεως οἰκείας ἔχοντι καρπὸν τὰ κατὰ πάντων πλεονεκτήματα, καὶ τῆς πατρικῆς ἰδιότητος ἀξίωμα τὴν ὑπεροχήν; οἶμαι δὲ ἔγωγε καὶ τὸν σοφώτατον Παῦλον περὶ τῆς τῶν ὅλων διαλαβόντα φύσεως, κεκινῆσθαι διὰ τούτων εἰς ἐννοίας ἀληθεῖς, οὕτω τε λοιπὸν ὡς πρὸς τὴν κτίσιν εἰπεῖν "Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;" μετὰ γὰρ τοῦ εἶναι, καὶ τὸ εὖ εἶναι τοιῶσδε τυχὸν τῇ κτίσει θεόσδοτον, ἔχει δὲ οἴκοθεν οὐδὲν, πλουτεῖ δὲ μόνον τὴν τοῦ διδόντος φιλοτιμίαν. σημειωτέον δὲ πάλιν, ὅτι πλήρη, τουτέστιν, ἐν πᾶσι παντέλειον εἶναί φησι τὸν Υἱὸν, καὶ τοσοῦτον ἀφεστῶτα τοῦ κατά τι γοῦν ἐπιδεᾶ καθεστάναι, ὡς καὶ πᾶσι δύνασθαι χορηγεῖν, τὸ ἐλαττοῦσθαι παραιτούμενον καὶ τῆς οἰκείας ὑπεροχῆς ἀεὶ τὸ μέγεθος ἐν ταυτότητι διασῴζοντα. Καὶ χάριν ἀντὶ χάριτος, ὅτι ὁ νόμος διὰ Μωυσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Λαμπροτέραν τῆς ἐν ἅπασιν ἀνθρώποις εὐκλείας τὴν τοῦ Μονογενοῦς ἀναπεφάνθαι δόξαν εἰπὼν, καὶ τὸ ἐν ἁγιότητι μέγεθος ἀσύγκριτον αὐτῷ πρὸς τοὺς ἁγίους εἰσφέρων, ἀπὸ τῶν εἰς ἄκρον ἀναβεβηκότων ἀρετῆς ποιεῖσθαι σπουδάζει τοῦ προτεθέντος σκοποῦ τὴν ἀπόδειξιν. περὶ μὲν οὖν Ἰωάννου φησὶν ὁ Σωτήρ "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν "γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ." ἀλλὰ τὸν οὕτω μέγαν καὶ ἀξιοζήλωτον παρέστησεν ἤδη, καθάπερ αὐτός φησιν, ἀνακεκραγότα καὶ μεγάλῃ λέγοντα τῇ φωνῇ "Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, "ὅτι πρῶτός μου ἦν." ἡττωμένης δὲ τῆς Ἰωάννου δόξης, καὶ παραχωρούσης τῷ Μονογενεῖ, πῶς οὐκ ἀνάγκη λοιπὸν ἐννοεῖν μηδένα τῶν ἄλλων ἁγίων εἰς τὸ ἴσον ἀναφέρεσθαι 1.150 μέτρον τῷ Σωτῆρι Χριστῷ, κατά γε τὸν τῆς εὐκλείας λόγον, ὃς ἐν τῇ τῶν ἔργων θεωρεῖται λαμπρότητι; οἱ μὲν οὖν κατὰ τοὺς τῆς ἐπιδημίας καιροὺς γεγονότες ἅγιοι, τὴν Ἰωάννου πλεονεκτεῖν οὐκ ἂν ἔχοντες ἀρετὴν, οὐδὲ τὸ ἐκείνῳ προσὸν ἀναβαίνοντες μέτρον, παραχωρήσουσι σὺν αὐτῷ τὸ νικᾶν τῷ Χριστῷ, εἴπερ ἔχων ἐν ἀγαθοῖς τὸ ἀκρότατον ὁ μακάριος βαπτιστὴς, καὶ τρόπον ὑπερβολῆς καταλελοιπὼς οὐδένα, τὴν ἐπ' ἐλάττοσι ψῆφον οὐ διὰ τῆς ἑτέρου λαμβάνει φωνῆς, ἀλλ' αὐτὸς ἑαυτοῦ κατεσφράγισε τὸ πρᾶγμα, λέγων, ὡς ἅγιος ἀληθῶς. ἐπειδὴ δὲ καὶ τῶν ἀρχαιοτέρων ἁγίων ἐχρῆν ἀνα φαίνεσθαι κρείττονά τε καὶ μείζονα τὸν Ἐμμανουὴλ, ἀναγ καίως ὁ μακάριος Εὐαγγελιστὴς ἐπὶ πρῶτον ἔρχεται τὸν ἱεροφάντην Μωυσέα, πρὸς ὃν εἴρητο παρὰ Θεοῦ "Οἶδά σε "παρὰ πάντας, καὶ χάριν εὗρες παρ' ἐμοί." ὅτι γὰρ ἐγινώ σκετο παρὰ πάντας τῷ Θεῷ, καὶ διὰ τούτου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλιν ἡμεῖς εἰσόμεθα "Ἐὰν γένηται, φησὶ, προφήτης ὑμῶν Κυρίῳ, ἐν "ὁράματι αὐτῷ γνωσθήσομαι καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ. "οὐχ οὕτως ὡς ὁ θεράπων μου Μωυσῆς, ἐν ὅλῳ τῷ οἴκῳ "μου πιστός ἐστι· στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν "εἴδει καὶ οὐ δι' αἰνιγμάτων." ἔχοντος τοίνυν καὶ τοῦ παν σόφου Μωυσέως κατὰ τῶν ἀρχαιοτέρων ἁγίων τὴν οὕτω μεγάλην ὑπεροχὴν, κρείττονά τε καὶ εὐκλεέστερον κατὰ πάντα τρόπον ἐπιδεικνύει τὸν Μονογενῆ, ἵνα φαίνηται "ἐν "πᾶσιν αὐτὸς πρωτεύων," ὡς ὁ Παῦλός φησι· καὶ διὰ τοῦτο λέγει Καὶ χάριν ἀντὶ χάριτος, ὅτι ὁ νόμος διὰ Μωυσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· οἶμαι γὰρ ἔγωγε τοιοῦτόν τι βούλεσθαι δηλοῦν τὸν μακάριον Εὐαγγε λιστήν. ἀληθῆ, φησὶ, τὴν ὁμολογίαν ὁ μέγας ἐποιήσατο βαπτιστὴς περὶ τοῦ Μονογενοῦς διαῤῥήδην ἀπαγγέλλων 1.151 "Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι "πρῶτός μου ἦν·" καὶ γὰρ "ἐκ τοῦ πληρώματος αὐτοῦ "ἡμεῖς πάντες ἐλάβομεν." καὶ νομιζέτω μηδεὶς, Ἰωάννου μὲν ἢ καὶ τῶν ἄλλων ἁγίων οἳ κατὰ τοὺς τῆς ἐπιδημίας γεγόνασι καιροὺς, ὑπερανίσχειν τὸν Μονογενῆ· ἡττᾶσθαι γεμὴν κατὰ τὴν δόξαν τῶν ἀρχαιοτέρων, οἵπερ ἦσαν ἐν ἁγιασμῷ διαλάμποντες, κατὰ τοὺς ἄνωθεν τῆς ἐπιδημίας χρόνους· θεωρήσει γὰρ αὐτὸν πολὺ τὸ Μωυσέως, φησὶν, ἀναβαίνοντα μέτρον, καίτοι τὸ μεῖζον, ὡς πρὸς ἐκείνους, ἐν ἁγιασμῷ κεκτημένου· παρὰ πάντας γὰρ αὐτὸν ἐγνωκέναι σαφῶς ὁ νομοθέτης διεβεβαιώσατο. Ἰωάννης μὲν οὖν ἐξ ἰδίας ἠλέγχετο φωνῆς, ὡς ὀπίσω δόξης ἐβάδιζε τοῦ Χριστοῦ· ἔρχεται δὲ κατόπιν τῆς λαμπρότητος αὐτοῦ, καὶ οὐδὲν ὅλως ἐπ' ἐκείνῳ τὸ ζητούμενον, ἢ καὶ ἀποτραχῦνον τῆς ἀληθείας τὴν εὕρεσιν. Πόθεν οὖν ἄρα καὶ αὐτὸν εὑρήσομεν τὸν ἱεροφάντην Μωυσέα τῆς τοῦ Κυρίου δόξης ἡττώμενον; ἐξεταζέτω, φησὶν, ὁ φιλομαθὴς τὴν δοθεῖσαν ἡμῖν διὰ τοῦ Σωτῆρος χάριν εὐαγγελικὴν, ἀντὶ χάριτος τῆς νομικῆς τῆς διὰ Μωυ σέως· τότε γὰρ δὴ θεωρήσει τοσούτῳ κρείττονα τὸν Υἱὸν, ὅσῳπερ ἂν φαίνοιτο τῆς κατὰ νόμον πολιτείας τὰ ἀμείνω νομοθετῶν, καὶ πάντων ὁμοῦ τῶν διὰ Μωυσέως εἰσφέρων τὰ βελτίονα. ὁ μὲν γὰρ νόμος φησὶ διὰ Μωυσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. τίς οὖν ἄρα τοῦ νόμου πρὸς τὴν διὰ τοῦ Σωτῆρος χάριν ἡ διαφορὰ, θεωρήσει πάλιν ὁ φιλοζητητὴς καὶ ἑταῖρος ἱδρώτων ἀγαθῶν· ὀλίγα δὲ ἡμεῖς ἐροῦμεν ἀντὶ πολλῶν, ἀμήρυτόν τινα καὶ μακρὸν τῶν ἐπὶ τούτοις θεωρημάτων τὸν ἀριθμὸν ὄντα πιστεύοντες. οὐκοῦν ὁ μὲν νόμος κατέκρινε τὸν κόσμον· "Συνέκλεισε" γὰρ ὁ Θεὸς δι' αὐτοῦ "τὰ πάντα ὑπὸ ἁμαρτίαν," ὡς ὁ Παῦλός 1.152 φησι· καὶ κολάσεσιν ἡμᾶς ἐνόχους ὄντας ἐδείκνυεν, ἐλευθεροῖ δὲ μᾶλλον αὐτὸν ὁ Σωτήρ· οὐ γὰρ ἦλθεν "ἵνα κρίνῃ τὸν "κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον." καὶ χάριν μὲν ἀν θρώποις καὶ ὁ νόμος ἐδίδου, καλῶν ὅλως εἰς θεογνωσίαν, καὶ τῆς τῶν εἰδώλων λατρείας ἐξέλκων τοὺς πεπλανημένους, καὶ προσέτι τούτῳ καὶ τὸ φαῦλον ὑποδεικνὺς, καὶ διδάσκων τὸ ἀγαθὸν, εἰ καὶ μὴ τελείως, ἀλλὰ παιδαγωγικῶς καὶ χρη σίμως· ἡ δὲ διὰ τοῦ Μονογενοῦς ἀλήθειά τε καὶ χάρις, οὐκ ἐν τύποις ἡμῖν εἰσφέρει τὸ ἀγαθὸν, οὐδὲ ὡς ἐν σκιᾷ χαράττει τὰ συμφέροντα· ἀλλ' ἐν λαμπροῖς καὶ καθαρωτάτοις δια τάγμασι καὶ πρὸς τελείαν τῆς πίστεως γνῶσιν χειραγωγεῖ· καὶ ὁ μὲν νόμος πνεῦμα δουλείας ἐδίδου πρὸς φόβον, τὸ δὲ πνεῦμα τῆς υἱοθεσίας ὁ Χριστὸς εἰς ἐλευθερίαν. ὁ νόμος ὁμοίως τὴν ἐν σαρκὶ περιτομὴν οὐδὲν οὖσαν εἰσφέρει· "Ἡ "περιτομὴ γὰρ οὐδέν ἐστιν," ὥσπερ οὖν ὁ Παῦλος ἐπι στέλλει τισίν· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἐν πνεύματι καὶ καρδίᾳ περιτομὴν διὰ τῆς πίστεως προξενεῖ. ὁ νόμος ὕδατι βαπτίζει γυμνῷ τοὺς μεμολυσμένους, ὁ Σωτὴρ "ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί." ὁ νόμος εἰς τὴν ἀντίτυπον τῶν ἀληθινῶν εἰσφέρει σκηνὴν, ὁ Σωτὴρ εἰς αὐτὸν ἀναφέρει τὸν οὐρανὸν, καὶ εἰς τὴν ἀληθεστέραν εἰσάγει σκηνὴν, "ἣν "ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος." καὶ χαλεπὸν μὲν οὐδὲν ἀποδείξεις τοῖς εἰρημένοις ἐπισωρεύειν ἑτέρας, τιμητέον δ' οὖν ὅμως τὸ μέτρον. πλὴν ἐκεῖνο χρησίμως τε καὶ ἀναγ καίως ἐροῦμεν· ὅτιπερ ὁ μακάριος Παῦλος ἐν ὀλίγοις ἔλυσε τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ζητούμενον, περί τε τοῦ νόμου καὶ τῆς τοῦ Σωτῆρος χάριτος εἰπών "Εἰ γὰρ τῇ διακονίᾳ τῆς κατακρίσεως δόξα, "πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν "δόξῃ." διακονίαν μὲν γὰρ κατακρίσεως τὴν διὰ Μωυσέως φησὶν ἐντολὴν, διακονίαν δὲ δικαιοσύνης, τὴν παρὰ τοῦ 1.153 Σωτῆρος ὀνομάζει χάριν, ᾗ καὶ τὸ πλέον ἐν δόξῃ κεκτῆσθαι χαρίζεται, τὴν τῶν πραγμάτων ἄριστα δοκιμάζων φύσιν, ὡς πνευματοφόρος. Οὐκοῦν ἐπειδήπερ ὁ μὲν κατακρίνων νόμος ἐδόθη διὰ Μωυ σέως, γέγονε δὲ διὰ τοῦ Μονογενοῦς ἡ δικαιοῦσα χάρις, πῶς οὖν οὐκ ἀμείνων ἐν δόξῃ, φησὶν, ὁ δι' οὗ τὰ κρείττω νενομο θέτηται; ἀληθεύσει δὴ οὖν καὶ ὁ μελῳδὸς ἐν Πνεύματι τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν πάσης ὁμοῦ τῆς λαμπρᾶς τῶν ἁγίων πληθύος ὑπερκεῖσθαι βοῶν "Τίς γὰρ, φησὶν, ἐν "νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, ἢ τίς ὁμοιωθήσεται τῷ "Κυρίῳ ἐν υἱοῖς Θεοῦ;" νεφέλαι μὲν γὰρ αἱ νοηταὶ, τουτ έστιν, οἱ ἅγιοι προφῆται παραχωρήσουσι τὸ νικᾶν τῷ Χριστῷ, οἰήσονται δὲ δεῖν οὐδαμῶς ἰσομέτρῳ πρὸς αὐτὸν ἁμιλλᾶσθαι τιμῇ, τὴν δευτέραν ἀποφερομένου τάξιν τοῦ παρὰ πάντας ἐγνωσμένου παρὰ Θεοῦ, τουτέστι Μωυσέως· υἱοὶ δὲ οἱ χρηματίσαντες τοῦ Θεοῦ κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν, οὐκ ἀπαραλλάκτως ὁμοιωθήσονται τῷ κατὰ φύσιν Υἱῷ, ἀλλὰ τὸ οἰκεῖον ἐπιγνώσονται μέτρον, ὀπίσω μάλιστα τεθεῖσθαι λέγοντος ἑαυτὸν τοῦ ἁγίου βαπτιστοῦ, περὶ οὗ φησιν ὁ καρδίας εἰδὼς "Οὐκ ἐγήγερται ἐν γεννητοῖς γυ "ναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ." ἀληθεύει δὴ οὖν ὁ μακάριος Εὐαγγελιστὴς, τεθεᾶσθαι λέγων "τὴν δόξαν "αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς," τουτέστιν ἥπερ ἂν πρέποι τῷ ἐκ Θεοῦ Πατρὸς Υἱῷ Μονογενεῖ, καὶ οὐχὶ μᾶλλον τοῖς εἰς ἀδελφότητα κεκλημένοις αὐτοῦ, ὧν ἐστι πρωτότοκος.

**1.154 ΚΕΦΑΛΗ Ι.** Ὅτι μόνος κατὰ φύσιν Υἱὸς ἐκ Πατρὸς ὁ Μονογενὴς, ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ. Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ Μονογενὴς Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. ΘΕΑ δὴ πάλιν ἐν τούτοις τοῦ πνευματοφόρου τὴν νῆψιν. οὐκ ἠγνόησεν ὅτι πάντως ἐροῦσί τινες τὰ περὶ τοῦ Μονο γενοῦς εἰρημένα πικρότερον βασανίζοντες Ἔφης, ὦ οὗτος, τεθεᾶσθαι "τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ "Πατρός·" εἶτα δέον ἀπολεπτύνειν ἡμῖν τὴν ἐπὶ τούτοις ἐξήγησιν, καὶ θεοπρεπές τι πρᾶγμα καὶ ἐξαίσιον εἰπεῖν, ἀπὸ τῆς κατὰ Μωυσέως ὑπεροχῆς καὶ τῶν Ἰωάννου μέτρων ἐποιήσω τὴν ἀπόδειξιν, ὡς οὐκ ἐνὸν ἑτέρως ὁρᾶσθαι τὴν δόξαν αὐτοῦ, καίτοι τοῦ μὲν μακαρίου προφήτου λέγοντος Ἡσαΐου "Εἶδον τὸν Κύριον σαβαὼθ καθήμενον ἐπὶ θρόνου "ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης "αὐτοῦ, καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες "τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ταῖς μὲν δυσὶ κατεκά "λυπτον τὸ πρόσωπον, καὶ ταῖς δυσὶ κατεκάλυπτον τοὺς "πόδας, καὶ ταῖς δυσὶν ἐπέτοντο· καὶ ἐκέκραγον ἕτερος πρὸς 1.155 "τὸν ἕτερον καὶ ἔλεγον Ἅγιος ἅγιος ἅγιος Κύριος σαβαὼθ, "πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ." Ἰεζεκιὴλ δὲ πάλιν διαῤῥήδην ἡμῖν ἀνακεκραγότος, ὅτι καὶ θεάσοιτο τὰ Χερου βὶμ, στερέωμα μὲν ὡς ἐν εἴδει σαπφείρου ταῖς οἰκείαις ἐπηρτημένον ἔχοντα κεφαλαῖς, ἐπὶ θρόνου δὲ ὁμοίως τὸν Κύριον σαβαώθ· λέγει γὰρ ἐπ' αὐτῆς οὕτω τῆς λέξεως "Καὶ "ἰδοὺ, φησὶ, φωνὴ ὑπεράνωθεν τοῦ στερεώματος τοῦ ὄντος "ὑπὲρ κεφαλῆς αὐτῶν, καὶ ὑπεράνωθεν τοῦ στερεώματος τοῦ "ὑπὲρ κεφαλῆς αὐτῶν ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα "θρόνου ἐπ' αὐτοῦ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου "ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν· καὶ εἶδον ὡς ὄψιν "ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω, καὶ ἀπὸ ὁρά "σεως ὀσφύος καὶ ἕως κάτω, καὶ εἶδον ὡς ὅρασιν πυρὸς, "καὶ τὸ φέγγος αὐτοῦ κύκλῳ ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν "τῇ νεφέλῃ ἐν ἡμέραις ὑετοῦ, οὕτως ἡ ὅρασις τοῦ φέγγους "κυκλόθεν, αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου." οὐκοῦν ἐπειδήπερ ἐλπίδος ἦν οὐ μακρὰν, τοιαῦτά τινα πρὸς ἡμᾶς ἐρεῖν οὐκ ὀλίγους τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμαθεστέρων, ἀναγκαίως ὁ μακάριος Εὐαγγελιστὴς ἀνακόπτειν αὐτῶν τὰς ἐπιχειρήσεις ἐπείγεται λέγων Θεὸν οὐδεὶς ἑώρακε πώποτε· αὐτὸς γὰρ Θεὸς ὢν ὁ Μονογενὴς, ὁ ἐν κόλποις ὢν τοῦ Θεοῦ καὶ Πατρὸς, ταύτην πρὸς ἡμᾶς ἐποιήσατο τὴν ἐξήγησιν, πρὸς μὲν τὸν ἱεροφάντην Μωυσέα σαφέστατα δὴ λίαν εἰπὼν, ὅτι οὐδεὶς ὄψεται "τὸ "πρόσωπόν μου, καὶ ζήσεται·" πρὸς δέ γε τοὺς οἰκείους κατὰ καιρὸν μαθητάς "Οὐχ ὅτι τὸν Πατέρα ἑώρακέ τις, εἰ "μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν Πατέρα." μόνῳ γὰρ Υἱῷ τῷ κατὰ φύσιν ὁρατὸς ὁ Πατὴρ καὶ οὕτως, ὡς ἄν τις εἰκάσαι θεοπρεπῶς τὴν θείαν ὁρᾶν τε καὶ ὁρᾶσθαι φύσιν, ἑτέρῳ δὲ τῶν ὄντων οὐδενί· διαψεύσεται γεμὴν οὐδαμῶς τῶν ἁγίων προφητῶν ὁ λόγος, ἑωρακέναι βοώντων τὸν Κύριον 1.156 σαβαώθ· οὐ γὰρ αὐτὸ κατ' οὐσίαν τοῦθ' ὅπερ ἐστὶν ἡ τοῦ Θεοῦ φύσις τεθεᾶσθαι διισχυρίζονται, ἀλλὰ καὶ αὐτοὶ διαῤ ῥήδην ἀναβοῶσι λέγοντες "Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης "Κυρίου." οὐκοῦν ἀπὸ τῶν καθ' ἡμᾶς πραγμάτων αἴνιγμα τωδῶς τὸ τῆς θείας δόξης ἀνεπλάττετο σχῆμα, καὶ μᾶλλον ὁμοίωσις ἦν, ὡς ἐν πίνακι φέρουσα τὰ θεοπρεπῆ, τῆς ἐπὶ τούτοις ἀληθείας εἰς τὴν ὑπὲρ νοῦν καὶ λόγον ἀναβαινούσης ὑπεροχήν. ἄριστα δὴ οὖν ὁ σοφώτατος Εὐαγγελιστής "Καὶ "ἐθεασάμεθα λέγων τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς "παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας," ἀπὸ τῆς κατὰ πάντων ὑπεροχῆς εἰσφέρει τοῦ λόγου τὴν ἀπόδειξιν. ὅνπερ γὰρ τρόπον "ἀπὸ καλλονῆς κτισμάτων ἀναλόγως" ἡ τοῦ πάντων γενεσιουργοῦ θεωρεῖται δύναμις· καὶ "διη "γοῦνται μὲν ἀφώνως οἱ οὐρανοὶ δόξαν Θεοῦ, ποίησιν δὲ "χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα·" οὕτω πάλιν ἀμείνων ἐν δόξῃ καὶ λαμπρότερος ὁ Μονογενὴς ἀναδειχθή σεται, τὴν μὲν, ὅσον ἧκεν εἰς ὀφθαλμοῦ δύναμιν, κατάληψιν ἀναβαίνων, ὡς Θεὸς, ἀφ' ὧν δὲ τὴν κτίσιν νικᾷ, διὰ τούτων ὡς ὑπάρχων ὑπὲρ αὐτὴν, νοούμενός τε καὶ δοξαζόμενος. ταύτην μὲν οὖν οἶμαι, καὶ οὐχ ἑτέραν τὴν θεωρίαν ὠδίνειν τοῦ προκειμένου τὴν δύναμιν· ἐπιτηρητέον δὲ πάλιν, ὅτι καὶ Μονογενὴ Θεὸν ἀποκαλεῖ τὸν Υἱὸν, καὶ ἐν κόλποις εἶναί φησι τοῦ Πατρὸς, ἵνα φαίνηται πάλιν τῆς πρὸς τὴν κτίσιν ὁμο φυΐας ἔξω κείμενος, καὶ ἰδιάζουσαν ἔχων ἐκ Πατρὸς καὶ ἐν Πατρὶ τὴν ὕπαρξιν. εἰ γὰρ ὄντως Θεός ἐστι Μονογενὴς, πῶς οὐκ ἔστι κατὰ φύσιν ἕτερος, ὡς πρὸς ἐκείνους, οἵπερ εἰσὶ κατὰ θέσιν θεοὶ καὶ υἱοί; νοηθήσεται γὰρ οὐκ ἐν πολλοῖς ἀδελφοῖς ὁ Μονογενὴς, ἀλλ' ὡς μόνος ὢν ἐκ Πατρός. ἐπειδὴ δὲ κατὰ τὴν τοῦ Παύλου φωνὴν πολλῶν ὄντων, ἢ καὶ 1.157 ὀνομαζομένων, ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς τῶν θεῶν, Θεός ἐστι Μονογενὴς ὁ Υἱὸς, ἔξω δηλονότι τῶν ἄλλων κείσεται, καὶ οὐκ ἐν τοῖς κατὰ χάριν τετάξεται θεοῖς· ἔσται δὲ μᾶλλον μετὰ Πατρὸς ἀληθινός· οὕτω γὰρ ἡμῖν ὁ Παῦλος συναρμόττει λέγων "Ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ "πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα·" ἑνὸς γὰρ ὄντος κατὰ φύσιν Θεοῦ τοῦ Πατρὸς, οὐκ ἔξω τοῦ εἶναι Θεὸς ὁ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ μενεῖ Λόγος, τῇ τοῦ γεννήσαντος ἰδιότητι διαπρέπων, καὶ οὐσιωδῶς πρὸς τὸ ἴσον ἀναβαίνων ἀξίωμα, κατά γε τὸ εἶναι κατὰ φύσιν Θεός. Διά τοι τοῦτο καὶ ἐν κόλποις αὐτὸν εἶναί φησι τοῦ Πατρὸς, ἵνα πάλιν ἐννοῇς τὸ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον "Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά "σε." ὥσπερ γὰρ ἐν τούτῳ, τό Ἐκ γαστρὸς, διὰ τὸ ἐξ αὐτοῦ καὶ γνησίως τίθησιν, ὡς ἐξ ὁμοιότητος πάλιν τῆς καθ' ἡμᾶς· πρόεισι γὰρ ἐκ γαστρὸς τὰ ἐξ ἀνθρώπων γεννώμενα· οὕτω καὶ ὅτε τό Ἐν κόλπῳ φησὶ, μονονουχὶ βούλεται δηλοῦν ἐν τῇ τοῦ Πατρὸς νηδύϊ γεννώσῃ μὲν τὸν Υἱὸν ἐκφαντικῶς, ὡς ἐν ἐκλάμψει θεοπρεπεῖ καὶ ἀῤῥήτῳ τινὶ προόδῳ τῇ πρὸς ἰδίαν ὑπόστασιν, ἐχούσῃ δὲ πάλιν αὐτὸν, ἐπεὶ μὴ κατὰ ἀποκοπὴν, ἤτοι μερισμὸν τὸν κατὰ σῶμα, τὸ θεῖον ἐκ Πατρὸς προέκυψε γέννημα. καὶ γοῦν ὁ Υἱός που φησὶν, ὡς εἴη μὲν αὐτὸς ἐν Πατρὶ, ἔχοι δὲ αὖ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα. τὸ γὰρ ἴδιον αὐτὸ τῆς τοῦ Πατρὸς οὐσίας φυσικῶς διῆκον εἰς τὸν Υἱὸν, ἐν αὐτῷ δείκνυσι τὸν Πατέρα· ἔχει δὲ αὖ πάλιν ὁ Πατὴρ ἐν ἑαυτῷ τὸν Υἱὸν τῇ ἀπαραλλάκτῳ τῆς οὐσίας ταυτότητι ῥιζούμενον, καὶ ἐκπεφυκότα μὲν ὡς ἐξ αὐτοῦ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλὴν οὐ κατὰ μερισμὸν ἢ διάστασιν τοπικὴν, ἀλλ' ἐνυπάρχοντά τε καὶ ἀεὶ συνυπάρχοντα· οὕτω δὴ μᾶλλον εὐσεβῶς τὸ ἐν κόλποις εἶναι τοῦ Πατρὸς παραδεξόμεθα τὸν Υἱὸν, οὐ καθάπερ ἐξειλήφασί 1.158 τινες τῶν θεομαχεῖν εἰθισμένων, "ὧν τὸ κρῖμα ἔνδικόν ἐστι·" πάντα γὰρ τὰ ὀρθὰ διαστρέφουσι, κατὰ τὴν τοῦ προφήτου φωνὴν, τὰς τῶν ἁπλουστέρων παραλύοντες ἀκοὰς, καὶ "ἁμαρτάνοντες ἀφυλάκτως εἰς τοὺς ἀδελφοὺς, ὑπὲρ ὧν "Χριστὸς ἀπέθανε." Τί γὰρ δὴ καὶ νοοῦσι καὶ λέγουσι καὶ διδάσκειν ἑτέρους ἐπιχειροῦσιν, ἀναγκαῖον εἰπεῖν· εἰς τὸν κόλπον τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱὸν εἶναι τοῦ ἁγίου λέγοντος Εὐαγγελιστοῦ, εἶτα τῶν τῆς Ἐκκλησίας τέκνων νοούντων ὀρθῶς, καὶ ἐκ Πατρὸς καὶ ἐν Πατρὶ διὰ τοῦτο διαβεβαιουμένων ὑπάρχειν αὐτὸν, καὶ τὸ ἐν γεννήσει γνήσιον ἀποσώζεσθαι δεῖν, καὶ μάλα εἰκότως, φιλονεικούντων αὐτῶν, διαγελῶσιν εὐθὺς οἱ πάσῃ μεθύοντες ἀμαθίᾳ, καὶ δὴ καὶ ἀποτολμῶσι λέγειν Λῆρος, ὦ οὗτοι, τὰ παρ' ὑμῖν· οὐ γὰρ εὐπαιδεύτως τὰ περὶ Θεοῦ δοξάζετε, διὰ τὸ ἐν κόλπῳ λέγεσθαι τοῦ Πατρὸς τὸν Υἱὸν ἐκπεφυκέναι, πάντως αὐτὸν οἰόμενοι τῆς οὐσίας αὐτοῦ, καὶ τῆς ἀγενήτου φύσεως εἶναι καρπὸν ἀνοήτως ὑπολαμβά νοντες. ἢ γὰρ οὐκ ἠκούσατε, φασὶν, ἐν ταῖς εὐαγγελικαῖς παραβολαῖς, ὅτε τοὺς περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου λόγους αὐτὸς ἐποιεῖτο Χριστὸς, ὅτι ἐγένετο δὲ ἀποθανεῖν τὸν Λάζαρον, "καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλ "πον τοῦ Ἁβραάμ;" δώσετε δὴ οὖν διὰ τὸ ἐν κόλπῳ τοῦ Ἁβραὰμ γενέσθαι τὸν Λάζαρον, ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ κατὰ φύσιν ὑπάρχειν αὐτὸν, ἢ τοῦτο μὲν παραιτήσεσθε λέγειν ποιοῦντες ὀρθῶς, διὰ δὲ τοῦ κόλπου τὴν ἀγάπησιν νοεῖσθαι καὶ αὐτοὶ σὺν ἡμῖν συγχωρήσετε; εἶναι τοιγαροῦν τὸν Υἱὸν ἐν κόλπῳ φαμὲν τοῦ Θεοῦ καὶ Πατρὸς, ἀντὶ τοῦ ἐν ἀγα πήσει, καθὰ καὶ αὐτός που φησίν "Ὁ Πατὴρ ἀγαπᾷ τὸν "Υἱόν." Ἀλλ' ὅταν τούτοις ἡμᾶς παίωσι τοῖς λόγοις οἱ φιλεπιτι μηταὶ, κἂν πρὸς μόνον τὸ διαλοιδορεῖσθαι γοργοὶ, τότε καὶ 1.159 ἡμεῖς ἀντεροῦμεν, τὸν ὀρθὸν τῆς ἀληθείας ἀντεξάγοντες λόγον Ὁ κόλπος ἡμῖν, ὦ βέλτιστοι, σημαίνει καθ' ὑμᾶς τὴν ἀγάπησιν· τοῦτο γὰρ ἀρτίως λεγόντων ἠκούσαμεν. ἆρ' οὖν, ἐπειδήπερ "ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον" κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· "Ἀγαπᾷ δὲ Κύριος καὶ τὰς πύλας Σιὼν," κατὰ τὸν ἅγιον ψαλμῳδὸν, ἀκινδύνως ἐροῦμεν ἐν κόλπῳ τοῦ Θεοῦ καὶ Πατρὸς τόν τε κόσμον αὐτὸν καὶ τὰς τῆς Σιὼν εἶναι πύλας; ὅταν δὲ λέγῃ καὶ πρὸς τὸν ἱεροφάντην Μωυ σέα "Εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου," ἀγαπᾶν, εἰπέ μοι, προστάττει τὴν χεῖρα αὐτῷ, καὶ οὐχὶ μᾶλλον κατα κρύψαντα ἔχειν; εἶτα πῶς οὐ μέγαν ἐπὶ τούτοις ὀφλήσομεν γέλωτα, μᾶλλον δὲ πῶς εἰς αὐτὸν οὐκ ἀσεβήσομεν τὸν Πατέρα, πάντα ἐν κόλποις εἶναι λέγοντες αὐτοῦ, καὶ τὸ μόνου τοῦ Μονογενοῦς ἐξαίρετον ἀγαθὸν κοινοποιοῦντες τοῖς ἄλλοις, ἵνα πλέον ἔχοι μηδὲν παρὰ τὴν κτίσιν ὁ Υἱός; Οὐκοῦν ταῖς ἐκείνων ἀβουλίαις ἐῤῥῶσθαι φράσαντες, ἐπὶ τῷ εὐθεῖ τῆς ἀληθείας βαδιοῦμεν λογισμῶν, ὅταν ἐν κόλπῳ λέγηται τοῦ Πατρὸς ὁ Υἱὸς, ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ νοοῦντες αὐτόν· ἀναμαξάμενοι δὲ ἀκριβῶς τὴν τοῦ νοήματος δύναμιν, οὕτως ἔχον αὐτὸ, καὶ οὐχ ἑτέρως, εὑρήσομεν. Μονογενὴς, φησὶν, ὁ Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. ἐπειδὴ γὰρ ἔφη Μονογενῆ καὶ Θεὸν, τίθησιν εὐθύς Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, ἵνα νοῆται καὶ Υἱὸς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς, ἀντὶ τῆς οὐσίας τὸν κόλπον τοῦ Πατρὸς εἰπὼν, ὡς ἐκ παραδείγματος σωματικοῦ. τύποι γάρ εἰσί πως τῶν νοητῶν τὰ ἐμφανέστερα, καὶ χειραγωγεῖ πρὸς κατάληψιν τῶν ὑπὲρ ἡμᾶς τὰ ἐν ἡμῖν· λαμβάνεται δὲ πολλάκις ὡς ἐν εἰκόνος τάξει τὰ σωματικὰ, καὶ λεπτοτέρων ἡμῖν θεωρη μάτων εἰσφέρει τὴν κατάληψιν, εἰ καὶ οὕτω νοεῖται κατὰ 1.160 καιρὸν οἰκεῖον, ὡς ἂν εἰρῆσθαι δοκῇ, ὁποῖον εἶναί φημι τὸ ἐπὶ Μωυσέως "Εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον "σου." ἀδικήσει δὲ ὅλως τὸν λόγον οὐδὲν τὸ ἐν κόλπῳ τεθεῖσθαι τοῦ Ἁβραὰμ τὸν Λάζαρον εἰπεῖν, συναγορεύσει δὲ μᾶλλον αὐτῷ, καὶ τοῖς ἡμετέροις συνδραμεῖται θεωρήμασι. μόνον γὰρ οὐχὶ τοῦτό φησιν ἡ θεία γραφή· τεθνεὼς ὁ Λάζαρος καὶ τὴν μετὰ σώματος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταλύσας ζωὴν, εἰς κόλπον Ἀβραὰμ ἀπηνέχθη, ἀντὶ τοῦ ἐν υἱοῖς Ἀβραὰμ κατατέτακται· πατέρα γὰρ πολλῶν ἐθνῶν τέθεικά σε πρὸς αὐτὸν ὁ Θεὸς, οὕτω δέ που γέγραπται περὶ αὐτοῦ "Ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε." Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας ἵνα ἐρωτήσωσιν αὐτόν Σὺ τίς εἶ; καὶ ὡμολόγησε καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν ὅτι ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός. Μέμνηται τῶν ἑαυτοῦ λόγων ὁ Εὐαγγελιστὴς, καὶ πλατύ τερον ἡμῖν ἐξηγεῖσθαι σπουδάζει, καλῶς γε σφόδρα ποιῶν, ἅπερ ἤδη φθάσας ὡς ἐν κεφαλαίῳ συνειλημμένως καταμεμή νυκεν· εἰπὼν γάρ "Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ "Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα "μαρτυρήσῃ περὶ τοῦ φωτὸς," ἀναγκαίως εἰσφέρει καὶ τῆς παρ' αὐτοῦ γενομένης μαρτυρίας τὸν τρόπον· ὅτε γὰρ, φησὶν, οἱ τῶν Ἰουδαικῶν ταγμάτων κατὰ νόμον καθηγηταὶ πρὸς αὐτὸν ἀπεστάλκασιν ἱερεῖς καὶ Λευίτας, ἀναπυθέσθαι προστάξαντες, τί ἂν λέγοι περὶ ἑαυτοῦ, τότε δὴ καὶ μάλα σαφῶς ὡμολόγησε, πᾶσαν ἀποπτύσας αἰδὼ διὰ τὴν ἀλήθειαν· ἔφη γὰρ ὅτι ἐγὼ 1.161 οὐκ εἰμὶ ὁ Χριστός. οὐκοῦν οὐδὲ ἐγὼ, φησὶν, ὁ τοῦ βιβλίου συγγραφεὺς διέψευσμαι λέγων περὶ αὐτοῦ "Οὐκ ἦν ἐκεῖνος "τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός." Καὶ ἠρώτησαν αὐτόν Τί οὖν; Ἠλίας εἶ; καὶ λέγει Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ. Ὡς ἐν ἐξηγήσει πάλιν εἰπών "ὡμολόγησεν ὅτι ἐγὼ οὐκ "εἰμὶ ὁ Χριστός·" δεικνύειν πειρᾶται πῶς ἢ κατὰ τίνα τρόπον ὁ τῆς ὁμολογίας γέγονε λόγος· καί μοι δοκεῖ διὰ τούτων τὴν τῶν Ἰουδαίων ἀπαιδευσίαν βούλεσθαι γυμνοῦν. "φάσκοντες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν·" καὶ ἐπὶ τῇ τοῦ νόμου γνώσει κατωφρυωμένοι, ἄνω τε καὶ κάτω τὰς διὰ Μωυσέως προτείνοντες ἐντολὰς, καὶ πρὸς τοὺς τῶν ἁγίων προφητῶν ἀπηκριβῶσθαι λόγους διισχυριζόμενοι, δι' ὧν ἐρωτῶσιν ἀπαιδεύτως, διὰ τούτων πολὺ λίαν ὄντες ἀμαθεῖς ἐξελέγχονται· ὁ μὲν γὰρ ἱεροφάντης Μωυσῆς ὡς ἐν προφήτου τάξει τὸν Κύριον ἀναδειχθήσεσθαι λέγων, προεκήρυττε τοῖς υἱοῖς Ἰσραὴλ, ὅτι "Προφήτην ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμὲ "ἀναστήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε· "κατὰ πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου ἐν "Χωρήβ." ὁ δὲ μακάριος Ἡσαίας, τὸν πρόδρομον ἡμῖν καὶ προάγγελον εἰσφέρων "Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, φησίν "Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, εὐθείας ποιεῖτε τὰς "τρίβους αὐτοῦ·" καὶ τρίτος ἐπὶ τούτοις ὁ προφήτης Ἰωὴλ περὶ τοῦ Θεσβίτου φησίν· Ἠλίας δὲ οὗτος· "Καὶ ἰδοὺ ἐγὼ "ἀποστέλλω ὑμῖν Ἡλίαν τὸν Θεσβίτην, ὃς ἀποκαταστήσει "καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ ἀπειθεῖς ἐν φρονήσει δι "καίων, ἵνα μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην." Τριῶν ὄντων τοίνυν, οἵπερ ἥξειν ἠγγέλλοντο, Χριστοῦ 1.162 δηλονότι καὶ Ἰωάννου καὶ Ἡλίου, πλείους ἀφίξεσθαι προσδοκῶσιν Ἰουδαῖοι, ἵνα καὶ δικαίως ἀκούσωσι "Πλανᾶσθε μὴ "εἰδότες τὰς γραφάς." διερωτήσαντες γὰρ τὸν μακάριον βαπτιστὴν, καὶ μαθόντες ὅτι περ αὐτὸς οὐκ εἴη ὁ Χριστὸς, ἀποκρίνονται Τί οὖν; Ἠλίας εἶ; καὶ λέγοντος Οὐκ εἰμὶ, δέον αὐτοὺς περὶ τοῦ προδρόμου λοιπὸν ἀναπυνθάνεσθαι· τοῦτο γὰρ ἦν ἔτι τὸ λεῖπον· ἀπαιδεύτως ἐπ' αὐτὸν ἀνατρέχουσι τὸν Χριστὸν, τὸν ὡς προφήτην διὰ τοῦ νόμου καταδηλούμενον. ὅρα γὰρ τί φασιν οὐκ εἰδότες τὰ διὰ Μωυσέως Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ· οὐ γὰρ ἦν αὐτὸς ὁ Χριστὸς, καθὰ καὶ φθάσας ἤδη διισχυρίσατο. Τί σὺ λέγεις περὶ σεαυτοῦ; ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. Ὡς οὐδὲν εἰδότας ἐλέγχει γοργῶς, καὶ προφητικῇ πισ τοῦται μαρτυρίᾳ τὴν ἐγχειρισθεῖσαν ὑπόθεσιν, ἤτοι διάνοιαν αὐτῷ· ἥκω γὰρ, φησὶν, οὐδὲν ἕτερον ἐρῶν, ἢ ὅτι λοιπὸν ἐπὶ θύραις ὁ προσδοκώμενος, μᾶλλον δὲ εἴσω θυρῶν ὁ Δεσπότης. ἑτοιμάσθητε πρὸς ἥνπερ ἂν ἐπιτάττοι βαδίζειν ὁδὸν, ἐβαδί σατε τὴν διὰ Μωυσέως, ἀναλάβετε τὴν διὰ Χριστοῦ· ταύτην ὑμῖν ὁ τῶν ἁγίων προφητῶν προεκήρυττε χορός. Παράθεσις ῥήτων περὶ ὁδοῦ τῆς κατὰ Χριστόν. {Ἡσαΐας.} "Δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου "καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν "ὁδὸν αὐτοῦ, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πορευσόμεθα ἐν αὐτῇ." {Ὁ αὐτός.} "Ἔσται ἐκεῖ ὅλως καθαρὰ ὁδὸς, καὶ ὁδὸς ἁγία 1.163 "κληθήσεται, καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν "πονηρῶν οὐδὲν οὐ μὴ ἀναβῇ ἐκεῖ, οἱ δὲ διεσπαρμένοι "πορεύσονται ἐν αὐτῇ." {Ὁ αὐτός.} "Ἀρχὴν Σιὼν δώσω, καὶ Ἱερουσαλὴμ παρακα"λέσω εἰς ὁδόν." {Ὁ αὐτός.} Καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους οὓς οὐκ ᾔδεσαν πατῆσαι ποιήσω αὐτούς. {Ἱερεμίας.} "Στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ ἐρωτήσατε τρίβους "Κυρίου αἰωνίους, καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ "βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς "ὑμῶν." Τίς οὖν ἐστιν ἡ ὁδὸς ἡ ἀγαθὴ καὶ ἁγνίζουσα τοὺς βαδί ζοντας ἐν αὐτῇ, αὐτὸς λεγέτω Χριστός "Ἐγώ εἰμι ἡ ὁδός." Καὶ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. Οἱ παρὰ τῶν Ἰουδαίων ἀποστελλόμενοι· Λευῖται δὲ ἦσαν, καὶ τῶν ἐν ἱερωσύνῃ τινές· ἀπαιδεύτως ἐρωτῶντες ἠλέγχοντο· ἕτερον γὰρ εἶναι τὸν Χριστὸν, ἕτερον δὲ τὸν διὰ τοῦ νόμου προφήτην ὑποτοπάσαντες ἔφασκον μετὰ τὸ φάναι τὸν ἅγιον βαπτιστήν "Ἐγὼ οὐκ εἰμὶ ὁ Χριστὸς," "Ὁ προφήτης εἶ σύ;" ἀλλ' ἰδοὺ καὶ ἡ τῶν Φαρισαίων πληθὺς δοκησισοφοῦσα μᾶλλον ἤπερ ὄντως ἀκριβῆ τῶν θείων λογίων τὴν γνῶσιν ἔχουσα φωρᾶται· τί γὰρ ὅλως βαπτίζεις, φησὶν, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς οὐδὲ Ἡλίας οὐδὲ ὁ προφήτης; φαίνονται δὲ πάλιν, οὐ μικρὰν ὠδίνοντες κατὰ τοῦ βαπτιστοῦ τὴν ἀπόνοιαν. οὐ γὰρ ἀξιοῦσι, κατὰ τὸ εἰκὸς, ἐν τῷ καταλόγῳ τῶν προσδοκωμένων κατατάττειν αὐτὸν, τὴν δὲ ἑαυτοῖς συντεθραμμένην νοσοῦντες ἀλαζονείαν, οὐδὲν εἶναι νομίζουσι, κἂν διὰ τῆς τοῦ προφήτου 1.164 προαγγέλληται φωνῆς. ἀκούσαντες γὰρ ὅτι "Ἐγώ εἰμι "φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου," τὸν λόγον οὐ παραδεξάμενοι, μονονουχὶ καὶ ἀνέδην ἐπιτιμῶσι λέγοντες Οὐδὲν, ὦ οὗτος, ἐν σοὶ τὸ ἀξιόπιστον, ἀλλ' οὐδὲ θαυμαστὸν ἢ μέγα· τί καὶ ὅλως βαπτίζεις; τί καὶ πράγματι τηλικούτῳ τὸ μηδὲν ὅλως ἐπιχειρεῖς; ἔθος δὲ τοῦτο ποιεῖν τοῖς ἀνοσίοις Φαρισαίοις, τὸν μὲν ἤδη παρόντα κατασμι κρύνειν, προσποιεῖσθαι δὲ μᾶλλον τιμᾶν τὸν ἀφιξόμενον· ἵνα γὰρ ἀεὶ τὰς παρὰ τῶν Ἰουδαίων πραγματεύωνται τιμὰς, καὶ χρημάτων ἑαυτοῖς προξενῶσι πορισμοὺς, οὐδένα τῶν ἄλλων ὁρᾶσθαι βούλονται διαπρεπῆ. οὕτω γὰρ καὶ αὐτὸν ἀπέκτειναν τὸν κληρονόμον λέγοντες "Δεῦτε ἀποκτείνωμεν "αὐτὸν καὶ σχῶμεν τὴν κληρονομίαν αὐτοῦ." Ἐγὼ βαπτίζω ἐν ὕδατι. Ἀνεξικάκως ὁ μακάριος βαπτιστὴς ἐπιτιμώντων ἀνέχεται· εὐαφόρμως δὲ λίαν, τὴν ἐν τοῖς καθ' ἑαυτὸν ἐξήγησιν ὑπό θεσιν ἐποιεῖτο τοῦ σωτηρίου κηρύγματος· διδάσκει δὲ ἤδη καὶ οὐχ ἑκόντας τοὺς παρὰ τῶν Φαρισαίων ἀποστελλο μένους, ὅτι περ εἴσω θυρῶν ὁ Χριστός. ἐγὼ μὲν γὰρ, φησὶ, παιδαγωγικὸν εἰσφέρω τὸ βάπτισμα, τοὺς ἐξ ἁμαρτίας μεμο λυσμένους ἀπολούων ὕδατι πρὸς μετανοίας ἀρχὴν, καὶ ἐκ τῶν ὑποβεβηκότων ἀνακομίζεσθαι διδάσκων ἐπὶ τὰ τελειό τερα· τοῦτο γὰρ ἦν ἔργῳ πληροῦν, ὃ κηρύττειν ἀπεστάλην Ἑτοιμάσατε δηλονότι τὴν ὁδὸν Κυρίου. ὁ δὲ τῶν μειζόνων τε καὶ ἀξιολογωτάτων δοτὴρ, καὶ ἁπάσης τελειότητος τῆς ἐπ' ἀγαθοῖς χορηγὸς, μέσος ὑμῶν στήκει, ἀγνοούμενος ἔτι διὰ τὴν ἐκ τῆς σαρκὸς περιβολὴν, τοσοῦτον ἐμὲ τὸν βαπτιστὴν ὑπερτρέχων, ὡς οἴεσθαι δεῖν ἐμαυτὸν οὐδὲ ἐν οἰκέτου τάξει 1.165 μετρεῖσθαι παρ' ἐκείνῳ· τοῦτο γὰρ οἶμαι δηλοῦν τό Οὐκ εἰμὶ ἱκανὸς λῦσαι αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. πρᾶγμα δὲ λέγων ἀληθὲς, ἑτερόν τι χρήσιμον ἐργάζεται· ταπεινοφρονεῖν δὲ ἀναπείθει τὸν ἀλαζόνα Φαρισαῖον, ἑαυτὸν δὲ τύπον εἰσφέρει τοῦ πράγματος. Ταῦτα δέ φησιν ἐν Βηθαβαρὰ γεγενῆσθαι πέραν τοῦ Ἰορ δάνου. σημεῖον ὥσπερ καὶ τοῦτο τιθεὶς μνήμης ἀκριβοῦς καὶ λεπτῆς. πεφύκαμεν γάρ πως καὶ εἰθίσμεθα πάντες, ὡς ἔπος εἰπεῖν, ἐν τοῖς περὶ τῶν ἀναγκαίων διηγήμασι μεμνῆσθαι καὶ τόπων, ἐν οἷς αὐτὰ γενέσθαι συμβέβηκεν.

{ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ, ΒΙΒΛΙΟΝ Α΄.}


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

1.167 ΚΕΦΑΛΑΙΑ ΕΝ ΤΩ ΔΕΥΤΕΡΩ ΒΙΒΛΙΩ. α. Ὅτι οὐ κατὰ μετοχὴν, οὐδὲ ὡς ἐπακτὸν ἐν τῷ Υἱῷ τὸ Ἅγιον Πνεῦμά ἐστιν, ἀλλ' οὐσιωδῶς καὶ κατὰ φύσιν ἐνυπάρχει αὐτῷ, προκειμένου ῥητοῦ Καὶ ἐμαρτύρησεν Ἰωάννης Ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ ἔμεινεν ἐπ' αὐτόν. β. Ὅτι οὐκ ἐν τοῖς γενητοῖς ἐστιν ὁ Υἱὸς, ἀλλ' ἐπάνω πάντων, ὡς Θεὸς καὶ ἐκ Θεοῦ, προκειμένου ῥητοῦ Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν. γ. Ὅτι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, προκειμένου ῥητοῦ Ὁ λαμβάνων αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθὴς ἐστίν. δ. Ὅτι οὐ μεταληπτῶς ἐν Υἱῷ τὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἴδια, ἀλλ' οὐσιωδῶς καὶ κατὰ φύσιν, προκειμένου ῥητοῦ Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. ε. Ὅτι οὐκ ἐν τοῖς προσκυνοῦσίν ἐστιν ὁ Υἱὸς, ᾗ Λόγος ἐστὶ καὶ Θεὸς, προσκυνεῖται δὲ μᾶλλον μετὰ Πατρὸς, προκειμένου ῥητοῦ Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν. . Ὅτι οὐκ ἐλάττων ἢ κατὰ δύναμιν ἢ κατ' ἐνέργειαν τὴν ἐπί τισιν ὁ Υἱὸς τοῦ Πατρὸς, ἀλλ' ἰσοσθενής τε καὶ ὁμοούσιος, ὡς ἐξ αὐτοῦ καὶ κατὰ φύσιν· προκειμένου ῥητοῦ Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. 1.168 ζ. Ὅτι τῶν θεοπρεπῶν ἀξιωμάτων ἤτοι πλεονεκτημάτων, οὐδὲν ὡς ἐκ μετοχῆς ἢ ἐπακτὸν ἐν τῷ Υἱῷ, προκειμένου ῥητοῦ Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ. η. Ὅτι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, καὶ εἰκὼν τοῦ γεννήσαντος ἀκριβὴς, ἴσην ἔχει τὴν πρὸς αὐτὸν καὶ τιμὴν καὶ δόξαν, προκειμένου ῥητοῦ Ἵνα πάντες τιμῶσι τὸν Υἱὸν καθὼς τιμῶσι τὸν Πατέρα. θ. Ὅτι κατ' οὐδὲν ἐλάττων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, ἀλλ' ἰσοσθενὴς κατ' ἐνέργειαν τὴν ἐπὶ πᾶσίν ἐστιν ὡς Θεὸς ἐκ Θεοῦ, προκειμένου ῥητοῦ Οὐ δύναμαι ἐγὼ ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν· καθὼς ἀκούω κρίνω.

1.169 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ Β΄.

Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν. ἘΝ ὀλίγῳ κομιδῇ τῷ καιρῷ προφήτης ὁμοῦ καὶ ἀπό στολος ὁ βαπτιστὴς ἀναδείκνυται· ὃν γὰρ ὡς ἥξοντα προε κήρυττε, τοῦτον ἤδη παρόντα δείκνυσι. διὰ τοῦτο καὶ τὸ προφητῶν ἀνεπήδησε μέτρον, ὡς αὐτός που φησὶν ὁ Σωτὴρ πρὸς Ἰουδαίους διαλεγόμενος περὶ αὐτοῦ "Τί ἐξήλθατε εἰς "τὴν ἔρημον ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισ "σότερον προφήτου." οἱ μὲν γὰρ κατὰ καιροὺς ὅτι ἀναδει χθήσεται Χριστὸς προεφήτευον, ὁ δὲ ὡς ἥξει βοῶν καὶ παρόντα δέδειχε. τῇ γὰρ ἐπαύριόν φησι βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν. Καὶ λέγει Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὐκέτι τό Ἑτοιμάσατε τὴν ὁδὸν καιρὸν ἔχει τὸν πρέ 1.170 ποντα, λοιπὸν ὁρωμένου καὶ ὄντος ἐν ὀφθαλμοῖς τοῦ δι' ὃν ἡ ἑτοιμασία γίνεται· ἑτέρων ἐδεῖτο λόγων ἡ τοῦ πράγματος φύσις. ἐχρῆν ἐξηγεῖσθαι τίς ὁ παρὼν, καὶ ἐπὶ τίσιν ἔχει τὴν κάθοδον ὁ πρὸς ἡμᾶς ἐξ οὐρανῶν ἀφιγμένος. ἴδε τοίνυν φησὶν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὃν ὁ προφήτης ἡμῖν Ἡσαΐας κατεσήμαινε λέγων "Ὡς πρόβατον "ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος "αὐτὸν ἄφωνος," ὃν καὶ πάλαι, φησὶν, ὁ διὰ Μωυσέως ἀνετύπου νόμος· ἀλλὰ τότε μὲν ἔσωζε μερικῶς, οὐκ εἰς ἅπαντας ἐκτείνων τὸν ἔλεον· τύπος γὰρ ἦν καὶ σκιά· νυνὶ δὲ ὁ πάλαι δι' αἰνιγμάτων ζωγραφούμενος, ὁ ἀληθινὸς ἀμνὸς, τὸ ἄμωμον ἱερεῖον, ὑπὲρ πάντων ἄγεται πρὸς σφαγὴν, ἵνα τοῦ κόσμου τὴν ἁμαρτίαν ἐλάσῃ, ἵνα τὸν τῆς οἰκουμένης ὀλοθρευτὴν ἀνατρέψῃ, ἵνα καταργήσῃ τὸν θάνατον ὑπὲρ πάντων ἀποθανὼν, ἵνα λύσῃ τὴν ἐφ' ἡμῖν κατάραν, ἵνα παύσηται λοιπὸν τό "Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ," ἵνα γένηται δεύτερος Ἀδὰμ, οὐκ ἀπὸ γῆς, ἀλλ' ἐξ οὐρανοῦ, καὶ ἀρχὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γένηται τῇ ἀνθρώπου φύσει παντὸς ἀγαθοῦ, λύσις ἐπεισάκτου φθορᾶς, πρόξενος αἰωνίου ζωῆς, ἀναμορφώσεως τῆς εἰς Θεὸν ὑπόθεσις, εὐσεβείας καὶ δικαιοσύνης ἀρχὴ, ὁδὸς εἰς βασιλείαν οὐρανῶν· "εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν" ἀμνὸς, ὅλην ἀνασώζων τὴν ἐπὶ γῆς ἀγέλην τῷ Θεῷ καὶ Πατρὶ, εἷς ὑπὲρ πάντων, ἵνα πάντας ὑποτάξῃ Θεῷ, εἷς ὑπὲρ πάντων, ἵνα πάντας κερδάνῃ· ἵνα λοιπὸν οἱ πάντες "μηκέτι "ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ" ἀναστάντι. ἐπειδὴ γὰρ ἦμεν ἐν πολλαῖς ἁμαρτίαις, διά τε τοῦτο χρεωστούμενοι θανάτῳ καὶ φθορᾷ, δέδωκεν ἀντίλυτρον ὑπὲρ ἡμῶν τὸν Υἱὸν ὁ Πατὴρ ἕνα ὑπὲρ πάντων, ἐπεὶ καὶ πάντα ἐν αὐτῷ, καὶ πάντων κρείττων ἐστίν· εἷς ἀπέθανεν ὑπὲρ πάντων, ἵνα οἱ πάντες ζήσωμεν ἐν αὐτῷ· καταπιὼν 1.171 γὰρ ὁ θάνατος τὸν ὑπὲρ πάντων Ἀμνὸν, πάντας ἐξήμεσεν ἐν αὐτῷ τε καὶ σὺν αὐτῷ. οἱ γὰρ πάντες ἦμεν ἐν τῷ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι Χριστῷ· καταρ γουμένης δὲ τῆς ἁμαρτίας, πῶς ἐνεδέχετο μὴ οὐχὶ πάντως καὶ τὸν ἐξ αὐτῆς καὶ δι' αὐτὴν καταργηθῆναι θάνατον; ἀποθανούσης δὲ τῆς ῥίζης, πῶς ἂν ἔτι λοιπὸν ὁ ἐξ αὐτῆς ἐσώθη βλαστός; διὰ ποίαν αἰτίαν ἐμέλλομεν ἀποθνήσκειν ἔτι τῆς ἁμαρτίας ἀναιρουμένης; οὐκοῦν ἑορτάζοντες λέγομεν ἐπὶ τῇ σφαγῇ τοῦ Ἀμνοῦ τοῦ Θεοῦ "Ποῦ ἡ δίκη σου θάνατε; "ποῦ τὸ κέντρον σου ᾅδη;" "Πᾶσα γὰρ ἀνομία," καθάπερ ἔφη που ψάλλων ὁ μελῳδὸς, "ἐμφράξει τὸ στόμα αὐτῆς," οὐκέτι κατηγορεῖν τῶν ἐξ ἀσθενείας ἡμαρτηκότων ἰσχύουσα. "Θεὸς γὰρ ὁ δικαιῶν, τίς ὁ κατακρίνων;" "Χριστὸς ἡμᾶς "ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ "ἡμῶν κατάρα," ἵνα ἡμεῖς τὴν ἐξ ἀνομίας ἀρὰν δια φύγωμεν. Οὗτός ἐστι περὶ οὗ εἶπεν. Εἰς ὑπόμνησιν ἄγει τῶν ἐξ αὐτοῦ λόγων τοὺς ἀκροω μένους, καὶ τὸ μεῖζον ἐν δόξῃ παραχωρεῖ τῷ Χριστῷ, οὐκ ἀγάπης, ἀληθείας δὲ μᾶλλον ἢ καὶ ἀνάγκης ἔργον ἀπο πληρῶν· ὑποκείσεται γὰρ, κἂν μὴ βούληται, τῷ ποιητῇ τὸ ποίημα, τῷ Δεσπότῃ τὸ δοῦλον, τῷ χορηγῷ τὸ χορηγού μενον. κατὰ τίνα δὲ τρόπον ὀπίσω μὲν ἦν Ἰωάννου Χριστὸς, ἔμπροσθεν δὲ γέγονεν, ὅτι πρῶτος ἦν, ὡς αὐτὸς ὁμολογεῖ, διὰ τῶν προλαβόντων ἀρκούντως εἰρήκαμεν. 1.172 Κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων. Ὁ ἐν τῇ κοιλίᾳ τῆς νηδύος ἀνασκιρτήσας τῆς ἰδίας μητρὸς ἐπὶ τῇ φωνῇ τῆς ἁγίας παρθένου κυοφορούσης ἔτι τὸν Κύριον, ὁ πρὸ τῆς ὠδῖνος προφήτης, ὁ ἐν ἐμβρύῳ μαθητής Οὐκ ᾔδειν αὐτὸν περὶ τοῦ Σωτῆρός φησιν, ἀληθεύει δὲ λέγων· οὐ γὰρ ψεύδεται· πάντα μὲν γὰρ οἶδεν ἐξ ἑαυτοῦ καὶ ἀδιδάκτως Θεὸς, διδακτῶς δὲ ἡ κτίσις· ἐνοικοῦν δὲ τοῖς ἁγίοις τὸ Πνεῦμα, τὸ ἐνδέον ἀναπληροῖ, καὶ τὸ ἴδιον ἀγαθὸν τῇ ἀνθρώπου φύσει χαρίζεται, τὸ εἰδέναι φημὶ τὰ ἐσόμενα, καὶ τῶν κεκρυμμένων μυστηρίων τὴν γνῶσιν. οὐκοῦν μὴ εἰδέναι λέγων τὸν Κύριον ὁ μακάριος βαπτιστὴς, διαψεύ σεται μὲν οὐδαμῶς, κατά γε τὸ τῆς ἀνθρωπότητος ἴδιον καὶ τὸ πρέπον τῇ κτίσει μέτρον, ἀναθήσει δὲ μόνῳ τὸ πάντα εἰδέναι τῷ Θεῷ, τῷ διὰ Πνεύματος Ἁγίου πρὸς τὴν τῶν κεκρυμμένων κατάληψιν φωταγωγοῦντι τὸν ἄνθρωπον· χρη σίμως δὲ λίαν οὐκ εἰδέναι μὲν ἐξ ἑαυτοῦ φησι τὸν Χριστὸν, ἐληλυθέναι γεμὴν διὰ τοῦτο κυρίως, ἵνα φανερὸν αὐτὸν κατα στήσῃ τῷ Ἰσραὴλ, ἵνα μὴ αὐτόμολος ἐπὶ τὴν μαρτυρίαν φαίνηται δραμὼν, μηδὲ ἰδίων θελημάτων ὑπηρέτης νοῆται παρά τισιν, ἀλλὰ θείας μὲν οἰκονομίας ἐργάτης, βουλῆς δὲ τῆς ἄνωθεν ὑπουργὸς, ἀποκαλυπτούσης αὐτῷ τὸν Ἀμνὸν τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου. ἵνα τοίνυν εὐπετέστερον ἐπὶ τῷ πιστεύειν ἐπὶ τῷ Σωτῆρι Χριστῷ βαδίζοιεν Ἰουδαῖοι, καὶ ἀξιολογωτάτην ἔχωσι περὶ αὐτοῦ τὴν διάληψιν, ἐγνω κέναι φησὶν αὐτὸν οὐκ εἰδὼς, ἵνα λοιπὸν ἐννοῶσι τὸν ἀπο καλύψαντα Θεὸν, καὶ τὸ ἄνωθεν ἀποναρκήσαντες κρῖμα, 1.173 παραδέξωνται τὸν λόγον τὸν περὶ αὐτοῦ, καὶ τὸν οἰκέτην ὁρῶντες ὄντα τοσοῦτον, ἀναλόγως τὸ τοῦ κρατοῦντος ἀναμε τρῶσιν ἀξίωμα. τὸ γὰρ ἐληλυθέναι λέγειν, ἵνα φανερὸν αὐτὸν τῷ Ἰσραὴλ καταστήσῃ, πῶς οὐ πάντως τὴν οἰκέτῃ πρέπουσαν θεραπείαν σημαίνει;



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

**1.174 ΚΕΦΑΛΗ Α.** Ὅτι οὐ κατὰ μετοχὴν οὐδὲ ὡς ἐπακτὸν ἐν τῷ Υἱῷ τὸ Ἅγιον
Πνεῦμά ἐστιν, ἀλλ' οὐσιωδῶς καὶ κατὰ φύσιν ἐνυπάρχει αὐτῷ. Καὶ ἐμαρτύρησεν
Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ Πνεῦμα κατα βαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ,
καὶ ἔμεινεν ἐπ' αὐτὸν, κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι,
ἐκεινός μοι εἶπεν Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός
ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ. ΟΥΚ εἰδέναι φήσας αὐτὸν ἐν τοῖς ἀνωτέρω,
χρησίμως ἐπεξεργάζεται, καὶ τὸ θεῖον ἀπογυμνοῖ μυστήριον, καὶ τὸν αὐτῷ
μηνύσαντα δεικνύων Πατέρα Θεὸν, καὶ τίς ὁ τῆς δείξεως γέγονε τρόπος, ἀναφανδὸν
ἐξηγούμενος. ὠφελεῖ δὲ διὰ πάντων τῶν ἀκροωμένων τὸν νοῦν, καὶ δι' ὧν ἐκ Θεοῦ
πεπαιδεῦσθαί φησι τὸ περὶ Χριστοῦ μυστήριον τοῖς ἀν θρώποις, ταῖς ἄνωθεν ψήφοις
πολεμοῦντας ἀποφαίνει τοὺς ἀνθεστηκότας αὐτῷ, καὶ ῥιψοκινδύνως τῇ μεγάλῃ τοῦ
Πατρὸς ἀντιπράττοντας γνώμῃ. τοῦτο δὲ ἦν ἀναπείθοντος εὐφυῶς τῆς μὲν εἰκαίας
αὐτῶν ἀποσχέσθαι βουλῆς, παραδέξασθαι δὲ τὸν εὐδοκίᾳ Πατρὸς ἐπὶ σωτηρίᾳ τῶν
πάντων ἐπιδημήσαντα. μαρτυρεῖ τοιγαροῦν, ὅτι καὶ τὸ πνεῦμα θεάσοιτο καταβαῖνον
1.175 ἐξ οὐρανοῦ, περιστερᾶς ἐν σχήματι, καὶ ὅτι μεμένηκεν ἐπ' αὐτόν. εἶτα πρὸς
τούτῳ, καὶ αὐτήκοος γενέσθαι φησὶ τοῦ πεπομ φότος αὐτὸν ἐπὶ τὸ βαπτίζειν ἐν
ὕδατι, ὡς ἐκεῖνός ἐστιν ὁ ἐν Ἁγίῳ βαπτίζων Πνεύματι, ᾧπερ ἂν ἐπιφοιτῆσαν
ἐναπομείνῃ τὸ Πνεῦμα. ἀξιοπιστότατος τοίνυν ὁ μάρτυς, ὑπερφυὲς τὸ σημεῖον,
ἐπάνω πάντων ὁ δείξας Πατήρ. Καὶ ταῦτα μὲν τῇδε. ἀνασκιρτήσει δὲ ἴσως ὁ φιλεγ
κλήμων αἱρετικὸς, καὶ πλατὺ γελάσας ἐρεῖ Τί πάλιν ἡμῖν, ὦ οὗτοι, καὶ πρὸς τοῦτό
φατε, ἢ ποῖον ἐξυφανεῖτε λόγον κατασοφιζόμενοι τὸ γεγραμμένον; ἰδοὺ τὸ Πνεῦμα
κατα βαίνειν φησὶν ἐπὶ τὸν Υἱόν· ἰδοὺ καταχρίεται παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ὅπερ
δὲ οὐκ ἔχει λαμβάνει δηλαδὴ, συνεπιμαρτυροῦντος τοῦ μελῳδοῦ καὶ λέγοντος, ὡς
πρὸς αὐτόν "Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον "ἀγαλλιάσεως παρὰ τοὺς
μετόχους σου." πῶς ἂν οὖν εἴη λοιπὸν ἐν ὁμοουσιότητι τοῦ τελείου Πατρὸς ὁ μὴ
τοιοῦτος υἱὸς, καὶ διὰ τοῦτο χριόμενος; πρὸς δὴ τοῦτο φάναι δεῖν ὑπολαμβάνω τοῖς
τὰ σεμνὰ τῆς Ἐκκλησίας ἀνατρέπουσι δόγματα, καὶ τὴν τῶν γεγραμμένων ὀρθότητα
διαστρέφουσιν "Ἐκνήψατε οἱ μεθύοντες ἐξ οἴνου αὐτῶν," ἵνα δύνησθε τὸ λαμπρὸν
τῆς ἀληθείας περιαθρήσαντες κάλλος, σὺν ἡμῖν ἀναβοῆσαι πρὸς τὸν Υἱόν "Ἀληθῶς
Θεοῦ Υἱὸς εἶ." εἰ γὰρ ὅλως πιστεύεις Θεὸν εἶναι κατὰ φύσιν αὐτὸν, πῶς οὐκ ἂν ἔχοι
τὸ τέλειον; ὥρα γὰρ ὑμᾶς καὶ εἰς αὐτὸν ἤδη δυσσεβεῖν τὸν Πατέρα· πόθεν γὰρ αὐτὸς,
ὡς φῂς, ἐξ ἀνάγκης ἕξει τὴν τελειότητα; πῶς δὲ οὐχὶ πρὸς τὴν τοῦ γεννήματος
ὕφεσιν τὴν ὡς καθ' ὑμᾶς ἀτελῆ κατοισθήσεται, παραδεξαμένης ἅπαξ ἐν Υἱῷ τῆς
θείας οὐσίας τὸ δύνασθαι μὴ ἔχειν τὸ τέλειον, κατά γε τὸν παρ' ὑμῖν ἀμαθῆ καὶ
ἀπαίδευτον λόγον; οὐ γὰρ δήπου τὴν μεγάλην ἐκείνην καὶ ἀκήρατον φύσιν εἰς δια
1.176 φόρους καταμεριοῦμεν λόγους, ὡς εἶναι μὲν ἐν τῷδε τυχὸν ἀτελῆ, τελείαν δὲ
αὖ πάλιν ἐν ἐκείνῳ· ἐπεὶ καὶ ὁ τῆς ἀνθρω πότητος ὅρος εἷς κατὰ πάντων ἐστὶ καὶ
ἴσος ἐν πᾶσιν ἡμῖν· ἔλαττον δὲ τίς ἄνθρωπος, καθὸ πέφυκεν ἄνθρωπος; ἀλλ' οὐδὲ
πλέον ἑτέρου καταληφθήσεται, ἀγγέλου δὲ οἶμαι διοίσει κατ' οὐδὲν ἕτερος ἄγγελος,
κατά γε τὸ εἶναι τοῦθ' ὅπερ εἰσὶν ἄγγελοι, δηλαδὴ διὰ τῆς πρὸς ἀλλήλους ὁμοειδίας,
εἰς μίαν ἅπαντες ἀναδεσμούμενοι φύσιν. πῶς ἂν οὖν ἡ θεία καὶ ἁπάντων
ὑπερανίσχουσα φύσις ἐν ἐλάττοσι τῶν γενητῶν ἐν τοῖς καθ' ἑαυτὴν ἀγαθοῖς
ὀφθήσεται, ὑπομενεῖ δὲ πάθος, ὃ παθεῖν οὐκ οἶδεν ἡ κτίσις; πῶς δὲ ὅλως ἔσται καὶ
ἁπλῆ καὶ ἀσύνθετος, εἴπερ ὂν ἐν αὐτῇ φανεῖται τὸ τέλειον καὶ τὸ ἀτελές;
συγκείσεται γὰρ δι' ἀμφοῖν, εἴπερ οὐχ ὅμοιον τῷ τελείῳ τὸ ἀτελές. εἰ μὲν γὰρ ὅμοιόν
ἐστι καὶ τὸ διαλλάττον οὐδὲν ἐν αὐτοῖς, πᾶν ὅπερ ἂν εἴη τέλειον ἀδιαφόρως ἔσται
καὶ ἀτελές· καὶ εἴ τι πάλιν ἀτελὲς, τοῦτο καὶ τέλειον, καὶ οὐδὲν ἐν Υἱῷ τὸ
κατηγόρημα, κἂν ταῖς ὑμετέραις διανοίαις τὸ τέλειον ἔχων οὐ φαίνηται· ἀλλ' οὐδὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὸς ὁ Πατὴρ ὑπερ αλεῖται τὸν Υἱὸν ἐπὶ τελειότητι μαρτυρούμενος, καὶ λέλυται πάλιν ἡμῖν τὸ ζητούμενον· εἰ δὲ πολὺς ἀποτειχίζει λόγος τοῦ τελείου τὸ ἀτελὲς, δέχεται δὲ καὶ ἡ θεία φύσις κατὰ ταὐτὸν ἀμφότερα, σύνθετος ἄρα καὶ οὐχ ἁπλῆ. Ἀλλ' ἐρεῖ τις τυχὸν, ὡς ἀσυμφυῆ τέ ἐστι καὶ ἀσυνύ παρκτα κατὰ ταὐτὸν ἐν ἑνὶ τῷ ὑποκειμένῳ τὰ ἐναντία, ὡς ἐν σώματι τυχὸν ὁμοῦ χρῶμα λευκὸν καὶ μέλαν. καλῶς γε, ὦ φίλος, καὶ μάλα γοργῶς τοῖς ἡμετέροις ἐπηγωνίσω λόγοις. εἰ γὰρ μία τις ἐστὶν ἡ θεία φύσις, καὶ παρ' αὐτὴν οὐχ ἑτέρα, πῶς ἂν εἰπέ μοι τῶν ἐναντίων γένοιτο δεκτική; πῶς δὲ καθ' ἕν τι τὸ ὑποκείμενον τὰ ἀλλήλοις ἀνόμοια συμβήσεται; 1.177 Θεοῦ δὲ ὄντος κατὰ φύσιν τοῦ Πατρὸς, Θεός ἐστι κατὰ φύσιν καὶ ὁ Υἱός. οὐδὲν ἄρα διοίσει, κατά γε τὸ εἶναι τέλειος, ὡς πρὸς τὸν Πατέρα, τῆς θείας αὐτοῦ καὶ τελειο τάτης οὐσίας ἐκπεφυκώς· ἢ γὰρ οὐκ ἀνάγκη τέλειον εἶναι πάντως τὸν ἐκ τελείου γεννήτορος, εἴπερ ἐστὶν αὐτοῦ καὶ ἀπαράλλακτος εἰκὼν "καὶ χαρακτὴρ τῆς ὑποστάσεως," καθὰ γέγραπται; ἀλλ' οἶμαι πᾶς τις ἡμῖν συνερεῖ καὶ συνθήσεται. ἢ λεγέτω πάλιν εἰς μέσον ἐλθὼν, κατὰ τίνα τρόπον τοῦ τελείου Πατρὸς ἀπαράλλακτος ἔσται χαρακτὴρ ὁ Υἱὸς, οὐκ ἔχων ἐν ἰδίᾳ φύσει τὸ εἶναι τέλειος, κατὰ τὴν τινῶν δυσβου λίαν. ἐπειδὴ δέ ἐστι καὶ χαρακτὴρ καὶ εἰκὼν, τέλειος ἄρα καὶ αὐτὸς, ὡς ἐκεῖνος οὗ καὶ ἔστιν εἰκών. ἀλλ' εἶδε, φησὶν, ὁ Ἰωάννης ἐξ οὐρανοῦ τὸ Πνεῦμα καταβαῖνον ἐπὶ τὸν Υἱὸν, καὶ ἐπακτὸν ἔχει τὸν ἁγιασμὸν, δέχεται γὰρ ὡς οὐκ ἔχων δηλαδή· ὥρα δὴ οὖν ἀναφανδὸν ποίημα μὲν λέγειν αὐτὸν, ὀλίγῃ μόλις ὑπεροχῇ τιμώμενον, ἐν ἴσῃ δὲ τάξει τοῖς ἄλλοις τελειούμενόν τε καὶ ἁγιαζόμενον, καὶ ἐπίκτητον ἔχοντα τὴν τῶν ἀγαθῶν χορηγίαν. εἶτα πῶς οὐ διαψεύσεται λέγων ὁ Εὐαγγελιστής "Οτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν;" πῶς γὰρ ἔσται πλήρης ἐν ἰδίᾳ φύσει λαμβάνων αὐτὸς παρ' ἑτέρου; ἢ πῶς ἂν ὅλως νοοῖτο πατὴρ ὁ Θεὸς, εἴπερ ἐστὶ ποίημα καὶ οὐχὶ μᾶλλον Υἱὸς ὁ Μονογενής; ψευδώνυμος γὰρ, ἂν οὕτως ἔχῃ, καὶ αὐτὸς ἔσται Πατὴρ, ἀλήθεια δὲ οὐδαμῶς ὁ Υἱὸς, νόθον ἔχων ἐφ' ἑαυτῷ τὸ ἀξίωμα καὶ μέχρι γυμνῶν ῥημάτων τὴν προσηγορίαν. οἰχήσεται δὴ οὖν εἰς οὐδὲν τὸ σύμπαν ἡμῖν, οὔτε τοῦ Πατρὸς κατ' ἀλήθειαν ὄντος πατρὸς, οὔτε μὴν τοῦ Υἱοῦ τοῦτο κατὰ φύσιν ὑπάρχοντος, ὅπερ εἶναι λέγεται· εἰ δὲ ἀληθῶς πατήρ ἐστιν ὁ Θεὸς, ἔχει δὴ πάντως, οὗ καὶ ἔστι πατὴρ, Υἱὸν δηλονότι τὸν ἐξ ἑαυτοῦ. Εἶτα πῶς ἡ κατὰ φύσιν ἁγία θεότης ἁγιότητος ἔρημον τὸ 1.178 ἐξ αὐτῆς ἀποτέξεται, καὶ γυμνὸν ἡμῖν τῶν αὐτῇ προσόντων ἰδιωμάτων τὸν οἰκεῖον ἀποδώσει καρπόν; εἰ γὰρ ἔχει τὸν ἁγιασμὸν ἐπακτὸν, ὡς ἐκεῖνοι ληροῦντές φασιν, ἀνάγκη δὴ πάλιν πᾶσα συνομολογεῖν καὶ οὐχ ἑκόντας αὐτοὺς, ὡς ἦν μὲν ἅγιος οὐκ ἀεί· γέγονε δὲ ὕστερον, ὅτε καὶ Τὸ Πνεῦμα καταβέβηκεν ἐπ' αὐτὸν, ὡς ὁ Ἰωάννης φησί· πῶς οὖν ἅγιος ἦν καὶ πρὸ τῆς σαρκώσεως ὁ Υἱός; οὕτως γὰρ αὐτὸν ἐδοξολόγει τὰ Σεραφὶμ ἐπὶ τὸν τρίτον ἐφεξῆς ἀριθμὸν ἀπὸ τοῦ πρώτου, τό Ἅγιος στοιχηδὸν ἀναφέροντα. οὐκοῦν εἴπερ ἅγιος ἦν καὶ πρὸ τῆς ἐνανθρωπήσεως, μᾶλλον δὲ ὑπάρχων ἀεὶ μετὰ τοῦ Πατρὸς, πῶς ἐδεῖτο τοῦ ἁγιάζοντος, καὶ τοῦτο ἐν ὑστέροις καιροῖς, ὅτε γέγονεν ἄνθρωπος; θαυμάζω δὲ ὅπως αὐτοὺς κἀκεῖνο λανθάνει, καίτοι λίαν ὄντας φιλοζη τητάς· ἢ γὰρ οὐκ ἀνάγκη νοεῖν, δύνασθαί ποτε τὸν Υἱὸν καὶ ἀποπτύσαι τὸν ἁγιασμὸν, εἴπερ οὐκ ἔστιν οὐσιώδης ἐν αὐτῷ, συνέβη δὲ ὥσπερ ἡμῖν καὶ ἑτέρῳ τινὶ τῶν λογικῶν κτισ μάτων; τὸ δὲ ἁγιότητος ἐκπεσὸν, οὐχὶ δὴ πάντως ἔσται καὶ ὑπὸ τὰ τῆς ἁμαρτίας δεσμὰ, καὶ ὀκλάσει πρὸς τὸ χεῖρον, οὐκέτι διασῶζον τὸ φαυλότητος ἔξω γίνεσθαι ποιοῦν; οὐκοῦν οὐδὲ ἀναλλοίωτος ἡμῖν ὁ Υἱὸς εὑρεθήσεται, διαψεύσεται δὲ καὶ ὁ μελῳδὸς ἐν Πνεύματι "Σὺ δὲ ὁ αὐτὸς εἶ" βοῶν, ὡς πρὸς αὐτόν. Πρὸς δέ γε τοῖς εἰρημένοις περιαθρείσθω καὶ τοῦτο, συγγενῆ τὴν θεωρίαν εἰσφέρον· τοῦ μετίσχοντος τὸ μετεχό μενον ἕτερόν τι κατὰ τὴν φύσιν ὑπάρχειν, ἀπαστισοῦν ἀναγκάσει λόγος. εἰ γὰρ μὴ τοῦτό ἐστιν ἀληθὲς, διοίσει δὲ κατ' οὐδένα τρόπον ἐκεῖνο πρὸς τοῦτο, καὶ ἔστι ταὐτὸν, ἑαυτοῦ μέτοχον ἔσται τὸ τινὸς μετέχον, ὅπερ ἐστὶ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μόνον ἐννοεῖν ἀπίθανον. πῶς γὰρ ἄν τις ἑαυτοῦ νοοῖτο μετε 1.179 σχηκώς; εἰ δὲ κεῖται πάντως ἐν ἑτερότητι φυσικῇ τῇ πρὸς ἄλληλα τὰ εἰρημένα, καὶ διατέμνει λόγος ἀναγκαῖος αὐτὰ, ὁράτωσαν οἱ ἐκ μετοχῆς τὸ Πνεῦμα διδόντες τῷ Μονογενεῖ, πρὸς ὅσην κατολισθαίνοντες ἀσέβειαν οὐκ αἰσθάνονται. εἰ γὰρ μέτοχός ἐστι τοῦ Πνεύματος ὁ Υἱὸς, ἅγιον δὲ τῇ φύσει τὸ Πνεῦμά ἐστιν, οὐκ ἔσται κατὰ φύσιν ἅγιος αὐτὸς, ἐδείχθη δὲ τοῦτο μόλις τῇ πρὸς ἕτερον συμπλοκῇ, πρὸς τὸ ἄμεινον ἢ ἐν οἷσπερ ἦν ἀρχῇ κατὰ χάριν μεταστοιχειούμενος. ἀλλ' ὁράτω πάλιν ὁ θεομάχος, εἰς ὅσην αὐτῷ δυσσέβειαν κατα στρέφει τὰ προβλήματα. πρῶτον μὲν γὰρ ἀλλοίωσίς τις καὶ τροπὴ, καθάπερ ἤδη προεῖπον, περὶ τὸν Υἱὸν εὑρεθήσεται, ἀλλοιωθεὶς δὲ καθ' ὑμᾶς καὶ προκόψας ἐπὶ τὸ ἄμεινον, οὐχ ὅπως ἐλάττων ἐστὶ τοῦ Πατρὸς, ἀλλ' ἤδη πως καὶ ἐν μείζοσι γεγονὼς δειχθήσεται· καὶ ὅπως, ἐροῦμεν, ἀπὸ τῆς θείας λαβόντες γραφῆς. ὁ θεσπέσιος Παῦλος περὶ αὐτοῦ που φησί "Τοῦτο φρονεῖτε ἕκαστος ἐν ὑμῖν αὐτοῖς, ὃ καὶ ἐν "Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν "ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν "δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ "σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν·" ὅτε τοίνυν καὶ πρὸ μὲν τῆς ἐνανθρωπήσεως ἦν ἐν μορφῇ καὶ ἰσό τητι τοῦ Πατρὸς, κατὰ δὲ τὸν τῆς ἐνανθρωπήσεως χρόνον τὸ Πνεῦμα λαβὼν ἐξ οὐρανοῦ ἡγιάσθη κατ' ἐκείνους, κρείττων τε ἅμα καὶ μείζων ἑαυτοῦ διὰ ταύτην ἀναπέφανται τὴν αἰτίαν, ὑπεραίρει δηλονότι λοιπὸν καὶ τὸ τοῦ γεννήσαντος μέτρον. καὶ εἰ τὸ Πνεῦμα λαβὼν εἰς τὸ ὑπερεπέκεινα τοῦ Πατρὸς ἀναβέβηκεν ἀξίωμα, κρεῖττον ἄρα ἐστὶ τὸ Πνεῦμα καὶ αὐτοῦ τοῦ Πατρὸς, τὴν κατ' αὐτοῦ τῷ Υἱῷ χαριζόμενον ὑπεροχήν. τίς οὖν ἄρα καὶ πρὸς μόνην οὐκ ἀποφρίξει τὴν ἀκοήν; χαλεπὸν μὲν γὰρ ὄντως καὶ τὸ διὰ τῶν τοιούτων 1.180 ἰέναι λόγων· ἔστι γεμὴν οὐχ ἑτέρως τὰ ἐκ τῆς ἐκείνων δυστροπίας ἀποκρούσασθαι βλάβη. διὸ δὴ πάλιν ἐροῦμεν αὐτοῖς Εἰ ὅτε γέγονεν ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος, τότε καὶ ἁγιάζεται τὸ Πνεῦμα λαβών· πρὸ δὲ τῆς ἐνανθρωπήσεως ἦν ἐν μορφῇ καὶ ἐν ἰσότητι τοῦ Πατρὸς, οὔπω κατ' ἐκείνους ἡγιασμένος, ὥρα λέγειν ἀποτολμήσαντας, ἅγιον οὐκ εἶναι τὸν Θεὸν καὶ Πατέρα, εἴπερ ὅλως ὁ σύμμορφός τε καὶ ἴσος αὐτῷ κατὰ πάντα Λόγος, ἅγιος οὐκ ἦν ἐν ἀρχῇ, ἐν ὑστέροις δὲ μόλις τοῦτο γέγονε καιροῖς. καὶ πάλιν, εἰ αὐτός ἐστι κυρίως ὁ τοῦ Θεοῦ Λόγος τὸ Πνεῦμα λαμβάνων, καὶ ἁγια ζόμενος ἐν ἰδίᾳ φύσει, λεγέτωσαν ἡμῖν οἱ δι' ἐναντίας, πότερόν ποτε μείζων ἑαυτοῦ γέγονεν ἢ ἐλάττων, ἢ καὶ ἔμεινεν ἐν ταυτότητι τοῦτο παθών. εἰ μὲν γὰρ οὐδὲν ἐκ τοῦ Πνεύ ματος ἔχει τὸ πλέον, μένει δὲ οὕτω καθάπερ ἦν ὁ αὐτὸς, μὴ σκανδαλίζου μανθάνων, ὅτι καταβέβηκεν ἐπ' αὐτόν. εἰ δὲ ἠδικήθη λαβὼν, καὶ γέγονεν ἐν ἐλάττοσι, παθητὸν ἡμῖν εἰσοίσεις τὸν Λόγον, καὶ κατηγορήσεις τῆς οὐσίας τοῦ Πατρὸς ἀδικοῦντος μᾶλλον ἢ ἁγιάζοντος. εἰ δὲ ἀμείνων ἐδείχθη τὸ Πνεῦμα λαβὼν, ἦν δὲ καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς καὶ πρὶν αὐτὸν βελτιωθῆναι καθ' ὑμᾶς, οὐκ εἰς ἀκρότητα δόξης ἀναβέβηκεν ὁ Πατὴρ, ἀλλ' ἐν ἐκείνοις ἔσται τοῖς μέτροις, ἐν οἷσπερ ἦν σὺν αὐτῷ σύμμορφός τε καὶ ἴσος ὑπάρχων ὁ πρὸς τὸ μεῖζον ἀναπηδήσας Υἱός. εὔκαιρον οὖν οἶμαι λέγειν ἐπὶ τοῖς ἀπαιδεύτοις αἱρετικοῖς "Ἰδοὺ λαὸς "μωρὸς καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς καὶ οὐ βλέπουσιν, "ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσιν·" ἀπετύφλωσε γὰρ ὄντως "ὁ θεὸς τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ "μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ 1.181 "Χριστοῦ·" οἷς δὴ καὶ μᾶλλον ἐπαλγύνεσθαι δεῖν, οὐ χαλε παίνειν ἄξιον. οὐ γὰρ ἴσασιν, ἃ ἀναγινώσκουσιν. Ὅτι δὲ ἀληθὴς ὁ λόγος, ἐντεῦθεν ἡμῖν ἔσται καταφανὲς, εἰ καὶ ὅτι μάλιστα διὰ τῶν ἤδη προγεγυμνασμένων οὐκ ἄκομψον ἐποιησάμεθα τὴν ἀπόδειξιν· αὐτὸ δὲ πάλιν ἡμῖν τὸ διὰ τῆς τοῦ Παύλου λεγόμενον φωνῆς παροισθήσεται "Τοῦτο φρονεῖτε, φησὶν, ἕκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν "Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν "ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν "δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενόμενος, καὶ "σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν." ἰδοὺ δὴ λίαν ἀποθαυμάζει τὸν Υἱὸν, ὡς ἴσον μὲν ὄντα καὶ σύμ μορφον τῷ Θεῷ καὶ Πατρὶ, μὴ μὴν ἁρπάσαντα τοῦτο διὰ τὴν ἀγάπησιν τὴν εἰς ἡμᾶς, καταβεβηκότα δὲ εἰς ταπείνωσιν διὰ τῆς τοῦ δούλου μορφῆς, κεκενωμένον διὰ τὴν ἀνθρωπό τητα. ἀλλ' εἴπερ, ὦ οὗτοι, τὸ Πνεῦμα λαβὼν ἡγιάσθη μᾶλλον, ὅτε γέγονεν ἄνθρωπος, ἑαυτοῦ τε κρείττων ἐδείχθη διὰ τὸν ἁγιασμὸν, εἰς ποίαν αὐτὸν ὀψόμεθα καταβεβηκότα ταπείνωσιν; πῶς ἐταπεινώθη τὸ ὑψωθὲν, ποῦ κατέβη τὸ ἁγιασθὲν, ἢ πῶς οὐκ ἀνέβη μᾶλλον καὶ ἐπὶ τὸ κρεῖττον ὑψώθη; ποίαν ἔχει τὴν κένωσιν ἡ διὰ τοῦ Πνεύματος πλήρωσις; πῶς δ' ἂν ὅλως δι' ἡμᾶς ἐνανθρωπήσας νοοῖτο, τοσαύτην ἐν τοῖς καθ' ἑαυτὸν ὑπομείνας τὴν ὄνησιν· πῶς "ἐπτώχευσε δι' ἡμᾶς" ὁ πλούσιος, ὁ πλουτήσας δι' ἡμᾶς; πῶς δὲ ἦν πλούσιος καὶ πρὸ τῆς ἐπιδημίας, ὁ λαβὼν ἐν αὐτῇ κατ' ἐκείνους ὅπερ οὐκ εἶχε, τὸ Πνεῦμα δηλαδή; ἢ πῶς οὐχὶ μᾶλλον αὐτὸς ἀναθήσοι δικαίως ἡμῖν τὰ ἐφ' οἷς δι' ἡμᾶς ὠφέληται χαριστήρια; "Ἐξέστη, κατὰ τὸ γεγραμμένον, ὁ "οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει "Κύριος· δύο γὰρ καὶ πονηρὰ" ὄντως πεποίηκεν ὁ τῶν 1.182 ἑτεροδοξούντων λαὸς, μὴ νοήσας "μήτε ἃ λέγει μήτε περὶ "τίνων διαβεβαιοῦται," καὶ κινδυνεύειν δὲ οὕτως ἐν τοῖς ἀναγκαιοτάτοις, οὐδὲν ἡγοῦνται βαρύ· ἢ γὰρ ἂν καὶ αὐτοὶ, πικρὸν ἐκ βλεφάρων καταχέοντες δάκρυον καὶ μεγάλην εἰς ὕψος ἀνατείνοντες τὴν φωνὴν, προσῄεσαν λέγοντες "Θοῦ "Κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ "τὰ χείλη μου. μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους "πονηρίας." λόγοι γὰρ ὄντως πονηρίας οἱ παρ' ἑαυτῶν τὴν ἐπὶ τοῖς ἐσχάτοις ζημίαν τοῖς ἀκροωμένοις ὠδίνοντες. ἡμεῖς δὲ τῆς ἑαυτῶν καρδίας τὸν ἐκείνων ἐξοικίσαντες λῆρον ἐπὶ τὸν ὀρθὸν τῆς πίστεως βαδιούμεθα λόγον, τὸ γεγραμμένον ἔχοντες εἰς νοῦν "Λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα "ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτί "ζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ." φέρε δὴ οὖν, καὶ τὸν ἐν τοῖς προκειμένοις ἡμῖν θεωρήμασιν αἰχμαλω τίζοντες νοῦν, ὑποτάξωμεν τῇ δόξῃ τοῦ Μονογενοῦς, πάντα φέροντες συνετῶς εἰς τὴν ὑπακοὴν αὐτοῦ, τουτέστιν, εἰς τὸν περὶ τῆς ἐνανθρωπήσεως τρόπον. "Πλούσιος γὰρ ὢν, ἐπτώ "χευσε δι' ἡμᾶς, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν." Δέχου δὲ, εἴ σοι δοκεῖ, καὶ διὰ τῶν προκειμένων ἡμῖν τὴν ἀπόδειξιν, ἀνεξίκακον τοῖς λόγοις ἁπλώσας τὴν ἀκοήν. κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦ ἐπὶ πάντας ὄντος Θεοῦ πεποιῆ σθαι τὸν ἄνθρωπον ἡ θεία μαρτύρεται γραφή. καὶ γοῦν ὁ τὸ πρῶτον ἡμῖν συντάξας βιβλίον· Μωυσῆς δὲ οὗτος ὁ ἐγνωσμένος "παρὰ πάντας" τῷ Θεῷ· "Καὶ ἐποίησε, φησὶν, "ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν." ὅτι δὲ διὰ τοῦ Πνεύματος εἰς εἰκόνα τὴν θείαν κατεσφραγί ζετο, πάλιν αὐτὸς ἡμᾶς ἐδίδαξεν εἰπών "Καὶ ἐνεφύσησεν εἰς "τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς·" ὁμοῦ γὰρ καὶ ζωὴν ἐνετίθει τὸ Πνεῦμα τῷ πλάσματι, καὶ τοὺς ἑαυτοῦ χαρακ τῆρας θεοπρεπῶς ἐνεσήμαινεν· οὕτω τὸ ἐπὶ γῆς λογικὸν 1.183 ἐξαρτίσας ζῷον ὁ ἀριστοτέχνης Θεὸς, ἐντολὴν ἐδίδου τὴν σώζουσαν· καὶ ἦν ἐν τῷ παραδείσῳ, καθὰ γέγραπται, δια φυλάττων ἔτι τὸ δοθὲν, καὶ τῇ θείᾳ τοῦ πεποιηκότος δια πρεπὴς εἰκόνι διὰ τοῦ ἐνοικισθέντος Ἁγίου Πνεύματος· ἐπειδὴ δὲ ταῖς τοῦ διαβόλου παρατετραμμένος ἀπάταις κατε φρόνει τοῦ Δημιουργοῦ, καὶ νόμον τὸν ὁρισθέντα πατήσας ἐλύπει τὸν εὐεργέτην, τὴν αὐτῷ δοθεῖσαν ἀνεπράττετο χάριν, "Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ" τότε πρῶτον ἀκούσας ὁ γεγονὼς εἰς ζωὴν, παρεχαράττετο δὲ ἤδη καὶ ἡ πρὸς Θεὸν ὁμοίωσις διὰ τῆς ἐπεισδραμούσης ἁμαρτίας, καὶ ἦσαν μὲν οὐκέτι λοιπὸν οἱ χαρακτῆρες λαμπροὶ, ἀμυδρότεροι δέ πως ἐν αὐτῷ καὶ ἐσκοτισμένοι διὰ τὴν παράβασιν. ἐπειδὴ δὲ εἰς πληθὺν ἀριθμοῦ κρείττονα τὸ ἀνθρώπινον ἐξετείνετο γένος, κατεκράτει δὲ πάντων ἡ ἁμαρτία, πολυτρόπως τὴν ἑκάστου ληϊζομένη ψυχὴν, ἀπεγυμνοῦτο μὲν χάριτος τῆς ἀρχαίας ἡ φύσις· ἀπανίσταται δὲ τὸ Πνεῦμα παντελῶς, καὶ πίπτει πρὸς τὴν ἐσχάτην ἀλογίαν ὁ λογικὸς, καὶ αὐτὸν ἀγνοήσας τὸν κτίσαντα.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' ὁ πάντων Δημιουργὸς μακροὺς ἀνεξικα κήσας χρόνους, ἐλεεῖ λοιπὸν κατεφθαρμένην τὴν οἰκουμένην, καὶ τὴν μὲν δραπετεύσασαν ἐπὶ γῆς ἀγέλην ταῖς ἄνω συνά πτειν ἀγαθὸς ὢν ἠπείγετο· μεταστοιχειοῦν δὲ πάλιν εἰς τὴν ἀρχαίαν εἰκόνα τὴν ἀνθρωπότητα διὰ τοῦ Πνεύματος ἐδοκί μαζεν. ἦν γὰρ οὐχ ἑτέρως τοὺς θείους ἀναλάμψαι χαρακ τῆρας ἐν αὐτῇ, καθάπερ οὖν ἦσαν καὶ πρότερον. Τί οὖν ἄρα πρὸς τοῦτο μηχανᾶται, πῶς δὲ ἄσυλον ἐν ἡμῖν ἐφύτευσε τὴν χάριν, ἢ πῶς ἐῤῥιζώθη πάλιν ἐν ἀνθρώ ποις τὸ Πνεῦμα, τίνα δὲ τρόπον ἡ φύσις ἀνεμορφώθη πρὸς τὸ ἀρχαῖον, ἀκόλουθον εἰπεῖν. ὁ πρῶτος ἄνθρωπος, χοϊκός τε ὑπάρχων καὶ ἀπὸ τῆς γῆς, καὶ ἐν ἰδίᾳ κειμένην ἔχων ἐξουσίᾳ τοῦ τε ἀγαθοῦ καὶ τοῦ φαύλου τὴν αἵρεσιν, ῥοπῆς 1.184 γε τῆς ἐπ' ἄμφω κύριος ὢν, πικρῷ συνηρπάσθη δόλῳ, καὶ ἀποκλίνας εἰς παρακοὴν, πίπτει μὲν εἰς τὴν ὅθεν ἐξέφυ μητέρα τὴν γῆν, φθορᾷ δὲ ἤδη καὶ θανάτῳ κρατούμενος, ὅλῳ παραπέμπει τῷ γένει τὴν ζημίαν· αὐξανομένου δὲ ἐν ἡμῖν καὶ πληθύνοντος τοῦ κακοῦ, καὶ πρὸς τὸ χεῖρον ἀεὶ καταβαινούσης τῆς ἐν ἡμῖν διανοίας, βεβασίλευκεν ἡ ἁμαρ τία, γυμνή τε οὕτω λοιπὸν τοῦ ἐνοικισθέντος Ἁγίου Πνεύ ματος ἡ ἀνθρώπου φύσις ἀνεδείκνυτο. "Ἅγιον γὰρ πνεῦμα "σοφίας φεύξεται δόλον, καθὰ γέγραπται, καὶ οὐ κατοικήσει "ἐν σώματι κατάχρεῳ ἁμαρτίας." ἐπεὶ τοίνυν ὁ πρῶτος Ἀδὰμ τὴν παρὰ Θεοῦ δοθεῖσαν οὐ διέσωσε χάριν, ἐπενόησεν ἡμῖν ἐξ οὐρανοῦ τὸν δεύτερον Ἀδὰμ ὁ Θεὸς καὶ Πατήρ. πέμπει γὰρ εἰς ὁμοίωσιν τὴν πρὸς ἡμᾶς ἄτρεπτόν τε καὶ ἀναλλοίωτον ὄντα τῇ φύσει τὸν ἴδιον Υἱὸν, καὶ τὸ ἁμαρ τάνειν οὐκ εἰδότα παντελῶς, ἵνα καθάπερ διὰ τῆς τοῦ πρώτου παρακοῆς ὑπὸ θείαν γεγόναμεν ὀργὴν, οὕτω διὰ τῆς ὑπακοῆς τοῦ δευτέρου, καὶ τὴν ἀρὰν διαφύγωμεν καὶ τὰ ἐξ αὐτῆς ἀργήσῃ κακά. ἐπειδὴ δὲ ἄνθρωπος γέγονεν ὁ τοῦ Θεοῦ Λόγος, δέχεται τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς, ὡς εἷς ἐξ ἡμῶν, οὐχ ἑαυτῷ τι λαμβάνων ἰδικῶς· αὐτὸς γὰρ ἦν ὁ τοῦ Πνεύματος χορηγός· ἀλλ' ἵνα τῇ φύσει διασώσῃ λαβὼν, ὡς ἄνθρωπος, καὶ ῥιζώσῃ πάλιν ἐν ἡμῖν τὴν ἀποφοιτήσασαν χάριν ὁ μὴ εἰδὼς ἁμαρτίαν. διὰ ταύτην γὰρ οἶμαι τὴν αἰτίαν προστεθεικέναι χρησίμως τὸν ἅγιον βαπτιστὴν, ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ἐξ οὐρανοῦ καὶ μένον ἐπ' αὐτόν. ἀπέπτη μὲν γὰρ ἐξ ἡμῶν διὰ τὴν ἁμαρτίαν, γέγονε δὲ ὡς εἷς ἐξ ἡμῶν, ὁ μὴ εἰδὼς ἁμαρτίαν, ἵνα προσεθισθῇ τὸ Πνεῦμα μένειν ἐν ἡμῖν, ἀφορμὴν οὐκ ἔχον ἀναχωρήσεως ἢ ὑποστολῆς ἐν αὐτῷ. Οὐκοῦν ἡμῖν δι' ἑαυτοῦ λαμβάνει τὸ Πνεῦμα, καὶ ἀνανεοῖ 1.185 τῇ φύσει τὸ ἀρχαῖον ἀγαθόν· οὕτω γὰρ καὶ πτωχεῦσαι λέγεται δι' ἡμᾶς. πλούσιος γὰρ ὢν, ὡς Θεὸς, καὶ οὐδενὸς τῶν ἀγαθῶν ἐπιδεὴς, ἄνθρωπος γέγονε πάντων ἐπιδεὴς, πρὸς ὃν εἴρηταί που, καὶ σφόδρα καλῶς "Τί γὰρ ἔχεις ὃ οὐκ "ἔλαβες;" ὥσπερ οὖν ζωὴ κατὰ φύσιν ὑπάρχων ἀπέθανε κατὰ σάρκα δι' ἡμᾶς, ἵνα νικήσῃ τὸν θάνατον ὑπὲρ ἡμῶν, καὶ ὅλην ἑαυτῷ συναναστήσῃ τὴν φύσιν· πάντες γὰρ ἦμεν ἐν αὐτῷ, καθὸ γέγονεν ἄνθρωπος· οὕτω καὶ τὸ Πνεῦμα δέχεται δι' ἡμᾶς, ἵνα πᾶσαν ἁγιάσῃ τὴν φύσιν. οὐ γὰρ ἑαυτὸν ὠφελήσων ἐλήλυθεν, ἀλλ' ἵνα πᾶσιν ἡμῖν καὶ θύρα καὶ ἀρχὴ καὶ ὁδὸς γένηται τῶν οὐρανίων ἀγαθῶν. εἰ γὰρ μὴ ἔδοξε λαμβάνειν ὡς ἄνθρωπος, ἢ καὶ πάσχειν ὡς εἷς ἐξ ἡμῶν, πῶς ἂν ἔδειξέ τις ὅτι τεταπείνωκεν ἑαυτόν; ἢ πῶς ἂν ἐσώθη καλῶς ἡ τοῦ δούλου μορφὴ, εἰ μή τι καὶ δουλο πρεπὲς ἐγράφη περὶ αὐτοῦ; μὴ διασυρέσθω τοίνυν ὁ πάν σοφος τῆς οἰκονομίας λόγος, ὃν καὶ αὐτὸς ὁ θεσπέσιος Παῦλος εἰκότως ἀποθαυμάζει βοῶν "Ἵνα γνωρισθῇ νῦν ταῖς "ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς "Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, κατὰ πρό "θεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ "Κυρίῳ ἡμῶν." σοφία γὰρ ὄντως καὶ θεοπρεπὴς, τὸ μέγα τῆς ἐνανθρωπήσεως ὁρᾶται μυστήριον. Τοιαύτην ἔχειν ἡμᾶς τὴν περὶ τοῦ Σωτῆρος διάληψιν χρῆναι δεῖν ὑπολαμβάνω τοὺς εὐσεβεῖν ἑλομένους, καὶ ἐπὶ τῇ τῶν δογμάτων ὀρθότητι χαίροντας· οὐ γὰρ δήπου πρὸς τοσαύτην ἀλογίαν καταβησόμεθα καὶ ἡμεῖς, ὡς οἴεσθαι μεθεκτὸν ἐν τῷ κατὰ φύσιν Υἱῷ τὸ Πνεῦμα ὑπάρχειν, καὶ οὐχὶ μᾶλλον οὐσιωδῶς ἐμπεφυκὸς, ὥσπερ οὖν ἀμέλει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ αὐτῷ τῷ Πατρί. ὥσπερ γὰρ τοῦ Πατρὸς, οὕτω δὴ καὶ τοῦ 1.186 Υἱοῦ ἐστι τὸ Πνεῦμα τὸ Ἅγιον· οὕτω καὶ ἀνέγνωμεν παρὰ ταῖς θείαις γραφαῖς "Ἐλθόντες γὰρ κατὰ τὴν Μυσίαν," φησὶν, "ἐπείραζον εἰς τὴν Βιθυνίαν ἀπελθεῖν, καὶ οὐκ εἴασεν "αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ." Εἰ δέ τῳ δοκεῖ φιλονεικότερον τοῖς περὶ τούτων ἐνίστα σθαι λόγοις, καὶ διισχυρίζεσθαι πάλιν, ὅτι κατὰ μέθεξιν ἐν τῷ Υἱῷ τὸ Πνεῦμά ἐστιν, ἢ καὶ τότε γέγονεν ἐν αὐτῷ, πρό τερον οὐκ ἐνυπάρχον, ὅτε καὶ ἐβαπτίσθη, κατὰ τὸν τῆς ἐνανθρωπήσεως χρόνον, ὁράτω πάλιν ἡλίκοις τε καὶ ὅσοις περιπεσεῖται τοῖς ἀτοπήμασι. πρῶτον μὲν γὰρ, οὐκ ἐγη γέρθαι φησὶν ὁ Σωτὴρ "ἐν γεννητοῖς γυναικῶν Ἰωάννου τοῦ "βαπτιστοῦ" τὸν μείζονα· καὶ ἀληθὴς ὁ λόγος· ἀλλ' ὁρῶμεν τὸν εἰς ἀκρότητα δόξης τε καὶ ἀρετῆς ἀναβεβηκότα τῆς ἐν ἡμῖν, ἀσυγκρίτοις ὑπεροχαῖς τιμῶντα Χριστόν· οὐκ εἰμὶ γὰρ, φησὶν, ἱκανὸς, ἵνα κύψας λύσω τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. εἶτα πῶς οὐκ ἄτοπον, μᾶλλον δὲ ἤδη καὶ ἀσεβὲς, Ἰωάννην μὲν "ἐκ κοιλίας ἔτι μητρὸς αὐτοῦ," Πνεύματος ἀναπεπλῆσθαι τοῦ Ἁγίου πιστεύειν, διὰ τὸ οὕτω γεγράφθαι περὶ αὐτοῦ· τὸν δὲ τούτου, μᾶλλον δὲ ἁπάντων, Δεσπότην καὶ Κύριον τότε πρῶτον οἴεσθαι τὸ Πνεῦμα λαβεῖν, ὅτε καὶ ἐβαπτίζετο, καίτοι τοῦ ἁγίου λέγοντος Γαβριὴλ πρὸς τὴν ἁγίαν παρθένον "Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ", καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι, διὸ "καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ." καὶ ὁράτω μοι πάλιν ὁ φιλομαθὴς, ὅσην ὁ λόγος ὠδίνει τὴν ἔννοιαν. περὶ μὲν γὰρ Ἰωάννου, φησὶν, ὅτι "Πνεύματος Ἁγίου πλησθήσεται·" δοτὸν γὰρ ἦν ἐν αὐτῷ καὶ οὐκ οὐσιῶδες τὸ Ἅγιον Πνεῦμα· περὶ δὲ τοῦ Σωτῆρος, οὐκέτι τό Πλησθήσεται λέγει· καλῶς γε σφόδρα νοῶν· ἀλλ' ὅτι τὸ γεννώμενον ἅγιον, οὐδὲ τό Ἔσται προστεθεικὼς, ἦν γὰρ ἀεὶ τοῦτο κατὰ φύσιν ὡς Θεός. 1.187 Ἐπειδὴ δὲ οἶμαι προσήκειν πανταχόθεν ἡμᾶς θηρᾶσθαι τὸ ὠφελοῦν, παρενεχθείσης ἅπαξ τῆς τοῦ ἀρχαγγέλου φωνῆς, φέρε καὶ εἰς αὐτὴν ὀλίγα γυμνάσωμεν. "Πνεῦμα," φησὶν, "Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου "ἐπισκιάσει σοι, διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται "Υἱὸς Θεοῦ." λεγέτω τοίνυν ἡμῖν ὁ ἐκ πολλῆς ἀμαθίας τοῖς ὀρθοῖς τῆς Ἐκκλησίας ἀντιτείνων δόγμασι, πότερόν ποτε καὶ πρὸ τῆς ἐνανθρωπήσεως Υἱὸς ἦν ὁ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ ἐν μόνοις ὀνόμασιν εἶχε τὴν δόξαν, νόθος δὲ ἦν καὶ ψευδώνυμος. εἰ μὲν γὰρ ὅλως οὐκ εἶναί φησιν Υἱὸν, ἀρνήσεται τὸν Πατέρα· τίνος γὰρ ἔσται πατὴρ οὐκ ὄντος υἱοῦ; φρονήσει δὲ ἁπάσαις τὰ ἐναντία ταῖς θείαις γραφαῖς. εἰ δὲ Υἱὸν ὁμολογεῖ καὶ πρὸ τῆς ἐνανθρωπήσεως τὸν Υἱὸν εἶναί τε καὶ λέγεσθαι, πῶς ἡμῖν ὁ ἀρχάγγελος τὸ τεχθή σεσθαι μέλλον διὰ τῆς ἁγίας παρθένου, κληθήσεσθαί φησιν Υἱὸν Θεοῦ, καίτοι τοῦτο καὶ πάλαι κατὰ φύσιν ὑπάρχοντα; ὥσπερ οὖν ἀϊδίως ὑπάρχων μετὰ Πατρὸς ὁ Υἱὸς, ὡς ἀρχὴν ἔχων τοῦ εἶναι, κατὰ τὸν τῆς σαρκώσεως χρόνον Υἱὸς ὁρί ζεται Θεοῦ, διὰ τὸ πεφηνέναι μετὰ σώματος εἰς τὸν κόσμον· οὕτως ἔχων οὐσιωδῶς ἐν ἑαυτῷ τὸ ἴδιον Πνεῦμα, λαμβάνειν ὡς ἄνθρωπος λέγεται, διασώζων τῇ ἀνθρωπότητι τὴν αὐτῇ πρέπουσαν τάξιν, καὶ σὺν αὐτῇ τὰ αὐτῇ πρέποντα δι' ἡμᾶς οἰκειούμενος· πῶς δ' ἂν καὶ ὅλως δίχα ποτὲ τοῦ ἰδίου Πνεύματος ὁ Λόγος νοοῖτο; ἢ γὰρ οὐκ ἄτοπον ἀνθρώπου κεχωρίσθαι λέγειν τὸ πνεῦμα τὸ ἐν αὐτῷ, κατά τε τὸν τῆς φύσεως ὅρον καὶ εἰς ὁλόκληρον τοῦ ζῴου τὸν ἀπαρτισμόν; ἀλλ' οἶμαι πᾶσιν ὑπάρχειν τοῦτο καταφανέστατον. τίνα δὴ οὖν τρόπον ἀπομεριοῦμεν τὸ Πνεῦμα τοῦ Υἱοῦ, τὸ οὕτως ἐμπεφυκὸς καὶ οὐσιωδῶς ἡνωμένον, δι' αὐτοῦ τε προκύπτον, 1.188 καὶ ὑπάρχον ἐν αὐτῷ φυσικῶς, ὡς μηδὲν ἕτερον εἶναι νομί ζεσθαι παρ' αὐτὸν, διά τε τὴν τῆς ἐνεργείας ταυτότητα καὶ αὐτὸ τὸ τῆς φύσεως ἀπαράλλακτον; ἄκουε δὴ τί φησιν ὁ Σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς "Ἐὰν ἀγαπᾶτέ με, τὰς "ἐντολὰς τὰς ἐμὰς τηρήσητε, κἀγὼ ἐρωτήσω τὸν Πατέρα, "καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, τὸ πνεῦμα τῆς ἀλη "θείας, ὃ ὁ κόσμος οὐ δύναται χωρεῖν." ἰδοὺ διαῤῥήδην Πνεῦμα τῆς ἀληθείας τὸ Ἅγιον Πνεῦμά φησιν· ὅτι δὲ αὐτὸς, καὶ οὐχ ἕτερός τις ἐστι παρ' αὐτὸν ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλήθεια, πάλιν ἄκουε αὐτοῦ λέγοντος "Ἐγώ εἰμι ἡ ἀλήθεια." ἀληθείας οὖν ὄντος τε καὶ κεκλημένου τοῦ κατὰ φύσιν Υἱοῦ, βλέπε πόσην ἔχει τὸ Πνεῦμα πρὸς αὐτὸν τὴν ἑνότητα. λέγει γάρ που περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰωάννης ὁ μαθητής "Οὗτός ἐστιν ὁ ἐλθὼν "δι' ὕδατος καὶ αἵματος καὶ πνεύματος, Ἰησοῦς Χριστός· "οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι· "καὶ τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ "ἀλήθεια." διάτοι τοῦτο, καὶ ἐνοικοῦντος ἡμῖν τοῦ Ἁγίου "Πνεύματος εἰς τὸν ἔσω ἄνθρωπον," κατοικεῖν αὐτὸς λέ γεται Χριστὸς, καὶ οὕτως ἔχει τὸ πρᾶγμα τῇ φύσει. καὶ γοῦν ὁ μακάριος Παῦλος σαφέστατα τοῦτο διδάσκων φησίν "Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, εἴπερ "πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ "ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν "σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιο "σύνην." ὀξεῖαν ὦ οὗτος τοῖς εἰρημένοις ὑπόσχες τὴν ἀκοήν. Πνεῦμα Χριστοῦ τὸ κατοικοῦν ἐν ἡμῖν ὀνομάσας, ἐπήγαγεν εὐθύς Εἰ δὲ ὁ Χριστὸς ἐν ὑμῖν, ἀπαράλλακτον εἰσφέρων τὴν ὁμοιότητα τοῦ Υἱοῦ πρὸς τὸ ἴδιον αὐτοῦ καὶ παρ' αὐτοῦ κατὰ φύσιν προχεόμενον Πνεῦμα. διάτοι τοῦτο 1.189 καὶ "πνεῦμα υἱοθεσίας" λέγεται, καὶ ἐν αὐτῷ "κράζομεν 1.189 "Ἀββᾶ ὁ πατήρ," καὶ ὡς ὁ μακάριός που φησὶν Ἰωάννης "Εκ τούτου γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ "Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν." Οἶμαι μὲν οὖν ἐξαρκέσειν καὶ ταῦτα πρὸς τὸ δύνασθαι τὰ τῆς Ἐκκλησίας τέκνα τὰ τῶν ἑτεροδοξούντων ἀποκρού σασθαι βλάβη· εἰ δέ τις ἀκράτῳ τῆς ἀμαθίας βεβάπτισται μέθῃ, τότε δὲ πρῶτον τὸ Πνεῦμα λαβεῖν οἴεται τὸν Υἱὸν, ὅτε γέγονεν ἄνθρωπος· ἀποδεικνύτω πρὸ τῆς ἐνανθρωπήσεως ἅγιον οὐκ ὄντα τὸν τοῦ Θεοῦ Λόγον, καὶ ἡμεῖς σιωπήσομεν. Ἀποθαυμάσαι δ' ἄν τις καὶ λίαν εἰκότως τὸν ἅγιον Εὐαγ γελιστὴν τὰ τῇ θείᾳ πρέποντα φύσει μετὰ πολλῆς τινος τῆς ἐπιτηρήσεως πανταχῇ διασώζοντα. ἐπειδὴ γὰρ ἔφη πρὸ τούτων ὅτι "Θεὸν οὐδεὶς ἑώρακε πώποτε," τεθεᾶσθαι δὲ νυνὶ τὸ Πνεῦμά φησι τὸν μακάριον βαπτιστὴν, καταβαῖνον ἐπὶ τὸν Υἱὸν ἐξ οὐρανοῦ, προστίθησιν ἀναγκαίως Ὅτι τεθέαμαι τὸ Πνεῦμα, πλὴν ἐν εἴδει περιστερᾶς, οὐκ αὐτὸ δὲ κατὰ φύσιν ὅπερ ὑπάρχει γυμνὸν, ἀλλ' ἐν τῷ πρᾳοτάτῳ σχηματιζόμενον ζῴῳ· ἵνα φαίνηται πάλιν καὶ διὰ τούτου οἰκειότητα καὶ ὁμοίωσιν διασῶζον φυσικὴν πρὸς τὸν Υἱὸν τὸν λέγοντα "Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ." οὐκοῦν οὐκ ἀποπεσεῖται τοῦ εἶναι Θεὸς κατὰ φύσιν τὸ Πνεῦμα· τετήρηται γὰρ αὐτῷ τὸ μὴ τεθεᾶσθαι πώποτε, πλὴν ὅσον ἐν τῷ τῆς περιστερᾶς σχηματισμῷ, διὰ τὴν τοῦ μανθάνοντος χρείαν. ὡς γὰρ ἐν σημείου καὶ γνωρίσματος τάξει δεδόσθαι φησὶν ἑαυτῷ τὴν τοῦ Πνεύματος κάθοδον ὁ μακάριος βαπτιστὴς, ταῖς περὶ τοῦ Σωτῆρος ἡμῶν μαρ τυρίαις ἐπενεγκὼν ὅτι ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ. ἐφ' ᾧ δὴ καὶ 1.190 μάλιστα διαγελᾶν οἶμαι πρέπειν τοὺς ἀνοήτους αἱρετικοὺς, τὸ ἐν τάξει σημείου τεθὲν, εἰς ἀλήθειαν πράγματος ἐκλαμβά νοντας, εἰ καὶ γέγονεν οἰκονομικῶς, καθάπερ ἤδη προείρηται, διὰ τὴν τὴς ἀνθρωπότητος χρείαν. Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. Ἀσφαλὴς ὁ μάρτυς, ὅπερ ὄντως τεθέαται, τοῦτο καὶ λαλῶν. οὐκ ἀγνοεῖ γὰρ ἴσως τὸ γεγραμμένον "Ἃ εἶδον οἱ "ὀφθαλμοί σου λέγε." εἶδον οὖν, φησὶ, τὸ σημεῖον, καὶ συνῆκα τὸ δι' αὐτοῦ σημαινόμενον· μαρτυρῶ ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ διὰ νόμου μὲν τοῦ διὰ Μωυσέως ἀναβοώ μενος, διὰ δὲ φωνῆς τῶν ἁγίων προφητῶν κηρυττόμενος· δοκεῖ δέ μοι πάλιν ὁ μακάριος Εὐαγγελιστὴς μετὰ πολλῆς τινος τῆς ἀσφαλείας εἰπεῖν Οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, τουτ έστιν, ὁ εἷς καὶ μόνος κατὰ φύσιν, ὁ τῆς τοῦ γεννήσαντος ἰδιότητος κληρονόμος, πρὸς ὃν καὶ ἡμεῖς οἱ κατὰ θέσιν μορφούμεθα καὶ δι' οὗ πρὸς τὸ τῆς υἱοθεσίας ἀξίωμα κατὰ χάριν κεκλήμεθα. ὡς γὰρ ἐκ Θεοῦ καὶ Πατρὸς "πᾶσα "πατριὰ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται," διὰ τὸ αὐτὸν εἶναι κυρίως καὶ πρῶτον καὶ ἀληθῶς Πατέρα, οὕτω καὶ πᾶσα υἱότης ἐκ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Υἱοῦ, διὰ τὸ αὐτὸν εἶναι κυρίως καὶ μόνον ἀληθῶς Υἱὸν, οὐ νόθον οὐδὲ ψευδώνυμον, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς οὐ κατὰ ἀποκοπὴν, ἢ ῥεῦσιν, ἢ με ρισμὸν, ἢ τομήν· ἀπαθὴς γὰρ ἡ θεία φύσις παντελῶς· ἀλλ' ὡς ἕνα ἐξ ἑνὸς, ἀεὶ συνυπάρχοντα καὶ συναΐδιον καὶ ἐμπε φυκότα τῷ γεννήσαντι, ἐν αὐτῷ τε ὄντα, καὶ ἐξ αὐτοῦ προελθόντα ἀμερίστως καὶ ἀδιαστάτως, ἐπεὶ μηδὲ κατὰ σῶμα τὸ θεῖον, μήτε τόπῳ περιληπτὸν, ἢ διαστηματικὰς 1.191 τὰς μεταβάσεις ποιεῖσθαι πεφυκὸς, ἀλλ' ὡς πρόεισιν ἐκ πυρὸς ἡ ἐνοῦσα θερμότης αὐτῷ, δοκοῦσα μέν πως αὐτοῦ ταῖς ἐπινοίαις μερίζεσθαι, καὶ ἕτερόν τι παρ' αὐτὸ ὑπάρχειν, ἐξ αὐτοῦ δὲ οὖσα καὶ ἐν αὐτῷ κατὰ φύσιν, καὶ ἐξ αὐτοῦ προϊ οῦσα μετὰ τοῦ μηδὲν ἀδικεῖν κατά γε τὸν ἀποκοπῆς ἤτοι μερισμοῦ καὶ ῥεύσεως λόγον· ὅλη γὰρ ἐν ὅλῳ τῷ πυρὶ σώζεται· οὕτω νοήσομεν καὶ ἐπὶ τοῦ θείου γεννήματος θεοπρεπεστάτην ἐπ' αὐτῷ τὴν θεωρίαν λαμβάνοντες· καὶ Υἱὸν μὲν ἰδίως ὑφεστάναι πιστεύοντες, οὐ μὴν ἔξω τιθέντες αὐτὸν τῆς μιᾶς καὶ ἀφράστου θεότητος, οὐδὲ τοῦ Πατρὸς ἑτεροούσιον εἶναι λέγοντες. ἢ γὰρ ἂν Υἱὸς οὐκέτ' ἂν νοοῖτο δικαίως, ἀλλ' ἕτερόν τι παρὰ τοῦτο, καὶ πρόσφατος ἡμῖν ἀνατελεῖ θεὸς, ἕτερος ὑπάρχων παρὰ τὸν ὄντα καὶ μόνον. τὸ γὰρ οὐκ ὂν ὁμοούσιον τῷ κατὰ φύσιν Θεῷ, πῶς οὐ πάντως ἀποπεσεῖται τοῦ εἶναι Θεὸς ἀληθινός; ἐπειδὴ δὲ ἀξιόχρεώς τε καὶ ἀξιολογώτατος ὁ μακάριος βαπτιστὴς, μαρτυρεῖ δὲ ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· Θεὸν εἶναι πάντως ἀληθινὸν ὁμολογήσομεν τὸν Υἱὸν καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρός· τοῦτο γὰρ ἡμῖν σημαίνει τὸ τῆς υἱότητος ὄνομα, καὶ ἕτερον οὐδέν. Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Φθάσας ἤδη προέδειξεν αὐτὸν ὁ μακάριος βαπτιστής· ἀλλ' ἰδοὺ καὶ αὖθις τὸν αὐτὸν ἀνακυκλήσας λόγον, ἐπι δεικνύει τοῖς ἑαυτοῦ μαθηταῖς τὸν Ἰησοῦν, καὶ ἀμνὸν ὀνομάζει Θεοῦ καὶ τὴν τοῦ κόσμου φησὶν αἴρειν ἁμαρτίαν, μονονουχὶ πρὸς ὑπόμνησιν ἄγων τοὺς ἀκροωμένους τοῦ ἐν προφήταις λέγοντος "Ἐγώ εἰμι ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, 1.192 "καὶ οὐ μὴ μνησθήσομαι." ἐπαναλαβὼν δὲ οὐ μάτην ὁ βαπτιστὴς τὴν αὐτὴν ποιεῖται περὶ τοῦ Σωτῆρος ἐξήγησιν. ἀρετῆς γάρ ἐστιν ἔργον διδασκαλικῆς τὸν οὔπω παρα δεχθέντα λόγον, ταῖς τῶν μαθητευομένων ἐγκαθειργνύναι ψυχαῖς, οὐκ ὀκνούσης πρὸς ἐπανάληψιν, ἀνεξικακούσης δὲ μᾶλλον ἐπ' ὠφελείᾳ τῶν παιδευομένων. διὰ γάρ τοι τοῦτο καὶ ὁ μακάριος Παῦλός φησι "Τὰ αὐτὰ λέγειν ὑμῖν, ἐμοὶ "μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές." Ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. Ὁρᾷς τῇ διδασκαλίᾳ γείτονα τὸν ἐξ αὐτῆς ἀναδοθέντα καρπόν; ὁρᾷς ὅσον τῆς ἐπαναλήψεως εὑρέθη τὸ κέρδος; μανθανέτω τοιγαροῦν διὰ τούτων ὁ διδάσκειν πεπιστευμένος, ὄκνου μὲν ἀμείνων ὁρᾶσθαι παντὸς, ἑαυτῷ δὲ πλέον ἤπερ τοῖς ἀκροωμένοις ἐπιζήμιον ἡγεῖσθαι τὴν σιωπὴν, καὶ μὴ εἰς ἀργίαν μὲν ἀδρανῆ, καθάπερ εἰς γῆν, τὸ δεσποτικὸν ἀντο ρύττειν τάλαντον, διανέμειν δὲ μᾶλλον "τοῖς τραπεζίταις τὸ "ἀργύριον·" κομιεῖται γὰρ ὁ Σωτὴρ τὸ ἑαυτοῦ σὺν τόκῳ, καὶ καθάπερ τινὰ σπόρον ζωογονήσει τὸν ἐγκαταβληθέντα λόγον. ἔχεις ἐν τούτοις εὐφυεστάτην τῶν εἰρημένων ἀπό δειξιν. οὐ γὰρ ὀκνήσας ὁ βαπτιστὴς τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιδεῖξαι τὸν Κύριον, καὶ εἰς δεύτερον εἰπεῖν "Ἴδε ὁ ἀμνὸς "τοῦ Θεοῦ," τοσοῦτον αὐτοὺς ὠφελήσας ὁρᾶται, ὡς καὶ ὑποπεῖσαι λοιπὸν ἀκολουθεῖν, καὶ ἤδη τῆς ὑπ' αὐτῷ μαθη τείας ἐρᾶν. 1.193 Στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς Τί ζητεῖτε; Ἐπιστρέφεται χρησίμως πρὸς τοὺς ἀκολουθοῦντας ὁ Κύριος ἵνα ἔργῳ μάθοις τὸ μελῳδούμενον "Ἐξεζήτησα τὸν "Κύριον καὶ προσέσχε μοι." ἕως μὲν γὰρ οὔπω διὰ τρόπων ἀγαθῶν καὶ τῆς ἐν τῷ πιστεύειν ὀρθότητος ἐπιζητοῦμεν τὸν Θεὸν, ἐκ προσώπου τρόπον τινὰ κατόπιν κείμεθα· ἐπὰν δὲ τὸν θεῖον αὐτοῦ διψήσαντες νόμον, τὴν ἁγίαν καὶ ἐξαίρετον τῆς δικαιοσύνης ἰχνηλατῶμεν ὁδὸν, τότε δὴ πάντως ἡμᾶς ἐπισκέψεται τὸ γεγραμμένον ἐκεῖνο βοῶν "Ἐπιστρέψατε "πρός με καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος "παντοκράτωρ." τί δὲ ζητεῖτέ φησι πρὸς αὐτούς· οὐκ ἀγνοήσας, πόθεν; πάντα γὰρ οἶδεν ὡς Θεός· ἀρχὴν δὲ καὶ ῥίζαν ταῖς διαλέξεσι τιθεὶς τὴν ἐρώτησιν. Οἱ δὲ εἶπον αὐτῷ Ῥαββὶ, ποῦ μένεις; Εὐπαιδεύτως ὑπαντῶσιν οἱ διερωτώμενοι· διδάσκαλον γὰρ ἤδη καλοῦσι, τὸ βούλεσθαί τι μαθεῖν διὰ τούτου σαφῶς διερμηνεύοντες· εἶτα τὴν ἑστίαν ἀξιοῦσι μαθεῖν, ὡς ἐν αὐτῇ τὴν χρείαν ἐροῦντες εὐκαίρως· οὐ γὰρ δήπου, κατὰ τὸ εἰκὸς, τὸν ἐπὶ τοῖς ἀναγκαίοις λόγον, ὁδοῦ πάρεργον ποι εῖσθαι δεῖν ἐδοκίμαζον· ἔσται δὲ πάλιν ἡμῖν εἰς τύπον ἐπωφελῆ τὸ λεγόμενον. Λέγει αὐτοῖς Ἔρχεσθε καὶ ὄψεσθε. Οὐ σημαίνει τὴν οἰκίαν, καίτοι τοῦτο ποιεῖν ἐξαιτούμενος, 1.194 ἰέναι δὲ μᾶλλον εἰς αὐτὴν παραχρῆμα κελεύει· πρῶτον μὲν ἐκεῖνο διδάσκων, ὡς ἐν ὑπογραμμῷ τῷ πράγματι, ὅτι τῶν ἀγαθῶν τὴν ζήτησιν, οὐκ εἰς ὑπερθέσεις ἀναῤῥιπτεῖσθαι καλόν· τὸ γὰρ μέλλειν ὅλως ἐν τοῖς ὠφελεῖν πεφυκόσιν ἐπιζήμιον· εἶτα πρὸς τούτῳ καὶ τόδε, ὅτι τοῖς ἀγνοοῦσιν ἔτι τὸν ἅγιον οἶκον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τουτέστι τὴν Ἐκκλησίαν, οὐ τὸ ὅποι ποτὲ κεῖται μαθεῖν ἀρκέσει πρὸς σωτηρίαν, ἀλλὰ τὸ ἐλθεῖν εἰς αὐτὸν διὰ τῆς πίστεως, ἰδεῖν τε τὰ ἐν αὐτῷ μυστικῶς δηλονότι τελούμενα. Ἦλθον οὖν καὶ εἶδον ποῦ μένει καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν ὡς δεκάτη. Εὐπαρέδρως οἱ μαθηταὶ τὴν τῶν θείων μυστηρίων ἐπαι δεύοντο γνῶσιν· οὐ γὰρ οἶμαι πρέπειν ἀψίκορον τοῖς φιλο μαθέσιν ἐνυπάρχειν διάνοιαν, φιλοπονωτάτην δὲ μᾶλλον, καὶ τῆς ἐν ἱδρῶσιν ἀγαθοῖς μικροψυχίας κρείττονα, ὡς εἰς ἅπαντα τῆς ζωῆς τὸν καιρὸν ἐν ὁλοκλήρῳ τῇ προθυμίᾳ φαίνεσθαι διαπρέποντα· τοῦτο γὰρ ὡς δι' αἰνίγματος οἶμαι δηλοῦν τό Παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην. ἐπειδὴ δέ φησιν Ὥρα ἦν ὡς δεκάτη, καὶ πρὸς αὐτὸ τοῦτο λέγομεν τὸν ἑκάστῳ χρήσιμόν τε καὶ οἰκεῖον ἐφαρμόζοντες λόγον, ὅτι πάλιν ἡμᾶς διὰ τῆς οὕτω λεπτῆς ἐπιχειρήσεως ἐκδιδάσκει τῆς θεολογίας ὁ συγγραφεὺς, ὡς οὐκ ἐν ἀρχῇ τοῦ παρόντος αἰῶνος τὸ μέγα τοῦ Σωτῆρος ἡμῶν ἐγνωρίσθη μυστήριον, ἀλλ' εἰς τέλος ἤδη καταλύοντος τοῦ καιροῦ· ἐπ' ἐσχάτων γὰρ, ὡς γέγραπται, τῶν ἡμερῶν διδακτοὶ πάντες ἀναδεδείγ μεθα Θεοῦ. δέχου δέ μοι πάλιν τῶν εἰρημένων εἰκόνα περὶ τὴν δεκάτην ὥραν, προσεδρεύοντας τῷ Σωτῆρι τοὺς μαθητὰς, 1.195 οὓς καὶ καταλύσαντας ἅπαξ προσμεμενηκέναι φησὶν ὁ ἅγιος Εὐαγγελιστής· ἵνα πάλιν μανθάνωσιν οἱ διὰ τῆς πίστεως εἰς τὸν θεῖον εἰσελαύνοντες οἶκον καὶ αὐτῷ προστρέχοντες τῷ Χριστῷ, ὅτι χρὴ προσμένειν αὐτῷ, καὶ μὴ πάλιν ἄλλο τριοῦσθαι φιλεῖν, ἢ πρὸς ἁμαρτίαν ἐκβαίνοντας ἢ παλινδρο μοῦντας εἰς ἀπιστίαν. Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ· εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ Εὑρήκαμεν τὸν Μεσσίαν, καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. Οἱ λαβόντες ἄρτι τὸ τάλαντον, εὐθὺς τοῦ ταλάντου τὴν ἐργασίαν ἐπάγονται, καὶ τῷ δεσπότῃ προσάγουσι. τοιαῦται γὰρ ὄντως αἱ φιλήκοοί τε καὶ εὐμαθεῖς ὁρῶνται ψυχαὶ, οὐ μακρῶν δεόμεναι πρὸς ὠφέλειαν ῥημάτων, οὐδὲ ἐν κύκλοις μηνῶν ἢ ἐτῶν τὸν ἐκ τῆς παιδεύσεως ἀνατίκτουσαι καρπὸν, ἀλλ' ὁμοῦ ταῖς τῶν μαθημάτων ἀρχαῖς τὸ τῆς συνέσεως κα τακλείουσαι τέλος. "Δίδου γὰρ σοφῷ ἀφορμὴν, καὶ σοφώ "τερος ἔσται φησί· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ "δέχεσθαι." ἀνασώζει δὴ οὖν τὸν οἰκεῖον Ἀνδρέας ἀδελφόν· Πέτρος δὲ οὗτος ἦν· ὅλον ἐν ὀλίγῳ κεφαλαίῳ τὸ μέγα δηλώσας μυστήριον. εὑρήκαμεν γὰρ, φησὶν, ὡς θησαυρὸν κεκρυμμένον ἐν ἀγρῷ, ἢ ὡς "ἕνα πολύτιμον μαργαρίτην" τὸν Ἰησοῦν, κατὰ τὰς ἐν τοῖς εὐαγγελίοις παραβολάς. Ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς εἶπε Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺκληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Ἀτενίζει θεοπρεπῶς ὁ καρδίας ὁρῶν καὶ νεφρούς· ὁρᾷ δὲ 1.196 πρὸς ὅσην εὐλάβειαν ὁ μαθητὴς ἀναβήσεται, καὶ ποίας ἔσται κάτοχος ἀρετῆς, καὶ εἰς ποῖον καταλήξει τέλος. ἀγνοεῖ γὰρ οὐδὲν "ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν." ᾧ δὴ καὶ μάλιστα παιδεύει τὸν κεκλημένον, ὅτι Θεὸς ὑπάρχων ἀλη θινὸς ἀδίδακτον ἔχει τὴν γνῶσιν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγου γὰρ ὅλως δεηθεὶς οὐδενὸς, ἀλλ' οὐδὲ ἐπιζητήσας μαθεῖν τίς ἢ πόθεν ἥκοι πρὸς αὐτὸν ὁ ἀνὴρ, ποίου μὲν ἐξέφυ πατρὸς, τίς δὲ καὶ αὐτὸς ὀνομάζοιτο λέγει. καὶ Σίμωνα μὲν οὐκέτι καλεῖσθαι συγ χωρεῖ, κατεξουσιάζων ἤδη καὶ κατακρατῶν, ὡς γεγονότος οἰκείου· φερωνύμως δὲ ἀπὸ τῆς πέτρας μετονομάζει Πέτρον· ἐπ' αὐτῷ γὰρ ἔμελλε τὴν αὐτοῦ θεμελιοῦν Ἐκκλησίαν. Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς Ἀκολούθει μοι. Ἰσογνωμῶν τοῖς προλαβοῦσιν ὁ Φίλιππος, καὶ λίαν ἔχων ἐπιτηδείως εἰς ἀκολούθησιν τοῦ Χριστοῦ. ᾔδει γὰρ καὶ αὐτὸν ἐσόμενον ἀγαθόν· διά τοι τοῦτο καί φησιν Ἀκολούθει μοι, γνώρισμα τῆς ἐπ' αὐτῷ χάριτος τὸ ῥῆμα τιθεὶς, καὶ δι' ὧν ἕπεσθαι προστάττει πολιτείαν αὐτῷ τὴν ἀρίστην ἐπι μαρτυρῶν· οὐ γὰρ ἂν ἐπελέξατο μὴ οὐχὶ πάντως ὄντα χρηστόν. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ Ὃν ἔγραψε Μωυσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται εὑρήκαμεν, Ἰησοῦν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. Ὀξὺς δὴ λίαν ὁ μαθητὴς εἰς καρποφορίαν, ἵνα φαίνηται διὰ τούτου τοῖς προλαβοῦσι κατὰ τὴν ἕξιν συγγενής· εὑρίσκει 1.197 γὰρ τὸν Ναθαναὴλ, οὐχ ἁπλῶς ἐρχόμενον περιτυχὼν, ἀλλὰ πολλὴν ἐπ' αὐτῷ τὴν ζήτησιν ποιησάμενος· ᾔδει γὰρ ὄντα φιλοπονώτατον τε καὶ φιλολογώτατον. εἶτα λέγει τὸν διὰ πάσης κηρυττόμενον τῆς θείας γραφῆς ἀνηυρηκέναι Χριστὸν, οὐχ ὡς ἀγνοοῦντι προσομιλῶν, ἀλλ' ὡς λίαν ἐκπεπαιδευ μένῳ τά τε τοῦ πανσόφου Μωυσέως καὶ τῶν προφητῶν μηνύματα. ὑπόνοια δὲ οὐκ ἀληθὴς περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρὰ τοῖς Ἰουδαίοις ἐκράτει, ὡς ἐκ πόλεως ἤτοι κώμης ἔσται τῆς Ναζαρὲτ, καίτοι Βηθλεεμίτην αὐτὸν, ὅσον εἰς τοῦτον ἥκει τὸν λόγον τῆς θείας λεγούσης γραφῆς "Καὶ σὺ γὰρ, φησὶν, Βηθλεὲμ γῆ Ἰούδα οἶκος τοῦ "Εφραθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα, ἐκ σοῦ "γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, "καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος." ἀνε τράφη μὲν γὰρ εἰς Ναζαρὲτ, ὥς που καὶ αὐτὸς ὁ Εὐαγγε λιστὴς διεμαρτύρατο λέγων "Καὶ ἦλθεν εἰς Ναζαρὲτ οὗ ἦν "ἀνατεθραμμένος·" ἦν δὲ οὐκ ἐκεῖθεν, ἀλλ' ὅθεν ἤδη προεί πομεν, μᾶλλον δὲ ὡς ἡ τοῦ προφήτου διισχυρίσατο φωνή. ἀκολουθήσας τοίνυν ὁ Φίλιππος τῇ τῶν Ἰουδαίων ὑπονοίᾳ φησίν Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ. Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Συνομολογεῖ προχείρως ὁ Ναθαναὴλ, ὅτι μέγα δή τι καὶ κάλλιστον εἴη τὸ ἐκ τῆς Ναζαρὲτ ἀναδειχθήσεσθαι προσ δοκώμενον. δῆλον δὲ δήπου πάντως ἐστὶν, ὡς οὐ μόνον ἐδέχετο πρὸς πίστιν τοῦ ζητουμένου τὴν Ναζαρὲτ, ἀλλ' ἐκ νόμου καὶ προφητῶν τὴν γνῶσιν ἐρανιζόμενος, ταχεῖαν ὡς πολυμαθὴς ἐποιεῖτο τὴν σύνεσιν. 1.198 Ἔρχου καὶ ἴδε. Ἀρκέσει πρὸς πίστιν ἡ θέα, φησὶν, καὶ μόνον εἰς λόγους ἐλθὼν συνομολογήσεις γοργότερον, καὶ ἀνενδοιάστως ἐρεῖς αὐτὸν ὄντως ὑπάρχειν τὸν προσδοκώμενον. χρὴ δὲ πιστεύειν ἡμᾶς, ὅτι περ ἦν θεία τις καὶ ἄῤῥητος χάρις, τοῖς τοῦ Σωτῆρος λόγοις συνεκτρέχουσα, καὶ τὰς τῶν ἀκροωμένων ψυχὰς καταθέλγουσα. οὕτω γὰρ γέγραπται, ὅτι "πάντες "ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις "ἀπὸ τοῦ στόματος αὐτοῦ·" ὡς γὰρ ἐνεργὴς ὁ λόγος εἰς δύναμιν, οὕτω καὶ εἰς τὸ πείθειν ἦν ἱκανός. Ἴδε ἀληθὴς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν. Οὔπω τὴν διὰ σημείων ἐπιτηδεύσας ἐπίδειξιν, ἑτέρῳ τρόπῳ Χριστὸς τούς τε οἰκείους ἀναπείθειν ἐπειρᾶτο μα θητὰς, καὶ τοὺς ὅσοι περ ἦσαν τῶν αὐτῷ προσιόντων νουνε χέστεροι, ὡς εἴη μὲν αὐτὸς ὁ κατὰ φύσιν Υἱὸς καὶ Θεὸς, ἥκοι δὲ τῆς ἁπάντων ἕνεκα σωτηρίας ἐν ἀνθρωπείᾳ μορφῇ. τίς οὖν ὁ τρόπος ὁ πρὸς πίστιν ἐπαγωγός; ἡ θεοπρεπὴς δηλονότι γνῶσις. τὸ γὰρ εἰδέναι τὰ πάντα, μόνῳ πρέπει Θεῷ· ἀποδέχεται τοιγαροῦν τὸν Ναθαναὴλ, οὐ κολακείαις ἁρπάζων εἰς διάθεσιν, ἀλλ' ἐξ ὧν αὐτῷ συνῄδει πιστού μενος, ὅτι γινώσκει καρδίας, ὡς Θεός. Πόθεν με γινώσκεις; Ἄρχεται θαυμάζειν ὁ Ναθαναὴλ, καὶ καλεῖται πρὸς πίστιν ἤδη βεβαίαν· ἔτι δὲ μανθάνειν ἀξιοῖ, πόθεν ἂν ἔχοι τῶν κατ' αὐτὸν τὴν γνῶσιν· ἀκριβεῖς γὰρ λίαν αἱ φιλομαθεῖς καὶ 1.199 φιλόθεοι ψυχαί. ὑπονοεῖ δὲ ἴσως παρὰ Φιλίππου τι κατ' αὐτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεδεῖχθαι τὸν Κύριον. Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκὴν εἶδόν σε. Ἔλυσεν αὐτῷ τὴν ὑπόνοιαν ὁ Σωτὴρ, καὶ πρὸ τῆς τοῦ Φιλίππου συντεύξεώς τε καὶ ὁμιλίας ἑωρακέναι φάσκων αὐτὸν ὑπὸ τὴν συκὴν, καίτοι μὴ παρὼν τῷ σώματι. χρησίμως τε σφόδρα καὶ ἡ συκὴ καὶ ὁ τόπος ὀνομάζεται, τὴν τοῦ τεθεωρῆσθαι πίστιν αὐτὸν ἐγγυώμενα· ὁ γὰρ ἀκριβῶς ἤδη μαθὼν καὶ τὸ σὺν αὐτῷ, ἑτοίμως ἂν παρεδέξατο. Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. Οἶδε μόνον ὄντα καρδιῶν ἐρευνητὴν τὸν Θεὸν, οὐδενὶ δὲ ἑτέρῳ τῶν ἀνθρώπων δίδωσιν ἐξεπίστασθαι νοῦν, τὸ ἐν ψαλ μοῖς ἐκεῖνο κατὰ τὸ εἰκὸς ἐνθυμούμενος "Ἐτάζων καρδίας "καὶ νεφροὺς ὁ Θεός." ὡς γὰρ οὐδενὶ τῶν ἄλλων προσὸν, μόνῃ τῇ θείᾳ φύσει καὶ τοῦτο ἐξαίρετον ὁ μελῳδὸς ἀνατέ θεικεν. οὐκοῦν ἐν ἀφθόγγοις ἔτι ψιθυρισμοῖς τὴν ὑπόνοιαν αὐτῷ στρεφομένην κατὰ τὸν νοῦν ἐπείπερ ἔγνω θεωροῦντα τὸν Κύριον, διδάσκαλον μὲν εὐθὺς ἀποκαλεῖ, προθύμως ἤδη τὴν ὑπ' αὐτῷ μαθητείαν εἰσβαίνων, Θεοῦ δὲ Υἱὸν ὁμολογεῖ καὶ βασιλέα τοῦ Ἰσραὴλ, ᾧπερ ἂν ἐνυπάρχοι τὰ τῆς θεότητος ἴδια, τοῦτον εἶναι πάντως καὶ κατὰ φύσιν Θεὸν εὐπαιδεύτως διαβεβαιούμενος. Ὅτι εἶπόν σοι ὅτι Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. Ἀσφαλέστερος ἔσῃ πρὸς πίστιν, φησὶν, ὅταν ἴδῃς τὰ 1.200 τούτων μείζονα· ὁ γὰρ ἑνὶ σημείῳ πεπιστευκὼς, πῶς οὐκ ἔσται πάντως διὰ πολλῶν ἐν ἀμείνοσιν, ὅταν δὴ μάλιστα φαίνοιντο τῶν ἤδη τεθαυμασμένων ἀξιολογώτερα; Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. Κοινὸς ἤδη πρὸς πάντας ὁ λόγος ἐπισφραγίζων τοῦ Ναθαναὴλ τὴν πίστιν. ἀγγέλους δὲ ὀφθήσεσθαι λέγων ἄνω τε καὶ κάτω τρέχοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου, τουτέστιν, ὑπηρετοῦντας καὶ διακονουμένους τοῖς αὐτοῦ διατάγμασιν, εἰς τὴν τῶν μελλόντων πιστεύειν σωτηρίαν, τότε δὴ μάλιστα Θεοῦ κατὰ φύσιν ὑπάρχων Υἱὸς ἀναδειχθήσεσθαί φησιν. οὐ γὰρ ἀλλήλαις αἱ λογικαὶ δυνάμεις, Θεῷ δὲ πάντως δουλεύ ουσιν. οὐκ ἀναιρεῖ δὲ ὁ λόγος τὴν ἐν ἀγγέλοις ὑποταγήν· οὐδὲ γὰρ ἂν εὐλόγως τοῦτο καλοῖτο δουλεία· ἀκηκόαμεν δὲ διὰ τῶν ἁγίων Εὐαγγελιστῶν ὅτιπερ "ἄγγελοι προσῆλθον" τῷ Σωτῆρι Χριστῷ "καὶ διηκόνουν αὐτῷ." Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον, καὶ ὑστερήσαντος οἴνου λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν Οἶνον οὐκ ἔχουσι· καὶ λέγει αὐτῇ ὁ Ἰησοῦς. Εὐαφόρμως ἔρχεται λοιπὸν ἐπὶ τὴν τῶν σημείων ἀρχὴν, εἰ καὶ ἀβουλήτως ἐδόκει καλεῖσθαι πρὸς αὐτήν· πανηγύρεως γὰρ τῆς ἐπὶ γάμῳ τελουμένης, δῆλον δὲ δήπου πάντως ὅτι σεμνῶς, πάρεστι μὲν τοῦ Σωτῆρος ἡ μήτηρ, κεκλημένος δὲ καὶ αὐτὸς τοῖς οἰκείοις συναφικνεῖται μαθηταῖς θαυματουρ 1.201 γήσων μᾶλλον ἤπερ συνεστιασόμενος, ἔτι τε πρὸς τούτῳ καὶ αὐτὴν ἁγιάσων τῆς ἀνθρώπου γενέσεως τὴν ἀρχήν· ὅσον δὲ ἧκεν εἰς τὴν σάρκα φαμέν. ἔδει γὰρ αὐτὴν τὴν ἀνθρώπου φύσιν ἀνακεφαλαιούμενον, καὶ ὅλην ἀνασκευάζοντα πρὸς τὸ ἄμεινον, μὴ μόνον τοῖς ἤδη πρὸς τὸ ὑπάρξαι κεκλημένοις διανέμειν τὴν εὐλογίαν, ἀλλὰ καὶ τοῖς ὅσον οὐδέπω τεχθη σομένοις προευτρεπίζειν τὴν χάριν, καὶ ἁγίαν αὐτῶν κατα στῆσαι τὴν εἰς τὸ εἶναι πάροδον. Καὶ τρίτην ἐπὶ τούτῳ δέχου τὴν ἀπολογίαν. εἴρητό που πρὸς τὴν γυναῖκα παρὰ Θεοῦ "Ἐν λύπαις τέξῃ τέκνα." πῶς οὖν ἔδει καὶ ταύτην ἡμᾶς ἀποκρούσασθαι τὴν ἀρὰν, ἢ πῶς ἂν ἦν ἑτέρως διαφυγεῖν καταδεδικασμένον τὸν γάμον; ἔλυσε καὶ τοῦτο φιλάνθρωπος ὢν ὁ Σωτήρ. τετίμηκε τῇ παρουσίᾳ τὸν γάμον, ἡ πάντων εὐθυμία καὶ χαρὰ, ἵνα τῆς τεκνογονίας τὴν ἀρχαίαν ἐξελάσῃ κατήφειαν· "Εἴ τις γὰρ ἐν "Χριστῷ, καινὴ κτίσις καὶ τὰ ἀρχαῖα παρῆλθεν," ὡς ὁ Παῦλός φησι, "γέγονε δὲ καινά." ἔρχεται τοιγαροῦν ὁμοῦ τοῖς οἰκείοις μαθηταῖς εἰς τὸν γάμον· ἔδει γὰρ παρεῖναι τῷ θαυματουργῷ τοὺς τῶν παραδόξων φιλοθεάμονας, τροφὴν ὥσπερ τινὰ τῇ ἐν αὐτοῖς πίστει συλλέξοντας τὸ τελούμενον. ἐπειδὴ δὲ οἶνος ἐπιλελοίπει τοὺς ἑστιωμένους,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ τὴν συνήθη φιλανθρωπίαν ἀγαθὸν ὄντα τὸν Κύριον ἡ μήτηρ ἐκάλει λέ γουσα Οἶνον οὐκ ἔχουσιν· ὡς γὰρ ἐνὸν ἐπ' ἐξουσίαις αὐτῷ πᾶν ὅπερ ἂν βούλοιτο ποιεῖν, εἰς τὸ θαῦμα προτρέπει. Τί ἐμοὶ καὶ σοὶ, γύναι; οὔπω ἥκει ἡ ὥρα μου. Ἄριστα καὶ τοῦτον ἡμῖν τὸν λόγον ὁ Σωτὴρ ἐσχηματί ζετο. οὐ γὰρ ἔδει δρομαῖον ἐπὶ τὸ πράττειν ἐλθεῖν, οὐδὲ αὐτόμολον ὥσπερ ὁρᾶσθαι θαυματουργὸν, κεκλημένον δὲ 1.202 μόλις ἐπὶ τοῦτο βαδίζειν, καὶ τῇ χρείᾳ μᾶλλον ἤπερ τοῖς ὁρῶσιν ἐπιδοῦναι τὴν χάριν. δοκεῖ δέ πως εἶναι καὶ χαριε στέρα τῶν ποθουμένων ἡ ἔκβασις, οὐκ ἐκ τοῦ προχείρου τοῖς αἰτοῦσι χορηγουμένη, διὰ δὲ μικρᾶς ὑπερθέσεως εἰς ἐλπίδα καλλίστην ἀνωθουμένη. ἄλλως τε καὶ διὰ τούτου τὴν τοῖς τεκοῦσι χρεωστουμένην τιμὴν ἀξιολογωτάτην ὑπάρχουσαν ἐπιδεικνύει Χριστὸς, ὅπερ οὔπω πράττειν ἤθελεν αἰδοῖ τῇ περὶ μητέρα καταδεχόμενος. Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις Ὅ τι ἐὰν λέγῃ ὑμῖν, ποιήσατε. Πολλὴν ἔχουσα τὴν ῥοπὴν εἰς τὸ γενέσθαι τὸ θαῦμα, νενίκηκεν ἡ γυνὴ πείθουσα διὰ τὸ πρέπον ὡς υἱὸν τὸν Κύριον. ἄρχεται δὲ τοῦ πράγματος αὐτὴ πρὸς ὑπουργίαν ἤδη τῶν γενέσθαι προσταττομένων τοὺς τῆς πανηγύρεως ὑπηρέτας εὐτρεπίζουσα. Λέγει αὐτοῖς ὁ Ἰησοῦς Γεμίσατε τὰς ὑδρίας ὕδατος. καὶ ἐγέμισαν ἕως ἄνω. καὶ λέγει αὐτοῖς Ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ, καὶ ἤνεγκαν. ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ· φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος καὶ λέγει αὐτῷ Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅτε μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Πληροῦσι μὲν οἱ διακονοῦντες τὸ προσταχθὲν, ἀφάτῳ δὲ δυνάμει τὸ ὕδωρ εἰς οἶνον μετεσκευάζετο. τί γὰρ ἂν γένοιτο χαλεπὸν τῷ πάντα ἰσχύοντι; ὁ δὲ τὰ οὐκ ὄντα καλῶν εἰς γένεσιν, πῶς ἂν κάμοι τὰ ἤδη πεποιημένα μεταῤῥυθμίζων ἐφ' 1.203 ὅπερ ἂν βούλοιτο; ἀποθαυμάζουσι δὲ τὴν χρῆσιν ὡς ἐξαί ρετον· οὐ γὰρ ἦν ἑτέρως ὁρᾶσθαι τὰ διὰ Χριστοῦ. αἰτιᾶται δὲ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος, ὡς ἐν ὑστέρῳ τοῦ δείπνου καιρῷ δαπανῶντα τὸ ἄμεινον, οὐκ ἀκόμψως ὥς γε μοι φαίνεται κατά γε τὸν τῆς ἱστορίας λόγον. Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. Πολλὰ κατὰ ταὐτὸν ἐτελεῖτο τὰ κάλλιστα δι' ἑνὸς καὶ πρώτου σημείου. γάμος μὲν γὰρ ὁ τίμιος ἡγιάζετο, ἀρὰ δὲ ἡ κατὰ γυναικὸς ἐκποδών· οὐ γὰρ ἐν λύπαις ἔτι τέξονται τέκνα, καὶ αὐτὴν ἡμῶν τῆς γεννήσεως τὴν ἀρχὴν εὐλογή σαντος τοῦ Χριστοῦ. ἡλιακῆς δὲ δίκην ἀκτῖνος ἡ τοῦ Σωτῆρος ἡμῶν ἀνέλαμψε δόξα, καὶ τὸ μεῖζον ἐπὶ τούτοις βεβαιοῦνται πρὸς πίστιν ἀπὸ τοῦ θαυμάζειν οἱ μαθηταί. Ὁ μὲν οὖν τῆς ἱστορίας λόγος ἐν τούτοις στήσεται· οἶμαι δὲ δεῖν καὶ ἑτέραν τοῖς εἰρημένοις ἐπινοεῖσθαι τὴν θεωρίαν, καὶ τί τὸ ἐντεῦθεν ὑποδηλούμενον εἰπεῖν. κατα βέβηκε τοίνυν ἐξ οὐρανῶν ὁ τοῦ Θεοῦ Λόγος, ὡς αὐτός που φησὶν, ἵνα τὴν ἀνθρώπου φύσιν νυμφίου δίκην οἰκειω σάμενος κυοφορεῖν ἀναπείσῃ τὰ πνευματικὰ τῆς σοφίας σπέρματα. καὶ νύμφη μὲν εἰκότως ἡ ἀνθρωπότης διὰ τούτου καλεῖται, νυμφίος δὲ ὁ Σωτὴρ, ἐκ τῶν καθ' ἡμᾶς εἰς νόησιν τὴν ὑπὲρ ἡμᾶς ἀνατεινούσης τὸν λόγον τῆς θείας γραφῆς· συγκροτεῖται δὲ ὁ γάμος ἐν ἡμέρᾳ τῇ τρίτῃ, τουτέστιν, ἐν ἐσχάτοις τοῦ παρόντος αἰῶνος καιροῖς· ὁ γὰρ τρίτος ἡμῖν ἀριθμὸς ἀρχὴν εἰσφέρει καὶ μεσότητα καὶ τέλος· οὕτω γὰρ 1.204 ὁ σύμπας ἐκμετρεῖται χρόνος. τούτῳ φανεῖται προσεοικὸς τὸ δι' ἑνός που τῶν ἁγίων προφητῶν εἰρημένον "Πατάξει, "καὶ μοτώσει ἡμᾶς, ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας ἐν τῇ "ἡμέρᾳ τῇ τρίτῃ· καὶ ἀναστησόμεθα καὶ ζησόμεθα ἐνώπιον "αὐτοῦ, καὶ γνωσόμεθα· διώξομεν τοῦ γνῶναι τὸν Κύριον, "ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν." ἔπληξε μὲν γὰρ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν εἰπών "Γῆ εἶ καὶ εἰς γῆν ἀπε "λεύσῃ·" τὸ δὲ φθορᾷ καὶ θανάτῳ πεπληγὸς πάλιν ἐμό τωσεν αὐτὸς κατὰ τὴν τρίτην ἡμέραν, τουτέστιν, οὐκ ἐν πρώτοις, οὐδὲ ἐν μέσοις, ἀλλ' ἐν ἐσχάτοις καιροῖς, ὅτε δι' ἡμᾶς γενόμενος ἄνθρωπος ὑγιᾶ τὴν φύσιν ἀπέδειξεν ὅλην, ἐκ νεκρῶν ἀναστήσας ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑαυτῷ. διάτοι τοῦτο καλεῖται καὶ "ἀπαρχὴ τῶν κεκοιμημένων·" οὐκοῦν διὰ τοῦ τὴν τρίτην ἡμέραν εἰπεῖν, καθ' ἣν ὁ γάμος ἐτελεῖτο, τὸν τελευταῖον σημαίνει καιρόν· καταμηνύει δὲ καὶ τὸν τόπον· ἐν Κανᾷ γὰρ τῆς Γαλιλαίας φησίν. ἐπιτηρείτω δὲ πάλιν ὁ φιλομαθής· οὐ γὰρ ἐν τοῖς Ἱεροσολύμοις ἡ πανήγυρις, ἔξω δὲ τῆς Ἰουδαίας τὸ δεῖπνον, ὡς ἐν τῇ τῶν ἐθνῶν ἐπιτελεῖται χώρᾳ. "Γαλι "λαία γὰρ τῶν ἐθνῶν," ὡς ὁ προφήτης φησίν. δῆλον δὲ δήπου πάντως ἐστὶν, ὡς ἡ μὲν τῶν Ἰουδαίων Συναγωγὴ τὸν ἐξ οὐρανῶν ἀπεώσατο νυμφίον, προσεδέξατο δὲ, καὶ λίαν ἀσμένως, ἡ ἐξ ἐθνῶν Ἐκκλησία. ἔρχεται δὲ εἰς τοὺς γάμους οὐκ αὐτόμολος ὁ Σωτήρ· πολλαῖς γὰρ ἁγίων ἐκα λεῖτο φωναῖς. ἀλλ' οἶνος ἐπιλελοίπει τοὺς ἑστιωμένους· οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, οὐκ ἐξήρκει πρὸς τὸ εὐφρᾶναι τελείως τὸ γράμμα τὸ Μωυσαϊκόν· ἀλλ' οὐδὲ αὐτὸ τὸ τῆς ἐμφύτου νήψεως μέτρον εἰς τὸ δύνασθαι διασώζειν ἡμᾶς ἐξετείνετο. οὐκοῦν ἀληθὲς ἂν εἴη καὶ ἐφ' ἡμῶν τό Οἶνον οὐκ ἔχουσιν, εἰπεῖν· ὁ δὲ πλουσιόδωρος ἡμῶν Θεὸς οὐ περιορᾷ τῇ τῶν ἀγαθῶν ἐνδείᾳ τριβομένην τὴν φύσιν. οἶνον ἡμῖν 1.205 ἀνέδειξε τοῦ πρώτου βελτίονα· "Τὸ γὰρ γράμμα ἀποκτένει, "τὸ δὲ πνεῦμα ζωοποιεῖ·" καὶ ὁ μὲν νόμος οὐκ ἔχει τὸ τέλειον ἐν ἀγαθοῖς· τὰ δὲ θεῖα τῆς εὐαγγελικῆς διδασκαλίας παιδεύματα, πληρεστάτην εἰσφέρει τὴν εὐλογίαν. θαυμάζει δὲ τὸν οἶνον τὸν νέον ὁ ἀρχιτρίκλινος· ἕκαστος γὰρ, οἶμαι, τῶν εἰς τὴν θείαν ἱερωσύνην κατατεταγμένων καὶ πεπιστευ μένων τὸν οἶκον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τὸν ὑπὲρ νόμον αὐτοῦ καταπλήττεται λόγον. πρώτῳ δὲ αὐτῷ κελεύει δοθῆναι Χριστὸς, ὅτι κατὰ τὴν τοῦ Παύλου φωνήν "Τὸν "κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμ "βάνειν," καὶ νοείτω πάλιν ὁ ἀκροατὴς, ὃ λέγω. Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους. Ἐξελέγχονται πάλιν καὶ διὰ τούτων Ἰουδαῖοι τῶν δο θέντων αὐτοῖς ὑπερφρονοῦντες νόμων, καὶ γραμμάτων μὲν Μωυσαϊκῶν οὐδένα ποιούμενοι λόγον, εἰς μόνην δὲ βλέ ποντες τὴν φιλοκερδίαν. προκαθαίρεσθαι γὰρ κατὰ ποικί λους τρόπους τοῦ νόμου κελεύοντος τοὺς οἵπερ ἔμελλον εἰς τὸν θεῖον ἀναβήσεσθαι ναὸν, ἀργυραμοιβοὺς ἤτοι κερμα τιστὰς, καὶ ἑτέρους ἐπὶ τούτοις, οἷς πλεονεξία τὸ ἐπιτήδευμα καὶ τόκος καὶ πλεονασμὸς ἐν ἐπιθυμίαις· ὅλος γὰρ ἐν τούτοις ὁ τῶν ἐμπόρων σκοπὸς συντείνεται· τὴν ἁγίαν καταμολύ ναντας οὐκ ἀπεῖργον αὐλὴν, ἀνίπτοις δὲ ὥσπερ εἰς αὐτὴν εἰσιέναι ποσὶ καὶ αὐτοὶ δὴ πάντως ἐπέταττον οἱ διακωλύειν ἰσχύοντες· ἵνα δὴ φαίνηται λέγων ἀληθῆ περὶ αὐτῶν ὁ Θεὸς ὅτι "Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμό "λυναν τὴν μερίδα μου, ἔδωκαν μερίδα ἐπιθυμητήν μου εἰς "ἔρημον ἄβατον, ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας." διεφ 1.206 θάρη γὰρ ὄντως ὁ δεσποτικὸς ἀμπελὼν, σέβας μὲν αὐτὸ τὸ περὶ τὸ θεῖον πατεῖν διδασκόμενος, ταῖς δὲ τῶν προεστηκότων αἰσχροκερδίαις εἰς πᾶσαν ἀπαιδευσίαν ἀποχερσούμενος. Καὶ ποιήσας ὡς φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ. Ἀγανακτεῖ μὲν εἰκότως ἐπὶ ταῖς τῶν Ἰουδαίων ἀπονοίαις ὁ Σωτήρ· οὐ γὰρ οἶκον ἐμπορίου τὸν θεῖον ἐχρῆν ἀποτε λεῖσθαι ναὸν, ἀλλ' οἶκον εὐχῆς· οὕτω γὰρ γέγραπται. δεικνύει δὲ οὐκ ἐν ψιλοῖς τὸ κίνημα λόγοις, ἀλλὰ πληγαῖς καὶ μάστιγι τῶν ἱερῶν ἐξωθεῖ περιβόλων, δουλοπρεπῆ δι καίως αὐτοῖς ἐπινοήσας τὴν τιμωρίαν· οὐ γὰρ ἔμελλον ὑποδέξασθαι τὸν ἐλευθεροῦντα διὰ πίστεως Υἱόν. ὅρα δέ μοι καλῶς ὡς ἐν εἰκόνι πραγμάτων καταγραφόμενον τὸ διὰ τοῦ Παύλου λεγόμενον "Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρῃ, "φθερεῖ τοῦτον ὁ Θεός." Ἄρατε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. Ἐπιτάττει μὲν ὡς δεσπότης, χειραγωγεῖ δὲ πρὸς τὸ πρέπον ὡς διδάσκαλος, παρατίθησί τε τῇ κολάσει τὴν τῶν πταισμάτων ἐξήγησιν, αἰδοῖ τῇ περὶ αὐτὰ χαλεπαίνειν οὐκ ἐῶν τὸν ἐπιτιμώμενον. σημειωτέον δὲ ὅτι πάλιν οἰκεῖον ἀποκαλεῖ Πατέρα μοναδικῶς τὸν Θεὸν, ὡς αὐτὸς δὴ καὶ μόνος κατὰ φύσιν ὑπάρχων ἐξ αὐτοῦ καὶ γεγεννημένος ἀληθῶς. εἰ γὰρ μὴ τοῦτον ἔχει τὸν τρόπον, ἔστι δὲ ὄντως μεθ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῶν ὁ Λόγος υἱὸς, ὡς εἷς ἐξ ἡμῶν, κατὰ θέσιν δη 1.207 λονότι καὶ κατὰ μόνον τὸ ἐν θελήσει τοῦ Πατρὸς, ὅτου δὴ χάριν τὸ κοινὸν δήπου καὶ πᾶσι προκείμενον καύχημα, μόνος εἰς ἑαυτὸν ἁρπάζει λέγων Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου καὶ οὐχὶ μᾶλλον τὸν οἶκον τοῦ Πατρὸς ἡμῶν; τοῦτο γὰρ ἦν ἴσως ἀκολουθότερον εἰπεῖν, εἴπερ ἕνα τῶν οὐκ ὄντων κατὰ φύσιν υἱῶν καὶ ἑαυτὸν ἐξηπίστατο. ἐπειδὴ δὲ οὐκ ἐν τοῖς κατὰ χάριν υἱοῖς, ἀλλ' ἐκ τῆς οὐσίας ὄντα τοῦ Θεοῦ καὶ Πατρὸς ἑαυτὸν ὁ Λόγος ὄντα γινώσκει, ἔξω τῶν ἄλλων τίθησιν, ἴδιον Πατέρα καλῶν τὸν Θεόν. ἁρμόσει μὲν γὰρ τοῖς εἰς υἱότητα κεκλημένοις καὶ ἐπακτὸν ἔχουσι τὸ ἀξίωμα προσευχομένοις ἀναβοᾶν "Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·" εἷς δὲ καὶ μόνος ἐξ ἑνὸς ὑπάρχων ὁ Μονογενὴς, ἴδιον εἰκότως ἀποκαλέσει πατέρα τὸν Θεόν. Εἰ δὲ δεῖ τοῖς προκειμένοις προσβάλλοντας, λογικώτερον ἐφαρμόσαι τοῖς ἀνωτέρω καὶ ταῦτα, θεωρητέον ἑτέρως τὸ ἀνάγνωσμα. Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας τὰ πρόβατα καὶ τοὺς βόας, καὶ τὰ ἑξῆς. Θέα δὴ πάλιν ὅλον τῆς καθ' ἡμᾶς οἰκονομίας τὸ σχῆμα διὰ δύο πραγμάτων ἐξυφασμένον. Καναναίοις μὲν γὰρ τοῖς κατὰ τὴν Γαλιλαίαν, φημὶ, καὶ συνεστιᾶται καὶ συναυλίζεται Χριστὸς, καὶ ὁμοτραπέζους ἐποιεῖτο τοὺς κεκληκότας αὐτὸν, καὶ διὰ τοῦτο τιμήσαντας· καὶ διὰ σημείων ὠφελεῖ, καὶ τὸ λεῖπον αὐτοῖς εἰς εὐφρασίαν ἀναπληροῖ· καὶ τί γὰρ οὐχὶ τῶν ἀγαθῶν ἐπιδαψιλεύεται; ὡς διὰ τύπου διδάσκων, ὅτι καὶ προσδέξεται τοὺς τῆς Γαλιλαίας οἰκήτορας, τουτέστι τὰ ἔθνη, κεκλημένος ὥσπερ πρὸς αὐτὰ διὰ τῆς ἐν αὐτοῖς πίστεως, καὶ εἰς τὸν οὐράνιον εἰσάξει παστὸν, εἰς τὴν τῶν πρωτοτόκων Ἐκκλησίαν δηλαδὴ, καὶ συνανακλινεῖ τοῖς ἁγίοις 1.208 αὐτά· συνανέκειντο γὰρ τοῖς ἑστιωμένοις οἱ ἅγιοι μαθηταί· καὶ τῆς θείας καὶ πνευματικῆς συμμεθέξουσιν ἑορτῆς, καθὰ καὶ αὐτός που φησίν "Ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ "δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ "Ἰσαὰκ καὶ Ἰακὼβ," οὐδενὸς αὐτοῖς εἰς θυμηδίαν ἐλλεί ποντος· "Εὐφροσύνη γὰρ αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν." τοὺς δὲ ἀπειθήσαντας Ἰουδαίους τόπων μὲν τῶν ἁγίων ἐκβαλεῖ, ἔξω δὲ θήσει τῆς ἱερᾶς τῶν ἁγίων περιβολῆς· ἀλλὰ καὶ προσάγοντας τὰ εἰς θυσίαν οὐ προσδέξεται· κολάσει δὲ μᾶλλον καὶ μάστιγι ὑποθήσει, σειραῖς τῶν οἰκείων πλημ μελημάτων κατεσφιγμένους. ἄκουε γὰρ λέγοντος "Ἄρατε "ταῦτα ἐντεῦθεν," ἵνα πάλιν ἐκεῖνα νοῇς, ἃ δὴ καὶ πάλαι διὰ φωνῆς τοῦ προφήτου φησὶν Ἡσαΐου "Ὁλοκαυτωμάτων "κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ "βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. τίς γὰρ ἐξεζήτησε "ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ "προσθήσεσθε· ἐὰν φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα, "βδέλυγμά μοι ἐστί· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα "καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν "καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς "πλησμονὴν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν." ὅπερ ἄριστα διὰ τύπου σημαίνει τὸ ἐκ σχοινίων αὐτοῖς ἐπινοήσας φραγέλλιον· κολάσεως γὰρ σημεῖον αἱ μάστιγες. 1.209 Ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστίν Ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με. Ἐρανίζονται κατὰ βραχὺ τὸ ἐν γνώσει τέλειον οἱ μαθηταὶ καὶ, ταῖς τῶν πραγμάτων ἐκβάσεσι τὰ γεγραμμένα συμβάλ λοντες, πολλὴν ἤδη δεικνύουσι τὴν ἐπὶ τὸ μεῖζον ἐπίδοσιν. Τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς; Καταπλήττεται τῆς ἐξουσίας τὸ ξένον ἡ τῶν Ἰουδαίων πληθὺς, δυσφοροῦσι δὲ λίαν οἱ τῷ ναῷ προσεδρεύοντες, κερδῶν οὐκ εὐαριθμήτων ἀποστερούμενοι. καὶ διελέγχειν μὲν οὐκ ἔχουσιν, ὡς οὐκ ἄριστα λέγοι, μὴ δεῖν ἐμπορίας οἶκον τὸν θεῖον ἀναδείκνυσθαι ναὸν ἐπιτάττων· ὑπερθέσεις δὲ πάλιν τῇ τῶν ἐμπόρων φυγῇ πραγματεύονται, τὸ μὴ προχείρως χρῆναι ὑπείκειν αὐτῷ προφασιζόμενοι, μήτε μὴν ἀπερισκέπτως εἰς Υἱὸν παραδέξασθαι τοῦ Θεοῦ τὸν ὑπ' οὐδενὸς σημείου μαρτυρούμενον. Λύσατε τὸν ναὸν τοῦτον. Τοῖς ἐξ ἀγαθῆς προαιρέσεως αἰτοῦσι τὰ ἀγαθὰ καὶ λίαν ἑτοίμως ὀρέγει Θεός· τοῖς δὲ προσιοῦσι πειραστικῶς, οὐχ ὅπως ἀρνεῖται μόνον τὴν ἐφ' οἷς ἂν αἰτῶσι φιλοτιμίαν, ἀλλὰ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ τῆς πονηρίας ἔγκλημα περιτίθησιν. οὕτως αἰτοῦντας σημεῖον τοὺς Φαρισαίους ἐν ἑτέροις τῶν εὐαγγε λίων τόποις ἤλεγξεν εἰπὼν ὁ Σωτὴρ "Γενεὰ πονηρὰ καὶ "μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ "εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· ὥσπερ γὰρ ἦν 1.210 "Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς "νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ "τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας." ὅπερ οὖν ἐκείνοις ἔφη, τοῦτο καὶ τούτοις μετ' ὀλίγης ἐξαλλαγῆς· αἰτοῦσι γὰρ, ὡς ἐκεῖνοι, πειράζοντες. οὐκ ἂν δὲ ὅλως τοῖς οὕτως ἔχουσι γνώμης οὐδὲ τοῦτο δέδοτο τὸ σημεῖον, εἰ μὴ πάντως ἔδει γενέσθαι διὰ τὴν ἁπάντων ἡμῶν σωτηρίαν. Ἰστέον δὲ ὅτι ταύτην αὐτῷ τῆς κατηγορίας τὴν πρόφασιν ἐποιήσαντο, λέγοντες ἐπὶ Ποντίου Πιλάτου διεψευσμένως, ὅπερ οὐκ ἤκουσαν· "Οὗτος γὰρ ἔφη, φασί Δύναμαι κατα "λῦσαι τὸν ναὸν τοῦ Θεοῦ." διὸ δὴ καὶ ἐπ' αὐτοῖς ἐν προ φήταις ἔφασκεν ὁ Χριστός "Ἀναστάντες μοι μάρτυρες "ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἐρώτων με·" καὶ πάλιν "Ὅτι "ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία "ἑαυτῇ." οὐ προτρέπει δὲ αὐτοὺς εἰς μιαιφονίαν Λύσατε τὸν ναὸν τοῦτον εἰπών· ἀλλ' ἐπείπερ ᾔδει δράσοντας ἀνυπερθέτως, αὐτὸ τὸ συμβήσεσθαι μέλλον ἠθικῶς ὑπαινίττεται. Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; Διαγελῶσι τὸ σημεῖον, οὐ συνιέντες τοῦ μυστηρίου τὸ βάθος, ἁρπάζουσι δὲ τῆς ἑαυτῶν ἀμαθίας τὴν νόσον εἰς εὔλογον ἀφορμὴν τοῦ μὴ ὑπακούειν αὐτῷ, καὶ τὴν ἀπὸ τοῦ πράγματος ἐννοοῦντες δυσχέρειαν, ὡς εἰκαιολόγῳ μᾶλλον ἤπερ τι τῶν ἐφικτῶν ὑπισχνουμένῳ προσεσχήκασιν, ἵνα φαίνηται τὸ γεγραμμένον ἐπ' αὐτοῖς ἀληθές "Σκοτισθή "τωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον "αὐτῶν διὰ παντὸς σύγκαψον," ἵνα τρόπον τινὰ κάτω 1.211 κεκυφότες ἀεὶ, καὶ εἰς μόνα τὰ ἐπὶ τῆς γῆς κατανεύοντες πράγματα, τῶν ὑψηλῶν τῆς εἰς Χριστὸν εὐσεβείας δογμάτων μηδεμίαν δέχοιντο θεωρίαν, οὐ βασκαίνοντος αὐτοῖς ἐπὶ τούτοις τοῦ φιλανθρώπου Θεοῦ, ἰσοστάθμῳ δὲ μᾶλλον κολάζοντος δίκῃ τοὺς ἀφόρητα πλημμελήσαντας. Ὅρα γὰρ ὅπως ἀνοήτως ὑβρίζουσι τῆς ἑαυτῶν ἄφει δοῦντες ψυχῆς. ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἴδιον ἐκάλει Πατέρα τὸν Θεόν "Μὴ ποιεῖτε λέγων τὸν οἶκον "τοῦ Πατρός μου οἶκον ἐμπορίου." εἶτα δέον αὐτοὺς Υἱὸν ἤδη καὶ Θεὸν, ὡς ἐκ Θεοῦ καὶ Πατρὸς πεφηνότα νοεῖν, ἄνθρωπον ἔτι γυμνὸν καὶ τῶν καθ' ἡμᾶς ὑπάρχειν ἕνα πιστεύουσι. διά τοι τοῦτο, καὶ τὸν ἐπὶ τῇ τοῦ ναοῦ κατα σκευῇ δαπανηθέντα χρόνον προτείνουσι λέγοντες Τεσσαρά κοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; ἀλλ' ὦ πάσῃ μεθύοντες ἀπονοίᾳ, δικαίως ἂν οἶμαι λέγειν αὐτοῖς, εἰ σοφὸς ὑμῖν ἐνῴκισται νοῦς, εἰ τὸν παρ' ὑμῖν ὄντα ναὸν οἶκον εἶναι Θεοῦ πιστεύετε, πῶς οὐκ ἔδει Θεὸν ὄντα κατὰ φύσιν ἐννοεῖν τὸν ἀκινδύνως εἰπεῖν θαρσήσαντα "Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου "οἶκον ἐμπορίου;" εἶπα πῶς ἂν, εἰπέ μοι, λοιπὸν μακρῶν ἐδεήθη χρόνων εἰς τὴν ἑνὸς οἴκου κατασκευήν; ἢ πῶς ἂν ἠτόνησε πρὸς ὅπερ ἂν τύχοι γενικῶς, ὁ ἐν μόναις ἡμέραις ἑπτὰ τὸν ἀριθμὸν τόδε τὸ σύμπαν ἀφάτῳ δυνάμει διατεχνη σάμενος, καὶ ἐν μόνῳ τῷ θέλειν ἔχων τὸ δύνασθαι; ταῦτα γὰρ ἔδει λογίζεσθαι τὸν τῶν ἱερῶν γραμμάτων ἐπιστήμονα λαόν. 1.212 Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ὅτε οὖν ἠγέρθη ἐκ τῶν νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγε, καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς. Εὐπαράδεκτος τῷ σοφῷ τῆς σοφίας ὁ λόγος· ἐνιζάνει δὲ τῶν μαθημάτων ἡ γνῶσις τοῖς συνετοῖς εὐπετέστερον, καὶ ὥσπερ ἐν κηρῷ μὴ λίαν ἀπεσκληκότι, καλῶς ἐγγράφεται τῶν σημάντρων ὁ τύπος, οὕτως ἐν τρυφερωτέραις καρδίαις ἀνθρώπων ὁ θεῖος ἑτοίμως ἐμπήγνυται λόγος· διὰ τοῦτο, καὶ πονηρὸς ὁ σκληροκάρδιος ὀνομάζεται. σοφοῦνται τοίνυν ἀγαθοὶ τὴν ἕξιν ὄντες οἱ μαθηταὶ, καὶ τοὺς ἀπὸ τῆς θείας γραφῆς ἀναμασῶνται λόγους, εἰς ἀκριβεστέραν ἑαυτοὺς ἐκ τρέφοντες γνῶσιν, καὶ πεπηγότως ἐντεῦθεν ἐπὶ τὸ πιστεύειν ἐρχόμενοι. ἐπειδὴ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ναὸς ἐπεκλήθη τὸ σῶμα Χριστοῦ, πῶς οὐκ ἂν εἴη κατὰ φύσιν Θεὸς ὁ ἐνοικῶν αὐτῷ Μονογενὴς Λόγος, εἴπερ οὐκ ἐνδέχεται κατοικεῖν ἐν ναῷ λέγεσθαι τὸν οὐκ ὄντα Θεόν; ἢ λεγέτω παρελθὼν τις εἰς μέσον, τίνος ποτὲ τῶν ἁγίων ναὸς ἀπεκλήθη τὸ σῶμα· ἀλλ' οὐκ ἂν οἶμαί τις ἐπιδεῖξαι τὸ εἰρημένον· φημὶ δὴ λοιπὸν, ὃ δὴ καὶ ὑπάρχον εὑρήσομεν ἀληθὲς, ἀκριβῶς τὴν θείαν ἀνερευνῶντες γραφὴν, ὡς οὐδενὶ τῶν ἁγίων ἡ τοιαύτη προσῆπται τιμή. καὶ γοῦν ὁ μακάριος Βαπτιστὴς, καίτοι πάσης μὲν ἀρετῆς εἰς ἀκρότητα βεβηκὼς, μηδενὶ δὲ πρὸς εὐσέβειαν ἐπιτρέψας ἔχειν τὸ μεῖζον, διὰ τῆς Ἡρώδου μανίας τὴν κεφαλὴν ἀπετέμνετο, ἀλλ' οὐδὲν ἐπ' αὐτῷ φέρεται τοιοῦτον. ἐκ δὲ τῶν ἐναντίων, καὶ παχυτέραν ἐπὶ τοῦ λειψάνου τὴν λέξιν ἐπενόησεν ὁ εὐαγγελιστὴς, οἰκονομικῶς, ὥς γε μοι φαίνεται καὶ τοῦτο εἰπὼν, ἵνα μόνῳ σώζηται τῷ Χριστῷ τὸ ἀξίωμα. 1.213 γράφει δὲ οὕτως· καὶ πέμψας, φησὶν, ὁ μιαιφόνος· Ἡρώδης δηλαδή· τὸν Ἰωάννην "ἀπεκεφάλισεν ἐν τῇ φυλακῇ· καὶ "προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ πτῶμα αὐτοῦ·" εἰ δὲ πτῶμα τὸ Ἰωάννου καλεῖται σῶμα, τὸ τίνος ἔσται ναός; καθ' ἕτερον ὄντος λόγον τοῦ ναοὺς ἡμᾶς εἰρῆσθαι Θεοῦ, διὰ τὸ ἐνοικοῦν ἐν ἡμῖν Ἅγιον Πνεῦμα· Θεοῦ γὰρ πάλιν, καὶ οὐχ ἑαυτῶν, χρηματίζομεν ναοί. Ἀλλ' ἴσως ἐρεῖ τις Πῶς οὖν εἰπέ μοι καὶ αὐτὸς ὁ Σωτὴρ τὸ ἴδιον σῶμα, πτῶμα καλεῖ; "Ὅπου γὰρ, φησὶν, ἐὰν ᾖ "τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί." πρὸς δὴ καὶ τοῦτό φαμεν, ὡς οὐ περὶ τοῦ ἰδίου σώματος ἔφη ταῦτα Χριστὸς, ἀλλ' ὡς ἐν τρόπῳ παραβολῆς καὶ σχήματι τὴν ἐσομένην τῶν ἁγίων ἐπ' αὐτὸν συνδρομὴν κατ' ἐκεῖνο ση μαίνει καιροῦ, ὅταν αὖθις ἡμῖν ἐξ οὐρανῶν ἐπιφαίνηται μετὰ τῶν ἁγίων ἀγγέλων "ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ·" ὄνπερ γὰρ, φησὶ, τρόπον αἱ τῶν κρεοφάγων ὀρνέων ἀγέλαι ἐπὶ τὰ πίπτοντα τῶν σωμάτων ὀξεῖ καταφέρονται ῥοίζῳ, οὕτω καὶ ὑμεῖς ἐπ' ἐμὲ συναχθήσεσθε. ὃ δὴ καὶ Παῦλος ἡμῖν ἀπεγύμνου λέγων "Σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἐγερθή "σονται ἄφθαρτοι·" καὶ μὴν καὶ ἑτέρωθι, καὶ "ἡμεῖς ἐν "νεφέλαις ἁρπαγησόμεθα εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς "ἀέρα, καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα." ἀδικήσει τοιγαροῦν οὐδὲν τὸ ἐξ ὁμοιώσεως εἰς εἰκόνα ληφθὲν τῆς ἀληθείας τὴν δύναμιν. Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει. Οὐ καταλήγει διασώζων καὶ ὠφελῶν ὁ Χριστός. τοὺς μὲν γὰρ σοφοῖς ἐπάγεται λόγοις, τοὺς δὲ καὶ δυνάμει 1.214 καταπλήττων θεοπρεπεῖ, σαγηνεύει πρὸς πίστιν, ἐξ ὧν ἐνεργοῦντα τεθέανται, κατανεύειν ἀναπεπεισμένους ὅτι περ ὄντως ὑπάρχοι Θεὸς ὁ τῶν οὕτως ἀξιαγάστων δημιουργός. Αὐτὸς δὲ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς. Οὐκ ἀσφαλὴς ἡ γνώμη τῶν ἄρτι πεπιστευκότων, ἀλλ' οὐδὲ ἱδρυμένος ὁ νοῦς ἐπὶ νεαροῖς τοῖς θαύμασι· καὶ οἱ τρόπον τινὰ χλωρὸν ἔτι τὸν τῆς κατηχήσεως ἔχοντες λόγον, πῶς ἂν εἶεν ἤδη πεπηγότες εἰς εὐλάβειαν; οὔπω τοιγαροῦν τοῖς νεήλυσιν ἑαυτὸν ἐπιτρέπει Χριστὸς, χρῆμά τι μέγα καὶ ἀξιεραστότατον ἐπιδεικνὺς τὴν εἰς Θεὸν γνησιότητα, καὶ οὐχ ἑτοίμως προκεῖσθαι τοῖς ἐθέλουσιν ἑλεῖν, ἀλλ' ἐφέσει τῇ εἰς ἀγαθὸν καὶ μελέτῃ καὶ χρόνῳ κατορθουμένην. Μανθανέτωσαν διὰ τούτων οἱ τῶν τοῦ Σωτῆρος μυστη ρίων ταμίαι, μὴ πρόωρον τῶν ἱερῶν καταπετασμάτων εἴσω ποιεῖσθαι τὸν ἄνθρωπον, μηδὲ νεοφύτους ταῖς θείαις ἐπιτρέ πειν προσιέναι τραπέζαις ἀωρὶ βαπτιζομένους τινὰς, καὶ οὐκ ἐν καιρῷ τὸν ἁπάντων Δεσπότην πιστευομένους Χριστόν. ἵνα γὰρ τύπος ἡμῖν κἀν τούτῳ γένηται, καὶ διδάξῃ τίνι μᾶλλόν ἐστι τὸ μυεῖσθαι πρεπωδέστερον, δέχεται μὲν τοὺς πιστεύοντας, οὔπω δὲ αὐτοῖς ἐπιθαρσήσας ὁρᾶται, διὰ τοῦ μὴ πιστεύειν αὐτόν· ὡς εἶναι δῆλον ἐντεῦθεν, ὅτι χρὴ τοὺς νεήλυδας οὐ μικρὸν ἐν κατηχήσει τρίβεσθαι χρόνον· οὕτω γὰρ ἂν μόλις γένοιντο πιστοί. 1.215 Διὰ τὸ αὐτὸν γινώσκειν πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ. Θεοπρεπὲς καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐν Χριστῷ τὸ ἀξίωμα, καὶ οὐδενὶ τῶν γενητῶν ἐνυπάρχον. μόνῳ γὰρ αὐτὸ τῷ κατ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλήθειαν ὄντι Θεῷ προσάπτει λέγων ὁ ψαλμῳδός "Ο πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς "πάντα τὰ ἔργα αὐτῶν·" εἰ δὲ μόνου συνιέντος τὰ ἐν ἡμῖν τοῦ Θεοῦ συνίησιν ὁ Χριστός· πῶς οὐκ ἔσται κατὰ φύσιν ὁ Θεὸς "ὁ τῶν κρυπτῶν γνώστης," καὶ γινώσκων "βαθέα καὶ "ἀπόκρυφα," καθὰ γέγραπται; "Τίς γὰρ οἶδεν ἀνθρώπων "τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν "αὐτῷ;" εἰδότος δὲ οὐδενὸς, οὐκ ἀγνοήσει Θεός· ἐπεὶ μηδὲ ἐν τοῖς πᾶσι καταριθμεῖταί ποτε, καθ' ὧν ἂν εἰκότως φέροιτο τό Οὐδείς· ὡς δὲ ἔξω πάντων καὶ πάντα ὑπὸ πόδας, εἴσεται. μαρτυρήσει δὲ καὶ ὁ Παῦλος λέγων "Ζῶν γὰρ ὁ λόγος τοῦ "Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν "δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ "πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων "καὶ ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον "αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλ "μοῖς αὐτοῦ." ὡς γὰρ "φυτεύσας τὸ οὖς," πάντα ἐπακρο ᾶται, καὶ ὡς "πλάσας τὸν ὀφθαλμὸν, κατανοεῖ." καὶ δὴ εἰσφέρεται λέγων ἐν Ἰώβ "Τίς οὗτος ὁ κρύπτων με βουλὴν, "συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν;" 1.216 ἵνα τοίνυν Θεὸν ὄντα κατὰ φύσιν ἐπιγινώσκωμεν τὸν Υἱὸν, ἀναγκαίως φησὶν ὁ Εὐαγγελιστής Ὅτι χρείαν οὐκ εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων. οὗτος ἦλθε πρὸς αὐτὸν νυκτὸς καὶ εἶπεν αὐτῷ. Ἑτοιμότερος μὲν ὁ Νικόδημος περὶ τὸ πιστεύειν ἐστὶν, αἰδοῖ δὲ οὐκ ἀγαθῇ νικώμενος, δόξης τε ἅμα τῆς ἐν ἀνθρώ ποις οὐ περιορῶν, παραιτεῖται τὴν παῤῥησίαν, μερίζεται δὲ τὴν γνώμην ἐπ' ἄμφω, καὶ χωλεύει τὴν προαίρεσιν, ἐπὶ δισσαῖς δὲ, ὡς γέγραπται, ταῖς ἰγνύαις ἀσθενεῖ, τοῖς μὲν ἀπὸ τοῦ συνειδότος ἐλέγχοις εἰς τὸ χρῆναι πιστεύειν συνωθού μενος διὰ τὴν τῶν θαυμάτων ὑπερβολὴν, τῆς δὲ τοῦ ἔθνους ἡγεμονίας οὐ φορητὴν ἡγούμενος τὴν ζημίαν· ἦν γὰρ ἄρχων τῶν Ἰουδαίων. οἰηθεὶς δὲ δύνασθαι καὶ τὴν παρ' ἐκείνοις ἀνασώζεσθαι δόξαν καὶ λεληθότως εἶναι πιστὸς, ἔρχεται πρὸς τὸν Ἰησοῦν, συνεργάτην τῷ σκέμματι τὸν ἀπὸ τῆς νυκτὸς ποιησάμενος σκότον, καὶ τῷ κεκρυμμένως ἐλθεῖν ἐπὶ διπλῇ τῇ γνώμῃ κατηγορούμενος. Ῥαββὶ, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ. Ἐν τούτοις ᾠήθη τοῖς λόγοις ὁλόκληρον ἔχειν δύνασθαι τὴν εὐσέβειαν, καὶ ἀρκέσειν αὐτῷ πρὸς σωτηρίαν ὑπολαμ 1.217 βάνει τὸ θαυμάσαι μόνον τὰ οἷς θαυμάζεσθαι πρέπει· ἕτερον δὲ οὐδὲν ἐπὶ τούτοις ἐπιζητεῖ. διδάσκαλον δὲ παρὰ Θεοῦ, καὶ παρ' αὐτοῦ συνεργούμενον ὀνομάζων αὐτὸν, οὔπω κατὰ φύσιν οἶδεν ὄντα Θεὸν, οὐδὲ συνίησι δηλονότι τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν λόγον, ἔτι δὲ ὡς ἀνθρώπῳ πρόσεισι γυμνῷ, καὶ μικρὰν ἐπ' αὐτῷ τὴν διάληψιν ἔχει. Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. λέγει πρὸς αὐτὸν ὁ Νικόδημος. Οὐκ ἐφ' οἷς ᾠήθης, φησὶν, ὦ Νικόδημε, τὸ πιστεύειν ἐστίν. οὐκ ἀρκεῖ σοι λόγος εἰς δικαιοσύνην, οὐδὲ ἐν ψιλοῖς κατορ θώσεις ῥήμασι τὴν εὐσέβειαν. "Οὐ γὰρ πᾶς ὁ λέγων μοι "Κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, "ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς "οὐρανοῖς." θέλημα δὲ τοῦ Πατρὸς, μέτοχον μὲν τοῦ Ἁγίου Πνεύματος ἀναδειχθῆναι τὸν ἄνθρωπον, εἰς δὲ ἀσυνήθη καὶ ξένην ἀναγεννηθέντα ζωὴν καὶ οὐρανοῦ χρηματίσαι πολίτην τὸν ἀπὸ τῆς γῆς. ἄνωθεν δὲ λέγων τὴν διὰ τοῦ Πνεύματος ἀναγέννησιν, ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχον τὸ Πνεῦμα δεικνύει σαφῶς, ὥσπερ ἀμέλει καὶ αὐτὸς περὶ ἑαυτοῦ που φησίν "Ἐγὼ ἐκ τῶν ἄνω εἰμί·" καὶ ὁ σοφώ τατος δὲ περὶ αὐτοῦ πάλιν φησὶν Εὐαγγελιστής "Ὁ ἄνωθεν "ἐρχόμενος ἐπάνω πάντων ἐστίν." Ὅτι δὲ πάντως ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμά ἐστιν ἐν οἰκείῳ πλατύτερον ἐροῦμεν καιρῷ. 1.218 Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννη θῆναι; ἀπεκρίθη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰησοῦς. Ἐλέγχεται διὰ τούτων ψυχικὸς ὢν ἔτι ὁ Νικόδημος, διά τε τοῦτο δεχόμενος οὐδαμῶς "τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ·" μωρίαν γὰρ εἶναι νομίζει τὸ σεπτὸν οὕτω καὶ περιφανὲς μυστήριον. γέννησιν δὲ ἀκούων τὴν ἄνωθεν καὶ πνευματικὴν, σωματικὴν ἔτι γαστέρα φαντάζεται παλινδρομοῦσαν εἰς ὠδῖνα τῶν ἤδη γεγεννημένων, καὶ τὸν τῆς καθ' ἡμᾶς φύσεως οὐκ ἀναβαίνων νόμον, κανονίζει τὰ θειότερα· ἀνεξίτητον δὲ ταῖς οἰκείαις ἐννοίαις τὸ τῶν μαθημάτων ὕψος εὑρὼν, κάτω πίπτει καὶ φέρεται. ὅνπερ γὰρ τρόπον τὰ τοῖς ἀπεσκληκόσι τῶν λίθων εὐτονωτέραις προσαραχθέντα βολαῖς, ὀπίσω πάλιν ἐξάλλεται· οὕτως οἶμαι καὶ νοῦς ἀμαθὴς γοργοτέροις ἢ καθ' ἑαυτὸν προσβαλὼν θεωρήμασιν, ἀτονήσας ὑπονοστεῖ, καὶ μέτροις ἀεὶ τοῖς αὐτῷ πρέπουσιν ἐμφιλοχωρῶν, τὴν ἀμείνω καὶ ὑψηλοτέραν ἀτιμάζει σύνεσιν. ὃ δὴ καὶ πεπονθὼς ὁ τῶν Ἰουδαίων ἡγούμενος τὴν πνευματικὴν οὐ καταδέχεται γέννησιν. Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Οὐ συνιέντα τὸν ἄνθρωπον καθ' ὃν ἔδει τρόπον, τί ἂν βούλοιτο σημαίνειν τὸ ἄνωθεν γεννηθῆναι δεῖν, σαφεστέροις ἐκπαιδεύει μαθήμασι, γυμνοτέραν δὲ αὐτῷ παρατίθησι τοῦ μυστηρίου τὴν γνῶσιν. ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὴν διὰ Πνεύματος ἀναγέννησιν Ἄνωθεν ἀπεκάλει, 1.219 τῆς ἀνωτάτω πασῶν οὐσίας τὸ Πνεῦμα δεικνὺς, δι' οὗ τῆς θείας φύσεως γινόμεθα κοινωνοὶ, ὡς τὸ ἐξ αὐτῆς οὐσιωδῶς προϊὸν καρπούμενοι, καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ πρὸς τὸ ἀρχέτυπον ἀναμορφούμενοι κάλλος, οὕτω τε εἰς καινότητα ζωῆς ἀνατικτόμενοι, καὶ εἰς τὴν θείαν υἱοθεσίαν ἀναπλαττό μενοι. τὸ δέ Ἄνωθεν ὁ Νικόδημος οὐχ οὕτως ἐκλαβὼν, τὴν εἰσαῦθις ἐσομένην ὑπετόπησε γέννησιν, ὡς ἐπὶ σωμάτων, σημαίνεσθαι· διὰ τοῦτο καὶ τοῖς εἰς ἀδύνατον ἀποκλείουσι περιπεσὼν λογισμοῖς, ἄνους τε ὁμοῦ κατεφωρᾶτο καὶ δυσ μαθής. ἀναγκαίως τοιγαροῦν ὁ Σωτὴρ, ὡς ἀσθενεστέρῳ τὴν ἕξιν τρυφερώτερον ἔτι προσφέρεται, καὶ τὸ δοκοῦν ἐπεῤῥίφθαι τῷ λόγῳ κάλυμμα περιελὼν, ἀναφανδὸν ἤδη φησίν Ἐὰν μή τις ἐξαναγεννηθῇ δι' ὕδατος καὶ πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. ἐπειδὴ γὰρ σύνθετόν τι καὶ οὐχ ἁπλοῦν κατὰ φύσιν ὁ ἄνθρωπος, ἐκ δύο κεκερασμένος, αἰσθητοῦ δηλονότι σώματος καὶ ψυχῆς νοερᾶς, διπλῆς αὐτῷ πρὸς ἀναγέννησιν ἐδέησε θεραπείας, συγγενῶς πως ἐχούσης πρὸς ἄμφω τῶν δεδηλωμένων. Πνεύματι μὲν γὰρ ἁγιάζεται τοῦ ἀνθρώπου τὸ πνεῦμα, ὕδατι δὲ αὖ πάλιν ἡγιασμένῳ, τὸ σῶμα. ὅνπερ γὰρ τρόπον τὸ ἐν τοῖς λέβησιν ἐκχεόμενον ὕδωρ ταῖς τοῦ πυρὸς ὁμιλῆσαν ἀκμαῖς τὴν ἐξ αὐτοῦ δύναμιν ἀναμάττεται, οὕτω διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας τὸ αἰσθητὸν ὕδωρ πρὸς θείαν τινὰ καὶ ἀπόῤῥητον μεταστοιχειοῦται δύναμιν, ἁγιάζει τε λοιπὸν τοὺς ἐν οἷς ἂν γένοιτο. 1.220 Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν. Ἑτέρῳ δὲ πάλιν αὐτὸν ἀναπείθει λογισμῷ πρὸς ὑψηλο τέραν ἀναβαίνειν σύνεσιν, καὶ πνευματικὴν ἀκούοντα γέν νησιν, μὴ τὰ σωμάτων ἴδια λαμβάνειν εἰς νοῦν. ὥσπερ γὰρ ἀνάγκη, φησὶν, πάντως εἶναι σάρκας τὰ σαρκῶν γεννήματα, οὕτω δηλονότι καὶ πνεύματα τὰ ἐκ Πνεύματος. οἷς δὲ ὁ τοῦ πῶς εἶναι λόγος ἐξηλλαγμένος, τούτοις ἔσται πάντως καὶ ὁ τῆς γεννήσεως τρόπος οὐχ ὁ αὐτός. ἰστέον δὲ ὅτι γέννημα τοῦ Πνεύματος τὸ τοῦ ἀνθρώπου πνεῦμά φαμεν, οὐχ ὡς ἐξ αὐτοῦ κατὰ φύσιν· ἀμήχανον γάρ· ἀλλ' ὡς ἐν πρώτῳ μὲν καὶ ἀρχαιοτέρῳ λόγῳ κατὰ τὸ δι' αὐτοῦ κεκλῆσθαι τὸ μὴ ὂν εἰς γένεσιν, ἐν δὲ δευτέρῳ καὶ οἰκονομικῶς κατὰ τὴν δι' αὐτοῦ πρὸς Θεὸν ἀναμόρφωσιν, τοὺς οἰκείους ἡμῖν χαρακ τῆρας ἐνθλίβοντος, καὶ εἰς τὴν ἰδίαν ὥσπερ ποιότητα τὴν διάνοιαν μεταπλάττοντος. οὕτω γὰρ οἶμαι νοήσεις ὀρθῶς καὶ τὸ διὰ τοῦ Παύλου πρός τινας εἰρημένον "Τεκνία, οὓς "πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν," καὶ πάλιν "Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς "ἐγέννησα." Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος. Ἀρετὴ διδασκάλου, τὸ ποικίλοις δύνασθαι μεθοδεύειν τρόποις τῶν ἀκροωμένων τὸν νοῦν, καὶ διὰ πολλῶν ἰέναι θεωρημάτων, τὰς ἐφ' οἷς ἂν φαίνηται δυσχερὴς ὁ λόγος ἀποδείξεις ἐπισωρεύοντα. δέχεται τοίνυν ἐκ παραδειγμάτων 1.221 τοῦ μυστηρίου τὸν τύπον, καὶ φησί Τὸ πνεῦμα τουτὶ τὸ ἐγκόσμιόν τε καὶ ἐναέριον περιπνεῖ μὲν ὅλην τὴν οἰκουμένην, καὶ ὅποιπερ ἂν βούληται διαδραμὸν, κτύπῳ μόνῳ παρὸν σημαίνεται, καὶ διαλανθάνει μὲν τὸν ἁπάντων ὀφθαλμὸν, αὔραις δὲ τοῖς σώμασι λεπτοτάταις προσομιλοῦν, αἴσθησίν τινα τῆς ἐνούσης αὐτῷ φυσικῆς ἐνεργείας ἐνίησιν· οὕτω μοι νόει, φησὶ, καὶ τὴν διὰ Πνεύματος ἀναγέννησιν, ἐκ μικρῶν παραδειγμάτων ἐπὶ τὰ μείζω χειραγωγούμενος, καὶ καθάπερ ἐν εἰκόνι τῷ παροισθέντι λόγῳ τὰ ὑπὲρ αἴσθησιν ἐννοῶν. Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ Πῶς δύναται ταῦτα γενέσθαι; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ. Οὐδὲν ὁ μακρὸς ὠφέλησε λόγος τὸν οὐ νοοῦντα μηδέν. σοφὸν οὖν ἄρα τὸ ἐν βίβλῳ παροιμιῶν εἰρημένον "Εἰς ὦτα "ἀκουόντων" λάλει· καὶ τοῦτο διὰ πείρας ἀληθὲς ὂν ἔδειξεν ὁ Σωτὴρ, τύπον ἡμῖν ἑαυτὸν κἀν τούτῳ διδούς. ἔξω δὲ πάντως τῆς ἐπὶ τῷ μὴ δύνασθαι πείθειν αἰτίας ὁ διδάσκων κείσεται, λέγων μὲν αὐτὸς ἅπερ ἂν ἔχειν οἴηται καλῶς, ὠφελῶν δὲ μηδὲν διὰ τὸ τῶν ἀκροωμένων δυσμαθές. ἄλλως τε καὶ διὰ τούτου μανθάνομεν, "ὅτι πώρωσις ἀπὸ μέρους "γέγονεν τῷ Ἰσραήλ." ἀκοῇ γὰρ ἀκούοντες, οὐ συνιᾶσιν. Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; Ἐξ ἑνὸς ἅπαντας ἐλέγχει ὁ Χριστὸς, ὀνόματι μὲν τῷ διδασκαλικῷ περιηνθισμένους, καὶ νομομαθείας ὑπόληψιν ἠμφιεσμένους γυμνὴν, ἀπαιδευσίας δὲ ἀνάπλεων φοροῦντας τὸν νοῦν, καὶ συνιέναι δυναμένους οὐδὲν τῶν ὅσαπερ αὐτοὺς οὐχ ὅπως ἐχρῆν ἐξεπίστασθαι μόνον, ἀλλ' ἤδη δύνασθαι καὶ 1.222 διδάσκειν ἑτέρους. εἰ δὲ ὁ παιδεύων ἐν τούτοις, ἐν τίσιν ὁ παιδευόμενος, οὐχ ὑπεραίροντος μαθητοῦ τοῦ διδασκάλου τὸ μέτρον, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν; "Οὐκ ἔστι" γὰρ, φησὶ, "μαθητὴς ὑπὲρ τὸν διδάσκαλον." ἐπειδὴ δὲ οὕτως ἦσαν ἀμαθεῖς, ἀψευδήσει μὲν ὁ Χριστὸς τάφοις αὐτοὺς κεκονιαμένοις ἐξομοιῶν· ἀστειότατα δὲ καὶ ὁ Παῦλος ἐρεῖ πρὸς τὸν τῶν Ἰουδαίων ἡγούμενον "Τύπτειν σε μέλλει ὁ "Θεὸς, τοῖχε κεκονιαμένε." Ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν. Ἀφιλομαθῆ καὶ λίαν ἀπαίδευτον εὑρίσκει τὸν ἄνθρωπον, καὶ διὰ πολλὴν παχύτητα νοῦ, πρὸς τὴν τῶν θείων δογ μάτων κατάληψιν οὐδαμόθεν ἔτι χειραγωγεῖσθαι δυνάμενον, καίτοι μακροῦ καὶ διὰ ποικίλων παραδειγμάτων δαπανη θέντος λόγου. ὅθεν εἰκότως τὸ δι' ἀκριβείας ἐξηγεῖσθαι παρεὶς, ἀπεριεργάστῳ λοιπὸν τῇ πίστει συμβουλεύει χρῆναι λαβεῖν, ὃ νοεῖν οὐ δύναται· μαρτυρεῖ δὲ αὐτὸς εἰδέναι σαφῶς, ὃ λέγει, τῇ τοῦ προσώπου περιφανείᾳ τὸ ἀντιλέγειν ἔτι δεικνύων ἐπισφαλέστατον. οὐ γὰρ ἦν εἰκὸς ἐπιλελῆσθαι Νικόδημον, ὃς εἰδέναι διισχυρίσατο περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι παρὰ Θεοῦ ἐλήλυθε διδάσκαλος· τὸ δὲ ἀντιτείνειν τῷ παρὰ Θεοῦ καὶ Θεῷ, πῶς οὐκ ἂν γένοιτο κινδύνου μεστόν; θεομαχία γὰρ ἤδη τὸ πρᾶγμα φαίνεται. πλὴν ἰστέον ἐντεῦθεν ἡμῖν, οἵπερ ἂν ἔχοιμεν τοῦ διδάσκειν τὴν ἐξουσίαν, ὅτι τοῖς ἀρτίον ἐπὶ τὸ πιστεύειν ἰοῦσιν ἀμείνων ἡ πίστις ἐν ἁπλοῖς λογισμοῖς, ἢ βαθύς τις λόγος καὶ περιερ γοτέρα μᾶλλον ἐξήγησις. γάλακτι δὲ καὶ ὁ Παῦλος ἐπότιζέ τινας, οὔπω δυναμένους τῶν στερεωτέρων μετίσχειν βρω 1.223 μάτων· καὶ "Γνωστῶς δὲ πάλιν ἐπιγνώσῃ ψυχὰς ποιμνίου "σου," πρὸς ἡμᾶς που φησὶν ὁ σοφώτατος Σολομών· οὐκ ἀδιάκριτόν φησιν τοῖς προσιοῦσι τὸν διδασκαλικὸν ἐθέλων προκεῖσθαι λόγον, ἀλλὰ τοῖς ἑκάστου μέτροις ἀναλόγως ἐφηρμοσμένον. Καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. Ὡς ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα καὶ τὸ Πνεῦμα φυσικῶς, εἰς πληθυντικὸν ἀριθμὸν τὸ τῶν μαρτυρούντων πρόσωπον ἐξέτεινεν ὁ Σωτήρ· ἵνα τρόπον τινὰ κατὰ τὸν Μωυσέως νόμον "Ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων" κρατύνηται τὸ εἰρημένον. οὐδαμόθεν δὲ ὅλως ἀνασώζεσθαι θέλοντας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιδεικνύει τοὺς Ἰουδαίους, ἀχαλίνοις δὲ ἁπλῶς καὶ ἀπερι σκέπτοις ὁρμαῖς ἐπὶ τὸ βαθὺ τῆς ἀπωλείας φερομένους βάραθρον· εἰ γὰρ μήτε νοεῖν ἰσχύουσιν ἐκ πολλῆς ἀμαθίας τὸ κηρυττόμενον, μήτε πίστει ποιοῦνται δεκτὸν, τίς ἂν αὐτοῖς σωτηρίας ἕτερος ἐπινοηθείη τρόπος; καλῶς δὴ οὖν καὶ μάλα δικαίως ἀναπολόγητον ἔσεσθαι τὴν Ἱερουσαλὴμ ἔφασκεν ὁ Σωτὴρ, ὡς αὐτόκλητον ἐφ' ἑαυτὴν ἁρπάζουσαν ὄλεθρον "Ἱερουσαλὴμ γὰρ Ἱερουσαλὴμ, φησὶν, ἡ ἀποκτένουσα τοὺς "προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς "αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν "τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς "πτέρυγας, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὑμῖν ὁ "οἶκος ὑμῶν." 1.224 Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσητε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. Μάθημα, φησὶν, τὴν ἀνθρώποις πρέπουσαν οὐκ ἀναβαῖνον σύνεσιν, ἐξ ἀμέτρου λοιπὸν ἀλογίας οὐ παρεδέξασθε, καὶ πῶς ἂν ὑμῖν ἐξηγησαίμην τὰ θειότερα; οἱ δὲ ἐν τοῖς καθ' ἑαυτοὺς ἀμαθέστατοι, πῶς ἂν εἶεν ἐν τοῖς ὑπεραίρουσι σοφοί; καὶ οἱ πρὸς τὸ ἔλαττον ἀτονήσαντες, πῶς οὐκ ἂν ἔχοιεν τὸ μεῖζον ἀφόρητον; καὶ εἰ μὴ μόνῳ, φησὶν, ἐμοὶ πιστεύετε λέγοντι, πολλοὺς δὲ ἐφ' ἑκάστῳ ζητεῖτε τοὺς μάρτυρας, τίνα παροίσω τῶν οὐρανίων ὑμῖν μυστηρίων τὸν θεωρόν; οὐδεὶς γὰρ ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου. τοῦ δὲ Θεοῦ Λόγου καταβεβηκότος ἐξ οὐρανοῦ, τὸν Υἱὸν τοῦ ἀνθρώπου καταβῆναί φησι, διχάζεσθαι μετὰ τὴν ἐνανθρώπησιν εἰς δύο πρόσωπα παραιτούμενος, καὶ οὐκ ἐπιτρέπων τισὶν, ἕτερον μὲν εἶναι λέγειν υἱὸν τὸν ἐκ παρθένου διὰ τὴν χρείαν ληφθέντα ναὸν, ἕτερον δὲ πάλιν τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον, πλὴν ὅσον εἰς τὸν ἑκάστῳ πρέποντα κατὰ φύσιν διορισμόν. ὥσπερ γάρ ἐστιν ἐκ Θεοῦ Λόγος, οὕτω καὶ ἄνθρωπος ἐκ γυναικὸς, εἷς δὲ λοιπὸν ἐξ ἀμφοῖν ὁ Χριστὸς, ἀδιαίρετος εἰς υἱότητα καὶ εἰς δόξαν θεοπρεπῆ· ἐπεὶ κατὰ τίνα τρόπον ὡς ἴδια περιτίθησι τῷ ἐκ τῆς παρθένου ναῷ, τὰ γυμνῷ καὶ μόνῳ πρέποντα τῷ Λόγῳ, ἰδιοποιεῖται δὲ πάλιν αὐτὸς τὰ μόνῃ πρέποντα τῇ σαρκί; νῦν μὲν γὰρ ἐξ οὐρανοῦ καταβεβηκέναι φησὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου· φοβεῖται δὲ καὶ πτοεῖται καὶ ἀδημονεῖ κατὰ τὸν τοῦ πάθους καιρὸν, καὶ ὡς αὐτὸς παθὼν ἀναγέγραπται τὰ μόνῃ τῇ ἀνθρωπότητι πρέποντα πάθη. 1.225 Καὶ καθὼς Μωυσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ἀπολογησάμενος ἀρκούντως, καὶ τὴν αἰτίαν αὐτῷ παρα θεὶς, δι' ἣν οὐκ εἰς ἄμετρόν τι καὶ ὑπερφυὲς ὁ τῆς πρὸς αὐτὸν διδασκαλίας ἀνατρέχει λόγος, καταβαίνει δὲ πάλιν ἐπὶ τὰ διὰ Μωυσέως τυπικῶς ἄνωθεν γεγενημένα, χειρα γωγίαις μᾶλλον αὐτὸν ταῖς διὰ σχημάτων μόλις δύνασθαι πρὸς ἐπίγνωσιν τῆς ἀληθείας ἐλθεῖν, ἢ πνευματικαῖς ἀκριβο λογίαις, ἐξεπιστάμενος. δεῖν δὲ δὴ πάντως αὐτὸν ὑψωθῆναί φησιν, ὡς τὸν ὄφιν τὸν διὰ Μωυσέως, ἀναγκαιοτάτην ἐπι δεικνὺς τῆς ἱστορίας τὴν βάσανον, καὶ μονονουχὶ πάλιν ἐκεῖνο λέγων πρὸς τὸν νοοῦντα μηδέν "Ἐρευνᾶτε τὰς "γραφὰς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ." ὄφεις μὲν γὰρ τοῖς ἐξ Ἰσραὴλ ἐπεπήδων κατὰ τὴν ἔρημον, οἱ δὲ ἀσταχύων πίπτοντες δίκην, καὶ πρὸς τὸν ἀδοκήτως ἐπισκή ψαντα κίνδυνον οὐ μετρίως ἀσχάλλοντες, οἰκτροτάτας ἀφι έντες φωνὰς τὴν ἄνωθεν καὶ παρὰ Θεοῦ σωτηρίαν ἐκάλουν. ὁ δὲ ἐπείπερ ἦν ἀγαθός τε καὶ φιλοικτίρμων, ὡς Θεὸς, ὄφιν αὐτοῖς ἀναστῆσαι χαλκοῦν κελεύει Μωυσέα· καὶ δὴ καὶ ἐν αὐτῷ προμελετᾶν ἐπιτάττει τὴν διὰ πίστεως σωτηρίαν. ἦν γὰρ τῷ δηχθέντι τὸ φάρμακον, τὸ εἰς πρόσωπον ἰδεῖν τοῦ κειμένου, καὶ τὴν ἐπὶ τοῖς ἐσχάτοις ἀπαλλαγὴν ἡ πίστις μετὰ τῆς θέας τοῖς ὁρῶσιν ἐπραγματεύετο. τὰ μὲν οὖν τῆς ἱστορίας ἐν τούτοις· ὅλον δὲ πάλιν, ὡς ἐν τύπῳ τῷ πράγ ματι, τὸ τῆς ἐνανθρωπήσεως καταγράφει μυστήριον. ὄφις μὲν γὰρ τὴν πικρὰν καὶ ἀνθρωποκτόνον ἁμαρτίαν σημαίνει, ἣ καὶ σύμπαν τὸ ἐπὶ τῆς γῆς κατεβόσκετο γένος, πολυ 1.226 τρόπως τὴν ἀνθρώπου δάκνουσα ψυχὴν, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολυειδῆ τῆς φαυλότητος τὸν ἰὸν ἐκχέουσα· ἣν δὲ οὐχ ἑτέρως ἡμᾶς τὴν οὕτω νικῶσαν διαφυγεῖν, εἰ μὴ διὰ μόνης τῆς ἐξ οὐρανῶν ἐπικουρίας. γέγονε τοίνυν ὁ Θεὸς Λόγος "ἐν ὁμοιώματι "σαρκὸς ἁμαρτίας, ἵνα κατακρίνῃ τὴν ἁμαρτίαν ἐν τῇ "σαρκὶ," καθὰ γέγραπται, καὶ τοῖς ἀτενίζουσιν εἰς αὐτὸν δι' ἐκτενεστέρας τῆς πίστεως, ἢ καὶ τῆς τῶν θείων δογμάτων ἐρεύνης, σωτηρίας ἀκαταλύτου πρόξενος ἀναδειχθῇ. τὸ δὲ ἐφ' ὑψηλῆς τινος ὑποβάθρας ἀνεστηλῶσθαι τὸν ὄφιν, δηλοῖ δὴ πάντως τὸ ἐν περιφανείᾳ καὶ ἐπισημότητι γενέσθαι Χριστὸν, ὡς ἀγνοηθῆναι μηδενὶ, ἢ τὸ ἐκ γῆς ὑψωθῆναι, καθὰ καὶ αὐτός που φησὶ, διὰ τὸ ἐπὶ τῷ σταυρῷ πάθος. Οὕτως γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ἀναφανδὸν ἐν τούτοις ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ἐπεί γεται δηλοῦν, εἴπερ ἀνάγκη νοεῖν τὸν ἐκ Θεοῦ πεφηνότα Πατρὸς εἶναι δὴ πάντως καὶ Θεὸν, οὐκ ἐπακτὸν ἔχοντα τὸ ἀξίωμα, καθάπερ ἡμεῖς, ἀλλ' ὑπάρχοντα τοῦτο κατ' ἀλή θειαν, ὅπερ εἶναι πιστεύεται. οἰκονομικῶς δὲ τοῦτο καὶ λίαν φησι, τὴν εἰς ἡμᾶς τοῦ Θεοῦ καὶ Πατρὸς παραζεύξας ἀγά πησιν εὐφυῶς, εὐαφόρμως τε λίαν εἰς τὸν ἐπὶ τούτῳ λόγον ἐρχόμενος. δυσωπεῖ μὲν γὰρ ἀπειθοῦντα τὸν Νικόδημον, μᾶλλον δὲ ἤδη καὶ ἀσεβοῦντα δεικνύει. τὸ γὰρ μὴ λίαν ἑτοίμως ἐπὶ τὸ πιστεύειν ἰέναι, Θεοῦ τι διδάσκοντος, τί ἂν ἕτερον εἴη λοιπὸν, ἢ τῷ τοῦ ψεύδους ἐγκλήματι περιβαλεῖν τὴν ἀλήθειαν; εἶτα πρὸς τούτῳ δεδόσθαι λέγων ἑαυτὸν ὑπὲρ 1.227 τῆς τοῦ κόσμου ζωῆς, ἐννοεῖν ἀναπείθει γοργῶς, πόσης ἂν γένοιντο τιμωρίας ἔνοχοι, παρ' οὐδὲν ἐξ ἀπονοίας οἱ τὴν οὕτως ἀξιάγαστον τοῦ Θεοῦ καὶ Πατρὸς ποιησάμενοι χάριν. οὕτω γάρ φησιν ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν. Ἀκουέτω πάλιν ὁ χριστομάχος αἱρετικὸς, καὶ λεγέτω παρελθὼν, τί τὸ μέγα τῆς ἀγάπης τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ πῶς ἂν αὐτὴν εἰκότως ἀποθαυμάσαιμεν· ἀλλ' ἐρεῖ δὴ πάντως τῆς ἀγάπης ὁρᾶσθαι τὸ ἀξιάγαστον, ἐν τῷ δεδόσθαι τὸν Υἱὸν ὑπὲρ ἡμῶν, καὶ τοῦτο Μονογενῆ. οὐκοῦν ἵνα μένῃ καὶ σώζηται μεγάλη τοῦ Θεοῦ καὶ Πατρὸς ἡ ἀγάπησις, υἱὸς νοείσθω, μὴ ποίημα· Υἱὸν δέ φημι τὸν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ὁμο ούσιον δηλονότι τῷ γεγεννηκότι, καὶ Θεὸν ὄντως καὶ κατ' ἀλήθειαν. εἰ δὲ κατὰ τὸν σὸν, ὦ οὗτος, λόγον, τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς οὐκ ἔχει, καὶ τὸ εἶναι κατὰ φύσιν Υἱὸς καὶ Θεὸς συναποβαλεῖ, καὶ ἀργήσει λοιπὸν τὸ περίπυστον θαῦμα τῆς ἀγάπης τοῦ Πατρός. ποίημα γὰρ ποιημάτων ἠλλάξατο, καὶ οὐχ Υἱὸν ἀληθῶς· εἰκῇ δὲ ἡμᾶς καὶ ὁ μακάριος Παῦλος θορυβήσει λέγων "Ἀθετήσας τις "νόμον Μωυσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶν "μάρτυσιν ἀποθνήσκει, πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται "τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας;" καταπατεῖ μὲν γὰρ ὁμολογουμένως ὁ καταφρονήσας, ἀλλ' οὐχ ὡς Υἱὸν ἀληθινὸν, ἀλλὰ Μωυσέως ὁμόδουλον, εἴπερ ἐστὶ τῷ πεποιη μένῳ τὸ ποίημα πάντως ἀδελφὸν, κατά γε τὸν τοῦ πεποιῆ σθαι λόγον, κἂν ταῖς εἰς τὸ μεῖζον ἢ ἄμεινον ὑπεροχαῖς τὴν ἑτέρου δόξαν πλεονεκτῇ· ἀλλ' ἔστιν ἀληθὴς ὁ τοῦ Παύλου λόγος· χαλεπωτέραν δὲ ἀποτίσει τὴν δίκην ὁ καταπατήσας τὸν Υἱὸν, οὐχ ὡς εἰς ποίημα πλημμελῶν, οὐδὲ εἰς ἕνα τῶν Μωυσέως ὁμοδούλων. μεγάλη δὴ οὖν καὶ ὑπερφυὴς ἡ 1.228 ἀγάπη τοῦ Πατρὸς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς τὸν ἐξ ἑαυτοῦ καὶ ἴδιον αὐτοῦ δεδωκότος Υἱόν. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρινῇ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Υἱὸν ἑαυτὸν διαῤῥήδην ὀνομάσας τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ ἀμαρτύρητον ἐᾶν οἴεται δεῖν τὸν λόγον, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων, ἵνα οὕτως εἴπω, ποιότητος ἐπιφέρει τὴν ἀπό δειξιν, ἀσφαλεστέρους εἰς πίστιν τοὺς ἀκροωμένους ἀπο τελῶν. οὐ γὰρ ἀπεστάλην, φησὶ, κατὰ τὸν ἱεροφάντην Μωυσῆν, νόμῳ κατακρίνων τὴν οἰκουμένην, οὐδὲ πρὸς ἔλεγ χον τῆς ἁμαρτίας εἰσφέρων τὴν ἐντολὴν, οὐδὲ οἰκετικὴν ποιοῦμαι τὴν διακονίαν, ἀλλὰ Δεσπότῃ πρέπουσαν τὴν φιλανθρωπίαν εἰσφέρω· ἐλευθερῶ τὸ δοῦλον, ὡς Υἱὸς καὶ κληρονόμος τοῦ Πατρὸς, μετασκευάζω τὸν καταδικάζοντα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νόμον εἰς δικαιοῦσαν χάριν, ἀνίημι τῆς ἁμαρτίας τὸν ταῖς τῶν οἰκείων πλημμελημάτων κατεσφιγμένον σειραῖς, ἀνα σώσων τὴν οἰκουμένην, οὐ κατακρίνων ἐλήλυθα. ἔδει γὰρ ἔδει Μωσέα μὲν, φησὶν, ὡς οἰκέτην νόμου τοῦ κατακρίνοντος γενέσθαι διάκονον, ἐμὲ δὲ ὡς Υἱὸν καὶ Θεὸν τῆς τοῦ νόμου κατάρας ὅλην ἀπολύειν τὴν οἰκουμένην, καὶ ταῖς εἰς φιλαν θρωπίαν ὑπερβολαῖς θεραπεῦσαι τοῦ κόσμου τὴν ἀσθένειαν. εἰ δὲ ἀμείνων ἡ δικαιοῦσα χάρις τῆς κατακρινούσης ἐντολῆς, πῶς οὐκ ἀκόλουθον ἤδη νοεῖν τὸ οἰκετικὸν ἀναβαίνειν μέτρον τὸν οὕτω θεοπρεπῆ τὴν ἐξουσίαν εἰσφέροντα, καὶ τῶν τῆς ἁμαρτίας δεσμῶν ἀφιέντα τὸν ἄνθρωπον; Εἷς μὲν οὖν τῶν προκειμένων οὑτοσὶ, καὶ οὐκ ἄκομψος, ὡς οἶμαι, λόγος· δεύτερος δὲ ἐπὶ τούτῳ διὰ τῶν αὐτῶν 1.229 ἀνακυκλημάτων στρεφόμενος, καὶ συγγενῆ πως τοῖς ἄνω τὴν θεωρίαν εἰσφέρων, ἐκ φιλομαθίας εἰρήσεται. ἐθεώρει τὸν Νικόδημον ὁ Σωτὴρ τοῖς Μωυσαϊκοῖς ἐμπεπηγότα νόμοις, καὶ τῆς μὲν ἀρχαιοτέρας ἀπρὶξ ἐχόμενον ἐντολῆς, ἀποφρίτ τοντα δέ πως πρὸς τὴν διὰ Πνεύματος ἀναγέννησιν, καὶ πρὸς τὴν νέαν καὶ εὐαγγελικὴν κατοκνοῦντα πολιτείαν, οἰηθέντα, κατὰ τὸ εἰκὸς, φορτικωτέραν ἔσεσθαι ταύτην τῶν ἤδη διατεταγμένων. οὐκ ἀγνοήσας τοιγαροῦν, ὡς Θεὸς, τὸν ἐξ ἀμαθίας ἐπεισπηδήσαντα φόβον, ἑνὶ καὶ ἀποτόμῳ χρησά μενος λογισμῷ, τῶν ἐπὶ τούτῳ θορύβων ἐλευθεροῖ, καὶ τὴν μὲν διὰ Μωυσέως ἐντολὴν, διὰ τοῦ κατακρίνειν τὸν κόσμον, δυσαχθεστέραν οὖσαν ἐπιδεικνύει, ἡμερότητος δὲ βραβευτὴν ἑαυτὸν εἰσφέρει λέγων Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Πληροφορήσας διὰ πραγμάτων, ὅτι καὶ Υἱὸς ὑπάρχει τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τῆς Μωυσέως διακονίας ἀξιολογω τέραν εἰσφέρει τῷ κόσμῳ τὴν χάριν· πῶς γὰρ οὐκ ἄμεινον τοῦ κατακρίνεσθαι νόμῳ τὸ δικαιοῦσθαι χάριτι; τρόπον ἡμῖν ἕτερον ἐπενόησεν, ὡς Θεὸς, εἰς πίστιν ἐπαγωγὸν, πανταχόθεν τοὺς ἀπολωλότας συνελαύνων εἰς σωτηρίαν. προτίθησι τοί νυν τῷ μὲν πιστεύοντι γέρας τὸ μὴ καλεῖσθαι πρὸς κρίσιν, τῷ δ' ἀπειθοῦντι κόλασιν, εἰς τὴν αὐτὴν καὶ μίαν δι' ἀμφοῖν ἀναφέρων ὁδὸν, καὶ τοὺς μὲν ἐφέσει τῇ περὶ τὴν χάριν, τοὺς δὲ φόβῳ τοῦ παθεῖν, ἐπὶ τῷ πιστεύειν ἰέναι προθύμως συγκαλῶν· χαλεπὸν δὲ καὶ μέγα τῆς ἀπιστίας δεικνύει τὸ 1.230 ἔγκλημα, ἐπείπερ ἐστὶν Υἱὸς καὶ Μονογενής. ὅσῳ γὰρ ἂν ἀξιόπιστον ὑπάρχοι τὸ παροινούμενον, τοσοῦτον μειζόνως εἰς τὸ πλημμελῆσαι δεινὰ τὸ ἀτιμάζον καταδικασθήσεται. ἤδη δὲ κεκρίσθαι τὸν ἀπιστοῦντά φησιν, ὡς αὐτὸν ἤδη καθ' ἑαυτοῦ τὴν τοῦ κολάζεσθαι δεῖν ὁρίσαντα ψῆφον, δι' ὧν ἔγνω παραιτεῖσθαι τὸν τοῦ μὴ κρίνεσθαι χορηγόν. Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς. Οὐκ ἀζήτητον ἀπομένειν ἐᾷ τῶν ἀπειθούντων τὸ κρῖμα· ἐπιλέγει δὲ τὰς αἰτίας, καὶ δεικνύει σαφῶς, ὅτι κατὰ τὸν παροιμιώδη λόγον "Οὐκ ἀδίκως ἐκτείνεται δίκτυα πτερω "τοῖς." οἱ γὰρ, ἐξὸν καταφωτίζεσθαι, φησὶ, τὸ ἐν σκότῳ κεῖσθαι τιμήσαντες, πῶς οὐκ ἂν εἶεν εἰκότως αὐτοὶ καθ' ἑαυτῶν τῶν δεινῶν ὁρισταὶ, καὶ αὐτόμολοι πρὸς τὸ παθεῖν ἃ καὶ διαφεύγειν ἐξῆν, εἴπερ ἦσαν ὀρθοὶ τῶν πραγμάτων ἐξε τασταὶ, τὸ φωτίζεσθαι μᾶλλον ἐθέλειν τοῦ μὴ τοιούτου προκρίνοντες, καὶ τῶν ἀμεινόνων δεύτερα ποιεῖσθαι μελε τῶντες τὰ αἰσχίονα; ἐλευθέραν δὲ πάλιν τῶν ἐξ ἀνάγκης δεσμῶν τὴν τοῦ ἀνθρώπου διετήρησε γνώμην, καὶ ῥοπαῖς οἰκείαις ἐπ' ἄμφω βαδίζουσαν, ἵνα δέχηται δικαίως ἔπαινόν τε τὸν ἐπ' ἀγαθοῖς, καὶ τὴν ἐπὶ τοῖς ἐναντίοις κόλασιν· ὥσπερ οὖν ἀμέλει καὶ ἐν ἑτέροις τοῦτο δέδειχεν εἰπών "Ἐὰν "θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· "ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς "κατέδεται." 1.231 Πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. Ἐπεξεργάζεται χρησίμως τὸ εἰρημένον, καὶ τὸν ἐπὶ τοῖς συμφέρουσιν ὄκνον ἐξ ἀγάπης ὄντα τῆς εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ φαῦλον ἐλέγχει, καὶ ῥίζαν ἔχοντα τὸ μὴ βούλεσθαι μαθεῖν τὰ δι' ὧν ἂν γένοιτό
τις σοφός τε καὶ ἀγαθός· φεύγει μὲν γὰρ καὶ παραιτεῖται, φησὶν, ὁ τῶν πονηρῶν
ἐργάτης τὸ ἐν φωτὶ γενέσθαι τῷ θείῳ, οὐκ αἰδοῖ τῇ διὰ τὸ φαῦλον ἐγκαλυπτό μενος·
ἢ γὰρ ἂν ἐσώθη τοῦτο παθών· ἀλλ' ἐν ἀγνοίᾳ μένειν τοῦ πρέποντος ἀγαπῶν, ἵνα μὴ
πλήττηται πλημμελῶν, πικροτέροις ἤδη τοῖς ἀπὸ τοῦ συνειδότος ἐλέγχοις προσ
βαλὼν, καὶ διὰ τοῦ λοιπὸν ἐξεπίστασθαι τὸ ἀγαθὸν, δυ σαχθεστέραν ὑφέξων τῷ
κρίνοντι δίκην, εἰ μὴ βούλοιτο δρᾶν ἅπερ ἂν ἀρέσκῃ Θεῷ. Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν,
τουτ έστιν, ὁ τῶν τῆς ἀληθείας ἔργων ἐραστής τε καὶ ποιητὴς, ἔρχεται πρὸς τὸ φῶς,
ἵνα φανερωθῇ τὰ ἔργα αὐτοῦ ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα· οὐ γὰρ παραιτεῖται τὸν ἐν
Πνεύματι φωτισμὸν, ἐξ αὐτοῦ δὴ μάλιστα πρὸς τὸ δύνασθαι νοεῖν ἀσυναρπάστως
χειραγωγούμενος, εἰ μὴ τὴν θείαν ἐκβέβηκεν ἐντολὴν, καὶ εἰ πάντα κατὰ νόμον
εἴργασται Θεοῦ. Ἔστι τοίνυν ἀπόδειξις ἐναργὴς τῆς μὲν εἰς τὸ φαῦλον ἀχαλίνου
ῥοπῆς, καὶ ἀκράτου πρὸς τὸ χεῖρον ἡδονῆς, τὸ μὴ ἐθελῆσαι μαθεῖν τὰ δι' ὧν ἄν τις
ἰσχύσαι πρὸς τὸ ἄμεινον ἀναδραμεῖν· τῆς δὲ ἐπὶ τοῖς ἀρίστοις ἐπιθυμίας, τὸ φωτί
ζεσθαι διψῆν, καὶ ὥσπερ τινὰ κανόνα καὶ ἀπευθυντῆρα πρὸς τὴν ἀρέσκουσαν
πολιτείαν τῷ Θεῷ, τὸν αὐτοῦ ποιεῖσθαι νόμον· ὅπερ εἰδὼς οὕτως ἔχειν, καὶ ὁ
θεσπέσιος ψάλλει μελῳδός "Ὁ νόμος Κυρίου ἄμωμος ἐπιστρέφων ψυχὰς, ἡ 1.232
"μαρτυρία Κυρίου πιστὴ σοφίζουσα νήπια· τὰ δικαιώματα "Κυρίου εὐθεία
εὐφραίνοντα καρδίαν, ἡ ἐντολὴ Κυρίου τη "λαυγὴς φωτίζουσα ὀφθαλμούς." Καὶ
μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ἰουδαίαν γῆν μετὰ τῶν μαθητῶν αὐτοῦ· ἦν δὲ
καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλὴμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ, καὶ
παρεγένοντο καὶ ἐβαπτίζοντο. οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ
Ἰωάννης. Πέρας ἤδη λαβούσης τῆς πρὸς Νικόδημον ὁμιλίας, ἕτερόν τι πάλιν
ἐξαρτύει χρησιμώτατον ὁ θεσπέσιος Εὐαγγελιστής. Πνεύματι γὰρ θείῳ
φωταγωγούμενος πρὸς τὴν τῶν ἀναγ καιοτάτων ἐξήγησιν, συνεῖδεν ὅτι λυσιτελήσει
σφόδρα τοῖς ἐντευξομένοις τὸ διαγνῶναι σαφῶς, πόσην ἔχει τὴν ὑπεροχὴν, ἢ καὶ
ὅσοις ὑπέρκειται μέτροις, ὡς πρὸς τὸ Ἰωάννου βάπ τισμα, τὸ διὰ Χριστοῦ· ἦν γὰρ
ἐλπίδος ὄντως οὐ μακρὰν ἀναδειχθήσεσθαί ποτε τοὺς ἀποτολμῶντας ἐξ ἀνοίας
εἰπεῖν, ἢ μηδεμίαν ὅλως ἐν αὐτοῖς ὑπάρχειν τὴν διαφορὰν, ἰσο μέτροις δὲ αὐτὰ
χρῆναι στεφανοῦσθαι τιμαῖς, ἢ καὶ ταύτης εἰς ἀγριωτέραν ἀπαιδευσίαν
ἐξολισθαίνοντας, τὴν μὲν ἐπὶ τοῖς ἀμείνοσι ψῆφον ἀφελέσθαι τοῦ διὰ Χριστοῦ, τὸ δὲ
νικᾶν τῷ δι' ὕδατος ἀναισχύντως ἐπασωτεύεσθαι. ποῖον γὰρ θράσος τοῖς
ἀπαιδεύτοις οὐ βατὸν, ἢ διὰ ποίας οὐκ ἐλαύ νουσι δυσφημίας οἱ κατὰ τῶν ἱερῶν τῆς
Ἐκκλησίας δογ μάτων ἐξανιστάμενοι, "καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες," καθὰ
γέγραπται; ἵνα τοίνυν τῆς ἐκείνων ἀθυρογλωττίας προανέλῃ τὰς αἰτίας ὁ
σοφώτατος Εὐαγγελιστὴς, αὐτὸν ἡμῖν εἰσφέρει τὸν ἅγιον βαπτιστὴν τοῖς οἰκείοις
παρατιθέντα μαθηταῖς τοῦ ζητουμένου τὴν λύσιν. βαπτίζει τοιγαροῦν ὁ 1.233
Χριστὸς διὰ τῶν ἑαυτοῦ μαθητῶν· ὁμοίως δὲ καὶ ὁ Ἰωάννης, καὶ οὐ πάντως διὰ
χειρὸς ἑτέρων, ἀλλ' οὐδὲ ἐν αὐταῖς ἐκεί ναις ἐβάπτιζε ταῖς πηγαῖς, ἐν αἷς τοῦτο
πράττων ἐφαίνετο Χριστὸς, ἀλλὰ πλησίον τοῦ Σαλὴμ, καθὰ γέγραπται, καὶ εἰς μίαν
τῶν κύκλῳ καὶ γείτονα πηγήν. καὶ δι' αὐτοῦ τρόπον τινὰ τοῦ διωρίσθαι φημὶ τὰς
τῶν ὑδάτων πηγὰς, τὴν ἐπὶ τῷ βαπτίσματι δεικνύων διαφορὰν, καὶ κατασημαίνων,
ὡς δι' αἰνίγματος, ὡς ταὐτὸν μὲν οὐκ ἔστι τῷ παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ δι'
αὐτοῦ· πλησίον δ' οὖν ὅμως, καὶ περὶ αὐτὸ, προμελέτησίν τινα καὶ εἰσαγωγὴν
εἰσφέρον τοῦ τελειο τέρου. ὥσπερ οὖν καὶ ὁ νόμος ὁ διὰ Μωυσέως, σκιὰν ἔχειν
λέγεται "τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν "πραγμάτων·"
προγύμνασμα γάρ τι καὶ προκατήχησις τῆς ἐν πνεύματι λατρείας τὸ γράμμα ἐστὶ τὸ
Μωυσαϊκὸν, κεκρυμμένην ἔσωθεν ὠδῖνον τὴν ἀλήθειαν· οὕτω νοήσεις καὶ τὸ εἰς
μετάνοιαν βάπτισμα. Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περὶ καθαρισμοῦ· καὶ ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ. Ἀτονοῦντες Ἰουδαῖοι τοῖς κατὰ τὸν νόμον περιῤῥαντη ρίοις συνίστασθαι, καὶ συναγορεύειν οὐκ ἔχοντες τῷ διὰ σποδοῦ δαμάλεως καθαρισμῷ, ἐξυφαίνουσί τι τοῖς Ἰωάννου μαθηταῖς, δι' οὗπερ ἐνόμιζον οὐ μετρίως ἀνιάσειν αὐτοὺς, καίτοι καὶ λίαν ἑτοίμως ἐν τοῖς καθ' ἑαυτοὺς ἡττώμενοι. ἐπειδὴ γὰρ οἱ τῷ μακαρίῳ προσεδρεύοντες βαπτιστῇ, κρεί τους ἤδη καὶ συνετώτεροι τῶν Φαρισαίων ἐφαίνοντο, τὸ παρὰ τῷ οἰκείῳ διδασκάλῳ θαυμάζοντες βάπτισμα, καὶ τοὺς κατὰ νόμον καταγωνιζόμενοι καθαρισμούς· δυσφοροῦσιν ἐπὶ τού 1.234 τοις οἱ πρὸς μόνον τὸ διαλοιδορεῖσθαι γοργοὶ, καὶ εἰς πᾶσαν ἑτοιμότατοι κακουργίαν· καὶ δὴ τὸν οἰκεῖον παρατρέψαντες λόγον ἐπαινοῦσι τὸ βάπτισμα τὸ διὰ Χριστοῦ, διακείμενοι μὲν οὐκ ὀρθῶς, οὐδὲ ἀληθεῖς ἐπαίνους τοῦ πράγματος κατα χέοντες, εἰς δὲ μόνον τὸ λυπῆσαι παρωξυμμένοι, καὶ τὴν παρὰ γνώμην δανειζόμενοι πρόθεσιν, ἕως ἂν αὐτοῖς εἰς ἔργον ἐκτρέχῃ τὸ σπούδασμα. λογικὴν μὲν οὖν οὐδεμίαν ἔχουσι ποιεῖσθαι τὴν ἀπόδειξιν, ἀλλ' οὐδὲ ἐκ τῶν ἱερῶν λαβόντες γραμμάτων συνηγοροῦσι Χριστῷ· πόθεν γὰρ ἡ τοιαύτη τοῖς ἀπαιδεύτοις σύνεσις; ἐκεῖνο δὲ μόνον εἰς βεβαίωσιν τῶν οἰκείων προΐσχονται λόγων, τὸ κομιδῇ μὲν εἶναι βραχεῖς ἀριθμῷ τοὺς Ἰωάννῃ προστρέχοντας, ἀγεληδὸν δὲ βαδίζειν ἐπὶ Χριστόν. ᾤοντο γὰρ ἴσως πολὺ δὴ λίαν ἀφραίνοντες τὴν ἐπὶ τῷ δύνασθαι νικᾶν ἀποκομιεῖσθαι ψῆφον, καὶ τοῖς νομικοῖς περιῤῥαντηρίοις, ὡς ἤδη κεκρατηκόσιν, ἀπαυθαδί ζεσθαι τῆς Ἰωάννου χειρὸς, ἐν ἀμείνοσι θέντες τὸ διὰ Χριστοῦ τοῖς προσιοῦσιν αὐτῷ χορηγούμενον βάπτισμα. καὶ λυποῦσι μὲν ὄντως τοὺς, πρὸς οὓς ἦν ὁ λόγος· ἀπαλ λάττονται δὲ μόλις ἐπὶ τούτοις, καὶ ἀναχωροῦσι τῶν Ἰωάννου μαθητῶν, ἐξ ἀπερισκέπτου λογομαχίας πολὺ μειζόνως ἡττώ μενοι. καταστέφουσι γὰρ τοῖς ἐξ ἀνάγκης ἐπαίνοις καὶ οὐχ ἑκόντες τὸν Κύριον. Ῥαββὶ, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. ἀπε κρίθη Ἰωάννης καὶ εἶπεν. Τοῖς τῶν Φαρισαίων λόγοις καταδηχθέντες οἱ μαθηταὶ, καὶ εἰς αὐτὴν δὲ τοῦ πράγματος ἀφορῶντες τὴν φύσιν, ψευδομένους μὲν ἐλέγχειν ἦσαν οὐχ οἷοί τε, διαποροῦσι δὲ εἰκότως, καὶ τὸ μέγα τοῦ Σωτῆρος ἡμῶν οὐκ εἰδότες ἀξίωμα, 1.235 καταπτοοῦνται λίαν ἐπὶ τοῖς Ἰωάννου μειονεκτήμασιν, αἰδοῖ δὲ καὶ θαύματι τὸν ἐξ ἀγάπης κεράσαντες λόγον, ἀξιοῦσιν ἤδη μαθεῖν, ὅτου δὴ χάριν ὁ ταῖς παρ' αὐτοῦ μεμαρτυρη μένος φωναῖς, φθάνει μὲν αὐτὸν ἐν εὐκλείαις, προπηδᾷ δὲ τῇ χάριτι, καὶ σαγηνεύει βαπτίζων οὐ μέρος τῆς ἁπάσης πλη θύος Ἰουδαϊκῆς, ἀλλ' ἤδη καὶ πάντας. ἐποιοῦντο δὲ κατὰ τὸ εἰκὸς οὐκ ἀθεεὶ τὴν ζήτησιν· καλεῖ γὰρ ἐντεῦθεν ὁ βαπτιστὴς εἰς ἀκριβῆ καὶ μακρὰν περὶ τοῦ Σωτῆρος ἐξήγησιν, καὶ διαφανεστάτην τῶν βαπτισμάτων εἰσφέρει τὴν διαφοράν. Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Οὐδέν φησιν ἐν ἀνθρώποις ἀγαθὸν, ὃ μὴ πάντως εἶναι δεῖ καὶ θεόσδοτον. "Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;" ἀκούειν ἂν πρέποι τῇ κτίσει. χρῆναι δὲ οἶμαι τοῖς μὲν ἀπονεμηθεῖσιν ἀρκεῖσθαι μέτροις, καὶ ταῖς οὐρανόθεν διωρισμέναις ἐφή δεσθαι τιμαῖς, ἐκτείνεσθαι δὲ περαιτέρω μηδαμῶς, μηδὲ ἀχαρίστως τῇ πρὸς τὸ μεῖζον ἀεὶ κεχρημένους ἐφέσει, τὴν ἄνωθεν ἀτιμάζειν ψῆφον, καὶ δεσποτικοῖς ἀπομάχεσθαι κρί μασιν, αἰδοῖ τοῦ μὴ δοκεῖν τοῦ τελειοτέρου τὸ ἔλαττον ἀπο φέρεσθαι· ἀλλ' οἷσπερ ἂν ἐθελήσας τιμήσῃ Θεὸς, ταῦτα δὴ καὶ μάλα ποιεῖσθαι περὶ πολλοῦ. μὴ ἀσχαλέτω τοιγαροῦν ὁ ἐμὸς, φησὶ, μαθητὴς, εἰ μὴ τὸ δοθὲν ἐξάλλομαι μέτρον, εἰ τὸ μεῖζον οὐκ ἐννοῶ, καὶ εἰς δόξαν ἀνθρωποπρεπῆ συστέλ λομαι. 1.236 Αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον Ἐγὼ οὐκ εἰμὶ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. Εἰς ἀνάμνησιν ἄγει τοὺς ἑαυτοῦ μαθητὰς ὧν ἤδη πολ λάκις ἀκηκόασι λόγων, ὁμοῦ μὲν ἐλέγχων εὐφυῶς, ὡς τῇ τῶν χρησίμων λήθῃ κεκαρωμένους, καὶ περὶ τὴν οὕτω σεμνο τάτην διδασκαλίαν ἀπονυστάζοντας, ὁμοῦ δὲ ἀναπείθων τῆς θείας μεμνῆσθαι γραφῆς, ἅτε δὴ τῇ ἐπὶ τούτοις φιλομαθείᾳ συντεθραμμένους· τίνα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν ἔσεσθαι κηρύττει Χριστόν· τίνα δὲ αὖ πάλιν τὸν προκήρυκα βαπτιστήν· οὕτω γὰρ ἔμελλον τὴν ἐφ' ἑκάστῳ γνῶσιν ἀναδεξάμενοι χαλεπαίνειν οὐδαμῶς, ἐν τοῖς ἑκάστῳ πρέπουσιν ὁρῶντες αὐτούς. δεήσομαι τοι γαροῦν οὐχ ἑτέρων, φησὶν, εἰς τοῦτο μαρτύρων, αὐτηκόους ἔχω τοὺς ἐμαυτοῦ μαθητάς· ὡμολόγηκα τὴν δουλείαν, προ κηρύξων Ἀπεστάλην· ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός· νικάτω, κρα τείτω, καταλαμπρυνέσθω μειζόνως, ὡς δεσπότης καὶ Θεός. Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου· αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. Ἐγεγόνει μὲν πάλιν ὡς ἐξ ὁμοιώσεως τῆς καθ' ἡμᾶς ὁ λόγος, ἄγει δὲ εἰς ἐπίγνωσιν θεωρημάτων λεπτῶν· τύποι γὰρ τῶν νοητῶν, τὰ χειρὸς ἁφὴν ὑπομένοντα, καὶ σωματικῶν παραδειγμάτων παχύτης ἀκριβεστάτην εἰσφέρει πολλάκις τῶν πνευματικῶν τὴν ἀπόδειξιν. ἐστὶ τοίνυν, φησὶ, νυμφίος μὲν καὶ πανηγυριάρχης ὁ Χριστὸς, δειπνοκλήτωρ δὲ ἐγὼ καὶ νυμφαγωγὸς, θυμηδίαν ἔχων τὴν ἀκροτάτην καὶ ἀξίωμα περιφανὲς, τὸ ἐν φίλοις κατατετάχθαι μόνον, καὶ τῆς τοῦ 1.237 ἑστιῶντος ἐπακροᾶσθαι φωνῆς. ἔχω μὲν οὖν ἤδη τὸ ποθού μενον ἐγὼ, καὶ πεπλήρωταί μοι τὸ σπούδασμα· ἐκήρυξα γὰρ οὐ μόνον, ὡς ἥξει ὁ Χριστὸς, ἀλλ' ἤδη καὶ παρόντα τε θέαμαι, καὶ αὐτὴν ἐν ὠσὶν εἰσοικίζομαι τὴν φωνήν. ὑμεῖς δὲ, ὦ σοφώτατοι μαθηταὶ, τὴν νυμφευομένην ἀνθρωπότητα τῷ Χριστῷ πρὸς αὐτὸν ἰοῦσαν ὁρῶντες, καὶ εἰς πνευματικὴν ἀναβαίνουσαν οἰκειότητα διὰ τοῦ ἁγίου βαπτίσματος τὴν ἀποκεκομμένην καὶ δραπετεύσασαν τῆς εἰς αὐτὸν ἀγάπης καταθεώμενοι φύσιν, μὴ ἀσχάλετε, φησὶν, ὅτι μὴ μᾶλλον ἐμοὶ πρέπει, προστρέχει δὲ λίαν εὐπετῶς τῷ κατὰ πνεῦμα νυμφίῳ· τοῦτο γὰρ ἦν ὄντως δίκαιόν τε καὶ πρεπωδέστερον. ὁ γὰρ ἔχων τὴν νύμφην νυμφίος ἐστί· τουτέστι, μὴ ἐν ἐμοὶ ζητεῖτε τοῦ νυμφίου τὸν στέφανον, οὐκ ἐμοὶ χορεύει λέγων ὁ μελῳδός "Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, "καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, "ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου·" οὐδὲ τὸν ἐμὸν ζητοῦσα θάλαμον ἡ νύμφη φησίν "Ἀπάγγειλόν μοι, ὃν "ἠγάπησεν ἡ ψυχή μου, ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν "μεσημβρίᾳ·" ἔχει τὸν ἐξ οὐρανοῦ νυμφίον· ἐγὼ δὲ ἡσθή σομαι καὶ τὴν δούλῳ πρέπουσαν ἀναπηδήσας τιμὴν, ἐν τῷ τῆς φιλίας ὀνόματί τε καὶ πράγματι. Τὴν μὲν οὖν τῶν προκειμένων διάνοιαν, οἶμαι δὴ καὶ μάλα διερμηνεύεσθαι καλῶς· ἀρκούντως δὲ ἤδη περὶ τοῦ πνευματικοῦ διειληφὼς γάμου, τὸ γράφειν ἔτι περὶ αὐτοῦ φορτικὸν ἡγούμεθα. Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. Ὡς ἐπὶ μικροῖς ἔτι θορυβουμένους ἐλέγχει τοὺς μαθητὰς, καὶ πρόωρον μὲν ἐφ' οἷς ἥκιστα χρῆν ὑπομείναντας σκάν 1.238 δαλον, οὔπω δὲ εἰδότας ἀκριβῶς, τίς τε καὶ πόθεν ἐστὶν ὁ Ἐμμανουήλ. οὐ γὰρ μέχρι τούτων, φησὶ, τὰ ἐπ' αὐτῷ θαυμασθήσεται, οὐδὲ ὅτι πλείους βαπτίζονται παρ' αὐτῷ, διὰ τοῦτο καὶ μόνον τὴν ἐμὴν ὑπεραλεῖται τιμὴν, ἀλλ' εἰς μέτρον ἀναβήσεται δόξης τοσοῦτον, ὅσον ἂν πρέποι Θεῷ· δεῖ γὰρ αὐτὸν μὲν εἰς αὔξησιν εὐκλείας ἰέναι, καὶ ταῖς καθ' ἡμέραν τῶν σημείων προσθήκαις ἀεὶ πρὸς τὸ μεῖζον ἀνα πηδᾶν, καὶ λαμπρότερον ἀναφαίνεσθαι τῷ κόσμῳ· ἐμὲ δὲ ἐλαττοῦσθαι, μένοντα μὲν ἐν οἷσπερ ὑπάρχων ὁρῶμαι, καὶ τῶν ἅπαξ δοθέντων οὐχ ὑφιζάνοντα μέτρων, τοῦ δὲ πρὸς αὔξην ἀναβαίνοντος δόξης ἀεὶ, τοσοῦτον ἡττώμενον, ὅσον ἂν τρέχῃ καὶ φέρηται. Καὶ ταῦτα μὲν ἡμῖν ὁ μακάριος διερμηνεύει βαπτιστής· ἥξει δὲ χρησίμως διὰ παραδειγμάτων ὁ λόγος, ἐναργεσ τέραν παριστὰς τῶν εἰρημένων τὴν δύναμιν. δίπηχυ τυχὸν ἐπὶ γῆς ἑστάτω ξύλον· παρακείσθω δὲ καὶ φυτὸν, ἄρτι μὲν γῆς ὑποκύπτον, χλωροὺς δὲ ἀνατεῖνον εἰς ἀέρα τοὺς ὅρπηκας, καὶ ταῖς ἀπὸ ῥίζης ἀσχέτοις ὁρμαῖς ἀεὶ πρὸς ὕψος τὸ μεῖζον ἀνωθούμενον· ἆρ' οὖν εἴ τις περιθείη τῷ ξύλῳ φωνὴν, εἶτα τοῦτο λέγοι περί τε ἑαυτοῦ καὶ φυτοῦ τοῦ γείτονος Τοῦτο δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι, οὐκ ἂν εἰκότως νοοῖτο βλάβος μέν τι ἐν τοῖς καθ' ἑαυτὸ σημαίνειν οὐδὲν, ἀλλ' οὐδὲ εἰς κολόβωσιν τὸ αὐτῷ προσὸν οἰχήσεσθαι μέτρον, ἐλαττοῦσθαι δὲ κατὰ τοῦτο μόνον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διισχυρίζεται τὸ εἶδος, καθ' ὃ τοῦ πρὸς αὔξησιν ἰόντος ἀεὶ τὸ μεῖον ἔχον εὑρίσκεται. συγγενὲς δὲ τούτῳ πάλιν λήμψει παράδειγμα, καὶ τὸ τῶν ἀστέρων ἐπισημότατον περὶ τοῦ ἡλίου λέγοντα βοᾶν Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. ἕως μὲν 1.239 γὰρ τῇ τῆς νυκτὸς ἀχλύϊ τὸ αἰθέριον καταμελαίνεται βάθος, χρυσῆν ἀπαστράπτοντα τὸν ἑωσφόρον αὐγὴν, καὶ ὁλοκλήρῳ διαπρέποντα δόξῃ, θαυμάσειεν ἄν τις εἰκότως· ἡλίου δὲ ἀνίσχειν ἀπειλήσαντος ἤδη, καὶ μετρίῳ τὸν κόσμον φωτὶ καταῤῥαίνοντος, νικᾶται τῷ μείζονι, καὶ παραχωρεῖ πλεο νεκτοῦντι κατὰ βραχύ. λέγοι δ' ἂν καὶ αὐτὸς εἰκότως τὴν Ἰωάννου φωνὴν, αὐτὸ δὴ τοῦτο παθὼν, ὅπερ ἐκεῖνος ὑπο μείνας φησίν.

1.240 ΚΕΦΑΛΗ Β. Ὅτι οὐκ ἐν τοῖς γενητοῖς ἐστιν ὁ Υἱὸς, ἀλλ' ἐπάνω πάντων, ὡς Θεὸς ἐκ Θεοῦ. Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν. ΟΥ μέγα, φησὶν, οὐδὲ λίαν ἐστὶν ἀξιάγαστον, εἰ τὴν τῆς ἀνθρωπότητος δόξαν ὑπερτρέχει Χριστός· οὐ γὰρ μέχρι τούτων τοὺς τῆς ἰδίας εὐκλείας ἵστησιν ὅρους, ἐπὶ πᾶσαν δέ ἐστι τὴν κτίσιν, ὡς Θεὸς, ἐπάνω πάντων ἐστὶ τῶν πεποιη μένων, οὐχ ὡς ἐν πᾶσι καταριθμούμενος, ἀλλ' ὡς καὶ πάντων ἐξῃρημένος, καὶ τοῖς πᾶσι θεοπρεπῶς ἐποχούμενος. ἐπιλέγει δὲ τὴν αἰτίαν, τὸν ἀντιτείνοντα δυσωπῶν, καὶ κατασιγάζων τὸν ἀνθιστάμενον. ὁ ἄνωθεν ἐρχόμενος, φησὶ, τουτέστιν, ὁ τῆς ἄνωθεν ῥίζης ἐκπεφυκὼς, τὴν πατρῴαν ἐφ' ἑαυτῷ φυσικῶς ἀποσώζων εὐφυΐαν, τό Ἐπάνω πάντων ὑπάρχειν ὁμολογου μένως κεκτήσεται· ἦν γὰρ δὴ καὶ ἀμήχανον, μὴ οὐχὶ πάντως τοιοῦτον ὁρᾶσθαι τὸν Υἱὸν, ὁποῖόσπερ ἂν νοοῖτο καὶ κατὰ τὴν ἀξίαν ὁ γεννήσας αὐτόν. ὁ γὰρ τῇ ταυτότητι τῆς φύσεως διαπρέπων Υἱὸς, τὸ ἀπαύγασμα καὶ ὁ χαρακτὴρ τοῦ Πατρὸς, πῶς ἂν γένοιτο κατὰ τὴν δόξαν ἐλάττων αὐτοῦ; ἢ γὰρ οὐκ ἐν Υἱῷ τὸ τοῦ Πατρὸς ἴδιον ἀτιμασθήσεται, καὶ τοὺς τοῦ τεκόντος ὑβριοῦμεν χαρακτῆρας, ἐν ἐλάττοσι 1.241 τιθέντες αὐτόν; ἀλλ', οἶμαι, πᾶσιν ἔσται τοῦτο καταφανές· διά τοι τοῦτο καὶ γέγραπται "Ἵνα πάντες τιμῶσι τὸν Υἱὸν "καθὼς τιμῶσι τὸν Πατέρα· ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐδὲ τὸν "Πατέρα τιμᾷ." ὁ δὲ ἰσομέτροις ὡς πρὸς Θεὸν καὶ Πατέρα τιμαῖς ἐπαγλαϊζόμενος, διὰ τὸ ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχειν, πῶς οὐκ ἂν νοοῖτο λοιπὸν τὴν τῶν γενητῶν ἀναβαίνειν οὐσίαν; τοῦτο γὰρ τό Ἐπάνω πάντων ἐστίν. Ἀλλ' αἰσθάνομαι πάλιν, ὡς ἠρεμήσει μὲν οὐδαμῶς τῶν χριστομάχων ὁ νοῦς, ἥξουσι δ', ὡς εἰκὸς, ἀθυροστομοῦντες καὶ λέγοντες Ὅταν ὁ μακάριος βαπτιστὴς ἄνωθεν ὁρμᾶσθαι λέγῃ τὸν Κύριον, ποῖος ἡμᾶς ἀναγκάσει λόγος ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἥκειν αὐτὸν ὑποτοπῆσαι διὰ τό Ἄνωθεν, καὶ οὐχὶ μᾶλλον ἐξ οὐρανῶν, ἢ καὶ ἐκ τῆς ἐνούσης αὐτῷ κατὰ πάντων ὑπεροχῆς, ὡς διὰ τοῦτο καὶ ἐπὶ πάντα νοεῖσθαι καὶ λέγεσθαι; ὅταν τοίνυν ἡμᾶς τοῖς τοιούτοις κατασφενδονῶσι λόγοις, ἀντακούσονται πάλιν Οὐ τοῖς παρ' ὑμῖν σαθροτάτοις, ὦ βέλτιστοι, λογισμοῖς, ἀλλὰ μᾶλλον τῇ θείᾳ γραφῇ καὶ μόνοις τοῖς ἱεροῖς ἀκολουθήσομεν γράμμασιν. ἐρευνητέον δ' οὖν ἐν ἐκείνοις, ὅπως ἡμῖν τὴν τοῦ Ἄνωθεν ὁρίζονται δύναμιν. ἀκουέτωσαν τοίνυν ἀνακεκραγότος τινὸς τῶν πνευματοφόρων "Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι "καταβαῖνον ἐκ τοῦ πατρὸς τῶν φώτων·" ἰδοὺ διαῤῥήδην τὸ ἄνωθεν ἐκ τοῦ Πατρὸς εἶναί φησιν· ἕτερον γὰρ οὐδὲν ὑπερ κεῖσθαι γινώσκων τὰ γενητὰ παρὰ τὴν ἄῤῥητον τοῦ Θεοῦ φύσιν, αὐτῇ κυρίως προσῆψε τό Ἄνωθεν. τὰ μὲν γὰρ ἄλλα σύμπαντα τῷ τῆς δουλείας ὑποπίπτει ζυγῷ, μόνος δὲ ἄνω τοῦ κρατεῖσθαι πηδᾷ καὶ βασιλεύει Θεός· ὅθεν ἀληθῶς αὐτὸς καὶ ἐπάνω πάντων ἐστί. Θεὸς δὲ καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, τῆς ἐπὶ τούτῳ λαμπρότητος οὐκ ἐκκείσεται. εἰ δὲ τό Ἄνωθεν οἴεσθε δεῖν Ἐξ οὐρανοῦ λαμβάνεσθαι, λε 1.242 γέσθω καὶ ἐπὶ παντὸς ἀγγέλου καὶ δυνάμεως λογικῆς ἡ λέξις· ἔρχονται γὰρ ὡς ἡμᾶς ἐξ οὐρανῶν οἱ τὴν ἄνω δια τρίβοντες πόλιν, καὶ ἀναβαίνουσι καὶ καταβαίνουσιν, ὡς ὁ Σωτήρ που φησὶν, ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. τί οὖν ἄρα ἐστὶ τὸ τὸν μακάριον βαπτιστὴν πεπεικὸς, τὸ πολλοῖς ἕτοιμον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς ἐξουσίαν ἀναθεῖναι μόνῳ κατ' ἐξαίρετον τῷ Υἱῷ, καὶ ὡς ἐφ' ἑνὸς τοῦ ἄνωθεν καταβαίνοντος εἰπεῖν Ὁ ἄνωθεν ἐρχόμενος; χρῆν γὰρ δήπου κοινοποιεῖσθαι τοῖς ἄλλοις τὸ ἀξίωμα, λέγοντα Οἱ ἄνωθεν ἐρχόμενοι ἐπάνω πάντων εἰσίν. ἀλλ' οἶδεν ἑνὶ τῷ Υἱῷ τὸ ῥῆμα χρεωστούμενον, ὡς τῆς ἀνωτάτω ῥίζης ἐκπεφυκότι. Οὔκουν ἄρα τό Ἄνωθεν σημαίνει τό Ἐξ οὐρανοῦ· νοηθήσεται δὲ μᾶλλον, καθάπερ ἤδη προείπομεν, εὐσεβῶς τε καὶ ἀληθῶς. πῶς γὰρ ὅλως ἔσται καὶ ἐπάνω πάντων, εἰ μὴ τὸ ἐκ Πατρὸς σημαίνει τό Ἄνωθεν, ἀλλὰ μᾶλλον τό Ἐξ οὐρανοῦ;ἔσται γὰρ, ἂν οὕτως ἔχῃ, καὶ ἕκαστος τῶν ἁγίων ἀγγέλων ἐπάνω πάντων, ὡς ἐκεῖθεν ἐρχόμενος· ἑκάστου δὲ διαφεύ γοντος τὸ ἐναριθμεῖσθαι τοῖς πᾶσιν, ἀπὸ τίνων ἔτι τό Πάντα συναχθήσεται; ἢ πῶς ἂν ἡμῖν ὁ τοῦ Πάντα λόγος ἀκέραιος διαμεῖναι, διασώζων ἀκριβῶς, ὃ σημαίνειν βούλεται, τοσαύτης ἀγγέλων ἀποφοιτώσης πληθύος, καὶ παραλυούσης τοῦ Πάντα τὸν ὅρον; οὐκέτι γὰρ πάντα, μενόντων ἐκτὸς, οἵπερ ἦσαν ἐν πᾶσιν. ὁ δέ γε ἀῤῥήτως ἐκ Θεοῦ Πατρὸς ἀναλάμψας Λόγος, ἰδιάζουσαν ἔχων τὴν ἄνωθεν γέννησιν, καὶ καθάπερ ἀπὸ πηγῆς τῆς τοῦ Πατρὸς οὐσίας ὑπάρχων ἐρχόμενος οὐκ ἀδικήσει τό Πάντα, τὸ ἐν πᾶσιν ὡς μέρος τετάχθαι δια φυγών· ἔσται δὲ μᾶλλον ἐπάνω πάντων, ὡς ἕτερος παρ' αὐτὰ, καὶ φύσει καὶ δυνάμει θεοπρεπεῖ καὶ τοῖς ἄλλοις τοῦ γεννήσαντος ἰδιώμασιν. 1.243 Ἀλλ' ἐροῦσι τυχὸν τὰς ἐκ τῆς ἐρεύνης ἀτοπίας δυσω πούμενοι, σημαίνειν τό Ἄνωθεν οὐκ ἐξ οὐρανῶν, ἀπὸ δὲ τῆς ἐνούσης αὐτῷ κατὰ πάντων ὑπεροχῆς. φέρε δὴ οὖν ἀκριβέ στερον βασανίζοντες τοῦ λεγομένου τὴν δύναμιν, ἴδωμεν πάλιν εἰς ποῖον αὐτοῖς καταστρέψει τέλος τὸ ἐγχείρημα. πρῶτον μὲν οὖν ἀμαθές τε καὶ ἀδιανόητον κομιδῇ, τὸ αὐτὸν ἐκ τοῦ οἰκείου λέγειν ἀξιώματος ἔρχεσθαι τὸν Υἱὸν, καὶ ὥσπερ ἀπό τινος τόπου, ἢ καὶ ὡς ἐξ ἑνὸς, ἕνα τὸν αὐτὸν ἐκ τῆς ἰδίας ὑπεροχῆς εἰς τὸ ἐπάνω πάντων εἶναι βαδίζειν. πρὸς δέ γε τούτῳ κἀγὼ πυθοίμην ἂν ἥδιστα λίαν αὐτῶν, τὴν κατὰ πάντων ὑπεροχὴν, πότερόν ποτε δώσουσιν οὐσιώδη καὶ ἀναφαίρετον τῷ Υἱῷ, ἢ προσπεπορισμένην ἔξωθεν κατὰ λόγον τοῦ συμβεβηκότος. εἰ μὲν οὖν ἐπίκτητον ἔχειν ἐροῦσιν αὐτὸν τὴν ὑπεροχὴν, καὶ ἐπακτοῖς ἐπισεμνύνεσθαι τοῖς ἀξιώ μασιν, ἀνάγκη προσομολογεῖν ἔρημόν ποτε δόξης εἶναι δύ νασθαι τὸν Μονογενῆ, καὶ τὴν ἐπίκτητον, ὡς ἐκεῖνοί φασιν, ἀποδύσασθαι χάριν, καὶ τό Ἐπάνω πάντων εἶναι ζημιωθέντα, φαίνεσθαι γυμνὸν ἧς ἄρτι θαυμάζουσιν ὑπεροχῆς, εἴπερ ἐστὶ τὸ συμβεβηκὸς ἀπόβλητον, ὅτε μὴ τῆς οὐσίας ἅπτεται τοῦ ὑποκειμένου· ἔσται τοιγαροῦν μεταβολή τις καὶ ἀλλοίωσις περὶ τὸν Υἱὸν, καὶ διαψεύσεται μὲν εἰκαίοις αὐτὸν ἀνα μέλπων ῥήμασιν ὁ μελῳδός "Οἱ οὐρανοὶ ἀπολοῦνται, σὺ "δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ "ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται· σὺ δὲ "ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι." ποῦ γὰρ ὁ αὐτὸς, εἰ μεταπίπτει σὺν ἡμῖν, καὶ τοῦτο ταῖς εἰς τὰ χείρω μεταβολαῖς; μάτην δὲ ὡς εἰκὸς καὶ αὐτὸς ἐφ' ἑαυτῷ κατα σεμνύνεται λέγων "Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι καὶ οὐκ 1.244 "ἠλλοίωμαι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ·" πῶς δὲ οὐχὶ καὶ εἰς αὐτὸν ἀναβήσεται τὸν Πατέρα τὰ τοῦ γεννήματος πάθη, χαρακτὴρ εἴπερ ἐστὶ καὶ εἰκὼν ἀπαράλλακτος αὐτοῦ; ἔσται δὴ οὖν ἀλλοιωτὸς μὲν ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ, ἔχει δὲ προσγεγονότως τὴν κατὰ πάντων ὑπεροχήν· καὶ σιωπῶ τὸ λειπόμενον. οἰκειώσεται γὰρ ὡς ἐξ ἀνάγκης τὰ ἐν τῇ εἰκόνι τὸ ἀρχέτυπον. ἀλλ' ἐπίκτητον μὲν οὐκ ἐροῦσιν ἔχειν αὐτὸν τὴν ὑπεροχὴν πρὸς τὰς τοιαύτας τῶν λογισμῶν δυσχερείας τε ὁμοῦ καὶ ἀτοπίας ἀποφρίττοντες, οὐσιώδη δὲ μᾶλλον καὶ ἀναφαίρετον. εἶτα πάλιν, ὦ βέλτιστοι, πῶς ἡμῖν οὐ συνε ρεῖτε καὶ ἄκοντες, ὅτι Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς ἐπάνω πάντων ἐστὶ, διὰ τοῦτο καὶ ἐκ μόνης ἔρχεται τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός; εἰ γὰρ οὐδέν ἐστι τῶν γενητῶν, ὃ μὴ τῇ τοῦ Πάντα δυνάμει περισχοινίζεται, ἐπάνω δὲ πάντων ἐστὶν ὁ Υἱὸς, ὡς ἕτερος δηλονότι παρὰ πάντα, καὶ οὐσιώδη κατὰ πάντων ἔχων τὴν ὑπεροχὴν, καὶ οὐχ ὁ αὐτὸς κατὰ φύσιν ὑπάρχων τοῖς πᾶσι, πῶς οὐκ ἂν νοοῖτο λοιπὸν Θεὸς ἀληθινός; ὁ γὰρ τῆς τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιημάτων πληθύος οὐσιω δῶς ἐκκείμενος, καὶ τὸ ἐν γενητοῖς τετάχθαι κατὰ φύσιν ἐκδραμὼν, τί ἂν ἕτερον εἴη λοιπὸν ἢ Θεός; μεσολαβοῦν γὰρ ὁρῶμεν οὐδὲν, ὅσον ἧκεν εἰς οὐσίας ὑφεστώσης λόγον. κτίσις γὰρ ἡ βασιλευομένη καὶ ἐπ' αὐτῇ νοεῖται Θεός. οὐκοῦν εἰ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, ἐγεννήθη δὲ ἀῤῥήτως ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, τὴν τοῦ γεννήσαντος φύσιν τό Ἄνωθεν σημαίνει. διά τε τοῦτο ἐπάνω πάντων ἐστὶν ὁ Μονογενὴς, ἅτε δὴ καὶ ἐξ αὐτῆς ὁρώμενος. 1.245 Ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστι καὶ ἐκ. τῆς γῆς λαλεῖ. Οὐκ ἰσομέτρως ἐνεργήσει, φησὶν, εἰς τὸ δύνασθαι πείθειν ὁ γηγενὴς τῷ ἐπὶ πάντας ὄντι Θεῷ. λαλήσει μὲν γὰρ ὡς ἄνθρωπος ὁ ἀπὸ τῆς γῆς, καὶ ἐν μόνῃ συμβούλου κείσεται τάξει, ὅλας ἐπιτρέψας τοῖς παιδευομένοις τὰς τοῦ βούλεσθαι πιστεύειν ἡνίας· ὁ δὲ ἄνωθεν ἐρχόμενος, ὡς Θεὸς, θείᾳ τινὶ καὶ ἀῤῥήτῳ χάριτι καταχρήσας τὸν λόγον ταῖς τῶν προσ ιόντων ἐνίησιν ἀκοαῖς. ὅσῳ δὲ ἀμείνων ἐστὶ κατὰ φύσιν, τοσούτῳ δὴ πάντως ἐνεργήσει γοργότερον. χρησίμως δὲ λίαν ὁ μακάριος βαπτιστὴς πρὸς τοὺς ἑαυτοῦ μαθητὰς τὰ τοιαῦτά φησιν. ἐπειδὴ γὰρ αὐτὸν τῆς τοῦ Σωτῆρος δόξης ἐθεώρουν ἡττώμενον, ἐπί τε τούτῳ λοιπὸν οὐ μετρίως ἐσκαν δαλίζοντο, διὸ δὴ καὶ προσῄεσαν λέγοντες "Ῥαββὶ, ὃς ἦν "μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε "οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν·" ἀναγ καίως ὁ πνευματοφόρος τὸ τοῦ σκανδάλου πάθος ὑποτεμνό μενος, ὑγιᾶ τε τοῖς ἑαυτοῦ μαθηταῖς τὴν ἐπὶ τοῖς ἀναγκαιο τάτοις διάληψιν ἐντιθεὶς, ἐξηγεῖται μὲν τοῦ Σωτῆρος τὴν κατὰ πάντων ὑπεροχὴν, διδάσκει δὲ οὐδὲν ἧττον τὴν αἰτίαν, δι' ἣν ἤδη πάντες ἐπ' ἐκεῖνον ἐβάδιζον, καὶ τὸ δι' ὕδατος μόνου παρατρέχοντες βάπτισμα, τῷ θειοτέρῳ καὶ τελειοτέρῳ προσῄεσαν, τῷ διὰ Πνεύματος Ἁγίου δηλαδή. Ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν. Τοῦτο μαρτυρεῖ ὅτι πλείστη, φησὶν, καὶ ἀσύγκριτος ἡ διαφορὰ τοῖς ἀπὸ τῆς γῆς πρὸς τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβαίνοντα Θεὸν Λόγον. εἰ μὴ διδάσκειν ἀξιόχρεως ἐγὼ, 1.246 καὶ εἰ μόνος ὑμῖν ὁ ἐμὸς οὐκ ἐξαρκέσει λόγος, αὐτὸς ἐπιβε βαιώσει ἐπιμαρτυρῶν ὁ Υἱὸς, ἀκαταλήπτῳ μέτρῳ διεστάναι τὸ γηγενὲς τῆς ἐπάνω πάντων ἀρχῆς· διαλεγόμενος δέ που πρὸς τοὺς ἀνοσίους Ἰουδαίους, ἔφασκεν ὁ Σωτήρ "Ὑμεῖς ἐκ "τῶν κάτω ἐστέ· ἐγὼ ἐκ τῶν ἄνω εἰμί." κάτω μὲν γὰρ τὴν τῶν γενητῶν φύσιν εἶναί φησιν, ὡς ὑποκειμένην καὶ ὡς ἐξ ἀνάγκης δουλεύουσαν τῷ πρὸς τὸ εἶναι καλοῦντι Θεῷ· ἄνω δὲ πάλιν τὴν θείαν καὶ ἄῤῥητον καὶ δεσπόζουσαν φύσιν, ὡς πάντα ὑπὸ πόδας ἔχουσαν τὰ γενητὰ, καὶ τῷ τῆς ἐξουσίας ὑποθεῖσαν ζυγῷ. οὐ μάτην δὲ ταῦτα τοῖς ἀνωτέρω προστέ θεικεν ὁ μακάριος βαπτιστής· ἵνα γὰρ μὴ νομίζηται παρὰ τοῖς ἑαυτοῦ μαθηταῖς εἰκαίους ἀναπλάττεσθαι λογισμοὺς, αἰδοῖ δὲ τοῦ μὴ δοκεῖν εὐλόγως ἡττῆσθαι Χριστῷ, μείζονα μὲν λέγειν καὶ ἄνωθεν αὐτὸν, ἑαυτὸν δὲ κάτωθεν καὶ ἀπὸ τῆς γῆς, ἀναγκαίως ἀφ' ὧν αὐτὸς ἔφασκεν ὁ Σωτὴρ, τὴν τῶν εἰρημένων ἐπισφραγίζει δύναμιν, καὶ πρόφασιν μὲν, οὐ κα θάπερ ᾤοντο κενὴν, ἀληθείας δὲ μᾶλλον ἀπόδειξιν, ἐπι δεικνύει τὴν ἐξήγησιν. Ἐπειδὴ δὲ καὶ ἑτέρα φέρεται τοῦ στίχου γραφὴ Ὃ γὰρ ἑώρακέ φησι καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ, φέρε καὶ εἰς αὐτὴν ὀλίγα διαλεξόμεθα. τὰς ἐφ' ἑκάστῳ τῶν πραγμάτων πληρο φορίας, διὰ δύο μάλιστα τῶν κυριωτέρων αἰσθήσεων λαμ βάνειν πεφύκαμέν τε καὶ κατειθίσμεθα, ὄψεως δὴ λέγω καὶ ἀκοῆς· αὐτήκοοί τε γὰρ καὶ αὐτεπίσκοποι γεγενημένοι τινῶν, ἐπὶ τὸ λέγειν ἀνενδοιάστως περὶ αὐτῶν ἐρχόμεθα. ἀναπείθων τοιγαροῦν δρομαίους αὐτοὺς ἐπὶ τῷ πιστεύειν ἰέναι τῷ Χριστῷ· λαλεῖ γὰρ, φησὶν, ὅπερ οἶδεν ἀκριβῶς· λαμβάνει δὲ πάλιν, ὥσπερ ἐξ ὁμοιότητος τῆς καθ' ἡμᾶς, ἵνα 1.247 νοῶμεν θεοπρεπέστερον, καί φησιν Ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ. Καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. Οὐχ ὡς μηδενὸς δεχομένου τὴν μαρτυρίαν, ὅτι δὴ καὶ Θεὸς κατὰ φύσιν ὑπάρχει Χριστὸς, ἄνωθέν τε καὶ ἐκ Πατρὸς ὁρμώμενος, ἐπάνω πάντων ἐστὶ, τὰ τοιαῦτά φησιν ὁ μακά ριος βαπτιστής· πολλοὶ γὰρ ἐδέξαντο καὶ πεπιστεύκασι, καὶ πρό γε πάντων ὁ Πέτρος εἰπὼν "Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ "Θεοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ ζῶντος·" ἀλλ' ὡς τῶν ἄλλων πάντων αὐτὸς ἀκριβέστερον τὸ μέγα τοῦ λαλοῦντος ἐννοήσας ἀξίωμα, μονονουχὶ κατασείσας τὴν κεφαλὴν, καὶ μηρῷ τὴν δεξιὰν ἐπικροτήσας ἀποθαυμάζει τῶν ἀπειθούντων αὐτῷ τὴν ἀπό νοιαν.

1.248 ΚΕΦΑΛΗ Γ. Ὅτι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Χριστός. Ὁ λαμβάνων αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. ΟΥΧ ἑτέρως ἦν ἐπιδεῖξαι τὴν τῶν ἀπειθούντων ἀσέβειαν, εἰ μὴ τῶν πιστευόντων τὸ λαμπρὸν ἐξεκαλύφθη κατόρθωμα· τῇ γὰρ τῶν ἀγαθῶν ἀντιπαραθέσει τὸ φαῦλον εὐκόλως δια γινώσκεται, καὶ τῶν ἀμεινόνων ἡ γνῶσις ἐλέγχει τὰ αἰσχίονα. εἴτις οὖν, φησὶ, τοῖς τοῦ ἄνωθεν ἥκοντος ἐπινεύσειε λόγοις, κατεσφράγισέ τε καὶ ἐξησφαλίσατο διὰ τῆς συνέσεως, ὅτι τὸ ἀψευδεῖν ἀεὶ τῇ θείᾳ σύνηθές τε καὶ φιλαίτατον φύσει. ἀπὸ δὴ τούτου πρόδηλον λοιπὸν τοῖς ὁρῶσι τὸ ἐναντίον· κατα μαρτυρήσει γὰρ πάντως ὁ τὴν πίστιν ἀποκρουόμενος, ὅτι Θεὸς οὐκ ἔστιν ἀληθής. ἐπιτηρητέον δὲ πάλιν, ὅτι τῆς πρὸς τὴν κτίσιν ὁμοουσιότητος ἐξέλκει τὸν Υἱὸν, καὶ Θεὸν ὄντα κατὰ φύσιν διὰ τῶν εἰρημένων ἐπιδεικνύει. εἰ γὰρ ὁ τοῖς παρ' αὐτοῦ λαλουμένοις πειθόμενος, δεχόμενος δὲ τὴν μαρτυρίαν, ἥνπερ ἂν αὐτὸς ποιοῖτο περὶ ἑαυτοῦ, κατεσφράγισέ τε καὶ ἐπεψηφίσατο καλῶς, ὅτι δὴ Θεὸς ἀληθής ἐστι· πῶς οὐκ ἂν νοοῖτο κατὰ φύσιν Θεὸς ὁ Χριστὸς, ὁ καὶ διὰ τῆς πίστεως τῶν ἔναγχος εἰρημένων ἀληθὴς ἐπιμαρτυρούμενος; 1.249 ἢ λεγέτω πάλιν ἡμῖν ὁ δι' ἐναντίας, πῶς ἡ θεία τιμᾶται φύσις, ὡς ἀληθεύουσα, τῆς τοῦ Σωτῆρος ἡμῶν μαρτυρίας παραδε δεγμένης. εἰ γὰρ ὅλως οὐκ ἔστι κατὰ φύσιν Θεὸς, οὐκ εἰς τὴν θείαν εὐσεβήσει φύσιν ὁ πιστεύων, ὡς ἀληθεύοντι, μᾶλλον δὲ εἰς ἓν τῶν κτισμάτων κατ' ἐκείνους τὸ κάλλιστον. ἐπειδὴ δὲ τοῦ ἀληθεύειν ἡ ψῆφος εἰς Θεὸν ἀνατείνεται πι στευομένου Χριστοῦ, πρόδηλον δήπου πάντως ἐστὶν, ὅτι Θεὸς ὑπάρχων, οὐ ψευδώνυμος αὐτὸς ἐφ' ἑαυτῷ τὴν ἀπὸ τῶν συναινούντων ἁρπάζει τιμήν. Ἀλλ' οὐ συνθήσεται μὲν κατὰ τὸ εἰκὸς τούτοις ἡμῶν τοῖς λόγοις ὁ τῆς ἀληθείας ἐχθρὸς, ἀνασκιρτήσει δὲ μέγα, Θεὸν εἶναι κατὰ φύσιν οὐ παραδεχόμενος τὸν Υἱόν· ἐρεῖ δὲ δὴ πάλιν Κατασοφίζῃ τὸν λόγον, ὦ οὗτος, καὶ στροφὰς ἐπινοεῖς πολυπλόκων θεωρημάτων, τὴν ἁπλῆν τρόπον τινὰ καὶ εὐ θεῖαν ἀεὶ διάνοιαν παραιτούμενος. ἐπειδὴ γὰρ ἐξ οὐρανοῦ καταβέβηκεν ὁ τοῦ Θεοῦ Λόγος διαῤῥήδην βοῶν "Ἀπ' "ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι "ἐντολὴν ἔδωκε τί εἴπω καὶ τί λαλήσω," καὶ πάλιν "Πάντα "ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς ἀπαγγελῶ ὑμῖν," ἢ καὶ, ὡς αὐτὸς ἐν τοῖς ἐφεξῆς ὁ ἅγιος διεμαρτύρατο βαπτιστής "Ὃν "γὰρ ἀπέστειλεν ὁ Θεὸς τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ·" διὰ τοῦτο λέγει περὶ αὐτοῦ Ὁ λαμβάνων αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. ἀληθὴς γὰρ ὄντως ὁ Θεὸς καὶ Πατήρ· σὺ δὲ ἡμῖν εἰς τὸν Υἱὸν περιτρέπειν πειρᾷ τὸ ἑτέρῳ χρεωστούμενον. Τί οὖν πρὸς ταῦτα καὶ παρ' ἡμῶν εἰρήσεται; ἆρ' οὖν ἐν προφήταις ἡμῖν ὁ Μονογενὴς τετάξεται, τὴν προφήταις πρέ πουσαν διακονίαν ἀποπληρῶν, καὶ ἕτερον ἐπὶ τούτῳ πράττων οὐδέν; τίνι γὰρ τῶν ὄντων οὐκ ἀνενδοιάστως παραδεκτὸν, 1.250 ὅτι τὰς θεόθεν ὡς ἡμᾶς διεκόμιζον οἱ προφῆται φωνάς; εἶτα τί τὸ ἐξαίρετον ἐν Υἱῷ τοῦτο αὐτὸ πληροῦντι μόνον; πῶς δὲ ἐπάνω πάντων ἐστὶν, εἰ προφήταις ἔτι συντάττεται, καὶ δου λοπρεπεῖ περιβέβληται μέτρῳ; πῶς δὲ ὡς ἐκείνους ἐν δόξῃ πλεονεκτῶν ἐν εὐαγγελίοις φησίν "Εἰ ἐκείνους εἶπε θεοὺς "πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται "λυθῆναι ἡ γραφὴ, ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς "τὸν κόσμον ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον Υἱός "εἰμι τοῦ Θεοῦ;" ἑαυτὸν γὰρ ἐν τούτοις ἀποδιορίζει σαφῶς τῆς τῶν προφητῶν ἀγέλης, καὶ θεοὺς μὲν αὐτοὺς κατωνο μάσθαι φησὶ, διὰ τὸ γενέσθαι πρὸς αὐτοὺς τὸν τοῦ Θεοῦ Λόγον, ἑαυτὸν δὲ Υἱὸν ὁμολογεῖ. τοῖς μὲν γὰρ ἁγίοις προ φήταις μερικὴ διὰ τοῦ Πνεύματος διενεμήθη χάρις· ἐν δὲ τῷ Σωτῆρι Χριστῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος εὐδόκησε κατοικῆσαι σωματικῶς, ὡς ὁ Παῦλός φησι· διὸ καὶ "ἐκ τοῦ "πληρώματος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ πάντες ἐλάβομεν," ὡς Ἰωάννης διισχυ ρίσατο. πῶς οὖν ἐν ἰσομέτρῳ τοῖς λαμβάνουσιν ὁ διδοὺς, ἢ πῶς ἐν τῇ τοῦ διακονοῦντος κατατετάξεται μοίρᾳ τὸ τῆς θεότητος πλήρωμα; Περιαθρείτωσαν τοίνυν ἐντεῦθεν, εἰς ὅσην αὐτοῖς ἀποκιν δυνεύσει δυσφημίαν ὁ λόγος. καὶ τίνα μὲν τρόπον προσήκει νοεῖσθαι τό "Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πέμψας με "Πατὴρ, αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω," πλατύτερον ἐν ἰδίῳ καιρῷ καὶ τόπῳ διερμηνευθήσεται. χρῆναι δὲ οἶμαι πρὸς τὸ παρὸν ὑπόθεσιν εὐσεβείας τὰ τῶν ἐναντίων ποιεῖσθαι προβλήματα, καὶ ἐξ ὧν ἐκεῖνοι πρεσβεύ ουσι, τοῖς τῆς Ἐκκλησίας ἐπαγωνίσασθαι δόγμασιν. οὐκοῦν ἐντολὰς μὲν εἰληφέναι παρὰ τοῦ Πατρὸς, καὶ λαλεῖν ἀφ' ἑαυτοῦ μηδὲν, διισχυρίζονται τὸν Υἱόν· ὅσα δὲ ἤκουσεν, ὡς αὐτός που φησὶ, ταῦτα καὶ ἡμῖν ἐπείγεσθαι λέγειν. καλῶς, ἐχέτω καὶ τῇδε· συνθησόμεθα γὰρ, οὐδὲν ἀδικοῦντος, κατά γε 1.251 τὸν τοῦ πῶς εἶναι λόγον, τοῦ πράγματος τὸν Υἱόν· καλ λίστην δὲ μᾶλλον ἐπὶ τοῦ παρόντος μάλιστα τὴν οἰκονομίαν εἰσάγοντος. οὐκοῦν, ὅταν λέγοντος ἀκούσωσιν αὐτοῦ "Ἐγὼ "καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα· "ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί·" λαμβανέτωσαν τὴν μαρτυρίαν αὐτοῦ, σφραγιζέτωσαν, ὅτι ὁ Θεὸς καὶ Πατὴρ ἀληθής ἐστιν, ὅπερ οἶδεν ἀκριβῶς ἀναπείθων λαλεῖν τὸν Υἱόν· μὴ ἀπιστείτωσαν τοῖς τοῦ Σωτῆρος ῥήμασι, τὰ παρὰ τοῦ Πατρὸς ἡμῖν ἑρμηνεύοντος. Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ. Οἶδεν οὖν ἄρα κατὰ φύσιν ὄντα τὸν αὐτὸν ὁ Πατὴρ ἐν ἑαυτῷ τὸν ἴδιον Υἱόν· τοῦτο γὰρ οἶμαι τό Ἕν ἐσμεν, καὶ οὐχ ἕτερόν τι κατασημαίνειν· Υἱὸν ὄντα, καὶ οὐ ποίημα γινώσκει· Υἱὸν δέ φημι τὸν ἐκ τῆς οὐσίας αὐτοῦ, καὶ οὐ ψιλῷ τῷ τῆς υἱότητος τετιμημένον ὀνόματι· οἶδεν ὄντα τῆς ἰδίας ἰδιότητος ἀπαράλλακτον εἰκόνα, ὡς ὁρᾶσθαι μὲν τελείως ἐν αὐτῷ, ζωγραφεῖν δὲ ἐν ἑαυτῷ τὸν ἐξ αὐτοῦ κατὰ φύσιν ἀῤῥήτως ἐκλάμψαντα, καὶ ἔχειν μὲν ἐν ἑαυτῷ τὸν Υἱὸν, εἶναι δὲ αὖ πάλιν ἐν Υἱῷ, διὰ τὴν τῆς οὐσίας ταυτότητα. Ταῦτα φρονήσας, αἱρετικὲ, πικροῦ μὲν σαυτὸν ἀπαλλάξεις νοσήματος, τριβῆς δὲ ἡμᾶς τῆς ἐν λόγοις καὶ ζητήμασιν. ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ. ὅταν ἐκ τοῦ προχείρου νοῆται τὸ προκείμενον, τί πάλιν ἔσται τὸ θαυμαστὸν ἐν Υἱῷ; ἢ γὰρ οὐχὶ καὶ τῶν ἁγίων ἕκαστος προφητῶν, καὶ ἀπεστέλλετο παρὰ Θεοῦ, καὶ τοὺς παρ' αὐτοῦ διήγγελε λόγους; καὶ γοῦν πρὸς μὲν τὸν ἱεροφάντην εἴρηταί ποι Μωυσέα "Καὶ νῦν δεῦρο ἀποστέλλω σε εἰς 1.252 "Αἴγυπτον, καὶ ἐρεῖς πρὸς Φαραὼ Τάδε λέγει Κύριος·" πρὸς Ἱερεμίαν δέ γε τὸν ἱερώτατον "Μὴ λέγε ὅτι νεώτερος "ἐγώ εἰμι, ὅτι πρὸς πάντας οὓς ἐὰν ἐξαποστείλω σε "πορεύσῃ, καὶ κατὰ πάντα ὅσα ἐὰν ἐντείλωμαί σοι λαλή "σεις." τί οὖν ἄρα τὸ πλέον ἐν τῷ κατὰ φύσιν Υἱῷ, λαλοῦντι τὰ τοῦ Θεοῦ ῥήματα, διὰ τὸ ἀπεστάλθαι παρ' αὐτοῦ; προφήτης ἡμῖν, ὡς ἔοικεν, ἀναδειχθήσεται πάλιν, καὶ ἕτερον οὐδὲν, ὅσον ἧκεν εἰπεῖν εἰς τὸν τῆς διακονίας τρόπον. Οὐκοῦν τό Ἀπέστειλε νοήσεις ἐν τούτοις, ἢ κατὰ τὸν τῆς ἐνανθρωπήσεως λόγον, καὶ τὴν ἐν τῷδε τῷ κόσμῳ μετὰ σαρκὸς ἐπιφοίτησιν· ἢ πάλιν ἐκλήψῃ θεοπρεπέστερόν τε καὶ ἀξιολογώτερον. οὐ γὰρ ἔκρυψεν ἐν ἑαυτῷ τὸν Υἱὸν ὁ Πατὴρ, ἀλλ' ἐκ τῆς ἰδίας ἐξέλαμψε φύσεως, ὡς ἐκ φωτὸς ἀπαύ γασμα, κατὰ τὸν ἄφραστόν τε καὶ ἀνεξήγητον τῆς θείας γεννήσεως τρόπον· ὃ δὴ καὶ αὐτὸς ἡμῖν διεσάφει λέγων ὁ Μονογενής "Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω·" ἐξελήλυθε γὰρ ἐκ τοῦ Πατρὸς εἰς ἰδίαν ὕπαρξιν ὁ Υἱὸς, εἰ καὶ ἐν αὐτῷ κατὰ φύσιν ἐστί· καὶ ὅπερ ἡμῖν ἐν ἐκείνῳ τό Ἐξῆλθον σημαίνει, τοῦτο πάλιν ἐνταῦθα τὸ ἀπεστάλθαι δηλοῖ. ὁ τοίνυν, φησὶν, ἐκ Πατρὸς πεφηνώς τε καὶ ἀπαστραφθεὶς Λόγος, ἅτε δὴ Θεὸς ὑπάρχων ἐκ Θεοῦ, τοῖς τῷ Θεῷ πρέ πουσι κεχρήσεται λόγοις· λόγοι δὲ ἂν εἶεν Θεῷ πρέποντες οἱ ἀληθεῖς, καὶ τὴν ἀπὸ τοῦ ψεύδεσθαι κηλῖδα παραιτού μενοι. οὐκοῦν ὁ λαμβάνων τοῦ Σωτῆρος τὴν μαρτυρίαν, ἐσφράγισεν, ὅτι Θεὸς ἀληθής ἐστιν· ἔστι γὰρ ὄντως κατὰ φύσιν Θεός. 1.253 Οὐ γὰρ ἐκ μέτρου δίδωσι τὸ Πνεῦμα. Ὀξεῖαν ὑπόσχες νυνὶ δὴ μάλιστα τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκοὴν, ὦ γενναῖε, ἵνα δὴ πάλιν ἡμῖν συνθαυμάσεις τῶν ἁγίων τὴν νῆψιν· ἔφη τοίνυν τὸν Υἱὸν καὶ ἀπεστάλθαι παρὰ Θεοῦ καὶ τὰ τοῦ Θεοῦ ῥήματα λαλεῖν· ἀλλ' ὑπαισθάνεταί πως, ὅσον ἧκεν εἰς τὴν πρόχειρον τοῦ λόγου δύναμιν, προφητικὸν αὐτῷ περιθεὶς τὸ μέτρον, ὥσπερ οὖν καὶ διελαλήσαμεν ἀρτίως. ἀναφέρει τοίνυν αὐτὸν τῆς πρὸς ἐκείνους ἰσότητος διὰ τούτων, καὶ δι' ἑνὸς δὴ τούτου σημείου δίδωσι νοεῖν, ὡς πολλὴ δή τις ἐστὶ, μᾶλλον δὲ ἤδη καὶ ἀσύγκριτος ἡ διαφορά· ἀμήχανον γὰρ, φησὶ, τοὺς μεμετρημένον λαχόντας τὸ Πνεῦμα, καὶ ἑτέρῳ δύνασθαι τοῦτο χαρίζεσθαι· οὐ γὰρ ἅγιος ἁγίῳ ποτὲ Πνεύ ματος Ἁγίου γέγονε χορηγός· χορηγεῖ δὲ πᾶσιν ὁ Υἱὸς, ὡς ἐξ ἰδίου πληρώματος. οὐκοῦν οὐκ ἐκ μέτρου δίδωσιν, οὐδὲ ὥσπερ ἐκεῖνοι, μικράν τινα μοῖραν ἔχει τοῦ Πνεύματος, καὶ τοῦτο μεταληπτῶς· ἀλλ' ἐπειδήπερ ἀνεδείχθη καὶ χορηγὸς, δῆλος ἂν εἴη δήπουθεν ὅλον ἔχων οὐσιωδῶς ἐν ἑαυτῷ. οὐκοῦν ὁ τοσαύτην ἔχων πρὸς ἐκείνους τὴν ὑπεροχὴν, οὐχ ὡς εἷς ἐξ ἐκείνων λαλήσει τὰ παρὰ Θεοῦ, ἀλλ' ὡς Θεὸς ὑπάρχων ἐκ Θεοῦ, τοὺς Θεῷ πρέποντας ἀνερεύξεται λόγους. Ἀντικείσεται δὲ τοῖς εἰρημένους οὐδαμῶς, τὸ διὰ χειρῶν ἀποστολικῶν δεδόσθαι τὸ Πνεῦμά τισιν οἴεσθαι τινάς· πνευ ματοκλήτορας γὰρ ἤπερ ὄντως τοῦ Πνεύματος χορηγοὺς τοῦ Ἁγίου εἶναι πιστεύσομεν· ἐπεὶ καὶ Μωυσῆς ὁ μακάριος, οὐκ αὐτὸς ἀφεῖλεν ἀπὸ τοῦ ὄντος ἐπ' αὐτῷ πνεύματος προσετάτ τετο, μόνῃ δὲ τῇ ἰδίᾳ τετήρηκεν ἐξουσίᾳ καὶ τοῦτο Θεὸς, χρῆναι μὲν αὐτὸν προσβαλέσθαι τοὺς ἑβδομήκοντα λέγων, ἀφελεῖν δὲ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ' αὐτῷ, καὶ ἐπιθήσειν ἐπ' αὐτοῖς ὑπισχνούμενος. ᾔδει γὰρ μόνῳ πρέπειν ἐπιτελεῖν τῷ Θεῷ τὰ θεοπρεπῆ.

**1.254 ΚΕΦΑΛΗ Δ.** Ὅτι οὐ μεταληπτῶς ἐν Υἱῷ τὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἴδια, ἀλλ' οὐσιωδῶς καὶ κατὰ φύσιν. Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. ΕΠΕΙΔΗ γὰρ εἴρηκεν, ὡς ἐκ Θεοῦ πεφηνότα Θεὸν τὸν Υἱὸν μὴ ἑτέροις δύνασθαι χρῆσθαι λόγοις ἢ οἷσπερ ἂν χρή σαιτο καὶ ὁ γεννήσας αὐτὸν, ἀληθέσι δηλαδή· "Ὃν γὰρ "ἀπέστειλεν ὁ Θεὸς τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ," φησίν· ἀναγκαίως διὰ τῶν προκειμένων ἐπεξεργάζεται καί φησιν Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν· οὐκ ἀνιάσομεν, φησὶ, τὸν Θεὸν καὶ Πατέρα, τὴν ἴσην τῷ ἐξ αὐτοῦ γεννηθέντι περιτιθέντες τιμὴν, οὐ προσκρούσομεν τῇ θεοπρεπεῖ στεφανοῦντες δόξῃ τὸν τῶν τοῦ Πατρὸς ἀγαθῶν οὐσιωδῶς κληρονόμον. ἀγαπᾷ γάρ φησι τὸν Υἱόν. οὐκοῦν ἐφησθήσεται μὲν δοξαζομένῳ πρὸς ἡμῶν, βαρυνθήσεται δὲ πρὸς τὸ ἐναντίον. καὶ μή τις οἰέσθω, φησὶν, ὡς ἑνὸς δὴ τούτου καὶ μόνου θεοπρεποῦς ἀξιώματος κληρονόμον ἔχει τὸν ἴδιον Υἱόν· πάντα γὰρ δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ, τουτέστι σύμπαν ὅσον ἐστὶν οὐ σιωδῶς ἀγαθὸν ἐν Πατρὶ, τοῦτο πάντως ἐστὶν ἐν δυνάμει 1.255 τοῦ Υἱοῦ. χεῖρα γὰρ ἐν τούτοις ὀνομάζει τὴν δύναμιν, ὥσπερ ὅταν δι' ἑνός που προφήτου λέγῃ "Ἡ χείρ μου ἐστερέωσε "τὸν οὐρανὸν," ἀντὶ τοῦ Ἡ δύναμις· ἔχει δὲ σύμπαν ἐν ἑαυτῷ τὸ τοῦ Πατρὸς ἴδιον ὁ Υἱὸς, οὐ μεταληπτῶς, εἰ καὶ δεδωκέναι λέγεται ὁ Πατήρ· ἢ γὰρ ἂν ἐπίκτητον ἔχοι καὶ οὐ φυσικὴν τὴν θεότητα· δίδωσι δὲ οὕτως ὁ Πατὴρ τῷ Υἱῷ πάντα τὰ ἑαυτοῦ, ὡσπερανεὶ καὶ ἄνθρωπος τῷ ἐξ αὐτοῦ φύντι παιδὶ διδόναι νοοῖτο τὰ τῆς ἀνθρωπότητος ἴδια, ἢ ὡσπερανεὶ καὶ τὸ πῦρ τῇ ἐξ αὐτοῦ κατ' ἐνέργειαν προϊούσῃ θερμότητι διδόναι λέγοιτο τῆς ἰδίας φύσεως τὸ ἰδίωμα. ἐν δὲ τοῖς τοιούτοις, καὶ τὸ παρασχεῖν τοῖς παρέχουσιν ἀζήμιον, οὐ γὰρ κατὰ μερισμὸν ἢ ἀποκοπὴν τῶν παρέχεσθαι νοου μένων ἡ πρόοδος· καὶ αὐτὸ δὲ τὸ δόξαι λαβεῖν, τοῖς λα βοῦσιν ἀκατηγόρητον· διὰ γὰρ μόνον τό Ἐξ οὗ τὰ τοιαῦτα λέγεται, καὶ φυσική τις, ἵν' οὕτως εἴπω, ποιότης τῶν γεν νώντων νοεῖται τὰ γεννώμενα, τὸ τί κατ' οὐσίαν ἐστι τὸ γεννῶν ἐκφαίνοντα, καὶ καταλαμπρύνοντα τῆς οἰκείας πηγῆς τὴν κατὰ φύσιν ἐνέργειαν. καὶ ταῦτα μὲν πάλιν, ὡς ἐπὶ παραδειγμάτων, ἀνωτέρω δὲ τούτων δηλονότι Θεός· διά τοι τοῦτο τὸν ἀνθρώπινον ἀσθενοῦντα λόγον οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰτιασόμεθα, "Δόξα γὰρ Κυρίου κρύπτει λόγον," καθὰ γέγραπται. καὶ εἰ βλέπομεν δι' ἐσόπτρου καὶ δι' αἰνίγματος, καὶ νοοῦμεν ἐκ μέρους, πῶς ἂν οὐχὶ πολλῷ δὴ μειζόνως τοῖς διὰ γλώττης ἀτονήσαιμεν ῥήμασιν; νοήσεις τοιγαροῦν εὐσεβῶς, ἢ κατὰ τοῦτον τὸν τρόπον τὸ πάντα δεδόσθαι παρὰ Πατρὸς τῷ Υἱῷ· ἢ παραλήψῃ πάλιν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν λόγον, οὐκέτι τὸ δοῦναι καὶ λαβεῖν ἐπὶ τῶν φυ σικῶν ἰδιωμάτων εἰσφέροντα, ἀλλ' ἐπὶ τῇ κατὰ πάντων 1.256 τῶν γενητῶν ἐξουσίᾳ τιθέντα τὸν Υἱὸν, ἵνα πάλιν νοῇς τι τοιοῦτον. Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. Μὴ ἀπαυθαδιζέσθω, φησὶν, ὁ δυσήκοος, ἄνθρωπον ὁρῶν τὸν ἁπάντων Κύριον, μηδὲ νομιζέτω ψεύδεσθαι τὴν ἀλήθειαν, τὸ χρῆναι πιστεύειν ὡς Θεῷ διὰ τὴν σάρκα παραιτούμενος. δεχέσθω τὴν μαρτυρίαν αὐτοῦ, κατασφραγιζέτω δὲ προ θύμως, ὅτι ὁ Θεὸς ἀληθής ἐστιν, ἵνα μὴ λυπῇ τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα. ἀγαπᾷ γὰρ τὸν ἴδιον Υἱὸν, ἀπόδειξις δὲ τῆς εἰς αὐτὸν ἀγάπης, τὸ πάντων αὐτῷ δεδόσθαι τὴν ἐξου σίαν. ὃ δὴ καὶ αὐτὸς ἔφασκεν ὁ Σωτήρ "Πάντα μοι παρε "δόθη ὑπὸ τοῦ Πατρός μου." καὶ πάλιν "Ἐδόθη μοι πᾶσα "ἐξουσία ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς." καὶ οὐ δήπου διὰ τὸ δόξαι λαβεῖν ὁ Υἱὸς, εὐλόγως ἂν ὡς ἐλάττων ὑπό του κατηγοροῖτο, καὶ διατί; λαμβάνει γὰρ, ὅτε γέγονεν ἄν θρωπος, ὅτε τεταπείνωκεν ἑαυτὸν δι' ἡμᾶς, ὅτε δοῦλος ἐχρη μάτισεν ὁ Δεσπότης, ὅτε γέγονεν ἐν οἰκέταις ὁ ἐλεύθερος Υἱός. ἐπεὶ κατὰ τίνα τρόπον τεταπείνωκεν ἑαυτὸν, ἢ πῶς ἐξ ἰσότητος τῆς πρὸς τὸν Θεὸν καὶ Πατέρα καταβεβηκέναι λέγεται; ἢ γὰρ οὐχ ὁρᾷς ἐν τούτοις τὸν μὲν διδόντα θεοπρεπῶς, τὸν δὲ ἀνθρωπίνως τε καὶ οἰκετικῶς λαμβάνειν λεγόμενον, ἅπερ εἶχεν ὡς Θεός; οὐ δόσις δὲ κυρίως ἐστὶν ἡ παρὰ Πατρὸς εἰς ἀρχὴν τεθεῖσα τῆς κατὰ πάντων κυριότητος τὸν Υἱόν· ἐπαναδρομὴ δὲ μᾶλλον καὶ ἐπανάληψις καὶ μετὰ σαρκὸς εἰς τὴν πρὸ σαρκὸς ἐξουσίαν· οὐ γὰρ ὅτε γέγονεν ἄνθρωπος, τότε τῆς κτίσεως ἄρχεται κρατεῖν. Ἐπεὶ πρὸς ποίαν ἐρεῖ τις αὐτὸν καταβεβηκέναι ταπεί νωσιν, εἴπερ ὅτε γέγονεν ἄνθρωπος, τότε τοῦ κυριεύειν 1.257 ἄρχεται; ἢ πῶς ἐν τῇ τοῦ δούλου φανεῖται μορφῇ, τότε δὴ καὶ μόλις ἁπάντων ἀναδεδειγμένος Δεσπότης; ἄπαγε τῆς ἐν τούτοις ἀτοπίας τῶν λογισμῶν· ἀλλ' ἐπείπερ ἄνθρωπος γέγονε, τότε καὶ οὕτως ἄρχεται κρατεῖν, οὐκ ἀποβαλὼν τὸ θεοπρεπὲς ἀξίωμα διὰ τὴν σάρκα, ἀναβαίνων δὲ αὖθις καὶ μετὰ σαρκὸς ἐφ' ὅπερ ἦν ἐξ ἀρχῆς. ὅτι δὲ τῶν ἀρχαιοτέρων ἐπανάληψις ἦν τὰ ἐπὶ Χριστοῦ θρυλούμενα, πληροφορήσει λέγων αὐτός "Πάτερ δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ "τὸν κόσμον εἶναι παρὰ σοί." ὁρᾷς ὅπως οὐ δόξης ἀρχὴν, ἀλλ' ἐπανανέωσιν τὴν εἰς τὸ ἀρχαῖον αἰτεῖ, καὶ τοῦτο λέγων ὡς ἄνθρωπος; ὅτι δὲ πάλιν διὰ τὴν τῆς ἀνθρωπότητος αἰτίαν δεδόσθαι λέγεται τὰ πάντα τῷ Υἱῷ, πανταχόθεν μὲν ὁ φιλομαθὴς ἐπισωρεύσει σοφῶς, καὶ συνιέναι δυνήσεται, μάλιστα δὲ δι' ἐκείνης τῆς τοῦ Δανιὴλ φρικωδεστάτης ὀπτα σίας, ἐν ᾗ τὸν μὲν παλαιὸν τῶν ἡμερῶν τεθεᾶσθαί φησιν ἱδρυμένον ἐπὶ τοῦ θρόνου, χιλίας δὲ χιλιάδας, καὶ μυρίας μυριάδας, τὰς μὲν λειτουργεῖν, τὰς δὲ παριστάναι διισχυρί ζεται. προσετίθει δὲ τούτοις τό "Καὶ ἰδοὺ μετὰ τῶν νεφε "λῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως "τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν, καὶ ἐνώπιον αὐτοῦ "προσηνέχθη, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ "βασιλεία, καὶ πάντες οἱ λαοὶ φυλαὶ γλῶσσαι αὐτῷ δου "λεύσουσιν." ὁρᾷς ὅπως ἐν τούτοις ὅλον ἡμῖν ἀκριβῶς καταγράφεται τῆς ἐνανθρωπήσεως τὸ μυστήριον· ὁρᾷς ὅπως λαμβάνειν λέγεται τὴν βασιλείαν παρὰ Πατρὸς ὁ Υἱός· οὐ γυμνὸς τῷ προφήτῃ Λόγος, ἀλλ' ὡς υἱὸς ἀνθρώπου, φαινό μενος· ἐταπείνωσε γὰρ ἑαυτὸν, καθὰ γέγραπται, σχήματι δι' ἡμᾶς εὑρεθεὶς ὡς ἄνθρωπος· ἵνα καὶ πρῶτος εἰς βασιλείαν ἀνενεχθεὶς, ἀρχὴ πάλιν ἡμῖν καὶ ὁδὸς τῆς εἰς βασιλείαν δόξης 1.258 ἀναδειχθῇ. καὶ ὥσπερ ὑπάρχων κατὰ φύσιν ζωὴ καταβέβηκε δι' ἡμᾶς εἰς τὸν ὑπὲρ πάντων κατὰ σάρκα θάνατον, ἵνα ἡμᾶς καὶ θανάτου καὶ φθορᾶς ἐξέληται, διὰ τῆς πρὸς ἡμᾶς ὁμοιώ σεως οἷον ἀναμίξας ἑαυτῷ, καὶ ζωῆς τῆς αἰωνίου μετόχους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπεργασάμενος· οὕτω καὶ ταῖς ἡμετέραις ὀλιγοτιμίαις συσχη ματίζεται Κύριος τῆς δόξης ὑπάρχων, ὡς Θεὸς, ἵνα καὶ εἰς τὴν βασιλίδα τιμὴν ἀναγάγῃ τὴν ἀνθρώπου φύσιν. γέγονε γὰρ "ἐν πᾶσιν αὐτὸς πρωτεύων," ὥς ὁ Παῦλός φησιν, καὶ ὁδὸς καὶ θύρα καὶ ἀπαρχὴ τῶν τῆς ἀνθρωπότητος ἀγαθῶν ἐκ θανάτου πρὸς ζωὴν, ἐκ φθορᾶς εἰς ἀφθαρσίαν, ἐξ ἀσθενείας εἰς δύναμιν, ἐκ δουλείας εἰς υἱοθεσίαν, ἐξ ἀτιμίας καὶ ἀδοξίας εἰς τιμὴν καὶ δόξαν τὴν βασιλικήν. οὐκοῦν ὅταν φαίνηται λαμβάνων ὡς ἄνθρωπος ὁ Υἱὸς, ἅπερ εἶχεν ὡς Θεὸς, σκαν δαλιζώμεθα μὲν μηδαμῶς, ἐννοῶμεν δὲ μᾶλλον τῆς δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν οἰκονομίας τὸν τρόπον. οὕτω γὰρ ἄτρωτόν τε καὶ ἀζήμιον τὸν ἑαυτῶν διατηρήσομεν νοῦν. Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον. Οὐχ ἁπλῶς, οὐδὲ ἀζητήτως τοῖς πιστεύουσιν εἰς Χριστὸν ζωὴν προκεῖσθαι τὸ γέρας ὁ σοφώτατος ἐπιμαρτυρεῖ βαπ τιστὴς, ἀλλ' ἐξ αὐτῆς ἡμῖν, ἵν' οὕτως εἴπω, τῆς τῶν πραγ μάτων ποιότητος εἰσκομίζει τὴν ἀπόδειξιν· ζωὴ μὲν γὰρ κατὰ φύσιν ἐστὶν ὁ Μονογενής· "Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ "κινούμεθα καὶ ἐσμέν." εἰσοικίζεται δὲ πάντως ἡμῖν διὰ τῆς πίστεως, καὶ κατοικεῖ διὰ τοῦ Ἁγίου Πνεύματος· καὶ μαρτυ ρήσει λέγων ὁ μακάριος Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐν οἰκείαις ἐπιστολαῖς "Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι "ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν." ζωοποιήσει τοι γαροῦν ὁ Χριστὸς τοὺς πιστεύοντας εἰς αὐτὸν, ὡς αὐτὸς ὑπάρχων κατὰ φύσιν ζωὴ, καὶ λοιπὸν κατοικῶν ἐν αὐτοῖς. ὅτι 1.259 δὲ διὰ τῆς πίστεως ἐν ἡμῖν ὁ Υἱὸς αὐλίζεται, πληροφορήσει λέγων ὁ Παῦλος "Τούτου χάριν κάμπτω τὰ γόνατά μου "πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ "γῆς ὀνομάζεται, ἵνα δῷ ὑμῖν κατὰ τὸ πλοῦτος τῆς δόξης "τῆς ἁπλότητος αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύ "ματος αὐτοῦ, κατοικῆσαι τὸν Χριστὸν ἐν ταῖς καρδίαις "ὑμῶν διὰ τῆς πίστεως." ὅτε τοίνυν διὰ τῆς πίστεως ἡ κατὰ φύσιν ἡμῖν ἐπεισκρίνεται ζωὴ, πῶς οὐκ ἀληθὴς ὁ λέγων Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον; αὐτὸν δη λονότι τὸν Υἱὸν καὶ οὐχ ἑτέραν τινὰ παρ' αὐτὸν νοουμένην ζωήν. Ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωήν. Ἆρ' οὖν, ἐρεῖ τις τυχὸν, ἑτέραν ἡμῖν πρεσβεύει δόξαν ὁ βαπτιστὴς, καὶ τὸν τῆς ἀναστάσεως παραφθείρει λόγον, ζωοποιηθήσεσθαι μὲν τὸν πιστεύοντα λέγων, τὸν δὲ μὴ τοιοῦτον οὐκ ὄψεσθαι ζωὴν ὅλως διαβεβαιούμενος; ἐγερθη σόμεθα δὲ κατά γε τὸ εἰκὸς οὐ πάντες, ταύτην ἡμῖν εἰσκεκο μικότος τοῦ λόγου τὴν διαφοράν· εἶτα ποῖ ποτε χωρήσει τὸ ἀπολύτως καὶ ὡς ἐφ' ἅπασιν εἰρημένον "Ἀναστήσονται "οἱ νεκροί;" τί δ' ἂν καὶ δρῴη λέγων ὁ Παῦλος "Τοὺς γὰρ "πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ "Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς "ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον." Ἐπαινεῖσθαι μὲν οὖν οἰήσομαι δεῖν τὸν φιλομαθῆ, χρῆναι δὲ ὅμως ἀκριβεστάτην ἐν τοῖς ἱεροῖς γράμμασι ποιεῖσθαι τὴν βάσανον. ὅρα γάρ μοι σαφῶς τὴν τῶν εἰρημένων δια στολήν· περὶ μὲν γὰρ τοῦ πιστεύοντός φησιν, ὅτι ζωὴν ἕξει τὴν αἰώνιον, περὶ δὲ τοῦ ἀπειθήσαντος, ἑτέραν ὁ λόγος ἔχει τὴν ἔμφασιν. οὐ γὰρ ἔφη ζωὴν οὐχ ἕξειν αὐτόν· ἐγερθή σεται γὰρ τῷ κοινῷ τῆς ἀναστάσεως νόμῳ· ἀλλὰ ζωὴν οὐκ 1.260 ὄψεσθαί φησιν, τουτέστιν, οὐδ' ὅσον εἰς θεωρίαν ψιλὴν τῆς τῶν ἁγίων ἐφίξεται· ζωῆς, οὐχ ἅψεται τῆς ἐκείνων μακαριό τητος, ἄγευστος διαμενεῖ τῆς ἐν εὐφροσύναις διαγωγῆς· ζωὴ γὰρ ὄντως ἐκείνη· τὸ δὲ ἐν κολάσεσιν ἀναπνεῖν, θανάτου παντὸς ἀνιαρώτερον, ἐπὶ μόνῃ τῇ τῶν κακῶν αἰσθήσει ψυχὴν συνέχον ἐν σώματι. τοιαύτην τινὰ καὶ ὁ Παῦλος ζωῆς εἰσφέρει διαφοράν. ἄκουε τί φησι πρὸς τοὺς ἐν κακίᾳ νενεκρωμένους διὰ Χριστόν "Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ "ὑμῶν κέκρυπται ἐν τῷ Θεῷ σὺν τῷ Χριστῷ· ὅταν ὁ "Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ "φανερωθήσεσθε ἐν δόξῃ." ὁρᾷς ὅπως τὸ ἐν δόξῃ φανερω θῆναι μετὰ Χριστοῦ τὴν τῶν ἁγίων ὀνομάζει ζωήν; τί δὲ ὅταν ἡμῖν καὶ ὁ ψαλμῳδὸς ἀναμέλπῃ λέγων "Τίς ἐστιν "ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; "παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ·" ἆρ' οὐχὶ τὴν τῶν ἁγίων ἐν τούτοις ἐροῦμεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατασημαίνεσθαι ζωήν; ἀλλ' ἔστιν, οἶμαι, πᾶσι καταφανές. οὐ γὰρ δήπου τῶν φαύλων ἀποσχέ σθαι κελεύει τινὰς, ἵνα δὴ τύχοιεν τῆς εἰσαῦθις ἀναβιώσεως τῆς σαρκός· ἀναστήσονται γὰρ καὶ εἰ μὴ πεπαύσοιντο τοῦ κακοῦ· πρὸς ἐκείνην δὲ μᾶλλον ἐρεθίζει τὴν ζωὴν, ἐν ᾗ πάντως ἐστὶν ἡμέρας ἰδεῖν ἀγαθὰς, ἐν μακαριότητι καὶ δόξῃ τὸν μακραίωνα τρίβοντας βίον. Ἀλλ' ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν. Γυμνότερον ἡμῖν διὰ τῆς ἐν τούτοις ἐπαγωγῆς τὸν τῶν εἰρημένων σκοπὸν ὁ μακάριος ἔδειξε βαπτιστής. περιαθρείτω δὲ πάλιν ὁ φιλοζητητὴς τὴν τοῦ νοήματος δύναμιν. "Ὁ "ἀπειθῶν, φησὶ, τῷ Υἱῷ οὐκ ὄψεται ζωὴν," ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν. ἀλλ' εἴπερ ἦν ὄντως ἔρημον ἔσεσθαι 1.261 τῆς ἐν σώματι ζωῆς ἐννοῆσαι τὸν ἀπειθήσαντα, πάντως ἂν ὅτι καὶ ἐπήνεγκεν εὐθύς Ἀλλ' ὁ θάνατος μένει ἐπ' αὐτόν. ἐπειδὴ δὲ ὀργὴν ὀνομάζει Θεοῦ, δῆλον ἂν εἴη λοιπὸν ταῖς τῶν ἁγίων εὐθυμίαις τὴν τῶν ἀσεβῶν ἀντιδιαστέλλων κόλασιν, καὶ ζωὴν μὲν ἀποκαλῶν τὴν ὄντως ζωὴν ἐν δόξῃ μετὰ Χριστοῦ, τὰς δὲ ἐπὶ τοῖς ἀσεβοῦσιν αἰκίας ὀργὴν τοῦ Θεοῦ. ὅτι δὲ ὀργὴ πολλάκις ἡ κόλασις παρὰ ταῖς θείαις εἴρηται γραφαῖς, δύο παροίσω τοὺς μάρτυρας, Παῦλόν τε καὶ Ἰω άννην· ὁ μὲν γὰρ ἔφη πρὸς τοὺς ἐξ ἐθνῶν ἐπιστρέφοντας "Καὶ ἦμεν τέκνα ὀργῆς φύσει, ὡς καὶ οἱ λοιποί·" ὁ δὲ τοῖς γραμματεῦσι καὶ Φαρισαίοις "Γεννήματα ἐχιδνῶν, τίς ὑπέ "δειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;" Ὡς οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης· καίτοι γε αὐτὸς Ἰησοῦς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ· ἀφῆκε τὴν Ἰουδαίαν καὶ ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν. Πόθεν ἡμῖν εἰς τοῦτο πρόεισιν ὁ λόγος, ἢ ἐκ ποίας ἀρχῆς ἡ τοῦ διηγήματος καθέλκουσα τάξις, ἐγνωκότα τὸν Κύριον εἰσφέρει τοὺς Φαρισαίους ἅπερ ἐπύθοντο μαθεῖν, οὐκ ἄκομψον, ὡς ἔοικεν, εἰπεῖν. τὸ γάρ Ὡς οὖν ἔγνω λέγειν τὸν ἅγιον Εὐαγγελιστὴν, ἔμφασίν τινα προϋποκειμένου σαφῶς ἀνατίκτει πράγματος· πάντα μὲν γὰρ, οὐδενός τι καταμη νύοντος, αὐτομάτως οἶδεν, ὡς Θεὸς, καὶ οὐχ ὅτε γίγνεται πρῶτον, ἀλλὰ καὶ "πρὶν γενέσεως αὐτῶν," ὡς ὁ προφήτης διεμαρτύρατο. περιμένει δὲ τοὺς ἐφ' ἑκάστῳ καιροὺς, καὶ ταῖς τῶν πραγμάτων ἀκολουθίαις, ἢ τῇ προγνώσει, μᾶλλον ἐνδίδωσιν· ἦν γὰρ δὴ καὶ τοῦτο θεοπρεποῦς οἰκονομίας ἄξιον. 1.262 Ζητήσεως τοιγαροῦν γενομένης "ἐκ τῶν μαθητῶν Ἰω "άννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ," πολὺς παρ' ἀμφοῖν ἦν ὁ λόγος. οἱ μὲν γὰρ τῷ οἰκείῳ διδασκάλῳ συναγορεύ οντες, τῶν νομικῶν περιῤῥαντηρίων καὶ τῶν παρ' ἐκείνοις τυπικῶν καθαρισμῶν ἐν ἀμείνοσιν ἤδη μέτροις τὸ δι' αὐτοῦ γενέσθαι διετείνοντο βάπτισμα· καὶ δὴ κατὰ τὸ εἰκὸς εἰς ἀπόδειξιν ἐποιοῦντο τοῦ πράγματος, τὸ πολλοὺς μὲν ἰέναι πρὸς αὐτὸν, τῶν δὲ ἀρχαιοτέρων τε καὶ ἄνωθεν ἐθῶν ἥδιστα λίαν ἀποφοιτᾶν. οἱ δὲ αὖ πάλιν, ἐπείπερ τοῖς δι' ἐναντίας ὁ λόγος ἐφέρετο κατὰ πρανοῦς, καὶ ὑδάτων δίκην καταῤῥοί ζουσα τῆς ἀληθείας ἡ δύναμις τὸν ἀδρανῆ τῶν ἀνθεστηκότων ἐβάπτιζε νοῦν, ἐπὶ τὸ παρὰ γνώμην χωροῦσι, καὶ ἄκοντες, πολὺ δὴ κάλλιον εἶναι λέγοντες τὸ διὰ Χριστοῦ χορηγού μενον βάπτισμα· καὶ κατεκράτουν ἤδη τοῖς ἴσοις εἰς ἀπό δειξιν ἀποχρησάμενοι λογισμοῖς, καὶ διὰ τῶν αὐτῶν ἐνθυμη μάτων τοῖς νενικηκόσιν ἀντεγειρόμενοι· πολλῷ γὰρ ὁρᾶσθαι πλείους διισχυρίζοντο τοὺς προσιόντας Χριστῷ, καὶ πάντας ἐκείνῳ μᾶλλον ἤπερ Ἰωάννῃ προστρέχειν· ὅθεν οἶμαι καὶ εἰς λύπην ἀνακαυθέντας τοὺς Ἰωάννου μαθητὰς τῷ οἰκείῳ προσ ελθεῖν διδασκάλῳ λέγοντας "Ῥαββὶ, ὃς ἦν μετὰ σοῦ πέραν "τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ "πάντες ἔρχονται πρὸς αὐτόν." τὰς γὰρ ἐξ ἔριδος τῶν Ἰουδαίων προτάσεις, ἤτοι λόγους ἀποδεικτικοὺς, ὡς ἐν ἐρω τήσει προΐσχονται. ἐντεῦθεν τοιγαροῦν ἐγνωκέναι φησὶν ὁ Εὐαγγελιστὴς τὸν Κύριον ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ ἢ Ἰωάννης, εἶτα τὸν ἐξαίσιον αὐτῶν παραιτούμενος φθόνον, καὶ καιρῷ φυλάττων ἰδίῳ τὸ παθεῖν, τῆς μὲν τῶν Ἰουδαίων ὑπέξεισι χώρας, ἀναχωρεῖ δὲ πάλιν εἰς τὴν Γαλιλαίαν. 1.263 Ἔδει δὲ αὐτὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διέρχεσθαι διὰ τῆς Σαμαρείας· ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχὰρ, πλησίον τοῦ χωρίου ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. Ὦ πολλῆς ἀγχινοίας καὶ ἀκράτου νήψεως· φθάνει ταῖς ἀπολογίαις τὰ ζητηθήσεσθαι προσδοκώμενα. εἶπε γὰρ ἄν τις εὐθὺς, ἢ ἑτέρῳ προσλαλῶν, ἢ λεληθότως διενθυμούμενος Τοῦ δὴ χάριν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οὐκ ἐν καιρῷ τῷ καθήκοντι τὸν Σαμαρειτῶν ἐποιήσατο φωτισμόν; προσ ῆλθε μὲν γὰρ ἡ Συροφοινίκισσά ποτε, τὸν ἐπὶ τῇ ταλαιπώρῳ θυγατρὶ μετὰ δακρύων ἔλεον ἐξαιτοῦσα, καὶ τί πρὸς αὐτὴν ὁ φιλοικτίρμων; "Οὐ καλὸν, φησὶ, λαβεῖν τὸν ἄρτον τῶν "τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις·" οὐ γὰρ, οἶμαι, δεῖν ἐδοκίμαζε, πρόωρον τοῖς ἐξ ἐθνῶν τὴν τοῖς ἐξ Ἰσραὴλ ἀπο νεμηθεῖσαν ἐπιδαψιλεύσασθαι χάριν· ὃ δὴ καὶ σαφέστερον αὐτὸς ἐποίει λέγων "Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα "τὰ ἀπολωλότα οἴκου Ἰσραήλ." πῶς οὖν ἄρα, φήσειεν ἄν τις, ὁ πρὸς μόνον ἀπεσταλμένος τὸν Ἰσραὴλ τὸ Σαμαρειτῶν ἐπαίδευε γένος, καίτοι τοῦ Ἰσραὴλ οὔπω παντελῶς τὴν χάριν ἀπολακτίσαντος; πρὸς δὴ τὰ τοιαῦτα, πιθανὴν μετ' ἐξουσίας τὴν ἀπολογίαν εἰσφέρει τό Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας· οὐ γὰρ δὴ τούτου γε ἕνεκα καὶ μόνου τὴν πρὸς Σαμαρείτας ἀποδημίαν ἐστείλατο, ἐφ' ᾧ τε κηρύξαι παρ' αὐτοῖς τὸν λόγον, καὶ ὅλην ἐξ ὅλου μεταστῆσαι τὴν εὐλο γίαν τοῦ Ἰσραήλ· ἀλλ' ἐπείπερ ἔδει παρέρχεσθαι, διὰ τοῦτο διδάσκει, τὸ σοφίας ἔργον ἀποτελῶν. Ὥσπερ γὰρ οὐκ ἄν ποτε τῆς ἐνούσης αὐτῷ κατὰ φύσιν καυστικῆς ἐνεργείας καταλῆξαι τὸ πῦρ, οὕτως οἶμαι κατὰ τὸ παντελὲς ὑπάρχειν ἀμήχανον τὴν τῶν ὅλων σοφίαν μὴ οὐχὶ τὸ σοφίᾳ πρέπον ἐνεργεῖν· καὶ ὥσπερ οὐκ ἐξεῖναι λέγων 1.264 λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις, δακρυῤῥοοῦντι καὶ πολλοῖς εἰς ἔλεον ἐκλιπαροῦντι λόγοις, προσέῤῥιψε τῷ γυναίῳ τὴν χάριν, οὐ παρ' ἑτέρου νομοθετού μενος τὸν τοῦ διδόναι καιρὸν, ἀλλ' αὐτὸς ὑπάρχων μετὰ Πατρὸς ὁριστὴς, ὡς Υἱὸς καὶ Θεὸς καὶ Κύριος· οὕτω καὶ Σαμαρείτας ἠλέει, καὶ τῆς θεοπρεποῦς ἐξουσίας τὴν ἄφρα στον ἀνακαλύπτων δύναμιν, ὁδοῦ πάρεργον χώρας ὅλης ποιεῖται τὸν φωτισμόν. Ἦν δὲ καὶ ἑτέρως ἄτοπον, ἤδη ταῖς ἀπονοίαις λελυττη κότα καὶ φονῶντα κατὰ τοῦ Κυρίου τὸν Ἰσραὴλ ἀγαπᾶσθαι τελείως. ἐπειδὴ δὲ οὔπω μὲν ὁλοτελῶς, διώκει δ' οὖν ὅμως ἔτι συμμέτρως, διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς οὔπω μὲν αὐτὸν ὁλοκλήρως ἀπογυμνοῖ τῆς χάριτος, ἐξέλκει δ' οὖν ὅμως εἰς ἑτέρους τὴν εὐλογίαν κατὰ βραχύ. τὸ δὲ ὅλως τῆς Ἰουδαίων ἀπανίστασθαι χώρας, καὶ εἰς τὴν τῶν ἀλλογενῶν σπουδάζειν ἰέναι, διὰ τὴν τῶν διωκόντων ἀπανθρωπίαν, ἀπειλή τις ἦν, καθάπερ ἐν τύπῳ ζωγραφου μένη τῇ τοῦ πράγματος φύσει, ὡς ὁλόκληρον ἤδη τῆς χάριτος ὑπομενοῦσι ζημίαν, καὶ παραπέμψουσιν εἰς ἑτέρους τὸ οἰκεῖον ἀγαθὸν, τουτέστι τὸν Χριστὸν, εἰ μὴ τῆς εἰς αὐτὸν παροινίας ἀπόσχοιντο. Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ· ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκτῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. Τοὺς τῆς Ἰουδαίας ὅρους ἐκβεβηκὼς, καὶ παρὰ τοῖς ἀλλογενέσιν ἤδη γεγονὼς ὁ Σωτὴρ ἐπὶ τῇ πηγῇ καταλύει τοῦ Ἰακώβ· ὡς ἐν τύπῳ πάλιν ἡμῖν καὶ δι' αἰνίγματος ὑπο δεικνὺς, ὅτι κἂν τῆς Ἱερουσαλὴμ τὸ εὐαγγελικὸν ἐκφοιτήσῃ κήρυγμα, καὶ εἰς ἔθνη λοιπὸν ὁ θεῖος ἐκδράμοι λόγος, οὐ συναποβληθήσεται τῷ Ἰσραὴλ ἡ εἰς τοὺς πατέρας ἀγάπη, 1.265 ἀλλὰ πάλιν αὐτῶν ἀνθέξεται Χριστὸς, καὶ ἐπαναπαύσεται καὶ καταλύσει πάλιν ὡς ἐν ἁγίοις, ἀμάραντον αὐτοῖς τὴν ἐν ἀρχαῖς ἀποσώζων χάριν. ἐμφιλοχωρεῖ δὲ ταῖς τῶν ἁγίων μνήμαις, ἵνα τύπον ἡμῖν ἑαυτὸν κἀν τούτῳ παράσχοι, καὶ ἀρχὴ καὶ θύρα τῆς εἰς τοὺς πατέρας γένοιτο τιμῆς. καταλύει δὲ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ὡς γέγραπται, ἵνα κἀν τούτῳ τῆς τῶν ἐλαυνόντων αὐτὸν ἀσεβείας κατηγορῇ. δέον γὰρ ταῖς εὐγνώμοσιν ἀνακτᾶσθαι τιμαῖς, αἰδοῖ τε καὶ φόβῳ περιθάλπειν ὡς εὐεργέτην, ἱδρῶτι καὶ πόνοις καταικίζονται τὸν Κύριον, ἵνα καὶ ἀληθεύοι λέγων περὶ αὐτῶν ἐν βίβλῳ ψαλμῶν "Καὶ ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν." Ἰουδαίων μὲν οὖν ἐν τούτοις ὁρᾶται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ θράσος. τί δὲ ἄρα φήσουσι πρὸς τοῦτο πάλιν ἡμῖν καὶ οἱ τῆς ἐκείνων ἀπονοίας γείτονες Ἀρειανοὶ, μᾶλλον δὲ πρὸς οὓς ἂν λέγοιτο δικαίως Ἐδικαιώθη Σόδομα ἐκ σοῦ; οἱ μὲν γὰρ κατὰ σάρκα σταυ ροῦσι Χριστὸν, οἱ δὲ εἰς αὐτὴν ἐμπαροινοῦσι τὴν ἄῤῥητον τοῦ Λόγου φύσιν. ἰδοὺ κεκοπίακεν ἐκ τῆς ὁδοιπορίας· τίς ὁ τοῦτο παθών; ἆρα καὶ ἰσχύος ἡμῖν ἐπιδεᾶ τὸν τῶν δυνά μεων εἰσοίσετε Κύριον, καὶ αὐτῷ τῷ ἐκ Πατρὸς Μονογενεῖ τὸν ἐκ τῆς ὁδοιπορίας ἀναθήσετε πόνον, ἵνα καὶ παθητὸς νοῆται λοιπὸν ὁ παθεῖν οὐκ εἰδώς; ἢ φρονεῖν μὲν οὕτω παραιτήσεσθε ποιοῦντες ὀρθῶς, μόνῃ δὲ τῇ τοῦ σώματος φύσει περιθήσετε τὰ ἐπὶ τούτοις ἐγκλήματα, μᾶλλον δὲ τῇ ἀνθρωπότητι πρέπειν ἐρεῖτε τὸν πόνον, ἤπερ ὄντι καὶ νοου μένῳ γυμνῷ καὶ καθ' ἑαυτὸν τῷ Λόγῳ; ὅνπερ οὖν τρόπον ἐν ἰδίᾳ φύσει τὸ πάντα δύνασθαι κεκτημένος, καὶ αὐτὸς ὑπάρχων ἡ πάντων ἰσχὺς κεκοπιακέναι λέγεται· μὴ γάρ μοι, μὴ διέλῃς εἰς υἱῶν δυάδα τὸν ἕνα Χριστὸν, κἂν τὰ τῆς ἀνθρωπότητος εἰς ἑαυτὸν οἰκειοῦται πάθη· καίτοι μένων 1.266 ἀπαθὴς, ἐπείπερ ἄνθρωπος γέγονεν, ὁ κοπιᾶν μὴ πεφυκώς· οὕτως εἴ τι καὶ λέγοι τῶν ὅσα δὴ πρέπειν ἀνθρώπῳ μᾶλλον οἰησόμεθα δεῖν, καὶ οὐκ ἄρα τῷ Θεῷ, μὴ λεξιθηρῶμεν εὐθὺς, μηδὲ ὅτε μάλιστα τέχνης ἡμῖν τῆς εἰς εὐσέβειαν δεῖ, τότε δὴ διαφερόντως ἀμαθαίνοντες ἁλισκώμεθα, τὸν μὲν τῆς μετὰ σαρκὸς οἰκονομίας ὡς ποῤῥωτάτω ποιούμενοι λόγον, ἐπ' αὐτὴν δὲ θερμῶς ἀναβαίνοντες τὴν τοῦ Λόγου θεότητα, καὶ τῶν ὑπὲρ ἡμᾶς πραγμάτων ἐκ πολλῆς τῆς ἀμαθίας ἁπτό μενοι. εἰ μὲν γὰρ ὅλως οὐ κεχρημάτικεν ἄνθρωπος, εἰ μὴ γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ, θορυβεῖσθαι δίκαιον, ὅταν τι λέγῃ δουλοπρεπὲς, ἀπαιτεῖσθαι δὲ μᾶλλον πάντα κατὰ τὸν πρέποντα τῷ Θεῷ λόγον· εἰ δὲ σωζόμενον ἐν πίστει βεβαίᾳ καὶ ἀνενδοιάστως τεθαρσήκαμεν, ὅτι κατὰ τὴν Ἰωάννου φωνήν "Ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν," ὅταν ἴδῃς ὡς σάρκα λαλοῦντα, τουτέστιν ὡς ἄνθρωπον, δέχου πρὸς ἀσφάλειαν τοῦ κηρύγματος τὸν ἀνθρώπῳ πρέ ποντα λόγον. οὐ γὰρ ἦν ἑτέρως ἐπιγνῶναι σαφῶς, ὅτι Θεὸς ὢν καὶ Λόγος, γέγονεν ἄνθρωπος, εἰ μή τι καὶ παθεῖν ὁ ἀπαθὴς, καὶ λαλῆσαί τι ταπεινὸν ὁ ὑψηλὸς ἀναγέγραπτο. Ὥρα ἦν ὡς ἕκτη. Εὐαφόρμως ἐπὶ τῇ πηγῇ καταλύοντα δεικνύει τὸν Ἰησοῦν. ἡλίου γὰρ ἀκμαιοτάτην ἀπὸ μέσων ἁψίδων τοῖς ἐπὶ τῆς γῆς τὴν ἀκτῖνα καταχέοντος, καὶ ἀκράτοις τὰ σώματα κατα φλέγοντος βολαῖς, τὸ μὲν ἔτι πρόσω βαδίζειν οὐκ ἀζήμιον, τὸ δὲ ἀναπνεῦσαι βραχὺ μᾶλλον ἦν ἀκολουθότερον, ὅτε δὴ μάλιστα καὶ τὴν ἐπὶ τρυφαῖς αἰτίαν ῥαδίως ἂν ἀπεκρούσατο, καιροῦ τοῦ πρέποντος συνηγοροῦντος τῷ πράγματι. ἕκτην δ' οὐκ ἀκριβῶς, ἀλλ' ὡς ἕκτην εἶναι τὴν ὥραν φησὶν, ἵνα καὶ 1.267 ἡμεῖς μανθάνωμεν μηδὲ ἐν τοῖς ἐλαχίστοις ἀδιαφορεῖν, πει ρᾶσθαι δὲ μᾶλλον καὶ τὴν ἐν τοῖς τυχοῦσιν ἐπιτηδεύειν ἀλήθειαν. Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς Δός μοι πιεῖν. οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσι. λέγει αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις. Οὐκ ἠγνόει τοῦ γυναίου τὴν ἄφιξιν ὁ Σωτήρ. εὖ γὰρ δὴ καὶ λίαν ἠπίστατο Θεὸς ὑπάρχων ἀληθινὸς, ὡς αὐτίκα παρέσται ψυχρὸν ἀπὸ κρήνης ἀρυσομένη τὸ νᾶμα· ἐπειδὴ δὲ ἤδη παρῆν, εἴσω βρόχων ἐποιεῖτο τὸ θήραμα, καὶ τὸν τῆς διδασκαλίας εὐθὺ κατατείνων λόγον, ἀπὸ τῶν ἐν χερσὶ πραγμάτων ἐποιεῖτο τὴν διάλεξιν. Τὸ μὲν οὖν μηδαμόθεν χρῆναι καταμολύνεσθαι, τοῖς Ἰουδαίοις ὁ νόμος ἐπραγματεύετο· διά τε τοῦτο παντὸς ἀναχωρεῖν ἀκαθάρτου διετύπου πράγματος, καὶ μήτε ἄλλο γενέσιν ἢ ἀπεριτμήτοις ἀναμιγνύσθαι. οἱ δὲ εἰς πολύ τι πλέον ἀναφέροντες τῆς ἐντολῆς τὴν δύναμιν, καὶ εἰκαιοτάταις μᾶλλον ἐπιτηρήσεσιν, ἢ ταῖς ἀκριβείαις τῶν λεγομένων ἀκολουθήσαντες, οὐδ' ὅσον ἀποθίγειν τῆς τῶν ἀλλοφύλων σαρκὸς ἀποτολμῶντες, ἁπάσης δὲ εἴσω πεσεῖν ἀκαθαρσίας ἐνόμιζον, εἰ κατά τι γοῦν ὀφθεῖεν ὅλως Σαμαρείταις συμβαί νοντες. εἰς τοσοῦτον δὲ αὐτοῖς τὰ τῆς διαστάσεως ἐχώρει λοιπὸν, ὡς καὶ ὕδατος καὶ τροφῆς ἀπογεύεσθαι ναρκᾶν, τῆς διὰ χειρὸς ἀλλοφύλων προσκομιζομένης. ἵνα τοίνυν ξενοφω νήσῃ τὸ γύναιον, καὶ τὸ ἀσύνηθες αὐτῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλέσῃ πρὸς ζήτησιν, τίς μὲν εἴη, καὶ πόθεν, ἢ καὶ ὅπως τῶν Ἰουδαϊκῶν κατεφρόνησεν ἐθῶν· οὕτω τε λοιπὸν ὁ λόγος ἐπὶ τὸν οἰκεῖον 1.268 βαδίζοι σκοπὸν, καὶ τὸ διψῆν ὑποκρίνεται, λέγων Δός μοι πιεῖν. ἡ δὲ ἔφη· Πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ ζητεῖς πιεῖν ὕδωρ γυναικὸς Σαμαρείτιδος οὔσης; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρεί ταις. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ. Ἀρχὴ μαθήσεως ζήτησις, καὶ ῥίζα τῆς ἐπί τισιν ἀγνοου μένοις συνέσεως ἡ περὶ αὐτῶν ἐπαπόρησις. ταύτην ὁ λόγος ἑλεῖν ἐπιθυμεῖ τὴν ἀρχήν· διά τοι τοῦτο καὶ τὸ δοκεῖν ἡγεῖσθαι μηδὲν τὰ τῶν Ἰουδαίων ἔθη σοφῶς ὁ Σωτὴρ ὑπεπλάττετο. Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκέ σοι ὕδωρ ζῶν. λέγει αὐτῷ ἡ γυνή. Τὴν ὑπερκόσμιόν τε καὶ ὑπερουράνιον οὐκ εἰδυῖα τοῦ Μονο γενοῦς οὐσίαν, μᾶλλον δὲ ἀγνοοῦσα παντελῶς τὸν ἐνανθρω πήσαντα Λόγον, Ἰουδαῖον οὖν αὐτὸν ὠνόμαζεν ἡ γυνή. καὶ σιωπᾷ μὲν πρὸς τοῦτο χρησίμως, ἵνα σώζηται πάλιν ἡ τοῦ πρὸς αὐτὴν ὑπόθεσις λόγου· ἀναφέρει δ' οὖν ὅμως εἰς ὑψη λοτέραν τὴν περὶ αὐτοῦ διάληψιν, οὐκ εἰδέναι λέγων, τίς ὁ ποτὸν αἰτήσας ἐστὶν, ἢ καὶ ὅσην ἔχει τὴν χάριν τὰ θεόθεν χορηγούμενα, ὡς εἴπερ ἔχοι τὴν γνῶσιν, οὐκ ἂν ὑστερίζειν ἠνέσχετο, ᾔτησε γὰρ ἂν προλαβοῦσα τὸν Κύριον. ἐρεθίζει μὲν οὖν διὰ τούτων εἰς τὸ καὶ λίαν ἐσπουδασμένως ἐθελῆσαι μαθεῖν. ἐπιτήρει δὲ ὅπως εὐφυᾶ δὴ καὶ νῦν καὶ κόμπου γυμνὸν ἐπιτηδεύων λόγον, Θεὸν ἑαυτὸν εἶναί φησιν, εἰ καὶ βραδεῖα πρὸς τὸ δύνασθαι νοεῖν ἡ γυνή. ἀποθαυμάζειν γὰρ ἀναπείθων τὴν τοῦ Θεοῦ δωρεὰν, ταύτης ἑαυτὸν εἰσφέρει 1.269 χορηγόν· εἰ γὰρ ᾔδεις φησὶ τὴν δωρεὰν τοῦ Θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι, σὺ ἂν ᾔτησας αὐτόν. τίνι δ' ἂν καὶ πρέποι τὸ χαρίζεσθαι τὰ Θεοῦ; μὴ οὐχὶ κατὰ φύσιν ὄντι Θεῷ; Ὕδωρ δὲ ζῶν ἀποκαλεῖ τὴν ζωοποιὸν τοῦ Πνεύματος δόσιν, δι' ἧς καὶ μόνης ἡ ἀνθρωπότης, καίτοι τοῖς ἐν ὄρεσι πρέμνοις αὐαινομένη παραπλησίως, ξηρά τε ἤδη καὶ πάσης ἄγονος ἀρετῆς ταῖς τοῦ διαβόλου κακουργίαις ἀναδεδειγμένη, πρὸς τὸ ἀρχαῖον ἐπανατρέχει τῆς φύσεως κάλλος, καὶ τὴν ζωο ποιὸν ἐκπίνουσα χάριν, πολυτρόποις ἀγαθῶν ἰδέαις περιανθί ζεται, καὶ εἰς ἕξιν ἀναβλαστῶσα τὴν φιλάρετον, εὐτραφε στάτους τῆς εἰς Θεὸν ἀγάπης ἀνίησι κλῶνας. τοιοῦτον δέ τι καὶ διὰ τοῦ προφήτου φησὶν Ἡσαΐου πρὸς ἡμᾶς ὁ Θεός "Εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες καὶ θυγατέρες "στρουθῶν, ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ ποταμοὺς ἐν "τῇ ἀνύδρῳ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτὸν, λαόν μου "ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι." ἔσεσθαι δὲ καὶ τὴν τοῦ δικαίου ψυχὴν, "ὡς ξύλον ἔγκαρπον," ἕτερός τις φησὶ τῶν ἁγίων, καὶ ἀνατελεῖν μὲν, ὡσεὶ χόρτον ἀνα μέσον ὕδατος, ὀφθήσεσθαι δὲ ὡς ἰτέαν ἐπὶ παραῤῥέον ὕδωρ. Δυνατὸν μὲν οὖν τοῖς εἰρημένοις καὶ ἑτέρας ἡμᾶς ἐπισω ρεύειν τὰς ἀπὸ τῆς θείας γραφῆς μαρτυρίας, δι' ὧν ἦν καὶ μάλα ῥᾳδίως ἐπιδεικνύειν, ὡς ἐν ὕδατος προσηγορίᾳ τὸ θεῖον πολλάκις κατωνόμασται πνεῦμα. τὸ δὲ τούτοις ἡμᾶς ἐμφι λοχωρεῖν οὐ καιρός· διὸ δὴ πάλιν ἑτέροις ἐπινηξόμεθα πρὸς τὸ μέγα καὶ πλατὺ τῶν θείων θεωρημάτων ἐπειγόμενοι πέλαγος. Κύριε, οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; Οὐδὲν τῶν ἐν συνηθείᾳ πλέον ἡ γυνὴ φαντάζεται, καὶ 1.270 συνίησι μὲν οὐδαμῶς τῶν εἰρημένων τὴν δύναμιν, οἴεται δὲ ὅτι κατά τινας τῶν ἐξ ἐπῳδῆς καὶ δαιμονιώδους ἀπάτης θαυματουργεῖν εἰωθότων, σχοινίου τε δίχα καί τινος ἑτέρας μηχανῆς, αὐτόματον αὐτῇ τὸ ὕδωρ ἐκ τῶν φρεατίων ἀνοίσει πυθμένων. ὕδωρ δὲ ζῶν, ὡς πρὸς τὸν οἰκεῖον ὀνομάζει σκοπὸν, τὸ νεωστὶ τῶν πηγαίων ἀνομβρῆσαν μαστῶν. Μὴ σὺ μείζων τοῦ πατρὸς ἡμῶν Ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ τοῦτο καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ. Ἑαυτῆς ἐπιλαμβάνεται καὶ σφόδρα τὴν ταχίστην ἡ γυνὴ, συνορᾷ δὲ οὐχ ὁσίως, οὐδὲ πάντως ἀληθεῖς λαβοῦσα τὰς ὑπονοίας περὶ αὐτοῦ· οὐ γὰρ ἦν μὴ πάντως ὠφελεῖσθαι πρὸς νῆψιν, τὴν ὅλως τῶν θείων ἀπολαύουσαν λόγων. ὡς ἐνδεχομένου τοιγαροῦν ἐπῳδὸν μὲν οὐκ εἶναι τὸν λέγοντα, προφήτην δὲ μᾶλλον, καὶ τῶν ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁγιασμῷ διαπρεπεῖ, διά τε τοῦτο παρέξειν αὐτῇ τὸ ὕδωρ τὸ ζῶν κατεπαγγέλλεσθαι, καὶ δίχα τῶν κατὰ συνήθειαν ἀντλημάτων, ἢ πολὺ πρὸς χρῆσιν τὸ ἄμεινον ἐξ ἑτέρας ἀνευρίσκοντα πηγῆς, μετατίθησι τὸν λόγον εὐθὺς ἐπὶ τὸ σωφρονέστερον, καὶ ὡς ἅγιον ἁγίῳ συγκρίνει λέγουσα Μὴ σὺ μείζων τοῦ πατρὸς ἡμῶν Ἰακὼβ ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ τοῦτο; δέχου τοῦ νοήματος τὴν περίνοιαν, ἐκ τοῦ μηκέτι θαυμάζειν αὐτὴν, εἰ σχοινίον οὐκ ἔχων τὸ ὕδωρ ἐπαγγέλλεται, τῆς δὲ κατὰ γεῦσιν ποιότητος πέρι διαλέγεσθαι μόνης. Σαμαρεῖται μὲν οὖν ἀλλογενεῖς· Βαβυλωνίων γὰρ ἄποικοι· πατέρα δὲ καὶ αὐτοὶ τὸν Ἰακὼβ ἐπιγράφονται κατὰ δύο τρό πους· ὡς γὰρ ὅμορόν τε καὶ γείτονα τῆς Ἰουδαίων οἰκοῦντες χώραν, ὀλίγα τῆς ἐκείνων λατρείας εἰς ἑαυτοὺς ἀνεμάττοντο, καὶ τοῖς Ἰουδαίων πατράσιν ἐπαυχεῖν ἐμελέτων. ἄλλως τε καὶ 1.271 ἦν ὄντως ἀληθὲς, ὅτι τῆς Ἰακὼβ ἐξέφυσαν ῥίζης τῶν τὴν Σαμάρειαν οἰκούντων οἱ πλείους. ὁ γὰρ τοῦ Ναβὰτ Ἱεροβοὰμ, δέκα τοῦ Ἰσραὴλ συναγείρας φυλὰς, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραῒμ, ἀπαίρει μὲν τῆς Ἱερουσαλὴμ κατὰ καιρὸν τῆς Ῥοβοὰμ βασιλείας υἱοῦ Σολομῶνος, καταλαβὼν δὲ τὴν Σαμάρειαν, καὶ οἴκους ἐν αὐτῇ καὶ πόλεις ἀνεδείματο. Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ οὐ μὴ διψήσει εἰς τὴν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. λέγει πρὸς αὐτὸν ἡ γυνή. "Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ," ὥσπερ τι μέγα καὶ δυσκαταγώνιστον πρόβλημα προτεινούσης τῆς Σαμαρείτιδος, εὐφυέστατα πάλιν ὁ Σωτὴρ παραιτεῖται μὲν τὸν ἐν ῥήμασι κόμπον, ὅτι μείζων ὑπάρχοι σαφῶς οὐκ εἰπὼν, ἀπὸ δὲ τῆς τῶν πραγμάτων ποιότητος δοκιμάζειν ἀναπείθει τὸν προύχοντα. διάτοι τοῦτο καὶ ἀσύγκριτον οὖσαν τῶν νοητῶν ὑδάτων πρὸς τὰ ἐν αἰσθήσει καὶ γεωδέστερα τὴν δια φορὰν ἐπιδεικνύει λέγων Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὁ δὲ τῶν ἐμῶν, φησὶν, ὑδάτων ἐμφορησά μενος, οὐχ ὅπως τοῦ διψῆν ἔτι κρείττων ἀποφανθήσεται, ἀλλ' ἕξει πηγὴν ἐν ἑαυτῷ πρὸς ζωὴν αἰώνιον ἀποτρέφειν ἰσχύουσαν. οὐκοῦν ὁ τὰ μείζω δωρούμενος ἐν μείζοσιν ἔσται, φησὶ, τοῦ τὸ ἔλαττον ἔχοντος, καὶ τὴν αὐτὴν οὐκ ἀποίσεται δόξαν τῷ νικῶντι τὸ ἡττώμενον. Ἰστέον δὲ πάλιν, ὡς ὕδωρ ἐν τούτοις τὴν τοῦ Ἁγίου Πνεύματος χάριν ὁ Σωτὴρ ἀποκαλεῖ, ἧς εἴπερ τις γένοιτο μέτοχος, ἀναπηγάζουσαν ἕξει λοιπὸν ἐν ἑαυτῷ τῶν θείων μαθημάτων τὴν χορηγίαν, ὡς μηκέτι μὲν αὐτῷ τῆς παρ' ἑτέρων νουθεσίας ἐνδεῖν, ἐξαρκεῖν δὲ μᾶλλον εἰς τὸ δύνασθαι 1.272 ῥᾳδίως παρακαλεῖν, τοὺς οἷσπερ ἂν γένοιτο διψῆν τὸν θεῖόν τε καὶ οὐράνιον λόγον, ὁποῖοί τινες ἦσαν κατὰ τὸν παρόντα βίον καὶ ἐπὶ γῆς ἔτι πολιτευόμενοι, ἅγιοί τε προφῆται καὶ ἀπόστολοι, καὶ οἱ τῆς ἐκείνων κληρονόμοι λειτουργίας, περὶ ὧν γέγραπται "Καὶ ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ "τῶν πηγῶν τοῦ σωτηρίου." Δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. λέγει αὐτῇ ὁ Ἰησοῦς. Μόνα πάλιν τὰ συνήθη καὶ λαλεῖ καὶ φαντάζεται, συνίησι δὲ ὅλως τῶν λεγομένων οὐδέν· ἐν δὲ τῷ μικρῶν ἀπαλλάτ τεσθαι πόνων, ὅλην ἕξειν οἴεται τοῦ Σωτῆρος ἡμῶν τὴν φιλοτιμίαν, καὶ ἐν τῷ μηκέτι διψῆν, τῆς τοῦ Θεοῦ χάριτος ὁρίζει τὸ μέτρον, οὐδ' ὅσον ἐν ἐννοίαις ψιλαῖς δεχομένη τὰ ὑπερκείμενα. Ὕπαγε φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε. Ἦν ἄρα καλῶς τε καὶ οὐκ ἐψευσμένως εἰπεῖν, ὅτι θήλειαί πως εἰσὶ θηλειῶν αἱ φρένες, καὶ μαλακὸς ἐνῴκισται νοῦς γυναιξὶν, οὐδαμόθεν ἔχων τὸ δύνασθαί τι συνιέναι γοργῶς· εὐμαθεστέρα δέ πως ἡ ἀνδρῶν ἐστι φύσις, καὶ πολὺ πρὸς λόγους ἑτοιμοτέρα, διεγηγερμένον εἰς νῆψιν καὶ ἵν' οὕτως εἴπω θερμόν τε καὶ ἀπηρσενωμένον ἔχουσα τὸν νοῦν. διὰ ταύτην οἶμαι τὴν αἰτίαν τὸν ἄνδρα καλεῖν τῷ γυναίῳ παρεκε λεύετο λεληθότως ἐλέγχων, ὡς ἀμαθεστάτην μὲν ἔχοι τὴν καρδίαν, τοῖς δὲ εἰς σοφίαν λόγοις ἀμεταχείριστον, ὁμοῦ δέ τι καὶ ἕτερον ἐπὶ τούτῳ κάλλιστον οἰκονομῶν. 1.273 Λέγει αὐτῷ ἡ γυνὴ Ἄνδρα οὐκ ἔχω. λέγει αὐτῇ ὁ Ἰησοῦς Καλῶς εἶπες ὅτι ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας. λέγει αὐτῷ ἡ γυνή. Καὶ τίνι λοιπὸν οὐκ ἂν εἴη καταφανὲς, ὡς οὐκ ἠγνόει μὲν ὁ Σωτὴρ τοῦ κατὰ νόμου συνῳκηκότος ἔρημον ὑπάρχειν αὐτὴν, πρόφασιν δὲ τοῦ ἀνακαλύψαι τὰ κεκρυμμένα τὴν τοῦ μὴ ὄντος ἀνδρὸς ἐποιήσατο ζήτησιν; ἣν γὰρ ἦν οὕτω μόλις ὠφελῆσαι θαυμάζουσαν οὐκέτι λοιπὸν ὡς ἕνα τῶν καθ' ἡμᾶς, ἀλλ' ὡς ὑπὲρ ἄνθρωπον ἤδη διὰ τοῦ παραδόξως εἰδέναι τὰ ἐν αὐτῇ. ἀποδέχεται δὲ χρησίμως ἄνδρα λέγουσαν οὐκ ἔχειν, καίτοι τοσούτοις συνεφθαρμένην· οὐ γὰρ σύνοδος ἐκ φιληδονίας, ἀλλ' ἡ κατὰ νόμον συναίνεσις καὶ σύνδεσμος ἐξ ἀγάπης καθαρᾶς τὸν ἀκατηγόρητον ἀποτελοῦσι γάμον. Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. Μόλις ἀναλάμπει πρὸς νῆψιν, καὶ πάλιν οὔπω τελείαν. προφήτην γὰρ ἔτι καλεῖ τὸν προφητῶν Δεσπότην· πλὴν ἀμείνων ἢ πρότερον ἀνεδείχθη κατὰ βραχὺ, κατ' οὐδένα μὲν τρόπον πρὸς τοὺς ἐλέγχους ἀσχάλλουσα, τὴν δὲ ἀπὸ τοῦ σημείου δύναμιν εἰς ὠφέλειαν ἁρπάζουσα, καὶ μαλακῆς μὲν οὕτως ἐκβαίνουσα φρενὸς, μετρίως γεμὴν εἰς νεανικὸν ἀνα βαίνουσα νοῦν, καὶ τῆς καρδίας τὸν ὀφθαλμὸν εἰς ἀήθη πραγμάτων θεωρίαν ἐκτείνουσα. ἐφ' ᾧ δὴ μάλιστα θαυμά ζειν ἀκόλουθον τὴν τοῦ Σωτῆρος ἡμῶν ἀνεξικακίαν τε ὁμοῦ καὶ δύναμιν, καὶ τὰς ἀπαιδεύτους διανοίας εἰς ἀξιάγαστον ἕξιν εὐκόλως μεταῤῥυθμίζοντος. 1.274 Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου προσκυνεῖν δεῖ. λέγει αὐτῇ ὁ Ἰησοῦς. Προφήτην ὄντως ὑπάρχειν καὶ Ἰουδαῖον οἰηθεῖσα τὸν Κύριον, τοῖς ἐπιχωρίοις ἔθεσι πολὺ δὴ λίαν ἐναβρύνεται, καὶ τῆς Ἰουδαίων ὑπονοίας βεβουλεῦσθαι τὰ κρείττω τοὺς Σαμα ρείτας διισχυρίζεται. Ἰουδαῖοι μὲν γὰρ παχυτέρας ἔτι τὰς περὶ τῆς θείας τε καὶ ἀσωμάτου φύσεως διαλήψεις δεχό μενοι, ἐν μόνοις τοῖς Ἱεροσολύμοις, ἤτοι Σιὼν τῇ γείτονι χρῆναι προσκυνεῖσθαι τὸν ἐπὶ πάντας Θεὸν διετείνοντο, ὡς ὅλης ἅπαξ τῆς ἀῤῥήτου καὶ ἀκαταλήπτου φύσεως κατα λυούσης ἐκεῖσε, καὶ χειροποιήτοις ἐναποκλεισθείσης ναοῖς. διὸ δὴ καὶ λίαν ἀσυνετοῦντες ἐπὶ τούτῳ διὰ τῆς τῶν προ φητῶν ἠλέγχοντο φωνῆς, τοῦ Θεοῦ λέγοντος "Ὁ οὐρανός "μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον "οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἢ τίς τόπος τῆς "καταπαύσεώς μου;" Σαμαρεῖται δὲ πάλιν οὐ πόῤῥω τῆς Ἰουδαίων ἀμαθίας κείμενοι, χώραν τε ὁμοῦ καὶ ἀπαιδευσίαν ἔχοντες ὅμορον, ἐν ὄρει τῷ Γαρίζειν οὕτω καλουμένῳ, καὶ προσεύχεσθαι δεῖν καὶ προσκυνεῖν οἰόμενοι, τὸ γελᾶσθαι δικαίως οὐ διαφεύγουσι. γέγονε δὲ καὶ αὐτοῖς τῆς ἀνοίας ἡ πρόφασις, τὸ δεδόσθαι τὴν εὐλογίαν ἐν ὄρει Γαρίζειν, καθὼς ἐν τῷ Δευτερονομίῳ γεγραμμένον εὑρίσκομεν. ταύτην ἡ γυνὴ τῷ Σωτῆρι τὴν ζήτησιν, ὥς τι μέγα καὶ δυσκατά ληπτον πρόβλημα προΐσχεται λέγουσα Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ τὰ ἑξῆς. 1.275 Πίστευσόν μοι, γύναι, ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν Ἱεροσολύμοις οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνήσετε τῷ Πατρί. Ὁμοῦ τῆς ἁπάντων ἀμαθίας καταψηφίζεται, μετατεθή σεσθαι λέγων ἐπὶ τὸ ἀληθέστερον τῆς παρ' ἀμφοῖν λατρείας τὸ σχῆμα. οὐ γὰρ ἔτι, φησὶ, ζητηθήσεται τόπος, ἐν ᾧ δὴ κυρίως οἰήσονται κατοικεῖν τὸν Θεὸν, ἀλλ' ὡς τὰ πάντα πληροῦντι καὶ συνέχειν ἰσχύοντι "προσκυνήσουσι τῷ Κυρίῳ, "ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ," καθάπερ τις φησὶ τῶν ἁγίων προφητῶν. ὥραν δὲ καὶ καιρὸν τῆς τῶν τοιούτων ἐθῶν μεταστάσεως, τὴν ἑαυτοῦ μετὰ σώματος ἐπιδημίαν ἐν κόσμῳ φησίν. Ἐπιτήρει δὲ ὅπως ἀστειοτάτῃ τοῦ λόγου χρησάμενος ἀγωγῇ πρὸς ἐννοίας τὰς περὶ Υἱοῦ ποδηγεῖ τοῦ γυναίου τὸν νοῦν, Πατέρα καλῶν τὸν Θεόν· πῶς γὰρ ἂν ὅλως νοοῖτο Πατὴρ οὐκ ὄντος Υἱοῦ; 1.276 ΚΕΦΑΛΗ Ε. Ὅτι οὐκ ἐν τοῖς προσκυνοῦσίν ἐστιν ὁ Υἱὸς, ᾗ Λόγος ἐστὶ καὶ Θεὸς, προσκυνεῖται δὲ μᾶλλον μετὰ Πατρός. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. ΛΑΛΕΙ μὲν πάλιν ὡς Ἰουδαῖος καὶ ὡς ἄνθρωπος, τοῦτον καὶ νῦν ἀπαιτούσης τὸν τρόπον τῆς τοῦ πράγματος οἰκονο μίας· οὐδὲ γὰρ ἂν καιροῦ τοῦ πρέποντος ἀπεσφάλη Χριστός·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπονέμει δέ τι καὶ πλέον εἰς σύνεσιν ταῖς Ἰουδαίων λα τρείαις. Σαμαρεῖται μὲν γὰρ, ὡς ἐν ἁπλῷ τε καὶ ἀζητήτῳ λόγῳ προσκυνοῦσι τὸν Θεόν· Ἰουδαῖοι δὲ, διὰ νόμου καὶ προφητῶν τὴν τοῦ ὄντος γνῶσιν κατὰ τὸ ἐγχωροῦν δεχό μενοι. διὰ τοῦτο Σαμαρείτας μὲν οὐκ εἰδέναι φησὶν, ἐξεπί στασθαι δέ πως Ἰουδαίους, ἐξ ὧν καὶ ἀναδειχθήσεσθαι τὴν σωτηρίαν, ἑαυτὸν δηλονότι διισχυρίζεται. ἀπὸ γὰρ σπέρ ματος Δαυεὶδ τὸ κατὰ σάρκα Χριστὸς, φυλῆς δὲ τῆς Ἰούδα γέγονεν ὁ Δαυείδ. ἐν δὲ τοῖς προσκυνοῦσιν ἑαυτὸν κατα τάττει πάλιν ὡς ἄνθρωπος, ὁ μετὰ τοῦ Θεοῦ καὶ Πατρὸς, πρός τε ἡμῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνούμενος. ἐπειδὴ γὰρ τὸ οἰκετικὸν περιεβάλετο σχῆμα, τὴν οἰκέτῃ πρέπουσαν ἀποπληροῖ λειτουργίαν, οὐκ ἀπολέσας τὸ εἶναι Θεὸς καὶ Κύριος καὶ προσκυνητός· μένει γὰρ ὁ αὐτὸς εἰ καὶ 1.277 γέγονεν ἄνθρωπος, ἀποσώζων δὲ πανταχῆ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν λόγον. Κἂν μεγάλην ἴδῃς καὶ ὑπερφυᾶ τὴν ταπείνωσιν, θαυ μαστὴς εἰσέρχου, μὴ κατήγορος, μὴ φιλεγκλήμων, μᾶλλον δὲ μιμητής. τοιούτους ὁ Παῦλος ἡμᾶς ὁρᾶσθαι βούλεται λέγων "Τοῦτο φρονεῖτε ἕκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν "Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν "ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν "δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ "σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν." ὁρᾷς ὅπως ταπεινοφροσύνης ὑπόδειγμα γέγονεν ἡμῖν ὁ Υἱὸς ἐν ἰσότητι μὲν ὑπάρχων τοῦ Πατρὸς καὶ ἐν μορφῇ, καθὰ γέ γραπται· καταβεβηκὼς δὲ δι' ἡμᾶς εἰς ἑκούσιον ὑπακοὴν καὶ ταπείνωσιν; πῶς οὖν ἄρα τὸ τῆς ὑπακοῆς, πῶς δὲ τὸ τῆς ταπεινώσεως ἔδει φαίνεσθαι σχῆμα, ἢ δηλονότι διὰ πραγ μάτων καὶ λόγων τῆς θεοπρεποῦς ἀξίας ὑποβεβηκότων, καὶ πολὺ τὸ ἔλαττον ἐχόντων ἢ ἐν οἷσπερ ἦν γυμνὸς ἔτι παρὰ Πατρὶ Λόγος, καὶ ἀσύμπλοκος τῆς τοῦ δούλου μορφῆς; ποῦ γὰρ ὅλως αὐτὸν καταβεβηκέναι φήσομεν, εἰ μή τι καὶ τῶν παρ' ἀξίαν ὑπομεῖναι δώσομεν; γέγονε δὲ πῶς ἐν ἀνθρώπων ὁμοιώματι κατὰ τὴν τοῦ Παύλου φωνὴν, εἰ μὴ τὸ ἀνθρώποις πρέπον ἐμιμήσατο; πρᾶγμα δὲ ἀνθρώποις πρεπωδέστατον ἡ προσκύνησις, ὡς ἐν ὀφλήματος τάξει κατατιθεμένη τε καὶ προσαγομένη πρὸς ἡμῶν τῷ Θεῷ. οὐκοῦν προσκυνεῖ μὲν ὡς ἄνθρωπος, ὅτε γέγονεν ἄνθρωπος, προσκυνεῖται δὲ ἀεὶ μετὰ Πατρὸς, ἐπεὶ Θεὸς ἦν ἐστί τε καὶ ἔσται κατὰ φύσιν καὶ ἀληθινός. Ἀλλ' οὐκ ἀνέξεται πάλιν ὁ δι' ἐναντίας, ἐκεῖνο δὲ λέγων ἀνταναστήσεται Μὴ ξενίζου προσκυνεῖν ὅτε φαμὲν τὸν Υἱόν· 1.278 οὐ γὰρ οὕτως οἰόμεθα χρῆναι προσκυνεῖν αὐτὸν τῷ Πατρὶ, ὥσπερ οὖν ἀμέλει καὶ ἡμᾶς ἢ καὶ ἀγγέλους τυχὸν, ἀλλ' ἐξαίρετός τις ἐστὶν ἡ Υἱοῦ προσκύνησις, καὶ πολὺ τῆς παρ' ἡμῶν ἐν ἀμείνοσι. Τί οὖν πρὸς ταῦτα πάλιν ἐροῦμεν ἡμεῖς; Ὡς ἀξιολογω τάτην, ὦ ἄνθρωπε, περιτιθεὶς τῷ Μονογενεῖ τὴν δουλείαν, καὶ οἰκετικὸν ἀξίωμα τοῖς ἐξ ἀπάτης καταχρυσώσας λόγοις τισὶν, οἴει παρακρουόμενος. παῦσαι δοξάζων ἐν ἀτιμίᾳ τὸν Υἱὸν, ἵνα μείνῃς τιμῶν τὸν Πατέρα· "Ὁ γὰρ μὴ τιμῶν τὸν "Υἱὸν, οὐδὲ τὸν Πατέρα τιμᾷ," καθὰ γέγραπται. τί γὰρ εἰπέ μοι πρὸς ἐλευθερίαν ὀνήσει τὸν Μονογενῆ, τὸ ἐξαίρετον παρ' ἡμᾶς ποιεῖσθαι τῷ Πατρὶ τὴν προσκύνησιν; ἕως γὰρ ἂν ἐν τοῖς προσκυνοῦσιν εὑρίσκηται, δοῦλος ἔσται πάντως, καὶ εἰ νοοῖτο προσκυνητὴς ἐξαίρετος, διοίσει δὲ τῶν κτισ μάτων κατὰ μὲν τὸ εἶναι γενητὸς οὐδαμῶς, ὑπεροχαῖς δὲ μόνον ταῖς ἄλλαις, ὥσπερ ἀνθρώπων ὁ Μιχαὴλ, ἢ καὶ ἑτέρα τις τῶν ἁγίων καὶ λογικὴ δύναμις, ᾗ τὸ μὲν προὔχειν τῶν ἐπὶ τῆς γῆς οὐσιωδῶς ὁρᾶται προσπεφυκὸς, ἢ κατὰ τὸν τῆς ἁγιότητος λόγον, ἤ καί τινι δόξης πλεονασμῷ, δόξαν οὕτω τῷ πάντων ἀριστοτέχνῃ Θεῷ· τὸ γεμὴν τοῖς γενητοῖς συντετάχθαι, κατὰ τὸν τοῦ πεποιῆσθαι λόγον, πρὸς τὰ ἄλλα κοινόν. οὐκοῦν οὐδαμόθεν τὸ εἶναι γενητὸς ὁ ἐν Πατρὶ καὶ ἐκ Πατρὸς φυσικῶς διαφεύξεται Λόγος, κἂν ἐξαιρέτως λέ γηται προσκυνεῖν. εἶτα πῶς Υἱὸς ἔτι τὸ ποιηθὲν, ἢ πῶς κατὰ φύσιν Κύριος ὁ δοῦλος καὶ λάτρης; οἶμαι γὰρ ἔγωγε τὸ μὲν βασιλικόν τε καὶ δεσποτικὸν ἐν τῷ προσκυνεῖσθαι διαλάμπειν ἀξίωμα· τὸ δὲ οἰκετικόν τε καὶ δουλοπρεπὲς ὁρί ζεσθαι μέτρον ἐν τῷ προσκυνεῖν. τῷ γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποπίπτειν 1.279 ἡμᾶς οἴεσθαι δεῖν τὴν ὑπερκειμένην καὶ ἐπάνω πάντων ὁμο λογοῦμεν φύσιν. τοιγάρτοι καὶ πάσῃ τῇ κτίσει διὰ τοῦ πανσόφου προσεφωνεῖτο Μωυσέως "Κύριον τὸν Θεόν σου "προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις·" ὥστε ὅτῳ κατὰ φύσιν ἐστὶν ἡ δουλεία, καὶ ὑπὸ τὸν τῆς θεότητος πίπτει ζυγὸν, τοῦτο δὴ πάντως καὶ ἀνάγκη προσκυνεῖν, καὶ τῷ τῆς λατρείας ὑποκεῖσθαι σχήματι. ἐν μὲν γὰρ τῷ εἰπεῖν Κύριον, διορίζει τὸ δοῦλον, ἐν δὲ τῷ Θεὸν, τὸ πεποιημένον· συνεπινοεῖται γάρ πως καὶ ἀντιδιαστέλλεται, τῷ μὲν κατὰ φύσιν Κυρίῳ τὸ δοῦλον, τῇ δὲ ἀγενήτῳ θεότητι τὸ παραχθὲν εἰς γένεσιν. Ὁ δὲ Υἱὸς ἀϊδίως ὢν ἐν Πατρὶ καὶ Κύριός τε ὑπάρχων ὡς Θεὸς, πόθεν ἂν φαίνοιτο τὸ προσκυνεῖν ἐποφείλων, ἀπορῶ μὲν ἐπιδεικνύειν ἐγώ· φλυαρούντων δὲ πάλιν ἐκεῖνοι Προσ κυνήσει, φησὶν, ὁ Μονογενὴς τῷ Πατρὶ, οὔτε ὡς δοῦλος, οὔτε ὡς ποίημα, ἀλλ' ὡς Υἱὸς τῷ γεννήσαντι. παραληπτέον οὖν ἄρα τὴν προσκύνησιν ἐν τῷ τῆς υἱότητος ὅρῳ, καὶ χρῆναι πάντως ἐροῦμεν τὸν Υἱὸν προσκυνεῖν τῷ Πατρὶ, ὡς ἐν τούτῳ τὸ εἶναι λαχόντα, καθάπερ οὖν καὶ ἡμεῖς ἐν τῷ εἶναι ζῷα λογικὰ θνητὰ, νοῦ καὶ ἐπιστήμης δεκτικὰ, ἢ τοῖς ἔξωθεν καὶ κατὰ νοῦν κινήμασι καὶ μόναις ταῖς ἐκ θελη μάτων ῥοπαῖς ἐπιτρέψομεν. εἰ μὲν γὰρ ἐνέσπαρται κατὰ φύσιν τῷ Μονογενεῖ τὸ χρῆναι πάντως καὶ ὡς ἐξ ἀνάγκης προσκυνεῖν, οὕτω τε νοοῦσι καὶ λέγουσι, πῶς οὐ γυμνῶς εἰς αὐτὸν δυσσεβοῦντες ἁλώσονται τὸν Πατέρα; πᾶσα γὰρ καὶ αὐτὸν ἀνάγκη νοεῖσθαι τοιοῦτον, ἐπείπερ καὶ εἰκὼν αὐτοῦ καὶ χαρακτὴρ αὐτοῦ ἐστιν ὁ Υἱὸς, καὶ ὅσαπερ ἂν ἐν ἀπαραλ λάκτοις ὑπάρχοι τοῖς ὁμοιώμασι, ταῦτα δὴ πάντως κατ' οὐδὲν ἀλλήλων διοίσει. εἰ δὲ ἐν μόνῳ κεῖσθαί φασι τῷ 1.280 θελῆσαι τὸν Υἱὸν προσάγειν τῷ Πατρὶ τὴν προσκύνησιν, στοχασταὶ μᾶλλόν εἰσιν ἢ τῆς ἀληθείας ἐπιστήμονες. τί δ' ἂν κωλύσαι καὶ ἑτέρους εἰπεῖν, ῥιψοκίνδυνόν τινα πλαττο μένους εὐσέβειαν, ὅτι θελητὸν τῷ Πατρὶ προσκυνεῖν τῷ Υἱῷ, καίτοι κατὰ φύσιν οὐκ ὄντι προσκυνητῇ; Ἀλλ' αὐτὸ, φησὶ, τὸ πρέπον, τὸ μὲν τοῦ Πατρὸς ὑπεξελεῖται πρόσωπον, ὑποθήσει δὲ τῷ πράγματι τὸν Υἱὸν, οὐκ ἀβούλητον ἔχοντα τὸ προσ κυνεῖν τῷ Πατρί. Τί φῄς, ὦ οὗτος; πάλιν ἡμῖν ὡς ἐξ ἀδύτων, ἤτοι τριπόδων Ἑλληνικῶν, ἀναφέρεις τὰς μαντείας, ἢ κατ' ἐκεῖνον ἔρχῃ "τὸν ἐλαμίτην Σαμέαν" τὰ ἀπὸ καρδίας ἐρευγόμενος σῆς, καὶ οὐκ ἀπὸ στόματος Κυρίου; τὸ δὲ πρέπον ἡμῖν, ὡς ἀκαταγώνιστον ἐν τούτοις, ἀντεξάγων οὐκ ἐρυθριᾷς; ἢ γὰρ οὐκ οἴῃ πρέπειν τὸν ὄντα κατὰ φύσιν Θεὸν, Θεὸν ἔχειν τὸν ἐξ αὐτοῦ γεννηθέντα Λόγον καὶ τὸν ᾧ προσκυνεῖ πᾶσα ἡ κτίσις, προσκυνουμένου δὲ μᾶλλον ἢ προσκυνοῦντος Υἱοῦ Πατέρα καλεῖσθαι καὶ εἶναι τῇ φύσει; ἀλλ' οἶμαι τοῖς ὄντως σοφοῖς οὐκ ἀπᾴδοντα λέγειν. πῶς δὲ καὶ πρέπειν ὁριούμεθα προσκυνεῖσθαι παρὰ τοῦ ἰδίου γεννήματος τὸν Πατέρα, τοσαύτην ὑπομενούσης ζημίαν τῆς ἐπ' ἀμφοῖν ὑπολήψεως; πρῶτον μὲν γὰρ οὔτε ἐν ἰσότητι τῆς ἀξίας, οὔτε ἐν ἀπαραλ λάκτῳ τῆς φύσεως εἰκόνι τὸ μὴ προσκυνοῦν τῷ προσκυ νοῦντι κείσεται. προσκυνεῖ γὰρ ὡς ἐλάττων, καὶ οὐ ποσότητι μετρητὸς τῇ κατά τι τῶν προσπεφυκότων· οὐ γὰρ ἐλάττων ἔσται Θεὸς ἢ Κύριος· ἀλλ' ὡς ὅρῳ διαφέρων τῷ κατὰ τὸν τοῦ πῶς εἶναι λόγον. εἶτα πῶς ἀληθὴς ἀναφανεῖται λέγων "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα;" πῶς δὲ χρῆναι τιμᾶσθαί φησιν ἑαυτὸν οὐκ ἐν ἐλάττονι μοίρᾳ τοῦ Πατρὸς, τὸ ἴσον οὐκ ἔχων ἐν δόξῃ κατά γε τὸν τοῦ προσκυνοῦντος λόγον; εἶτα πρὸς τούτῳ, καὶ αὐτὸς ἡμῖν ὁ Πατὴρ οὐ τῆς 1.281 τυχούσης ἀκοσμίας εἴσω γεγονὼς ὀφθήσεται. δόξα μὲν γὰρ αὐτῷ τὸ γεννῆσαι τοιοῦτον, ὁποῖός περ ἂν ὑπάρχοι κατὰ φύσιν αὐτός· ἐκ δὲ τῶν ἐναντίων αἶσχος οὐ μικρὸν ἑτερογενῆ τε καὶ ἔκφυλον ἔχειν τὸν ἐξ ἑαυτοῦ, καὶ παθεῖν τι τοιοῦτον, ὃ καὶ αὐτὴ τῶν γενητῶν ἀπενάρκησεν ἡ φύσις. τίκτει γὰρ ἑαυτῶν οὐκ αἰσχίονα τὰ τοῦ τίκτειν λαχόντα τὴν δύναμιν, ὅρῳ καὶ βουλήσει τοῦ πάντων Δημιουργοῦ. "Ἐξενεγκάτω "γὰρ, φησὶν, ἡ γῆ βοτάνην χόρτου, καὶ ξύλον κάρπιμον "φέρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοίωσιν." οὐκοῦν ἐν δευτέροις μὲν τῶν γενητῶν ἔσται τὸ θεῖον, εἴπερ ἐκεῖνα μὲν ἐν τούτοις, τὸ δὲ οὐδαμῶς· ὃ δὲ πρέπειν τε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμοῦ καὶ διωρίσθαι καλῶς ἐπὶ ταῖς ἐκ τῶν ὄντων διαδοχαῖς ἐπεψηφίζετο, τούτου δὴ καὶ μόνος ἁλώσεται διαμαρτών. Τίς ἂν οὖν, ὦ βέλτιστοι, λεγόντων ἀνάσχοιτο, πρέπειν τῷ ἰδίῳ γεννήτορι προσκυνεῖν τὸν Υἱόν; ἐπειδὴ δὲ τοῖς παρ' ὑμῶν προστέθειται λόγοις, ὡς οὐδὲ ἀνεθέλητον τῷ Μονο γενεῖ τὸ πρᾶγμά ἐστι, καὶ ταύτην ἡμῖν ἐπιτειχίζετε τὴν ἀναπόδεικτον ἀφορμὴν ἀπὸ μόνου λαβόντες τοῦ πρέποντος, φέρε πάλιν ἐκ τῶν ἱερῶν γραμμάτων καὶ τοῦτο κατασκεψώ μεθα, ὅθεν οἶμαι μάλιστα προσήκειν θηρᾶσθαι σπουδάζειν τὴν ἐφ' ἑκάστῳ τῶν ζητουμένων ἀπόδειξιν. οὐκοῦν ὁ μὲν νόμος συντελεῖσθαι παρ' ἑκάστου τῶν Ἰουδαίων τῷ ἐπὶ πάντας ὄντι Θεῷ "τὸ ἥμισυ τοῦ διδράχμου" προσέταττεν, οὐκ ἀργυρολογίας ἐπινοήσας εὕρεσιν, οὐδὲ χρημάτων εἰκαῖον ἐρανισμὸν, ἀλλὰ παίδευσίν τινα δι' ἐναργεστάτων ὑπεμ φαίνουσαν τύπων· πρῶτον μὲν, ὅτι κύριός ἐστιν οὐδεὶς τῆς ἰδίας κεφαλῆς, ἕνα δὲ οἱ πάντες κεκτήμεθα τῇ τῶν τελεσ μάτων καταθήκῃ πρὸς δουλείαν καταγραφόμενοι· εἶτα πρὸς τούτοις τὰς ἐκ νοῦ τε καὶ πνευματικὰς καρποφορίας, ὡς ἐν παχυτέρῳ πάλιν ζωγραφοῦσαν γράμματί τε καὶ πράγματι. 1.282 "Τίμα γὰρ, φησὶ, τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ "ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης·" ὃ δὴ καὶ γενέσθαι συμβέβηκε διὰ τῆς Εὐαγγελικῆς διδασκαλίας, τῆς κατὰ νόμον ἤδη λατρείας συνεσταλμένης. οὐ γὰρ ἔτι ταῖς ἔξωθεν δωροφορίαις θεραπεύειν οἰόμεθα δεῖν τὸν ἁπάντων Κύριον, τὸ ἐξ ὕλης φθαρτῆς συντελεῖν ἐπειγόμενοι δί δραχμον· ἀληθινοὶ δὲ ὄντες προσκυνηταὶ, προσκυνοῦμεν ἐν πνεύματι καὶ ἀληθείᾳ τῷ Θεῷ καὶ Πατρί. ταύτην ἐγκεκρύ φθαι τῷ νομικῷ γράμματι τὴν διάνοιαν ὑποτοπητέον. Ὡς οὖν ἐν τοῖς Ἱεροσολύμοις ὁ Κύριος ἦν, οἱ τοῦ δι δράχμου πρακτῆρες ἀνεπυνθάνοντο τοῦ Πέτρου λέγοντες "Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; εἰσελθόντα δὲ "εἰς τὴν οἰκίαν, ὡς γέγραπται, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς "λέγων Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνος λαμβάνουσι τέλη ἢ "κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;" εἰπόντος δὲ αὐτοῦ "Ἀπὸ τῶν ἀλλοτρίων, ἔφη ὁ Ἰησοῦς "Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί· ἵνα δὲ μὴ σκανδαλίζωμεν "αὐτοὺς, πορευθεὶς εἰς θάλασσαν βάλε ἄγκιστρον, καὶ τὸν "ἀναβάντα πρῶτον ἰχθῦν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ "εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ "σοῦ." ὁρᾷς οὐκ ἀνεχόμενον ὑποτελῆ γενέσθαι τὸν Υἱὸν, οὐδὲ ὡς ἕνα τῶν ὑπὸ τὸν τῆς δουλείας ζυγὸν, ὑπομεῖναι πρᾶγμα δουλοπρεπές; εἰδὼς γὰρ τῆς ἑαυτοῦ φύσεως τὸ ἐλεύθερον ἀξίωμα, οἰκετικὸν οὐδὲν ἐποφείλειν τῷ Θεῷ καὶ Πατρὶ διισχυρίζεται· "Ἐλεύθεροι γάρ εἰσιν οἱ υἱοί" φησιν. πῶς οὖν οὐκ ἀνεθέλητον ἔχει τὴν δουλοπρεπῆ προσκύνησιν; ὁ δὲ καὶ πρὸς μόνον ἀποναρκήσας τὸν τοῦ πράγματος τύπον, 1.283 πῶς ἂν ταύτην ἔτι καταδέξαιτο τὴν ἀλήθειαν; ἢ γὰρ οὐχ ὡς τέλος καὶ καρποφορίαν πνευματικὴν λογιούμεθα τὴν προσκύνησιν, καὶ λατρείας εἶδος ὑπάρχειν ἐροῦμεν αὐτήν; ἐπεὶ διὰ ποίαν ὁ νόμος αἰτίαν τῇ προσκυνήσει συνέδησε τὴν λατρείαν εἰπών "Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ "αὐτῷ μόνῳ λατρεύσεις." πύλη γὰρ ὥσπερ τις ἐστὶ καὶ ὁδὸς τῆς ἐν ἔργοις λατρείας ἡ προσκύνησις, ἀρχὴν ἔχουσα δουλείας τῆς ὡς πρὸς Θεόν. διὸ δὴ καὶ πρός τινας ὁ μελῳδός που φησί "Δεῦτε προσκυνήσωμεν καὶ προσπέ "σωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιή "σαντος ἡμᾶς." ὁρᾷς παρεπόμενόν τε καὶ συνεζευγμένον τῷ προσκυνεῖν τὸ χρῆναι προσπίπτειν; οὗ τί ἂν γένοιτο δουλοπρεπέστερον, παρά γε τοῖς ὀρθῶς δοκιμάζουσι τὰς τῶν πραγμάτων ποιότητας, εἰπεῖν οὐκ ἔχω. Εἰ δὲ ἐπιμένουσιν οἱ δι' ἐναντίας ἐπ' ἀθραύστοις ἔτι ταῖς ἀναισχυντίαις σοβαρευόμενοι, καὶ τῶν ἐπὶ τούτοις ἀπαι δεύτων οὐ καταλήγουσι λογισμῶν, ἐπιδεικνύντων ἡμῖν ὅλην τὴν ἁγίαν περινοστοῦντες γραφὴν προσκυνήσαντα τῷ Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν, ὅτε γυμνὸς ἦν ἔτι Λόγος, πρὸ τῶν τῆς ἐνανθρωπήσεως χρόνων καὶ τοῦ τῆς δουλείας σχήματος. νῦν μὲν γὰρ ὡς ἄνθρωπος ἀκατηγόρητον προσκυνεῖ, τότε δὲ, οὐκέτι. ἀλλ' οὐχ ἕξουσι μὲν ἐκ τῶν θείων τε καὶ ἱερῶν ἐπιδεῖξαι τοῦτο γραμμάτων· στοχασμοὺς δὲ ἡμῖν καὶ σαθρῶν ἐνθυμημάτων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπινοίας συναγείροντες, εὐλόγως ἀκούσονται "Πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ" τὴν δόξαν τοῦ Μονογενοῦς. ὅτι γὰρ ᾗ μὲν Λόγος ἐστὶ καὶ Θεὸς οὐ προσ κυνεῖ, γεγονὼς δὲ καθ' ἡμᾶς, καὶ τοῦτο παθεῖν ἀνθρωπο πρεπῶς κατεδέξατο διὰ τὴν οἰκονομίαν τὴν μετὰ σαρκὸς, οὐ θύραθεν ἡμῖν ἡ πληροφορία ζητηθήσεται, διὰ δὲ τῶν αὐτοῦ πάλιν εἰσόμεθα λόγων. τί γὰρ δὴ καί φησι πρὸς τὴν ἐκ 1.284 τῆς Σαμαρείας γυναῖκα; Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν. ἆρ' οὐχὶ παντί τῳ καὶ διὰ τούτου καταφανὲς, ὅτι τῷ πληθυντικῷ χρησάμενος ἀριθμῷ, καὶ τοῖς ἐξ ἀνάγκης καὶ δουλείας προσκυνοῦσιν ἑαυτὸν ἐναριθμῶν, ὡς ἐν δούλῃ τῇ ἀνθρωπότητι γεγονὼς τὰ τοιαῦτά φησι; τί γὰρ ἦν, εἰπέ μοι, τὸ κωλύον αὐτὸν εἰς οἰκεῖον πρόσωπον ἑλκῦσαι μοναδικῶς τὴν προσκύνησιν, εἰ νοεῖσθαι παρ' ἡμῶν ἐπεθύμει προσκυνητής; ἔδει γὰρ μᾶλλον εἰπεῖν Ἐγὼ προσκυνῶ ὃ οἶδα, ἵνα τοῖς ἄλλοις ἀσύντακτος ὢν, ἐφ' ἑαυτῷ καὶ μόνῳ τὴν τῶν εἰρημένων ἁρπάσῃ δύναμιν. νυνὶ δὲ τό Ἡμεῖς ἄριστά τε φησὶ καὶ λίαν ἀσφαλῶς, ὡς ἐν δούλοις ἤδη κατατεταγμένος διὰ τὴν ἀνθρωπότητα, ὡς τοῖς προσκυνοῦσιν ἐναρίθμιος, ὡς Ἰουδαῖος διὰ τὴν χώραν. Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνή. Σημαίνει μὲν τῆς ἑαυτοῦ παρουσίας τὸν ἤδη παρόντα καιρὸν, μετασκευασθήσεσθαι δὲ τοὺς τύπους φησὶν εἰς ἀλή θειαν, καὶ τὴν τοῦ νόμου σκιὰν εἰς λατρείαν πνευματικήν. διὰ δὲ τῆς εὐαγγελικῆς παιδεύσεως εἰς εὐάρεστον τῷ Πατρὶ πολιτείαν χειραγωγηθήσεσθαι λέγει τὸν ἀληθινὸν προσκυνητὴν, τὸν ἄνθρωπον δηλονότι τὸν πνευματικὸν, ἑτοιμότερόν πως εἰς οἰκειότητα τρέχοντα τὴν πρὸς Θεόν. πνεῦμα γὰρ ὁ Θεὸς, ὡς πρὸς ἐνσώματον νοεῖται φύσιν. διά τοι τοῦτο δικαίως τὸν πνευματικὸν ἀποδέχεται προσκυνητὴν, οὐκ ἐν μορφώσει καὶ τύποις φοροῦντα τῆς εὐσεβείας τὴν μόρφωσιν Ἰου δαϊκῶς, ἀλλὰ τοῖς μὲν ἐξ ἀρετῆς κατορθώμασιν εὐαγγελικῶς 1.285 διαλάμποντα, τῇ δὲ τῶν θείων δογμάτων ὀρθότητι τὴν ὄντως ἀληθῆ πληροῦντα προσκύνησιν. Οἴδαμεν ὅτι μεσίας ἔρχεται, ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. Ὥραν ἀφίξεσθαι καὶ καιρὸν, μᾶλλον δὲ ἤδη παρεῖναι, διδάσκοντος τοῦ Χριστοῦ, καθ' ὃν οἱ ἀληθινοὶ προσκυνηταὶ τὴν ἐν πνεύματι λατρείαν προσοίσουσι τῷ Θεῷ καὶ Πατρὶ, παραχρῆμα τὸ γύναιον εἰς τὴν λαλουμένην παρὰ τοῖς Ἰου δαίοις ἐλπίδα τοῖς ὑπὲρ ἕξιν ἀναπτεροῦται νοήμασιν. εἰδέναι δὲ τὸν μεσίαν ὡς ἥξει κατὰ καιρὸν οἰκεῖον ὁμολογεῖ, καὶ ἥξει μὲν ἐπὶ τίσιν, ἀκριβῶς οὐ φησὶν, ἀπεριεργάστους, ὡς ἔοικε, τοὺς ἐπ' αὐτῷ λαμβάνουσα θρύλους, ἅτε δὴ φιλόγελώς τε καὶ φιλοσαρκοῦσα γυνή· οὐ μὴν ἠγνόησε παντελῶς, ὡς ἀστειοτέρων μαθημάτων εἰσηγητὴς ἐπὶ τὸν Ἰσραὴλ ἀνα δειχθήσεται, καὶ τοῦτο δὴ πάντως ἐν τοῖς περὶ αὐτοῦ λόγοις εὑρίσκουσα. Λέγει αὐτῇ ὁ Ἰησοῦς Ἐγώ εἰμι, ὁ λαλῶν σοι. Οὐ ταῖς ἀπαιδεύτοις ψυχαῖς ἢ καὶ ἀμαθέσι παντελῶς ἑαυτὸν ἀνακαλύπτει Χριστὸς, ἀλλ' ἐκείναις μᾶλλον ἐπι λάμπει καὶ φαίνεται, αἵπερ ἂν εἶεν ἤδη πρὸς τὸ βούλεσθαί τι μαθεῖν ἑτοιμότεραι, καὶ τῆς πίστεως τὴν ἀρχὴν ἐν ἁπλοῖς ὠδίνουσαι λόγοις, πρὸς τὴν τῶν τελειοτέρων ἐπείγονται γνῶσιν. τοιαύτη τις ἡμῖν καὶ ἡ Σαμαρεῖτις ἀνεδείχθη γυνὴ, παχύτερον μὲν ἤπερ ἐχρῆν τοῖς ὄντως θείοις προσβαλοῦσα θεωρήμασιν, οὐ μὴν τοῦ βούλεσθαί τι καὶ νοεῖν ἐξῳκισμένη παντελῶς. πρῶτον μὲν γὰρ αἰτήσαντι τῷ Χριστῷ τὸ ποτὸν, προχείρως οὐ δίδωσι, παραλύοντα δέ πως, ὅσον ἧκεν ἀνθρω πίνως εἰπεῖν, τὰς ἐπιχωρίους τῶν Ἰουδαίων συνηθείας κατα θεωμένη, τοὺς τῆς παραβάσεως προανεζήτει λόγους, μονον 1.286 ουχὶ διὰ τῆς ὑπομνήσεως εἰς ἐξήγησιν καλοῦσα τὸν Κύριον· "Πῶς γὰρ σὺ, φησὶν, Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς "γυναικὸς Σαμαρείτιδος οὔσης;" ἐπειδὴ δὲ, τοῦ τῆς κατη χήσεως προϊόντος λόγου, καὶ προφήτην ὡμολόγει εἶναι λοι πὸν, φάρμακον εἰς σωτηρίαν λαβοῦσα τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔλεγχον, ἑτέραν αὐτῷ προσῆγε τὴν πεῦσιν λέγουσα φιλομαθῶς "Οἱ πατέρες "ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε "ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου προσκυνεῖν δεῖ." ἀλλ' ἐδιδάσκετο τοῦτο πάλιν, ὡς ἥξει ποτὲ, μᾶλλον δὲ ἤδη πάρεστιν ὁ καιρὸς, καθ' ὃν οἱ ἀληθινοὶ προσκυνηταὶ τὸ ἐν ὄρεσι τοῖς ἐπὶ γῆς προσκυνεῖν παρωσάμενοι, τὴν ὑψηλοτέραν καὶ ἐν πνεύματι λατρείαν προσοίσουσι τῷ Θεῷ καὶ Πατρί. μόνῳ δὲ πρέπειν ἀναθεῖσα τὰ κάλλιστα τῷ Χριστῷ, καὶ τὴν ἐπὶ τοῖς ἀμείνοσι γνῶσιν τοῖς ἐκείνου χρόνοις τηρήσασα "Οἴδαμεν, φησὶν, ὅτι μεσίας ἔρχεται, ὁ λεγόμενος Χριστὸς, "ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα." ὁρᾷς ὅπως ἤδη τὸ γύναιον εὐτρεπὲς εἰς τὸ πιστεύειν ἐγίγνετο, καὶ ὥσπερ τινὰ βαθμῶν ἀναβαίνουσα θέσιν, ἐκ μικρῶν ἐρωτημάτων εἰς ὑψηλοτέραν ἕξιν ἀναπηδᾷ; ἔδει τοίνυν αὐτῇ τρανοτέραις μὲν ἤδη φωναῖς ἀπογυμνοῦν τὸ ποθούμενον, τὸ δὲ ἐν ἐλπίσι σωζόμενον ἀγαθαῖς παρατιθέναι λοιπὸν ἐν ὄψει λέγοντα Ἐγώ εἰμι ὁ λαλῶν σοι. Ἐπιτρεπόντων τοιγαροῦν τοῖς νεήλυσιν, οἱ τὸ διδασκα λικὸν ἐν ἐκκλησίαις ἔχοντες ἐπιτήδευμα, τὸν τῆς κατηχήσεως ἀναμασᾶσθαι λόγον, οὕτω τε λοιπὸν καταδεικνύντων αὐτοῖς τὸν Ἰησοῦν, ἐκ μικρᾶς παιδαγωγίας ἐπὶ τὴν ἐντελεστέραν τῆς πίστεως ἀναβιβάζοντες γνῶσιν. οἱ δὲ τὸν ἀλλογενῆ καὶ οὕτω προσήλυτον ἁρπάζοντες, καὶ σκηνῆς μὲν εἴσω τῆς ἐσωτέρας ποιούμενοι, θύειν δὲ ἀνίπτοις ἔτι χερσὶ τὸν ἀμνὸν ἐπιτρέποντες, καὶ τῷ τῆς ἱερωσύνης καταστέφοντες ἀξιώματι 1.287 τὸν οὔπω κατηχούμενον, πρὸς μεγάλους ἐν ἡμέρᾳ κρίσεως εὐτρεπιζέσθωσαν λόγους. ἀρκεῖ γάρ μοι τοῦτο καὶ μόνον εἰπεῖν. Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ. Τέλος τῶν πρὸς τὴν γυναῖκα λόγων, ἡ τῶν μαθητῶν παρουσία. σιωπᾷ γὰρ, φησὶ, λοιπὸν ὁ Χριστὸς, καὶ τὸν θερμὸν τῆς πίστεως σπινθῆρα Σαμαρείταις ἐνθεὶς, ἐπιτρέπει ταῖς ἐνδόσεσιν εἰς μεγάλην ἐξάπτεσθαι φλόγα. οὕτω νοήσεις τὸ παρ' αὐτοῦ λεγόμενον "Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, "καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;" Καὶ ἐθαύμαζον ὅτι μετὰ γυναικὸς ἐλάλει. Καταπλήττονται πάλιν οἱ μαθηταὶ τοῦ Σωτῆρος τὴν ἡμερότητα, καὶ τὸν ὑφειμένον ἀποθαυμάζουσι τρόπον. οὐ γὰρ δὴ κατά τινας τῶν ἐπ' ἀκράτοις εὐλαβείαις ἠγριωμένων, τὴν πρὸς γυναῖκα διάλεξιν ἀποφρίττειν ἀξιοῖ, ἐξαπλοῖ δὲ εἰς ἅπαντας τὴν φιλανθρωπίαν, καὶ δι' αὐτοῦ δεικνύει τοῦ πράγματος, ὅτι δὴ πάντως εἷς ὑπάρχων Δημιουργὸς, οὐ μόνοις ἀνδράσι τὴν διὰ πίστεως ἀπονέμει ζωὴν, ἀλλὰ καὶ τὸ θῆλυ πρὸς αὐτὴν σαγηνεύει γένος. Κερδαινέτω πάλιν καὶ τοῦτο πρὸς ὑπογραμμὸν ὁ διδά σκων ἐν ἐκκλησίαις, καὶ μὴ παραιτείσθω γυναῖκας ὠφελεῖν. οὐ γὰρ θελήμασι τοῖς ἰδίοις, ἀλλὰ τῇ τοῦ κηρύγματος χρείᾳ δεῖ πάντως ἀκολουθεῖν. Οὐδεὶς μέντοι εἶπε Τί λαλεῖς; ἢ Τί ζητεῖς μετ' αὐτῆς; Μαθητῶν ἦν ἔργον ἐπιστημόνων, καὶ τὴν πρέπουσαν τῷ διδασκάλῳ τιμὴν περισώζειν εἰδότων, μὴ περιέργοις ἐρωτή σεσιν εἰς ἐκτόπους δοκεῖν ὑπονοίας ἀποδημεῖν, ὅτι μετὰ γυ ναικὸς ἐλάλει, αἰδοῖ δὲ μᾶλλον καὶ φόβῳ τὴν μὲν γλῶτταν εἴργειν ὀδόντων ἐντὸς, περιμένειν δὲ μᾶλλον αὐτομολοῦντα 1.288 πρὸς λόγους τὸν Κύριον, καὶ ἐθελούσιον αὐτοῖς προστιθέντα τὴν ἐξήγησιν. θαυμαστέον τοιγαροῦν διὰ τούτων ἐφ' ἡμερό τητι μὲν τὸν Χριστὸν, ἐπὶ δὲ σοφίᾳ καὶ συνέσει τοὺς μα θητὰς καὶ τῇ τοῦ πρέποντος γνώσει. Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν. Κρείττων ἤδη καὶ ὑψηλοτέρα φαίνεται τῶν εἰς τὸ σῶμα φροντίδων, ἡ κατὰ τὴν ἐχθὲς καὶ τρίτην πολύανδρος οὖσα γυνὴ, καὶ ἡ ψυχραῖς πολλάκις εὐάλωτος ἡδοναῖς, πλεονεκτεῖ τῆς σαρκὸς τὴν ὡς ἐξ ἀνάγκης χρείαν, δίψης τε ὁμοῦ καὶ ποτῶν ἀλογήσασα, πρὸς ἑτέραν ἕξιν διὰ τῆς πίστεως ἀνε χαλκεύετο. ἀγάπην δὲ παραχρῆμα τὴν καλλίστην πασῶν ἀρετὴν καὶ τὸν φιλάλληλον μελετῶσα τρόπον, ὅπερ αὐτῇ πέφηνεν ἀγαθὸν, τοῦτο καὶ ἑτέροις ἐξαγγέλλουσα γοργῶς δρόμῳ τῷ πρὸς τὴν πόλιν συντείνεται. ὑπεφώνει γὰρ ἐν αὐτῇ, κατά γε τὸ εἰκὸς, ὁ Σωτὴρ, καὶ λεληθότως κατὰ τὸν νοῦν ἐψιθύριζε λέγων "Δωρεὰν ἐλάβετε, δωρεὰν δότε." μανθάνωμεν διὰ τούτου μὴ ζηλοῦν μὲν ἐκεῖνον τὸν ὀκνόφιλον οἰκέτην, διά τε τοῦτο εἰς γῆν καταχωννῦντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ τάλαντον, ἐπεργάζεσθαι δὲ μᾶλλον αὐτὸ σπουδάζωμεν. ὃ δὴ καὶ δρῶσα καλῶς ἡ πολυθρύλητος αὕτη γυνὴ, κοινοποιεῖται τοῖς ἄλλοις τὸ προσπεσὸν ἀγαθὸν, ὕδωρ μὲν, ὅπερ ἧκεν ἀρυσομένη, τῶν πηγαίων οὐκέτι λαβοῦσα μαστῶν, οὐδὲ τὴν ἐκ γῆς ὑδρίαν οἴκοι πάλιν ἀποκομίζουσα, θείᾳ δὲ μᾶλλον καὶ οὐρανίῳ χάριτι καὶ πανσόφῳ τοῦ Σωτῆρος διδασκαλίᾳ τὰς τῆς διανοίας ἀπο θήκας ἐμπλήσασα. Ἰστέον ἐντεῦθεν, ὡς ἐν τύπῳ πάλιν καὶ γραφῇ, ὅτι μικρῶν δὴ λίαν ὑπερφρονοῦντες καὶ σωματικῶν, πολλαπλασίονά τε 1.289 καὶ ἀμείνω τὰ παρὰ Θεοῦ ληψόμεθα. τί γὰρ ὕδωρ τὸ ἀπὸ τῆς γῆς, ὡς πρὸς τὴν ἄνωθεν σύνεσιν; Καὶ λέγει τοῖς ἀνθρώποις Δεῦτε ἴδετε ἄνθρωπον ὃς εἶπέ μοι πάντα ἃ ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός; Ὢ παραδόξου μεταβολῆς, ὢ μεγάλης ὄντως καὶ θεοπρε ποῦς ἰσχύος ἐπ' ἀῤῥήτῳ διαφανοῦς τῷ θαύματι. τεχνῖτις ἤδη πρὸς λόγους καὶ μυσταγωγὸς, ἡ συνιεῖσα μὲν οὐδὲν τῶν ἐν ἀρχῇ λεγομένων, διὰ δὲ τοῦτο δικαίως ἀκούσασα "Ὕπαγε "φώνησόν σου τὸν ἄνδρα καὶ ἐλθὲ ἐνθάδε." ὅρα γὰρ ὅπως ἐντέχνως τὴν πρὸς Σαμαρείτας ἐποιεῖτο διάλεξιν. οὐκ εὐθὺς εὑρηκέναι φησὶ τὸν Χριστὸν, οὐδὲ ἐν πρώτοις αὐτοῖς εἰσ φέρει διηγήσ[εσ]ιν τὸν Ἰησοῦν· ἢ γὰρ ἂν καὶ διεπτύσθη δικαίως, ὡς πολὺ μὲν τὸ μέτρον τῶν αὐτῇ πρεπόντων ἀναβαίνουσα λόγων, οὐκ ἀγνῶτας δὲ τῶν αὐτῆς τρόπων τοὺς ἀκροωμένους εὑρίσκουσα. προεξευμαρίζει τοιγαροῦν τῷ θαύματι, καὶ τῷ παραδόξῳ προκαταπλήξασα, λειοτέραν ὥσπερ τῇ πίστει τὴν ὁδὸν ἀπεργάζεται. δεῦτε καὶ ἴδετέ φησι συνετῶς, μονονουχὶ θερμοτέραις βοῶσα φωναῖς Ἀρ κέσει καὶ μόνη πρὸς πίστιν ἡ θέα, καὶ πληροφορήσει παρόντας ἀξιολογωτέροις τοῖς θαύμασιν. ὁ γὰρ γινώσκων τὰ κεκρυμμένα, καὶ τὸ μέγα τοῦτο καὶ θεοπρεπὲς ἀξίωμα λαχὼν, πῶς οὐκ ἐξ οὐρίας δραμεῖται πρὸς τὴν ὧν ἂν βούλοιτο πλήρωσιν; Ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. Ἔλεγχος τῆς Ἰουδαίων σκληροκαρδίας ἡ Σαμαρειτῶν εὐπείθεια, καὶ τὸ ἐν ἐκείνοις ἀπάνθρωπον ἐν τῇ τούτων ἡμερότητι διαφαίνεται. καὶ ὁράτω πάλιν ὁ φιλομαθὴς τῆς ἐν ἀμφοῖν ἕξεως τὴν διαφορὰν, ἵνα δὴ καὶ μάλα δικαίως 1.290 ἀποθαυμάζῃ τὸν Ἰησοῦν τῆς μὲν τῶν Ἰουδαίων ἀποδημοῦντα 1.290 Συναγωγῆς, ἑαυτὸν δὲ μᾶλλον τοῖς ἀλλογενέσι δωρούμενον. Ἰουδαίοις μὲν γὰρ ὅτι καὶ ἥξει καὶ ἐπὶ τίσιν ἀναφανεῖται Χριστὸς, ὁ διὰ Μωυσέως διήγγελλε νόμος, προφητῶν δὲ ὁ πάνσεμνος ἀνεκήρυττε χορὸς, καὶ μονονουχὶ παρόντα λοιπὸν ἐπὶ θύραις ἐπεδείκνυε λέγων "Ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ "Κύριος·" καὶ τελευταῖος ἐπὶ πᾶσιν ὁ μέγας "ἐν γεννητοῖς "γυναικῶν" Ἰωάννης, ἤδη πεφηνότα καὶ συνδιαιτώμενον φανερὸν καθίστη λέγων "Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων "τὴν ἁμαρτίαν τοῦ κόσμου." καὶ τό γε πάντων παραδοξό τερον, διὰ πολλῶν πραγμάτων δυνάμεώς τε καὶ ἐξουσίας θεοπρεποῦς ἑαυτὸν ὁ Σωτὴρ ἐξεκάλυπτε. τί δὴ λοιπὸν ἐπὶ τούτοις οἱ πρὸς ἐκτόπους ἀχάλινοι μελετῶσι βουλάς; φο νῶσιν ἀδίκως, ἐπιβουλεύουσι δυσσεβῶς, φθονοῦσι δυστρό πως, γῆς τε καὶ πόλεως τῆς ἑαυτῶν ἐξελαύνουσι τὴν ζωὴν, τὸ φῶς, τὴν ἁπάντων σωτηρίαν, τὴν εἰς βασιλείαν ὁδὸν, τῶν πλημμελημάτων τὴν ἄφεσιν, τῆς υἱοθεσίας τὸν χορηγόν. διά τοι τοῦτο δικαίως ἔφασκεν ὁ Σωτὴρ "Ἱερουσαλὴμ "Ἱερουσαλὴμ ἡ ἀποκτένουσα τοὺς προφήτας καὶ λιθοβο "λοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα "ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις ἐπισυνάγει "τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε· "ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν." Σαμαρεῖται δὲ τῆς Ἰουδαίων ἀπονοίας ἀναφαίνονται κρείττονες, καὶ τὴν ἐνοῦσαν αὐτοῖς δυσμαθίαν ταῖς εὐπειθείαις νικήσαντες, ἑνὸς καὶ μόνου κατακούσαντες θαύματος, δρομαῖοι βαδίζουσιν ἐπὶ τὸν Ἰησοῦν, οὐ ταῖς τῶν ἁγίων προφητῶν ἀναπεπεισμένοι φω 1.291 ναῖς, οὐ Μωυσαϊκοῖς κηρύγμασιν οὐδὲ ταῖς Ἰωάννου δακτυ λοδειξίαις, ἀλλὰ μιᾶς αὐτοῖς ἐξηγουμένης, καὶ τοῦτο ἁμαρ τωλοῦ, γυναικός. εὐλόγως τοιγαροῦν τὴν ἐπ' αὐτοὺς τοῦ Σωτῆρος ἀποθαυμάζοντες ψῆφον, καὶ ἡμεῖς ἀναφθεγξώμεθα "Δίκαιος εἶ Κύριε, καὶ εὐθὴς ἡ κρίσις σου." Ἐν τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες Ῥαββὶ, φάγε. ὁ δὲ εἶπεν αὐτοῖς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Οἰκονομεῖ μὲν ἄριστα τοῦ βιβλίου τὴν συγγραφὴν ὁ θεσπέσιος Εὐαγγελιστὴς, παραλιμπάνει δὲ οὐδὲν τῶν ὅσα δὴ πάντως τοῖς ἐντευξομένοις ἔσεσθαι πιστεύει λυσιτελῆ. ἄκουε τοίνυν ὅπως ἡμῖν ἀξιολογωτάτου πράγματος γεγονότα πάλιν ὑπογραμμὸν εἰσφέρει τὸν Ἰησοῦν. οὐδὲν γὰρ οἶμαι τεθεῖσθαι μάτην ἐν ταῖς τῶν ἁγίων συγγραφαῖς, ἀλλὰ καὶ ὅπερ ἄν τις οἴηται μικρὸν, οὐκ εὐκαταφρόνητον ὠδῖνον ἔσθ' ὅτε τὴν ὠφέλειαν εὑρίσκεται. ἀρξαμένης τοιγαροῦν τῆς Σαμαρειτῶν ἐπιστροφῆς, καὶ ὅσον οὐδέπω προσδωκωμένων αὐτῶν· ἤδει γὰρ ἥξοντας ὡς Θεός· ὅλος μὲν ἐξ ὅλου πρὸς τὴν τῶν κεκλημένων σωτηρίαν συντείνεται, ποιεῖται δὲ λόγον οὐδένα τῆς τοῦ σώματος τροφῆς, καίτοι καὶ κεκμηκὼς "ἐκ "τῆς ὁδοιπορίας," ὡς γέγραπται, ἵνα πάλιν διὰ τούτου τοὺς ἐν ταῖς ἐκκλησίαις ὠφελήσῃ διδασκάλους, καὶ καμάτου μὲν παντὸς ἀναπείσῃ περιορᾶν, κρείττονα δὲ τῆς περὶ τὸ σῶμα φροντίδος τὴν ἐπὶ τοῖς σωζομένοις ποιεῖσθαι σπουδήν· "Οὐαὶ γὰρ, φησὶν ὁ προφήτης, οἱ ποιοῦντες τὸ ἔργον "Κυρίου ἀμελῶς." ἵνα τοίνυν μανθάνωμεν ἐν τοῖς τοιούτοις μάλιστα καιροῖς ἀσιτεῖν εἰωθότα τὸν Κύριον, ἐρωτῶντας εἰσφέρει τοὺς μαθητὰς, καὶ μονονουχὶ προκυλινδουμένος, ἵνα δὴ βραχύ τι τῶν πεπορισμένων, ὡς ἀπαραίτητόν τε καὶ 1.292 ἀναγκαίαν ποιήσαιτο τροφήν. "ἀπεληλύθησαν γὰρ εἰς τὴν "πόλιν ἵνα τροφὰς ἀγοράσωσιν," ἃς καὶ παρῆσαν ἤδη συγκομισάμενοι. Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε. Χαριέντως μὲν ὁ Σωτὴρ ἀπὸ τῶν ἐν χερσὶ πραγμάτων ἐξυφαίνει τὴν ἀπόκρισιν. μόνον δὲ οὐχί φησιν ἐπεσκια σμένως, ὡς εἴπερ εἰδεῖεν αὐτοὶ τὴν Σαμαρειτῶν ἐπὶ θύρας οὖσαν ἐπιστροφὴν, ἐκείνης ἔχεσθαι μᾶλλον ὡς τρυφῆς, ἢ σάρκα τρέφειν ἀνέπειθον. ἐκ δὲ δὴ τούτου πάλιν ὅσην ἔχει τὴν εἰς ἀνθρώπους ἀγάπην ἡ θεία φύσις ἔξεστι μαθεῖν· τροφὴν γὰρ ὥσπερ ἡγεῖται καὶ τρυφὴν τῶν ἀπολωλότων τὴν εἰς σωτηρίαν ἀναδρομήν. Ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους Μήτις ἤνεγκεν αὐτῷ φαγεῖν; λέγει αὐτοῖς ὁ Ἰησοῦς. Σκοτεινὸν ὄντα τὸν λόγον οὔπω συνέντες οἱ μαθηταὶ, τὰ πολλάκις καθ' ἑαυτοὺς ἐλογίζοντο γεγονότα, καὶ πρὸς τὰς συνήθεις καταβαίνουσιν ἐννοίας, προσῆχθαι μὲν ὑπό του τροφὴν ὑποπτεύοντες αὐτῷ, τιμιωτέραν δέ πως ἢ καὶ ἡδίονα τῆς παρ' αὐτῶν συλλεγείσης ὑπάρχειν αὐτήν. Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. Ὅλον ἀποῤῥήξας τοῦ λόγου τὸ κατακάλυμμα διαφανε στάτην αὐτοῖς ἀνέδειξε τὴν ἀλήθειαν, ὡς δὲ ὅσον οὐδέπω τῆς οἰκουμένης διδασκάλοις ἐσομένοις τύπον ἑαυτὸν εἰσφέρει, συντόνου τε καὶ λίαν ἀρίστης σπουδῆς, τῆς ἐπὶ τὸ χρῆναι διδάσκειν δηλαδὴ, καὶ τῆς ἀναγκαίας τοῦ σώματος χρείας 1.293 δευτέραν ἀξίως ἐχούσης διὰ τοῦτο τὴν φροντίδα. βρῶμα γὰρ εἶναι λέγων ἑαυτῷ θυμηρέστατον τὸ ποιῆσαι τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν καὶ τελειῶσαι αὐτοῦ τὸ ἔργον, τῆς μὲν ἀποστολικῆς λειτουργίας διαγράφει τὸ ἐπιτήδευμα, ποταποὶ δὲ τὴν ἕξιν ὑπάρχειν ὀφείλουσι καταμηνύει σαφῶς. συντε τάσθαι γὰρ δὴ κατὰ τὸ εἰκὸς ἀναγκαῖον αὐτοὺς ἐπὶ μόνοις τοῖς διδασκαλικοῖς φροντίσμασι, δεῖν δὲ τοσοῦτον ἀποφοιτᾶν τῆς εἰς σάρκα τρυφῆς, ὡς μηδ' αὐτήν ἐσθ' ὅτε προσίεσθαι τὴν ὡς ἐξ ἀνάγκης θεραπείαν, διὰ μόνην ἐπιτελουμένην τὴν τοῦ τεθνάναι παραίτησιν. Καὶ ταῦτα μὲν ἡμῖν εἰρήσθω πρὸς τὸ παρὸν, ὡς εἰς τύπον καὶ ὑπογραμμὸν ἀποστολικῆς συντείνοντα πολιτείας· εἰ δὲ χρὴ τοῖς εἰρημένοις καὶ δογματικώτερον προσβάλλοντας εἰπεῖν, ἀπεστάλθαι φησὶ, δῆλον δὲ ὅτι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ κατὰ τὸν τῆς ἐνανθρωπήσεως τρόπον, καθ' ὃν ἐπέλαμψε τῷ κόσμῳ μετὰ σαρκὸς, εὐδοκίᾳ καὶ συναινέσει τοῦ Πατρὸς, ἢ ὡς Λόγος ἐκ τοῦ γεννήσαντος νοῦ προκύπτων τρόπον τινὰ καὶ πεμπόμενος καὶ τὸ δόξαν ἀποπληρῶν, οὐχ ὡς ἀλλοτρίων θελημάτων παραληφθεὶς ὑπουργὸς, ἀλλ' αὐτὸς ὑπάρχων ὁμοῦ καὶ Λόγος ὁ ζῶν καὶ θέλημα τοῦ Πατρὸς ἐναργέστατον, διασώζων ἑτοίμως τοὺς ἀπολωλότας. διὰ γάρ τοι τοῦτο, καὶ τοῦ πεπομφότος αὐτὸν εἶναι τὸ ἔργον εἰπὼν, αὐτὸς ὁρᾶται τελειωτής· πάντα γὰρ παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι. ὅτι γὰρ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Λόγος καὶ βουλὴ καὶ θέλημα καὶ δύναμις τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, εἶναι μὲν ἅπασι νομίζω καταφανές· λυπεῖ δὲ οὐδὲν καὶ ἀπὸ τῆς θείας πιστώσασθαι γραφῆς. οὐκοῦν ὁράτω μέν τις ὑπάρχοντα Λόγον ἐν τῷ "Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ "Θεὸς ἦν ὁ Λόγος." ὁράτω βουλὴν ἐν τῷ λέγειν, ὡς πρὸς Θεὸν καὶ Πατέρα, τὸν μελῳδόν "Ἐν τῇ βουλῇ σου ὡδή 1.294 "γησάς με, καὶ μετὰ δόξης προσελάβου με·" ὁράτω θέλημα πάλιν ἐν τῷ λέγειν αὐτόν "Κύριε ἐν τῷ θελήματί σου "παράσχου τῷ κάλλει μου δύναμιν." νευροῖ γὰρ τῶν ἁγίων τὸ κάλλος, τουτέστι τὴν εἰς ἅπασαν ἀρετὴν εὐεξίαν, τὸ ζῶν τε καὶ ἐνυπόστατον θέλημα τοῦ Πατρὸς, τουτέστιν ὁ Υἱός. ὅτι γάρ ἐστι καὶ δύναμις, πάλιν ἐντεῦθεν συνήσεις " Εντειλαι, φησὶν, ὁ Θεὸς τῇ δυνάμει σου, δυνάμωσον ὁ "Θεὸς τοῦτο ὃ κατηρτίσω ἡμῖν." ὁρᾷς ἐν τούτοις ἀκριβῶς εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς, σαρκωθεῖσαν αὐτοῦ τὴν δύ ναμιν, τουτέστι τὸν Υἱὸν, ἵνα δυναμώσῃ τοῦτο ὅπερ ἡμῖν κατηρτίσατο σῶμα. εἰ μὴ γὰρ ἐσκήνωσεν ἐν ἡμῖν, οὐδ' ἂν ὅλως τὴν ἀπὸ φθορᾶς ἀσθένειαν ἡ τῆς σαρκὸς ἀπεδύσατο φύσις. αὐτὸς τοιγαροῦν ὑπάρχων ὁ Υἱὸς τὸ ἀγαθὸν τοῦ Πατρὸς θέλημα, τελειοῖ τὸ ἔργον αὐτοῦ, σωτηρία τοῖς πι στεύουσιν εἰς αὐτὸν ἀναδεικνύμενος. Ἀλλ' ἐρεῖ τις πρὸς τοῦτο τυχόν Εἰ αὐτός ἐστιν ὁ Υἱὸς τὸ θέλημα τοῦ Πατρὸς, ποῖον ἀπεστάλη πληρώσων θέλημα; δεῖ γὰρ ἕτερον εἶναι παρὰ τὸν πληροῦντα τὸ πληρούμενον. τί οὖν ἄρα πρὸς τοῦτό φαμεν; ἀπαιτεῖ μὲν ὄντως τῶν ὀνομάτων ἡ θέσις τῶν σημαινομένων τὴν ἑτερότητα, ἀδια φορεῖ δὲ πολλάκις ἐπὶ Θεοῦ, καὶ τὸ ἀκριβὲς ἐν τούτοις ὁ περὶ τῆς ἀνωτάτω φύσεως παραιτεῖται λόγος. λαλεῖται γὰρ τὰ περὶ αὐτῆς, οὐχ ὡς ἔχει πάντως ἀληθείας, ἀλλ' ὅπως ἂν δύναιτο διερμηνεύειν ἡ γλῶττα, καὶ οὖς κατακροᾶσθαι τὸ ἀνθρώπινον. ὁ γὰρ ἐν αἰνίγματι βλέπων, ἐν αἰνίγματι καὶ λαλεῖ. ἐπεὶ τί ποιήσεις ὅταν ὁ ἁπλοῦς ἡμῖν τὴν φύσιν εἰσβαίνῃ διπλοῦς, διὰ τοῦ λέγειν περὶ τῶν ἐξ Ἰσραήλ Καὶ τὰ τέκνα αὐτῶν διῆγον διὰ πυρὸς, "ὃ οὐκ ἐνετειλάμην αὐτοῖς "καὶ οὐκ ἀνέβη ἐπὶ τὴν καρδίαν μου." ἢ γὰρ οὐκ ἀνάγκη 1.295 τὴν καρδίαν ἑτέραν ὑπάρχειν παρὰ τὸν ἐν ᾧπέρ ἐστι; καὶ πῶς ἁπλοῦς ἡμῖν ἔτι νοηθήσεται Θεός; οὐκοῦν ἀνθρωπίνως μὲν λαλεῖται τὰ περὶ Θεοῦ· νοεῖται δὲ οὕτως, ὡς ἂν ἁρμόττοι Θεῷ, καὶ τὸ μέτρον τῆς ἡμετέρας γλώττης τὴν ἐπὶ πάντας οὐκ ἀδικήσει φύσιν. κἂν εὑρίσκηται τοιγαροῦν ὁ Υἱὸς, ὡς περί τινος ἑτέρου λέγων τοῦ θελήματος τοῦ Πατρὸς, ἀδια φορήσεις οἰκονομικῶς τῇ τῶν λόγων ἀσθενείᾳ περιτιθεὶς τὸ μὴ δύνασθαί τι μεῖζον εἰπεῖν, μήτε μὴν ἑτέρως κατασημῆναι τὸ δηλούμενον. καὶ ταῦτα μὲν εἰρήσθω πάλιν εἰς ἀπόδειξιν τοῦ νοεῖσθαι καὶ θέλημα τοῦ Πατρὸς τὸν Υἱόν· ἐν δέ γε τῷ προκειμένῳ ῥητῷ, λόγος μὲν οὐδεὶς ἀναγκάσει θέλημα νοεῖ σθαι τοῦ Πατρὸς τὸν Υἱὸν, ἀδιαφόρως δὲ μᾶλλον παρα δεξόμεθα τὴν ἐπὶ τοῖς ἀπολωλόσι βουλὴν ἀγαθήν. Οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός ἐστι καὶ ὁ θερισμὸς ἔρχεται; Δέχεται πάλιν τοῦ λόγου τὰς ἀφορμὰς ἀπὸ καιροῦ καὶ πράγματος, καὶ ἀπὸ τῶν ἐν αἰσθήσει τῇ παχυτέρᾳ πνευμα τικῶν θεωρημάτων ἀναπλάττει διήγησιν. ὥρα μὲν γὰρ ἦν χειμῶνος ἔτι κατ' ἐκεῖνο καιροῦ, ἀρτιθαλὴς δὲ καὶ νέος τῶν σπερμάτων ὁ κάλαμος μόγις μὲν τῆς ἀρούρας ἐξέφριττε· καιροῦ δὲ τεσσάρων μηνῶν διιπεύσαντος εἰς τὴν τοῦ θερί ζοντος χεῖρα πεσεῖσθαι προσεδοκᾶτο. Οὐχ ὑμεῖς οὖν φησιν οἱ ἄνθρωποί φατε ὅτι ἔτι τετράμηνός ἐστι καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ λέγω ὑμῖν ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμόν. Τουτέστιν ὀλίγον τῶν ἐπὶ γῆς πραγμάτων τὸν τῆς δια νοίας ὀφθαλμὸν ἀνοχλίσαντες, τὸν πνευματικὸν ἐπαθρεῖτε 1.296 σπόρον, ὅτι λελευκάνθισται μὲν ὡς ἐπὶ τὴν ἅλω βαδιούμενος ἤδη, καλεῖ δὲ λοιπὸν ἐφ' ἑαυτῷ τὸν ἀμητῆρα σίδηρον. ἀπὸ δὲ τῆς ὁμοιότητος τῶν ἐν ἱστορίᾳ πραγμάτων θεωρήσεις τὸ δηλούμενον· σπόρον μὲν γὰρ νοήσεις τὸν νοητὸν καὶ πληθὺν ἀσταχύων πνευματικῶν, τοὺς διὰ τῆς τῶν προφητῶν προ γεωργηθέντας φωνῆς εἰς τὴν μέλλουσαν ἀναδειχθήσεσθαι πίστιν διὰ Χριστοῦ· λευκαίνεται δὲ πέπειρός τε καὶ ἕτοιμος ἤδη πρὸς τὸ πιστεύειν γεγενημένος καὶ συμπεπηγμένος εἰς εὐλάβειαν. ὁ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ θερίζοντος σίδηρος, ὁ λαμπρός τε ἐστὶ καὶ τομώτατος τῶν ἀποστόλων λόγος, τῆς μὲν κατὰ νόμον λατρείας ἀποκείρων τοὺς ἀκροωμένους, ἐπὶ δὲ τὴν ἅλω μετα τιθεὶς, τουτέστιν, ἐπὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ· ἔνθα δὴ τριβόμενοί τε καὶ πόνοις ἀγαθοῖς ἐνθλιβόμενοι, καθαρὸς ἀποδειχθήσονται σῖτος τῆς τοῦ συνάγοντος ἀποθήκης ἐπάξιος. Ἤδη ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος ἀληθινός ἐστιν, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων. Λόγου, φησὶν, ὁ καιρὸς τοῦ καλοῦντος εἰς πίστιν, καὶ τῶν νομικῶν τε καὶ προφητικῶν κηρυγμάτων τὴν εἰς τέλος ἄφιξιν τοῖς ἀκροωμένοις ἐπιδεικνύοντος. ὁ μὲν γὰρ νόμος, ὡς ἐν σκιαῖς ταῖς ἐν τύπῳ λατρείαις, προεδήλου τὸν ἀφιξό μενον, τουτέστι Χριστόν· προφῆται δὲ μετ' αὐτὸν, τοὺς παρὰ τοῦ Πνεύματος διαπορθμεύοντες λόγους "μικρὸν ὅσον "ὅσον" καὶ ὡς ἤδη παρεσόμενόν τε καὶ ἥξοντα προεμήνυον. ἐπειδὴ δὲ εἴσω βέβηκε θυρῶν, οὐκ εἰς ἐλπίδα μακρὰν ἀνα θήσει τὸ προσδοκηθὲν τῶν ἀποστόλων ὁ λόγος, ἀλλ' ἤδη παρὸν ἐπιδείξει· καὶ θεριεῖ μὲν ἐκ νομικῆς λατρείας τοὺς ἔτι 1.297 νόμῳ δουλεύοντας, καὶ μόνῳ προσκαθημένους τῷ γράμματι, μεταθήσει δὲ δίκην δραγμάτων εἰς ἕξιν τε καὶ πολιτείαν εὐαγγελικὴν, ἀποκερεῖ δὲ ὁμοίως πολυθέου μὲν πλάνης τὸν τῶν εἰδώλων προσκυνητὴν, μετοίσει δὲ πρὸς ἐπίγνωσιν τοῦ κατ' ἀλήθειαν ὄντος Θεοῦ, καὶ τὸ σύμπαν ὡς ἕνι καὶ συλ λήβδην εἰπεῖν, τοὺς φρονοῦντας ἔτι τὰ ἐπὶ τῆς γῆς πρὸς τὴν τῶν ἀγγέλων μεταστήσει ζωὴν διὰ πίστεως τῆς εἰς Χριστόν. Ταῦτα μὲν δὴ, φησὶν, ὁ τῶν θεριστῶν ἐξεργάσεται λόγος. ἔσται δ' οὖν ὅμως οὐκ ἀμισθεὶ, συνάξει γὰρ δὴ πάντως αὐτοῖς τὸν εἰς ζωὴν αἰώνιον ἀποτρέφοντα καρπόν· καὶ οὐ δή που λαβόντες μόνοι καθ' ἑαυτοὺς εὐφρανθήσονται, ἀλλ' ὡς τοῖς τῶν προφητῶν ἐπικεκμηκότες πόνοις, καὶ τὸν παρ' ἐκείνων προγεωργηθέντα θερίσαντες σπόρον, μίαν σὺν αὐτοῖς ἐπιτελέσουσι τὴν πανήγυριν. οἶμαι δ' ἔγωγε τὸν σοφώ τατον Παῦλον, τοὺς ἐπὶ τοῖς μέλλουσι τύπους ἐκμεμαθηκότα σαφῶς, ἐντεῦθεν εἰπεῖν περί τε τῶν ἁγίων πατέρων καὶ προφητῶν, ὅτι "Καὶ οὗτοι πάντες τελειωθέντες διὰ τῆς "πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ "ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν "τελειωθῶσιν." ὁμοῦ γὰρ χρῆναι χαίρειν ἐδοκίμασεν ὁ Σωτὴρ τῷ προεσπαρκότι τὸν θεριστήν. Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. Ἤδη τὸ σύμπαν αὐτοῖς ἀποκαλύπτει μυστήριον, καὶ τὴν αἰνιγματώδη τῶν λόγων ἀποστήσας περιβολὴν ἐναργεστάτην τοῦ σημαινομένου παρίστησι τὴν διάνοιαν. φιλοπροφήτης δὲ ὢν ὁ Σωτὴρ καὶ φιλαπόστολος, οὔτε τὸν ἐκείνων πόνον ἔξω τῆς τῶν ἀποστόλων τίθησι χειρὸς, οὔτε μὴν ὁλοκλήρως ἀπονέμει τοῖς ἁγίοις ἀποστόλοις τὸ ἐπὶ τοῖς μέλλουσιν 1.298 ἀνασωθήσεσθαι καύχημα διὰ πίστεως τῆς εἰς αὐτόν· ἀνακε ράσας δὲ ὥσπερ καὶ ταῖς εἰς ἀλλήλους συνεργίαις ἀναμίξας τὸν ἑκατέρων πόνον, μίαν ἔσεσθαί φησι, καὶ μάλα εἰκότως, ἐπ' ἀμφοῖν τὴν φιλοτιμίαν. εἰσβεβηκέναι γεμὴν ἐπὶ τοῖς τῶν ἁγίων προφητῶν τοὺς ἀποστόλους διαβεβαιοῦται πόνοις, ταῖς τῶν προλαβόντων εὐκλείαις οὐκ ἐπιτρέπων ἐνάλλεσθαι, τιμᾶν δὲ μᾶλλον ἀναπείθων αὐτοὺς, ὡς ἡγησαμένους ἔν τε πόνῳ καὶ χρόνῳ· κάλλιστον δὲ δήπου καὶ ἡμῖν ὅτι δὴ πάντως ἔσται τὸ μάθημα, τίς ὁ συναινεῖν παραιτούμενος; Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. Κατακρίνεται πάλιν καὶ διὰ τούτων ὁ Ἰσραὴλ, καὶ διὰ τῆς τῶν Σαμαρειτῶν εὐπειθείας, ἀφιλομαθής τε ὁμοῦ καὶ ἀπηνὴς ἐξελέγχεται. θαυμάζει γὰρ λίαν ὁ Εὐαγγελιστὴς πολλοὺς εἰς Χριστὸν πεπιστευκέναι λέγων διὰ τὸν λόγον τῆς γυναικὸς, καίτοι τῶν διὰ νόμου παιδαγωγουμένων εἰς τὴν ἐπὶ τούτῳ γνῶσιν, οὔτε τὰς Μωυσέως παραδεξαμένων φωνὰς οὔτε τοῖς προφητῶν ὅτι πείθεσθαι χρὴ διεγνωκότων κη ρύγμασι προκατασκευάζει δὲ διὰ τούτων, μᾶλλον δὲ προ απολογεῖται σοφῶς, ὅτι χάριτός τε καὶ ἐλπίδος τῆς εἰς Χριστὸν ἐξωσθήσεται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν εὐλόγως ὁ Ἰσραὴλ, ἀντεισβήσεται δὲ τῶν ἐθνῶν ἤτοι τῶν ἀλλογενῶν ἡ εὐπειθεστέρα πληθύς. Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς. καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ. Ἐξηγεῖται μὲν ὡς ἐν ἁπλότητι λόγων, ὃ δὴ γενέσθαι συμβέβηκεν. ἑτέραν δὲ ὥσπερ ἐξαρτύει πάλιν ἀπόδειξιν, 1.299 τοῦ χρῆναι δικαίως ἀποῤῥίπτεσθαι μὲν τῆς ἐλπίδος τὸν Ἰσραὴλ, μεταμοσχεύεσθαι δὲ τοὺς ἀλλογενεῖς ἐπ' αὐτήν. Ἰουδαῖοι μὲν γὰρ θαυματουργοῦντα ποικίλως τὸν Ἰησοῦν, καὶ ἐν δόξῃ τῇ θεοπρεπεῖ διαλάμποντα, πικραῖς τε καὶ ἀφορήτοις ὑπονοίαις ὑβρίζουσι, καὶ τοσοῦτον ἐμπαροινεῖν οὐκ ἐρυθριῶντες ἁλίσκονται, ὡς ἔξοικόν τε ποιεῖσθαι καὶ πόλεως τῆς σφετέρας ἐλαύνειν ἐπείγεσθαι τὸν ἁπάσης αὐτοῖς εὐθυ μίας πρόξενον· Σαμαρεῖται δέ γε μιᾶς γυναικὸς ἀναπεπει σμένοι λόγοις, δρομαίους μὲν ὅτι χρὴ πρὸς αὐτὸν ἀφικνεῖσθαι λογίζονται. ἐπειδὴ δὲ ἧκον, ἐκλιπαροῦν ἐσπούδαζον, εἴς τε τὸ ἄστυ παρελθεῖν καὶ τὸν σωτήριον αὐτοῖς ἐπιδαψιλεύεσθαι λόγον· ἐπινεύει δὲ προχείρως εἰς ἄμφω Χριστὸς, οὐκ ἄκαρπον ἔσεσθαι τὴν χάριν εἰδώς. πολλοὶ γὰρ ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ. ἴστω δὲ πάλιν διὰ τούτων ὁ φιλόθεός τε καὶ φιλευλαβὴς, ὅτι τῶν μὲν λυπούντων αὐτὸν ἀπανίσταται Χριστὸς, ἐνοικίζεται δὲ τοῖς εὐφραίνουσι δι' ὑπακοῆς τε καὶ πίστεως ἀγαθῆς. Τῇ τε γυναικὶ ἔλεγον ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου. Ἀπὸ τῶν μειζόνων Σαμαρείταις ἡ πίστις, καὶ οὐκ ἐξ ὧν ἔτι παρ' ἑτέρων μανθάνουσιν, ἀλλ' ἐξ ὧν αὐτήκοοι γεγονότες θαυμάζουσιν. ἐγνωκέναι δέ φασιν, ὅτιπερ εἴη σαφῶς ὁ τοῦ κόσμου Σωτὴρ, πίστεως ἐνέχυρον τῆς εἰς αὐτὸν ἐλπίδος τὴν ὁμολογίαν ποιούμενοι. Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν εἰς τὴν Γαλιλαίαν. αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. Ἔξεισι μὲν ἀπὸ τῆς Σαμαρείας, κατασπείρας ἤδη τὸν 1.300 σωτήριον λόγον, καὶ γεωργοῦ τινος δίκην τὴν πίστιν ἐγκατα κρύψας τοῖς οἰκοῦσιν αὐτὴν, οὐχ ἵνα ταῖς τῶν λαβόντων καταδεσμοῖτο σιωπαῖς, ἠρεμοῦσα τρόπον τινὰ καὶ κατακε χωσμένη, ἀλλ' ἵνα δὴ μᾶλλον ταῖς ἁπάντων ἐγκαταφύοιτο ψυχαῖς, ἕρπουσά τε καὶ διικνουμένη πρὸς τὸ μεῖζον ἀεὶ, καὶ πρὸς τὴν ἐκφανεστέραν τρέχουσα δύναμιν. ἐπειδὴ δὲ διὰ μέσου κειμένην παρατρέχει τὴν Ναζαρὲτ, ἐν ᾗπερ αὐτὸν καὶ τετράφθαι λόγος, ὡς ἐντεῦθεν ἤδη καὶ ἀστὸν εἶναι δοκεῖν, καταίρει δὲ μᾶλλον εἰς τὴν Γαλιλαίαν· ἀναγκαίαν ποιεῖται τὴν ἀπολογίαν τῆς παραδρομῆς καὶ φησὶν, ὅτι μεμαρτύρηκεν αὐτὸς ὁ Ἰησοῦς ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. πεφύκαμεν γάρ πως οὐδὲν ἡγεῖσθαι τὸ σύνηθες, κἂν ὑπάρχοι μέγα καὶ τίμιον. καὶ οὐ δήπου τὰς παρ' ἐκείνων ὅτι δεήσοι θηρᾶσθαι τιμὰς ὁ Σωτὴρ ἐδοκίμαζεν, ἐν ἀνδρὸς φιλοδόξου τινὸς τάξει καὶ φιλοκομπαστοῦ, ἀλλ' ἠπίστατο σαφῶς, ὅτι τοῖς μηδόλως οἰομένοις ὅτι προσήκοι τιμᾶν τὸν διδάσκοντα, οὐδ' ἂν ἔτι γλυκύς τε καὶ εὐπαρά δεκτος ὁ τῆς πίστεως γένοιτο λόγος. παρελαύνει τοιγαροῦν εἰκότως, εἰς ὠφελουμένους οὐδὲν εἰκαίους ἀναλῶσαι πόνους οὐκ ἀξιῶν, καὶ χάριν δὲ διὰ τούτου τοῖς καταφρονοῦσι κατα τιθείς. οὐ γὰρ ἦν εἰκὸς εἰς τοσοῦτον ἐξαμαρτάνοντας νηποινὶ τοῦτο δράσειν αὐτοὺς, ὁμολογουμένου δὴ πάντως καὶ ἀναμ φισβητήτως ἔχοντος, ὡς τὴν ἐπὶ τοῖς ἐσχάτοις ἀποίσονται κόλασιν οἱ καταφρονεῖν ἐγνωκότες αὐτοῦ, καὶ τὴν οὕτως ἀξιοθαύμαστον περιπτύοντες δωρεάν. Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. Οὐκ ἀπερισκέπτως οἱ Γαλιλαῖοι δέχονται τὸν Ἰησοῦν, 1.301 ἀλλὰ καὶ αὐτοὶ δι' ὧν ἤδη θαυματουργοῦντα τεθέανται δικαίως καταπληττόμενοι, καὶ διὰ τῆς εἰς αὐτὸν εὐλαβείας τὰς τῶν Ἰουδαίων ἀπονοίας καταδικάζοντες, καὶ πολὺ πρὸς εὐγνωμοσύνην ἀμείνους τῶν νομομαθῶν εὑρισκόμενοι. Ἦλθεν οὖν πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. Ἐμφιλοχωρεῖ τοῖς εὐγνώμοσιν ὁ Χριστὸς, καὶ τοῖς ἑτοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μότερόν πως ἰοῦσι πρὸς τὴν ὧν ἂν εὖ πάθοιεν αἴσθησίν τε καὶ γνῶσιν, καὶ μειζόνων ἀγαθῶν ἐπιδαψιλεύεται χορηγίας. ἔρχεται τοίνυν τερατοποιήσων ἐν Κανᾷ, προσωφελεῖν μὲν ὅτι προσήκοι τοὺς ἐν αὐτῇ λογιζόμενος, προκατεσπαρμένην δὲ ὥσπερ, διὰ τῶν ἤδη προτετελεσμένων ἐν αὐτῇ σημείων, τὴν τοῦ πάντα δύνασθαι δρᾶν ὑπόληψιν ἔχων. Ἦν δέ τις βασιλικὸς, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καφερναούμ. οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτὸν καὶ ἠρώτα ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἔμελλε γὰρ ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν. Πρόσεισι μὲν ὁ βασιλικὸς, ὡς θεραπεύειν ἰσχύοντι· νοεῖ δὲ οὔπω κατὰ φύσιν ὄντα Θεόν· καὶ Κύριος μὲν ἀποκαλεῖ, τὸ δ' ἀληθὲς τῆς κυριότητος ἀξίωμα δίδωσιν οὐδαμῶς. ἢ γὰρ ἂν εὐθὺς ἐδεῖτο προσπεσὼν, οὐχ ἵνα δὴ πάντως ἐπὶ τὴν ἑστίαν βαδίζοι, καὶ καταβαίνοι σὺν αὐτῷ πρὸς τὸ ἀῤῥωστοῦν μειράκιον, ἀλλ' ἵνα δὴ μᾶλλον ἐξουσιαστικῶς καὶ θεοπρεπεῖ προστάγματι τὴν ἐπισκήψασαν ἐξελάσαι νόσον. τί γὰρ ἔδει παρεῖναι τῷ κάμνοντι τὸν ᾧπερ ἦν δύνασθαι διασώζειν καὶ ἀπόντι ῥᾳδίως; πῶς δὲ λίαν οὐκ ἀμαθὲς, ὅτι μέν ἐστι 1.302 θανάτου κρείττων ὑπολαμβάνειν αὐτὸν, Θεὸν δὲ ὑπάρχειν οἴεσθαι μηδαμῶς τὸν θεοπρεποῦς ἰσχύος πεπληρωμένον; Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. λέγει πρὸς αὐτὸν ὁ βασιλικός. Ἀπηνὴς μὲν ἔτι τοῖς πλανωμένοις ἐναυλίζεται νοῦς, λόγου δέ πως ἔσται τοῦ καλοῦντος εἰς πίστιν κρεῖττον τὸ θαυμα τουργότερον· διά γε τοι τοῦτο τεράτων δεῖσθαι μᾶλλον αὐτοὺς ἔφασκεν ὁ Σωτὴρ εἰς τὸ δύνασθαι ῥᾳδίως εἰς τὸ συμφέρον μεταπαιδεύεσθαι, καὶ τὸν ὄντα κατὰ φύσιν ἐπιγινώσκειν Θεόν. Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. Ὀλίγος μὲν κομιδῇ πρὸς σύνεσιν ὁ βασιλικὸς, νηπιάζει δέ πως περὶ τὴν τῆς χάριτος αἴτησιν, καὶ ἠρέμα παραληρῶν οὐκ αἰσθάνεται. οὐ γὰρ ὅτι μόνον ἰσχύσει παρὼν, ἀλλ' ὅτι δὴ πάντως καὶ ἀπὼν ἐνεργήσει πεπιστευκὼς, ἀξιοπρεπεστάτην ἂν ἐπ' αὐτῷ τὴν διάληψιν ἐποιήσατο. νυνὶ δὲ φρονῶν τε καὶ πράττων παραλογώτατα, τὴν Θεῷ μὲν ἁρμόζουσαν ἰσχὺν ἀπαιτεῖ, ὡς δὲ Θεὸν οὐκ οἴεται τὰ πάντα πληροῦν, ἀλλ' οὐδὲ θανάτου γενήσεσθαι κρείττονα, καίτοι τῷ πλείστῳ κρατηθέντα πλεονεκτεῖσθαι παρακαλῶν· ""Ἔμελλε γὰρ ἀπο "θνήσκειν" ὁ παῖς. Λέγει αὐτῷ ὁ Ἰησοῦς Πορεύου· ὁ υἱός σου ζῇ. Οὕτως ἔδει πιστεύοντα προσελθεῖν, ἀλλ' οὐ ταῖς ἡμῶν ἀμαθίαις φιλονεικῶν ὁρᾶται Χριστός· εὐεργετεῖ δὲ πάλιν καὶ πταίοντας, ὡς Θεός. ὅπερ οὖν ἔδει δρῶντα θαυμάζεσθαι, τοῦτο καὶ μὴ δεδρακότα διδάσκει τὸν ἄνθρωπον, ὁμοῦ καὶ τῶν καλλίστων εἰσηγητὴς, καὶ τῶν ἐν εὐχαῖς ἀγαθῶν χορηγὸς ἀναδεικνύμενος. ἐν μὲν γὰρ τῷ Πορεύου τὸ πιστεύειν ἐστὶν, 1.303 ἐν δὲ τῷ Ὁ υἱός σου ζῇ, τῶν ποθουμένων ἡ πλήρωσις μετὰ πολλῆς τινος καὶ θεοπρεποῦς ἐξουσίας ἐκφερομένη. Ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ καὶ ἀπήγγειλαν λέγοντες ὅτι ὁ υἱός σου ζῇ. Ἓν τοῦ Σωτῆρος ἐπίταγμα δύο παραχρῆμα θεραπεύει ψυχάς. τῷ μὲν γὰρ βασιλικῷ τὴν ἀσυνήθη πίστιν ἐνεργά ζεται, θανάτου δὲ τὸ μειράκιον ἐξέλκει σωματικοῦ. τίς δὲ πρὸ τίνος ὅλως ὑγιάζεται χαλεπὸν εἰπεῖν· ἄμφω γὰρ οἶμαι κατὰ ταὐτὸν συνέδραμον, τοῖς τοῦ Σωτῆρος ἡμῶν ἐπιτάγμασι τῆς νόσου λαβούσης τὴν λύσιν. ἀπαγγέλλουσι δὲ τὴν τοῦ παιδὸς θεραπείαν ὑπαντῶντες οἰκέται ὁμοῦ, καὶ τῶν θείων ἐπιταγμάτων ἀπολευκαίνοντες τὴν ὀξύτητα· καὶ τοῦτο δὴ μάλα σαφῶς οἰκονομοῦντος Χριστοῦ· καὶ τῷ τέλει τῆς ἐλπίδος ταχὺ βεβαιοῦντες εἰς πίστιν ἀσθενοῦντα τὸν δε σπότην. Ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐκείνην, ἐν ᾗ κομψότερον ἔσχε, καὶ εἶπον αὐτῷ ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. Ἀναπυνθάνεται παρ' αὐτῶν τὴν ὥραν τῆς ἐπὶ τὸ κρεῖττον τοῦ νοσοῦντος ῥοπῆς, εἰ συντρέχει δοκιμάζων τῷ τῆς χάριτος χρόνῳ. ἐπειδὴ δὲ οὕτως ἔχειν, καὶ οὐχ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑτέρως ἐδιδάσκετο, σώζεται πανοικὶ, τὴν τοῦ παραδόξου δύναμιν ἀναθεὶς τῷ σωτῆρι Χριστῷ, καὶ ὥσπερ τινὰ τῆς ἐπὶ τούτοις εὐχαριστίας καρπὸν ἀσφαλεστέραν προσάγων τὴν πίστιν. 1.304 Μετὰ ταῦτα ἦν ἡ ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκ δεχομένων τὴν τοῦ ὕδατος κίνησιν. ἄγγελος γὰρ Κυρίου κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι. Οὐ μάτην εὐθὺς ἐπισυνάπτει τοῖς εἰρημένοις ὁ μακάριος Εὐαγγελιστὴς τὴν ἐντεῦθεν εἰς Ἱεροσόλυμα τοῦ Σωτῆρος ἐπάνοδον· ἀλλ' ἦν αὐτῷ κατὰ τὸ εἰκὸς ἐπιδεῖξαι σκοπὸς, ὅσον μὲν ἀμείνους εἰς εὐπείθειαν Ἰουδαίων ἀλλογενεῖς, πόση δὲ ἐν ἀμφοῖν ἕξεώς τε καὶ τρόπων ὁρᾶται διαφορά. ἦν γὰρ οὕτως ἡμᾶς, καὶ οὐχ ἑτέρως, ἐκμαθεῖν ὅτι ψήφῳ δικαίᾳ τοῦ πάντων κρατοῦντος Θεοῦ, καὶ ἀνθρώπου πρόσωπον οὐκ εἰδότος λαβεῖν, ἀποπίπτει μὲν εἰκότως τῆς ἐλπίδος ὁ Ἰσραὴλ, ἀντεισφέρεται δὲ τῶν ἐθνῶν ἡ πληθύς. χαλεπὸν δὲ οὐδὲν τῇ τῶν κεφαλαίων ἀντιπαραθέσει προσβλέποντας τὴν ἐπὶ τοῖς λεγομένοις ποιεῖσθαι βάσανον. ἔδειξε τοίνυν αὐτὸν ἐν ἑνὶ μὲν σημείῳ τὴν Σαμαρειτῶν ἀνασώσαντα πόλιν, ἐν ἑνὶ δὲ ὡσαύτως ἐν τῇ Γαλιλαίᾳ τὸν βασιλικὸν, καὶ δι' ἐκείνου τοὺς ἐν αὐτῇ πάντως δήπου καὶ λίαν ὠφεληκότα. ἐπιμαρτυρήσας δὲ διὰ τούτων πολὺ τὸ πρόχειρον τοῖς ἀλλογενέσιν εἰς εὐπεί θειαν, ἀναφέρει πάλιν εἰς Ἱεροσόλυμα τὸν θαυματουργὸν, πρᾶγμα δὲ θεοπρεπὲς ἐπιτελοῦντα δεικνύει. παλαιοτάτης γὰρ παραδόξως ἐλευθεροῖ τὸν παράλυτον νόσου, ὥσπερ οὖν ἀμέλει θανατοῦντα τοῦ βασιλικοῦ τὸν υἱόν. ἀλλ' ὁ μὲν ἐπίστευσε πανοικὶ, καὶ Θεὸν ὡμολόγει τὸν Ἰησοῦν· οἱ δὲ καταπλήττεσθαι δέον φονῶσιν εὐθὺς καὶ διώκουσι 1.305 τὸν εὐεργέτην ὡς παρανομοῦντα δυσσεβῶς, αὐτοὶ καθ' ἑαυτῶν τὴν ἐπὶ τοῖς αἰσχίοσιν ὁρίζοντες ψῆφον, δι' ὧν τῆς ἐν τοῖς ἀλλογενέσι συνέσεως καὶ τῆς εἰς Χριστὸν εὐλαβείας ὀπίσω πεσόντες ἁλίσκονται. καὶ τοῦτο ἦν ἄρα τὸ περὶ αὐτῶν ἐν ψαλμοῖς εἰρημένον, ὡς πρὸς τὸν Κύριον Ἰησοῦν "Ὅτι "θήσεις αὐτοὺς νῶτον·" οἱ γὰρ πρῶτοι κατατεταγμένοι διὰ τὴν τῶν πατέρων ἐπιλογὴν, ὕστερον καὶ κατόπιν τῆς τῶν ἐθνῶν βαδιοῦνται κλήσεως· ὅταν γὰρ "τὸ πλήρωμα τῶν "ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται." Τοῦτον ἡμῖν τῶν θεωρημάτων ὠδίνει τὸν σκοπὸν τῆς τῶν κεφαλαίων συνθήκης ἡ εὔρυθμος τάξις· ποιησόμεθα δὲ κατὰ μέρος καὶ τῆς ἐν τοῖς στίχοις διανοίας ἀκριβῆ τὴν ζήτησιν. Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ· τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει. Τὴν ἐπὶ τοῖς ἀζύμοις ἑορτὴν ἐπιτελεσάντων τῶν Ἰουδαίων, ἐν ᾗ καὶ τὸ πρόβατον ἀποσφάττειν ἔθος αὐτοῖς, κατὰ τὸν τοῦ πάσχα δηλονότι καιρὸν, ἀπαίρει μὲν τῆς Ἱερουσαλὴμ, Σαμαρείταις δὲ καὶ ἀλλογενέσιν ὁ Χριστὸς ἐπιμίσγεται, καὶ διδάσκει παρ' αὐτοῖς, ἐπὶ ταῖς τῶν Φαρισαίων δυστροπίαις λελυπημένος· ὑπονοστήσας δὲ μόλις κατὰ τὸν καιρὸν τῆς ἁγίας πεντηκοστῆς· αὕτη γὰρ ἦν ἐφεξῆς καὶ γείτων ἐν τοῖς Ἱεροσολύμοις ἡ πανήγυρις· ἐπὶ τοῖς τῆς κολυμβήθρας ὕδασιν ὑγιάζει τὸν παράλυτον, μακρὸν μὲν ἐν ἀῤῥωστίᾳ δαπανή σαντα χρόνον· ἦν γὰρ δὴ καὶ ὄγδοον ἔτος ἐπὶ τριακοστῷ· πλὴν οὔπω πρὸς τὸν ἐκ νόμου τέλειον ἀριθμὸν ἀναβεβηκότα, φημὶ δὲ δὴ τὸν ἐκ δέκα τετράκις, ἤτοι τεσσαράκοντα. Ὁ μὲν οὖν τῆς ἱστορίας ἐν τούτοις ἡμῖν καταλύσει λόγος· 1.306 μετασκευαστέον δὲ πάλιν εἰς θεωρίαν πνευματικὴν τὸν ἀπὸ τοῦ γράμματος τύπον. τὸ μὲν τῆς Ἱερουσαλὴμ λελυπημένον ἀπανίστασθαι τὸν Ἰησοῦν μετὰ τὴν τοῦ προβάτου σφαγήν· Σαμαρείταις δὲ καὶ Γαλιλαίοις ἐπιφοιτᾶν, καὶ τὸν σωτήριον παρ' ἐκείνοις κηρύττειν λόγον, τί ἂν βούλοιτο σημαίνειν ἕτερον, ἢ τὴν γενομένην ἐκ τῶν Ἰουδαίων ἀναχώρησιν αὐτοῦ, μετὰ τὴν ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῷ τιμίῳ σταυρῷ σφαγήν τε καὶ θάνατον, ὅτε δὴ καὶ τοῖς ἐξ ἐθνῶν τε καὶ ἀλλογενέσιν ἑαυτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐχαρίζετο, δηλοῦσθαι κελεύων τοῖς ἑαυτοῦ μαθηταῖς μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ὅτι προάγει πάντας εἰς τὴν Γαλιλαίαν; τὸ δὲ ἐπὶ τέλει τῶν ἑβδομάδων τῆς ἁγίας Πεντηκοστῆς παλινδρομεῖν αὐτὸν εἰς Ἱεροσόλυμα, καθάπερ ἐν τύποις καὶ αἰνίγμασιν ὑποφαίνει πάλιν τὴν ἐσομένην εἰς Ἰουδαίους τῆς τοῦ Σωτῆρος ἡμῶν ἐκ φιλανθρωπίας ὑπο στροφὴν ἐν ἐσχάτοις τοῦ παρόντος αἰῶνος καιροῖς, καθ' ὅνπερ οἱ διὰ τῆς εἰς αὐτὸν ἀνασεσωσμένοι πίστεως τὰς ἐπὶ τῷ σωτηρίῳ πάθει πανσέμνους ἐπιτελοῦμεν ἑορτάς. τὸ δὲ θεραπεύεσθαι τὸν παράλυτον πρὸ καιροῦ τοῦ κατὰ νόμον τελείου, σημαίνει πάλιν ὡς διὰ τύπου τοῦ συμβεβηκότος, ὅτι δυσσεβῶς ἐμπαροινήσας ὁ Ἰσραὴλ τῷ Χριστῷ ἀσθε νήσει μὲν καὶ παραλυθήσεται καὶ μακροὺς ἐν ἀργίᾳ κατα τρίψει χρόνους, οὐ μὴν εἰς τελείαν οἰχήσεται κόλασιν, ἀλλ' ἔσται τις αὐτῷ παρὰ τοῦ Σωτῆρος ἐπισκοπὴ, καὶ ὑγιασθή σεται καὶ αὐτὸς ἐπὶ τῇ κολυμβήθρᾳ δι' ὑπακοῆς καὶ πίστεως. ὅτι δὲ τέλειος κατὰ νόμον τὸν θεῖόν ἐστιν ὁ τεσσαράκοντα ἀριθμὸς, οὐδαμόθεν ἂν γένοιτο χαλεπὸν ἐκμαθεῖν, τοῖς ἅπαξ ταῖς θείαις ὁμιλοῦσι γραφαῖς. Λέγει αὐτῷ ὁ Ἰησοῦς Θέλεις ὑγιὴς γενέσθαι; ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν. Ἀπόδειξις ἐναργὴς τῆς εἰς ἄκρον ἀγαθότητος τοῦ Χρισ 1.307 τοῦ, τὸ μὴ πάντως τὰς ἀπὸ τῶν καμνόντων ἱκετείας ἐκδέ χεσθαι, φθάνειν δὲ αὐτῶν τῇ φιλανθρωπίᾳ τὴν αἴτησιν. ἐπιτρέχει γὰρ ὡς ὁρᾷς τῷ κειμένῳ, καὶ κατοικτείρει τὸν κάμνοντα παρακλήσεως δίχα. τὸ δὲ εἰ βούλοιτο τῆς ἀῤῥω στίας ἀπαλλάττεσθαι φιλοπευστεῖν, οὐ διερωτῶντος ἦν ἐξ ἀγνοίας τὸ πᾶσιν ὁμολογουμένως καταφανὲς, ἀλλ' εἰς θερμο τέραν διανιστάντος ἐπιθυμίαν τοῦ πράγματος, καὶ πρὸς τὸ λίαν ἐσπουδασμένως αἰτεῖν παροτρύνοντος. τὸ δὲ εἰ βούλοιτο τῶν ποθουμένων τυχεῖν ἐρωτᾶν, ἔμφασίν τινα καὶ λόγον ὠδίνει τοῦ δύνασθαι παρασχεῖν, εὐτρεπῆ τε ἤδη πρὸς τοῦτο γενέσθαι, μόνην ἔτι περιμένοντα τοῦ τὴν χάριν κομιζομένου τὴν αἴτησιν. Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ γὰρ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. λέγει αὐτῷ ὁ Ἰησοῦς Ἔγειραι. Κατὰ τὴν ἡμέραν τῆς ἁγίας Πεντηκοστῆς, ἄγγελοι κατα φοιτῶντες ἐξ οὐρανοῦ τὸ τῆς κολυμβήθρας ἐξετάραττον ὕδωρ, εἶτα τὸν ἐντεῦθεν ἐποιοῦντο κτύπον τῆς ἑαυτῶν ἐπι στασίας τὸν κήρυκα. καὶ τὸ μὲν ὕδωρ ὡς ἐξ ἁγίων πνευ μάτων ἡγιάζετο· εἰ δέ τις ἔφθη προκατελθὼν τῆς τῶν νοσούντων πληθύος, τὸ συνθλίβον αὐτὸν ἀποφορτισάμενος ἀνέβαινε πάθος, εἰς ἕνα δὲ μόνον τὸν προαρπάζοντα συνεμε τρεῖτο τῆς θεραπείας ἡ δύναμις. ἀλλ' ἦν καὶ τοῦτο σημεῖον τῆς δι' ἀγγέλων νομικῆς ὠφελείας ἐφ' ἓν καὶ μόνον τὸ τῶν Ἰουδαίων γένος ἐκτεινομένης, ἕτερον δὲ ἐπ' αὐτοῖς θεραπευ ούσης οὐδένα. ἀπὸ γὰρ Δὰν τῆς καλουμένης καὶ ἕως Βηρ σαβεὲ τὰ διὰ Μωυσέως ἐλαλεῖτο προστάγματα, διακονηθέντα δι' ἀγγέλων ἐν ὄρει Σινᾷ κατὰ τὰς ἡμέρας τῆς ὕστερον ὁρισθείσης ἁγίας Πεντηκοστῆς. διὰ γάρ τοι τοῦτο, καὶ τῆς 1.308 κολυμβήθρας τὸ ὕδωρ οὐκ ἐν ἑτέρῳ συνεταράττετο καιρῷ, τὴν τῶν ἁγίων ἀγγέλων εἰς ἑαυτὸ σημαῖνον διὰ τούτου καταδρομήν. οὐκ ἔχων τοιγαροῦν ὁ παράλυτος τὸν εἰς τὸ ὕδωρ ἐξακοντίζοντα, μετὰ τοῦ συνέχοντος πάθους, καὶ τὴν τῶν θεραπευόντων ἐρημίαν ἐθρήνει λέγων Ἄνθρωπον οὐκ ἔχω, τὸν εἰς τὸ ὕδωρ κατακομίζοντα δηλαδή. τοῦτο γὰρ πάντως ἐρεῖν τε καὶ συμβουλεύειν αὐτῷ προσεδόκησε τὸν Ἰησοῦν. Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράββατον αὐτοῦ καὶ περιε πάτει. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Θεοπρεπὲς τὸ ἐπίταγμα, καὶ τῆς ὑπὲρ ἄνθρωπον δυνά μεώς τε καὶ ἐξουσίας ἐναργεστάτην ἔχον τὴν ἀπόδειξιν. οὐ γὰρ ἐπεύχεται τῷ κειμένῳ τῆς ἀῤῥωστίας τὴν λύσιν, ἵνα μὴ κατά τινας φαίνοιτο καὶ αὐτὸς τῶν ἁγίων προφητῶν, ἀλλ' ὡς τῶν δυνάμεων Κύριος ἐξουσιαστικῶς ἐπιτάττει γενέσθαι· χαίροντα μὲν οἴκαδε βαδίζειν εἰπὼν, ἐπωμάδιον δὲ ποιεῖσθαι τὸ κλινίδιον, ὑπόμνημα τῆς τοῦ θεραπεύσαντος ἰσχύος τοῖς ὁρῶσιν ἐσόμενον. πράττει δὲ παραχρῆμα τὸ προσταχθὲν ὁ νοσῶν, καὶ δι' ὑπακοῆς καὶ πίστεως τὴν τριπόθητον ἑαυτῷ πραγματεύεται χάριν. ἐπειδὴ δὲ διὰ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προλαβόντων εἰς εἰκόνα καὶ τύπον τῆς τῶν Ἰουδαίων πληθύος αὐτὸν εἰσηγά γομεν, ὡς μελλούσης ἐν ὑστέροις θεραπεύεσθαι καιροῖς· φέρε δή τι πάλιν ἐπινοήσωμεν ταῖς εἰς τοῦτο συμβαῖνον ἐννοίαις ἀναλόγως τοῖς προεξητασμένοις. Ἐν σαββάτῳ τὸν ἄνθρωπον ὑγιάζει Χριστὸς, ὑγιασθέντα δὲ παραχρῆμα, τὴν νομικὴν ἐπιτάττει παραλύειν συνήθειαν, περιπατεῖν ἀναπείθων ἐν σαββάτῳ, καὶ τοῦτο τῷ κλινιδίῳ πεφορτισμένον, καίτοι διαῤῥήδην βοῶντος τοῦ Θεοῦ δι' ἑνός που τῶν ἁγίων προφητῶν "Καὶ οὐκ ἐξοίσετε βαστάγματα 1.309 "ἐξ οἰκιῶν ὑμῶν τῇ ἡμέρᾳ τοῦ σαββάτου·" καὶ οὐ δήπου φήσειεν ἄν τις, ὅς γε σωφρονοίη, καταφρονητήν τινα καὶ ἐξήνιον τῶν θείων ἐνταλμάτων ἀποτελεῖσθαι τὸν ἄνθρωπον, ἀλλ' ὡς ἐν τύπῳ τοῖς Ἰουδαίοις φανερὸν ἐποίει Χριστὸς, ὅτι θεραπευθήσονται μὲν δι' ὑπακοῆς καὶ πίστεως ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς· τοῦτο γὰρ οἶμαι τό Σάββατον ὑποδηλοῦν, τελευταίαν οὖσαν τῆς ἑβδομάδος ἡμέραν· κομισαμένους δὲ ἅπαξ τὴν διὰ πίστεως θεραπείαν, καὶ εἰς καινότητα μεταῤ ῥυθμισθέντας ζωῆς, τὴν μὲν τοῦ νομικοῦ γράμματος παλαιό τητα παρ' οὐδὲν ἀνάγκη ποιεῖσθαι, παραιτεῖσθαι δὲ τὴν ὡς ἐν σκιαῖς αἰνιγματώδη λατρείαν καὶ τῆς Ἰουδαϊκῆς συνηθείας τὴν εἰκαίαν ἐπιτήρησιν. ἐντεῦθεν οἶμαι λαβόντα τοῦ λόγου τὰς ἀφορμὰς καὶ τὸν μακάριον ἐπιστεῖλαι Παῦλον τοῖς μετὰ τὴν πίστιν παλινδρομοῦσιν ἐπὶ τὸν νόμον "Λέγω δὲ ὑμῖν "ὅτι ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει," καὶ πάλιν "Κατηργήθητε ἀπὸ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαι "οῦσθε, τῆς χάριτος ἐξεπέσατε." Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ Σάββατόν ἐστι· καὶ οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου. Ἐπικαιρότατον οἶμαι βοᾶν ἐπὶ τούτοις "Ἰδοὺ λαὸς μωρὸς "καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς καὶ οὐ βλέπουσι." τί γὰρ ἂν γένοιτο τῶν τοιούτων ἀπαιδευτότερον, ἢ τί πρὸς ἀναι σθησίαν τὸ μεῖζον; τὸ μὲν γὰρ ὅτι προσήκοι θαυμάζειν αὐτοὺς τὴν τοῦ θεραπεύσαντος δύναμιν οὐ δέχονται κατὰ νοῦν· πικροὶ δὲ ὄντες ἐπιτιμηταὶ, καὶ μόνον εἰδότες τοῦτο καλῶς, παρανομίας ἐγκλήματι περιβάλλουσι τὸν ἄρτι καὶ μόγις τῆς μακρᾶς ἀνακύψαντα νόσου, κεῖσθαι δὲ πάλιν ἐπιτάττουσιν ἀμαθῶς, ὡς καὶ ἐν τῷ χρῆναι νοσεῖν τῆς εἰς τὸ σάββατον πληρουμένης τιμῆς. 1.310 Ὁ δὲ ἀπεκρίθη αὐτοῖς Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. ἠρώτησαν οὖν αὐτόν. Σοφωτάτην ὁ λόγος ὠδίνει τὴν ἔννοιαν, καὶ τῆς Ἰουδαίων δυστροπίας ἀποκρουστικήν. ἐπειδὴ γὰρ οὐκ ἔξεστιν ἐν σαββάτῳ, φησὶν, οἴκαδε τὴν κλίνην ἑλόντα βαδίζειν, παρα νομίας τῷ τεθεραπευμένῳ ῥάπτοντες γραφὴν, ἀναγκαίως αὐτοῖς γοργοτέραν ἀντεξάγει τὴν ἀπολογίαν, ἐκεῖνον αὐτῷ περιπατεῖν ἐντέλλεσθαι λέγων, ὃς καὶ τῆς ὑγείας ἀνεδείχθη δοτὴρ, μόνον δὲ οὐχὶ τοιοῦτόν τι φησίν Ἀξιολογώτατον, ὦ οὗτοι, φημὶ πρὸς τὸ χρῆναι τιμᾶσθαι, κἂν λυπεῖν ἐπιτάττει τὰς τοῦ σαββάτου τιμὰς, τὸν ᾧ τοσαύτη πρόσεστιν ἰσχύς τε καὶ χάρις; ὡς τὴν ἐμὴν ἐξελάσαι νόσον. εἰ γὰρ τοῦ τυχόντος ἐστὶ τὸ ἐν τούτοις διαπρέπειν ἀλλότριον, ἁρμόσει δὲ μᾶλλον ἐνεργείᾳ καὶ δυνάμει θεοπρεπεῖ, πῶς ἂν ἁμάρτοι, φησὶν, ὁ τούτων ἐργάτης; ἢ πῶς ἂν οὐ πάντως τὰ κεχαρισμένα Θεῷ συμβουλεύσειεν ὁ θεοπρεπῆ τὴν δύναμιν ἔχων; τρέφει τοίνυν ἐν ἑαυτῷ πικρὰν ὁ λόγος τὴν ἔμφασιν. Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει; ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ. μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ. Ἄπληστος εἰς μιαιφονίαν τῶν Ἰουδαίων ὁ νοῦς. διερευ νῶσι τὸν ἐπιτάξαντα, συνεπιπλέκειν αὐτὸν τῷ παραδόξως ὑγιασθέντι βουλευόμενοι· μόνος γὰρ, ὡς εἰκὸς, κινδυνεύων ἐλύπει διὰ τὸ σάββατον, ὁ βρόχους ἄρτι καὶ παγίδας ἀφύ κτους διαδραμὼν, καὶ αὐτῶν ἐξειλκυσμένος τῶν τοῦ θανάτου πυλῶν· εἰπεῖν δὲ τὸν ἰατρόν. καίτοι σφόδρα φιλοπευστοῦσιν οὐκ ἔχει, καλῶς τε καὶ οἰκονομικῶς κατακρύψαντος ἑαυτὸν 1.311 τοῦ Χριστοῦ, ἵνα τὸ παραυτίκα θερμὸν τῆς ἐκείνων ὀργῆς διεξίοι. καὶ οὐχ ὥς τι παθεῖν ὡς ἐξ ἀνάγκης δυνάμενος, εἰ μὴ βούλοιτο παθεῖν, ἐπιτηδεύει τὴν φυγὴν, ἀλλ' ἡμῖν ὑπο γραμμὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τούτῳ δὴ πάλιν ἑαυτὸν καθιστάς. Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοι τι γένηται. Οἰκονομικῶς τὰ πρῶτα λαθὼν ἐμφανίζεται πάλιν οἰκονο μικῶς, τὸν ἁρμόδιον ἑκάστῳ τηρήσας καιρόν. οὐ γὰρ ἦν τι γενέσθαι παρὰ τοῦ μὴ εἰδότος ἐξαμαρτεῖν, ὃ μὴ πάντως ἔχει λόγον ὑφ' ἑαυτῷ τὸν πρέποντα. πρόφασιν τοίνυν τῆς πρὸς αὐτὸν διαλέξεως τὸ ψυχωφελὲς ἐποιεῖτο παράγγελμα, μηκέτι πλημμελεῖν χρῆναι λέγων, ἵνα μὴ χείροσι τῶν παρῳχηκότων ἐπαλγύνοιτο κακοῖς· διδάσκει δὲ διὰ τούτων, ὡς οὐ μόνον εἰς τὴν μέλλουσαν ἔσεσθαι κρίσιν ἀποθησαυρίζει Θεὸς τοῖς ἀνθρώποις τὰ πλημμελήματα, μαστιγοῖ δὲ ποικίλως ἔτι ζῶντας ἐν σώμασι, καὶ πρὸ τῆς μεγάλης καὶ ἐπιφανοῦς ἡμέρας τοῦ πᾶσι δικάσοντος. ὅτι δὲ πολλάκις πληττόμεθα πταίοντές τε καὶ λυποῦντες τὸν Θεὸν, ἐπιμαρτυρήσει βοῶν ὁ σοφώτατος Παῦλος "Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ "ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, "οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευό "μεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν." Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ εἶπε τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦςἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. Καταμηνύει τοῖς Ἰουδαίοις τὸν Ἰησοῦν, οὐχ ἵνα τι δρᾶν εἰς αὐτὸν ἀποτολμῶντες δεινὸν δυσσεβοῦντες ἁλίσκωνται, ἀλλ' ἵν', εἴπερ βούλοιντο καὶ αὐτοὶ θεραπεύεσθαι, τὸν ἄξιο θαύμαστον εἰδεῖεν ἰατρόν. ἐπιτήρει γὰρ ὅπως οὗτος ἦν ἐκείνῳ σκοπός. οὐ γὰρ κατά τινα τῶν φιλεγκλημόνων 1.312 ἀπαγγέλλει προσελθὼν, ὅτι Ἰησοῦς ἐστιν ὁ περιπατεῖν ἐπι τάξας ἐν σαββάτῳ, ἀλλ' ὁ ποιήσας αὐτὸν ὑγιῆ. τοῦτο δὲ ἦν ἕτερόν τι ποιοῦντος οὐδὲν, ἀλλ' ἢ μόνον τὸν ἰατρὸν ση μαίνοντος. Καὶ διὰ τοῦτο ἐδίωκον οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς. Οὐχ ἁπλῆν ὁ λόγος ἔχει ἐν τούτοις τῆς Ἰουδαίων παρα νοίας τὴν ἐξήγησιν. οὐ γὰρ ὅτι διώκουσι μόνον, ἀλλ' ἐπὶ τίσι τοῦτο δρᾶν οὐκ αἰσχύνονται, κατασημαίνει πάλιν ὁ Εὐαγγελιστὴς ἐμφαντικώτατα λέγων Ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. διώκουσι γὰρ ἀμαθῶς τε καὶ δυσσεβῶς, ὡς ἀγαθοεργεῖν ἐν σαββάτῳ τοῦ νόμου διακωλύοντος, ὡς οὐκ ἐξὸν ἐλεεῖν τε καὶ κατοικτείρειν τοὺς κάμνοντας, ὡς ἀποδύ σασθαι δέον τὸν τῆς ἀγάπης θεσμὸν, τὸν τῆς φιλαδελφίας ἔπαινον, τὴν τῆς ἡμερότητος χάριν· καὶ τί γὰρ οὐχὶ τῶν ἀγαθῶν ἀποπτῦσαι κατὰ ποικίλους μὲν ἔχοι τις ἂν ἀπο δεῖξαι τρόπους, οὐκ εἰδότας Ἰουδαίους τὸν περὶ τὸ σάββατον τοῦ νομοθέτου σκοπὸν, εἰκαιοτάτην τε λίαν ἐπ' αὐτῷ ποιου μένους τὴν ἐπιτήρησιν; καὶ γὰρ ὡς αὐτὸς ἔφη που Χριστὸς, ἕκαστος αὐτῶν τὸν ἴδιον βοῦν ἤτοι τὸ πρόβατον ἀπαγαγὼν ποτίζει, καὶ "περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ "ἵνα μὴ λυθῇ ὁ νόμος Μωυσέως," εἶτα χολῶσιν "ὅτι ὅλον "ἄνθρωπον ὑγιῆ ἐποίησεν ἐν σαββάτῳ," διὰ πολλὴν ἠθῶν δυστροπίαν τε ὁμοῦ καὶ ἀπαιδευσίαν, οὐδὲ τῶν ἀλόγων τὸν κατ' εἰκόνα τὴν θείαν γεγονότα προτάττοντες, ἀλλ' ἐξεῖναι μὲν πρόβατον ἐλεεῖν οἰόμενοι δεῖν ἐν σαββάτῳ, καὶ λιμοῦ καὶ δίψης ἀπαλλάττειν ἀνεγκλήτως, παρανομίαις δὲ καὶ ταῖς 1.313 ἐπὶ τοῖς ἐσχάτοις ὑποκεῖσθαι γραφαῖς, τοὺς οἵπερ ἂν γένοιντο χρηστοί τε καὶ ἀγαθοὶ περὶ τὸν πέλας κατὰ τὸ σάββατον. Ἵνα δὴ πάλιν θεωρῶμεν αὐτοὺς οὐ μετρίως ἀνοηταίνοντας, διά τε τοῦτο δικαίως ἀκούειν ὀφείλοντας "Πλανᾶσθε μὴ "εἰδότες τὰς γραφὰς," φέρε δή τι καὶ ἐκ τῶν ἱερῶν λαβόντες γραμμάτων ἐπιδεικνύωμεν ἐναργῶς καὶ πάλαι προαναζω γραφούμενον ὡς ἐν τύπῳ τὸν Ἰησοῦν ἀδιαφοροῦντα περὶ τὸ σάββατον. οὐκοῦν ἐν γήρᾳ μακρῷ, καθὰ γέγραπται, τῶν ἀνθρωπίνων ἀποδημήσαντος τοῦ πανσόφου Μωυσέως καὶ εἰς τὰς ἄνω μεθορμισθέντος μονὰς, κρίσει καὶ ψήφῳ τοῦ πάντων κρατοῦντος Θεοῦ, τὴν ἡγεμονίαν τὴν ἐπὶ τὸν Ἰσραὴλ ἔλαχέ τε καὶ ἐκληρώσατο παῖς ὁ τοῦ Ναυῆ Ἰησοῦς. ἐπειδὴ δὲ μυριάνδρους ὁπλιτῶν ἀριθμοὺς κύκλῳ περιστήσας τῆς Ἱεριχοῦς, ἑλεῖν τε ἤδη καὶ καταστρέφειν αὐτὴν ἐβουλεύετο, σύνθημα μὲν τοῖς λευίταις ἐδίδου, κύκλῳ περιάγειν τὴν κιβωτὸν ἐφ' ὅλαις ἓξ τὸν ἀριθμὸν ἡμέραις, τῇ δὲ ἑβδόμῃ, τουτέστι κατὰ τὸ σάββατον, συναλαλάζειν ταῖς σάλπιγξι τὴν ἄμετρον τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στρατευμάτων ἐκέλευσε πληθὺν, καὶ κατε σείσθη μὲν οὕτω τὸ τεῖχος, εἰσδραμόντες δὲ εἴσω, χειροῦνται τὴν πόλιν, οὐ τὴν ἄκαιρον τοῦ σαββάτου τιμῶντες ἀργίαν, οὐδὲ τὸ νικᾶν ἐν αὐτῷ παραιτούμενοι διὰ τὸν ἐξείργοντα νόμον, ἀλλ' οὐδὲ τοῖς Ἰησοῦ στρατηγήμασιν ἀντιπράττον τες τότε, λοιδορίας δὲ παντελῶς ἐλευθέραν τοῦ ἀνδρὸς τὴν ἡγεμονίαν τηρήσαντες. καὶ ὁ μὲν τύπος ἐν τούτοις. ἐπειδὴ δὲ παρῆν ἡ ἀλήθεια, τουτέστι Χριστὸς, τὴν ἐπιτειχισθεῖσαν κατὰ τῆς ἀνθρώπου φύσεως παρὰ τοῦ διαβόλου φθορὰν καθελών τε καὶ χειρωσάμενος, εἶτα τοῦτο ποιῶν ὁρᾶται κατὰ τὸ σάββατον, ὡς ἐν προοιμίοις καὶ ἀρχῇ τοῦ πράγματος ἐν τῷ παραλελυμένῳ, δυσφοροῦσιν ἀπαιδεύτως καὶ τῆς τῶν 1.314 πατέρων εὐπειθείας καταδικάζουσι, τὴν ἐκ τῶν ἀῤῥωστημάτων ἐπήρειαν νικᾶν ἐν σαββάτῳ τὴν φύσιν οὐκ ἐπιτρέποντες, ὅσον εἰς τὸ χρῆναι διώκειν ἐπείγεσθαι τὸν Ἰησοῦν εὐεργε τοῦντα κατὰ τὸ σάββατον. Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Διαλέγεται μὲν ὡς ἐν σαββάτῳ Χριστός. τοῦτο γὰρ ἀνάγκη τό Ἕως ἄρτι δηλοῦν, ἵνα τὸν ἑαυτῇ πρέποντα λόγον ἡ τοῦ θεωρήματος δέχηται δύναμις. ἀπαιδεύτους δὲ ὄντας τοὺς Ἰουδαίους, καὶ τίς μέν ἐστι κατὰ φύσιν οὐκ εἰδότας ὁ Μονογενὴς, μόνῳ δὲ ἀνατιθέντας τῷ Θεῷ καὶ Πατρὶ τοῦ διὰ Μωυσέως νόμου τὸν ὁρισμὸν, αὐτῷ τε χρῆναι καὶ πείθεσθαι μόνῳ διαβεβαιουμένους, ἀναπείθειν πειρᾶται σαφῶς, ὅτι πάντα τῷ Πατρὶ συνεργάζεται, καὶ τὴν τοῦ γεννήσαντος φύσιν ἔχων ἐν ἑαυτῷ, διὰ τὸ μὴ ἕτερόν τι παρ' ἐκεῖνον ὑπάρχειν, ὅσον ἧκεν εἰς τὴν τῆς οὐσίας ταυτότητα, οὐχ ἕτερόν τι φρονήσει ποτὲ παρὰ τὸ τῷ φύσαντι δοκοῦν. ὡς δὲ τῆς αὐτῆς ὑπάρχων οὐσίας ταῦτα καὶ βουλεύσεται, μᾶλλον δὲ αὐτὸς ὑπάρχων ἡ ζῶσα βουλὴ καὶ δύναμις τοῦ Πατρὸς, ἐνεργεῖ τὰ πάντα ἐν πᾶσι μετὰ Πατρός. Ἵνα τοίνυν τὸν εἰκαῖον τῶν Ἰουδαίων ἀποκρούσηται γογ γυσμὸν, καὶ δυσωπήσῃ διώκοντας ἐφ' οἷς χαλεπαίνειν ἐδό κουν, ὡσανεὶ τῆς περὶ τὸ σάββατον καταφρονηθείσης τιμῆς, Ὁ Πατήρ μου φησὶν ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι. μόνον γὰρ οὐχὶ τοιοῦτόν τι κατασημαίνειν βούλεται Εἰ πιστεύεις ἄνθρωπε, νεύματί τε καὶ βουλήσει τοῦ τὰ πάντα συμπήξαντός τε καὶ τεχνησαμένου Θεοῦ τὴν κτίσιν διοικεῖ σθαι καὶ κατὰ τὸ σάββατον, ὡς ἀνίσχειν μὲν ἥλιον, ὀμβρο τόκους τε ὁμοίως ἀνίεσθαι πηγὰς, καὶ καρποὺς μὲν ἐκ γῆς ἀνατρέχειν, οὐ παραιτουμένους τὴν αὔξην διὰ τὸ σάββατον, 1.315 ἐνεργεῖν δὲ τὰ οἰκεῖα τὸ πῦρ, ταῖς τῶν ἀνθρώπων χρείαις ἀδιακωλύτως ὑπηρετοῦν· ἴσθι δὴ πάντως ὁμολογῶν ἐνεργεῖν τὸν Πατέρα τὰ θεοπρεπῆ καὶ κατὰ τὸ σάββατον. τί τοι γαροῦν ἀπαιδεύτως, φησὶν, αἰτιᾷ τὸν δι' οὗ τὰ πάντα ἐργά ζεται; ἐνεργήσει γὰρ οὐχ ἑτέρως ὁ Θεὸς καὶ Πατὴρ, ἀλλ' ὡς διὰ δυνάμεως καὶ σοφίας τοῦ Υἱοῦ. διὰ τοῦτό φησιν ὅτι κἀγὼ ἐργάζομαι· δυσωπεῖ τοιγαροῦν ταῖς εἰς ἄτοπον ἐννοίαις τὸν ἀχάλινον τῶν διωκόντων θυμὸν, οὐχ ἑαυτῷ τοσοῦτον ἀντιτείνοντας δεικνὺς, ὅσον εἰπεῖν τῷ Πατρὶ, ᾧ δὴ καὶ μόνῳ τὴν τοῦ νόμου τιμὴν ἀναγράφειν ἐσπούδαζον, οὔπω γινώ σκοντες τὸν ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ κατὰ φύσιν Υἱόν· διὰ γάρ τοι τοῦτο καὶ μοναδικῶς ἑαυτοῦ Πατέρα φησὶ τὸν Θεὸν, εὐφυέστατα χειραγωγῶν εἰς τὸ κάλλιστον δὴ τοῦτο καὶ τίμιον μάθημα. Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Ἐπιτείνεται πρὸς ἀπανθρωπίαν τῶν Ἰουδαίων ὁ νοῦς, καὶ δι' ὧν ἐχρῆν θεραπεύεσθαι, νοσοῦσι μειζόνως, ἵνα δὴ δικαίως ἀκούσειαν "Πῶς ἐρεῖτε ὅτι σοφοί ἐσμεν ἡμεῖς;" δέον γὰρ αὐτοὺς ἐξημεροῦσθαι τὴν γνώμην, λογισμῷ τῷ πρέποντι μεταποιουμένους εἰς εὐλάβειαν, καὶ φονῶσιν ἤδη κατὰ τοῦ πληροφοροῦντος διὰ πραγμάτων, ὡς οὐδὲν ὅλως εἰς τὸν θεῖον ἡμάρτηται νόμον, ὑγιασθέντος ἀνθρώπου κατὰ τὸ σάββατον. συνεπιπλέκουσι δὲ ταῖς διὰ τὸ σάββατον ὀργαῖς, ὡς βλασ φημίας ἔγκλημα τὴν ἀλήθειαν, σειραῖς τῶν οἰκείων πλημ μελημάτων εἰς ἀλύτους ὀργὰς ἑαυτοὺς κατασφίγγοντες. εὐσεβεῖν γὰρ ἐδόκουν, ἴδιον ὅτι λέγοι πατέρα τὸν Θεὸν 1.316 ἄνθρωπος ὢν ἀσχάλλοντες. οὐ γὰρ ᾔδεσάν πω τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν 1.316 δούλου μορφῇ δι' ἡμᾶς γεγονότα Θεὸν Λόγον, τὴν ἐκ Θεοῦ Πατρὸς ἀναβρύουσαν ζωὴν, τουτέστι τὸν Μονογενῆ, ᾧ δὴ καὶ μόνῳ κυρίως τε καὶ ἀληθῶς ἐπιγράφεταί τε καὶ ἔστι πατὴρ ὁ Θεὸς, ἡμῖν δὲ οὐκέτι· θετοὶ γὰρ ἡμεῖς, εἰς τὸ ὑπὲρ φύσιν ἀξίωμα διὰ τὴν τοῦ τιμήσαντος θέλησιν ἀναβαίνοντες, καὶ τὸ θεοὶ καὶ υἱοὶ καλεῖσθαι κερδαίνοντες διὰ τὸν ἐν ἡμῖν ἐνοικοῦντα Χριστὸν διὰ τοῦ Ἁγίου Πνεύματος. εἰς τὴν σάρκα τοιγαροῦν ἀφορῶντες μόνην, τὸν δὲ ἐν τῇ σαρκὶ κατοικοῦντα Θεὸν οὐκ ἐπιγινώσκοντες, οὐκ ἀνέχονται πρὸς τὸ ὑπερέκεινα τῆς ἀνθρώπου φύσεως ἀναπηδῶντος μέτρον, διὰ τοῦ πατέρα λέγειν ἑαυτοῦ τὸν Θεόν· τῷ γὰρ εἰπεῖν "Ὁ "Πατήρ μου," ταύτην ἂν εἰκότως εἰσφέροι τὴν ἔννοιαν· οἴονται δὲ δεῖν τὸν ᾧπέρ ἐστιν ἰδιαζόντως πατὴρ ὁ Θεὸς, ἴσον εἶναι κατὰ φύσιν αὐτῷ, τοῦτο δὴ μόνον νοοῦντες ὀρθῶς· ἔχει γὰρ οὕτως, καὶ οὐχ ἑτέρως. ὡς οὖν καὶ ταύτην τοῦ λόγου τὴν ἔννοιαν παρεισάγοντος, ἀγανακτοῦσι μειζόνως τὸν ὀρθὸν τῆς ἀληθείας ἐκτρεπόμενοι λόγον.

**1.317 ΚΕΦΑΛΗ** . Ὅτι οὐκ ἐλάττων κατὰ δύναμιν ἢ κατ' ἐνέργειαν τὴν ἐπί τισιν ὁ Υἱὸς τοῦ Πατρὸς, ἀλλ' ἰσοσθενής τε καὶ ὁμοούσιος, ὡς ἐξ αὐτοῦ καὶ κατὰ φύσιν. Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. ΟΠΕΡ ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν, τοῦτο πάλιν ἑτέρῳ διερμηνεύει τρόπῳ, πανταχόθεν ἐπὶ τὴν τῆς ἀληθείας εὕρεσιν σαγηνεύων τοὺς ἀκροωμένους· τὸν δὲ ἐν πρώτοις οὐ παραδεχθέντα λόγον, διὰ τὴν τῶν συνιέναι μὴ δυνη θέντων ἀσθένειαν, ἑτεροτρόπως ἀναμορφοῖ, καὶ διὰ τῶν αὐτῶν ἰόντα θεωρημάτων, εἰσφέρει ποικίλως. ἔργον δ' ἂν εἴη καὶ τοῦτο τῆς διδασκάλῳ πρεπούσης ἀρετῆς, τὸ μὴ τρέχοντα δηλονότι καὶ παριπτάμενον τῶν διδασκομένων τὴν γνῶσιν ποιεῖσθαι τὸν λόγον, ἀλλ' εὐπάρυφόν τε καὶ διαφόρως ἐξορχούμενον, καὶ τῷ τῆς φράσεως ἐξηλλαγ μένῳ, πολλάκις τὴν ἐν τοῖς θεωρήμασι ψιλοῦντα δυσχέρειαν. ἀναμίξας τοίνυν τῷ θεοπρεπεῖ τὸ ἀνθρώπινον, καὶ μέσον ἐξ ἀμφοῖν ἕνα κεράσας λόγον· ὡς ἠρέμα μὲν ὑφιζάνει τὸ τῷ Μονογενεῖ πρέπον ἀξίωμα, ἀναβαίνει δὲ τὴν ἀνθρώπου φύσιν· ὡς Δεσπότης ἅμα καὶ ἐν δούλοις κατατεταγμένος, φησίν 1.318 Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἐκεῖνος ποιεῖ ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. ἐν μὲν γὰρ τῷ δύνασθαι ποιεῖν ἀπαραλλάκτως τὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ὁμοίως ἐνεργεῖν τῷ γεννήσαντι, τῆς οὐσίας αὐτῷ μαρτυρεῖ τὴν ταυτότητα. ἐνεργήσει γὰρ ὁμοίως τὰ τὴν αὐτὴν ἀλλήλοις λαχόντα φύσιν, οἷς δὲ ὁ τοῦ πῶς εἶναι λόγος ἐξηλλαγμένος, τούτοις ἂν εἴη καὶ ὁ τῆς ἐφ' ἅπασιν ἐνεργείας τρόπος οὐχ ὁ αὐτός. οὐκοῦν ὡς Θεὸς ἀληθινὸς ἐκ Θεοῦ Πατρὸς ἀληθινοῦ, ταῦτα δύνασθαι ποιεῖν ὁμοίως ἐκείνῳ φησὶν, ἀλλ' ἵνα μὴ μόνον ἴσος ὢν ἐν δυνά μει φαίνηται τῷ Πατρὶ, ὁμογνώμων δὲ κατὰ πάντα, καὶ μίαν ἔχων αὐτῷ τὴν ἐφ' ἅπασι θέλησιν, μὴ δύνασθαι λέγει ποιεῖν ἐξ ἑαυτοῦ μηδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. Ὅμοιον δὲ ὡς εἰ λέγοι τρανώτερον πρὸς τοὺς διώκειν ἐπιχειρήσαντας, ἀνδρὸς ἐν σαββάτῳ τεθεραπευμένου Κατα λελύσθαι νομίζετε τὴν τοῦ σαββάτου τιμὴν, ἀλλ' οὐκ ἂν ἔδρασα τοῦτό ποτε μὴ οὐχὶ τὸν ὅμοιον ἐργάτην ὁρῶν τὸν Πατέρα· ἐνεργεῖ γὰρ τὰ πρὸς σύστασιν κόσμου καὶ κατὰ σάββατον, εἰ καὶ δι' ἐμοῦ. ἀδύνατον οὖν ἐμὲ, φησὶν, τὸν ἐξ αὐτοῦ κατὰ φύσιν Υἱὸν, μὴ οὐχὶ πάντως ἐν πᾶσι τὰ τοῦ Πατρὸς ἐνεργεῖν τε καὶ βούλεσθαι, οὐχ ὡς ἔξωθεν λαβόντα διδακτῶς τὸν τοῦ ποιεῖν ὑπογραμμὸν, ἢ καὶ ἐκ προαιρε τικοῦ κινήματος ἐπὶ τὸ ταὐτὸ βούλεσθαι τῷ Πατρὶ κεκλη μένον, ἀλλ' ὡς φύσεως ἀπαραποιήτου νόμοις ἐπὶ τὴν ἴσην ἀναβαίνοντα τῷ Θεῷ καὶ Πατρὶ βουλήν τε καὶ πρᾶξιν. τὸ γὰρ μὴ δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ μηδὲν, ἐν τούτοις εὖ μάλα περιορίζεται· οὕτως οἶμαι χρῆναι νοοῦντας εὐσεβῶς, αἰχμα λωτίζειν "πᾶν νόημα εἰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ὑπακοὴν τοῦ Χριστοῦ," καθὰ γέγραπται. 1.319 Ἀπειθήσει δὲ ἴσως ὁ τῇ ἀληθείᾳ μαχόμενος, καὶ τροφὴν ὥσπερ τινὰ τῆς ἑαυτοῦ δυσβουλίας ποιήσεται τὸ εἰρημένον Εἴπερ ἦν ἐν ἰσότητι, λέγων, τοῦ Πατρὸς ὁ Υἱὸς, οὐδεμίαν ἀπονέμων ὡς ἐξ ἀνάγκης αὐτῷ τὴν ὑπεροχὴν, διὰ τὸ τῆς οἰκείας φύσεως μειονέκτημα, τί τὸ πεπεικὸς οὕτως αὐτὸν ἀκατακαλύπτως εἰπεῖν, μὴ δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ μηδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα; σαφῶς γὰρ ἐν τούτοις, φησὶν, ὁμολογεῖ μηδὲν ὅλως ἐξ ἑαυτοῦ δύνασθαι ποιεῖν, ὡς εἰδὼς δηλονότι τὸν ἀμείνω καὶ ὑπερέχοντα· σὺ δὲ αὖ πάλιν ἡμῖν κατασοφίζῃ τὸν λόγον. Τί οὖν πρὸς ταῦτα καὶ παρ' ἡμῶν; Ἀνδρίζεται πάλιν εἰς δυσφημίας ὁ χριστομάχος, καὶ μεθύων ἐξ ἀπαιδευσίας οὐκ αἰσθάνεται. χρῆν γὰρ, ὦ βέλτιστε, δοκιμάζειν ἀκριβῶς τῶν εἰρημένων τὴν δύναμιν, καὶ μὴ προχείρως ἐπιπηδᾶν τοῖς ἐξ ἀμαθίας εἰσβαίνουσι λογισμοῖς. κατὰ τίνα γὰρ τρόπον τῆς ἰσότητος τῆς πρὸς τὸν Πατέρα κατακομίζειν οἴει χρῆναι τὸν Υἱὸν, διὰ τὸ φάναι μὴ δύνασθαι ποιεῖν ἐξ ἑαυτοῦ μηδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα; ἆρα γὰρ ὡς οὐκ ἔχων ἐν δυνάμει τὸ ἴσον τὰ τοιαῦτά φησι, καίτοι καὶ ἐξ αὐτῶν ἔστιν τῶν προκειμένων ἰδεῖν ἰσοσθενοῦντα τῷ φύσαντι τὸν Υἱὸν, ἤπερ ἰσχύος τῆς θεοπρεποῦς ἐπιδεᾶ; οὐ γὰρ φαίνεται λέγων Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μὴ λάβῃ τὸ δύνασθαι παρὰ τοῦ Πατρός· τοῦτο γὰρ ἦν ὄντως ἀσθεν οῦντος εἰπεῖν· ἀλλ' Ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. ὅτι δὲ διὰ τῆς ὀπτικῆς αἰσθήσεως οὐκ εἰς τὸ δυναμοῦσθαι μᾶλλον, ἀλλ' εἰς θεωρίαν τὴν τινῶν, καλεῖσθαι πεφύκαμεν, ἀντιστατήσειν οἶμαι μηδένα. οὐκοῦν τοῖς τοῦ γεννήσαντος ἔργοις ἐνατενίζειν ἑαυτὸν εἰρηκὼς ὁ Υἱὸς οὐκ ἀσθενοῦντα δεικνύει, ζηλωτὴν δὲ μᾶλλον ἤτοι θεατὴν, καὶ ὅπως ἀκρι βέστερον ἡμῖν ἐν τοῖς ἐφεξῆς εἰρήσεται. ὅτι δὲ διὰ τῆς 1.320 ἀπαραλλάκτου καὶ ὁμοιοτάτης ἐνεργείας, τῆς εἰς ἅπαντά φημι, τὸ ἴσον ἔχων ἐν δυνάμει φαίνεται, διδάξει σαφῶς ἐν τοῖς ἐφεξῆς ἐπιλέγων αὐτὸς ὡς περὶ τοῦ ἰδίου Πατρός Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ ταῦτά φησιν καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. πῶς οὖν ἐλάττων ἐστὶν, ὁ ταῖς ἰσοῤῥόποις τῷ Θεῷ καὶ Πατρὶ διαπρεπὴς ἐνεργείαις; ἆρα γὰρ ἐνεργήσει τὰ πυρὸς ἕτερόν τι παρὰ τὸ πῦρ, οὐδεμιᾶς κατὰ τὴν ἐνέργειαν θεωρουμένης ἐξαλλαγῆς; καὶ πῶς ἂν γένοιτο τοῦτό ποτε; πῶς οὖν ὁμοίως ἐργάσεται τὰ τοῦ Πατρὸς ὁ Υἱὸς, εἰ διὰ τοῦτο ἔλαττον ἔχειν τῆς ἴσης ὡς πρὸς αὐτὸν ἰσχύος ἀπολιμ πάνεται; Καὶ ταῦτα μὲν ἡμῖν, ὡς ἐκ τοῦ προκειμένου πρὸς τὸ παρὸν ἐλήφθη ῥητοῦ· ἴδωμεν δὲ πάλιν καὶ δι' ἑτέρων ἰόντες θεωρημάτων, εἰ ἐπιδέχεταί ποι τὸ ἐν δευτέροις εἶναι τοῦ Πατρὸς ἡ τοῦ Υἱοῦ φύσις· προκείσθω δὲ ὁμοίως ἡμῖν ὁ περὶ δυνάμεως λόγος. Ἆρα Θεὸν ἐκ Θεοῦ κατὰ φύσιν καὶ ἀληθινὸν, καὶ ἐκ τῆς οὐσίας ὄντως τοῦ Πατρὸς ὁμολογοῦσιν ὑπάρχειν τὸν Υἱὸν, ἢ Θεὸν μὲν εἶναί φασι, τὸ δὲ ἔξω κεῖσθαι τῆς οὐσίας τοῦ Πατρὸς, δυσσεβοῦντες προσάπτου σιν. εἰ μὲν οὖν οὐκ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι λέ γουσιν αὐτὸν, οὔτε Θεὸς ἔσται κατὰ φύσιν, οὔτε Υἱὸς ἀληθινός. τὸ γὰρ μὴ ἐκ Θεοῦ κατὰ φύσιν ὑπάρχον, οὐδ' ἂν ὅλως νοοῖτο κατὰ φύσιν Θεὸς, ἀλλ' οὐδὲ Υἱὸς εἰ μὴ ἐκ τῆς οὐσίας γεννηθῇ τοῦ Πατρὸς, νόθον δὲ ἡμῖν καὶ πρόσ φατόν τινα παρεισάγουσι θεόν. εἰ δὲ τοῦτο μὲν οὐκ ἐροῦσι, τὴν ἐν τοῖς οἰκείοις δόγμασιν ἀτοπίαν ἐρυθριάσαντες, δώσουσι δὲ ἀληθῶς ἐκ Πατρὸς ὑπάρχειν τὸν Μονογενῆ, καὶ εἶναι Θεὸν κατὰ φύσιν καὶ ἀληθινῶς· πῶς ἐν ἐλάττοσιν ἔσται τοῦ Πατρὸς, ἢ πῶς ἀτονήσει περί τι, καὶ οὐχὶ τῆς τοῦ 1.321 τεκόντος οὐσίας κατηγορήσει τὸ πρᾶγμα; εἰ γὰρ ὅλως ἀσθενεῖν ἐνδέχεται τὸν κατὰ φύσιν ὄντα Θεὸν, τί τὸ κωλύον ἐστὶ τοῦτο παθεῖν τὸν Πατέρα, ἐχούσης ἅπαξ τὸ δύνασθαι παθεῖν τῆς θείας καὶ ἀῤῥήτου φύσεως, καὶ οὕτως ἤδη φαινο μένης ἐν Υἱῷ κατὰ τὸν ἐκείνων λόγον; οὐκοῦν οὐδὲ ἀπαθὲς διὰ τοῦτο τὸ θεῖον, ἀλλ' οὐδὲ ἐν ταυτότητι καὶ ἀμεταβλήτῳ κείσεται πάντως μακαριότητι. εἶτα τίς, εἰπέ μοι, τῶν τὰ τοιαῦτα δοξαζόντων ἀνέξεται; τίς δὲ τῆς θείας βοώσης γραφῆς, ὅτι Κύριος τῶν δυνάμεών ἐστιν ὁ Υἱὸς, οὐ καταναρ κήσει λέγων, δυναμοῦσθαι χρῄζειν αὐτὸν, καὶ ἀτελῆ κατὰ τοῦτο ὑπάρχειν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὃ κυρίως καὶ μόνῳ πρόσεστιν αὐτῷ μετὰ Πατρὸς καὶ Ἁγίου Πνεύματος; Ἐρεῖ δὲ πάλιν ἡμῖν ὁ δι' ἐναντίας Κατὰ τοῦτό φαμεν ὑπερκεῖσθαι τοῦ Υἱοῦ τὸν Πατέρα. ὁ μὲν γάρ ἐστι τῶν ἔργων προκαταρκτικὸς, ὡς ἔχων ἔν τε τῇ δυνάμει καὶ ἐν τῷ πάντα εἰδέναι τὸ τέλειον· ὁ δὲ πρότερον γίνεται θεατὴς, εἶθ' οὕτως ἐργάτης τῆς τοῦ Πατρὸς ἐνεργείας ἀναματτόμενος εἰς ἑαυτὸν τὴν μίμησιν, ἵνα διὰ τῆς τῶν ἔργων ὁμοιότητος καὶ αὐτὸς νοῆται Θεός· τοῦτο γὰρ ἡμᾶς ἐκδιδάσκει λέγων, μὴ δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ μηδὲν ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. τί φῂς ὦ πάντολμε σύ; τῆς τοῦ Πατρὸς ἐνερ γείας ἀναμάττεται τοὺς τύπους εἰς ἑαυτὸν ὁ Υἱὸς, ἵνα διὰ τούτου νοῆται Θεός; διδακτῶς οὖν ἔσται Θεὸς, καὶ οὐκέτι κατὰ φύσιν· ὥσπερ δὲ ἐν ἡμῖν ἐπιστήμη καὶ τέχνη τυχὸν, οὕτως ἄρα ἐν αὐτῷ ἐστι τὸ ἀξίωμα, καὶ τεχνίτης μᾶλλόν ἐστι τῶν τῆς θεότητος ἔργων ἢ Θεὸς ἀληθινός· ἕτερος δὲ δήπου πάντως αὐτὸς παρὰ τὴν ἐν αὐτῷ τέχνην, κἂν ὑπάρχῃ θεοπρεπής. πῶς οὖν ἄρα τὸν τῶν τῆς θεότητος ὅρων ἐκβε βηκότα, καὶ ἐν μόνῃ τῇ τέχνῃ φοροῦντα τὴν δόξαν, προσ κυνοῦσι μὲν ἄγγελοι κατ' οὐρανὸν, προσκυνοῦμεν δὲ καὶ ἡμεῖς ἀνεγκλήτως, τὸ μὴ χρῆναι λατρεύειν ἑτέρῳ παρὰ τὸν 1.322 ὄντως ὄντα Θεὸν τῆς ἁγίας νομοθετούσης ἡμῖν γραφῆς; "Κύριον γὰρ τὸν Θεόν σου φησὶ, προσκυνήσεις, καὶ αὐτῷ "μόνῳ λατρεύσεις." ἀλλ' οὐκ ἂν ἀπεσφάλη τοῦ πρέποντος ἡ ἁγία μάλιστα τῶν ἀγγέλων πληθὺς, προσκυνεῖ δὲ τὸν Υἱὸν καὶ λατρεύει μεθ' ἡμῶν, κατὰ φύσιν ὄντα Θεὸν ἐπι γινώσκουσα, καὶ οὐ διδακτῶς, ὡς ἐκεῖνοι ληροῦντές φασιν· οὐ γὰρ αἰσθάνονται, κατὰ τὸ εἰκὸς, ὅσοις ἐντεῦθεν περιπε σοῦνται τοῖς ἀτοπήμασι. πρῶτον μὲν γὰρ ὁ Υἱὸς ἀλλοίωσίν τε καὶ τροπὴν τὴν ἐπὶ τὸ μεῖζον ὡς ἐξ ἐλάττονος ἐπιδέξεται, καίτοι διὰ τοῦ προφήτου λέγων αὐτός "Ἴδετε, ἴδετε ὅτι ἐγώ "εἰμι, καὶ οὐκ ἠλλοίωμαι·" διαψεύσεται δὲ πάντως καὶ ὁ ψαλ μῳδὸς ἐν πνεύματι, "Σὺ δὲ ὁ αὐτὸς εἶ," βοῶν πρὸς τὸν Υἱόν. περιμένει γὰρ, ὡς ἐκεῖνοί φασιν, ἐνεργοῦντα τὸν Πατέρα περί τι τῶν ὄντων, οἱονεὶ καθηγητήν τινα καὶ διδάσκαλον, ἵνα θεωρήσας γένηται μιμητής· εἶτα πῶς ὁ τοιοῦτος οὐκ ἄν τῳ δόξαι λοιπὸν ἐξ ἀγνοίας τῆς τινῶν ἀναβαίνειν εἰς γνῶσιν, καὶ ἀπὸ τοῦ χείρονος μετατρέπεσθαι πρὸς τὸ ἄμεινον, εἴπερ εἶναι λογιούμεθα τὸ εἰδέναι τι τῶν ἀγαθῶν τοῦ μὴ εἰδέναι κάλλιον; Εἶτα τί πρὸς τούτοις ὁρᾶται τὸ ἄτοπον; λεγόντων ἡμῖν οἱ παιδευτὴν, ἢ Πατέρα μᾶλλον εἰσφέροντες τὸν Θεόν Πότε ρόν ποτε τῶν ἔργων τοῦ Πατρὸς ἐν ἀγνοίᾳ καθεστηκὼς ὁ Υἱὸς περιμένει τὸ ἰδεῖν, ἢ τὴν ἐπὶ τούτοις γνῶσιν ἔχων ἀκριβεστάτην; εἰ μὲν οὖν εἰδότα περιμένειν ἐροῦσιν αὐτὸν, περιττότατόν τι ποιοῦντα σαφῶς ἐπιδείξουσι, καὶ εἰκαιοτάτου πράγματος ἐπιτηδευτὴν τὸν Πατέρα· ὁ μὲν γὰρ, ὅπερ οἶδεν ἀκριβῶς, ὡς ἀγνοῶν ἐπισκέπτεται, ὁ δὲ τὸν εἰδότα διδάσκειν ἐπιχειρεῖ· καὶ τίνι τῶν ὄντων οὐκ ἔσται καταφανὲς, ὅτι τῆς ἐσχάτης γελοιότητος εἴσω κείσεται τὰ τοιαῦτα; ἀλλὰ τοῦτο μὲν οὐκ ἐροῦσι τυχόν· μεταβήσονται δὲ πρὸς τὸ ἐναντίον. 1.323 περιμένειν γὰρ αὐτὸν ἀναγκαίως ἐνεργοῦντα διαβεβαιώσονται τὸν Πατέρα πρὸς τὸ θεωρήσαντα μαθεῖν. πῶς οὖν οἶδε "τὰ "πάντα πρὶν γενέσεως αὐτῶν;" ἢ πῶς ἀληθεύσει λέγων αὐτὸς περὶ ἑαυτοῦ "Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ "οὐχὶ Θεὸς πόῤῥωθεν· μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;" πῶς δὲ οὐκ ἄτοπόν τε καὶ ἀμαθὲς τὸ μὲν Πνεῦμα πιστεύειν ἐρευνᾶν τε καὶ εἰδέναι τὰ βάθη τοῦ Θεοῦ, τὸν δὲ τοῦ Πνεύματος χορηγὸν ἐν ἀγνοίᾳ καθεστάναι νομίζειν τῶν ἔργων τοῦ Πατρὸς καὶ τοῦ ἰδίου Πνεύματος, ὅσον εἰς γνῶσιν ἀπολιμπάνεσθαι; ἆρα γὰρ οὐκ ἀποβαλεῖ καὶ τὸ εἶναι σοφία λοιπὸν ὁ Υἱὸς, ἐπείπερ ὅλως ἀγνοεῖ καὶ λαμβάνει διὰ μαθήσεως; σοφίας γὰρ μᾶλλον ἔσται δεκτικὸς ἤπερ αὐτὸ κατὰ φύσιν σοφία. σοφία γὰρ τὸ σοφοῦν, οὐ τὸ σοφοῦσθαι πεφυκὸς, ὥσπερ οὖν ἀμέλει καὶ φῶς τὸ φωτίζον, οὐ τὸ φωτίζεσθαι πεφυκός. οὐκοῦν ἕτερόν τι πάλιν αὐτὸς παρὰ τὴν ἐν αὐτῷ σοφίαν, καὶ πρῶτον μὲν οὐχ ἁπλοῦς, ἀλλ' ἐκ δύο λοιπὸν συγκείμενος· εἶτα πρὸς τούτῳ, καὶ τὸ εἶναι Θεὸς ἀπολέσει, Θεὸν δέ φημι κατὰ φύσιν καὶ οὐσιωδῶς· μαθήσεως γὰρ τῆς ἀπό τινος ὅλως καὶ διπλόης τῆς κατὰ σύνθεσιν ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεία φύσις οὐκ ἀνέχε ται, καὶ τὸ ἁπλοῦν ὡς ἴδιον ἀγαθὸν καὶ τὸ παντέλειον ἔχουσα. καὶ εἰ μὴ ἔστι Θεὸς κατὰ φύσιν ὁ Υἱὸς, πῶς τὰ μόνῳ πρέποντα τῷ Θεῷ καὶ ἐνεργεῖ καὶ ἐργάζεται; ἆρα γὰρ ἐξαρκέσειν ἐροῦσιν αὐτῷ καὶ πρὸς δύναμιν τὴν θεοπρεπῆ, τὸ μόνον ἰδεῖν ἐνεργοῦντα τὸν Πατέρα, καὶ διὰ ψιλῆς ἀπο κερδαίνει τῆς θέας τὸ εἶναι κατὰ φύσιν Θεὸς, καὶ τοσαῦτα δύνασθαι ποιεῖν, ὅσαπερ ἂν καὶ ὁ δεικνύων αὐτῷ; οὐδὲν οὖν ἄρα τὸ κωλύον ἐστὶ, καὶ πολλοὺς ἡμῖν ἑτέρους ἀναδει χθῆναι θεοὺς, ἐθελήσαντος καὶ αὐτοῖς ἐπιδεῖξαι τοῦ Πατρὸς τῶν οἰκείων ἔργων τὴν ὁδὸν, καὶ ἐν τῷ μαθεῖν τι περιττὸν 1.324 τῆς τοῦ Πατρὸς οὐσίας κείσεται τὸ ἐξαίρετον· ὁ γὰρ διδακτὸς, ὡς ἐκεῖνοί φασιν, εἰς ἀξίωμα τὸ τῆς κατὰ φύσιν θεότητος ἀναδραμὼν εὑρίσκεται λέγων "Ἐγὼ καὶ ὁ Πατὴρ "ἕν ἐσμεν· ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα." Ἀναμετρείτωσαν τοίνυν ὅσος αὐτοῖς δυσφημίας ὄχλος ἐκ τοῦ τοιῶσδε νοεῖν ἐθέλειν ἐπισωρεύεται, καὶ φρονείτωσαν ἀληθῆ περὶ τοῦ Υἱοῦ καθὰ γέγραπται. οὔτε γὰρ ἐκ θεωρίας τῆς ἐν τοῖς ἀποτελέσμασι τοῦ Πατρὸς, οὔτε μὴν ὡς προ καταρκτικῶς ἐν τοῖς ἔργοις ἔχων αὐτὸν, ποιητής ἐστιν ἢ θαυματουργὸς, καὶ διὰ τοῦτο Θεὸς ὁ Υἱὸς, ἀλλ' ὅτι φυσικὸς ὥσπερ τις αὐτὸν ἀποφέρει νόμος ἐπὶ τὴν τοῦ γεννήσαντος ἀπαράλλακτον ὁμοιότητα, εἰ καὶ διὰ τῆς τῶν ἔργων ἀνελ λιποῦς ἐμφερείας ἀναλάμπει καὶ φαίνεται. παραθέντες δὲ καὶ εἰσαῦθις, εἰ δοκεῖ, τὸ τοῦ λόγου κεφάλαιον, καὶ δριμυτέ ραις ἐρεύναις αὐτὸ βασανίζοντες, θεωρῶμεν ἀκριβῶς, τίς ἂν εἴη λοιπὸν τῶν λεγομένων ἡ δύναμις, καὶ ὅπως προσήκει νοοῦντας εὐσεβεῖν, ἤδη περισκεπτώμεθα. οὐκοῦν Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναταί φησιν ἀφ' ἑαυτοῦ ποιεῖν ὁ Υἱὸς οὐδὲν ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Ὁρᾷς ὅπως καὶ διὰ τῆς ἐν τοῖς ἔργοις ἀπαραλλάκτου ταυτότητος, ὅμοιον ἑαυτὸν κατὰ πάντα δεικνύει τῷ Πατρὶ, ἵνα δὴ φαίνηται διὰ τούτου καὶ τῆς οὐσίας αὐτοῦ κληρο νόμος; ὡς γὰρ ἀναγκαίως τε καὶ ἀναντιῤῥήτως νοηθησο μένου Θεοῦ κατὰ φύσιν ὑπάρχειν τοῦ τὴν ἴσην ἐνέργειαν ἔχοντος τῷ Θεῷ καὶ Πατρὶ, τὰ τοιαῦτά φησιν ὁ Σωτήρ. σκανδαλιζέσθω δὲ μηδεὶς, ὅταν φαίνηται λέγων οἰκονομικῶς, μὴ δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ μηδὲν ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. ὡς γὰρ ἤδη τὴν τοῦ δούλου μορφὴν 1.325 περικείμενος καὶ ἄνθρωπος γενόμενος διὰ τὸ ἑνωθῆναι σαρκὶ, οὐκ ἐλευθέραν οὐδὲ ἀνειμένην παντελῶς εἰς θεοπρεπῆ παῤ ῥησίαν ἐποιεῖτο τὴν διάλεξιν· ἐχρῆτο δὲ μᾶλλον τοιαύτῃ δι' οἰκονομίαν ἔσθ' ὅτε, ἥπερ ἂν πρέποι Θεῷ τε ὁμοῦ καὶ ἀνθρώπῳ· καὶ γὰρ ἦν ὄντως κατὰ ταὐτὸν ἀμφότερα. Εἷς μὲν δὴ λόγος οὗτος ἀληθής· οἶμαι δὲ δεῖν καὶ ἑτέρῳ πάλιν ἐπεξηγεῖσθαι τρόπῳ τὸ προκείμενον, καὶ ὀξύτερόν πως τῇ τοῦ θεωρήματος ἀκριβείᾳ προσβαλεῖν. οὐ δύναταί φησιν ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. τό Οὐ δύναται ἤτοι τὸ ἀδύνατον κατηγορεῖται τινῶν, ἤτοι τῶν ὄντων τισὶν ἐπιφέρεται. τοῦτο γὰρ δὴ τὸ κατηγορεῖσθαι, φαμὲν, οὐχὶ πάντως ἀνάγκης οὐδὲ ἀσθενείας ἐστὶ σημαντικόν· διδάσκει δὲ πολλάκις καὶ φύσεων ἑδραιό τητα καὶ οὐσιῶν ἀκλόνητον στάσιν, τὴν ἐφ' οἷς ἤ ἐστιν ἢ γέγονεν ἑκάστη τῶν σημαινομένων, καὶ ἅπερ οἶδε φυσικῶς τε καὶ ἀμεταθέτως ἐνεργεῖν. ἡκέτω δὲ εἰ δοκεῖ καὶ διὰ παρα δειγμάτων ὁ λόγος· ὅταν ἄνθρωπος εἴπῃ τυχὸν, ἄπηχύ τε εἰκὸς καὶ βαρὺ μὴ δύνασθαί ποι διακομίζειν ξύλον, τῆς ἐνούσης αὐτῷ ἀσθενείας κατηγορεῖ· ὅταν δέ τις ἕτερος εἴπῃ Ἄνθρωπος ὢν λογικὸς κατὰ φύσιν, καὶ ἐκ λογικοῦ κατὰ φύσιν γεγεννημένος πατρὸς, οὐ δύναμαι ποιεῖν ὥσπερ ἴδιόν τι καὶ ἀπ' ἐμαυτοῦ, ὃ μὴ βλέπω προσπεφυκὸς τῇ τοῦ γεννή σαντος φύσει, τότε τό Οὐ δύναμαι τὴν τῆς οὐσίας ἑδραιότητα καὶ τὸ ἀμετάπτωτον εἰς ἕτερόν τι παρ' ὅπερ ὑπάρχει δηλοῖ. οὐ δύναμαι γὰρ, φησὶν, ἀπ' ἐμαυτοῦ μὴ εἶναι ζῷον λογικὸν, τῶν τῇ φύσει προσόντων κατευμεγεθήσας πλεονεκτημάτων· οὐ γὰρ ὁρῶ τὸ δύνασθαι τοῦτο παθεῖν ἐν τῇ τοῦ τεκόντος φύσει· κατὰ τοῦτον οὖν ἄρα τὸν τρόπον ἀκούσῃ λέγοντος τοῦ Χριστοῦ Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν ἐὰν μή 1.326 τι βλέπῃ τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατέρα ποιοῦντα. μὴ ἐπιτιμᾶτε γὰρ, φησὶ, τοῖς ἔργοις τοῦ Υἱοῦ· τὴν γὰρ τοῦ τεκόντος αὐτὸν ὡς ἐν ἰδίαις ἐννοίαις ἤτοι φυσικοῖς κινήμασιν ἀναθεωρῶν οὐσίαν, ὧνπερ ἂν ἴδοι πρεπόντως ἐργάτιν αὐτὴν, ταῦτα δὴ πράττει, καὶ ἕτερον οὐδὲν, παθεῖν τι τῶν παρὰ φύσιν διὰ τὸ ἐξ αὐτῆς ὑπάρχειν οὐ δυνάμενος· οἷον, ἔχει τὸ θέλειν ἐλεεῖν ἡ τοῦ Πατρὸς φύσις· τοῦτο δὴ καὶ ἐνυπάρχον αὐτῇ θεωρῶν ὁ Υἱὸς, ὡς ἐξ αὐτοῦ φυσικῶς, ἐλεήμων ἐστὶν, οὐ δυνάμενος ἕτερόν τι παρ' ὅπερ ἐστὶν ἐκείνη γενέσθαι. ἔχει γὰρ ἐκ Πατρὸς, ὥσπερ τὴν οὐσίαν, οὕτω καὶ τὰ τῆς οὐσίας ἀγαθά· ἁπλῶς δὲ δῆλον ὅτι καὶ ἀσυνθέτως ὡς Θεός· διάτοι τοῦτο τοῖς πρώτοις ἐπιλέγει σοφῶς Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ· ὅλην, ὡς ἔπος εἰπεῖν, τὴν περίνοιαν τοῦ μὴ δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ μηδὲν ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα, συνάγων ἐν τούτοις. ἀναλογιζόμενος δὲ τὴν αἰτίαν, ἐφ' ᾗ τὰ τοιαῦτά φησιν ὁ Υἱὸς, ἀκριβέστερον τοῖς παρ' ἡμῶν εἰρημένοις ἐπιστήσεις τὸν νοῦν. Οὐκοῦν ἐπειδήπερ ἐν ἡμέρᾳ σαββάτου τὸν παράλυτον ἠλέει, διώκειν αὐτὸν ἐπεχείρουν οἱ Ἰουδαῖοι· δυσωπεῖ δὲ αὐτοὺς ὁ Χριστὸς, ἐλεοῦντα δεικνὺς τὸν Θεὸν καὶ Πατέρα κατὰ τὸ σάββατον. οὐ γὰρ ᾠήθη δεῖν ἀποκωλῦσαί ποτε τὰ ὅσα πέρ ἐστιν εἰς σωτηρίαν τὴν ἡμετέραν συντείνοντα· καὶ δὴ καὶ ἔφασκεν ἐν ἀρχαῖς "Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, "κἀγὼ ἐργάζομαι." ἐπειδὴ δὲ καὶ ἀσχάλλοντες πρὸς ταῦτα διὰ πολλὴν ἐφαίνοντο δυσβουλίαν, ἐπιλέγει πάλιν Οὐ δύνα ται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. ἐπειδὴ γὰρ οὐ παραιτεῖται, φησὶν, ὁ Πατὴρ ἐλεεῖν ἐν σαββάτῳ, βλέπων ὄντα διὰ παντὸς φιλοικτίρμονα, ταύτῃτοι κἀγὼ διὰ παντὸς ἐλεῶ, καινοτομῆσαί πως τοῦ Πατρὸς τὴν 1.327 οὐσίαν ἐν ἐμαυτῷ μὴ δυνάμενος, διὰ τοῦ με φαίνεσθαι καὶ εἶναι τοιοῦτος, ὁποῖός ἐστι κατὰ φύσιν αὐτός· ἐνεργῶ γὰρ πάντως ὡς ἐξ αὐτοῦ, τὰ αὐτοῦ. Τὸ δὲ λέγειν προκαταρκτικὸν τῶν ἔργων τὸν Πατέρα ὑπάρχειν, ἀμαθίας τῆς ἐσχάτης οὐκ ἀμοιρήσει. πῶς γὰρ ἂν αὐτὸς ἰδίᾳ καὶ μόνος προκατάρξαιτό ποτε, δύναμιν ἔχων τὴν ἐφ' ἅπασιν ἐνεργητικὴν τὸν Υἱὸν, συνυπάρχοντα μὲν ἀϊδίως αὐτῷ, θελήσεως δὲ τῆς ἐπί τι καὶ κινήσεως τῆς κατ' ἐνέργειαν τὴν ἐπί τισιν ἐκφαντικόν. καὶ εἰ περιμένειν αὐτὸν τὴν ἐφ' ἑκάστῳ τῶν ἔργων ἰδικὴν ἐνέργειαν τοῦ Πατρὸς ἀπαιδεύτως διισχυρίζονται, πρὸς τὸ ἴσον ἀπομιμήσασθαι, δεικνύτωσαν ἡμῖν ἰδίᾳ καὶ καθ' ἑαυτὸν ἐργασάμενόν τι τὸν Πατέρα πώποτε, ἢ καὶ ποῖον αὐτὸς προθεραπεύσας παρά λυπον, δέδωκεν ὡς ἐν τύπῳ τὸ πρᾶγμα τῷ γεννήματι. Ὁ γὰρ Πατὴρ φιλεῖ τὸν Υἱόν. Ἀσυνέτως ἐξαγριουμένους εἰς εἰκαίαν ὀργὴν, τοὺς οἵπερ ἦσαν δυσσεβοῦντες εἰς αὐτὸν ἀφυλάκτως διὰ τὸ σάββατον ἐξελέγχει Χριστὸς, ἐναργεστάτην τοῦ πράγματος ποιούμενος τὴν ἀπόδειξιν διὰ τοῦ φιλεῖσθαι λέγειν παρὰ τοῦ ἰδίου γεννήτορος. εἰ γὰρ ὅλως φιλεῖ τὸν Υἱὸν ὁ Πατὴρ, οὐ λυποῦντα δῆλον ὅτι φιλεῖ, κατευφραίνοντα δὲ μᾶλλον ἐφ' οἷς ἂν ποιῇ καὶ ἐργάζηται. μάτην οὖν ἄρα διώκουσι τὸν ἐλεεῖν ἐν σαββάτῳ μὴ παραιτούμενον, καὶ ταῖς τοῦ Θεοῦ καὶ Πατρὸς ἀντιτείνοντες ψήφοις διὰ τούτου πάλιν ἁλίσκονται. χρῆναι γὰρ οἴονται μισεῖν, ὃν αὐτὸς ἀγαπᾷ, δῆλον δὲ δήπου πάντως ἐστὶν, ὡς οὐκ ἂν ἠγάπησέ ποτε τὴν τοῦ τεκόντος αὐτὸν παρατρέχοντα βούλησιν, καὶ ἰδίᾳ καὶ μόνον ὅπερ ἂν αὐτὸς ἐθελήσαι ποιεῖν εἰθισμένον. ἐπειδὴ δὲ δικαίως ἀγαπᾷ, συναινεῖ δηλονότι καὶ συγκατανεύει τοῦ σαββάτου τὴν λύσιν, 1.328 καὶ οὐδὲν ἔχουσαν ἐπιδεικνύει τὸ ἐφ' ᾧπερ ἂν εἰκότως ἀγα νακτῆσαι Θεὸς ὁ τοῦ νόμου Κύριος. Καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ. Ἀναγκαίως καὶ ταῦτα τοῖς προλαβοῦσιν ἐπάγει, καὶ διὰ ποίαν αἰτίαν, ἐρῶ δὴ πάλιν. πατέρες μὲν γὰρ οἱ παρ' ἡμῖν, φυσικαῖς ἔσθ' ὅτε φιλοστοργίαις ἡττώμενοι, καὶ λυπούντων ἀνέχονται τῶν υἱῶν, καὶ τοῖς παρὰ γνώμην ἐπιχειροῦντας ὁρῶντ[ε]ς ἀνεξικακοῦσι πολλάκις. δριμὺς γάρ τις αὐτοῖς ὁ περὶ παῖδας ἐνῴκισται πόθος, πᾶσαν ἀναπείθων τὴν ἐπ' ἐκείνοις μικροψυχίαν πλεονεκτεῖν. ἀλλ' οὐχ οὕτως, φησὶν, ἀγαπᾷ τὸν Υἱὸν ὁ Θεὸς καὶ Πατήρ· οὐ δύναται γάρ τι ποιεῖν, ὃ μὴ πέφυκεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐργάζεσθαι καὶ αὐτός· ὡς δὲ μίαν ἔχων πρὸς αὐτὸν τὴν οὐσίαν, φυσικοῖς τισιν, ἵν' οὕτως εἴπωμεν, νόμοις πρὸς ἀπαράλλακτον καλεῖται θέλησίν τε καὶ δύναμιν. οὐδὲν οὖν ἄρα, φησὶ, παρὰ τὸ τῷ τεκόντι δοκοῦν ἢ πρέπον ὁ Υἱὸς ἐργάζεται, οὐδὲ τῆς τοῦ Πατρὸς ἀγάπης καταπερπερεύεται, φιλόκαινός τις ὑπάρχων ἐν τοῖς ἔργοις καὶ ἐξήνιος, ἀλλ' ὧνπερ ὄντα θεάσαιτο ποιητὴν, ὡς ἐν ἐννοίαις δὲ πάλιν, ταῦτα δὴ πάντως ἐπιτελεῖ τῇ ταυ τότητι τῆς οὐσίας εἰς τὸ μηδαμοῦ παρεκπίπτειν τὸ Θεῷ πρέπον διακρατούμενος. τροπῆς γὰρ τῆς ἐπί τι καὶ ἀλλοιώ σεως ἀμοιρεῖ· μένει δὲ "ὁ αὐτὸς" ἀδιαλείπτως, ὡς ὁ ψαλ μῳδός που φησί. δεικνύει δὲ πάλιν ὁ Πατὴρ τῷ Υἱῷ ἃ αὐτὸς ποιεῖ, οὐ καθάπερ ἐν πίνακι διαγεγραμμένα παρατιθεὶς, ἢ ὡς ἀγνοοῦντα διδάσκων· πάντα γὰρ οἶδεν ὡς Θεός· ἀλλ' ὅλον ἑαυτὸν ἐν τῇ τοῦ γεννήματος φύσει ζωγραφῶν, καὶ τὰ ἰδίως αὐτῷ προσπεφυκότα δεικνύων ἐν ἑαυτῷ, ἵνα ἐξ ὧν 1.329 αὐτὸς ὑπάρχει καὶ φαίνεται, ποταπός τε καὶ τίς κατὰ φύσιν ἐστὶν εἰδείη τὸν γεννήτορα. διὰ γὰρ τοῦτό φησιν ὁ Χριστὸς, ὡς "Οὐδεὶς γινώσκει τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατὴρ, οὐδὲ "τὸν Πατέρα τίς ἐπιγινώσκει τίς ἐστιν εἰ μὴ ὁ Υἱός." κεῖται γὰρ ἐν ἀμφοῖν ἡ ἑκατέρου γνῶσις ἀκριβὴς, οὐ διδακτῶς, ἀλλὰ φυσικῶς· καὶ ὁρᾷ μὲν ὁ Θεὸς καὶ Πατὴρ ἐν ἑαυτῷ τὸν Υἱὸν, ὁρᾷ δὲ αὖ πάλιν ὁ Υἱὸς ἐν ἑαυτῷ τὸν Πατέρα· διάτοι τοῦτό φησιν "Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν "ἐμοί ἐστι." τὸ δὲ ὁρᾶν τε καὶ ὁρᾶσθαι, πάλιν ἐν τούτοις νοείσθω θεοπρεπῶς. Καὶ μείζονα τούτων ἔργα δείξει αὐτῷ, ἵνα ὑμεῖς θαυμάζητε. Ἐν τοῖς ἀνωτέρω φησὶν ὁ μακάριος Εὐαγγελιστὴς ὡς "Ἐζήτουν οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν ἀποκτεῖναι, ὅτι οὐ μόνον "ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν "Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ." τὴν μὲν οὖν ἐπὶ τῷ σαββάτῳ κατηγορίαν ἀπεσκευάζετο, καὶ αὐτὸν ἐπιδεικνὺς ἐνεργὸν ἐν σαββάτῳ τὸν Πατέρα, καὶ μακρὸν ἐπὶ τούτῳ προσαναλώσας λόγον· ὅτι δέ ἐστιν ἐν ἰσότητι τῇ πρὸς τὸν Πατέρα, καὶ ἄνθρωπος γεγονὼς δι' ἡμᾶς, πειρᾶται διδάσκειν. τοῦτο γὰρ ἦν ἔτι τῷ λόγῳ τὸ λεῖπον· καὶ διὰ τοῦτό φησιν ὅτι Καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα ἵνα ὑμεῖς θαυμάζητε. καὶ τί πάλιν ἡμῖν βούλεται διὰ τούτου δηλοῦν; Τεθεράπευται, φησὶν, ὁ παράλυτος "τριάκοντα καὶ ὀκτὼ "ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ." καὶ θαυμαστὴ μὲν ὄντως ἡ τοῦ θεραπεύσαντος δύναμις, θεοπρεπής τε λίαν ἡ ἐξουσία· τὸν δὲ οὕτω θαυματουργὸν, οὐκ ἄν τις, οἶμαι, σωφρονῶν αἰτιάσαιτο Θεὸν ἑαυτὸν εἶναι λέγοντα, καὶ ἐπείπερ ἐστὶν Υἱὸς, ἴσον κατὰ πάντα τῷ γεγεννηκότι· ἐπειδὴ δὲ φρο νοῦντες, φησὶ, κάκιστά τε καὶ ἀλογώτατα, διὰ τὸ ἐπίκηρον 1.330 τουτὶ σκανδαλίζεσθε σῶμα, ἀναγκαῖον ὑμᾶς ἐκμαθεῖν, ὡς οὐ μέχρι τούτων τὰ τῆς ἐμῆς ἐξουσίας τε καὶ ἰσχύος στήσεται· μειζόνων γὰρ ἔσεσθε παραδόξων, κἂν μὴ βούλησθε, θεωροὶ, τῆς τῶν νεκρῶν ἀναστάσεως δηλαδὴ, καὶ τότε μειζόνως καταπλαγήσεσθε, τὴν τῷ Θεῷ πρέπουσαν ἰσχύν τε καὶ δόξαν ἐν ἐμοὶ κειμένην ὁρῶντες, ὃν δυσφημίας ἐγκλήματι περιβάλλετε νῦν, καὶ διώκειν οὐκ αἰσχύνεσθε, διὰ τὸ μόνον εἰπεῖν, ὅτι "Υἱὸς Θεοῦ εἰμι." Δεικνύει δὲ ὅπως ὁ Θεὸς καὶ Πατὴρ τὰ ἔργα τῷ Υἱῷ, προλαβόντες ἤδη διὰ πολλῶν εἰρήκαμεν. Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. Θέα δὴ πάλιν ἐν τούτοις σαφῆ τῆς ἰσότητος τὴν ἀπό δειξιν. ὁ γὰρ ἴσως ἐνεργὸς περὶ τὴν τῶν νεκρῶν ἀναβίωσιν, πῶς ἂν ἔχοι κατά τι τὸ ἔλαττον; ἢ πῶς ἂν εἴη πρὸς τὸν Πατέρα λοιπὸν ἑτεροφυής τε καὶ ἔκφυλος ὁ τοῖς αὐτοῖς διαλάμπων ἰδιώμασιν; ἴδιον δὲ τῆς θείας οὐσίας, τὸ δύ νασθαι ζωογονεῖν, ὅπερ ἐστὶν ὁμοίως ἐν Πατρὶ καὶ ἐν Υἱῷ. ζωογονεῖ δὲ πάλιν οὐκ ἰδίως μὲν πάλιν τινὰς καὶ καθ' ἑαυτὸν ὁ Πατὴρ, ἰδίως δέ τινας καὶ κεχωρισμένως ὁ Υἱός· ἔχων γὰρ ἐν ἑαυτῷ φυσικῶς τὸν Πατέρα, τὰ πάντα ἐργάζεται, καὶ ἐνεργεῖ τὰ πάντα δι' Υἱοῦ ὁ Πατήρ. ἀλλ' ἐπείπερ ἔχει τὸ δύνασθαι ζωογονεῖν ὁ Πατὴρ ἐν τῇ ἰδίᾳ φύσει, καθάπερ οὖν καὶ αὐτὸς, ὡς καὶ ἰδίως ἑκατέρῳ προσὸν ἀπονέμει τὸ δύ νασθαι ζωογονεῖν τοὺς νεκρούς. 1.331 ΚΕΦΑΛΗ Ζ. Ὅτι τῶν θεοπρεπῶν ἀξιωμάτων ἤτοι πλεονεκτημάτων οὐδὲν ὡς ἐκ μετοχῆς ἢ ἐπακτὸν ἐν Υἱῷ. Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ. ῞ΕΤΕΡΟΝ εἰσφέρει πρᾶγμα θεοπρεπές τε καὶ ἐξαίσιον, διὰ πολλῶν ἀναπείθων ὅτι Θεός ἐστι κατὰ φύσιν καὶ ἀλη θινῶς. τίνι γὰρ ἂν καὶ ἑτέρῳ πρέποι τὸ κρῖναι τὴν οἰκου μένην, εἰ μὴ μόνῳ τῷ ἐπὶ πάντας ὄντι Θεῷ, ὃν δὴ καὶ πρὸς τοῦτο καλοῦσιν αἱ θεῖαι λέγουσαι γραφαὶ, ποτὲ μὲν "Ανάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν·" ποτὲ δὲ αὖ πάλιν " Oτι ὁ Θεὸς κριτής ἐστι, τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ." δεδόσθαι γεμὴν τὴν κρίσιν ἑαυτῷ φησι παρὰ τοῦ Πατρὸς, οὐχ ὡς ἔξω τῆς ἐπὶ τούτῳ κείμενος ἐξουσίας, ἀλλ' ὡς ἄνθρωπος οἰκονομικῶς, πρεπωδέστερον ἀνακεῖσθαι τῇ θείᾳ φύσει τὰ πάντα διδάσκων, ἧς καὶ αὐτὸς εἴσω βεβηκὼς, ᾗ μέν ἐστι Λόγος καὶ Θεὸς, οἴκοθεν ἔχει τὴν ἐφ' ἅπασιν ἐξουσίαν· ᾗ δὲ γέγονεν ἄνθρωπος, πρὸς ὃν εἴρηταί που "Τί "γὰρ ἔχεις ὃ οὐκ ἔλαβες," δεδέχθαι πρεπόντως ὁμολογεῖ. Πρὸς δὴ ταῦτα πάλιν ἐρεῖ τις τυχὸν τῶν δι' ἐναντίας Ἰδοὺ διαῤῥήδην ὁ Υἱὸς τὴν κρίσιν δεδέχθαι φησὶ παρὰ τοῦ Πατρός. λαμβάνει δὲ ὡς οὐκ ἔχων δηλαδή. πῶς οὖν οὐκ ἂν εἴη μείζων καὶ μεγαλοφυέστερος ὁ διδοὺς μετ' ἐξουσίας, τοῦ δεομένου λαβεῖν; 1.332 Τί δὴ οὖν ἄρα πρὸς τοῦτό φαμεν; ὁ μὲν λόγος ἡμῖν ὁ προτεταγμένος οὐκ ἀκόμψως, ὡς οἶμαι, διήρτισται, θεω ρίαν εἰσφέρων τὴν τῷ καιρῷ μάλιστα πρέπουσαν τῆς ἐνανθρωπήσεως δηλαδὴ, καὶ οἰκονομίᾳ τῇ μετὰ σαρκὸς ἁρμοδιωτάτην, ὅτε δοῦλος ἐχρημάτισεν, ὅτε τεταπείνωκεν ἑαυτὸν, ἐν ὁμοιώματι τῷ ἡμετέρῳ γενόμενος· ἐπειδὴ δέ σοι δοκεῖ τῶν μὲν ἁπλουστέρων κατασοβαρεύεσθαι δογ μάτων, περιεργοτέραν δὲ μᾶλλον ποιεῖσθαι τὴν ζήτησιν, ἄγε δὴ πάλιν τοῖς σοῖς ἐναντίως ἰόντες προβλήμασι, πρῶτον μὲν ἐκεῖνο λέγωμεν Οὐχὶ πάντως, οὐδὲ ἀναγκαίως, ὦ οὗτος, ὁ δοῦναί τι λεγόμενος, ὡς οὐκ ἔχοντι τῷ δεχομένῳ προσνέμει, ἀλλ' οὐδὲ μείζων ἀεὶ τοῦ λαμβάνοντος ὁ διδούς. ἐπεὶ τί ποιήσεις, ὅταν ἴδῃς ἐν πνεύματι τὸν ἱερὸν λέγοντα ψαλμῳδόν "Δότε δόξαν τῷ Θεῷ;" δόξης ἆρα καθεστάναι τὸν Θεὸν ἐπιδεᾶ λογιούμεθα, ἢ καὶ μείζους τοῦ κτίσαντος διὰ τοῦτο πάντως ἡμεῖς, οἱ ταύτην αὐτῷ προσάγειν ἐπιταττόμενοι; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀποτολμήσῃς εἰπεῖν, ὁ τὸν ἐπὶ ταῖς δυσφημίαις ὄκνον οὐ παραιτούμενος· πλῆρες γὰρ δόξης τὸ θεῖον, κἂν μὴ δέχηται παρ' ἡμῶν· ὃ δὲ οἴκοθεν ἔχει λαμ βάνων ἐν τάξει τιμῆς, οὐκ ἂν ἐλάττων νοοῖτό ποτε, τῶν οἵπερ αὐτῷ τὴν δόξαν ὡς δῶρον προσάγουσιν. ἔστι τοίνυν πολλάκις ὁρᾶν τὸν εἰληφότα τι τοῦ δεδωκότος οὐκ αἰσχίονα, καὶ οὐ διὰ τοῦτο μεγαλοφυέστερος ὁ Πατὴρ τοῦ ἰδίου γεννή ματος, ἐπεὶ πᾶσαν αὐτῷ δέδωκε τὴν κρίσιν. Εἶτα πρὸς τούτῳ κἀκεῖνο περισκεπτέον· τὸ κρίνειν, ἤτοι δικάζειν, ἐνέργειαι μᾶλλόν εἰσι καὶ πράγματα τῶν περὶ τὰς οὐσίας νοουμένων, ἢ αὐτὸ κατ' ἀλήθειαν οὐσίαι· ἐνεργοῦμεν γάρ τι δικάζοντες, ἰδιαζόντως ὑπάρχοντες ὅπερ ἐσμέν. εἰ δὲ τὸ κρίνειν, ἤτοι δικάζειν, οὐσίας εἶναι δώσομεν, πῶς οὐκ 1.333 ἀνάγκη καὶ οὐχ ἑκόντας ὁμολογεῖν, μηδὲ ὑπάρχειν ὅλως δύνασθαι τῶν ὄντων τινὰς, εἰ μὴ φαίνοιντο κριταὶ, συγκατα λήγειν τε πάντως αὐτοῖς τῷ τέλει τῆς κρίσεως τὴν οὐσίαν; ἀλλ' ἔστι τὸ οὕτως νοεῖν τῶν ἀτοπωτάτων· ἐνέργειά τις τοιγαροῦν τὸ κρίνειν ἐστὶ, καὶ ἕτερον οὐδέν. τί οὖν ἄρα δέδωκεν ὁ Πατὴρ τῷ Υἱῷ; πλεονέκτημα μὲν ὡς ἐξ ἰδίας φύσεως οὐδὲν, ἔν γε τῷ τὴν κρίσιν ἐπιτρέψαι πᾶσαν αὐτῷ, ἐνέργειαν δὲ μᾶλλον τὴν κατὰ τῶν κρινομένων. πῶς οὖν ἔσται κατὰ τοῦτο μείζων, ἢ μεγαλοφυέστερος, τι προστε θεικὼς, ὅπερ οὐκ ἦν ἐν Υἱῷ τῷ λέγοντι "Πάντα ὅσα ἔχει "ὁ Πατὴρ ἐμά ἐστι;" Πῶς οὖν ἄρα τὸ δοῦναι νοητέον, ἄκουε λοιπόν. ὥσπερ ἔχων τὸ δύνασθαι δημιουργεῖν ὁ Θεὸς καὶ Πατὴρ, δι' Υἱοῦ τὰ πάντα δημιουργεῖ, ὡς διὰ δυνάμεως καὶ ἰσχύος ἰδίας· οὕτως ἔχων καὶ τὸ δύνασθαι κρίνειν, ἐνεργήσει καὶ αὐτὸ δι' Υἱοῦ, ὡς διὰ δικαιοσύνης ἰδίας. ὥσπερ ἂν εἰ λέγοιτο καὶ τὸ πῦρ τῇ ἐξ ἑαυτοῦ κατὰ φύσιν ἐνεργείᾳ τὸ καῦσαί τι παρα χωρεῖν, ταύτην ἔχοντος τοῦ πράγματος τὴν ὁδόν· οὕτω τό Δέδωκεν εὐσεβῶς ἑρμηνεύοντες, τὴν τοῦ διαβόλου παγίδα διαφευξόμεθα. εἰ δὲ ἐπιμένουσιν ἀναιδῶς προστεθεῖσθαι δόξαν αὐτῷ παρὰ τοῦ Πατρὸς διαβεβαιούμενοι, διὰ τοῦ κριτὴν ἀναφαίνεσθαι τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γῆς, διδασκόντων ἡμᾶς, πῶς ἂν ἔτι νοοῖτο τῆς δόξης Κύριος, ὁ καὶ ἐν ἐσχάτοις καιροῖς ταῖς ἐπὶ τούτῳ τιμαῖς στεφανούμενος.

1.334 ΚΕΦΑΛΗ Η. Ὅτι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, καὶ εἰκὼν τοῦ γεννήσαντος ἀκριβὴς, ἴσην ἔχει πρὸς αὐτὸν καὶ τιμὴν καὶ δόξαν. Ἵνα πάντες τιμῶσι τὸν Υἱὸν καθὼς τιμῶσι τὸν Πατέρα· ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν. ΑΙΤΙΑ καὶ πρόφασις ἤδη τῶν προκατηριθμημένων ὁρᾶ ται, τὸ χρῆναι τιμᾶσθαι τὸν Υἱὸν ἐν ἰσότητί τε καὶ ὁμοιότητι τῇ πρὸς τὸν Πατέρα. βραχὺ δὲ ἀναλαβὼν, καὶ εἰς τὴν τῶν κατόπιν ἀνακομιζόμενος μνήμην, περιαθρήσῃ ἀκριβῶς τοῦ λόγου τὴν δύναμιν. οὐκοῦν ἴδιον μὲν ἔφασκε "Πατέρα τὸν "Θεὸν ὑπάρχειν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ·" εἶτα πάλιν ἰσοσθενῆ καὶ ὁμότεχνον ἀπεδείκνυε λέγων "Ἃ γὰρ ἂν "ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ·" ὅτι δὲ καὶ ζωὴ καὶ ζωοποιὸς κατὰ φύσιν ἐστὶν, ὥσπερ οὖν καὶ ὁ γεν νήσας αὐτὸν, διεσάφει προστιθείς "Ὥσπερ γὰρ ὁ Πατὴρ "ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς "θέλει ζωοποιεῖ." ἀλλ' ὡς ἔσοιτο καὶ πάντων κριτὴς, συνευδοκοῦντος ἐφ' ἅπασι καὶ συγκατανεύοντος τοῦ Πατρὸς, ἐξηγεῖτο λέγων "Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ "τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ." τίς οὖν ἡ τούτων αἰτία; τί δὲ ἄρα τὸ πεπεικὸς διὰ τοιούτων ἔρχεσθαι λόγων τὸν Μονογενῆ; Ἵνα πάντες φησὶ τιμῶσι τὸν Υἱὸν καθὼς τιμῶσι τὸν Πατέρα. εἰ γὰρ πάντα ἔστιν ὅσα καὶ ὁ Πατὴρ, ὅσον 1.335 ἧκεν εἰς ἀξίωμα θεοπρεπὲς, πῶς οὐκ ἂν εἴη πρέπον ἰσοστάθ μοις ἐκείνῳ στεφανοῦσθαι τιμαῖς, τὸν ᾧπερ οὐδὲν εἰς ταυτό τητα τῆς οὐσίας ἐνδεῖ; τί οὖν ἄρα πάλιν καὶ πρὸς τοῦτό φασιν "οἱ πάντα τὰ ὀρθὰ διαστρέφοντες," ὡς ὁ προφήτης φησὶν Ἡσαΐας; Εἰ διὰ τὸ λέγεσθαι, φησίν Ἵνα πάντες τιμῶσι τὸν Υἱὸν καθὼς τιμῶσι τὸν Πατέρα, νομίζετε χρῆναι τὸν Υἱὸν ἰσομέτροις τῷ Πατρὶ κατασεμνύνειν τιμαῖς, ἀγνοεῖτε τῆς ἀληθείας μακράν που βαδίζοντες. οὐ γὰρ πάντως τό Καθὼς ἰσότητα πραγμάτων εἰσφέρει, καθ' ὧν ἂν φαίνοιτο τεθὲν, ὁμοίωσιν δέ τινα χαρακτηρίζει πολλάκις, οἷον, φησὶν, ὁ Σωτήρ που συμβουλεύει λέγων "Γίνεσθε οἰκτίρμονες, καθὼς "καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν." ἆρ' οὖν ἐσόμεθα φιλοικτίρμονες οὕτως, ὡς ὁ Πατὴρ, διὰ τό Καθώς; καὶ πάλιν ὁ Χριστὸς λέγει πρὸς τὸν ἑαυτοῦ Πατέρα περὶ τῶν μαθητῶν "Ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας." ἀλλ' οὐχ οὕτω δώσομεν ἠγαπῆσθαι τοὺς μαθητὰς, ὡς τὸν Υἱὸν πάλιν, διὰ τό Καθώς. τί οὖν εὑρεσιλογεῖς καὶ ἀποβιάζῃ τὴν λέξιν εἰς δυσφημίαν, οὐδεμίαν τοῖς ἀκροωμένοις ἀνάγκην εἰσφέρουσαν, εἰς τὸ χρῆναι τιμᾶν τὸν Υἱὸν ἐν ἴσῳ μέτρῳ τῷ φύσαντι; Τί οὖν πρὸς ταῦτα καὶ παρ' ἡμῶν; πικροῖς μὲν ἡμῶν καθυλακτοῦσι λόγοις οἱ θεομάχοι, ἀλλ' "Ἔξω τοὺς κύνας," ὡς ὁ Παῦλός φησιν, "ἔξω τοὺς κακοὺς ἐργάτας, ἔξω" τῆς ὀρθῆς πίστεως "τὴν κατατομήν." ἡμεῖς μὲν γάρ ἐσμεν ἀλη θείας υἱοὶ, καὶ τέκνα φωτός· διάτοι τοῦτο τὸν Μονογενῆ τῷ Θεῷ καὶ Πατρὶ συνδοξάζομεν, οὐ κατά τινα διαφορὰν, ἀλλ' ἐν ἰσότητι τιμῆς τε καὶ δόξης, ὡς Θεὸν ἐκ Θεοῦ, καὶ φῶς ἐκ φωτὸς, καὶ ζωὴν ἐκ ζωῆς. καὶ περιεργάζεσθαι μὲν τὸ πίστει παραδεκτὸν, ὡς ἐπὶ πλεῖστον οὐκ ἀσφαλές· βασανιστέον δ' οὖν ὅμως καὶ τοῦ Καθὼς τὴν δύναμιν, ἵνα μὴ μέγα φρονῶσιν ἐφ' ἑαυτοῖς οἱ δι' ἐναντίας. οὐκοῦν ἐπὶ μὲν τῶν ἀνομοίων 1.336 κατὰ τὴν φύσιν ὅτε τάττεται τό Καθὼς, οὐ πάντως ἀπαράλ λακτον ἡμῖν εἰσφέρει τὴν ἰσότητα, ὁμοιότητα δὲ μᾶλλον καὶ εἰκονισμὸν, ὡς καὶ αὐτοὶ προλαβόντες ὡμολογήκατε. ἐπὶ δὲ τῶν ἀλλήλοις κατὰ πάντα προσεοικότων εἴπερ ὁρῷτο τεθὲν, καὶ ἰσότητα τὴν ἐν πᾶσι καὶ ὁμοιότητα δηλοῖ, καὶ εἴ τι τούτοις ἕτερον ἰσοδυναμοῦν εὑρίσκεται. οἷόν τι φημί· λαμ πρὸς μὲν ὁ κατ' οὐρανόν ἐστιν ἥλιος, λαμπρὸς δὲ ὁμοίως καὶ ὁ γῆθεν ἄργυρος. ἀλλ' ἡ μὲν φύσις τῶν εἰρημένων διάφορος. νοείσθω δέ τις τυχὸν τῶν ἐπὶ γῆς πλουσίων τοῖς κατ' οἶκον οἰκέταις Λαμπέτω λέγων ὁ ἄργυρος, καθὼς καὶ ὁ ἥλιος· ἐν τούτῳ δὴ μάλα δικαίως οὐκ εἰς τὴν ἴσην ἀναβαίνειν λαμπρό τητα τῷ ἡλίῳ τὴν ἐκ γῆς ὕλην φαμὲν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' εἰς ὁμοίωσίν τινα καὶ ἐμφέρειαν, καὶ εἰ φέροιτο κατ' αὐτοῦ τό Καθώς· Πέτρου δὲ καὶ Ἰωάννου τυχὸν τῶν ἁγίων μαθητῶν παρενεχθέντων εἰς μέσον, οἳ καὶ τῷ τῆς φύσεως λόγῳ, καὶ τῇ εἰς Θεὸν εὐσεβείᾳ τῆς πρὸς ἀλλήλους ἀκριβοῦς ὁμοιότητος οὐκ ἀπολιμπάνονται, τετάχθω τό Καθὼς, λέγοντός του περὶ αὐτῶν, ὡς ἐν ὑποκειμένῳ Τιμάσθω παρὰ πάντων Ἰωάννης, καθὼς καὶ ὁ Πέτρος· ἆρα τό Καθὼς ἀτονήσει πάλιν εἰς τὸ μὴ δεῖν ἐπ' ἀμφοῖν τὴν ἴσην ἄγεσθαι τιμήν; ἀλλ' οὐκ ἂν οἶμαί τις τὸ τοιοῦτον ἐρεῖ· θεωρήσει γὰρ δὴ τὸ κωλύον οὐδέν. Κατὰ ταύτην τοῦ νοήματος τὴν ἀναλογίαν, ὅταν ἐφ' Υἱοῦ καὶ Πατρὸς φέρηται τό Καθὼς, διὰ ποίαν αἰτίαν ἀποναρκή σομεν ἰσομέτροις ἄμφω καταστέφειν τιμαῖς; προανασκεψά μενος γὰρ ὡς Θεὸς τὰ ἐσόμενα, καὶ τὴν βάσκανον τῆς σῆς ἀμαθίας περιαθρήσας ἀντιλογίαν, οὐ γυμνὸν εὐθὺς, οὐδὲ τῆς αὐτῷ πρεπούσης ἔρημον ἐπικουρίας, τό Καθὼς εἰσενήνοχεν, ἀλλὰ ταῖς μὲν καθηκούσαις προοχυρώσας πληροφορίαις, προαποδείξας δὲ ὅτι καὶ Θεὸς ὑπάρχοι κατὰ φύσιν· ἴδιον 1.337 γὰρ ἐποιεῖτο Πατέρα τὸν Θεόν· προκατασκευάσας δὲ πάλιν, ὅτι καὶ Θεὸς Δημιουργὸς καὶ ζωὴ κατ' ἀλήθειάν ἐστι, καὶ ὅλως, ἵν' οὕτως εἴπω, τοῖς τοῦ Θεοῦ καὶ Πατρὸς ἐπαγλαϊζό μενον ἰδιώμασι προεισενεγκὼν, εὐκαίρως ἐπάγει λοιπόν Ἵνα πάντες τιμῶσι τὸν Υἱὸν καθὼς τιμῶσι καὶ τὸν Πατέρα. εἶτα τί τὸ ἀντιστατοῦν ἀναφανεῖται λοιπὸν, τί δὲ τὸ κωλύον ἐστὶ τὸν, ᾧπερ οὐσιωδῶς ἐνυπάρχει τὰ τοῦ γεννήσαντος ἴδια καὶ ἐξαίρετα, πρὸς τὸ ἴσον τῆς τιμῆς ἀναβαίνειν μέτρον; αὐτὴν γὰρ ἤδη τιμῶντες τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἁλωσό μεθα φύσιν, καλῶς ἐν Υἱῷ διαλάμπουσαν· διὰ γὰρ τοῦτό φησιν ἐφεξῆς Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν. ἀναβήσεται γὰρ οὐκ ἐφ' ἕτερόν τινα μᾶλλον τῆς εἰς Υἱὸν ἀτιμίας τὸ ἔγκλημα, καὶ τῆς δυσφημίας ἡ δύναμις, ἢ εἰς αὐτὸν ἀληθέστερον τὸν Πατέρα, καθάπερ ἀπὸ πηγῆς τῆς οἰκείας φύσεως ἀνέντα τὸν Υἱὸν, εἰ καὶ συνυπάρχων ἀϊδίως αὐτῷ διὰ πάσης ὁρᾶται τῆς ἁγίας γραφῆς. Ἀλλὰ ναὶ, φησὶν ὁ δι' ἐναντίας, ἡκέτω τῆς εἰς Υἱὸν ἀτιμίας τὸ ἔγκλημα πρὸς ὅπερ ἂν βούλοιο, μᾶλλον δὲ εἰς αὐτὸν ἀφικνείσθω τὸν Θεὸν καὶ Πατέρα. ἀγανακτήσει γὰρ δὴ καὶ μάλα εἰκότως, ἀλλ' οὐχὶ πάντως, ὡς τῆς αὐτοῦ φύσεως ὑβρισμένης ἐν Υἱῷ, κατὰ τὸν ἀρτίως ἡμῖν φιλο τεχνηθέντα λόγον, ἀλλ' ἐπείπερ ἐστὶν εἰκὼν αὐτοῦ καὶ χαρακτὴρ, ὡς πρὸς τὴν θείαν τε καὶ ἄῤῥητον αὐτοῦ φύσιν ἄριστα μεμορφωμένος, χαλεπαίνει μὲν εὐλόγως, ἀνοίσει δὲ πάντως εἰς ἑαυτὸν τὸ ἀδίκημα. καὶ γὰρ ἦν ὄντως τῶν ἀτοπωτάτων, τὸν τοῖς θείοις χαρακτῆρσιν ἐμπαροινήσαντα, μὴ οὐχὶ πάντως τῆς εἰς ἀρχέτυπον ἁμαρτίας ἀποτιννύναι δίκας. ὥσπερ οὖν ἀμέλει, καὶ ὁ ταῖς εἰκόσι τῶν ἐπὶ γῆς βασιλέων ἐμπαροινήσας, ὡς εἰς αὐτὸν ἤδη πεπλημμεληκὼς τὸν κρατοῦντα κολάζεται· ὡρισμένον δέ τι τοιοῦτον παρὰ 1.338 Θεοῦ καὶ ἐφ' ἡμῶν αὐτῶν εὑρήσομεν "Ὁ γὰρ ἐκχέων," φησὶν, "αἷμα ἀνθρώπου ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθή "σεται, ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον." ὁρᾷς οὖν, φησὶν, ἤδη διὰ τούτου, καὶ μάλα σαφῶς, ὅτι τῆς εἰκόνος ἀδικουμένης, καὶ οὐχὶ πάντως τῆς θείας αὐτοῦ φύσεως, ἀγανακτεῖν οἴεται δεῖν ὁ Θεὸς καὶ Πατήρ; οὐκοῦν κατὰ τοῦτον νοείσθω τε καὶ ἐσχηματίσθω τὸν τρόπον τὸ εἰρημένον παρὰ Χριστοῦ Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα τιμᾷ. Ἆρ' οὖν ἔξω κείσεται μεθ' ἡμῶν τῆς τοῦ Πατρὸς οὐσίας ὁ Μονογενής; πῶς οὖν ἔτι κατὰ φύσιν Θεός ἐστιν, εἴπερ ὅλως ἐξώλισθε τῶν τῆς θεότητος ὅρων, ἐν ἰδίᾳ τινὶ φύσει καὶ ἑτεροίᾳ κείμενος, ἢ ἐν ᾗπέρ ἐστιν ὁ Πατήρ; ἀδικοῦμεν δὲ κατὰ τὸ εἰκὸς, εἰς ἕνα θεότητος ἀναβιβάζοντες λόγον, τῆς ἁγίας Τριάδος τὴν σύνταξιν. ἔδει γὰρ ἔδει λοιπὸν προσ κυνεῖν μὲν ἡμᾶς ὡς Θεὸν τὸν Πατέρα, δόξαν δέ τινα πάλιν ἰδίαν ἀπονέμειν τῷ Υἱῷ καὶ τῷ Πνεύματι, ὡς εἰς διαφόρους κατασχίζοντας φύσεις, καὶ ἴδιον ἑκάστῳ τὸν τοῦ πῶς ἐστι διορίζοντας λόγον· ἀλλ' ἕνα Θεὸν ἡμῖν αἱ θεῖαι πρεσβεύουσι γραφαὶ, τὸν Υἱὸν τῷ Πατρὶ καὶ τὸ Πνεῦμα συντάττουσαι, ὡς διὰ τῆς οὐσιώδους καὶ ἀπαραλλάκτου ταυτότητος, εἰς ἕνα θεότητος ἀναφερομένης λόγον τῆς ἁγίας Τριάδος. οὐκ ἄρα ἐστὶ τῆς τοῦ γεννήσαντος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φύσεως ἀλλότριος ὁ Μονογενὴς, ἀλλ' οὐδ' ἂν ὅλως Υἱὸς ὑπάρχων νοοῖτο κατὰ ἀλήθειαν, εἰ μὴ ἐκ τῆς τοῦ τεκόντος ἐξέλαμψεν οὐσίας· τοιοῦτος γὰρ, καὶ οὐχ ἕτερος ἐν πᾶσιν ὁ τῆς ἀληθοῦς υἱότητος ὅρος τε καὶ τρόπος· Υἱοῦ δὲ οὐκ ὄντος, συναναιρεθήσεται πάντως καὶ τὸ εἶναι Πατέρα τὸν Θεόν. πῶς οὖν ἀληθεύσει λέγων ὁ Παῦλος περὶ αὐτοῦ "Ἐξ οὗ πᾶσα πατριὰ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς "ὀνομάζεται;" εἰ γὰρ μὴ γεγέννηκεν ἐξ ἑαυτοῦ θεοπρεπῶς τὸν Υἱὸν, πῶς ἐν αὐτῷ τῆς πατρότητος ἡ ἀρχὴ διήκουσα κατὰ μίμησιν ἐπί τε τοὺς ὄντας ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς; 1.339 ἀλλ' ἔστι Πατὴρ κατ' ἀλήθειαν ὁ Θεός· Υἱὸς ἄρα κατὰ φύσιν ὁ Μονογενὴς, εἴσω τε πάντως ἐστὶ τῶν τῆς θεότητος ὅρων· Θεὸς γὰρ ἐκ Θεοῦ τεχθήσεται, καθάπερ οὖν ὁ ἄν θρωπος ἐξ ἀνθρώπου τυχὸν, καὶ οὐ διαψεύσεται τοῦ Θεοῦ καὶ Πατρὸς ἡ τὰ πάντα ὑπερκειμένη φύσις, τὸν αὐτῇ μὴ πρέποντα τεκοῦσα καρπόν. Ἐπειδὴ δὲ δυσσεβῶς τε καὶ ἀνοήτως φασὶν οὐ τὴν τοῦ Θεοῦ τε καὶ Πατρὸς ἐξυβρίζεσθαι φύσιν ἐν Υἱῷ, μὴ τῆς προσηκούσης ἀπολαύοντι δόξης πρός τινων, ὡς εἰκόνος δὲ μᾶλλον ἰδίας ἠτιμασμένης ἐν αὐτῷ χαλεπαίνειν, εἰκότως γε δὴ ποιοῦντα καὶ καλῶς· ἐρωτητέον αὐτοὺς, κατὰ τίνα τρόπον εἰκόνα βούλονται τοῦ Πατρὸς εἶναί τε καὶ λέγεσθαι τὸν Υἱόν. μᾶλλον δὲ αὐτοὶ τὸν παρ' ἐκείνων φθάσαντες λόγον προδια στέλλωμεν τῆς εἰκόνος τὰ εἴδη, κατά γε τὸν ἐγχωροῦντα λόγον· οὕτω γὰρ ἂν γένοιτο σαφής τε καὶ λίαν εὐκρινεστέρα τῶν ζητουμένων ἡ εὕρεσις. οὐκοῦν μία μὲν ἤδη καὶ πρώτη τῆς κατὰ φύσιν ταυτότητος ἐν ἀπαραλλάκτοις τοῖς ἰδιώμασιν ἡ εἰκὼν, ὡς ἐξ Ἀδὰμ ὁ Ἄβελ, ἢ Ἰσαὰκ ἐξ Ἁβραάμδευτέρα δὲ πάλιν ἡ κατὰ μόνην τὴν τοῦ χαρακτῆρος ἐμφέ ρειαν, καὶ τὸ ἀκριβὲς τοῦ εἴδους ἐκτύπωμα, καθάπερ ἡ τοῦ βασιλέως ἐν ξύλῳ γραφὴ, ἢ καὶ καθ' ἕτερόν τινα πεποιημένη τρόπον, ὡς πρὸς αὐτὸν ἄριστά τε καὶ ἐντεχνέστατα. εἰκὼν δὲ ἑτέρα λαμβάνεται πάλιν πρὸς ἤθη καὶ τρόπους καὶ πολι τείαν καὶ θέλημα τὸ ἐπί τισιν ἀγαθοῖς ἢ φαύλοις, ὡς ἐοικέναι λέγεσθαι τυχὸν τὸν μὲν ἀγαθοεργοῦντα τῷ Παύλῳ, τὸν δὲ μὴ τοιοῦτον τῷ Κάϊν. τὸ γὰρ ἐν τοῖς ἴσοις ὁρᾶσθαι φαύλοις τε καὶ ἀγαθοῖς, τὴν ὁμοίωσιν ἑκάστῳ πραγματεύεται καὶ περιτίθησιν εἰκότως. εἶδος δέ πως εἰκόνος ἐστὶν ἕτερον, καὶ τὸ ἐν ἀξιώματι καὶ τιμῇ καὶ δόξῃ καὶ ὑπεροχῇ, ὥσπερ ἂν εἴ τις τυχὸν τήν τινος ἀρχὴν διαδέχοιτο, καὶ πάντα δρῴη μετ' 1.340 ἐξουσίας, ἅπερ ἂν ἐκείνῳ προσήκοι τε καὶ πρέποι. εἰκὼν δὲ ἑτέρως, ἢ καθ' ἑτέραν τινὰ ποιότητα πράγματος ἢ πο σότητα, σχῆμά τε καὶ ἀναλογίαν· δεῖ γὰρ ἤδη συλλήβδην εἰπεῖν. Διδασκέτωσαν τοίνυν οἱ τῆς θείας εἰκόνος ἀκριβέστατοι ζητηταὶ, πότερόν ποτε τὴν οὐσιώδη καὶ φυσικὴν ἀπονέμειν ὁμοίωσιν οἴονται δεῖν τῷ Μονογενεῖ, καὶ οὕτως εἰκόνα φασὶν ὑπάρχειν τοῦ Πατρὸς τὸν Μονογενῆ τὸν ἐξ αὐτοῦ προελ θόντα Λόγον, ὡσπερανεὶ καὶ τὸν Ἄβελ ἐξ Ἀδὰμ, ὅλην ἀποσώζοντα τοῦ τεκόντος τὴν φύσιν ἐν ἑαυτῷ, καὶ ὁλό κληρον τῆς ἀνθρωπότητος φοροῦντα τὸν λόγον; ἢ δυσχε ρανοῦσι μὲν ἐπὶ τούτῳ λίαν, ὡς Θεὸν ὄντως ἐκ Θεοῦ κατὰ φύσιν ὁμολογεῖν ἀναγκαζόμενοι τὸν Υἱὸν, ἐπὶ δὲ τὸ μάχε σθαι τῇ ἀληθείᾳ συνήθως ἐκνεύοντες, ἐπὶ τὸν δεύτερον τῆς εἰκόνος ἀναβαδιοῦνται τρόπον, ὃς ἐν μόνῃ νοεῖται μορφῇ καὶ χαρακτῆρι καὶ σχήματι. ἀλλ' οἶμαι μὲν τοῦτο λέγειν ἀπο ναρκήσειν αὐτούς. οὐ γὰρ πεποσῶσθαι τὸ θεῖον, ἢ καὶ σχήματι περιγραπτὸν, καὶ χαρακτῆρι μετρούμενον, ἢ καὶ ὅλως τὰ σωμάτων ὑπομένειν τὸ ἀσώματον, ὑπολήψεταί τις, οὐδ' εἰ σφόδρα φαίνοιτο ληρῶν. ἆρ' οὖν ὡς πρὸς ἤθη καὶ τρόπους καὶ θέλημα μεμορφῶσθαι λέγουσιν αὐτὸν, καὶ ταύτην αὐτῷ περιτιθέντες οὐκ αἰσχύνονται τὴν εἰκόνα; πῶς γὰρ ἔτι κατὰ φύσιν νοεῖται Θεὸς ὁ ἐν μόνῳ τῷ θέλειν τὴν πρὸς αὐτὸν ἔχων ὁμοίωσιν, ἕτερον δέ τι καθ' ἑαυτὸν ἰδίως ὑπάρχων; ὑφεστάναι γὰρ πάντως ὁμολογήσουσιν αὐτόν. εἶτα τί τὸ πλέον ἐν αὐτῷ παρὰ τὴν κτίσιν φανεῖται λοιπόν; ἢ γὰρ οὐχὶ καὶ ἀγγέλους πιστεύσομεν πρὸς τὸ θεῖον αὐτοὺς ἐπείγεσθαι διαπράττειν θέλημα, ἕτερόν τι παρὰ τὸν Θεὸν κατὰ φύσιν ὑπάρχοντας; τί δὲ ὅταν καὶ ἐφ' ἡμῶν νοῆται τὸ 1.341 εἰρημένον; ἆρα γὰρ τοῖς ὑπὲρ φύσιν παραλόγως ἐπιπηδᾶν, καὶ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀδυνάτων ἐφίεσθαι διδάσκει λέγων αὐτὸς ὁ Μονο γενής "Γίνεσθε οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ "οὐράνιος οἰκτίρμων ἐστί;" τοῦτο γὰρ ἦν ἀνενδοιάστως εἰπεῖν, χρῆναι δὴ πάντως ἡμᾶς τὴν ἐν ταυτότητι θελημάτων ἀναλαμβάνειν εἰκόνα τοῦ Πατρός. μιμητὴς δὲ καὶ ὁ Παῦλος ἐγίνετο τοῦ Χριστοῦ, τῆς, ὡς ἐκεῖνοι ληροῦντές φασιν, ἐν θελήμασι μόνοις εἰκόνος τοῦ Πατρός. ἀλλὰ καὶ τούτων μὲν ἀπαναστήσονται κατὰ τὸ εἰκὸς τῶν ἀθλίων νοημάτων, ὥσπερ δέ τι μεῖζον ἐπινοοῦντες καὶ ἄμεινον, ἐκεῖνο δὴ πάντως ἐροῦσιν Εἰκών ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Μονογενὴς, ὅσον ἐν ταυτότητι θελημάτων, ὅσον ἐπὶ ἀξίωμα καὶ δόξαν καὶ δύναμιν τὴν θεοπρεπῆ, ὅσον εἰς ἐνέργειαν τὴν ἐπὶ τῷ κτίζειν καὶ θαυματουργεῖν, ὅσον εἰς τὸ βασιλεύειν καὶ πάντων κρατεῖν, ὅσον εἰς τὸ κρίνειν καὶ προσκυνεῖσθαι πρός τε ἀγγέλων καὶ ἀνθρώπων καὶ πάσης ἁπαξαπλῶς τῆς κτίσεως. διὰ τούτων ἁπάντων ἡμῖν ἐν ἑαυτῷ δεικνύων τὸν Πατέρα, οὐκ ἐκ τῆς ὑποστάσεώς φησιν, ἀλλὰ "χαρακτήρ ἐστι τῆς "ὑποστάσεως αὐτοῦ." οὐκοῦν, ὅπερ ἔφημεν ἀρτίως, οὐδέν ἐστι τῶν εἰρημένων κατὰ φύσιν ὁ Υἱὸς, ἔξω δὲ πάντων ἀθρόως κείσεται, κατά γε τὸν παρ' ὑμῶν ἀνοητότατον λόγον, οὔτε δὲ Θεὸς ἀληθινὸς, οὔτε Υἱὸς, οὐ βασιλεὺς, οὐ Κύριος, οὐ δημιουργὸς, οὐ δυνατὸς, οὔτε μὴν ἐν θελήμασιν ἀγαθὸς κατὰ φύσιν ἰδίοις ἐστίν· ἐν δὲ γυμνοῖς καὶ μόνοις τοῖς θεοπρεπέσιν ὁρᾶται καυχήμασι. καὶ ὅπερ ἐστὶ ταῖς ἐν πίναξι γραφαῖς ἡ τῶν χρωμάτων ἐπιβολὴ, μόναις αὐταῖς ταῖς τῶν ὁρωμένων ποικιλίαις ἐξωραΐζουσα, φοροῦσα δὲ ἀληθὲς οὐδέν· τοῦτο καὶ ἐν Υἱῷ τῶν τοῦ Θεοῦ καὶ Πατρὸς ἀξιωμάτων τὸ κάλλος, ἐν μὲν ψιλοῖς καὶ μόνοις ὀνόμασι περιανθίζεται, ἔξωθεν δὲ ὥσπερ χρωμάτων τινῶν ἐπαλείφεται δίκην· 1.342 σκιαγραφεῖται δὲ μᾶλλον ἡ θεία φύσις ἐν αὐτῷ, καὶ ὡς ἐν ψιλῷ φαίνεται τύπῳ. Εἶτα πῶς οὐκ ἄντικρυς ἁπάσαις φανήσεσθε ταῖς ἁγίαις πολεμοῦντες γραφαῖς, ἵνα δὴ καὶ δικαίως ἀκούσητε "Σκλη "ροτράχηλοι καὶ ἀπερίτμητοι καρδίαις καὶ τοῖς ὠσὶν, ὑμεῖς "ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες "ὑμῶν καὶ ὑμεῖς." πότε γὰρ οὐ Θεὸν ἀληθινὸν ὀνομάζουσι τὸν Υἱὸν, ἢ πότε τῆς τοῦ τεκόντος οὐσίας ἔξω φέρουσιν αὐτόν; τίς δὲ ὁ τολμήσας εἰπεῖν ὡς οὔτε φύσει δημιουργὸς οὔτε βασιλεὺς οὔτε παντοκράτωρ ἢ προσκυνητός ἐστιν; ὁ μὲν γὰρ θεσπέσιος μελῳδὸς, ὡς πρὸς αὐτόν που φησὶ τὸν Μονογενῆ "Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος." Θωμᾶς δὲ πάλιν ὁμοίως ὁ νουνεχέστατος μαθητὴς, καὶ Θεὸν ὁμοῦ καὶ Κύριον ἀποκαλεῖ. παντοκράτωρ δὲ καὶ δημιουργὸς, διὰ πάσης ἁγίου καλεῖται φωνῆς, καὶ ὡς οὐκ ἐπακτὸν ἔχων καθ' ὑμᾶς τὸ ἀξίωμα, ἀλλ' ὡς τοῦτο κατὰ φύσιν ὑπάρχων, ὅπερ εἶναι λέγεται, διά τε τοῦτο προσκυνεῖται παρά τε τῶν ἁγίων ἀγγέλων καὶ πρὸς ἡμῶν, καίτοι μηδενὶ προσκυνεῖν ἑτέρῳ τῆς θείας λεγούσης χρῆναι γραφῆς, πλὴν μόνῳ Κυρίῳ τῷ Θεῷ. Εἰ μὲν οὖν ἐπίκτητον αὐτῷ καὶ δοτὸν ἐνυπάρχειν τὸ θεοπρεπὲς ἀξίωμα πεπιστεύκασιν, εἶτα τῷ τοιούτῳ προσ κυνεῖν οἴονται δεῖν, ἴστωσαν παρὰ τὸν κτίστην τῇ κτίσει λατρεύοντες, πρόσφατόν τε καὶ νέον ἑαυτοῖς ζωγραφοῦντες θεὸν, ἤπερ ὄντως τὸν κατὰ φύσιν ἐπιγινώσκοντες. εἰ δὲ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἔξω κεῖσθαι λέγοντες τὸν Υἱὸν, καὶ Υἱὸν αὐτὸν καὶ Θεὸν ὁμολογοῦσιν ὑπάρχειν ἀλη θινὸν καὶ βασιλέα καὶ κύριον καὶ δημιουργὸν καὶ οὐσιωδῶς ἐν ἑαυτῷ τὰ τοῦ Πατρὸς ἔχειν ἴδια καὶ ἐξαίρετα· βλεπέτω σαν ὅποι ποτὲ πάλιν αὐτοῖς τὸ τῶν τῇδε δοκούντων ἀπο 1.343 κινδυνεύσει τέλος. οὐδὲν γὰρ ὅλως ἐν τῇ θείᾳ φύσει τὸ ἀξιόπιστον εὑρεθήσεται, δυναμένης ἤδη καὶ τῆς τῶν γενητῶν φύσεως ὑπάρχειν τοῦτο κατ' ἀλήθειαν, ὅπερ ἂν νοοῖτο καὶ αὐτή. ἀποδέδεικται γὰρ κατά γε τὸν παρὰ τοῖς δι' ἐναντίας ἀδρανέστατον λόγον, τῆς μὲν θείας φύσεως οὐχ ὑπάρχων ὁ Μονογενὴς, ἔχων δ' οὖν ὅμως ἀληθινῶς ἐν ἑαυτῷ τὰ ἐκείνης ἐξαίρετα. εἶτα τίς οὐκ ἀποφρίξει, καὶ μόνον ἀκούων τὴν τῶν δογμάτων δυσσέβειαν; πάντα γὰρ ἄνω τε καὶ κάτω στρέφεται λοιπὸν, τῆς μὲν τὰ πάντα ὑπερκειμένης φύσεως καταβαινούσης ἐπὶ τὸ συντάττεσθαι τοῖς γενητοῖς, αὐτῆς δὲ τῆς κτίσεως εἰς τὸ ὑπερέκεινα καὶ οὐχ ὡρισμένον αὐτῇ παρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγως ἀναπηδώσης μέτρον. Οὐκοῦν, ὡς ὁλκάδος ἐν πελάγει βαπτιζομένης, τῆς τῶν τοιούτων δογμάτων ἀτοπίας ἀπονηχόμενοι, σπεύδωμεν ὡς ἐπ' ἀσφαλῆ καὶ ἀκύμονα λιμένα τὴν ἀλήθειαν, καὶ εἰκόνα τοῦ Θεοῦ τε καὶ Πατρὸς ὁμολογῶμεν τὸν Υἱὸν, οὐκ ἐπική ροις ὥσπερ τισὶ περιπεπλασμένον ἀξιώμασιν, οὐδὲ μόνοις τοῖς θεοπρεπέσι κατηγλαϊσμένον ὀνόμασιν, ἀλλ' οὐσιωδῶς πρὸς τὴν τοῦ τεκόντος ἐμφέρειαν ἀπηκριβώμενον, καὶ ἀπα ραλλάκτως ὑπάρχοντα κατὰ φύσιν, ὅπερ ἂν νοοῖτο καὶ ὁ γεννήσας αὐτὸν, τουτέστι Θεὸν ἀληθινὸν ἐκ Θεοῦ κατὰ ἀλήθειαν, παντοκράτορα, δημιουργὸν, δεδοξασμένον, ἀγαθὸν, προσκυνητὸν, καὶ εἴ τι τοῖς εἰρημένοις ὡς Θεῷ πρέπον παρέζευκται. τότε γὰρ δὴ κατὰ πάντα προσεοικότα δεικνύ οντες τῷ Θεῷ καὶ Πατρὶ, καὶ ἀληθεύοντα παραστήσομεν, ὡς εἰ μή τις βούλοιτο τιμᾶν τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα τιμᾷ τὸν ἀποστείλαντα αὐτόν· περὶ τούτου γὰρ ἡμῖν ἡ ζήτησις, καὶ ἡ τῶν ἀρτίως ἐξητασμένων κεκίνηται βά σανος. 1.344 Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀποδείξας ἤδη διὰ τῶν προλαβόντων ἀρκούντως, ὡς οὐκ εἰς μόνον ἁμαρτάνουσι τὸν Υἱὸν οἱ τάλανες Ἰουδαῖοι, τολ μῶντες ἐπιτιμᾶν οἷσπερ ἂν λέγῃ διδάσκων, ἢ καὶ ἐργάζηται παρ' αὐτοῖς, ἀλλὰ καὶ εἰς αὐτὸν ἀμαθαίνοντες πλημμελοῦσι τὸν Πατέρα, καὶ ὅσον ἧκεν εἰς τὴν τῶν εἰρημένων ἐνέργειαν, περιστείλας τῷ φόβῳ τὸ θράσος, καὶ ζῆν ἀναπείσας ἐπιει κέστερον τῇ τῶν ἐσομένων ἐλπίδι, λοιπὸν σαγηνεύει πρὸς εὐπείθειαν. οὐκ ἀτέχνως δὲ πάλιν τὸν ἐπὶ τούτοις ἐποιήσατο λόγον. ἐπειδὴ γὰρ οἶδεν ἔτι νοσοῦντας τοὺς Ἰουδαίους, σκανδαλιζομένους τε ἔτι περὶ αὐτοῦ, πάλιν ἀναφέρει τὴν πίστιν εἰς τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς, οὐχ ὡς ἑαυτὸν ἔξω τιθεὶς, ἀλλ' ὡς διὰ τὴν ταυτότητα τῆς οὐσίας καὶ ἐν Πατρὶ τιμώμενος. τοὺς δέ γε πιστεύοντας, οὐ μετό χους ἔσεσθαι μόνον τῆς αἰωνίου ζωῆς, ἀλλὰ καὶ τὸν ἐκ τῆς κρίσεως διαφεύξεσθαι κίνδυνον, δικαιουμένους δηλονότι διισχυρίζεται, κεκερασμένον ἐλπίδι προτείνων τὸν φόβον. οὕτω γὰρ ἦν ἐνεργέστερόν πως καὶ δεικτικώτερον τοῖς ἀκροωμένοις ἀπεργάσασθαι τὸν λόγον. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν ὅτε οἱ νεκροὶ ἀκούσωσι τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ οἱ ἀκούσαντες ζήσουσιν. Ἐκ θανάτου πρὸς ζωὴν μεταβήσεσθαι τοὺς πιστεύοντας εἰπὼν, ἑαυτὸν εἰσφέρει τῆς ἐπαγγελίας ἐργάτην καὶ ὅλου τοῦ 1.345 πράγματος ἀποτελεστὴν, ὁμοῦ μὲν ἐκεῖνο τοῖς Ἰουδαίοις ὑπαινιττόμενος, ὅτι θαυμαστὴ μὲν ὄντως ἐστὶν ἡ ἐπὶ τῷ παραλελυμένῳ δύναμις, ἀξιολογωτέρων δ' οὖν ὅμως ἀναδει χθήσεται δημιουργὸς ὁ Υἱὸς, οὐκ ἀῤῥώστημα μόνον, οὐδὲ τὰς ἐκ νόσου μαλακίας τῶν ἀνθρωπίνων ἐξελαύνων σωμάτων, ἀλλὰ καὶ αὐτὸν ἤδη τὸν θάνατον καὶ τὴν ἐπισκήψασαν ἀνατρέπων φθοράν· τοῦτο γὰρ ἦν τὸ καὶ μικρῷ πρότερον εἰρημένον "Ὁ Πατὴρ φιλεῖ τὸν Υἱὸν καὶ πάντα δείκνυσιν "αὐτῷ ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ "ἔργα, ἵνα ὑμεῖς θαυμάζητε." τὸ γὰρ ἐν τῷ θαυμάζεσθαι μεῖζον, ἐν τῇ τῶν νεκρῶν ἀναστάσει φαίνεται. ὁμοῦ δὲ πάλιν ἐκεῖνο κατασκευάζων, ὅπερ ἦν εἰκὸς οὐκ ἐν ὀλίγῳ μέ τρῳ καταπτοήσειν τοὺς ἀκροωμένους· ὅτι γὰρ καὶ ἀναστήσει τοὺς νεκροὺς, καὶ πρὸς κρίσιν ἄξει τὸ ποίημα, διαγορεύει σαφῶς, ἵνα τῷ προσδοκᾶν αὐτῷ παραστήσεσθαί ποτε, καὶ τὸν ἐφ' ἑκάστοις ἀποδώσειν λόγον, ὀκνηρότεροι μέν πως εἰς τὴν ἐπὶ τὸ διώκειν αὐτὸν εὑρίσκοιντο τόλμαν, δέχοιντο δὲ προθυμότερον ἤδη τὸν τῆς διδασκαλίας τε καὶ ὑφηγήσεως λόγον. Εἰς ταῦτα μὲν οὖν ὁ τοῦ κεφαλαίου σκοπὸς ὁρᾶται καὶ συντείνεται· τὸ δὲ πρὸς λέξιν ἡμᾶς ἀναγκαῖον ἀπολευκάναι λοιπόν. ὁ μὲν οὖν κοινὸς, ὡς ἔοικεν, ἔχει λόγος, ὡς ἥξει ποτὲ καιρὸς καθ' ὃν ἀκούσονται τῆς τοῦ διανιστῶντος φωνῆς οἱ νεκροί· παρεῖναι δὲ καὶ νῦν οὐδὲν ἧττον ὑπολαμβάνουσιν αὐτὸν, ἢ ὡς Λαζάρου τυχὸν τῆς τοῦ Σωτῆρος ἀκουσομένου φωνῆς, ἢ καὶ νεκροὺς εἶναι λέγοντες τοὺς οὔπω διὰ τῆς πίστεως εἰς αἰώνιον ἀνακεκλημένους ζωὴν, οἳ δὴ καὶ πάντως εἰς αὐτὴν ἔμελλον ἀναβήσεσθαι,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν τοῦ Σωτῆρος διδασκα λίαν παραδεξάμενοι. καὶ σώζει μὲν ὄντως τῆς θεωρίας ὁ τρόπος τὸ ἐν πιθανότητι σχῆμα, τὸ δὲ ἀκριβὲς οὐ πάνυ· διὸ δὴ πάλιν τὴν τῶν λεγομένων ἀναμασώμενοι δύναμιν, τὸν 1.346 πρεπωδέστερόν πως αὐτοῖς ἐφαρμόσομεν νοῦν, διαστελοῦ 1.346 μεν δὲ οὕτω τὸ ἀνάγνωσμα. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν ὅτε οἱ νεκροὶ ἀκούσωσι τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ· ὥρα δηλονότι πάλιν ὅτε καὶ οἱ ἀκούσαντες ζήσουσι. διὰ μὲν οὖν τῶν ἐν ἀρχῇ, τὸν τῆς ἀναστάσεως ἡμῶν σημαίνει καιρὸν, καθ' ὃν εἰς ἀπολογίαν τῆς ἐν κόσμῳ ζωῆς ἀναστήσεσθαι τοὺς κεκοι μημένους διὰ τῆς τοῦ δικάζοντος ἐκδιδάσκει φωνῆς, ἵνα καθάπερ ἤδη προεῖπον, ὥσπερ τινὰ χαλινὸν τὸν ἐντεῦθεν αὐτοῖς ἐπινοήσας φόβον, καλῶς δὴ σφόδρα καὶ ἐπιστημόνως ἀναπείσῃ βιοῦν· διὰ δὲ τῶν ἐν ὑστέροις τὸν τοῦ χρῆναι πιστεύειν αὐτῷ ἐπιδεικνύει παρόντα καιρὸν, ἀλλὰ καὶ τῆς εὐπειθείας μισθὸν τὴν αἰώνιον ἔσεσθαί φησι ζωὴν, μονονουχὶ τοιοῦτόν τι δηλῶν Ἥξετε πάντες εἰς κρίσιν, ὦ οὗτοι, κατὰ τὸν τῆς ἀναστάσεως δηλονότι καιρὸν, ἀλλ' εἰ πικρὸν ὑμῖν εἶναι τὸ κολάζεσθαι δοκεῖ, καὶ ἀπεράντους λελυπημένῳ τῷ κρίνοντι τὰς δίκας ὑπέχειν, μὴ παρατρέχειν ἐᾶτε τὸν τῆς εὐπειθείας καιρὸν, ἀλλ' ἔτι παρόντος ἐπιδραττόμενοι, πρὸς τὴν αἰώνιον ἀναβαίνειν ἐπείγεσθε ζωήν. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως καὶ τῷ Υἱῷ ἔδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. Ὅρα δή μοι πάλιν καὶ τὴν ἐν τούτοις οἰκονομίαν, ἵνα τοῦ λόγου θαυμάσῃς τὸ σχῆμα, καὶ μὴ τοῖς ἐξ ἀμαθίας περι πίπτων σκανδάλοις, αὐτὸς ἐπὶ σεαυτῷ καλέσῃς τὴν ἀπώ λειαν. ἄνθρωπος ὑπάρχων, ὅσον εἰς τὴν φύσιν τοῦ σώμα τος, ὁ Μονογενὴς, καὶ ὡς εἷς ἐξ ἡμῶν ἐπὶ τῆς γῆς ἔτι μετὰ 1.347 σαρκὸς ὁρώμενος, καὶ τοῖς Ἰουδαίοις πολυτρόπως τὰ πρὸς σωτηρίαν εἰσηγούμενος, δύο πραγμάτων θεοπρεπῶν ἑαυτῷ περιτέθεικε τὴν λαμπρότητα. ὅτι δὲ καὶ ἀναστήσει τοὺς νεκροὺς, καὶ κριθησομένους παραστήσει τῷ οἰκείῳ βήματι, διεβεβαιοῦτο σαφῶς· ἀλλ' ἦν καὶ σφόδρα εἰκὸς δυσχεραίνειν ἐπὶ τούτῳ τοὺς ἀκροωμένους, ἐγκαλοῦντας ἤδη καὶ διώκειν εὐλόγως αὐτὸν ὑποπτεύοντας, ὅτι "πατέρα ἴδιον ἔλεγε τὸν "Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ." ἀνακεράσας τοίνυν ἐξουσίᾳ καὶ λαμπρότητι τῇ θεοπρεπεῖ τὸν ἁρμόζοντα τῇ ἀνθρωπότητι λόγον, ὑποκλέπτει τὸ βαρὺ τῆς ὀργῆς, ἐπιει κέστερόν πως καὶ ὑφειμένως, ᾗ ἦπερ ἐχρῆν, λέγων Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ. μὴ θαυμάζετε τούτῳ, φησὶν, εἰ καθ' ὑμᾶς νῦν ὑπάρχων, καὶ ὁρώμενος ἄνθρωπος, ἀναστήσειν ὑπι σχνοῦμαι τοὺς νεκροὺς, καὶ εἰς κρίσιν ἄγειν ἀπειλῶ· δέδωκέ μοι τὸ δύνασθαι ζωογονεῖν ὁ Πατὴρ, δέδωκέ μοι τὸ κρίνειν ἐπ' ἐξουσίας. ἐπειδὴ δὲ διὰ τούτων τὴν εὐόλισθον τῶν Ἰου δαίων τεθεράπευκεν ἀκοὴν, φροντίδα ποιεῖται γοργὴν καὶ τῆς τῶν ἐφεξῆς ὠφελείας, καὶ τὴν αἰτίαν εὐθὺς τοῦ δεδέχθαι λέγειν ἑαυτὸν ἐξηγούμενος, τὴν οὐδὲν ἔχουσαν ἐξ ἑαυτῆς ἀνθρωπότητα προΐσχεται λέγων Ὅτι Υἱὸς ἀνθρώπου ἐστίν. Ὅτι γὰρ καὶ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Μονογενὴς, καὶ οὐ ζωῆς τῆς παρ' ἑτέρου μέτοχος, ζωογονεῖ τε οὕτως ὥσπερ καὶ ὁ Πατὴρ, περιττὸν οἶμαι λέγειν πρὸς τὸ παρὸν, ἐπεί περ ἡμῖν οὐ βραχὺς ἐν τούτῳ δεδαπάνηται λόγος ἐν ἀρχῇ τοῦ βιβλίου, προκειμένου ῥητοῦ Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσωσι τῆς φωνῆς αὐτοῦ καὶ ἐξελεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Σημαίνει μὲν διὰ τούτων τῆς ἁπάντων ἀναστάσεως τὸν 1.348 καιρὸν, ὅτε, καθάπερ ἡμῖν ὁ θεσπέσιος ἐπέστειλε Παῦλος "Αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν "σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ" κρῖναι "τὴν "οἰκουμένην ἐν δικαιοσύνῃ," καὶ ἀποδώσειν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· χειραγωγεῖ δ' οὖν ὅμως διὰ τῆς τῶν αὐτῶν ἐπαναλήψεως τὴν ἀμαθεστάτην τῶν Ἰουδαίων διά νοιαν εἰς τὸ δύνασθαι συνιέναι σαφῶς, ὅτι καὶ μειζόνων ἔσται τερατουργὸς, ἢ ἐν οἷς ὁ παράλυτος ἦν, καὶ τῆς οἰκου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μένης ἀναδειχθήσεται κριτής· ἀντιπαρατιθεὶς δὲ χρησίμως τῇ τῶν νεκρῶν ἀναστάσει τὴν ἐφ' ἑνὶ τῶν νοσούντων θερα πείαν, μείζονά τε καὶ ἀξιολογωτέραν ἐπιδεικνύει τὴν θανάτου λυτικὴν ἐνέργειαν, καὶ φθορᾶς τῆς ἁπάντων ἀναιρετικὴν, εἰκότως τε καὶ ἀναγκαίως ὡς ἐπ' ἐλάττονι τῷ παραδόξῳ φησί Μὴ θαυμάζετε τοῦτο. καὶ οὐ δήπου πάντως νομιοῦμεν αὐτὸν τῆς τῶν οἰκείων ἔργων λαμπρότητος διὰ τούτων κατηγορεῖν, ἢ καὶ τοῖς ἀκροωμένοις ἐπιτάττειν, μὴ χρῆναι θαύματος ἀξιοῦν τὰ ἐφ' οἷς ἂν εἰκότως θαυμάζοιεν, ἀλλ' εἰδέναι τε καὶ πιστεύειν βούλεται τοὺς ἐπ' ἐκείνῳ καταπε πληγμένους, ὅτι μικρὸν αὐτῷ τὸ μέχρι τούτου θαυμάζεσθαι. ἐγείρει γὰρ λόγῳ καὶ ἐνεργείᾳ θεοπρεπεῖ, οὐχ ὅπως ἐκ μικρῶν ἀῤῥωστημάτων τοὺς κάμνοντας, ἀλλὰ καὶ αὐτοὺς ἤδη τοὺς τῷ θανάτῳ βεβαπτισμένους, καὶ ἀκράτῳ νενικη μένους φθορᾷ· καὶ διὰ τοῦτό φησι, τὸ μεῖζον εἰσφέρων Ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσωσι τῆς φωνῆς αὐτοῦ. ὁ γὰρ λόγῳ τὰ οὐκ ὄντα ποτὲ πρὸς τὸ εἶναι παρενεγκὼν, πῶς οὐκ ἂν ἰσχύσαι τὸ ἤδη πεποιημένον παλιν δρομεῖν ἀναπεῖσαι πρὸς γένεσιν; εἶεν γὰρ ἂν οὕτω τῆς αὐτῆς ἐνεργείας ἑκάτερα, καὶ μιᾶς ἐξουσίας τὸ ἐπ' ἀμφοῖν 1.349 ἀξιάγαστον ἀποτέλεσμα. ἐπιλέγει δὲ χρησίμως, ὅτι προ ελεύσονται τῶν μνημάτων οἱ μὲν ἐπ' αἰσχροῖς ἁλόντες καὶ πονηρίᾳ συμβιοτεύσαντες, τὴν ἀτελεύτητον ὑφέξοντες δίκην, οἱ δὲ διαπρεπεῖς ἐν ἀρεταῖς τῆς ἐπιεικείας μισθὸν ἀντικομιού μενοι τὴν αἰώνιον ζωήν· ὁμοῦ μὲν, καθάπερ ἤδη προείπομεν, ἑαυτὸν διανομέα τῶν ἑκάστῳ διαπρεπόντων καὶ διὰ τούτων εἰσφέρων, ὁμοῦ δὲ ἀναπείθων, ἢ τῷ φόβῳ τοῦ παθεῖν τὰ δεινὰ, παραιτεῖσθαι τὸ φαῦλον καὶ συνελαύνεσθαί πως εἰς τὸ βιοῦν ἐθέλειν ἤδη σωφρονέστερον, ἢ ἐφέσει νυττομένους τρόπον τινὰ τῇ περὶ τὴν αἰώνιον ζωὴν, συντονωτέραν ποιεῖ σθαι σπουδάζειν τὴν ἐπ' ἀγαθοῖς προθυμίαν. 1.350 ΚΕΦΑΛΗ Θ. Ὅτι κατ' οὐδὲν ἐλάττων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, ἀλλ' ἰσοσθενὴς κατ' ἐνέργειαν τὴν ἐφ' ἅπασίν ἐστιν ὡς Θεὸς ἐκ Θεοῦ. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστὶν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πα τρός. ἘΠΙΣΤΗΣΟΝ πάλιν τοῖς λεγομένοις ἀκριβέστερον, καὶ δέχου τοῦ θεωρήματος ὡς ἐν περινοίᾳ τὴν δύναμιν. οὐκ εἰδότες Ἰουδαῖοι τὸ βαθὺ τῆς μετὰ σαρκὸς οἰκονομίας μυστή ριον, ἀλλ' οὐδὲ τὸν ἐνοικοῦντα τῷ ἐκ παρθένου ναῷ Θεὸν Λόγον ἐπιγινώσκοντες, ζήλῳ πολλάκις πεπλανημένῳ, καὶ "οὐ τῷ κατ' ἐπίγνωσιν," ὡς ὁ Παῦλός φησιν, εἰς ἀγριότητα τρόπων καὶ ἀνημέρους ὀργὰς ἐξεκαίοντο· καὶ δὴ καὶ κατα λεύειν ἐπεχείρουν αὐτὸν, ὅτιπερ "ἄνθρωπος ὢν, ἑαυτὸν "ἐποίει Θεὸν," καὶ πάλιν, ὅτι "Πατέρα ἴδιον ἔλεγε τὸν "Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ." ἐπειδὴ δὲ ἦσαν οὕτω δυσμαθεῖς, καὶ θεοπρεπῶν μὲν ὅλως οὐκ ἀνεχόμενοι λόγων, μικρὰ δὲ περὶ αὐτοῦ καὶ φρονοῦντες καὶ λέγοντες, οἰκονο μικῶς ὁ Σωτὴρ συννηπιάζει μὲν αὐτοῖς, κεκραμένην δ' οὖν ὅμως ἐποιεῖτο τὴν ἐξήγησιν, οὔτε τοὺς Θεῷ πρέποντας λό γους ὁλοτελῶς παραιτούμενος, οὔτε μὴν εἰς ὁλόκληρον τῶν ἀνθρωπίνων ῥημάτων ἀποφοιτῶν· εἰπὼν δέ τι τῆς θεϊκῆς 1.351 ἐξουσίας ἄξιον, παραχρῆμα κολάζει τὸν ἀπαίδευτον τῶν ἀκροωμένων θυμὸν, ἐπαγαγών τι καὶ ἀνθρώπινον, καὶ πάλιν ἀνθρώπινόν τι διὰ τὴν οἰκονομίαν εἰπὼν, οὐκ ἐν μικροῖς ὁρᾶσθαι μόνοις τὰ καθ' ἑαυτὸν ἐπιτρέπει, Θεὸν ὄντα κατὰ φύσιν ἐπιδεικνύων διὰ τῆς ὑπὲρ ἄνθρωπον ἰσχύος, ἢ καὶ λόγων πολλάκις. τοιαύτην τινὰ καὶ νῦν ἐν τοῖς ἀρτίως ἡμῖν προκειμένοις εὑρήσεις τὴν τέχνην· τί γὰρ ἔφη φθάσας; " Ωσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, "οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ," εἶτα πάλιν "Ὅτι "ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσωσι "τῆς φωνῆς αὐτοῦ·" καὶ πρὸς τούτοις, ὅτι καὶ ἐξελεύσονται κριθησόμενοι, καὶ ἀναλόγως ὧνπερ ἂν εἶεν ἐργάται τὴν ἀντιμισθίαν ἀποληψόμενοι. ὁ δὲ δύνασθαι λέγων οὕσπερ ἂν ἐθέλει ζωογονεῖν, καὶ οὕτως, ὡς ὁ Πατήρ· πῶς ἂν οὐχὶ τὴν Θεῷ πρέπουσαν δύναμιν ἑαυτῷ νοοῖτο περιτιθείς; ἔσται δὲ ὅτι καὶ πάντων κριτὴς ὁ διαῤῥήδην εἰπὼν, πῶς οὐκ ἂν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκταράξαι δικαίως τοὺς ἄνθρωπον ἔτι γυμνὸν οἰομένους ὑπάρχειν αὐτόν; ἦν γὰρ δὴ κατὰ τὸ εἰκὸς, Ἑβραίους ὄντας αὐτοὺς, καὶ τοῖς ἱεροῖς παιδαγωγουμένους γράμμασιν, οὐκ ἀγνοῆσαι παντελῶς ὅτι Θεὸς ἔσται τῆς οἰκουμένης κριτὴς, ἐπεὶ καὶ παρ' αὐτοῖς πολλάκις ἐψάλλετο "Ἀνάστα ὁ Θεὸς, "κρῖνον τὴν γῆν." καὶ πάλιν "Ὅτι ὁ Θεὸς κριτής ἐστιν." Ἐπεὶ οὖν τούτοις ἀσχάλλοντας ᾔδει τοὺς ἀνοήτους τῶν Ἰουδαίων λαοὺς, τῆς αὐτῆς συνήθους ὀργῆς ἐξίστησι λέγων ἀνθρωπινώτερον Οὐ δύναμαι ποιεῖν ἐγὼ ἀπ' ἐμαυτοῦ οὐδὲν, καθὼς ἀκούω κρίνω. ὅσον μὲν οὖν ἐστιν ἐκ τοῦ προχείρου λαβόντας εἰπεῖν, διαγελᾷ τῶν Ἰουδαίων τὸν νοῦν· ἀσθενείας γάρ τινος, καὶ οὐ παντελῶς ἐλευθέρας ἐξουσίας, ὑπόληψιν πλάττεται τοῦ λόγου τὸ σχῆμα, ἔχει δὲ οὐχ οὕτω κατ' ἀλήθειαν, ἐπείπερ ἴσος ὢν ὁ Υἱὸς κατὰ πάντα τῷ Πατρὶ, 1.352 τὴν αὐτὴν ἐφ' ἅπασιν ἐνέργειάν τε καὶ ἐξουσίαν ἔχει φυσι κῶς. λέγει δὲ μὴ δύνασθαί τι ποιεῖν ἀφ' ἑαυτοῦ, κρίνειν δὲ οὕτως, ὥσπερ ἂν ἀκοῦσαι· τρόπῳ πάλιν ἑτέρῳ, καὶ ἰσογνώ μονα καὶ ἰσοσθενῆ δεικνύων ἑαυτὸν τῷ Θεῷ καὶ Πατρί. οὐδὲ γὰρ ἐνεργὸς περί τι τῶν ὄντων δίχα τοῦ Υἱοῦ νοοῖτ' ἂν μόνος καὶ καθ' ἑαυτὸν ὁ Πατὴρ, ἰσχὺν ἔχων αὐτὸν καὶ δύναμιν· διὸ δὴ "πάντα δι' αὐτοῦ, καὶ χωρὶς αὐτοῦ ἐγένετο "οὐδὲ ἕν·" οὐδ' αὖ πάλιν ἐξεργάσεταί τι καθ' ἑαυτὸν ὁ Υἱὸς, μὴ οὐχὶ συνόντος αὐτῷ τοῦ Πατρός. διὰ γάρ τοι τοῦτο καί φησιν "Ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ· ὁ δὲ Πατὴρ ὁ "ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός." καὶ οὐ δήπου διακει σόμεθα δυναμοῦσθαι μὲν ὡς ἐξ ἀσθενείας παρὰ τοῦ Πατρὸς τὸν Υἱὸν, χορηγεῖσθαι δὲ πάλιν αὐτῷ καὶ τὴν ἐφ' ἅπασιν ἐξουσίαν· ἢ γὰρ ἂν οὐκέτι ᾖ κατὰ φύσιν Θεὸς, ἐπακτὸν ὥσπερ ἔχων τὸ τῆς θεότητος κάλλος· ἀλλ' οὐδὲ αὐτὸς ὁ Πατὴρ ἐν ἀκράτοις τῶν ἀγαθῶν ὑπεροχαῖς ἔτι κείσεται, δυνάμεως τῆς παρ' ἑτέρου καὶ ἐξουσίας δεόμενον ἔχων τὸν τῆς ἰδίας φύσεως χαρακτῆρα Λόγον. ζητηθήσεται γὰρ ἀνα λόγως τῇ εἰκόνι καὶ τῷ ἀρχετύπῳ τῶν εἰρημένων ὁ χορηγὸς, οὕτω τε λοιπὸν εἰς ἀπέραντον ζήτησιν ὁ λόγος ἡμῖν οἰχή σεται, καὶ εἰς βαθὺ βλασφημιῶν ἐκδραμεῖται πέλαγος. ἀλλ' ἐπείπερ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ὑπάρχων ὁ Υἱὸς, πάντα τὰ τοῦ γεννήσαντος ἴδια κατὰ φύσιν ἐπάγεται, καὶ οὐσιωδῶς ἀνατρέχει πρὸς μίαν αὐτῷ θεότητα διὰ τὸ τῆς φύσεως ἀπαράλλακτον, ἔστι μὲν αὐτὸς ἐν Πατρὶ, ἔχει δ' αὖ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα· διάτοι τοῦτο, πολλάκις ἀκατηγορήτως τε καὶ ἀληθῶς ἀνατίθησι τῷ Πατρὶ τῶν οἰκείων ἔργων τὴν δύναμιν, οὐκ ἔξω τοῦ δύνασθαι τιθεὶς ἑαυτὸν, ἀλλὰ τῇ ἐνερ γείᾳ τῆς μιᾶς θεότητος τὰ πάντα προσνέμων· μία δὲ ἡ θεότης ἐν Πατρὶ καὶ ἐν Υἱῷ καὶ ἐν Ἁγίῳ Πνεύματι. 1.353 Ὅτι δὲ οὐκ ἐλάττων ἐστὶ τοῦ Πατρὸς ὁ Υἱὸς, ἢ κατὰ δύναμιν ἢ κατ' ἐνέργειαν τὴν ἐπί τισιν, ἀλλ' ὅμοιος κατὰ πάντα καὶ ἰσοσθενὴς, καὶ δι' ἑτέρων ἡμῖν ἀποδέδεικται, προκειμένου ῥητοῦ "Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ "οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα, ἃ γὰρ ἂν "ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ." ἐπειδὴ δὲ τὴν ἐν τοῖς θείοις δόγμασιν ἀξιεραστοτάτην σπουδὴν, ὄκνου παντὸς ἀναφαίνεσθαι κρείττονα, δίκαιόν τε καὶ πρέπον ὑπο λαμβάνω· φέρε δὴ πάλιν τοῖς ἐν θαλάττῃ ναυτίλοις ποι οῦντες τὰ παραπλήσια, σχοινίου τινὸς δίκην, ὅλον εἰσαῦθις τὸν τοῦ κεφαλαίου λόγον ἀναμηρυσώμεθα. ἔστι γὰρ οὕτως ἰδεῖν, οὐ τῆς ἑαυτοῦ φύσεως κατηγοροῦντα τὸν Υἱὸν δι' αὐτοῦ τοῦ λέγειν μὴ δύνασθαί τι ποιεῖν ἀφ' ἑαυτοῦ, ἀλλὰ μᾶλλον τὴν τῶν Ἰουδαίων ἀπόνοιαν ἐξελέγχοντα, καὶ αὐτὸν δὲ τὸν διὰ Μωυσέως πατήσαντας νόμον διαῤῥήδην ἐπιδει κνύοντα. τὸ γὰρ εὐθὺς ἐπεισάγεσθαι τῷ Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, τό Καθὼς ἀκούω κρίνω, λοιδορίας μὲν ἁπάσης τῆς ἐπὶ τῷ μή τι δύνασθαι δρᾶν ἐξ οἰκείας δυνάμεως ἐλευθεροῖ τὸν Υἱόν· φιλοπάτορα δὲ μᾶλλον καὶ συνεθελητὴν τῷ γεννήσαντι κατὰ πάντα σαφῶς ἀποφαίνει. εἰ γὰρ ὡς περεὶ τυχὸν ἀτονήσας τὴν ἐκ Πατρὸς ἐδανείζετο δύναμιν, ὡς οὐκ ἐξαρκοῦσαν ἔχων ἀφ' ἑαυτοῦ, πῶς οὐκ ἔδει μᾶλλον εἰπεῖν Οὐ δύναμαι ἐγὼ ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδὲν, λαμβάνω δὲ τὸ δύνασθαι παρὰ τοῦ Πατρός; νυνὶ δὲ τοῦτο μὲν οὐκ εἰπὼν, ἐπενεγκὼν δὲ μᾶλλον τῷ μή τι δύνασθαι δρᾶν ἀφ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑαυτοῦ, τὸ κρίνειν οὕτως ὥσπερ ἂν καὶ ἀκοῦσαι, δῆλος ἂν εἴη λοιπὸν, οὐκ ἐπ' ἀσθενείᾳ τῇ κατ' ἐνέργειαν τὴν ἐπί τισι τὸ μὴ δύνασθαι τεθεικὼς, ἀλλ' ἐπὶ τῷ μὴ ἐνδέχεσθαι παρα βαίνειν αὐτὸν κατά τι γοῦν τὸ θέλημα τοῦ Πατρός. μιᾶς 1.354 γὰρ θεότητος τῆς ἐν Πατρὶ καὶ Υἱῷ νοουμένης, ἔσται δήπου πάντως καὶ θέλημα ταὐτὸν, οὔτε δὲ ἐν Πατρὶ, οὔτε μὴν ἐν Υἱῷ, ἢ καὶ τῷ Ἁγίῳ Πνεύματι στασιάζουσά ποτε καθ' ἑαυτῆς ἡ θεία φύσις νοηθήσεται, ἀλλ' ὅπερ ἂν δόξαι τῷ Πατρὶ τυχὸν, τοῦτο πάσης ἐστὶ τῆς θεότητος θέλημα. Ἀναγκαίως τοιγαροῦν ὁ Υἱὸς, συνευδοκητὴν ὥσπερ τινὰ καὶ συγκατανεύοντα τῷ Πατρὶ πρὸς τὴν ἐφ' ᾧπερ ἂν δόξειε ψῆφον, ἑαυτὸν εἰσφέρει, μὴ δύνασθαί τι δρᾶν ἐξηγούμενος, ὃ μὴ πάντως ἐστὶ κατὰ γνώμην τοῦ Πατρός· τοῦτο γὰρ ἡμῖν σημαίνει τό Ἀπ' ἐμαυτοῦ. ὥσπερ ἂν εἰ λέγοι μὴ δύνασθαι δρᾶν ἁμαρτίαν, οὐκ ἄν τῳ δόξαι δικαίως ἀσθενείας ὑπομεῖναι γραφὴν, ἐξηγεῖσθαι δὲ μᾶλλον ἀξιάγαστόν τι καὶ θεοπρεπὲς τῆς οἰκείας φύσεως ἰδίωμα· ὅτι γὰρ ἄτρεπτός τε καὶ ἀναλ λοίωτος ὑπάρχει δίδωσι νοεῖν· οὕτως ὅταν ἀφ' ἑαυτοῦ μὴ δύνασθαί τι ποιεῖν ὁμολογῇ, καταπλαγησόμεθα μᾶλλον φύσεως ἀτρέπτου καρπὸν ὁρῶντες τὸ ἄτρεπτον, ἤπερ οὐκ εὐκαίρως ὡς ἀσθενείας σημαντικὸν τὸ μὴ δύνασθαι λο γιούμεθα. Ταῦτα δὲ πάλιν ἡμῖν ἀναλόγως μὲν τοῖς ἡμετέροις εἰ ρήσθω μέτροις· ἐρευνάτω δὲ ὁ φιλομαθὴς τὰ βελτίονα. διερμηνεῦσαι γεμὴν καὶ ἑτέρως τὸ ῥητὸν οὐκ ὀκνήσομεν, βραχύ τι τῶν τῆς θεότητος ὅρων καὶ τῆς τοῦ Μονογενοῦς ὑπεροχῆς τὸν λόγον ὑποβιβάζοντες· καὶ ἐπείπερ ἄνθρωπος γέγονέ τε ὄντως καὶ κεχρημάτικεν ὁ Υἱὸς, ἐπὶ τὴν μετὰ σαρκὸς οἰκονομίαν τὴν τῶν θεωρημάτων μεταῤῥυθμίζοντες δύναμιν, συγγενῆ τε καὶ συνημμένα τοῖς προαποδεδομένοις καὶ τὰ ἐφεξῆς ἐπιδεικνύντες. οὐκοῦν ὅτι καὶ "ἀκούσονται "τῆς φωνῆς αὐτοῦ πάντες οἱ ἐν τοῖς μνημείοις," καὶ ὅτι καὶ κριθησόμενοι προελεύσονται διεμαρτύρατο σαφῶς. ἐπειδὴ δὲ ἅπαξ εἰς τὸν περὶ τοῦ κρίνειν αὐτὸν τὴν οἰκουμένην 1.355 ἐκβέβηκε λόγον, οὐ μόνον ὅτι κατ' ἐκεῖνο καιροῦ, καθ' ὃ ἔσεσθαί φησι τὴν τῶν νεκρῶν ἀναβίωσιν, δίκαιος ἔσται κριτὴς ἐπαγγέλλεται, ἀλλὰ γὰρ ἤδη καὶ τὰ ἐν τῷδε τῷ βίῳ πράγματα κρίνειν ὀρθῶς καὶ δικαίως διισχυρίζεται. τί δὲ ἦν τὸ ζητούμενον ἢ καὶ ἐπὶ τίσιν ὅλως ὁ λόγος, ἄκουε λοιπόν. ἐγεννήθη δι' ἡμᾶς ἐκ γυναικός· ὡς γὰρ ὁ Παῦλός φησιν "Οὐκ ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἁβραάμ· "ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι." ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος καὶ ἐν τῇ τοῦ δούλου μορφῇ, γέγονε καὶ ὑπὸ νόμον ὁ νομοθέτης ὡς Θεὸς καὶ Κύριος. λαλεῖ τοιγαροῦν ποτὲ μὲν ὡς ὑπὸ νόμον, ποτὲ δὲ αὖ πάλιν ὡς ὑπὲρ τὸν νόμον, καὶ ἀκατηγόρητον ἐπ' ἀμφοῖν ἔχει τὴν ἐξουσίαν. διαλέγεται δὲ νυνὶ πρὸς Ἰουδαίους, ὡς νομοφύλαξ καὶ ἄνθρωπος, ὡς οὐκ εἰδὼς παραβαίνειν τὰς ἄνωθεν ὁρι σθείσας ἐντολὰς, οὐδὲ ἀπὸ γνώμης οἰκείας ἀνεχόμενός τι ποιεῖν, ὃ μὴ τῷ θείῳ νόμῳ συνδοκεῖ. διὰ τοῦτό φησιν Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, καθὼς ἀκούω κρίνω· ἑαυτῷ δὲ τὸ μὴ δύνασθαί τι ποιεῖν ἀφ' ἑαυτοῦ μαρτυρῶν, ὃ μὴ πάντως ἐστὶ καὶ θελητὸν τῷ νόμῳ, κρίνειν τε οὕτω καὶ δικάζειν τοῖς πράγμασιν, ὥσπερ ἂν ἀκοῦσαι, διαγορεύοντος δηλονότι τοῦ νόμου, τὰς τῶν Ἰουδαίων ἀπειθείας ἐξελέγχει, καὶ τρόπων αὐτῶν ἀπογυμνοῖ τὸ ἐξήνιον. τοῦτο γὰρ δὴ καὶ ὑπεμφαίνει καλῶς τεθειμένον τό Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, ἀντὶ τοῦ Ὑμεῖς ἀφυλάκτως τὰς δοθείσας ὑμῖν παραβαίνοντες ἐντολὰς, πάντα πράττειν ἀφ' ἑαυτῶν ὡς ἐξ ἀκινδύνου λοιπὸν ἐθαρσήσατε, καὶ τὰς ἐφ' ἑκάστῳ τῶν πραγμάτων κρίσεις οὐκ ἀκολουθούσας τοῖς θεόθεν διατε ταγμένοις ποιεῖσθαι σπουδάζετε. διδάσκετε γὰρ "διδασκα "λίας ἐντάλματα ἀνθρώπων," καὶ νόμον ὡρίσασθε τὸ οἰκεῖον θέλημα. 1.356 Τίς οὖν ὁ τῆς διασκευῆς τῆς ἐν τούτῳ τρόπος, ἢ πῶς ἑαυτὸν μὲν εἰσάγει κρίνοντα δικαίως, ἐκείνους δὲ οὐδαμῶς, εἰρήσεται πάλιν. τεθεράπευκεν ἐν σαββάτῳ τὸν παράλυτον, ἠλέησεν ἄνθρωπον μακροὺς ἐν νοσήματι κατατρίψαντα χρό νους, ὀρθὴν δηλονότι καὶ ἀγαθὴν ἐπ' αὐτῷ τὴν κρίσιν ἐξε νεγκών. ἔδει γὰρ ἐποικτείρειν καὶ ἐν σαββάτῳ τὸν κείμενον, καὶ συστεῖλαι μὲν τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔλεον οὐδαμῶς αἰδοῖ τῇ περὶ τὸ σάββατον, εἰκαιοτάτην ἐπιτηδεύοντα τὴν εὐλάβειαν. ὥσπερ δὲ καὶ ἐν σαββάτῳ καὶ ὁ Πατὴρ ἐνεργὸς περὶ τὴν τῶν κτισμάτων οἰκονομίαν ἐστὶ, πάντως δὲ δι' Υἱοῦ, οὕτω καὶ αὐτός· οὐδὲ γὰρ ἀποστερεῖσθαι δεῖν τὸν ἐλέου δεόμενον ἐν σαββάτῳ διὰ τὸ σάββατον ἐδοκίμαζεν, ἐπεὶ κύριον ᾔδει τοῦ σαββάτου τὸν υἱὸν τοῦ ἀνθρώπου· οὐδὲ γὰρ ὁ ἄνθρωπος διὰ τὸ σάββατον ἐγένετο, ἀλλὰ τὸ σάββατον διὰ τὸν ἄνθρωπον. οὐκοῦν ὀρθὴ μὲν ἐπὶ τούτοις καὶ ἀγαθὴ τοῦ Σωτῆρος ἡ κρίσις, οὐ διὰ τὸ σάββατον τὴν ἐπὶ τῷ κειμένῳ φιλανθρωπίαν ἀποκωλύσαντος, ἀλλ' ὅπερ οἶδεν ὡς Θεὸς ἐνεργεῖν· πηγὴ γὰρ ἀγαθότητος ἡ θεία φύσις ἐστί· τοῦτο καὶ ἐν σαββάτῳ ποιήσαντος. ἡ δέ γε τῶν Ἰουδαίων κρίσις ἡ ἐπ' αὐτῷ λυπουμένων διὰ τὸ σάββατον, καὶ διὰ τοῦτο φονώντων κατὰ τοῦ μηδὲν ἀδικήσαντος, πῶς οὐ λίαν ἐστὶ τοῖς μὲν θείοις ἀπᾴδουσα νόμοις· γέγραπται γάρ "Ἀθῷον καὶ δίκαιον "οὐκ ἀποκτενεῖς;" ἐξ ὠμότητος δὲ μᾶλλον τῆς ἀπ' αὐτῶν, καὶ οὐκ ἐκ τῶν ἱερῶν ηὑρημένη γραμμάτων; Δέχου τοίνυν ἐπὶ τούτοις μετ' ἐμφάσεώς τινος λέγοντα τὸν Ἰησοῦν πρὸς τοὺς ἐφ' οἷς εὐεργετεῖ χαλεπαίνοντας, καὶ τοῖς μὲν ὁσίοις αὐτοῦ κρίμασιν ἐπισκήπτοντας, ἀκολου θοῦντας δὲ μοναῖς ταῖς ἑαυτῶν ἐννοίαις, καὶ τὸ δόξαν ἔχειν ὀρθῶς νόμον ὥσπερ ὁριζομένους, κἂν ἀπᾴδῃ τῷ νόμῳ Οὐ 1.357 δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, ἀντὶ τοῦ Πάντα κατὰ νόμον πράττω τὸν ὁρισθέντα διὰ Μωυσέως, οὐδὲν ἀπ' ἐμαυτοῦ ποιεῖν ἀνέχομαι, καθὼς ἀκούω κρίνω. τί γὰρ ὁ νόμος βούλεται; "Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ "Θεοῦ ἐστι." τί τοίνυν "ἐμοὶ χολᾶτε, φησὶν, ὅτι ὅλον "ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ," Μωυσέα μὴ κρί νοντες καὶ ἐν σαββάτῳ περιτέμνεσθαι δεῖν τὰ βρέφη διατα ξάμενον; "Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν "κρίνετε. εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, "ἵνα μὴ λυθῇ ὁ νόμος Μωυσέως," ἀπερισκέπτως οὕτως ἀσχάλλετε τεθεραπευμένον ὅλον ἄνθρωπον ἐν σαββάτῳ θεώ μενοι. οὐκοῦν ἐγὼ μὲν ἔκρινα δικαίως, ὑμεῖς δὲ οὐκέτι, πάντα γὰρ ἀφ' ἑαυτῶν ποιεῖτε. ἐγὼ δὲ οὐ δύναμαι ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, καθὼς ἀκούω κρίνω καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστὶν, ὅτι οὐ ζητῶ τὸ ἐμὸν θέλημα, καθάπερ ὑμεῖς, ἀλλὰ τὸ τοῦ πέμψαντός με Πατρός. Τίς δὲ ὁ τρόπος τῆς ἀποστολῆς, καὶ ὁ τοῦ πεπέμφθαι λόγος, διὰ πολλῶν ἤδη πρότερον εἰρηκότες, τὸ λέγειν ἔτι περὶ τούτων παρήσομεν· πλὴν ἐκεῖνο χρησίμως ἐπιτηρητέον, ὅτι θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς τὸν νόμον εἶναί φησιν. Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής· ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. Ὁ σοφώτατος Σολομὼν τὰ ἐφ' οἷσπερ ἄν τις καὶ μάλα εἰκότως ἐπισεμνύνοιτο, καὶ ἀξιοζήλωτον τὸν οἰκεῖον ἀποφαίνει τρόπον, συλλέγων τε ἅμα καὶ προτιθεὶς τοῖς ἐπιεικεστέροις εἰς τὸ μαθεῖν "Δίκαιος, φησὶν, ἑαυτοῦ κατήγορος ἐν πρωτο 1.358 "λογίᾳ·" καὶ πάλιν "Ἐγκωμιαζέτω σε ὁ πέλας καὶ μὴ τὸ "σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη." ἔστι γὰρ ὄντως φορτικὸν καὶ χρῆμα τοῖς ἀκροωμένοις δυσφορητότατον τὸ μὴ διὰ τῆς ἑτέρων ἐπαινεῖσθαι φωνῆς ἐθελῆσαί τινας, ἀλλ' ἑαυτοῖς ἀνέδην ἐπιμαρτυρεῖν τὰ κάλλιστα καὶ ἐξαίρετα. ἀπιστοῖτο δ' ἂν καὶ λίαν εἰκότως ὁ τοιοῦτος λόγος· πεφύ καμεν γὰρ ὥσπερ τισὶ φυσικοῖς τε καὶ ἀναγκαίοις φιλαυτίας ὁλκοῖς καλεῖσθαι σπουδαίως εἰς τὸ φαῦλον μὲν ἑαυτοῖς ἐπιγράφειν οὐδὲν, ἀεὶ δὲ περιτιθέναι, καὶ οὐ πάντως ἀλη θεύοντας, τὰ ἐφ' οἷς ἂν οἴηταί τις ὁρᾶσθαι κόσμιός τε καὶ ἀγαθός. Ἐπειδὴ τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἑαυτῷ τὸ τὰ δίκαια κρίνειν ἐπεψηφίζετο, μὴ δύνασθαί τι δρᾶν ἀφ' ἑαυτοῦ διαῤῥήδην εἰπὼν, κανόνα δὲ ὥσπερ ἐφ' ἅπασι τοῖς πρακτέοις ποιεῖσθαι τὴν τοῦ Πατρὸς βούλησιν, καὶ τοῦτο λέγων, αὐτὸς ἐφ' ἑαυτῷ μάρτυς εἰσβέβηκεν, εἰ καὶ ἦν ἀληθὴς, ἀναγκαίως καὶ τῆς παρὰ τῶν Φαρισαίων εὑρεσιλογίας φρον τίσας, ὅπερ ἔμελλον ἐρεῖν ἀμαθαίνοντες· οὐ γὰρ ᾔδεσάν πως κατὰ φύσιν ὄντα Θεόν· εἰς μέσον ἄγει προλαβὼν, καὶ φησίν Ἐρεῖτε δὴ πάντως, ταῖς τῶν πολλῶν συνηθείαις ἑπό μενοι, καὶ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰουδαίοις πρέπουσαν ἀπόνοιαν οὐκ ἐκβαί νοντες "Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ "ἔστιν ἀληθής·" ἀλλὰ πρὸς τοῦτο πάλιν ἀντακούσεσθε, φησίν Ἀνέχομαι δυσφημούντων ἔτι, χαλεπαίνω δὴ λίαν οὐδαμῶς τὰ ἐξ ἀμαθίας τῆς ὑμῖν φιλαιτάτης ἐρευγομένων ῥήματα· δίδωμι καθ' ὑπόθεσιν, καλῶς παρ' ὑμῶν εἰρῆσθαι καὶ τοῦτο· ἔστω, τὴν ἐμὴν παρακρούεσθε φωνὴν, ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ. σημαίνει δὲ διὰ τούτου τὸν ἐν τοῖς 1.359 οὐρανοῖς ὄντα Θεὸν καὶ Πατέρα, κατὰ πολλοὺς ἤδη τρόπους τὸ γνήσιον τῆς οὐσίας ἐπιμαρτυρήσαντα τῷ ἰδίῳ γεννήματι, οὗ καὶ εἰδέναι τὴν μαρτυρίαν φησὶν, ὡς ἔστιν ἀληθὴς, ἀξιοπι στοτάτην ὄντως καὶ ἀληθῆ καὶ τὴν ἑαυτοῦ ψῆφον ἐπιδεικνύς· ἵνα γὰρ μὴ καταδεξάμενος ὥσπερ τὸ ψευδῆ λέγειν ἑαυτὸν περὶ ἑαυτοῦ, χώραν τινὰ πάλιν κακονοίας καὶ παρείσδυσιν τοῖς ἑτεροδοξεῖν εἰθισμένοις παράσχοι καθ' ἑαυτοῦ, ἀναγκαίως ἐπιδοὺς τῷ πρέποντι καὶ τῇ συνηθείᾳ τὸ μὴ χρῆναι πάντως ὡς ἀληθῆ πιστεύεσθαι τὸν ἑαυτὸν ἐπαινοῦντα καὶ ἀποδεχό μενον, ἀνατρέχει πάλιν ὡς Θεὸς ἐπὶ τὴν ἑαυτῷ χρεωστου μένην ἀξίαν, καὶ εἰδέναι φησὶ τὴν τοῦ Πατρὸς μαρτυρίαν ὡς ἔστιν ἀληθὴς, μονονουχὶ τοῦτο διδάσκων, ὅτι Θεὸς ὢν ἀλη θινὸς, οἶδα, φησὶν, ἐμαυτὸν, κεχαρισμένον δὲ οὐδὲν ὁ Πατὴρ ἐρεῖ περὶ ἐμοῦ· ἔχω γὰρ οὕτω κατὰ φύσιν, ὥσπερ ἂν οὖν καὶ αὐτὸς ἀληθὴς ὢν ἐπιψηφίσαιτο. οὐκοῦν ἐν ἐκείνῳ μὲν συγκαταβατική τις ὥσπερ συναίνεσις ἦν, καὶ ὑποθετικὸς μᾶλλον ἤπερ ἀληθὴς ὁ λόγος· ἐν δὲ τῷ εἰδέναι λέγειν τὴν τοῦ Πατρὸς μαρτυρίαν ἀληθῆ, τῆς Θεῷ πρεπούσης ἀξιοπι στίας ἐπίδειξις. Σημειωτέον δὲ πάλιν, ὅτι κατ' ἰδίαν ὑπόστασιν ἄλλος ἐστὶν ὁ Πατὴρ παρὰ τὸν Υἱὸν, καὶ οὐχ ὥσπερ ἔδοξέ τισι τῶν ἀπαιδεύτων αἱρετικῶν, υἱοπάτωρ εἰσφέρεται. Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ. Ὥσπερ ἀρτίως αἰσχρὸν εἶναι διεβεβαιούμεθα, καὶ τῆς ἐσχάτης εὐηθείας οὐκ ἀμοιρεῖν, τὸ τῶν οἰκείων πλεονεκτη μάτων θαυμαστὴν ὁρᾶσθαί τινα, καὶ εἰ παραιτοῖτο τὸ ψεύ δεσθαι διὰ πολλὴν ἀρετὴν, οὕτως ἀδελφὴν ὥσπερ ἔχει καὶ γείτονα τὴν ἀτοπίαν ἐκείνῳ, τὸ μὴ κεκλημένους ἐπὶ τὴν ἐπί τισι μαρτυρίαν ἰέναι τινὰς, αὐτομόλους δὲ τοῖς δικάζουσιν, ἤγουν τοῖς διερωτᾶν ἐθέλουσιν ἀναφαίνεσθαι. δόξαι γὰρ ἂν 1.360 ὁ τοιοῦτος καὶ οὐκ ἀπὸ σκοποῦ μὴ πάντως ἐπείγεσθαι λέγειν τὸ ἀληθὲς, τὸ δὲ λίαν προθύμως ἐθελῆσαι μαρτυρεῖν, οὐχ ὅπερ ἔχει τοῦ πράγματος ἡ φύσις, ἑαυτῷ δὲ μᾶλλον τὸ δοκοῦν ἀποφαίνεσθαι. ἐντεχνέστατα τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, μᾶλλον δὲ ὡς Θεὸς, καὶ τὴν ἐπὶ τούτοις τῶν Φαρισαίων προανατρέπων αἰτίαν φησίν Ὑμεῖς ἀπεστάλ κατε πρὸς Ἰωάννην· οὐκ αὐτόκλητος, φησὶ, πρὸς τὴν ἐπ' ἐμοὶ ψῆφον ὁ βαπτιστὴς, ἔξω τῆς ἐπὶ τούτῳ κείσεται γραφῆς, ἐλευθέραν ἐποιήσατο τὴν μαρτυρίαν. ὑμεῖς ἐρωτῶντες ἀπε στείλατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ. ἐρωτώ μενος γὰρ παρ' ἐκείνων, οἵπερ ἦσαν πρὸς αὐτὸν ἀπεσταλ μένοι, εἰ αὐτός ἐστιν ὁ Χριστός "Ὡμολόγησε καὶ οὐκ "ἠρνήσατο· ὡμολόγησεν ὅτι ἐγὼ οὐκ εἰμὶ ὁ Χριστὸς, ἀλλ' "ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου." μεμαρτύρηκεν οὖν τῇ ἀληθείᾳ, ἀλήθεια γὰρ ὁ Χριστός. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε. Οὐχ ὡς ἄχρηστον ἀποπέμπεται τὴν Ἰωάννου φωνὴν, οὐδὲ ἀργὸν ἀποφαίνει τῆς ἀληθείας τὸν μάρτυρα· ἢ γὰρ ἂν ἔδοξε δικαίως αὐτός τι καθ' ἑαυτοῦ τῶν ἀτόπων ἐργάζεσθαι, τοῦ χρῆναι πιστεύεσθαι παραλόγως ἐκπέμπων ὃν αὐτὸς ἔπεμψε βοᾶν "Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς "τρίβους τοῦ Θεοῦ ἡμῶν·" ἀλλ' ὡς ἀμετρήτῳ δυσηκοΐᾳ τῶν Ἰουδαίων μαχόμενος, ἐπὶ τὰ μείζω τε καὶ ἀξιολογώτερα χωρεῖ, οὐκ ἀναγκαίως μὲν ἐξ ἀνθρώπου φωνῆς τὴν ἐφ' ἑαυτῷ δέχεσθαι μαρτυρίαν εἰπὼν, μᾶλλον δὲ ἀπὸ τῆς πρε πούσης ἐξουσίας τῷ κατὰ φύσιν ὄντι Θεῷ, καὶ ἀπὸ τῆς ἐν ταῖς θεοσημείαις ὑπεροχῆς, λαμπροτέραν ποιήσασθαι τὴν ἀπόδειξιν. ἀνθρώπου μὲν γὰρ ἔσθ' ὅτε παρακρούσαιτ' ἄν τις φωνὴν, ὡς οὐκ ἀληθεύουσαν, εἰ καί τις εἴη τυχὸν τῶν ἐν 1.361 ἁγίοις κατατεταγμένων· ὃ δὴ καὶ ποιεῖν οὐ κατοκνοῦντές τινες, τοῖς τῶν προφητῶν ἀντέπραττον λόγοις "Ἄλλα ἡμῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"λαλεῖτε, βοῶντες, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν." ἔτι τε πρὸς τούτοις, καὶ τῶν ἐξ Ἱεροσολύμων, ἤτοι τῆς Ἰουδαίων χώρας, εἰς τὴν Αἰγυπτίων καταπεφευγότες τινές· Ἀζαρίας δὲ ἦν υἱὸς Ὡσηὲ καὶ Ἰωάννης υἱὸς Καρηὲ, καὶπάντες οἱ ἄνδρες οἱ ὑπερήφανοι, καθὰ γέγραπται, διαῤῥήδην ταῖς Ἱερεμίου προφητείαις ἀπειθοῦντες, ἔφασκον "Ψεύδη, "οὐκ ἀπέστειλέ σε Κύριος πρὸς ἡμᾶς εἰπεῖν Μὴ εἰσέλθητε "εἰς Αἴγυπτον·" ἡ δὲ διὰ τῶν θαυμάτων ἀπόδειξις, ποίαν ἂν λάβοι τὴν ἀντιλογίαν, καὶ τὸ τοῖς τοῦ Θεοῦ καὶ Πατρὸς ἐπιμαρτυρεῖσθαι πλεονεκτήμασι, ποῖον ἔτι δώσει τοῖς φιλεγ κλήμοσι τῆς δυστροπίας τὸν τρόπον; καὶ γοῦν ὁ Νικόδημος· εἷς δὲ ἦν οὗτος τῶν παρ' ἐκείνοις καθηγητῶν, καὶ ἐν τοῖς τὸ ἄρχειν λαχοῦσι κατατεταγμένος· ἀναντίῤῥητον τὴν ἀπὸ τῶν θαυμάτων ἐποιεῖτο μαρτυρίαν λέγων "Ῥαββὶ, οἴδαμεν ὅτι "ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ δύναται τὰ "σημεῖα ταῦτα ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' "αὐτοῦ." Ὡς οὖν οὐκ ἐκβαίνοντος τὴν Ἰουδαίων κακόνοιαν τοῦ καὶ αὐτὸν ἀπειθεῖσθαι τὸν ἅγιον βαπτιστὴν, τὴν ὅσον ἧκεν εἰς λόγους μαρτύριαν εἰσάγοντα, πάλιν ὡς ἐν ἤθει φησί Μεμαρτύρηκε μὲν τῇ ἀληθείᾳ, καίτοι παρ' ὑμῶν ἐρωτώμενος, ὁ μακάριος βαπτιστὴς, ἀλλ' ἐπείπερ ὑμῖν ἀνεπιχείρητον οὐδὲν, καὶ τὸ ῥιψοκινδύνως ἐπὶ πᾶσαν ἰέναι λοιδορίαν κατεί θισται, καὶ τὴν ἐκείνου κατὰ τὸ εἰκὸς παρεκρούσασθε φωνήν. ἐπειδὴ δὲ ὀρθῶς μὲν ὑμῖν ἔχειν καὶ τοῦτο δοκεῖ, ἔστω δὴ, πείθομαι τυχὸν, κατανεύω σὺν ὑμῖν, ἀποστήσομαι δι' ὑμᾶς καὶ τῆς Ἰωάννου φωνῆς, καὶ τὴν ἐκείνου μαρτυρίαν μεθ' 1.362 ὑμῶν παραγράψομαι· ἔχω τὸν ἄνωθεν μαρτυροῦντα Πατέρα. διδάσκων δὲ πάλιν, ὅτι συναίνεσιν ὑποθετικὴν ὁ λόγος ὠδίνει, χρησίμως ἐπήνεγκε Ταῦτα δὲ λέγω ἵνα ὑμεῖς σωθῆτε, ἀντὶ τοῦ Τοὺς τοιούτους πρὸς ὑμᾶς ἐποιησάμην λόγους, οὐχ οὕτως ἐχούσης τῆς ἀληθείας, ἀλλ' ὑποθετικῶς, ἵνα ὑμεῖς διὰ παντὸς σώζησθε τρόπου. Καὶ μέχρι δὴ τούτου τὸ δεύτερον ἡμῖν βιβλίον στήσεται.

ΚΥΡΙΛΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΠΛΗΡΩΘΗ ΒΙΒΛΙΟΝ Β΄.

1.363 ΚΕΦΑΛΑΙΑ ΕΝ ΤΩι ΤΡΙΤΩι ΒΙΒΛΙΩι ΠΛΑΤΥΤΕΡΟΝ ΕΙΡΗΜΕΝΑ.

α. Ζήτησις ἀκριβὴς, διατί μὴ μόνον λύχνος, ἀλλὰ καιόμενος καὶ φαίνων ὁ μακάριος βαπτιστὴς εἴρηται παρὰ Χριστοῦ, προκειμένου ῥητοῦ Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος. β. Ὅτι εἰκών ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, ἐν ᾧ καὶ πρὸς Ἰουδαίους ἔλεγχος, ὡς μὴ νοοῦντας τὰ διὰ Μωυσέως αἰνιγματωδῶς μᾶλλον εἰρημένα, προκειμένου ῥητοῦ Οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε, καὶ τὰ ἑξῆς. γ. Ὅτι τοῦ Σωτῆρος τὴν ἄφιξιν ἐσήμαινεν ὁ Μωυσῆς, λέγων Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ὡς ἐμέ. δ. Ὅτι πολλάκις αἱ Χριστοῦ μεταβάσεις ἀπὸ τῆς Ἱερουσαλὴμ τὸ μετατεθήσεσθαι τὴν χάριν ἐπὶ τὰ ἔθνη δηλοῦσιν, ἐν ταὐτῷ δὲ καὶ ὁ λόγος περὶ τῶν πέντε ἄρτων τῶν κριθίνων καὶ τῶν δύο ὀψαρίων, προκειμένου ῥητοῦ Καὶ μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Τιβεριάδος. ε. Ὅτι χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Μονο γενὴς, καὶ οὐχ ἕτερος παρ' αὐτὸν ἢ ἔστιν ἢ νοεῖται χαρακτὴρ, προκειμένου ῥητοῦ Ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει, καὶ τὰ ἑξῆς. . Περὶ τοῦ μάννα, ὅτι τύπος ἦν τῆς Χριστοῦ παρουσίας καὶ τῶν δι' αὐτοῦ χαρισμάτων πνευματικῶν, προκειμένου ῥητοῦ Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωυσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ.

1.365 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ Γ.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ζήτησις ἀκριβὴς διατί μὴ μόνον ὁ λύχνος, ἀλλὰ καιόμενος καὶ φαίνων ὁ μακάριος βαπτιστὴς εἴρηται παρὰ Χριστοῦ. ἌΡΤΙ καὶ μόλις τὸν ἐπὶ τῷ δευτέρῳ βιβλίῳ στήσαντες κάλαμον, καὶ τῶν θείων θεωρημάτων τὸ πλατύ τε καὶ βαθὺ διανηξάμενοι πέλαγος, καταίρειν τε οὕτω νομίσαντες, ὡς εἰς λιμένα τὸ τέλος, καὶ μονονουχὶ τῆς ἠπείρου τὸ σκά φος ἐξάπτοντες, θαλάττης ὁρῶμεν ἑτέρας ἀρχὴν, τὸν ἐπὶ τοῖς ἐφεξῆς δηλονότι δρόμον, ὃν καὶ ὅτι προσήκοι μετὰ πάσης ἡμᾶς ἐξανύειν σπουδῆς, καὶ αὐτὸς δυσωπεῖ τοῦ πράγματος ὁ σκοπὸς, ἀναπείθει δὲ οὐδὲν ἧττον καὶ τὸ ὑπό του λεγόμενον "Ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεής." φέρε δὴ οὖν εἰς εὔτολμον πάλιν ἀναβαίνοντες φρόνημα, τῷ μὲν ἀγαθῷ καὶ φιλανθρώπῳ Θεῷ τὰ καθ' ἡμᾶς οἰακοστρο 1.366 φεῖν ἐπιτρέπωμεν· ἀναπετάσαντες γὰρ καθάπερ ἱστίον τῆς διανοίας τὸ πλάτος, καὶ τὴν τοῦ Πνεύματος χάριν ἐγκολ πούμενοι καθάπερ ἐκ πρύμνης οὐρίαν ἠχὴν, εἰς βαθεῖαν ἐκτρέχωμεν ζήτησιν. Χριστὸς γάρ ἐστιν "ὁ διδοὺς ἐν θα "λάσσῃ ὁδὸν καὶ ἐν ὕδατι τρίβον." κατέληξε μὲν οὖν τὸ δεύτερον ἡμῖν βιβλίον, ἐν τῷ "Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου "τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς "σωθῆτε." ἀρξώμεθα δὲ τοῦ τρίτου, στοιχηδὸν ἐπισυν άπτοντες τὰ ἐφεξῆς τὰ περὶ τοῦ ἁγίου βαπτιστοῦ λέγον τος τοῦ Χριστοῦ· Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. Λύχνῳ παρεικάζει τὸν ἅγιον βαπτιστὴν, ἅτε δὴ κατὰ τὸ προσεῖναι πεφυκὸς ἀνθρώπῳ μέτρον προαναλάμψαντα μὲν τῆς παρουσίας αὐτοῦ, πλὴν οὐκ ἰδίῳ κεχρημένον φωτί· οὐ γὰρ ἴδιον ἐν τῷ λύχνῳ τὸ φῶς, ἀλλ' ἔξωθέν τε καὶ ἐπακτὸν καὶ προστεθειμένον· οὕτω δ' ἂν ἴδοις καὶ ἐν τοῖς ἁγίοις τὸν παρὰ Χριστοῦ φωτισμὸν ἐν πνεύματι· διὸ δὴ καὶ λίαν εὐγνωμονέστατα καὶ φρονοῦντες καὶ πράττοντες αὐτοὶ δι' οἰκείας ὁμολογοῦσι φωνῆς "Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ "ἡμεῖς πάντες ἐλάβομεν." φῶς μὲν γάρ ἐστι κατὰ φύσιν ὁ Μονογενὴς, ἅτε δὴ καὶ ἐκ φωτὸς ἀναλάμψας, τῆς τοῦ Πατρὸς οὐσίας φημί· μετέχει δὲ ἡ κτίσις αὐτοῦ, καὶ πᾶν εἴ τι τὴν τοῦ λογικεύεσθαι καὶ φρονεῖν ἐπάγεται δύναμιν, σκεῦος ὥσπερ ἐστὶν εἰς τὸ δύνασθαι θείου πληροῦσθαι φωτὸς, ἄριστα διηρτισμένον ὑπὸ τοῦ πάντων ἀριστοτέχνου Θεοῦ. λύχνος οὖν ὁ μακάριος βαπτιστὴς κατὰ τὸν ἤδη προαποδο θέντα λόγον. τοῦτο δὲ λέγων ὁ Σωτὴρ οἰκονομικῶς τοὺς 1.367 ἀνοήτους Φαρισαίους καλεῖ πρὸς ὑπόμνησιν τῆς τοῦ Θεοῦ καὶ Πατρὸς φωνῆς, λέγοντός που περὶ αὐτοῦ "Ἡτοίμασα "λύχνον τῷ Χριστῷ μου." σφόδρα δὲ χρησίμως τε καὶ ἀναγκαίως τοῖς ἤδη προειρημένοις ἐπάγει νυνὶ τὰ τοιαῦτα Χριστός. ἐπειδὴ γὰρ πᾶσαν ἀποκλείων τοῖς Ἰουδαίοις ἀπειθείας ἀφορμὴν, καὶ πανταχόθεν αὐτοὺς συνελαύνων εἰς τὸ χρῆναι πιστεύειν αὐτῷ, συναινεῖν ἔδοξέ πως εἰς τὸ μὴ δέχεσθαι τὴν μαρτυρίαν τὴν παρ' αὐτοῦ, εἰπών "Ἐγὼ δὲ "οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω·" ἵνα μὴ δοκοῖεν ὄντως τε καὶ ἀληθῶς οὕτω διακεῖσθαι περὶ τοῦ προδρόμου τὸν Κύριον, ὥσπερ οὖν ἔχει τοῦ λόγου τὸ σχῆμα, χρησίμως εἰς τὸ παρὸν, οὐχ ἑαυτόν τι λέγοντα περὶ αὐτοῦ, διὰ δὲ τῆς τοῦ Πατρὸς φωνῆς εἰσφέρει βοώμενον· ᾤετο γὰρ δεῖν αἰδοῖ μάλιστα τῇ πρὸς Θεὸν καὶ Πατέρα, τὸν ἀντιτεί νοντα δυσωπεῖν, ἤγουν ἤδη γυμνότερον θεομαχοῦντα δεικνύ ειν, ὡς καὶ αὐτοῖς τοῖς τοῦ Θεοῦ καὶ Πατρὸς ἀνέδην ὑπαν τιάζοντα λόγοις. Ἦν οὖν φησιν ἐκεῖνος ὁ λύχνος, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλ λιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. ἔδει γὰρ οὐ μόνον τοῦ πρέποντος ἀποφοιτῶντας εὐκόλως, καὶ διὰ πολλὴν ἀνοσιό τητα τρόπων τὸ ἐθελῆσαι πιστεύειν ἐξωθουμένους, ἐπιδεῖξαι τοὺς Φαρισαίους, ἀλλὰ καὶ ἀψικόρους ὄντας ἐλέγχειν, καὶ προσεδρεύειν μὲν τῇ ἐφέσει τῶν ἀγαθῶν οὐδαμόθεν κατει θισμένους, ἀπογευομένους δὲ μόλις, καὶ ὅσον ἐν ῥήμασιν ἐπαινέσαντας μόνον τοὺς οἵπερ ἂν δόξειαν εἶναι σεπτοὶ, ταχὺ πρὸς τὴν ἐναντίαν ἕξιν μεταχωρεῖν οὐκ αἰσχυνομένους· τοῦτο γὰρ οἶμαι σημαίνειν τὸ ἐθελῆσαι πρὸς ὥραν ἀγαλλια θῆναι ἐν τῷ φωτὶ αὐτοῦ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπεθαύμαζον μὲν γὰρ ἐν ἀρχαῖς τὸν ἅγιον βαπτιστὴν, ὡς ἀσκητὴν, ὡς φιλόθεον, ὡς εὐλαβείας ἁπάσης ὑπογραμμὸν, ἀλλ' οἱ τιμῶντες τῷ θαύματι, πάλιν 1.368 ὑβρίζουσιν, οὐκ ἀνεχόμενοι λέγοντος τό "Ἑτοιμάσατε τὴν "ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν." τοῦτο γὰρ δὴ καὶ ποιοῦντες σαφῶς διὰ τῆς ἀπειθείας ἁλί σκονται. Ἤδη μὲν οὖν, καθάπερ ὑπολαμβάνω, τὸν εὐτριβῆ καὶ κατειθισμένον τοῖς πολλοῖς τῆς ἑρμηνείας τρόπον τοῦ προ κειμένου τηρήσαντες, τὴν ἐπ' αὐτῷ θεωρίαν κατὰ τὴν ἐνοῦ σαν ἡμῖν ἐξεθέμεθα δύναμιν· ἐπειδὴ δὲ τοῦ Σωτῆρος ὁ λόγος εἰς βαθείας ἡμᾶς κατατείνων ἐννοίας, καὶ πικροτέρων ἅψα σθαι νοημάτων μονονουχὶ καὶ ἐπαναγκάζων ὁρᾶται, οὐχ ἁπλῶς ὅτι λύχνος ἦν Ἰωάννης σημαίνων, ἀλλ' ὅτι καὶ καιόμενος καὶ φαίνων, ἀναγκαῖον ἡγούμεθα, προσβαλόντας ὀξυωπέστερον τῇ τῶν εἰρημένων δυνάμει, τῆς ἀληθείας τὸ κάλλος ἰχνηλατεῖν. αὐτὸ δὲ δὴ πάλιν εἰς μέσον ἡμῖν παροι σθήσεται τὸ ῥητόν. Ἐκεῖνος ἦν ὁ λύχνος φησίν. ἐξήρκει καὶ διὰ τούτου μόνου κατασημῆναι τὸν ἅγιον βαπτιστὴν, ὥστε καὶ εἰς ἔννοιαν τοὺς ἀκροωμένους ἀναδραμεῖν τῆς περὶ αὐτοῦ προφητείας, ἐχούσης ὧδε "Ἡτοίμασα λύχνον τῷ Χριστῷ "μου." ἐπειδὴ δὲ προστίθησι τῷ λύχνον εἰπεῖν, ὁ καιόμενος καὶ φαίνων, δῆλος ἂν εἴη δήπουθεν οὐκ εἰς μόνην τὴν τοῦ προφήτου φωνὴν ἀναφέρων τὸν ἀκροατὴν, ἀλλὰ καὶ εἰς νομι κήν τινα διατύπωσιν, ὡς ἐν σχήματι πάλιν καὶ σκιᾷ τὴν Ἰωάννου δᾳδουχίαν προαναπλάττουσαν, ἣν καλῶς ἐποιήσατο μαρτυρήσας τῷ δεσπότῃ Χριστῷ. ὡς δὲ τοῖς Μωυσαϊκοῖς ὁμιλοῦντας λόγοις καὶ τοῦτο ἐνδελεχῶς τοὺς οἰησίφρονας Φαρισαίους, ἐξελέγχει πάλιν ἀμαθαίνοντας, καὶ δοκήσει μᾶλ λον ὄντας σοφοὺς, ἤπερ ὄντως νομομαθεῖς. οὗτος μὲν οὖν σύμπας ἐστὶν ὁ τοῦ λόγου σκοπός· δεῖν δὲ ἡμᾶς ἀναμφι λόγως ὑπολαμβάνω καὶ τὸ θεῖον αὐτὸ παρακομίζοντας λό γιον, ἐπιδεικνύειν ἤδη λύχνον οὐχ ἁπλῶς, ἀλλὰ καὶ καιόμενον καὶ φαίνοντα τὸν μακάριον βαπτιστήν. 1.369 Ὅτε τοίνυν τὰ περὶ τῆς ἁγίας σκηνῆς διετύπου Θεὸς, μετὰ τὴν τῶν αὐλαίων τῶν δέκα συμπλήρωσιν, λέγει πρὸς τὸν ἱεροφάντην Μωυσέα "Καὶ σὺ σύνταξον τοῖς υἱοῖς "Ἰσραὴλ, καὶ λαβέτωσάν σοι ἔλαιον ἐξ ἐλαίων ἄτρυγον "καθαρὸν κεκομμένον εἰς φῶς καῦσαι, ἵνα καίηται ὁ λύχνος "διὰ παντὸς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἔξωθεν τοῦ κατα "πετάσματος τοῦ ἐπὶ τῆς διαθήκης· καύσει αὐτὸν ὁ Ἀαρὼν "καὶ οἱ υἱοὶ αὐτοῦ ἀπὸ ἑσπέρας ἕως πρωῒ ἐναντίον Κυρίου, "νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν παρὰ τῶν υἱῶν "Ἰσραήλ. καὶ σὺ προσαγάγου πρὸς σεαυτὸν τόν τε Ἀαρὼν "τὸν ἀδελφόν σου καὶ τοὺς υἱοὺς αὐτοῦ ἐκ τῶν υἱῶν Ἰσραὴλ "ἱερατεύειν μοι." τὸ μὲν οὖν θεῖον λόγιον ἐν τούτοις ἡμῖν ἑστάτω, χωρητέον δὲ ἤδη πρὸς τὴν ἐνδεχομένην σαφήνειαν αὐτοῦ· τὸ ἔλαιον τὸ ἄτρυγόν τε καὶ καθαρὸν, ἔοικεν ὑποδη λοῦν τὴν καθαρωτάτην καὶ ἀθόλωτον τοῦ Ἁγίου Πνεύματος φύσιν, ἥτις ἐν ἡμῖν ἐλαίου δίκην ἀπερινοήτως εἰστρέχουσα ἀποτρέφει καὶ συνέχει καὶ αὔξει τὸν ἐν ψυχῇ φωτισμὸν, καθάπερ ἐν λύχνῳ κείμενον. οὕτω δὲ καὶ τὸν θεσπέσιον βαπτιστὴν τῆς περὶ τοῦ Σωτῆρος ἡμῶν μαρτυρίας τὸ φῶς ἐκλάμψαι πιστεύομεν, οὐχ ἑτέρωθεν τὴν τοῦ δύνασθαι φωτα γωγεῖν κομισάμενον δύναμιν, ἢ διὰ τοῦ ἐλαίου τοῦ νοητοῦ, δυνατῶς τε καὶ ἐπιτηδείως ἔχοντος εἰς τὸ φῶς καῦσαι τὸ θεῖον ἐν ἡμῖν, ὃ δὴ καὶ αὐτὸς ὡς ἐν αἰνίγματι ὁ Σωτὴρ κατεμήνυσε λέγων "Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί "θέλω εἰ ἤδη ἀνήφθη;" λύχνος οὖν ὡς ἐν τύπῳ πάλιν ὁ καιόμενος καὶ φαίνων διὰ παντὸς ἐν τῇ σκηνῇ τοῦ μαρτυ ρίου ὁ μακάριος ἦν βαπτιστής· καὶ τὸ μὲν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου φαίνειν αὐτὸν, σημαίνει καὶ καλῶς, ὅτι δεκτὸς ἐν ἐκκλησίαις ὁ παρ' αὐτοῦ φωτισμὸς, καὶ οὐκ ἔξω κείσεται τῆς 1.370 ἱερᾶς τε καὶ θείας τοῦ Σωτῆρος αὐλῆς. τὸ γεμὴν ἔξω τοῦ καταπετάσματος ὁρᾶσθαι τὸν λύχνον, ἔοικεν ὑποδηλοῦν, ὅτι τὸν ἁπλούστερόν τε καὶ εἰσαγωγικὸν εἰσοίσει φωτισμὸν, "Μετανοεῖτε λέγων, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·" τῶν δὲ ἔσω τοῦ καταπετάσματος ἀποκεκρυμμένων, δηλαδὴ τοῦ Σωτῆρος ἡμῶν μυστηρίων, οὐδὲν ὅλως ἐπιδεικνύει.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ γὰρ ἐβάπτισεν εἰς μετουσίαν Ἁγίου Πνεύματος, οὐδὲ εἰσ ήνεγκεν ὁ παρ' αὐτοῦ φωτισμὸς εἰς τὸ ἔσω τοῦ καταπε τάσματος· ἦν γὰρ ἐπὶ τῆς ἔξω σκηνῆς "τῆς ἐχούσης ἔτι τὴν "στάσιν" κατὰ τὴν τοῦ Παύλου φωνήν. ἐπειδὴ δέ φησιν, ὅτι καὶ "Καύσει αὐτὸν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀπὸ ἑσπέ "ρας ἕως πρωῒ ἐναντίον Κυρίου, νόμιμον αἰώνιον εἰς τὰς "γενεὰς ὑμῶν," τοιῶσδε πάλιν νοῆσαι προσήκειν οἶμαι τὸ εἰρημένον. Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τοὺς ἐν ταῖς ἐκκλησίαις κατὰ καιρὸν ἱερουργοῦντας ὑποσημαίνουσι, τουτέστι τοὺς ἐν αὐταῖς διδασκάλους, καὶ τῶν θείων θυσιαστηρίων λειτουρ γούς· οὗτοι τὸν λύχνον τὸν νοητὸν, τουτέστι τὸν Ἰωάννην, ἀεὶ διαλάμποντα τηρεῖν ἐπιτάττονται· τοῦτο γάρ ἐστι τό "Καύσουσιν αὐτὸν ἀπὸ ἑσπέρας ἕως πρωΐ." ὁ γὰρ σύμπας καιρὸς, ἐν ᾧ προσῆκε τὸ τοῦ λύχνου φαίνεσθαι φῶς, τὸ μῆκός ἐστι τῆς νυκτὸς, δι' οὗ σημαίνεται τοῦ παρόντος αἰῶνος τὸ μέτρον. φῶς γὰρ τὸν μέλλοντα νοοῦμεν αἰῶνα. καίεται γεμὴν, ἤτοι λαμπρὸς ὁ λύχνος διαφυλάττεται, δεκτὴν ἀεὶ τοῖς πιστεύουσιν εἰς Χριστὸν τὴν ἐπ' αὐτῷ δᾳδουχίαν ποιούμενος, καὶ ὅτιπέρ ἐστιν ἀληθὴς τὰ τοιαῦτα λέγων περὶ Χριστοῦ διὰ φωνῆς τῶν κατὰ καιροὺς ἱερέων ἐπιμαρτυρού μενος. Ἵνα δέ σε διδάξῃ Θεὸς, ὅτι διὰ τούτου τὸν τοῦ Σωτῆρος προανετύπου προάγγελον, εὐθὺς ἐπισυνάπτει τὴν τῶν ἱερα 1.371 τευόντων ἐπιλογήν. ἀναβήσῃ δὲ πάλιν ὅλον τοῦ κεφαλαίου τὸν λόγον ἀναμασώμενος εἰς τοιαύτην τινὰ θεωρίαν, καὶ οὐκ ἄκομψον, ὥς γε μοι δοκεῖ· ἐπὶ τέλει τῆς σκηνῆς ἡ ἐπὶ τῷ λύχνῳ διάταξις εἰσενήνεκται, μεθ' ἣν εὐθὺς ἡ τῶν ἱερέων προβολή τε καὶ χρῆσις. ἐπὶ γὰρ τέλει τοῦ νόμου καὶ τῶν προφητῶν, ἡ τοῦ προβαδίζοντος ἐξέλαμψε "Φωνὴ βοῶντος "ἐν τῇ ἐρήμῳ, καθὰ γέγραπται, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, "εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν," μεθ' ὃν εὐθὺς ἡ τῶν ἁγίων ἀποστόλων διὰ Χριστοῦ χειροτονία τε καὶ ἀνάδειξις· ἐξελέξατο γὰρ ὁ Κύριος "δώδεκα, οὓς καὶ ἀπο "στόλους ὠνόμασεν." Καὶ ἐν τούτοις ἡμῖν τῆς ἐπὶ τῷ λύχνῳ θεωρίας συμπεπε ρασμένης, ἴδωμεν πάλιν τὴν τοῦ Σωτῆρος φωνήν Ἐκεῖνος ἦν ὁ λύχνος φησὶν ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. ἕξιν ἀμαθῆ καὶ δυσάγωγον εἰς ὑπακοὴν τοῖς Φαρισαίοις ἐγκαλεῖ, καὶ διε λέγχει πάλιν, ὡς ἀσύγκριτον νοσοῦσι τὴν ἀπαιδευσίαν, οὐδὲ ἅπερ εἰδέναι κατεπαγγέλλοντο νοεῖν ἰσχύοντες, καὶ πολὺ μὲν λίαν τῆς ἀκριβοῦς νομομαθείας ἐξῳκισμένοι, ἀγνοοῦντες δὲ κατὰ τὸ παντελὲς, ἅπερ ὡς ἐν σχήμασιν ὁ νομοθέτης προ ανετύπου διὰ Μωυσέως. διὰ μὲν γὰρ τοῦ λέγειν, ὅτι ὁ λύχνος ἦν ἐκεῖνος ὁ καιόμενος καὶ φαίνων, δυσωπεῖ κατὰ τὸ εἰκὸς ὡς οὔπω νενοηκότας τὸ ἐν νομικοῖς αἰνίγμασι καὶ πάλαι σκιαγραφούμενον· διὰ δὲ τοῦ εἰπεῖν Ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ, τῆς ἄνωθεν ψήφου τὸ οἰκεῖον ἀεὶ προτάττοντας θέλημα πάλιν εἰσφέρει, καὶ οἷσπερ ἂν βούλωνται μόνοις ἀκολουθεῖν εἰθισμένους. τοῦ γὰρ νομοθέτου, φησὶ, διὰ παντὸς φαίνειν τε καὶ καίεσθαι τὸν λύχνον διατεταχότος, οὐκ εἰς ἀεὶ φαίνειν αὐτὸν ὑμεῖς 1.372 ἠθελήσατε, ἀλλὰ πρὸς μόνην ὥραν, τουτέστι πρὸς ὀλιγοστὸν κομιδῇ τὸν καιρόν. ἐν ἀρχῇ γὰρ θαυμάσαντες κατεσβέσατε, τὸ ὅσον ἐφ' ἑαυτοῖς, τοῦ λύχνου τὸ φῶς, ἀλογώτατα μὲν ἐπισκήπτοντες τῷ θεόθεν ἀπεσταλμένῳ, καὶ οὐ μόνον αὐτοὶ τὸ βαπτίζεσθαι παραιτούμενοι, ἀλλὰ καὶ τοῦ βαπτίζειν ἑτέ ρους ἀποκωλύοντες· ἀπεστείλατε γὰρ πρὸς αὐτὸν λέγοντες "Τί οὖν βαπτίζεις;" τουτέστι τί φωτίζεις εἰς μετάνοιαν καὶ ἐπίγνωσιν τοῦ Χριστοῦ; οὐκοῦν εὐηθείας ἅμα καὶ παρανο μίας ἐπήνεγκε γραφὴν τοῖς ἀνοήτοις γραμματεῦσι καὶ Φαρι σαίοις, ταῖς Ἰωάννου πάλιν ἐπαγωνιζόμενος φωναῖς ὁ Σωτήρ· ὅπερ οἶμαι συνεὶς, ἄριστά τε διειληφὼς καὶ ὁ μακάριος Λου κᾶς τῆς ἐκείνων ἀπονοίας καταβοᾷ λέγων "Καὶ πᾶς ὁ λαὸς "ἀκούσας" τῶν τοῦ Σωτῆρος ῥημάτων δηλαδὴ, "ἐδικαίωσαν "τὸν Θεὸν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. οἱ δὲ "Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν "ἐν ἑαυτοῖς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ." Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔργα ἃ δέδωκέ μοι ὁ Πατὴρ ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα ἃ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ Πατήρ με ἀπέσταλκε. καὶ ὁ πέμψας με Πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ. Εἰ καὶ λύχνος ἦν ἐκεῖνος, φησὶ, καὶ διὰ νομικῶν συν ταγμάτων ζωγραφούμενος, καὶ διὰ φωνῆς τῶν ἁγίων προ φητῶν προβοώμενος, ὡς ἀναδειχθήσεταί ποτε τοῦ κατ' ἀλή θειαν προαναλάμπων φωτὸς, καὶ διαγγέλλων ἐν ὑμῖν, ὅτι προσήκει τὴν ὁδὸν εὐτρεπῆ ποιεῖσθαι τοῦ Κυρίου καὶ Θεοῦ· ἀλλ' ἐπείπερ ὑμῖν οὐκ ἀξιόπιστος ἴσως ὁρᾶται, καίτοι τοσοῦτος ὑπάρχων ἐν ἀρετῇ, διὰ τὴν ἐνοῦσαν ὑμῖν ἀχάλινόν τε καὶ ἐκτοπωτάτην ἀπόνοιαν, ἐπὶ τὸ μεῖζον ἤδη χωρῶ, καθ' οὗ κατὰ τὸ εἰκὸς ἐρεῖτε πάλιν οὐδὲν, αὐτὸ τῆς ἀληθείας τὸ κάλλος καὶ παρὰ βούλησιν τὴν ἑαυτῶν δυσωπούμενοι. οὐ 1.373 γὰρ λόγοις ἔτι καὶ ταῖς ἐξ ἀνθρώπων ψήφοις ἐπισεμνύνομαι, οὐδὲ τὰς ἐκ ῥημάτων ψιλῶν συλλέγειν ἐπ' ἐμαυτῷ μαρτυρίας οἰήσομαι δεῖν, ἀξιολογωτέροις δὲ καὶ πολὺ μείζοσι τῶν εἰρημένων ἐπιτρέψω τὰ κατ' ἐμαυτὸν, καὶ ἐξ αὐτῆς ἤδη καταλαμπρύνω τῆς ἐν ἔργοις μεγαλειότητος, ὅτι Θεὸς κατὰ φύσιν εἰμὶ, καὶ ἐκ Θεοῦ πέφηνα Πατρὸς, ἀδικῶ δὲ οὐδὲν τοὺς ἐμοὺς, ἐφ' ὅπερ ἂν βούλωμαι μεταῤῥυθμίζων, νόμους, καὶ ἐκ τῆς κατὰ τὸ γράμμα παχύτητος εἰς πνευματικὴν θεωρίαν μεταστοιχειῶν τὰ τοῖς ἀρχαιοτέροις αἰνιγματωδῶς εἰρημένα. κατανοείτω δὲ πάλιν ὁ φιλομαθὴς, ὅτι λέγων ὁ Σωτὴρ διὰ τῶν ἔργων ἐπιμαρτύρεσθαι καλῶς εἰς τὸ εἶναι κατὰ φύσιν Θεὸς, ἐκδιδάσκει σαφῶς, ὡς οὐκ ἂν εἴη τῶν ἐνδεχομένων ἀπαραλλάκτως ἐνυπάρχειν τινὶ τὴν Θεῷ πρέ πουσαν ἐνέργειάν τε καὶ δύναμιν, εἰ μὴ καὶ αὐτὸς κατὰ φύσιν ὑπάρχοι Θεός. μαρτυρεῖται γὰρ διὰ τῶν ἔργων, οὐ καθ' ἕτερον οἶμαι τρόπον, ἀλλὰ κατὰ τοῦτον αὐτόν. εἰ γὰρ τῶν τοῦ γεννήσαντος ἔργων ὁρᾶται τελειωτὴς, καὶ ἅπερ ἂν ἐκείνῳ καὶ μόνῳ φαίνοιτο πρεπωδέστερα, ταῦτα καὶ αὐτὸς ἐξ οἰκείας ἰσχύος ἀποπληροῖ· πῶς οὐκ ἂν γένοιτο παντί τῳ σαφὲς, ὅτι τὴν αὐτὴν ἐκείνῳ φύσιν ἀπεκληρώσατο, καὶ τοῖς τοῦ τεκόντος ἰδιώμασι διαλάμπων, ὡς ἐξ αὐτοῦ, τὴν ἴσην αὐτῷ δύναμίν τε καὶ ἐνέργειαν ἔχει; εἰληφέναι γεμὴν παρ' αὐτοῦ τὰ ἔργα φησὶν, ἢ διὰ τὸ τῆς ἀνθρωπότητος σχῆμα καὶ τὴν τοῦ δούλου μορφὴν, ταπεινότερόν πως ἤπερ ἐχρῆν καὶ τοῦτο λαλῶν οἰκονομικῶς, ἢ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς εὐδοκίαν τε καὶ συναίνεσιν, τὴν ἐφ' ἅπασι τοῖς παραδόξως ἐπιτελουμένοις, τῷ τῆς δόσεως ἀποσεμνύνων ὀνόματι. οὕτω γὰρ καὶ ἀπεστάλθαι διισχυρίζεται, ἅτε δὴ καὶ κενώσας ἑαυτὸν, καθὰ γέγραπται, τῆς ἀκράτως πρεπούσης ἀξίας τῷ Θεῷ διὰ τὴν εἰς ἡμᾶς ἀγάπησιν· ἐταπείνωσε γὰρ ἑαυτὸν, καὶ τὴν τοῦ τεταπεινῶσθαι σμικροπρέπειαν οὐκ ἐν 1.374 ἑτέροις εὑρήσομεν τρόποις, ἢ ἐφ' οἷσπερ ἂν ὡς ἄνθρωπος ἔσθ' ὅτε λαλῇ. τούτῳ συνᾴδει τὸ διὰ τοῦ ψαλμῳδοῦ πάλιν ὡς ἐξ αὐτοῦ δι' ἡμᾶς ἀνθρωποπρεπῶς εἰρημένον "Ἐγὼ δὲ "κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον "αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου." ὁ γὰρ βασι λεὺς ὢν ἀεὶ μετὰ τοῦ Πατρὸς, ὁ σύνθρονός τε καὶ σύνεδρος, ὡς Θεὸς Θεῷ τῷ γεννήσαντι, κεχειροτονῆσθαί φησιν εἰς βασιλέα καὶ κύριον, ἅπερ εἶχεν ὡς Θεὸς λαμβάνειν εἰπὼν, ὅτε πέφηνεν ἄνθρωπος, ᾧ τὸ βασιλεύειν κατὰ φύσιν οὐκ ἔνεστιν, ἀλλὰ γὰρ καὶ τὸ τῆς κυριότητος ὄνομά τε καὶ πρᾶγμα πάντως ἐπακτόν.

1.375 ΚΕΦΑΛΗ Β. Ὅτι εἰκών ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, ἐν ᾧ καὶ πρὸς Ἰουδαίους ἔλεγχος, ὡς μὴ νοοῦντας τὰ διὰ Μωυσέως αἰνιγματωδῶς μᾶλλον εἰρημένα. Οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωρά κατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα, ὅτι ὃν ἀπέσταλκεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. ΟΥΧ ἁπλῆν ἄν τις ἴδοι νοημάτων διασκευὴν τῷ προτε θέντι πάλιν ἐπιχεομένην ῥητῷ, ἀλλὰ κεκρυμμένων θεωρη μάτων ἑσμὸν, πολὺ δὴ λίαν εὐκόλως τὸν τῶν ἀζητήτως ἐπακροωμένων παριππεύοντα νοῦν, μόνοις δὲ τάχα τοῖς πικρότερον ἐξετάζουσιν ὁρᾶσθαι καταδεχόμενον. τί γὰρ δὴ τὸ πεπεικὸς, ἐρεῖ τις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυχὸν, ἀπὸ τῆς θεοπρεποῦς ἐνεργείας μαρτυρεῖσθαι λέγοντα τὸν Ἰησοῦν, ὡς ἐπί τι τῶν παρακει μένων ἐλθεῖν τὸ πολὺ λίαν ἀπεσχοινισμένον, τὸ μήτε ἀκηκοέναι φημὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς φωνῆς τοὺς Φαρι σαίους πώποτε, μήτε μὴν τεθεᾶσθαι τὸ εἶδος αὐτοῦ, ἀλλὰ μηδὲ τὸν λόγον ἔχειν ἐνοικοῦντα αὐτοῖς τὸν ἐκείνου. καὶ συνθήσομαί γε, καὶ πᾶς τις οἶμαι τῶν ἄλλων, ὡς οὐκ ἔξω τοῦ πρέποντος γένοιτ' ἂν ἡ τοιαύτη παρά τινων ἐπαπόρησις. ποῖον οὖν ἄρα τοῖς προκειμένοις ἐφαρμόσομεν νοῦν, τί δὲ πάλιν εὑρεσιλογοῦντες ἐξαρτύσομεν, τῆς ἀληθείας ἐχόμενοι πανταχῆ, διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας τε καὶ χάριτος ἐξειπεῖν πειράσομαι. 1.376 Ἔθος τῷ Σωτῆρι Χριστῷ, ποιουμένῳ πολλάκις τὰς ἐπω φελεῖς διαλέξεις πρὸς τοὺς ἀσυνέτους μάλιστα Φαρισαίους, εἰς τὸ τῆς καρδίας αὐτῶν ἀτενίζειν βάθος, καὶ περισκέπτε σθαι θεοπρεπῶς τὰ ἐν λογισμοῖς ἀφώνως ἔτι κατὰ τὸν νοῦν στρεφόμενά τε καὶ ἀνακινούμενα, καὶ πρὸς ταῦτα μάλιστα καὶ τὰς ἀποκρίσεις ποιεῖσθαι καὶ τοὺς λόγους ἔσθ' ὅτε καὶ τοὺς ἐλέγχους ἐπ' αὐτοῖς, καὶ οὐ πάντως τῶν οἰκείων ῥημά των ἀνεξίτητον διατηρεῖ τὸν εἱρμὸν, ἀλλὰ πρὸς ὅπερ ἂν ἐκεῖνοι βουλεύωνται καὶ καθ' ἑαυτοὺς ἐννοῶσι, δριμὺς ὑπαντᾷ, καὶ διὰ τούτου δεικνὺς, ὅτι πέρ ἐστι κατὰ φύσιν Θεὸς, ὡς γινώσκων τὰ ἐν τῷ βάθει κείμενα, καὶ καρδίας ἐρευνῶν καὶ νεφρούς· δεχέσθω δὲ, εἴ τῳ δοκεῖ, τὴν ἐπὶ τοῖς εἰρημένοις ἐναργεστάτην ἀπόδειξιν παρὰ τῶν ἑτέρων εὐαγγελιστῶν, Λουκᾶ δὴ φημὶ καὶ τῶν σὺν αὐτῷ. γέγραπται τοίνυν ἐν τοῖς εὐαγγελίοις, ὡς ἦσάν ποτε συνεληλυθότες ἀπὸ πάσης τῆς περιχώρου τῆς Ἰουδαίας Φαρισαῖοι καὶ νομοδιδάσκαλοι. "Καὶ ἰδοὺ, φησὶν, ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς "ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι "ἐνώπιον αὐτοῦ· καὶ μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν "διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων "καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν "τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν αὐτῶν εἶπε τῷ παραλυ "τικῷ Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· καὶ "ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι "λέγοντες Τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας; τίς δύνα "ται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ Θεός; ἐπιγνοὺς δὲ ὁ "Ἰησοῦς, φησὶ, τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε "πρὸς αὐτούς Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί "ἐστιν εὐκοπώτερον εἰπεῖν Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ 1.377 "εἰπεῖν Ἔγειραι καὶ περιπάτει;" ὁρᾷς ὅπως οὐ περιμείνας τὴν ἐν προφορᾷ ῥημάτων ἀπόκρισιν, ἤτοι γογγυσμὸν, πρὸς τὰς ἐν αὐτοῖς ἐννοίας ὡς Θεὸς ἀποκρίνεται; εὑρήσεις δὲ πάλιν καὶ ἑτέραν πράγματος εἰκόνα κατὰ τοῦτο διηρτημένην τὸ σχῆμα. λέγει γὰρ οὕτως ὁ μακάριος Λουκᾶς "Ἐγένετο "δὲ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν "καὶ διδάσκειν, καὶ ἦν ἄνθρωπος ἐκεῖ καὶ ἡ χεὶρ αὐτοῦ ἡ "δεξιὰ ἦν ξηρά. παρετηροῦντο δὲ αὐτὸν οἱ γραμματεῖς καὶ "οἱ Φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύει, ἵνα εὕρωσι "κατηγορίαν κατ' αὐτοῦ· αὐτὸς δὲ ᾔδει, φησὶν, τοὺς διαλο "γισμοὺς αὐτῶν, καὶ εἶπε τῷ ἀνδρὶ τῷ ξηρὰν ἔχοντι τὴν "χεῖρα Ἔγειραι καὶ στῆθι εἰς τὸ μέσον. καὶ ἀναστὰς ἔστη. "εἶπε δὲ ὁ Ἰησοῦς πρὸς αὐτούς Ἐπερωτήσω ὑμᾶς εἰ ἔξεστι "τῷ σαββάτῳ ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι." ὁρᾷς δὴ πάλιν ἀνακεκαλυμμένως ἐν τούτοις, ὡς εἰς αὐτὴν ὁρῶν τὴν καρδίαν τῶν ἀνοήτως αἰτιᾶσθαι πειρωμένων αὐτὸν, ἐποιήσατο τοὺς λόγους; τοιοῦτόν τι πάλιν καὶ ἐπὶ τῷ προκειμένῳ ῥητῷ τεθεωρῆσθαι παρὰ τοῦ Σωτῆρος ἐν ταῖς τῶν Φαρισαίων διανοίαις ὑποτοπήσομεν. ὄψει δὲ τὴν εὐθεῖαν ἢ τὴν τοῦ πράγματος θέσιν οὐκ ἀπολακτίσαντα τὸν λόγον, ἕκαστα τῶν ἤδη προειρημένων ἀναμηρύσασθαι κατοκνήσας οὐδα μῶς. Γέγονε τοίνυν ἐν ἀρχῇ πρὸς ἐκείνους ὁ πολύς τε καὶ μακρὸς οὑτοσὶ λόγος ἐπὶ τῷ τεθεραπευμένῳ κατὰ τὸ σάβ βατον, καὶ διὰ ποικίλων εὑρημάτων καὶ συλλογισμῶν ἀνα πείθειν ἐπειρᾶτο Χριστὸς τοὺς οἵπερ ἦσαν ἐπὶ τῇ τοῦ σαββάτου λύσει δυστρόπως ἀσχάλλοντες, ὡς ἔξεστι καὶ ἐλεεῖν ἐν σαββάτῳ, καὶ εἰς πάντας ἐργάζεσθαι τὸ ἀγαθὸν, καὶ πρὸς τούτοις, ὅτι πράγματος ἀξιολογωτάτου σκιὰν ὁ νόμος ἐποιεῖτο τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ τὸ σάββατον ἀργίαν, ἄλλως τε καὶ 1.378 ὅσον ἧκεν εἰς τὴν ἐκείνων ψῆφον παραλύσας τὴν τοῦ σαβ βάτου τιμὴν, ἢ καὶ τὸν νόμον ὡς διὰ τούτου δὴ μάλιστα παραβεβηκὼς, καὶ ἀπεστάλθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ λίαν εὐτόνως διισχυρίζετο, καὶ προσέτι μαρτυρεῖσθαι παρ' αὐτοῦ, καὶ συνευδοκήσειν ἐφ' ἅπασιν οἷσπερ ἂν ἐργά σαιτο, διελάλει σαφῶς. πρὸς ταῦτα κατά γε τὸ ἐν λογισμοῖς πιθανὸν, διενθυμοῦνται πάλιν οἱ Φαρισαῖοι καθ' ἑαυτοὺς, ἅτε δὴ τοῖς νομικοῖς προσεδρεύοντες γράμμασιν, ἀεί τε τὰς διὰ Μωυσέως ἐντολὰς προϊσχόμενοι καὶ ἀνεγνωκέναι λέ γοντες Τίς ὁ παρὰ τούτου λόγος· πῶς δὲ αὐτῷ συνευδοκήσει παραλύοντι τὸν νόμον ὁ Θεὸς καὶ Πατήρ; πότε δὲ μεμαρ τύρηκεν, ἢ τίνα ψῆφον ἐποιήσατο περὶ αὐτοῦ; ἐκ μὲν γὰρ τῶν Μωυσαϊκῶν συνταγμάτων ἐγνώκαμεν ὅτι καταβέβηκεν ὁ Θεὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ὤφθη τοῖς πατράσι τὸ εἶδος αὐτοῦ, ἀκουστὴ, φησὶ, γέγονεν ἡ φωνὴ αὐτοῦ· λελάληκεν ὅλῃ τῇ Συναγωγῇ, τηρεῖν ἐκέλευσε τὴν ἡμέραν τοῦ σαβ βάτου, σαφῶς διαστείλας ὡδί "Μνήσθητι τὴν ἡμέραν τῶν "σαββάτων ἁγιάζειν αὐτήν· ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις "πάντα τὰ ἔργα σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα "ἅγια Κυρίῳ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον." καὶ οὐχ ἑτέρου, φησὶ, ταῦτα λέγοντος ἠκούσαμεν, αὐτήκοος ἦν τῆς θεόθεν φωνῆς ἡ τῶν πατέρων πληθὺς, καὶ μετ' ἐκείνους ἐν ἡμῖν ὁ λόγος τοῦ Θεοῦ· τίς δὲ οὗτός ἐστιν; Ταῦτα πάλιν ἐπείπερ ἐνθυμουμένους ἐθεᾶτο, πικρῶς ἅμα θαίνοντας ἐξελέγχει λέγων Οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε οὔτ' εἶδος αὐτοῦ ἑωράκατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος τούτῳ ὑμεῖς οὐ πιστεύετε. τὰ γὰρ ἐν τύπῳ γεγονότα κατ' ἐκεῖνο τοῦ καιροῦ, καὶ δι' ὧν αὐτοῖς ἡ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ κάθοδος ἐσχηματίζετο τοῦ Θεοῦ, ταῦτα πάλιν εἰδότες οὐδὲν, οὐκ εἰς εἰκόνας πραγμάτων ἐδέχοντο νοητῶν, ἀλλ' ὄντως καὶ τοῖς τοῦ σώματος ὀφθαλ 1.379 μοῖς ὁρατὴν εἶναι δύνασθαι τὴν θείαν ᾤοντο φύσιν, καὶ φωνῇ σωματικῇ κεχρῆσθαι πεπιστεύκεισαν. ὅτι δὲ ἀληθὴς ἐπ' αὐτοῖς τοῦ Σωτῆρος ὁ λόγος ἦν, καὶ οὔτε φωνῆς ἀκηκόασί ποτε τοῦ Θεοῦ καὶ Πατρὸς, οὔτε μὴν ὄψει τῇ διὰ σώματος τεθέαταί τις τὸ εἶδος αὐτοῦ, τουτέστι τὸν ὅμοιον αὐτῷ κατὰ πάντα Λόγον, χρῆναι πάλιν ἐπιδεῖξαι σαφῶς ὑπολαμβάνω, τὰ ἐν τῇ ἐξόδῳ γεγραμμένα παραθέντα πρὸς ἔρευνάν τε καὶ βάσανον πνευματικήν. ἔχει δὲ οὕτως "Καὶ ἐξήγαγε Μωυσῆς "τὸν λαὸν εἰς τὴν συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς, "καὶ παρέστησαν ὑπὸ τὸ ὄρος τὸ Σινᾶ. τὸ δὲ ὄρος τὸ Σινᾶ "ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι τὸν Θεὸν ἐπ' αὐτοῦ "ἐν πυρὶ, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡς καπνὸς καμίνου· καὶ "ἐξέστη πᾶς ὁ λαὸς σφόδρα. ἐγίνοντο δὲ αἱ φωναὶ τῆς "σάλπιγγος προβαίνουσαι ἰσχυραὶ σφόδρα· Μωυσῆς ἐλά "λει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ." ὧδε μὲν οὖν ἡμῖν τὸ τοῦ πανσόφου Μωυσέως λόγιον ἔχει· δεῖν δὲ οἶμαι καὶ νῦν εἰς γελοιοτάτην κατολισθαίνοντας περὶ Θεοῦ δόξαν τοὺς Ἰουδαίους ἐλέγχειν, καὶ αὐτὸ τεθεᾶσθαι τὸ εἶδος οἰηθέντας αὐτοῦ, καὶ ἀκοῦσαι τῆς ὄντως ἐνούσης τῇ θείᾳ φύσει φωνῆς. Ἄγε δὴ τοίνυν τῇ τοῦ Σωτῆρος ἐπιθαρσοῦντες χορηγίᾳ καὶ χάριτι, τὴν τοῦ νομικοῦ παχύτητα γράμματος εἰς πνευ ματικὴν θεωρίαν ἀπολεπτύνωμεν· οὕτω γὰρ μάλιστα φα νεῖται καὶ ἀληθὲς τὸ πρὸς Φαρισαίους εἰρημένον περὶ Θεοῦ Οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε οὔτε εἶδος αὐτοῦ ἑωράκατε. τὸ μὲν οὖν διὰ Μωυσέως ἐξάγεσθαι τὸν λαὸν εἰς ἀπάντησιν τοῦ Θεοῦ, καθὰ γέγραπται, σημεῖον ἂν γένοιτο σαφὲς καὶ λόγος ὡς ἐν αἰνίγματι, τοῦ μὴ δύνασθαί τινας ἀπαιδαγω γήτως τε καὶ ἀνεπιστήτως ἰέναι πρὸς Θεὸν, νόμῳ δὲ μᾶλλον χειραγωγουμένους εἰς ἐπίγνωσιν ὧν ζητοῦσι μαθεῖν. Μωυσῆς 1.380 γὰρ εἰς νόμον ἡμῖν νοηθήσεται κατὰ τὸ εἰρημένον ὑπό τινος "Ἔχουσι Μωυσέα καὶ τοὺς προφήτας." ἡ δέ γε παρά στασις ἡ ὑπὸ τὸ ὄρος καταβεβηκότος ἤδη καὶ ὄντος ἐν αὐτῷ τοῦ Θεοῦ, τὴν ἑτοιμότητα τῆς γνώμης καὶ τὸ γοργὸν εἰς δουλείαν τῶν καλουμένων ὑποδηλοῖ, οὐκ ἀνανευόντων τρόπον τινὰ καὶ τοῖς ὑπὲρ δύναμιν καὶ ὑψηλοτέροις ἢ κατὰ τὴν φύσιν προσβαλεῖν, συμπαρόντος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῖς τοῦ Θεοῦ. τοιοῦτοι δὲ πάντως τοῦ Σωτῆρος οἱ μέτοχοι. διὸ δὴ καὶ τὴν ὑπὲρ ἄνθρωπον μελετῶντες ἀνδρείαν "Τίς ἂν ἡμᾶς χωρίσαι, "φασὶν, ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις ἢ στενο "χωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μά "χαιρα;" πάντα γὰρ τοῖς εὐσεβοῦσιν οἰστὰ τὰ δεινὰ διὰ τὴν εἰς Χριστὸν ἀγάπησιν· κἂν ὡς ὄρος ἡ θλίψις ἐγείρηται, παντὸς ἐκεῖνοι κινδύνου καταneανιεύσονται, καὶ τῆς πρὸς Θεὸν φιλίας τὴν γνώμην οὐκ ἀποστήσουσι. κατελθεῖν δὲ λεγόμενος, οὐκ εἰς χθαμαλόν τινα χῶρον, ἀλλ' ἄνω που πάλιν καὶ ἐν ὄρει φαίνεται Θεὸς, ἵνα δή τι τοιοῦτον ἐννοήσῃς κατὰ σαυτὸν, ὅτι κἂν ταῖς ἡμετέραις διανοίαις ἡ θεία φύσις συγκαταβαίνουσα, ἑαυτὴν ἡμῖν προσάγῃ πρὸς κατανόησιν, ἀλλ' ἔστι πάλιν ἐν τοῖς πολὺ λίαν ὑπὲρ ἡμᾶς καὶ λόγοις καὶ θεωρήμασι. τὸ γὰρ ὑψηλόν τε καὶ ὑπέρτονον τῶν περὶ αὐτῆς δογμάτων διὰ τοῦ ὄρους σημαίνεται, ὃ καὶ σύμπαν ἡμῖν τῷ καπνῷ καταμελαίνεσθαι λέγει. δριμεῖς γὰρ ὄντως καὶ οὐ σφόδρα λαμπροὶ παρ' ἡμῖν οἱ περὶ τῆς θεότητος λόγοι, τὸν τῆς διανοίας ὀφθαλμὸν καπνοῦ δίκην ἀμύττοντες. διὰ τοῦτο Παῦλος μὲν ὁ σοφώτατος ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι βλέπειν ἡμᾶς διεμαρτύρατο· τεθεικέναι δὲ "σκότος ἀποκρυφὴν αὐτοῦ," τὸν Θεὸν δηλονότι, φησί που πάλιν ὁ μελῳδὸς, τῷ τοῦ σκότους ὀνόματι τὴν περὶ αὐτὸν ἀκαταληψίαν ὑποδηλῶν, ἧσπερ ἂν εἰς τύπον ληφθείη καλῶς 1.381 ὁ περὶ τὸ πῦρ ἐν τῷ ὄρει καπνός· ἐν πυρὸς δὲ σχήματι κάτεισι τὸ θεῖον αὐτὸ, κατ' ἐκεῖνο δὴ μάλιστα καιροῦ, πρεπόντως τε καὶ ἀναγκαίως τῇ τοῦ πράγματος φύσει. ἔδει γὰρ ἔδει τὸν εἰς δουλείαν καὶ σύνεσιν διὰ τοῦ μέλ λοντος ὁρισθήσεσθαι νόμου καλοῦντα τὸν Ἰσραὴλ, φω τιστὴν ὁρᾶσθαι καὶ κολαστήν· ἄμφω δὲ ταῦτα τελεῖται διὰ πυρός. ἀλλὰ καὶ "φωναὶ, φησὶν, αἱ τῆς σάλπιγγος "ἐγίνοντο προβαίνουσαι ἰσχυρότεραι σφόδρα," ἵνα πάλιν ἡμῖν τοιαύτη τις νοημάτων ἐξυφαίνηται δύναμις· ἐξεφω νήθη μὲν γὰρ καὶ ὁ νόμος παρὰ Θεοῦ, πλὴν οὐ συντόνως ἐν ἀρχῇ διὰ τὴν τῶν παιδαγωγουμένων ἀσθένειαν, ἀλλ' ἰσχνοφώνως, ἵν' οὕτως εἴπω, καὶ οὐχ ὅλην ἔχων τὴν τοῦ σαλπίζοντος δύναμιν. διὸ δὴ καὶ βραδύγλωσσον ἑαυτὸν ὠνόμαζεν ὁ Μωυσῆς. προβαίνοντος δὲ τοῦ καιροῦ, καὶ ἐκ τῆς κατὰ τὸ γράμμα σκιᾶς εἰς πνευματικὴν ἀναφέροντος λατρείαν τοὺς πιστεύοντας εἰς Χριστὸν, ἰσχυρότεραι σφόδρα τῆς θείας σάλπιγγος ἐξέδραμον αἱ φωναὶ, τοῦ σωτηρίου τε καὶ εὐαγγελικοῦ κηρύγματος πᾶσαν τρόπον τινὰ περιη χοῦντος τὴν οἰκουμένην. οὐ γὰρ, καθάπερ ὁ λεπτοβόης τε καὶ σμικροκῆρυξ νόμος εἰς μόνην τὴν Ἰουδαίων ἠκούσθη χώραν, ἢ καὶ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ κατηγγέλλετο, μᾶλλον δὲ "εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν," καθὰ γέγραπται. τί δὲ δὴ πάλιν ἐπὶ τούτοις; "Μωυσῆς "ἐλάλει, φησὶν, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ." Δριμὺς ἔστω πάλιν τῶν εὐμαθεστέρων ὁ νοῦς, ἐπιτηρείτω δὲ ἀκριβῶς τὴν τοῖς θείοις λογίοις ἐνοῦσαν ἀσφάλειαν. λαλεῖ μὲν γὰρ ὁ Μωυσῆς, ἀποκρίνεται δὲ τούτῳ Θεὸς φωνῇ, οὐκ ἰδίᾳ πάντως φωνῇ, τοῦτο γὰρ οὐ φησὶν, ἀλλ' ἁπλῶς τε καὶ ἀπολελυμένως φωνῇ, τῇ διὰ κτύπου ῥημάτων ἀνθρω πινώτερον παραδόξως ἀποτελουμένῃ· περὶ τί γὰρ ἂν τῶν 1.382 ἔργων ἀτονήσαι Θεός; τί δ' οὐκ ἂν ἐξανύσῃ Θεὸς θελήσας, καὶ λίαν εὐκόλως; ἐλάλει τοιγαροῦν ὁ Μωυσῆς, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ. καὶ ὁ μὲν τύπος ἐν τούτοις· ἴδωμεν δὲ τὴν ἀλήθειαν. ἔχεις τοιγαροῦν ἐν εὐαγγελίοις τοῖς ἁγίοις λαλοῦντα τὸν Κύριον "Πάτερ, δόξασόν σου τὸν Υἱὸν," ἀποκρινόμενον δὲ διὰ φωνῆς τὸν Πατέρα "Καὶ ἐδόξασα καὶ "πάλιν δοξάσω." οὐκ εἶναι δὲ τὴν φωνὴν ἀληθῶς τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Σωτὴρ ἔδειξεν, εἰπὼν τοῖς τὸ τηνικάδε παροῦσιν "Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς·" ὁρᾷς ὅπως γεγενῆσθαι σαφῶς διισχυρίσατο τὴν φωνὴν, ἐπεὶ μὴ τῇ διὰ κτύπου κεχρῆσθαι φωνῇ τὴν θείαν οἴεσθαι φύσιν ἀκόλουθον, κἂν ταῖς ἡμετέραις συσχηματίζηται χρείαις, καὶ λαλῇ καθ' ἡμᾶς οἰκονομικῶς. Ταῦτα πάλιν ἡμῖν ἀναγκαίως εἰσεκομίσθη πρὸς τὸ παρὸν τῷ λόγῳ τὰ θεωρήματα· χρῆναι δὴ πάντως ἐλογισάμεθα τοῖς ἐντευξομένοις ἀληθεύοντα φαίνεσθαι τὸν Ἰησοῦν, ὅταν εὑρίσκηται λέγων πρὸς Ἰουδαίους περὶ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰδίου γεννήτορος Οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε οὔτε εἶδος αὐτοῦ ἑωράκατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. ὅτι δὲ πάλιν οἱ Φαρισαῖοι πρὸς ἐκτόπους ἀλαζονείας ἀναφυσώμενοι, τὸν θεῖον εἶναι σὺν αὐτοῖς τε καὶ ἐν αὐτοῖς ἐπλάττοντο λόγον, διά τε τοῦτο πρὸς ἀξιάγαστον ἐλάσαι σοφίαν ἀνοήτως διισχυρίζοντο, μαρτυ ρήσει καὶ αὐτὸ τὸ Πνεῦμα, Χριστοῦ διὰ τοῦ προφήτου λέγοντος Ἱερεμίου πρὸς αὐτούς "Πῶς ἐρεῖτε ὅτι σοφοί ἐσμεν "ἡμεῖς, καὶ ὁ λόγος Κυρίου μεθ' ἡμῶν ἐστίν; εἰς μάτην "ἐγενήθη σχοῖνος ψευδὴς γραμματεῦσιν, ᾐσχύνθησαν σο "φοὶ, ἐπτοήθησαν καὶ ἑάλωσαν, σοφία τίς ἐστιν ἐν αὐτοῖς; "ὅτι τὸν λόγον Κυρίου ἀπεδοκίμασαν." πῶς γὰρ τὸν ζῶντα καὶ ἐνυπόστατον τοῦ Θεοῦ Λόγον ἀποδοκιμάσαντες οὐχ 1.383 ἁλώσονται, τὴν εἰς αὐτὸν οὐ παραδεξάμενοι πίστιν, ἀλλὰ τὸν τοῦ Θεοῦ καὶ Πατρὸς ἀτιμάσαντες χαρακτῆρα, καὶ τὸ ἀληθέστατον ὥσπερ εἶδος αὐτοῦ, διὰ τῆς θεοπρεποῦς ἐξουσίας τε καὶ δυνάμεως θεωρῆσαι παραιτησάμενοι; καταληπτὴ γὰρ ἡμῖν οὐχ ἑτέρως κατὰ τὸ ἐνδεχόμενον ἡ θεία τε καὶ ἀπόῤ ῥητος φύσις, ἢ δι' ὧν ἐπιτελεῖ καὶ ἐργάζεται· διὰ γάρ τοι τοῦτο, καὶ ἀπὸ "μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως" ἐπὶ τὴν τοῦ γενεσιουργοῦ θεωρίαν ὁ μὲν Παῦλος ἡμᾶς ἰέναι προστάττει, ξεναγεῖ δὲ πάλιν εἰς τὴν ἐφ' ἑαυτῷ κατάληψιν ὁ Σωτήρ "Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, λέγων, μὴ "πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς "ἔργοις μου πιστεύετε." κατῃτιᾶτο δέ που καὶ λίαν εὐλόγως τὸν οἰκεῖον μαθητὴν, Φίλιππος οὗτος ἦν, ὡς ἑτέρως δύνασθαι πρὸς τὴν ἐπὶ τῷ Θεῷ καὶ Πατρὶ θεωρίαν ἐλθεῖν ἀζητήτως ὑποτοπήσαντα, καίτοι παρὸν ἐπ' ἐξουσίας αὐτῷ τὴν ἀπαρα ποίητον εἰκόνα κατασκέπτεσθαι, δεικνύουσαν ἀκριβῶς ἐν ἑαυτῇ τὸν γεννήσαντα· διὸ δὴ καὶ ἔφασκε "Τοσοῦτον "χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ "ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα." Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ὑμεῖς ζωὴν αἰώνιον ἔχειν, καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρὸς μὲ, ἵνα ζωὴν ἔχητε. Ἡ μὲν λεία καὶ ἱππήλατος τοῖς πολλοῖς καὶ τετριμμένη διάνοια τοῦ ῥητοῦ προστακτικῶς εἰρῆσθαι νομίζειν παρὰ τοῦ Σωτῆρος ἡμῶν πρὸς τοὺς Φαρισαίους ἀναπείθει, τὸ χρῆναι τὰς θείας ἐρευνῶντας γραφὰς τὰς περὶ αὐτοῦ μαρτυρίας πρὸς ζωὴν ἐρανίζεσθαι. ἐπειδὴ δὲ σύνδεσμον ἐν τῷ μεταξὺ θείς· φημὶ δὲ τό Καί· συνάπτει τό Οὐ θέλετε ἐλθεῖν πρὸς μὲ, δῆλος ἂν εἴη λοιπὸν ἕτερόν τι σημαίνων, συγγενὲς μὲν τοῖς εἰρη 1.384 μένοις, ἔχον δέ τι βραχὺ τὸ ἐξηλλαγμένον. εἰ γὰρ ἔδει νοεῖσθαι προστακτικῶς, πῶς οὐκ εἶναι φήσομεν ἀναγκαῖον κατὰ τόδε τὸ σχῆμα τυχὸν τὸ σύμπαν εἰπεῖν Ἐρευνᾶτε τὰς γραφὰς ὅτι ἐν αὐταῖς δοκεῖτε ὑμεῖς ζωὴν αἰώνιον ἔχειν καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· ἐρευνήσαντες δὲ ἔλθετε πρὸς μέ· ἀλλ' ὡς μὴ ἐθέλοντας ἐλθεῖν, καίτοι διὰ τῆς ἐρεύνης ἐπὶ τοῦτο χειραγωγουμένους καταιτιᾶται λέγων Καὶ οὐ θέλετε ἐλθεῖν πρὸς μέ. Ἀναγνωσόμεθα τοίνυν ἐπὶ τὸ χρησιμώτερον βλέποντες, καὶ τὸ τοῖς προαποδοθεῖσιν ἀκολουθοῦν, οὐ πάντως προσ τακτικῶς, ἀλλ' ὡς ἐν συνέσει μᾶλλον καὶ ὑποστιγμῇ. ἔσται δὲ πάλιν τοῦ προκειμένου τοιοῦτος ὁ νοῦς. ἐπειδὴ γὰρ ἐθεάσατο αὐτοὺς τρέχοντας ἐπὶ τὰ Μωυσέως ἀεὶ συγγράμ ματα, καὶ συλλέγοντας ἐκεῖθεν ἀπαιδεύτως τὰς τῶν ἀντι λογιῶν ἀφορμὰς, ζητοῦντας δὲ ἕτερον οὐδὲν, ἢ καὶ δεχομένους, ὅπερ ἂν αὐτοῖς τὸ χρῆναι πιστεύειν περιποιῇ· διὰ τοῦτο πάλιν ἀναγκαίως ἄχρηστον αὐτοῖς καὶ ἀνόνητον τὸν τῆς ἐπὶ τούτοις ἐρεύνης ἀποφαίνει πόνον, καὶ ὡς ἐπὶ μεγάλῳ τε καὶ ἐπωφελεστάτῳ πράγματι μεμελετήκασιν οὐ κατὰ λόγον κεχρῆσθαι τὸν πρέποντα διελέγχει σαφῶς. τί γὰρ εἰπέ μοι τὸ χρήσιμον, ὅτι τὰς μὲν θείας, φησὶν, ἐρευνᾶτε γραφὰς, οἰόμενοι δι' αὐτῶν εἰς αἰώνιον ἀναβήσεσθαι ζωήν· ἐπὰν δὲ ταύτας ἐμοὶ μαρτυρούσας εὑρίσκητε, καὶ ζωὴν ὀνομαζούσας ἐμὲ τὴν αἰώνιον, οὐ θέλετε ἐλθεῖν πρὸς μὲ ἵνα ζωὴν ἔχητε; οὐκοῦν ὅθεν ἔδει σώζεσθαι, φησὶν, ἐκεῖθεν τὰ μέγιστα τὰς ἑαυτῶν ζημιοῦντες οὐ νοεῖτε ψυχὰς, πρὸς μὲν μόνον τὸ ἀντι λέγειν ἐκ Μωυσαϊκῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκονώμενοι λόγων, τὰ δὲ ἐφ' οἷς ἦν ὑμᾶς τὴν αἰώνιον ἀποκερδαίνειν ζωὴν, οὐδ' ὅσον εἰς νοῦν τὸν ἑαυτῶν εἰσοικίζοντες. 1.385 Ὅτι δὲ πολὺς ἔν τε τῷ νόμῳ καὶ τοῖς ἁγίοις προφήταις ὁ λόγος περὶ τῆς κατὰ φύσιν ζωῆς, τουτέστι τοῦ Μονογενοῦς, πᾶσιν οἶμαι τοῖς φιλομαθέσιν ὑπάρχειν καταφανές. Δόξαν παρὰ ἀνθρώπου οὐ λαμβάνω, ἀλλ' ἔγνωκα ὑμᾶς ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. Αἰσθάνεται πάλιν, μᾶλλον δὲ ὁρᾷ θεοπρεπῶς, τὸ δυ σπειθὲς καὶ δυσήνιον τῶν Φαρισαίων καταδακνόμενον στῖφος, καὶ οὐ πάντως ἐφ' οἷς ᾐτιᾶτο τὰς θείας ὡς οὐ δεόντως ἐρευ νῶντας γραφὰς, ἀλλ' ἐπὶ τῷ μᾶλλον εἰπεῖν "Οὐ θέλετε "ἐλθεῖν πρὸς μέ." ἃ γὰρ αὐτοὶ νοσοῦσιν εὐκόλως, ταῦτα δύνασθαι κρατεῖν καὶ ἐπὶ τοῦ Σωτῆρος πιστεύουσιν· ᾤοντο γὰρ δὴ κατὰ τὸ εἰκὸς, ἐκ πολλῆς καὶ τοῦτο παθόντες ἀνοίας φιλαρχεῖν ἤδη κατ' αὐτῶν τὸν Κύριον, καὶ τὰς παρὰ πάντων τιμὰς ἑαυτῷ πραγματεύεσθαι θέλειν, διὰ τοῦ καλεῖν εἰς μαθητείαν αὐτούς. τοιαύτην τινὰ τὴν ὑπόνοιαν λαβόντες εἰς νοῦν, ἐκπεσεῖσθαι μὲν ὅσον οὐδέπω τῆς κατὰ τοῦ ἔθνους ἐξουσίας προσεδόκων αὐτοί· διεπρίοντο δὲ οὐ μικρῶς τὸν κληρονόμον ὁρῶντες ἀπαιτεῖν ἐθέλοντα τὸν τοῦ ἀμπελῶνος καρπόν. διὸ δὴ πάλιν, ὅσον ἧκεν εἰς ὀργὴν καὶ τοὺς ἐπὶ τοῖς εἰρημένοις φθόνους, μονονουχὶ λέγουσι τὸ ἐν ταῖς εὐαγ γελικαῖς παραβολαῖς "Δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ σχῶ "μεν τὴν κληρονομίαν αὐτοῦ." ἀναιρῶν τοιγαροῦν τὴν ἐξ εἰκαιότητος ἐν αὐτοῖς κατεσπαρμένην ὑπόνοιαν, καὶ τὰ ἐκ φθόνου καὶ βασκανίας προαποῤῥιζῶν βλαστήματα, γυμνῇ λέγει τῇ φωνῇ Δόξαν παρὰ ἀνθρώπου οὐ λαμβάνω. οὐ γὰρ καλῶ, φησὶν, εἰς μαθητείαν τὴν παρ' ἐμοὶ τοὺς ἀκροω μένους, ἢ τὰς παρ' ὑμῶν ἢ τὰς παρ' ἑτέρων τιμὰς, καθάπερ ὑμεῖς, θηρώμενος, οὐδὲ τοῦτον τῆς διδασκαλίας ἀντικομι σαίμην ἂν τὸν μισθὸν, πληρεστάτην ἔχων τὴν δόξαν ἐξ 1.386 ἐμαυτοῦ, καὶ οὐχ ὑστερίζουσαν τῆς παρ' ὑμῶν, ἀλλ' εἴρηκα μὴ θέλειν ὑμᾶς ἔρχεσθαι πρὸς μὲ διὰ τὸ γνῶναι σαφῶς Ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. ἔρημοι γὰρ ὄντες τῆς εἰς Θεὸν ἀγάπης, φησὶ, πῶς ἂν ἐφίκοισθε πρὸς μὲ τὸν ἐκ Θεοῦ πεφηνότα Θεὸν Μονογενῆ; Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβά νετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Ἵνα μὴ δοκοῖεν οἱ Φαρισαῖοι διαλοιδορεῖσθαι μάτην αὐτοῖς τὸν Κύριον, διὰ τοῦ λέγειν "Οὐκ ἔχετε τὴν ἀγάπην "τοῦ Θεοῦ ἐν ἑαυτοῖς," πρᾶγμα δεικνὺς ἀληθὲς τὸ εἰρημένον, παρατίθησιν εὐθὺς τοῖς ἀνωτέρω καὶ τοῦτο· ὅτι γὰρ, φησὶν, οὐ διαψεύδομαι τῆς πρὸς τὸ θεῖον ἀγάπης ἐρήμους ὑμᾶς ὑπάρχειν εἰπὼν, δι' ἑνὸς ὑμῖν παραστήσω πράγματος. ἐγὼ μὲν γὰρ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου· πάντα γὰρ εἰς δόξαν τοῦ Θεοῦ καὶ Πατρὸς ἐπείγεσθαι πράττειν ὑμᾶς ἀναπείθω· ἀλλὰ ταῖς ἀπειθείαις ἀπετινάξασθε μὲν τὸν ἄνωθεν ἥκοντα καὶ θεόθεν ὁρμώμενον· λήψεσθε δὲ πάντως· οἶδα γὰρ ὡς Θεὸς τὰ ἐσόμενα· τὸν ψευδώνυμον, οὐ τῷ Θεῷ καὶ τῷ Πατρὶ τὴν δόξαν ἀνατιθέντα, καὶ τὴν παρ' ὑμῶν ἀπαιτοῦντα πίστιν, ἀλλ' ὀνόματι τῷ ἰδίῳ πραγματευόμενον· ἐντεῦθεν, οἶμαι, συνεὶς καὶ ὁ μακάριος Παῦλος ἀληθές τι φησὶ περί τε τῶν Ἰουδαίων καὶ τοῦ τῆς ἀνομίας υἱοῦ "Ἀνθ' "ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι "αὐτοὺς, διὰ τοῦτο πέμπει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης "εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσιν ἅπαντες "οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες τῇ "ἀδικίᾳ." ἀπόδειξις τοίνυν τοῦ μὴ λόγοις εἰκαίοις βεβλῆ 1.387 σθαι τοὺς Φαρισαίους παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ εἰρημένον ἐστὶ, πράγματος ἐσομένου κατ' οἰκεῖον καιρὸν προ φητείαν εἰσφέρον. Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, τὴν δὲ δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε; Φιλαρχοῦντας ἤδη καὶ τὰς ἐξ ἀνθρώπων τιμὰς ποιου μένους περὶ πολλοῦ τοὺς Φαρισαίους ἐλέγχει, λεληθότως ὑπαινιττόμενος ὅτιπερ σφόδρα ποιοῦσι κακῶς, τὰ νοσήματα τῆς οἰκείας ψυχῆς περιτιθέντες ἀβούλως τῷ κατὰ μηδένα τρόπον νοσεῖν εἰδότι Θεῷ. εἶτα τῆς φιλοδοξίας ἀπρὶξ ἐχο μένους, δι' αὐτὴν τὰ κάλλιστα ζημιοῦσθαί φησι, τὴν πίστιν δὴ λέγων τὴν εἰς αὐτόν· ὅπερ δὴ καὶ ὁ Παῦλος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῖν ὁρᾶται εἰπὼν σαφῶς "Εἰ γὰρ ἔτι, φησὶν, ἀνθρώποις ἤρεσκον, "Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην." πέφυκε τοίνυν ὥσπερ ἐξ ἀνάγκης συμβαίνειν τοῖς τὰς ἐξ ἀνθρώπων θηρωμένοις τιμὰς, τὸ τῆς ἄνωθεν ἀποπίπτειν δόξης καὶ παρὰ Θεοῦ τοῦ μόνου, καθά φησιν ὁ Σωτήρ. μόνον δὲ πάλιν φησὶ τὸν Θεὸν τοῖς τῶν ἐθνῶν ἀντιδιαστέλλων, καὶ οὐκ ἔξω τιθεὶς ἑαυτὸν τῆς τοῦ μόνου τιμῆς. ἀναβαίνει γὰρ, καθάπερ ἤδη πολλάκις εἰρή καμεν, εἰς μίαν θεότητος φύσιν τε καὶ δόξαν τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος τὸ πλήρωμα. Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωυσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Φιλοδόξως μᾶλλον ἤπερ εὐσεβῶς διαζῆν ἐπείγεσθαι τοὺς Φαρισαίους εἰπὼν, διά τε τοῦτο πρὸς ἄμετρον ἀπείθειαν ἀποκλῖναι διδάξας, καὶ ἐξ αὐτοῦ φησι κατηγορηθήσεσθαι Μωυσέως, ἐφ' ᾧπερ ἦν ἔθος αὐτοῖς καὶ λίαν εὐτόνως ἀπο σεμνύνεσθαι. καὶ γοῦν λέγοντός ποτε τοῦ ἐκ γενετῆς τυφλοῦ 1.388 πρὸς αὐτοὺς περὶ Χριστοῦ "Μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ "αὐτοῦ γενέσθαι;" διαῤῥήδην εὐθὺς ἀνακεκραγότες φασί "Σὺ μαθητὴς εἶ ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωυσέως ἐσμὲν "μαθηταί." κατηγορήσει τοίνυν, φησὶ, καὶ αὐτὸς ὑμῶν ὁ Μωυσῆς, ἐφ' ᾧ πᾶσαν ἔθεσθε τὴν ἐλπίδα, καὶ τῆς ἐνούσης ὑμῖν ἀπονοίας καταβοήσει παρὰ Θεῷ μετὰ τῶν ἄλλων κατα φρονούμενος. καὶ οὐ δήπου νομιοῦμεν ἀνεγκλήτους εἶναι παρὰ Χριστῷ τοὺς ἀπειθοῦντας αὐτῷ, διὰ τὸ φάναι πρὸς Ἰουδαίους Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πα τέρα. τί γὰρ δὴ καὶ ἐροῦμεν, ὅταν ἀκούσωμεν αὐτοῦ λέγοντος "Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώ "πων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός "μου τοῦ ἐν τοῖς οὐρανοῖς· ὅστις δ' ἂν ἀρνήσηταί με ἔμ "προσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν "τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς;" ἆρ' οὐκ εὐλόγως ὑπονοήσομεν κατηγορηθήσεσθαί ποτε παρὰ τῷ Θεῷ καὶ Πατρὶ διὰ τῆς ἀρνήσεως, τοὺς οἷσπερ ἂν τοῦτο συμβαίνῃ διὰ Χριστοῦ; ἀλλ' ὑπάρχειν οἶμαι τοῦτο παντί τῳ σαφές. οὐκοῦν οὐκ ἐλεύθεροι τοῦ κατηγορεῖσθαι πάντως εἰσὶν Ἰου δαῖοι, διὰ μακρᾶς ἀπειθείας ἀρνησάμενοι τὸν Χριστὸν, ἀλλ' εὐφυέστατα πάλιν ὁ πρὸς αὐτοὺς ἔχει λόγος. ἐπειδὴ γὰρ τὰς παρ' αὐτοῦ νουθεσίας ἀποσειόμενοι, καὶ ἐν τῷ μηδενὶ κατατάττοντες λόγῳ τὴν θείαν τε καὶ οὐράνιον διδασκαλίαν αὐτοῦ, ἐπὶ τὸ χρῆναι φυλάττειν ἀεὶ τὰ Μωυσέως βαδίζουσιν, ὡς καὶ γυμνότερον ἤδη βοῶντας ὁρᾶσθαι "Ἡμεῖς οἴδαμεν "ὅτι Μωυσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν "πόθεν ἐστίν·" ἀναγκαίως δὴ σφόδρα καὶ εἰς αὐτὸν πλημ μελοῦντας ἐλέγχει τὸν ἐφ' ᾧ μεγαλαυχῶσι Μωυσέα, καὶ δεηθήσεσθαι μὲν μηδαμῶς ἑτέρου κατηγοροῦντός φησιν, ἐξαρκέσειν δὲ μόνον αὐτοῖς καὶ τὸν δι' ἐκείνου νόμον, δι' ὧν ἀπειθοῦσιν αὐτῷ πρὸς τὸ χρῆναι λοιπὸν εὐλόγως κατη 1.389 γορεῖσθαι πεσοῦσι, κἂν ἡ τοῦ κρίνοντος ἀργήσῃ φωνὴ, του τέστι Χριστοῦ. Εἰ γὰρ ἐπιστεύετε Μωυσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Ὑπὸ τοῦ πανσόφου Μωυσέως κατηγορηθήσεσθαι τοὺς Ἰουδαίους εἰπὼν, καὶ τὴν ἐπὶ ταῖς εἰς αὐτὸν ἀπειθείαις ὑπο μεῖναι γραφὴν, ἐπιφέρει καὶ ταῦτα χρησίμως τὸ μὴ μάτην αὐτοῖς ἐπισκῆψαι διδάσκων, ἢ καὶ ὡς ἄλλως τὴν ἐπὶ τῷ λοιδορεῖσθαι φιλεῖν ὑπόληψιν παραιτούμενος· πρᾶγμα γὰρ λέγων οὐ διεψευσμένον ὁρᾶται· Ἔστω τοίνυν, φησὶ, τοὺς ἐμοὺς ὅτι παρακρούεσθε λόγους, καρτερήσω καὶ ἀπειθούμε νος· καταδέξασθε Μωυσέα τὸν ἑαυτῶν· δότε τῷ παρ' ὑμῶν θαυμαζομένῳ τὴν πίστιν, καὶ γνώσεσθε πάντως, ὃν οὐκ εἰδότες ἀτιμάζετε· ἀναῤῥήξατε τοὺς τύπους ὠδίνοντας τὴν ἀλήθειαν. ἐγὼ γὰρ ἐν τοῖς ἐκείνου σκιαγραφοῦμαι βιβλίοις. οὐκοῦν καὶ αὐτὸς ὑμῶν κατηγορήσει, φησὶν, ὁ Μωυσῆς, ὅταν ἀπειθοῦντας ἴδῃ τοῖς περὶ ἐμοῦ συγγράμμασιν. Ἔδει μὲν οὖν ἴσως ἡμᾶς καὶ τὸν ἐν τοῖς προκειμένοις διερμηνεύσαντας νοῦν, ἰέναι πάλιν ἐπὶ τὰ ἐφεξῆς, ἐπιτρέ ψαντας τοῖς ὄντως φιλομαθέσιν ἀναζητεῖν τὰς ἐπὶ Χριστῷ διὰ Μωυσέως εἰκόνας. πλήρη μὲν γὰρ τῶν εἰρημένων τὰ ἐκείνου συγγράμματα, καὶ πολὺς ὁ λόγος ὁ παρ' αὐτῷ· δυσχερείας δ' οὖν ὅμως τῆς εἰς τὸ συνιέναι μεστὸς, λεπτῶν δὲ σφόδρα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ κεκρυμμένων θεωρημάτων ἀνάπλεως. ἵνα δὲ μὴ δοκῶμεν ὄκνῳ μὲν τὸ κρατεῖν ἐπιτρέψαι, ἱδρῶτα δὲ οὕτω τὸν ἀξιάγαστον οὐκ εὐλόγως ἀναδύεσθαι, περιτιθέντες ἁπλῶς τοῖς Μωυσαϊκοῖς συγγράμμασι τὴν δυσχέρειαν, ἑαυτοὺς καὶ πρὸς τοῦτο καθήσομεν, τὸ γεγραμμένον εἰδότες "Κύριος 1.390 "δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ·" μακροῦ δὲ ὄντος τοῦ περὶ τούτων λόγου, καθάπερ εἰρήκαμεν, καὶ διὰ πολλῶν σχημάτων τοῦ πανσόφου Μωυσέως τὸ ἐπὶ Χριστῷ προανατυποῦντος μυστήριον, οὐκ ἀμέτρητόν τινα τοῖς έντευ ξομένοις ἐπισωρεύειν ὄχλον οἰησόμεθα δεῖν, ἀλλ' ἓν ἑλόντες ἐκ πάντων, σαφῆ τὴν ἀπόδειξιν ποιεῖσθαι σπουδάσομεν, ὅτι τοῦ Σωτῆρος ἡμῶν ἀληθὴς ἦν ὁ λόγος, ὃν ἐποιεῖτο πρὸς Ἰουδαίους εἰπών Εἰ ἐπιστεύετε Μωυσεῖ ἐπιστεύετε ἂν ἐμοὶ, περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν.

**1.391 ΚΕΦΑΛΗ Γ.** Ὅτι τοῦ Σωτῆρος τὴν ἄφιξιν ἐσήμαινεν ὁ Μωυσῆς. Ἐκ τοῦ Δευτερονομίου περὶ Χριστοῦ. "ΠΡΟΦΗΤΗΝ ὑμῖν ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμὲ ἀνα "στήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε. κατὰ "πάντα ὅσα ᾐτήσω παρὰ τοῦ Κυρίου τοῦ Θεοῦ σου ἐν "Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας λέγοντες Οὐ προσθήσομεν "ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ "μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἀποθάνωμεν· καὶ "εἶπε Κύριος πρὸς μέ Ὀρθῶς πάντα ὅσα ἐλάλησαν· προ "φήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ "σὲ, καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ "λαλήσει αὐτοῖς καθότι ἂν ἐντείλωμαι αὐτῷ· καὶ ἄνθρωπος "ὃς ἂν μὴ ἀκούσῃ ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ "ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ." ἐπανάληψίν τινα καὶ ἀνακεφαλαίωσιν τῶν Μωυσαϊκῶν βιβλίων τὸ Δευτερο νόμιον ἔχει· διὸ δὴ τύπον ἐξ αὐτοῦ καὶ εἰκόνα τὴν ἐκ νομικῆς ἱερουργίας οὐκ ἔνεστιν ἑλόντας εἰπεῖν. ὅμως ἐπείπερ ἀσυνετεῖν οὐκ εἰθίσμεθα πάντα νοοῦντες ὀρθῶς διὰ Χριστὸν, τοῖς ἐντευξομένοις ἐροῦμεν, καὶ τὸν ἐν τοῖς προκειμένοις ἀναμοχλεύοντες νοῦν Ἰδοὺ δὴ πάλιν ἀκατακαλύπτως ἡμῖν τὸ ἐπὶ Χριστῷ λαλεῖται μυστήριον, ἐξ ὁμοιότητος τῆς κατὰ Μωυσέα διὰ λεπτοτάτης θεωρίας ἐντέχνως μεταπλαττόμενον. 1.392 "Προφήτην γὰρ ὑμῖν ἀναστήσει, φησὶ, Κύριος ὁ Θεὸς ὑμῶν "ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμέ·" διερμηνεύων δὲ αὐτὸς, καὶ μάλα γοργῶς, ὁποίαν ἡμῖν εἰσφέρει τὴν ἐξ εἰκονισμοῦ τοῦ κατ' αὐτὸν θεωρίαν τὸ διηγγελμένον, ἐπιφέρει σαφῶς "Κατὰ "πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου ἐν τῷ ὄρει "Σινᾷ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας λέγοντες Οὐ προσθήσομεν "ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ "μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, καὶ οὐ μὴ ἀποθάνωμεν." ἑαυτὸν μὲν γὰρ τὸ τηνικάδε μεσίτην εἰρῆσθαι διισχυρίζεται, τοῖς ὑπὲρ τὴν φύσιν προσβαλεῖν ἀτονούσης ἔτι τῆς Ἰουδαίων Συναγωγῆς, καὶ τὰ ὑπὲρ δύναμιν διὰ τοῦτο σωφρόνως παραι τουμένης. τοῦτο δὲ ἦν θεοπτία δηλονότι, ταῖς οὐκ ἐξ ἔθους φαντασίαις τὴν ὄψιν ξενίζουσα, καὶ σαλπίγγων ὑπερφυῆ καὶ ἀφόρητα τοῖς ἀκροωμένοις ἀπηχήματα. Οὐκοῦν ἀσθενείας μὲν τοῖς τὸ τηνικάδε φάρμακα ἡ Μωυ σέως ἀνεδείκνυτο μεσιτεία, διακονοῦντος τῇ συναγωγῇ τὰ θεόθεν τεθεσπισμένα. μεταλήψῃ δὲ πάλιν τὸν τύπον ἐπὶ τὴν ἀλήθειαν, καὶ τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων διὰ τούτων ἐννοήσεις Χριστὸν, διακονοῦντα τοῖς εὐμαθεστέροις διὰ φω νῆς ἀνθρωπίνης, ὅτε δι' ἡμᾶς ἐκ γυναικὸς ἐγεννήθη, τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἀπόῤῥητον θέλησιν, γνωριζομένην αὐτῷ δὴ καὶ μόνῳ, καθὸ καὶ Υἱὸς ἐξ αὐτοῦ καὶ σοφία νοεῖται πάντα εἰδὼς "καὶ τὰ βάθη τοῦ Θεοῦ." ἐπειδὴ γὰρ τοῖς τοῦ σώματος ὀφθαλμοῖς οὐκ ἦν ἀκράτῳ καὶ γυμνῇ προσβαλεῖν τῇ θείᾳ τε καὶ ἀῤῥήτῳ δόξῃ τῆς τὰ πάντα ὑπερκειμένης οὐσίας· "Οὐδεὶς γὰρ ὄψεται τὸ πρόσωπόν μου, φησὶ, καὶ "ζήσεται·" ἀναγκαίως ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος ταῖς ἡμετέραις ἀσθενείαις συνεσχηματίζετο, τὸ ἀνθρώπινον δὴ τοῦτο κατὰ τὸν ἄῤῥητον τῆς οἰκονομίας λόγον ἠμφιεσμένος σῶμα, καὶ τὴν ἄνωθεν ἡμῖν, τουτέστι τοῦ Θεοῦ καὶ Πατρὸς, φανερὰν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐποιεῖτο βουλὴν, λέγων "Πάντα ὅσα ἤκουσα παρὰ 1.393 "τοῦ Πατρὸς, ταῦτα ἀναγγελῶ ὑμῖν·" καὶ πάλιν "Ὅτι "ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με Πατὴρ "αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω." οὐκ οὖν κατὰ μὲν τὴν τῆς μεσιτείας εἰκόνα, τύπος ἂν νοοῖτο Χριστοῦ καὶ πάλαι Μωυσῆς, τὰ θεόθεν διωρισμένα τοῖς υἱοῖς Ἰσραὴλ εὖ δὴ καὶ μάλα διακονούμενος· ἀλλ' ἡ μὲν Μωυσέως μεσιτεία διακονικὴ, ἐλευθέρα δὲ ἡ διὰ Χριστοῦ καὶ μυστικωτέρα, φυσικῶς τῶν μεσιτευομένων ἐπιθιγγάνοντος, καὶ πρὸς ἄμφω διήκοντος, τήν τε μεσιτευομένην ἀνθρωπό τητά φημι, καὶ Πατέρα Θεόν. Ἦν μὲν γὰρ φύσει Θεὸς ὡς ἐκ Θεοῦ Μονογενὴς, οἱονεὶ τῆς τοῦ γεννήσαντος οὐ κεχωρισμένος οὐσίας, καὶ αὐτῇ προσπεφυκὼς, καθὸ νοεῖται καὶ ἐξ αὐτῆς· ἦν δὲ καὶ ἄνθρω πος, καθὸ γέγονε σὰρξ ἑαυτὸν ἡμῖν ἐξομοιῶν, ἵνα δι' αὐτοῦ συνάπτηται Θεῷ τὸ πολὺ κατὰ φύσιν διῃρημένον. ὅταν οὖν λέγῃ Μωυσῆς "ἀναστήσει Κύριος ὑμῖν προφήτην ὡς ἐμὲ," νοήσεις οὐχ ἑτέρως, ἢ ὅνπερ τρόπον ἀρτίως εἰρήκαμεν· ἐπεὶ καὶ αὐτὸς τὸν ἐπὶ τούτῳ λόγον ἐπισφραγίζει λέγων ὁ Θεός "Ὀρθῶς πάντα ὅσα ἐλάλησαν, προφήτην αὐτοῖς ἀναστήσω "ὥσπερ σὲ, καὶ θήσω τὰ ῥήματά μου ἐπ' αὐτῷ, καὶ λαλήσει "αὐτοῖς κατὰ πάντα ὅσα ἂν ἐντείλωμαι αὐτῷ." "φέρει γὰρ "τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως" ὁ Υἱὸς, ὡς ὁ Παῦλός φησι, καὶ τὰς τοῦ Πατρὸς ἡμῖν ἀναγγέλλει φωνὰς, ἅτε δὴ παρ' αὐτοῦ μεσίτης κεχειροτονημένος, κατὰ τὸ ἐν ψαλμοῖς ᾀδόμενον, ὡς ἐξ αὐτοῦ τοῦ Χριστοῦ "Ἐγὼ δὲ κατεστάθην "βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγ "γέλλων τὸ πρόσταγμα Κυρίου." Εἰ δέ τῳ δοκεῖ καὶ ἐξ ἑτέρων ἐννοιῶν ἐπὶ τὸν τῆς ὁμοιό τητος ἀναβιβάζεσθαι τρόπον, ἐκλήψεται μὲν νομοθέτην τό Ὡς ἐμὲ, καὶ παροίσει πρὸς ἀπόδειξιν τό "Ἐῤῥέθη τοῖς 1.394 "ἀρχαίοις Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν" Οὐκ ἐπιθυ μήσεις. ἐκλήψεται δὲ πάλιν ὁμοίως τό Ὡς ἐμὲ, χειραγωγὸν οἱονεί τινα καὶ καθηγούμενον λέγων, εἰς τὸ δύνασθαι νοεῖν τὰ ἐν θελήσει Πατρὸς καὶ δι' ὧν ἂν γένοιτο τῆς εἰς οὐρανοὺς βασιλείας ἡ ὁδὸς ἱππήλατος· ὥσπερ οὖν ἀμέλει καὶ τοῖς ἀρχαιοτέροις ὁ μακάριος Μωυσῆς τῆς διὰ νόμου παιδαγω γίας διδάσκαλος ἀνεφαίνετο, πανταχῆ τοῖς ἰδίοις ἐπιτιθεὶς λόγοις τό "Ἵνα πολὺν ζήσῃς χρόνον, καὶ εἰσάξῃ σε Κύριος ὁ "Θεός σου εἰς τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσι σου." ἐπειδὴ δὲ τοῖς εἰρημένοις ἐπήνεγκε "Καὶ ἄνθρωπος ὃς ἂν μὴ "ἀκούσῃ ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνό "ματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ," ἀμαθαίνοντες Ἰουδαῖοι, καὶ πρὸς ἐσχάτην δυσηκοΐαν τὸν οἰκεῖον ἀποτραχύνοντες νοῦν, αὐτόκλητον ἤδη βλεπέτωσαν ταῖς ἑαυτῶν κεφαλαῖς ἐπαντλοῦντες τὸν ὄλεθρον· ἔσονται γὰρ ὑπὸ θείαν ὀργὴν, ὀψώνια τῆς εἰς Χριστὸν παροινίας τὸ ἐν ὁλοκλήρῳ τῶν ἀγαθῶν ζημίᾳ γενέσθαι λαμβάνοντες· Εἰ γὰρ ἐπίστευον Μωυσεῖ, ἐπίστευον ἂν τῷ Χριστῷ· περὶ γὰρ αὐτοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύετε; Πολλὴν ἄν τῳ δόξαι καὶ λίαν εἰκότως ὁ λόγος ἔχειν τὴν ἀσάφειαν. οἰήσεται γὰρ καὶ οὐκ ἀπὸ σκοποῦ πρὸς ὑπονοίας οὐκ ἀληθεῖς, ὑπερκεῖσθαι τὰς Μωυσέως συγγραφὰς τῶν τοῦ Σωτῆρος ῥημάτων ὑπολαβών· ἔχει γάρ τινα τοιοῦτον ὁ λόγος τὸν σχηματισμὸν, καὶ ὅσον ἔστιν οὐκ ἐξ ἀκριβοῦς θεωρίας ἑλόντας εἰπεῖν, ἀξιολογωτέραν τῶν τοῦ Σωτῆρος ῥημάτων τοῖς Μωυσαϊκοῖς συγγράμμασιν ἐκπορίζει τὴν ὑπόληψιν. διὰ γὰρ τοῦ λέγειν Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, 1.395 πῶς τοῖς ἐμοῖς ῥήμασιν πιστεύετε; τὸ ἐν ἀμείνοσι κεῖσθαι τὰς ἐκείνου συγγραφὰς, ἢ ἐν οἷς ἂν εἶεν οἱ παρ' αὐτοῦ λόγοι, δίδωσί πως ἐννοεῖν· ἀλλ' αὐτὴ τοῦ πράγματος ἡ φύσις τῆς ἐσχάτης εὐηθείας ἀνάπλεων τὴν οὕτως ἀπίθανον ἐπιδείξει διάνοιαν. πῶς γὰρ ἂν νοοῖτο τὰ Μωυσέως γράμματα τῶν τοῦ Σωτῆρος διενεγκόντα ῥημάτων, ὅπου τύποι μὲν ἦσαν τὰ δι' ἐκείνου καὶ σκιαὶ, ἀλήθεια δὲ τὰ διὰ Χριστοῦ; καὶ μακρὸν μὲν ἦν ἴσως οὐ χαλεπὸν ἐπὶ τούτῳ δαπανῆσαι λόγον· τὰ δὲ λίαν ἐναργῆ καὶ οὐ θύραθεν, ἀλλ' ἐξ ἑαυτῶν τοὺς ἐλέγχους λαμβάνοντα, περιττὸν οἶμαι λέγειν, ὡς οὐκ ἂν ἔχοι κακῶς ἢ καλῶς. τί γὰρ ἄν τις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς τοιούτοις ἐπιδιατρίψαι λεπτομυθῶν; καὶ τὰ μηδαμόθεν δυσχερῆ κατακερματίζων εἰς οὐκ εὐκαίρους πολυλογίας; Ἔχει τοίνυν τὸ διὰ τοῦ Σωτῆρος λεγόμενον τοιοῦτόν τινα νοῦν. εἰ νόμον, φησὶ, τὸν διὰ Μωυσέως ἔχοντες γεγραμμένον, ἄνω τε καὶ κάτω τὰ ἐκείνου μελετῶντες γράμματα παρ' οὐδὲν ποιεῖσθε τὴν ἐπ' αὐτοῖς παράβασιν, ἐκτόπῳ λήθῃ βαπτίζοντες τὸ πολλάκις ἀνεγνωσμένον, πῶς ἂν γένοισθε περὶ τοὺς ἐμοὺς εὐγνωμονέστεροι λόγους, ἢ πῶς ἂν ἑτοιμότεροί τε καὶ εὔπει θέστεροι πρὸς τὰς ἐμὰς ἀναφανεῖσθε φωνὰς, οὐ πολλάκις οὐδὲ ἀεὶ προσεδρεύοντες, ἀλλ' ὡς ἐκ παραδρομῆς ἀκροώ μενοι, καὶ μόνον ἅπαξ ἔσθ' ὅτε ταῖς τοῦ σώματος ἀκοαῖς εἰσοικίζοντες; ἢ γὰρ κατὰ τὸ σχῆμα τόδε τοῖς εἰρημένοις προσβαλεῖς, ἢ ἑτέρως ἐπαθρήσεις· χρηστομαθὴς γὰρ λίαν ἡ ἐν τούτοις περιεργία καὶ ζήτησις. οὐκοῦν τὰ μὲν Μωυσέως γράμματα, παιδαγωγίαν τινὰ καὶ τὸν διὰ τύπου σχημα τισμὸν τῶν ἐπὶ Χριστῷ μυστηρίων εἰσφέρει, καὶ οἱονεὶ στοι χεῖά τινα τῆς περὶ αὐτοῦ γνώσεως, τὰ ἐν ἐκείνῳ σκιαγρα φούμενα, ἃ καὶ διὰ τῶν ἤδη προεξητασμένων πλατύτερον ἐπεδείξαμεν. τέλος δὲ παιδεύσεως νομικῆς ὁ Χριστὸς, κατὰ 1.396 τὸ γεγραμμένον "Πλήρωμα νόμου καὶ προφητῶν ὁ Χρι "στός." οἱ τοίνυν, φησὶ, "τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν "λόγων τοῦ Θεοῦ" μὴ παραδεξάμενοι, καὶ τὸν δι' ἐμφα νεστέρου τοῦ γράμματος χειραγωγοῦντα νόμον ταῖς εὐηθείαις ἐξωθούμενοι, πῶς ἂν ἔτι τῆς τελειοτέρας ἐφίκοιντο γνώσεως; ἢ πῶς ἂν αὐτοῖς εὐπαράδεκτον ἔτι τὸ μεῖζον, χωρηθέντος οὐδαμῶς τοῦ μικροῦ τε καὶ ὑποβεβηκότος;

**1.397 ΚΕΦΑΛΗ Δ.** Ὅτι πολλάκις αἱ Χριστοῦ μεταβάσεις ἀπὸ τῆς Ἱερουσαλὴμ τὸ μετατεθήσεσθαι τὴν χάριν ἐπὶ τὰ ἔθνη δηλοῦσιν· ἐν ταὐτῷ δὲ καὶ λόγος περὶ τῶν πέντε ἄρτων τῶν κριθίνων καὶ τῶν δύο ὀψαρίων. Καὶ μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Τιβεριάδος. ΠΡΩΤΟΝ ἐκεῖνο χρῆναι τοῖς ἀκροωμένοις εἰπεῖν ὑπολαμ βάνω ἀναγκαῖον, ὅτι τὰς ἐκ τῶν Ἱεροσολύμων μεταβάσεις ὁ Κύριος οὐ δίχα τινὸς ἀναγκαιοτάτης αἰτίας ὁρᾶται ποιῶν· οἰκονομεῖ δέ τι σχεδὸν ἐφ' ἑκάστῃ, καὶ ἐν τῇ τῶν πραγμά των φύσει, καθάπερ ἐν πίνακι, καταγράφει μυστήρια. ὁποῖος μὲν οὖν τῆς μεταστάσεως ὁ σκοπὸς, καὶ τί τὸ ἐντεῦθεν ὑπο δηλούμενον, ἐν οἰκείῳ καιρῷ καταφανὲς καταστήσομεν, ἐκβε βηκότων εἰς πέρας τῶν προκειμένων ἡμῖν κεφαλαίων· ἕκαστα γὰρ διελόντες κατὰ βραχὺ, καὶ τὸ ἐκ τῶν γραμμάτων διερ μηνεύσαντες χρήσιμον, οὕτω τε τοῖς ἐντευξομένοις παρα θέντες εἰς νόησιν, τελευταίαν ἐποίσομεν τὴν ἐπὶ τῷ παντὶ θεωρίαν τὰ πολυμερῶς εἰρημένα κεφαλαιωδέστερον ἐπιτέμ νοντες· ὃ δὲ νῦν ἐν χερσὶν ὑπάρχει, τοῦτο καὶ πρῶτον εἰπεῖν οἰήσομαι δεῖν. Μετὰ ταῦτά φησιν ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Τιβεριάδος. μετὰ ποῖα ταῦτα, ζητητέον οὐ παρειμένως. παράδοξος τοίνυν ἐν τοῖς Ἱεροσολύμοις ἰατρὸς ἀνεδείχθη 1.398 Χριστός· τεθεράπευκεν ἄνθρωπον "τριάκοντα καὶ ὀκτὼ ἔτη "ἔχοντα ἐν τῇ ἀσθενείᾳ αὐτοῦ," οὐ φάρμακον ἐπιθεὶς, οὐ νοσημάτων ἀποκρουστικὸν ἐπινοήσας βοήθημα, λόγῳ δὲ μᾶλλον, ὡς Θεὸς, ἐξουσίᾳ παντουργῷ καὶ θεοπρεπεῖ τῷ νεύματι· "Ἐγερθεὶς γὰρ, φησὶν, ἆρον τὸ κλινίδιόν σου, καὶ "ὕπαγε εἰς τὸν οἶκόν σου." ἐπειδὴ δὲ σάββατον ἦν, χαλε παίνουσιν ἀμαθῶς οἱ τὴν παχύτητα νοσοῦντες τοῦ γράμματος Ἰουδαῖοι, οἱ πλέον ἢ ἐκεῖνος ταῖς συντρόφοις αὐτῶν ἀλογίαις συνδεδεμένοι, οἱ πάντων ὁμοῦ τῶν ἀγαθῶν ἀδρανῆ νοσοῦντες ἀργίαν, οἱ παράλυτοι τὸν νοῦν, καὶ τὴν ἕξιν ἐκλελυμένοι, πρὸς οὓς ἂν εἰκότως καὶ λέγοιτο "Ἰσχύσατε χεῖρες ἀνει "μέναι καὶ γόνατα παραλελυμένα." χαλεπαίνουσι δὲ, τὴν ὀφειλομένην τῷ σαββάτῳ τιμὴν χρῆναι λέγοντες καὶ παρ' αὐτοῦ τοῦ νομοθέτου φυλάττεσθαι· καταδικάζουσιν ὡς παρα βαίνοντος τοῦ Χριστοῦ, τὸ γεγραμμένον εἰς νοῦν οὐ δεχό μενοι "Ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρανομεῖς." ἐπὶ τούτοις ἔλεγχοι μὲν ἦσαν παρὰ τοῦ Σωτῆρος δριμεῖς· λόγος δὲ διεσκευάζετο πολύς τε καὶ μακρὸς, ὅτι τυπικῶς τοῖς ἀρχαιο τέροις ἡ κατὰ τὸ σάββατον ἀργία νενομοθέτητο, καὶ ὅτι "Κύριός


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου." ἀλλ' οἱ πρὸς μηδὲν μὲν τῶν ἀγαθῶν ἐπιτήδειοι, πρὸς δὲ πάσας ἑτοιμότατοι δυστροπίας καταστασιάζουσι τοῦ διδάσκοντος ἅπερ ἔδει μαθεῖν, καὶ φονῶσιν ἤδη κατὰ τοῦ σοφοῦν ἐθέ λοντος, "πονηρὰ, κατὰ τὸ γεγραμμένον, ἀντὶ ἀγαθῶν" ἀπο διδόντες αὐτῷ. Μετὰ τοίνυν ταῦτα τὰ πεπραγμένα τε καὶ εἰρημένα ἀπανί σταται τῶν Ἱεροσολύμων ὡς ἐξ ἀνάγκης ὁ Κύριος, καὶ ἐπείπερ ἦν ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, ὡς ὀλίγον ἐν τοῖς ἐφεξῆς εὑρήσομεν, καὶ αὐτὴν διέπλευσε τὴν Τιβεριάδος 1.399 θάλασσαν, ἤτοι λίμνην οὕτω καλουμένην ἐν τῇ χώρᾳ τῶν Ἰουδαίων. ἐπειδὴ δὲ τὸ δὴ μάλιστα κατασοβῆσαν αὐτὸν, καὶ μεταχωρεῖν ἀναπεπεικὸς εἰς ἑτέρους τε οἴχεσθαι τόπους καὶ τοσοῦτον τῆς Ἱερουσαλὴμ ἀπεσχοινισμένους, ἐκεῖνο δὴ μά λιστα ὑπάρχειν ἀρτίως εἰρήκαμεν, τὸ ἐγγὺς εἶναι τὸ πάσχα τῶν Ἰουδαίων· δεικνύναι πρέπειν ὑπολαμβάνω, καλῶς δὴ λίαν τὸ ἐν τοῖς Ἱεροσολύμοις εὑρίσκεσθαι κατ' ἐκεῖνο καιροῦ παραιτησάμενον τὸν Ἰησοῦν. Οὐκοῦν νόμος ὁ διὰ Μωυσέως ἀπὸ πάσης τῆς περιοικίδος ἀνατρέχειν εἰς Ἱεροσόλυμα τοὺς Ἰουδαίους ἐκέλευεν, ἐκεῖ τὴν ἐν τύπῳ τῆς σκηνοπηγίας ἐπιτελέσοντας ἑορτήν. καὶ νοήσει μὲν ἐντεῦθεν ὁ πνευματικὸς τὴν ἁπάντων τῶν ἁγίων ἐπισυναγωγὴν εἰς Χριστὸν, ὅτε δὴ καὶ ἀπὸ πάσης τῆς οἰκουμένης μετὰ τὴν τῶν νεκρῶν ἀναβίωσιν εἰς τὴν ἄνω συνενεχθήσονται πόλιν τὴν ἐπουράνιον Ἱερουσαλὴμ, ἀναθή σοντες ἐκεῖσε τὰ χαριστήρια τῆς σκηνοπηγίας τῆς ἀληθοῦς, τουτέστι τῆς τῶν σωμάτων συμπήξεώς τε καὶ διαμονῆς, λελυμένης δηλονότι τῆς φθορᾶς, καὶ τοῦ θανάτου πεσόντος εἰς θάνατον. τὸ δὲ ὅσον εἰπεῖν εἰς τὸ ἐκ τῆς ἱστορίας γενέσθαι πεφυκὸς, ἀριθμὸν οὐκ ᾔδει τῶν ἀναβαινόντων εἰς Ἱερουσαλὴμ ἡ πληθὺς, καὶ ἦν δὴ μάλιστα κατ' ἐκεῖνο καιροῦ πολλὰ δύνασθαι τοὺς Φαρισαίους εἰκὸς, συναγορεύειν τῷ νόμῳ προσποιουμένους, καὶ ὡς ἐν πλήθει τοσούτῳ κατα βοῶντας τοῦ παραβαίνοντος, ἢ καὶ παραβαίνειν οἰηθέντος αὐτοῖς. οὐδὲν γὰρ ὅλως τὸ χαλεπὸν, τὸν ἀμέτρητον τῶν ἀγελαίων ἀναῤῥιπίζειν ἑσμὸν, ὅταν τις αὐτὸν ἠδικῆσθαι λέγῃ καὶ παροτρύνειν ἐπιχειρῇ καὶ κατὰ τῶν λυπούντων οὐδέν· ὕδατος γὰρ δίκην, ἢ καὶ πυρὸς ἀδιακρίτοις καὶ ἀπρο βουλεύτοις ὁρμαῖς διαῤῥιπτεῖται πανταχῆ, καὶ πρὸς ἅπαντα 1.400 χωρεῖ τὰ παθεῖν ἀνεχόμενα. ταῦτα τοίνυν οὐκ ἀγνοήσας ὁ Κύριος ὑπεκκλέπτει μὲν τῆς Ἱερουσαλὴμ ἅμα τοῖς μαθηταῖς ἑαυτὸν, ἀφικνεῖται δὲ τῆς θαλάσσης πέραν τῆς Τιβεριάδος· ὅτι δὲ φονῶντας παραιτεῖται τοὺς Ἰουδαίους, καλῶς δὴ μάλα ποιῶν, εἰσόμεθα πάλιν καὶ διὰ τούτων. λέγει γὰρ αὐτὸς ὁ μακάριος Εὐαγγελιστής "Καὶ μετὰ ταῦτα περιεπάτει ὁ "Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ "περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι." Ὅτι μὲν οὖν παραιτεῖται τὸ ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ἵνα μὴ πρόωρον ὑπομείνῃ τὸν θάνατον, συγκατανεύσω, φησὶν, ἐρεῖ τις τυχὸν, ἀλλ' εἰ καὶ φεύγει τὴν ἑορτὴν, οὔπω μαν θάνω. οὐκοῦν οἱ μὲν νομισθέντες ἀδελφοὶ προσίασι λέγοντες ἐν τῇ Γαλιλαίᾳ τῷ Χριστῷ "Ἀνάβηθι ἐντεῦθεν καὶ ὕπαγε "εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου βλέπωσι τὰ "σημεῖα ἃ ποιεῖς." πρὸς αὐτοὺς δὲ ὁ Κύριος "Ὑμεῖς ἀνά "βητε εἰς τὴν ἑορτὴν, ἐγὼ οὐκ ἀναβαίνω εἰς τὴν ἑορτὴν "ταύτην, ὅτι ὁ ἐμὸς καιρὸς οὔπω πεπλήρωται." Πρόδηλον οὖν ἄρα καὶ σαφὲς, ὅτι τῶν Ἱεροσολύμων ἐκκεχώρηκεν ὁ Σωτὴρ, οὐκ αὐθαίρετον τὴν ὡς ἐξ ἐκεῖθεν ἀποδημίαν στειλάμενος, ἀλλὰ καὶ τὰς τῶν ἀπειθούντων βδελυρίας ἐκμυσαττόμενος, καὶ τῶν διωκόντων τὴν ἀγριότητα τῆς εὐστοχίας περιπλανῶν, καὶ τέχνῃ τοῦ φθόνου τὸ βέλος ἀποκρουόμενος. ὑπεκνεύει δὲ πάλιν, καίτοι παθεῖν ἰσχύων οὐδὲν, εἴ γε καὶ παρῆν, ἵνα τύπον ἡμῖν ἀναγράψῃ καλὸν, οὐ δειλίας μᾶλλον, ἀλλ' εὐλαβείας καὶ ἀγάπης τῆς εἰς τὸν πέλας. εἰσόμεθα γὰρ, ὡς ἐκ τύπου πρὸς ἐπίγνωσιν χρη σίμου χειραγωγούμενοι πράγματος, ὅτι διωκόντων ἡμᾶς τῶν ἐχθρῶν, καὶ εἰ μηδὲν ὁρῷτο παντελῶς ἐν τῷ παρεῖναι τὸ βλάβος, ἀλλ' ἐξιστάμενοί πως, καὶ διὰ τούτου σοφιζόμενοι τὰς τῶν ἐφόδων ἀκμὰς, ὑπεκτρέχοντές τε τὸ παραυτίκα θερμὸν, ἐξήβοις ἤδη περιτευξόμεθα ταῖς τῶν ἀδικούντων 1.401



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀργαῖς, καὶ τὸ θράσος τῆς καθ' ἑαυτῶν πλεονεξίας ὑπο τεμνόμεθα, ὠφελοῦντες μᾶλλον τοὺς οἵπερ ἂν γένοιντο περὶ ἡμᾶς οὐκ ἀγαθοὶ, καὶ ἀδίκως, ἤπερ ὠφελούμενοι, ὅπερ ἐστὶν ἐναργῶς, μὴ τὰ ἑαυτῶν ζητοῦντες, ἀλλὰ καὶ τὰ ἑτέρων. ἔργον οὖν ἀγάπης, τὸ τοῖς ἐθελοκακοῦσι μὴ ἀντεγείρεσθαι πάντως, μηδὲ ἀποκεχρημένους τῷ δύνασθαι πάσχειν οὐδὲν κἂν παρόντες ἁλισκώμεθα, δριμύτερον ὥσπερ ἐν ἐκείνοις ἀπεργάζεσθαι τὸν θυμὸν, πλεονεκτεῖν οὐκ ἔχοντα τοῦ μισου μένου τὴν δύναμιν· ἡ τοίνυν ἀγάπη, φησὶ καθάπερ ὁ Παῦ λος, "οὐ ζητεῖ τὰ ἑαυτῆς," ἥπερ ἦν ἐν Χριστῷ καθαρῶς. Ὀξὺ δὲ δὴ πάλιν ἐνερείσας τοῖς γεγραμμένοις τῆς δια νοίας τὸ ὄμμα, θαυμάσεις ἀρίστην εὑρίσκων οἰκονομίαν ἐν ταῖς τοῦ Σωτῆρος ἡμῶν ἀποστάσεσι, ταῖς ἐκ τῶν Ἱεροσο λύμων φημί. ἐξελαύνεται μὲν γὰρ ὑπὸ τῆς τῶν Ἰουδαίων ἀπονοίας πολλάκις, καταλύων δὲ παρὰ τοῖς ἀλλογενέσι, καὶ ἀνασώζεσθαί πως δοκεῖ παρ' ἐκείνοις, καὶ τῆς δεούσης ἀπο λαύει τιμῆς· τὴν ἀμείνω ψῆφον τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ διὰ τούτου διδοὺς, καὶ τὸ μισόθεον τῶν ἐξ Ἰσραὴλ διὰ τῆς ἑτέρων εὐλαβείας ἐξελέγχεσθαι ποιῶν, καὶ τὸ ἐν ἐκείνοις ὠμὸν διὰ τῆς ἐν τούτοις ἡμερότητος ἐπιδεικνύων, ἵνα δὴ διὰ πάντων φαίνοιντο λοιπὸν κεχρεωστημένως ἤδη καὶ καλῶς τῆς εἰς τοὺς πατέρας ἐπαγγελίας ἐξωθούμενοι. ἀποπηδήσας δὲ τῶν Ἱεροσολύμων ὁ Κύριος, οὐκ εἰς μίαν τῶν περιοικίδων καταλύει πόλιν, οὐδὲ ἐν ταῖς ὁμόροις αὐλίζεται κώμαις, πέραν δὲ ἄπεισι τῆς θαλάσσης τῆς Τιβεριάδος, μονονουχὶ δι' ἐμφανε στάτου πράγματος ἀπειλῶν τοῖς ὅτι προσήκοι διώκειν αὐτὸν δυσσεβῶς ᾑρημένοις, ὅτι τοσοῦτον αὐτῶν ἀποστήσεται, καὶ παντὸς τοῦ ἔθνους ἑαυτὸν ἀπονοσφιεῖ, ὡς καὶ ἄβατον αὐτοῖς τρόπον τινὰ τῆς πρὸς αὐτὸν ἐπιστροφῆς κατασκευάσαι τὴν ὁδόν· βατὴ γὰρ οὐδαμῶς τοῖς ἀνθρώπων ποσὶν ἡ θάλασσα. τοιοῦτον δέ τι καὶ ἐν τοῖς ἐφεξῆς πρὸς αὐτούς που λέγων 1.402 εὑρεθήσεται "Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε, καὶ ὅπου ἐγὼ "ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν." λειοτάτη μὲν γὰρ καὶ εὐπόρευτος καὶ οὐδὲν ἔχουσα τὸ τραχὺ τοῖς διὰ πίστεως πρὸς αὐτὸν ἰοῦσιν ἡ διὰ τῆς δικαιοσύνης ὁδὸς, ἐκτετραχυμένη δὲ καὶ ἀνάντης, μᾶλλον δὲ καὶ ἀδιόδευτος παντελῶς τοῖς παρορ γίζουσιν αὐτὸν, κατὰ τὸ εἰρημένον δι' ἑνὸς τῶν ἁγίων προ φητῶν "Διότι εὐθεῖαι αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι "πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν "αὐταῖς." οὐκοῦν τὸ δυσήνυτον ὥσπερ, μᾶλλον δὲ καὶ ἀνήνυτον, τοῖς Ἰουδαίοις, τῆς ὡς ἐπ' αὐτὸν νοουμένης ὁδοῦ, τὸ μεταξὺ τῆς θαλάσσης κατασημαίνει διάστημα, ἐπεὶ καὶ τῆς δυσσεβούσης ψυχῆς ἀναφράττειν ἐπαγγέλλεται τὰς ὁδοὺς ἐν προφήταις ὁ Θεὸς λέγων "Διὰ τοῦτο ἰδοὺ ἐγὼ "φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι καὶ τὴν τρίβον αὐτῆς "οὐ μὴ εὕρῃ." ὅπερ οὖν ἐν ἐκείνοις ἐδήλουν οἱ σκόλοπες, τοῦτο καὶ ἐν τούτοις ἡ θάλασσα τῶν ἀφυλάκτως ἐμπαροινεῖν ἑλομένων τὸν ἐμπαροινηθέντα χωρίζουσα καὶ διιστῶσα τῶν οὐχ ὁσίων τὸν ὅσιον. Ἔοικε δέ τι καὶ ἕτερον ἡμῖν ὡς ἐν ὠδῖσιν ὁ τύπος κεκρυμ μένον ἔχειν μυστήριον. ὅτε γὰρ τῆς Αἰγυπτίων ἐξεπέμπετο χώρας ὁ Ἰσραὴλ, ἠκολούθει μὲν λίαν ἐκτεθηγμένος ὁ Φαραὼ, ἐπὶ δὲ ταῖς ἀδοκήτοις εὐπραγίαις τοῦ ἔθνους ἐξοιστρούμενος, τὰ ἐκ φθόνου καὶ λύπης ἀποτολμᾶν νόμῳ τῷ μάχης ἠπεί γετο· ἠκολούθει δὲ, δύνασθαι παλινδρομεῖν εἰς δουλείαν ἀναγκάσειν οἰόμενος τοὺς ὀψὲ καὶ μόλις τῆς ὑπ' αὐτῷ θητείας ἐκδεδυκότας· ἀλλὰ διεβίβαζε μὲν τὸν λαὸν διὰ θαλάσσης μέσης Θεὸς, ὁ δὲ διώκων ἐντόνως καὶ χαλᾶσαι μὲν τὴν ὀργὴν μηδαμῶς ἀνεχόμενος, θεομαχεῖν δὲ παρα λόγως ἀναπεπεισμένος ἐξ ἀκράτου θυμοῦ, κατὰ μέσην αὐτὴν πανστρατιᾷ κατεπνίγετο, διεσώζετο δὲ μόνος ὁ Ἰσραήλ. 1.403 ἀλλ' ἡκέτω καὶ νῦν εἰς μέσον ἡμῖν ὁ τὰς τῶν Ἰουδαίων ἀπονοίας προαναθρηνήσας Μωυσῆς, καὶ λεγέτω πρὸς αὐτοὺς ἐπὶ ταῖς εἰς Χριστὸν ἀσεβείαις ἀγανακτῶν "Γενεὰ πονηρὰ "καὶ μοιχαλὶς, ταῦτα τῷ Κυρίῳ ἀνταποδίδοτε;" τὸν διενεγ κόντα διὰ θαλάσσης μέσης καὶ κυμάτων σφοδρῶν πέραν ἐλαύνεις θαλάσσης, καὶ διώκων οὐκ ἐρυθριᾷς; σὸν οὖν ἄρα τὸ παθεῖν Ἰουδαῖε, σὲ καταπνίξει λοιπὸν ἡ θάλασσα· τῶν γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταδιωκόντων, οὐ τῶν διωκομένων, ὁ θάνατος, καὶ ἐν ἐκείνοις ἦν τότε, καὶ νῦν ἐπὶ Χριστοῦ καὶ τῶν ἀνοσίων Ἰουδαίων. ψάλλει δέ που καὶ ὁ θεσπέσιος ἡμῖν Δαυείδ "Μή με καταποντισάτω καταιγὶς ὕδατος, λέγων, μηδὲ κατα "πιέτω με βυθός·" τὸ παγχάλεπον τῆς Ἰουδαίων συναγωγῆς ὑπεμφαίνων ναυάγιον, καὶ τὸ σὺν ἐκείνοις ἐναποπνίγεσθαι τῷ τῆς ἀγνωσίας βυθῷ παραιτούμενος. ἀλλ' Αἰγυπτίοις μὲν καὶ τῷ παρ' ἐκείνοις κρατοῦντι, τότε περὶ σώματος ἐκ γῆς ὁ κίνδυνος ἦν, Ἰουδαῖοι δὲ παθόντες εἰς τὰ τιμιώτερα μει ζόνως κολάζονται· ψυχῆς γὰρ ὑπομένουσι ζημίαν, ἀναλόγως τοῖς ἰδίοις κακουργήμασι τὰ ἐπίχειρα κομιζόμενοι. ἐκολάζετο μὲν γὰρ εὐλόγως ὁ Φαραὼ, πλεονεκτεῖν εἰς δουλείαν τὸ ἐλεύθερον ἐπιχειρῶν· τιμωρεῖται δὲ πάλιν ἐξ ἀντιστρόφου δικαίως ὁ Ἰσραὴλ τὴν ὑπὸ τῷ πάντων Δεσπότῃ δουλείαν οὐκ εἰσερχόμενος, ἀλλ' ὅπερ ἦν ὡς ἐν δυνάμει πλεονεξίας ἐκεῖνος αὐτῷ, τοῦτο καὶ αὐτὸς ἐκ πολλῆς ἀλαζονείας εἰς Θεὸν εὑρισκόμενος. Σημειωτέον δὲ, ὅτι τὴν Τιβεριάδος λίμνην θάλασσαν ἀπο καλεῖ, τοῖς τῆς θείας γραφῆς ἑπόμενος λόγοις· "τὰ γὰρ "συστήματα τῶν ὑδάτων θαλάσσας" ἐκάλεσεν ὁ Δημι ουργός· ἀδιαφορεῖ δὲ πολλάκις καὶ ὁ παρὰ τοῖς ἔξω λόγος, ὡς καὶ λίμνην ἔσθ' ὅτε τὴν θάλασσαν ὀνομάζειν οὐ παραι τεῖσθαί τινας. 1.404 Ἠκολούθει δὲ αὐτῷ ὄχλος πολὺς, ὅτι ἐθεώρουν τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων· ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ· ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. Ὅτε γὰρ τῶν Ἱεροσολύμων ἐκπεφοίτηκεν ὁ Χριστὸς, κατὰ τὸ ἐν προφήταις εἰρημένον "Ἐγκαταλέλοιπα τὸν οἶκόν "μου, ἀφῆκα τὴν κληρονομίαν μου," ὅτε τὸν ἀπειθῆ καὶ δυσήνιον τῶν Ἰουδαίων ἀπολακτίσας λαὸν τοῖς ἀλλογενέσιν ἑαυτὸν ἐχαρίζετο, τότε πολὺς μὲν ὄχλος ἀκολουθεῖ. ἄνεισι δὲ καὶ εἰς ὄρος αὐτὸς, κατ' ἐκεῖνο δὴ πάντως ὅπερ εἴρηκε φθάσας "Κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω "πρὸς ἐμαυτόν." ὑψώθη μὲν γὰρ ἐκ τῆς γῆς, καὶ εἰς τὸν ὑπὲρ ἡμῶν ἀναβαίνων σταυρόν· ὑψώθη δὲ πάλιν ἑτέρως, καθάπερ εἰς ὄρος ἀναβεβηκὼς τὴν θεοπρεπῆ τιμήν τε καὶ δόξαν· οὐ γὰρ ὡς ἄνθρωπον ἀτιμάζομεν κατὰ τὸν Ἰσραὴλ, ἀλλ' ὡς Θεὸν καὶ Σωτῆρα καὶ Κύριον προσκυνοῦμεν ἡμεῖς. παρ' ἐκείνοις μὲν γὰρ ταπεινός τις ὑπάρχειν, καὶ οὐδὲν ὅλως κατὰ τὸ παντελὲς, ἐνομίζετο· καὶ γοῦν Σαμαρείτην ἀποκα λοῦντες οὐκ ἔφριττον, σεμνότερον δέ πως ἀτιμάζοντες τὸν τοῦ τέκτονος αὐτὸν ἀπεκάλουν υἱόν· παρὰ δέ γε τοῖς πιστεύουσιν εἰς αὐτὸν, ὡς μεγαλουργὸς καὶ Θεὸς, ὡς τῶν παραδόξων ἐργάτης ἀποθαυμάζεται. ἀκούῃς γὰρ, ὅπως εὐ σεβὴς τοῖς ἀκολουθήσασιν ἐνυπάρχει σκοπός. ὅτι γὰρ ἐθεώρουν τὰ ἐπὶ τῶν ἀσθενούντων σημεῖα, διὰ τοῦτο δὴ μάλα θερμῶς ἕπεσθαι δεῖν ὑπελάμβανον, ὡς ἀπὸ τῶν τελουμένων ἀνα λόγως ἐπὶ τὴν τοῦ τελοῦντος ἐπίγνωσιν ποδηγούμενοι, καὶ ἀπὸ τῆς θεοπρεποῦς ἐξουσίας τὸν ταύτην ἠμφιεσμένον φυ σικῶς ἐννοοῦντες Υἱόν. διὰ ταύτης δὲ χρῆναι βαδίζειν ἡμᾶς τῆς ὁδοῦ πρὸς τὴν ἐφ' ἑαυτῷ πίστιν ἐκέλευσεν ὁ Σωτήρ· 1.405 "Τὰ γὰρ ἔργα, φησὶν, ἃ ἐγὼ ποιῶ, αὐτὰ τὰ ἔργα μαρτυρεῖ "περὶ ἐμοῦ." καὶ πάλιν "Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός "μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, "τοῖς ἔργοις μου πιστεύετε." ὥσπερ οὖν "ἀπὸ μεγέθους "καλλονῆς κτισμάτων ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται" Θεὸς, οὕτως ἀπὸ τῆς θεοσημείας, κατὰ τὴν ἴσην τῶν νοη μάτων διασκευὴν, ὁ τῶν σημείων ὁρᾶται τελειωτὴς, καὶ ἡ τῶν ἀκολουθούντων πίστις δικαίως ἂν θαυμάζοιτο. Οἶμαι δ' ἔγωγε περιεργοτέραν τινὰ καὶ οὐχ ἁπλῆν τοῖς εἰρημένοις ἐγκεκρύφθαι διάνοιαν. ὁρῶμεν γὰρ λέγονται τὸν Εὐαγγελιστὴν, οὐχ ὅτι μόνον σημείων ἦσαν φιλοθεάμονες οἱ ἀκολουθήσαντες τῷ Χριστῷ, ἀλλὰ καὶ ποίων ἦσαν σημείων δικαιότατοι θαυμασταί. προστίθησι γὰρ ὅτι Ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων, ἵνα διὰ τούτων ἐναντίως ἔχουσαν τῇ τῶν Ἰουδαίων τὴν τῶν ἀκολουθούντων ἀποδείξῃ διάνοιαν. οἱ μὲν γὰρ ὅτι τὸν παράλυτον ἀσθενοῦντα τεθεράπευκε, δυσσεβῶς χαλεπαίνουσιν, οἱ δὲ οὐ μόνον ἐπὶ τούτοις παρόντα θαυμά ζουσιν, ἀλλὰ καὶ ἀποδημοῦντι συνεκτρέχουσιν, ὡς θαυμα τουργῷ καὶ Θεῷ. φύγωμεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοίνυν τὴν Ἰουδαίοις πρέπουσαν ἀμαθίαν, οἱ Χριστὸν δεσπότην ἐπιγραφόμενοι, προσεδρεύ σωμεν αὐτῷ διὰ τῆς ὑπομονῆς, ὅπερ ἔδρων τληπαθῶς οἱ σοφώτατοι μαθηταί· χωρίζεσθαι μὲν καὶ λειποτακτεῖν ἀνεχό μενοι μηδαμῶς, αὐτοῖς δὲ λοιπὸν ἀναβοῶντες τοῖς πράγμασι τὸ νεανικῶς ὑπὸ τοῦ Παύλου λεγόμενον "Τίς ἡμᾶς χωρίσει "ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;" ἀκολουθήσωμεν τοίνυν αὐτῷ καὶ διωκομένῳ καὶ φεύγοντι τὰς τῶν μαχομένων αὐτῷ δυστροπίας, ἵνα καὶ εἰς ὄρος ἀναβαίνωμεν, καὶ ἐκεῖ καθίσωμεν σὺν αὐτῷ, τουτέστιν εἰς περιφανῆ καὶ εὐκλεεστάτην ἀναπη δήσωμεν χάριν, διὰ τοῦ συμβασιλεύειν αὐτῷ, καθάπερ οὖν 1.406 ἔφασκεν αὐτός "Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τοῖς "πειρασμοῖς μου, ἐν τῇ παλιγγενεσίᾳ ὅταν καθίσῃ ὁ υἱὸς "τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθήσεσθε καὶ "ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ "Ἰσραήλ." ταύτας γὰρ οἶμαι τὰς θεωρίας εἰσφέρειν τὸ καὶ προσεδρεύειν λέγεσθαι τῷ Σωτῆρι τοὺς μαθητὰς, καὶ ἀνελ θόντας ἐν ὄρει συγκαθίσαι. Ἐπάρας οὖν τοὺς ὀφθαλμοὺς ὁ Ἰησοῦς καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς Φίλιππον Πόθεν ἀγορά σομεν ἄρτους ἵνα φάγωσιν οὗτοι; τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν. ἀπεκρίθη αὐτῷ Φίλιππος. Μάθημα δὴ πάλιν ἄριστόν τε καὶ ἀνδράσι τοῖς ἱερωτάτοις πρεπωδέστατον τοῖς ἑαυτοῦ μαθηταῖς ἐπενόησεν ὁ Χριστὸς, καὶ ἐν δυσχωρίαις ἀκράτοις νικᾶν ἀναπείθων τὴν ἐπὶ τρόπῳ τῷ φιλοξένῳ δειλίαν, καὶ ὄκνον μὲν τὸν ἐπὶ τούτῳ διαῤῥίπτειν που μακρὰν, θερμοτέροις δὲ μᾶλλον ἐπὶ τὴν ἀρετὴν ἀφικνεῖ σθαι κινήμασιν· οὗ τί ἂν γένοιτο μεῖζον, παρά γε τοῖς εἰδόσι καὶ θέλουσι δι' ὧν ἂν πρέποι τὴν ἄνωθεν ἑαυτοῖς ἐξωνεῖσθαι φιλίαν; ὄχλου γὰρ δὴ πρὸς αὐτὸν ἰόντος οὐ μικροῦ, καὶ ἀναριθμήτου πληθύος ὑδάτων δίκην ἐπεισχεομένης τοῖς τό ποις, ἐν οἷς ηὐλίζετο, πρὸς τὸ ἑτοιμάζεσθαι τρέφειν αὐτοὺς παραχρῆμα διεκελεύετο. καὶ ἦν μὲν ὄντως οὐκ ἀπεικὸς καὶ τοῦ σφόδρα πλουσίου καταναρκήσειν τὴν προθυμίαν, τῷ πλήθει τῶν ὁρωμένων καταπτοουμένην εἰς φόβον τὸν ἐπὶ τῷ μὴ δύνασθαι φιλοξενεῖν· ἀλλ' οὐδὲν ὅλως δεικνύει τὸ μέγα Χριστὸς, ὅταν εἰς ὀλίγους γίγνηται παρ' ἡμῶν ἡ φιλαδελφία, κατανεανιεύεσθαι δέ πως καὶ τῶν παρ' ἐλπίδα βούλεται, τῇ εἰς αὐτὸν πεποιθήσει βεβαιουμένους πρὸς τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς εὐτολμίαν. 1.407 Κατὰ μὲν οὖν τῆς ἱστορίας τὸν λόγον, οὐκ ἀπὸ σκοποῦ συντείνεται τῶν εἰρημένων ἡ δύναμις, μεταβαλόντες δὲ πάλιν αὐτὰ πρὸς θεωρίαν πνευματικὴν, καὶ τὸ ἐν τύπῳ παχὺ περι κείροντες σχῆμα, γυμνότερον ἤδη φαμὲν, ὡς διὰ προθυμίας ἀγαθῆς καὶ πίστεως τοὺς ἐπιζητοῦντας αὐτὸν, καθάπερ ἐξ ὄρους, ἐξ ὑψηλῆς δηλονότι καὶ θεοπρεποῦς τῆς προγνώσεως, προαναβλέπει Θεὸς, κατὰ τὸ εἰρημένον παρὰ τοῦ Παύλου "Οὓς γὰρ προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος "τοῦ Υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν." ἐπαίρει τοίνυν τοὺς ὀφθαλμοὺς ὁ Χριστὸς, οἱονεὶ τῆς θείας ἐπισκέψεως ἀξίους ὄντας ἐπιδεικνύων τοὺς ἀγαπῶντας αὐτόν· ὥσπερ οὖν ἀμέλει καὶ ἐν εὐλογίας τρόπῳ πρὸς τὸν Ἰσραὴλ ἐλέγετο "Ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ δώῃ σοι "εἰρήνην·" ἀλλ' οὐ μέχρι μόνης τῆς ἐπισκέψεως ἡ ἐπὶ τοῖς τιμῶσιν αὐτὸν ὁρίζεται χάρις, ἀλλά τι καὶ ἕτερον προστιθεὶς ὁ μακάριος Εὐαγγελιστὴς, οὐκ ἀπρονοήτως ἔχοντα τῶν ὄχλων δεικνύει τὸν Κύριον, ἀλλ' εἰς τροφὰς ἤδη καὶ πανδαι σίαν εὐτρεπιζόμενον· ἵνα δὴ πάλιν διὰ τούτου νοῇς τὸ ἐν παροιμίαις φερόμενον "Οὐ λιμοκτονήσει Κύριος ψυχὴν "δικαίαν·" ἑαυτὸν γὰρ παρατίθησι, καθάπερ ἄρτον ἐξ οὐ ρανοῦ, καὶ τὰς τῶν φοβουμένων αὐτὸν ἀποθρέψει ψυχάς· πάντα δὲ αὐτοῖς ἑτοιμάζει τὰ ζωαρκῆ, καθάπερ οὖν ἐν ψαλμοῖς λέγει τό "Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι "οὕτως ἡ ἑτοιμασία σου." καὶ αὐτὸς δέ που φησὶν ὁ Χριστός "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ ἐρχόμενος πρὸς μὲ οὐ "μὴ πεινάσῃ πώποτε·" ἐπιδώσει γὰρ, καθάπερ ἤδη προεί πομεν, τὰς ἐξ οὐρανοῦ δηλονότι τροφὰς, καὶ τὴν πολυειδῆ τοῦ Πνεύματος ἐπιδαψιλεύσεται χάριν. εὐτρεπίζεται γεμὴν πρὸς τὸ δοῦναι τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσιοῦσι τὰς τροφὰς, οὐδὲ περιμείνας τὴν αἴτησιν. "Τὸ γὰρ τί προσευξόμεθα καθ' ὃ δεῖ οὐκ 1.408 "οἴδαμεν," αὐτὸς δὲ ὀρέγει προλαβὼν, ἅπερ ἡμᾶς εἰς ζωὴν συνέχει τὴν αἰώνιον. Λέγει τοίνυν πρὸς Φίλιππον Πόθεν ἀγοράσομεν ἄρτους; διατί πρὸς Φίλιππον, καίτοι τῶν ἄλλων συμπαρεστώτων τε καὶ προσκαρτερούντων αὐτῷ μαθητῶν, ἀναγκαῖον ἰδεῖν. οὐκοῦν ζητητικὸς μὲν ὁ Φίλιππος καὶ φιλομαθὴς, ὀξὺς δὲ οὐ λίαν εἰς τὸ δύνασθαι συνιέναι θερμῶς τὰ θεοπρεπέστερα. τοῦτο δ' ἂν μάθοις, ἐκεῖνο κατὰ σαυτὸν ἀναλογισάμενος, ὅτι χρό νους ἀκολουθήσας τῷ Σωτῆρι μακροὺς, καὶ ποικίλως τὰ περὶ τῆς θεότητος αὐτοῦ συλλέγων μαθήματα, καὶ πλουσιωτάτην διά τε πραγμάτων καὶ λόγων ἐρανιζόμενος ἐπ' αὐτῷ τὴν κατάληψιν, ὡς οὐδὲν οὔπω μαθὼν, ἐν τελευταίοις τῆς οἰκονο μίας καιροῖς λέγει πρὸς τὸν Ἰησοῦν "Κύριε, δεῖξον ἡμῖν τὸν "Πατέρα, καὶ ἀρκεῖ ἡμῖν·" ἀλλ' ὡς ἀκακοήθως εἰπὼν εὖ μάλα μετεπαιδεύετο· "Τοσοῦτον γὰρ χρόνον μεθ' ὑμῶν "εἰμι, καὶ οὐκ ἔγνωκάς με Φίλιππε," φησὶν ὁ Χριστός. ὡς οὖν παχυτέρῳ πρὸς νόησιν, καὶ βραδύτερόν πως ἤπερ ἐχρῆν πρὸς τὴν τῶν θειοτέρων ἰόντι κατάληψιν, προτείνει τὴν πεῦσιν, γυμνάζων εἰς πίστιν τὸν μαθητήν. τοῦτο γὰρ σημαίνει τό Πειράζων ἐν τούτοις, εἰ καὶ καθάπερ ὁ μακάριος Εὐαγγελιστὴς διισχυρίσατο Αὐτὸς δὲ ᾔδει τί ἔμελλε ποιεῖν. Τὸ δέ Πόθεν ἀγοράσομεν λέγων, τῶν συνόντων αὐτῷ τὸ ἀφιλοχρήματον, καὶ τὴν ἑκούσιον διὰ Θεὸν πτωχείαν ἐπι δεικνύει, οὐδ' ὅσον εἰς τὸ πρίασθαι τὰς ἀναγκαίας ἐχόντων τροφάς. ὁμοῦ δέ τι τούτῳ προσεργάζεται, καὶ διὰ τέχνης οἰκονομεῖ. τὸ γάρ Πόθεν, οὐ μάτην, ὡς πρὸς οὐδὲν ὅλως ἐπικομίζεσθαι μελετήσαντας, ἀλλὰ καὶ εἰς ἄκρον ἀφιλαρ γυρεῖν εἰθισμένους φησίν. ἀποκλείσας δὴ οὖν καὶ ἀποτεμὼν εὐφυεστάτως τὴν ἐπ' ἀργύροις ἐλπίδα, μονονουχὶ καὶ ἀνα 1.409 πείθει λοιπὸν ἐπ' ἐκεῖνο βαδίζειν, ὅτι δεήσει τὸν Κύριον, εἰ μηδενὸς ἐνόντος αὐτοῖς, ἀποτρέφειν βούλοιτο τοὺς πρὸς αὐτὸν ἐρχομένους ἀφάτῳ δυνάμει καὶ ἐξουσίᾳ θεοπρεπεῖ δημιουρ γῆσαι τροφάς. τοῦτο γὰρ ἦν ἔτι τὸ λειπόμενον, καὶ εἰς μόνας ὁρᾶν τὰς ἐντεῦθεν ἐλπίδας ἐκάλει λοιπὸν, κατὰ τοὺς παρ' Ἕλλησι ποιητὰς, –σιδήρεον ἕλκος ἀνάγκης. Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς ἵνα ἕκαστος βραχύ τι λάβῃ. Ἀδρανῶς ὁ Φίλιππος οὐκ ἐπὶ τὸ πάντα δύνασθαι καὶ λίαν εὐκόλως τὸν Ἰησοῦν ἀναβαίνει πάλιν, ἀλλὰ τό Πόθεν ἀγοράσομεν ἀκούσας πειραστικῶς παραχρῆμα συναρπάζεται, καὶ εἰς μόνην ὁρᾷ τὴν διὰ χρημάτων ὁδὸν, οὐχ ἑτέρως ἀνυσθήσεσθαι τὴν τοῦ πράγματος ἐννοήσας φύσιν, εἰ μὴ θεσμῷ τῷ κοινῷ καὶ τῷ παρὰ πᾶσι κατειθισμένῳ· τοῦτο δὲ ἦν ἡ ἐκ δαπάνης φιλοτιμία. οὐκοῦν ὅσον εἴς τε τῶν μαθητῶν τὸ ἀφιλοχρήματον καὶ τὸ κεκτῆσθαι μηδὲν, καὶ εἰς αὐτὴν δὲ τοῦ Φιλίππου τὴν διάνοιαν, οὔπω τελείως πρὸς τὸ ἐξαίσιον τοῦ Σωτῆρος ἡμῶν ἀφορῶσαν ἀξίωμα, εἰς ἀδύνατόν πως περιτρέπεται λοιπὸν ἡ ἐπὶ τοῖς ὄχλοις φιλοτιμία. τοῦτο δὲ οὐ γέγονε, διεξάγεται δὲ τοῦ Σωτῆρος εἰς πέρας ἡ βούλησις. "Τὸ ἀδύνατον ἄρα παρὰ ἀνθρώποις δυνατὸν παρὰ τῷ Θεῷ," καὶ τῆς ἐνούσης ἀκολουθίας ἐν τῇ φύσει τῶν καθ' ἡμᾶς πραγμάτων, πανταχόθεν ἀμείνων ἡ θεία φαίνεται δύναμις, πάντα παραδόξως ἐξανύειν ἰσχύουσα, καὶ ὅσα τὸν ἐν ἡμῖν ἐξάλλεται νοῦν. 1.410 Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου Ἔστι παιδάριον ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; εἶπε δὲ ὁ Ἰησοῦς. Ἀδελφὰ τῷ Φιλίππῳ καὶ φρονεῖ καὶ λογίζεται, καὶ συγ γενῆ πως ἔχων ἐν ἑαυτῷ τὴν ἐπὶ τῷ Σωτῆρι διάληψιν καὶ αὐτὸς ἐξελέγχεται. οὐ γὰρ ἐννοήσας τὴν δύναμιν, οὔτε μὴν ἐκ τῆς τῶν φθασάντων μεγαλουργίας ἐπὶ τὸ πάντα δύνασθαι τὸν Ἰησοῦν καὶ λίαν εὐπετέστατα παιδαγωγούμενος, κατα μηνύει δὲ τὰ παρὰ τῷ παιδαρίῳ κείμενα, πλὴν ἀτονήσας ὁρᾶται περὶ τὴν πίστιν· ταῦτα γὰρ τί ἐστι φησὶν εἰς τοσού τους; καίτοι· χρὴ γὰρ ἤδη λέγειν· οὐχ ὑπεσταλμένως, μᾶλλον δὲ δεῖ πρὸς ἀνάμνησιν ἰέναι γοργῶς τῶν ἤδη παραδόξως τετελεσμένων, λογίζεσθαι δὲ ὅτι ξένον ἦν ἔργον ἢ καὶ ἀλλότριον οὐδαμῶς τοῦ μετασκευάσαντος εἰς οἶνον τὴν τοῦ ὕδατος φύσιν, τοῦ θεραπεύσαντος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν παράλυτον, καὶ τὴν οὕτω μακρὰν ἀῤῥωστίαν ἑνὶ κατασοβήσαντος λόγῳ, καὶ ἐκ τοῦ μὴ ὄντος δημιουργῆσαι τροφὰς, καὶ ὀλίγας κομιδῇ τὰς ηὑρημένας πολυπλασιάσαι θεϊκῶς. ἡ γὰρ ἐν ἐκείνοις ἐξουσία, πῶς οὐκ ἂν ἔχοι καὶ τὸ ἐν τούτοις δραστικόν; οὐκοῦν ἀδρα νέστερον μέν πως ἤπερ ἐχρῆν ἡ τῶν μαθητῶν ἀπεκρίνετο ξυνωρίς. πλὴν ἀθρητέον ἐν τούτῳ πάλιν ἐκεῖνο. τὰ γὰρ δοκοῦντα τοῖς ἁγίοις καὶ διεπταῖσθαι κατὰ βραχὺ, τοῦ χρη σίμου πολλάκις οὐκ ἀμοιρεῖ, ἀλλ' ἔχει τι συμπεπλεγμένον, ὃ τῇ τοῦ πράγματος φύσει λυσιτελεῖ, περὶ ἣν ἂν γένοιτο τῆς δοκούσης ἀσθενείας αὐτῶν τὰ ἐγκλήματα· λογισάμενοι γὰρ οἱ μνημονευθέντες ἅγιοι μαθηταὶ, καὶ σαφῶς εἰρηκότες, ὁ μὲν ὅτι "Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς "ἵνα ἕκαστος βραχύ τι λάβῃ·" ὁ δὲ, περί τε τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων, ὅτι ταῦτα τί ἐστιν εἰς τοσούτους; 1.411 αἴρουσί πως εἰς ὕψος τὸ θαῦμα, καὶ περιφανεστάτην ἀπερ γάζονται τὴν τοῦ Σωτῆρος ἰσχὺν, τὴν ὅσον οὐδέπω κορεσθη σομένην πληθὺν διὰ τῶν οἰκείων κατασημήναντες λόγων, καὶ περιτέτραπται τῆς ἀπιστίας ἡ δύναμις εἰς ἀγαθὴν μαρτυρίαν τὴν ἐπὶ Χριστῷ. δι' ὧν γὰρ τοῖς ὄχλοις οὐκ ἐξαρκέσειν ὡμολογήκασι πρὸς βραχεῖαν ἀπόλαυσιν τῶν τοσούτων ἀργυρίων τὸ μέτρον, διὰ τούτων αὐτῶν τὴν ἀπόῤ ῥητον τοῦ ἑστιῶντος καταστέφουσι δύναμιν, ὅτε δὴ καὶ ἐνόντος οὐδενός· τί γὰρ ἦν εἰς τοσούτους τὰ παρὰ τῷ παι δαρίῳ κατὰ τὸν Ἀνδρέου λόγον; τὰ τῆς εἰς τοὺς ὄχλους ἀγάπης καὶ σφόδρα πλουσίως ἐκβέβηκε. Τοιαύτην τινὰ κατὰ τὴν ἔρημον καὶ τὴν τοῦ πανσόφου Μωυσέως ὀλιγοπιστίαν εὑρήσομεν. ἔκλαιον μὲν γὰρ οἱ ἐξ Ἰσραὴλ, καὶ πρὸς βδελυρὰν ἐπιθυμίαν τῶν ἐν Αἰγύπτῳ τραπεζῶν κατηρεθισμένοι, λέβητας μὲν ἀκαθάρτους ἐφαντά ζοντο κρεῶν, κρομμύων δὲ καὶ σκορόδων καὶ τῆς ἐν τοῖς ὁμοειδέσι χυδαιότητος εἰς ἐκτοπωτάτην ἐκνεύοντες ἡδονὴν, καὶ τῶν θείων ἀλογήσαντες ἀγαθῶν, ἐπεφύοντό πως καὶ τῷ μεσιτεύοντι καὶ παιδαγωγοῦντι Μωυσεῖ. ἀλλ' οὐκ ἠγνόει Θεὸς τὰ ἐφ' οἷς ἀνοιμώζειν ἡ πληθὺς ἠπείγετο, καὶ δὴ καὶ ἐπιδώσειν αὐτοῖς κρέα κατεπηγγέλλετο. ἐπειδὴ δὲ ἦν ἐν ἐρήμῳ τῆς φιλοτιμίας ἡ ὑπόσχεσις, καὶ δυσήνυτόν πως, ὅσον ἧκεν εἰς ἀνθρώπινον νοῦν, ἐδόκει τὸ πρᾶγμα, πρόσεισιν ἀνα βοῶν ὁ Μωυσῆς "Ἑξακόσιαι χιλιάδες πεζῶν ὁ λαὸς ἐν οἷς "εἰμι ἐν αὐτοῖς, καὶ σὺ εἶπες Κρέα δώσω αὐτοῖς, καὶ φά "γονται μῆνα ἡμερῶν· μὴ πρόβατα καὶ βόες σφαγήσονται "αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς;" καὶ τί πρὸς ταῦτα Θεός; "Μὴ χεὶρ Κυρίου οὐκ ἀρκέσει;" περὶ τί γὰρ ἂν καὶ ἀδυνα τήσαι Θεός; Οὐκοῦν ἐρεῖ τις εὐλόγως, καὶ ἐπὶ τοῖς παρὰ Φιλίππου τε 1.412 καὶ Ἀνδρέου λόγοις Μὴ χεὶρ Κυρίου οὐκ ἀρκέσει; δεχόμενοι δὲ καὶ ἡμεῖς εἰς παραδείγματος τρόπον τὴν τοῦ πράγματος φύσιν, νοσημάτων ἔσχατον καὶ παντὸς ἐπέκεινα κακοῦ τὴν ὀλιγοπιστίαν ἡγώμεθα, κἂν ἐργάζηται Θεὸς, ἢ καὶ δράσειν ἐπαγγέλληται, πίστει δὴ πάντως ἀπεριεργάστῳ γινέσθω δεκτὸν, καὶ μὴ τῷ μὴ δύνασθαι νοεῖν, ὅπως ἔσται τὰ ὑπὲρ ἡμᾶς, ἐπ' ἀσθενείᾳ τῇ ἐπί τισι κατηγορείσθω τὸ θεῖον. πρέποι δ' ἂν τῷ ἀγαθῷ καὶ σώφρονι καὶ βεβηκότα καλῶς φρονοῦντι τὸν λογισμὸν, κἀκεῖνο λαμβάνειν εἰς νοῦν, ὡς καὶ ὁ τοῦ σώματος ὀφθαλμὸς, οὐκ ὅσον ἂν βούλοιτό τις, τοσοῦτο δὴ πάντως καὶ κατόψεται, ἀλλ' ὅσον ἐνδέχεται, καὶ τὸ τῆς φύσεως ἡμῶν ἐφίησι μέτρον· τὰ δὲ ἐν ὕψει πολλῷ λίαν ἀνατεθειμένα, κἂν ὅλως φαντάζηται, διακρίνειν οὐ δύναται, λεπτοτάτην ἐπ' αὐτοῖς καὶ μόλις ἁρπάζων τὴν θεωρίαν. οὕτω μοι νόει καὶ τὸν ἀνθρώπινον νοῦν· μέχρι γὰρ τῶν δοθέντων ὅρων αὐτῷ παρὰ τοῦ πεποιηκότος ἐφικνεῖται καὶ ἐκτείνεται, κἂν ὅλως ὑπάρχῃ κεκαθαρμένος· ὄψεται γὰρ οὐδὲν τῶν ὑπερκειμένων, παραχωρήσει δὲ καὶ οὐχ ἑκὼν τοῖς ὑπὲρ τὴν φύσιν, οὐδαμόθεν ἔχων αὐτῶν περιδράττεσθαι· πίστει τοίνυν τὰ ὑπὲρ ἡμᾶς, καὶ οὐ ζητήσει λαμβάνεται, καὶ θαυμάζεται μὲν ὁ οὕτω πιστὸς, ἐπεὶ ἀνεπιτίμητος δὲ οὐδαμῶς ὁ τοῖς ἐναντίοις περιπεσών· καὶ ἐπὶ τούτῳ πάλιν αὐτὸς ἡμῖν ὁ Σωτὴρ μαρτυρήσει λέγων "Ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ "κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται." Διειληφότες δὲ ἅπαξ τὸν λόγον τὸν ἐπὶ τῷ χρῆναι μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπιστεῖν τῷ Θεῷ, φέρε δή τι πάλιν ἐκ τῶν ἱερῶν γραμμά των ἀναδεξάμενοι παραθῶμεν εἰς μέσον, καὶ τὴν ἐπὶ ταῖς ἀπιστίαις κόλασιν ἐκλαμπρύνωμεν πρὸς ὠφέλειαν τῶν ἐντευ ξομένων. οὐκοῦν· ἐπ' αὐτὸν γὰρ εἶμι πάλιν τὸν ἱεροφάντην Μωυσέα· ἐκελεύετό ποτε κατὰ τὴν ἔρημον ἀφορήτῳ δίψει 1.413 καταβαρυνθέντος τοῦ λαοῦ, κοινωνὸν μὲν ποιεῖσθαι τὸν Ἀαρὼν, κατακρούειν δὲ τῇ ῥάβδῳ τὴν πέτραν, ἵνα καὶ ὑδάτων ἀνομβρήσῃ πηγάς. ἀλλ' οὐ σφόδρα τοῖς τοῦ προσ τάττοντος ἀναπεπεισμένος λόγοις, ὀλιγοψυχήσας δέ πως διὰ τὸ ἀνθρώπινον "Ἀκούσατέ μου, φησὶν, οἱ ἀπειθεῖς· "μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ; καὶ ἐπάρας "Μωυσῆς τὴν χεῖρα αὐτοῦ ἐπάταξε τῇ ῥάβδῳ τὴν πέτραν "ἅπαξ καὶ δὶς, καὶ ἐξῆλθεν ὕδωρ πολύ· καὶ εἶπε Κύριος "πρὸς Μωυσῆν καὶ Ἀαρών Ὅτι οὐκ ἐπιστεύσατε ἁγιάσαι "με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσάξετε "ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν ἣν δέδωκα "αὐτοῖς." ἆρ' οὖν ἐντεῦθεν οὐκ ἂν γένοιτο παντί τῳ σαφὲς, ὅπως ἐστὶ χαλεπὰ τῆς ἀπιστίας τὰ ὀψώνια; καὶ εἰ τοσοῦτος ὑπάρχων ἐπετιμήθη Μωυσῆς, τίνος ἔτι φείσεται Θεὸς, τίνι δὲ οὐκ ἐποίσει τὸν ἐφ' οἷς ἂν ἀπιστήσῃ θυμὸν ὁ οὕτως ἀπροσωπόληπτος, ὡς μηδὲ αὐτὸν ἐθελῆσαι δυσωπεῖσθαι Μωυσέα, πρὸς ὃν εἴρηται παρ' αὐτοῦ "Οἶδά σε παρὰ πάν "τας, καὶ χάριν εὗρες παρ' ἐμοί." Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν· ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ· ἀνέπεσον οὖν ἄνδρες τὸν ἀριθμὸν ὡς πεντακι σχίλιοι. Πρᾳότητα μὲν τὴν συνήθη τετίμηκεν ὁ Σωτὴρ, καὶ τὸ μὲν δριμὺ τῶν ἐλέγχων ἀφίστησιν· οὐκ ἐπιτιμᾷ γὰρ δηκτι κῶς, καίτοι καὶ λίαν νυστάζουσι τοῖς μαθηταῖς, ὅσον ἧκεν εἰς τὸ ἐπ' αὐτῷ μικρόψυχόν τε καὶ ὀλιγόπιστον· παιδαγωγεῖ δὲ μᾶλλον διὰ πραγμάτων αὐτῶν εἰς κατάληψιν ὧν οὔπω πιστεύουσι. τὸ γάρ Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν, οὐ μετρίαν ἔχει τὴν ἔμφασιν, μόνον δὲ οὐχὶ καὶ τοιοῦτόν τι 1.414 λέγοντα δεικνύει τὸν Ἰησοῦν Ὢ βραδεῖς εἰς τὸ τὴν ἐμὴν συνιέναι δύναμιν, καὶ νοῆσαι τίς ὁ λαλῶν Ἀνακλίνατε τοὺς ἄνδρας, ἵν' ἐκ μηδενὸς τοῦ παρ' ὑμῖν κειμένου κατακορεσθέν τας ὁρῶντες θαυμάζητε. ἀνακλίνατε τοὺς ἄνδρας. τοῦτο γὰρ αὐτοῖς τὸ λεῖπόν ἐστιν· οὐ γὰρ δηνάρια μὲν διακόσια τὰ ζωαρκῆ τοῖς ὄχλοις περιποιεῖν ἂν ἴσχυσε, χρημάτων δὲ τῶν ἐν ἀνθρώποις τὸ μεῖον ἐν τῷ δύνασθαι σώζειν, ἡ ἐμὴ κεκτήσεται δύναμις, ἡ πάντα πρὸς τὸ εἶναι καλοῦσα καὶ τῶν ἐξ οὐκ ὄντων δημιουργός· οὐδὲ Ἡλίας μὲν ὁ προφήτης ἀνενδεᾶ τὸν ἐλαιοφόρον τῆς χήρας ἐτίθει καμψάκην, μητέρα τε ἀνεκλείπτου τροφῆς τὴν ὑδρίαν ἀπετέλει, ὁ δὲ κἀκείνῳ τὸ δύνασθαι διδοὺς, οὐκ ἂν ἐξίσχυσε πολυτλασιάσαι τὸ μηδὲν, καὶ τὸ προστυχὸν ἁπλῶς τῆς ἀῤῥήτου φιλοτιμίας ἐργάσα σθαι πηγὴν, καὶ ἀδοκήτου χάριτος ἀρχήν τε καὶ ῥίζαν; Τοιαῦτα μὲν οὖν ἐννοῆσαι τυχὸν οὐκ ἀπίθανον διὰ τῆς ἐμφάσεως οἱονεὶ λέγοντα τὸν Χριστόν· ἐπισημαίνεται δὲ χρησίμως ὁ μακάριος Εὐαγγελιστὴς, ὅτι καὶ χόρτος ἦν ἐν τῷ τόπῳ πολὺς, ἐπιτηδείως ἔχοντα τὸν χῶρον πρὸς τὸ καὶ δεῖν ἀνακλίνεσθαι τοὺς ἄνδρας ἐπιδεικνύς. ἐπιτήρει δὲ ὅπως ἀναμεμιγμένης εἰς ἑαυτὴν τῆς τῶν τρεφομένων πληθύος, καὶ γυναικῶν δηλονότι παρουσῶν σὺν τέκνοις, μόνους τοὺς ἄνδρας ἀπηριθμήσατο, ταῖς κατὰ τὸν νόμον ὡς οἶμαι συνη θείαις ἀκολουθῶν. διατάττοντος γὰρ τοῦ Θεοῦ, καὶ πρὸς τὸν ἱεροφάντην λέγοντος Μωυσέα "Λάβετε ἀρχὴν πάσης "συναγωγῆς υἱῶν Ἰσραὴλ κατὰ συγγενείας, κατ' οἴκους "πατριῶν, κατὰ ἀριθμὸν ἐξ ὀνόματος, κατὰ κεφαλὴν αὐτῶν, "πᾶν ἄρσεν ἀπὸ εἰκοσαετοῖς καὶ ἐπάνω·" ἀπετελεῖτο τὸ προσταχθὲν, καὶ μακρὸν μὲν ὀνομάτων ὁ προφήτης συνετίθει 1.415 κατάλογον, θηλειῶν δὲ παντελῶς καὶ μειρακιώδους ἡλικίας ἀλογήσας ὁρᾶται, καταγράφει δὲ ὄχλον τὸν ἡβήσαντα. τίμιον γὰρ καὶ ἐν βίβλῳ Θεοῦ πᾶν ὅσον ἀνδρῶδες καὶ νεανικὸν, καὶ οὐ νηπιάζον εἰς φρόνησιν τὴν ἐπ' ἀγαθοῖς. οὐκοῦν καὶ συνήθειαν διὰ τούτου τετίμηκε νομικὴν, καὶ θεώ ρημά τι πάλιν διαπλάττει πνευματικόν· ἢ γὰρ οὐκ εὐλόγως ἐροῦμεν εἰς ὅλην τοῦ προκειμένου τὴν διάνοιαν βλέποντες, ὅτι τὸν μὲν ὑβριστὴν καὶ ἀλαζόνα τῶν Ἰουδαίων λαὸν, καὶ ἐκτρέπεται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δικαίως καὶ καταλιμπάνει Χριστὸς, προσδέχεται δὲ καὶ λίαν ἡδέως τοὺς προσιόντας αὐτῷ, καὶ ταῖς οὐρανίοις καταπιαίνει τροφαῖς, ἄρτον ὀρέγων τὸν νοητὸν, τὸν στηρί ζοντα καρδίαν ἀνθρώπου; ἀποτρέφει δὲ οὐκ ἐπιπόνως αὐτοὺς, ἀλλ' ἱλαρῶς τε καὶ ἀνειμένως, καὶ μετὰ πολλῆς τῆς ἐν εὐλαβείᾳ τέρψεως. τοῦτο γὰρ ἡμῖν ἡ ἐπὶ τῷ χόρτῳ τῶν ὄχλων κατάκλισις σημαίνει, ὡς ἤδη καὶ πρέπειν ἑκάστῳ τῶν τῆς τοιαύτης ἠξιωμένων χάριτος τὸ ἐν ψαλμοῖς ἐκεῖνο λέγειν "Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον "χλόης ἐκεῖ με κατεσκήνωσεν." ἐν πολλῇ γὰρ τέρψει καὶ τρυφῇ ταῖς τοῦ Πνεύματος χορηγίαις ὁ τῶν ἁγίων ἐκτρέ φεται νοῦς, κατὰ τὸ εἰρημένον ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων "Φάγετε καὶ πίετε καὶ μεθύσθητε οἱ πλησίον." πολλῶν δὲ ὄντων καὶ ἀναμὶξ, καθάπερ ἤδη προειρήκαμεν, τῶν ἀνακει μένων ἀνδρῶν ἐπεμνήσθη μόνων, ἀποσιωπήσας γυναῖκας καὶ τέκνα χρησίμως τῷ θεωρήματι. διδάσκει γὰρ ἡμᾶς ὡς δι' αἰνίγματος, ὅτι τοῖς ἀνδριζομένοις, εἰς τὸ ἀγαθὸν δηλονότι, πρεπωδέστερόν πως καὶ οἰκειότερον ἡ παρὰ τοῦ Σωτῆρος χορηγηθήσεται τροφὴ, καὶ οὐχὶ τοῖς ἐκθηλύνεσθαι πεφυ κόσιν εἰς ἕξιν οὐκ ἀγαθὴν, ἀλλ' οὐδὲ τοῖς νηπιάζουσι ταῖς φρεσὶν, ὡς διὰ τοῦτο μηδὲν συνιέναι δύνασθαι τῶν ἀναγ καίων εἰς γνῶσιν. 1.416 Ἔλαβεν οὖν τοὺς ἄρτους ὁ Ἰησοῦς καὶ εὐχαριστήσας διέδωκε τοῖς ἀνακειμένοις· ὁμοίως δὲ καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. Εὐχαριστεῖ μὲν εἰς τύπον ἡμέτερον, καὶ τῆς ὀφειλούσης ἡμῖν ἐνυπάρχειν εὐλαβείας ὑπογραμμόν. ἀνατίθησι δὲ πάλιν, ὡς ἄνθρωπος, τῇ θείᾳ φύσει τὴν ἐπὶ τῷ παραδόξῳ δύναμιν. κατείθισται γάρ πως οὗτος ὁ τρόπος αὐτῷ, καὶ ὠφελοῦντι πρὸς ὑπογραμμὸν εὐλαβείας, καθάπερ εἰρήκαμεν, τοὺς ἐφ' οἷς ἀναδειχθῇ τῶν καλλίστων εἰσηγητὴς, καὶ οἰκονομικῶς κατακρύπτοντί πως ἔτι τὸ θεοπρεπὲς ἀξίωμα, πρὶν ἐπιστῆναι τοῦ παθεῖν τὸν καιρόν· ἦν γὰρ δὴ καὶ διὰ φροντίδος αὐτῷ τὸ λαθεῖν ἐπείγεσθαι τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου. διάτοι τοῦτο καὶ ἐν ἑτέροις τὰς μὲν ἀνθρώποις πρεπούσας σχημα τίζεται φωνὰς, ὡς ἄνθρωπος· θεραπεύει δὲ πάλιν τῶν ἀκροωμένων τὸν νοῦν, σοφωτάτην ἔσθ' ὅτε ποιούμενος τὴν ἐπαγωγὴν, ὡς ἐν τῷ "Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς "μου." ὁρᾷς, ὅπως ἀνθρωποπρεπὴς ὁ λόγος, καὶ τὴν τῶν ἀκεραιοτέρων διάνοιαν ἐκταράξαι δυνάμενος; ἀλλ' ὅτε τοῦτό φησιν, ὡς ἄνθρωπος, τότε δὴ πάλιν εὐθὺς τῆς οἰκονομίας ἐξηγεῖται τὸν τρόπον, καὶ τὸν ἐπὶ τῷ βούλεσθαι λανθάνειν σκοπὸν, ἄριστα δὴ λίαν οἰκονομῶν καὶ ἀνατειχίζων παραλε λυμένον τῶν ἁπλουστέρων τὸν νοῦν. "Ἐγὼ γὰρ ᾔδειν," φησὶν, "ὅτι πάντοτέ μου ἀκούεις." τίνος οὖν ἕνεκα τοιαῦτα λαλεῖς; "Διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύ "σωσι, φησὶν, ὅτι σύ με ἀπέστειλας." ἆρ' οὖν οὐκ ἂν γένοιτο διὰ τούτων καταφανὲς, ὅτι πολυτρόπως ἡμᾶς ὠφε λῶν, καὶ τὸν κεκρυμμένον τῆς μετὰ σαρκὸς οἰκονομίας, ὡς ἂν αὐτῷ πρέποι, διανύων σκοπὸν, ταπεινότερά πως, ἢ ἐν οἷς ἐστιν ἀληθῶς, ἔσθ' ὅτε λαλεῖ; ὡς οὖν ἐν ἐκείνοις οἰκονομι 1.417 κῶς τό Εὐχαριστῶ σοι λαμβάνεται, οὕτως καὶ ἐνταῦθα τό Εὐλογήσας ἐπὶ τῶν ἄρτων νοεῖται. Σημειωτέον δὲ, ὅτι ἀντὶ τοῦ Εὐχαριστήσας, τό Εὐλογή σας εἴρηκεν ὁ Ματθαῖος, διαφωνήσει δὲ οὐδαμῶς τῶν ἁγίων ἡ ἔκδοσις. ἓν γὰρ ἀποδείξει τὸ συναμφότερον ὁ Παῦλος εἰπών "Ὅτι πᾶν βρῶμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, "ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως·" εὐλογεῖται δὲ πάντως τὸ ἁγιαζόμενον διὰ τῆς ἐν ἐντεύξει προσευχῆς, ἣν ἐπὶ τραπέζαις ἀεὶ ποιεῖν εἰθίσμεθα. Ἐπειδὴ δὲ ἀζήτητον τῶν συμφερόντων οὐδὲν καταλιμ πάνεσθαι πρέπει· φέρε δή τι βραχὺ καὶ εἰς τοὺς πέντε λέγωμεν ἄρτους, οἵπερ ἦσαν παρὰ τῷ παιδαρίῳ καὶ εἰς τὰ δύο ὀψάρια· λόγον γὰρ ὠδίνει μυστικὸν τῶν ηὑρημένων αὐτό τε τὸ εἶδος, καὶ μὴν καὶ ὁ ἀριθμός. διὰ τί γὰρ, τυχὸν ἐρεῖ τις τῶν φιλομαθεστέρων, οὐχὶ μᾶλλον τέσσαρες οἱ ἄρτοι, καὶ τρεῖς οἱ ἰχθύες; διατί δὲ μὴ πέντε, καὶ τέσσαρα ὀψάρια; τί δὲ ἦν ὅλως τὸ ἀναγκάζον καὶ τῶν ηὑρημένων ἐξηγεῖσθαι τὸν ἀριθμὸν, καὶ οὐχὶ μᾶλλον ἁπλούστερόν τε καὶ ἀπολύτως εἶπεν ἐξ ὀλίγων κομιδῇ τῶν ηὑρημένων τὴν ἀμέτρητον τῶν ἀκολουθούντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποτετράφθαι πληθύν; τὸ δὲ λίαν ἐσπου δασμένως καὶ περὶ τούτων ἐξηγεῖσθαι τὸν μακάριον Εὐαγ γελιστὴν, δίδωσί τι πάντως ἐννοεῖν, ὃ καὶ ζητεῖν ἀναγ καῖον. Οὐκοῦν, πέντε μὲν εἶναί φησι τοὺς ἄρτους, καὶ τοῦτο κριθίνους, δύο δὲ τὰ ὀψάρια, καὶ διὰ τούτων ἀποτρέφει Χριστὸς τοὺς ἀγαπῶντας αὐτόν. οἶμαι δὲ ἔγωγε· καὶ σκο πείτω τὸ κρεῖττον ὁ φιλομαθής· ὅτι διὰ μὲν τῶν πέντε ἄρτων τῶν κριθίνων, τὸ πενταμερὲς τοῦ πανσόφου Μωυσέως βιβλίον σημαίνεται, τουτέστι σύμπας ὁ νόμος, παχυτέραν ὥσπερ εἰσφέρων τὴν διὰ τοῦ γράμματος καὶ τῆς ἱστορίας 1.418 τροφήν· τοῦτο γὰρ ὑποδηλοῖ, τὸ ἀπὸ κριθῆς. διὰ δὲ τῶν ὀψαρίων ἡ διὰ τῶν ἁλιέων τροφὴ, τουτέστι τὰ τρυφερώτατα τῶν τοῦ Σωτῆρος μαθητῶν συγγράμματα· καὶ δύο ταῦτα, φησὶν, ἀποστολικὸν ἐν ἡμῖν καὶ εὐαγγελικὸν διαλάμπει κήρυγμα. ἄμφω δὲ ταῦτα τῶν ἁλιέων εὑρήματα καὶ λογο γραφίαι πνευματικαί. ἀναμίξας τοιγαροῦν ὁ Σωτὴρ τοῖς παλαιοῖς τὰ νέα, διὰ νόμου καὶ μαθημάτων διαθήκης καινῆς τῶν εἰς αὐτὸν πιστευόντων τὰς ψυχὰς ἀποτρέφει πρὸς ζωὴν, δῆλον ὅτι τὴν αἰώνιον. ὅτι γὰρ ἐξ ἁλιέων οἱ μαθηταὶ, πρό δηλον δήπου καὶ σαφές· εἰ γὰρ καὶ μὴ πάντες τυχὸν, ἀλλ' ἐπείπερ εἰσὶν ἐν αὐτοῖς οἱ τοιοῦτοι, οὕτω τῆς ἐπὶ τοῖς εἰρημέ νοις ἀληθείας ὁ λόγος ἡμῖν οὐκ ἐξοιχήσεται. Ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἅπερ ἐπερίσσευσε τοῖς βεβρωκόσι. Δόξειε μὲν ἄν τῳ φειδοῖ τῶν περισσευμάτων τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιτάξαι Χριστὸς συλλέγειν αὐτά. ἀλλ', οἶμαι, παστισοῦν ἐννοήσαι πρεπόντως, ὡς οὐκ ἂν εἰς τοῦτο μικρο λογίας καταβαίνειν ἠνέσχετο· καὶ τί λέγω Χριστός; ἀλλ' οὐδὲ εἷς τις τῶν καθ' ἡμᾶς. τί γὰρ ἦν ἐκ πέντε ἄρτων κριθίνων τὸ περιλελεῖφθαι προσδοκώμενον; ἀλλ' ἔχει πολ λὴν οἰκονομίαν ὁ λόγος, καὶ τὸ θαῦμα τοῖς ἀκροωμένοις δια φανὲς ἐργάζεται. τοσαύτη γάρ τις ἐνέργεια θεοπρεποῦς ἐξουσίας περὶ τὸ πρᾶγμά ἐστιν, ὡς μὴ μόνον ἐκ πέντε τὸν ἀριθμὸν κριθίνων καὶ ὀψαρίων δυοῖν δῆμον οὕτω κατακορε σθῆναι πολὺν, ἀλλ' ἔτι πρὸς τοῦτο καὶ συγκομισθῆναι λειψάνων κοφίνους δώδεκα. ἄλλως τε καὶ ἑτέραν τινὰ κατὰ τὸ εἰκὸς τὸ θαῦμα τὴν ὑπόνοιαν ἀπεκρούσατο, τῇ τῶν λει 1.419 ψάνων εὑρέσει βεβαιούμενον εἰς πίστιν τοῦ πάντως τε καὶ ἀληθῶς τροφῆς γενέσθαι πλεονασμὸν, καὶ οὐχὶ μᾶλλον φαν τασίας ἐπίδειξιν ἀπατώσης καὶ τὸν τῶν ἑστιωμένων καὶ τὸν τῶν διακονούντων αὐτοῖς ὀφθαλμόν. τὸ δέ γε μεῖζόν τε καὶ ἀξιολογώτερον, καὶ λίαν ἡμᾶς ὠφελοῦν, ἐκεῖνό ἐστι· κατα νόει γὰρ ὅπως προθυμοτάτους ἡμᾶς διὰ τοῦ θαύματος ἀπερ γάζεται πρὸς τὸ βούλεσθαι καὶ λίαν ἀσμένως φιλοξενεῖν, μονονουχὶ δι' αὐτῶν ἡμῖν ἀναβοήσας τῶν γεγενημένων, ὡς οὐκ ἐπιλείψει τὰ παρὰ Θεοῦ τὸν κοινωνικὸν, καὶ τῷ φιλαλ λήλῳ χαίροντα τρόπῳ, καὶ τὸ γεγραμμένον ἀποπληροῦν ἐθελήσαντα "Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου." ὄκνῳ μὲν γὰρ τῷ περὶ τοῦτο κατειλημμένους τοὺς μαθητὰς εὑρί σκομεν ἐν ἀρχῇ, ἀλλ' ἐπείπερ ἦσαν οὕτω διακείμενοι, πλου σίαν αὐτοῖς ὁ Σωτὴρ τὴν ἀπὸ τῶν λειψάνων ἐτίθει συγκο μιδήν· διδάσκει δὲ καὶ ἡμᾶς διὰ τούτων, ὅτι βραχύ τι δαπανῶντες εἰς δόξαν Θεοῦ, πλουσιωτέραν ἀντιληψόμεθα χάριν κατὰ τὸ εἰρημένον παρὰ Χριστοῦ "Μέτρον καλὸν "πεπιεσμένον καὶ σεσαλευμένον ὑπερεκχυνόμενον δώσουσιν "εἰς τὸν κόλπον ὑμῶν." οὐκ ὀκνητέον τοιγαροῦν εἰς κοινω νίαν τὴν ἐξ ἀγάπης τῆς εἰς ἀδελφοὺς, ἰτέον δὲ μᾶλλον εἰς εὐτολμίαν ἀγαθὴν, καὶ ὄκνον μὲν καὶ δειλίαν τὴν ἀφιλοξενεῖν ἀναπείθουσαν, ὡς πορρωτάτω ποιησώμεθα, βεβαιούμενοι δὲ πρὸς ἐλπίδα διὰ τῆς πίστεως τοῦ καὶ τὰ μικρὰ πολυπλασιάζειν δύνασθαι τὸν Θεὸν, ἀνοίξωμεν τοῖς δεομένοις τὰ σπλάγχνα, κατὰ τὴν τοῦ νόμου διάταξιν "Ἀνοίγων γὰρ, φησὶν, "ἀνοίξεις τὰ σπλάγχνα σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ "ἐν σοί·" πότε γὰρ ἐλεήμων ὀφθήσῃ, σκληρὸς διαμείνας τὸν ἐν τῷδε τῷ βίῳ χρόνον; πότε δὲ πληρώσεις τὴν ἐντο λὴν, τὸν τοῦ δύνασθαι δρᾶν ἐν ἀργίᾳ παριππεύειν ἐπιτρέπων 1.420 καιρόν; μέμνησο λέγοντος τοῦ μελῳδοῦ "Ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ ἔστιν ἐν "τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολο "γήσεταί σοι;" ποῖος γὰρ ἔτι τῶν νεκρῶν ὁ καρπὸς, ἢ πῶς ἔτι μεμνήσεταί τις Θεοῦ διὰ τοῦ πληροῦν ἐντολὴν τῶν ἐν ᾅδου καταβεβηκότων; "Συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ," κατὰ τὸ γεγραμμένον· διάτοι τοῦτο καὶ ὁ σοφώτατος ἡμᾶς ἐπαίδευε Παῦλος "Ἕως καιρὸν ἔχομεν ἐργαζώμεθα τὸ ἀγα "θὸν," ἐπιστέλλων τισί. Καὶ ταῦτα μὲν ἡμῖν εἰς τὸ ἐκ τῆς ἱστορίας λελέξεται χρήσιμον· ἐπειδὴ δὲ πνευματικῶς ἐκλαμβάνοντες τὰ εἰρη μένα· χρῆν γὰρ οὕτω, καὶ οὐχ ἑτέρως· διὰ μὲν τῶν πέντε κριθίνων τὸ Μωυσαϊκὸν ἔφημεν ὑποδηλοῦσθαι βιβλίον, διὰ δὲ τοῖν δυοῖν ὀψαρίοιν, τὰ σοφὰ τῶν ἁγίων ἀποστόλων συγγράμματα· χρῆναι πάλιν ὑπολαμβάνω καὶ ἐπὶ τῆς τῶν λειψάνων συλλογῆς, μυστικόν τε καὶ πνευματικὸν ἐπινοῆσαι θεώρημα, τῇ τῶν εἰρημένων ἀκολουθίᾳ συντρέχον. οὐκοῦν ἐκέλευε μὲν ὁ Σωτὴρ ἀναπίπτειν μὲν τοὺς ὄχλους, εὐλογήσας δὲ τοὺς ἄρτους καὶ τὰ ὀψάρια παρετίθει, διὰ τῆς τῶν μαθητῶν ὑπουργίας δηλαδή· ἐπειδὴ δὲ κατεκορέσθησαν παραδόξως οἱ βεβρωκότες, συλλέγειν ἐπιτάττει τὰ λείψανα, καὶ πληροῦνται κόφινοι δώδεκα, εἷς ἑκάστῳ τῶν μαθητῶν κατὰ τὸ εἰκός· ἦσαν γὰρ τοσοῦτοι καὶ αὐτοί. τί οὖν ἐντεῦθεν ὑπονοήσομεν, ἢ πάντως ἐκεῖνο, καὶ οὐκ ἐψευσμένως, ὅτι πανηγυριάρχης μὲν τῶν ἐπ' αὐτῷ πιστευόντων ἐστὶν ὁ Χριστὸς, καὶ τοὺς πρὸς αὐτὸν ἰόντας ἀποτρέφει τοῖς θείοις τε καὶ οὐρανίοις, δῆλον ὅτι μαθήμασι, νομικοῖς τε καὶ προ φητικοῖς, εὐαγγελικοῖς τε καὶ ἀποστολικοῖς. ἀλλ' οὐ πάντως αὐτὸς ὁρᾶται τούτων ὁ αὐτουργὸς, διακονοῦσι δὲ ἡμῖν τὴν ἄνωθεν χάριν οἱ μαθηταί· αὐτοὶ γὰρ οὐκ εἰσὶν "οἱ λαλοῦντες" κατὰ τὸ εἰρημένον, "ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς τὸ 1.421 "λαλοῦν ἐν" αὐτοῖς· ἀλλ' οὐκ ἀμισθὶ τοῖς ἁγίοις ἀποστό λοις ὁ πρὸς τοῦτο γενήσεται πόνος. παραθέντες γὰρ ἡμῖν τὰς πνευματικὰς δῆλον ὅτι τροφὰς, καὶ τὰ παρὰ τοῦ Σωτῆρος ἡμῶν ἀγαθὰ διακονησάμενοι, πλουσιωτάτην ἀποί σονται τὴν ἀνταπόδοσιν, καὶ πληρεστάτην εὑρήσουσι παρὰ Θεοῦ τῆς φιλοτιμίας τὴν χάριν. οἶμαι γὰρ τοῦτο, καὶ οὐχ ἕτερόν τι, δηλοῦν τὸ μετὰ τοὺς πόνους καὶ τὴν ὑπουργίαν τὴν ἐπὶ τοῖς δαιτυμόσι δεδαπανημένην, κόφινον ἑκάστῳ συνειλέχθαι μεστὸν διὰ προστάγματος τοῦ Χριστοῦ. ὅτι δὲ μετ' ἐκείνους τὰ ἐκ τοῦ τύπου διαβήσεται καὶ εἰς τοὺς τῶν ἁγίων ἡγουμένους ἐκκλησιῶν, οὐκ ἀμφίλογον. Οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησεν σημεῖον ὁ Ἰησοῦς, ἔλεγον ὅτι οὗτός ἐστιν ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον. Θαυμάζουσι τὸ σημεῖον οἱ δοκιμάζειν εἰδότες τὰ θεοπρεπῆ, καὶ ἀνθρωπίνῳ μᾶλλον λογισμῷ διοικούμενοι, ἤπερ κτηνώδη νοσοῦντες τὴν ἀβουλίαν, ὁποῖοί τινες ἦσαν οἱ δυσσεβεῖς Ἰουδαῖοι, δέον ὠφελεῖσθαι τῇ τῶν τελουμένων περιφανείᾳ, καὶ τὸ κρίνειν ὀρθῶς δύνασθαι ζημιούμενοι. χρῆναι γὰρ ἤδη καὶ καταλιθοῦσθαι τὸν Ἰησοῦν ἐδοκίμαζον, τῶν παραδόξων ὅτι δὴ πολλάκις ὁρῷτο δημιουργός. ἀμείνους τοιγαροῦν καὶ οὐ κατά τι μέρος βραχὺ τῆς ἐκείνων ἀπονοίας, οἱ τῇδε θαυ μάζοντες, καὶ ἐφ' ἑνὶ τούτῳ καὶ μεγάλῳ σημείῳ σωφρόνως ἀναπεπεισμένοι λοιπὸν, ὅτιπερ εἴη πάντως αὐτὸς ὁ καὶ ἥξειν εἰς κόσμον ἐν προφήτου τάξει προκεκηρυγμένος· ἐπιτήρει δὲ, ὅση πάλιν ἐντεῦθεν ὁρᾶται διαφορὰ, γένους τε φημὶ τοῦ ἐξ Ἰσραὴλ, καὶ τῶν ἔξω τῆς Ἰουδαίας κειμένων· οἱ μὲν γὰρ καίτοι πολλῶν καὶ οὐκ ἀναξίων εἰς τὸ θαυμάζεσθαι γεγονό τες θεωροὶ, σκληροὶ μὲν οὐχ ὅπως εἰσὶ καὶ ἀπάνθρωποι 1.422 μόνον, ἀλλὰ δὴ καὶ φονῶσιν ἀδίκως τὸν ὅτι προσήκοι δια σώζειν αὐτοὺς προθυμούμενον, ἀτιθάσοις ἀπονοίαις πόλεώς τε τῆς ἑαυτῶν καὶ χώρας ἐλαύνοντες· οἱ δὲ τῆς Ἱερουσαλὴμ ἐξῳκισμένοι, καὶ διὰ τούτου τὸ ἀλλογενὲς ὑπεμφαίνοντες, ἑνὶ καὶ μόνῳ σημείῳ δοξάζουσι, καὶ ἀνενδοιάστως τῇ πίστει παραδέχεσθαι δεῖν τὰς ἐπ' αὐτῷ διαλήψεις εὐγενῶς δοκιμά ζουσιν. ἀπὸ δὴ τούτων ἁπάντων, αὐτοκατάκριτος μὲν καὶ αὐτόκληρος εἰς τὸ χρῆναι λοιπὸν ἀποῤῥίπτεσθαι δικαίως ὁ Ἰσραὴλ ἀνεδείκνυτο, φειδοῦς δὲ τῆς ἄνωθεν καὶ ἀγαπήσεως τῆς διὰ Χριστοῦ τὸ χρῆναι λαχεῖν ἤδη τοῖς ἐθνῶν χρεω στούμενον. Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσι βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος. Ἀξιεπαινετωτάτην μὲν ἄν τις ἐποίησε τὴν ψῆφον, καὶ σφόδρα δικαίως τοῖς ἀπὸ τοῦ μεγάλου θαύματος ἀναπε πεισμένοις εὐκόλως, ὅτι δὴ πρέποι τὰ πάντων ἐξαίρετα προσεῖναι Χριστῷ, καὶ τὴν ἀκροτάτην ὡς ἐν μοίρᾳ τιμῆς ἀνατίθεσθαι. τὸ γὰρ ἐθέλειν αὐτὸν εἰς βασιλέα προχειρί ζεσθαι, τί ἂν ἡμῖν ἕτερον ἢ τοῦτο σημαίνῃ; ἀγασθείη δ' ἄν τις εἰκότως μετὰ τῶν ἄλλων καὶ τοῦτο, ὑπογραμμὸς γὰρ ἡμῖν ἀφιλοδοξίας εὑρίσκεται Χριστὸς, καὶ τοὺς ὅτι προσήκοι τιμᾶν ἑλομένους αὐτὸν ἀποφεύγων, καὶ βασιλείαν τὴν ἄνω τάτω τῶν ἐν ἡμῖν παραιτούμενος, εἰ καὶ ἀζήλωτον αὐτῷ ἀληθῶς τὸ πρᾶγμα, διὰ τὸ πάντων βασιλεύειν μετὰ Πατρὸς, ὁμοῦ δὲ καὶ δίδωσιν ἐννοεῖν τοῖς εἰς ἐλπίδα τὴν μέλλουσαν ἀποβλέπουσιν, ὅτι μικρὸν αὐτοῖς τὸ ἐν κόσμῳ μέγα, καὶ ὅτι τὰς ἐν τῷδε τῷ βίῳ, ἤγουν κόσμῳ, τιμὰς, κἂν αὐτομολῶσι, 1.423 μὴ προσίεσθαι καλὸν, ἵν' εἰς ἐκείνην ἀναβαίνωσι τὴν παρὰ Θεοῦ· ἀπρεπὲς γὰρ ὄντως τὸ ἐν τούτοις διαλάμψαι φιλεῖν, τοὺς οἵ γε πρὸς θείαν ἐπείγονται χάριν, καὶ δόξαν διψῶσι τὴν αἰώνιον. Παραιτητέον τοιγαροῦν τὴν ὑπεροψίας ἀδελφὴν καὶ γεί τονα φιλοδοξίαν, καὶ οὐ πολὺ τῷ μέτρῳ τῶν ἐκείνης ὅρων ἀπεσχοινισμένην. καὶ τὸ μὲν ἐπιφανὲς ἐν τιμῇ κατὰ τὸν παρόντα βίον, ὡς ἀδικοῦν ἀποφύγωμεν, ζητῶμεν δὲ μᾶλλον τὸ ἐν ταπεινώσει σεμνὸν, παραχωροῦντες ἀλλήλοις, καθάπερ ἡμᾶς καὶ ὁ μακάριος Παῦλος ἐνουθέτει λέγων "Τοῦτο φρο "νείτω ἕκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς "ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι "ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν "ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς "ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι "θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν "ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν "ὄνομα." ὁρᾷς ὅπως ἡ ἑκούσιος ταπείνωσις λαμπρὸν ἔχει τὸ τέλος, καὶ ῥίζα πολλῶν ἡμῖν ἀγαθῶν τὸ μέτριον ἀναφαί νεται φρόνημα; ἐν μορφῇ μὲν γὰρ ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς τεταπείνωκεν ἑαυτὸν ὁ Μονογενὴς ἄνθρωπος γενό μενος δι' ἡμᾶς, ἀλλ' εἰ καὶ πέφηνεν ἐν τῷδε τῷ βίῳ μετὰ σαρκὸς, ἀλλ' οὐκ ἔμεινε ταπεινός· ἀνατρέχει γὰρ εἰς τὸ ἀρχαῖον ἀξίωμα καὶ εἰς δόξαν τὴν θεοπρεπῆ, καὶ εἰ γέγονεν ἄνθρωπος. τὸν αὐτὸν δὴ τοῦτον νοήσαι τις τρόπον καὶ ἐφ' ἡμῶν. ὅταν γὰρ ἑαυτοὺς τῶν διακένων ὑψωμάτων τοῦ παρόντος βίου κατακομίζωμεν καὶ ζητῶμεν τὰ ταπεινὰ, τότε δὴ πάντως καὶ τὴν ἄνωθεν ἀντικομιούμεθα δόξαν, καὶ εἰς τὸ εἶναι θεοὶ κατὰ χάριν ἀναβησόμεθα, καθ' ὁμοιότητα λαμβά νοντες τὴν ὡς πρὸς τὸν ἀληθῶς καὶ κατὰ φύσιν Υἱὸν τὸ 1.424 καλεῖσθαι τέκνα Θεοῦ· καὶ ἵνα τι τοῖς προκειμένοις εἴπω τὸ συγγενὲς, καὶ αὐτὴν, εἰ πρόσεισι, τὴν ἐπὶ γῆς ἀκρότητα παραιτώμεθα τὴν ἁπάσης μητέρα τιμῆς, εἰ φρονοῦμεν τὰ ἐπουράνια, καὶ τοῖς ἄνω πολιτευόμεθα μᾶλλον ἤπερ τοῖς ἐπὶ τῆς γῆς. Πνευματικῶν δὲ θεωρημάτων ὁ λόγος ἡμῖν οὐκ ἀμοιρεῖ, διὸ δὴ πάλιν ἐροῦμεν, ὅλην ὥσπερ ἀνακεφαλαιούμενοι τῶν γεγενημένων τὴν δύναμιν, καὶ τὸν ἐξ ἀρχῆς τῶν προκει μένων ἀναμηρυσάμενοι λόγον· οὕτω γὰρ ἡμῖν ἔσται κατα φανὲς τὸ ῥηθήσεσθαι μέλλον, μάλισθ' ὅτι προστέθεικεν ὁ μακάριος Εὐαγγελιστὴς, ὥσπερ ἀναγκαῖόν τι καὶ ἀπαραί τητον ὑποδηλῶν, τὸ, ὅτι ἀνεχώρησεν εἰς τὸ ὄρος αὐτὸς μόνος. οὐκοῦν τὴν τῶν Ἰουδαίων ἀπανθρωπίαν παραιτούμενος, ἀπε δήμει μὲν τῆς Ἱερουσαλὴμ ὁ Χριστὸς, ὅπερ ἐστὶν ἐναργῶς "Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν "μου." διαπεραιωσάμενος δὲ τὴν Τιβεριάδος θάλασσαν, καὶ πολὺ λίαν τῆς ἐκείνων ἀπονοίας ἀπεσχοινισμένος, ἀνεπήδα πρὸς ὄρος ἅμα τοῖς μαθηταῖς· ἃ δὴ καὶ ὑποδηλοῦν εἰρήκαμεν τό τε ἄβατον ὥσπερ καὶ ἀνήνυτον τοῖς Ἰουδαίοις τῆς ὡς ἐπ' αὐτὸν ὁδοῦ, καὶ τὴν ἐξ ὀργῆς τῆς ἐπὶ τῷ πάθει γενομένην ἀναχώρησιν τοῦ Χριστοῦ μέχρι καιροῦ, δῆλον ὅτι τοῦ πρέποντος, καὶ ὅτι περιφανὴς ἔσται Χριστὸς ἅμα τοῖς ἑαυτοῦ μαθηταῖς, ὅταν ἐκβαίνῃ τὴν Ἰουδαίαν καὶ πρὸς τὰ ἔθνη βαδίζῃ μετατιθεὶς ἐπ' ἐκεῖνα τὴν χάριν· ἀπὸ δέ γε τοῦ ὄρους τοὺς ἑπομένους αὐτῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατεσκέπτετο, καὶ προσέτι τούτῳ διενοεῖτο περὶ τροφῆς. καὶ τοῦτο δὲ πάλιν ἐλέγομεν καθάπερ ἐν τύπῳ σημαίνειν καὶ τὴν ἄνωθεν τοῖς ἁγίοις χρεωστου μένην ἐπισκοπὴν, κατὰ τό "Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους," καὶ ὅτι τῶν σεβομένων αὐτὸν οὐκ ἀπρονοήτως ἔχει ὁ Χρισ τός. εἶτα παραδόξως ὁ πολὺς ἀπετρέφετο δῆμος, διά γε τῶν 1.425 πέντε ἄρτων καὶ τοῖν δυοῖν ὀψαρίοιν· ἐφ' ᾧ δὴ χρῆναι νοεῖσθαι διωριζόμεθα τῶν ἁγίων συγγράμματα παλαιῶν τε καὶ νέων τὴν διὰ τῶν ἀποστόλων παράθεσιν τοῖς ἀγαπῶσι Χριστόν. πρὸς δὲ τούτοις, ὅτι καὶ τὸν τῆς εἰς ἡμᾶς διακονίας καρπὸν πλούσιον κομιεῖται παρὰ Θεοῦ τῶν μαθητῶν ὁ χορὸς, καὶ μετ' ἐκείνους, οἱ τῶν ἁγίων τοῦ Θεοῦ προεστῶτες ἐκκλη σιῶν· ἐπὶ γὰρ πάντας ἐν ἐκείνοις ὁ τύπος ἦν ἐν ἀρχῇ. εἶτα θαυμάζουσιν οἱ θεωροὶ τὸ σημεῖον καὶ ἁρπάζειν εἰς βασιλέα βουλεύονται τὸν Ἰησοῦν. ὃ δὴ καὶ συνεὶς, ἀναχωρεῖ μόνος εἰς τὸ ὄρος ὡς γέγραπται· ὅτε γὰρ παρὰ τοῖς ἔθνεσιν ὡς μεγαλουργὸς καὶ Θεὸς ἐθαυμάσθη Χριστὸς, ὅτε πάντες αὐτὸν ἐπεγράψαντο βασιλέα καὶ κύριον, τότε καὶ ἀνελήφθη μόνος εἰς τὸν οὐρανὸν, οὐδενὸς αὐτῷ τὸ παράπαν ἀκολουθή σαντος· ἀπαρχὴ γὰρ τῶν νεκρῶν ἀναβέβηκεν ὅλως μόνος εἰς τὸ ὄρος τὸ μέγα καὶ ἀληθέστερον κατὰ τὸ εἰρημένον διὰ τοῦ ψαλμῳδοῦ "Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου, ἢ τίς "στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; ἀθῷος χερσὶ καὶ καθαρὸς "τῇ καρδίᾳ." ἀκολουθήσει γὰρ ὁ τοιοῦτος τῷ Χριστῷ καὶ εἰς ὄρος τὸ νοητὸν ἀναβήσεται, κατὰ τὸν τῆς τῶν οὐρανῶν βασι λείας καιρόν· ἀνακεχώρηκε δὲ εἰς τὸ ὄρος, τουτέστιν, ἀναβέ βηκεν εἰς τὸν οὐρανὸν, οὐ τὸ βασιλεύειν τῶν πεπιστευκότων αὐτῷ παραιτούμενος, ἀλλ' ὑπερτιθέμενος τὸν τῆς βασιλείας τῆς ἐκφανεστέρας καιρὸν εἰς τὴν ἄνωθεν ὡς ἡμᾶς ἐπιστρο φὴν, ὅτε καὶ ἐν δόξῃ τῇ τοῦ Πατρὸς καταβήσεται, οὐκέτι διὰ σημείων, καθάπερ καὶ πρότερον, ἐπιγινωσκόμενος ὅτιπερ ὄντως ἐστὶ κατὰ φύσιν Κύριος, ἀλλ' ἐκ δόξης θεοπρεποῦς ὅτιπερ ὑπάρχει βασιλεὺς ἀνενδοιάστως ὁμολογούμενος. Οὐκοῦν· ἐρῶ γὰρ αὖθις ἐν ὀλίγῳ συνενεγκὼν τῶν εἰρημένων τὸ πλάτος· ὅτε διὰ σημείων ἐπιστεύθη καὶ ἐπεγνώσθη Θεὸς, τῶν Ἰουδαϊκῶν ἐκφοιτήσας λαῶν, τότε δὴ πάντες αὐτὸν καὶ εἰς βασιλέα λαμβάνειν ἐπείγονται· ἀναβαίνει δὲ μόνος εἰς 1.426 οὐρανοὺς καιρῷ τῷ πρέποντι τὴν τῆς βασιλείας ἐκφανε στέραν ἐπίδειξιν ἀποταμιευόμενος. Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν, καὶ ἐμβάντες εἰς πλοῖον ἤρχοντο πέραν τῆς θα λάσσης εἰς Καφαρναούμ. Παραδόξως ἀποτελεσθέντος τοῦ πρώτου σημείου, ῥίζα πάλιν καὶ ἑτέρου καὶ πρόφασις ἡ ἐπ' ἐκείνῳ φυγή τε καὶ ἀναχώρησις οἰκονομικῶς εὑρίσκεται, καὶ πορεύεται, κατὰ τὸ γεγραμμένον, "ἐκ δυνάμεως εἰς δύναμιν" ὁ θαυματουργός. ἐπειδὴ γὰρ ἐζητεῖτο μὲν εἰς βασιλέα παρὰ τῶν ἐπ' ἐκείνῳ τῷ μεγάλῳ καταπεπληγμένων θαύματι, παρῃτεῖτο δὲ αὐτὸς τὰς ἐν κόσμῳ τιμὰς κατὰ τοὺς ἤδη προαποδοθέντας λόγους· ἔδει δὴ πάντως καὶ τόπων αὐτὸν, μᾶλλον δὲ ἁπάσης τῆς ἐκείνων ἀπανίστασθαι χώρας. ἵνα τοίνυν καὶ ἀποπλεῦσαι δοκῇ, καὶ τὸν τῶν ἐπιζητούντων ὑποχαυνώσῃ τόνον, προαποδημεῖν ἐπιτάττει τοῖς μαθηταῖς, ἀπομένει δὲ αὐτὸς εὐαφόρμως ἐπὶ τὸ ἐφεξῆς σημεῖον ἐρχόμενος· ἦν γὰρ δὴ καὶ λίαν ἐσπουδασ μένον αὐτῷ τὸ διὰ πάσης ἀφορμῆς καὶ πράγματος βεβαιοῦν εἰς πίστιν τὴν ἐφ' ἑαυτῷ τῶν ἀποστόλων τὸν νοῦν. ἐπειδὴ γὰρ ἔμελλον ἔσεσθαι τῆς οἰκουμένης διδάσκαλοι, καὶ ὥσπερ τινὲς "φωστῆρες διαλάμψειν ἐν κόσμῳ," κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἀναγκαίαν αὐτοῖς τὴν ἐφ' ἅπασι τοῖς ὠφε λεῖν πεφυκόσιν ἐποιεῖτο χειραγωγίαν. τοῦτο γὰρ ἦν οὐχ ὅπως ἐκείνοις χαρίζεσθαι μόνοις, ἀλλὰ καὶ τοῖς παρ' αὐτῶν παιδαγωγηθήσεσθαι μέλλουσιν εἰς τὴν ἐπ' αὐτῷ κατάληψιν ἀπλανῆ. Ἀλλὰ τοῦ δὴ χάριν, ἐρεῖ τις τυχὸν, μετὰ τὴν ἐπ' ἐκείνῳ μεγαλουργίαν εὐθὺς τὸ δύνασθαι καὶ ἐπ' αὐτῆς ἰέναι θα λάσσης τὸν Ἰησοῦν εἰσφέρεται; πιθανὴν δὲ σφόδρα τὴν αἰτίαν ὁ τοιοῦτος ἀντακούσεται. ἐπειδὴ γὰρ τοὺς μὲν ὄχλους 1.427 αὐτὸς ἀποτρέφειν ἐβούλετο, ἀτονήσειν δέ πως αὐτὸν περὶ τοῦτο Φίλιππός τε καὶ Ἀνδρέας ὑπέλαβον, ὁ μὲν ἀργυρίων οὐκ ἐλάχιστον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀριθμὸν μόλις αὐτοῖς ἐξαρκέσειν εἰς ὀλίγην κομιδῆ τὴν ἀπόλαυσιν εἰρηκὼς, ὁ δὲ πέντε μὲν ἄρτους καὶ ὀψάρια δύο παρ' ἑνὶ τῶν παιδαρίων ηὑρῆσθαι διδάσκων, μὴ μὴν εἶναί τι τὸ ηὑρημένον εἰς ὄχλον οὕτω πολὺν, καὶ ἀπὸ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν οἰκείων ῥημάτων μηδὲν ἔξω δύνασθαι τῆς χρεωστουμένης ἀκολουθίας τοῖς καθ' ἡμᾶς πράγμασιν ἐνόμισαν αὐτόν· ἀναγκαίως, ἵνα τῆς οὕτω σμικρο πρεποῦς ὑπολήψεως ἑαυτὸν ἀπαλλάξῃ, καὶ ἀτονοῦντά πως ἔτι τῶν ἀποστόλων τὸν νοῦν ἀναπείθῃ δύνασθαι μαθεῖν, ὅτι πάντα παραδόξως ἅπερ ἂν ἐθελήσαι ποιεῖ τῇ τῶν πρα γμάτων φύσει μὴ κωλυόμενος, μήτε μὴν κατά τι γοῦν ὅλως παραποδιζούσης αὐτῷ τῆς ὡς ἐξ ἀνάγκης ἀκολουθίας, ὑπὸ πόδας ἐτίθει τοὺς ἑαυτοῦ τὴν ὑγρὰν τῶν ὑδάτων φύσιν, καίτοι τοῖς ἀνθρωπίνοις σώμασιν ὑποκεῖσθαι μελετήσασαν· πάντα γὰρ ἦν ὡς Θεῷ δυνατά. ὀψίας τοιγαροῦν ἤδη γεγενη μένης, καὶ τῶν ζητούντων αὐτὸν τὴν ἀκρίβειαν παραλύοντος τοῦ καιροῦ, καταβαίνει μὲν ἐπὶ θάλασσαν τῶν ἁγίων μαθη τῶν ὁ χορὸς, ἀπέπλει δὲ παραχρῆμα, τῷ Θεῷ καὶ διδασκάλῳ τὰ πάντα καὶ ἀμελητὶ πειθόμενος. Καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὔπω ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς, ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο. Πολλὰ κατὰ ταὐτὸν οἰκονομεῖται χρησίμως, καὶ συνε λαύνει τοὺς μαθητὰς εἰς θερμοτέραν τοῦ Σωτῆρος τὴν ἐπιζή τησιν τὰ συμβαίνοντα· θορυβεῖ μὲν γὰρ βαθὺς ὢν ὁ τῆς νυκτὸς σκότος, καὶ τοῖς μὲν ὕδασι μαινομένοις καπνοῦ δίκην ἐπινηχόμενος, τὴν δὲ ὅποι λοιπὸν ἀπευθύνεσθαι χρῆν ἀναι ρούμενος γνῶσιν. ἐκταράττει δὲ οὐ μικρῶς καὶ πνευμάτων 1.428 ἀγριότης, ῥοιζηδὸν τοῖς κύμασιν ἐπεμβαίνουσα, καὶ πρὸς ὕψος ἤδη τὸ ἀσύνηθες διανιστῶσα τὸν κλύδωνα. ἀλλὰ καὶ τούτων ἤδη γεγενημένων, οὔπω φησὶν ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς· ἐν τούτῳ γὰρ ἦν μάλιστα τὸ κινδύνευμα, καὶ τὸ τοῦ φόβου πλέον τὸ μὴ παρεῖναι Χριστὸν τοῖς πλέουσιν ἐνειργάζετο. Οὐκοῦν ἀνάγκη χειμάζεσθαι τοὺς μὴ συνόντας αὐτῷ, διατεμνομένους δέ πως, ἢ καὶ δοκοῦντας ἀποδημεῖν διὰ τοῦ τῶν θείων ἐξοίχεσθαι νόμων, καὶ χωριζομένους διὰ τὴν ἁμαρτίαν τοῦ διασώζειν ἰσχύοντος. οὐκοῦν εἰ βαρὺ τὸ ἐν σκότῳ γενέσθαι τῷ νοητῷ, καὶ εἰ χαλεπὸν τὸ ἐν θαλάσσῃ πικρᾷ τῶν ἡδονῶν καταπνίγεσθαι, προσδεξώμεθα τὸν Ἰη σοῦν· τοῦτο γὰρ ἡμᾶς καὶ κινδύνων ἀπαλλάξει, καὶ τῆς εἰς θάνατον ἁμαρτίας. ὁ δὲ τύπος τῶν εἰρημένων ἐν τοῖς γεγο νόσιν ὀφθήσεται· ἥξει δὴ οὖν πάντως ἐπὶ τοὺς μαθητάς. Ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον· καὶ ἐφοβήθησαν. ὁ δὲ εἶπεν αὐτοῖς Ἐγώ εἰμι, μὴ φοβεῖσθε. Ὅτε μακροῖς διαστήμασι τῆς ἠπείρου χωρίζονται, καὶ παθόντας ἦν εἰκὸς διασώζεσθαι μηδαμῶς· μέσην γὰρ ἤδη εἶχον τὴν θάλασσαν· τότε δὴ μάλα τριποθήτως αὐτοῖς ἐπι φαίνεται ὁ Χριστός· ἦν γὰρ οὕτω καὶ χαριεστάτην τοῖς κινδυνεύουσιν ἐπιδοῦναι τὴν σωτηρίαν, πᾶσαν αὐτοῖς τὴν ἐπὶ τῷ ζῆν ἐλπίδα προαποτεμόντος ἤδη τοῦ φόβου. ἐπιφαίνεται δὲ παραδόξως αὐτοῖς· τοῦτο γὰρ ἦν μάλιστα τὸ πρὸς ὠφέ λειαν οἰκονομούμενον· καταπλήττονται δὲ διὰ μέσης θαλάσ σης καὶ ἐπ' αὐτῶν ὑδάτων ἰόντα βλέποντες τὸν Ἰησοῦν, καὶ προσθήκην τῷ φόβῳ τὸ θαῦμα λαμβάνουσιν· ἀπαλλάττει 1.429 δὲ αὐτοὺς τῶν συμβεβηκότων παραχρῆμα Χριστός Ἐγώ εἰμι, μὴ φοβεῖσθε λέγων· ἔδει γὰρ ἔδει πάντα μὲν ἐκποδὼν οἴχεσθαι θόρυβον, παντὸς δὲ κινδύνου φαίνεσθαι κρείττονας, τοὺς οἷς ἤδη παρῆν ὁ Χριστός· εἰσόμεθα τοίνυν καὶ διὰ τούτου πάλιν, φρόνημα μὲν ἔχειν ἐν πειρασμοῖς εὔτολμόν τε καὶ νεανικὸν, ὑπομονῇ δὲ κεχρῆσθαι συντόνῳ τῇ εἰς Χριστὸν ἐλπίδι, βεβαιουμένους εἰς εὐθαρσίαν τὴν ἐπὶ τῷ πάντως διασωθήσεσθαι, κἂν πολλοί τινες ἡμᾶς οἱ ἐκ τοῦ πειράζεσθαι περικλύζωσι φόβοι. Ἐπιτήρει γὰρ ὅπως οὐκ εὐθὺς ἀποπλεύσασιν, οὐδὲ ἐν ἀρχῇ τῶν κινδύνων, τοῖς ἐν τῷ σκάφει Χριστὸς ἐπιφαίνεται, ἀλλ' ὅτε σταδίοις ἀπενοσφίζοντο τῆς ἠπείρου πολλοῖς. οὐ γὰρ εὐθὺς ἀρχομένης τῆς ἐκταρασσούσης ἡμᾶς περιστάσεως ἡ τοῦ διασώζοντος χάρις ἐπιφοιτᾷ, ἀλλ' ὅταν ἀκμάσῃ μὲν ὁ φόβος, φαίνηται δὲ ἤδη κατὰ κράτος ὁ κίνδυνος, καὶ ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέσοις, ἵν' οὕτως εἴπω, τοῖς κύμασι τῶν θλίψεων εὑρισκώ μεθα· τότε δὴ καὶ ἀδοκήτως ἐπιφαίνεται Χριστὸς, καὶ περι στέλλει μὲν τὸν φόβον, κινδύνου δὲ ἀπαλλάξει παντὸς, ἀφάτῳ δυνάμει μετατιθεὶς τὰ δεινὰ, καθάπερ εἰς γαλήνην τὴν εὐθυμίαν. Ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως ἐγένετο τὸ πλοῖον ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον. Οὐ κινδύνων μόνον ἀπαλλάττει τοὺς πλωτῆρας ὁ Κύριος παραδόξως αὐτοῖς ἐπιλάμψας, ἀλλ' ἤδη καὶ πόνου καὶ ἱδρώτων ἐλευθεροῖ, δυνάμει τῇ θεοπρεπεῖ τῇ κατ' ἀντίπεραν γῇ προσερείσας τὸ σκάφος· οἱ μὲν γὰρ προσεδόκουν, ἐρέτ τοντες ἔτι μόλις δύνασθαι διεκπλεῖν, ὁ δὲ καὶ τούτων ἐξίστησι τῶν πόνων αὐτοὺς, πολλῶν ἐν ὀλίγῳ κομιδῇ τῷ καιρῷ θαυμάτων δημιουργὸς πρὸς πληροφορίαν αὐτοῖς ἀνα 1.430 δεικνύμενος· οὐκοῦν ὅταν ἡμῖν ἐπιφαίνηται καὶ ἐπιλάμπῃ Χριστὸς, ἀκονιτὶ κατορθώσομεν καὶ τὸ μεῖζον ἢ κατ' ἐλπίδα τὴν ἐν ἡμῖν, καὶ οἱ διὰ τοῦ μὴ ἔχειν αὐτὸν κινδυνεύοντες, οὐδενὸς ἔτι προσδεησόμεθα πόνου πρὸς τὸ δύνασθαι κατορ θοῦν τὰ λυσιτελῆ, παρόντος αὐτοῦ. λύσις οὖν ἄρα παντὸς κινδύνου Χριστὸς, καὶ κατορθωμάτων ἔκβασις τῶν ὑπὲρ ἐλπίδα τοῖς προσδεχομένοις αὐτόν. Ἐπειδὴ δὲ τὸν ἐφ' ἑκάστῳ τῶν προκειμένων ἀνὰ μέρος ἐποιησάμεθα λόγον, ἄγε δὴ πάλιν ταῖς τῶν ἤδη φθασάντων ἀκολουθίαις καὶ τὸν ἐν τούτοις συνείροντες νοῦν, πνευμα τικὴν ἐξυφήνωμεν θεωρίαν. οὐκοῦν ὥσπερ εἰς ὄρος ἀναβε βηκέναι τὸν οὐρανὸν ἐλέγομεν τὸν Ἰησοῦν, ἀναληφθέντα δηλονότι, μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν· ἀλλ' ὅτε τοῦτο γενέσθαι συμβέβηκε, τότε μόνοι καὶ καθ' ἑαυτοὺς οἱ μαθηταὶ τύπον ἐπέχοντες τῶν ἐφεξῆς καὶ κατὰ πάντα καιρὸν διδα σκάλων ἐκκλησιαστικῶν, καθάπερ τινὰ θάλασσαν, τὸν ἐν τῷ παρόντι βίῳ διανήχονται κλύδωνα, συχνοῖς καὶ μεγάλοις περιπίπτοντες πειρασμοῖς, καὶ τοὺς ἐπὶ τῷ διδάσκειν κινδύ νους οὐκ εὐκαταφρονήτους ὑπομένοντες παρὰ τῶν ἀνθεστη κότων τῇ πίστει καὶ μαχομένων τοῖς εὐαγγελικοῖς δηλονότι κηρύγμασιν· ἀλλὰ καὶ τοῦ φόβου πεπαύσονται καὶ κινδύνου παντὸς, καταλήξουσι δὲ καὶ τῆς ἐν πόνοις ταλαιπωρίας, ὅταν αὐτοῖς καὶ εἰσαῦθις ἐπιφαίνηται Χριστὸς ἐν δυνάμει θεο πρεπεῖ, καὶ πᾶσαν ἔχων ὑπὸ πόδας τὴν οἰκουμένην. τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ ἐπὶ θαλάσσης περιπατεῖν, ἐπεὶ καὶ εἰς κόσμου τύπον πολλάκις ἡ θάλασσα παρὰ τῇ θείᾳ λαμβά νεται γραφῇ κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον "Αὕτη ἡ θά "λασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν "ἀριθμὸς, ζῶα μικρὰ μετὰ τῶν μεγάλων." ὅταν οὖν ἔλθῃ ὁ Χριστὸς ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, καθὰ γέγραπται, 1.431 τότε τῶν ἁγίων ἀποστόλων τὸ σκάφος, τουτέστιν ἡ Ἐκκλη σία, καὶ οἱ πλέοντες ἐν αὐτῇ, τουτέστιν οἱ διὰ πίστεως καὶ ἀγάπης τῆς εἰς Θεὸν, ἄνω τῶν ἐν κόσμῳ γεγονότες πραγ μάτων, ἀμελητὶ καὶ δίχα πόνου παντὸς καταλύσουσιν εἰς γῆν εἰς ἣν ὑπῆγον. ἦν γὰρ αὐτοῖς ὁ σκοπὸς, καθάπερ εἰς εὔδιον καταλῦσαι λιμένα, τὴν τῶν οὐρανῶν βασιλείαν δηλαδή· βεβαιοῖ δὲ τὴν ἐφ' ἅπασι τοῖς εἰρημένοις διάνοιαν ὁ Σωτὴρ, λέγων πρὸς τοὺς ἑαυτοῦ μαθητὰς, ποτὲ μὲν ὅτι "Μικρὸν καὶ "οὐκέτι θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με," ποτὲ δὲ πάλιν "Θλίψιν ἕξετε ἐν τῷ κόσμῳ· ἀλλὰ θαρσεῖτε, ἐγὼ "νενίκηκα τὸν κόσμον." κάτεισι γεμὴν διὰ νυκτὸς ἀπὸ τοῦ ὄρους ὁ Κύριος, καὶ τοῖς ἑαυτοῦ μαθηταῖς ἀγρυπνοῦσιν ἐπιφοιτᾷ· καὶ γοῦν ἰόντα προσβλέπουσι δειλίας οὐ δίχα· καταφρίττουσι γὰρ, ἵνα δή τι τὸ ἀναγκαῖον εἰς νόησιν καὶ διὰ τούτων ἡμῖν ἀναφαίνηται. καταβήσεται γὰρ ἐξ οὐρανοῦ καθάπερ ἐν νυκτὶ κοιμωμένου τρόπον τινὰ τοῦ κόσμου, καὶ εἰς πολλὴν ῥέγχοντος ἁμαρτίαν. διὰ γὰρ τοῦτο καὶ πρὸς ἡμᾶς που φησί "Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ "κύριος ὑμῶν ἔρχεται." διδάξει δὲ οὐδὲν ἧττον ἡμᾶς καὶ ἡ ἐπὶ ταῖς παρθένοις παραβολὴ τὸ λεγόμενον. πέντε μὲν γὰρ τὰς φρονίμους εἶναί φησι, μωρὰς δὲ τὰς πέντε· ἀλλὰ βραδύνοντος "τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον· "μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν Ἰδοὺ ὁ νυμφίος, ἐξέρ "χεσθε εἰς ἀπάντησιν." ὁρᾷς ὅπως διὰ μέσης νυκτὸς ὁ νυμφίος ἡμῖν ἀγγέλλεται; τίς δὲ λοιπὸν ἡ κραυγὴ, καὶ ὁ τῆς ἀπαντήσεως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρόπος, σαφηνιεῖ λέγων ὁ θεσπέσιος Παῦ λος, ποτὲ μὲν "ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ "ἀρχαγγέλου, ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ·" ποτὲ δὲ πάλιν περὶ τῶν ἐγηγερμένων ἁγίων, ὅτι καὶ "ἡμεῖς "οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα αὐτοῖς ἐν νεφέλαις ἁρπα 1.432 "γησόμεθα εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω "πάντοτε σὺν Κυρίῳ ἐσόμεθα." τὸ δὲ φόβῳ βεβλῆσθαι τοὺς μαθητὰς, καίτοι θεωροῦντας ἐρχόμενον, καὶ ἐν πόνῳ καὶ ἐγρηγόρσει κατειλημμένους, ἐκεῖνο δηλοῖ, ὅτι φοβερὸς μὲν ἐπὶ πάντας ἥξει κριτὴς, καταπτήξει δὲ πάντως ἐφ' ἑαυτῷ καὶ ὁ δίκαιος, ὡς διὰ πυρὸς δοκιμαζόμενος, καίτοι καὶ προανα βλέπων ἀεὶ τὸν ἀφιξόμενον, καὶ οὐκ ὀκνήσας εἰς πόνους τοὺς ἐπ' ἀρετῇ, νήψει τε ὁμοίως καὶ ἀγαθῇ γρηγόρσει συντεθραμ μένος. οὐ συνεισέρχεται δὲ τοῖς ἑαυτοῦ μαθηταῖς, ὡς συμ πλεύσων ὁ Κύριος, ἐφορμίζει δὲ μᾶλλον τῇ χέρσῳ τὸ σκάφος. οὐ γὰρ συνεργήσων ἔτι πρὸς κατόρθωσιν ἀρετῆς τοῖς αὐτὸν σεβομένοις ἐπιφανεῖται Χριστὸς, ἀλλὰ τοῖς ἤδη κατωρθωμένοις πέρας ἐπιθήσων τὸ προσδοκώμενον. Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστὼς πέραν τῆς θαλάσσης ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἀνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνῆλθε τοῖς μαθηταῖς αὐτοῦ εἰς τὸ πλοῖον ὁ Ἰησοῦς, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον· ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον εὐχαριστήσαντος τοῦ Κυρίου. Οὐ λανθάνει τὸ παράδοξον, τὸ ἐπ' αὐτῆς τῆς θαλάσσης φημὶ περιπατῆσαι τὸν Ἰησοῦν, καίτοι διὰ νυκτὸς καὶ ἐν σκότῳ γεγενημένον καὶ λεληθότως οἰκονομηθέν. ὑπαισθά νεται δὲ τῶν ἀκολουθεῖν εἰωθότων ὁ δῆμος, διὰ πολλῆς τινος, ὡς ἔοικε, τῆς ἐπιτηρήσεως, ὅτι μήτε συμπλεύσοι τοῖς ἑαυτοῦ μαθηταῖς πληροφορούμενος, μήτε μὴν ἑτέρῳ διαπορθ μεύσαι τῷ σκάφει· μόνον γὰρ ἦν ἐκεῖσε τὸ τῶν ἀποστόλων, ὃ δὴ καὶ λαβόντες προῴχοντο. οὐδὲν οὖν ἄρα λανθάνει τῶν ἀγαθῶν, κἂν λεληθότως ὑπό του τελῆται τυχὸν, καὶ ἀληθὲς 1.433 ἐντεῦθεν ὀψόμεθα, τό "Οὐδὲν κρυπτὸν ὃ οὐ φανερωθήσεται, "οὐδὲ ἀπόκρυφον ὃ οὐ μὴ γνωσθῇ καὶ εἰς φανερὸν ἔλθῃ." χρῆναί φημι τοιγαροῦν τὸν τοῖς ἴχνεσιν ἀκολουθεῖν ἐθέλοντα τοῦ Χριστοῦ, καὶ κατὰ τὸ ἐγχωροῦν ἀνθρώπῳ πρὸς τὸν ἐν ἐκείνῳ διαπλάττεσθαι τύπον, μὴ φιλοκόμπως ἐπείγεσθαι διαζῆν, μηδὲ εἰς θήραν ἐπαίνων ἐξέλκεσθαι ποιοῦντα τὴν ἀρετὴν, μηδὲ εἰ παράδοξόν τινα καὶ λίαν ἐξησκημένον ἐπανέ λοιτο βίον, οὐ μετρίως δοξάζεσθαι διὰ τοῦτο φιλεῖν, ἀλλὰ μόνοις ὁρᾶσθαι θέλειν τοῖς τῆς θεότητος ὀφθαλμοῖς ἀπογυμ νούσης τὰ κρυπτὰ, καὶ τὸ λεληθότως ἐπιτελεσθὲν εἰς ἐμφανε στάτην ἀγούσης κατάληψιν. Ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοιάρια καὶ ἦλθον εἰς Καφαρναοὺμ ζητοῦντες τὸν Ἰησοῦν. Ἀκολουθοῦσιν οὗτοι θαυμασταὶ μὲν ἴσως τῶν σημείων ὑπάρχοντες, οὐ μὴν εἰς τὸ χρῆναι πιστεύειν τὴν ἐξ αὐτῶν ὠφέλειαν δεχόμενοι, ἀλλ' ὥσπερ τινὰ τῷ παραδοξοποιῷ τὴν ἀντίδοσιν διὰ τοῦ καὶ μόνον αὐτὸν ἐπαινεῖν οὐκ ἀνεθέλητον προσκομίζοντες. φρενὸς δὲ τοῦτο νόσημα ψυχρὸν, καὶ ψυχῆς οὐδαμόθεν ἐπὶ τὴν τοῦ συμφέροντος αἵρεσιν παιδαγωγεῖσθαι κατειθισμένης. αἴτιον δὲ τούτων αὐτοῖς, τὸ μόνον ἐπιτέρπε σθαι ταῖς τῆς σαρκὸς ἡδοναῖς, καὶ τροφῇ μᾶλλον τῇ εὐτελε στάτῃ καὶ προσκαίρῳ προθύμως ἐπιπηδᾶν, ἤγουν τοῖς πνευ ματικοῖς ἐπιτρέχειν ἀγαθοῖς, καὶ πειρᾶσθαι κερδαίνειν, ὅσα πρὸς ζωὴν ἂν ἀποτρέφῃ τὴν αἰώνιον. τοῦτο δ' ἂν μάθοις ἀκριβῶς, καὶ διὰ τῶν ἐφεξῆς. 1.434 Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης εἶπον αὐτῷ Ῥαββὶ, πότε ὧδε γέγονας; Εἰς διάθεσιν μὲν ὁ λόγος τὴν ἐξ ἀγαπώντων σχηματί ζεται, καὶ ὑποπλάττεταί πως τὸ γλυκὺ, πλὴν ἀνόητος κομιδῆ καὶ μειρακιώδης ἐξελέγχεται· οὐ γὰρ ἔδει τῷ τοσούτῳ περι τυχόντας διδασκάλῳ, μάταιόν τι λέγειν καὶ μαθεῖν ἐπείγε σθαι τὸ μηδέν. τί γὰρ ἔδει φιλοπευστεῖν, πότε μὲν αὐτὸς ἀφίκοιτο τυχόν; τί δὲ ἦν εἰκὸς τοῦτο μαθόντας ὠφεληθή σεσθαι; σοφὰ τοιγαροῦν παρὰ σοφῶν ζητητέον, καὶ προτε τιμήσθω λόγων ἀπαιδεύτων ἡ ἐν συνέσει σιγή. ἅλατι μὲν γὰρ ἠρτύσθαι δεῖν ἐπιτάττει τὸν λόγον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῶν ὁ Χριστοῦ μαθητής· ἕτερος δέ τις εἰς τοῦτο προτρέπει τῶν σοφῶν "Τέκνον, εἰπὼν, εἰ μέν ἐστι σοι λόγος συνέσεως, ἀποκρί "θητι· εἰ δὲ μὴ, χεὶρ ἔστω ἐπὶ στόματί σου." ὅπως δὲ φαῦλόν ἐστι τὸ ἐπ' ἀπαιδεύτῳ γλώττῃ καταγινώσκεσθαι, καὶ δι' ἑτέρου γνωσόμεθα "Εἴ τις γάρ, φησι, δοκεῖ θρῆσκος "εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶτταν αὐτοῦ, ἀλλὰ ἀπα "τῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία." Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν Ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖον, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. Ἐροῦμεν δή τι κοινὸν, πλὴν ἔθει μικρῷ τετριμμένον. πεφύκασί πως αἱ μεγάλαι τῶν διδασκάλων ἕξεις οὐ μετρίως χαλεπαίνειν πολλάκις, ὅταν τι τῶν εἰκαίων καὶ ἀνωφελῶν ἐξετάζωνται· καὶ οὐ δήπου τοῦτο παθόντας αὐτοὺς ἐξ ἀλαζο νείας εὑρήσομεν, ἀλλὰ μᾶλλον ταῖς τῶν ἐρωτώντων ἀμαθίαις ἐπιστυγνάζοντας. ἐπὶ μὲν οὖν ἡμῶν τε καὶ τῶν καθ' ἡμᾶς οὐκ ἀκόμψως εἰρῆσθαι τὸ τοιοῦτο ὑπολαμβάνω· θερμὸν δὲ 1.435 τοῖς ἐκεῖνα διερωτήσασιν ἐπιφέρει τὸν ἔλεγχον ὁ Σωτὴρ, ὡς λαλοῦσιν ἀπαιδεύτως, καὶ ἀσυνέτως διεσκεμμένοις, οὐχ ὅτι προσήκοι ζητεῖν τὰ ἐφ' οἷς ἂν γένοιντο καλοί τε καὶ ἀγαθοὶ, ἀλλ' ἐπὶ μισθῷ σωματικῷ καὶ τούτῳ εὐτελεστάτῳ κατα κολουθεῖν αὐτῷ. τί γὰρ ἂν γένοιτο τροφῆς τῆς ἐφημέρου, καὶ οὐκ ἐν πολυτελεῖ, τὸ ἔλαττον; ἐπιτηδευτέον τοιγαροῦν τὴν εἰς Χριστὸν καὶ εὐλάβειαν καὶ ἀγάπησιν, οὐχ ἵνα τι τῶν σωματικῶν εὑρίσκωμεν, ἀλλ' ἵνα τὴν δι' αὐτοῦ σωτηρίαν ἀποκερδαίνωμεν, καὶ μὴ λέγωμεν μὲν ἀγαθὰ πρὸς αὐτὸν, ὥσπερ οὖν ἐκεῖνοι τό Ῥαββὶ, ἐμπορίας δὲ ἄλλως ὑπόθεσιν καὶ ἀπλήστου χρημάτων συγκομιδῆς τὴν χρηστολογίαν ἀρτύωμεν· ἤγουν ὁ τοιούτοις ἐπιχειρῶν, οὐκ ἀγνοήσει λοιπὸν ὅτι πικρῶς ἐλέγχοντι προσβαλεῖ τῷ Χριστῷ, καὶ τὴν κεκρυμ μένην ἐν αὐτῷ κακίαν ἀποκαλύπτοντι. Θαυμάσαι δὲ πάλιν ἀκόλουθον καὶ τὴν ἐπὶ τούτοις οἰκονο μίαν. ἐπειδὴ γὰρ νόσῳ κατειλημμένους ἐθεᾶτο τῇ προειρη μένῃ, καθάπερ τις ἀριστοτέχνας καὶ ἐπιστήμων ἰατρὸς, διπλοῦν αὐτοῖς ἐπενόησε φάρμακον, ἀξιολογωτάτῳ σημείῳ τὸν ἐπωφελῆ παραπλέξας ἔλεγχον. τὸ μὲν οὖν σημεῖον εὑρήσομεν ἐν τῷ εἰδέναι τὰ ἐν αὐτοῖς, ἐν δὲ τῷ κυρίως μὴ δι' εὐσέβειαν ζητεῖν ἐπείγεσθαι λέγειν αὐτοὺς τὸν θαυμα τουργὸν, θεωρήσεις τὸν ἔλεγχον· ὠφελεῖ δὲ διττῶς. τῷ μὲν γὰρ ἐξεπίστασθαι σαφῶς τὰ ἐν αὐτοῖς βουλεύματα καὶ γνωρίζειν ἀκριβῶς, ἀσυνέτους ὄντας ἐπιδεικνύει, ὅτι δὴ λή σονται τὸν θεῖον ὀφθαλμὸν οἰομένους, καταχώσαντες μὲν ἐν καρδίᾳ τὴν πονηρίαν, ἐπιτηδεύοντες δὲ τὸ ἐν γλώττῃ γλυκύ. τοῦτο δὲ ἦν ἀναπείθοντος ἤδη νόσου μὲν τῆς ἐπὶ τούτοις ἀποφοιτᾶν, ἁμαρτίας δὲ καταλήγειν οὐ μικρᾶς· ὑβριστὴς γὰρ ὄντως καὶ παράνομος, ὁ ταύτην ἔχων ἐπὶ Θεῷ τὴν διά ληψιν· τῷ δὲ χρησίμως ἐλέγχειν ἡμαρτηκότας, ἀνασειράζων τρόπον τινὰ τοῦ κακοῦ τὸν ἐπέκεινα δρόμον· ἕρπει μὲν γὰρ 1.436 καὶ ἐκτείνεται τὸ κωλύον ἔχον οὐδέν· φωραθὲν δέ πως μονονουχὶ καὶ αἰσχύνεται, καὶ σχοινίου δίκην εἰς ἑαυτὸ συστέλλεται. ὠφελεῖ τοιγαροῦν καὶ ἐλέγχων ὁ Κύριος, καὶ δι' ὧν ἄν τις αὐτὸν ὅτι πλήττοι νομίσειε, διὰ τούτων αὐτῶν εὐεργετοῦντα θεάσαιτο. νοητέον ἐντεῦθεν, ὅτι κἂν θωπεύωσί τινες, ἢ καὶ χρηστοῖς περισαίνωσι λόγοις τοὺς τῶν ἐκκλησιῶν ἡγουμένους, μὴ ὀρθοποδῶσι δὲ περὶ τὴν πίστιν, οὐ συναρπάζεσθαι ταῖς κολακείαις ἀκόλουθον αὐτοὺς, οὐδὲ ὥσπερ τινὰ μισθὸν τῶν ἐπαίνων ἀντικιχρᾶν τοῖς ἐπα νορθώσεως δεομένοις, τὴν ἐφ' οἷσπερ ἂν πταίωσι σιωπήν· ἐλέγχειν δὲ μᾶλλον ἐκ παῤῥησίας, καὶ μεταχωρεῖν ἀναπεί θειν ἐπὶ τὸ ἄμεινον, ἤγουν διὰ τούτου κἂν ἑτέρους ὠφε λεῖν, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Παύλου "Τοὺς ἁμαρτά "νοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον "ἔχωσι." Τὰ μὲν οὖν ἐν τοῖς προκειμένοις ἡμῖν ἀνὰ μέρος ἐν τούτοις, ἀκόλουθα γεμὴν καὶ ἀναγκαίως ἐπενηνεγμένα τοῖς ἤδη προτεθεωρημένοις, ἀναδείκνυσθαι δεῖν ὑπολαμβάνω καὶ αὐτά. οὐκοῦν ἐν ἐκείνοις ἐλέγομεν τοῦ Σωτῆρος ἡμῶν τὴν ἐκ τοῦ ὄρους κάθοδον τὴν δευτέραν ἡμῖν καὶ εἰσαῦθις ἐσο μένην ἐκ τῶν οὐρανῶν ἐπιδημίαν ἀνατυποῦν, καὶ ὡς ἐν συναιρέσει τοῦ παντὸς θεωρήματος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσεπετίθεμεν, ὅτι καὶ ἀγρυπνοῦσι καὶ ἐν τῷ πονεῖν ὑπάρχουσιν ἔτι τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιφαίνεται, καὶ δειλίας ἀπαλλάξας παραχρῆμα τὸ σκάφος ἐτίθει πρὸς γῆν. καὶ τί τὸ ἐν τούτοις ὡς ἐν τύποις ἡμῖν ζωγραφούμενον, ἐν ἐκείνοις ἐσαφηνίζομεν. ἀλλ' ἐπι τήρει καὶ νῦν, ὅτι μετὰ τὸ κατελθεῖν ἐκ τοῦ ὄρους τὸν Ἰησοῦν, ὑστεροῦσί τινες περὶ τὴν ἀκολούθησιν, καὶ τελευ ταῖοι βαδίζουσιν ἐπ' αὐτόν. ἔρχονται γὰρ "τῇ ἐπαύριον," 1.437 οὐκ ἀπαρατηρήτως καὶ τοῦτο προστεθεικότος τοῦ εὐαγγε λιστοῦ· εἶτα περιτυχόντες, χρηστοῖς κολακεύειν ἐπιχειροῦσι λόγοις, ἐπιπλήττει δὲ αὐτοῖς ὁ Χριστὸς, ζέοντα καὶ δριμὺν ἐπαγαγὼν τὸν ἔλεγχον, ἵνα πάλιν ἐκεῖνο διενθυμώμεθα, ὅτι μετὰ τὸ ἀφικέσθαι τὸν Κύριον ὡς ἡμᾶς ἐξ οὐρανῶν, εἰκαιο τάτη λοιπὸν καὶ ἀνωφελὴς ἀνθρώποις ἡ τῶν ἀγαθῶν ἐπι ζήτησις, καὶ τὸ ἀκολουθεῖν ἐθέλειν αὐτῷ καιρὸν οὐκ ἔχει τὸν πρέποντα. ἀλλὰ κἂν προσίωσί τινες, προσηνεστάτοις αὐτὸν καταμαλθάξειν οἰόμενοι λόγοις, οὐκέτι χρηστῷ περιτεύξονται καὶ πράῳ τῷ κρίνοντι, ἀλλ' ἐλεγκτικῷ τε καὶ πληκτικῷ· τὴν γὰρ τῶν ἐλεγχομένων θωπείαν, καὶ αὐτὸν δὲ τὸν ἔλεγχον ἐν τοῖς τοῦ Σωτῆρος θεωρήσεις λόγοις, ὅτε δὴ καί φησι "Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·" τῇ τῆς κρίσεως δηλονότι "Κύριε κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβά "λομεν;" ἀλλὰ "Τότε, φησὶν, ὁμολογήσω αὐτοῖς, ὅτι "ἀμὴν λέγω ὑμῖν οὐδέποτε ἔγνων ὑμᾶς·" οὐ γὰρ ἐζητήσατέ με, φησὶ, καθαρῶς, ἀλλ' οὐδὲ τὸ ἐν ἁγιασμῷ διαπρέπειν ἠγαπήσατε, ἔγνων γὰρ ἂν διὰ τούτων ὑμᾶς, ἀλλ' ἐπείπερ εἰς εὐπορίας εὕρεσιν τὴν ἐν δοκήσει καὶ ἐν ψιλαῖς ὑπονοίαις εὐλάβειαν ἐποιήσασθε, καὶ ἠγνοηκέναι δικαίως ὁμολογῶ· ὅπερ οὖν ἐν τούτοις εἶναί φαμεν τό Κύριε, κύριε, τοῦτο καὶ ἐν θάδε τό Ῥαββί. οὐκοῦν ὅτῳ τὸ κολάζεσθαι πικρὸν, μὴ κατα πιπτέτω πρὸς ἀνανδρίαν, μηδὲ ἀσθενείτω ποικίλως εἰς τὸ πλημμελεῖν, εἰς χρηστότητα βλέπων τὴν ἐν Θεῷ, ἀλλ' ἑτοι μαζέτω "εἰς τὴν ἔξοδον αὐτοῦ τὰ ἔργα αὐτοῦ," καθὰ γέγραπ ται, "καὶ παρασκευαζέσθω εἰς τὸν ἀγρὸν," τουτέστιν, ἕως ἐστὶν ἐν τῷδε τῷ κόσμῳ. ἀγρὸν γὰρ τὸν κόσμον ἡρμήνευσεν ὁ Σωτήρ. παρασκευαζέσθω δὲ πρὸς ἀπόδειξιν ἁγιασμοῦ καὶ δικαιοσύνης ἐπὶ τοῦ θείου βήματος. οὐ γὰρ ἀκαίρως ὄντα φιλάνθρωπον θεωρήσει τὸν δικαστὴν, ἀλλ' οὐδὲ τοῖς εἰς 1.438 ἔλεον εἴκοντα λόγοις, τὸν ᾧπερ ἐχρῆν ἀμελητὶ καταπείθε σθαι καλοῦντι πρὸς σωτηρίαν, ὅτε καὶ ὁ τῆς ἡμερότητος ἐπεδίδου καιρὸς, καὶ τὴν ἐπὶ τοῖς ἤδη προεπταισμένοις ἐξαι τεῖν ἀμνηστίαν, καὶ τὴν ἐκ Θεοῦ τοῦ σώζοντος φιλανθρω πίαν ἐπιζητεῖν. Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον. Τοιοῦτόν τι πάλιν ἐπὶ τὸ καθόλου καὶ γενικώτερόν πως ἐκπλατύνων τὸν λόγον, ὁ Παῦλος ἡμᾶς ἐκδιδάσκει λέγων "Ὁ σπείρων εἰς τὴν σάρκα ἐκ τῆς σαρκὸς θερίσει φθοράν· "ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν "αἰώνιον." σπείρειν μὲν γὰρ εἰς τὴν σάρκα φησὶ τοὺς οἵ γε ταῖς τῆς σαρκὸς ἡδοναῖς ὅλας ὥσπερ ἐπιτρέψαντες τὰς ἡνίας δρομαῖοι βαδίζουσιν ἐφ' ὅπερ ἂν βούλωνται, διακρίνοντες μὲν οὐδαμῶς τὸ σφίσι λυσιτελὲς ἀπὸ τοῦ κατασίνεσθαι καὶ ἀδι κεῖν πεφυκότος, δοκιμάζειν δὲ ὅλως τὸ τῷ νομοθέτῃ δοκοῦν οὐδαμόθεν κατειθισμένοι, ἐπὶ δὲ μόνον τὸ ἡδύ τε καὶ πρόσ καιρον ἀπερισκέπτως κατασυρόμενοι, καὶ τῶν ὁρωμένων προ κρίνοντες οὐδέν· σπείρειν δὲ πάλιν εἰς τὸ πνεῦμα διισχυ ρίζεται, τὰ ἐφ' οἷς ἂν βούλοιτο διαπρέπειν ἡμᾶς τὸ Ἅγιον Πνεῦμα, ὅλον μὲν τῆς ἑαυτῶν διανοίας δαπανῶντας τὸ σπούδασμα, συντόνῳ δὲ οὕτως ἀποκεχρημένους φροντίδι πρὸς γεωργίαν τῶν ἀγαθῶν, ὡς εἰ μή τις αὐτοὺς κατήπειξε λόγος φυσικός τε καὶ ἀνυπέρθετος τὰς ἀναγκαίας τῇ σαρκὶ χαρίζεσθαι τροφὰς, οὐδ' ἂν εἰς τοῦτό ποτε καταβαίνειν ἠνέσχοντο. οἶμαι τοίνυν προσήκειν ἡμᾶς, "τῆς μὲν σαρκὸς "εἰς ἐπιθυμίας" μηδεμίαν ὅλως τίθεσθαι πρόνοιαν, προσ κεῖσθαι δὲ μᾶλλον τοῖς ἀναγκαιοτάτοις, καὶ ἐπιτηδεύειν ἐπεί γεσθαι τὰ ὅσαπερ ἡμᾶς εἰς τὴν αἰώνιόν τε καὶ θείαν ἀνα 1.439 φέρει ζωήν. τὸ μὲν γὰρ τὰς τοῦ σώματος ἀποθαυμάζειν 1.439 τρυφὰς, καὶ μηδὲν ἡγεῖσθαι τὸ ἄμεινον τῶν περὶ γαστέρα πλεονασμῶν, θηριῶδες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄντως, καὶ τῆς ἐπὶ τοῖς ἐσχάτοις ἀλογίας οὐκ ἀμοιροῦν. τὸ δὲ προσκεῖσθαι τοῖς ἀγαθοῖς, καὶ λίαν ἐπείγεσθαι διαπρέπειν ἐν ἀρεταῖς καὶ τοῖς τοῦ πνεύματος ὑποκεῖσθαι νόμοις, προσίεσθαί τε καὶ λίαν ἀσμένως τὰ παρὰ Θεοῦ πρὸς σωτηρίαν ἐφοδιάζειν ἡμᾶς ἰσχύοντα, δοίην ἂν ἔγωγε πρέπειν ὄντως τῷ τὴν ἰδίαν ἐπιγινώσκοντι φύσιν, καὶ ὅτι ζῷον πεποίηται λογικὸν κατ' εἰκόνα τοῦ κτίσαντος οὐκ ἠγνοηκότι. οὐκοῦν ὡς αὐτός που φησὶν ὁ Σωτήρ "Μὴ "μεριμνῶμεν τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλώμεθα," λογιζόμενοι δὲ ὅτι κρείττων ἐστὶν "ἡ ψυχὴ τῆς τροφῆς, "καὶ τὸ σῶμα τοῦ ἐνδύματος," ὅπως ἂν ἔχοι καλῶς τὰ τιμιώτερα μᾶλλον τῶν ἐν ἡμῖν ἐνθυμώμεθα. Εὐπαθοῦντος μὲν γὰρ τοῦ σώματος, καὶ ταῖς αὐτῷ καταλ λήλοις πιαινομένου τρυφαῖς, ὄνησις μὲν οὐδεμία τῇ ἀθλίᾳ ψυχῇ· ἐκ δὲ τῶν ἐναντίων, καὶ πολύ τι τὸ βλάβος ἀνατελεῖ. κατοιχήσεται γὰρ εἰς τὸ πῦρ τὸ αἰώνιον, ἐπείπερ ἀνάγκη τοὺς οὐδὲν τῶν ἀγαθῶν εἰργασμένους, τῆς ἐπὶ τούτοις εἴσω γε νέσθαι δίκης, λογισμῷ δὲ τῷ πρέποντι χαλιναγωγηθέντος τοῦ σώματος, καὶ τοῖς τοῦ πνεύματος ὑπεζευγμένου νόμοις, σώζε σθαι πάντως ἀνάγκη τὸ συναμφότερον. ἔστι τοίνυν τῶν ἀτο πωτάτων, τῆς μὲν προσκαίρου καὶ ὅσον οὐδέπω φθαρησομένης σαρκὸς οὕτως ἡμᾶς προνοεῖν, ὡς οἴεσθαι δεῖν οὐδενὸς ὅλως ἀπολιμπάνεσθαι τῶν φιλαιτάτων αὐτῇ· ἐν παρέργου δὲ τάξει λαβεῖν, ἢ καὶ τῷ μηδενὶ παρισοῦν τὴν ἐπὶ ψυχῇ φροντίδα, καίτοι τοσοῦτον οἶμαι προσήκειν ἐπείγεσθαι μᾶλλον ἡμᾶς προσκεκλίσθαι τοῖς ἐπὶ ψυχῇ φροντίσμασιν, ὅσον καὶ ἐν ἀμεί νοσιν ἢ κατὰ σάρκα ἐστίν· οὕτω γὰρ ὄντως, καὶ τῶν ἡττωμέ 1.440 νων προτάττοντες τὸ ὡς ἐν συγκρίσει νικῶν, καὶ δικαίαν τὴν ἐπὶ τούτοις ὁρίζοντες ψῆφον, ὅσιοί τε καὶ σοφοὶ γενησόμεθα δικασταὶ, καὶ οὐχ ἑτέροις τισὶ τὴν ἐκ λογισμῶν ἀγαθῶν ὀρθό τητα χαριούμεθα, μᾶλλον δὲ ταῖς οἰκείαις περιθήσομεν κεφα λαῖς. ἐργαζώμεθα τοίνυν καθά φησιν ὁ Σωτὴρ μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην· χωρήσασα γὰρ εἰς γαστέρα καὶ εἰς ὀλίγον κομιδῆ τὸν καιρὸν πρὸς εὐτελεστάτην ἡδονὴν τὸν νοῦν διαπαίξασα πρὸς ἀφεδρῶνα χωρεῖ, καὶ ἐκ γαστρὸς αὖθις μετοχετεύεται. ἡ δὲ βρῶσις ἡ πνευματικὴ τὴν καρδίαν στηρίζουσα, συνέχει τὸν ἄνθρωπον εἰς ζωὴν αἰώνιον, ἣν καὶ χορηγήσειν αὐτὸς ἡμῖν ὁ Χριστὸς ἐπαγγέλλεται, λέγων " Ην ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει·" συναναπλέξας ὁμοῦ τῷ θεοπρεπεῖ τὸ ἀνθρώπινον, καὶ συζεύξας ὅλον τῆς οἰκονομίας τῆς μετὰ σαρκὸς τὸ ἐν κόσμῳ μυστήριον. ὑπαινίττεται δέ πως τὴν μυστικήν τε καὶ πνευματικωτέραν τροφὴν, δι' ἧς καὶ σῶμα καὶ ψυχὴν ἁγιαζόμενοι διαζῶμεν ἐν αὐτῷ. γυμνότερον δέ πως ἐν τοῖς ἐφεξῆς τοῦτο λέγοντα θεωρήσομεν. τετηρήσθω τοιγαροῦν ὁ λόγος τῷ χρεωστου μένῳ καιρῷ τε καὶ τόπῳ.

1.441 ΚΕΦΑΛΗ Ε. Ὅτι χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Μονογενὴς, καὶ οὐχ ἕτερος παρ' αὐτὸν ἢ ἔστιν ἢ νοεῖται χα ρακτήρ. Ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός. ΟΥΚ ἠγνόησε πάλιν, ὡς Θεὸς, τὰ ἐκ τῆς Ἰουδαϊκῆς ἀμαθίας ἐσόμενα τυχὸν ἐγκλήματα, καὶ τὰ ἐφ' οἷς ἐξαγρι οῦσθαι πολλάκις αὐτοὺς ἀπαιδεύτως συμβέβηκεν. ᾔδει δὲ ὅτι λογιοῦνται καθ' ἑαυτοὺς, εἰς μόνην ὁρῶντες τὴν σάρκα, καὶ τὸν ἐν αὐτῇ Θεὸν Λόγον οὐκ ἐννοήσαντες Τίς οὗτος ἄρα ἐστὶν ὁ τοῖς θεοπρεπέσι λόγοις ἐπιπηδῶν; τίς γὰρ ἂν ἀνθρώποις χορηγήσαι τροφὴν, τὴν εἰς ζωὴν συνέχουσαν τὴν αἰώνιον; φύσεως μὲν γὰρ ἀνθρωπίνης παντελῶς ἀλλότριον τὸ τοιοῦτόν ἐστι, μόνῳ δ' ἂν πρέποι τῷ ἐπὶ πάντας ὄντι Θεῷ. προαπολογεῖται τοιγαροῦν ὁ Σωτὴρ, καὶ δυσωπεῖ ταῖς εὐκαίροις τῶν λόγων ἐπαγωγαῖς, τὴν προσδοκουμένην αὐτῶν ἀθυρογλωττίαν. ἐπιδώσειν μὲν γὰρ τὴν βρῶσιν αὐτοῖς τὴν εἰς ζωὴν ἀποτρέφουσαν τὴν αἰώνιον τὸν υἱὸν τοῦ ἀνθρώπου φησὶν, ἐσφραγίσθαι γεμὴν ἀπὸ τοῦ Πατρὸς ἑαυτὸν παραχρῆμα διισχυρίσατο· ἢ τὸ ἐσφραγίσθαι πάλιν, ἀντὶ τοῦ κεχρίσθαι τεθεικώς· κατασφραγίζεται γὰρ ὁ χριόμενος· ἤγουν ὅτι μεμόρφωται φυσικῶς πρὸς τὸν Πατέρα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεικνύς. ὅμοιον γὰρ ὡς εἰ ἔλεγεν Οὐκ ἀδυνατήσω βρῶσιν ὑμῖν ἐπιδοῦναι τὴν 1.442 μένουσαν καὶ εἰς αἰώνιον ζωήν τε καὶ τρυφὴν ἀναφέρουσαν. εἰ γὰρ καὶ ὁρῶμαι καθάπερ εἷς ἐξ ὑμῶν, ἄνθρωπος δηλονότι μετὰ σαρκὸς, ἀλλ' ἐχρίσθην καὶ κατεσφραγίσθην παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς ἀπαράλλακτον ὁμοιότητα, τὴν ὡς πρὸς αὐτόν. ὄψεσθε γὰρ, φησὶν, ἐν ἐμοὶ μὲν ἐκεῖνον, ἐμὲ δὲ αὖ πάλιν ἐν ἐκείνῳ φυσικῶς, καὶ εἰ γεγέννημαι δι' ὑμᾶς ἄνθρω πος ἐκ γυναικὸς κατὰ τὸν ἄῤῥητον τῆς οἰκονομίας λόγον· ἔχω γὰρ δὴ τὸ πάντα δύνασθαι δρᾷν ἐν ἐξουσίᾳ θεοπρεπεῖ, ἀπολειφθήσομαί τε κατ' οὐδένα τρόπον τῆς ἐνούσης ἰσχύος τῷ φύσαντι· καὶ εἰ δίδωσι τροφὴν ὑμῖν τὴν πνευματικὴν τὴν διασώζουσαν εἰς ζωὴν αἰώνιον ὁ Θεὸς καὶ Πατὴρ, ἐπι δώσει δῆλον ὅτι καὶ ὁ Υἱὸς, καὶ ἐν σαρκὶ γεγονὼς, εἰκὼν ἀπαράλλακτος ὑπάρχων αὐτοῦ, νοουμένης δηλονότι τῆς κατὰ πᾶν ὁτιοῦν ἐμφερείας, οὐ κατὰ τοὺς τῆς σαρκὸς χαρακτῆρας, ἀλλ' οὐδὲ κατά τι γοῦν τῶν ὅλως ἐν σωματικῷ νοουμένων σχήματι, ἀλλ' ἐν δόξῃ θεοπρεπεῖ καὶ ἰσοστάθμῳ δυνάμει, καὶ ἐν ἐξουσίᾳ βασιλικῇ. ἐπιτηρητέον δὲ πάλιν, ὅτι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐπιχορηγήσειν εἰπὼν τὰ θεοπρεπῆ, καὶ κατεσφραγίσθαι πρὸς εἰκόνα τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ ἀνέ χεται μερισμοῦ τοῦ διατέμνοντος τῆς κατ' ἀλήθειαν υἱότητος τὸν ἐκ παρθένου ναὸν, ἀλλ' ἕνα πάλιν ἑαυτὸν ὁρίζει τε καὶ νοεῖσθαι βούλεται· καὶ γὰρ εἷς ὄντως ἐστὶν ἐφ' ἡμᾶς ὁ Χριστὸς, καθάπερ ἁλουργίδα βασιλικὴν τὸ ἴδιον φόρημα περικείμενος, φημὶ δὴ τὸ ἀνθρώπινον σῶμα, ἤτοι ναὸν τὸν ἐκ ψυχῆς δηλονότι καὶ σώματος, εἰ καὶ εἷς ἐξ ἀμφοῖν ὁ Χριστός. Ἀλλ', ὦ βέλτιστε, πάλιν ὁ χριστομάχος ἐρεῖ, δίδου ταῖς ἀληθείαις τὸ δύνασθαι κρατεῖν, μὴ κατασοφίζου τὸν λόγον, ἐφ' ὅπερ ἂν αὐτὸς ἐθελήσαις περιέλκων οὐκ εὐγενῶς. ἰδοὺ 1.443 σαφῶς, καὶ διὰ τούτων ἡμῖν οὐκ ἐκ τῆς οὐσίας ὑπάρχων τοῦ Πατρὸς ὁ Υἱὸς ἀναδείκνυται, ἀλλὰ μᾶλλον ἀπεικόνισμα τῆς οὐσίας αὐτοῦ. ἔστω δὲ δή τι τοιοῦτον, φησὶν, ὅ φαμεν· ἡ σφραγὶς, ἤτοι τὸ σήμαντρον, κηρῷ τυχὸν ἤγουν ἑτέραις ὕλαις ἐπιτηδείως ἐχούσαις εἰς τὸ λαβεῖν ἐνθλιβόμενον, καὶ τὴν ὁμοιότητα μόνην ἐγχαράξαν τὴν ἑαυτοῦ, πάλιν ἐπανα κομίζεται παρὰ τοῦ προσθλίβοντος, ζημιωθὲν ἐξ ἑαυτοῦ μηδέν· οὕτως ὁ Πατὴρ πρὸς τὸν Υἱὸν ὅλον ἑαυτὸν ἐνιεὶς καὶ ἐνσημάνας τρόπον τινὰ δι' ἀκριβεστάτης τῆς ὁμοιώ σεως, οὐκ ἐξ ἑαυτοῦ πάντως ἔχει μέρος ὡσπεροῦν τῆς οὐσίας, ἤγουν ἐξ αὐτῆς νοούμενον, ἀλλ' ὡς εἰκόνα μόνην καὶ ὁμοίω σιν ἀκριβῆ. Ὁράτω δὴ πάλιν ὁ φιλομαθὴς, ὅτι καὶ νῦν ἡμῖν ὡς ὄφις ὁ δι' ἐναντίας ἐπιπηδᾷ, καὶ εἰς ὕψος αἴρει τὴν ἰοῦ γέμουσαν κεφαλήν· ἀλλ' ὁ συνθραύων τὰς κεφαλὰς τοῦ δράκοντος, συνθραύσει καὶ ταύτην, καὶ δώσει πάλιν ἡμῖν τὸ δύνασθαι τὰς πολυτρόπους αὐτῶν δυστροπίας ὑπεκδραμεῖν. λεγέτω τοίνυν ἡμῖν ὁ δεινοῖς ἡμᾶς ἀρτίως περικτυπήσας λόγοις· ἡ σφραγὶς ἤτοι τὸ σήμαντρον τὸ ἐξ ὕλης τυχὸν πεποιημένον ἤτοι σιδηρᾶς ἤγουν τῆς ἀπὸ χρυσοῦ, ἆρ' οὐχὶ πάντως ἐν χαρακτῆρί τινι κατασημαίνει τὰ ἐν οἷς γίνεται, ἢ καὶ δίχα χαρακτῆρος ἔσται τε καὶ νοηθήσεται σήμαντρον; ἀλλ' οἶμαι πᾶς τις οὖν ὅτι καὶ τῶν παρ' ἐκείνοις, καὶ οὐχ ἑκὼν ὁμολο γήσειεν ἀπὸ τοῦ πρέποντος πρὸς αὐτὴν συνελκόμενος τὴν ἀλήθειαν, ὅτι δὴ πάντως ἐν χαρακτῆρι σφραγιεῖ· χαρακ τῆρος δὲ δίχα, κατά γε τὸν ἐν τῷ πρέποντι λογισμὸν, οὐδαμῶς. ὅτε τοίνυν, καθάπερ ἡμῖν ἡ θεία διαμαρτύρεται γραφὴ, "χαρακτὴρ τῆς ὑποστάσεως" τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, ἐν αὐτῇ τε ὢν δηλονότι, καὶ ἐξ αὐτῆς φυσικῶς, αὐτὸς ἐν τίνι κατασημαίνεται, ἢ διὰ τίνος ἑτέρου σφραγιεῖ χαρακτῆρα τὸν ἴδιον ὁ Πατήρ; οὐ γὰρ δή τις ἐρεῖ τὸν 1.444 Πατέρα μὴ εἶναι πάντως ἐν εἴδει θεοπρεπεῖ, ὅπερ ἐστὶν ὁ Υἱὸς ἡ μορφὴ τοῦ τεκόντος αὐτὸν, ὃν εἴπερ τις θεάσαιτο νοητῶς, αὐτὸν δῆλον ὅτι κατόψεται τὸν Πατέρα. διὰ γάρ τοι τοῦτο καὶ ἑαυτὸν εἶναί φησιν ἐν αὐτῷ φυσικῶς, κἂν ἐξ αὐτοῦ νοῆται κατὰ τὸ ἰδιοσύστατον, ὡσπεροῦν καὶ τὸ ἀπαύ γασμα τυχὸν ἐν τῷ ἀπαυγάζοντι καὶ ἐκ τοῦ ἀπαυγάζοντος, καὶ ἕτερόν τι κατά γε τὸν ἐν νοήσει λόγον, καὶ πάλιν οὐχ ἕτερον, ὡς πρὸς αὐτὸ θεωρούμενον, διὰ τὸ ἐξ αὐτοῦ λέγε σθαι, καὶ ἐν αὐτῷ πάλιν ὑπάρχειν. καὶ οὐ δήπου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ τὸ ἐν μερισμῷ καὶ ἀποκοπῇ τῇ καθόλου, καὶ κατ' οὐσίαν τὰ τοιαῦτα λαμβάνεται· ἐμπεφυκότα γὰρ κατὰ τὴν ταυτότητα τῆς οὐσίας τοῖς ἀφ' ὧν εἰσι, καὶ ἐξ αὐτῶν εἶναι πιστεύονται, προκύπτοντα μέν πως κατὰ τὴν ἔκφανσιν τὴν ὡς ἐν νοήσει πρὸς ἕτερόν τι καὶ ἰδικῶς, πλὴν οὐ μεμερισμένως. σφρα γίζεται τοίνυν παρὰ τοῦ Πατρὸς, οὐ γυμνὸς ἢ ἄσαρκος ὁ ἐκ τῆς οὐσίας αὐτοῦ Λόγος, ἀλλὰ μᾶλλον δι' αὐτοῦ τὰ πρὸς ὁμοίωσιν ἀναγόμενα τὴν ὡς πρὸς Θεὸν κατὰ τὸ ἐνδεχόμενον, ὥσπερ οὖν ἐν ἐκείνῳ νοοῦμεν, ἐν τῷ τινας λέγειν "Ἔση "μειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε." πρόσωπον μὲν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱὸν εἶναί φησιν, ὅπερ ἐστὶ πάλιν ὁ χαρακτήρ· φῶς δὲ τὸ ἐξ αὐτοῦ, τὴν διὰ τοῦ Πνεύματος ἐπὶ τὴν κτίσιν διήκουσαν χάριν, δι' ἧς ὡς πρὸς Θεὸν ἀναπλαττόμεθα διὰ πίστεως, οἱονεὶ σημάν τρῳ τινὶ τὴν πρὸς τὸν Υἱὸν συμμορφίαν ἀναλαμβάνοντες δι' αὐτοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Πατρὸς, ἵνα σώζηται καλῶς ἐν ἡμῖν τὸ καθ' ὁμοίωσιν καὶ εἰκόνα γεγενῆσθαι τοῦ κτίσαντος. ἐπειδὴ δὲ ὁμολογουμένως πρόσωπόν ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, εἴη δήπου πάντως ἂν αὐτὸς καὶ ὁ χαρακτὴρ ἐν ᾧ σφραγίζει Θεός. Ἀλλὰ ναὶ, φησὶν ὁ δι' ἐναντίας, ὅτι μὲν διὰ τοῦ Πνεύ ματος κατασφραγίζει Θεὸς τοὺς ἁγίους πιστεύομεν, πλὴν 1.445 οὐδὲν ὅλως τὰ παρὰ σοῦ πρὸς τὴν προκειμένην εὑρίσκεται ζήτησιν· διὸ δὴ πάλιν ἀναλαβόντες ἐροῦμεν Ἡ σφραγὶς ἡ ἀπὸ σιδήρου τυχὸν ἢ καὶ χρυσοῦ νοουμένη ἐγχαράττει τὴν ὁμοίωσιν τὴν ἑαυτῆς ταῖς ὕλαις, ταῖς ἐφ' αἷς ἂν γένοιτο, ἀποβαλοῦσα μὲν ἐξ ἑαυτῆς οὐδὲν, μόνην δὲ κατ' ἐνέργειαν τὴν ἐκ τοῦ προστεθλίφθαι κατασημαίνουσα τὰ δεχόμενα· οὕτω νοοῦμεν ἐσφραγίσθαι παρὰ τοῦ Πατρὸς τὸν Υἱὸν, οὐδὲν ἔχοντα τῆς οὐσίας αὐτοῦ, ἀπολαύσαντα δὲ μόνης τῆς ἀκριβοῦς ὁμοιώσεως, καὶ ἕτερόν τι παρ' αὐτὸν ὑπάρχοντα, καθάπερ εἰκόνα πρὸς τὸ ἀρχέτυπον. Ὢ παρανοίας ἀμέτρου καὶ ῥιψοκινδύνου φρονήματος· ὡς εὐκόλως ἐπελάθου τῶν ἄρτι γεγυμνασμένων. χαρακτῆρα μὲν γὰρ τοῦ Πατρὸς τὸν Υἱὸν εἰρήκαμεν, σφραγίζεσθαι δὲ ἐν αὐτῷ τὸ ἀλλότριον, καὶ οὐκ αὐτὸν, ἵνα μὴ αὐτὸς ἑαυτοῦ νοοῖτο χαρακτήρ. σὺ δὲ ἡμῖν οὐκ ὀρθῶς τὸν ἐπὶ τούτοις ἀπολακτίσας λόγον, μόνην αὐτῷ τὴν κατ' ἐνέργειαν ὁμοιό τητα περιτιθεὶς οὐκ ἐρυθριᾷς. ἐν μόνοις οὖν ἄρα χαρακτῆρσι Θεὸς ἔσται καθ' ὑμᾶς ὁ Υἱὸς, καὶ φύσει μὲν οὐδαμῶς, κατὰ δὲ τὸ μεμορφῶσθαι μόνον καὶ ἐσχηματίσθαι καλῶς πρὸς τὴν τοῦ τεκόντος ἐμφέρειαν. τάχα δὲ οὐκέτι τεκόντος ὅλως· ὥρα γὰρ ὑμᾶς διὰ τούτων ἀναιρεῖν καὶ τὴν γέννησιν, μᾶλλον δὲ ἀνάγκη πᾶσα, καὶ εἰ μὴ βούλεσθε. περὶ μὲν οὖν τοῦ χρῆναι πιστεύειν γεγεννῆσθαι τὸν Υἱὸν ἐκ Πατρὸς, πολὺς ἡμῖν ἤδη δεδαπάνηται λόγος, ἢ καὶ ἐν οἰκείῳ καιρῷ δαπανη θήσεται· πρεπωδέστερον δέ πως ἐπὶ τὸ ἐν χερσὶ βαδιούμεθα, τοῖς ἀθυρογλωττεῖν ἀφυλάκτως εἰωθόσιν ἐκεῖνο προτείνοντες εἰς ἐρώτησιν Ἆρ' οὐχὶ πάντως τὸ δοτὸν ἐροῦσι καὶ ἀφαι ρετὸν καὶ τὸ προσγεγονὸς ὅλως ἐγχωρεῖν ὁμολογοῦσι καὶ ἀποβάλλεσθαι; ἢ γὰρ οὐχὶ καὶ ἀποπτύεσθαι πᾶν ὁτιοῦν ἔσθ' ὅτε συμβαίνει, ὃ μὴ κατὰ φύσιν ἐνεῤῥιζώθη τισίν; ἀλλ' 1.446 ἔστι δῆλον, κἂν εἰ μή τις ἐκείνων συννεύσειεν. ἔσται δὴ οὖν, κατά γε τὸν ἐν τοῖς ἐνδεχομένοις λόγον, γυμνός ποτε τῆς ὁμοιώσεως ὁ Υἱός· μόνην γὰρ ὥς φατε κατ' ἐνέργειαν τὴν ὡς ἐκ Πατρὸς πρὸς αὐτὸν ἐσημάνθη, τὸ ἐκ φυσικῶν πλεονε κτημάτων οὐκ ἔχων ἀσφαλὲς, ἀλλ' ἕτερός τις παντελῶς νοούμενος καὶ ὑπάρχων παρὰ τὸν γεννήσαντα, καὶ ὁλο σχερῶς ἀποκεκομμένος τῆς οὐσίας αὐτοῦ. καλῶς γὰρ δὴ σφόδρα ποιοῦντες, καὶ σοφωτάτοις τὰ πράγματα προανα βλέποντες λογισμοῖς, ἠσφαλίσασθε τὸν Πατέρα, μηδὲν ἐξ ἑαυτοῦ λέγοντες ἐπιδοῦναι τῷ· Υἱῷ, πλὴν ὁμοιώσεως ἀξιῶσαι μόνης, ἵνα μή τι πάθος νοῆται περὶ αὐτόν. τοῦτο γὰρ ὑμῶν τὸ ἀπόῤῥητον εὔηθες. ἠγνοήσατε γὰρ κατὰ τὸ εἰκὸς, ὅτι πάντα ποιῶν ἀπαθῶς ὁ Θεὸς καὶ Πατὴρ, γεννήσει καὶ ἀπαθῶς, καὶ πυρός ἐστι κρείττων· καταφέρει γὰρ καὶ εἰς ταύτην ἡμᾶς ὁ λόγος τὴν χρείαν· οὐκ ἐν πάθει καὶ ἀποκοπῇ τῇ κατὰ σῶμα νοουμένῃ γεννῶντος τὴν ἐξ αὐτοῦ πύρωσιν. ἀκουέτωσαν τοίνυν οἱ πρὸς μόνας ὑπονοίας νεανικοὶ, καὶ τὸ δυσφημεῖν ἀφυλάκτως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρῆμα μὲν οὐκ ἀνόσιον, ἀρετὴν δὲ μᾶλλον εἶναι λογιζόμενοι, ὅτι περ εἰ ἐν μόνῃ τῇ καθ' ὁμοί ωσιν οἰκειότητι συντετάχθαι φασὶ τῷ Πατρὶ τὸν Υἱὸν, ἐν οὐδεμιᾷ τῶν ἀγαθῶν ἀσφαλείᾳ κείσεται, ἀποκινδυνεύσει δὲ πάντως καὶ εἰς τὸ εἶναι φύσει Θεὸς, ἐπιδέξεται δὲ κατά γε τὸ ἐνδεχόμενον καὶ τὴν εἰς τὰ χείρω παρατροπήν. καὶ γὰρ δὴ καὶ πρὸς ἐκεῖνον ἐλέγετο τὸν Τυρίων ἡγούμενον, ἃ καὶ λόγος ἡμᾶς ἀναγκαίως ἀναπείθει προσάπτειν τῷ τοῦ Διαβόλου προσώπῳ "Σὺ εἶ ἀποσφράγισμα ὁμοιώσεως·" ἀλλ' εὑρί σκεται τῆς ὁμοιώσεως ἀποπεσὼν, ὁ πρὸς ὃν ὁ τοιοῦτος εἴρηται λόγος. ὁρᾷς οὖν ἤδη, καὶ μάλα σαφῶς, ἀπὸ δὴ τῶν τοιούτων, ὡς οὐκ ἀσφαλὲς εἰς ἀκλόνητον στάσιν τοῖς νοη τοῖς τὸ ἐν ὁμοιότητι κεῖσθαι μόνῃ τῇ πρὸς Θεὸν, ἀλλ' οὐδὲ 1.447 ἀπόχρη πρὸς ἀπαραποίητον διαμονὴν τὴν ἐφ' οἷσπερ ἂν εἶεν ἀγαθοῖς, τὸ κατεσφραγίσθαι καλῶς πρὸς τὴν τοῦ ποιήσαντος φύσιν. καταπίπτει γὰρ καὶ αὐτὰ καὶ φέρεται κάτω μεταχω ροῦντα πολλάκις εἰς αἰσχίονα γνώμην, ἤπερ ἦν ἐν ἀρχαῖς. ἐνδέχεται δὴ οὖν κατὰ τὸν οὕτως ἡμῖν ἔχοντα λόγον, κατὰ μόνην τὴν ταυτοεργίαν εἰς ὁμοίωσιν ἀναβαίνοντα τῷ Πατρὶ τὸν Υἱὸν, καὶ ὑποβάθρᾳ μὲν οὐκ ἐρηρεισμένον φυσικῇ, ἐν δὲ μόναις ταῖς ἐξ οἰκείων θελημάτων ῥοπαῖς τὴν ἀσφάλειαν ἔχοντα, ὑπομεῖναι καὶ τροπὴν ἢ, κἂν μὴ πάθοι, προαιρέσεως ἀξιαγάστου καρπὸν εὑρήσει τὸ μὴ παθεῖν, καὶ οὐ φυσικῆς ἀσφαλείας ἑδραιότητα μᾶλλον ὡς Θεός. Τί οὖν, ὦ βέλτιστοι, γέγονεν ἡμῖν οὐκέτι Θεὸς κατ' ἀλή θειαν ὁ Υἱός; καὶ εἰ καθ' ὑμᾶς οὕτως ἔχων ἁλώσεται, τί προσκυνοῦμεν αὐτῷ; διατί δὲ τῷ Θεῷ καὶ Πατρὶ συνδοξά ζεται; τί δὲ καὶ ταῖς ἀνωτάτω δυνάμεσιν, ὡς Θεὸς ἐποχεῖται; ἠγνόησεν ἆρα μεθ' ἡμῶν καὶ αὐτὰ τὰ ἅγια Σεραφὶμ, ὅτι πολὺ τοῦ πρέποντος ἀποσφάλλεται, τὸν οὐκ ὄντα κατὰ φύσιν δοξολογοῦντα Θεόν; πλανᾶται δὲ, κατὰ τὸ εἰκὸς, Κύριον σαβαὼθ ὀνομάζοντα τὸν τοῖς ἴσοις τετιμημένον. ἢ γὰρ οὐκ ἐροῦμεν, καὶ τὰς ἀνωτάτω δυνάμεις, ἀρχάς τε καὶ θρόνους καὶ ἐξουσίας καὶ κυριότητας συμμόρφους ὁρᾶσθαι σπουδάζειν κατὰ τὸ ἐγχωροῦν τῷ Θεῷ; εἰ γὰρ τὸ ἐκ τῆς γῆς μικρὸν οὕτω ζῷον ὡς πρὸς ἐκείνην τὴν κτίσιν, φημὶ δὴ τὸν ἄνθρωπον, τῷ τοιούτῳ κάλλει τετίμηται, ποῖον ἔχει λόγον μὴ οὐχὶ πάντως οἴεσθαι, καὶ πολὺ τῶν ἐν ἡμῖν ἐν ἀμείνοσι, τὰ πολὺ τίθεσθαι κρείττονα; πῶς οὖν αὐτὸν καὶ Κύριον σαβαὼθ ὀνομάζουσι, καὶ ἐν δορυφόρων τάξει περιε στᾶσι, καθάπερ τῷ βασιλεῖ τῶν ὅλων ὑπηρετούμενα; ὅτου δὲ χάριν καὶ αὐτῷ συνεδρεύει τῷ Πατρὶ, καὶ τοῦτο ἐκ δεξιῶν, τὸ δοῦλον τῷ δεσπότῃ, τῷ πεποιηκότι τὸ ποίημα; 1.448 ἢ γὰρ οὐχὶ τοῖς γενητοῖς, τὸ ἐκ προσοχῆς καὶ γρηγόρσεως ἀπαθὲς καὶ ἀπαραποίητον μᾶλλον ἂν πρέπῃ προσάγειν, ἢ τῷ κατ' οὐσίαν Θεῷ φυσικῶς ἔχοντι τὸ μὴ δύνασθαι παθεῖν; ἀλλ' ἔστι δῆλον, κἂν ἐκεῖνοι μὴ λέγωσι. τίς οὖν ἔτι τούτων ληρούντων ἀνέξεται, ἢ πῶς οὐκ εὐλόγως ἀκούσονται "Οὐαὶ "οἱ μεθύοντες ἄνευ οἴνου;" Ἀλλ' ἴσως δυσωπηθήσονται μὲν τὰς ἐκ τῶν τοιούτων συλλογισμῶν ἀτοπίας, ἐπ' ἐκεῖνο δὲ βαδιοῦνται, καὶ κατασε σημάνθαι μὲν παρὰ τοῦ Πατρὸς εἰς ὁμοίωσιν ἀκριβεστάτην ἐροῦσι τὸν Υἱὸν, ἐν ἀτρέπτῳ δ' οὖν ὅμως εἶναι τῇ φύσει, καὶ εἰ μὴ ἔστιν ἐκ Πατρός. Εἶτα πῶς εἰπέ μοι τὸ μὴ ἐκ Θεοῦ κατὰ φύσιν, φορέσει τὸ ἴδιον αὐτοῦ, καὶ τῶν τῆς θείας οὐσίας πλεονεκτημάτων οὐκ ἀμοιροῦν οὐσιωδῶς εὑρεθήσεται, τὸ μὴ ἐξ αὐτῆς προελθὸν κατὰ τὸν ἀληθῆ τῆς γεννήσεως τρόπον; ἔστι γὰρ, οἶμαι, παντί τῳ σαφὲς καὶ ὁμολογούμενον, ὡς ἄβατα παντελῶς τὰ τῆς θεότητος ἴδια τῇ πεποιημένῃ κτίσει, καὶ τὰ ἐκείνῃ προσόντα φυσικῶς οὐκ ἂν γένοιτό ποτε παρ' ἑτέρῳ τῶν ὄντων τινὶ, κατὰ τὸν ἴσον τε καὶ ἀπαράλλακτον τρόπον· οἷον τὸ ἄτρεπτον ἐν Θεῷ φυσικῶς, οὕτω δὲ καὶ ἐν ἡμῖν οὐδαμῶς, ἀσφάλεια δέ τις ἡμᾶς ὡς πρὸς αὐτὸ σχηματίζει διὰ προσοχῆς καὶ νήψεως, ἐφ' ἃ μὴ προσῆκεν οὐκ ἐπιτρέ πουσα προχείρως μεταβιβάζεσθαι. εἰ δὲ ὅλως ἐνδέχεταί τι κατ' ἐκείνους τῶν θεϊκῶν ἰδιωμάτων ἐνυπάρχειν τινὶ τῶν οὐκ ἐξ αὐτῆς κατ' οὐσίαν καὶ οὕτως ἐνυπάρξει καθάπερ αὐτῇ, τί τὸ κωλύον εἰπέ μοι, καὶ πάντα λοιπὸν τὰ θεοπρεπῆ κατα χωρεῖν ἤδη, καὶ ἐν τοῖς μὴ ὑπάρχουσι κατὰ φύσιν θεοῖς; ἑνὸς γὰρ ὅλως ἀδιακωλύτως χωρήσαντος, τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀτρέπτου φημὶ, τόπον ἕξει καὶ τὰ λοιπά· καὶ τί τὸ ἐντεῦθεν; συγκέ χυται τὸ πᾶν ἡμῖν. ἢ γὰρ οὐχὶ τὰ μὲν ἄνω χωρήσει κάτω, ἀναβήσεται δὲ πρὸς τὸν ἄνω τόπον τὰ κάτω; τί γὰρ δὴ τὸ 1.449 παραποδίζον ἔτι τὸν μὲν ἀνωτάτω Θεὸν πρὸς τὴν ἡμετέραν καταβιβάζεσθαι θέσιν, ἡμᾶς δὲ αὖ πάλιν εἶναι θεοὺς, καὶ οὕτως ὡς ὁ Πατὴρ, οὐδεμιᾶς ἔτι μεταξὺ κειμένης τε καὶ ὁρωμένης διαφορᾶς, εἰ χωρήσει καὶ ἐν ἡμῖν καὶ ἐνυπάρξει φυσικῶς τὰ Θεῷ προσόντα μόνῳ πλεονεκτήματα; καὶ ἐπεί περ ἐν ἑαυτῷ μόνῳ συνέχει κατὰ τὸ εἰκὸς ὁ Θεὸς καὶ Πατὴρ τὰ δι' ὧν ἐσόμεθα κατ' αὐτὸν, μεμενήκαμεν ἄνθρωποι, καὶ ἄγγελοι δὲ σὺν ἡμῖν τοῦθ' ὅπερ εἰσὶν, ἐπὶ τὸ ἐπάνω πάντων οὐκ ἀναβαίνοντες. ὡς εἴπερ εἰδείη φθόνου κρείττων ὁρᾶσθαι Θεὸς, διὰ τοῦ προσθεῖναι πᾶσιν εἰς ἐξουσίαν τὸ ἴδιον αὐτοῦ, πολλοὶ δὴ πάντως ἂν ἦσαν οἱ κατὰ φύσιν θεοὶ, γῆν τε καὶ οὐρανὸν καὶ τὴν ἄλλην ἅπασαν κτίσιν δημιουργεῖν ἰσχύ οντες· τὰ γὰρ ἅπαξ κεχωρηκότα τὰ ἐν τῷ κατὰ φύσιν Δημιουργῷ πλεονεκτήματα, πῶς οὐκ ἂν γένοιντο κατ' αὐτόν; ἢ τί τὸ κωλύον ἐν ἴσῃ φαίνεσθαι δόξῃ τὸ τοῖς ἴσοις δια λάμπον ἀγαθοῖς; ἀλλ' ὁρᾷ που πάντως ὁ θεομάχος, ὅση τις ἐντεῦθεν τῶν ἐκτόπων ἡμῖν ἐννοιῶν ἡ πληθὺς ἐπισωρεύεται, καὶ τῆς ἐνούσης αὐτῷ δυσμαθίας καταβοᾷ· ἐν ἰδίᾳ γὰρ φύσει τὸ θεῖον κείσεται, καὶ μεθέξει μὲν αὐτοῦ τὸ πεποιη μένον δι' οἰκειότητος πνευματικῆς, ἀναβήσεται δὲ οὐδαμῶς εἰς τὸ ἐκείνῃ προσὸν ἀπαραλλάκτως ἀξίωμα. διεσκευα σμένων δὲ οὕτως ἡμῖν τῶν λόγων, οὐσιωδῶς τῷ Υἱῷ τὸ ἄτρεπτον ἐνυπάρχον εὑρήσομεν· Θεὸς οὖν ἄρα κατὰ φύσιν ἐστὶν, ἀναγκαίως τε λοιπὸν ἐκ Πατρὸς, ἵνα μή τι φαίνηται τῶν οὐκ ἐξ αὐτοῦ κατὰ φύσιν πρὸς τὸ ἴσον ἐν θεότητι διαβαῖνον ἀξίωμα. Ἐπειδὴ δὲ ὡς ἀκαταμάχητον ἡμῖν προΐσχονται λογισμὸν, ἕτερον εἶναι τὸν Υἱὸν λέγοντες παρὰ τὸν Πατέρα, καθάπερ εἰκόνα πρὸς ἀρχέτυπον, καὶ διὰ τῆς τοιαύτης εὑρεσιλογίας διατεμεῖν οἴονται τῆς οὐσίας αὐτὸν τοῦ γεννήσαντος· ἁλώ σονται πάλιν ἀνοηταίνοντες οὐ μικρῶς, καὶ ἐπὶ μηδενὶ τὸ 1.450 παράπαν διισχυρίζεσθαι μελετήσαντες, ὡσανεὶ καὶ κατ' ἀλή θειαν δυναμένῳ τοῦθ' ὅπερ αὐτοῖς κατὰ νοῦν ἐστιν ἐξανύειν καλῶς. τί γὰρ ὅλως ἐπὶ τούτῳ καὶ διατείνονται μάτην, ἢ πόθεν ἀπὸ μόνης τῆς κατ' ἰδίαν ὕπαρξιν ἑτερότητος διατέ μνουσι τοῦ Πατρὸς τὸν Υἱόν; οὐ γὰρ δήπου τὸ ὑπάρχειν αὐτὸν ἰδιοσυστάτως, καὶ τῆς τοῦ τεκόντος οὐσίας ἀλλότριον ἀποφαίνει. ἔστι μὲν γὰρ ἐκ Πατρὸς ὁμολογουμένως, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ, ἔστι δὲ αὖ πάλιν ἐν Πατρὶ διὰ τὸ ἐν αὐτῷ κατὰ φύσιν ὑπάρχειν· καὶ αὐτοῦ λέγοντος ἀκούσῃ, ποτὲ μέν "Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω·" ποτὲ δὲ αὖ πάλιν "Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί." ἀναχωρήσει μὲν γὰρ οὐκ εἰς ἰδιότητα παντελῶς καὶ ὁλο τρόπως κεχωρισμένην, διὰ τὸ ἐν μιᾷ θεότητι τὴν ἁγίαν νοεῖσθαι Τριάδα, ἀλλ' ὢν ἐν Πατρὶ κατὰ λόγον, ἤτοι σχέσιν ἀδιάστατον τὴν ὡς ἐν ὁμοουσιότητι, καὶ ἐξ αὐτοῦ νοηθήσεται κατὰ πρόοδον ἀποῤῥήτως τὴν ἐκφαντικὴν, ἤτοι τὴν ὡς ἐν ἀπαυγάσματι. φῶς γάρ ἐστιν ἐκ φωτός. οὐκοῦν ἐν Πατρὶ καὶ ἐκ τοῦ Πατρὸς, ἀδιαστάτως τε ἅμα καὶ κεχωρισμένως, ὡς μὲν χαρακτὴρ ἐνυπάρχων, εἰκὼν δὲ ὡς πρὸς ἀρχέτυπον ἐν ἰδίᾳ νοούμενος ὑπάρξει. ποιησόμεθα δὲ οὐχ ἁπλῶς τὸν ἐπὶ τούτῳ λόγον, ἀλλ' ἐκ παραδείγματος νομικοῦ βεβαιώ σομεν πανταχόθεν τοῖς ἑτεροδόξοις τὴν ἐκ τῆς ἀληθείας ἐπιτειχίζοντες δύναμιν. Οὐκοῦν προσκομίζειν ὁ νόμος τοῖς ἐξ Ἰσραὴλ διετάξατο λύτρον τῆς οἰκείας ἕκαστον κεφαλῆς, "τὸ ἥμισυ τοῦ διδρά "χμου." ἐν δὲ ἑνὶ στατῆρι τὸ δίδραχμον ἦν. ἀλλὰ καὶ ἐν τούτῳ πάλιν αὐτὸς ἡμῖν ἐσκιαγραφεῖτο Χριστὸς, ὁ ὑπὲρ πάντων, ὡς παρὰ πάντων, λύτρον ἑαυτὸν προσαγαγὼν τῷ Θεῷ καὶ Πατρὶ, καὶ νοούμενος μὲν, ὡς ἐν μιᾷ δραχμῇ, πλὴν τῆς ἑτέρας οὐ κεχωρισμένως, διὰ τὸ ὡς ἐν νομίσματι τῷ ἑνὶ, καθάπερ ἤδη προειρήκαμεν, τὰς δύο κεῖσθαι δραχμάς. οὕτω 1.451 δ' ἂν νοοῖτο καὶ Υἱὸς πρὸς Πατέρα, καὶ Πατὴρ αὖ πάλιν ὡς πρὸς Υἱὸν, ἐν μιᾷ μὲν ἄμφω τῇ φύσει, διῃρημένως δὲ ἀνὰ μέρος ἑκάτερος, ὡς ὑπάρχων ἰδιοσυστάτως, πλὴν οὐ πάντῃ διακε κομμένως, οὐδὲ δίχα τοῦ ἑτέρου τὸ ἕτερον. καὶ ὥσπερ ἦσαν ἐν ἑνὶ τῷ νομίσματι δύο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δραχμαὶ, τὸ ἐν ποσότητι μέτρον ἰσομοιροῦν ἀλλήλαις καὶ οὐδαμόθεν ἐλαττούμενον ἔχουσαι, οὕτω νοήσεις τὸ ἐν μηδενὶ παραλλάττον τῆς οὐσίας τοῦ Υἱοῦ πρὸς Θεὸν καὶ Πατέρα, ἢ αὖ πάλιν ἐκείνου πρὸς αὐτὸν, ὑγιᾶ τε λοιπὸν τὸν ἐφ' ἅπασι τοῖς περὶ αὐτοῦ λαλουμένοις ἐκδέξῃ λόγον. Εἶπον οὖν αὐτῷ Τί ποιοῦμεν, ἵνα ἐργαζώμεθα τὸ ἔργον τοῦ Θεοῦ; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς. Οὐκ ἐξ ἀγαθῆς διανοίας ἡ πεῦσις, ἀλλ' οὐδὲ, ὥσπερ ἄν τις ὑποτοπήσαι τυχὸν, ἐκ φιλομαθείας αὐτοῖς πρόεισιν ἡ ἐρώτησις, γέγονε δὲ μᾶλλον ἐκ πολλῆς ἄγαν τῆς ἀλαζονείας ὁ λόγος. ὥσπερ γὰρ οὐδὲν πρὸς οἷς ᾔδεσαν ἀξιοῦντες ἔτι μαθεῖν μονονουχὶ τοιοῦτόν τι φασίν Ἅλις, ὦ οὗτος, ἡμῖν τὰ διὰ Μωυσέως· ἴσμεν οὐκ ἔλαττον, ἤπερ ἐχρῆν, τὰ ἐφ' οἷς ἂν δεήσαι συντείνεσθαι τὸν τῶν θείων ἔργων ἐπιστήμονα. τί δὲ ἄρα τὸ καινὸν ἐποίσεις αὐτὸς τοῖς κατ' ἐκεῖνο καιροῦ διατεταγμένοις; τί δὲ διδάξεις τὸ ξένον, ὃ μὴ διὰ τῶν θείων ἡμῖν προεσημάνθη λόγων; οὐκοῦν ἐξ ἀπονοίας μᾶλλον ἤπερ ὄντως ἐκ φιλομαθοῦς προαιρέσεως ἡ ἐρώτησις. ἔχεις τι τοιοῦτο καὶ παρὰ τῷ μακαρίῳ Ματθαίῳ· νεανίας μὲν γάρ τις, οὐκ εὐποριστάτῳ κτημάτων περιουσίᾳ περιχεόμενος, ὑπαινίττετό πως εἰς τὸ χρῆναι λοιπὸν τὴν ὑπὸ Θεῷ δουλείαν εἰσέρχεσθαι. ἐπειδὴ δὲ ἧκεν εἰς τὸν Ἰησοῦν, σπουδαίως ἀνεπυνθάνετο, τί χρὴ δρᾶν αὐτὸν, ἵνα καὶ τῆς αἰωνίου ζωῆς 1.452 εὑρίσκοιτο κληρονόμος. πρὸς αὐτὸν δὲ ὁ Κύριος "Τὰς "ἐντολάς που πάντως οἶσθα, φησὶν, οὐ φονεύσεις, οὐ "μοιχεύσεις, οὐκ ἐπιορκήσεις," καὶ ὅσα τούτοις συνήρμο σται. ἀλλ' ὡς τούτων οὐδενὸς ἐκεῖνος ἔτι δεόμενος, ἢ καὶ μαθημάτων ἐξήγησιν πολὺ τῆς ἐνούσης ἕξεως ὑστερίζουσαν οὐ καταδεχόμενος "Ταῦτα, φησὶ, πάντα ἐκ νεότητός μου "τετήρηκα· τί δὲ ἔτι ὑστερῶ;" ὅπερ οὖν ἐκεῖνος ἀμαθίᾳ συζεύξας τὴν ὑπεροψίαν τό Τί ἔτι φησὶν ὑστερῶ, τοῦτο καὶ οὗτοι διὰ πολλὴν ἄγαν ἀλαζονείαν τε ὁμοῦ καὶ δοκησισοφίαν λέγουσι Τί ποιοῦμεν ἵνα ἐργαζώμεθα τὸ ἔργον τοῦ Θεοῦ; Ἀγαθὸν οὖν ἄρα τὸ μέτριον φρόνημα, καὶ ψυχῆς ἔργον εὐγενοῦς, τὸ τοῖς διδάσκουσιν ἐπιτρέπειν τὸ λυσιτελὲς ἐξεπί στασθαι μᾶλλον, παραχωρεῖν τε οὕτω μαθήμασιν, ἐνεστιᾶν οἷσπερ ἂν ἔχειν οἴωνται καλῶς, ἅτε δὴ καὶ τὸ μεῖζον ἔχουσιν ἐν γνώσει. πῶς γὰρ ἂν ὅλως καὶ ἐν διδασκάλου παραληφ θήσονται τάξει, μὴ οὐχὶ πάντως ἑλόντες τὸ ἐν συνέσει πλεονεκτοῦν ἢ ὥσπερ ἂν ἔχοι τῶν παιδευομένων ὁ νοῦς, ὅτε καὶ εἰς τὸ ἐκείνων μέτρον καταλήξει μόλις αὐτοῖς ἡ εἰς τὸ μεῖζον ἐπίδοσις, κατά γε τὸ ὑπὸ τοῦ Σωτῆρος εἰρημένον "Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον," καί "Ἀρκετὸν "τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ;" Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. Πληκτικώτατα πάλιν ὁ Κύριος, εἰ καὶ λεληθότως ἔτι καὶ ἐπεσκιασμένως ταῖς τῶν ἐρωτώντων ἀπονοίαις ἐπιπηδᾷ· οἰήσεται μὲν γάρ τις ὅσον ἧκεν εἰπεῖν εἰς ἁπλότητα λόγου, μηδὲν ἕτερον αὐτοῖς ἐπιτάττειν τὸν Ἰησοῦν, ἢ ὅτι προσήκοι πιστεύειν αὐτῷ. περισκεπτόμενος δὲ τῶν εἰρημένων τὸν νοῦν, καὶ πρὸς ἕτερόν τι βαδίζουσαν θεωρήσει τὴν ἀναφοράν. καλῶς γὰρ δὴ σφόδρα ποιῶν, ταῖς τῶν ἐρωτώντων ἀπονοίαις 1.453 πρέποντα τὸν ἐπὶ τούτοις διεσκευάζετο λόγον. ἐκεῖνοι μὲν γὰρ, ὡς ἅλις διὰ νόμου μανθάνοντες τῷ Θεῷ θυμῆρες ἐργά ζεσθαι, ἀθετοῦσι δυσσεβῶς τοῦ Σωτῆρος ἡμῶν τὴν διδασκα λίαν "Τί ποιοῦμεν, λέγοντες, ἵνα ἐργαζώμεθα τὸ ἔργον τοῦ "Θεοῦ;" ἀλλ' ἔδει καὶ πολὺ τῆς Θεῷ φιλαιτάτης λατρείας ἀπεσχοινισμένους ἔτι δεικνύειν αὐτοὺς, καὶ οὐδὲν ὅλως ἐγνω κότας τῶν ἀληθῶς ἀγαθῶν, τοὺς οἵ γε τῷ γράμματι τῷ νομικῷ προσεδρεύοντες, τύπων ἁπλῶς καὶ σχημάτων μεστὸν ἔχουσι τὸν νοῦν. διά τοι τοῦτο μετὰ πολλῆς τινος τῆς ἐμφά σεως λέγει ταῖς κατὰ νόμον λατρείαις τὸν ἐκ τῆς πίστεως ἀντιδιαστέλλων καρπόν Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. τοῦτό ἐστιν, οὐχ ὅπερ ὑμεῖς ἐνομίσατε, φησὶν, εἰς μόνους ὁρῶντες τοὺς τύπους, ἀλλ' ἴστε δὴ πάλιν, κἂν μὴ βούλησθε μαθεῖν, ὡς οὐ ταῖς παρ' ὑμῖν βουθυσίαις ὁ νομοθέτης ἠγάσθη ποτὲ, μηλοσφα γεῖν δὲ οὐ δεῖ σε ἐθέλοντί τε καὶ ἀπαιτοῦντι τοῦτο Θεῷ· τί δ' ἂν εἴη λιβανωτὸς, κἂν εὐόσμοις εἰς ἀέρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιελίττηται καπνοῖς, τί δὲ ὁ τράγος ὀνήσει, φησὶ, καὶ αἱ δυσπόριστοι τοῦ κινναμώμου προσαγωγαί; οὐ φάγεται κρέα ταύρων Θεὸς, ἀλλ' οὐδὲ αἷμα τράγων πίεται· ἔγνω "πάντα τὰ πετεινὰ τοῦ "οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ'" αὐτοῦ ἐστι. μεμίσηκε δὲ καὶ ἀπεώσατο τὰς ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῇ ἐν ταῖς πανηγύρεσιν ὑμῶν, ὡς αὐτός που φησίν· ἀλλ' οὐδὲ ἐλάλησε "πρὸς τοὺς πατέρας ὑμῶν περὶ ὁλοκαυτωμάτων καὶ "θυσιῶν." οὐκοῦν οὐ τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἀλλ' ἐκεῖνο μᾶλλον, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν αὐτός. καὶ γὰρ δὴ καὶ ὄντως ἀμείνων ἐστὶ τῆς νομικῆς καὶ ὡς ἐν τύπῳ λατρείας ἡ διὰ πίστεως σωτηρία, καὶ τῆς κατακρινούσης ἐντολῆς ἡ δικαιοῦσα χάρις. 1.454 Ἔργον οὖν ἄρα τῇ φιλοθέῳ ψυχῇ πίστις ἡ εἰς Χριστὸν, καὶ ἀξιολογώτερον σφόδρα τὸ ἐπείγεσθαι μᾶλλον τοῖς περὶ αὐτοῦ κατασοφοῦσθαι λόγοις, ἤγουν ταῖς ἐν τύπῳ προσε δρεύειν σκιαῖς. ἀποθαυμάσεις δὲ πάλιν κἀκεῖνο πρὸς τούτοις· ἔχων γὰρ ἐν ἔθει Χριστὸς λόγον ποιεῖσθαι μηδένα τῶν διερωτώντων πειραστικῶς, αὐτὸ πρὸς τὸ παρὸν οἰκονομικῶς ἀποκρίνεται· εἰ καὶ ᾔδει πάλιν ὠφεληθησομένους οὐδέν· εἰς κατάκριμα αὐτοῖς· ὥσπερ οὖν καὶ ἐν ἑτέροις φησίν "Εἰ μὴ "ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν· νυνὶ δὲ "πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν." Εἶπον οὖν αὐτῷ Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. Ἐκκαλύπτεται κατὰ βραχὺ τῶν Ἰουδαίων ἡ γνώμη, καίτοι λανθάνουσά πως καὶ ἐν ἀφανεστέροις ἔτι κατακε χωσμένη τοῖς λογισμοῖς· ἔφασκον μὲν γὰρ ἐξ ἀπονοίας "Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ," ἅτε δὴ, καθάπερ ἤδη προείπομεν, ἐξαρκοῦσαν ἔχοντες τὴν διὰ Μωυ σέως ἐντολὴν, εἰς τὸ δύνασθαι πρὸς πᾶσαν αὐτοὺς ἀπευθῦναι σοφίαν, δι' ἧς ἂν εἰδεῖεν τὸ εὐάρεστον ἐπιτελεῖν τῷ Θεῷ· ἀλλ' ἠγνοεῖτό πως καίτοι τοιοῦτος ὢν ἐν αὐτοῖς ὁ σκοπὸς, ἀπογυμνοῦται δὲ νυνὶ καὶ κατὰ βραχὺ πρόεισιν εἰς τὸ ἐμφανέστερον· "Οὐ γάρ ἐστι κρυπτὸν," κατὰ τὴν τοῦ Σωτῆ ρος φωνὴν, "ὃ οὐ φανερωθήσεται." τί τοίνυν ἤδη, φασὶ, τί ποιεῖς σὺ σημεῖον; τετίμηται, φησὶ, καὶ λίαν εἰκότως ὁ μακάριος Μωυσῆς, παρεδέχθη πρὸς μεσιτείαν Θεοῦ καὶ ἀνθρώπων. καὶ γὰρ δὴ καὶ ἀρκοῦν ἔδωκε σημεῖον· ἔφαγον 1.455 ἐν τῇ ἐρήμῳ τὸ μάννα πάντες οἱ σὺν αὐτῷ. σὺ δὲ δὴ λοιπὸν, ἐπείπερ εἰς τόπον ἡμῖν εἰσέρχῃ τὸν ἐκείνου μείζονα, καὶ τοῖς πάλαι διωρισμένοις ἐπιδιατάττειν οὐ παραιτῇ, ποίοις ἡμᾶς πιστώσεις σημείοις, ἢ τί δεικνύων τῶν ὅσα θαυμάζεσθαι πρέπει καινοτέρων ἡμῖν παιδευμάτων εἰστρέχεις εἰσηγητής; ἀληθὴς δὲ διὰ τούτων καὶ αὐτὸς ὁ τοῦ Σωτῆρος ἡμῶν ἀναδείκνυται λόγος· ὅτι γὰρ ᾤοντο χρῆναι ζητεῖν, οὐχ ἵνα θαυμάζωσιν αὐτὸν, ἐφ' οἷς ἄν τι δράσαι θεοπρεπῶς, ἀλλ' ἐπείπερ ἔφαγον ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθησαν, ἐξ ὧν ἤδη φασὶν καὶ ἐλέγχονται. σημεῖον γὰρ ἀπαιτοῦσιν αὐτὸν, οὐχ ἁπλῶς τὸ τυχὸν, ἀλλ' ὅπερ ὡς ᾤοντο πεποίηκε Μωυσῆς, οὐκ εἰς μίαν ἡμέραν, ἀλλ' ἐν ὅλοις τοῖς ἔτεσι τεσσαράκοντα τὸν ἐξ Αἰγύπτου λαὸν διαθρέψας κατὰ τὴν ἔρημον, διὰ τῆς τοῦ μάννα χορηγίας. παντελῶς γὰρ, ὡς φαίνεται, τῶν ἐν τῇ θείᾳ γραφῇ μυστηρίων εἰδότες οὐδὲν, οὐ τῇ θείᾳ τοῦτο πεποιηκότος δυνάμει τὴν ἐπ' ἐκείνῳ θαυμα τουργίαν ἀνακεῖσθαι πρέπειν διελογίζοντο, ἀνοήτως δὲ σφόδρα τὴν Μωυσέως ἐπ' αὐτῷ καταστέφουσι κεφαλήν. αἰτοῦσι τοιγαροῦν τὸ ἴσον ἐκείνῳ παρὰ Χριστοῦ σημεῖον, οὐδὲν ὅλως τὸ θαῦμα διδόντες τῷ πρὸς ἡμέραν αὐτοῖς ἐπιδειχθέντι σημείῳ, καὶ εἰ μέγα τυχὸν εὑρίσκοιτο, χρῆναι δὲ καὶ εἰς μακρὸν ἐκτείνεσθαι χρόνον τῆς τροφῆς τὴν ἐπίδοσιν. οὕτω γὰρ ἂν, καὶ μόλις δυσωπήσειν αὐτοὺς εἰς τὸ κατανεύειν καὶ συμψηφίζεσθαι λοιπὸν ἀξιολογωτάτην εἶναι τοῦ Σωτῆρος τὴν δύναμιν, εὐπαράδεκτόν τε διὰ τούτου τὴν διδασκαλίαν. πρόδηλον οὖν ἐστι, καὶ εἰ μὴ σφόδρα φασὶν ἐναργῶς, ὅτι σημείων μὲν ἀλογοῦσι παντελῶς, προφάσει δὲ τοῦ θαυμάζειν ἐθέλειν αὐτὰ, τὴν ἀκάθαρτον τῆς γαστρὸς ἡδονὴν θεραπεύειν ἐπείγονται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

**1.456 ΚΕΦΑΛΗ ς .** Περὶ τοῦ μάννα, ὅτι τύπος ἦν τῆς Χριστοῦ παρουσίας καὶ τῶν δι' αὐτοῦ χαρισμάτων πνευματικῶν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωυσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ. ΠΛΗΚΤΙΚΩΤΑΤΑ καὶ νῦν ὁ Σωτὴρ ἀσυνέτους ὄντας ἐλέγχει, καὶ πολὺ λίαν ἠγνοηκότας τὰ ἐν τοῖς Μωυσαϊκοῖς συγγράμμασι. χρῆν γὰρ δήπου λίαν αὐτοὺς ἐξεπίστασθαι σαφῶς, ὅτι διηκόνει μὲν ὁ Μωυσῆς τὰ παρὰ τοῦ Θεοῦ πρὸς τὸν λαὸν, καὶ αὖ πάλιν τὰ ἐξ υἱῶν Ἰσραὴλ πρὸς Θεὸν, καὶ αὐτουργὸς μὲν αὐτὸς ἐπ' οὐδενὶ τῶν θαυμάτων ὑπῆρχεν, ὑπηρέτης δὲ μᾶλλον καὶ ὑπουργὸς ὧν ἂν βούλοιτο δρᾶν ἐπ' ὠφελείᾳ τῶν ἐκ δουλείας ἀνακεκλημένων ὁ πάντων αὐτοῖς τῶν ἀγαθῶν χορηγός. ὅπερ οὖν ἦν ἐν ὑπονοίᾳ δυσσεβεῖ παρ' ἐκείνοις, τοῦτο καὶ μάλα γοργῶς ὑποτέμνεται Χριστός. τὸ γὰρ δὴ τὰ μόνῃ πρέποντά τε καὶ χρεωστούμενα τῇ θείᾳ φύσει, ταῖς ἀνθρώπων ἀνατιθέναι τιμαῖς, καὶ οὐχὶ μᾶλλον αὐτῇ, πῶς οὖν οὐκ ἂν εἴη λοιπὸν μωρίας τε ὁμοῦ καὶ δυσσε βείας ἀνάπλεων; ἀποστήσας δὲ λοιπὸν τὸν ἱεροφάντην Μωυσέα τοῦ θαύματος, καὶ τῆς ἐκείνου χειρὸς ὑπεξελὼν τὸ παράδοξον, δῆλος ἂν εἴη δήπουθεν ἑαυτῷ μᾶλλον ἀνατιθεὶς μετὰ Πατρὸς τὴν δόξαν, εἰ καὶ παραιτοῖτο λέγειν ἐναργέ στερον, διὰ τὴν τῶν ἀκροωμένων ἀπαιδευσίαν. ἦν γὰρ δὴ 1.457 καὶ ὄντως ἐλπίδος οὐ μακρὰν, ἅτε δὴ Μωυσέως διὰ τῶν τοιούτων ἐξυβρισμένου ῥημάτων, ἀποταυροῦσθαι πάλιν αὐτοὺς, καὶ εἰς ἀκράτους ὀργὰς ἀνακαίεσθαι, τὸ μὲν ἀληθὲς ὅπως ἂν ἔχοι διερευνῶντας οὐδαμῶς, οὐδὲ τὴν τοῦ λαλοῦντος ἀξίαν ἐπιγινώσκοντας, ἐπὶ δὲ μόνον ἀπερισκέπτως ἰόντας τὸ χρῆναι τιμᾶσθαι Μωυσέα, καὶ οὐκ εὐλόγως τυχὸν, ὅτε καὶ πρός τι τὸ ὑπερτεροῦν συγκρίνοιτο. Μανθάνωμεν τοίνυν, εὐκρινέστερόν τε καὶ λογικώτερον, τὴν εἰς τοὺς ἁγίους ἡμῶν πατέρας ἐπιτηδεύειν εὐλάβειαν, καὶ ἀποδιδόναι κατὰ τὸ γεγραμμένον, "τῷ τὸν φόβον τὸν φόβον, "τῷ τὴν τιμὴν τὴν τιμήν." ἀδικήσομεν γὰρ οὐδαμῶς, τὸ ἑκάστῳ πρέπον ἀναλόγως προσάπτοντες, ἐπεὶ "καὶ πνεύματα "προφητῶν προφήταις ὑποτάσσεται·" ὅταν δὲ δή τις λόγος εἰσέρχηται περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τότε καὶ λέγειν ἡμᾶς ἀναγκαῖον "Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, "ἢ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;" Ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Ἔδει μὴ μόνον ἀποστῆσαι Μωυσέα τῆς θεοπρεποῦς ἐξουσίας, κατά γε τὴν ἐνοῦσαν ἐν ἐκείνοις διάληψιν, καὶ τῆς ἐπ' ἐκείνῳ θαυματουργίας ὑπηρέτην ἀναδεῖξαι μᾶλλον ἢ χορηγὸν, ἀλλ' ἤδη καὶ αὐτὸ καίτοι παραδόξως γεγενημένον κατασμικρύνειν τὸ θαῦμα, καὶ ἀντιπαραθέσει τῇ πρὸς τὸ μεῖζον ἐπιδεικνύειν ὑπάρχον ὅλως οὐδέν. δέχου γάρ μοι πάλιν τοιοῦτόν τι βοῶντα Χριστόν Ἐν μικροῖς, ὦ οὗτοι, καὶ εὐτελεστάτοις τὰ μεγάλα λογίζεσθε, καὶ τὴν τοῦ πάντων Δεσπότου φιλοτιμίαν ἐν ὀλίγοις κομιδῆ διωρίσασθε μέτροις. ἀμαθαίνοντες γὰρ οὐ κατά τι βραχὺ τὸ μάννα λογίζεσθε τὸν ἄρτον εἶναι τὸν ἐξ οὐρανοῦ, καίτοι μόνον ἐν ἐρήμῳ τὸ τῶν 1.458 Ἰουδαίων ἀποθρέψαν γένος, ἀναριθμήτων ὄντων ἑτέρων, τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐθνῶν· καὶ συνεσταλμένην οὕτω τὴν φιλανθρωπίαν ἐλογίσασθε θέλειν ἐπιδεῖξαι Θεὸν, ὡς ἑνὶ καὶ μόνῳ λαῷ χορηγῆσαι τροφάς· τύποι μὲν γὰρ ἐκεῖνα τῶν γενικωτέρων, καὶ τῆς καθόλου φιλοτιμίας εἰς τὸ κατὰ μέρος ἐπίδειξις ἦν, ὡς ἐν ἀῤῥαβῶνι τοῖς προειληφόσιν. ἀλλ' ὅτε τῆς ἀληθείας ἐπὶ θύραις ἡμῖν ὁ καιρὸς, ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, ὃς διὰ τῆς τοῦ μάννα χορηγίας τοῖς ἀρχαιοτέροις ὡς ἐν σκιαῖς κατεγράφετο. μὴ γὰρ δή τις οἰέσθω, φησὶ, κατ' ἀλήθειαν ἐκεῖνον εἶναι τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, κατανευέτω δὲ μᾶλλον ἐκείνῳ τὴν ψῆφον, ᾧπερ ἂν φαίνοιτο προσὸν τὸ πᾶσαν ἀποτρέφειν δύνασθαι τὴν οἰκου μένην, καὶ ὅλως χαρίζεσθαι τῷ κόσμῳ τὴν ζωήν. Καταιτιᾶται τοίνυν τοῖς ἐν τύπῳ γεγενημένοις προσπεπη γότα τὸν Ἰουδαῖον, καὶ τὸ ἐκ τῆς ἀληθείας κάλλος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναζητεῖν παραιτούμενον. ἦν γὰρ οὐκ ἐκεῖνο τὸ μάννα κυρίως, ἀλλ' ἢ αὐτὸς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, ὁ ἐκ τῆς οὐσίας ἐρχό μενος τοῦ Πατρὸς, ἐπείπερ ἐστὶ κατὰ φύσιν ζωὴ, τὰ πάντα ζωογονῶν. ἐπειδὴ γὰρ ἐκ ζῶντος ἀνέφυ Πατρὸς, ζωὴ καὶ αὐτὸς κατὰ φύσιν ἐστὶ, καὶ ἐπείπερ ἔργον τῇ κατὰ φύσιν ζωῇ τὸ ζωοποιεῖν, ζωοποιεῖ τὰ πάντα Χριστός. ὅπερ γὰρ ἄρτος ἡμῖν ὁ ἐκ γῆς εὑρίσκεται, τὴν ἀσθενῆ τῆς σαρκὸς φύσιν οὐκ ἐῶν καταφθείρεσθαι· τοῦτο καὶ αὐτὸς διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας τὸ πνεῦμα ζωοποιῶν, καὶ οὐ μέχρι τούτων, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα συνέχων εἰς ἀφθαρσίαν. Ἐπειδὴ δὲ ἅπαξ ἡμῖν εἰς τὸν ἐπὶ τῷ μάννα λόγον ἐκτρέχει τὰ θεωρήματα, τὸ λυποῦν κατά γε τὸ εἰκὸς οὐδὲν, καὶ ἐπ' αὐτῷ τι βραχὺ κατασκεψαμένους εἰπεῖν, ἐξ αὐτῶν παρα θέντας τῶν Μωυσαϊκῶν βιβλίων ἀνὰ μέρος τὰ ἐπ' αὐτῷ γεγραμμένα· οὕτω γὰρ ἂν καὶ εὐκρινεστάτην ποιησάμενοι 1.459 τοῦ λόγου τὴν παράθεσιν, ἕκαστα τῶν ἐπ' αὐτῷ νοουμένων ὀρθῶς διοψόμεθα. ἐπιδείξομεν δὲ διὰ πάντων, ὅτι τὸ μάννα τὸ ἀληθινὸν αὐτός ἐστιν ὁ Χριστὸς, ὡς ἐν τύπῳ τῷ μάννα χορηγεῖσθαι τοῖς ἀρχαιοτέροις νοούμενος παρὰ τοῦ Θεοῦ καὶ Πατρός. ἔχει δὲ οὕτως ἡ τῶν λογίων ἀρχή "Τῇ τε πεντε "καιδεκάτῃ ἡμέρᾳ τῷ μηνὶ τῷ δευτέρῳ ἐξεληλυθότων αὐτῶν "ἐκ γῆς Αἰγύπτου, διεγόγγυζε πᾶσα ἡ συναγωγὴ υἱῶν "Ἰσραὴλ ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν, καὶ εἶπαν πρὸς αὐτοὺς "οἱ υἱοὶ Ἰσραήλ Ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ Κυρίου "ἐν γῇ Αἰγύπτῳ, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν "κρεῶν καὶ ἠσθίομεν ἄρτους εἰς πλησμονὴν, ὅτι ἐξη "γάγετε ἡμᾶς εἰς τὴν ἔρημον ταύτην ἀποκτεῖναι πᾶσαν "τὴν συναγωγὴν ταύτην ἐν λιμῷ." τὰ μὲν οὖν ἐκ τῆς ἱστορίας διαφανῆ καὶ λίαν εὐσύνοπτα, καὶ οὐδενὸς οἶμαι προσδεόμενα λόγου τοῦ τὴν πρόχειρον βασανίζοντος γνῶσιν· ἐροῦμεν δὲ πάλιν εἰς μόνον ὁρῶντες τὸ πνευματικόν. οὐκοῦν ἔτι τὴν Αἰγυπτίων ἔχοντες χώραν οἱ ἐξ Ἰσραὴλ, διὰ θείου προστάγματος τὴν ἐπὶ Χριστῷ τυπικῶς ἐπετέλουν ἑορτὴν, καὶ τῆς τοῦ προβάτου θοίνης ἁψάμενοι, μόλις οὕτω τῆς τοῦ Φαραῶ τυραννίδος τὴν πλεονεξίαν ἐξέβησαν, καὶ τὸν τῆς δουλείας ἀφόρητον ἀπεσείοντο ζυγόν· εἶτα πρὸς τούτῳ παρα δόξως τὴν ἐρυθρὰν διαπεραιωσάμενοι θάλασσαν ἐν ἐρήμῳ γεγόνασι· καὶ δὴ καὶ ἐν αὐτῇ λιμώττοντες κρεωφαγεῖν ἐπεθύμουν, καὶ εἰς τὴν συνήθη τῶν ἄρτων ἐπιθυμίαν ὑπε σύροντο· ἐγόγγυζόν τε οὕτω κατὰ Μωυσέως καὶ εἰς μετά γνωσιν τῆς παρὰ Θεοῦ δωρεᾶς καταπίπτουσι, δέον ἐπὶ τούτοις οὐ μετρίως εὐχαριστεῖν. Αἴγυπτος τοίνυν σκοτασμὸς ἂν εἴη, καὶ νοηθήσεταί πως εἰς τὴν τοῦ παρόντος αἰῶνος κατάστασιν καὶ εἰς ἕξιν τὴν κοσμικὴν, ἣν ὥσπερ τινὰ χώραν ἐπιγραψάμενοι, πικρὰν ὑπομένομεν ἐν αὐτῇ τὴν θητείαν, 1.460 ἐργαζόμενοι μὲν τὸ παράπαν οὐδὲν τῷ Θεῷ, μόνῳ δὲ τῷ διαβόλῳ τελοῦντες τὰ θυμηρέστατα, καὶ καθάπερ εἰς πηλὸν ἢ δυσώδη βόρβορον, τὰς τῆς ἀκαθάρτου σαρκὸς καταπη δῶντες ἡδονὰς, ἄμισθόν τε καὶ ἀνόνητον τληπαθοῦντες πόνον, καὶ οὐκ ἀταλαίπωρον, ἵν' οὕτως εἴπω, τὴν φιληδονίαν ἐπιτηδεύοντες. Ἀλλ' ὅταν ἡμῖν ὁ τοῦ Θεοῦ νόμος κατὰ νοῦν προσλαλῇ, καὶ πικρὰν ἤδη βλέπωμεν τὴν ἐν τούτοις δουλείαν, τότε δὴ τότε τὴν ἐξ ἁπάσης φαυλότητος ἀποδημίαν διψήσαντες, ὥσπερ εἰς τὴν τῆς ἐλευθερίας ἀρχὴν καὶ θύραν ἐπ' αὐτὸν ἐρχόμεθα τὸν Χριστὸν, καὶ τὴν δι' αἵματος τοῦ τιμίου λοιπὸν ἀσφάλειάν τε καὶ χάριν ἐφοδιαζόμενοι, καθάπερ τινὰ θάλασσαν ταραχώδη καὶ συγκεχυμένην, τὰς ἐν τῷδε τῷ βίῳ περιστάσεις ἀφέντες σαρκικὰς, ἔξω τε παντὸς θορύβου γεγονότες κοσμικοῦ, πρὸς ἕξιν ἤδη τὴν ἀϋλοτέραν καὶ καθα ρωτέραν ἐρχόμεθα, οἷάπερ εἰς ἔρημον καταλύοντες χῶρον. ἐπειδὴ δὲ οὐκ ἀγύμναστος εἰς ἀρετὴν ὁ διὰ νόμου πρὸς αὐτὴν παιδαγωγούμενος, ὅταν ἐν τούτοις ἤδη γεγόνοτες εὑρισκώμεθα, τότε τοῖς δοκιμάζουσι περιπίπτοντες πειρα σμοῖς, ὑπομνήσει τῇ τῶν σαρκικῶν ἐπιθυμιῶν ἔσθ' ὅτε καταδακνόμεθα, εἶτα πολὺ λίαν ἡμᾶς καταπυρούσης τῆς ἐπιθυμίας, καταβοῶμεν ἐξ ἀκηδίας πολλάκις, καίτοι πρὸς ἐλευθερίαν ἀνακεκληκότος ἡμᾶς τοῦ θείου νόμου, ἐν λιμῷ δὲ ὥσπερ γεγονότες τῶν ἀρχαιοτέρων καὶ κατειθισμένων ἡμῖν ἡδονῶν, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς πόνους ἤδη τοὺς ἐπὶ ταῖς ἐγκρατείαις ὀλιγωρήσαντες, οὐκέτι φαύλην ὁρῶμεν τὴν ἐν κόσμῳ δου λείαν. καὶ γὰρ ὄντως ἱκανὸν τὸ ἐν τῇ σαρκὶ θέλημα πρὸς ἅπασαν ὀλιγοψυχίαν τὴν ἐπ' ἀγαθοῖς ἑλκῦσαι τὸν νοῦν. "Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν Ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους "ἐκ τοῦ οὐρανοῦ." ἔχεις ἤδη καὶ μάλα σαφῶς ἐν τούτοις 1.461 ὁρᾶν τὸ ἐν ψαλμοῖς μελῳδούμενον "Ἄρτον οὐρανοῦ ἔδωκεν "αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος·" ἀλλ' ἔστιν, οἶμαι, πᾶσι διαφανὲς, ὅτι τῶν ἐν τοῖς οὐρανοῖς δυνάμεων λογικῶν, οὐχ ἕτερος ἂν νοοῖτο καὶ ἄρτος καὶ τροφὴ παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς Μονογενῆ. αὐτὸς οὖν ἄρα τὸ μάννα τὸ ἀληθὲς, ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ, ὁ πάσῃ κτίσει λογικῇ παρὰ Θεοῦ Πατρὸς χορηγούμενος. εἰς δέ γε τῶν προκειμένων τὴν τάξιν εἰσβαίνοντες, ἐκεῖνό φαμεν Κατανόησον ὅπως ἡ θεία τε καὶ ἄνωθεν χάρις, καὶ νοσοῦσαν ἔσθ' ὅτε τὰ συνήθη, τὴν ἀνθρώπου φύσιν ἀνθέλκει πρὸς ἑαυτὴν καὶ ἀνασώζει ποι κίλως. κατωθεῖ μὲν γὰρ λίθου δίκην ἐπιπίπτον τῷ νῷ τὸ φρόνημα τῆς σαρκὸς, καὶ πρὸς τὸ ἴδιον θέλημα τυραννικῶς ἐκβιάζεται, ἀντιπεριάγει δὲ πάλιν ἡμᾶς ὁ Χριστὸς, καθάπερ τινὶ χαλινῷ, πρὸς τὴν τῶν ἀμεινόνων ἐπιθυμίαν, καὶ εἰς ἕξιν ἀνακομίζει τοὺς νενοσηκότας τὴν φιλόθεον. ἰδοὺ γὰρ ἰδοὺ τοῖς κατολισθαίνουσιν εἰς σωματικὰς ἡδονὰς, τὰς ἐξ οὐρανῶν χορηγήσειν ὑπισχνεῖται τροφὰς, τὴν διὰ τοῦ Πνεύματος παράκλησιν δηλονότι, τὸ μάννα τὸ νοητόν. διὰ γάρτοι τούτου πρὸς πᾶσαν ὑπομονὴν καὶ ἀνδρείαν διακρατούμεθα, καὶ τὸ μὴ πίπτειν ἐξ ἀσθενείας ἐφ' ἃ μὴ προσῆκεν ἀποκερ δαίνομεν. ἐστήριζε τοίνυν ἡμᾶς εἰς εὐσέβειαν καὶ πάλαι τὸ μάννα τὸ νοητὸν, τουτέστι Χριστός. ἐπειδὴ δὲ ἅπαξ διὰ τὴν χρείαν, ὡς ἐν ἐκβάσει τοῦ λόγου γεγόναμεν, οὐκ ἀζή τητον αὐτὸν οἶμαι πρέπειν ἐᾶν, ἐπείπερ ἔχει πολὺ τὸ τελοῦν εἰς ὄνησιν. Οὐκοῦν ἐρεῖ τις εὐλόγως Ὅτου δὴ χάριν ὁ φιλάνθρωπός τε καὶ φιλάρετος οὕτω Θεὸς, δέον φθάσαι μὲν τὴν αἴτησιν, ὑστερίζει περὶ τὴν ὑπόσχεσιν· κολάζει γεμὴν οὐδαμῶς τοὺς οὕτω διεστραμμένους τὴν ἕξιν, καίτοι κολάσας ἐν τοῖς 1.462 ἐφεξῆς, ὅτε τὴν ἴσην νοσοῦντες ἐπιθυμίαν, καὶ ἄρτους εἰς πλησμονὴν καὶ κρεῶν ἐφαντάζοντο λέβητας, καὶ δυσωδε στάτων κρομμύων εἰσεδέχοντο πόθον. ἐν γὰρ τοῖς ἀριθμοῖς εὑρήσομεν ὅτι καὶ τετιμώρηνταί τινες, καὶ Μνήματα τῆς ἐπιθυμίας ὁ χῶρος ἐκλήθη, ἐν ᾧπερ ἐστρατοπέδευον τότε. "Ἐκεῖ γὰρ ἔθαψαν, φησὶ, τὸν λαὸν τὸν ἐπιθυμητήν." οὐκοῦν πρὸς μὲν τὸ πρῶτον ἐροῦμεν, ὅτι δὴ πάντως ἐχρῆν περιμεῖναι τὰς ἐπιθυμίας, οὕτω τε λοιπὸν εὐκαίρως ἀνα δείκνυσθαι χορηγόν· χαριεστάτη γάρ πως ἐστὶ τοῖς εὖ παθοῦσιν ἡ δόσις, ὅταν αὐτῆς τινες προαναφαίνωνται καὶ προβαδίζωσιν ἡδοναὶ, διψῆν ἀναπείθουσαι τὸ οὔπω παρόν· αἰσθήσεως δὲ τῆς χαριεστέρας ἀμοιρήσειεν ἂν ἡ τοῦ ἀν θρώπου ψυχὴ, μὴ ταῖς εἰς τὸ εὖ παθεῖν ἡδοναῖς προσυν τεινομένη καὶ κάμνουσα. ἀλλ' ἴσως αἴτησιν μὲν οὐδαμῶς γεγενῆσθαι, τὴν ὡς παρ' ἐκείνων ἐρεῖς, γογγυσμὸν δὲ μᾶλλον καὶ μετάγνωσιν καὶ καταβοήν· τοῦτο γὰρ ἦν ὄντως καὶ ἀληθέστερον εἰπεῖν. πρὸς δὴ καὶ τοῦτό φαμεν, ὅτι πρέποι μὲν ἂν τοῖς μὲν τελείοις τὴν ἕξιν, ἡ δι' ἐντεύξεως αἴτησις· ἰσομοιρήσει δέ πως αὐτῇ καὶ ὁ τῶν ἀσθενεστέρων ἐξ ἀκηδίας, ἢ ὅπως ἂν γένοιτο, γογγυσμός· χαλεπαίνει δὲ οὐ πάντως φιλάνθρωπος ὢν ὁ πάντων Σωτήρ. ὅνπερ γὰρ τρόπον τοῖς ἔτι κομιδῇ νηπίοις ὁ κλαυθμὸς ἔσθ' ὅτε συντελεῖ πρὸς αἴτησιν τῶν χρησίμων αὐτοῖς, καὶ καλεῖται πρὸς ἔρευναν ἡ τεκοῦσα διὰ τούτου πολλάκις τῶν ἐν ἡδοναῖς τῷ βρέφει, οὕτω τοῖς ἔτι νηπίοις καὶ βεβηκόσιν οὔπω πρὸς σύνεσιν, ὁ ἐξ ἀκηδίας, ἵν' οὕτως εἴπω, κλαυθμὸς αἰτήσεως ἔχει δύναμιν τὴν ὡς πρὸς Θεόν. κολάζει δὲ οὐκ ἐν ἀρχῇ, καίτοι καὶ ταῖς γηΐναις ἐπιθυμίαις ἡττωμένους ὁρῶν, ἀλλ' ἐν μέσοις ἤδη τοῖς χρόνοις, δι' αἰτίαν τοιαύτην, ὥς γε μοι φαίνεται. οὔπω μὲν γὰρ τὸ μάννα λαβόντες οἱ νεωστὶ τῆς Αἰγυπτίων ἀποδημήσαντες, οὐδὲ τὸν ἄρτον ἔχοντες τὸν ἐξ 1.463 οὐρανοῦ, τὸν στηρίζοντα καρδίαν ἀνθρώπου, καταπίπτουσιν εἰκότως εἰς ἐπιθυμίας σαρκικὰς, διάτοι τοῦτο καὶ συγγινώ σκονται· οἱ δὲ ἤδη τοῦ Κυρίου κατατρυφήσαντες, καθὰ γέγραπται, τῶν πνευματικῶν ἀγαθῶν τὰ σαρκικὰ προτιμή


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σαντες, δικαιοτάτην ἤδη τὴν δίκην ὑπέχουσι, καὶ προσέτι τῷ παθεῖν ἐπίσημον τῆς συμφορᾶς τὴν μνήμην ἀποκληρώ σονται. μνήματα γὰρ τῆς ἐπιθυμίας ὄνομα κεῖται τῷ τῆς κολάσεως τόπῳ. "Καὶ ἐξελεύσεται ὁ λαὸς καὶ συλλέξουσι τὸ τῆς ἡμέρας "εἰς ἡμέραν." εἰς τύπον τοῦ μάννα τοῦ νοητοῦ τὸ αἰσθητὸν λογιούμεθα. καὶ τὸ μὲν μάννα τὸ νοητὸν αὐτὸν ἡμῖν κατα σημαίνει τὸν Χριστὸν, τὴν δέ γε παχυτέραν τοῦ νόμου παίδευσιν τὸ αἰσθητὸν ὑπαινίττεται. ἐφήμερος οὖν εὐλόγως ἡ συγκομιδὴ, καὶ ἀποκωλύει τηρεῖν ὁ νομοθέτης εἰς τὴν αὔριον, ὡς δι' αἰνιγμάτων τοῖς ἀρχαιοτέροις ὑποδηλῶν, ὅτι τοῦ σωτηρίου λοιπὸν ἀναλάμψαντος χρόνου, καθ' ὃν ἐν κόσμῳ μετὰ σαρκὸς πέφηνεν ὁ Μονογενὴς, καταργηθήσονται πάντως οἱ διὰ τοῦ νόμου τύποι, καὶ τὸ συλλέγειν ἔτι τροφὰς ἐκεῖθεν εἰκαῖον, αὐτῆς ἤδη παρακειμένης τῆς ἀληθείας ἡμῖν εἰς τρυφὴν καὶ ἀπόλαυσιν. "Καὶ ἔσται τῇ ἡμέρᾳ τῇ ἕκτῃ καὶ ἑτοιμάσουσιν ὃ ἐὰν "εἰσενέγκωσι, καὶ ἔσται διπλοῦν ὃ ἐὰν συναγάγωσιν." ἐπιτήρει δὴ πάλιν, ἵνα νοῇς, ὅτι οὐκ ἐᾷ συλλέγειν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ μάννα τὸ αἰσθητὸν, τὸ δὲ ἤδη πορισθὲν καὶ συνειλεγμένον κατὰ τὴν πρὸ αὐτῆς ποιεῖσθαι κελεύει τροφήν. ἡ μὲν γὰρ ἑβδόμη σημαίνει τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδη μίας τὸν χρόνον, καθ' ὃν ἐν ἁγιασμῷ σαββατίζομεν, τῶν τῆς ἁμαρτίας ἔργων ἀποπαυσάμενοι, καὶ δεχόμενοι μὲν εἰς τροφὴν, καὶ πληροφορίαν τῆς πίστεως καὶ τὴν ἤδη συγκε 1.464 κοσμημένην ἐν ἡμῖν διὰ τοῦ νόμου γνῶσιν, οὐ μὴν ὡς ἐξ ἀνάγκης ἔτι συλλέγοντες, λαμπροτέρας ἤδη παρακειμένης τροφῆς, καὶ τὸν ἄρτον ἔχοντες τὸν ἐξ οὐρανοῦ. ἐν διπλῷ δὲ τῷ μέτρῳ πρὸ τῆς ἁγίας ἑβδόμης τὸ μάννα συλλέγεται· καί μοι πάλιν νοήσεις ἐντεῦθεν, ὅτι κατακλειομένου τοῦ νόμου πρὸς τὸ ἐν τῷ χρόνῳ τέλος, καὶ ἀρχομένης ἤδη τῆς ἁγίας ἑβδόμης, τουτέστι τῆς ἐπιδημίας Χριστοῦ, ἐν διπλῷ τρόπον τινὰ τῷ μέτρῳ γενήσεται τῶν οὐρανίων ἀγαθῶν ἡ εὕρεσις, καὶ διττή τις ἡ χάρις, πρὸς τοῖς ἐκ νόμου χρησίμοις καὶ τὴν εὐαγγελικὴν εἰσάγουσα παίδευσιν. ὅπερ ἂν καὶ αὐτὸς νοοῖτο διδάσκων ὁ Κύριος, ὅτε φησί που καθάπερ ἐν εἴδει παρα βολῆς "Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ "τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ, ὅστις ἐκ "βάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ νέα καὶ παλαιά·" παλαιὰ μὲν τὰ ἐκ τοῦ νόμου, νέα δὲ τὰ διὰ Χριστοῦ. "Καὶ εἶπε Μωυσῆς καὶ Ἀαρὼν πρὸς πᾶσαν συναγωγὴν "υἱῶν Ἰσραήλ Ἑσπέρας γνώσεσθε ὅτι Κύριος ἐξήγαγεν "ὑμᾶς ἐξ Αἰγύπτου, τὸ πρωῒ ὄψεσθε τὴν δόξαν Κυρίου ἐν "τῷ διδόναι Κύριον ὑμῖν ἑσπέρας κρέα φαγεῖν καὶ ἄρτους "τὸ πρωῒ εἰς πλησμονήν." ἐπαγγέλλεται τοῖς ἐξ Ἰσραὴλ ὁ Μωυσῆς χορηγηθήσεσθαι μὲν παρὰ Θεοῦ τὴν ὀρτυγομήτραν τὸ πρὸς ἑσπέραν, ἐπιγνώσεσθαι δὲ διισχυρίζεται διὰ τούτου σαφῶς, ὅτι Κύριος ἀνήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου· πρωῒ γεμὴν διαῤῥήδην ὄψεσθε, φησὶ, τὴν δόξαν Κυρίου, ἐν τῷ λαβεῖν ἄρτους εἰς πλησμονήν. καί μοι πάλιν τὴν ἐφ' ἑκάστῳ τῶν εἰρημένων ἐννόει διαφοράν· ἡ μὲν γὰρ ὀρτυγο μήτρα σημαίνει πως τὸν νόμον· χθαμαλοπετὲς γὰρ ὄντως ἀεὶ καὶ περὶ γῆν τὸ στρουθίον· οὕτω δ' ἂν ἴδοις καὶ τοὺς διὰ νόμου παιδαγωγουμένους εἰς χθαμαλωτέραν διὰ τύπων 1.465 θεοσέβειαν, ὅσον δὲ ἧκεν εἰς θυσίας φημὶ καὶ περιῤῥαντήρια καὶ καθάρσεις Ἰουδαϊκάς· ὀλίγον γὰρ οὗτοι τῆς γῆς ἀνοχλί ζονταί πως, καὶ ἀναβαίνειν δοκοῦσιν αὐτῆς, εἰσὶ δ' οὖν ὅμως ἐν αὐτῇ καὶ περὶ αὐτήν· οὐ γὰρ ἐν νόμῳ τὸ τελείως ἀγαθὸν καὶ ὑψηλὸν εἰς σύνεσιν. χορηγεῖται γεμὴν ἐν ἑσπέρᾳ· ἤτοι τὸ ἐν τῷ γράμματι σκοτεινὸν τοῦ λόγου πάλιν ἡμῖν διὰ τῆς ἑσπέρας σημαίνοντος, ἢ τὴν ἀφεγγῆ τοῦ κόσμου κατάστασιν, οὔπω τὸ φῶς ἔχοντος τὸ ἀληθινὸν, τουτέστι Χριστὸν, ὃς ἐνανθρωπήσας φησίν "Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα." γνώσεσθαι δὲ λέγει τοὺς υἱοὺς Ἰσραὴλ, ὅτι Κύριος αὐτοὺς ἀνήγαγεν ἐξ Αἰγύπτου· γνῶσις γὰρ μόνη τῆς καθόλου διὰ Χριστοῦ σωτηρίας ἐν τοῖς Μωυσαϊκοῖς ὁρᾶται συγγράμ μασιν, οὔπω παρούσης αὐτοπροσώπως τῆς χάριτος. αὐτὸ γὰρ δὴ τοῦτο καὶ ὑπεδήλου προστιθείς "Τὸ πρωῒ ὄψεσθε "τὴν δόξαν Κυρίου ἐν τῷ διδόναι ὑμῖν ἄρτους εἰς πλησμο "νήν." λελυμένης γὰρ ὥσπερ ἐν τάξει νυκτὸς τῆς νομικῆς ἀχλύος, καὶ ἡλίου τοῦ νοητοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πᾶσιν ἡμῖν ἀνατείλαντος, τὴν δόξαν Κυρίου παρόντος ἤδη κατοπτριζόμεθα, τὸν ἄρτον εἰς πλησμονὴν τὸν ἐξ οὐρανοῦ κομιζόμενοι, αὐτὸν δὲ ἤδη πάλιν φημὶ τὸν Χριστόν. "Ἐγένετο δὲ ἑσπέρα, καὶ ἀνέβη ὀρτυγομήτρα καὶ ἐκά "λυψε τὴν παρεμβολήν· τὸ πρωῒ ἐγένετο δὲ καταπαυομένης "τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ἐπὶ πρόσωπον "τῆς ἐρήμου λεπτὸν ὡσεὶ κόριον λευκόν." ὅρα δὴ πάλιν τὴν τῶν νοημάτων διασκευήν· περὶ μὲν γὰρ τῆς ὀρτυγομήτρας φησὶν, ὅτι ἐκάλυψε τὴν παρεμβολὴν, περὶ δέ γε τοῦ μάννα πάλιν, ὅτι πρωῒ καταβέβηκε, καταπαυομένης τῆς δρόσου, κύκλῳ τῆς παρεμβολῆς ἐπὶ πρόσωπον τῆς ἐρήμου. ἡ μὲν 1.466 γὰρ διὰ νόμου παίδευσις, ἡ ἐν τύποις φημὶ καὶ σχήμασιν, ἣν τῷ τῆς ὀρτυγομήτρας εἴδει παραβεβλήκαμεν, τὴν τῶν Ἰουδαίων καλύπτει Συναγωγήν· "κεῖται" γὰρ, ὡς ὁ Παυλός φησι, "κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν," καὶ "πώρωσις "ἀπὸ μέρους." ἐπὰν μέντοι γένηται πρωῒ, τουτέστιν ἀνί σχοντος ἤδη καὶ τὴν οἰκουμένην ὅλην περιαστράπτοντος τοῦ Χριστοῦ, ἐπὰν καὶ ἡ δρόσος καταλήγῃ λοιπὸν, τουτέστιν ἡ παχεῖα καὶ ἀχλυώδης τῶν νομικῶν ἐπιταγμάτων εἰσήγησις· τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός· τότε δὴ πάντως τὸ ἀληθὲς ἡμῖν καὶ ἐξ οὐρανοῦ καταβήσεται μάννα· εὐαγγε λικὴν δὲ δηλονότι διδασκαλίαν τοῦτό φαμεν· οὐκ ἐπὶ τὴν τῶν Ἰσραηλιτῶν συναγωγὴν, ἀλλὰ κύκλῳ τῆς παρεμβολῆς, εἰς πάντα δηλονότι τὰ ἔθνη, καὶ ἐπὶ πρόσωπον τῆς ἐρήμου, τουτέστι τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, περὶ ἧς εἴρηταί που " Οτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης "τὸν ἄνδρα." ἐπὶ γὰρ πᾶσαν τὴν οἰκουμένην ἡ τοῦ νοητοῦ μάννα κατασκεδάννυται χάρις, ἣ καὶ τῷ κορίῳ παραβάλ λεται, καὶ λεπτὸν ὀνομάζεται. λεπτὴ γὰρ ὄντως καὶ ἀπο ψυκτικὴ τῶν ἐν ζέσει παθῶν ἡ τοῦ θείου λόγου δύναμις, τὴν ἐκ σαρκικῶν κινημάτων πύρωσιν ἐν ἡμῖν κατευνάζουσα, καὶ εἰς τὸ βάθος τῆς καρδίας εἰσδύνουσα. ψυχροτάτην δὲ εἶναί φασι, καὶ αὐτῆς τῆς πόας, τουτέστι τοῦ κορίου, τὴν ἐνέργειαν τὴν ἐν ποιότητι φυσικῇ. "Ἰδόντες δὲ αὐτὸ οἱ υἱοὶ Ἰσραὴλ εἶπαν ἕτερος τῷ ἑτέρῳ "Τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν τί ἦν." ἀσυνήθεις ὄντες τοῦ παραδόξως γεγενημένου, καὶ οὐκ ἔχοντες ἐκ πείρας εἰπεῖν ὅπερ ἂν εἴη σαφῶς Τί ἐστι τοῦτο πρὸς ἀλλήλους φασίν· αὐτὸ δὲ δὴ τοῦτο τὸ ὡς ἐν ζητήσει ῥηθὲν, ὄνομα ποιοῦνται τῷ πράγματι, καὶ τῇ Σύρων ἀποκαλοῦσι γλώττῃ Μάννα, 1.467 τουτέστι πάλιν Τί ἐστι τοῦτο; καὶ νοήσεις ἐντεῦθεν, ὡς ἔμελλε παρὰ τῶν Ἰουδαίων ἀγνοηθήσεσθαι Χριστός. τὸ γὰρ ὡς ἐν τύπῳ κρατοῦν, καὶ ἐπ' αὐτῆς ἔδειξε τῆς ἀληθείας ἰσχύσαν ἡ πεῖρα. "Εἶπε δὲ Μωυσῆς πρὸς αὐτούς Μηδεὶς ἐγκαταλιπέτω "ἀπ' αὐτοῦ ἕως τὸ πρωΐ· καὶ οὐκ ἤκουσαν Μωυσῇ, ἀλλὰ "κατέλιπον ἀπ' αὐτοῦ τινες εἰς τὸ πρωῒ, καὶ ἐξέζεσε σκώ "ληκας καὶ ἐπώζεσε, καὶ ἐπικράνθη ἐπ' αὐτοὺς Μωυσῆς." τὸ πρωῒ πάλιν ἐν τούτοις, τὸν λαμπρὸν ἡμῖν καὶ διαφανέ στατον τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας κατασημαίνει καιρὸν, ὅτε λελυμένης τρόπον τινὰ τῆς τε κατὰ νόμον σκιᾶς, καὶ τῆς ἐν τοῖς ἔθνεσιν ἀχλύος διαβολικῆς, φωτὸς ἡμῖν δίκην ἀνέτειλεν ὁ Μονογενὴς, καὶ ὄρθρος ἐδείχθη πνευματικός. ἐπιτάττει τοίνυν ὁ μακάριος Μωυσῆς τὸ ἐν τύπῳ πάλιν μάννα μὴ καταλιμπάνειν εἰς τὸ πρωΐ. ἀνατείλαντος γὰρ ἡμῖν τοῦ μνημονευθέντος ἀρτίως καιροῦ, περιτταὶ λοιπὸν καὶ ἄκαιροι παντελῶς αἱ κατὰ τὸν νόμον σκιαὶ, διὰ τὴν ἤδη παροῦσαν ἀλήθειαν· πρᾶγμα δὲ ὄντως ἀχρεῖον, ἀναλάμ ψαντος ἤδη Χριστοῦ, τὴν ἐν νόμῳ δικαιοσύνην ὁ Παῦλος ἀπέδειξε λέγων περὶ αὐτοῦ, "δι' ὃν τὰ πάντα ἐζημιώθην," τὰ ἐν νόμῳ δηλονότι καυχήματα, "καὶ ἡγοῦμαι σκύβαλα "εἶναι, ἵνα Χριστὸν κερδανῶ καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων "ἐμὴν δικαιοσύνην τὴν ἐν νόμῳ, ἀλλὰ τὴν διὰ πίστεως "Ἰησοῦ Χριστοῦ." ὁρᾷς οὖν ὅπως ὡς σοφὸς ἐφυλάξατο τὸ μὴ καταλιμπάνειν εἰς τὸ πρωΐ; τύπος δ' ἂν εἶεν οἱ πρὸς τὸ πρωῒ τηρήσαντες, τῆς ἀπειθήσειν μελλούσης αὐτῷ πλη θύος Ἰουδαϊκῆς, οἷς καὶ τὸ ἐντόνως ἐθέλειν τὸν ἐν γράμμασι τηρῆσαι νόμον, καὶ σαπρίας καὶ σκωλήκων ἔσται παραί 1.468 τιον. ἀκούεις γὰρ ὅπως ἐκπικραίνεται λίαν ὁ νομοθέτης ἐπ' αὐτοῖς; "Καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρών


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Λάβε στάμνον χρυσοῦν "ἕνα καὶ ἐμβάλετε εἰς αὐτὸν πλῆρες τὸ γόμορ Μὰν, καὶ "ἀποθήσεις αὐτὸ ἐναντίον τοῦ Θεοῦ εἰς διατήρησιν." εὔ καιρον ὄντως καὶ ἐπὶ τούτῳ δὴ λίαν ἀποθαυμάζοντας λέγειν " Ω βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ·" ἀκατά ληπτος γὰρ ὄντως ἡ ἐγκεκρυμμένη σύνεσις ταῖς θεοπνεύ στοις γραφαῖς, "καὶ βαθὺ βάθος, κατὰ τὸ γεγραμμένον, τίς "εὑρήσει αὐτό;" ὁρᾷς τοίνυν ὅπως ἡμῖν καὶ ὁ τελευταῖος ἐπὶ τούτοις διήρτισται λόγος. ἐπειδὴ γὰρ αὐτὸς ἡμῖν τὸ μάννα τὸ ἀληθινὸν ἀνεδείχθη Χριστὸς, ὡς ἐν εἰκόνι τοῖς ἀρχαιοτέροις διὰ τύπου δηλούμενος, ἀναγκαίως διὰ τοῦ προ κειμένου διδάσκει, τίνος ἔσται καὶ πόσης ἀνάπλεως ἀρετῆς τε καὶ δόξης, ὁ τὸ μάννα τὸ νοητὸν ἀποθησαυρίζων ἐν ἑαυτῷ, καὶ εἰς τὰ ἐσώτατα τῆς ἑαυτοῦ καρδίας εἰσφέρων τὸν Ἰη σοῦν διὰ τῆς εἰς αὐτὸν πίστεώς τε ὀρθῆς καὶ ἀγάπης ὁλοτελοῦς. ἀκούεις γὰρ ὅπως ἐν σκεύει χρυσῷ πλῆρες τὸ γόμορ τοῦ Μὰν ἐνετέθη διὰ χειρὸς Ἀαρὼν εἰς διατήρησιν ἐναντίον τοῦ Θεοῦ [κατετέθη]· ἡ γὰρ ὁσία καὶ θεοφιλὴς ὄντως ψυχὴ, τελείως ἐν ἑαυτῇ τὸν ἐπὶ Χριστῷ λόγον ὠδίνουσα, καὶ ὅλον λαβοῦσα τὸν οὐράνιον θησαυρὸν, σκεῦος μὲν ἔσται τίμιον, ὡς ἀπὸ χρυσοῦ, προσενεχθήσεται δὲ διὰ τοῦ πάντων ἀρχιερέως τῷ Θεῷ καὶ Πατρὶ, καὶ εἰς ὄψιν ἀνενεχθήσεται τοῦ τὰ πάντα συνέχοντός τε καὶ διασώζοντος εἰς διατήρησιν, καὶ τὸ φθειρόμενον ὅσον εἰς οἰκείαν φύσιν, οὐκ ἐῶντος κατα φθείρεσθαι. καταγράφεται τοιγαροῦν ὁ δίκαιος, ὡς ἐν σκεύει χρυσῷ τὸ νοητὸν ἔχων μάννα, τουτέστι Χριστὸν, ἀναβαίνων 1.469 εἰς ἀφθαρσίαν, ὡς ἐν ἐπισκέψει Θεοῦ, καὶ μένων εἰς διατή ρησιν, εἰς μακραίωνα δηλονότι βίον καὶ ζωὴν τὴν ἀπέραντον. ἀφραίνοντας τοιγαροῦν οὐ μετρίως τοὺς Ἰουδαίους, οἰομένους τε ὅτι παρὰ τοῦ πανσόφου Μωυσέως τοῖς ἀρχαιοτέροις ἐχορηγήθη τὸ μάννα, καὶ μέχρι τούτων ἱστῶντας τὸν ἐπ' αὐτῷ λόγον, ἐννοοῦντας δὲ παντελῶς τῶν δι' αὐτοῦ προση μαινομένων οὐδὲν, εὐλόγως ἐλέγχει λέγων ὁ Χριστός "Ἀμὴν "λέγω ὑμῖν οὐ Μωυσῆς δέδωκεν ὑμῖν" τὸ μάννα. ἔδει γὰρ μᾶλλον ἐκεῖνο διενθυμεῖσθαι καὶ νοεῖν, ὅτι μόνην εἰς τοῦτο τὴν διὰ τῆς μεσιτείας ὑπουργίαν εἰσενήνοχεν ὁ Μωυσῆς· ἦν δὲ τὸ δῶρον οὐκ ἀνθρωπίνης εὕρημα χειρὸς, ἀλλ' ἔργον τῆς ἄνωθεν χάριτος, ἐν τοῖς παχυτέροις καταγραφούσης τὸ νοητὸν, καὶ τὸν ἄρτον ἡμῖν σημαινούσης τὸν ἐξ οὐρανοῦ, τὸν ὅλῳ τῷ κόσμῳ διδόντα τὴν ζωὴν, καὶ οὐχ ἓν ὡς κατὰ πρόσκλισιν ἀποτρέφοντα γένος τὸ ἐξ Ἰσραήλ. Εἶπον οὖν πρὸς αὐτόν Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς. Ἀπογυμνοῦται σαφῶς διὰ τούτων, καὶ πολὺ λίαν ἐπιθυ μήσας λαθεῖν, ὁ τῶν Ἰουδαίων σκοπὸς, καὶ ὅτι μὴ θέμις ψεύδεσθαι τὴν ἀλήθειαν κατίδοι τις ἂν, οὐχ ὅτι σημείων γεγόνασι θεωροὶ, διὰ τοῦτο καὶ ἀκολουθεῖν αὐτοὺς ἐπείγε σθαι, λέγουσαν, ἀλλ' ὅτι φαγόντες ἐκ τῶν ἄρτων ἐχορτά σθησαν. ἐπὶ πολλῇ δ' ἂν εἰκότως δυσμαθίᾳ καταγινώ σκοιντο, καὶ χρῆναι λέγειν ἐπ' αὐτοῖς ὄντως ὑπολαμβάνω "Ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς καὶ οὐ "βλέπουσιν, ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσι." διὰ γάρ τοι πολλῶν, ὥσπερ οὖν ἔξεστι καταθεάσασθαι, λόγων ἀφι στῶντος αὐτοὺς τῶν σωματικῶν ἐννοιῶν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ ἀναπτεροῦντος διὰ τῆς πανσόφου διδασκαλίας 1.470 εἰς θεωρίαν πνευματικὴν, οὐκ ἀναβαίνουσι τῶν τῇ σαρκὶ χρησίμων, καὶ ἄρτον ἀκούοντες τὸν ζωὴν διδόντα τῷ κόσμῳ, τὸν ἀπὸ γῆς ἔτι φαντάζονται, θεὸν ἔχοντες τὴν κοιλίαν, κατὰ τὸ γεγραμμένον, καὶ τοῖς περὶ γαστέρα κεκρατημένοι κακοῖς, ἵνα δικαίως ἀκούσειαν, ὧν "ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν." ἐοικότα δὴ λίαν τὸν τοιοῦτον εὑρήσεις λόγον τῷ διὰ γυ ναικὸς ἐκείνης τῆς Σαμαρείτιδος· μακρὸν γὰρ καὶ ἐπ' αὐτῇ δαπανῶντος λόγον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ περὶ ὑδάτων τῶν νοητῶν ἐκδιδάσκοντος, λέγοντός τε σαφῶς "Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὃς δ' "ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει "εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω ἐγὼ αὐτῷ γενήσεται "ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον·" συνηρ πάζετο διὰ τὴν ἐνοῦσαν αὐτῇ δυσμαθίαν, καὶ τὴν νοητὴν ἀφεῖσα πηγὴν, οὐδέν τε τὸ σύμπαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περὶ αὐτῆς ἐννοήσασα, ἐπὶ τὴν τῶν αἰσθητῶν ὑδρευμάτων χορηγίαν κατολισθαί νουσά φησι "Κύριε δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ "μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν." συγγενὴς οὖν ἄρα τοῖς παρ' ἐκείνης λόγοις ὁ τῶν Ἰουδαίων· ὥσπερ γὰρ ἐκείνη διὰ τὴν φύσιν ἐμαλακίζετο, τὸν αὐτὸν οἶμαι καὶ οὗτοι τρόπον, τὸ μὲν ἄρσεν, ἵν' οὕτως εἴπω, καὶ νεανικὸν εἰς φρόνησιν ἔχουσιν οὐδαμῶς, ἐκθηλύνονται δέ πως εἰς ἀνάνδρους ἐπιθυμίας τὰς ἐπὶ γαστρὶ, καὶ τὸ γεγραμμένον ἐφ' ἑαυτοῖς δεικνύουσιν ἀληθές "Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ "μάταια νοήσει." Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Ἔθος τῷ Σωτῆρι Χριστῷ τὰς περὶ τῶν θειοτέρων καὶ τῶν ἤδη προκατηγγελμένων μυστηρίων ποιουμένῳ διηγήσεις, αἰνιγματώδη πως καὶ οὐ σφόδρα διαφανῆ τὰ ἐπ' αὐτοῖς 1.471 ἐξυφαίνειν διηγήματα. οὐ γὰρ ἀκατακάλυπτον προκεῖσθαι τοῖς ἐθέλουσιν ἁπλῶς βεβήλοις τε καὶ ἀνοσίοις εἰς κατα πάτημα τὸν οὕτω σεπτὸν ἐφίησι λόγον, ἐπικρύψας δέ πως ταῖς δι' αἰνιγμάτων ἐπιβολαῖς οὐκ ἀσυμφανῆ μὲν τοῖς συνε τοῖς ἐργάζεται· ἐπὰν δέ τινας τῶν ἀκροωμένων ἀμαθαίνοντας βλέπῃ, καὶ νοοῦντας τὸ παράπαν τῶν λαλουμένων οὐδὲν, ἀπολευκαίνει σαφῶς, ὅπερ ἂν ἐθέλοι δηλοῦν, καὶ πᾶσαν ὥσπερ ἀχλῦν τὴν ἐν τῷ λόγῳ περιελὼν, γυμνήν τε καὶ εὐσύνοπτον παρατίθησι τοῦ μυστηρίου τὴν γνῶσιν, ἀναπο λόγητον αὐτοῖς καὶ διὰ τούτου τὴν ἀπιστίαν ἀποτελῶν. ὅτι δὲ ἦν σύνηθες αὐτῷ, καθάπερ εἰρήκαμεν, ἐπεσκιασμένῳ καὶ λεληθότι μάλιστα κεχρῆσθαι τῷ λόγῳ, καὶ αὐτὸς μὲν διδάξει λέγων ἐν βίβλῳ ψαλμῶν "Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα "μου." βεβαιώσει δὲ οὐδὲν ἧττον τὴν ἐπὶ τούτοις ἡμῖν ἐξήγησιν, καὶ διεσφαλμένην οὐδαμῶς ἀποδείξει καὶ ὁ μακά ριος προφήτης Ἡσαΐας ἀναβοῶν "Ἰδοὺ δὴ βασιλεὺς δίκαιος "βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι, καὶ ἔσται "ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ." βασιλέα γὰρ δίκαιον ἐφ' ἡμᾶς βεβασιλευκέναι φησὶ τὸν λέγοντα "Ἐγὼ "δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον "αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου." κρίσει δὲ, τουτέστιν ὀρθότητι τῇ κατὰ πᾶν συμβιοτεύοντας ἄρχοντας, καὶ τοὺς ἁγίους φησὶ μαθητὰς, οἳ καὶ τῷ Σωτῆρι Χριστῷ κρύπτοντι πολλάκις τοὺς λόγους αὐτοῦ προσήεσαν λέγοντες "Φράσον ἡμῖν τὴν παραβολήν·" ὅτε καὶ αὐτός "Διατί τοῖς "ὄχλοις λαλεῖς ἐν παραβολαῖς" ἀκούσας ποτὲ, σαφεστάτην αἰτίαν εὑρίσκεται διειπών "Ὅτι βλέποντες, φησὶν, οὐ βλέ "πουσι καὶ ἀκούοντες οὐκ ἀκούουσιν οὐδὲ συνιοῦσιν." οὐ γὰρ ἦσαν ἄξιοι πάντως δήπου κατὰ τὸ εἰκὸς, τοιαύτην ἐπ' αὐτοῖς ὁρισαμένου τὴν ψῆφον τοῦ τὰ δίκαια κρίνοντος Θεοῦ. 1.472 μυρίας τοιγαροῦν ὁ Σωτὴρ ἐπινοήσας τοῖς λόγοις τὰς περι στροφὰς, ἐπείπερ ἐθεᾶτο συνέντας οὐδὲν τοὺς ἀκροωμένους, γυμνότερον ἤδη φησίν Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, μόνον δὲ οὐχὶ ταῖς ἀμετρήτοις αὐτῶν ἀλογίαις ἐνάλλεται λέγων Ὦ πρὸς μόνην ἀπαιδευσίαν ἀσύγκριτον ἔχοντες τὴν κατὰ πάν των ὑπεροχὴν, χορηγήσειν ὑμῖν ἄρτους ἐξ οὐρανοῦ διειπόντος τοῦ Θεοῦ, καὶ τοσαύτην ἐφ' ὑμᾶς πεποιημένου τὴν ὑπόσχεσιν ἐν τῇ τοῦ μάννα τροφῇ, τὴν θείαν ὡρίσασθε φιλοτιμίαν, καὶ μέχρι τούτων ἱστῶντες οὐκ ἐρυθριᾶτε τὴν ἄνωθεν χάριν, ἀγνοοῦντες ὅτι μικρὸν καὶ ὑμῖν τὸ λαβεῖν τὰ τοιαῦτα παρὰ Θεοῦ, καὶ αὐτῷ δὲ τῷ Θεῷ τὸ χαρίζεσθαι. μὴ τοίνυν ἐκεῖνον, φησὶ, τὸν ἄρτον εἶναι τὸν ἐξ οὐρανοῦ πιστεύετε. ἐγὼ γάρ εἰμι ὁ ἄρτος τῆς ζωῆς, ὁ πάλαι μὲν ὑμῖν ὡς ἐν ὑποσχέσει προκατηγγελμένος καὶ ὡς ἐν τύπῳ δηλούμενος· παρὼν δὲ νυνὶ καὶ χρεωστουμένην ὑπόσχεσιν ἀποπληρῶν. εἰμὶ δὲ ἄρτος ζωῆς, οὐκ ἄρτος σωματικὸς, μόνα τὰ ἐκ λιμοῦ περικόπτων πάθη, καὶ καταφθορᾶς τῆς ἐντεῦθεν ἀπαλλάττων τὴν σάρκα, ἀλλ' ὅλον ἐξ ὅλου τὸ ζῷον εἰς ζωὴν ἀναπλάττων τὴν αἰώνιον, καὶ θανάτου κρείττονα τὸν εἰς τὸ εἶναι ἀεὶ πεποιημένον ἄνθρωπον ἀποδεικνύς· ὑπαινίττεται δὲ διὰ τού των τὴν διὰ τῆς ἁγίας σαρκὸς ζωήν τε καὶ χάριν, δι' ἧς ἐν ἡμῖν τὸ τοῦ Μονογενοῦς ἴδιον ἐπεισκρίνεται, τουτέστιν ἡ ζωή. Ἰστέον δὲ ὅτι· δεῖν γὰρ οἶμαι φιλομαθῶς τὸ εἰς ὠφέλειαν τελοῦν θηρᾶσθαι σπουδάζειν· ἐφ' ὅλοις μὲν ἔτεσι τὸν ἀριθ μὸν τεσσαράκοντα τὸ τυπικὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς ἐξ Ἰσραὴλ ἐχορηγήθη μάννα παρὰ Θεοῦ, συνόντος ἔτι Μωυσέως σὺν αὐτοῖς· ἐπειδὴ δὲ εἰς τὸ κοινὸν τοῦ βίου κατήντηκε τέλος, καθηγητὴς δὲ ἤδη καὶ στρατηγὸς τῶν Ἰουδαϊκῶν ταγμάτων κατεστάθη 1.473 Ἰησοῦς, διεβίβαζε μὲν αὐτοὺς τὸν Ἰορδάνην, καθὰ γέγραπται, περιτεμὼν δὲ μαχαίραις πετρίναις, καὶ εἰς τὴν γῆν τῆς ἐπαγγε λίας εἰσκεκομικὼς, ἄρτῳ λοιπὸν ἀποτρέφεσθαι παρεσκεύαζε, στήσαντος ἤδη τοῦ μάννα τὴν χορηγίαν τοῦ πανσόφου Θεοῦ. οὐκοῦν· ὁ τύπος γὰρ ἤδη μετασκευασθήσεται πρὸς τὸ ἀλη θέστερον· ὅτε συνεστάλη Μωυσῆς, τουτέστιν, ὅτε τῆς κατὰ νόμον λατρείας ἤργησαν οἱ τύποι, ἀνεδείχθη δὲ Χριστὸς ἐφ' ἡμᾶς ὁ ἀληθὴς Ἰησοῦς· αὐτὸς γὰρ διέσωσε "τὸν λαὸν ἀπὸ "τῶν ἁμαρτιῶν αὐτῶν·" τότε διέβημεν τὸν Ἰορδάνην, τότε τὴν ἐν πνεύματι περιτομὴν διὰ τῆς διδασκαλίας τῶν δυοκαί δεκα λίθων ἐδεξάμεθα, τουτέστι τῶν ἁγίων μαθητῶν, περὶ ὧν ἐν προφήταις γέγραπται, "ὅτι λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς "γῆς·" οἱ γὰρ δὴ πᾶσαν περινοστοῦντές τε καὶ καταθέοντες τὴν οἰκουμένην ἅγιοι λίθοι, αὐτοὶ δὴ πάντως εἰσὶ, δι' ὧν καὶ περιετμήθημεν περιτομῇ ἀχειροποιήτῳ τῇ ἐν πνεύματι, διὰ Πνεύματος δηλαδή. ὅτε τοίνυν εἰς τὴν τῶν οὐρανῶν ἐκλή θημεν βασιλείαν διὰ Χριστοῦ· τοῦτο γὰρ οἶμαι δηλοῦν, καὶ οὐχ ἕτερόν τι πάλιν, τὸ εἰσβῆναί τινας εἰς τὴν γῆν τῆς ἐπαγ γελίας· τότε μάννα μὲν οὐκέτι τὸ τυπικὸν ἐφ' ἡμᾶς· οὐ γὰρ τοῖς Μωυσαϊκοῖς ἔτι τρεφόμεθα γράμμασιν· ἄρτος δὲ λοιπὸν ὁ ἐξ οὐρανοῦ, τουτέστι Χριστὸς, ἀποτρέφων ἡμᾶς εἰς μα κραίωνα ζωὴν, διά τε τῆς ἐπιχορηγίας τοῦ Ἁγίου Πνεύματος καὶ μεθέξει τῆς ἰδίας σαρκὸς, ἐντιθείσης ἡμῖν τὴν Θεοῦ μετοχὴν, καὶ νεκρότητα τὴν ἐκ τῆς ἀρχαίας ἀφανιζούσης ἀρᾶς. Ὁ ἐρχόμενος πρὸς μὲ οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε. Κέκρυπταί τι πάλιν ἐν τούτοις, ὅπερ εἰπεῖν ἀναγκαῖον. ἔθος γὰρ τῷ Σωτῆρι Χριστῷ, ταῖς τῶν ἁγίων δόξαις οὐ σφόδρα φιλονεικεῖν, ἀλλ' ἐκ τῶν ἐναντίων καὶ ἀξιαγάστοις 1.474 αὐτοὺς καταστέφειν τιμαῖς. ἐπὰν μέντοι τινὲς τῶν ἀμαθε στέρων, ὅσην ἔχει κατ' ἐκείνων τὴν ὑπεροχὴν οὐκ ἐπιγινώ σκοντες τὴν ἀμείνω προσαγάγωσι δόξαν αὐτοῖς, τότε δὴ σφόδρα χρησίμως φρονεῖν μεταπείθει τὰ πρεπωδέστερα, τίς μέν ἐστιν ὁ Μονογενὴς διενθυμουμένους, καὶ ὅτι δὴ πάντως ἀσυγκρίτοις διοίσει ταῖς ὑπεροχαῖς· ἀλλ' οὐ σφόδρα σαφῆ τὸν ἐπὶ τούτοις ποιεῖται λόγον, ἐπεσκιασμένον δέ πως, καὶ δίχα κόμπου παντὸς, ἀπὸ δὲ τῆς ἐν πράγμασι θεωρίας, ἤτοι συγκρίσεως, τὴν ἐπὶ τοῖς κρείττοσιν ἁρπάζοντα ψῆφον. οἷον, φέρε εἰπεῖν, διελέγετό ποτε πρὸς τὴν ἐκ Σαμαρείας γυναῖκα, ᾗ καὶ δώσειν ὕδωρ τὸ ζῶν ἐπηγγέλλετο· συνεῖσα δὲ οὐδὲν τῶν εἰρημένων ἡ γυνή "Μὴ σὺ μείζων εἶ τοῦ "πατρὸς ἡμῶν Ἰακὼβ, ἔφη, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ;" ἐπειδὴ δὲ μεταπείθειν αὐτὴν ὁ Σωτὴρ ἐβούλετο, ὅτιπερ εἴη καὶ κρείττων αὐτοῦ, καὶ οὐκ ἐν ὀλίγοις τισὶν ἀξιοπιστότερος μέτροις, ἐπὶ τὴν τῶν ὑδάτων βαδίζει διαφορὰν, λέγων "Πᾶς "ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὃς δ' ἂν πίῃ "ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ "πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον." καὶ τί τὸ ἐντεῦθεν, ἢ πάντως ἐκεῖνο νοεῖν ἀναπείθει, ὅτι περ ἀνάγκη τὸν τῶν ἀμεινόνων χορηγὸν κεῖσθαι δὴ πάντως καὶ ἐν ἀμείνοσιν, ἢ ἐν οἷσπερ ἂν εἴη τυχὸν ὁ πρὸς ὃν ἡ σύγκρισις; τοιοῦτόν τινα τρόπον ὑφηγήσεώς τε καὶ διδασκαλίας ἐπιτη δεύει καὶ νῦν. ἐπειδὴ γὰρ κατεσοβαρεύοντό πως αὐτοῦ, καὶ μεγαλοφρονεῖν ἀπετόλμων Ἰουδαῖοι, Μωυσέα τε τὸν νομο θέτην ἄνω τε καὶ κάτω προϊσχόμενοι, καὶ τοῖς δι' ἐκείνου μᾶλλον ἀκολουθεῖν, ἤπερ τοῖς διὰ Χριστοῦ, χρῆναι πολλάκις διισχυρίζοντο, τὴν τοῦ μάννα χορηγίαν καὶ τὴν ἐκ πέτρας τῶν ὑδάτων ἐκδρομὴν, ἀξιολογωτάτην ἀπόδειξιν λογιζόμενοι τῆς κατὰ πάντων πλεονεξίας, καὶ αὐτοῦ δὲ τοῦ Σωτῆρος 1.475 ἡμῶν Ἰησοῦ Χριστοῦ, λοιπὸν ἀναγκαίως ἐπὶ τὴν συνήθη κεχώρηκε μέθοδον, καὶ γυμνότερον μὲν οὔ φησιν, ὅτι κρείτ των εἴη Μωυσέως, διὰ τὸ τῶν ἀκροωμένων ἀχάλινον θράσος, καὶ τὸ πολὺ λίαν εἰς ὀργὴν ἐκκεκρεμασμένον· ἐπ' αὐτὸ δὲ πάλιν τὸ θαυμαζόμενον ἔρχεται πρᾶγμα, καὶ ἀπὸ συγκρίσεως τῆς πρὸς τὸ μεῖζον, ἐλέγχει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μικρόν· Ὁ γὰρ ἐρχόμενος πρός μέ φησιν οὐ μὴ πεινάσῃ καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε· ναὶ γὰρ, φησὶ, καὶ αὐτὸς ὑμῖν ἐγὼ συνθήσομαι δεδόσθαι τὸ μάννα διὰ Μωυσέως, ἀλλ' οἱ φαγόντες ἐπεί νασαν· ἐρῶ δὲ ὅτι καὶ ἐκ πετρῶν ὑμῖν ὠδῖνος ἐξεδόθη τὸ ὕδωρ, ἀλλ' οἱ πιόντες ἐδίψησαν, καὶ πρόσκαιρόν τινα κομιδῇ τὴν ἀπόλαυσιν ἡ τῶν εἰρημένων ἐνεποίησε δόσις· ὁ δέ γε πρὸς ἐμὲ βαδίζων οὐ μὴ πεινάσῃ πώποτε, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε. Τί δὴ οὖν ἄρα Χριστὸς ἐπαγγέλλεται; φθαρτὸν μὲν οὐδὲν, εὐλογίαν δὲ μᾶλλον τὴν ἐν μεταλήψει τῆς ἁγίας σαρκός τε καὶ αἵματος, ὁλοκλήρως εἰς ἀφθαρσίαν ἀνακομι ζούσης τὸν ἄνθρωπον, ὡς οὐδενὸς ἐπιδεῖσθαι τῶν ὅσα τὸν τῆς σαρκὸς ἀπελαύνει θάνατον, τροφῆς δὲ δηλονότι φημὶ καὶ ποτοῦ. ἔοικε δὲ πάλιν ὕδωρ ὀνομάζειν ἐν τούτοις, τὸν διὰ Πνεύματος ἁγιασμὸν, ἢ αὐτὸ τὸ θεῖόν τε καὶ ἅγιον Πνεῦμα, οὕτω πολλάκις παρὰ ταῖς θείαις ὠνομασμένον γραφαῖς. ζωοποιεῖ τοιγαροῦν τὸ ἅγιον σῶμα Χριστοῦ τοὺς ἐν οἷς ἂν γένοιτο, καὶ συνέχει πρὸς ἀφθαρσίαν, τοῖς ἡμετέ ροις ἀνακιρνάμενον σώμασι. σῶμα γὰρ οὐχ ἑτέρου τινὸς, ἀλλ' αὐτῆς νοεῖται τῆς κατὰ φύσιν ζωῆς, ὅλην ἔχων ἐν ἑαυτῷ τὴν τοῦ ἑνωθέντος Λόγου δύναμιν, καὶ πεποιωμένον ὥσπερ, μᾶλλον δὲ ἤδη καὶ ἀναπεπλησμένον τῆς ἐνεργείας αὐτοῦ, δι' ἧς τὰ πάντα ζωοποιεῖται καὶ πρὸς τὸ εἶναι φυλάτ τεται. ἐπειδὴ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἴστωσαν 1.476 ἤδη λοιπὸν οἱ βεβαπτισμένοι καὶ τῆς θείας ἀπογευσάμενοι χάριτος, ὅτι βαδίζοντες μὲν ὀκνηρῶς καὶ μόλις ἐν ταῖς ἐκκλησίαις, ἀποφοιτῶντες δὲ καὶ εἰς χρόνους μακροὺς τῆς εὐλογίας τῆς διὰ Χριστοῦ, καὶ τὴν ἐπιζήμιον εὐλάβειαν πλαττόμενοι, διὰ τοῦ μὴ βούλεσθαι μετέχειν αὐτοῦ μυστι κῶς, ὅτι τῆς αἰωνίου ζωῆς ἑαυτοὺς ἐκπέμπουσι, ζωοποιεῖσθαι παραιτούμενοι· περιτρέπεται δὲ εἰς παγίδα καὶ εἰς σκάν δαλον, καίτοι καρπὸς εὐλαβείας δοκοῦσά πως εἶναι παρ' αὐτοῖς, ἡ παραίτησις. χρῆν γὰρ δὴ μᾶλλον ἐπείγεσθαι τὴν ἐνοῦσαν αὐτοῖς εἰσκομίζειν δύναμίν τε καὶ προθυμίαν, ὅπως ἂν φαίνοιντο γοργοὶ πρὸς ἀποκάθαρσιν ἁμαρτίας, καὶ πει ρᾶσθαι μᾶλλον ἀστειοτάτην ἐπιτηδεύειν τοῦ βίου τὴν ἀγω γὴν, τρέχειν τε οὕτω λοιπὸν καὶ σφόδρα τεθαῤῥηκότως εἰς μετάληψιν τῆς ζωῆς. ἀλλ' ἐπείπερ ἐστὶ ποικίλος εἰς ἀπάτην ὁ σατανᾶς, σωφρονεῖν μὲν αὐτοὺς οὐδαμόθεν ὅτι πρέποι λογίζεσθαι συγχωρεῖ, κατασπιλώσας δὲ τοῖς κακοῖς, καὶ αὐτὴν ἀποφρίττειν ἀναπείθει τὴν χάριν, δι' ἧς ἦν εἰκὸς, ὥσπερ ἐξ οἴνου καὶ μέθης τῆς ἐπὶ φαυλότητα καλούσης ἡδονῆς ἀνανήφοντας, τὸ συμφέρον ὁρᾶν τε καὶ περισκέπτε σθαι. ἀποῤῥήξαντες τοίνυν τὸν ἐκείνου δεσμὸν, ἀποσεισά μενοί τε τὸν ἐκ πλεονεξίας ἡμῖν ἐπιῤῥιφέντα ζυγὸν, δουλεύ σωμεν ἐν φόβῳ τῷ Κυρίῳ, καθὰ γέγραπται, καὶ τῶν τῆς σαρκὸς ἡδονῶν ἀμείνους ἤδη δι' ἐγκρατείας ἀναδεικνύμενοι, προσίωμεν τῇ θείᾳ τε καὶ οὐρανίῳ χάριτι, καὶ εἰς ἁγίαν μετάληψιν ἀναβαίνωμεν τοῦ Χριστοῦ· οὕτω γὰρ οὕτω καὶ ἀπάτης διαβολικῆς περιεσόμεθα, θείας τε φύσεως γεγονότες κοινωνοὶ, πρὸς ζωὴν καὶ ἀφθαρσίαν ἀναβησόμεθα. Ἀλλ' εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ με καὶ οὐ πιστεύετε. Διὰ πολλῶν μὲν αὐτοὺς καταγωνίζεται λόγων, καὶ ἐκ παντὸς συνελαύνει τρόπου πρὸς τὴν διὰ πίστεως σωτηρίαν· 1.477 ἀλλ' οὐκ ἠγνόησε πάλιν ὡς Θεὸς, ὅτι πρὸς ἀδελφὴν ὥσπερ τινὰ καὶ συνήθη δραμοῦνται τὴν σύντροφον ἀπιστίαν, περι όψονται δὲ ὡς οὐδὲν τὸν καλοῦντα πρὸς ζωήν. ἵνα τοίνυν εἰδεῖεν οὐκ ἠγνοηκότα τὸν Ἰησοῦν, ὁποῖοί τινες εὑρεθήσονται πάλιν, μᾶλλον δὲ, ὅπερ ἐστὶ πρεπωδέστερον εἰπεῖν, ὑπὸ θείαν ὄντας ἑαυτοὺς ἐκμάθοιεν ὀργὴν, ἐπιφέρει πάλιν Ἀλλ' εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ με καὶ οὐ πιστεύετε. προέγνων, φησὶ, καὶ προείρηκα σαφῶς, ὅτι δὴ πάντως διαμενεῖτε σκλη ροὶ, καὶ τῆς ὑμῖν φιλαιτάτης ἀπειθείας ἀπρὶξ ἡμμένοι, τῶν ἐμῶν ἀμέτοχοι χαρισμάτων καταλειφθήσεσθε. καὶ πότε τι τοιοῦτον ἐπ' αὐτοῖς εἴρηκεν ὁ Χριστός; ἀναμιμνήσκου λέ γοντος πρὸς τὸν μακάριον προφήτην Ἡσαΐαν "Πορεύθητι "καὶ εἰπὸν τῷ λαῷ τούτῳ Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, "καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ "καρδία τοῦ λαοῦ τούτου." ἢ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ οὐκ ἀληθὴς καὶ διὰ τῶν ἐν χερσὶ κειμένων ἡμῖν πραγμάτων ὁ λόγος ἀναδειχθήσεται; εἶδον γὰρ εἶδον Θεὸν ὄντα κατὰ φύσιν τὸν Κύριον, ὅτε τὴν ἀριθμοῦ κρείττονα τῶν ἐπ' αὐτὸν ἰόντων πληθὺν πέντε κρι θίνοις διέθρεψεν ἄρτοις, καὶ δύο διακλάσας ὀψάρια. ἀλλ' ἑωρακότες οὐ πιστεύουσι, διὰ τὴν ἐκ τῆς θείας ὀργῆς ταῖς διανοίαις αὐτῶν ἀχλύος δίκην ἐπισκήψασαν πώρωσιν. ἦσαν γὰρ δήπου καὶ ἀναμφιλόγως ἄξιοι τοῦτο παθεῖν, ἐπείπερ ἀμέτροις ἐνεχόμενοι πταίσμασι, καὶ ἀῤῥήκτοις κατεσφιγμένοι σειραῖς παρανομημάτων, οὐδὲ αὐτὸν ἐπιδημήσαντα τὸν ἐλευ θεροῦν ἰσχύοντα παρεδέχοντο. διὰ ταύτην ἐπαχύνθη τὴν αἰτίαν ἡ καρδία τοῦ λαοῦ τούτου. Ὅτι δὲ διὰ τῆς τοῦ σημείου μεγαλειότητος Θεὸν ὄντα κατὰ φύσιν ἐθεώρει τὸν Ἰησοῦν ἡ τῶν Ἰουδαίων πληθὺς, δι' ἐκείνου δὴ μάλιστα συνιέναι δυνήσῃ· ἀποθαυμάσαντες γὰρ τὸ γεγενημένον, ὥσπερ οὖν ἐν τοῖς ἀνωτέρω φησὶν ὁ Εὐαγγε 1.478 λιστὴς, ἐζήτουν "ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσι βασιλέα." σκῆψις τοιγαροῦν οὐδεμία τῆς ἀπονοίας περιλιμπάνεται τοῖς Ἰουδαίοις. καταπληττόμενοι γὰρ, καὶ λίαν εἰκότως, τὰς θεοσημείας, καὶ ἀναλόγως ἐπὶ τὴν τοῦ τερατοποιοῦντος δύ ναμιν ἀπὸ τῶν ἔργων ἐρχόμενοι, μονονουχὶ καταφρίττουσι τὴν εὐπείθειαν, καὶ τῶν ἀγαθῶν ἐξάλλονται τρόπων, ἐπ' αὐτὸν ὥσπερ κατακυβιστῶντες ἡδέως τὸν τῆς ἀπωλείας πυθμένα. Πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ πρὸς ἐμὲ ἥξει. Οὐχ ἁπλῶς εἰπεῖν ἔδει τὸν Κύριον "Ὅτι καὶ ἑωράκατέ "με καὶ οὐ πιστεύετε," ἀλλ' ἦν ἀναγκαῖον, καὶ τὴν τοῦ πεπωρῶσθαι πρόφασιν τοῖς εἰρημένοις ἐπενεγκεῖν, ἵνα δὴ μάθοιεν ὑπὸ θείαν πεσόντες ὀργήν. οὐκοῦν ὡσπερεί τις ἀριστοτέχνης ἰατρὸς, καὶ τὴν ἀῤῥωστίαν αὐτοῖς ἐπιδεικνύει, καὶ τῆς ἀῤῥωστίας ἀνακαλύπτει τὴν πρόφασιν, οὐχ ἵνα μαθόντες ἐπ' αὐτῷ δὴ τούτῳ μένοιεν ἡσυχῇ, ἀλλ' ἵνα διὰ παντὸς ἐκμειλίσσοιντο τρόπου λελυπημένον ἐπ' αὐτοῖς τὸν ἁπάντων Δεσπότην, ἐπ' εὐλόγοις δὲ δηλονότι ταῖς αἰτίαις· οὐ γὰρ ἂν ἀδίκως ἐλυπήθη ποτὲ, ἀλλ' οὐδ' ἂν ὁ τὰ δίκαια κρίνειν εἰδὼς, τοιαύτην τινὰ τὴν ἐπ' ἐκείνοις ἐποιήσατο κρίσιν, εἰ μὴ λόγος ἐκάλει πρὸς τοῦτο, τὸ κατηγορεῖσθαι δεῖν πανταχόθεν διαπηδῶν. ἀφίξεσθαι γεμὴν πρὸς αὐτὸν ὁ Σωτὴρ διὰ τούτων διισχυρίσατο πᾶν ὅπερ ἂν ἐπιδοίη ὁ Θεὸς καὶ Πατὴρ, οὐχ ὡς αὐτὸς ἀτονήσας εἰς τὸ προσκομίζειν ἑαυτῷ τοὺς πιστεύοντας· ἐξήνυσε γὰρ ἂν ἐθελήσας καὶ τοῦτο λίαν εὐπετῶς "κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑπο "τάξαι αὐτῷ τὰ πάντα" κατὰ τὴν τοῦ Παύλου φωνήν· ἀλλ' ἐπείπερ ἀναγκαῖόν πως εἶναι δοκεῖ καὶ πρεπωδέστερον, τὸ διὰ τῆς θείας φύσεως φωταγωγεῖσθαι λέγειν τοὺς ἐν ἀγνω 1.479 σίᾳ, πάλιν ὡς ἄνθρωπος ἀνατίθησι τῷ Πατρὶ τὴν ἐπὶ τοῖς θεοπρεπεστέροις ἐνέργειαν. ἔθος γὰρ αὐτῷ τοῦτο ποιεῖν, ὥσπερ οὖν ἀμέλει πολλάκις εἰρήκαμεν. εἰκὸς δὲ ὅτι προσ αχθήσεσθαι λέγων ἑαυτῷ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς πᾶν ὃ δίδωσιν αὐτῷ, παρεσόμενον ἤδη καὶ ὅσον οὐδέπω πιστεύοντα τὸν ἐξ ἐθνῶν ὑπαινίττεται δῆμον. τοῦτο δὲ ἦν ἀπειλοῦντος εὐφυῶς, ὅτι καὶ ἀποπεσοῦνται τῆς χάριτος αὐτοὶ, καὶ ἀντανα βήσονται πάντες οἱ ἐξ ἐθνῶν προσαγόμενοι διὰ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἡμερότητος, ὡς σωτῆρι καὶ ζωοποιῷ κατὰ φύσιν ὑπάρχοντι τῷ Υἱῷ, ἵνα τῆς εὐλογίας μετεσχηκότες τῆς ἀπ' αὐτοῦ, κοινωνοὶ μὲν ἤδη τῆς θείας ἀποτελοῖντο φύσεως, ἀνακομίζοιντο δὲ οὕτως εἰς ἀφθαρσίαν καὶ ζωὴν, καὶ εἰς τὸ ἀρχαῖον τῆς φύσεως μεταπλάττοιντο σχῆμα. ὥσπερ οὖν εἴ τις ἰατρῷ προσάξαι τὸν ἄῤῥωστον, ἵνα τὴν ἐπισκή ψασαν ἀποκρούσαιτο νόσον, οὕτω προσφέρειν ἐροῦμεν τῷ Υἱῷ τὸν Θεὸν καὶ Πατέρα, τοὺς οἵπερ ἂν φαίνοιντο τῆς παρ' αὐτοῦ σωτηρίας ἄξιοι. πικρὸν οὖν ἄρα καὶ ὀλέθριον κομιδῇ τοῖς ἔχουσιν ἡ σκληροκαρδία. διά τοι τοῦτο καὶ προφητικὸς τοῖς Ἰουδαίοις ἐπισκήπτει λόγος "Περιτμήθητε τῷ Θεῷ" διαῤῥήδην ἀναβοῶν, "καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν "ὑμῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ." ἀλλ' οὐκ ἐκείνοις, ἡμῖν δὲ μᾶλλον, ὁ Θεὸς καὶ Πατὴρ τὴν ἐν καρδίᾳ τετήρηκε περιτομὴν, τὴν διὰ Πνεύματος Ἁγίου δη λονότι κατὰ τὸν ἐν τῷ κρυπτῷ τελουμένην Ἰουδαῖον. δίκαιον οὖν ἄρα τῆς ἐκείνων ἀπειθείας ἀποπηδᾶν, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραιτεῖσθαι σπουδάζειν τὴν σκληροκαρδίαν, εἰς τρυφερὰν δὲ μᾶλλον μεταποιεῖσθαι διάνοιαν, εἰ τὴν ἐπ' ἐκείνοις ὀργὴν ὡς ὀλέθριον παραιτούμεθα. 1.480 Καὶ τὸν ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω. Οὐκ ἀνόνητον ἔσεσθαί φησι τοῖς πρὸς αὐτὸν ἰοῦσι τὴν διὰ πίστεως ἐπιστροφήν· ἔδει γὰρ ὄντως ἀξιεραστότατόν τι χρῆμα, καὶ μυρίων παραίτιον ἀγαθῶν, τὴν ἐκ Θεοῦ καὶ Πατρὸς ἐπιδεῖξαι προσαγωγήν. ἔσται τοίνυν, φησὶ, καὶ ὑπάρξει τὰ κάλλιστα τοῖς διὰ τῆς ἄνωθεν χάριτος ὡς ἐμὲ καλουμένοις καὶ βαδίζουσιν. οὐ γὰρ ἐκβάλω ἔξω τὸν ἐρχό μενον, τουτέστιν, οὐ καθάπερ τι σκεῦος ἄχρηστον ἀποπέμ ψομαι κατὰ τὸ εἰρημένον δι' ἑνὸς τῶν προφητῶν "Ἠτιμώθη "Ιεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστι χρεία αὐτοῦ, ἀπεῤῥίφη καὶ "ἐξεβλήθη εἰς γῆν ἣν οὐκ ᾔδει. γῆ γῆ ἄκουε λόγον Κυρίου, "γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον." οὐκοῦν οὐκ ἐκκηρυχθήσεται, φησὶν, ἀλλ' οὐδὲ ὡς ἄτιμος ἔξω ῥιφή σεται, ἢ καὶ ἀμέτοχος ἀπομενεῖ τῆς ἐμῆς φιλοτιμίας, ἀλλ' εἰς ἀποθήκην εἰσκομισθήσεται, καὶ ἐν ταῖς οὐρανίαις κατα λύσει μοναῖς, εἴσω τε πάσης ἐλπίδος τῆς ὑπὲρ νοῦν ἀνθρώ πινον ἑαυτὸν γεγονότα κατόψεται· "Ὀφθαλμὸς γὰρ οὐκ "εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ "ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν." εἰκὸς δὲ δὴ πάλιν ὑποδηλοῦν, τό Οὐ μὴ ἐκβάλω ἔξω τὸν ἐρχόμενον πρὸς μὲ, τὸ μὴ παραδοθήσεσθαι τῇ κρίσει τὸν πιστεύοντα καὶ τῇ θείᾳ προσερχόμενον χάριτι. τὸ γάρ Ἔξω τοιοῦτόν τι σημαῖνον εὑρήσεις, ὡς ἐν ἐκείνῃ τῇ παραβολῇ τῇ παρὰ τῷ μακαρίῳ Ματθαίῳ "Ὁμοία γὰρ, φησὶν, ἐστὶν ἡ βασιλεία "τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ "παντὸς γένους συναγαγούσῃ, ἣν ἀναβιβάσαντες καὶ ἐπὶ "τὸν αἰγιαλὸν ἑλκύσαντες, συνέλεξαν τὰ καλὰ εἰς ἄγγεια, "τὰ δὲ σαπρὰ ἔξω ἔβαλον." τὸ μὲν γὰρ εἰς τὰς θείας καὶ οὐρανίους αὐλὰς συγκομισθήσεσθαι τοὺς ἀγαθοὺς, διὰ τοῦ συλλελέχθαι λέγειν τὰ καλὰ εἰς ἄγγεια νοήσομεν· διὰ δὲ 1.481 τοῦ τὸ ἀχρεῖον ἔξω βεβλῆσθαι, τὸ πάντων ἀποπεσεῖσθαι τῶν ἀγαθῶν καὶ εἰς κρίσιν κατοιχήσεσθαι τὸν ἀσεβῆ θεωρή σομεν. οὐκοῦν ὅταν λέγῃ Χριστός Τὸν ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω, τὸ μηδαμόθεν περιπεσεῖσθαι κολάσει τὸν διὰ πίστεως αὐτῷ προσιόντα λαὸν παραδεξώμεθα. σοφώ τατα δέ μοι δοκεῖ τοῖς ἐκτόπως ἀπονοουμένοις διὰ τούτων ὑπαπειλεῖν, ὡς, εἰ μή τις αὐτοὺς τὴν ταχίστην ἀγαθὴν πρὸς εὐπείθειαν μεταποιεῖσθαι βουληθείη, ἔξω μὲν κείσονται παν τὸς ἀγαθοῦ, τῆς δὲ εἰς αὐτὸν φιλίας καὶ οὐχ ἑκόντες ἀποδη μήσουσι· δι' ὧν γὰρ οὐκ ἐκβάλλειν ἔξω τὸν ἐρχόμενον ἐπαγ γέλλεται, διὰ τούτων αὐτῶν ὅτι πάντως ἐκβαλεῖ τὸν οὐκ ἰόντα σημαίνει.

## ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ, ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

### 1.483 ΚΕΦΑΛΑΙΑ ΤΑ ΕΝ ΤΩι ΤΕΤΑΡΤΩι ΒΙΒΛΙΩι

α. Ὅτι κατ' οὐδὲν ἐλάττων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός, διὰ τὸ ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχειν, κἂν ὑποτάττεσθαι λέγηται παρὰ τινῶν, προκειμένου ῥητοῦ Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. ἐν αὐτῷ δὲ τούτῳ καὶ λόγος χρησιμώτατος περὶ τοῦ τιμίου σταυροῦ τοῦ Χριστοῦ. β. Ὅτι ζωοποιὸν τὸ ἅγιον σῶμα Χριστοῦ, προκειμένου ῥητοῦ Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, καὶ τῶν ἐφεξῆς, ἐν οἷς ὡς περὶ ἄρτου φησὶ τοῦ ἰδίου σώματος. γ. Ὅτι οὐ ζωῆς τῆς παρ' ἑτέρου μέτοχός ἐστιν ὁ Υἱός, μᾶλλον δὲ κατὰ φύσιν ζωὴ ὡς ἐκ ζωῆς τῆς κατὰ φύσιν γεγεννημένος τοῦ Θεοῦ καὶ Πατρὸς, προκειμένου ῥητοῦ Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ. δ. Ὅτι τύπος ἦν τοῦ Χριστοῦ προηγουμένη τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λαοῦ κατὰ τὴν ἔρημον ἡ ἁγία σκηνὴ καὶ ἡ κιβωτὸς δὲ ἡ ἐν αὐτῇ καὶ ἡ λυχνία καὶ τὰ θυσιαστήρια δὲ, τό τε τοῦ θυμιάματος καὶ τὸ τῶν καρπωμάτων, αὐτὸν ἐσήμαινε τὸν Χριστόν· προκειμένου ῥητοῦ Ποῦ ἔχομεν ἀπελθεῖν; ῥήματα ζωῆς αἰωνίου ἔχεις. ε. Περὶ τῆς ἑορτῆς τῆς σκηνοπηγίας, ὅτι τῆς ὀφειλομένης τοῖς ἁγίοις ἐλπίδος τὴν ἀποκατάστασιν δηλοῖ, καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν· προκειμένου ῥητοῦ Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία. 1.484 . Λόγος περὶ τῆς ἀργίας τῆς κατὰ σάββατον, τίνος ἐστὶ σημαντικὴ πολυτρόπως ἐπιδεικνὺς, προκειμένου ῥητοῦ Εἰ περιτομὴν λαμ βάνει ἄνθρωπος ἐν σαββάτῳ, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; ζ. Λόγος περὶ τῆς ἐν ὀγδόῃ περιτομῆς, τίνος ἐστὶ σημαντικὴ πολυτρόπως ἐπιδεικνὺς, προκειμένου ῥητοῦ Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, καὶ τῶν ἐφεξῆς.

1.485 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦΑΛΗ Α. Ὅτι κατ' οὐδὲν ἐλάττων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, διὰ τὸ ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχειν, κἂν ὑποτάττεσθαι λέγηται παρὰ τινῶν. Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὁ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ΔΟΞΕΙΕΝ μὲν ἄν τῳ κατὰ τὸ πρόχειρον σχῆμα δυ σχερὴς ὁ λόγος, καὶ σκανδάλου τοῦ περὶ τὴν πίστιν οὐ λίαν ἀπηλλαγμένος, ὡς ἐντεῦθεν ἤδη προσδοκᾶν δυσκαταγωνί στοις ἡμᾶς περιπεσεῖσθαι προβλήμασι τοῖς ἐκ τῶν δι' ἐναντίας. ἀλλ' οὐδὲν ὅλως ἐν τούτῳ τὸ χαλεπὸν, "Πάντα "γὰρ ἐνώπια τοῖς συνιοῦσι, κατὰ τὸ γεγραμμένον, καὶ ὀρθὰ 1.486 "τοῖς εὑρίσκουσι γνῶσιν," τουτέστι τοῖς εὐσεβῶς μελετή σασι διερμηνεύειν τε καὶ νοεῖν τὰ ἐν ταῖς θείαις γραφαῖς μυστήρια. ἀπόδειξιν τοίνυν ὥσπερ τινὰ καὶ πληροφορίαν ἐναργῆ τοῦ μὴ ἐκβληθήσεσθαι ἔξω τὸν ἐρχόμενον πρὸς αὐτὸν, ἐν τούτοις ἡμῖν τοῖς λόγοις ποιεῖται Χριστός. ταύτης γὰρ δή τοι, φησὶν, ἕνεκα τῆς αἰτίας κατέβην ἐξ οὐρανοῦ, τουτέστιν, ἄνθρωπος γέγονα κατὰ τὴν εὐδοκίαν τοῦ Θεοῦ καὶ Πατρὸς, μόνον δὲ οὐχὶ καὶ ἀβουλήτοις ὁμιλῆσαι πρά γμασιν οὐ παρῃτησάμην, ἄχρις ἂν ἐξανύσαιμι τοῖς εἰς ἐμὲ πιστεύουσι τὴν αἰώνιον ζωὴν καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, καταργήσας τοῦ θανάτου τὸ κράτος. τί δὲ ἦν ἄρα τὸ ἀνεθέ λητόν τε καὶ θελητὸν τῷ Χριστῷ; ἡ παρὰ τῶν Ἰουδαίων ἀτιμία, λοιδορίαι καὶ ὕβρεις καὶ αἰκίαι καὶ μάστιγες καὶ ἐμπτύσματα, καὶ πρὸς τούτοις ἔτι συκοφαντίαι, καὶ τὸ τελευταῖον ἐφ' ἅπασιν, ὁ τῆς σαρκὸς θάνατος. ταῦτα μὲν γὰρ δι' ἡμᾶς ἑκὼν ὑπέμεινεν ὁ Χριστὸς, ἀλλ' εἴπερ ἐνεδέ χετο μὴ παθόντα κατορθοῦν τὸ ἐφ' ἡμῖν σπουδαζόμενον, οὐκ ἂν ἠθέλησε παθεῖν· ἐπειδὴ δὲ πάντως τε καὶ ἀπαραιτήτως ἔμελλον Ἰουδαῖοι κατατολμᾶν τὰ ἐπ' αὐτῷ γεγονότα, κατα δέχεται τὸ παθεῖν, ποιεῖται δὲ θελητὸν τὸ ἀνεθέλητον, διὰ τὰ ἐκ τοῦ πάθους χρήσιμα, συνευδοκοῦντος αὐτῷ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ χρῆναι πάντα προθύμως ὑπενεγκεῖν ὑπὲρ τῆς ἁπάντων σωτηρίας συγκατανεύοντος. ἐν γὰρ δὴ τούτῳ μάλιστα τὴν ἄμετρον τῆς θείας φύσεως ἀγαθότητα κατο ψόμεθα, ὡς καὶ αὐτὸ δι' ἡμᾶς αἱρετὸν ποιεῖσθαι τὸ ἀπό βλητον οὐ παραιτουμένης. ὅτι δὲ καὶ ἀνεθέλητον μέν πως ἐστι τῷ Σωτῆρι Χριστῷ τὸ ἐπὶ τῷ σταυρῷ πάθος, θελητὸν δὲ δι' ἡμᾶς καὶ τὴν εὐδοκίαν τοῦ Θεοῦ καὶ Πατρὸς, συνήσεις 1.487 ἐντεῦθεν. μέλλων γὰρ ἀναβαίνειν ἐπ' αὐτὸν, τὰς πρὸς Θεὸν ἐποιεῖτο διαλέξεις, ὡς ἐν προσευχῆς δηλονότι σχήματι λέγων "Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· "πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ·" ὅτι μὲν γὰρ Θεὸς ἦν ὁ Λόγος ἀθάνατός τε καὶ ἀδιάφθορος, καὶ αὐτὸ κατὰ φύσιν ζωὴ, καταπτήσσειν οὐκ ᾔδει τὸν θάνατον, πᾶσιν οἶμαι προδηλότατον· ἐπιτρέπει γεμὴν ὡς ἐν σαρκὶ γεγονὼς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπο μένειν τὰ ἴδια τῇ σαρκὶ, καὶ γεγονότα λοιπὸν ἐπὶ θύραις ὑποπτήσσειν τὸν θάνατον, ἵνα φαίνηται κατὰ ἀλήθειαν ἄνθρωπος· διὰ τοῦτό φησιν "Εἰ δυνατὸν, παρελθέτω ἀπ' "ἐμοῦ τὸ ποτήριον τοῦτο." εἰ ἐνδέχεται, φησὶν, ὦ Πάτερ, μὴ παθόντα τὸν θάνατον κατορθῶσαι τοῖς εἰς αὐτὸν πεσοῦσι τὴν ζωὴν, εἰ ἀποθνήσκει θάνατος μὴ τεθνεῶτος ἐμοῦ, κατὰ τὴν σάρκα δὲ δηλονότι, παροιχέσθω, φησὶ, τὸ ποτήριον· πλὴν ἐπειδήπερ οὐκ ἂν γένοιτο, φησὶν, ἑτέρως, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ὁρᾷς ὅπως ἀτονοῦσα μὲν πάλιν ἡ ἀνθρώπου φύσις καὶ ἐν αὐτῷ τῷ Χριστῷ, τὸ ὅσον εἰς ἑαυτὴν, εὑρίσκεται· ἀνακομίζεται δὲ διὰ τοῦ ἑνωθέντος αὐτῇ Λόγου πρὸς εὐτολμίαν θεοπρεπῆ, καὶ εἰς φρόνημα νεανικὸν μεταπαιδεύεται, ὡς μὴ τοῖς ἰδίοις τὸ δοκοῦν ἐπιτρέψαι θελή μασιν, ἀλλὰ σκοπῷ μᾶλλον ἀκολουθεῖν τῷ θείῳ, καὶ πρὸς ἐκεῖνο τρέχειν ἐπείγεσθαι, πρὸς ὅπερ ἂν ἡμᾶς ὁ τοῦ πεποιη κότος ἀνακαλῇ νόμος. ὅτι δὲ τὰ τοιαῦτά φαμεν ἀληθεύοντες, καὶ ἐξ αὐτοῦ μαθήσῃ τοῦ συνεζευγμένου "Τὸ μὲν γὰρ "πνεῦμα, φησὶ, πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής·" οὐ γὰρ ἠγνόησε Χριστὸς, ὅτι τῆς θεοπρεποῦς ἀξίας πολὺ δὴ λίαν ἀπελιμπάνετο, τὸ δοκεῖν ἡττᾶσθαι θανάτῳ καὶ τῆς ἀπ' 1.488 αὐτοῦ δειλίας αἰσθάνεσθαι· διὰ τοῦτο θερμοτάτην τοῖς εἰρη μένοις ἐπήνεγκε τὴν ἀπολογίαν· ἠσθενηκέναι μὲν γὰρ τὴν σάρκα διὰ τὸ αὐτῇ πρέπον καὶ φύσει προσὸν εἰπών· πρό θυμον δ' οὖν ὅμως ὑπάρχειν τὸ πνεῦμα, τὸ παθεῖν οὐδὲν τῶν ἀδικούντων εἰδός· ὁρᾷς ὅπως ἀβούλητος τῷ Χριστῷ διά τε τὴν σάρκα καὶ τὴν ἐκ τοῦ πάθους ἀδοξίαν ὁ θάνατος ἦν· θελητὸς δ' οὖν ὅμως, ἄχρις ἂν εἰς αἴσιον διεξάγηται πέρας τῷ κόσμῳ παντὶ τὸ ἐν εὐδοκίᾳ τοῦ Πατρὸς, τουτέστιν, ἡ πάντων σωτηρία καὶ ζωή; ἢ γὰρ οὐχὶ πάντως δήπου καὶ ἀληθῶς τὸ τοιοῦτον ἡμῖν κατασημαίνων ὁρᾶται, τοῦτο λέγων εἶναι τὸ θέλημα τοῦ Πατρὸς, ἵνα τῶν προσαγομένων ἀπολέσῃ μηδὲν, ἀλλ' ἀναστήσῃ αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ; ὡς γὰρ ἤδη φθάσαντες προεδιδάξαμεν, ὡς ζωῇ καὶ Σωτῆρι τῷ Χριστῷ, τὸν ζωῆς καὶ σωτηρίας ἐπιδεᾶ προσκομίζει φιλάνθρωπος ὢν ὁ Θεὸς καὶ Πατήρ. Ἀλλ' αἰσθάνομαι πάλιν ἀπᾴδοντα λέγων τῷ τῆς ἀλη θείας ἐχθρῷ. συγκατανεύσει μὲν γὰρ τοῖς ἀρτίως ἡμῖν εἰρημένοις οὐδαμῶς· ἀναβοήσει δὲ μέγα καὶ διαπρύσιόν τι κεκραγὼς ἀφίξεται Ποῖ δὴ πάλιν ἡμῖν περιπλανᾷς, ὦ οὗτος, τὰ θεωρήματα, καὶ πολυπλόκους μὲν ἐπινοεῖς νοη μάτων ἐπεισφορὰς, ἐξέλκεις δὲ τῆς ἀληθείας τὸν λόγον; ἐρυθριᾷς δὲ κατὰ τὸ εἰκὸς ὁμολογῆσαι, φησὶ, τὴν ἀκούσιον ὑποταγὴν τοῦ Υἱοῦ. ἢ γὰρ οὐκ ἔσται καὶ διὰ τούτων ἡμῖν καταφανὲς, ὅτι κατάρξει μὲν αὐτὸς καὶ καθηγήσεται τῆς ἐν τοῖς πράγμασιν οἰκονομίας οὐδαμῶς, ὑπόκειται δὲ μᾶλλον τοῖς θελήμασι τοῦ Πατρός; οἶδε γὰρ οὕτως ἑαυτὸν τῆς πρὸς αὐτὸν ἰσότητος ἡττώμενον, ὡς καὶ ἀναγκάζεσθαι τρόπον τινὰ καὶ τὰ ἀνεθέλητα ποιεῖσθαι θελητὰ, καὶ πράττειν οὐ πάντως τὸ αὐτῷ δοκοῦν, ἀλλὰ μᾶλλον τὸ τῷ Πατρί. καὶ μὴ λέγε 1.489 μοι πάλιν, φησὶν, εἰς τὴν ἐνανθρώπησιν περιέλκων τὸ εἰρη μένον Ὡς ἄνθρωπος ὑποτάσσεται. ἰδοὺ γὰρ ὡς ὁρᾷς, Θεὸς ὢν ἔτι καὶ Λόγος γυμνὸς καὶ ἀσύμπλοκος τῆς σαρκὸς κατα βέβηκεν ἐξ οὐρανοῦ, καὶ πρὶν ὅλως τὴν τοῦ δούλου περιτε θῆναι μορφὴν ὑπετάττετο προὔχοντι δηλονότι καὶ κατάρχοντι τῷ Πατρί. Δεινοῖς μὲν ἡμῶν, ὦ γενναῖε, καθάπερ οἴει δὴ πάντως, καὶ λίαν εὐτροχωτάτοις καθιππεύεις λόγοις, οὐ μὴν δι' εὐθείας ἰοῦσιν, ἀλλ' ἐκτὸς ὁδοῦ τῆς βασιλικῆς τε καὶ τετριμμένης ἐκσεσοβημένοις, ἀφεὶς δὲ, ὡς ὁ παρ' Ἕλλησιν ἔχει λόγος, τὴν ἁμαξιτὸν, ἐπὶ κρημνοὺς ἐπείγῃ καὶ πέτρας. διατείνεσθε μὲν γὰρ εἰκῇ πρὸς ἡμᾶς τὸ πείθεσθαι τῷ Πατρὶ τὸν Υἱὸν, ἄνω τε καὶ κάτω λέγοντες, ὡσανεὶ καί τινος τῶν ὀρθὰ φρονεῖν εἰωθότων, ὅτι χρὴ πρεσβεύειν τὸ ἐναντίον, ἐνθυμου μένου, καὶ οὐχὶ δὴ μᾶλλον καὶ συναγορεύειν ὑμῖν ἐπὶ τούτῳ διεγνωκότος. οὐ γὰρ στασιάζουσάν ποτε καθ' ἑαυτῆς τὴν ἁγίαν τε καὶ ὁμοούσιον Τριάδα νοήσομεν, ἀλλ' οὐδὲ εἰς διαφόρους κατασχίζεσθαι γνώμας, ἢ καὶ καταμερίζεσθαί πως εἰς τὸ ἰδίᾳ δοκοῦν, ἢ τὸν Πατέρα τυχὸν, ἢ τὸν Υἱὸν, ἢ τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλὰ συμφέρεσθαι μὲν ἐφ' ἅπασιν, ὡς ἐκ μιᾶς δὲ δῆλον ὅτι θεότητος, ἓν ἀεὶ πάντως καὶ τὸ αὐτὸ θέλημα ἐν ὅλῃ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῇ ἁγίᾳ κεῖσθαι Τριάδι. ἀργείτω τοιγαροῦν ὁ μακρὸς ἡμῖν περὶ τούτων λόγος, καὶ ἡσυχαζέτω τὸ φιλο νεικεῖν ἀναπεῖθον ἐφ' οἷς ἥκιστα χρή· οὐδενὸς γὰρ ἐπὶ τούτῳ χαλεπαίνοντος, περιττὸν ὑμῖν ἔτι τὸ διατείνεσθαι. Ἐπειδὴ δὲ δυστροπώτατα φρονεῖν τε καὶ νοεῖν εἰθισμένοι, τὸ συμφέρεσθαι τοῖς θελήμασι τοῦ Πατρὸς τὸν Υἱὸν, τὴν ὡς ἐξ ἀνάγκης ὑποταγὴν ὀνομάζετε, πρὸς τοῦτο δὴ πάλιν τὰ εἰκότα πρὸς ὑμᾶς διαλεξόμεθα. ἐν ἁπλότητι μὲν γὰρ εἰ προεκομίσθη παρ' ὑμῶν ἡ τοιαύτη φωνὴ, κἂν εἰκότως 1.490 ἐφησυχάζοντες, τὸ περὶ τὴν λέξιν ἀδιάφορον οὐ πάντως ἐβασανίζομεν. ἐπειδὴ δὲ μετὰ πολλῆς τινος τῆς κακοηθείας προκεκομισμένην ὁρῶμεν, ἀναγκαίως ἀντιταξώμεθα, τῇ δυ νάμει τοῦ Ἁγίου Πνεύματος, καὶ οὐ τοῖς ἐνοῦσιν ἡμῖν θαρσήσαντες λόγοις. μάλιστα μὲν γὰρ οὐκ ἀπολύτως, οὐδὲ εἰς πᾶσαν ἁπλῶς ὑπόθεσιν, ἀλλ' οὐδὲ ἐπὶ παντὸς πράγματος, μὴ πάντη τε καὶ πάντως τῶν οἰκείων ἔχεσθαι θελημάτων ὁ Υἱὸς διισχυρίσατο, φυλάξαι γεμὴν τὸ τοῦ Πατρὸς λέγει κατὰ πράγματος ὡρισμένου, διὰ τὰς σὰς, ὥς γε μοι πρόσ εστι νοεῖν, εὑρεσιλογίας, προνοήσας τῆς ἡμετέρας ἀσφαλείας, ὡς Θεός. ὑπομένει δὲ τὸ ἀβούλητον, καὶ ποιεῖται θελητὸν δι' ἡμᾶς· πάθος δέ φημι τὸ ἐπὶ τῷ σταυρῷ, δηλονότι συναρέσαν οὕτω καὶ τῷ γεννήσαντι, καθάπερ ἡμῖν ἤδη προείρηται. καὶ γοῦν ἔξεστιν ὁρᾶν παρατεθεῖσαν εὐθὺς τὴν ἀπόδειξιν, καὶ παρακειμένην ἐναργῶς τὴν ὑπόθεσιν, ἐφ' ἣν, καθάπερ αὐτός φησι, τῶν μὲν οἰκείων ἀπέστη θελημάτων, ἀποπληροῖ δὲ τὸ τοῦ Πατρός. τοῦτο γάρ ἐστι φησὶ τὸ θέλημα τοῦ Πατρὸς ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ ἀλλ' ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ ἡμέρᾳ. καὶ ὅτι μὲν ὄντως ἀνεθέ λητόν τε ὁμοῦ καὶ θελητὸν τῷ Μονογενεῖ τὸ ἐπὶ τῷ σταυρῷ πάθος ὁρᾶται, προείρηται μὲν ἤδη σαφῶς, διαληψόμεθα δὲ καὶ ἐσαῦθις ἀκριβεστέραις ἐρεύναις, τοῖς ἐντευξομένοις ἁπλοῦντες τὴν ἀλήθειαν. βαδιοῦμαι δὲ πρότερον ἐπὶ ζήτησιν τῆς λεγομένης παρ' ὑμῶν ὑποταγῆς, προϋποκειμένου δηλονότι καὶ ἀνενδοιάστως ὁμολογουμένου παρ' ὑμῶν, ὅτι συντρέχει τῆς ἁγίας Τριάδος εἰς μίαν βουλήν τε καὶ γνώμην ἀεὶ τὰ θελήματα· λεγέτωσαν τοίνυν ἡμῖν οἱ δεινοὶ σοφισταὶ, πότε ρόν ποτε ἐν τῷ τῆς ὑποταγῆς ὀνόματί τε καὶ πράγματι τὸ 1.491 εἶναί ἐστι τοῦ Υἱοῦ, καὶ τοῦτο αὐτῷ φύσις, ὥσπερ ἀνθρώπῳ τυχὸν ἡ ἀνθρωπότης, ἢ ὑπάρχων πρότερον αὐτὸς ὡς ἐν ἰδίῳ λόγῳ ὑποτάττεται τῷ Πατρὶ, ὥσπερ οὖν ἂν εἴ τις νοήσαι τυχὸν ἐπ' ἀγγέλου καὶ ἑτέρας τινὸς δυνάμεως λογικῆς. ὄντα γὰρ ταῦτα καὶ ὑφεστῶτα, τὸν τῆς ὑποταγῆς δέχεται τρόπον. Εἰ μὲν οὖν ἐν τῷ ὑποτάττεσθαι τῷ Πατρὶ τὸ εἶναί φατε τοῦ Υἱοῦ, ὑποταγὴ μᾶλλον ἔσται καὶ οὐχ υἱός. εἶτα πῶς οὐ λίαν, εἰπέ μοι, ληροῦντες ἀναφανήσεσθε λοιπόν; ὑποταγὴ γὰρ αὐτὴ καθ' ἑαυτὴν πῶς ἂν ὑφεστάναι νοοῖτο μὴ ἐνυπάρ χουσα τῶν ὄντων τινί; τὰ γὰρ τοιαῦτα προϋποκειμένων ἀναγκαίως τῶν ἐν οἷς γίνεσθαι φιλεῖ συμβαίνειν ἔθος, καὶ οὐχ ἑτέρως. θεωροῦνται δὲ μᾶλλον περὶ τὰς οὐσίας, ἤτοι ταῖς οὐσίαις συμβαίνοντα, ἤγουν ὑφεστῶτα καθ' ἑαυτά. καὶ ὥσπερ ἐπιθυμία τυχὸν, ἡ ἐπί τι τῶν ὄντων καλοῦσα καὶ φέρουσα, οὐκ ἂν ὑπάρξαι καθ' ἑαυτὴν, ἐντίκτεται δὲ μᾶλλον τῷ δέχεσθαι πεφυκότι· οὕτως ἡ ὑποταγὴ θελημάτων τινὰ ῥοπὴν ὑπεμφαίνουσα πρὸς τὸ δεῖν ὑποτάττεσθαί τισιν, οὐκ ἐν ἰδίᾳ φύσει νοηθήσεται, ἀλλ' ὡς πάθος ἢ θέλησις ἢ ἐπιθυμία τυχὸν λοιπὸν ἐνυπάρξαι μᾶλλον τῶν ὄντων τινί. ἄλλωστε τὸ τῆς ὑποταγῆς ὄνομά τε καὶ πρᾶγμα, κατ' οὐ δενὸς ἂν νοοῖτο κυρίως ἀδιακρίτως ἐκφωνηθὲν, ἀλλ' οὐδὲ ὅτι φαῦλόν ἐστιν ἢ ἀγαθόν τις διαγνώσεται, εἰ μὴ προσκείμενον ἔχοι τὸ τίνος ἐστὶν ὑποταγή· ὑποτάττεται μὲν γάρ τις τῷ Θεῷ, ἀλλὰ καὶ τῷ διαβόλῳ· καὶ ὥσπερ τὸ σοφὸς ὄνομα μέσον τι ἐστί· "σοφοὶ γάρ εἰσι τοῦ κακοποιῆσαί" τινες, "σοφοὶ δὲ πάλιν κληρονομήσουσι δόξαν," ἔχοντες δὲ δῆλον ὅτι τὴν σοφίαν ἐπ' ἀγαθοῖς· οὕτως ἡ ὑποταγὴ μεσότητά τινα μᾶλλον ἔχει, καὶ οὐκ ἀλήθειαν ὡρισμένως. ἄδηλον γὰρ τίνος ὅλως ὑποταγὴ ἔσται. τοιγαροῦν, καὶ ἐπ' ἀδήλοις ἡμῖν ἡ τοῦ Υἱοῦ φύσις, εἰ νοοῖτο παρ' ὑμῶν ὑποταγή. τίνος γὰρ 1.492 ὑποταγὴ, προσκειμένου μηδενὸς, οὐκ ἂν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

δύναιτό τις ἀψευ δήσας εἰπεῖν. ὅτι δὲ αὐτὴ καθ' ἑαυτὴν οὐχ ὑπάρξει ποτὲ κατ' ἴδιον λόγον ἡ ὑποταγὴ, παχύτερόν πως καὶ ἐναργέ στερον ἐπ' αὐτῶν ἤδη τῶν ποιημάτων καταγαγόντες τὸν λόγον, θεωρήσομεν· δέχου δέ τινα ἐπὶ τούτοις συλλογισμόν. εἰ γὰρ ἐν τῷ ὑποτάττεσθαι τὸ εἶναι δώσομεν τῷ ἀνθρώπῳ τυχὸν, τὸ μὴ εἶναι πάντως αὐτὸν ἐν τῷ μὴ ὑποτάττεσθαι λογιούμεθα· πῶς οὖν ἐλέγετο πρός τινα παρὰ τοῦ μελῳδοῦ, ὡς ὄντα μὲν ἤδη καὶ ὑπάρχοντα, οὐ μὴν ἔτι καὶ ὑποτεταγ μένον "Ὑποτάγηθι τῷ Κυρίῳ καὶ ἱκέτευσον αὐτόν;" ὁρᾷς οὖν ὅπως ἀνόητον κομιδῇ τὸ αὐτὴν ὑφεστάναι καθ' ἑαυτὴν οἴεσθαι τὴν ὑποταγήν; οὐκοῦν ἀνάγκη καὶ συνομολογεῖν ὑπάρχειν τε καὶ εἶναι τὸν Υἱὸν ἐν ἰδίᾳ φύσει πρότερον, εἶθ' οὕτως καὶ ὑποτάττεσθαι λέγειν τῷ Πατρί. τί οὖν, εἰπέ μοι, τὸ ἀναγκάζον ἐστὶ, τὸν ἐκ τῆς οὐσίας ὄντα τοῦ γεννήσαντος, τὸν ἀπαραποίητον τῆς φύσεως αὐτοῦ χαρακτῆρα, τῆς πρὸς αὐτὸν ἀποπίπτειν ἰσότητος, διὰ τὸ πειθήνιον; ἡμεῖς μὲν γὰρ ὀρθὰ φρονοῦντες καὶ λέγοντες, ὁμοούσιον ὄντα τῷ γεγεννη κότι γινώσκομεν, καὶ τὴν ἐφ' ἅπασιν ἰσοτιμίαν αὐτῷ περιτί θεμεν, καὶ κατ' οὐδένα τρόπον τῆς θεοπρεποῦς ἀξίας ἡττᾶ σθαι λογιούμεθα· σὺ δέ μοι σκόπει κατὰ τίνα τρόπον ἐκβαλεῖς τῆς ἰσομέτρου πρὸς τὸν Πατέρα τιμῆς διὰ τὴν λεγομένην ὑποταγὴν, τὸν τοῖς ἴσοις ἐπαγλαϊζόμενον ἀγαθοῖς διὰ τὴν ταυτότητα τῆς οὐσίας. Ἀλλ' αὐτὸ δὴ τοῦτο, φησὶ, τοῖς παρ' ἡμῶν ἐπαγωνιεῖται λόγοις, τὸ πείθεσθαι τῷ Πατρὶ τὸν Υἱὸν, καὶ θελημάτων μὲν τῶν ἰδίων οὐ σφόδρα φροντίζειν, εἴκειν δὲ μᾶλλον τοῖς τοῦ Πατρὸς, ὡς ὑπερκειμένου δηλονότι καὶ μείζονος. Ἀλλ' αὐτὸ δὴ τοῦτο κατὰ τὴν σὴν, ὦ οὗτος, φωνὴν, ὅπερ οἴει τοὺς σοὺς ὠφελήσειν λόγους, πάλιν ἕτερον εὑρήσεις οὐδὲν, ἢ τῆς ἐνούσης ὑμῖν ἀμαθίας καρπόν. εἰ μὲν γὰρ τὸ 1.493 τίς ἀμείνων ἐν ἀξιώματι, καὶ τὸ μεῖζον ἔχων ἐν δόξῃ, διεκρί νομεν, ἔδοξεν ἄν πως καὶ τότε δὴ μόλις εὔκαιρόν τινα λόγον ἔχειν ὑμῖν τὸ θρυλούμενον· ἐπειδὴ δὲ ὁ τῆς ὁμοουσιότητος ἐξετάζεται τρόπος, πῶς οὐ μετρίως ἀσυνετοῦντες ἁλώσεσθε, τὸ μεῖζον ἐν αὐτῇ κατὰ τοῦ ἰδίου γεννήματος ἀπονέμοντες τῷ Θεῷ καὶ Πατρί; τὸ μὲν γὰρ μεῖζον, ἤτοι τὸ ἔλαττον, ἢ ὅπερ ἂν λέγηταί τι τοῖς τοιούτοις ὁμοειδὲς, οὐκ αὐτὰ κυρίως οὐσίας εἶναι δώσομεν· ὥσπερ οὖν ἐλέγομεν καὶ ἐπὶ τῆς ὑποταγῆς, ἀλλ' ἔξωθέν πως εἰσὶ καὶ τῶν περὶ τὰς οὐσίας. τὸ γὰρ ἤδη προϋφεστηκὸς καὶ ὑπάρχον, ἐπιδέξεται τυχὸν ὡς ἐν συγκρίσει τῇ πρὸς ἕτερον τὸ μεῖζον ἢ ἔλαττον· μὴ ὑπο κειμένου δέ τινος καὶ προϋφεστῶτος περὶ ὃ τὰ τοιαῦτα γίνεσθαι φιλεῖ, πῶς ἂν εἶεν αὐτὰ καθ' ἑαυτὰ, καίτοι κατὰ τὴν τοῦ συμβεβηκότος τάξιν νοούμενά τε καὶ ὁριζόμενα; οὐκοῦν ὅταν τὸ ἔλαττον ἢ καὶ τὸ μεῖζον ἡμῖν ὀνομάζηται, τῆς οὐσίας μὲν οὐχ ἅψεσθε τοῦ Μονογενοῦς, ἀλλ' οὐδὲ τῆς τοῦ Πατρὸς, μόναις δὲ ταῖς ἔξωθεν ὑπεροχαῖς ἤτοι μειονε κτήμασι, κατασεμνυνεῖτε μὲν ὥσπερ οὖν οἴεσθε τὸν Πατέρα, διαλοιδορηθήσεσθε δὲ τῷ Υἱῷ, καίτοι διαῤῥήδην ἀκούοντες βοῶντος αὐτοῦ "Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα "τιμᾷ," καὶ ὅτι προσήκοι πάντας τιμᾶν τὸν Υἱὸν καθὼς τιμῶσι τὸν Πατέρα· ἰσοστάθμῳ γὰρ χρῆναι περιβαλέσθαι δόξῃ τὰ μηδαμόθεν εἰς ἔκφυλον ἀλλοτριότητα μερισθῆναι δυνάμενα, λαχόντα δὲ μίαν καὶ τὴν αὐτὴν οὐσίαν, καλῶς γε σφόδρα ποιῶν ἐδίδασκεν ὁ Χριστὸς, "οὐ παρ' ἀνθρώπων "τὴν ἐφ' ἑαυτῷ μαρτυρίαν" λαβεῖν ἐκδεξάμενος, καθάπερ ἔφασκεν αὐτὸς, ἀλλὰ τῶν ὄντων ἁπάντων ἀξιόχρεώς τε καὶ ἀξιώτερος αὐτὸς ἐφ' ἑαυτῷ μάρτυς εἰσβεβηκώς. ἐρεῖ δὲ δὴ πάντως ἀληθῆ κατὰ φύσιν ὑπάρχων ἀλήθεια, καθάπερ οὖν ἔξεστι καὶ ἐξ αὐτῆς ἡμᾶς δοκιμάζειν τοῦτο τῆς τῶν πρα 1.494 γμάτων ποιότητος. τὸ μὲν γὰρ μεῖζον, ἤτοι τὸ ἔλαττον χωρήσῃ ἂν εἰκότως, οὐ κατ' αὐτῆς τῆς τινων οὐσίας, ἀλλὰ κατά τινων τῶν περὶ τὰς οὐσίας τῶν ὄντων· οἷον δὲ δή τι φημί Ἄνθρωπος ἑτέρου τυχὸν ἀνθρώπου, καθ' ὅπερ ἂν ἄν θρωπος νοοῖτο καὶ λέγοιτο, οὐδαμόθεν ἕξει τὸ μεῖζον, ἢ ἔλαττον· οὔτε γὰρ ἐλάττων ἄνθρωπος ἀνθρώπου καθὸ ἄν θρωπος, οὔτε μείζων καθὸ πάλιν ἄνθρωπος. ἴσος γὰρ ἐφ' ἅπασιν ὁ τῆς φύσεως θεωρεῖται λόγος· ὁ αὐτὸς δ' ἂν σώζοιτο λόγος καὶ ἐπ' ἀγγέλων, ἢ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ παντὸς τοῦ πεποιημένου καὶ ἐν τῇ κτίσει κατηριθμημένου. οὐκοῦν ἀχώρητα παντελῶς ἐπ' αὐτῶν τὰ τοιαῦτα τῶν οὐσιῶν εὑρί σκεται, συμβαίνει δὲ ταῖς οὐσίαις, ἤγουν τισὶ τῶν περὶ αὐτὰς, καθάπερ ἐν τοῖς ἀνωτέρω δεδώκαμεν. πῶς οὖν ἔσται μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ, φύσει Θεὸς ὑπάρχων τοῦ κατὰ φύσιν Θεοῦ; τὸ γὰρ ἐξ αὐτοῦ γεγεννῆσθαι τὸν Υἱὸν, ἀναγ κάσει δὴ πάντως καὶ οὐχ ἑκόντας ὑμᾶς ἀποδοῦναι τὸ ὁμοού σιον αὐτῷ. Προϋποκειμένου τοιγαροῦν καὶ ἀναμφιλόγως εἰσβαίνοντος τοῦ κατὰ φύσιν εἶναι Θεὸν τὸν Υἱὸν, ἐπιζητῶμεν, εἰ δοκεῖ, πότερόν ποτε τὴν μὲν ἴσην αὐτῷ τιμὴν ἀπονέμοντες, ὡς πρὸς τὸν ἐξ οὗπέρ ἐστι, καὶ μὴν καὶ δόξαν περιθήσομεν τῷ γεγεννηκότι, ἢ τὸ ἐναντίον ἐξεργασόμεθα, τοῖς κατωτέρω καὶ ἐλάττοσιν ἐξυβρίζοντες τὸν γεγεννημένον, ὅπερ ὄντως ἐστὶ καὶ ἀληθέστερον· δόξα μὲν γὰρ τῷ Πατρὶ τὸ γεννῆσαι τοιοῦτον, ὁποῖός περ ἂν ὑπάρχοι κατὰ φύσιν αὐτός. συμβή σεται δὲ πάντως τὸ ἐναντίον· εὐφημεῖν γὰρ ἀκόλουθον· εἰ μὴ διασώζοι τὴν αὐτῷ πρέπουσαν εὐφυΐαν ὁ Υἱὸς, τὸ μεῖον ἔχων ἢ κατὰ τὴν δόξαν ἢ κατά τι γοῦν τῶν ὅσα προσεῖναι πάντως ἐχρῆν, ἵνα δὴ φαίνοιτο διὰ πάντων παντέλειός τε καὶ ἀληθινὸς ὑπάρχων Θεός. ἔχων δὲ οὕτω φύσεως, εἰ τιμᾷ 1.495 τὸν Πατέρα, μὴ γελάσῃς ἄνθρωπε, μηδὲ ὀφλήσεις δίκην κακύνων ἀμαθῶς, ὅπερ ἥκιστα χρῆν. ἔστι γὰρ δήπου θαυ μάζειν αὐτὸν καὶ ἐπὶ τούτῳ πρέπον, ὅτι καὶ τιμᾷ καὶ ἀγαπᾷ τὸν γεννήσαντα· πᾶν γὰρ εἶδος ἀρετῆς, πηγὴν ὥσπερ τινὰ καὶ ῥίζαν ἔχει τὴν ἀνωτάτω πασῶν οὐσίαν· ἐκφανέντα δὲ πρῶτον ἐν ἐκείνῃ τὰ ἀγαθὰ, καὶ εἰς ἡμᾶς καταῤῥεῖ, τοὺς οἵπερ ἐσμὲν γεγονότες κατὰ τὴν ἐκείνης εἰκόνα. διὰ τοῦτο καὶ ἡμῖν ὁ νομοθέτης τιμᾶν ὅτι χρὴ πατέρα καὶ μητέρα διήγγελλεν, ἀλλὰ καὶ γέρα τούτοις ἐπετίθει τὰ κάλλιστα· μέγιστον οἶμαι δὴ πάντων τὸ πρᾶγμα εἰδὼς, καὶ λοιδορίας ἁπάσης τοσοῦτον ἀπηλλαγμένον, ὡς καὶ μακραίωνος βίου φαίνεσθαι πρόξενον· ὅνπερ οὖν τρόπον ἡμεῖς διὰ τὸ ὑπο τάττεσθαι καὶ καταπείθεσθαι τοῖς γεννήσασιν, οὐχ ἕτεροί τινες κατὰ τὴν φύσιν ὡς πρὸς αὐτοὺς ἀποτελούμεθα, ἀλλ' ὄντες ὅπερ εἰσὶν ἐξ ἀνθρώπων ἄνθρωποι, καὶ τέλειον ἔχοντές τε καὶ ἀποσώζοντες τὸν τῆς ἀνθρωπότητος ὅρον, ἐπιτη δεύομεν ὡς ἐν τάξει λαμπρᾶς ἀρετῆς τὸ πειθήνιον· οὕτω νοήσεις ἐπί τε Πατρὸς καὶ τοῦ Υἱοῦ. ὢν γὰρ ὅ ἐστιν, ἐκ Θεοῦ Θεὸς δηλονότι, τέλειος ἐκ τελείου, χαρακτὴρ ἀπαρα ποίητος τῆς τοῦ γεννήσαντος οὐσίας, λογιεῖται μὲν ἕτερον οὐδὲν, ἢ ὅπερ ἂν καὶ αὐτὸς λογίσαιτο τυχὸν, οὗπέρ ἐστι καὶ βουλὴ καὶ Λόγος· ἐθελήσει δὲ πάντως τὰ αὐτὰ τῷ Πατρὶ, τοῖς αὐτοῖς, ἵν' οὕτως εἴπω, τῆς ὁμοουσιότητος νόμοις, εἰς τὸ πάντα συνεθέλειν τὰ ἀγαθὰ τῷ Πατρὶ συνδιακρατούμενος. Σκανδαλίζου τοιγαροῦν, ἄνθρωπε, μηδαμῶς, ὅταν ἀκούσῃς λέγοντος Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. ὃ γὰρ ἐλέγομεν ἐξ ἀρχῆς, τοῦτο πάλιν ἐροῦμεν. κατὰ πράγματος ὡρισμένου καὶ ἐναργοῦς τὸν ἐπὶ τούτῳ λόγον ἐποιήσατο ὁ Χριστός. 1.496 διδάσκων γὰρ, ὅτι τὸ ὑπὲρ πάντων τεθνάναι θελητὸν μὲν ἔχει διὰ τὸ οὕτω βεβουλῆσθαι τὴν θείαν φύσιν, ἀνεθέλητον δὲ διὰ τὰ ἐπὶ τῷ σταυρῷ πάθη, καὶ τὸ ὅσον ἧκεν εἰς τὴν σάρκα παραιτουμένην τὸν θάνατον, τὰ τοιαῦτά φησι. καὶ μακρὸς μὲν ἡμῖν ἤδη προανήλωται λόγος· ὅτι δὲ καὶ ἀνεθέ λητόν πως ὁρᾶται τῷ Σωτῆρι Χριστῷ, καθόπερ ἦν ἄνθρω πος, τὸ ἐπὶ τῷ σταυρῷ πάθος, καὶ ἐξ αὐτῆς ἀκόλουθον ἡμᾶς τῆς τῶν πραγμάτων φύσεως κατιδεῖν. φαμὲν οὖν, ὅτι τῆς Ἰουδαϊκῆς ἔργον ἦν ἀπονοίας, τὸ πάντη τε καὶ πάντως σταυ ρωθήσεσθαι τὸν Χριστὸν, καὶ τοῦτο ἀνυπερθέτως ἔμελλεν ἔσεσθαι παρ' αὐτῶν, οὐκ ἀμελέτητον ἐχόντων τὴν τόλμαν τὴν ἐπὶ τούτοις, ἀφ' ὧν ἤδη πεπράχεσαν εἴς τε τοὺς ἁγίους προφήτας, καὶ τοὺς οἵπερ ἂν ἦσαν κατ' ἐκεῖνο καιροῦ γεγο νότες ἅγιοι. ἐπειδὴ δὲ οὐχ ἑτέρως ἦν τὸ πεπτωκὸς εἰς θάνατον, ἐξαναστῆσαι πάλιν εἰς ζωὴν, εἰ μὴ γέγονεν ἄν θρωπος ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, ἔδει δὲ πάντως γεγο νότα παθεῖν· τὸ ἀνεθέλητον ἐποιήσατο θελητὸν, καὶ τοῦτο τῆς θείας φύσεως διὰ τὴν εἰς ἡμᾶς καταδεξαμένης ἀγάπην. Ἡ γὰρ πάντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τεχνῖτις σοφία, τουτέστιν ὁ Υἱὸς, τὸ ἐκ διαβολικῆς δυστροπίας σκευωρηθὲν, φημὶ δὲ τὸν ἑαυτοῦ κατὰ σάρκα θάνατον, ὁδὸν ἡμῖν σωτηρίας καὶ θύραν ἀνέδειξε ζωῆς, καὶ ἀντέστραπται τῷ διαβόλῳ τὰ ἐν ἐλπίσι, καὶ μόλις ἔγνω παθὼν, ὅτι σκληρὸν αὐτῷ τὸ θεομαχεῖν. δοκεῖ δέ μοι καὶ ὁ θεσπέσιος μελῳδὸς τοῖς περὶ τούτων συμφέρεσθαι λόγοις, καί τι τοιοῦτον ὑποδηλοῦν, ὅτε φησὶν, ὡς περὶ Χριστοῦ καὶ τοῦ διαβόλου "Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει "αὐτόν·" παγίδα μὲν γὰρ συνεπήξατο τῷ Χριστῷ τὸν 1.497 θάνατον ὁ διάβολος, ἀλλ' ἐν αὐτῇ τεταπείνωται τῇ οἰκείᾳ παγίδι. λέλυται γὰρ ὁ θάνατος ἐν θανάτῳ Χριστοῦ, καὶ κατηργήθη τύραννος ὁ πεσεῖσθαι μὴ προσδοκῶν. καὶ μα κρὸν μὲν ἦν ἐπὶ τούτοις ἐπιθεῖναι λόγον οὐ χαλεπὸν, ὃ δὲ ἦν ἐν χερσὶν, αὐτὸ δὴ πάλιν ἐροῦμεν. εἰ μὴ κυρίως τε καὶ ἀληθῶς θελημάτων ἦν ἔργον Ἰουδαϊκῶν, καὶ τῶν ἐν ἐκείνοις ἀνοσίων τολμημάτων καρπὸς ὁ θάνατος τοῦ Χριστοῦ, κρῖμα δὲ ἦν τὸ θεῖον, ὥσπερ οἴονταί τινες, τὸ πάντως ἄγον εἰς τοῦτο· πῶς οὐκ ἔδει λοιπὸν καὶ ὡς ἐξ ἀνάγκης ἤδη πληροῦ σθαι τὸ δόξαν δι' ἀνθρώπων δὴ πάντως, καὶ οὐχ ἑτέρως; εἶτα πῶς ἂν, εἰπέ μοι, δικαίως ἔτι κολάζοιντο ταῖς ἀπαραι τήτοις τοῦ Θεοῦ ψήφοις ὑπηρετοῦντές τινες; πῶς δὲ δείλαιος καὶ ἐν ἀμείνοσιν "εἰ μὴ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος" δι' οὗ παρεδόθη ὁ Χριστός; εἰ γὰρ θελητὸν τῷ Σωτῆρι τὸ πάθος, καὶ ἀνεθέλητον οὐδαμῶς καθ' ἕτερόν τινα τρόπον νοοῖτο, ποίαν ἂν εὐλόγως εἰσπράττοιτο δίκην, ὁ θελημάτων δεσπο τικῶν καὶ τῶν ἐσομένων ἀπαραιτήτως ὑπηρέτης ἀναδεδειγ μένος; ἢ γὰρ οὐχ ἅπασιν ἔσται διαφανὲς, ὅτι πάντως ἔδει γενέσθαι τὰ τῇ θείᾳ τε καὶ ἀῤῥήτῳ δόξαντα φύσει, γενέσθαι δὲ πάντως διά τινων; ἀλλ' ἔστι καὶ διὰ τούτων καὶ διὰ πλειόνων ἑτέρων συνιδεῖν, ὡς ἐπείπερ ἐξ οὐρανῶν καταβέ βηκεν ὁ Υἱὸς τὸν ὑπὲρ ἁπάντων ὑπομεῖναι θάνατον, ἑκών τε ὁμοῦ καὶ ἄκων, ἵνα πάντας ἀναστήσῃ τῇ ἐσχάτῃ ἡμέρᾳ, δόξαν οὕτω καὶ αὐτῷ τῷ Πατρὶ διὰ τὸ πᾶσι συμφέρον· ἑτεροφυᾶ δὲ οὐδαμῶς, ἢ κατά τι γοῦν ἡττώμενον τοῦ γεγεν νηκότος ἑαυτὸν νοεῖσθαι διὰ τούτων βούλεται. Τὸν μὲν οὖν δι' ἐναντίας ὑπερυθριάσειν ἤδη, καὶ τοῖς περὶ τούτων ἡμῖν οὐκ ἀντιτάξεσθαι λόγοις ὑπολαμβάνω· 1.498 ἐνισταμένῳ δὲ πάλιν καὶ φιλονεικεῖν ὅτι πρέποι διεγνω κότι μακρότερον ἐκεῖνό φημι. Εἰ καταβέβηκεν ἐξ οὐρανῶν ὁ Υἱὸς οὐ τὸ οἰκεῖον ἀποπληρώσων θέλημα, καθάπερ αὐτός φησιν, ἀλλὰ τὸ τοῦ Πατρὸς, καί σοι τῆς ἀρτίως ἡμῖν εἰρη μένης ἐπὶ τούτῳ θεωρίας οὐχ ἡδεῖς οἱ λόγοι φανοῦνται τυχόν· ἆρ' οὐκ ἀναγκαῖον εἰπεῖν ἀντιτετάχθαι πως αὐτοῖς τὰ θελήματα, καὶ διωρίσθαι κατὰ τὸ ἐναντίον τὴν βούλησιν; ἀλλ' ἔστι δὴ πᾶσιν ὁμολογούμενον. εἰ μὲν γὰρ τὸ διεῖργον οὐδὲν, μία δήπου πάντως ἐν ἀμφοῖν ἡ θέλησις· εἰ δὲ ὡς ἑτέραν τινὰ παρὰ τὴν τοῦ Πατρὸς ὑπάρχουσαν παρελαύνει μὲν τὴν ἑαυτοῦ, πληροῖ δὲ ἐκείνην, πῶς οὐκ ἀσυνέτως ἐροῦμεν μίαν εἶναι, καὶ οὐχ ἑτέραν ὡς πρὸς ἑτέραν; Ἴδωμεν τοίνυν ἐν τίσιν ἐστὶν ἡ θέλησις τοῦ Πατρός· οὕτω γὰρ δὴ καὶ τὴν ἑτέραν, ὅποι ποτὲ βλέποι, διαγνωσό μεθα. οὐκοῦν ἡ μὲν βούλησις τοῦ Πατρὸς, ὡς αὐτὸς εἴρηκεν ὁ Σωτὴρ, ἵνα πᾶν ὃ δέδωκεν αὐτῷ μὴ ἀπολέσῃ ἐξ αὐτοῦ ἀλλ' ἀναστήσῃ αὐτὸ τῇ ἐσχάτῃ ἡμέρᾳ. καὶ ἀγαθὴ μὲν ὅτι καὶ φιλάνθρωπος οὐδεὶς ἀντερεῖ· μεθιστάντες δὲ πρὸς τὴν ἐναν τίως ἔχουσαν βούλησιν τοῦ Υἱοῦ τὰς ἐννοίας, οὔτε φιλάν θρωπον, οὔτε μὴν ὅλως εὑρήσομεν ἀγαθὸν, φρονοῦντα δὴ πάντως τἀναντία τῷ Πατρὶ, καὶ οὔτε διασώζειν ἡμᾶς, οὔτε μὴν ἐκ θανάτου διανιστᾶν ἐθέλοντα. πῶς οὖν ἔτι ποιμὴν ἀγαθὸς, πῶς δὲ σημεῖον ἡμῖν τῆς ἐνούσης αὐτῷ φιλανθρω πίας ἐτίθει, τὸ διδόναι τὴν ψυχὴν ὑπὲρ ἡμῶν; εἰ μὲν γὰρ καταβέβηκεν ἐξ οὐρανῶν, ἵνα τοῦτο πληρώσῃ καθ' ἑκούσιον βούλησιν, πῶς οὐ τὸ ἴδιον θέλημα πληροῖ, μήτε ἀπολλύων τὸ προσαγόμενον, ἀλλὰ καὶ διανιστὰς κατὰ τὴν ἐσχάτην ἡμέραν; εἰ δὲ οὐκ ἔστιν ἐν θελήσει τοῦτο αὐτῷ, ὑπηρετεῖ δὲ μᾶλλον τοῖς θελήμασι τοῦ Πατρὸς, καὶ διανιστὰς καὶ δια σώζων, τοὺς ἀπολωλότας δηλονότι καὶ τῷ θανάτῳ κεκρατη μένους, πῶς οὐκ ἀληθεύσομεν, οὔτε ἀγαθὸν, οὔτε μὴν 1.499 ἑτέρως φιλάνθρωπον εἶναι διαβεβαιούμενοι τὸν Υἱόν; παυ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

έσθω τοίνυν ὁ χριστομάχος, πανταχόθεν αὐτῷ πρὸς δυσφη μίαν κατηγορουμένου τοῦ προβλήματος, καὶ πικροῖς ἡμᾶς περὶ τούτων μὴ καθυλακτείτω λόγοις. Τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ Πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ. Ὁρισάμενος ἤδη τὸ ἀγαθὸν θέλημα τοῦ Πατρὸς, ἀπολευ καίνει πάλιν αὐτὸ, καὶ πλατύτερον εἰς ἐπίσκεψιν τοῖς ἀκροω μένοις προτίθησι, διὰ τοῦ καὶ ἐσαῦθις ἀναλαβεῖν. τίς γὰρ ἂν γένοιτο τῆς προσαγωγῆς ὁ τρόπος, καὶ τί τὸ ἐκ τοῦ προσῆχθαι κερδανοῦσί τινες, ἐξηγεῖται λαμπρῶς. δίδωσι τοίνυν ὁ Πατὴρ τῷ Υἱῷ ζωοποιεῖν ἰσχύοντι τὰ ζωῆς ἐπιδεᾶ· δίδωσι δὲ οὕτως, ὡς διὰ γνώσεως ἐντιθεὶς ἑκάστῳ δηλονότι τὴν ἐφ' Υἱῷ κατάληψιν ἀληθῆ, καὶ τὸ δύνασθαι συνιέναι καθαρῶς ὅτιπερ εἴη Θεὸς ἐκ Θεοῦ Πατρὸς ἀληθινοῦ, ἵν' οὕτως διατεθεὶς, καὶ ταῖς ἐπ' αὐτῷ θεωρίαις κατηγλαϊσμένος, ἐπὶ τὸ ἐκ τῆς πίστεως ἀναφέροιτο γέρας, τουτέστι τὴν μακραίωνα ζωὴν, καὶ τὸν ἀμήρυτον ἐν μακαριότητι βίον. προσάγει μὲν οὖν ὁ Πατὴρ διὰ γνώσεως καὶ θεοπρεποῦς θεωρίας τῷ Υἱῷ, τοὺς οἷς ἂν τὴν θείαν ἐπιψηφίσαιτο χάριν. ζωοποιεῖ δὲ λαβὼν ὁ Υἱὸς, καὶ τὸ ἴδιον ἀγαθὸν τοῖς ἐξ οἰκείας φύσεως καταφθείρεσθαι πεφυκόσιν ἐντιθεὶς, καὶ κα θάπερ σπινθῆρα πυρὸς ἐγκαταχώσας αὐτοῖς τὴν ζωοποιὸν τοῦ Πνεύματος δύναμιν, ὅλους δι' ὅλου μεταπλάττει εἰς ἀθανασίαν. ἀκούων δὲ πάλιν, ὅτι προσκομίζει μὲν ὁ Πατὴρ, τὸ δὲ ἀναβιοῦν δύνασθαι χορηγεῖ τοῖς προστρέχουσιν ὁ Υἱὸς, μὴ πρὸς ἐκτόπους ἀποδημήσεις ἐννοίας, ὡς ἰδίᾳ καὶ μεμερι 1.500 σμένως οἴεσθαί τι ποιεῖν ἑκάτερον, πρὸς ὅπερ ἂν ἔχοι φύσεως ἐπιτηδείως, δέχου δὲ μᾶλλον εἰς νοῦν ὅτι συνεργάτης μέν ἐστιν ὁ Πατὴρ τῷ Υἱῷ καὶ ὁ Υἱὸς αὖ πάλιν τῷ Πατρὶ, καὶ ὅλης, ἵν' οὕτως εἴπω, τῆς ἁγίας Τριάδος ἔργον ἐστὶν ἡ καθ' ἡμᾶς σωτηρία καὶ ἡ ἐκ θανάτου πάλιν εἰς ζωὴν ἐπάνοδος, ἀρκούντως δὲ ἴσθι καὶ τὸν Πατέρα πρὸς πᾶσαν ἔχειν ἰσχύν τε καὶ χρείαν, ὁμοίως δὲ καὶ τὸν Υἱὸν, καὶ προσέτι τὸ Ἅγιον Πνεῦμα· ἔρχεται δὲ διὰ πάσης τῆς ἁγίας Τριάδος τὰ εἰς ἡμᾶς ἀγαθὰ, καὶ τὰ πάντα ἐν πᾶσιν ὁ Θεὸς καὶ Πατὴρ ὁλοκλήρως εὑρίσκεται δι' Υἱοῦ ἐν Πνεύματι. Ἐπιτηρητέον δ' οὖν ὅμως κἀκεῖνο, ὡς πολύ τι τὸ ἀξιό λογον ἐν τῷ πιστεύειν εἰς τὸν Υἱὸν εὑρίσκεται. ζωὴν γὰρ ἔχει τὸ γέρας· εἰ δὲ ἐν Υἱῷ κατὰ φύσιν ἐπιγινώσκεται ὁ Πατὴρ καὶ Θεὸς, τίς ἂν ἀνάσχοιτο λοιπὸν τῶν ἔξω φερόν των αὐτὸν τῆς οὐσίας τοῦ Πατρὸς, καὶ ἀπύλωτον ἐχόντων εἰς τὴν ἐπὶ τούτῳ δυσφημίαν τὸ στόμα; δι' ὧνδε δύνασθαι διανιστᾶν εἰς ζωὴν τὸ πεπτωκὸς εἰς θάνατον ἐπαγγέλλεται, διὰ τούτων αὐτῶν, οὐδεμιᾶς ἤδη μεσολαβούσης ἐξαλλαγῆς, εἰς ταυτότητα φυσικὴν ἀναβαίνει τῷ γεγεννηκότι· ζωῆς γὰρ ἔργον ἴδιον τὸ ζωοποιεῖν, καὶ ἐπείπερ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, ζωὴ πάντως καὶ ὁ κατὰ φύσιν ἐξ αὐτοῦ νοηθή σεται, τουτέστι ὁ Μονογενής. Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν Ἐγώ εἰμι ὁἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ. Ἀγανακτοῦσι πάλιν οἱ τῶν εἰρημένων παρὰ Χριστοῦ συνιέντες οὐδέν· πέφυκε δέ πως ἐν τούτοις ὁρᾶσθαι κατὰ τὸ πλεῖστον ὁ ἀπαίδευτος νοῦς· οὐ γὰρ ἔχοντες περιδράττεσθαι 1.501 τῶν ἐννοιῶν, δι' ὧν ἦν εἰκὸς μεταποιηθήσεσθαί πως ἐπὶ τὸ ἄμεινον, εἰς ἀκαίρους ὀλιγοψυχίας ἐκτελευτᾷ. ἢ γὰρ οὐχὶ καὶ ἀληθὲς ἐπ' αὐτοῖς δὴ πάλιν τοῖς Ἰουδαίοις τὸ εἰρημένον εὑρήσομεν; χαλεπαίνουσι γὰρ διὰ ποίαν αἰτίαν; τίς δὲ αὐτοὺς εἰς τοῦτο κέκληκε λόγος; γογγύζουσι δὲ διατί; καίτοι μᾶλλον ἐχρῆν φιλομαθέστερον τοῖς εἰρημένοις ἐπι στῆσαι τὸν νοῦν, καὶ ἐξ αὐτῶν ἤδη κατασκέπτεσθαι τῶν πραγμάτων τὴν ἀλήθειαν, διά τε τῆς ἐν τοῖς ἀποτελεσθεῖσι μεγαλουργίας, εἰς δοκιμωτάτην ἰέναι σύνεσιν, πότερόν ποτε

διαψεύδοιτο Χριστὸς, ἄρτον ἑαυτὸν, καὶ τοῦτο ἐξ οὐρανοῦ καταβεβηκότα καλῶν, ἤγουν ἀληθεύει, καὶ τοῦτον ἔχων αὐτοῖς τὸν τρόπον ἁλίσκοιτο. οὕτω γὰρ ἦν κρίνοντας ὀρθῶς παιδαγωγεῖσθαι καλῶς πρὸς τὴν τοῦ συμφέροντος εὕρεσιν· ἀλλὰ ζητοῦντες οὐδὲν χαλεπαίνουσι, καίτοι διὰ τῶν ἤδη παρῳχηκότων, ἄρτον ὄντως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ζωῆς καὶ ἀληθινὸν ἐπιδεί ξαντος ἑαυτὸν τοῦ Χριστοῦ, ἀντιδιαστέλλοντός τε τῷ ἐν τύπῳ καὶ σκιᾷ χορηγηθέντι μάννα κατὰ τὴν ἔρημον τοῖς πατράσιν αὐτῶν. "Ὁ γὰρ ἐρχόμενος πρὸς μὲ, φησὶν, οὐ "μὴ πεινάσῃ πώποτε·" ὡς τῶν ἐκεῖνο φαγόντων τὸ μάννα, βραχεῖάν τινα καὶ εὐαπόβλητον κομιδῆ τὴν ἀπόλαυσιν ἐσχη κότων περὶ τὴν σάρκα· τῶν δὲ πρὸς αὐτὸν ἰόντων διὰ τῆς πίστεως, οὐκ εἰς ὁμοίαν τοῖς τότε τὴν ὄνησιν ἀναβησομένων, καρπωσομένων δὲ μᾶλλον διηνεκῆ τῆς εὐλογίας τὴν χάριν. Σφάλλεται τοίνυν τῶν Ἰουδαίων ὁ νοῦς, μόνα βλέπων τὰ ἐπὶ τῆς γῆς· καὶ τοῦτο ἦν ἄρα τὸ ἐπ' αὐτοῖς ᾀδόμενον "Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ "τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον," ἵνα μηδαμόθεν πρὸς τὴν τῶν θείων μυστηρίων ἀνανεύοντες γνῶσιν, κακοὶ κακῶς ἀπόλοιντο διὰ τὰς σφῶν αὐτῶν ἀπονοίας, καὶ τὸ λίαν ἀκρατὲς εἰς ἀπείθειαν. ἀναμιμνησκόμενοι δέ πως τὰ ἐν τοῖς 1.502 Μωυσαϊκοῖς συγγράμμασι, πατρῷον ὥσπερ τινὰ τοῖς Ἰου δαίοις κλῆρον ἐνόντα τὸν ἐπὶ τοῖς ἀρίστοις τε καὶ ἀγαθοῖς γογγυσμὸν εὑρήσομεν· ἀλλ' εἰς πικρὸν καταλῆγον τὸ πρᾶ γμα τέλος, καὶ πάλαι μὲν ἐν ἐκείνοις ἡ πεῖρα, καὶ νῦν ἐπὶ τούτοις οὐδὲν ἧττον ἐπέδειξεν. ἐγόγγυζον ἐκεῖνοι κατὰ τὴν ἔρημον, καὶ ἀχάριστον ἐποιοῦντο κατὰ Θεοῦ τὴν καταβοὴν, ἀλλ' "ὑπὸ τῶν ὄφεων ἀπώλλυντο," καθάπερ που καὶ ὁ σοφὸς διεμαρτύρατο Παῦλος· γογγύζουσι καὶ οὗτοι κατὰ Χριστοῦ, καὶ τὸν νομοθέτην καὶ λυτρωτὴν ταῖς οὕτω μα κραῖς ἀπειθείαις ὑβρίζουσιν· ἀλλ' ἐντελεῖται "τῷ δράκοντι "καὶ δήξεται αὐτοὺς," κατὰ τὸ γεγραμμένον· προκείσονται δὲ θοίνη τῷ παμφάγῳ θηρὶ, καταλήγει γὰρ ὡς ἐξ ἀνάγκης ἀεὶ πρὸς τέλος ἡ ἀπείθεια τὸ παγχάλεπον. Καὶ ἔλεγον Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; Ὦ πολλῆς ἀμαθίας, καὶ ἀκράτῳ μέθῃ κατεσκοτισμένης διανοίας· "ἐπαχύνθη, κατὰ τὸ γεγραμμένον, ἡ καρδία τοῦ "λαοῦ τούτου." θεωρεῖ γὰρ ὄντως οὐδὲν, ὧν ἔδει συνιέναι λαμπρῶς, καὶ γέλωτος ἄξια καὶ φρονεῖ καὶ φθέγγεται· χρῆν γὰρ δήπου μᾶλλον αὐτοὺς τὴν τοῦ πανσόφου Μωυσέως ἐκμελετῶντας συγγραφὴν, τοῖς τε τῶν ἁγίων προφητῶν ἐντρυφῶντας κηρύγμασιν ἐκεῖνο νοεῖν, ὡς οὐ δίχα σαρκὸς, οὐδὲ τῶν διὰ σώματος περιβλημάτων, ὡς ἡμᾶς ἀφίξεσθαι προσεδοκᾶτο Χριστὸς, ἀλλ' ἐν ἀνθρωπείᾳ μορφῇ φανή σεσθαι προεκηρύττετο, καὶ ἐν τῷ κοινῷ δὴ τούτῳ πάντων εὑρεθήσεσθαι σχήματι· διάτοι τοῦτο τὴν μὲν ἁγίαν παρθένον ἕξειν ἐν γαστρὶ, τέξεσθαι δὲ καὶ υἱὸν, προφητικὸς ἡμῖν ἀναφωνεῖ λόγος· ὀμόσας δὲ τῷ μακαρίῳ Δαυεὶδ ἀλήθειαν 1.503 εὑρίσκεται Κύριος, ἣν δὴ καὶ ἀθετήσειν οὐδαμῶς ἐπηγγέλ λετο, ὅτι θήσει τὸν ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἐπὶ τοῦ θρόνου αὐτοῦ, καθὰ γέγραπται· ἐξελεύσεσθαι δὲ καὶ "ῥάβδον "ἐκ τῆς ῥίζης Ἰεσσαὶ" προαπήγγελτο. οἱ δὲ εἰς τοσαύτην ἀλογίαν ἐκτρεχόντες οὐκ αἰσθάνονται, ὡς εἴπερ εἰδεῖεν τὴν κατὰ σάρκα μητέρα τοῦ μετὰ σαρκὸς ἀφίξεσθαι προκεκη ρυγμένου, διὰ τοῦτο χρῆναι δὴ πάντως ἀπειθεῖν οἰομένων, ὅτι καταβέβηκεν ἐκ τῶν οὐρανῶν· εἰ γὰρ καὶ μὴ κατὰ σῶμα τοῦτο γεγονὸς εὑρήσομεν, ἀλλ' ἦν ὡς ἐν οἰκείῳ ναῷ τῷ ἐκ παρθένου σώματι Λόγος ὁ θεῖος, ἄνωθεν ἐκ Πατρὸς ὡς ἡμᾶς ἀφιγμένος, καὶ διὰ τὴν ἁπάντων σωτηρίαν σπέρματος Ἀβραὰμ ἐπιδραξάμενος, ἵνα "κατὰ πάντα τοῖς ἀδελφοῖς" ὁμοιωθῇ, καὶ καλέσῃ πρὸς υἱοθεσίαν τὴν ὡς πρὸς Θεὸν τὴν ἀνθρώπου φύσιν, Θεὸς ἅμα καὶ ἄνθρωπος ἀναδεδειγμένος. ἀλλ' οὐ συνέντες τὴν μετὰ σαρκὸς οἰκονομίαν τοῦ Σωτῆρος ἡμῶν Ἰουδαῖοι, ἀπὸ τοῦ τὴν μητέρα γινώσκειν αὐτοῦ καὶ τὸν πατέρα, καίτοι μὴ ὄντα πατέρα, οὐκ ἐρυθριῶσιν ἀσχάλλοντες, ὅτι καταβῆναι λέγοι Χριστὸς ἐξ οὐρανοῦ. Τύπος δὲ πάλιν ἡμῖν ὠφελείας ἀνατέλλει κἀν τούτῳ πολλῆς· παιδευόμεθα γὰρ διὰ τούτων ἐν τοῖς καθ' ἡμᾶς, ὅτι πολλὴν ἂν ἡμῖν προσοίσῃ ζημίαν τὸ μὴ μᾶλλον τοῖς νοητοῖς τῆς καρδίας ὄμμασι τὴν ἐνοῦσαν τοῖς ἁγίοις περιαθρεῖν ἀρε τὴν καὶ εἰς τὴν ἐγκεκρυμμένην αὐτοῖς δόξαν ἀφορᾶν, ἀλλ' ἐκ τῆς περὶ τὸ σῶμα σμικροπρεπείας πολλάκις οὐδενὸς ἐν τάξει τιθέναι τὸ μέγα παρὰ Θεῷ καὶ τίμιον.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὕτω περὶ τῶν ἁγίων ἐν προφήταις ὁ Θεός που φησὶν, ὡς ἐν ἑνὶ κατὰ πάντων ἁπλώσας τὸν λόγον "Εὐλογημένος ὁ ἄνθρωπος ὃς πέποιθεν "ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ, καὶ ἔσται ὡς "ξύλον εὐθηνοῦν παρ' ὕδατι, καὶ ἐπὶ ἰκμάδα βαλεῖ ῥίζαν "αὐτοῦ, ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ δια 1.504 "λείψει ποιῶν καρπόν. βαθεῖα καρδία παρὰ πάντα, καὶ "ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; ἐγὼ Κύριος "ἐτάζων καρδίας, δοκιμάζων νεφρούς." ὅταν τοίνυν ἡμεῖς τὸν ἐγνωσμένον παρὰ Θεῷ, καὶ ἐν ταῖς ἀρτίως εἰρημέναις τεθαυμασμένον ἀρεταῖς, ταῖς ἀλαζονείαις κατασμικρύνωμεν, εἰς μόνην αὐτοῦ τὴν ἐξωφανῆ καὶ ἐπίκηρον ἀποβλέποντες σάρκα, καὶ τὴν ἐκ τοῦ σώματος ἀδοξίαν πρόφασιν τῆς ἐπ' αὐτῷ σμικροψυχίας ποιησάμενοι, πῶς οὐχὶ τἀναντία φρο νοῦντες τῷ πάντων ἁλωσόμεθα βασιλεῖ, δίκην τε οὕτως ὑφέξομεν οὐ μετρίαν, ἔσθ' ὅτε τὸ ὑψηλὸν λέγοντες ταπεινὸν, καὶ τὸ φῶς τιθέμενοι σκότος, καὶ τὸ γλυκὺ πικρὸν ὁρι ζόμενοι; Φυλακτέον τοιγαροῦν τοῖς ἁγίοις τὰς αὐτοῖς πρεπούσας τιμὰς, καὶ θεωρητέον μᾶλλον αὐτοὺς διὰ τῆς ἔσωθεν καὶ κεκρυμμένης εὐκλείας, ἢ ἐν οἷς ἂν εἶεν διὰ τὴν σάρκα. ἀλλὰ γὰρ οἱ πλεῖστοι τῶν ἐν ἡμῖν, τὸ μὲν ἐν κόσμῳ ταπει νὸν τιμῆς μὲν ὅλως ἢ καί τινος δόξης ἀξιοῦν οὐκ ἀνέχονται, κἂν ὑπάρχοι διαπρεπὴς ἐν ἀρεταῖς, εἰς δὲ μόνην ἀποβλέ ποντες τὴν ἐκ πλούτου πλεονεξίαν, καὶ τὴν εὐδιάφθορόν τε καὶ ὅσον οὐδέπω τεθνηξομένην εὔκλειαν ἐνορῶντες οὐ σφόδρα δικαίοις ὀφθαλμοῖς, παρ' οὐδὲν ποιοῦνται τὸ κρίνειν ὀρθῶς. τοὺς γὰρ δὴ τοιούτους καὶ λίαν εἰκότως διαγελᾷ τοῦ Σω τῆρος ὁ μαθητὴς, λέγων "Ὑποκριταὶ, ἐὰν γάρ τις εἰσέλθῃ "εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι "λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι," εἶτα λέγητε, φησὶ, τῷ μὲν πλουσίῳ πρὸς τῷ δεξιῷ καθέζεσθαι τόπῳ, τῷ δὲ "πτωχῷ Στῆθι ἐκεῖ ἢ κάθου ὑπὸ τὸ ὑποπόδιόν "μου, οὐ διεκρίθητε ἐν ἑαυτοῖς;" καίτοι σκοπεῖν ἐντεῦθεν ἀκόλουθον, πόσης ἂν εἶεν εὐλόγου μομφῆς ὑπαίτιοι γεγο νότες, οἱ τοῖς ἔξωθεν περιβλήμασι, καὶ οὐχὶ τοῖς ἔσωθεν 1.505 ἀγαθοῖς τὸν ἄνδρα θαυμάζοντες. καὶ πλοῦτος μὲν γὰρ καὶ τὸ ἐκ πλούτου λαμπρὸν, ἀλλοτρίαν τινὰ καὶ νόθην τοῖς κεκτημένοις προσοίσειεν ἂν εἰκότως τὴν δόξαν· ἡ δὲ ἐν καρδίᾳ λαμπρότης, καὶ τὸ ἐν ἔργοις ἀγαθοῖς διαφανὲς, γνήσιος ἂν εἶεν καὶ ἐμπεφυκὼς τοῖς ἔχουσι πλοῦτος, οὐ συναπομένων τῇ σαρκὶ, καὶ σὺν αὐτῇ κατασηπόμενος, ἀλλ' ἐνδημούσῃ μὲν ἔτι τῇ ψυχῇ κατὰ τόνδε τὸν βίον συνῳκις μένος, ἐκδημούσῃ δὲ πάλιν συναφιπτάμενος, ὅποι περ ἂν ὁ τοῦ παντὸς νεύσειεν ἡγεμών. πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρὶ, καθάπερ ἠκούσαμεν. Τιμητέον τοιγαροῦν οὐχὶ πάντως ἢ ἀναγκαίως τὸν ἐν πλούτῳ διαφανῆ, καὶ τοῖς ἐπὶ γῆς δοξαρίοις καθάπερ ἐν πίνακι κατακεχρωσμένον, ἐκείνους δὲ μᾶλλον, οἷς ἡ τῶν ἔργων φαιδρότης ἀμάραντον ἀποτίκτει διὰ Θεοῦ τὴν εὔ κλειαν, καὶ τὸ ἔσωθεν ἐναστράπτει κάλλος διὰ πάσης ἰδέας ἀγαθῶν ἐκλελαμπρυσμένους. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Μὴ γογγύζετε μετ' ἀλλήλων. οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτὸν, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Κατασμικρύνουσιν Ἰουδαῖοι τὸν Ἰησοῦν, τὸν μὲν ἐν τοῖς οὐρανοῖς ἀγνοοῦντες Πατέρα, καὶ ὅτι περ εἴη κατὰ φύσιν Υἱὸς τοῦ πάντων δεσπόζοντος, οὐδαμόθεν ἐπιγινώσκοντες, εἰς δὲ μόνην ἀποβλέποντες τὴν ἐπὶ τῆς γῆς μητέρα καὶ τὸν Ἰωσήφ. διὰ τοῦτο θερμότερόν πως αὐτοῖς ὑπαντᾷ, καὶ παραχρῆμα πάλιν ἐπ' αὐτὸ τὸ θεοπρεπὲς ἀξίωμα χρησίμως ἀναπηδᾷ· δι' ὧν οἶδεν, ὡς Θεὸς, καὶ τὸ λάθρα ψιθυρισθὲν καὶ εἰς νοῦν αὐτοῖς ἀναβεβηκὸς, διὰ τούτων αὐτῶν ἐπιτρέπων ἐννοεῖν, ὅτι τῆς ἀληθείας ἐκπίπτουσι, καὶ μικρὰν κομιδῆ τὴν 1.506 ἐπ' αὐτῷ διάληψιν ἐποιήσαντο. τὸν γὰρ ὅλως εἰδότα καρ δίας, ἐξετάζοντά τε τὰ ἐν νῷ κινήματα, καὶ οὐδὲν ἠγνοηκότα τῶν ἐν ψυχαῖς βουλευμάτων, πῶς οὐχὶ μᾶλλον ἐχρῆν δόξῃ μὲν ἤδη καταστέφειν τῇ θεοπρεπεῖ, καὶ ἀνακομίζειν δὲ εἰς τοσοῦτον τῆς ἐν ἀνθρώποις σμικροπρεπείας, ὅσον δὴ ὑπερ κέοιτο τῶν ἐπὶ γῆς ὁ Θεός; ἀνακαλύπτων τοίνυν τὸν ἐν ἀφθόγγοις ἔτι μομφαῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατακεχωσμένον λογισμὸν, καὶ τὸν λάθρα διαψιθυρισθέντα γογγυσμὸν ἐν αὐτοῖς φανερὸν καθι στὰς δι' αἰτίαν ἤδη τὴν εἰρημένην Μὴ γογγύζετέ φησι μετ' ἀλλήλων· εἶτα δεικνὺς, ὅτι θεοδίδακτον ἐν ἀνθρώποις ἀγαθὸν τὸ περὶ αὐτοῦ μυστήριον, καὶ τῆς ἄνωθεν χάριτος ἔργον ἐστὶν ἡ περὶ αὐτοῦ γνῶσις, μηδὲ δύνασθαί φησιν ὡς αὐτὸν ἀφικέσθαι, μὴ οὐχὶ ταῖς τοῦ Πατρὸς νουθεσίαις καθειλ κυσμένον· ἦν δὲ τοῦτο πάλιν ἕτερον ποιοῦντος οὐδὲν ἢ σκοπεῖν ἀναπείθοντος, ὅτι δεήσοι μὲν αὐτοὺς κλάοντας καὶ πικραινομένους, ἐφ' οἷς μὲν ἤδη λελυπήκεσαν ἐλευθεροῦσθαι ζητεῖν, ἀνέλκεσθαι δέ πως καὶ εἰς σωτηρίαν διὰ πίστεως τῆς εἰς αὐτὸν, διὰ βουλῆς τοῦ Πατρὸς, καὶ τῆς ἄνωθεν ἐπικουρίας κατευμαριζούσης αὐτοῖς τὴν ἐν τούτοις ὁδὸν, καὶ λείαν ὥσπερ ἀποτελούσης, τὴν ἐπείπερ ἡμάρτανον ἀφειδῶς ἐκτετραχυ μένην· ἀναστήσειν γεμὴν ἐκ νεκρῶν τὸν πιστεύοντα χρησί μως διεβεβαιοῦτο, καὶ διὰ τούτου πάλιν Θεὸν ὄντα κατὰ φύσιν καὶ ἀληθινὸν τοῖς ἀνοήτοις ἑαυτὸν παριστάς· τὸ γὰρ ὅλως δύνασθαι ζωοποιεῖν, καὶ παλινδρομῆσαι πρὸς ἀναβί ωσιν ἀναγκάσαι τῷ θανάτῳ κεκρατημένον, μόνῃ μὲν ἂν πρέποι δικαίως τῇ τοῦ Θεοῦ φύσει, προσγράφοιτο δὲ τῶν γενητῶν οὐδενί. τοῦ γὰρ ζῶντός ἐστι τὸ ζωοποιεῖν, καὶ οὐχὶ τοῦ παρ' ἑτέρου δανειζομένου τὴν χάριν. 1.507 Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ. Τὴν ἐνυπάρχουσαν τοῖς ἀκροωμένοις ἀπόνοιαν ἐννοήσας ὡς Θεὸς, οὐκ ἀμαρτύρητον ἐᾷ τὸν ἐπὶ τούτῳ λόγον, ἄνωθεν δὲ διὰ τῶν ἁγίων προφητῶν προκεκηρυγμένον ἤδη καὶ προ αναφωνηθέντα δεικνύει, καὶ τὰς τῶν ἀντερεῖν ὅτι πρέποι πάλιν αὐτῷ διενθυμουμένων προαναιρῶν ἀφορμὰς, καὶ τὴν ἐνοῦσαν αὐτοῖς ἀμαθίαν οὐδὲν ἧττον ἀπογυμνῶν, διὰ τοῦ καὶ τοῦτο δὴ πάλιν ἀγνοοῦντας ὁρᾶσθαι, καίτοι νόμῳ παιδαγω γουμένους πρὸς τὴν τῶν ἐσομένων κατάληψιν. ἀναπείθει τοίνυν καὶ οὐχ ἑκόντας ἤδη συννεύειν· οὐ γὰρ ἦν εἰκὸς καὶ ταῖς τῶν ἁγίων προφητῶν ἀντιστατήσειν φωναῖς, ὅτι τοῖς ἀξίοις ἐνηχήσει ὁ Θεὸς καὶ Πατὴρ τὸ περὶ αὐτοῦ μυστήριον, καὶ ἀποκαλύψει τὸν ἴδιον Υἱὸν, ἀποῤῥήτως ἑκάστῳ προσ λαλῶν, καὶ θεοπρεπῶς τὴν ἐπὶ τούτοις σύνεσιν ἐντιθείς. Ἀνωτέρω δὲ λέγων "Οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, "ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτὸν," οὐκ ἀναγκαστικὴν, οὐδὲ βιαιοτάτην οὖσαν ἐπιδεικνύει τὴν ἕλξιν προστιθείς· Πᾶς ὁ ἀκούσας παρὰ τοῦ Πατρός μου καὶ μαθὼν ἔρχεται πρὸς μέ. Ὅπου γὰρ ἀκοὴ καὶ μάθησις καὶ τὸ ἐκ παιδεύσεως ἀγαθὸν, διὰ πειθοῦς δηλονότι καὶ οὐκ ἐξ ἀνάγκης ἡ πίστις· ἀντιληπτικὴ δὲ μᾶλλον, ὡς ἐξ ἀγάπης τοῖς ἀξίοις ἡ ἐπὶ Χριστῷ σύνεσις χορηγεῖται παρὰ τοῦ Πατρὸς ἤπερ ἀναγκα στική· περισώζεσθαι γὰρ ὁ δογματικὸς ἀναγκάζει λόγος τὸ αὐτεξούσιον καὶ αὐτοπροαίρετον τῇ τοῦ ἀνθρώπου ψυχῇ, ἵνα 1.508 δικαίους μὲν ἐπ' ἀγαθοῖς ἀπαιτῇ τοὺς μισθοὺς, σφαλλομένη δὲ τοῦ πρέποντος, καὶ τὸ τῷ νομοθέτῃ δοκοῦν ἐκ ῥαθυμίας ἐκβαίνουσα, τὴν ἐπὶ τῷ κολάζεσθαι δίκην καὶ εὐλογωτάτην ἀποκομίζοιτο. Ἰστέον δὲ ὅτι κἂν λέγοιτό τινας ἐκπαιδεύειν ὁ Πατὴρ τὸ ἐπὶ Χριστῷ μυστήριον, ἀλλ' οὐ μόνος ἐνεργήσει περὶ τοῦτο, ἐπιτελέσει δὲ μᾶλλον ὡς διὰ σοφίας ἰδίας αὐτὸ τοῦ Υἱοῦ. ἐννοεῖν γὰρ ἀκόλουθον, ὡς οὐ δίχα σοφίας ἡ κατὰ σύνεσιν ἔν τισιν ἀποκάλυψις ἔσται παρὰ τοῦ Πατρός. σοφία δὲ τοῦ Πατρός ἐστιν ὁ Υἱός. οὐκοῦν ὡς διὰ σοφίας ἐνεργήσει τοῦ ἰδίου γεννήματος τὴν ἐν τοῖς ἀξίοις ἀποκάλυψιν ὁ Πατήρ. καὶ ἁπαξαπλῶς εἰπεῖν, ἀληθῶς δὲ δὴ πάντως, καὶ οὐχ ἑτέρως, οὐκ ἄν τις ἁμάρτοι, πάνθ' ὅσα πέρ ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ἐνεργήματα τὰ ἐπί τισιν, ἤτοι θελήματα, πάσης εἶναι λέγων τῆς ἁγίας Τριάδος, ὁμοίως δὲ καὶ τὰ αὐτοῦ τοῦ Υἱοῦ, καὶ τὰ τοῦ Ἁγίου Πνεύματος. διὰ γάρτοι ταύτην, ὡς ἐγῷμαι, τὴν αἰτίαν, τοῦ Θεοῦ καὶ Πατρὸς ἀποκαλύπτειν λεγομένου τὸν ἴδιον Υἱὸν, καὶ καλεῖν ἐπ' αὐτῷ τοὺς εἰς τὸ πιστεύειν ἑτοιμοτέρους, καὶ αὐτὸς ὁ Υἱὸς τοῦτο ποιῶν εὑρί σκεται, καὶ τὸ Πνεῦμα δὲ οὐδὲν ἧττον τὸ Ἅγιον. Πέτρῳ μὲν γὰρ τῷ μακαρίῳ φησὶν ὁ Σωτὴρ, τὴν εἰς αὐτὸν πίστιν εὐθαρσέστατα διωμολογηκότι "Μακάριος εἶ Σίμων Βὰρ "Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ "Πατὴρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μου ὁ ἐν τοῖς οὐρανοῖς." αὐτὸς δὲ τοῦτο ποιῶν ἐν ἑτέροις ὁρᾶται. καὶ γοῦν ἐφ' ἑαυτῷ καλῶς δὴ λίαν ὁ Παῦλος ἀποσεμνύνεται, περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου βοῶν "Οὐδὲ γὰρ ἐγὼ παρ' ἀνθρώπου παρέλαβον αὐτὸ, ἢ ἐδιδά "χθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ." ἴδοις δὲ ἂν ὅτι καὶ αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον οὐδὲν ἧττον ἡμῖν ἀποκαλύπτει Χριστόν. ἐπιστέλλει γοῦν ὁ σοφώτατος Ἰω 1.509 άννης "Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ μένει ἐν "ὑμῖν, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς "τὸ αὐτοῦ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων." καὶ αὐτὸς δέ που φησὶν ὁ Σωτὴρ, ὡς περὶ τοῦ παρακλήτου, τουτέστι τοῦ Πνεύματος "Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ "δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα "τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ· οὐ γὰρ "λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἀκούει λαλήσει, καὶ τὰ "ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ "ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν." πνεῦμα γὰρ ἀληθείας ὑπάρχον, φωταγωγήσει τοὺς ἐν οἷς ἂν γένοιτο, καὶ ἐπὶ τὴν τῆς ἀληθείας χειραγωγήσει κατάληψιν. καὶ ταῦτά φαμεν, οὐχ ὡς κατασχίζοντες εἰς ἀλλοτριότητα, καὶ εἰς τὸ διῃρη μένως κατὰ τὸ πᾶν ἢ τὸν Πατέρα τιθέντες τοῦ Υἱοῦ, ἤγουν τὸν Υἱὸν τοῦ Πατρὸς, ἀλλ' οὐδὲ τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀλλ' εἴπερ μία θεότης ἐστί τε ὄντως καὶ οὕτω κηρύττεται ἐν τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ θεωρουμένη Τριάδι, τὰ ἑκάστῳ προσαπτόμενα καὶ ἰδίως ἀνατεθεῖσθαι δοκοῦντα, πάσης εἶναι διοριζόμενοι τῆς θεότητος βουλάς τε καὶ ἐνεργείας. ἐνεργήσει γὰρ δι' ἑαυτῆς οὐ μεμερισμένως ἡ θεία τε καὶ ἀδιαίρετος φύσις, ὅσον ἧκεν εἰς τὸν ἕνα τῆς θεότητος λόγον, εἰ καὶ ὑφέστηκε τῶν νοουμένων ἕκαστον ἰδιοσυστάτως· ἔστι γὰρ ὅ ἐστιν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς ὁμοίως καὶ τὸ Ἅγιον Πνεῦμα. πρὸς δέ γε τοῖς εἰρημένοις περιαθρη τέον κἀκεῖνο· τὰ πρός τι πως ἔχοντα τῶν ὀνομάτων, αὐτὰ δι' ἀμφοῖν γνωρίζεται, καὶ τὴν τοῦ ἑνὸς δήλωσιν ἐν τῇ τοῦ ἑτέρου κατίδοι τις ἄν. οὐκοῦν ἀνάγκη μὲν πᾶσα διὰ Πατρὸς ἀποκαλύπτεσθαι τὸν Υἱὸν, δι' Υἱοῦ δ' αὖ πάλιν τὸν Πατέρα· συνεισάγεται γὰρ πάντως θατέρῳ τὸ ἕτερον, καὶ εἴ τις εἰδείη Πατέρα τῇ φύσει τὸν Θεὸν, ἐννοήσει δὴ πάντως 1.510 τὸν ἐξ αὐτοῦ γεννηθέντα Υἱὸν, ὥσπερ οὖν ἀμέλει καὶ τὸ ἕτερον. ὁ γὰρ Υἱὸν ὁμολογῶν οὐκ ἀγνοήσει τὸν γε γεννηκότα. Οὐκοῦν ᾗ μέν ἐστι Πατὴρ ὁ Θεὸς, οὕτω τε νοεῖται καὶ κηρύττεται, τὴν περὶ τοῦ ἰδίου γεννήματος τοῖς ἀκροωμένοις ἐντίθησι γνῶσιν· ᾗ δὲ Υἱὸς ὁ ἐξ αὐτοῦ κατὰ φύσιν ὀνομά ζεται καὶ ἔστιν ἀληθῶς, διαγγέλλει τὸν Πατέρα· διάτοι τοῦτό φησιν ὡς πρὸς αὐτόν "Ἐφανέρωσά σου τὸ ὄνομα "τοῖς ἀνθρώποις." ἐπειδὴ γὰρ ἐγνώσθη παρὰ τοῖς πεπι στευκόσιν ὁ Υἱὸς, πεφανερῶσθαί φησι τὸ τοῦ γεννήσαντος ὄνομα· νοηθείη δ' ἂν τὴν περὶ τοῦ ἰδίου γεννήματος γνῶσιν ἐντιθεὶς ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ, οὐ φωνῆς ἄνωθεν καταῤ ῥηγνυμένης, καὶ βροντῆς τινος δίκην περικτυπούσης τὴν οἰκουμένην, ἀλλὰ θείας δηλονότι φωταγωγίας ἀναλαμπούσης ἐν ἡμῖν πρὸς κατανόησιν τῆς θεοπνεύστου γραφῆς· εὑρήσεις δὲ πάλιν καὶ πρὸς τοῦτο ἐν ἡμῖν ἐνεργὸν τὸν Υἱόν· γέγραπται γάρ που περὶ τῶν ἁγίων μαθητῶν ὅτι "Τότε διήνοιξεν "αὐτῶν τοὺς ὀφθαλμοὺς," εἰς τὸ νοεῖν δηλονότι τὰς ἁγίας γραφάς. Οὐχ ὅτι τὸν Πατέρα ἑώρακέ τις, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ· οὗτος ἑώρακε τὸν Πατέρα. Προανασκοπήσας πάλιν, ὡς Θεὸς, ὅτι παραδέξονται μὲν οὐδαμῶς τὴν διὰ τοῦ Πνεύματος ἀποκάλυψιν, οὐδὲ τὴν ἄνωθεν μὲν ἐν φωταγωγίαις ἐννοήσουσι σύνεσιν, ἀπαιτή σουσι δὲ διὰ πολλὴν δυσβουλίαν καὶ αὐτὸ τὸ χρῆναι θεωρεῖν τὸν Πατέρα, καὶ, ἵνα οὕτως εἴπωμεν, δι' αὐτοπρο σώπου παιδεύεσθαι θέας, ὅπερ ὡς ᾤοντο τοῖς πατράσιν αὐτῶν ὑπήρχθη ποτὲ, καταφοιτώσης ἐπὶ τὸ ὄρος τὸ Σινᾶ τῆς δόξης τοῦ Θεοῦ· προανασειράζει πάλιν, καὶ ὥσπερ τινὶ 1.511 χαλινῷ περιτρέπει πρὸς τὸ χρῆναι μὴ παχεῖαν ἔχειν ἐπὶ τῷ Θεῷ τὴν διάληψιν, μηδὲ ὁρατὴν ἔσεσθαί ποτε τὴν ἀόρατον οἴεσθαι φύσιν· οὐδεὶς γὰρ πώποτε, φησὶ, τεθέαται τὸν Πα τέρα. ἔοικε δὲ πάλιν καὶ αὐτὸν ὑπαινίττεσθαι τὸν ἱεροφάντην Μωυσέα. ᾤοντο μὲν γὰρ ἀνοήτως δὴ σφόδρα καὶ τοῦτο φρονοῦντες οἱ Ἰουδαῖοι, διὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ εἰσελθεῖν "εἰς τὸν γνόφον" αὐτὸν, τεθεᾶσθαι τὴν ἄῤῥητον τοῦ Θεοῦ φύσιν, καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς κατιδεῖν, ὅπερ ἐστὶ κατὰ φύσιν τὸ ἀκήρατον κάλλος. ἀλλ' ἵνα μή τι γυμνότερον λέγων ἐπὶ τῷ πανσόφῳ Μωυσεῖ, δοκῇ πως αὐτοὺς ἐπὶ τὸ σύνηθες παρο τρύνειν θράσος, ἀδιορίστως τε ἅμα κατὰ πάντων καὶ ὡς ἐπ' ἐκείνῳ φησίν Οὐχ ὅτι τὸν Πατέρα ἑώρακέ τις. μὴ γὰρ δὴ τὰ ὑπὲρ τὴν φύσιν ἀπαιτεῖτε, φησὶ, μηδὲ εἰς τὸ πᾶσι τοῖς γεγο νόσιν ἀνέμβατον παραλόγοις φέρεσθε ταῖς ὁρμαῖς. ἀπέδρα τε γὰρ καὶ διαλέληθεν ἡ θεία καὶ ἀπερινόητος φύσις, οὐχ ὅπως τοὺς ἐν ἡμῖν ὀφθαλμοὺς ὄντας μόνους, ἀλλ' ἤδη καὶ τοὺς ἁπάσης τῆς κτίσεως· ἐν γὰρ τῷ Οὐδεὶς, τὰ πάντα περισχοινίζεται, ἑαυτὸν δὲ καὶ μόνον εἶναί τε ἐκ Θεοῦ καὶ τεθεᾶσθαι τὸν Πατέρα διοριζόμενος, ἔξω τίθησι δηλονότι τῶν πάντων, καθ' ὧν ἂν νοοῖτο τό Οὐδεὶς ἀποφαντικῶς· ἐπειδὴ δὲ ἔξω πάντων ἐστὶ, καὶ οὐδενὸς ὁρῶντος τὸν Πατέρα, μόνος αὐτὸς τοῦ βλέπειν οὐχ ἁμαρτάνει, πῶς οὐκ ἂν νοοῖτο λοιπὸν οὐκ ἐν τοῖς πᾶσιν ὑπάρχων, ὡς εἷς ἐξ αὐτῶν, ἀλλ' ἔξω τῶν πάντων, ὡς ὑπὲρ πάντα; καὶ εἰ πάντων εἶναι λεγομένων παρὰ τοῦ Θεοῦ, καὶ μηδενὸς ὁρῶντος τὸν Πατέρα· "τὰ γὰρ πάντα ἐκ τοῦ Θεοῦ" κατὰ τὴν τοῦ Παύλου φωνήν· μόνος αὐτὸς θεωρεῖ τὸν Πατέρα διὰ τὸ ὑπάρχειν παρὰ Θεοῦ· τό παρὰ τοῦ Θεοῦ ληψόμεθα νοοῦντες ὀρθῶς, ἐπ' αὐτοῦ δὴ καὶ μόνου τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρός. εἰ γὰρ μὴ τοῦτον ἔχει τὸν τρόπον, ὅτου δὴ χάριν, καθάπερ ἤδη προείπομεν, 1.512 πάντων εἶναι λεγομένων παρὰ Θεοῦ, μόνος αὐτὸς ἐπὶ τὴν τοῦ γεννήσαντος ἀναβαίνει θέαν, διὰ τὸ εἶναι παρὰ Θεοῦ; οὐκοῦν εἰρήσεται μὲν ἐπὶ τῶν ποιημάτων καταχρηστικώτερον· παρὰ Θεοῦ γὰρ τὰ πάντα δημιουργητῶς διὰ τὸ παρῆχθαι δι' αὐτοῦ πρὸς γένεσιν· ἐπὶ δὲ τοῦ Υἱοῦ, καθ' ἕτερόν τε καὶ ἀληθέ στερον τρόπον τὸ παρὰ τοῦ Θεοῦ, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν, δεδέξεται. διὸ τοῖς πᾶσιν οὐ συναριθμούμενος, ἀλλ' ἔξω πάντων ὑπάρχων καὶ ἐπάνω πάντων μετὰ Πατρὸς, οὐ συνα σθενήσει τοῖς πᾶσιν, ἅτε δὴ τῆς ἐκείνων ὁμοφυΐας ἐξῃρη μένος, ὡς δὲ εἰς τὴν τοῦ γεννήσαντος ἀνατρέχων φύσιν, κατόψεται πάντως τὸν ἐξ οὗπέρ ἐστι. Τὸ δὲ ὅπως ἢ κατὰ τίνα τρόπον, ἢ αὐτὸς θεωρήσει τὸν Πατέρα, ἢ αὖ πάλιν παρὰ τοῦ Πατρὸς ὀφθήσεται, τῆς μὲν ἡμετέρας γλώττης οὐκ ἔργον εἰπεῖν· νοητέον δ' οὖν ὅμως θεοπρεπῶς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. Θύρα τοιγαροῦν καὶ ὁδὸς εἰς ζωὴν ἡ πίστις, καὶ ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν ἀναδρομή. θαυμάσαι γεμὴν οὐδὲν ἧττον παρέσται τοῖς ἀκροωμένοις καὶ τὴν ἐν τούτοις οἰκονο μίαν. ἐπειδὴ γὰρ οὐδὲν τὸ παράπαν συνέντας αἰσθάνεται, ἀλλ' οὐδὲ ὅτι προσήκοι τοῖς ἐκ προφητῶν ὑποπείθεσθαι λόγοις οἰομένους ὁρᾷ, τὸ μὲν ὅσον ἦν ἀσθενοῦν εἰς πίστιν ὡς ἐκ λογισμῶν ἀνθρωπίνων, ὅρκῳ τῷ πρὸς ἀλήθειαν ὑπο τέμνεται. γέρα δὲ τοῖς πιστεύουσι προτιθεὶς τὰ ἀξιοζήλωτα, καθάπερ τισὶν ὁλκοῖς, ἐπιθυμίαις δηλονότι ταῖς εἰς αὐτὰ, μονονουχὶ καὶ οὐχ ἑκόντας ἐκβιάζεται καὶ ἀναπείθει βαδίζειν ἐπὶ τὸ κηρυττόμενον. τί γὰρ ἂν γένοιτο τῆς αἰωνίου ζωῆς προτιμότερον, τοῖς οἷς γε πικρὸς ὁ θάνατος καὶ τὰ ἐκ τῆς 1.513 φθορᾶς ἀναφαίνεται πάθη; πρέποι δ' ἂν καὶ τοῦτο σοφῷ διδασκάλῳ, τὸ διὰ πάσης φημὶ τῆς εἰς ζωὴν καλούσης ὁδοῦ, τοὺς ἀσύνετόν τι φρονεῖν ἑλομένους μεταπαιδεύειν ἐπὶ τὸ ἄμεινον· αὐτὸς δὲ ὑπάρχων ἡ αἰώνιος ζωὴ, ἑαυτὸν τοῖς πιστεύουσιν ἐπιδώσειν ἐπαγγέλλεται, ὅπερ ἐστὶ τὸ "κατοι "κῆσαι Χριστὸν ἐν ταῖς καρδίαις ἡμῶν διὰ τῆς πίστεως."

**1.514 ΚΕΦΑΛΗ Β.** Ὅτι ζωοποιὸν τὸ ἅγιον σῶμα Χριστοῦ, ἐν οἷς ὡς περὶ ἄρτου φησὶ τοῦ ἰδίου σώματος. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον· οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. ΣΑΦΩΣ δὴ λίαν ἐν τούτοις ἐκεῖνο καταθεάσασθαι παρ έσται τὸ διὰ τοῦ προφήτου προαναφωνούμενον Ἡσαΐου "Εμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ηὑρέθην τοῖς "ἐμὲ μὴ ἐπερωτῶσιν· εἶπα Ἰδού εἰμι τῷ ἔθνει ὃς οὐκ ἐκά "λεσεν τὸ ὄνομά μου· ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα." ὅλην γὰρ τοῦ λόγου τὴν λεβηρίδα περιελὼν, καὶ πᾶσαν, ἵν' οὕτως εἴπω, περιστολὴν ἀποστήσας, ἀκατακαλύπτως ἤδη τοῖς ἐξ Ἰσραὴλ ἑαυτὸν ἐμφανίζει λέγων Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, ἵνα δὴ μάθοιεν, ὡς, εἴπερ ἔχουσι θελητὸν τὸ κρείττους εἶναι τῆς φθορᾶς, καὶ αὐτὸν τὸν ἐκ παραβάσεως ἐπισκήψαντα θάνατον ἀποδύσασθαι, δεήσει βαδίζειν αὐτοὺς εἰς μετάληψιν τοῦ ζωοποιεῖν ἰσχύοντος, καὶ ἀφανίζοντος μὲν τὴν φθορὰν, καταργοῦντος δὲ καὶ τὸν θάνατον· ἔργον γὰρ ὄντως τοῦτο τῆς κατὰ φύσιν ζωῆς ἴδιόν τε καὶ πρεπωδέστατον. ἐπειδὴ δὲ δεδόσθαι τὸ μάννα κατὰ τὴν ἔρημον τοῖς πατράσιν αὐτῶν διαβεβαιούμενοι, τὸν ἄρτον ἀληθῶς τὸν ἐξ οὐρανοῦ κατα φοιτήσαντα, τουτέστι τὸν Υἱὸν, οὐκ ἐδέχοντο, ἀναγκαίαν τοῦ 1.515 τύπου πρὸς τὸ ἀληθὲς ποιεῖται τὴν σύγκρισιν, ἵν' οὕτως εἰδεῖεν οὐκ ἐκεῖνον ὄντα τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, ἀλλ' ὃν ἡ τοῦ πράγματος πεῖρα τοιοῦτον κατὰ φύσιν ὄντα δεικνύει· οἱ μὲν γὰρ ὑμέτεροι, φησὶ, πατέρες τε καὶ πρόγονοι φαγόντες τὸ μάννα, τῇ τοῦ σώματος φύσει τὸ χρέος ἀποδεδώκασι, πρόσκαιρον δι' ἐκείνου τὴν ζωὴν ἀποκερδάναντες, καὶ ἐφή μερον τὴν ἐξ αὐτοῦ τροφὴν τῇ σαρκὶ προσκομίζοντες, τὸ μὴ παραυτίκα τεθνάναι μόλις ἐπραγματεύοντο. εἴη δ' ἂν ἐναρ γεστάτη, φησὶν, ἀπόδειξις τοῦ μὴ ἄρτον εἶναι τὸν ἐξ οὐρανοῦ κατὰ τὸ ἀληθέστερον, τὸ μηδαμόθεν εἰς ἀφθαρσίαν ὠφελεῖ σθαι δι' αὐτοῦ τοὺς μετεσχηκότας· σημεῖον δὲ πάλιν ὁμοίως τοῦ κυρίως τε καὶ ἀληθῶς ἄρτον εἶναι ζωῆς τὸν Υἱὸν, τὸ καὶ αὐτῶν ἀναδείκνυσθαι κρείττονας τῶν ἐκ θανάτου δεσμῶν τοὺς ἅπαξ μετεσχηκότας, καὶ ἀνακεκραμένους τρόπον τινὰ διὰ τῆς κοινωνίας αὐτῷ. ὅτι γὰρ πάλιν εἰς εἰκόνα μᾶλλον, ἢ σκιὰν, τοῦ Χριστοῦ τὸ μάννα λαμβάνεται, καὶ τὸν ἄρτον ὑπεδήλου τῆς ζωῆς, αὐτὸ δὲ οὐκ ἦν ὁ τῆς ζωῆς ἄρτος, εἴρηται μὲν ἡμῖν διὰ πολλῶν· συνεργεῖ δέ πως καὶ ὁ ψαλμῳδὸς ἐν πνεύματι βοῶν "Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγ "γέλων ἔφαγεν ἄνθρωπος." δοκεῖ μὲν γάρ πως ὁ λόγος ἐπὶ τοῖς ἐξ Ἰσραὴλ εἰρῆσθαι παρὰ τοῦ πνευματοφόρου, ἔχει δὲ οὐχ οὕτω τὸ ἀληθὲς, ἐφ' ἡμῖν δὲ μᾶλλον ὁ τῶν εἰρημένων σκοπὸς συντείνεται. ἢ γὰρ οὐκ εὔηθες καὶ ἀνόητον κομιδῇ τοὺς ὄντας κατὰ τὸν οὐρανὸν ἁγίους ἀγγέλους, καίτοι φύσιν λαχόντας τὴν ἀσώματον, παχυτέρας μετίσχειν οἴεσθαι τρο φῆς, καὶ δεῖσθαι βοηθημάτων εἰς τὸ διακρατεῖσθαι πρὸς ζωὴν, ὁποίων περ ἂν καὶ τουτὶ τὸ ἐκ γῆς ἐπιθυμήσαι σῶμα; ἀλλ' οὐδὲν οἶμαι χαλεπὸν ἐννοεῖν, ὡς ἐπείπερ εἰσὶ πνεύματα, τοιαύτης ἂν δέοιντο καὶ τροφῆς, πνευματικῆς δηλονότι καὶ νοητῆς. πῶς οὖν ἄρτος ἀγγέλων τοῖς τῶν Ἰουδαίων προ γόνοις κεχορηγῆσθαι λέγεται, εἰ ἀληθεύοι τὰ τοιαῦτα βοῶν ὁ 1.516 προφήτης; ἀλλ' ἔστι δῆλον, ὡς ἐπείπερ ἦν τὸ μάννα τὸ τυπικὸν εἰς εἰκόνα Χριστοῦ, τοῦ συνέχοντός τε καὶ διακρα τοῦντος εἰς τὸ εἶναι τὰ πάντα, καὶ ἀποτρέφοντος μὲν ἀγγέ λους, ζωογονοῦντος δὲ τὰ ἐπὶ τῆς γῆς, τὸ ὡς ἐν σκιαῖς ὑποδηλούμενον ὀνόματι τῷ τῆς ἀληθείας ὁ προφήτης ἀπε κάλει, τῷ μὴ δύνασθαι τοὺς ἁγίους ἀγγέλους γεωδεστέρας μετίσχειν τροφῆς, παχείας ὥσπερ ἐννοίας, τῆς ἐπὶ τῷ μάννᾳ φημὶ, καὶ οὐχ ἑκόντας ἐξέλκων τοὺς ἀκροωμένους, ἀνακο μίζων δέ πως εἰς λόγον πνευματικὸν, τὸν ἐπ' αὐτῷ δηλονότι τῷ Χριστῷ, ὃς καὶ αὐτῶν ἄρτος τῶν ἁγίων ἐστὶν ἀγγέλων. Οὐκοῦν οἱ μὲν φαγόντες τὸ μάννα, φησὶ, τετελευτήκασιν, ὡς οὐδεμιᾶς δηλονότι ζωῆς μετουσίαν παρ' αὐτοῦ δεξάμενοι· οὐ γὰρ ἦν ὄντως ζωοποιὸν, λιμοῦ δὲ μᾶλλον ἐπίκουρον σαρκικοῦ, καὶ ὡς ἐν τύπῳ τοῦ ἀληθεστέρου παραληφθέν. οἱ δὲ τὸν ἄρτον ἐν ἑαυτοῖς εἰσκομίζοντες τῆς ζωῆς, γέρας ἕξουσι τὴν ἀθανασίαν, φθορᾶς τε καὶ τῶν ἐκ ταύτης κακῶν παντελῶς ἀλογήσαντες, πρὸς ἀμήρυτόν τε καὶ ἀτελεύτητον βίου τοῦ κατὰ Χριστὸν ἀναβήσονται μῆκος. διαλυμανεῖται δὲ τοῖς περὶ τούτων ἡμῶν λόγοις οὐδὲν τὸ καὶ ἀπογεύσασθαι δεῖν θανάτου σαρκικοῦ διὰ τὸ τῇ φύσει πρέπον, τοὺς ἐν μεταλήψει γεγονότας τοῦ Χριστοῦ· ὅτι κἂν εἰ τῷ κοίνῳ δὴ τούτῳ περιολισθαίνοντες τέλει πάθωσι τὸ ἀνθρώπινον, ἀλλ' ὡς ὁ Παῦλός φησι, ζῶσι τῷ Θεῷ ζήσειν μέλλοντες. Ἐγώ εἰμι ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσει εἰς τὸν αἰῶνα. "Τὰ αὐτὰ λέγειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ "ἀσφαλὲς," ἐπιστέλλει τισὶν ὁ θεσπέσιος Παῦλος, ἐξ αὐτῶν οἶμαι καὶ τοῦτο τῶν τοῦ Σωτῆρος πεπαιδευμένος ῥημάτων. 1.517 ὅνπερ γὰρ τρόπον τοῖς ἀγριαίνουσι τῶν τραυμάτων, οὐχ ἑνὸς δεῖ φαρμάκου προσβολῆς, πολυειδοῦς δὲ μᾶλλον τῆς θεραπείας, καὶ οὐχ ἅπαξ τυχὸν προσκομιζομένης, ἀλλὰ τῇ συνεχείᾳ τῆς ἐπαγωγῆς ἐκπολιορκούσης τὸ πάθος· οὕτως οἶμαι δεῖν καὶ ἀπηνεστάτῃ ψυχῇ καὶ νῷ κατεσκληκότι, συχνὰς ἐπαρτύεσθαι, καὶ ἀλλεπαλλήλους ἰέναι τὰς ἐκ τῶν διδασκάλων ἐπικουρίας· καταμαλθάξαι γὰρ ἂν εἴη μὴ διὰ μιᾶς καὶ πρώτης ὑφηγήσεως, ἀλλά γε διὰ τῆς καὶ ἐσαῦθις προσκομιζομένης αὐτῷ, καὶ εἰ διὰ τῶν αὐτῶν ἔρχοιτο λόγων. πολλάκις τοιγαροῦν ὁ Σωτὴρ τὸν αὐτὸν τοῖς Ἰουδαίοις ἀνα κυκλήσας λόγον παρατίθησι ποικίλως, ποτὲ μὲν αἰνιγματώδη καὶ ἀσαφείᾳ πολλῇ κατημφιεσμένον, ποτὲ δὲ διπλόης ἀπά σης ἀπηλλαγμένον, ἀφειμένον τε καὶ ἄνετον, ἵνα λοιπὸν ἀπειθήσαντες, μηδενὸς ἔτι δέοιντο πρὸς κατάκρισιν, κακοὶ δὲ ἀπόλοιντο κακῶς, αὐτοὶ τῆς ἑαυτῶν κατωθοῦντες ψυχῆς τῆς ἀπωλείας τὸ ξίφος. Οὐδὲν τοιγαροῦν ἐπικρυψάμενος ἔτι φησὶν ὁ Χριστός Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. τύπος ἦν ἐκεῖνό φησι, καὶ σκιὰ καὶ εἰκών. ἀκούσατε διαῤῥήδην ἤδη καὶ οὐκέτι κεκαλυμμένως Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου ζήσεται εἰς τὸν αἰῶνα. οἱ ἐξ ἐκείνου φαγόντες ἀπέθανον· οὐ γὰρ ἦν ζωοποιός· ὁ δὲ τοῦτον ἐσθίων τὸν ἄρτον, τουτέστιν ἐμὲ, ἤτοι τὴν σάρκα τὴν ἐμὴν, ζήσεται εἰς τὸν αἰῶνα. παραφυλακτέον τοιγαροῦν καὶ παραιτητέον ὁμοῦ τὸ σκληρύνεσθαι τοῖς εἰς εὐσέβειαν λόγοις, οὐχ ἅπαξ ἡμᾶς, ἀλλὰ καὶ πολλάκις μεταπείθοντος τοῦ Χριστοῦ. εἴη γὰρ ἂν οὐκ ἀμφίλογον, ὡς ἔνοχοι πάντως ἔσονται παγχαλέ ποις ἐγκλήμασιν, οἱ πρὸς ἐσχάτην ἐκνενευκότες ἀπόνοιαν, καὶ δι' ὑπερμέτρου τῆς ἀπειθείας ἐμπαροινεῖν οὐ παραιτού μενοι τῷ τῶν καλλίστων εἰσηγητῇ. διὰ τοῦτό φησι περὶ 1.518 τῶν Ἰουδαίων "Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν 1.518 "οὐκ εἴχοσαν· νυνὶ δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρ "τίας αὐτῶν." οἱ μὲν γὰρ οὐδαμῶς διὰ τῆς ἀκοῆς εἰς καρδίαν εἰσοικισάμενοι τῆς σωτηρίας τὸν λόγον, ἡμερωτέρῳ τυχὸν περιτεύξονται τῷ κριτῇ, τὸ μηδόλως ἀκοῦσαι προτεί νοντες, εἰ καὶ ὅτι μάλιστα τὸν ἐπὶ τῷ μὴ ζητῆσαι μαθεῖν ἀποδώσουσι λόγον· οἱ δὲ καὶ πολλάκις διὰ τῶν αὐτῶν νουθεσιῶν τε καὶ λόγων εἰς τὴν τοῦ συμφέροντος θήραν ἐκπαιδαγωγούμενοι, σφᾶς δὲ αὐτοὺς ὅτι χρὴ τῶν καλλίστων ἀποστερεῖν ἀνοήτως λογιζόμενοι, πικροτάτην ἀποτίσουσι κό λασιν, καὶ οἷον λελυπημένῳ περιπεσοῦνται τῷ κρίνοντι, πρόφασιν τῆς αὐτῆς ἀπονοίας δυσωποῦσαν αὐτὸν ἀνευρί σκειν οὐχ ἔχοντες. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ἀποθνήσκω, φησὶν, ὑπὲρ πάντων, ἵνα πάντας ζωοποιήσω δι' ἐμαυτοῦ, καὶ ἀντίλυτρον τῆς ἁπάντων σαρκὸς τὴν ἐμὴν ἐποιησάμην. τεθνήξεται γὰρ ὁ θάνατος ἐν θανάτῳ τῷ ἐμῷ, καὶ συναναστήσεταί μοι, φησὶν, ἡ πεσοῦσα τοῦ ἀνθρώπου φύσις. γέγονα γὰρ διὰ τούτου καθ' ὑμᾶς, ἄνθρωπος δη λονότι καὶ ἐκ σπέρματος Ἀβραὰμ, ἵνα "κατὰ πάντα τοῖς "ἀδελφοῖς" ὁμοιωθῶ. συνεὶς δὲ τοῦτο καλῶς ὅπερ ἀρτίως ἡμῖν ἔφη Χριστὸς, καὶ αὐτός φησιν ὁ μακάριος Παῦλος "Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ "αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ "θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, "τουτέστι τὸν διάβολον·" οὐ γὰρ ἦν ἑτέρως τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου καταργηθῆναί ποτε, καὶ αὐτὸν δὲ τὸν θάνατον, εἰ μὴ δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν ὁ Χριστὸς, εἷς 1.519 ὑπὲρ πάντων ἀντίλυτρον· ἦν γὰρ ὑπὲρ πάντας. διὰ τοῦτο καὶ ἐν ψαλμοῖς πού φησιν ἑαυτὸν ὑπὲρ ἡμῶν ὥσπερ ἄμωμον ἱερεῖον ἀνατιθεὶς τῷ Θεῷ καὶ Πατρί "Θυσίαν καὶ προσ "φορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώ "ματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας· τότε εἶπον Ἰδοὺ "ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι "τὸ θέλημά σου ὁ Θεὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἠβουλήθην·" ἐπειδὴ γὰρ "αἷμα "ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως" οὐκ ἐξήρκει πρὸς ἀποκάθαρσιν ἁμαρτίας, ἀλλ' οὐδὲ ἡ τῶν ἀλόγων σφαγὴ κατήργησεν ἄν ποτε τοῦ θανάτου τὸ κράτος, αὐτὸς εἰσβαίνει Χριστὸς τρόπον τινὰ τὰς ὑπὲρ ἁπάντων ὑφέξων δίκας. "Τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν," ὡς ὁ προ φήτης φησὶ, καὶ "τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν "τῷ σώματι αὐτοῦ εἰς τὸ ξύλον·" ἐσταυρώθη δὲ ὑπὲρ πάντων καὶ διὰ πάντας, ἵνα ἑνὸς ὑπὲρ πάντων ἀποτεθνη κότος, οἱ πάντες ζήσωμεν ἐν αὐτῷ· οὐ γὰρ ἦν δυνατὸν "κρατεῖσθαι αὐτὸν ὑπὸ" τοῦ θανάτου, ἀλλ' οὐδ' ἂν τῆς κατὰ φύσιν ζωῆς κατεκράτησεν ἡ φθορά. ὅτι δὲ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς τὴν ἑαυτοῦ προσήγαγε σάρκα Χριστὸς, καὶ διὰ τῶν αὐτοῦ γνωσόμεθα λόγων· "Πάτερ γὰρ, φησὶν, ἅγιε "τήρησον αὐτούς·" καὶ πάλιν "Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω "ἐμαυτόν·" ἑαυτὸν δέ φησιν ἁγιάζειν ἐν τούτοις, οὐκ εἰς ἁγιασμὸν ὠφελῶν τὸν ἐν καθάρσει ψυχῆς, ἤτοι πνεύματος, ὡς ἐφ' ἡμῶν νοούμενον, ἀλλ' οὐδὲ τὴν τοῦ Ἁγίου Πνεύ ματος μέθεξιν· ἦν γὰρ ἐν αὐτῷ τὸ Πνεῦμα φυσικῶς· ἦν τε καὶ ἔστιν ἅγιος ἀεὶ, καὶ ἔσται κατὰ τὸ διηνεκές· τὸ δέ Ἁγιάζω φησὶν ἐν τούτοις, ἀντὶ τοῦ Ἀνατίθημι καὶ προσάγω καθάπερ ἄμωμον ἱερεῖον εἰς ὀσμὴν εὐωδίας. ἡγιάζετο γὰρ, ἤτοι κατὰ νόμον ἐκαλεῖτο ἅγιον τὸ τῷ θείῳ θυσιαστηρίῳ προσκομιζόμενον. 1.520 Δέδωκε τοιγαροῦν ὑπὲρ τῆς ἁπάντων ζωῆς τὸ ἴδιον σῶμα ὁ Χριστὸς, ἐνοικίζει δὲ πάλιν ἡμῖν δι' αὐτοῦ τὴν ζωὴν, καὶ ὅπως, ἐρῶ κατὰ δύναμιν. ἐπειδὴ γὰρ ὁ ζωοποιὸς τοῦ Θεοῦ Λόγος ἐνῴκηκε τῇ σαρκὶ, μετεσκεύασεν αὐτὴν εἰς τὸ ἴδιον ἀγαθὸν, τουτέστι τὴν ζωὴν, καὶ ὅλος αὐτῇ κατὰ τὸν ἄῤῥητον τῆς ἑνώσεως λόγον συμβεβηκὼς ζωοποιὸν ἀπέδειξε, καθάπερ οὖν ἐστι κατὰ φύσιν αὐτός. διὰ τοῦτο ζωοποιεῖ τοὺς μετέ χοντας αὐτοῦ τὸ σῶμα Χριστοῦ· ἐξελαύνει γὰρ τὸν θά νατον, ὅταν ἐν τοῖς ἀποθνήσκουσι γένηται, καὶ ἐξίστησι τὴν φθορὰν, τὸν τὴν φθορὰν ἀφανίζοντα Λόγον τελείως ὠδῖνον ἐν ἑαυτῷ. Ἀλλ' ἐρεῖ τις τυχὸν, εἰς τὴν τῶν κεκοιμημένων ἀναβίωσιν τὸν τῆς διανοίας ὀφθαλμὸν ἀπερείσας Οἱ γὰρ πίστιν μὲν τὴν εἰς Χριστὸν οὐ παραδεξάμενοι, μέτοχοί τε οὐ γεγονότες αὐτοῦ, κατὰ τὸν τῆς ἀναστάσεως οὐκ ἀναβιώσονται χρόνον. τί δέ; οὐχὶ παλινδρομήσει πρὸς ζωὴν σύμπαν τὸ ποίημα τὸ πεπτωκὸς εἰς θάνατον; Ἀλλὰ ναὶ πρὸς ταῦτα ἐροῦμεν, ἀναβιώσεται πᾶσα σάρξ· ἐγερθήσεσθαι γὰρ τοὺς νεκροὺς ὁ προφητικὸς προαγορεύει λόγος. λογιούμεθα γὰρ ἐπὶ πᾶσαν διήκειν τὴν ἀνθρωπότητα τὸ διὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ μυστήριον, καὶ ἐν αὐτῷ καὶ πρώτῳ πᾶσαν ἀπολελῦσθαι πιστεύομεν τῆς φθορᾶς τὴν ἡμετέραν φύσιν. πάντες γὰρ ἀναστήσονται, καθ' ὁμοιότητα τοῦ δι' ἡμᾶς ἐγηγερμένου καὶ πάντας ἔχοντος ἐν ἑαυτῷ, καθάπερ ἦν ἄνθρωπος. καὶ ὥσπερ ἐν τῷ πρωτοπλάστῳ κατεκλίθημεν εἰς θάνατον, οὕτως ἐν τῷ πρωτοτόκῳ πάλιν, τῷ δι' ἡμᾶς, ἐκ νεκρῶν ἀναβιώσονται σύμπαντες· ἀλλ' "οἱ "μὲν τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς," καθάπερ γέγραπται, "οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν "κρίσεως." δοίην δ' ἂν ἔγωγε καὶ οὐ τῷ τυχόντι μέτρῳ, 1.521 θανάτου πικρότερον τὸ ἀναστῆναι πρὸς κόλασιν, καὶ εἰς μόνας αἰκίας τὸ ἀναβιῶναι λαβεῖν. κυριώτερον τοιγαροῦν ζωὴν ὄντως τὴν ἐν Χριστῷ νοητέον, τὴν ἐν ἁγιασμῷ καὶ μακαριότητι καὶ ἀδιαπτώτῳ τῇ θυμηδίᾳ· ἐπεὶ καὶ ταύτην ἀληθῶς οὖσαν τὴν ζωὴν ἐξεπίσταται καὶ ὁ σοφὸς Ἰωάννης λέγων "Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ δὲ "ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ "μενεῖ ἐπ' αὐτόν." ἰδοὺ γὰρ ἰδοὺ τὸν ἐν ἀπειθείᾳ κατειλημ μένον τὴν ζωὴν οὐκ ὄψεσθαί φησι· καίτοι παντὸς τοῦ ποιή ματος παλινδρομήσειν εἰς ζωὴν καὶ ἀναστήσεσθαι προσδο κωμένου. πρόδηλον οὖν, ὅτι τὴν τοῖς ἁγίοις ηὐτρεπισμένην, τὴν ἐν δόξῃ φημὶ καὶ ἐν ἁγιασμῷ, ζωὴν εἰκότως ἀπεκάλεσεν ὁ Σωτὴρ, ἣν ὅτι διώκειν δεήσει πρὸς μετάληψιν ἰόντας τῆς ζωοποιούσης σαρκὸς, οὐδενὶ τῶν εὖ φρονούντων ἀμφίβολον. Ἐπειδὴ δὲ διὰ πολλῶν ἤδη τῶν προκειμένων ἄρτον ἑαυτὸν ἀπεκάλεσεν ὁ Σωτὴρ, ἴδωμεν πάλιν, εἰ μήτι τῶν προκατηγγελμένων εἰς νοῦν ἀναφέρεσθαι τὸν ἡμέτερον καὶ διὰ τούτου βούλεται,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τῶν ἐν τοῖς ἱεροῖς κειμένων ἀναμι μνήσκει γραμμάτων, ἐν οἷς ὡς ἐν ἄρτου σχήματι καὶ πάλαι κατεσημαίνετο. γέγραπται τοίνυν ἐν τοῖς ἀριθμοῖς "Καὶ "ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων Λάλησον τοῖς υἱοῖς "Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἐν τῷ εἰσπορεύεσθαι ὑμᾶς "εἰς τὴν γῆν εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, καὶ ἔσται ὅταν "ἔσθητε ὑμεῖς ἀπὸ τῶν ἄρτων τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα "ἀφόρισμα Κυρίῳ· ἀπαρχὴν φυράματος ὑμῶν ἄρτον ἀφαίρεμα "ἀφοριεῖτε αὐτὸ, ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος, οὕτως ἀφοριεῖτε "αὐτὸν, ἀπαρχὴν φυράματος ὑμῶν, καὶ δώσετε τῷ Κυρίῳ "ἀφαίρεμα εἰς τὰς γενεὰς ὑμῶν." αἰνιγματωδῶς μὲν οὖν καὶ παχεῖαν ὥσπερ τὴν ἀπὸ τοῦ γράμματος περιστολὴν ἔχων ὁ 1.522 νόμος τὰ τοιαῦτα διετύπου· προανεφώνει δὲ πάλιν τὸν ἄρτον ὄντως τὸν ἀληθινὸν τὸν ἐξ οὐρανοῦ καταφοιτῶντα, τουτέστι Χριστὸν, καὶ ζωὴν διδόντα τῷ κόσμῳ. ἐννόει γὰρ ὅπως ἄνθρωπος καθ' ἡμᾶς διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν γεγενη μένος, ἀπαρχή τις ὥσπερ τοῦ ἡμετέρου φυράματος καὶ ἀφόρισμα κατὰ τὸ γεγραμμένον, ἀνετέθη τῷ Θεῷ καὶ Πατρὶ πρωτότοκος ἐκ νεκρῶν ἀναδεδειγμένος, καὶ ἀπαρχὴ τῆς ἁπάντων ἀναστάσεως εἰς αὐτὸν ἀναβαίνων τὸν οὐρανόν· ἐλήφθη μὲν γὰρ ἐξ ἡμῶν, σπέρματος Ἀβραὰμ ἐπελάβετο, καθάπερ ὁ Παῦλός φησιν, ἀνετέθη δὲ ὡς ἐξ ἁπάντων καὶ ὑπὲρ πάντων, ἵνα τοὺς πάντας ζωοποιήσῃ, καὶ καθάπερ ἐξ ἅλωνος δράγμα τὸ πρῶτον ἀναφέρηται τῷ Θεῷ καὶ Πατρί. ὥσπερ δὲ ὑπάρχων κατ' ἀλήθειαν φῶς, ἐπετίθει τοῖς ἑαυτοῦ μαθηταῖς τὴν ἀπὸ τοῦ πράγματος χάριν· "Ὑμεῖς γάρ ἐστε," φησὶ, "τὸ φῶς τοῦ κόσμου·" οὕτω καὶ ἄρτος ὑπάρχων ὁ ζῶν καὶ ὁ πάντα ζωογονῶν καὶ πρὸς τὸ εἶναι συνέχων, καθ' ὁμοιότητα πάλιν καὶ διὰ σκιᾶς τῆς κατὰ τὸν νόμον, ὡς ἐν ἄρτοις δώδεκα τὸν ἱερὸν ἀνετύπου τῶν ἀποστόλων χορόν. λέγει γὰρ οὕτως ἐν τῷ Λευιτικῷ "Καὶ ἐλάλησε Κύριος "πρὸς Μωυσῆν λέγων Ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ, καὶ "λαβέτωσάν σοι ἔλαιον ἐλάϊνον καθαρὸν κεκομμένον εἰς "φῶς, καῦσαι λύχνον διὰ παντὸς ἔξωθεν τοῦ καταπετά "σματος ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου." εἶτά φησιν ἐπὶ τούτοις "Καὶ λήψεσθε σεμίδαλιν καὶ ποιήσετε αὐτὴν δώ "δεκα ἄρτους, δύο δεκάτων ἔσται ὁ ἄρτος ὁ εἷς· καὶ ἐπιθή "σετε αὐτοὺς δύο θέματα, ἓξ ἄρτους τὸ ἓν θέμα, ἐπὶ τὴν "τράπεζαν τὴν καθαρὰν ἔναντι Κυρίου, καὶ ἐπιθήσετε ἐπὶ "τὸ θέμα λίβανον καθαρὸν καὶ ἅλας, καὶ ἔσται εἰς ἄρτους "εἰς ἀνάμνησιν προκείμενα τῷ Κυρίῳ." Λύχνον μὲν οὖν τὸν ἐν τῇ ἁγίᾳ σκηνῇ, καὶ ἔξωθεν τοῦ καταπετάσματος τὸν καταφωτίζοντα, τὸν μακάριον Ἰωάννην 1.523 ἐν τοῖς προλαβοῦσιν εἶναι δεδώκαμεν, τρεφόμενον μὲν ἐλαίῳ τῷ καθαρωτάτῳ, τουτέστι, τῷ διὰ τοῦ Πνεύματος φωτισμῷ· ἔξω γεμὴν τοῦ καταπετάσματος, ἐπείπερ ἐστὶν ὁ λόγος αὐτῷ κατηχητικός "Ἑτοιμάσατε γὰρ τὴν ὁδὸν Κυρίου, φησὶν, "εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν." τὰ δὲ ἔσω τοῦ καταπετάσματος, τουτέστι, τὸ ἀποκεκρυμμένον περὶ Χριστοῦ μυστήριον, οὐ λίαν ἐκφαίνει. "Ἐγὼ μὲν" γὰρ, φησὶν, "ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω "μου ἐρχόμενος ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς "τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύ "ματι Ἁγίῳ καὶ πυρί." ὁρᾷς οὖν ὅπως καταλάμπει μὲν αὐτὸς, ὡς ἐν ἁπλουστέρῳ τῷ λόγῳ καλῶν εἰς μετάνοιαν, τὰ γεμὴν ἔσω τοῦ καταπετάσματος ἀπογυμνοῦν ἐπιτρέπει τῷ βαπτίζοντι διὰ πυρὸς καὶ Πνεύματος; καὶ πλατύτερον μὲν τὰ περὶ τούτων διειλήφαμεν, προτεθέντος ἡμῖν ῥητοῦ, κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου "Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος "καὶ φαίνων·" ἡψάμεθα δέ πως ἐκ παραδρομῆς ἀρτίως, ἐπείπερ ἦν ἀναγκαῖον, μετὰ τὴν Ἰωάννου πάροδον, γείτονα δεικνύειν καὶ εὐθὺς κειμένην τῶν ἁγίων ἀποστόλων τὴν ἀνάῤῥησιν. Διὰ γὰρ ταύτην οἶμαι τὴν αἰτίαν ὁ λόγος προκαταση μήνας αὐτὸν διὰ τοῦ λύχνου, τὴν ἐπὶ τοῖς δώδεκα ἄρτοις θεωρίαν ἡμῖν παρατίθησι· "Ποιήσετε γὰρ, φησὶ, δώδεκα "ἄρτους· δύο δεκάτων ἔσται ὁ ἄρτος ὁ εἷς." ἔθος τῇ θείᾳ γραφῇ τὸν ἀριθμὸν τὸν δέκα, τέλειον ἀεὶ προσδέχεσθαι καὶ εἰδέναι πληρέστατον, ἐπείπερ ἡ τῶν ἐφεξῆς ἀριθμῶν πάροδός τε καὶ θέσις, ἀνακύκλησίν τινα καὶ πολυπλασιασμὸν τῶν αὐτῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς τὰ αὐτὰ δεχομένη, πρὸς ὅπερ ἄν τις ἐθελήσαι βαδίζει καὶ ἐκτείνεται. ἐκ δύο τοιγαροῦν δεκάτων ἕκαστον εἶναι κελεύει, ἵνα τὸ τέλειον ἴδῃς ἐν τοῖς μαθηταῖς, ἐν ἴσῃ τῇ ξυνωρίδι, τῇ τε πραγματικῇ φημι καὶ τῇ κατὰ θεωρίαν 1.524 ἀρετῇ. ἐπιτίθεσθαι γεμὴν δύο θέματα κελεύει χρησίμως, μονονουχὶ καὶ τὴν στάσιν αὐτὴν ὑποδεικνὺς, ἣν ἔθος ἦν κατὰ τὸ εἰκὸς ποιεῖσθαι, μέσον ἀεὶ τὸν Κύριον δεχομένους, καὶ ὥσπερ τινὰ καθηγητὴν ἀεὶ κυκλοῦν εἰθισμένους αὐτόν. ἵνα δὲ μάθωμεν, ὅτι καθάπερ ὁ Παῦλός φησι, Χριστοῦ γεγόνασιν εὐωδία τῷ Θεῷ καὶ Πατρὶ, ἐπιτίθεσθαι τοῖς ἄρτοις κελεύει τὸν λιβανωτὸν, καταπάττεσθαι δὲ καὶ ἁλσίν. εἴρηται γάρ που πρὸς αὐτούς "Ὑμεῖς ἐστε τὸ ἅλας τῆς "γῆς·" ἀλλὰ καὶ τῇ τῶν σαββάτων ἡμέρᾳ προσκομίζεσθαι κελεύει χρησίμως· ἀνεδείχθησαν γὰρ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, ἐσχάτη δὲ τῆς ἑβδομάδος ἡμέρα τὸ σάββατον. καὶ οὐχὶ τοῦτο μόνον, ἀλλ' ἐπείπερ κατὰ τὸν καιρὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ἐσαββατίσαμεν πνευματικῶς· ἠρ γήσαμεν γὰρ ἐξ ἁμαρτιῶν. συνέβη δὲ καὶ τοὺς ἁγίους τότε ἡμῖν ἀποστόλους ἀναδειχθῆναι, ὧν καὶ τὰ θεῖα τρεφόμενοι συγγράμματα πρὸς ζωὴν ἀναβαίνομεν τὴν ἐν ἁγιασμῷ. διὰ τοῦτο κατὰ τὴν τῶν σαββάτων ἡμέραν προκεῖσθαι μάλιστα κελεύει τοὺς ἄρτους ἐν τῇ ἁγίᾳ τραπέζῃ, τουτέστιν ἐν τῇ Ἐκκλησίᾳ· σημαίνεται γὰρ πολλάκις ἀπὸ μέρους τὸ πᾶν. τί δ' ἂν γένοιτο τῆς ἁγίας Χριστοῦ τραπέζης τὸ ἁγιώτερον; οὐκοῦν ὡς ἄρτος μὲν ὁ Σωτὴρ προανετυποῦτο κατὰ τὸν νόμον· ἄρτοι δὲ πάλιν οἱ μαθηταὶ καθ' ὁμοιότητα τὴν αὐτοῦ· πάντα γὰρ ἀληθινῶς μὲν ἦν ἐν Χριστῷ, καθ' ὁμοιότητα δὲ τὴν ὡς πρὸς αὐτὸν, καὶ ἐφ' ἡμᾶς διὰ τῆς αὐτοῦ χάριτος. Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι λέγοντες Πῶς δύ ναται ἡμῖν οὗτος δοῦναι τὴν σάρκα φαγεῖν; εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. "Πάντα ἐνώπια τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι "γνῶσιν," κατὰ τὸ γεγραμμένον· σκοτεινὸν δὲ τοῖς ἀνοήτοις 1.525 καὶ τὸ λίαν εὐμαθές. ὁ μὲν γὰρ συνετὸς ὄντως ἀκροατὴς, τὸ μὲν τῶν μαθημάτων εὐσυνοπτότερον τῷ τῆς διανοίας ἐγκατακλείει θησαυρῷ, μελησμὸν ἐπὶ τούτῳ μηδένα κατα δεξάμενος· τὰ δὲ ἐφ' οἷς ἂν φαίνηται χαλεπὸς ὁ λόγος, ταῖς ἐρεύναις περινοστεῖ, καὶ φιλοπευστῶν οὐ παύεται. καί μοι δοκεῖ τοιοῦτόν τι χρησίμως ἐπείγεσθαι δρᾶν, ὁποῖόν τι φασὶ τὰς εὐδρομωτάτας καὶ θηρευτικὰς ἀπεργάζεσθαι κύνας, αἳ πρὸς αἴσθησιν τὴν διὰ ῥινῶν πολλὴν ἔχουσαι παρὰ τῆς φύσεως τὴν ὀξύτητα, τὰς τῶν ζητουμένων καταδύσεις ἀεὶ περιθέουσιν. ἢ γὰρ οὐχὶ πρὸς τοιαύτην τινὰ τὴν ἕξιν καλέσει τὸ σοφὸν καὶ προφητικὸν ὧδε λόγιον ἔχον "Ζητῶν "ζήτει, καὶ παρ' ἐμοὶ οἴκει;" χρὴ γὰρ ζητοῦντα ζητεῖν, τουτέστι, συντονωτάτην εἰς τοῦτο τὴν προθυμίαν εἰσφέροντα μὴ ἀπονοσφίζεσθαί ποι πρὸς ἐξιτήλους ἐννοίας, ἀλλ' ὅσῳπερ ἂν ἀποτραχύνηταί τι πρὸς δυσχέρειαν, τοσούτῳ δὴ μᾶλλον ὀξυτέρῳ προσέχεσθαι νῷ, καὶ γοργοτέραις ἐνθυμημάτων ἐκπολιορκεῖν προσβολαῖς τὸ κρυπτόμενον. ἀλλὰ γὰρ ὁ ἀτριβής τε καὶ ἀχειραγώγητος νοῦς, ὅπερ ἂν αὐτὸν ἀνατρέχῃ, τοῦτο πάντως ἐξυβρίζει ταῖς ἀπειθείαις, καὶ ὡς κίβδηλον ἐκτρέπεται τὸ νικῶν, ἐξ ἀπαιδεύτου θράσους καὶ εἰς ἐσχάτην ἀναβαίνων ὑπεροψίαν. τὸ γὰρ μηδενὶ παραχωρεῖν ἐθέλειν, μηδὲ οἴεσθαί τι μεῖζον ὑπάρχειν αὐτοῦ, πῶς οὐκ ἂν εἴη λοιπὸν, ὅπερ ἀρτίως εἰρήκαμεν; Τούτῳ περιπεσόντας τῷ πάθει καὶ τοὺς Ἰουδαίους εὑρή σομεν εἰς τὴν τοῦ πράγματος ἀφορῶντες φύσιν. δέον γὰρ αὐτοὺς παραδέχεσθαι μὲν ἀμελ[λ]ητὶ τοῦ Σωτῆρος τοὺς λό γους, προτεθαυμακότας ἤδη διὰ πολλῶν τὴν θεοπρεπῆ δύ ναμιν αὐτοῦ καὶ τὴν ἐφ' ἅπασιν ἄμαχον ἐξουσίαν, ἐπὶ δὲ τοῖς δυσεφίκτοις φιλοπευστεῖν, καὶ παιδεύεσθαι μᾶλλον παρα 1.526 καλεῖν περὶ ὧν ἂν φαίνοιντο δυσχεραίνοντες· πάλιν τό Πῶς ἀνοήτως ἐπὶ Θεοῦ λέγουσιν, ὥσπερ οὐκ εἰδότες, ὅτι δυσφη μίας ἁπάσης ἀνάπλεως ὁ λόγος ὁρᾶται. τὸ γὰρ πάντα δύνασθαι κατορθοῦν ἀκονιτὶ πρόσεστι τῷ Θεῷ· ψυχικοὶ δὲ ὄντες, καθάπερ φησὶν ὁ μακάριος Παῦλος, οὐκ ἐδέχοντο "τὰ "τοῦ πνεύματος τοῦ Θεοῦ, μωρία" δὲ αὐτοῖς τὸ σεπτὸν οὕτως ὁρᾶται μυστήριον. Δεῖ τοιγαροῦν ἐντεῦθεν ἡμᾶς ὠφελουμένους, καὶ ἐξ ὧν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕτεροι πταίουσι τὸν οἰκεῖον ἐπανορθοῦντας βίον, ἐν ταῖς παραλήψεσι τῶν θείων μυστηρίων πίστιν μὲν ἔχειν ἀζή τητον, μηδενὶ δὲ τῶν λεγομένων ἐπιφέρειν τό Πῶς· Ἰουδαϊκὸν γὰρ τὸ ῥῆμα, καὶ κολάσεως δὲ τῆς ἐσχάτης διὰ τοῦτο παραίτιον· ἐπεὶ καὶ ὁ τῆς Ἰουδαίων συναγωγῆς ἡγούμενος· Νικόδημος δὲ οὗτος ἦν· τό "Πῶς δύναται ταῦτα γενέσθαι" λέγων, ὅτε τῶν θείων κατηκροᾶτο λόγων, ἐγελᾶτο δικαίως ἀκούσας "Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ καὶ ταῦτα οὐ "γινώσκεις;" ἐντεχνέστεροι τοίνυν πρὸς τὴν τοῦ συμφέροντος θήραν καὶ διὰ τῆς ἑτέρων ἀτοπίας εὑρισκόμενοι, τό Πῶς λέγειν ἐφ' οἷς ἂν ἐργάζηται Θεὸς παραιτώμεθα, ἀνατιθέναι δὲ μᾶλλον μελετήσωμεν αὐτῷ τῶν ἰδίων ἔργων τὴν ὁδὸν ἐξεπίστασθαι· ὅνπερ γὰρ τρόπον εἴσεται μὲν οὐδεὶς, τὸ τί κατὰ φύσιν ἐστὶν ὁ Θεὸς, δικαιοῦται δὲ πιστεύων "ὅτι ἐστὶ, "καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται," οὕτως ἀγνοήσει μὲν πάλιν τὸν ἐφ' ἑκάστῳ τῶν τελουμένων παρ' αὐτοῦ τρόπον, ἀνατιθεὶς δὲ τῇ πίστει τὴν ἔκβασιν, καὶ τὸ πάντα δύνασθαι συναινῶν τῷ ὑπὲρ πάντας Θεῷ, κομιεῖται τῆς οὕτως ἀγαθῆς διαλήψεως οὐκ εὐκαταφρόνητον τὸν μισθόν. οὕτω γὰρ ἡμᾶς διακεῖσθαι καὶ αὐτὸς ἐθέλων ὁ πάντων Δεσπότης διὰ τοῦ προφήτου φησὶν Ἡσαίου "Οὐ "γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ "ὥσπερ αἱ ὁδοὶ ὑμῶν αἱ ὁδοί μου, λέγει Κύριος· ἀλλ' ὡς 1.527 "ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχουσιν αἱ ὁδοί "μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς "διανοίας μου·" ὁ δὲ τοσοῦτον ἡμῶν κατά τε σοφίαν καὶ δύναμιν ὑπερκείμενος, πῶς οὐχὶ καὶ ἐργάσεται παραδόξως, καὶ τὴν ἡμετέραν ὑπεραλεῖται κατάληψιν; Βουλοίμην δ' ἂν ἔτι καὶ λογισμὸν ἐπὶ τούτοις οὐκ ἄκομψον, ὥς γε μοι φαίνεται, παρεισενεγκεῖν. οἱ μὲν γὰρ κατὰ τονδὲ τὸν βίον τῆς καλουμένης μηχανικῆς τὴν ἐπιστή μην ἐπανελόμενοι, μέγα τι πολλάκις κατορθοῦν ἐπαγγέλ λονται, καὶ τῶν μὲν ἀκροωμένων διαλανθάνει τὸν νοῦν πρὸ τῆς θεωρίας τῶν δρωμένων ἡ μέθοδος· εἰς δὲ τὴν ἐνοῦσαν αὐτοῖς ἀποβλέποντες τέχνην, καὶ πρὸ πείρας αὐτῆς ποιού μεθα τῇ πίστει δεκτὸν, τὸ ἀντιτείνειν ἔτι δυσωπούμενοι. πῶς οὖν, ἐρεῖ τις, οὐκ ἂν εἶεν εἰκότως δεινοῖς ἐγκλήμασιν ἔνοχοι, τὸν ἁπάντων ἀριστοτέχνην Θεὸν ταῖς ἀπειθείαις ἀτιμάζειν κατατολμῶντες, οἱ τό Πῶς ἐφ' ὧν ἂν ἐργάζηται λέγειν οὐ παραιτούμενοι, καίτοι σοφίας ἁπάσης χορηγὸν ἐγνωκότες αὐτὸν, καὶ ὅτι πάντα δύναται διὰ πάσης παιδευό μενοι τῆς θείας γραφῆς; εἰ δὲ ἐπιμένεις Ἰουδαῖε λέγων τό Πῶς, ἐρῶ σοι κἀγὼ τὴν σὴν ἀμαθίαν διὰ σὲ μιμούμενος Πῶς ἐξῆλθες ἐξ Αἰγύπτου; πῶς δὲ, εἰπέ μοι, καὶ εἰς ὄφιν μετετράπη ῥάβδος ἡ Μωυσαϊκή; πῶς ἐλεπρώθη μὲν ἡ χεὶρ, ἀποκατεστάθη δὲ αὖθις, ὡς γέγραπται; πῶς εἰς τὴν αἵματος φύσιν μετῆλθε τὸ ὕδωρ; πῶς διῆλθες διὰ μέσης θαλάσσης "ὡς διὰ ξηρᾶς;" πῶς δὲ διὰ ξύλου τὸ πικρὸν τῆς Μεῤῥᾶς ὕδωρ εἰς γλυκὺ μετεσκευάζετο; πῶς δέ σοι καὶ ὕδωρ ἐκ τῶν πετραίων ἀνεδόθη μαστῶν; πῶς ἐπὶ σὲ κατηνέχθη τὸ μάννα; πῶς δὲ κατὰ χώραν ἔστη πάλιν ὁ Ἰορδάνης; ἢ πῶς κατεσείσθη διὰ μόνης κραυγῆς τῆς Ἱεριχοῦς τὸ ἀπόρθητον τεῖχος, καὶ οὐκ ἐπιλείψει λέγοντά σε τό Πῶς; πολλὰ γὰρ 1.528 ἤδη προτεθαυμακὼς ἁλώσῃ μεγαλουργήματα, οἷς εἴπερ ἐπάγεις τό Πῶς, ὅλῃ παντελῶς ἀπειθήσεις τῇ θείᾳ γραφῇ, καὶ πάντας τῶν ἁγίων προφητῶν ἀνατρέψεις τοὺς λόγους, καὶ αὐτοῦ δὲ πρὸ πάντων τοῦ σοῦ Μωυσέως τὰ ἱερὰ συγ γράμματα. οὐκοῦν ἔδει μᾶλλον πιστεύοντας τῷ Χριστῷ, καὶ τοῖς παρ' αὐτοῦ λεγομένοις ἀμελλητὶ κατανεύοντας μαν θάνειν ἐπείγεσθαι μᾶλλον τῆς εὐλογίας τὸν τρόπον, οὐκ ἀπερισκέπτως ἐμπαροινεῖν λέγοντας Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα αὐτοῦ φαγεῖν; ὅτι καὶ τό Οὗτος, ἐν ὑπερ οψίᾳ φασί· τοιοῦτόν τι γὰρ πάλιν αὐτοῖς τὸ ὑπέρογκον ὑπαινίττεται ῥῆμα. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Μακρόθυμος ὄντως καὶ πολυέλεος ὁ Χριστὸς, ὥσπερ οὖν ἔξεστι καὶ ἐξ αὐτῶν ἤδη τῶν προκειμένων ἰδεῖν. φιλονει κήσας γὰρ οὐδαμῶς ταῖς τῶν ἀπειθούντων μικροψυχίαις, πάλιν αὐτοῖς τὴν ζωοποιὸν τοῦ μυστηρίου γνῶσιν ἐπιδαψι λεύεται,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ νικήσας ὡς Θεὸς τὴν τῶν λυπούντων ἀλαζο νείαν, τὰ δι' ὧν εἰς μακραίωνα βίον ἀναβήσονταί φησι· καὶ τίνα μὲν τρόπον αὐτοῖς τὴν σάρκα δώσει φαγεῖν, οὔπω διδάσκει· ᾔδει γὰρ ὄντας ἐν σκότει καὶ νοεῖν οὐδαμόθεν ἰσχύοντας τὸ ἀπόῤῥητον· ὅσον δὲ αὐτοῖς ἐκ τοῦ φαγεῖν ἀγαθὸν ἐκβήσεται, παραδεικνύει χρησίμως, ἵνα τάχα πως αὐτοὺς ταῖς εἰς τὸ βούλεσθαι ζῆν ἀπεράντοις ἡδοναῖς ἑτοι 1.529 μότερον πείθων, τὸ πιστεύειν διδάξειε. πεπιστευκόσι γὰρ ἤδη καὶ τὸ μανθάνειν δύνασθαι πρεπόντως ἀκολουθεῖ. ἐπεὶ καὶ οὕτω φησὶν ὁ προφήτης Ἡσαΐας "Ἐὰν γὰρ μὴ πιστεύσητε, "οὐδ' οὐ μὴ συνῆτε." οὐκοῦν ἔδει προεῤῥιζωμένης ἐν αὐτοῖς τῆς πίστεως, δευτέραν ἐπεισκρίνεσθαι τὴν ἐφ' οἷς ἀγνοοῦσι σύνεσιν, καὶ οὐ πρεσβυτέραν. τῆς πίστεως ὁρᾶσθαι τὴν ζήτησιν. Διὰ ταύτην οἶμαι τὴν αἰτίαν παρεὶς εἰκότως ὁ Κύριος τὸ λέγειν αὐτοῖς, τίνα τρόπον ἐπιδώσει τὴν σάρκα αὐτοῦ φαγεῖν, ἐπὶ τὸ χρῆναι πιστεύειν πρὸ τῆς ἐρεύνης καλεῖ. τοῖς γὰρ ἤδη πεπιστευκόσι, διακλάσας τὸν ἄρτον ἐδίδου, λέγων "Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου·" ὁμοίως δὲ καὶ εἰς πάντας τὸ ποτήριον περιενεγκών Λάβετε "πίετε," φησὶν, "ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου τῆς "διαθήκης τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρ "τιῶν." ὁρᾷς ὅπως τοῖς μὲν ἀνοηταίνουσιν ἔτι, καὶ τὸ πιστεύειν ἀζήτητον ἐξωθουμένοις, οὐκ ἐξηγεῖται τοῦ μυστη ρίου τὸν τρόπον, τοῖς δὲ ἤδη πεπιστευκόσι σαφέστατα διειπὼν εὑρίσκεται; ἀκουέτωσαν τοίνυν οἱ τὴν πίστιν τὴν εἰς Χριστὸν ἐξ ἀνοίας οὔπω παραδεξάμενοι Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν αἰώνιον ἐν ἑαυτοῖς· ἀμέτοχοι γὰρ παντελῶς καὶ ἄγευστοι διαμένουσι τῆς ἐν ἁγιασμῷ καὶ μακαριότητι ζωῆς, οἱ διὰ τῆς μυστικῆς εὐλογίας οὐ παραδεξάμενοι τὸν Ἰησοῦν. ζωὴ μὲν γὰρ κατὰ φύσιν ἐστὶ, καθὸ καὶ ἐκ ζῶντος ἐγεννήθη Πατρός· ζωοποιὸν δὲ οὐδὲν ἧττον καὶ τὸ ἅγιον αὐτοῦ σῶμα, συνενηνεγμένον τρόπον τινὰ καὶ ἀῤῥήτως ἑνωθὲν τῷ τὰ πάντα ζωογονοῦντι Λόγῳ· διὸ αὐτοῦ λελόγισται, καὶ ὡς εἷς νοεῖται σὺν αὐτῷ. ἀδιαίρετος γὰρ μετὰ τὴν ἐνανθρώπησιν, πλὴν ὅσον εἰς τὸ εἰδέναι τὸν ἐκ Θεοῦ Πατρὸς ἥκοντα Λόγον 1.530 καὶ τὸν ἐκ τῆς παρθένου ναὸν, οὐ ταὐτὸν μὲν οὖν ὄντα τῇ φύσει· οὐ γὰρ ὁμοούσιον τῷ ἐκ Θεοῦ Λόγῳ τὸ σῶμα· ἓν δὲ τῇ συνόδῳ καὶ τῇ ἀπερινοήτῳ συνδρομῇ· καὶ ἐπείπερ ζωο ποιὸς γέγονε τοῦ Σωτῆρος ἡ σὰρξ, ἅτε δὴ τῇ κατὰ φύσιν ἡνωμένη ζωῇ, τῷ ἐκ Θεοῦ δηλονότι Λόγῳ, ὅταν αὐτῆς ἀπογευσώμεθα, τότε τὴν ζωὴν ἔχομεν ἐν ἑαυτοῖς συνενού μενοι καὶ ἡμεῖς αὐτῇ, καθάπερ οὖν αὐτὴ τῷ ἐνοικήσαντι Λόγῳ. διὰ γάρ τοι τοῦτο καὶ ἐν τῷ τοὺς νεκροὺς διανιστᾶν, οὐ λόγῳ μόνον, οὐδὲ τοῖς θεοπρεπέσιν ἐπιτάγμασιν ὁ Σωτὴρ ἐνεργῶν εὑρίσκεται, ἀλλὰ συνεργάτην ὥσπερ τινὰ πρὸς τοῦτο δὴ μάλιστα τὴν ἁγίαν αὐτοῦ λαμβάνειν ἠπείγετο σάρκα, ἵνα δεικνύῃ ζωοποιεῖν δυναμένην, καὶ ὡς ἓν ἤδη γενομένην πρὸς αὐτόν. καὶ γὰρ ἦν ὄντως ἴδιον αὐτοῦ, καὶ οὐχ ἑτέρου τὸ σῶμα. καὶ γοῦν ὅτε τὸ τοῦ ἀρχισυναγώγου κόριον διανίστη λέγων "Ἡ παῖς ἔγειραι," ἐκράτησε τῆς χειρὸς αὐτῆς, καθὰ γέγραπται· ζωοποιῶν μὲν ὡς Θεὸς, τῷ παντουργῷ προστάγματι· ζωοποιῶν δὲ αὖ πάλιν καὶ διὰ τῆς ἁφῆς τῆς ἁγίας σαρκὸς, μίαν τε καὶ συγγενῆ δι' ἀμφοῖν ἐπιδείκνυσι τὴν ἐνέργειαν. ἀλλὰ καὶ ὅτε εἰσεπορεύετο εἰς πόλιν καλουμένην Ναῒν, καὶ "ἐξεκομίζετο μονογενὴς υἱὸς "τεθνηκὼς τῇ μητρὶ αὐτοῦ," πάλιν "ἥψατο τῆς σοροῦ, "λέγων Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι." καὶ οὐ μόνον δίδωσιν ἐνεργεῖν τῷ λόγῳ τὴν τῶν νεκρῶν ἀναβίωσιν, ἀλλ' ἵνα δείξῃ ζωοποιὸν τὸ ἴδιον σῶμα, καθάπερ οὖν ἤδη προεί πομεν, τῶν τεθνεώτων ἅπτεται, καὶ δι' αὐτοῦ τὴν ζωὴν ἐντιθεὶς τοῖς ἤδη κατεφθαρμένοις. καὶ εἰ διὰ μόνης ἁφῆς τῆς ἁγίας σαρκὸς ζωοποιεῖται τὸ διεφθαρμένον, πῶς οὐχὶ πλουσιωτέραν ἀποκερδανοῦμεν τὴν ζωοποιὸν εὐλογίαν, ὅταν 1.531 αὐτῆς καὶ ἀπογευσώμεθα; μεταποιήσει γὰρ πάντως εἰς τὸ ἴδιον ἀγαθὸν, τουτέστι τὴν ἀθανασίαν, τοὺς μετεσχηκότας αὐτῆς. Καὶ μὴ θαυμάσῃς ἐπὶ τούτῳ, μηδὲ εἴπῃς κατὰ σεαυτὸν Ἰουδαϊκῶς τό Πῶς· ἐννόει δὲ μᾶλλον ὅτι ψυχρὸν τῇ φύσει τὸ ὕδωρ ἐστίν· ἀλλ' ὅταν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς λέβητα κεχυμένον ὁμιλήσῃ τῷ πυρὶ, τότε τῆς μὲν ἰδίας μονονουχὶ καὶ ἐπιλανθάνεται φύ σεως, εἰς δὲ τὴν τοῦ νενικηκότος ἐνέργειαν ἀποφοιτᾷ. τὸν αὐτὸν οὖν ἄρα καὶ ἡμεῖς τρόπον, εἰ καὶ φθαρτοὶ διὰ τὴν φύσιν ἐσμὲν τῆς σαρκὸς, ἀλλὰ τῇ μίξει τῆς ζωῆς τὴν ἑαυτῶν ἀφέντες ἀσθένειαν, εἰς τὸ ἐκείνης ἴδιον ἀναστοιχειού μεθα, τουτέστι τὴν ζωήν. ἔδει γὰρ ἔδει, μὴ μόνον διὰ τοῦ Ἁγίου Πνεύματος εἰς ζωῆς καινότητα τὴν ψυχὴν ἀνακτί ζεσθαι, ἀλλὰ γὰρ καὶ τὸ παχὺ τοῦτο καὶ γεῶδες σῶμα διὰ παχυτέρας καὶ συγγενοῦς ἁγιάζεσθαι μεταλήψεως καὶ καλεῖ σθαι πρὸς ἀφθαρσίαν. οἰέσθω δὲ μηδαμῶς ὁ νωθρὸς εἰς σύνεσιν Ἰουδαῖος, νεωτέρων ἡμῖν μυστηρίων ἀνηυρῆσθαι τρόπον. θεωρήσει γὰρ ἐν ἀρχαιοτέροις συγγράμμασι, φημὶ δὲ τοῖς Μωυσαϊκοῖς, προκαταγραφόμενον ἤδη καὶ τῆς ἀλη θείας φοροῦντα τὴν δύναμιν, ὅτι καὶ ἐν ψιλοῖς ἐτελεῖτο τοῖς σχήμασι. τί γὰρ ἐδυσώπησεν, εἰπέ μοι, τὸν ὀλοθρευτήν; τί δὲ καὶ τοὺς προγόνους ἐκείνων μὴ συναπολέσθαι τοῖς Αἰγυπτίοις παρεσκεύασεν, ὅτε κατὰ τῶν πρωτοτόκων ὁ πάντα νικῶν ἐξωπλίζετο θάνατος; ἆρ' οὐχὶ πᾶσιν ἂν γένοιτο συμφανὲς, ὡς ἐπείπερ τῷ θείῳ νόμῳ καταπειθόμενοι τεθύ κασι τὸν ἀμνὸν, καὶ τῶν ἐκείνου σαρκῶν ἀπογευσάμενοι κατέχρισαν τῷ αἵματι τὰς φλιὰς, παρελαύνειν αὐτοὺς ὡς ἡγιασμένους ὁ θάνατος ἠναγκάζετο; παρετέτακτο μὲν γὰρ κατὰ πάσης τῆς ἀνθρωπείας φύσεως ὁ ὀλοθρευτὴς, τουτ έστιν, ὁ τῆς σαρκὸς θάνατος, διὰ τὴν ἐν τῷ πρωτοπλάστῳ 1.532 παράβασιν. τότε γὰρ πρῶτον ἠκούσαμεν "Γῆ εἶ καὶ εἰς "γῆν ἀπελεύσῃ." ἀλλ' ἐπείπερ ἔμελλε τὸν οὕτω δεινὸν ἀνατρέψειν τύραννον ὁ Χριστὸς, διὰ τῆς ἁγίας αὐτοῦ σαρκὸς ἐν ἡμῖν γινόμενος ὡς ζωὴ, προανετυποῦτο τοῖς πάλαι τὸ μυστήριον, καὶ ἀπεγεύοντο τῶν τοῦ προβάτου κρεῶν, ἁγιαζόμενοί τε τῷ αἵματι διεσώζοντο, παρατρέχοντος αὐτοὺς, κατὰ βούλησιν Θεοῦ, τοῦ ὀλοθρεύειν τεταγμένου, τοὺς οἵπερ ἦσαν μέτοχοι τοῦ ἀμνοῦ. τί τοιγαροῦν χαλε παίνεις, Ἰουδαῖε, πρὸς τὴν ἐκ τῶν τύπων ἤδη καλούμενος ἀλήθειαν, ὅταν λέγῃ Χριστός Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς; καίτοι μᾶλλον ἐχρῆν εὐθαρσέστερόν πως ἐπὶ τὴν τῶν μυστηρίων ἰέναι κατάληψιν, διὰ τῶν Μωυσαϊκῶν προ παιδαγωγηθέντα βιβλίων, καὶ διὰ σχημάτων ἀρχαιοτάτων ἐπὶ τὸ χρῆναι πιστεύειν ἀνενδοιάστως χειραγωγούμενον. Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Κἄν τούτῳ δὴ μάλιστα θαυμάσαι προσήκει τὸν ἅγιον Εὐαγγελιστὴν "Καὶ ὁ Λόγος σὰρξ ἐγένετο," διαῤῥήδην ἀνακεκραγότα· οὐ γὰρ ὅτι γέγονεν ἐν σαρκὶ, ἀλλ' ὅτι γέγονε σὰρξ, οὐκ ἀπενάρκησεν εἰπεῖν, ἵνα δείξῃ τὴν ἕνωσιν. καὶ οὐ δήπου φαμὲν, ἢ τὸν ἐκ Πατρὸς Θεὸν Λόγον εἰς τὴν τῆς σαρκὸς μεταπεποιῆσθαι φύσιν, ἤγουν τὴν σάρκα μετα χωρῆσαι πρὸς Λόγον· μένει γὰρ ἑκάτερον, ὅπερ ἐστὶ τῇ φύσει, καὶ εἷς ἐξ ἀμφοῖν ὁ Χριστός· ἀποῤῥήτως δὲ καὶ ὑπὲρ νοῦν τὸν ἀνθρώπινον ἡνωμένος ὁ Λόγος τῇ ἰδίᾳ σαρκὶ, καὶ ὅλην ὥσπερ εἰς ἑαυτὸν μεταστήσας κατ' ἐνέργειαν τὴν ἐν τῷ δύνασθαι ζωοποιεῖν τὰ ζωῆς δεόμενα· τῆς μὲν ἡμε τέρας φύσεως ἐξήλασε τὴν φθορὰν, ἐξέστησε δὲ καὶ τὸν 1.533 πάλαι διὰ τὴν ἁμαρτίαν ἰσχύσαντα θάνατον. οὐκοῦν ὁ τρώγων τὴν ἁγίαν σάρκα Χριστοῦ, ζωὴν αἰώνιον ἔχει· ἔχει γὰρ ἡ σὰρξ ἐν ἑαυτῇ τὸν Λόγον κατὰ φύσιν ὄντα ζωήν. διὰ γὰρ τοῦτό φησιν, ὅτι ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἀντὶ δὲ τοῦ εἰπεῖν, ὅτιπερ αὐτὸν, τὸν ἐσθίοντα δηλονότι, τὸ ἐμὸν ἀναστήσει σῶμα, τό Ἐγὼ τέθεικεν, ὡς οὐχ ἕτερος ὢν παρὰ τὴν ἰδίαν σάρκα· καὶ οὐ πάντως τῇ φύσει, διατέμνε σθαι γὰρ ὅλως εἰς υἱῶν δυάδα μετὰ τὴν ἕνωσιν οὐκ ἀνέ χεται. ἐγὼ τοιγαροῦν, φησὶν, ὁ ἐν αὐτῷ γεγονὼς, διὰ τῆς ἐμῆς δηλονότι σαρκὸς, ἀναστήσω τὸν ἐσθίοντα τῇ ἐσχάτῃ ἡμέρᾳ. ἦν γὰρ δὴ καὶ ἀμήχανον μὴ οὐχὶ πάντως νικῆσαι τὴν φθορὰν καὶ κρατῆσαι θανάτου τὸν κατὰ φύσιν ὄντα ζωήν. διὰ τοῦτο κἂν βιάζηται τὸ ἀνθρώπινον σῶμα πρὸς τὸ καταφθείρεσθαι δεῖν ὁ διὰ τῆς παραβάσεως ἐπιπηδήσας θάνατος, ἀλλ' ἐπείπερ ἐν ἡμῖν ὁ Χριστὸς διὰ τῆς ἰδίας γίνεται σαρκὸς, ἀναστησόμεθα πάντως· ἀπίθανον γὰρ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μᾶλλον δὲ καὶ ἀδύνατον, μὴ ζωοποιεῖν τὴν ζωὴν τοὺς ἐν οἷς ἂν γένοιτο. ὥσπερ γὰρ εἴ τις σπινθῆρα λαβὼν ἀχύροις ἐγκαταχώσαι πολλοῖς, ἵνα σωζόμενον ἔχοι τὸ τοῦ πυρὸς σπέρμα· οὕτω καὶ ἐν ἡμῖν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς διὰ τῆς ἰδίας σαρκὸς ἐναποκρύπτει τὴν ζωὴν, καὶ ὥσπερ τι σπέρμα τὴν ἀθανασίαν ἐντίθησιν, ὅλην τὴν ἐν ἡμῖν ἀφανίζον φθοράν. Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις. Ἀντιδιαστέλλει πάλιν τῇ τοῦ μάννα χορηγίᾳ τὴν μυστι κὴν εὐλογίαν, καὶ τοῖς ἐκ πετραίων λαγόνων νάμασι τοῦ ποτηρίου τὴν γεῦσιν. ὅπερ δὲ ἤδη καὶ δι' ἑτέρων εἴρηκε 1.534 φθάσας, τοῦτο πάλιν ἐνταῦθά φησι, πολυτρόπως τὸν αὐτὸν ἐξυφαίνων λόγον. οὐ γὰρ δὴ χρῆναι λίαν ἀποθαυμάζειν αὐτοῖς τὸ μάννα παρεγγυᾷ, προσδέχεσθαι δὲ μᾶλλον αὐτὸν, ὡς ἄρτον ἐξ οὐρανοῦ καὶ χορηγὸν τῆς αἰωνίου ζωῆς. "Οἱ "μὲν γὰρ πατέρες ὑμῶν, φησὶν, ἔφαγον τὸ μάννα ἐν τῇ "ἐρήμῳ καὶ ἀπέθανον· οὗτος δέ ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ "οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ "ἀποθάνῃ·" ἡ μὲν γὰρ τοῦ μάννα τροφὴ πρὸς ὀλίγον, φησὶ, κομιδῇ τὸν καιρὸν τὴν τοῦ σώματος χρείαν διαπαί ξασα, καὶ τὸ ἐκ τῆς ἐνδείας δυσωπήσασα βλάβος, ἠσθένησε πάλιν οὐκ ἐντιθεῖσα τοῖς βεβρωκόσι τὴν αἰώνιον ζωήν. οὐκ ἦν οὖν ἄρα βρῶσις ἀληθὴς καὶ ἄρτος ἐξ οὐρανοῦ τουτέστι· τὸ δὲ ἅγιον σῶμα τοῦ Χριστοῦ, πρὸς ἀθανασίαν καὶ ζωὴν αἰώνιον ἀποτρέφον, βρῶσις ὄντως ἀληθής. ἀλλ' ἔπιον καὶ ὕδωρ ἐκ πέτρας ἐκεῖνοι. καὶ τί τὸ ἐντεῦθεν, φησὶ, ποία δὲ τοῖς πεπωκόσιν ἡ ὄνησις; τετελευτήκασι γάρ. ἦν οὖν ἄρα κἀκεῖνο πόσις οὐκ ἀληθὴς, ἀληθὴς δὲ κατ' ἀλήθειαν εὑρί σκεται πόσις τὸ τίμιον αἷμα Χριστοῦ, ὅλην ἐκ βάθρων ἀποῤῥιζοῦν τὴν φθορὰν, καὶ ἀναμοχλεῦον τὸν ἐν τῇ ἀνθρω πείᾳ σαρκὶ κατοικήσαντα θάνατον. αἷμα γάρ ἐστιν οὐχ ἑνὸς τῶν τυχόντων ἁπλῶς, ἀλλ' αὐτῆς τῆς κατὰ φύσιν ζωῆς. διὰ τοῦτο καὶ σῶμα καὶ μέλη Χριστοῦ χρηματίζομεν, ὡς διὰ τῆς εὐλογίας αὐτὸν ἐν ἑαυτοῖς δεχόμενοι τὸν Υἱόν. Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Πολυτρόπως ἡμᾶς διὰ τούτων μυσταγωγεῖ, καὶ ἐπείπερ ἐστὶ δυσέφικτός πως τοῖς ἀμαθεστέροις ὁ λόγος, τὴν ἀπὸ τοῦ πιστεύειν σύνεσιν ἐφ' ἑαυτῷ μᾶλλον ἀπαιτῶν ἢ ζή τησιν, ἄνω τε καὶ κάτω τῶν αὐτῶν ἑλίττων ἐξευμαρίζει 1.535 ποικίλως, καὶ πανταχόθεν ἡμῖν τὸ ἐκ τοῦ πράγματος κατα λαμπρύνει χρήσιμον, θεμέλιον ὥσπερ τινὰ καὶ κρηπῖδα τῇ πίστει τὴν ἐπ' αὐτῷ καλλίστην ἐπιθυμίαν καταπηγνύς. ὁ γὰρ τρώγων μου φησὶ τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ὥσπερ γὰρ εἴ τις κηρὸν ἑτέρῳ συνάψειε κηρῷ, πάντως δήπου καὶ ἕτερον ἐν ἑτέρῳ γεγονότα κατόψεται· τὸν αὐτὸν οἶμαι τρόπον καὶ ὁ τὴν σάρκα δεχό μενος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ πίνων αὐτοῦ τὸ τίμιον αἷμα, καθά φησιν αὐτὸς, ἓν ὡς πρὸς αὐτὸν εὑρίσκεται συν ανακιρνάμενος ὥσπερ καὶ ἀναμιγνύμενος αὐτῷ διὰ τῆς μετα λήψεως, ὡς ἐν Χριστῷ μὲν αὐτὸν εὑρίσκεσθαι, Χριστὸν δὲ αὖ πάλιν ἐν αὐτῷ. οὕτω πως ἡμᾶς καὶ ἐν τῷ κατὰ Ματ θαῖον Εὐαγγελίῳ, Χριστὸς ἐπαιδαγώγει λέγων "Ὁμοία "ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ "ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον." τίς μὲν οὖν ἡ γυνὴ, τίς δὲ τῶν καλουμένων σάτων ἡ τριὰς, ἢ καὶ τί τὸ σάτον ὅλως ἐστὶν, ἐν οἰκείῳ λελέξεται τόπῳ· πρὸς δέ γε τὸ παρὸν εἰς μόνην ἐροῦμεν τὴν ζύμην. ὥσπερ οὖν ὁ Παῦλός φησιν, "ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα "ζυμοῖ," οὕτως ὀλιγοστὴ πάλιν εὐλογία σύμπαν ἡμῶν εἰς ἑαυτὴν ἀναφύρει τὸ σῶμα, καὶ τῆς ἰδίας ἐνεργείας ἀναπληροῖ, οὕτω τε ἐν ἡμῖν γίνεται Χριστὸς, καὶ ἡμεῖς αὖ πάλιν ἐν αὐτῷ. καὶ γὰρ δὴ καὶ ἀληθεύων ἐρεῖ τις ὅτι καὶ ἐν παντὶ μέν ἐστιν ἡ ζύμη τοῦ φυράματος, καὶ τὸ φύραμα δὲ κατὰ τὸν ἴσον λόγον ἐν ὅλῃ γίνεται τῇ ζύμῃ· ἔχεις ὡς ἐν βραχέσι τῶν εἰρημένων τὸν νοῦν. ἀλλ' εἴπερ ἐσμὲν τῆς αἰωνίου ζωῆς ἐρασταὶ, εἰ τὸν τῆς ἀθανασίας χορηγὸν ἐν ἑαυτοῖς ἔχειν εὐχόμεθα, μὴ κατά τινας τῶν ἀμελεστέρων τὸ εὐλογεῖσθαι παραιτώμεθα, μηδὲ παγίδα καὶ βρόχον ἡμῖν ἐξαρτυέτω τὴν ἐπιζήμιον εὐλάβειαν ὁ βαθὺς εἰς πανουργίαν διάβολος. Ναὶ γὰρ γέγραπται, φησίν "Ὁ ἐσθίων ἐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ ἄρτου καὶ 1.536 "πίνων ἐκ τοῦ ποτηρίου ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ "πίνει·" δοκιμάσας δὲ τὰ κατ' ἐμαυτὸν, οὐκ ἄξιον ὄντα βλέπω. Πότε τοίνυν ἄξιος ἔσῃ, καὶ παρ' ἡμῶν ὁ τοῦτο λέγων ἀκού σεται, πότε σαυτὸν παραστήσεις τῷ Χριστῷ; εἰ γὰρ μέλλοις ἀεὶ καταπτοεῖσθαι τοῖς ὀλισθήμασιν, ὀλισθάνων δὲ οὐκ ἀπο παύσῃ· "Τίς γὰρ συνήσει παραπτώματα," κατὰ τὸν ἅγιον ψαλμῳδὸν, ἀμέτοχος εὑρεθήσῃ παντελῶς τοῦ διασώζοντος ἁγιασμοῦ. οὐκοῦν λογιῇ μὲν εὐσεβέστερον σύννομον ἐπιτη δεύειν βίον, μεταλήψῃ δὲ οὕτω τῆς εὐλογίας, οὐ θανάτου μόνον, ἀλλὰ καὶ τῶν ἐν ἡμῖν νοσημάτων ἀποκρουστικὴν εἶναι πιστεύσας· κατακοιμίζει γὰρ ἐν ἡμῖν γεγονὼς ὁ Χρι στὸς τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀγριαίνοντα νόμον, καὶ ἀναζωπυρεῖ μὲν τὴν εἰς Θεὸν εὐλάβειαν, ἀπονεκροῖ δὲ τὰ πάθη, μὴ λογιζόμενος ἡμῖν τὰ ἐν οἷς ἐσμεν παραπτώματα, θεραπεύων δὲ μᾶλλον ὡς νενοσηκότας. καταδεσμεῖ γὰρ τὸ συντετριμμένον, ἐγείρει τὸ πεπτωκὸς, ὡς ποιμὴν ἀγαθὸς καὶ τὴν ψυχὴν ἑαυτοῦ τεθεικὼς ὑπὲρ τῶν προβάτων.

**1.537 ΚΕΦΑΛΗ Γ.** Ὅτι οὐ ζωῆς τῆς παρ' ἑτέρου μέτοχός ἐστιν ὁ Υἱὸς, μᾶλλον δὲ κατὰ φύσιν ζωὴ ὡς ἐκ ζωῆς τῆς κατὰ φύσιν γεγεννημένος τοῦ Θεοῦ καὶ Πατρός. Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσει δι' ἐμέ. ΑΣΥΜΦΑΝΕΣΤΕΡΟΣ μὲν τῶν προκειμένων ὁ νοῦς, καὶ οὐ τῇ τυχούσῃ δυσχερείᾳ κατημφιεσμένος· πλὴν οὐ παντελῶς ἀποσκιρτήσει πρὸς τὸ δυσεύρετον, καταληφθή σεται γὰρ καὶ ἁλώσιμος ἔσται τοῖς ὀρθῶς ἐθέλουσι νοεῖν. ὅτε τοίνυν ἀπεστάλθαι φησὶν ἑαυτὸν ὁ Υἱὸς, τότε τὸ σεσαρ κῶσθαι δηλοῖ, καὶ ἕτερον οὐδέν· τὸ σεσαρκῶσθαι δὲ ὅταν λέγωμεν, ἄνθρωπον ὁλοκλήρως γενέσθαι φαμέν. ὥσπερ τοίνυν ἄνθρωπόν με, φησὶ, πεποίηκεν ὁ Πατὴρ, καὶ ἐπείπερ ἐκ τῆς κατὰ φύσιν ἐγεννήθην ζωῆς Θεὸς ὢν Λόγος ζωὴ, καὶ ἄνθρωπος γεγονὼς τῆς ἐμαυτοῦ φύσεως τὸν ἐμὸν ἐμπλήσας ναὸν, τουτέστι τὸ σῶμα· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τὴν ἐμὴν ἐσθίων σάρκα ζήσει δι' ἐμέ· ἔλαβον γὰρ τὴν ἀποθνή σκουσαν σάρκα, ἀλλ' ἐπείπερ ἐνῴκηκα ταύτῃ, ζωὴ κατὰ φύσιν ὑπάρχων, διὰ τὸ ἐκ ζῶντος εἶναι Πατρὸς, πᾶσαν εἰς ζωὴν ἀνεστοιχείωσα τὴν ἐμαυτοῦ. οὐ νενίκημαι τῇ φθορᾷ τῆς σαρκὸς, νενίκηκα δὲ μᾶλλον αὐτὴν ὡς Θεός. ὥσπερ οὖν· ἐρῶ γὰρ αὖθις ὀκνήσας οὐδὲν διὰ τὸ χρήσιμον· εἰ καὶ 1.538 γέγονα, φησὶ, σάρξ· τοῦτο γὰρ τὸ ἀπεστάλθαι σημαίνει· ζῶ πάλιν διὰ τὸν ζῶντα Πατέρα, τουτέστι, τὴν τοῦ τεκόντος εὐφυΐαν ἐν ἐμαυτῷ διασώζων, οὕτω καὶ ὁ διὰ τῆς μετα λήψεως τῆς ἐμῆς σαρκὸς ἐμὲ δεχόμενος ἐν ἑαυτῷ ζήσεται, πάντως ὅλος εἰς ἐμὲ μεταστοιχειούμενος, τὸν ζωογονεῖν ἰσχύοντα διὰ τὸ ὡς ἐκ ῥίζης εἶναι τῆς ζωοποιοῦ, τουτέστι τοῦ Θεοῦ καὶ Πατρός. σεσαρκῶσθαι δὲ λέγει παρὰ τοῦ Πατρὸς, καίτοι τοῦ μὲν Σολομῶνος λέγοντος "Ἡ σοφία "ᾠκοδόμησεν ἑαυτῇ οἶκον·" τοῦ δὲ μακαρίου Γαβριὴλ τῇ τοῦ Πνεύματος ἐνεργείᾳ τὴν τοῦ θείου σώματος ἀνατιθέντος ποίησιν, ὅτε τῇ ἁγίᾳ προσελάλει παρθένῳ "Πνεῦμα" γὰρ, φησὶν, "ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου "ἐπισκιάσει σοι·" ἵνα πάλιν ἐννοῇς, ὅτι μιᾶς οὔσης τῆς κατὰ φύσιν θεότητος, καὶ ἐν Πατρὶ καὶ Υἱῷ νοουμένης καὶ ἐν τῷ Ἁγίῳ Πνεύματι, οὐ μεμερισμένως ἕκαστος ἐνεργήσει περί τι τῶν ὄντων, ἀλλ' ὅπερ ἂν λέγοιτο γενέσθαι καὶ δι' ἑνὸς, τοῦτο πάντως ἐστὶν ὅλης ἔργον τῆς θείας φύσεως. μιᾶς γὰρ οὔσης τῆς ἁγίας Τριάδος κατά γε τὸν τῆς ὁμοου σιότητος λόγον, μία δήπου πάντως καὶ ἡ ἐφ' ἅπασιν ἔσται δύναμις. πάντα γὰρ ἐκ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι· ὃ δὲ πολλάκις εἰρήκαμεν, τοῦτο πάλιν ἐροῦμεν· τὰ αὐτὰ γὰρ λέγειν εἰ καὶ φορτικὸν, ἀλλ' οὖν ἔχει τὸ ἀσφαλές. ἔθος γὰρ τῷ Σωτῆρι Χριστῷ τὰ ὅσαπέρ ἐστι τὴν ἀνθρώπῳ πρέ πουσαν ἀναπηδῶντα δύναμιν, τῇ τοῦ Πατρὸς ἐνεργείᾳ χρησίμως ἀνατιθέναι. τεταπείνωκε γὰρ ἑαυτὸν ἄνθρωπος γεγονώς· καὶ ἐπείπερ τὴν τοῦ δούλου μορφὴν κατεδέξατο, τὸ δουλοπρεπὲς οὐκ ἀτιμάζει μέτρον, πλὴν οὐκ ἔξω κείσεται τοῦ πάντα ποιεῖν μετὰ Πατρός· ἐνεργεῖ δὲ ὁ γεννήσας αὐτὸν δι' αὐτοῦ τὰ πάντα, κατὰ τὴν αὐτοῦ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σωτῆρος φωνήν "Ὁ Πατὴρ γὰρ, φησὶν, ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα 1.539 "αὐτός." ἀποδιδοὺς τοίνυν τῇ οἰκονομίᾳ τῇ μετὰ σαρκὸς τὸ πρέπον, ἀνατίθησι τῷ Θεῷ καὶ Πατρὶ τὰ ὑπὲρ ἀνθρώπου δύναμιν. τὸ γὰρ κτίσαι ναὸν ἐν παρθένῳ τὴν ἀνθρώπου δύναμιν ἐξάλλεται. Ἀλλ' ἐρεῖ πρὸς ταῦτα πάλιν ὁ δι' ἐναντίας Καὶ πῶς ἂν ἑτέρως τὸ τί κατὰ φύσιν ἐστὶν ἐξεκάλυψεν ὁ Υἱὸς, ἢ πῶς ἂν ἔδειξε σαφῶς ὅτι μείζων ἐστὶν ὁ Πατὴρ, εἰ μὴ διὰ τοῦ λέγειν ὅτι ζῶ διὰ τὸν Πατέρα; εἰ γὰρ χορηγός ἐστιν ὁ Πατὴρ τῷ Υἱῷ τῆς ζωῆς, τίς εἰς τοσαύτην ἀβελτερίαν ἐλάσει λοιπὸν, ὡς μὴ πάντως ἐννοεῖν ὅτι τὸ μέτοχον ζωῆς οὐ ταὐτὸν ἔσται κατὰ φύσιν τῇ ζωῇ, ἤτοι τῷ ζωοποιεῖν ἰσχύοντι; Πρὸς δὴ τὰ τοιαῦτα, καὶ ἡμεῖς τὸν τῆς ἀληθείας ἀντεξά γοντες λόγον, ἐροῦμεν εὐκαίρως "Ὁ μωρὸς μωρὰ λαλήσει, "καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα "καὶ λαλεῖν πρὸς Κύριον πλάνησιν." τί γὰρ ἂν γένοιτο τῆς τοιαύτης τῶν αἱρετικῶν ἐννοίας τὸ παρανομώτερον; πῶς δὲ οὐκ ἐσχάτη πλάνησις λαλεῖται παρ' αὐτῶν κατὰ τοῦ πάντα ζωογονοῦντος Χριστοῦ, ὅτε λέγειν οὐκ ἐρυθριῶσιν οἱ παραφρονέστατοι, ζῆν αὐτὸν τῆς παρ' ἑτέρου μέτοχον ζωῆς, καθάπερ τὰ δι' αὐτοῦ γεγονότα; ἆρ' οὖν ἔσται λοιπὸν καὶ ζῷον ἡμῖν ὁ Υἱὸς, ἅτε δὴ καὶ ζωῆς ὑπάρχον μέτοχος, ἀλλ' οὐκ αὐτὸ κατὰ φύσιν ζωή; τὸ γὰρ ζῷον ἕτερον εἶναι δεῖ πάντως παρὰ τὴν οὖσαν ἐν αὐτῷ ζωήν. εἰ δὲ νομίζουσι ταὐτὸν εἶναι δύνασθαι, λεγέσθω πᾶν ζῷον ζωή· ἀλλ' οὐκ ἂν οἶμαί τις οὕτω ποιήσαι σωφρονῶν· οὐκοῦν οὐδὲ ζῷον ἡμῖν ὁ Μονογενὴς, ἀλλὰ ζωὴ κατὰ φύσιν νοηθήσεται. πῶς γὰρ ἂν καὶ ἀληθεύσαι λέγων "Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ "ζωή;" ζωὴ γάρ ἐστι τὸ ζωογονοῦν, οὐ τὸ τῆς παρ' ἑτέρου ζωῆς ἐπιδεὲς, ὥσπερ οὖν ἀμέλει καὶ σοφία νοεῖται τὸ 1.540 σοφοῦν δυνάμενον, οὐ τὸ σοφοῦσθαι πεφυκός. οὐκοῦν καθ' ὑμᾶς διαψεύσεται μὲν ἡ ἀλήθεια, καὶ οὐκ ἀληθεύσει λέγων ὁ Χριστός Ἐγώ εἰμι ἡ ζωή. ψευδομυθήσει δὲ πάλιν καὶ ὁ λαμπρὸς τῶν ἁγίων χορὸς, τοὺς διὰ τοῦ Πνεύματος ἐρευγό μενος λόγους, καὶ ζωὴν ἀποκαλῶν τὸν Μονογενῆ. ὁ μὲν γὰρ θεῖος ἡμῖν ψαλμῳδὸς ὡς πρὸς τὸν Πατέρα λέγων εὑρίσκεται "Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·" ὁ δὲ θαυμάσιος Εὐαγγελιστὴς Ἰωάννης ἐν οἰκείαις ἐπιστολαῖς οὕτω φησίν "Ο ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλ "μοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, "περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωρά "καμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν "τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη "ἡμῖν." ὁρᾷς ἀληθεύοντα τὸν ψαλμῳδὸν, καὶ διὰ τῆς Ἰωάννου φωνῆς, ὅτε φησὶ πρὸς τὸν τῶν ὅλων Πατέρα Θεόν "Οτι παρὰ σοὶ πηγὴ ζωῆς;" ἦν γὰρ καὶ ἔστι παρ' αὐτῷ πηγὴ ζωῆς ὁ Υἱός· ὅτι γάρ φησιν περὶ αὐτοῦ τὰ τοιαῦτα ὁ πνευματοφόρος, διὰ τῶν αὐτοῦ πάλιν πληροφορήσει λόγων· ἐπιστέλλει γὰρ οὕτως "Καὶ οἴδαμεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ "ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀλη "θινὸν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ "Χριστῷ· οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ "αἰώνιος." εἶτα τίς εἰπέ μοι λοιπὸν τῆς τῶν ἑτεροφρόνων τερθρείας ἀνέξεται; ἢ τίς τῆς ἐκείνων δυσσεβείας οὐ κατα βοήσει δικαίως, ζωῆς τῆς παρ' ἑτέρου μέτοχον ἀποτολ μώντων εἰπεῖν τὸν Υἱὸν, καίτοι τῆς ἁγίας καὶ θεοπνεύστου γραφῆς οὐδὲν μὲν τοιοῦτον λεγούσης περὶ αὐτοῦ, διαῤῥήδην δὲ μᾶλλον βοώσης, ὅτι καὶ Θεὸς εἴη κατὰ φύσιν, καὶ ἀλη θινὸς, καὶ πηγὴ ζωῆς, καὶ ζωὴ πάλιν αἰώνιος; πῶς γὰρ ἂν νοοῖτο Θεὸς ὑπάρχειν ἀληθινὸς ὁ ζωῆς τῆς παρ' ἑτέρου 1.541 δεόμενος, καὶ οὐχὶ μᾶλλον ὑπάρχων αὐτὸς κατὰ φύσιν ζωή; ἢ πῶς ἂν λέγοιτο ζωῆς ἔτι πηγὴ, ταῖς παρ' ἑτέρου χορηγίαις εἰς τὸ δύνασθαι ζῆν βοηθούμενος; Ἀλλὰ ναὶ, φησὶν ὁ δι' ἐναντίας, κατὰ τοῦτο ζωὴν εἶναι δώσομεν τὸν Υἱὸν, καθὸ καὶ αὐτὸς δύναται ζωοποιεῖν, ὡς ἔχων ἐν ἑαυτῷ τὸν ζῶντα Πατέρα. Ἀλλ' οὐκ ἀρκέσει ταῦτα πρὸς ἀπολογίαν ὑμῖν, ὦ βέλ τιστοι, τῆς κατὰ τοῦ Μονογενοῦς δυσφημίας· ἀπαίδευτος δὲ καὶ πανταχῆ διαπίπτων ὁ λόγος ὑμῖν κἀν τούτῳ πάλιν ἁλώ σεται. τὸ γὰρ χρῆναι λέγειν ζωὴν ἀποκαλεῖσθαι τὸν Υἱὸν, ἐπείπερ οἶδε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ζωογονεῖν τὰ ζωῆς δεκτικὰ, διὰ τὸ ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα, πῶς οὐκ ἄμετρόν τινα τὴν ἀμαθίαν ὠδίνει; οὐ γὰρ ἴστε δήπου κατὰ τὸ εἰκὸς, τί μέν ἐστι τὸ κατὰ φύσιν, τί δὲ τὸ ἐκ τοῦ κατὰ φύσιν, ὡς αὐτὸ συντιθέ μενον, ὅπερ ἐστὶ τὸ κατὰ θέσιν. οἷον θερμὸν μὲν τῇ φύσει τὸ πῦρ, θερμὰ δὲ καὶ ἕτερα, τῆς ἐνεργείας μετασχόντα τῆς ἀπ' αὐτοῦ, σίδηρος τυχὸν ἢ ξύλον· ἀλλ' οὐκ ἐπείπερ ἐθερ μάνθη, διὰ τοῦτο λέγοιντ' ἂν εἶναι καὶ πῦρ· ἀλλοτρίαν γὰρ καὶ οὐ φυσικὴν ἐν ἑαυτοῖς τὴν ἐνέργειαν ἔχει. ἥξει δὲ καὶ ἐφ' ἡμᾶς αὐτοὺς τῶν παραδειγμάτων ὁ λόγος· ἡ γραμμα τικὴ τυχὸν ἤτοι γεωμετρικὴ, λογικῆς μὲν ἐπιστήμης εἴδη πιστεύεται, ἀλλ' ὅταν τις ἴδρις γένηται γραμματικῆς ἤτοι τῆς ἑτέρας, οὐκ αὐτὸ γραμματικὴ νοηθήσεται τυχὸν, ἤτοι γεωμετρικὴ, ἀλλ' ἐκ τῆς ἐν αὐτῷ γενομένης γραμματικῆς, γραμματικὸς ὀνομάζεται, καὶ πάλιν ὁμοίως τὸ ἕτερον· οὕτω καὶ ἡ κατὰ φύσιν ζωὴ, ἕτερόν τι πάντως ἐστὶ παρὰ τὰ ἐν οἷς γίνεται, μετασκευάζουσα πρὸς ἑαυτὴν τὸ μὴ φύσει τοιοῦτον. οὐκοῦν ὅταν ἐν Υἱῷ λέγητε τὸν Πατέρα ὑπάρ χειν, ὥσπερ ἐν ὕλῃ τυχὸν, ἵνα, ἐπείπερ ἐστὶ ζωὴ κατὰ φύσιν, 1.542 ζωογονεῖν δύνηται καὶ αὐτὸς, ἀνοήτως ἔτι ζωὴν εἶναι δώσετε, καὶ οὐχὶ μᾶλλον ζωῆς τῆς παρ' ἑτέρου μέτοχον, σχέσει δὲ μᾶλλον καὶ οὐκ οὐσιωδῶς εἰς τὸ τοῦ χορηγοῦντος ἀνακεκλη μένον ἀξίωμα. καὶ ὥσπερ οὐκ ἄν τις εὐλόγως τὸν θερμαν θέντα σίδηρον ἀποκαλέσειε πῦρ, κἂν τὴν τοῦ πυρὸς ἐνέργειαν ἔχῃ, διὰ τὸ ἐξ αὐτοῦ τεθερμάνθαι· ἢ καὶ πάλιν οὐκ ἄν τις νοῦν ἔχων ὀνομάσαι γραμματικὴν τὸν γραμματικὸν, διὰ τὸ καὶ ἑτέρους δύνασθαι χειραγωγεῖν εἰς τὴν ἐπιστήμην· οὕτως καὶ οὐκ ἂν οἶμαί τις τὰ εἰκότα φρονῶν, ζωὴν ὀνομάσαι τὸν Υἱὸν διὰ τὸ καὶ ἑτέρους δύνασθαι ζωογονεῖν, οὐ κατὰ φύσιν ἔχοντα κατ' ἐκείνους τὸ εἶναι ζωὴ, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς ἐνεργείας ἐνεσπαρμένον, ἤτοι διὰ τὸν ἐνοικοῦντα Πατέρα. τί δ' ἂν, εἰπέ μοι, καὶ διακωλύσαι λοιπὸν, ὡς ἐξ ἡμῶν ἕνα νοεῖσθαι τὸν Υἱὸν, φθαρτῆς δηλονότι φύσεως, εἰ ζῇ διὰ τὸν Πατέρα, τουτέστι, τὴν ἐκ τοῦ τεκόντος ζωὴν χορηγούμενος, ὡς νοοῦσιν αὐτοί; ἐφθάρη γὰρ ἂν κατὰ τὴν τῶν νοημάτων ἀναλογίαν, εἰ μὴ ἔσχεν ἐν ἑαυτῷ τὸν ζῶντα Πατέρα. καὶ εἰ συγχωροῦμεν ἀληθεύειν λέγοντι "Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ "Πατὴρ ἐν ἐμοὶ," ἔχει μὲν αὐτὸς ἐν ἑαυτῷ τὸν Πατέρα ζωὴν ὄντα κατὰ φύσιν· ἔστι δὲ αὐτὸς ἐν Πατρὶ, καίτοι ζωὴ κατὰ φύσιν οὐκ ὤν· καὶ σιωπῶ τὸ δύσφημον, εἰ καὶ λέγειν ἐχρῆν εἰς ἔλεγχον τῆς τῶν θεομάχων ἀσεβείας· ἁλώσεται γὰρ ἔχων ὁ Πατὴρ ἐν ἑαυτῷ τὸ ζωῆς ἔρημον, τουτέστι φθορὰν, ἤτοι φύσιν τὴν φθειρομένην. ὅτι γὰρ ἡ τοῦ πράγματος φύσις οὕτως νοεῖν ἡμᾶς ἀναγκάσῃ περὶ τοῦ Υἱοῦ, ζητητέον ἡμῖν καὶ ἐσαῦθις, καὶ διὰ ποικίλων ἰτέον θεωρημάτων, ἐπείπερ ἡμῖν σκοπὸς ταῖς προσηκούσαις ἀκριβείαις κατα λεπτύναι τὸ ζητούμενον. ζωὴν εἶναι φὴς κατὰ φύσιν τὸν Θεὸν καὶ Πατέρα· καλῶς, ἔχει γὰρ οὕτως, ἀλλ' ἔστι καὶ ἐν Υἱῷ. τοῦτο γὰρ καὶ ὁ παρ' ὑμῶν δίδωσι λόγος. ἐροίμην δ' 1.543 ἂν εἰκότως ἤδη λοιπὸν, ἐκεῖνο μανθάνειν ἐπιθυμῶν, τί ἐνερ γήσει περὶ τὸν Υἱὸν, ὑπάρχων ἐν αὐτῷ; ἆρα μεταδώσει τῆς ἑαυτοῦ ζωῆς τῷ ἰδίῳ γεννήματι, καθάπερ δεομένῳ καὶ οὐχ ἔχοντι τὴν ζωὴν ἐξ ἑαυτοῦ; καὶ πῶς οὐκ ἀνάγκη πᾶσα νοεῖν ἔρημον εἶναι ζωῆς τὸν Υἱόν; τὸ δὲ ζωῆς ἔρημον, τί ἂν ἕτερον εἴη λοιπὸν, ἢ φθαρτόν; ἀλλ' οὐ μεταδώσει τῆς ἑαυτοῦ ζωῆς τῷ γεννήματι· ζωὴ γὰρ, καὶ εἰ μὴ δέχοιτο παρ' αὐτοῦ. Πῶς οὖν ἔτι συκοφαντοῦσί τινες ἀθυρογλωττοῦντες ἀφυ λάκτως, καὶ διὰ τοῦτο λέγουσι ζῆν τὸν Υἱὸν, ἐπείπερ ἔχει ζωὴν ὄντα κατὰ φύσιν ἐν ἑαυτῷ τὸν Πατέρα; εἰ μὲν γὰρ ζῇ καὶ δίχα τοῦ Πατρὸς, ὡς ὑπάρχων οὐσιωδῶς καὶ αὐτοζωὴ, οὐκέτι ζῇ διὰ τὸν Πατέρα, τουτέστι, διὰ τὴν ἐκ Πατρὸς μετά ληψιν. εἰ δὲ χορηγὸν τῆς ἰδίας ζωῆς ἔχει τὸν Πατέρα, ζωὴν ἰδίαν οὐκ ἔχων αὐτὸς ἀναδειχθήσεται· διανείζεται γὰρ τὴν παρ' ἑτέρου, καὶ ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, ζῷον μᾶλλόν ἐστιν ἢ ζωὴ, καὶ φθαρτῆς ἤδη φύσεως. πῶς οὖν ἑαυτὸν ἀπεκάλει ζωήν; ἢ γὰρ ἐξέσται καὶ ἡμῖν ἀκινδύνως εἰπεῖν Ἐγώ εἰμι ἡ ζωὴ, ἢ εἴπερ ἐστὶ σφαλερὸς ὁ λόγος· οὐ γὰρ ἐξέσται ποιήματι τοῖς θεοπρεπέσιν ἀξιώμασιν ἐπιπηδᾶν· οἶδεν ἄρα ζωὴν ὄντα κατὰ φύσιν ἑαυτὸν ὁ Υἱός. ἐπεὶ πῶς ἔσται "χαρακτὴρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς ὑποστάσεως" τοῦ γεννήσαντος αὐτὸν, πῶς δὲ εἰκὼν καὶ ὁμοίωσις ἀκριβής; ἢ πῶς οὐκ ὀρθῶς ἐποίει λέγων ὁ Φίλιππος "Δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ "ἡμῖν;" καὶ γὰρ δὴ καὶ ὄντως ἐννοῆσαι προσήκει, ὅτι τὸν Υἱόν τις τεθεαμένος, οὔπω τεθεώρηκε τὸν Πατέρα, εἴπερ ὁ μέν ἐστι κατὰ φύσιν ζωὴ, ὁ δὲ ζωῆς τῆς παρ' αὐτοῦ μέτοχος. οὐ γὰρ ἄν τις ἴδοι τὸ ζωοποιοῦν ἐν τῷ ζωοποιουμένῳ ποτὲ, ἐν τῷ δεομένῳ τὸν ἀπροσδεᾶ. οὐκοῦν καὶ καθ' ἕτερον 1.544 ψεύσεται τρόπον, εἰπών "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν "Πατέρα." Ἀλλ' ὁρᾷ που πάλιν ὁ τῶν εὐσεβῶν τῆς Ἐκκλησίας δογμάτων ἐραστὴς, ὅσα ταῖς ἐκείνων φλυαρίαις ἀκολουθήσει τὰ ἄτοπα. ἐκκλινέτω τοιγαροῦν ἀπ' αὐτῶν καὶ παραλλατ τέτω κατὰ τὸ γεγραμμένον· καὶ ποιείτω μὲν τροχιὰς ὀρθὰς, τὰς δὲ ὁδοὺς κατευθυνέτω τὰς ἑαυτοῦ, καὶ πρὸς τὸ ἁπλοῦν τῆς ἀληθείας ὁράτω κάλλος, ζωὴν μὲν κατὰ φύσιν εἶναι πιστεύων τὸν Θεὸν καὶ Πατέρα, ζωὴν δὲ πάλιν ὁμοίως τὸν ἐξ αὐτοῦ γεγεννημένον Υἱόν. ὡς γὰρ φῶς ἐκ φωτὸς εἶναι λέγεται, οὕτω καὶ ζωὴ ἐκ ζωῆς· καὶ ὥσπερ τὰ φωτὸς δεό μενα φωτίζει ὁ Θεὸς καὶ Πατὴρ, ὡς διὰ φωτὸς ἰδίου τοῦ Υἱοῦ, καὶ σοφοῖ τὰ σοφίας δεκτικὰ, ὡς διὰ σοφίας ἰδίας, καὶ δυναμοῖ τὰ δυνάμεως χρῄζοντα, ὡς διὰ δυνάμεως πάλιν ἰδίας, οὕτω καὶ ζωοποιεῖ τὰ ὅσαπέρ ἐστι τῆς παρ' αὐτοῦ δεόμενα ζωῆς, ὡς διὰ ζωῆς ἰδίας καὶ ἐξ αὐτοῦ προχεομένης, τουτέστι τοῦ Υἱοῦ. ὅταν οὖν λέγῃ Ζῶ διὰ τὸν Πατέρα, μὴ νομίσῃς ὅτι διὰ τὸ δέχεσθαι τὴν παρὰ τοῦ Πατρὸς ζωὴν, ζῆν ἑαυτὸν ὁμολογεῖ, ἀλλ' ἐπείπερ ἐκ ζῶντος ἐγεννήθη Πατρὸς, διὰ τοῦτο καὶ ζῆν ἑαυτὸν διισχυρίσατο. οὐ γὰρ ἐνεχώρει μὴ ζῆν τὸν ἐκ ζῶντος Πατρός· καὶ ὥσπερ εἴ τις λέγοι τῶν καθ' ἡμᾶς Ἄνθρωπός εἰμι λογικὸς διὰ τὸν πατέρα, ἀνθρώπου γὰρ λογικοῦ γέγονα τέκνον· οὕτω νοή σεις καὶ ἐπ' αὐτοῦ τοῦ Μονογενοῦς· ζῶ φησι διὰ τὸν Πατέρα. ἐπειδὴ γὰρ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ γεννήσας με Πατὴρ, εὐφυὲς δέ εἰμι καὶ γνήσιον γέννημα, τὸ ἴδιον αὐτοῦ κατὰ φύσιν ἐπάγομαι, τουτέστι, τὸ εἶναι ζωὴ, τοῦτο γάρ ἐστι καὶ ὁ Πατήρ. ἐπειδὴ δὲ εἷς ἐξ ἑνὸς νοεῖταί τε καὶ ἔστιν· ἐκ Πατρὸς γὰρ ὁ Υἱὸς, εἰ καὶ συνῆν ἀϊδίως· εἰκότως τοῖς φυσι κοῖς τοῦ γεννήσαντος ἀξιώμασιν, ὡς ἰδίοις ἐπισεμνύνεται. 1.545 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβὰς, οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα καὶ ἀπέθανον· ὁ τρώγων μου τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα. Μεγάλα, φησὶν, εἶναι δεῖ τὰ ἐκ μεγάλων ἀποτελέσματα, καὶ τὰ διὰ τῆς ἄνωθεν χορηγούμενα χάριτος, ὁρᾶσθαι προσήκει θεοπρεπῆ, καὶ τῆς θείας μεγαλοδωρεᾶς ἄξια. εἰ γὰρ ὅλως ἐποιήσω παραδεκτὸν ἐν πίστει τὸ ἐξ οὐρανοῦ κατα βαίνειν τὸν ἄρτον, ἐμποιείτω τοῖς ἐφιεμένοις διηνεκῆ τὴν ζωὴν, καὶ ἀκατάληκτον ἐχέτω τῆς ἀθανασίας τὴν ἐνέργειαν. εἴη γὰρ ἂν ἀπόδειξις αὕτη σαφὴς τοῦ εἶναι τὸν ἄρτον ἐξ οὐρανοῦ, τουτέστι, παρὰ Θεοῦ· ἐπεὶ καὶ πρέπειν ἐροῦμεν αἰώνια τῷ αἰωνίῳ χαρίζεσθαι, καὶ μὴ προσκαίρου τρυφῆς ἀπόλαυσιν, εἰς ὀλιγοστὸν κομιδῆ τὸν καιρὸν καὶ μόλις ἀντέχειν ἰσχύουσαν. λογιεῖται γάρ τις οὐκ ἔτι σοφῶς ἄρτον εἶναι τὸν παρὰ Θεοῦ καὶ ἄνωθεν, ὃν βεβρωκότες οἱ πρόγονοι θανάτῳ νενίκηνται, καὶ τὴν ἀπὸ τῆς φθορᾶς οὐκ ἀπεκρούσαντο βλάβην, καὶ θαυμαστὸν οὐδέν· ἄρτος γὰρ ἀπαθανατίζειν ἰσχύων, ἐκεῖνος οὐκ ἦν. οὐκοῦν οὐδὲ ἐξ οὐρανοῦ δικαίως ἂν ὑπό του νοοῖτο καὶ λέγοιτο. ἦν γὰρ δὴ καὶ ἔργον τῷ ἐκεῖθεν καθικνουμένῳ πρέπον, καὶ θανάτου καὶ φθορᾶς ἀμείνους ἀποτελεῖν τοὺς μετέχοντας αὐτοῦ. ἀναμ φιλόγῳ δὲ πάλιν ἀποδείξει βεβαιωθήσεται, ἄρτον εἶναι τοῦτον ἐξ οὐρανοῦ, τὸν διὰ Χριστοῦ δηλαδὴ, τουτέστι, τὸ σῶμα αὐτοῦ. ζῆν γὰρ εἰς αἰῶνα ποιεῖ τὸν ἀπογευσάμενον. πολὺ δὲ δή τι τὸ ἀξιόπιστον τῆς θείας φύσεως κἀν τοιούτοις ὁρᾶται, οὐδὲν ἀξιούσης χαρίζεσθαι μικρὸν, πάντα δὲ μᾶλλον ὑπερφυῆ, εἰ καὶ τὴν ἡμετέραν διάνοιαν ὑπερτέλλοντα, ὡς διὰ τὸ μέγεθος ἤδη τῆς χάριτος καὶ ἀπιστεῖσθαι παρὰ τῶν 1.546 ἁπλουστέρων. τῇ γὰρ οὕτω πλουσίᾳ χειρὶ πῶς οὐκ ἔδει προσεῖναι τὸ πλούσια χαρίζεσθαι θέλειν; διὸ καὶ ὁ Παῦλος ἀποθαυμάζει λέγων "Ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ "ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν "ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν·" ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μικροῖς δὲ ὁ νόμος παραδείγμασι τὰ μεγάλα διετύπου, "σκιὰν ἔχων τῶν μελ "λόντων ἀγαθῶν, οὐκ αὐτὴν δὲ τὴν εἰκόνα τῶν πραγμάτων," καθὰ γέγραπται· ὡς ἐν τῇ τοῦ μάννα τροφῇ τὴν εὐλογίαν ὁρᾶσθαι τὴν διὰ Χριστοῦ· σκιὰ γὰρ τῶν μελλόντων ἐκεῖνα τοῖς ἀρχαιοτέροις προκατεγράφετο. Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καφαρναούμ. Θαυμαστῶν ἡμῖν μυστηρίων ἐξήγησιν εἰσενεγκὼν ὁ σο φώτατος Εὐαγγελιστὴς, ἀνατίθησιν εἰκότως τῷ Σωτῆρι Χριστῷ τὴν τῆς ἐπ' αὐτοῖς διδασκαλίας ἀρχὴν, τῇ τοῦ προσώπου περιφανείᾳ τὸν ἀντιπράττοντα δυσωπῶν, καὶ τοὺς οἵπερ ἔμελλον ἀντεροῦντες ἀφίξεσθαι προκαταπτοῶν· ἡ γὰρ τῶν διδασκόντων ἔσθ' ὅτε λαμπρότης ἑτοιμότερόν πως εἰς πίστιν τὸν ἀκροατὴν ἐργάζεται, καὶ γοργοτέραν παρὰ τῶν παιδευομένων ἀπαιτεῖ τὴν συναίνεσιν. εὖ δὲ δὴ λίαν ἐπάγει τό Ἐν τῇ συναγωγῇ· μόνον γὰρ οὐχὶ τοῦτο δηλούμενος ὁ λόγος Ἀλλ' οὐδὲ εἷς που τυχὸν ἢ δύο κατήκουσαν ταῦτα λέγοντος τοῦ Χριστοῦ, διαῤῥήδην ἐπὶ πάντων ἐν συναγωγῇ διδάξας ὁρᾶται, ὥσπερ οὖν αὐτὸς καὶ διὰ τοῦ προφήτου Ἡσαΐου φησίν "Οὐκ ἐν κρυφῇ λελάληκα οὐδὲ ἐν τόπῳ γῆς "σκοτεινῷ·" ἐποιεῖτο γὰρ ἐν παῤῥησίᾳ τοὺς περὶ τούτων λόγους, ἀναπολόγητον τοῖς Ἰουδαίοις τὴν κρίσιν ἀποτελῶν, καὶ τοῖς ἀπειθήσασι τὰ ἐκ τοῦ μὴ πιστεύειν αὐτῷ δυσαχθέ στερα ποιῶν ἐγκλήματα. οὕπω μὲν γὰρ τὸ οὕτω σεπτὸν 1.547 παιδευθέντες μυστήριον, εὔλογον ἂν ἐποιήσαντο τοῦ κολά ζεσθαι τὴν παραίτησιν, καὶ τὸ μηδὲ ὅλως εἰδέναι προϊσχό μενοι, μετριωτέραν ἂν τὴν τοῦ κρίνοντος ὑπέμειναν κίνησιν. ἐγνώκοτες δὲ καὶ πολλάκις μυσταγωγούμενοι, εἶτα ταῖς ἀπειθείαις ὑβρίζοντες, πῶς οὐκ ἂν εἰκότως παντὸς ἀνῃρη μένου λοιπὸν ἐλέου κολάζοιντο, καὶ πικροτάτην ἀποτίσειαν τῷ παρ' αὐτῶν ἠτιμασμένῳ τὴν δίκην; τοιοῦτόν τι καὶ αὐτὸς ἐπ' αὐτοῖς εἴρηκεν ὁ Σωτήρ "Εἰ μὴ γὰρ ἦλθον, φησὶ, "καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν· νυνὶ δὲ πρό "φασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν." Παραφυλακτέον τοιγαροῦν, μᾶλλον δὲ παραιτητέον, ὡς θανάτου πρόξενον τὸ δυσήκοον, καὶ ζωῆς παρεκτικὴν τὴν πίστιν ἡγώμεθα τὴν ἐφ' οἷς ἂν διδάσκῃ Χριστός. διαφευ ξόμεθα γὰρ οὕτω τὸ μετ' ἐκείνων κολάζεσθαι. προστίθησι δὲ ὅτι καὶ ἐν τῇ Καφαρναοὺμ ταῦτα λελάληκεν ὁ Χριστὸς, ἵνα φαίνηται μεμνημένος ἀκριβῶς. ὁ γὰρ εἰδὼς καὶ τόπον καὶ κώμην, πῶς ἂν ἁμάρτοι περὶ τὴν τῶν διδαχθέντων ἐξήγησιν; Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς. Τοῦτο τοῖς ἀνοήτοις ἔθος· ἀεὶ γὰρ τῶν μαθημάτων καται τιῶνται τὰ λεπτότερα, καὶ τὴν ὑψηλοτέραν ἢ κατ' αὐτοὺς θεωρίαν ἀμαθῶς διασύρουσιν, ἐπεὶ μὴ νοοῦσιν αὐτοί· καίτοι μᾶλλον ἐχρῆν μανθάνειν ἐπείγεσθαι, καὶ τοῖς λαλουμένοις συναπολεπτύνεσθαι φιλεῖν, οὐκ ἐκ τῶν ἐναντίων τῶν οὕτω σοφῶν κατεξανίστασθαι λόγων, καὶ σκληρὸν ἀποκαλεῖν, ὃ καὶ θαυμάζεσθαι πρέπει. πάσχουσι γάρ τι τοιοῦτον, ὁποῖόν 1.548 περ ἄν τις ὑπομένοντας βλέποι τοὺς τῶν ὀδόντων ἐστερη μένους. ἐκεῖνοι μὲν γὰρ τοῖς τρυφερωτέροις ἐπιτρέχοντες σιτίοις, ἀτιμάζουσι πολλάκις τὰ τῶν ἐδωδίμων χρηστότερα, καὶ τὸ κρεῖττον ἔσθ' ὅτε κακύνουσιν, οὐχ ὁμολογοῦντες τὴν νόσον, ὑφ' ἧς αὐτὸ παραιτεῖσθαι βιάζονται. οἱ δὲ ἀμαθίᾳ σύντροφοι, καὶ φρενὸς τῆς ἀγαθῆς ἡττώμενοι, καταφρίττουσι τὴν γνῶσιν, ἣν ἔδει καὶ σφόδρα πολλοῖς καταθηρᾶσθαι πόνοις, καὶ διὰ συντόνου μᾶλλον ἐξανύειν σπουδῆς. ἀνὴρ μὲν οὖν ὁ πνευματικὸς τοῖς τοῦ Σωτῆρος ἡμῶν ἐντρυφήσει λόγοις, ἀναβοήσει δὲ ἂν μᾶλλον καὶ δικαίως "Ὡς γλυκέα "τῷ λάρυγγί μου τὰ λόγιά σου· ὑπὲρ μέλι καὶ κηρίον τῷ "στόματί μου." ὁ δὲ ψυχικὸς Ἰουδαῖος μωρίαν εἶναι λογι ζόμενος ἀσυνέτως τὸ πνευματικὸν μυστήριον, καὶ διὰ τῶν τοῦ Σωτῆρος ῥημάτων ἐπὶ τὴν ἀνθρώπῳ πρέπουσαν σύνεσιν ἀναβαίνειν παρακαλούμενος, ἐπὶ τὴν σύντροφον ἀεὶ κατα πίπτει μωρίαν, τὸ μὲν πονηρὸν καλὸν λέγων, τὸ δὲ καλὸν πονηρὸν, κατὰ τὴν τοῦ προφήτου φωνήν. πατρώζει δὲ πάλιν, καὶ τὰς τῶν προγόνων ἀμαθίας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπομιμούμενος κἀν τούτοις ἁλώσεται· οἱ μὲν γὰρ τὸ μάννα παρὰ τοῦ Θεοῦ χορηγού μενοι, καὶ τῆς ἄνωθεν μετίσχοντες εὐλογίας ἐπὶ τὴν συνήθη χυδαιότητα κατεφέροντο, καὶ τὰς ἐν Αἰγύπτῳ δυσωδίας ἐζήτουν, κρόμμυα καὶ πράσα καὶ κρεῶν λέβητας ἐπιθυ μοῦντες ἰδεῖν· οἱ δὲ τὴν ζωοποιὸν τοῦ Πνεύματος χάριν δέχεσθαι παρακαλούμενοι, καὶ τὸν ἄρτον τὸν ἀληθινὸν, τὸν ἐκ Θεοῦ καὶ Πατρὸς ἥκοντα τρέφεσθαι διδασκόμενοι, πρὸς τὴν ἑαυτῶν ἐκνεύουσι πλάνην, "φιλήδονοι μᾶλλον ὄντες ἢ "φιλόθεοι·" καὶ ὥσπερ οἱ τούτων πρόγονοι καὶ αὐτῆς κατη γόρουν τῆς διὰ τοῦ μάννα τροφῆς, ἀποτολμῶντες λέγειν "Ἡ δὲ ψυχὴ ἡμῶν κατάξηρος" ἐν τῷ μάννᾳ τούτῳ· οὕτω 1.549 καὶ οὗτοι πάλιν τὸν ἄρτον ἀποπέμπονται τὸν ἀληθινὸν, οὐκ ἐρυθριῶντες λέγειν Σκληρός ἐστιν ὁ λόγος οὗτος. Δεῖ τοιγαροῦν σοφοὺς εἶναι τοὺς τῶν θείων μυστηρίων ἀκροατὰς, δεῖ δοκίμους εἶναι τραπεζίτας, ὡς εἰδέναι τὸ δόκιμον καὶ τὸ παράσημον νόμισμα, καὶ μήτε τοῖς πίστει παραδεκτοῖς ἀκαίρως ἐπάγειν τὴν ἀνεξίτητον ζήτησιν, μήτε τοῖς τῆς ζητήσεως δεομένοις ἐπασωτεύεσθαι πίστιν ἔσθ' ὅτε τὴν ἐπιζήμιον, ἀποδιδόναι δὲ τὸ ἑκάστῳ πρέπον τῶν λαλου μένων, καὶ δι' εὐθείας ὥσπερ ἰέναι τρίβου, τὸ ἐκκλίνειν ἐπ' ἄμφω παραιτουμένους. ὁδῷ γὰρ βασιλικῇ πορεύεσθαι πρέ πει τὸν εἰς ὀρθότητα πίστεως τρέχοντα τῆς ἐν Χριστῷ. Τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; Ἐκ πολλῆς ἄγαν τῆς ἀμαθίας τῶν ὑπὸ τῷ Σωτῆρι Χριστῷ μαθητευομένων τινὲς ἐπὶ τοῖς παρ' αὐτοῦ λόγοις ἐσκανδαλίζοντο. ἐπειδὴ γὰρ ἐπηκροῶντο λέγοντος "Ἀμὴν "ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ "ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν "ἑαυτοῖς·" εἰς ὠμότητά τινα θηριοπρεπῆ καλεῖσθαι σφᾶς ὑπελάμβανον, ὡς σαρκοφαγεῖν μὲν ἀπανθρώπως, αἷμα δὲ ῥοφεῖν ἐπιτάττεσθαι, καὶ ὅσα καὶ μόνον ἀκοῦσαι φρικτὰ ταῦτα ποιεῖν ἀναγκάζεσθαι. οὐ γὰρ ᾔδεσάν πως τοῦ μυστη ρίου τὸ κάλλος, καὶ τὴν ηὑρημένην ἐπ' αὐτῷ καλλίστην οἰκονομίαν· ἐπὶ δέ γε τούτῳ κἀκεῖνό που πάντως καθ' ἑαυτοὺς ἐλογίζοντο Πῶς ἂν ἡμῖν τὸ ἀνθρώπινον σῶμα τὴν αἰώνιον ἐμφυτεύσαι ζωήν; τί δὲ ὀνήσει πρὸς ἀθανασίαν τὸ ἡμῖν ὁμοφυές; συνεὶς τοιγαροῦν ὁ Χριστὸς τὰ ἐν αὐτοῖς βουλεύματα· "πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα "τοῖς ὀφθαλμοῖς αὐτοῦ·" θεραπεύει πάλιν εἰς κατάληψιν 1.550 τῶν ἀγνοουμένων ἔτι πολυτρόπως χειραγωγῶν. ἀνοήτως γὰρ λίαν, ὦ οὗτοι, φησὶν, ἐπὶ τοῖς παρ' ἐμοῦ σκανδαλίζεσθε λόγοις. εἰ γὰρ οὔπω πιστεύειν ἐγνώκατε, καίτοι πολλάκις μυσταγωγούμενοι, ὅτι ζωὴν ὑμῖν ἐνήσει τὸ ἡμέτερον σῶμα, τίνα τρόπον διατεθήσεσθε, φησὶν, ὅταν αὐτὸ καὶ εἰς οὐρανὸν ἀνιπτάμενον βλέπητε; οὐ γὰρ ὑπισχνοῦμαι μόνον, ὅτι καὶ εἰς αὐτὸν ἀναβήσομαι τὸν οὐρανὸν, ἵνα μὴ πάλιν λέγητε τό Πῶς· ἀλλ' ἐν ὀφθαλμοῖς ὑμῖν ἡ θέα στήσεται, πάντα δυσω ποῦσα τὸν ἀντιλέγοντα. ἐὰν οὖν βλέπητε, φησὶν, εἰς τὸν οὐρανὸν ἀναβαίνοντα τὸν υἱὸν τοῦ ἀνθρώπου, τί ἐρεῖτε πάλιν; ἐλεγχθήσεσθε γὰρ οὐ μετρίως ἀφραίνοντες. εἰ γὰρ μὴ δύνασθαι τὴν ἐμὴν σάρκα τὴν ζωὴν ὑμῖν ἐνθεῖναι λογίζεσθε, πῶς πτηνοῦ δίκην εἰς οὐρανὸν ἀναβήσεται; εἰ γὰρ μὴ δύναται ζωοποιεῖν, ὅτι μὴ πέφυκε ζωοποιεῖν, πῶς ἀεροβα τήσει, πῶς δὲ εἰς οὐρανοὺς ἀναβήσεται; καὶ τοῦτο γὰρ ὁμοίως ἀδύνατον τῇ σαρκί. εἰ δὲ ἀναβαίνει παρὰ φύσιν, τί τὸ κωλύον ἔτι καὶ ζωοποιεῖν αὐτὴν, καὶ εἰ μὴ πέφυκε ζωοποιεῖν, ὅσον εἰς ἰδίαν φύσιν; ὁ γὰρ οὐράνιον ἀποδείξας τὸ ἀπὸ γῆς, καὶ ζωοποιὸν ἀποτελέσει, καὶ εἰ πέφυκε φθείρε σθαι κατὰ τὸν ἴδιον λόγον. Ἐπιτηρητέον δὲ ὅπως οὐκ ἀνέχεται πάλιν εἰς δύο καταμε ρίζεσθαι χριστοὺς, κατὰ τὴν τινῶν ἀβουλίαν. ἀμέριστον γὰρ ἑαυτὸν πανταχῇ φυλάττει μετὰ τὴν ἐνανθρώπησιν. τὸν γὰρ υἱὸν τοῦ ἀνθρώπου φησὶν ἀναβαίνειν ὅπου ἦν τὸ πρότερον, καίτοι τοῦ ἐκ γῆς σώματος οὐκ ὄντος ἄνω πρὸ τούτου, μόνου δὲ ἔτι καὶ καθ' ἑαυτὸν τοῦ Λόγου, πρὸ συνδρομῆς τῆς εἰς σάρκα· καλῶς οὖν ὁ Παῦλος τό "Εἷς Κύριος Ἰησοῦς Χριστὸς" ἐν ἰδίαις τέθεικεν ἐπιστολαῖς. εἷς γὰρ Υἱὸς, καὶ πρὸ τῆς σαρ 1.551 κώσεως καὶ μετὰ τὴν σάρκωσιν, καὶ οὐκ ἀλλότριον τοῦ Λόγου τὸ ἴδιον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ λογιούμεθα σῶμα· διὰ γάρ τοι τοῦτο καὶ υἱὸν ἀνθρώπου φησὶ τὸν ἄνωθεν ἐξ οὐρανοῦ καταφοιτήσαντα Λόγον· σὰρξ γὰρ ἐγένετο, κατὰ τὸν μακάριον Εὐαγγελιστὴν, καὶ οὐκ εἰς σάρκα μεταχωρήσας ἐκ παρατροπῆς· ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστὶν, ὡς Θεός· ἀλλ' ὡς ἐν ἰδίῳ κατοικήσας ναῷ, τῷ ἐκ παρθένου φημὶ, καὶ ἄνθρωπος γε γονὼς κατὰ λόγον ἀληθινόν. ἀναβήσεσθαι δὲ λέγων, ἔνθα καὶ πρότερον ἦν, δίδωσί πως ἐννοεῖν τοῖς ἀκροωμένοις, ὅτι καταβέβηκεν ἐξ οὐρανοῦ· ἦν γὰρ οὕτως εἰκὸς συνέντας τοῦ λόγου τὴν δύναμιν, οὐχ ὡς ἀνθρώπῳ προσέχειν μόνον, ἀλλ' εἰδέναι λοιπὸν καὶ τὸν ἐν σαρκὶ Θεὸν Λόγον, πιστεύειν τε ὅτι καὶ ζωοποιὸν ἔσται τὸ σῶμα αὐτοῦ. Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Οὐ σφόδρα, φησὶν, ἀσυνέτως τὸ μὴ δύνασθαι ζωοποιεῖν περιτεθείκατε τῇ σαρκί· ὅταν γὰρ μόνη νοῆται καὶ καθ' ἑαυτὴν ἡ τῆς σαρκὸς φύσις πως, οὐκ ἔσται δηλονότι ζωο ποιός· ζωογονήσει μὲν γάρ τι τῶν ὄντων οὐδαμῶς, δεῖται δὲ μᾶλλον αὐτὴ τοῦ ζωογονεῖν ἰσχύοντος. ἐπὰν δὲ τὸ περὶ τῆς ἐνανθρωπήσεως πολυπραγμονῆται μυστήριον, εἶτα τίς ὁ ἐνοικῶν τῇδε τῇ σαρκὶ μανθάνητε, διατεθήσεσθε πάντως, φησὶν, εἰ μὴ καὶ αὐτοῦ κατηγορεῖτε τοῦ θείου Πνεύματος, ὅτι δύναται ζωοποιεῖν, κἂν μηδὲν ὅλως ἡ σὰρξ ἐξ ἑαυτῆς ὠφελῇ. ἐπειδὴ γὰρ ἥνωται τῷ ζωοποιοῦντι Λόγῳ, γέγονεν ὅλη ζωοποιὸς πρὸς τὴν τοῦ βελτίονος ἀναδραμοῦσα δύναμιν, οὐκ αὐτὴ πρὸς τὴν ἰδίαν βιασαμένη φύσιν, τὸν οὐδαμόθεν ἡττώμενον. κἂν ἀσθενῇ τοιγαροῦν ἡ τῆς σαρκὸς φύσις, ὅσον ἧκεν εἰς ἑαυτὴν, εἰς τὸ δύνασθαι ζωοποιεῖν, ἀλλ' οὖν ἐνερ γήσει τοῦτο τὸν ζωοποιὸν ἔχουσα Λόγον, καὶ ὅλην αὐτοῦ τὴν 1.552 ἐνέργειαν ὠδίνουσα. σῶμα γάρ ἐστι τῆς κατὰ φύσιν ζωῆς, 1.552 καὶ οὐχ ἑνός τινος τῶν ἀπὸ τῆς γῆς, ἐφ' οὗπερ ἂν καὶ ἰσχύσαι δικαίως τό Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. οὐ γὰρ ἡ Παύλου τυχὸν, ἀλλ' οὐδὲ ἡ Πέτρου, ἤγουν ἑτέρου τινὸς τοῦτο ἐν ἡμῖν ἐργάσεται· μόνη δὲ καὶ ἐξαιρέτως ἡ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ἐν ᾧ κατῴκησε "πᾶν τὸ πλήρωμα "τῆς θεότητος σωματικῶς." καὶ γὰρ ἂν εἴη τῶν ἀτοπω τάτων τὸ μὲν μέλι τοῖς οὐκ ἔχουσι κατὰ φύσιν τὸ γλυκὺ τὴν ἰδίαν ἐντιθέναι ποιότητα, καὶ εἰς ἑαυτὸ μετασκευάζειν δύνασθαι τὸ, ᾧπερ ἂν ἀναμίσγηται, τὴν δὲ τοῦ Θεοῦ Λόγου ζωοποιὸν φύσιν μὴ ἀνακομίζειν οἴεσθαι πρὸς τὸ ἴδιον ἀγα θὸν, τὸ ἐν ᾧπερ ἐνῴκησε σῶμα. οὐκοῦν ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων ἀληθὴς ἔσται λόγος, ὅτι ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· ἀτονήσει δὲ ἐπὶ μόνου Χριστοῦ, διὰ τὸ ἐν αὐτῇ κατοικῆσαι τὴν ζωὴν, τουτέστι τὸν Μονογενῆ. πνεῦμα δέ φησιν ἑαυ τόν· "Πνεῦμα γὰρ ὁ Θεός·" καὶ κατὰ τὸν μακάριον Παῦλον "Ὁ γὰρ Κύριος τὸ πνεῦμά ἐστιν." καὶ οὐκ ἀναιροῦντες τὸ ἰδίως ὑφεστάναι τὸ Πνεῦμα τὸ Ἅγιον τὰ τοιαῦτά φαμεν, ἀλλ' ὥσπερ υἱὸν ἀνθρώπου φησὶν ἑαυτὸν, ἐπειδὴ γέγονεν ἄνθρωπος, οὕτω πάλιν ἀπὸ τοῦ ἰδίου πνεύματος ἑαυτὸν ὀνο μάζει. οὐ γὰρ ἀλλότριον αὐτοῦ τὸ Πνεῦμα αὐτοῦ. Τὰ ῥήματα ἃ λελάληκα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστιν. Ὅλον ἤδη τῇ ζωοποιῷ τοῦ Πνεύματος ἐνεργείᾳ τὸ ἴδιον σῶμα πληροῖ. πνεῦμα γὰρ λοιπὸν τὴν σάρκα καλεῖ, καὶ οὐκ ἀνατρέπων τὸ εἶναι σάρκα αὐτήν· διὰ δὲ τὸ ἄκρως ἡνῶσθαί τε αὐτῷ, καὶ ὅλην αὐτοῦ τὴν ζωογόνον ἐνδύσασθαι δύναμιν, ὀφείλουσαν ἤδη καλεῖσθαι καὶ πνεῦμα. καὶ θαυ 1.553 μαστὸν οὐδὲν, μηδὲ γὰρ ἐπὶ τούτῳ σκανδαλισθῇς. εἰ γὰρ "ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι," πῶς οὐχὶ μᾶλλον τὸ ἴδιον αὐτοῦ σῶμα ἓν ὡς πρὸς αὐτὸν ὀνομασθή σεται; σημαίνει τοιγαροῦν διὰ τῶν προκειμένων τοιοῦτόν τι πάλιν Ἐκ τῶν ἐνόντων ὑμῖν διαλογισμῶν ὑπαισθάνομαι, φησὶν, ἀσυνετοῦντες ὅτι διαλογίζεσθε γεγονέναι μοι λόγον τὸν πρὸς ὑμᾶς, ὅτι τῇ φύσει ζωοποιόν ἐστι τὸ ἀπὸ γῆς σῶμα· ἀλλ' οὐχ οὗτός ἐστιν ἐν τοῖς ἐμοῖς ῥήμασιν ὁ σκοπός· ὅλη γὰρ ἦν πρὸς ὑμᾶς περὶ τοῦ θείου Πνεύματος ἡ ἐξήγησις καὶ περὶ τῆς αἰωνίου ζωῆς. οὐδὲ γὰρ ἡ τῆς σαρκὸς φύσις ζωοποιὸν τὸ πνεῦμα ἐργάζεται, ἀλλ' ἡ τοῦ Πνεύματος δύ ναμις ζωοποιὸν τὸ σῶμα ποιεῖ. τὰ ῥήματα τοίνυν ἅπερ ὑμῖν διείλεγμαι, πνεῦμά ἐστι, τουτέστι πνευματικὰ καὶ περὶ τοῦ Πνεύματος, καὶ ζωή ἐστιν, ἀντὶ τοῦ ζωοποιὰ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περὶ τῆς κατὰ φύσιν ζωῆς. καὶ οὐκ ἀθετῶν τὴν ἰδίαν σάρκα τὰ τοιαῦτά φησιν, ἀλλ' ὅπερ ἐστὶν ἀληθὲς, τοῦτο διδάσκων ἡμᾶς· ὅπερ γὰρ εἰρήκαμεν ἀρτίως, τοῦτο πάλιν ἐροῦμεν ἀναλαβόντες διὰ τὸ χρήσιμον· ἡ τῆς σαρκὸς φύσις, αὐτὴ καθ' ἑαυτὴν οὐκ ἂν δύναιτο ζωογονεῖν· ἐπεὶ τί τὸ πλέον ἐν τῷ κατὰ φύσιν Θεῷ; ἀλλ' οὐ μόνη καὶ καθ' ἑαυτὴν καὶ ἐν Χριστῷ νοηθήσεται· ἔχει γὰρ ἑνωθέντα τὸν Λόγον, ὅς ἐστι κατὰ φύσιν ζωή. ὅταν οὖν ζωοποιὸν αὐτὴν ὀνομάζῃ Χριστὸς, οὐκ αὐτῇ τοσοῦτον, ὅσον ἑαυτῷ, ἤτοι τῷ ἰδίῳ Πνεύματι τὸ ζωογονεῖν δύνασθαι μαρτυρεῖ. δι' αὐτὸν γὰρ καὶ τὸ ἴδιον αὐτοῦ σῶμα ζωοποιόν ἐστιν, ἐπείπερ αὐτὸ πρὸς τὴν ἰδίαν ἀνεστοιχείωσε δύναμιν· τὸ δὲ ὅπως, οὔτε νῷ καταληπτὸν, οὔτε γλώττῃ λεκτὸν, σιωπῇ δὲ καὶ πίστει τῇ ὑπὲρ νοῦν τιμώμενον. Ὅτι δὲ πολλάκις τῷ τοῦ Πνεύματος ὀνόματι παρὰ ταῖς 1.554
θεοπνεύστοις γραφαῖς καλεῖται καὶ ὁ Υἱὸς, διὰ τῶν ὑποτε ταγμένων εἰσόμεθα. γράφει τοίνυν ὁ μακάριος Ἰωάννης περὶ αὐτοῦ "Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ πνεύματος "Ἰησοῦς Χριστὸς, οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλὰ καὶ ἐν τῷ "ὕδατι καὶ τῷ πνεύματι, καὶ τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν, "ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια." ἰδοὺ γὰρ πνεῦμα τὴν ἀλήθειαν ὀνομάζει, καίτοι βοῶντος διαῤῥήδην τοῦ Χριστοῦ "Ἐγώ εἰμι ἡ ἀλήθεια·" Παῦλος δὲ πάλιν ἡμῖν ἐπιστέλλων φησίν "Οἱ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς "δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ "οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος "οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα "νεκρὸν διὰ τὴν ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιο "σύνην." ἰδοὺ γὰρ δὴ πάλιν ἐν τούτοις τὸ τοῦ Θεοῦ Πνεῦμα κατοικεῖν ἐν ἡμῖν ἀποφηνάμενος, αὐτὸν εἴρηκεν ἐν ἡμῖν εἶναι τὸν Χριστόν. ἀδιαίρετον γὰρ τοῦ Υἱοῦ τὸ Πνεῦμα αὐτοῦ, κατά γε τὸν ἐν ταυτότητι φύσεως λόγον, εἰ καὶ νοοῖτο ὑπάρχειν ἰδιοσυστάτως. διὰ τοῦτο πολλάκις ἀδιαφορεῖ, ποτὲ μὲν τὸ Πνεῦμα, ποτὲ δὲ ἑαυτὸν ὀνομάζων. Ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν· ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. καὶ ἔλεγε Διὰ τοῦτο εἴρηκα ὑμῖν ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ Πατρός μου. Ἐν τούτῳ δὴ πάλιν ἐστὶ διαῤῥήδην ὁρᾶν πληρούμενον τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν προκεκηρυγμένον "Ἀκοῇ "ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ "οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, 1.555
"καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν "ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τῇ "καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς." αὐτήκοοι γὰρ τῶν τοῦ Σωτῆρος γιγνόμενοι διδαγμάτων, καὶ οὐ παρ' ἑτέρου τινὸς τῶν ἁγίων μανθάνοντες, διὰ φωνῆς δὲ μᾶλλον τοῦ πάντων Δεσπότου μυσταγωγούμενοι, ἀλλὰ γὰρ καὶ τοῖς τοῦ σώματος ὁρῶντες αὐτὸν ὀφθαλμοῖς, ταῖς σφῶν αὐτῶν ἀνοίαις ἐξεπαχύνοντο, καὶ τὸν τῆς διανοίας καταμύ σαντες ὀφθαλμὸν, τὸν τῆς δικαιοσύνης ἥλιον ἀπετρέποντο, τὸν τῆς εὐαγγελικῆς παιδεύσεως φωτισμὸν οὐ παραδεχό μενοι· πονηροὶ γὰρ ἦσαν καὶ πολλοῖς ἤδη τοῖς παρῳχη κόσιν ἔνοχοι πταίσμασι. διὰ τοῦτο καὶ "πώρωσιν ἀπὸ "μέρους γεγενῆσθαι τῷ Ἰσραὴλ" ὁ σοφὸς ἡμῖν διεμαρ τύρατο Παῦλος. ἐπεὶ δὲ καὶ οὐ τῆς τυχούσης φρονήσεως ἔργον ἦν τὸν ἐν ἀνθρωπείᾳ μορφῇ κρυπτόμενον ἐπιγνῶναι Θεὸν, μὴ δύνασθαί φησι πρὸς αὐτὸν ἰέναι τὸν οὔπω λαβόντα, σύνεσιν δὲ δηλονότι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μάλα εἰκότως. εἰ γὰρ "πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα "τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ πατρὸς τῶν φώ "των·" πῶς ἂν οὐχὶ μᾶλλον καὶ τὸ ἐπιγνῶναι Χριστὸν, δῶρον ἂν γένοιτο τῆς τοῦ Πατρὸς δεξιᾶς; καὶ ἡ τῆς ἀληθείας κατάληψις, πῶς οὐκ ἂν νοοῖτο πάσης ἐπέκεινα χάριτος; ὅσῳ γὰρ ἂν φαίνοιτο τῶν ἀνωτάτω πρόξενος ἀγαθῶν, τοσούτῳ μᾶλλον ἂν πρέποι τῆς θείας αὐτὴν ἠρτῆσθαι φιλοτιμίας. δίδωσι γεμὴν οὐ τοῖς ἀκαθάρτοις ὁ Πατὴρ τὸ ἐπιγνῶναι Χριστὸν, οὐδὲ τοῖς εἰς ἐκτόπους ἀπειθείας ἀποφοιτᾶν μελε τήσασι τὴν ἐπωφελεστάτην τοῦ Πνεύματος ἐνίησι χάριν· οὐ γὰρ ἔδει βορβόρῳ τὸ τίμιον ἐπιχεῖσθαι μύρον. καὶ γοῦν ὁ μακάριος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προφήτης Ἱερεμίας, προαποκαθαίρεσθαι δεῖν ταῖς 1.556 εἰς πᾶν ἔργον ἀγαθὸν ἐπιθυμίαις, τοὺς ἐγγίζειν ἐθέλοντας τῷ Χριστῷ διὰ τῆς πίστεως ἐπιτάττει βοῶν "Ζητήσατε τὸν "Θεὸν, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε· ἡνίκα δ' "ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὴν ὁδὸν αὐτοῦ καὶ "ἀνὴρ ἄνομος τὴν βουλὴν αὐτοῦ καὶ ἐπιστραφήτω ἐπὶ "Κύριον, καὶ ἐλεηθήσεται, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρ "τίας ὑμῶν." ὁρᾷς ὅπως προεξανίστασθαι χρῆναί φησι τῆς ἀρχαίας ὁδοῦ, καὶ τῶν παρανόμων ἀπανίστασθαι βου λευμάτων, ἵνα τὴν τῶν ἁμαρτιῶν ἄφεσιν κομισώμεθα, διὰ πίστεως δὲ δηλονότι τῆς ἐν Χριστῷ. δεδικαιώμεθα γὰρ οὐκ "ἐξ ἔργων νόμου," ἀλλὰ κατὰ χάριν τὴν ἐξ αὐτοῦ, καὶ τὴν δωρηθεῖσαν ἡμῖν ἄνωθεν ἀμνησικακίαν. Ἀλλ' ἐρεῖ τις τυχόν Τοιγαροῦν τί τὸ κωλῦσαν αὐτὸν ἀμνησικακῆσαι καὶ Ἰουδαίοις, καὶ τῷ Ἰσραὴλ σὺν ἡμῖν τὴν ἄφεσιν ἐπιδαψιλεύσασθαι; ἦν γὰρ δὴ καὶ οὕτως πρέπον τῷ τελείως ἀγαθῷ. πῶς δὲ καὶ ἀληθεύσει, φησὶν, ὅταν λέγῃ πρὸς ἡμᾶς "Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς "εἰς μετάνοιαν;" Τί οὖν πρὸς ταῦτα; μόνοις τοῖς ἐξ Ἰσραὴλ καὶ πρώτοις ἡ διὰ τοῦ Σωτῆρος προσεπινοεῖται χάρις· ἀπεστάλη γὰρ, ὡς αὐτὸς διεβεβαιώσατο, πρὸς μόνα τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. καὶ γοῦν τοῖς ἐθέλουσι πιστεύειν ἐξῆν καὶ εἰς τὴν ζωὴν ἀνατρέχειν τὴν αἰώνιον. ἀλλ' οἱ μὲν εὐγενε στέρῳ συζῶντες τρόπῳ, καὶ τῆς ἀληθείας ὄντες ἐρευνηταὶ, τὴν τοῦ Θεοῦ καὶ Πατρὸς χάριν συνεργὸν λαβόντες εἰς σωτηρίαν διὰ πίστεως ἀνεσώζοντο· ὁ δὲ ἀλαζὼν Φαρισαῖος καὶ οἱ σκληροκάρδιοι μετ' ἐκείνων ἀρχιερεῖς καὶ πρεσβύτεροι τοῦ λαοῦ, πιστεύειν οὐκ ἤθελον, καίτοι προπεπαιδευμένοι διὰ Μωυσέως καὶ τῶν προφητῶν. ἐπειδὴ δὲ διὰ τὴν ἑαυτῶν δυσβουλίαν ἀνάξιοι λοιπὸν τῆς αἰωνίου ζωῆς ἀνεδείκνυντο, τὸν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς οὐκ ἐκομίσαντο φωτισμόν. 1.557 ἔχεις καὶ τούτου τὸν τύπον ἐν ἀρχαιοτέροις συγγράμμασιν. ὅνπερ γὰρ τρόπον τοῖς κατὰ τὴν ἔρημον ἀπιστήσασι τῷ Θεῷ, τὸ εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐ δέδοται, οὕτω καὶ τοῖς διὰ τῆς ἀπειθείας ἀτιμάζουσι τὸν Κύριον, οὐκ ἐδόθη τὸ εἰσελθεῖν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, ἧς ἦν ὁ τύπος τῆς ἐπαγγελίας ἡ γῆ. καὶ οὐκ "ἄδικος ὁ Θεὸς ὁ "ἐπιφέρων ἑκάστῳ τὴν ὀργήν·" δίκαιος γὰρ ὢν κατὰ φύσιν ὁριεῖ πάντως ὀρθὰ, καὶ τὸ οἰκεῖον ἀπευθυνεῖ κρῖμα πρεπόντως τῇ ἰδίᾳ φύσει, κἂν μὴ νοοῖμεν αὐτοὶ τῆς ὑπὲρ ἡμᾶς οἰκονο μίας τὴν ὁδόν. Χρησίμως γεμὴν ὁ μακάριος Εὐαγγελιστὴς πάντα φησὶν εἰδέναι τὸν Ἰησοῦν, καὶ οὐκ ἀγνοῆσαι πάλιν τίνες μὲν οἱ ἀπειθήσειν μέλλοντες, τίς δὲ ὁ τῆς εἰς αὐτὸν δυσσεβείας ὑπουργὸς, ἵνα πάλιν νοῆται Θεὸς, ὡς "εἰδὼς τὰ πάντα πρὶν "γενέσεως αὐτῶν." Ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. Σκληρά πως ἐστὶ τοῖς ἀσυνέτοις ἀεὶ τὰ σοφὰ, καὶ ὅπερ ἂν οἴηταί τις καὶ οὐ μετρίως ὀνήσειν αὐτοὺς, τοῦτο πολλάκις ὁρᾶται καὶ ἐπιζήμιον. ὅνπερ γὰρ τρόπον τοῖς τὴν ὄψιν ἀλγοῦσι τὴν σωματικὴν μάχεται μὲν τοῦ ἡλίου τὸ φῶς, ἡδὺ δέ πως ἐστὶ τὸ ἀφεγγέσιν ἐγκαθιδρύεσθαι τόποις, οὕτω τοῖς νοσοῦσι τὰ κατὰ τὸν νοῦν, ἀπεχθῆ μὲν τῶν μαθημάτων τὰ περισκελέστερα, καὶ τὰ δυσευρέτοις ἐννοίαις ἐπεσκιασμένα, βδελυρώτατα, κἂν πολὺ τὸ ὠφέλιμον ἔχοι, προσφιλῆ δὲ μᾶλλον τὰ μικρὰ καὶ ἡδίονα, κἂν μηδὲν ἔσθ' ὅτε περιποιῇ τὸ λυσιτελές. ἢ γὰρ οὐκ ἐκ τῶν προκειμένων τὸ εἰρημένον ἀληθὲς ὂν εὑρήσομεν; τὸ θεῖον καὶ μέγα μυστήριον παρα 1.558 τιθέντος Χριστοῦ, καὶ διὰ ποικίλων θεωρημάτων ἀνοιγνύντος τὴν ἐπ' αὐτῷ κατάληψιν, καὶ μονονουχὶ περιστέλλοντος ἤδη τὸ καταπέτασμα τοῦ ναοῦ, καὶ τὴν ἐσωτέραν σκηνὴν ἐκκα λύπτοντος, καταμυσάττονται μὲν τὸν οὕτω σοφόν τε καὶ οὐράνιον λόγον, ἀπονεύουσι δὲ πάλιν εἰς ἀμαθίαν κτηνο πρεπῆ, καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω, καθάπερ φησὶν ὁ Εὐαγγε λιστὴς, καὶ τὸ περιπατεῖν ἔτι σὺν αὐτῷ παραιτούμενοι. τοῦτο γὰρ ὄντως ἐστὶ τὸ ὀπίσω πεσεῖν. διὰ τοῦτο καὶ διὰ τοῦ προφήτου φησὶ πάλιν Ἱερεμίου πρὸς τὴν ἀγνώμονα καὶ φιλόνεικον Ἱερουσαλὴμ, τὴν τῶν ἀπειθούντων δηλονότι τροφόν "Σὺ ἀπεστράφης με, λέγει Κύριος, καὶ ὀπίσω


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"πορεύσῃ·" καὶ γὰρ δὴ κατὰ λόγον ἀληθῆ τῇ τῶν ἀγαθῶν ἀποστροφῇ τὸ ὀπίσω πίπτειν ἀκολουθεῖ· Θεὸς δὲ τὸ πᾶν ἀγαθόν. οὐκοῦν ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ πεπτώκασιν ἀνόπιν οἱ δείλαιοι, τῷ Σωτῆρι μὴ συμβαδίζοντες ἔτι, πρὸς ἑτέρας δὲ ὥσπερ τραπόμενοι τρίβους, καὶ εἰς τὰ συνήθη κατασυρόμενοι πάθη. Ἀλλ' ἴδωμεν πάλιν, εἰ μὴ καὶ τούτου τὸν τύπον ἐν τοῖς τοῦ Μωυσέως εὑρίσκομεν λόγοις. οὐκοῦν ὅτε μακρὰς διιπ πεύσαντες ὁδοὺς, καὶ τὴν ἀγρίαν ἐκείνην διελάσαντες ἔρημον, ἐπ' αὐτῇ λοιπὸν ἦσαν τῆς ἐπαγγελίας τῇ γῇ, κατασκεψό μενοι ταύτην κατὰ θεῖον ἀπεστέλλοντο πρόσταγμα Ἰησοῦς τε ὁ τοῦ Ναυῆ, καὶ σὺν αὐτῷ τινες ἕτεροι. ὡς δὲ διοπτεύ σαντες ἅπασαν ἐπὶ Μωυσέα πάλιν ἀνεκομίζοντο, προσελά λουν τῇ συναγωγῇ πικρὰ μέν τινες· γῆ γὰρ, ἔφασκον, ἣν κατεσκεψάμεθα αὐτὴν, χαλεποὺς ἔχει τοὺς οἰκήτορας, καὶ υἱοὺς γιγάντων ἑωράκαμεν ἐκεῖ, καὶ ὅσαπερ ἦν τοὺς ἀκροω μένους ὀῤῥωδεῖν ἀναπείθοντα προστιθέντες διετέλουν. Ἰη σοῦς δὲ μετ' ἐκείνους πολλοῖς μὲν ἐπαίνοις καταστέφειν ἐπειρᾶτο τὴν γῆν, παρεκάλει δὲ λέγων "Ἡ γῆ, ἣν κατεσκε 1.559 "ψάμεθα αὐτὴν, ἀγαθὴ σφόδρα· εἰ αἱρετίζει ἡμᾶς Κύριος, "εἰσάξει ἡμᾶς εἰς αὐτήν." ἀλλὰ τῶν Ἰουδαίων οἱ πρόγονοι καταλιθοῦν μὲν ὅτι πρέποι τὸν Ἰησοῦν διετείνοντο· τοῦ δὲ πάντα ἰσχύοντος Θεοῦ τὸ μηδὲν δύνασθαι καταψηφιζόμενοι, "καθίσαντες ἔκλαιον," καθὰ γέγραπται, καὶ παροξύνουσι μὲν ἐπὶ τούτοις εἰκότως τὸν ἁπάντων Δεσπότην. ἐπειδὴ δὲ ἦσαν ἀπειθεῖς οὕτω καὶ ὑβρισταὶ, τῆς ἐπαγγελίας ἀποπεπτώ κασιν· "Ὡς γὰρ ὤμοσα, φησὶν, ἐν τῇ ὀργῇ μου Εἰ εἰσε "λεύσονται εἰς τὴν κατάπαυσίν μου." εἶτα τί τὸ ἐπὶ τούτοις; παλινδρομεῖν αὐτοῖς, καὶ ὀπίσω βαδίζειν ἐσαῦθις ἐπιτάττει Θεός· λέγει γὰρ πρὸς Μωυσέα "Αὔριον ἀπάραντες "ἐπιστράφητε ὑμεῖς ὁδὸν θάλασσαν ἐρυθράν." ἐπειδὴ γὰρ εἰσελθεῖν οὐκ ἐβουλήθησαν, εἰς ἣν ἐκλήθησαν γῆν, πέμ πονται πρὸς ἀποστροφὴν, καὶ τὴν αὐτὴν αὖθις ἀνελίττειν ὁδὸν ἀναγκάζονται· οὐ γὰρ ἠθέλησαν ἀκολουθῆσαι τοῖς Ἰησοῦ λόγοις, οὐδὲ ἀγαθὴν ἀκούοντες τὴν γῆν, ἐτίμων τῇ συναινέσει τὸν σύμβουλον. ὅπερ οὖν ἐκεῖνοι τότε πεπόνθασι, τοῦτο καὶ οὗτοι νυνί. διδασκόμενοι γὰρ τὴν ὁδὸν τῆς αἰωνίου ζωῆς, καὶ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἰστρέχειν παρα καλούμενοι, ταῖς ἀπειθείαις ὑβρίζουσι· διὰ τοῦτο δικαίως ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ τὸ συμβαδίζειν ἔτι τῷ καθηγου μένῳ πρὸς σωτηρίαν ταῖς ἑαυτῶν δυστροπίαις ζημιούμενοι. 9Εἶπεν οὖν τοῖς δώδεκα ὁ Ἰησοῦς Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; Οὐ προτρέπει πρὸς ἀπόστασιν τοὺς ἁγίους ἀποστόλους ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὐδὲ ἐλευθέραν αὐτοῖς καὶ ἀκατηγόρητον τοῦ πράγματος ἐπιδεικνύει τὴν ἄδειαν, ἀλλ' οὐδὲ προχείρως ἀπονεύειν ἐφίησιν, ὡς οὐδὲν πεισομένους ἐκ τούτου τὸ βλάβος· ἀπειλεῖ δὲ μᾶλλον εὐφυῶς, ὡς εἰ μὴ 1.560 φαίνοιντο κρείττους τῆς Ἰουδαίων ἀπαιδευσίας, ὀπίσω καὶ αὐτοὶ πεμφθήσονται, καὶ οὐκέτι σὺν αὐτῷ βαδιοῦνται, κατοι χήσονται δὲ πρὸς ἀπώλειαν. οὐ γὰρ ὁ πολὺς ἐν ἀριθμῷ προσκυνητὴς πάντως ἔσται παρὰ Θεῷ καὶ τίμιος, ἀλλ' ὁ ἐν ὀρθῇ διαπρέπων πίστει, καὶ εἰ φαίνοιτο βραχύς. διὰ τοῦτο πολλοὺς μὲν εἶναι τοὺς κεκλημένους ἡ θεία λέγει γραφὴ, παραδεχθήσεσθαι δὲ μόνους τοὺς ἐκλεκτοὺς, καὶ δοκιμω τάτους ὀλίγους ὄντας κομιδῇ. καὶ τοῦτο γὰρ αὐτὸς ὁ θεῖος ἡμῖν διεμαρτύρατο λόγος. ὅμοιον τοίνυν ὡς εἰ καὶ ἔφασκε τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Σωτήρ Εἰ μὲν τοῖς ἡμετέροις ἀμελλητὶ καταπείθεσθε λόγοις, εἰ τὸ κατηγοροῦν ἐνδοιάζειν ἀφέντες ἀπεριεργάστῳ πίστει λοιπὸν παραδέχεσθε τὸ μυ στήριον, εἰ πικρὸν ὑμῖν φαίνεται καὶ βδελυρίας οὐ τῆς τυχούσης ἀνάμεστον τὸ σκληρίαν τῶν ἐμῶν κατηγορῆσαι λόγων, εἰ παραιτεῖσθε λέγειν Ἰουδαϊκῶς "Πῶς δύναται "ἡμῖν οὗτος δοῦναι τὴν σάρκα αὐτοῦ φαγεῖν;" ὄψομαί τε συνόντας ἡδέως, καὶ συνδιαιτήσομαι χαίρων, καὶ γνησίους ὄντας ἀγαπῶ· εἰ δὲ τοῖς ὀπίσω πεσοῦσι τὰ ἴσα φρονεῖν ἐγνώκατε, καὶ συναποτρέχειν ἐφίημι, καὶ συναπελαύνω δι καίως. οὐ γὰρ ἐπιλείψουσι προσκυνηταὶ, τῶν εὐαγγελικῶν κηρυγμάτων οὐκ εἰς μόνην λαληθησομένων τὴν Ἰουδαίαν, ἀλλ' εἰς πᾶσαν ἤδη περιφοιτώντων τὴν οἰκουμένην,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ καθάπερ εἰς θίασον ἕνα τοὺς ἁπανταχόσε καλούντων, καὶ συναγειρόντων εὐπετῶς ἐπὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν. " Ιδε τοιγαροῦν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ," καθάπερ ὁ Παῦλός φησι· καὶ ἀποτομίαν μὲν ἐπὶ τοῖς ἀπειθήσασι, χρηστότητα δὲ πάλιν ἐπὶ τοῖς μέλλουσιν ἐπιγινώσκειν αὐτὸν, ἐὰν ἐπιμένωσι τῇ χρηστότητι, καθάπερ που πάλιν ὁ Παῦλος δισχυρίσατο· ἐπεὶ καὶ αὐτοὶ ἐκκοπήσονται· ὁ γὰρ τῶν κατὰ φύσιν οὐ φεισάμενος κλάδων, οὐδὲ τῶν ἐγκεντρισθέντων 1.561 φείσεται. ἴστω τοιγαροῦν καὶ παιδευέσθω διὰ τούτων ὁ χωλεύων ἐξ ἀνοίας περὶ τὴν πίστιν, ὡς εἰ μὴ βούλοιτο τῆς τοιαύτης καταλῆξαι νόσου, βαδιεῖται μὲν εἰς τὰ ὀπίσω, καὶ τὸν καθηγούμενον ἔτι πρὸς ζωὴν αἰώνιον οὐκ ἔχων κατοιχή σεται μὲν εἰς ᾅδου στυγνὸς, ἀνοιμώξει δὲ τὴν ἑαυτοῦ δυσβου λίαν· "Ἐκεῖ γὰρ ἔσται, φησὶν, ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς "τῶν ὀδόντων." εἰκὸς δὲ δὴ πάλιν καὶ ἕτερον ἡμῖν ὑποση μαίνεσθαι χρήσιμον διὰ τοῦ λέγειν τοῖς ἑαυτοῦ μαθηταῖς τὸν Ἰησοῦν Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ἵνα γὰρ μὴ νομί ζοιντο καὶ αὐτοὶ ταῖς Ἰουδαϊκαῖς ἀμαθίαις συναποφέρεσθαι, καὶ συγκατολισθάνειν τοῖς ἀπειθήσασιν, ἢ καὶ ἄλλως κατα βοῆσαι μετ' ἐκείνων αὐτοῦ, ὡς σκληρὰ μὲν διδάσκοντος, ἀδύνατα δὲ μυσταγωγεῖν ἐπιχειροῦντος τοὺς ἀκροωμένους, ἐπυνθάνετο χρησίμως εἰ θελητὸν αὐτοῖς εἴη τὸ μετ' ἐκείνων ἀποφοιτᾶν, ἵνα διὰ τούτου καλέσῃ πρὸς ὁμολογίαν τῆς ὀρθῆς καὶ ἀκηράτου πίστεως, ὃ δὴ καὶ γέγονεν.

1.562 ΚΕΦΑΛΗ Δ. Ὅτι τύπος ἦν τοῦ Χριστοῦ προηγουμένη τοῦ λαοῦ κατὰ τὴν ἔρημον ἡ ἁγία σκηνὴ, καὶ ἡ κιβωτὸς δὲ ἡ ἐν αὐτῇ καὶ ἡ λυχνία καὶ τὰ θυσιαστήρια δὲ, τό τε τοῦ θυμιάματος καὶ τὸ τῶν καρπωμάτων, αὐτὸν ἐσήμαινε τὸν Χριστόν. Ἀπεκρίθη αὐτῷ Σίμων Πέτρος Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις. ΔΙ' ἑνὸς οἱ πάντες λαλοῦσι τοῦ προὔχοντος, τὴν ἁγίοις ὄντως πρεπωδεστάτην ἀποσώζοντες ἐπιστήμην, ἵνα δὴ τύπος τοῖς μετ' αὐτοὺς κἀν τούτῳ πάλιν εὑρίσκοιντο σώφρονός τε καὶ ἀξιαγάστου λογισμοῦ· χρῆν γὰρ εἰς διδασκάλου λαλεῖν ἀκοὰς, οὐχὶ πάντας ἀδιακρίτως προπηδῶντας τῶν ἄλλων προαλέστερον, καὶ τὸ ἀγορεύειν οὐκ αὐτοῖς πρεπόντως ἁρπά ζοντας, παραχωρεῖν δὲ μᾶλλον ἐπείγεσθαι σοφῶς τοῖς οἵπερ ἂν εἶεν καὶ βουλῇ καὶ τάξει προτεταγμένοι. διὰ τοῦτο καὶ ὁ Παῦλος "Προφῆται, φησὶ, δύο ἢ τρεῖς λαλείτωσαν, καὶ ἀνὰ "μέρος." οὐ γὰρ ἐπειδήπερ τῇ τῆς προφητείας τετίμηνται χάριτι, διὰ τοῦτο χρῆναι αὐτοὺς καὶ ἀτάκτως ποιεῖσθαι τὸν λόγον ἐπεψηφίζετο· ἀλλ' ἐπείπερ ἦσαν ἅγιοι, διὰ τοῦτο δὴ μᾶλλον ἐπιστημόνως τοῖς ἀκροωμένοις προσλαλεῖν διεκε λεύετο. οὐκοῦν ἐπιστήμης ἦν ἔργον ἁγιοπρεποῦς τὸ ὑπὲρ πάντων ἀπολογεῖσθαι μόνον ἐὰν τὸν ᾧπερ ὑπῆρχε τὸ μεῖζον 1.563 ἐν τάξει. Πρὸς τίνα τοιγαροῦν ἀπελευσόμεθα, φησὶν, ἀντὶ τοῦ Τίς ἡμᾶς μυσταγωγήσει τὰ παραπλήσια; ἢ καὶ τίνι προσ ελθόντες τὸ κρεῖττον εὑρήσομεν; ῥήματα ζωῆς αἰωνίου ἔχεις· οὐ σκληρὰ, καθάπερ ἐκεῖνοί φασιν, ἀλλ' εἰς τὸ πάντων ἐξαί ρετον ἀναφέροντα, τουτέστιν, εἰς ἀκατάληκτον καὶ μακραίωνα βίον, καὶ φθορᾶς ἁπάσης ἐξῳκισμένην ζωήν. δῆλον δὲ δήπου πάντως ἡμῖν καὶ διὰ τούτων ἔσται τῶν λόγων, ὡς ἑνὶ καὶ μόνῳ διδασκάλῳ δεῖ προσκαθέζεσθαι τῷ Χριστῷ, καὶ προσ εδρεύειν ἀδιαλείπτως τε καὶ ἀπερισπάστως αὐτῷ, καὶ αὐτὸν ποιεῖσθαι καθηγητὴν, ποδηγεῖν εἰδότα καλῶς εἰς ζωὴν τὴν ἀπέραντον. οὕτω γὰρ οὕτω καὶ εἰς τὴν οὐράνιόν τε καὶ θείαν αὐλὴν ἀναβησόμεθα, καὶ εἰς τὴν τῶν πρωτοτόκων ἐκκλησίαν εἰσελαύνοντες, τοῖς ὑπὲρ νοῦν τὸν ἀνθρώπινον ἐντρυφήσομεν ἀγαθοῖς. ὅτι γάρ ἐστιν ἀγαθόν τε καὶ σωτή ριον χρῆμα τὸ μόνῳ βούλεσθαι κατακολουθεῖν τῷ Χριστῷ, καὶ αὐτῷ συνεῖναι διὰ παντὸς, καὶ αὐτὴ μὲν ἀναμφιλόγως ἡ τοῦ πράγματος πληροφορήσει φύσις. οὐδὲν δὲ ἧττον καὶ ἐκ τῶν ἀρχαιοτέρων γραμμάτων εἰσόμεθα. Οὐκοῦν ὅτε τὰς Αἰγυπτίων πλεονεξίας ἀποδυσάμενοι πρὸς τὴν τῆς ἐπαγγελίας γῆν οἱ ἐξ Ἰσραὴλ ἠπείγοντο, οὐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀτάκτους ποιεῖσθαι τὰς πορείας αὐτοὺς ἐκέλευε Θεὸς, οὐδὲ ὅποιπερ ἂν τις ἐθελήσαι βαδίζειν ὁ νομοθέτης ἠφίει· πλανη θήσεσθαι γὰρ πάντως οὐκ ἔχοντας τὸν ἡγούμενον οὐκ ἀμφί βολον ἦν. διὰ τοῦτο γὰρ γέγραπται πάλιν πρὸς ὑποτύ πωσιν ἡμετέραν ἐν τῷ βιβλίῳ τῷ καλουμένῳ τῶν ἀριθμῶν "Καὶ τῇ ἡμέρᾳ ᾗ ἐστάθη ἡ σκηνὴ, ἐκάλυψεν ἡ νεφέλη τὴν "σκηνὴν, τὸν οἶκον τοῦ μαρτυρίου· καὶ τὸ ἑσπέρας ἦν ἐπὶ "τῆς σκηνῆς ὡς εἶδος πυρὸς ἕως πρωΐ. οὕτως ἐγίγνετο διὰ "παντὸς, ἡ νεφέλη ἐκάλυπτεν αὐτὴν ἡμέρας καὶ εἶδος πυρὸς "τὴν νύκτα. καὶ ἡνίκα ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς, 1.564 "καὶ μετὰ ταῦτα ἀπῆραν οἱ υἱοὶ Ἰσραήλ· καὶ ἐν τῷ τόπῳ "οὗ ἂν ἔστη ἡ νεφέλη, ἐκεῖ παρενέβαλον οἱ υἱοὶ Ἰσραήλ· "διὰ προστάγματος Κυρίου ἀπαροῦσι. καὶ φυλάξονται οἱ "υἱοὶ Ἰσραὴλ τὴν φυλακὴν τοῦ Θεοῦ καὶ οὐ μὴ ἐξάρωσι. "διὰ φωνῆς Κυρίου παρεμβαλοῦσι καὶ διὰ προστάγματος "Κυρίου ἀπαροῦσιν." ὁρᾷς ὅπως ἀκολουθεῖν ἐπιτάττονται, καὶ συναπαίρειν μὲν ἀπαιρούσῃ τῇ νεφέλῃ, συγκαταλύειν δὲ πάλιν αὐτῇ καὶ συγκατευνάζεσθαι; τὸ γὰρ συνεῖναι τῷ ποδηγοῦντι σωτήριον καὶ τότε μὲν ἦν τοῖς ἐξ Ἰσραὴλ, καὶ ἡμῖν δὲ νυνὶ τὸ μὴ χωρίζεσθαι Χριστοῦ. αὐτὸς γὰρ ἦν τοῖς ἀρχαιοτέροις καὶ ὡς σκηνὴ καὶ νεφέλη, καὶ ὡς πῦρ μορφού μενος· μετοισθήσεται δὲ πάλιν, ὡς ἐφικτὸν, τῆς ἱστορίας ὁ λόγος ἐπὶ τὸ πνευματικόν. ὅτε γὰρ "ἡ σοφία," κατὰ τὸ γεγραμμένον, "ᾠκοδόμησεν ἑαυτῇ οἶκον," καὶ τὴν ἀληθε στέραν ἔστησε σκηνὴν, τουτέστι, τὸν ἐκ παρθένου ναὸν, καταβέβηκεν εἰς αὐτὴν ἀπερινοήτως τε καὶ θεοπρεπῶς ὁ ἐν κόλποις ὢν τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸς Λόγος, καὶ γέγονεν ἄνθρωπος, ἵνα τοῖς μὲν ἤδη πεφωτισμένοις, καὶ "ὡς ἐν ἡμέρᾳ" περιπατοῦσι, κατὰ τὸν Παῦλον, νεφέλη γένηται συσκιά ζουσα, καὶ τῶν ἐξ ἀσθενείας παθῶν τὸν καύσωνα παραλύ ουσα· τοῖς δὲ ἀγνοοῦσιν ἔτι καὶ πλανωμένοις, καὶ καθάπερ ἐν νυκτὶ καὶ σκότῳ διαιτωμένοις, πῦρ καταφωτίζον, καὶ εἰς τὴν τοῦ Πνεύματος ζέσιν μεταποιοῦν. θερμοὺς γὰρ εἶναι τῷ πνεύματι τοὺς οἵπερ εἰσὶν ἀγαθοὶ πιστεύομεν· οἶμαι γὰρ οὐχ ἑτέρου τινὸς ἕνεκα φαίνεσθαι μὲν ἐπὶ τῆς σκηνῆς τὴν νεφέ λην ἐν ἡμέρᾳ, τὸ πῦρ δὲ τὴν νύκτα, ἢ τῆς ἤδη προαποδεδο μένης ἡμῖν θεωρίας. τοῖσδε ἕπεσθαι τοῖς προστεταγμένοις μὴ αὐτομολεῖν εἰς ὁδοιπορίαν ἐπετάττετο, συναπαίρειν δὲ τῇ σκηνῇ καὶ συγκαταλύειν αὐτῇ, διὰ τύπου πάλιν ἵνα νοῇς 1.565 ἐκεῖνο τὸ εἰρημένον παρὰ Χριστοῦ "Ὁ ἐμοὶ διακονῶν "ἀκολουθείτω μοι· καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος "ὁ ἐμὸς ἔσται." τὸ γὰρ πεπηγὸς περὶ τὴν ἀκολούθησιν, καὶ τὸ τῆς προσεδρείας ἐκτενὲς, διὰ τοῦ συμβαδίζειν ἀπερισπά στως αὐτῷ σημαίνεται· τὸ δὲ συμβαδίζειν τῷ Σωτῆρι Χριστῷ, καὶ ἀκολουθεῖν, οὐχὶ πάντως κατὰ σῶμα νοεῖται, πληροῦται δὲ μᾶλλον διὰ τῆς ἐν ἔργοις ἀρετῆς, ἐφ' ᾗ τὸν οἰκεῖον καταπήξαντες νοῦν οἱ σοφώτατοι μαθηταὶ, καὶ τὸ ἀπελθεῖν ὀπίσω μετὰ τῶν ἀπειθούντων ὡς ὀλέθριον παραι τούμενοι, τό Ποῦ ἔχομεν ἀπελθεῖν ἀναβοῶσιν εἰκότως· ἀντὶ τοῦ Σοὶ πάντοτε συνεσόμεθα, καὶ τῶν σῶν ἀνθεξόμεθα προσταγμάτων, καὶ τοὺς σοὺς παραδεξόμεθα λόγους, οὐ κατά τι γοῦν ἐπαιτιώμενοι, καὶ μετὰ τῶν ἀπαιδεύτων σκλη ρὸν εἶναι νομίζοντες, ὅπερ ἂν λέγῃς μυσταγωγῶν, ἀλλ' ἐκεῖνο μᾶλλον "Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, "ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου." Τῶν μὲν οὖν προκειμένων τοιοῦτος ὁ νοῦς· ὅτι δὲ ἡ σκηνὴ τοῖς ἀρχαιοτέροις εἰς τύπον ἦν τοῦ Χριστοῦ, γνωσόμεθα πάλιν, τοῖς περὶ αὐτῆς εἰρημένοις πρὸς τὸν ἅγιον Μωυσέα λεπτὴν ἐπιστήσαντες τὴν διάνοιαν. παρεκβατικὸς μὲν οὖν δόξειεν ἂν εἶναί τῳ τυχὸν ὁ περὶ τούτων λόγος, ἀλλ' ὀνήσειεν οὐ μικρῶς· δεῖ γὰρ οἶμαι περὶ τούτων προθύμως δὴ μάλα στενολεσχεῖν τὰς τῶν οὐκ εὐλόγως ἐπαιτιωμένων φιλοψογίας παραιτουμένους. ἔχει τοιγαροῦν τὸ θεῖον λόγιον οὕτως· ἐκθησόμεθα γὰρ οὕτως ἀνὰ μέρος τὴν ἐκ τοῦ γράμματος σκιὰν ὡς ἔνι καταλεπτύνοντες. "Καὶ ἐλάλησε," φησὶ, "Κύριος πρὸς Μωυσῆν λέγων Ἐν ἡμέρᾳ μιᾷ τοῦ "μηνὸς τοῦ πρώτου νουμηνίᾳ στήσεις τὴν σκηνήν." τί τὸ πεπεικὸς τὸν ἁπάντων Κύριον, ἐρεῖ τις εὐλόγως τῶν φιλο μαθεστέρων, ἐν μιᾷ μὲν ἵστασθαι τὴν σκηνὴν ἡμέρᾳ προσ 1.566 τάξαι, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ ἐν δυσὶν, ἢ τρισὶν, ἐν δὲ τῇ νουμηνίᾳ, καὶ οὐ μηνὸς ἁπλῶς τοῦ τυχόντος, ἀλλὰ τοῦ πρώτου; πολλὴν γὰρ ὄντως ἡμῖν τὰ τοιαῦτα καὶ μάλα εἰκότως ἐμποιῆσαι τὴν ζήτησιν, ἐπειδὴ τῶν εἰρημένων ταῖς θείαις γραφαῖς τῶν εἰκαίων οὐδέν. οὐκοῦν· ἑψόμεθα γὰρ τοῖς ἑαυτῶν περὶ τούτων λόγοις· ἡ ἀνισταμένη σκηνὴ τὸ ἅγιον σῶμα ση μαίνει Χριστοῦ καὶ, ἵνα οὕτως εἴπω, τὴν σύμπηξιν τοῦ τιμίου σκήνους αὐτοῦ, ἐν ᾧ ηὐδόκησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· ἀνίστασθαι γεμὴν αὐτὴν ἐν ἡμέρᾳ κελεύει μιᾷ, καὶ τοῦτο δὴ μάλιστα σοφῶς τε καὶ οἰκονομικῶς, ἵνα διὰ τῆς μιᾶς ἡμέρας τὸν αἰῶνα νοῇς τὸν ἐνεστηκότα, καθ' ὃν καὶ μόνον γέγονεν ἄνθρωπος. νουμηνίαν γεμὴν οὐδὲν ἕτερον ἡμᾶς ἀκόλουθον ἐννοεῖν, ἢ τὴν ἀνακαινί ζουσαν ἡμᾶς τοῦ Σωτῆρος ἐπιδημίαν, καθ' ἣν "τὰ μὲν "ἀρχαῖα παρῆλθε, γέγονε δὲ τὰ πάντα καινά." νέος γὰρ ἡμῖν ἀνεδείχθη καιρὸς ἐν Χριστῷ, τὴν μὲν παλαιότητα τῆς νομικῆς λατρείας ἐξωθούμενος, εἰς νέαν δὲ καὶ καινὴν ἀναῤ ῥυθμίζων ζωὴν διὰ τῶν εὐαγγελικῶν παιδευμάτων, ἀλλὰ καὶ τοὺς πεπαλαιωμένους ἐξ ἁμαρτίας καὶ ἀφανισμοῦ γεγονότας ἐγγὺς ἀνακαινίζων εἰς δικαιοσύνης ἀρχὴν, καὶ τὴν μὲν παλαι ότητα καταλύων τῆς ἐπεισάκτου φθορᾶς, τῇ δὲ τῆς ἀφθαρ σίας καινότητι καταφαιδρύνων τοὺς διὰ πίστεως εἰς ζωὴν ἀναδραμόντας τὴν αἰώνιον· "εἴ τις γὰρ ἐν Χριστῷ, καινὴ "κτίσις," κατὰ τὸ γεγραμμένον. Μηνὶ δὲ τῷ πρώτῳ, τὴν θείαν ἐγείρεσθαι διατάττει σκηνὴν, ὅτε τῆς τροπῆς τῆς ἐαρινῆς ἀναλάμπει τὸ κάλλος, ἀπονιψάμενον ὥσπερ τοῦ χειμῶνος τὴν κατήφειαν, ὑποθάλ πεται δὲ μαλακῶς λαμπροτέροις ἤδη καὶ καθαρωτέροις ἡ γῆ 1.567 ἡλίοις, καὶ κυπρίζουσι μὲν ἀμπελῶνες, ταῖς δὲ τῶν ἀνθέων εὐοσμίαις ὁ γηπόνος ἐντρυφᾷ, καὶ ποηφορεῖ μὲν πεδία, τοῖς δὲ τῶν ἀσταχύων ὀχμοῖς ὅλαι φρίττουσιν ἄρουραι, κατά τινας τῶν παρ' Ἕλλησι ποιητῶν· ὅτε παρῆλθεν ὁ χειμὼν, κατὰ τὸ γεγραμμένον, ἐπορεύθη δὲ καὶ ὁ ὑετὸς ἑαυτῷ, ὅτε τῆς τομῆς ἔφθασεν ὁ καιρός. ταῦτα δὲ πάντα νοήσεις πνευματικῶς, καὶ χειμῶνα μὲν ἐκλείψει καὶ ὑετὸν παρελά σαντα, τοὺς ἐκ διαβολικῆς τυραννίδος ἐπισκήπτοντας πει ρασμοὺς, καὶ τὴν κατὰ πάντων πλεονεξίαν· λέλυται γὰρ ἡ τῶν δαιμόνων ἰσχὺς ἐν ἡμέραις Χριστοῦ. ἥλιος δὲ ἡμῖν ἀνέτειλεν ὁ λαμπρὸς, αὐτὸς δηλονότι περὶ οὗ φησιν ὁ Θεὸς καὶ Πατήρ "Καὶ ἀνατελεῖ ὑμῖν ἥλιος δικαιοσύνης," τοὺς ἀπε ψυγμένους εἰς ἁμαρτίαν, τῇ τοῦ Πνεύματος ζέσει κατα θάλπων εἰς δικαιοσύνην· ἀμπέλους δὲ πάλιν τὰς νοητὰς, καὶ ἄνθη τὰ πνευματικὰ, καὶ ἀστάχυας ἐπὶ τούτοις, τοὺς ἁγίους νοήσεις, πολυτρόπῳ τῇ εἰς Θεὸν εὐσεβείᾳ διαπρέποντας, καὶ πολυειδῆ τῆς ἀρετῆς ἀναβρύοντας τὸν καρπόν· εἰπεῖν δὲ ὡς ἐν συντόμῳ λοιπὸν ἀναγκαῖον· ἀνθοκομεῖ τὸ ἔαρ, καὶ χλοη φορεῖν μὲν ἅπασαν παρασκευάζει τὴν γῆν, καταστέφει δὲ νέῳ τοὺς λειμῶνας βλάστῳ, καὶ πρέμνα τὰ πάλαι ξηρὰ διὰ τὴν τοῦ χειμῶνος ἀφόρητον ὕβριν ἀνηβᾶν ἀναπείθει, καὶ πρὸς ὄψιν ἄγει τὴν ἀμείνονα, καὶ φύλλῳ μὲν τῷ συνήθει περιανθίζεσθαι ποιεῖ, καρποῖς δὲ τοῖς κατὰ φύσιν φιλοτι μεῖσθαι παρασκευάζει τὸν ἐφεστῶτα γηπόνον. τοιοῦτόν τι καὶ ἐφ' ἡμῶν γεγενημένον εὑρήσομεν· οἱ γὰρ πάλαι ξηροὶ διὰ τὴν ἐφ' ἡμᾶς βασιλεύουσαν ἁμαρτίαν, καὶ καρπῶν ἔρημοι τῶν εἰς ἀρετὴν, ἀνεθάλομεν εἰς δικαιοσύνην διὰ Χριστοῦ, καὶ τὸν διὰ πίστεως ἤδη καρπὸν ἀρτιφανῆ τε καὶ νέον τῷ τῶν πνευμάτων γηπόνῳ προσκομίζομεν· οὕτω τε νοοῦμεν 1.568 εἰκότως τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον, ὡς ἐκ προσώπου Χριστοῦ "Αὐτὸς ὁ λαλῶν, πάρειμι ὡς ὥρα ἐπὶ "τῶν ὀρέων." τί γὰρ ἐν τοῖς ὄρεσιν ἡ ὥρα, τουτέστιν, ὁ ἐαρινὸς ἐργάζεται καιρὸς, προλαβόντες ἤδη σαφῶς εἰρή καμεν. Οὐκοῦν ἐν μιᾷ μὲν ἵστασθαι τὴν σκηνὴν ἡμέρᾳ προσ τάττει χρησίμως, τύπον ἐπέχουσαν τοῦ Χριστοῦ, ἵνα νοῇς ἐπ' αὐτῷ, τὸ ἅπαξ ἀποθανεῖν ἐν ἑνὶ τούτῳ τῷ παρόντι καιρῷ· γεννηθήσεται γὰρ εἰσαῦθις οὐδαμῶς, ἀλλ' οὐδὲ τεθνήξεται, γεγεννημένος ἅπαξ καὶ ἀποθανὼν καὶ διαναστὰς ἐκ νεκρῶν· ἀκολουθεῖν γὰρ ἀνάγκη τῷ θανάτῳ τὴν ἀνά στασιν, σύμπηξίν τινα τοῦ ἁγίου σκήνους ὑπάρχουσαν. ἐν νουμηνίᾳ δὲ, ὅτι νέος ἡμῖν αἰὼν ἐν Χριστῷ· καινὴ γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κτίσις τὰ ἐν αὐτῷ. καὶ ὁ μὴν δὲ ὁ πρῶτος παραλαμβάνεται, τὴν ἐκ θανάτου καὶ φθορᾶς εἰς ζωὴν καὶ ἀφθαρσίαν ἐπανα νέωσιν τῆς ἀνθρωπείας φύσεως ὑποδηλῶν, καὶ τὴν ἐκ τῆς ἀκαρπίας εἰς εὐκαρπίαν ἤδη μετάστασιν, καὶ τῆς τοῦ δια βόλου τυραννίδος τὴν παραδρομὴν, καταλήξαντος ἤδη χει μῶνος δίκην καὶ συνεσταλμένου. εἶτα πάλιν ἑτέρως ἡμῖν ὡς ἐν τύπῳ καὶ σχήματι τὸν Ἐμμανουὴλ ἐπιδεικνύει λέγων "Καὶ θήσεις τὴν κιβωτὸν τοῦ μαρτυρίου, καὶ σκεπάσεις τὴν "κιβωτὸν τῷ καταπετάσματι." ἐν μὲν γὰρ τοῖς προλα βοῦσιν ὁ Λόγος ἡμῖν ὡς ἐν ὁλοκλήρῳ κατεγράφετο τῇ σκηνῇ· ἦν γὰρ οἶκος Θεοῦ τοῦ ἐνοικήσαντος ἐν αὐτῷ, δηλονότι τὸ ἅγιον σῶμα Χριστοῦ· ἀλλ' οὐδὲν ἧττον ἡμῖν καὶ διὰ τῆς κιβωτοῦ κατὰ μέρος ὁ αὐτὸς σημαίνεται. κατε σκεύαστο μὲν γὰρ ἐκ ξύλων ἀσήπτων, ἵνα τὸ σῶμα νοῇς τὸ ἀδιάφθορον αὐτοῦ· κατακεχρύσωτο δὲ ὅλη χρυσίῳ καθαρῷ, καθὰ γέγραπται, ἔσωθέν τε καὶ ἔξωθεν. πάντα γὰρ τίμια καὶ βασιλικὰ τὰ ἐν αὐτῷ, καὶ τὸ θεῖον καὶ τὸ ἀνθρώπινον, 1.569 καὶ ἐν πᾶσιν αὐτὸς πρωτεύει, κατὰ τὸν Παῦλον· εἰς τιμῆς δὲ τύπον καὶ ὑπεροχῆς τῆς κατὰ πάντων τὸ χρυσίον λαμβά νεται. κατεσκευασμένη τοιγαροῦν ἡ κιβωτὸς ἐκ ξύλων ἀσήπτων καὶ κεχρυσωμένη, καὶ τὸν θεῖον εἶχεν ἐναποτεθέντα νόμον, εἰς τύπον τοῦ ἐνοικήσαντος καὶ ἑνωθέντος τῇ ἁγίᾳ σαρκὶ Θεοῦ Λόγου· ῥῆμα γὰρ Θεοῦ καὶ ὁ νόμος ἦν, εἰ καὶ μὴ ἐνυπόστατον, ὥσπερ οὖν ἐστιν ὁ Υἱός. καλύπτεται δὲ τῷ καταπετάσματι. καὶ γὰρ ἦν πως καὶ ἀσυμφανὴς τοῖς πολλοῖς ἐνανθρωπήσας ὁ Θεὸς Λόγος, καὶ περιβολὴν ἔχων τὸ ἴδιον σῶμα, καὶ ὥσπερ ἐν καταπετάσματι διαλανθάνων τῇ ἰδίᾳ σαρκὶ, ὡς ἐντεῦθεν οὐδὲ ἐγνωκότας τινὰς αὐτοῦ τὸ θεοπρεπὲς ἀξίωμα, ποτὲ μὲν καταλιθοῦν ἐπιχειρεῖν, ἔγκλημα ποιουμένους, ὅτι περ ἄνθρωπος ὢν, ἑαυτὸν εἶναι λέγοι Θεόν· ποτὲ δὲ πάλιν, οὐδὲν ὅλως ὑπερυθριῶντας εἰπεῖν "Οὐχ "οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν "πατέρα καὶ τὴν μητέρα; πῶς νῦν λέγει ὅτι ἐξ οὐρανοῦ "καταβέβηκα;" οὐκοῦν τὸ ἐπεῤῥίφθαι τῇ κιβωτῷ τὸ κατα πέτασμα, τὸ ἀγνοηθήσεσθαι παρὰ τοῖς πολλοῖς ὑποσημαίνει τὸν Ἰησοῦν. ἦν οὖν ἄρα καὶ ἡ κιβωτὸς εἰς τύπον αὐτοῦ. διὰ γάρ τοι τοῦτο καὶ προεβάδιζε τῶν ἐξ Ἰσραὴλ κατὰ τὴν ἔρημον τὴν τοῦ Θεοῦ τάξιν ἀποπληροῦσα τότε· αὐτὸς γὰρ ἦν ὁ τοῦ λαοῦ καθηγούμενος. καὶ μάρτυς ὁ ψαλμῳδὸς λέγων "Ὁ Θεὸς ἐν τῷ προπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ "σου, ἐν τῷ διαβαίνειν σε τὴν ἔρημον, γῆ ἐσείσθη, καὶ γὰρ "οἱ οὐρανοὶ ἔσταξαν." προελαυνούσης γὰρ καὶ προβαδι ζούσης ἀεὶ τῆς κιβωτοῦ, Θεὸς διαῤῥήδην προπορεύεσθαι λέγεται. σαφεστέραν δ' ἂν ἔχοις τὴν ἐπὶ τούτῳ πάλιν ἀπόδειξιν, ἐκεῖνο διενθυμούμενος. ἐκέλευέ ποτε τοῖς ἐξ Ἰσραὴλ διὰ Μωυσέως ὁ Θεὸς, ἀναβαίνειν μὲν τεθαρσηκότως ἐπὶ τὸ ὄρος τὸ Σηεὶρ, ἐκπολιορκεῖν δὲ τὸν Ἀμοῤῥαῖον· ἀλλ' 1.570 εἰς ἀδρανῆ πεσόντες δειλίαν οἱ κεκελευσμένοι, καὶ ῥώμαις ταῖς ἑαυτῶν ἀναθέντες τὸ κατορθοῦν, καὶ οὐχὶ μᾶλλον ταῖς ἄνωθεν ἐπικουρίαις ἐπιθαρσήσαντες, καθίσαντες ἔκλαιον παρὰ τὸ ὄρος, καθὰ γέγραπται· ἐπὶ τούτοις εἰκότως ὁ νομοθέτης ἐξεπικραίνετο, καὶ ἠπείλει λοιπὸν οὐδὲ ἀποίσειν εἰς τὴν γῆν τῆς ἐπαγγελίας αὐτούς. καταδηχθέντες δὲ μόλις τῆς ἀπειλῆς, καὶ εἰς μετάγνωσιν ἐνεχθέντες οὐκ εὔκαιρον, ἀναβαίνειν ἐπεχείρουν, ἐκ παρακοῆς δευτέρας, ὅπλα κατὰ τῶν Ἀμοῤῥαίων ἁρπάσαντες. ἀλλὰ προηγόρευε Θεὸς τὰ ἐσόμενα διὰ Μωυσέως· εἶπε γὰρ "αὐτοῖς Οὐκ ἀναβήσεσθε," φησὶ, "καὶ οὐ μὴ πεσεῖσθε πρὸ προσώπου τῶν ἐχθρῶν "ὑμῶν, οὐ γάρ εἰμι μεθ' ὑμῶν." πανταχῇ δὲ νοσοῦντες τὸ δυσήκοον, καὶ παραβιασάμενοι ἀνέβαινον εἰς τὸ ὄρος, καθὰ γέγραπται. ἀλλ' ἡ κιβωτὸς, φησὶ, τοῦ Θεοῦ οὐκ ἀνέβη μετ' αὐτῶν· ἔμεινε γὰρ ἐν τῇ παρεμβολῇ. ὁρᾷς ὅτι Θεοῦ λέ γοντος Οὐκ εἰμὶ μεθ' ὑμῶν, οὐ συναναβαίνει τοῖς ἀπειθοῦσιν ἡ κιβωτὸς, αὐτὸ σαφῶς τοῖς εὐμαθεστέροις ἐπιδεικνύουσα, τὸ τάξιν ἐπέχειν τοῦ καθηγεμόνος Θεοῦ; ἀλλὰ καὶ κύκλῳ τῆς Ἱεριχοῦς διὰ τῶν ἱερέων ἐβαστάζετο, καὶ τὸ ὑψηλὸν αὐτῆς κατέπεσε τεῖχος, οὐχ ἑλεπόλεις ἐπιστήσασα καὶ κριοὺς, διὰ σαλπίγγων δὲ μᾶλλον καὶ φωνῆς· ὅπερ ὂν ἀληθὲς ἐν Χριστῷ πάλιν εὑρήσομεν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὸς γάρ ἐστιν ὁ τοῖς ἱεροῖς καὶ ἁγίοις ἀνδράσιν ἐποχούμενος, καὶ πᾶσαν τοῦ διαβόλου καταστρέφων ἰσχὺν, οὐχ ὅπλοις, ἀλλὰ κραυγῇ καὶ σάλ πιγγι, τουτέστιν, ἀποστολικοῖς τε καὶ εὐαγγελικοῖς κηρύγ μασι, καὶ συναινέσει τῇ παρὰ παντὸς τοῦ λαοῦ, ἐν ὀρθότητι πίστεως τὸν ἴδιον ὁμολογοῦντος Δεσπότην. ὃ καὶ ἐν ταῖς μυστικαῖς δοξολογίαις ὁρῶμεν ἀποπληρούμενον, προανα φωνούσης τοῦ λαοῦ σάλπιγγος ἱερατικῆς, ἢ καὶ ἐν τῇ τοῦ λειτουργοῦντος νοεῖται φωνῇ, πίπτει δὲ οὕτω καὶ συντρί 1.571 βεται τῶν ἐναντίων ἡ δύναμις· "Τὰ γὰρ ὅπλα ἡμῶν οὐ "σαρκικὰ, κατὰ τὸν Παῦλον, ἀλλὰ δυνατὰ τῷ Θεῷ." ὅτι δὲ τοῖς ἁγίοις ἐποχεῖται τρόπον τινὰ καὶ ἐπίκειται Χριστὸς, σαφηνιεῖ μὲν λέγων καὶ ὁ προφήτης Ἀμβακούμ "Ὅτι ἐπι"βήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία·" διδάξει δὲ οὐδὲν ἧττον καὶ αὐτὸς ὁ Σωτῆρ πρὸς τὸν Ἀνανίαν περὶ τοῦ Παύλου λέγων "Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μου "ἐστὶν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον πάντων "τῶν ἐθνῶν." Ἀλλὰ "καὶ εἰσοίσεις τὴν τράπεζαν, ἐπὶ τούτοις φησὶ, καὶ "προθήσεις τὴν πρόθεσιν αὐτῆς, καὶ εἰσοίσεις τὴν λυχνίαν "καὶ ἐπιθήσεις τοὺς λύχνους αὐτῆς." νοήσεις δὲ δι' ἀμφοῖν τὸν Χριστόν· συσχηματίζεται γὰρ ἐν τραπέζης τρόπῳ προ κειμένους ἐχούσης τοὺς ἄρτους, διὰ τὸ ἐν αὐτῷ πάντας εἰς ζωὴν αἰώνιον ἀποτρέφεσθαι, μετασχόντας δηλονότι τῆς ἁγίας αὐτοῦ σαρκὸς, κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ "Ἐγώ εἰμι ὁ "ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ "κόσμῳ. ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς "τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μου ἐστὶν "ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς." οὐκοῦν τῆς τραπέζης ἡ πρόθεσις, τουτέστιν οἱ ἄρτοι, τὸ ἅγιον σημαίνουσι σῶμα Χριστοῦ, τὸ πάντας εἰς ζωὴν ἀποτρέφον τὴν αἰώνιον. ἐπειδὴ δὲ ὁ μακάριος Δαυεὶδ καὶ οἱ σὺν αὐτῷ πεινάσαντες, καθὰ γέγραπται, τοὺς ἄρτους τῆς προθέσεως ἔφαγον, ἴδωμεν εἰ μή τι καὶ διὰ τούτου μυστικὸν ἀνεγράφετο. οὐκ ἐξῆν ἀπο γεύσασθαι τῶν τῆς προθέσεως ἄρτων, εἰ μὴ μόνοις τοῖς ἱερεῦσι, κατὰ διάταξιν νομικήν· ἀλλ' οὐκ ὄντες ἐκ φυλῆς ἱερατικῆς Δαυείδ τε καὶ οἱ σὺν αὐτῷ, τῆς ἱερωτάτης ἥπτοντο τροφῆς· ἵνα διὰ τούτου πάλιν ἡ τῶν ἐθνῶν πίστις καὶ ἀπὸ 1.572 μέρους τῶν ἐξ Ἰσραὴλ σημαίνηται. ὠφείλετο μὲν γὰρ τοῖς ἐξ Ἰσραὴλ ὁ Χριστὸς, ὡς ἱερωτέροις "διὰ τοὺς πατέρας" καὶ τὸν νόμον, ἀλλ' ἐπεισδραμοῦσα τρόπον τινὰ, καίτοι διὰ τὴν πλάνην ἀνίερος οὖσα τῶν ἀλλογενῶν ἡ πληθὺς, ἔφαγε τὸν ἄρτον τῆς ζωῆς, συμπαρόντος αὐτῇ τοῦ Δαυεὶδ, καὶ ὥσπερ τινὰ τύπον ἀποπληροῦντος τῶν ἀνασεσωσμένων ἐξ Ἰσραὴλ, ὅπερ καὶ ὁ μακάριος Ἡσαΐας ὀνομάζει κατάλειμμα. πολλοὶ γὰρ ἐξ αὐτῶν πεπιστεύκασι τῷ Χριστῷ. Οὕτω μὲν οὖν διὰ τῆς ἁγίας τραπέζης νοηθήσεται Χριστός. λυχνία δὲ πάλιν, ὡς ὅλῃ φαίνων τῇ οἰκίᾳ, τουτ έστι τῷ κόσμῳ· "Ἐγὼ γάρ εἰμι τὸ φῶς τοῦ κόσμου," φησίν· ἑπτὰ δὲ τοὺς λύχνους καὶ οὐχ ἕνα λαμβάνει· φωτίζει γὰρ πολυτρόπως καὶ διαφόροις καταλαμπρύνει χαρίσμασι τὰς τῶν πιστευόντων ψυχάς· γίγνεται δὲ πάλιν ἐκ χρυσίου καθαροῦ, διὰ τὸ ὑπὲρ πάντας καὶ τίμιον. ἀλλὰ καὶ στερεὸν ἔχει τὸν καυλόν· γέγραπται γὰρ οὕτω· διάκενον γὰρ, ἀλλ' οὐδὲ κοῦφον, οὐδὲν ἐν Χριστῷ. ἔχει δὲ καὶ κρίνα διὰ τὴν εὐωδίαν τὴν ἐν ἁγιασμῷ, κατὰ τό "Ἐγὼ ἄνθος τοῦ πεδίου, "κρίνον τῶν κοιλάδων." καὶ αὗται δὲ πάλιν αἱ ἐπαρυστρίδες τὰς τῶν θείων χαρισμάτων χορηγίας σημαίνουσι. δύο γεμὴν κλάδους ἐλαιῶν ὁρᾶσθαι περὶ αὐτὴν ὁ προφήτης Ζαχαρίας διισχυρίσατο, ἵνα δύο νοῇς τοὺς ἠλεημένους λαοὺς, οὓς καὶ τῆς πιότητος ἀπεκάλεσεν υἱοὺς, παρεστάναι τε λέγει τῷ Κυρίῳ πάσης τῆς γῆς, καίτοι περὶ τὴν λυχνίαν τεθεωρημένων τῶν κλάδων, ἐναργεστάτην ἀπόδειξιν διὰ τούτου ποιούμενος, ὅτιπερ ἡ λυχνία Χριστὸς, δι' ὑπακοῆς καὶ πίστεως ἑαυτῷ παραστήσας τόν τε ἐξ ἐθνῶν καὶ τὸν ἐκ τῶν Ἰουδαίων λαόν. Εἶτα τούτοις ἐπιλέγει πολυτρόπως ἡμῖν κατασημαίνων 1.573 αὐτόν "Καὶ θήσεις τὸ θυσιαστήριον τὸ χρυσοῦν εἰς τὸ "θυμιᾶν ἐναντίον τῆς κιβωτοῦ, καὶ ἐπιθήσεις κάλυμμα κατα "πετάσματος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ "τὸ θυσιαστήριον τῶν καρπωμάτων θήσεις παρὰ τὴν θύραν "τῆς σκηνῆς τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μαρτυρίου, καὶ περιθήσεις τὴν σκηνὴν, καὶ "πάντα τὰ ἐν αὐτῇ ἁγιάσεις κύκλῳ." ἐπιτηρητέον γὰρ, ὅπως καὶ δι' ἀμφοῖν ἡμῖν τοῖν θυσιαστηρίοιν ὁ Χριστὸς καταγράφεται. ἀποτεθῆναι γὰρ διατεταχὼς τὸ θυσιαστήριον τὸ χρυσοῦν, ἐν ᾧ τὸ θυμίαμα κατέναντι τῆς κιβωτοῦ, κα λύμματα δὲ διὰ μέσου ταῖς τῆς σκηνῆς περιτείνεσθαι θύραις εἰπὼν, ὡς ἂν μὴ τὰ ἔνδον ὁρῷτο, καὶ τὸ τῶν καρπωμάτων θυσιαστήριον παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου κεῖσθαι κελεύει, οὐκ ἀσυμφανὲς ᾗ διαλανθάνον· ἔξω γὰρ ἦν τοῦ καταπετάσματος. ὅρα τοίνυν αὐτὸν, διὰ μὲν τοῦ θυσια στηρίου τοῦ θυμιάματος εἰς ὀσμὴν εὐωδίας ἀναβαίνοντα τῷ Θεῷ καὶ Πατρί· τοῦτο γὰρ ὑποδηλοῖ τὸ θυμίαμα· διὰ δὲ τοῦ θυσιαστηρίου τῶν καρπωμάτων, ὡς θῦμα καὶ σφάγιον ὑπὲρ ἡμῶν προσαγόμενον. ἐκρύπτετο δὲ διὰ τοῦ καταπε τάσματος τὸ χρυσοῦν θυσιαστήριον· κεκρυμμένη γὰρ ἦν ἡ δόξα Χριστοῦ· ἐμφανὲς δὲ τὸ ἕτερον τὸ τῶν καρπωμάτων, ἐν ᾧ τὰ σφάγια· φανερὸς γὰρ ὁ Χριστοῦ θάνατος καὶ πᾶσι γνώριμος. κεῖται γεμὴν οὐκ ἀδιακρίτως· τὸ μὲν γὰρ ἀπέ ναντι τῆς κιβωτοῦ, τὸ δὲ παρὰ τὰς θύρας τῆς σκηνῆς. καὶ τὸ μὲν ἀπέναντι τῆς κιβωτοῦ τὸ χρυσοῦν κεῖσθαι θυσιαστή ριον, οἱονεὶ τὸ ἐν ὄψει τοῦ Θεοῦ καὶ Πατρὸς, θαυμαστὴν εἶναι τὴν δόξαν τοῦ Υἱοῦ δι' αἰνίγματος ὑποδηλοῖ, κατὰ τό "Οὐδεὶς γινώσκει τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ." τὸ δὲ πρὸς αὐταῖς κεῖσθαι ταῖς θύραις τῆς σκηνῆς τὸ τῶν καρπω μάτων θυσιαστήριον, τύπον ἐπέχον τοῦ θανάτου αὐτοῦ καὶ τῆς ὑπὲρ πάντων σφαγῆς, σημαίνει πάλιν μὴ ἑτέρως δύνα 1.574 σθαι προσελθεῖν τῷ Θεῷ καὶ Πατρὶ ἡμᾶς, εἰ μὴ διὰ τῆς τοῦ Χριστοῦ θυσίας, κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ "Ἐγώ εἰμι "ἡ θύρα," καί "Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' "ἐμοῦ." ἐν κύκλῳ γεμὴν περιτείνεσθαι τὴν σκηνὴν δια τάττει τῶν ἐν αὐτῇ πάντων περιεκτικὴν, ὡς μίαν ὁρᾶσθαι, καὶ μὴ πολλάς. εἷς γὰρ ἐν ἡμῖν ὁ Χριστὸς, κἂν πολυτρόπως νοῆται, σκηνὴ μὲν διὰ τὸ καταπέτασμα τῆς σαρκὸς, κιβωτὸς δὲ τὸν θεῖον ἔχουσα νόμον, ὡς Λόγος τοῦ Θεοῦ καὶ Πατρός· τράπεζα δὲ πάλιν, ὡς τροφὴ καὶ ζωή· λυχνία δὲ, ὡς φῶς νοητὸν καὶ πνευματικόν· καὶ θυσιαστήριον θυμιάματος, ὡς εὐωδίας ὀσμὴ τῆς ἐν ἁγιασμῷ· καὶ θυσιαστήριον καρπω μάτων, ὡς σφάγιον ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἁγιάζεται δὲ πάντα τὰ ἐν αὐτῇ· ἅγιος γὰρ ὅλος, καὶ ὅπως ἂν νοῆται Χριστός. Καθηγουμένης τοιγαροῦν τῆς ἁγίας σκηνῆς, συναπαίρειν τε αὐτῇ καὶ συγκαταλύειν οἱ ἐξ Ἰσραὴλ ἐπετάττοντο, παι δεύοντος πάλιν ἡμᾶς τοῦ Θεοῦ καὶ διδάσκοντος χρησίμως, ἡγεμόνα ποιεῖσθαι καὶ καθηγητὴν τῆς εἰς σωτηρίαν ὁδοῦ, τὸν δι' ἡμᾶς σαρκωθέντα Θεὸν Λόγον, καὶ τοῖς αὐτοῦ δια τάγμασιν ἀμελλητὶ συννεύοντας, εἰς ζωὴν ἀναβαίνειν τὴν αἰώνιον· ὃ καὶ δρᾶν οὐ θελήσαντες οἱ διὰ πολλῶν μυσταγω γηθέντες λόγων, "ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' "αὐτοῦ περιεπάτουν." σοφώτατα γεμὴν ὁ μακάριος Πέτρος τό Ποῦ ἔχομεν ἀπελθεῖν πρὸς τὸν Σωτῆρά φησι· τὸ γὰρ κατὰ μηδένα τρόπον ἀποφοιτᾶν τοῦ Θεοῦ, συνεῖναι δὲ μᾶλλον ἐπείγεσθαι πνευματικῶς, ἁγίοις ὄντως πρεπωδέστατον. Καὶ ἡμεῖς πεπιστεύκαμεν, καὶ ἐγνώκαμεν σὺ εἶ ὁ Χριστὸς ὁ ἅγιος τοῦ Θεοῦ. Θαυμαστὴ τῶν ἁγίων ἀποστόλων ἡ πίστις, θερμὸς τῆς 1.575 ὁμολογίας ὁ τρόπος, ἀξιεραστοτάτη καὶ ὑπερφερὴς ἡ σύνε σις. οὐ γὰρ δὴ κατά τινας τῶν ἀμαθεστέρων, ᾗ καὶ κατ' ἐκείνους τοὺς οἵπερ ἀπηνῆ τὸν τοῦ Σωτῆρος ἀπεκάλουν λόγον, ὀπίσω δικαίως ἀπῴχοντο καὶ πεπτώκασιν, οὔτε μὴν ἐξ ἐλαφρίας εὐσυναρπάστως ἐπὶ τὸ πιστεύειν ἐκλήθησαν, πληροφορηθέντες δὲ πρότερον, καὶ διακείμενοι κατὰ τὸ ἀληθὲς, ὅτι ῥημάτων μὲν ζωοποιῶν ἀνάμεστος ἦν ὁ μυστα γωγῶν, οὐρανίων δὲ παιδευμάτων εἰσηγητής. ἀσφαλὴς δὲ λίαν ἡ τοιαύτη πίστις· ἡ δὲ οὐχ οὕτως ἔχουσα, ῥᾳδίως ἂν εἰκότως καὶ ἀποπτύοιτο, καὶ ῥίζαν οὐκ ἔχουσα τὴν πληρο φορίαν, ἑτοιμότατα τῆς ἀνθρώπου διανοίας ἐκτρίβεται. καὶ γοῦν αὐτὸς ἐν παραβολαῖς ὁ Σωτὴρ, ὅτε τοὺς περὶ τοῦ σπείροντος ἐποιεῖτο λόγους, ὃ δὲ ἔπεσεν ἐπὶ τὴν πέτραν, φησὶ, καὶ μὴ ἔχον ῥίζαν ἐξηράνθη, πέτραν εἶναι λέγων αἰνιγματωδῶς, νοῦν τὸν ἀπεσκληκότα καὶ τὸν ἅπαξ ἐγκατα βληθέντα λόγον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδαμόθεν ἔχοντα παραδέξασθαι. τοῦτο γὰρ δὴ καὶ πεπονθότες ἐκ πολλῆς ἄγαν τῆς ἀμαθίας οἱ τάλανες Ἰουδαῖοι "Διαῤῥήξατε τὰς καρδίας ὑμῶν καὶ μὴ "τὰ ἱμάτια ὑμῶν," διὰ τῆς τοῦ προφήτου φωνῆς ἐδιδά σκοντο. ὅνπερ γὰρ τρόπον πρὸ τῆς τῶν σπερμάτων κατα βολῆς, ἀρότρῳ χρῆναι προανατέμνεσθαι τὴν γῆν ὁ τῆς γηπονίας συμβουλεύει νόμος· οὕτως οἶμαι δεῖν τοὺς πρὸς ἀνάληψιν θείων ἰόντας λόγων προαναπτύσσειν τρόπον τινὰ ταῖς εἰς αὐτοὺς ἐπιθυμίαις τὴν καρδίαν· παραδεχθέντες γὰρ οὕτω, γῆν ὥσπερ τινὰ καρποφόρον ἀποτελοῦσι ψυχὴν τὴν ὠδίνουσαν. οὐκοῦν ἐν πληροφορίᾳ πίστεως ἐγνωκέναι φασὶν οἱ σοφώτατοι μαθηταὶ, καὶ πρός γε τούτῳ θαρσεῖν, ὡς αὐτὸς εἴη Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. σοφῶς δὲ λίαν, καὶ τὸν ἐπὶ τούτῳ πάλιν ἐξυφασμένον εὑρήσεις λόγον· καὶ πιστεύειν γὰρ καὶ ἐγνωκέναι φασὶ, συνενεγκόντες ἄμφω 1.576 κατὰ ταὐτόν. ἔδει γὰρ καὶ πιστεύειν καὶ νοεῖν· καὶ οὐκ ἐπείπερ ἐστὶ πίστει παραδεκτὰ τὰ θειότερα, διὰ τοῦτο χρὴ πάντως τῆς ἐπ' αὐτοῖς ἐρεύνης ὁλοκλήρως ἀποφοιτᾷν, πει ρᾶσθαι δὲ μᾶλλον καὶ γοῦν εἰς μετρίαν ἀναβαίνειν γνῶσιν, τὴν ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι, καθάπερ ὁ Παῦλός φησιν. εὖ δὲ δὴ πάλιν οὐ πρότερον ἐγνωκέναι φασὶν, εἶτα πιστεύειν, ἀλλὰ προθέντες τὴν πίστιν, δευτέραν τὴν γνῶσιν ἐπάγουσι. μετὰ γὰρ τὴν πίστιν ἡ γνῶσις, καὶ οὐ πρὸ τῆς πίστεως, κατὰ τὸ γεγραμμένον "Ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ "συνῆτε." προκατατεθείσης γὰρ ἐν ἡμῖν κρηπῖδός τινος δίκην τῆς ἀπεριεργάστου πίστεως, ἐποικοδομεῖται λοιπὸν ἡ γνῶσις κατὰ βραχὺ, καὶ "εἰς μέτρον ἡλικίας" ἡμᾶς ἀναφέ ρουσα τῆς ἐν Χριστῷ, καὶ "εἰς ἄνδρα τέλειον" καὶ πνευμα τικόν. διά τοι τοῦτο καὶ ὁ Θεός που φησίν "Ἰδοὺ ἐγὼ "ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον ἐκλεκτὸν ἀκρογωνι "αῖον ἔντιμον." ἀρχὴ γὰρ ἡμῖν καὶ θεμέλιος εἰς ἁγιασμὸν καὶ δικαιοσύνην ὁ Χριστὸς, διὰ πίστεως δὲ δηλονότι, καὶ οὐχ ἑτέρως· οὕτω γὰρ ἐν ἡμῖν ἐνοικίζεται. Ἐπιτήρει δὲ ὅπως πανταχῆ μοναδικῶς καὶ προτεταγ μένου τοῦ ἄρθρου φασί Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, τῶν μὲν ἐν χάριτι κεκλημένων εἰς υἱοθεσίαν ὡς ἕνα καὶ ἐξαίρετον ὑπεξάγοντες τὸν ἀληθῶς Υἱὸν, οὗ καθ' ὁμοιό τητα καὶ ἡμεῖς υἱοί. καὶ τὸν Χριστὸν δὲ πάλιν ἀποκαλοῦσιν αὐτὸν ὡς ἕνα· πλὴν ἰστέον ὅτι Χριστὸς οὐκέτι καλεῖται δι' ἑαυτὸν, ἢ ὡς τοῦτο ὑπάρχων οὐσιωδῶς, ὥσπερ οὖν ἔσται καὶ Υἱὸς, ἀλλ' εἷς μὲν ὄντως καὶ ἐξαιρέτως· οὐδεὶς γὰρ ἐν χρισ τοῖς ὡς αὐτὸς, πλὴν καθ' ὁμοιότητα τὴν ὡς πρὸς ἡμᾶς ὀνομάζεται Χριστός· κύριον μὲν γὰρ αὐτῷ καὶ ἀφωρισμένον ἰδικῶς ὄνομά τε καὶ πρᾶγμα κατ' ἀλήθειαν, τό Υἱὸς, κοινὸν δὲ ὡς πρὸς ἡμᾶς τό Χριστός. ἐπειδὴ γὰρ ἐχρίσθη καθὸ γέγονεν ἄνθρωπος, διὰ τοῦτο Χριστός. οὐκοῦν εἰ τὸ 1.577 χρίεσθαι τῇ τῆς ἀνθρωπότητος περιθήσομεν χρείᾳ, Χριστὸς ἂν νοοῖτο καθ' ὁμοίωσιν τὴν ὡς πρὸς ἡμᾶς, καὶ οὐχ οὕτως ὥσπερ ἐστὶ καὶ Υἱὸς, πλὴν εἷς καὶ μόνος φυσικῶς τε καὶ ἐξαιρέτως, καὶ πρὸ σαρκὸς καὶ μετὰ σαρκὸς, καὶ οὐ δύο, καθάπερ οἴονταί τινες, οὐ νοοῦντες, ὡς ἔοικε, τοῦ μυστηρίου τὸ βάθος. οὐ γὰρ εἰς ἄνθρωπον ὁ ἐκ Θεοῦ Πατρὸς καταπε φοίτηκε Λόγος, ὥσπερ ἐφ' ἕνα τυχὸν τῶν ἁγίων προφητῶν ἡ διὰ Πνεύματος χάρις, ἀλλ' αὐτὸς κατ' ἀλήθειαν ἐγένετο σὰρξ, κατὰ τὸ γεγραμμένον, ἄνθρωπος δηλαδή. ἀδιαίρετος τοιγαροῦν μετὰ τὴν ἕνωσιν, καὶ οὐκ εἰς δύο πρόσωπα κατα σχίζεται, κἂν ἕτερόν τι νοῶμεν τὸν ἐκ Θεοῦ Λόγον, καὶ τὴν ἐν ᾗ κατῴκηκε σάρκα· ὅλου δὲ τοῦ χοροῦ τῶν ἁγίων ἀπο στόλων τὴν ἐπὶ τούτοις ἡμῖν διαβεβαιοῦντος πίστιν, δι' ὧν ἐγνωκέναι φασὶ μοναδικῶς, ὡς αὐτός ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, τοὺς ἕτερόν τι πρὸς τούτοις ἐπικαινοτομεῖν ἐξ ἀνοίας οὐ παραιτουμένους, εἰ φρονοίημεν ὀρθῶς, οὐ παρα δεξόμεθα. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελε ξάμην, καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν; ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτην· οὗτος γὰρ ἔμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα. Ἐπιτείνει τὸν ἔλεγχον, καὶ δριμυτέροις αὐτοὺς κατα σφίγγει λόγοις, τὸ χαῦνον καὶ ἀνειμένον εἰς ῥᾳθυμίας τὰς ἐπὶ τῷ σοφοῦσθαι θέλειν ὑποτεμνόμενος· τοιοῦτόν τι γὰρ μονονουχὶ λέγων ὁρᾶται Νήψεως, ὦ μαθηταὶ, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φρενῶν ὁ καιρὸς καὶ συντόνου διανοίας εἰς τὸ διασώζεσθαι θέλειν. ὀλισθηροτάτη γὰρ λίαν ἡ τῆς ἀπωλείας ὁδὸς, οὐ τὸν ἀσθενῆ μόνον ὑποσύρουσα νοῦν, ἀλλὰ καὶ τὸν ἤδη δοκοῦντα βεβαίως 1.578 ἑστάναι· δεινὸν δ' ὅτι χρῆμα καὶ πολύμορφον ἁμαρτία, πολυτρόποις ἡδοναῖς τὸν ἀνθρώπινον καταγοητεύουσα νοῦν, καὶ λειοτάταις ὥσπερ ἐπιθυμίαις εἰς ἃ μὴ προσῆκεν ἐξέλ κουσα· ὑπόδειγμα δέ μοι τοῦ λόγου, φησὶν, ἔσται τὸ καθ' ὑμᾶς. ἐρῶ γὰρ τέως· οὐδένα ἐκείνων τῶν ἐξ ἐλαφρίας ὀπίσω πεσόντων, ὡς ἀγαθοὺς ὑμᾶς ἐπελεξάμην· ᾔδειν γὰρ ὡς Θεὸς τὰ ἐν ὑμῖν· ἀλλ' ἥρπασεν ἐν ἀδείᾳ φιλοκερδίας ὁ σατανᾶς, καὶ οὐ διέψευσται πάντως ψῆφος ἡ ἐμή. προαιρετικὸν γὰρ ἐν ἀνθρώποις καὶ αὐθαίρετον τὸ ἐπ' ἄμφω βαδίζειν, εἴτε εἰς δεξιὸν εἴτ' οὖν εἰς ἀριστερὸν, ἀρετὴν δὲ δηλονότι καὶ κακίαν φημί. ὁμοῦ τοιγαροῦν διὰ τοῦ καὶ μειζόνως ἐπισκήπτειν αὐτοῖς, καὶ εἰς νῆψιν ἐγείρει τὴν πρέπουσαν, καὶ ἐν τοῖς καθ' ἑαυτὸν, ἕκαστον ἀσφαλέστερον ἀπεργάζεται· τὸ μὲν γὰρ τίς ὁ παραδώσων αὐτὸν, οὔπω λέγει σαφῶς· ἑνὶ δὲ ἁπλῶς καὶ ἀδιορίστως τῆς ἀσεβείας ἐπιθεὶς τὸ φορτίον, εἰς ἀγῶνα καθίστη τοὺς πάντας, καὶ πρὸς νῆψιν ἀκριβεστέραν ἐκάλει, καταφρίττοντος ἑκάστου τῆς ἑαυτοῦ ψυχῆς τὴν ζημίαν. ὁμοῦ δέ τι τούτοις καὶ ἕτερον ἀπετέλει τῇ τῶν μαθητῶν εὐπιστίᾳ λυσιτελές. ἐπειδὴ γὰρ εἰδέναι καθωμολογήκασι, πεπιστευκέναι τε ἀραρότως, ὅτιπερ αὐτός ἐστιν "ὁ Υἱὸς τοῦ "Θεοῦ," φαίνεται προειδὼς τὰ ἐσόμενα, βεβαίαν ὥσπερ καὶ διὰ τούτου τὴν ἐφ' ἑαυτῷ δεικνὺς ὁμολογίαν. πρέπει γὰρ τῶν ὄντων οὐδενὶ τὸ γινώσκειν τὰ μέλλοντα, πλὴν ἑνὶ τῷ μόνῳ κατὰ φύσιν Θεῷ, περὶ οὗ καὶ γέγραπται "Ὁ εἰδὼς τὰ "πάντα πρὶν γενέσεως αὐτῶν." διάβολον δὲ, τὸν τῶν δια βολικῶν θελημάτων ἀπεκάλεσεν ὑπουργὸν, οὐ διεψευσμένως. ὥσπερ γὰρ "ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν," οὕτω δηλονότι καὶ τὸ ἐναντίον.

1.579 ΚΕΦΑΛΗ Ε. Περὶ τῆς ἑορτῆς τῆς σκηνοπηγίας, ὅτι τῆς ὀφειλομένης τοῖς ἁγίοις ἐλπίδος τὴν ἀποκατάστασιν δηλοῖ, καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν· προκειμένου ῥητοῦ Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνο πηγία. Καὶ μετὰ ταῦτα περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν Ἰουδαῖοι ἀποκτεῖναι. ΜΕΤΑ ταῦτα, φησὶ, τὰ εἰρημένα τε καὶ πεπραγμένα, πάλιν ἐποιεῖτο τὰς διατριβὰς ἀσμενέστερον ἐν τῇ Γαλιλαίᾳ Χριστός· τοῦτο γὰρ οἶμαι τὸ περιεπάτει δηλοῦν· ἀλλ' οὐκ ἐθελούσιον αὐτῷ τὸ παρ' ἐκείνοις εἶναι, μᾶλλον δὲ ὡς ἐξ ἀνάγκης συμβαῖνον ἐπιδεικνύει προστεθεικὼς τὰς αἰτίας. ἤθελον γὰρ, φησὶν, αὐτὸν ἀποκτεῖναι Ἰουδαῖοι· διὰ τοῦτο τοῖς ἀλλογενέσι καὶ εἰς μακροὺς ἑαυτὸν ἐχαρίζετο χρόνους, τὸ ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν παραιτούμενος. ἀλλ' οἶμαι πάλιν οὐδὲν ἧττον διὰ τούτων ἐπὶ πολλῇ λίαν δυστροπίᾳ κατηγο ρεῖσθαι τὸν Ἰσραὴλ, εἴ γε τοῦ διαιτᾶσθαι παρ' αὐτῷ πολύ τι κρεῖττον ἐφαίνετο τὸ παρὰ τοῖς ἐξ ἐθνῶν εὑρίσκεσθαι μᾶλ λον· ἦν δὲ ἄρα τουτὶ τὸ διὰ τοῦ προφήτου πεφωνημένον Ἱερεμίου "Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου", ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς "χεῖρας ἐχθρῶν αὐτῆς·" τὸ γὰρ ἔξοικον μὲν διὰ τὴν τῶν 1.580 διωκόντων ἀνοσιότητα γενέσθαι Χριστὸν, μεταφοιτῆσαι δὲ παρὰ τοῖς Γαλιλαίοις, πῶς οὐκ ἔστι διαῤῥήδην ἐπιδοῦναι τὴν οἰκείαν ψυχὴν εἰς χεῖρας ἐχθρῶν αὐτῆς; ἐχθρὰ γὰρ τὰ ἔθνη Χριστοῦ, κατά γε τὸ δουλεύειν ἑτέρῳ, καὶ προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα, διὰ τὸ μήπω τὴν εἰς αὐτὸν παρα δέξασθαι πίστιν. καὶ τοῦτο σαφῶς διδάξει λέγων αὐτός "Ο μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστιν." ἀλλ' οἶμαι δὴ πᾶς τις ἐρεῖ πρὸ τῆς ἀληθοῦς θεογνωσίας καὶ πίστεως οὐκ εἶναι τὰ ἔθνη μετὰ Χριστοῦ· ἦν οὖν ἄρα κατ' αὐτοῦ, καὶ ἐν τῇ τῶν ἐχθρῶν τάξει διὰ τοῦτο κείμενα· οὕτω δὲ ἔχοντος τούτου, καὶ σαφῶς διεγνωσμένου, τοσαύτη τις παρὰ τοῖς ἐξ Ἰσραὴλ μυσαρότης ἐπολιτεύετο, ὡς ἐν μοίρᾳ κεῖσθαι τῇ ἀμείνονι, τὸ παρ' ἐχθροῖς ὁρᾶσθαι φοιτῶντα, καὶ μεθ' ὧν ἥκιστα χρῆν ἥδιον ποιεῖσθαι τὰς διατριβὰς, ἢ ὅπερ ἦν μᾶλλον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκόλουθόν τε καὶ πρεπωδέστερον παρὰ τοῖς συγγενέσι κατὰ τὴν σάρκα· καὶ ὅσον εἰς τοῦτο καὶ ἀγαπᾶν ὀφείλουσιν. εὐλογώτατα τοίνυν ἐπὶ τὰ ἔθνη μεθίστη Χριστὸς, καὶ δι' αὐτοῦ τρόπον τινὰ τοῦ πράγματος ἤδη λέγων, ὡς, εἰ μὴ τοῦ διώκειν ἀπόσχοιντο, καὶ παραλύειν ταῖς ἀπονοίαις τὸν εὐεργέτην, ὁλοκλήρως ἑαυτὸν τοῖς ἔξωθεν χαριεῖται, καὶ ἐπὶ τὰ ἔθνη μεταστήσει Χριστός. ὥσπερ δὲ τοῦτό φαμεν ὑπεμφαίνειν αὐτὸν διὰ τοῦδε τοῦ πράγματος, οὕτω πάλιν εὑρήσομεν καὶ διὰ σχήματος ἀρχαιοτέρου τὴν ἐκ τῆς Ἱερουσαλὴμ ἀπο δρομὴν ἀπειλήσαντα. Ὅτε τοίνυν τοὺς περὶ τῶν θυσιῶν διωρίζετο νόμους, καθὰ καὶ ἐν τῷ βιβλίῳ γέγραπται τῷ Λευιτικῷ, προδιατυπώσας, ὡς ἐν εἰκόνι Χριστοῦ, προσάγεσθαι μόσχον εἰς τὸ δῶρον καὶ ὁλοκαύτωμα τῷ Κυρίῳ· καὶ πάλιν ἑτέρως αὐτὸν σχηματίζει λέγων "Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ τῷ "Κυρίῳ, ἀπό τε τῶν ἀρνῶν καὶ τῶν ἐρίφων εἰς ὁλοκαύτωμα, 1.581 "ἄρσεν ἄμωμον προσάξει αὐτὸ, καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ "τὴν κεφαλὴν αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ ἐκ πλαγίων τοῦ "θυσιαστηρίου πρὸς βοῤῥᾶν ἔναντι Κυρίου." πῶς οὖν ἄρα καὶ διὰ τούτων ἡμῖν τὸ ἐπὶ Χριστοῦ μορφοῦται μυστήριον, ἀναγκαίως ἐρευνητέον. πρῶτον δὲ οἶμαι προσήκειν αὐτοῦ τε τοῦ ναοῦ τοῦ ἐν Ἱεροσολύμοις, καὶ τοῦ θείου θυσιαστηρίου τὴν θέσιν εἰπεῖν, ἵνα οὕτω νοῶμεν, ὅ τι ποτὲ ἄρα δηλοῖ, τὸ μὴ κατ' εὐθὺ τῶν εἰρημένων ὁρᾷν, τετράφθαι δὲ μᾶλλον πρὸς βοῤῥᾶν τὸ πρόβατον. κεῖται τοιγαροῦν ἐν μὲν τοῖς νοτιωτέροις τῆς γῆς μέρεσι τῶν Ἰουδαίων ἡ χώρα, βλέπει δὲ εἰς ἑῴαν ὁ νεὼς, καὶ ταῖς πρώταις τοῦ ἡλίου βολαῖς ἀνοίγει τὰς θύρας· ἀλλὰ καὶ αὐτὸ τὸ θεῖον θυσιαστήριον, κατευθὺ τῶν ἁγίων ἐρηρεισμένον, ὥσπερ ἐν ὄψει Θεοῦ, τοῖς ἐξ ἑῴας εἰσβάλλουσι τὸ πρῶτον ἐδίδου μέτωπον, τῶν δύο πλαγίων τοῦ μὲν ὁρῶντος εἰς νότον, τοῦ δὲ ἐπὶ βοῤῥᾶν· ὅτι δὲ ταῦθ' οὕτως ἔχει, καθάπερ εἰρήκαμεν, πληροφορηθήσῃ μαθὼν τὸ παρὰ τῷ προφήτῃ Ἰεζεκιὴλ κείμενον. ὅτε γὰρ δὴ τὰ περὶ τῆς τοῦ Φαλτίου τελευτῆς ἐδιδάσκετο, διὰ θεωρίας δὲ δηλονότι πνευματικῆς, οὕτω φησί "Καὶ εἶδον καὶ ἰδοὺ ὡς "εἰκοσικαιπέντε ἄνδρες, τὰ ὀπίσθια αὐτῶν πρὸς τὸν ναὸν "Κυρίου καὶ τὰ πρόσωπα αὐτῶν ἀπέναντι· καὶ οὗτοι προσ "εκύνουν κατὰ ἀνατολὰς τῷ ἡλίῳ." εἰ δὲ ἀνίσχοντι τῷ ἡλίῳ προσκυνῶν ὀπισθομερῆ τις τὸν ναὸν ἐτίθει τοῦ ἰδίου σώματος, πῶς οὐκ ἀνάγκη νοεῖν εἰς ἀνατολὰς τετράφθαι τὸ πρόσωπον αὐτοῦ; κατὰ τοῦτο δὲ ἦν τὸ σχῆμα καὶ τὸ θεῖον αὐτὸ θυσιαστήριον, καθάπερ εἰρήκαμεν. οὐκοῦν αὐτοῦ τε τοῦ ναοῦ καὶ τοῦ θείου θυσιαστηρίου μέτωπον μὲν ἦν τὸ προσ βάσιμον εἰς ἀνατολάς· πλάγια δὲ δύο, τὸ μὲν εἰς νότον, θάτερον δὲ πρὸς βοῤῥᾶν, τοῦ ἑτέρου δηλονότι καὶ λείποντος, ὃ δὴ νοεῖταί πως καὶ ὀπισθοφανὲς τοῖς τῆς ἑσπέρας ἐνο 1.582 ρῶντος μέρεσιν· οὕτω τοιγαροῦν ἐχόντων ἡμῖν τῶν εἰρη μένων, πρὸς αὐτῷ κειμένην εὑρήσομεν τῷ βοῤῥᾷ τὴν τῆς Ἰουδαίων γείτονα Γαλιλαίαν, τουτέστι, τὴν τῶν ἐθνῶν χώραν, κατὰ τὸ γεγραμμένον "Γαλιλαία τῶν ἐθνῶν." ἐπειδὴ δὲ ἔμελλεν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς μετὰ τὸ σωτήριον πάθος τῆς μὲν τῶν Ἰουδαίων ἀπανίστασθαι χώρας, ἀφικέσθαι δὲ εἰς τὴν Γαλιλαίαν, τουτέστι, πρὸς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, ἐκ πλαγίων ἐσφάζετο τοῦ θυσιαστηρίου τὸ ἐν τύπῳ ληφθὲν εἰς θυσίαν πρόβατον, ἵνα ὑποβλέψῃ πρὸς βοῤῥᾶν, κατ' ἐκεῖνο τὸ εἰρημένον ὑπὸ τοῦ ψαλμῳδοῦ περὶ Χριστοῦ "Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὰ ἔθνη ἐπιβλέπουσιν." Ἐπειδὴ δὲ καὶ παραιτεῖσθαί φησιν ὁ μακάριος Εὐαγγελι στὴς τὸ συνεῖναι τοῖς Ἰουδαίοις αὐτὸν, ἐπείπερ αὐτὸν ἀνε λεῖν ἐβουλεύοντο, τοῖς εἰρημένοις ἐκεῖνο προσθήσομεν, ὡς οὐ δειλίας ἔγκλημα τὴν ἀναχώρησιν λογιούμεθα τοῦ Χριστοῦ, ἀλλ' οὐδὲ ἀσθενείας διὰ τοῦτο κατηγορήσομεν τοῦ πάντα ἰσχύοντος, τὸν δὲ τῆς οἰκονομίας ἀποδεξόμεθα τρόπον· ἔδει γὰρ οὐ πρόωρον, ἀλλ' ἐν καιρῷ τῷ ἰδίῳ τὸν ὑπὲρ πάντων ὑπομεῖναι σταυρόν. Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ Μετάβηθι ἐντεῦθεν καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρή σωσι τὰ ἔργα ἃ ποιεῖς· οὐδεὶς γάρ τι ἐν κρυπτῷ ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι. εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ κόσμῳ. οὐδὲ γάρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Οὔπω τὸν ἐνοικήσαντα τῇ ἁγίᾳ σαρκὶ Θεὸν Λόγον ἐπιγι νώσκοντες οἱ νομισθέντες τοῦ Σωτῆρος ἀδελφοὶ, ἀλλ' οὐδὲ εἰδότες κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν τὰ τοιαῦτά φασιν, ὅτι 1.583 γέγονεν ἄνθρωπος, μικρὰς ἔτι τὰς διαλήψεις ἔχουσι περὶ αὐτοῦ, καὶ πολὺ μετριώτερα τῆς ἐνούσης αὐτῷ χάριτός τε καὶ ὑπεροχῆς φαντάζονται, πλέον μὲν τῶν ἄλλων ὁρῶντες οὐδὲν, ταῖς δὲ κοιναῖς ἐπ' αὐτῷ διαπαιζόμενοι δόξαις, οἰόμενοί τε κατὰ τὸ ἀληθὲς ἐκ πατρὸς γεγεννῆσθαι καὶ αὐτὸν τοῦ Ἰωσὴφ, καὶ τὴν κεκρυμμένην οὐχ ὁρῶντες τοῦ μυστηρίου κατασκευήν· πολλῶν γὰρ, ὡς εἰκὸς, λεληθότως θαυματουργουμένων παρὰ Χριστοῦ κατὰ τὴν Γαλιλαίαν, κενῆς ἐφίεσθαι δόξης αὐτὸν ἀναπείθουσι, καὶ ὡς μέγα τι χρῆμα τὸ ἐκ τῶν ὁρώντων ἀποδέχεσθαι θαῦμα συμβου λεύουσιν, ὡς τούτου γε ἕνεκα καὶ μόνου τὰς ἐφ' ἑκάστῳ τῶν τελουμένων δυνάμεις ἐνεργεῖν ἐθέλοντος αὐτοῦ, ἵνα δὴ μόνον παρὰ τοῖς ὁρῶσιν ἀξιάγαστος εἶναι δοκῇ, καὶ τοῖς ἐξ ἀν θρώπων ἐπαίνοις ἐναβρύνηται, κατά τινας τῶν φιλοδοξεῖν εἰωθότων. ὅρα γὰρ ὅπως ἀναβαίνειν αὐτῷ συμβουλεύουσιν εἰς τὴν Ἰουδαίαν, ἐν αὐτῇ δὲ μᾶλλον τερατουργεῖν, οὐχ ἵνα πιστεύωσιν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, ἀλλ' ἵνα θεωρήσωσι τὰ ἔργα ἃ ποιεῖ. εἰ γὰρ βούλει γινώσκεσθαι, φασί· τοῦτο γὰρ τὸ εἶναι ἐν φανερῷ· μὴ λεληθότως ἔσο μεγαλουργὸς μηδὲ, ἐν τῷ δύνασθαι πάντα δρᾶν ὑπάρχων ἐκπρεπὴς, φεῦγε τὴν παῤῥησίαν· ἔσῃ γὰρ οὕτω τῷ κόσμῳ γνώριμος καὶ ἐν τοῖς ὁρῶσι περιφανέστερος. λόγος μὲν οὖν ὁ παρ' ἐκείνων ἐν τούτοις. ἐπισημαίνεται δὲ χρησίμως ὁ σοφώτατος Εὐαγγε λιστὴς, ὡς οὔπω πεπιστεύκεισαν εἰς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· καὶ γὰρ ἦν ὄντως τῶν ἀτοπωτάτων ἐπὶ τοῖς οὕτω ψυχροῖς καταγινώσκεσθαι λόγοις, τοὺς ἤδη διὰ τῆς πίστεως τὴν θεοπρεπῆ περὶ αὐτοῦ λαβόντας ἐπίγνωσιν. ἀλλὰ τότε μὲν οὔπω πεπιστευκότες λαλοῦσι σοφῶς· ἐπειδὴ δὲ πεπι στεύκασι τὸ μέγα περὶ αὐτοῦ συνέντες μυστήριον, εἰς τοῦτο θεοσεβείας τε καὶ ἀρετῆς ἀνατρέχουσιν, ὡς καὶ ἀποστόλους 1.584 χρηματίσαι, καὶ διαπρεπῆ κτήσασθαι τὴν εὐλάβειαν. ἔχεις καὶ τοῦτο διὰ τῆς τῶν προφητῶν προαδόμενον φωνῆς. καὶ γοῦν ὁ μακάριός φησιν Ἱερεμίας, ὡς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν "Ὅτι καὶ οἱ ἀδελφοί σου καὶ ὁ οἶκος "τοῦ πατρός σου, καὶ οὗτοι ἠθέτησάν σε, καὶ αὐτοὶ ἐβόησαν, "ἐκ τῶν ὀπίσω σου ἐπισυνήχθησαν· μὴ πιστεύσῃς ἐν "αὐτοῖς, ὅτι λαλήσουσι πρὸς σὲ καλά." οἱ γὰρ πρὸ τῆς πίστεως ἀθετήσαντες ἀδελφοὶ, καὶ διὰ τῶν ἀρτίως ἡμῖν εἰρημένων, μονονουχὶ καὶ καταβοᾶν ἐπιχειροῦντες αὐτοῦ, συνήχθησαν διὰ πίστεως, λελαλήκασί τε καλὰ περὶ αὐτοῦ, καὶ προσωφελοῦντες ἑτέρους, καὶ τοῖς περὶ τῆς πίστεως ἐπαγωνιζόμενοι λόγοις. ἐπαγρύπνως δὲ λίαν ὁ προφήτης ἀδελφοὺς ὀνομάσας, ἐπιφέρει χρησίμως Ὁ οἶκος τοῦ πατρός σου, ἵνα μὴ καὶ αὐτοὶ γεγονότες νοοῖντό πως ἐκ τῆς ἁγίας παρθένου, μᾶλλον δὲ ὡς ἐκ μόνου πατρὸς τοῦ Ἰωσήφ. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. Ἐπεσκιασμένος ἀεὶ τοῦ Σωτῆρος ὁ λόγος· οὕτω γὰρ γέγραπται περὶ αὐτοῦ, ὅτι "καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων "τοὺς λόγους αὐτοῦ." ὅτι δὲ καὶ τοῦτο χρησίμως ἐπετη δεύετο, τίς τῶν εὖ φρονούντων οὐκ ἐρεῖ; οὔπω τοιγαροῦν παῤῥησίας ἀκράτου καιρὸς, φησὶν, ἀλλ' οὐδὲ ἀναδείξεως τῆς εἰς ἅπαντας ἀπημφιεσμένως οὕτω τῆς Ἰουδαίων διανοίας πεπαινομένης εἰς σύνεσιν, ὡς δίχα θυμοῦ καὶ ὀργῆς τοὺς παρ' ἐμοῦ δύνασθαι χωρῆσαι λόγους· ἀλλ' οὐδὲ ὅλως γνωρίζεσθαί με τῷ κόσμῳ νῦν ἐφίησιν ὁ καιρὸς, οὔπω παντελῶς ἀποφοιτώντων τῆς χάριτος Ἰουδαίων, ἀλλ' οὐδὲ οὕτως ἐμπαροινησάντων εἰς ἐμὲ, ὡς ἤδη χρῆναι λοιπὸν μεθορμίσασθαι πρὸς ἑτέρους. οὔπω τοιγαροῦν διὰ ταῦτα 1.585 τὸν ἑαυτοῦ φησι παρεῖναι καιρὸν, παρεῖναι δὲ λέγει τὸν ἐκείνων, καὶ ἐν ἑτοίμῳ δὲ κεῖσθαι διὰ παντός· ἐξεῖναι γὰρ τοῖς ἐν κόσμῳ φαμὲν τὸ δοκοῦν ἐπιτελεῖν παραποδίζοντος ἀναγκαίου μηδενὸς, ἢ καὶ εἰς πρόσκαιρον καλοῦντος οἰκονο μίαν πρὸς τὸ χρῆναί τι δρᾶν ἢ μὴ συμβουλεύουσαν, ὥσπερ οὖν ἦν ἀμέλει καὶ ἐπὶ Χριστοῦ· ἄλλωστε τῶν τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν κόσμῳ ζωὴν ἑλομένων, ἀνειμένη τις ἐστὶν ἡ δίαιτα, καὶ φροντίδος τῆς ἐπιπονωτέρας ἀπηλλαγμένη, προκείμενον ὥσπερ ἀεὶ καὶ ἡπλωμένον εἰσφέρουσα τὸν ἐπὶ τοῖς ἡδίστοις καιρὸν καὶ ἐφ' ὅπερ ἂν βούλωνται βαδίζειν, ἑτοίμως τοῖς αὐτῇ χρωμένοις ἐπιτρέπουσα. Οὐκοῦν τῶν μὲν ἀναγκαίως οἰκονομίαις πραγμάτων ὑπο κειμένων, καιρὸς οὐχ ἅπας εἰς τὸ δρᾶν ἃ προσῆκεν ἐπιτήδειος, ἀλλ' ὁ πρέπων ἑκάστῳ τῶν τελουμένων, καὶ ὥσπερ ἂν ἡ τοῦ πράγματος ἀπαιτοίη φύσις· τῷ δὲ ἀπολύτως ἑλομένῳ βιοῦν, ἐπικείσεται μὲν τοιοῦτον οὐδέν· ἑτοιμοτάτη δὲ μᾶλλον καὶ ἀνειμένη παντελῶς, ἡ ἐφ' ὅπερ ἂν ἐθέλωσιν ἰέναι πάροδος. Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. Χαριέντως σφόδρα καὶ νῦν ὁ Σωτὴρ κοσμικώτερον ἔτι φρονοῦντας καὶ διακειμένους ἐλέγχει τοὺς ἀδελφοὺς, καὶ δευτέραν ὥσπερ ἀπολογίαν τέχνῃ κεράσας εἰσφέρει, δι' ἧς οὐχ ὅπως οὐκ ἐγνωκότας αὐτοὺς τίς κατὰ φύσιν ἐστὶν ἀποδείκνυσιν, ἀλλ' ἔτι τοσοῦτον τῆς εἰς αὐτὸν ἀγάπης ἐξῳκισμένους, ὡς ἑλέσθαι διαζῆν οὐκ ἀπᾳδόντως τοῖς τὸν ἐν κόσμῳ θαυμάζουσι βίον, καὶ οὐχὶ μᾶλλον τὸν ἐν ἀρετῇ. ἦν γὰρ δὴ καὶ ὄντως ἀτοπώτατον τοῖς μὲν ἄλλοις ἅπασι 1.586 προσλαλεῖν τὰ συμφέροντα, περιστολῆς ἁπάσης τῆς ἐπὶ τούτῳ παρῃρημένης· τοῖς δὲ εἶναι δοκοῦσιν ἀδελφοῖς, μὴ οὐχὶ πολλῷ καὶ πλείονι χαρίζεσθαι μέτρῳ, τὰ ἐφ' οἷς ἔμελλον οὐ μετρίως ὠφελούμενοι μανθάνειν ἔχοντες ἤδη τῆς σοφίας τὸν χορηγόν. ἔθος δὲ τοῦτο τῷ Σωτῆρι Χριστῷ· δραξάμενος γὰρ εὐκαίρου προφάσεως ἔσθ' ὅτε, μακρὰς τοῖς ἀκροωμένοις ἐξυφαίνει τὰς κατηχήσεις. ἀεὶ τοιγαροῦν, φησὶ, φίλον ἑκάστῳ τὸ συγγενὲς, καὶ ἡ τοῦ τρόπου ταυτότης παραδόξως συνάγει πρὸς διάθεσιν. ὁ κόσμος ὑμᾶς οὐ μισεῖ· φρονεῖτε γὰρ ἔτι τὰ αὐτοῦ· ἐμὲ δὲ μισεῖ, οὐχ ἡδέως ἔχων ἐφ' οἷς ἂν ἀσχημονῇ παρ' ἐμοῦ κατηγορούμενος· οὐκοῦν ἀκινδύνως ἐπελεύσεσθε μὲν ὑμεῖς ἐπὶ τήνδε τὴν ἑορτὴν, ἐγὼ δὲ οὐκέτι. διαλέξομαι γὰρ πάντως καὶ ἐρῶ παρὼν τὰ συμφέροντα, πικρὸς δὲ τοῖς φιληδόνοις ὁ ἔλεγχος, καὶ πρὸς ὀργὴν ἀνα καῦσαι δεινὸς τὸν ὅτι προσήκοι σωφρονεῖν οὐ καταδε χόμενον. Ὠφελεῖ δὲ πάλιν καὶ διὰ τούτων ἡμᾶς τῶν ῥημάτων ὁ Κύριος· καὶ γὰρ δὴ ποιεῖσθαι τοὺς ἐλέγχους οὐκ ἀπερι σκέπτως συμφέρει, οὐδὲ εἰς πάντας ἐκφέρειν μετ' ἐπιπλή ξεως τὴν ὑφήγησιν, ἀλλ' εἰδέναι τὸ γεγραμμένον "Μὴ "ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε," ὅτε τὸ μῖσος ἡμῖν οὐκ ἀζήμιον, εἰς ὦτα δὲ μᾶλλον ἀκουόντων ἐπείγεσθαι λαλεῖν, κατὰ τὸ γεγραμμένον. φιλαμαρτήμων μὲν γὰρ ὁ κόσμος ἐστὶν, ἐπανορθωτὴς δὲ τῶν οὐ δεόντως ἐπιτελου μένων ὁ Κύριος· δι' ἐλέγχου δὲ πολλάκις ποιεῖσθαι προσήκει τὴν ἐπανόρθωσιν· τὸ γὰρ ὅλως καταλέγειν τῆς ἁμαρτίας, ἐπιτιμᾶν ἐστι τοῖς ἀγαπῶσιν αὐτὴν, καὶ τὸ τῆς φαυλότητος κατηγορεῖν, ἐπιπλήττειν ἐστὶ τοῖς ἔχουσιν αὐτήν. ὅταν οὖν ἀνάγκη μὲν εἰς τὸ ἐλέγχειν καλῇ τὸν διδάσκοντα, καὶ ὁ τῆς θεραπείας τρόπος διὰ τούτων ἰέναι κελεύῃ, χαλεπαίνῃ δὲ 1.587 λίαν ὁ διὰ τῶν ἐλέγχων ἀβουλήτως παιδαγωγούμενος, τότε δεῖ πάντως τὰ ἐκ μίσους ἀναφύεσθαι κακά. διὰ τοῦτό φησιν ὁ Σωτὴρ ἑαυτὸν μισεῖσθαι παρὰ τοῦ κόσμου, ὡς οὔπω χωρεῖν ἰσχύοντος τὴν μετ' ἐπιπλήξεως παραίνεσιν, ὅταν καὶ τοῦτο προσήκῃ γενέσθαι διὰ τὸ χρήσιμον. νοῦς γὰρ ἐπὶ ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς τυραννούμενος, χαλε παίνει δὴ πάντως τὸν ὅτι προσήκοι σωφρονεῖν ἀναπείθοντα λόγον. ταῦτα δέ φησιν ὁ Σωτὴρ οὐκ ἀποφήσας παντελῶς τὴν ἐν τοῖς Ἱεροσολύμοις ἀποδημίαν, οὐδὲ πρὸς ἐλέγχους ἀπειρηκὼς τοὺς οἵπερ ἂν φαίνοιντο τοῖς ἁμαρτάνουσι χρή σιμοι, ἀλλ' ἐν καιρῷ τῷ δεόντι δρᾶν καὶ τοῦτο μετὰ τῶν ἄλλων διανοούμενος. σημειωτέον δὲ ὅτι καὶ τοῖς ἑαυτοῦ μαθηταῖς τοιοῦτόν τι φησί. παραμυθούμενος γὰρ, καὶ οὐ σφόδρα τοῖς ἐπισυμβήσεσθαι μέλλουσιν ἐπασχάλλειν διδά σκων, ὅταν αὐτὸν τῇ οἰκουμένῃ κηρύττωσι, καὶ μυρίοις διὰ τοῦτο περιπίπτωσι πειρασμοῖς "Εἰ ἦτε, φησὶν, ἐκ τοῦ "κόσμου, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ἐπειδὴ δὲ ἐκ τοῦ "κόσμου οὐκ ἐστὲ, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος." κόσμον ἐν τούτοις οὐ τὴν ὁρωμένην κτίσιν ἀποκαλῶν, μᾶλλον δὲ τοὺς φρονοῦντας τὰ ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κόσμῳ· οἷς δὴ καὶ λίαν ὁ μὲν τῶν ἴσων οὐκ ἐραστὴς, σκληρὸς καὶ προσάντης καὶ ἐν ἐχθροῦ τινος τάξει λελόγισται· συγγενὴς δὲ καὶ φίλος ὁ συνεθε λητὴς, καὶ τῇ τοῦ βίου ταυτότητι πρὸς ἰσοτροπίαν τὴν ἐπ' αἰσχροῖς συσφιγγόμενος. Ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην· ἐγὼ οὐκ ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ ἐμὸς καιρὸς οὔπω πεπλήρωται. Ἀποφάσκει μὲν ἤδη σαφῶς τὸ βούλεσθαι τοῖς Ἰουδαίοις συνεορτάζειν ὁ Κύριος, ἤγουν ἰέναι κατὰ ταὐτὸν, ὡς συμμε 1.588 θέξων ἐκείνοις τῆς ἐν σκιαῖς εὐθυμίας. τὸ γὰρ ἅπαξ εἰρη μένον, ὡς πρὸς ὀλίγους, καίτοι νομισθέντας ἀδελφοὺς, εἰς ὅλον δυνάμει διαδραμεῖται τὸ γένος τὸ ἐξ Ἰσραήλ. οὐ γὰρ δή τις ἐρεῖ τὸ συνεῖναι τοῖς ἀδελφοῖς δι' αὐτούς γε κυρίως παραιτεῖσθαι τὸν Ἰησοῦν, ὡς δὲ καὶ συνὼν ἐν τῇ Γαλιλαίᾳ φαίνεται· ὑποτοπητέον δὲ, ὅτι καὶ οὐκ ἀπὸ σκοποῦ διὰ τὴν τοῦ γένους τοῦ κατὰ σάρκα παρὰ πολλοῖς ὑπόνοιαν καὶ ὁμέστιος ἦν. πρόδηλον οὖν, ὅτι καθάπερ ἐν τύπῳ τοῖς ἀδελφοῖς ὅλης τῆς Ἰουδαίων πληθύος εἰσφερομένης, τὸ συνεορτάζειν αὐτοῖς ἀποφεύγει Χριστὸς, κατὰ τὸ εἰρημένον δι' ἑνὸς τῶν ἁγίων προφητῶν "Μεμίσηκα, ἀπῶσμαι τὰς "ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν "ὑμῶν· διότι καὶ ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα καὶ "θυσίας, οὐ προσδέξομαι αὐτὰ, καὶ σωτηρίου ἐπιφανείας "ὑμῶν οὐκ ἐπιβλέψομαι· μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν "σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι·" "Πνεῦμα "γὰρ ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι "καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν," κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν. ὑπάρχων δὲ πνεῦμα, πνευματικαῖς ἂν εἰκότως τιμαῖς καὶ δωροφορίαις ἐφήδοιτο, ὧν καὶ εἰς τύπον διὰ τῆς νομικῆς ἐντολῆς βουθυσίαι τε καὶ μηλοσφαγίαι, καὶ λιβάνου πρὸς τούτοις, σεμιδάλεώς τε καὶ οἴνου καὶ ἐλαίου προσκομιδαὶ τεταγμένως ἐγίνοντο, τὸ πολυειδὲς τῆς ἀρετῆς τῶν προσ κυνούντων ἐν πνεύματι δι' ἐμφανεστέρων σχημάτων κατα μηνύουσαι. ὑμεῖς τοιγαροῦν, φησὶν, οἱ τὴν σκίαν ἀγαπῶντες ἔτι, παχύτερόν τε καὶ Ἰουδαϊκῶς διακείμενοι περὶ τούτων, ἀνάβητε πρὸς τὴν ἐν σκιαῖς καὶ τύποις πανήγυριν· ἐμοὶ δὲ οὐχ οὕτως ἑορτάζειν ἡδύ· πρὸς ταύτην οὐκ ἄνειμι τὴν ἑορτὴν, τὴν ἐν τύπῳ δηλονότι καὶ σχήματι· ἔχω γὰρ ἐν αὐτῇ τὸ 1.589 τέρπον οὐδέν· περιμένω δὲ μᾶλλον τῆς ἀληθοῦς πανηγύρεως τὸν καιρὸν, ὃς οὔπω πεπλήρωται. τότε γὰρ τότε, φησὶ, τοῖς ἐμοῖς θιασώταις συνέσομαι χαίρων ἐν τῇ λαμπρότητι τῶν ἁγίων, τῇ τοῦ Πατρὸς δόξῃ, τὴν εἰς ἄκρον ἀπαστράπτων φαιδρότητα. ἑαυτοῦ δέ φησι, καὶ ὡς ἴδιον ἀποκαλεῖ τὸν καιρόν· αὐτοῦ γὰρ ἡ ἑορτὴ, αὐτὸς ὁ πανηγυριάρχης ἐστίν. αὐτῷ γὰρ αὐτὴν καὶ ὁ μακάριος Ἱερεμίας ἀνετίθει λέγων τοῖς κατημεληκόσι τῆς εἰς Θεὸν εὐσεβείας, καὶ ἐν τῷ μηδενὶ πεποιημένοις τὸ βούλεσθαι διαπρέπειν ἐν ἀγαθοῖς "Τί ποιή "σετε ἐν ἡμέρᾳ πανηγύρεως, καὶ ἐν ἡμέραις ἑορτῆς Κυρίου;" οἱ γὰρ ὅλως, φησὶ, τὸ ὑπὲρ τῆς ἀρετῆς ἱδροῦν παραιτού μενοι, καὶ τὸ λαμπρὸν τῆς εἰς Θεὸν ἀγάπης ἄμφιον οὐκ ἔχοντες, τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύρεως, πῶς εἰσελεύ σεσθε πρὸς τὴν θείαν τε καὶ οὐράνιον ἑορτὴν, ἢ πῶς ἂν ὑμᾶς ὁ τοῦ δείπνου δεσπότης οὐκ ἂν εὐλόγως ἐξώσειε τοῦ φαιδροτάτου τῶν κεκλημένων χοροῦ λέγων "Ἑταῖρε, πῶς "εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου;" τούτῳ δ' ἂν εἴη συγγενὲς καὶ τὴν ἴσην ἡμῖν εἰσκομίζον διάνοιαν τὸ παρὰ τῷ προφήτῃ κείμενον Ζαχαρίᾳ "Καὶ ἔσται γὰρ, φησὶν, ὅσοι "ἂν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων "ἐπὶ Ἱερουσαλὴμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν τοῦ "προσκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ παντοκράτορι καὶ τοῦ "ἑορτάζειν τὴν ἑορτὴν τῆς σκηνοπηγίας." ἀναβήσεσθαι δὲ τοὺς καταλειφθέντας φησὶν ἐπὶ τὴν τοῦ μεγάλου βασιλέως προσκύνησιν, καὶ πρὸς ἀποπλήρωσιν τῆς ἑορτῆς τῆς σκηνο πηγίας. πολλῶν γὰρ διὰ τῆς χάριτος κεκλημένων, οἱ πρὸς τὴν ἄνω πόλιν ἀναβαίνοντες οὐ πολλοί· ὀλίγοι γὰρ οἱ ἐκλεκτοὶ, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἐκ παντὸς δηλονότι ληφθέντες ἔθνους. ἀναβήσονται δὲ λέγων ἐπὶ τῷ προσ 1.590 κυνεῖν, οὐκέτι τὴν νομικὴν, μᾶλλον δὲ τὴν ἐν πνεύματι λατρείαν ἐπιτελοῦντας ἐπιδεικνύει, καὶ πληροῦντας ἑορτὴν τὴν ἐπὶ σκηνοπηγίᾳ τῇ κατ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλήθειαν, μονονουχὶ τὸ ἐν ψαλμοῖς ἐκεῖνο λιγυρῶς ἀνιέντας μέλος "Εὐλογητὸς Κύριος, "ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου. ἐπ' αὐτῷ "ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην καὶ ἀνέθαλεν ἡ "σάρξ μου·" ἀνεθάλη γὰρ ἡ σὰρξ, καὶ εἰσαῦθις ἀναβιώ σεται, καὶ οὐ δίχα Χριστοῦ· γέγονε γὰρ ἡμῖν αὐτὸς ἡ τῆς ἀναστάσεως ἀρχὴ, καὶ τῆς ἀληθεστέρας σκηνοπηγίας ἡ θύρα. καὶ τοῦτο ἦν ἄρα τὸ δι' ἑνὸς εἰρημένον τῶν ἁγίων προφητῶν καὶ "ἀναστήσω τὴν σκηνὴν Δαυεὶδ τὴν πεπτω "κυῖαν." σκηνὴ γὰρ ἡ πεσοῦσα τοῦ ἐκ σπέρματος Δαυεὶδ τὸ κατὰ σάρκα Χριστοῦ, πρώτη πρὸς ἀφθαρσίαν διὰ τῆς δυνάμεως τοῦ Θεοῦ καὶ Πατρὸς ἐξεγήγερται κατὰ τὸ εἰρη μένον πρὸς Ἰουδαίους δι' ἑνὸς τῶν ἀποστόλων περὶ αὐτοῦ "Τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ "ἔκδοτον λαβόντες διὰ χειρὸς ἀνόμων προσπήξαντες ἀνεί "λετε, ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, "καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ·" καὶ πάλιν "Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεὸς, οὗ πάντες "ἡμεῖς ἐσμεν μάρτυρες." ὅτι γὰρ ἔθος τῇ ἁγίᾳ γραφῇ, τὸν ἐκ Δαυεὶδ κατὰ σάρκα Χριστὸν, Δαυεὶδ ἀποκαλεῖν, χαλεπὸν οὐδὲν συνιδεῖν. Ταῦτα εἰπὼν αὐτὸς ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ· ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ εἰς τὴν ἑορτὴν, τότε καὶ αὐτὸς ἀνέβη, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ. Ἐμφιλοχωρεῖ τῇ Γαλιλαίᾳ, καὶ τῆς Ἰουδαίων χώρας ἐξωστρακισμένος, ἥδιόν τε καὶ ἀσφαλέστερον διαιτᾶται Χριστὸς, ἵνα πάλιν τῶν εἶναι δοκούντων νομομαθῶν εὐγενε 1.591 στέρα φαίνηται, καίτοι λίαν ἀπαίδευτος οὖσα τῶν ἐθνῶν ἡ πληθὺς, διὰ τὴν ἔτι συνέχουσαν πλάνην. σημαίνει δὲ διὰ τούτου καὶ τὴν εἰς αὐτὰ δικαίαν ἀγάπησιν, καὶ τὴν ἐπὶ τοῖς ἐξ Ἰσραὴλ εὐλογωτάτην ἀπέχθειαν. πῶς γὰρ οὐκ ἔμελλεν "ὁ πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν," οὕτω διατεθή σεσθαι, ὡς ἀγάπης μὲν ἤδη τῆς θείας ἀξιοῦν τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, καλουμένην οὕτως εὐπετῶς ἐπὶ τῷ πιστεύειν αὐτῷ, ἀποσείεσθαι δὲ λοιπὸν καὶ καταμυσάττεσθαι δικαίως ὡς ἀγνώμονα τὴν Ἱερουσαλήμ· ὅς γε καὶ πρὸ αὐτῶν τῆς ἐπιδημίας τῶν χρόνων, ἐπιθυμῆσαι μὲν λέγεται τοῦ κάλλους αὐτῆς, κατὰ τὴν τοῦ ψάλλοντος ἀναφώνησιν, πόρνην δὲ καὶ μοιχαλίδα, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων, τὴν σκληροτρά χηλον Ἱερουσαλὴμ ἀπεκάλει; σαφέστατα γοῦν διὰ μὲν τοῦ προφήτου φησὶν Ἱεζεκιὴλ πρὸς αὐτήν "Διὰ τοῦτο πόρνη "ἄκουε λόγον Κυρίου·" διὰ δὲ τῆς Ἱερεμίου φωνῆς ὡς μοιχαλίδα καταιτιᾶται βοῶν ὅτι "Καθὼς ἀθετεῖ γυνὴ εἰς "τὸν συνόντα αὐτῇ, οὕτως ἠθέτησεν εἰς ἐμὲ οἶκος Ἰσραὴλ, "λέγει Κύριος." ὡς οὖν ἤδη κατὰ πρόγνωσιν τὴν ἐκ προ μηθείας θεοπρεποῦς, τῆς μὲν ἐξ ἐθνῶν Ἐκκλησίας περια θρήσας τὸ κάλλος, τῆς δὲ τῶν Ἰουδαίων συναγωγῆς τὴν ἐν φαυλότητι τρόπων αἰσχρότητα, τὴν μὲν ἤδη προαγαπᾷ καὶ προεισοικίζεται, καθάπερ τινὰ νύμφην ἐπὶ παστῷ, ἐπὶ δὲ τῇ ἑτέρᾳ προαπεχθάνεται, τὸ τελείως ἑκατέρᾳ χρεωστούμενον καιρῷ τηρήσας τῷ δέοντι. οὔτε γὰρ πρόωρον τοῖς ἐξ Ἰσραὴλ ὁλοκλήρως ἐπάγει τὴν κόλασιν, οὔτε μὴν ὁλοσχερῶς ἑαυτὸν τῇ Γαλιλαίᾳ χαρίζεται πρὸ τοῦ σωτηρίου σταυροῦ· τότε γὰρ ἦν τοῦτο δρῶντα δικαίως ἐπ' εὐλόγοις αἰτίαις τῆς πρὸς ἐκείνους ἀγάπης ἀποφοιτᾶν. εἰρηκὼς τοιγαροῦν, ὡς οὐκ ἀναβήσεται πρὸς ταύτην τὴν ἑορτὴν, καὶ τοῖς ἀδελφοῖς ἐπιτρέψας, εἰ θελητὸν, ἰέναι, μόνος· παρεῖναι γὰρ οὔπω διε 1.592 βεβαιοῦτο καιρόν· ἄνεισι μετ' αὐτοὺς, οὐχ ἕτερα μὲν λέγων, πράττων δὲ οἷς ἂν λέγοι τὰ ἐναντία· τοῦτο γὰρ ἦν ἤδη καὶ ψεύδεσθαι, καίτοι δόλου, τουτέστι ψεύσματος, οὐχ ηὑρῆσθαι λεγομένου παντελῶς ἐν τῷ στόματι αὐτοῦ· ἀλλ' ὄντως ἐκεῖνο δρᾶν ὅπερ ὑπέσχετο προθυμούμενος. οὐ γὰρ ἀνα βαίνει συνεορτάσων, νουθετήσων δὲ μᾶλλον, καὶ ἐπείπερ εἰς τὸ σώζειν ἀφίκετο, τὰ εἰς ζωὴν ἀναφέροντα τὴν αἰώνιον ἐρῶν τε καὶ εἰσηγησόμενος. ὅτι γὰρ οὗτος ἦν ὁ σκοπὸς ἐν αὐτῷ, διδάξει σαφῶς τὸ μηδὲ τοῖς ἀνιοῦσιν ἐθελῆσαι συμβαδίζειν αὐτὸν, ἀνελθεῖν δὲ μόλις καὶ λεληθότως, οὐ παῤῥησίᾳ καὶ ἱλαρότητι χρώμενον τῶν ἰόντων ἐπὶ πανήγυριν. Καὶ γοῦν, ὅτε λοιπὸν ἐπὶ τὸ σωτήριον ἀνέβαινε πάθος, ἀνῆλθεν οὐ κεκρυμμένως, ἀλλὰ πώλῳ μὲν ἐποχούμενος εἰς τύπον τοῦ νέου λαοῦ, νηπίων δὲ προελαύνοντα δῆμον οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐαρίθμητον ἔχων, σχῆμα πάλιν ἀποπληροῦντα τοῦ τεχθη σομένου λαοῦ, περὶ οὗ γέγραπται "Καὶ λαὸς ὁ κτιζόμενος "αἰνέσει τὸν Κύριον." ἀνεφώνει δὲ καὶ τὰ προβαδίζοντα βρέφη "Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ "ἐν τοῖς ὑψίστοις." οὐκοῦν διὰ τοῦ λεληθότως ἀνελθεῖν, ἀποδεικνύει ὅτι συνεορτάσων μὲν οὐδαμῶς, προσδιαλεχθη σόμενος δὲ μᾶλλον αὐτοῖς εἰς Ἱεροσόλυμα παραγέγονεν ὁ Χριστός· ὡς γὰρ ἤδη προλαβόντες εἰρήκαμεν, οὔπω παν τελῶς τοῦ Ἰσραὴλ ἀπανίσταται, πρὶν ἂν θανάτῳ παραδοθεὶς, ἀξίως ἤδη φαίνηται τοῦτο ποιῶν. Τοῦ δὲ εἰπεῖν μὲν, ὡς οὐκ ἀναβήσεται, μετὰ δὲ τοῦτο μὴ παραιτεῖσθαι τὸ ἀνελθεῖν, εὑρήσεις καὶ πάλαι τὸν τύπον ἀποπληρούμενον ἐν βιβλίῳ τῷ ἐπίκλην Ἐξόδῳ. Μωυσῆς μὲν γὰρ ὁ θεοσπέσιός τε καὶ ἱερώτατος τὰς ἐν τῷ ὄρει διατριβὰς ἐποιεῖτο μετὰ Θεοῦ, τὸν δοθησόμενον παρ' αὐτοῦ περιμένων νόμον. ἐμοσχοποίει δὲ κατὰ τὴν ἔρημον τῆς εἰς Θεὸν 1.593 εὐσεβείας ὀλιγωρήσας ὁ Ἰσραήλ· ἀλλ' ὀργίζεται δικαίως ἐπὶ τούτοις ὁ νομοθέτης, καὶ τῆς ἐλαφρίας τῶν οὕτως ἑτοίμως ἐφ' ἃ μὴ προσῆκεν ἀποκλινάντων καταβοήσας, καὶ ἐξαναλώσειν εἰσάπαξ ἀπειλήσας αὐτοὺς, ἐν τελευταίοις φησὶ πρὸς τὸν ἅγιον Μωυσέα "Πορεύου καὶ ἀνάβηθι ἐντεῦθεν "σὺ καὶ ὁ λαός σου, οὓς ἐξήγαγες ἐξ Αἰγύπτου, εἰς τὴν "γῆν ἣν ὤμοσα τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ λέγων"Τῷ σπέρματι ὑμῶν δώσω αὐτὴν, καὶ συναποστελῶ πρὸ "προσώπου σου τὸν ἄγγελόν μου," εἶτα λέγει πρὸς αὐτὸν ὁ Μωυσῆς "Εἰ μὴ αὐτὸς συμπορεύσῃ μετ' ἐμοῦ, μή με ἀνα "γάγῃς ἐντεῦθεν· καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς ὅτι "εὕρηκα χάριν παρὰ σοὶ, ἐγὼ καὶ ὁ λαός σου, ἀλλ' ἢ "συμπορευομένου σου μεθ' ἡμῶν; καὶ εἶπε Κύριος πρὸς "Μωυσῆν Καὶ τοῦτόν σοι τὸν λόγον ὃν εἴρηκας ποιήσω· "εὗρες γὰρ χάριν παρ' ἐμοί." ὁρᾷς ὅπως ἐπὶ μὲν τοῦ Ἰσραὴλ ἀποστασίᾳ λυπούμενος, οὐ συναναβήσεσθαι μὲν εἰς τὴν γῆν αὐτοῖς τῆς ἐπαγγελίας διισχυρίζετο, συναπο στέλλειν δέ τινα ἄγγελον ἔφασκεν, αἰδοῖ δὲ τῇ πρὸς Μωυσέα, καὶ τῇ τῶν πατέρων μνήμῃ τὴν συγγνώμην ἐπι διδοὺς, συμβαδιεῖσθαι πάλιν αὐτοῖς καθυπέσχετο. Ἀρνησάμενος τοιγαροῦν τὸ συνεορτάζειν Ἰουδαίοις, ὡς ἀλαζόσι καὶ ὑβρισταῖς, ὡς διὰ τῆς ἀρνήσεως ἀτιμάζουσι Θεὸν, ὥσπερ οὖν ἐκεῖνοι διὰ τῆς μοσχοποιίας, οὐ σφόδρα φιλονεικήσας τοῖς τῶν λυπούντων πταίσμασιν, ἀποπληρῶν δὲ μᾶλλον τὴν εἰς τοὺς ἁγίους πατέρας ὑπόσχεσιν, ἄνεισι διδάξων, καὶ τὰ εἰς σωτηρίαν αὐτοῖς παραθήσων μαθήματα, οὐκ ἀγγέλῳ τὴν τοιαύτην ἐπιτρέψας διακονίαν, ὥσπερ οὖν οὐδὲ τότε, αὐτουργὸς δὲ μᾶλλον καὶ εἰς τὴν τῶν ἀχαρίστων σωτηρίαν γιγνόμενος. 1.594 Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ καὶ ἔλεγον Ποῦ ἐστιν ἐκεῖνος; Ἐρευνῶσιν Ἰουδαῖοι τὸν Ἰησοῦν, οὐχ ἵνα εὑρόντες πιστεύσειαν· ἢ γὰρ ἂν καὶ τὸ ζητεῖσθαι φθάσας ἑαυτὸν προσεκό μιζε κατὰ τὸ παρ' αὐτοῦ λεγόμενον "Εὑρέθην τοῖς ἐμὲ μὴ "ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν·" ἀλλ' ἐκ πολλῆς ἄγαν τῆς παρανομίας εἰς τὴν Ἑλλήνων εἰκαιοπονίαν κατολισθαίνοντες, καὶ τὰ ἐκείνοις συνήθη ζηλώ σαντες μᾶλλον, ἤπερ τὰ δι' ὧν εἰκὸς ἦν διὰ τῆς ἄνωθεν καταλαμπρύνεσθαι χάριτος. Ἑλλήνων μὲν γὰρ οἱ δοκοῦντες εἶναι συνετοὶ, καὶ τῆς κοσμικῆς καὶ δαιμονιώδους σοφίας ἀναπεπλησμένοι, μακροὺς καὶ πικροὺς ἀναλίσκοντες λόγους, καὶ κύκλους θεωρημάτων εἰκαίων ἑλίττοντες, ἱστόν τε ἀρά χνης κατὰ τὸ γεγραμμένον ὑφαίνοντες, τὴν ἀλήθειαν, ἤτοι τὸ ἀγαθὸν, ἢ τὸ δίκαιον ὅ τι ποτὲ κατὰ φύσιν ἐστὶν, προσ ποιοῦνται ζητεῖν, καὶ μόνην ὥσπερ σκιὰν τῆς ἀληθοῦς γνώσεως ἑαυτοῖς ἀναπλάττοντες, ἄγευστοι παντελῶς τῆς ἐν ἔργοις διατελοῦσιν ἀρετῆς, καὶ τῆς ἄνωθέν τε καὶ ὄντως σοφίας ἔρημοι διαμένοντες, ἐπ' οὐδενὶ τῶν χρησίμων ἔσθ' ὅτε τὰ μέχρι λόγων ποιοῦνται γυμνάσματα. Ἰουδαῖοι δὲ πάλιν, οἱ τῆς ἐκείνων ἀμαθίας ἀδελφοὶ καὶ γείτονες, ἀνα ζητοῦσι τὸν Ἰησοῦν, οὐχ ἵν' εὑρόντες πιστεύσωσιν, ὡς ἡ τῶν πραγμάτων ἔδειξε φύσις, ἀλλ' ἵνα πολλαῖς αὐτὸν λοιδορίαις κατακοντίζοντες, τὴν ἄσβεστον ταῖς ἑαυτῶν κεφα λαῖς ἐποίσειαν φλόγα. καὶ καθ' ἕτερον δὲ τρόπον, εἰκαιο τάτην αὐτοὺς ποιεῖσθαι τὴν ζήτησιν οἰησόμεθα πάλιν. μόνον γὰρ ὅτι μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάρεστι προσποιοῦνται ζητεῖν. παρεῖναι γὰρ ἔδει, φασὶ, τοῖς ἑορτάζουσι τὸν θαυματουργὸν, τὸ ἐν τέρψει μᾶλλον ἡδὺ, καὶ οὐχὶ πάντως τὴν ἐκ τοῦ θαυμάζειν ὠφέλειαν θηρώμενοι· νομομαθείας δὲ δόξαν ἠμφιεσμένοι, 1.595 καὶ πεπαιδεῦσθαι τοῖς ἱεροῖς γράμμασιν οὐ μετρίως οἰόμενοι, τῆς προφητικῆς ἀμνημονοῦσι φωνῆς, ἐχούσης ὧδε "Ζητή "σατε τὸν Θεὸν, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε· "ἡνίκα ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὴν ὁδὸν αὐτοῦ "καὶ ἀνὴρ ἄνομος τὴν βουλὴν αὐτοῦ καὶ ἐπιστραφήτω ἐπὶ "Κύριον, καὶ ἐλεηθήσεται." ὁρᾷς ὅπως οὐκ ἐξαρκέσει πρὸς σωτηρίαν τὸ μόνον ζητεῖν, ἀλλ' εὑρόντας ἀνάγκη καὶ ἐπι στρέφειν, δι' ὑπακοῆς δηλονότι καὶ πίστεως; οὕτω δὲ ἦν ἀνασώζεσθαι τὸν ἀμαθῆ καὶ δυσάγωγον τῶν Ἰουδαίων λαόν· ἐπειδὴ δὲ κἀν τούτῳ λίαν ἀσυνετοῦντες ἁλίσκονται, λοιπὸν εὐλόγως ἀκούσονται "Πῶς ἐρεῖτε ὅτι σοφοί ἐσμεν ἡμεῖς, "καὶ λόγος Κυρίου μεθ' ἡμῶν ἐστιν; εἰς μάτην ἐγενήθη "σχοῖνος ψευδὴς γραμματεῦσιν. ᾐσχύνθησαν σοφοὶ, ἐπτοή "θησαν, ἑάλωσαν. σοφία τίς ἐστιν ἐν αὐτοῖς; ὅτι τὸν "λόγον Κυρίου ἀπεδοκίμασαν." πῶς γὰρ οὐκ ἀπεδοκί μασαν, οὐ παραδεξάμενοι, ἢ πῶς οὐκ ἀτιμάζουσι, τό Ποῦ ἐστιν ἐκεῖνος, ἀπαιδεύτως περὶ αὐτοῦ λέγειν οὐ παραιτού μενοι; ἀπονοουμένων γὰρ τό Ἐκεῖνος, καὶ οὔπω θαυμάζειν ἀξιούντων αὐτὸν, καίτοι διὰ πολλῆς ἄγαν τῆς μεγαλουργίας ἐκπρεπεστάτην ἔχειν ὀφείλοντα παρ' αὐτοῖς τὴν ὑπόληψιν. Καὶ γογγυσμὸς περὶ αὐτοῦ ἦν πολὺς ἐν τοῖς ὄχλοις. οἱ μὲν ἔλεγον ὅτι ἀγαθός ἐστιν· ἄλλοι δὲ ἔλεγον Οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. Δυσθήρατον μὲν ἀεί πως καὶ δυσεύρετόν ἐστι τὸ ἀγαθὸν, καὶ τὸ δύνασθαι τῆς ἀληθείας τὸ κάλλος ἰχνηλατεῖν δυσκα τόρθωτον τοῖς πολλοῖς, ἐξαιρέτως δὲ τοῖς ἀμαθεστέροις καὶ οὐκ ἔχουσι τὸ ἐν συνέσει πικρὸν, οἳ ῥοπαῖς ἀλογωτάταις λογισμῶν ἀσυνέτων ἐπὶ τὸ δοκοῦν αὐτοῖς εὐπετέστερον ἀποκλίνοντες, καὶ τὴν τοῦ παρεμπίπτοντος φύσιν δοκιμάζειν 1.596 οὐκ ἀνεχόμενοι, τῆς ἀληθοῦς τῶν πραγμάτων ποιότητος οὐκ ἂν ἐφίκοιντό ποτε, καίτοι τοῦ Παύλου λέγοντος "Γίνεσθε "δόκιμοι τραπεζῖται," καὶ πάντα δὲ δοκιμάζειν ἡμᾶς ἀναπεί θοντος, ὡς ἐξ ἀκριβοῦς ἐρεύνης ἐπὶ τὴν τοῦ συμφέροντος ἔρχεσθαι θήραν. ἀκουέτωσαν τοίνυν οἱ ἐκ πολλῆς παρα νοίας τὸν Ἰησοῦν οὐ θαυμάζοντες, ἀδιακρίτως δὲ ὅτι πρέποι κατηγορεῖν ἐγνωκότες αὐτοῦ "Γεύσασθε καὶ ἴδετε ὅτι χρη "στὸς ὁ Κύριος." ὅνπερ γὰρ τρόπον οἱ τὸ ἐξαίρετον ἐν τῇ κατὰ γεῦσιν ποιότητι δοκιμάζοντες μέλι, καὶ ἐξ ὀλίγης κομιδῇ τῆς γεύσεως δέχονται τοῦ ζητουμένου τὴν αἴσθησιν, οὕτως οἱ εἰς πεῖραν καὶ βραχεῖαν τῶν τοῦ διασώζοντος ἰόντες λόγων, ὅτι χρηστὸς ἐπιγνώσονται, καὶ μαθόντες θαυμά σουσιν. οἱ μὲν οὖν παρὰ τοῖς Ἰουδαίοις συνετώτεροι συνα γορεύουσι τῷ Χριστῷ, καὶ ὀρθὴν ἐπ' αὐτῷ τὴν ψῆφον ἐκφέρουσι, συναινοῦντες ὡς ἀγαθῷ, ἐκεῖνο δὴ πάντως κατὰ τὸ εἰκὸς ἐνθυμούμενοι, ὡς οὐκ ἄν τῳ προσείη δύνασθαι κατορθοῦν, ὧν ἂν ἐργάτης ὁρῷτο Θεὸς, εἰ μὴ Θεὸς κατὰ φύσιν ὑπάρχοι, ἤγουν Θεοῦ μέτοχος, καὶ διὰ τοῦτο ἀγαθὸς, ᾧπερ ἂν πρέποι καὶ τὸ διὰ πάντων εὐδοκιμεῖν, καὶ διὰ τῆς ἄνωθεν δυναμοῦσθαι χάριτος, εἰ καὶ οὐχ οὕτως ἦν ἐν Χριστῷ· αὐτὸς γάρ ἐστιν ὁ Χριστὸς ὁ τῶν δυνάμεων Κύριος· ἀλογωτάταις δὲ λίαν ἐπινήχονται δόξαις, καὶ τῆς ἀληθείας ἀφεστᾶσι μακρὰν, οἱ πλάνον ἀποκαλεῖν οὐκ ὀκνή σαντες τὸν εἰς ἀπλανῆ τῆς δικαιοσύνης κατευθύνοντα τρίβον. ἀκουέτω τοιγαροῦν ὁ παράφρων Ἰουδαῖος "Οὐαὶ οἱ λέγοντες "τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρὸν, οἱ τιθέντες τὸ "σκότος φῶς καὶ τὸ φῶς σκότος." ἐν ἴσῃ γὰρ τάξει τῷ συνειπεῖν φαυλότητι τὸ κατηγορεῖν τοῦ καλοῦ, καὶ τῶν μὲν αἰσχρῶν τὴν εὐλογωτάτην ἀποστῆσαι κατάῤῥησιν, τοῖς δὲ ἐν τῇ τῶν ἀρίστων μοίρᾳ τεταγμένοις μῶμον ἐπιῤῥίπτειν τὸν οὐδαμόθεν αὐτοῖς χρεωστούμενον. προανεφωνεῖτο δὲ καὶ τὰ 1.597 ἐπὶ ταύταις αὐτῶν ταῖς λοιδορίαις ἐγκλήματα· "Οὐαὶ" γάρ φησιν "αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δείλαιοί εἰσιν, "ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ "δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ." Οὐδεὶς μέντοι ἐν παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων. Ἐν τοῖς Ἰουδαίοις ὁ γογγυσμὸς, καὶ διὰ τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φόβον τῶν Ἰουδαίων, οὐδένα δύνασθαί φησιν ἐν παῤῥησίᾳ λαλεῖν. οὐκοῦν ἐξαιρέτως Ἰουδαίους ὀνομάζει τοὺς τῶν Ἰουδαίων ἐξάρχοντας, οὐκ ἀξιώσας, ὥς γε μοι φαίνεται, πρεσβυτέρους αὐτοὺς, ἢ ἱερέας, ἢ ἕτερόν τι προσειπεῖν τῶν τοιούτων ὁ θεσπέσιος Εὐαγγελιστὴς, ζήλῳ τῷ πρὸς εὐσέβειαν πρὸς τὴν ἐπ' αὐτοῖς λύπην ἠκονημένος, οὓς δὴ καὶ εἰκότως, ὡς τὸν νοητὸν κατα φθείροντας ἀμπελῶνα, καταιτιᾶται λέγων ἐν προφήταις ὁ Θεός "Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, "ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν μερίδα ἐπιθυμητήν μου "εἰς ἔρημον ἄβατον, ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας." πῶς γὰρ οὐκ οἰησόμεθα κατεφθάρθαι κατ' ἀλήθειαν ἀμπε λῶνα τὸν δεσποτικὸν ταῖς ἑαυτῶν βδελυρίαις, ὅτε καὶ τὸ συνειπεῖν τῷ ἀγαθῷ καὶ θαυμάσαι μόνον τὸ θαύματος ἄξιον ἐπισφαλὲς ἀπεδείκνυον; φορτικωτέραν δὲ ὅτι τοῖς ἡγου μένοις τῶν Ἰουδαίων τὴν κόλασιν ἀπεργάζεται μετὰ τῶν ἄλλων καὶ τοῦτο, τίνι τῶν εὖ φρονούντων ἀμφίβολον; ἰδοὺ γὰρ ἰδοὺ, δέδιέ τε καὶ καταφρίττει μὲν ἅπας αὐτοὺς ὁ λαὸς, οὐ παιδαγωγεῖται δὲ κατὰ νόμον, ἀλλ' οὐδὲ ζῆν ἐκδιδάσκεται κατὰ λόγον τὸν πρέποντα, καίτοι καὶ μάλα προθύμως οἷσπερ ἂν ἐπιτάξειαν ὑποκείμενος. ἀπόδειξις γὰρ τῆς εἰς ἄκρον ὑποταγῆς ὁ φόβος· παρανομεῖν τοιγαροῦν, ἢ τὸ τῷ νομο 1.598 θέτῃ δοκοῦν περιαθρεῖν εὐγνωμόνως ἠναγκάζετο, καὶ δι' ὧν οὐδ' ὅσον ἐπαινέσαι τὸ ἀγαθὸν τολμῶσιν, ἐθελούσιον μὲν οὐδαμῶς, βιαιοτάτην δὲ ὥσπερ, καθ' ὧν ἂν ἐκεῖνοι βού λωνται, τὴν ἐπὶ φαυλότητι ψῆφον ἐκφέρειν, καὶ τὸν ἐπαίνου καὶ θαύματος ἄξιον, ὡς αἰσχρὸν κατακρίνειν. ὅνπερ οὖν τρόπον ἂν ἄριστά τις ἀνὴρ θαλαττεύειν εἰδὼς, καὶ τοῖς τῆς νεὼς πηδαλίοις προσκαθήμενος, καὶ πειθομένην ἔχων αὐτὴν ἀγάγοι κατὰ πετρῶν, αὐτὸς ἂν ὑπαίτιος νοοῖτο γεγονὼς τοῦ πταίσματος· ἢ ὥσπερ ἂν εἴ τις ἱππηλατεῖν εἰθισμένος, εὐδρομωτάτοις μὲν λίαν ἐποχοῖτο τοῖς πώλοις, εὐπαρακό μιστον δὲ αὐτῶν καὶ τὴν ἐφ' ὅπερ ἂν βούλοιτο πτῆσιν τοῖς τῶν χαλινῶν ἀνακρούσμασιν ἔχειν δυνάμενος, εἶτα λίθῳ προσαῤῥάξας τοὺς τροχοὺς, οὐ τοῖς πώλοις τοῦ παθεῖν τὴν αἰτίαν εὐλόγως μὲν, μᾶλλον ἑαυτῷ περιθήσει· τὸν αὐτὸν οἶμαι τρόπον οἱ τῶν Ἰουδαίων καθηγηταὶ, οὐχ ὅπως τιμῶντα μόνον, ἀλλὰ καὶ τῷ ὑπὲρ τούτου φόβῳ δουλαγωγούμενον ἔχοντες τὸν λαὸν, ἀπᾳδόντως δὲ τοῖς θείοις προστάγμασι διοικήσαντες, δικαίως ἂν αὐτοὶ τῆς ἁπάντων ἀπωλείας εὐ θύνας ἐκτίσειαν. ὅτι δὲ αὐτοὶ τῆς τῶν λαῶν ἀπωλείας γεγόνασι πρόφασις, μαρτυρήσει λέγων ὁ προφήτης Ἱερε μίας "Ὅτι οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ "ἐξεζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ "διεσκορπίσθησαν." Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν. Ἱεροπρεπὴς τοῦ Σωτῆρος ἡμῶν ἡ διδασκαλία· ποῦ γὰρ δὴ καὶ ἑτέρωθι μᾶλλον ἐχρῆν τὴν θείαν ἀκούεσθαι φωνὴν, εἰ μὴ ἐν τόποις, οἷς τὸ θεῖον ἐνοικεῖν πιστεύηται; πάντα μὲν γὰρ περιέπει Θεὸς, καὶ οὐκ ἂν νοοῖτο τόπῳ περιγραπτὸς, 1.599 ὅσον δὲ εἰς ἰδίαν φύσιν, παντελῶς τοῖς οὖσιν ἀχώρητος· πρεπωδέστερόν πως χώροις αὐτὸν τοῖς ἁγίοις ἐνοικεῖν ὑπο τοπήσομεν, καὶ τὸ δοκοῦν τῇ θείᾳ φύσει ἀκουστὸν ἡμῖν ἐν ἱεροῖς μάλιστα τόποις ἔσεσθαι νομιοῦμεν εὐλογώτατα· ὅπερ δὲ πάλιν ἐν τύπῳ καὶ σκιᾷ τοῖς ἀνωτέρω κατεγράφετο, τοῦτο νῦν εἰς ἀλήθειαν μετασκευάζει Χριστός· φησὶ γὰρ πρὸς Μωυσέα τὸν ἱεροφάντην Θεός "Καὶ ἐπιθήσεις τὸ "ἱλαστήριον ἐπὶ τὴν κιβωτὸν ἄνωθεν, καὶ εἰς τὴν κιβωτὸν "ἐμβαλεῖς τὰ μαρτύρια ἃ ἐὰν δῶ σοι· καὶ γνωσθήσομαί "σοι ἐκεῖθεν, καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ "μέσον τῶν δύο Χερουβὶμ τῶν ὄντων ἐπὶ τῆς κιβωτοῦ τοῦ "μαρτυρίου, κατὰ πάντα ὅσα ἐὰν ἐντείλωμαί σοι πρὸς τοὺς "υἱοὺς Ἰσραήλ." ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, μεσούσης ἤδη τῆς ἑορτῆς, καθὰ γέγραπται, ἐν τοῖς ἱεροῖς τε καὶ ἀνακειμένοις τῷ Θεῷ τόποις παρελθὼν ὡς Θεὸς, ἐκεῖ τοῖς ὄχλοις προσλαλεῖ, καίτοι λεληθότως ἀναβεβηκὼς, ὥσπερ οὖν καὶ ἐπὶ τοῦ κατὰ τὴν σκηνὴν ἱλαστηρίου, λεληθότως μὲν ἦν ἡ Θεοῦ κάθοδος, νοουμένη δὲ τότε μόλις, ὅτε τοῦ λαλεῖν ἐνειστήκει καιρός· ἐνὶ δὲ καὶ τότε τῷ μακαρίῳ Μωυσεῖ διελέγετο


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεὸς, ἑτέρῳ μὴ προσλαλῶν· οὕτω καὶ ὁ Χριστὸς, ἓν ἔτι τὸ τῶν Ἰουδαίων ἐπαίδευε γένος, ἑνί τε λαῷ προσδιαλέγεται, κοινὴν οὔπω τοῖς ἔθνεσιν ἁπλώσας τὴν χάριν. εὖ δὲ δὴ λίαν ὁ μακάριος Εὐαγγελιστὴς, οὐχ ἁπλῶς Εἰσῆλθεν, ἀλλ' ἀνέβη φησὶν εἰς τὸ ἱερόν· ὑψηλὸν γάρ τι χρῆμα καὶ τῆς χαμαιζήλου φαυλότητος πολὺ λίαν ὑπερ τεροῦν τὸ εἰς θεῖον εἰσέρχεσθαι παιδευτήριον, καὶ τοῖς ἁγίοις ἐνδιαιτᾶσθαι τόποις· ὁ δὲ τοῦ πράγματος τύπος ἀληθὴς ἐφ' ἡμῶν. Χριστὸς γὰρ ἦν ὁ ἁγιάζων τὸ ἱερὸν, καὶ τύπος ἦν 1.600 τούτου πάλαι Μωυσῆς, τῷ ἐλαίῳ τῷ ἡγιασμένῳ τὴν σκηνὴν καταχρίων καὶ ἁγιάζων αὐτὴν, καθὰ γέγραπται· καίτοι μᾶλλον ἐχρῆν ἁγιάζεσθαι διὰ τῶν ἁγίων τόπων τὸν ἄν θρωπον, ἤπερ ἁγιάζειν αὐτούς· ἀλλ' οὐδεὶς τῶν ἐν τύπῳ τελουμένων ὁ λόγος διὰ τὴν ἀλήθειαν, ἧς δὴ καὶ χάριν τὰ ἐν σκιαῖς ἀνεπλάττετο· καθάπερ οὖν ἔστιν ἰδεῖν καὶ ἐπὶ τῶν ἁγίων προφητῶν. ὁ μὲν γάρ τις πόρνῃ γυναικὶ καὶ οὐχ ἑκὼν συνοικεῖν ἐκελεύετο, γυμνὸς δὲ βαδίζειν ἕτερος, ἀλλὰ καὶ ἐπὶ πλευρὰν κατακεῖσθαι τὴν δεξιὰν οὐκ ὀλίγον ἡμερῶν ἀριθμόν. ἐπετελεῖτο δὲ ταῦτα διὰ τὰ ἐξ αὐτῶν, καὶ οὐ πάντως δι' ἑαυτά· οὕτω τοιγαροῦν καὶ ὁ μακάριος Μωυσῆς ἁγιάζειν ἐκελεύετο τὴν σκηνὴν, καίτοι μᾶλλον ἁγιάζεσθαι πρὸς αὐτῆς ὀφείλων, ἵνα Χριστὸς νοοῖτο πάλιν ὡς ἐν αὐτῷ τὸν ἴδιον ἁγιάζων ναὸν, καίτοι μετὰ σαρκὸς Ἰουδαίοις συν διαιτώμενος, καὶ ἐν αὐτῷ τοῖς ὄχλοις προσλαλῶν, ὥσπερ οὖν ἐκ τοῦ ἱλαστηρίου πάλαι ὁ Θεός. Ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες Πῶς οὗτος γράμματα οἶδε μὴ μεμαθηκώς; Οὐκ ἀπηχὲς τῶν Ἰουδαίων τὸ θαῦμα, κεκομψευσμένος δέ πως ἐστὶν ὁ ἐπὶ τούτῳ λόγος· ἦν γὰρ δὴ καὶ εἰκὸς κατα πλήττεσθαι βλέποντας καὶ λόγῳ καὶ γνώσει διαπρέποντα ξένως, τὸν ὅτῳ πλουτεῖν ἐκ μαθημάτων οὐκ ἦν. δεκτικὸς μὲν γὰρ σοφίας ὁ ἀνθρώπινος νοῦς, καὶ εἰ μήπω τις ὁρῷτο σοφὸς, ἐπιτηδειοτάτη δὲ λίαν ἡ φύσις πρὸς ἀνάληψιν συνέσεώς τε καὶ ἐπιστήμης τῆς ἐπί τισιν. ἀλλ' ἐν τοῖς οὐ σφόδρα περὶ τὰς ἐν λόγοις ἔχουσι τριβὰς συμμεμυκὸς τρόπον τινὰ καὶ κατηυνασμένον ἐστὶ τὸ ἐν τῇ φύσει χρήσιμον· ἐν δὲ τοῖς εἰωθόσι καὶ διὰ τοιούτων ἔρχεσθαι 1.601 πόνων, καὶ γυμνάσμασι τοῖς διὰ λόγων ἐντρυφᾶν, λαμπρόν τε λίαν ἐστὶ, καὶ εἰς νῆψιν ἕτοιμον ἀγαθὴν, λόγων δὲ καὶ σοφῶν εὑρημάτων παράθεσιν οὐ μετρίαν ἔχον εὑρίσκεται. καταπλήττονται τοιγαροῦν οἱ Ἰουδαῖοι, προσέχοντες οὔπω μὲν ὡς Θεῷ κατὰ φύσιν, ἔτι δὲ ὡς ἀνθρώπῳ ψιλῷ τῷ Σωτῆρι Χριστῷ, καὶ ὅτι πλουτεῖ καὶ ἐν σοφίᾳ θαυμάζουσι, τὴν τούτου πρόξενον μάλιστα, τὴν ἐν τοῖς ἀναγνώσμασι γυμνασίαν, οὐκ ἔχων, διὰ τὸ ἀδιδάκτως εἰδέναι γράμματα. οὐκοῦν ἀνοίας Ἰουδαϊκῆς καὶ τοῦτο μετὰ τῶν ἄλλων τὸ κατηγόρημα· ἢ γὰρ ἂν οὐδὲν αὐτοῖς ἐδόκει παράδοξον τὸ μὴ δεῖσθαι γραμμάτων τὴν ἁπάντων τεχνῖτιν σοφίαν, τουτέστι, τὸν Μονογενῆ τοῦ Θεοῦ Λόγον, ὃς ἦν ἐν αὐτοῖς ἐν ἀνθρώπου διαλανθάνων σχήματι. Ἐπιτηρητέον δὲ πάλιν ἐκεῖνο χρησίμως. ζητοῦντες μὲν γὰρ τὸν Ἰησοῦν ἐν τοῖς ἀνωτέρω λέγουσι "Ποῦ ἐστιν "ἐκεῖνος;" ὡς ἐκ μόνων εἰδότες αὐτὸν τῶν θαυμάτων· τίς δὲ ἀκριβῶς, ἢ τίνος, ἢ πόθεν οὔπω σαφῶς ἐπιστάμενοι· ἐν δὲ τούτοις οὐχ ὅπως ἠγνοηκότες τι τῶν κατ' αὐτὸν, ἀλλ' ὡς πάντα σαφῶς ἐπιστάμενοι, λέγουσιν, ὅτι καὶ οἶδε γράμματα μὴ μεμαθηκώς. οὐκοῦν ἡ ἐπ' αὐτόν τε ζήτησις παρὰ τῶν ἀγελαίων ἀσημοτέρα, καὶ παρὰ τῶν οὐκ εἰδότων αὐτὸν ἀκριβῶς, τό "Ποῦ ἐστιν ἐκεῖνος" ἀνεφωνεῖτο καταφρονη τικῶς· παρὰ δὲ τῶν εἰδότων, τὸ ἕτερον. ἀγριωτέραν οὖν ἄρα τῶν ἐν ἀγνοίαις οἱ μὴ ἀγνοοῦντες ἀποτίσουσι δίκην· τοῖς μὲν γὰρ τὸ μὴ εἰδέναι παραίτησις, τοῖς δὲ τὸ εἰδέναι κατάκριμα. διὰ τοῦτο καὶ κρεῖττον εἶναι λέγεταί τισι τὸ μὴ ἐπιγνῶναι τὴν ὁδὸν τῆς ἀληθείας· ἐν γὰρ τῷ εἰδέναι μείζων ἡ κόλασις, ὅτι "φιλήδονοι μᾶλλον ἢ φιλόθεοι." ὁ μὲν οὖν Ἰησοῦς, κατὰ τὴν τῶν Ἰουδαίων ἐπαπόρησιν, ᾔδει γράμματα 1.602 μὴ μεμαθηκώς· ἐπαιδεύθη δὲ Μωυσῆς, καθὰ γέγραπται, "πάσῃ τῇ τῶν Αἰγυπτίων σοφίᾳ," ἀλλ' ὡς οὐδὲν ὅλως εἰδὼς, καίτοι λίαν ὢν ἐν ἐκείνοις σοφὸς, τοῖς θεόθεν λόγοις εἰς ἀμείνονα γνῶσιν ἐπαιδεύετο, ἐλεγχομένης ὡς ἀδρανοῦς δηλονότι τῆς τοῦ κόσμου σοφίας, διὰ τῆς θειοτέρας καὶ κρείττονος, καθ' ἣν ἤτοι δι' ἧς τὰ ἐπὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστῷ μυσταγω γούμεθα, τὴν ἄνωθεν ὄντως καὶ παρὰ Θεοῦ κομιζόμεθα σύνεσιν. Χριστὸς οὖν ἄρα τὸ ἐν πᾶσι τελείως ἀγαθὸν, ἓν δὲ τῶν πάντων καὶ ἡ σοφία καὶ ἡ σύνεσις, ἐφ' ᾗ τὸ λαμπρὸν οὐ διδακτῶς, ἀλλ' ἔμφυτον ἔχων νοεῖται. καὶ γοῦν ὁ προφήτης που περὶ αὐτοῦ φησιν Ἡσαΐας "Ὅτι πρὶν ἢ "γνῶναι τὸ παιδίον καλὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ "ἐκλέξασθαι τὸ ἀγαθόν." καὶ οὐ δήπου νομιοῦμεν ἀφραί νοντες, ὡς ἐν διακρίσει λογισμῶν, ἤτοι κατὰ τὴν τοῦ βελτίονος αἵρεσιν τὸ μὲν φαῦλον ἀποτρέπεσθαι τὸ δὴ θεῖόν τε καὶ οὐράνιον γέννημα, προσίεσθαι δὲ μᾶλλον τὸ ἀγαθόν· ἀλλ' ὥσπερ ἂν εἴ τις λέγοι περὶ τοῦ πυρὸς, ὅτι ἀπειθεῖ τῷ ψυχρῷ, τὸ εἶναι ψυχρῶν οὐ καταδεχόμενον, οὐχ αἵρεσιν ἐν αὐτῷ τὴν ἐκ θελημάτων σημαίνει, φύσεως δὲ μᾶλλον ἑδραιο τάτην εἰς τὸ ἴδιον στάσιν· οὕτω καὶ ἐπὶ Χριστοῦ. φυσικὰ γὰρ ἐν Θεῷ πάντα τὰ ἀγαθὰ, καὶ οὐκ ἔξωθεν ἐπεισκρίνεται· οὕτω δὲ ἦν ἐν αὐτῷ καὶ ἡ σοφία, μᾶλλον δὲ αὐτὸς ἦν ἡ πηγὴ κυρίως τε καὶ ἰδικῶς σοφία, δι' ἧς τὰ ἐν μεθέξει σοφὰ κατὰ μέρος, οὐράνιά τε καὶ ἐπίγεια λογικὰ κτίσματα. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστινἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με. Ἀληθὲς ὄντως ὑπάρχον τὸ ὑπό του τῶν σοφῶν ἀναγε γραμμένον εὑρήσομεν "Ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν 1.603 "οἰκουμένην, καὶ οὖς ἀκροάσεως ἐπακροᾶται τὰ πάντα." πρὸς δέ γε τοὺς οἰομένους ἀνοήτως κομιδῆ, μᾶλλον δὲ ἤδη καὶ δυσσεβῶς, ὅτι φθεγξάμενοί τι τὸν θεῖον διαλήσονται νοῦν, ὁ θεσπέσιος ψαλμῳδός που φησί "Σύνετε δὴ ἄφρονες ἐν "τῷ λαῷ, καὶ μωροί ποτε φρονήσατε· ὁ φυτεύσας τὸ οὖς, "οὐχὶ ἀκούει;" πῶς γὰρ ὅλως ἂν ἐνδέχοιτο μὴ οὐχὶ πάντως ἀκροάσασθαι τὰ πάντα, τὸν τοῖς δι' αὐτοῦ γενομένοις καὶ τὴν διὰ τῆς ἀκοῆς αἴσθησιν ἐμφυτεύσαντα; βλέπε τοι γαροῦν κἀν τούτῳ πάλιν Θεὸν ὄντα κατὰ φύσιν τὸν Κύριον. τὸ γὰρ ὡς ἐν ὄχλῳ λάθρα διαψιθυρισθὲν παρὰ τῶν Ἰου δαίων οὐκ ἀγνοεῖ· δέχεται δὲ ὥσπερ ἐν ὠσὶ θεοπρεπῶς, κἂν διὰ τὸν φόβον τῶν ἡγουμένων μηδὲν ἐν παῤῥησίᾳ λαλῶσι περὶ αὐτοῦ. ἐπειδὴ δὲ ἅπαξ τεθαυμάκασί τινες τῶν συνδε δραμηκότων ἐν τῷ ἱερῷ καὶ διελογίζοντο κατὰ τὸ εἰκὸς, ἢ καὶ ἀλλήλοις προσελάλουν ἠρέμα "Πῶς οὗτος γράμματα "οἶδε μὴ μεμαθηκώς;" ἀναγκαίως δὴ πάλιν ἴσον ἑαυτὸν ἀναδείκνυσι τῷ Θεῷ καὶ Πατρὶ, τῷ μαθόντι μὲν τὸ παράπαν οὐδὲν, ἔχοντι δὲ τῶν ὅλων τὴν γνῶσιν φυσικῶς τε καὶ ἀδιδάκτως, διὰ τὸ παντὸς ὑπερκεῖσθαι νοῦ καὶ πᾶσαν τὴν ἐν τοῖς οὖσιν ὑπερανίπτασθαι φρόνησιν. ἦν μὲν οὖν καὶ ἐξ ἑτέρων τοῦτο δεικνύειν πραγμάτων, καὶ πληροφορεῖν τοὺς ἀκροωμένους, ὡς ὅσα περ ἔνεστι τῷ γεγεννηκότι, ταῦτα καὶ αὐτῷ προσόντα φαίνεται, διὰ ταυτότητα φυσικήν. ὅπερ ἐποίει καὶ ἐν ἑτέροις ἀπὸ τοῦ δύνασθαι ταὐτὰ, καὶ ἀπαράλ λακτον ἔχειν τὴν ἐφ' ἅπασιν ἐνέργειαν πρὸς τὸ ἴσον εἰκότως ἀναβαίνων ἀξίωμα "Ἃ γὰρ ἂν ὁ Πατὴρ ποιῇ, φησὶ, ταῦτα "καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ," καὶ πάλιν "Ὥσπερ γὰρ ὁ "Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς "οὓς θέλει ζωοποιεῖ." Ἀλλ' ἦν πως ἐν τούτοις ἐπικαιρότατόν τε καὶ πρεπωδέ 1.604 στατον, ἐξ ὧν ἔδει μάλιστα ποιεῖσθαι τὴν ἀπόδειξιν. συνέ σεως γὰρ πέρι καὶ φιλομαθίας τῆς δίχα γραμμάτων ὁ λόγος ἦν τοῖς ἐκεῖνα διενθυμουμένοις. ἑαυτῷ τοιγαροῦν τοῦτο δεικνύειν ἐνυπάρχον ἐχρῆν, καθάπερ ἀμέλει καὶ τῷ Πατρί. τίς οὖν ὁ τῆς ἀποδείξεως τρόπος; ἀπὸ τοῦ τὴν ἴσην ἔχειν ἐκείνῳ σοφίαν, εἰ καὶ ὅτι μάλιστα κατὰ τὸν ἀληθῆ τε καὶ σώφρονα λογισμὸν, αὐτός ἐστιν ἡ σοφία καὶ ἐκ Θεοῦ Πατρὸς, ᾧ καὶ κατὰ πάντα προσεοικὼς ταυτὰ διδάσκειν ἐκείνῳ φησὶ, κατ' οὐδένα τρόπον ἐξηλλαγμένως. ἢ γὰρ διὰ τὸ εἰς ἄκρον ἐξωμοιῶσθαι τῇ τοῦ Πατρὸς διδαχῇ τὴν ἑαυτοῦ, ταύτην εἶναι τὴν ἐκείνου φησὶν, ἢ διὰ τὸ αὐτὸν εἶναι τὴν σοφίαν τοῦ Πατρὸς, δι' ἧς τὰ πάντα λαλεῖ καὶ νομοθετεῖ, αὐτοῦ καὶ τὴν διδαχὴν εἶναι φησίν· ὁμοῦ δέ τι πρὸς τούτῳ καὶ ἕτερον οἰκονομεῖ, πρὸς δὲ τὴν τῶν παιδευομένων σωτηρίαν οὐ μετρίως λυσιτελοῦν. ἐπειδὴ γὰρ ἄνθρωπον ὁρῶντες, διὰ τὴν ἀπὸ γῆς σάρκα οὐκ ἐδέχοντο τὸν λόγον ὡς παρὰ Θεοῦ, πιθανὴν δέ τινα διὰ τοῦτο νοσεῖν ἐδόκουν τὴν ἀπείθειαν, ἀνατίθησι χρησίμως τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεῷ καὶ Πατρὶ τὴν διδασκάλιαν, ὁμοῦ καὶ πρᾶγμα λέγων ἀληθὲς, καὶ φόβῳ τοῦ θεομάχους εἶναι δοκεῖν ἀντιτείνοντας ἔτι τοῖς ἄνωθεν ὁρισμοῖς, κατα δέχεσθαι πείθων τὰ λεγόμενα. Ἰστέον δὲ ὅτι διὰ τοῦ πάλιν ἀπεστάλθαι λέγειν, οὐκ ἐν δευτέροις τῆς τοῦ Πατρὸς ἀξίας ἑαυτὸν ὄντα δεικνύει· οὐ γὰρ δουλοπρεπῆ νοητέον τὴν ἀποστολὴν, εἰ καὶ ὅτι μάλιστα τὴν τοῦ δούλου μορφὴν ἠμφιεσμένος, ἀνεγκλήτως ἂν λέγοι καὶ ταῦτα περὶ ἑαυτοῦ. ἀπεστάλη δὲ οὕτως ὡς λόγος ἐκ νοῦ, ὡς ἀπαύγασμα τὸ ἡλιακὸν ἐξ αὐτοῦ. ταῦτα γάρ πως ἐστὶ τῶν ἐν οἷς εἰσιν ἐκφαντικὰ, διὰ τοῦ προκύπτειν ἐπὶ τὸ ἔξω δοκεῖν, πλὴν τοῖς ἀφ' ὧν εἰσιν ἐνυπάρχοντα φυσικῶς καὶ ἀδιαστάτως. οὐ γὰρ ἐπειδήπερ ἐξεδόθη λόγος ἐκ νοῦ, 1.605 καὶ ἀπαύγασμα τυχὸν ἐξ ἡλίου, διὰ τοῦτο χρὴ πάντως οἴεσθαι τῶν ἐκβεβηκότων ὑπάρχειν ἔρημα τὰ γεννήσαντα, μᾶλλον δὲ κἀκεῖνα ἐν τούτοις, καὶ ταῦτα δὲ ἐν ἐκείνοις ἐνυπάρχοντα πάλιν ὀψόμεθα. ἄλογος γὰρ οὐκ ἔσται ποτὲ νοῦς, ἀλλ' οὐδὲ λόγος οὐκ ἔχων τὸν ἐν αὐτῷ μορφωθέντα νοῦν. ἀναλόγως δὲ τούτῳ καὶ τὸ ἕτερον ἐκληψόμεθα. Ἐάν τις τὸ θέλημα αὐτοῦ ποιῇ, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ἀζητήτως μὲν ἔδει καὶ παντὸς ἐνδοιασμοῦ δίχα τοὺς τῆς ἀληθείας παραδέξασθαι λόγους, καὶ τὸ ἅπαξ εἰρημένον, μὴ ἑτέρως ἔχειν δύνασθαι πιστεύειν, ἢ ὥσπερ ἂν εἶναι διωρί σατο. πλὴν οὐκ ἀναπόδεικτον ἐᾷ διὰ τοὺς ἀπειθοῦντας τὸ λεγόμενον, ἐναργεστάτην δὲ αὐτῷ καὶ σαφῆ λίαν ἐπάγει τὴν λύσιν, τέχνῃ πολλῇ κεράσας τοῦ λόγου τὸ σχῆμα. καὶ τίς ἡ τέχνη, τίς δὲ τῆς οἰκονομίας ὁ λόγος, ἐροῦμεν πάλιν. ἐζήτουν αὐτὸν ἀποκτεῖναι διὰ τὸν πάρετον, τὸν ἐν τῷ σαββάτῳ θεραπευθέντα φημί. ὁμοῦ τοιγαροῦν ἠρέμα καὶ ὑποπλήττει διανοουμένους ἤδη κατ' αὐτοῦ τὸ δεινὸν, καὶ τὴν ἐπ' αὐτῷ μιαιφονίαν ὠδίνοντας διελέγχει σαφῶς, ὡς ἐπιθυμεῖν ἑλομένους πληροῦσθαι τὸ αὐτοῖς μᾶλλον ἤπερ τὸ τῷ νομο θέτῃ δοκοῦν. εἴσεσθε γὰρ τότε δὴ μάλιστα, φησὶ, τὴν παρ' ἐμοῦ διδαχὴν, ὅτι τοῦ Θεοῦ καὶ Πατρός ἐστιν, ἐπὰν βού λοισθε τοῖς ἐκείνου μᾶλλον ἤπερ τοῖς οἰκείοις ἀκολουθῆσαι θελήμασι. θέλημα δὲ τοῦ νομοθέτου καὶ Θεοῦ, τὸ μιαι φονίας ἐξίστασθαι παντελῶς. τότε γὰρ τότε, φησὶν, οὐκ ἀδίκῳ μίσει προκατειλημμένοι, οὐδὲ τρόπῳ θηριοπρεπεῖ πρὸς οὐκ εὐκαίρους ὀργὰς ἐξωθούμενοι, διαγνώσεσθε σαφῶς, πότερον ἐκ Θεοῦ ἐστιν ὁ τῆς ἐμῆς διδαχῆς λόγος, ἢ ἀπ' ἐμαυτοῦ λαλῶ. οὐκοῦν τῷ χρησίμῳ συναναπλέξας τὸν ἔλεγχον, 1.606 καταιτιᾶται δικαίως, ὡς οὐκ εὐλόγως ἐπισκώπτοντας οἷσπερ ἂν φαίη διδάσκων, συνευδοκοῦντος αὐτῷ καὶ συνεθέλοντος τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ καὶ ὅπερ ἐστὶν ἀληθὲς, συνδιδά σκοντός τε καὶ συνεξηγουμένου. τίθησι δὲ τό Ἀπ' ἐμαυτοῦ, ἀντὶ τοῦ ἰδιαζόντως, καὶ ἀποκεκομμένως κατὰ τὸ παντελὲς τοῦ κατὰ τὴν συνεθέλησιν καὶ ταυτοβουλίαν τοῦ Πατρός. καὶ οὐ δήπου τις οἰήσεται, τὰ εἰκότα φρονῶν, τῶν οἰκείων ῥημάτων αὐτὸν ὡς κιβδήλων κατηγορεῖν, ἀλλ' ὡς ἑτέρως οὐκ ἂν ἐσομένων πώποτε, εἰ μὴ κατὰ θέλησιν τοῦ Θεοῦ καὶ Πατρὸς, τὰ τοιαῦτά φησι. λαλεῖ γὰρ ὡς διὰ Λόγου καὶ σοφίας ἰδίας τοῦ ἰδίου γεννήματος· λαλεῖ δὲ πάντως οὐκ ἀπᾳδόντως ἑαυτῷ· πῶς γὰρ ἐνδέχεται; Ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ. Σημεῖον τοῦτο τίθησιν ἐναργὲς τοῦ μὴ παντελῶς ἑαυτῷ τὴν ἐκ τοῦ διδάσκειν πραγματεύεσθαι δόξαν, τὸ μὴ ξένοις τισὶ καὶ ἀλλοτρίοις τοῦ νόμου προσχρῆσθαι λόγοις· τοῦτο γὰρ ἦν τὸ λαλεῖν ἀφ' ἑαυτοῦ· καταπείθεσθαι δὲ μᾶλλον τοῖς ἤδη προτεθεσπισμένοις συμβουλεύειν αὐτοῖς, μόνην τοῦ γράμματος τὴν ἀνωφελῆ καὶ παχεῖαν ἀφιστῶντα σκιὰν, μετασκευάζοντά τε πιθανῶς εἰς πνευματικὴν θεωρίαν τὰ ἐν τύποις ἔτι λανθάνοντα· ὅπερ οὖν καὶ ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ φησίν "Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ "πληρῶσαι." τοῦτο πάλιν ἐνθάδε πλαγίως ὑποδηλοῖ· μόνην ἔχει τοῦ γράμματος μεταμόρφωσιν εἰς ἀλήθειαν ἡ εὐαγγε λικὴ πολιτεία, καὶ Μωυσαϊκόν τι μετασκευάσας τύπον ἐπὶ τὸ πρεπωδέστερον, ἔχει τῆς ἐν πνεύματι λατρείας τὴν εἴ δησιν. λαλεῖ τοιγαροῦν καὶ οὐκ ἀφ' ἑαυτοῦ Χριστός· τουτ έστι, ξένον οὐδὲν τῶν ἤδη προδιηγγελμένων. οὐ γὰρ ἀπο πέμπεται Μωυσέα, οὐδὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἐν νόμῳ παραιτεῖσθαι διδάσκει 1.607 παίδευσιν, ἀλλὰ τοῖς ἐν τύπῳ σκιαγραφουμένοις, καθάπερ τι χρῶμα περιφανέστερον, ἐπαλείφειν τὴν ἀλήθειαν. εὔμετα χειρίστως δὲ σφόδρα τὰς τῶν Ἰουδαίων εὐνοίας ἐξωνού μενος, ἀνατίθησι τῷ Θεῷ τε καὶ Πατρὶ τιμήν τε καὶ δόξαν. ἐπειδὴ γὰρ οὐκ εἰδότες Ἰουδαῖοι τὸν ἐκ Θεοῦ Πατρὸς πεφη νότα Λόγον, παρὰ μόνου τοῦ Πατρὸς ᾤοντο δεδόσθαι τὸν νόμον, εἰκότως αὐτὸν καὶ δοξάζεσθαι μὲν σωζομένου τοῦ νόμου διισχυρίζετο, καὶ τὸ ἐναντίον ὑπομένειν, εἰ μὴ φυλάτ τοιτο κατὰ λόγον. ἀλλ' εἰ καὶ τῆς δόξης τοῦ Πατρὸς κοινωνός ἐστιν ὁ Υἱὸς, καὶ δι' αὐτοῦ πρὸς Μωυσέα λελά ληκεν ὁ Θεὸς καὶ Πατὴρ, ὅμως ταῖς ἐκείνων ὑπονοίαις οἰκονομικῶς συναινεῖ· ἐν δὲ τῷ μηδὲν ἀφ' ἑαυτοῦ λαλεῖν, ὃ μὴ τῷ νόμῳ δοκεῖ, οὐ πάντως τὴν ἰδίαν ἐπείγεσθαι δόξαν οἰκοδομεῖν ὁμολογεῖ, ἀλλὰ τὴν τῷ νόμῳ χρεωστουμένην. Πρὸς δέ γε τούτῳ, κἀκεῖνο θεωρητέον. πλαγίως γὰρ ἔτι καὶ ἐπεσκιασμένως ὑποπλήττει τοὺς Ἰουδαίους, περιπίπτον τας μὲν οἷς ἐγκαλοῦσιν ἀμαθῶς, ἑαυτοῖς δὲ μᾶλλον, ἤπερ τῷ πάντων δεσπότῃ Θεῷ τὴν δόξαν ἁρπάζειν κατειθισμένους, καὶ ὅπως, ἐρῶ. ἀποκλίνοντες γὰρ τῶν τοῦ νόμου διαταγ μάτων, ἐπὶ τὸ δοκοῦν ἕκαστοι κατεφέροντο, "διδάσκοντες," καθὰ γέγραπται, "διδασκαλίας ἐντάλματα ἀνθρώπων." ἐπὶ τούτῳ πάλιν εὐφυῶς παρανομοῦντας ἐλέγχει Χριστὸς, καὶ εἰς αὐτὸν πλημμελοῦντας τὸν νομοθέτην, δι' ὧν οὐ τοῖς ἐκείνου διαζῆν ὁρισμοῖς, προσκεῖσθαι δὲ μᾶλλον ταῖς παρ' αὐτῶν διδασκαλίαις τοὺς ἀκροωμένους ἀνέπειθον. οὐκοῦν, κἂν ἀδιορίστως ἔτι καὶ ἀπολελυμένως λέγῃ Χριστός Ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ, τῆς τῶν Φαρισαίων ἀπονοίας ἐλέγχει τὴν νόσον, ὡς διὰ τοῦ μᾶλλον τὰ οἰκεῖα βούλεσθαι λαλεῖν τὴν τοῦ νομοθέτου κλέπτοντας δόξαν, καὶ περιπλανῶντας εἰς ἑαυτοὺς τὰ τῷ Θεῷ χρεωστούμενα, 1.608 ἀφυλάκτως τε διὰ τοῦτο λοιπὸν καὶ φονεύειν αὐτὸν ἤδη βουλεύεσθαι. διὰ γάρ τοι τοῦτο μάλιστα παρανομοῦντας ἐλέγχει, πρόφασιν τοῦ λόγου ποιησάμενος οἰκονομικῶς, τὸ τηρεῖν ἐπείγεσθαι τὸν νόμον, διά τε τούτου τιμᾶν τὸν Θεὸν καὶ Πατέρα. ὁ δὲ ζητῶν φησιν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. ὡς τοῦ μὴ ζητοῦντος τὸ τοῦ Θεοῦ μᾶλλον, ἀλλὰ τὸ οἰκεῖον, οὔτε ὄντος ἀληθοῦς, ἀλλὰ καὶ λίαν ἀδικωτάτου· οὐκ ἔστι μὲν γὰρ ἀληθὴς, ὡς συκοφαντῶν τὸν νόμον καὶ τὸ οἰκεῖον θέλημα παρεισφέρων αὐτῷ· ἀδικώτατος δὲ, ὡς τὸ τοῦ νομοθέτου δίκαιον κρῖμα παρωσάμενος, καὶ ἐν ἀμείνοσι τῶν δεσποτικῶν τὰ οἰκεῖα τιθείς. δίκαιος οὖν ἄρα καὶ ἀληθὴς ὁ Χριστὸς, οὐδενὶ τῶν εἰρημένων ὑποπίπτων ἐγκλήματι. Οὐ Μωυσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον· τί με ζητεῖτε ἀποκτεῖναι; Διὰ πολλῶν εὑρημάτων ἐφ' ἕνα συντρέχει σκοπὸν τοῦ Σωτῆρος ὁ λόγος. πλαγίως μὲν γὰρ ἐν τοῖς προλαβοῦσιν ὑπελέγξας τοὺς Φαρισαίους, ὡς προσῆκεν, οἰομένους, οὐχὶ τοῖς θεόθεν διατεταγμένοις καταπείθεσθαι δεῖν, ἀλλὰ γνώμας εἰσηγεῖσθαι τὰς ἑαυτῶν, θηρᾶσθαι δὲ μᾶλλον ἐπείγεσθαι τὴν παρὰ τῶν ὑπηκόων τιμὴν, καὶ οὐ τῷ πάντων ἀνατιθέντας Δεσπότῃ, ἀλλ' εἰς τὸ σφῶν αὐτῶν περιέλκοντας πρόσωπον, ὡς ἐντεῦθεν ἤδη καὶ παρανομεῖν ἀποτολμᾶν εὐπετέστερον, ἑτέρῳ πάλιν καὶ δριμυτάτῳ χρησάμενος τρόπῳ, γυμνὸν αὐτοῖς ἤδη καὶ ἀκατακάλυπτον ἐξαρτύει τὸν ἔλεγχον. ἐπὶ γὰρ τῇ τοῦ σαββάτου λύσει κρινόμενος, καὶ παρανομίας ἀδικωτάτην ὑπομένων ἐπ' αὐτῷ τὴν γραφὴν, οὐ καθ' ἕνα λοιπὸν πλημμελοῦντας εἰς τὸν νόμον, ἀλλ' ἤδη σύμπαν τὸ τῶν Ἰουδαίων ἔθνος παρ' οὐδὲν ὅτι πεποίηται τὰ Μωυσέως 1.609 διήλεγξε. λέγετε γάρ μοι, φησὶν, οἱ τὸν ἐλεεῖν ἐν σαββάτῳ προθυμούμενον κατακρίνοντες, οἱ βδελυρωτάτην τὴν ἐπὶ τοῖς εὖ ποιοῦσιν ὁρίζοντες ψῆφον, καὶ τῶν οἰκτιρμόνων ἀνέδην καταδικάζοντες, ἆρ' οὐχὶ διὰ Μωυσέως ὑμῖν, ὃν ἀεὶ θαυμά ζετε, τὸ ἐπὶ τῷ μὴ χρῆναι μιαιφονεῖν δέδοται πρόσταγμα; οὐκ ἠκούσατε λέγοντος "Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτε "νεῖς;" τί τοιγαροῦν καὶ τὸν ἑαυτῶν λυπεῖτε Μωυσέα, προ χείρως οὕτω τὸν ὁρισθέντα δι' αὐτοῦ παραβαίνοντες νόμον; ἔλεγχος δὲ τούτου καὶ ἀπόδειξις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐναργὴς, τὸ τὸν μηδὲν ἡμαρτηκότα διώκειν ἐμὲ, καὶ ἀναιρεῖν ἀδίκως ἐπείγεσθαι τὸν οὐδαμόθεν, ὅτι πρέποι τοῦτο παθεῖν αὐτὸ, κατηγορεῖσθαι δυνάμενον. Οὐκοῦν ἐν ἤθει πολλῷ τοῦ Σωτῆρος ὁ λόγος, καὶ πληκτι κώτατα μὲν ἐν τούτοις ταῖς τῶν Ἰουδαίων ἀπονοίαις ἐπιπηδᾷ, κατολισθαίνοντας δὲ ὥσπερ ἀχαλίνοις ὁρμαῖς ἐπὶ τὸ κατα δικάζειν αὐτοῦ διὰ τὴν τοῦ σαββάτου παράβασιν, παρα νομοῦντας ἐπιδεικνύει καὶ μιαιφονεῖν ἑλομένους, διά τε τοῦτο καὶ μόνον, εἰς ἁμαρτίαν τὴν ἁπασῶν καταπίπτειν χείρονα. μόνον δὲ οὐχὶ καὶ βοᾷ Πικρᾷ καὶ ἀνουθετήτῳ περιπεσόντα νόσῳ, καὶ ἀφορήτῳ λοιπὸν ἀῤῥωστίᾳ δαπανώμενον τεθερά πευκα τὸν παράλυτον, ἐν ἡμέρᾳ σαββάτου· ἀλλ' εὖ ποιήσας, ὡς ἐφ' ἅπασι τοῖς αἰσχίστοις ἁλοὺς κατακρίνομαι, καὶ φόνον διὰ τοῦτο τῆς ἐμῆς καθορίζετε κεφαλῆς. ποῖος οὖν ἄρα, φησὶ, τιμωρίας ὑμῖν εὑρεθήσεται τρόπος τῶν τολμημάτων ἐπάξιος; ἰδοὺ γὰρ παραβαίνετε μὲν καὶ αὐτοὶ τὸν νόμον· ὁ δὲ τῆς παραβάσεως λόγος, οὐ τοῖς ἐμοῖς ἐγκλήμασι παραπλή σιος· οὐ γὰρ εὖ ποιοῦντες, ὥσπερ κἀγὼ, τοῦτο δρᾶν ἀναπεί θεσθε, ἀλλ' εἰς φόνον ὁρῶντες, τὸν ἁπάσης πλημμελείας χείρονα. ποῦ τοιγαροῦν ἐν τούτοις ὑμῖν ὁ Μωυσῆς, δι' ὃν ἐγὼ, καίτοι διασώζων, κρίνομαι; οὐκ αὐτὸς ὑμῖν τὸν ἐπὶ τούτῳ νόμον ὡρίσατο; μὴ ἄρα δὴ πάλιν, ὡς ἐμὸν πατή 1.610 σαντες λόγον, παρ' οὐδὲν ποιεῖσθε τὴν παράβασιν φονῶντες ἀδίκως; τοιαῦτα μὲν οὖν πρὸς τοὺς ἀνοσίους Φαρισαίους εἰκότως ἂν λέγοι Χριστός· ἀφίστησι δὲ πρὸς τὸ παρὸν τοῦ οἰκείου προσώπου τὸν νόμον, καίτοι νομοθέτης ὑπάρχων αὐτὸς, μόνῳ δὲ ὥσπερ αὐτὸν ἀνατίθησι τῷ Πατρὶ, δι' ἐκείνου δὴ μάλιστα δυσωπῶν ἀναισχυντοῦντας τοὺς Ἰουδαίους, ὃς εἶναι καὶ μείζων αὐτοῦ παρ' ἐκείνοις ὑπείληπτο. καὶ γὰρ, ὡς πολλάκις εἰρήκαμεν, οὔπω κατὰ φύσιν ὄντα Θεὸν ἐπεγίνω σκον, ἀλλ' οὐδὲ τῆς μετὰ σαρκὸς οἰκονομίας ᾔδεσάν πω τὸ βαθὺ μυστήριον, τὴν Μωυσέως δὲ μᾶλλον ἐθαύμαζον δόξαν. Ἀπεκρίθη ὁ ὄχλος Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι; ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς. Αἰσθάνονται τῶν ἐγκλημάτων, καὶ πικροῖς ἤδη τοῖς ἐντεῦθεν βαλλόμενοι λόγοις, χωροῦσι πρὸς ἄρνησιν, οὐκ αὐτοκυρίως τὸ μιαιφονεῖν παραιτούμενοι, μόνον δὲ τὸ δοκεῖν παραλύειν τὸν νόμον περισπουδάστως ἀποκρουόμενοι· ἐν μόνῃ γὰρ τῇ οἰήσει τῶν Φαρισαίων τὸ καύχημα. διὸ δὴ καὶ τάφους αὐτοὺς κεκονιαμένους ἀπεκάλει Χριστὸς, ἔξωθεν μὲν περικειμένους τῆς ἐκ τεχνῶν ἐπινοίας τὴν ὡραιότητα, γέ μοντας δὲ κατὰ τὸ ἔσω τῆς νεκρῶν ἀκαθαρσίας. οἶμαι δὲ ὅτι καὶ τὸν ἐπὶ τῷ προσδοκῆσαί τι παθεῖν ἀφιστῶντες φόβον τὰ τοιαῦτά φασιν, οὐ τὸ θαρσεῖν ἀληθῶς ὡς οὐ πείσεται διδόντες αὐτῷ, ἀλλ' εἰς ἐπικίνδυνον ἐξέλκοντες παῤῥησίαν, καὶ τὸ μὴ ἐπείγεσθαι διαλανθάνειν αὐτοὺς ἀναπείθειν οἰό μενοι. τότε γὰρ ἦν δύνασθαι χαλεπὸν οὐδὲν ἐπιβουλεύειν αὐτῷ, κατά γε τὴν οὖσαν ἐν ἐκείνοις ὑπόνοιαν· ᾤοντο γὰρ ἀμαθῶς οὐκ εἰδότες τὸν διωκόμενον, ὅτι ταῖς παρ' αὐτῶν δυστροπίαις ὑποκείσεται, κἂν μὴ βούληται παθεῖν, ἁλώσεται 1.611 δὲ καθ' ἕνα τῶν οὐκ εἰδότων τὸν ἐν ταῖς διανοίαις αὐτῶν διαλανθάνοντα λογισμόν. καρπὸς τοιγαροῦν δυστροπίας ἡ ἄρνησις, καὶ δυσσεβείας τῆς εἰς Χριστὸν ἕτερος τρόπος· δι' ὧν γὰρ ἐπιχειροῦσιν, ὡς οὐκ ὂν ἀληθὲς ἀποκρούεσθαι τὸ παρ' αὐτοῦ λελεγμένον, ὡς ψευσάμενον κατακρίνουσι, προστιθέντες "ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν," καθὰ γέγραπται. Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε; Ἀναγνωσόμεθα μὲν τὸ προκείμενον, ὡς ἐν ἐρωτήσει, καθ' ὑποστιγμὴν καὶ τελείαν. πλὴν τὴν ἐν τῷ λόγῳ τέχνην οὐκ ἀγνοήσομεν, σοφωτάτην ἐν ἑαυτῷ τὴν οἰκονομίαν ὠδίνοντι. ἐπιτήρει γὰρ ὅπως τὴν ἐπὶ τῷ παρειμένῳ γεγενημένην φιλανθρωπίαν τοῖς Ἰουδαίοις ἐξηγούμενος, οὐκ ἀφυλάκτως φησί Τεθεράπευκα τὸν ἄνθρωπον ἐν σαββάτῳ, καὶ διὰ τοῦτο θαυμάζετε; ὑφειμένως δὲ μᾶλλον καὶ πολὺ λίαν εὐπερι στόλως Ἓν ἔργον ἐποίησα λέγει, τὴν ἐκ τοῦ πλήθους ἄκαιρον τιθασεύων ὀργήν· καὶ γὰρ ἦν οὐκ ἀπεικὸς διὰ τὴν ἐπὶ τῷ σαββάτῳ δηχθέντας παράβασιν, καταλιθοῦν ἤδη πειρᾶσθαι τὸν Ἰησοῦν. ἀκριτόβουλον γάρ πως, κατὰ τοὺς παρ' Ἕλλησι ποιητὰς, καὶ πρόχειρον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς ὀργὴν ἀεὶ τὸ πλῆθός ἐστι, καὶ λειοτάτῃ συμπνοίᾳ τῇ πρὸς ὅπερ ἂν βούλοιτο κεχρη μένον, καὶ εἰς ἀκάθεκτον θράσος εὐκόλως ἀποταυρούμενον, γοργότερον δέ πως ἤπερ ἐχρῆν εἰς τὰς ἐπὶ τοῖς δεινοῖς ἁλίσκεται τόλμας. ἀποστήσας τοιγαροῦν τὸν ἐπὶ τῷ πράγ ματι κόμπον διὰ τὸ χρήσιμον, πραοτάτοις μὲν προσχρῆται λόγοις, ἐπιεικῶς δὲ σφόδρα φησίν Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε; ἐφ' ἑνὶ, φησὶ, τούτῳ, καίτοι γεγονότι διὰ τὴν τοῦ κειμένου σωτηρίαν καὶ ζωὴν, ὡς ἐπ' ἐκτόποις ὄντως 1.612 τολμήμασι κατακρίνετε τὸν μεγαλουργὸν, καὶ εἰς μόνην ὁρῶντες τὴν τοῦ σαββάτου τιμὴν, οὐ τῷ παραδόξῳ τὸ θαῦμα χαρίζεσθε· τοῦτο γὰρ ἦν ὄντως τὸ πρεπωδέστερον· ἀλλ' ὅτι λέλυταί πως κατὰ τὴν ἐνοῦσαν ὑμῖν ὑπόνοιαν ἀμαθῆ παράγγελμα νομικὸν, οὐκ ἐπὶ μικροῖς τισιν, ἢ καὶ οὐδενὸς ἀξίοις, ἀλλ' ἐπ' ἀνθρώπου σωτηρίᾳ καὶ ζωῇ, παρα λόγως ἠγάσθητε, δέον ἐπαίνους μᾶλλον ἀπονέμειν αὐτῷ τῷ τὴν οὕτω μεγάλην καὶ θεοπρεπῆ κατημφιεσμένῳ δύναμιν. ἀπαίδευτος τοιγαροῦν καὶ διὰ τούτων ὁ τῶν Ἰουδαίων ἐλέγχεται δῆμος, ἐφ' οἷς οὐ προσῆκε τὴν ἐπὶ τῷ τεθερα πευμένῳ δαπανήσας κατάπληξιν, καὶ οὐχὶ μᾶλλον αὐτὴν ἀναθεὶς τῷ παραδόξως διασώζοντι Χριστῷ. ἰστέον δὲ ὅτι τοῖς ἐξ Ἰσραὴλ προσδιαλεγόμενος καὶ λέγων Ἓν ἔργον ἐποίησα καὶ πάντες θαυμάζετε, πλαγίως ὑπελέγχει πάλιν, καὶ τοιοῦτόν τι παραδηλοῖ. ἐφ' ἑνὶ γὰρ τούτῳ, φησὶ, τῷ καθ' ὑμᾶς πλημμελήματι τὴν ἐμὴν ἀποθαυμάζετε γνώμην, ὡς τῷ νομοθέτῃ προσκρούειν ἀποτολμήσαντος· εἶτα πῶς οἴεσθε διακεῖσθαι Θεὸν, οὐ καθάπαξ αὐτοὶ λυποῦντες τὸν νόμον, ἀλλ' ὡς οὐδὲν παραβαίνοντες, τὰ ἐφ' οἷς ἑτέρους κρίνετε; Διὰ τοῦτο Μωυσῆς δέδωκεν ὑμῖν τὴν περιτομὴν, οὐχ ὅτι ἐκ τοῦ Μωυσέως ἐστὶν, ἀλλ' ἐκ τῶν πατέρων, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. Βαθὺς μὲν ὁ λόγος καὶ δυσέφικτόν πως ἐστὶ τὸ ἐπὶ τῷ προκειμένῳ θεώρημα, πλὴν ἔσται καταφανὲς διὰ τὴν τοῦ φωτίζοντος χάριν. διὰ πολλῶν τοιγαροῦν κατασοφιζόμενος λόγων τὴν τῶν Ἰουδαίων ἀπαιδευσίαν, καὶ διδάσκων πολυ τρόπως, ἐπὶ τῇ τοῦ σαββάτου λύσει πρὸς ἀκαίρους ὀργὰς 1.613 ὅτι μὴ προσῆκεν ἀποδημεῖν, διὰ τὸ κύριον εἶναι τοῦ σαβ βάτου τὸν υἱὸν τοῦ ἀνθρώπου· λοιπὸν ὀνήσας οὐδὲν διὰ τὴν τῶν ἀκροωμένων κακοβουλίαν, ἐφ' ἕτερον οἰκονομίας δια βαίνει τρόπον, καὶ πειρᾶται δεικνύειν ἤδη σαφῶς αὐτὸν τὸν ἱεροφάντην Μωυσέα τὸν τοῦ νόμου διάκονον, τὸν ἐπὶ τῷ σαββάτῳ παραλύοντα νόμον διὰ τὴν περιτομὴν, τὴν ἐκ τῆς τῶν πατέρων συνηθείας μέχρι καὶ τῶν αὐτοῦ διήκουσαν χρόνων, ἵνα λοιπὸν εὐλόγως φαίνηται καὶ αὐτὸς πατρῷον ὥσπερ ἀποσώζων ἔθος, καὶ ἐπείπερ ἐν σαββάτῳ Θεὸς ἐργά ζεται, διὰ τοῦτο καὶ ἑαυτὸν ἐνεργὸν ἐπιδεικνὺς, οὐδὲν ἡγού μενον τοῦ σαββάτου τὴν παράβασιν, διὰ τὸ συμφρονεῖν ἀεὶ τῷ γεννήσαντι. διὰ γὰρ τοῦτο καὶ ἔφασκεν "Ὁ Πατήρ μου "ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι." ἵνα τοίνυν μὴ ἐμὲ, φησὶν, ἐνεργοῦντά τι κατὰ τὸ σάββατον βλέποντες, ὡς ἐπὶ ξένῳ καὶ παραλογωτάτῳ θαυμάζητε πράγματι, δέδωκεν ὑμῖν ὁ Μωυσῆς τὴν περιτομὴν ἐν σαββάτῳ, καὶ φθάσας ἐκεῖνος τὸν ἐπ' αὐτῷ παρέλυσε νόμον. καὶ διὰ ποίαν αἰτίαν; οὐκ ἐνόμιζε πράττειν ὀρθῶς, τὸν τοῖς πατράσι διορισθέντα νόμον καὶ τὸ ἐξ ἐκείνων ἔθος ἀτιμάζων διὰ τὸ σάββατον. διὰ γὰρ τοῦτο καὶ ἐν σαββάτῳ περιτέμνεται ἄνθρωπος. εἰ δὲ ὅτι προσήκοι τιμᾶν τὸ πατρῷον ἔθος ὁ Μωυσῆς ἐλογίζετο, καὶ κρεῖττον αὐτὸ τῆς εἰς τὸ σάββατον ἐτίθει τιμῆς, τί τεθορύ βησθε μάτην ἐπ' ἐμοὶ, καὶ ὥσπερ τινὰ τῶν παρανομεῖν ἀφυλάκτως εἰωθότων, ἐπὶ τῇ τοῦ νόμου καταφρονήσει θαυμάζετε; καίτοι τῷ γεγεννηκότι, φησὶ, τὰ ἴσα μὲν δρῶ, συμφρονῶ δὲ ἀεὶ πρὸς πᾶν τὸ δοκοῦν, καὶ ἐπείπερ ἐνεργής ἐστιν ἐν σαββάτῳ, τὸ ἀργεῖν ἐν αὐτῷ παραιτοῦμαι καλῶς. δεδωκέναι γεμὴν τὴν περιτομὴν τὸν Μωυσέα δια σχυρίζεται, καίτοι μὴ οὖσαν ἐξ αὐτοῦ κατὰ τὸ ἀρτίως εἰρημένον, ἀλλ' ἐκ τῶν πατέρων· διὰ τὸ δεδόσθαι μὲν τοῖς 1.614 πατράσι τὴν ἐπὶ τῷ περιτέμνεσθαι δεῖν ἐντολήν· λεπτό τερον δέ πως καὶ ἀκριβέστερον τὰ ἐπ' αὐτῇ διωρίσθαι διὰ Μωυσέως. περιετμήθη μὲν γὰρ ὁ προπάτωρ Ἀβραὰμ, ἀλλ' οὐκ ὀκταήμερος, οὐδὲ ζεῦγος ἐπ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῷ τρυγόνων ἢ περιστερῶν ξυνωρὶς εἰς θυσίαν ἀνέβη, κατὰ τὴν Μωυσέως διάταξιν.

1.615 ΚΕΦΑΛΗ ς . Λόγος περὶ τῆς ἀργίας τῆς κατὰ τὸ σάββατον, τίνος ἐστὶ σημαντικὴ πολυτρόπως ἐπιδεικνύς. Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ ἵνα μὴ λυθῇ ὁ νόμος Μωυσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; ΑΔΙΑΚΡΙΤΟΝ πως ἐστὶ τοῖς πολλοῖς τὸ ἀνάγνωσμα, καὶ οὐ σφόδρα σαφὲς εἰς διαίρεσιν, διὰ τοῦτο πρότερον ἐροῦμεν τὰ ἐπ' αὐτῷ. ἀναγνωσόμεθα τοιγαροῦν κατὰ βραχὺ, παραμείβοντες τὴν ἐν τῇ λέξει συνθήκην· οὕτω γὰρ νοήσεις ἀκριβῶς τὸ δηλούμενον. Εἰ περιτομὴν τοιγαροῦν φησι λαμ βάνει ἄνθρωπος ἐν σαββάτῳ, ἐμοὶ χολᾶτε, ἵνα μὴ λυθῇ ὁ νόμος Μωυσέως, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; οὐ γὰρ δέχεται τὴν περιτομὴν ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωυσέως· λυέται γὰρ οὐκ ἀργοῦντος διὰ τὴν περιτομὴν τοῦ σαββάτου· ὡς γὰρ φθάσαντες ἤδη προεδιδάξαμεν, μᾶλλον δὲ ὡς αὐτὸς εἴρηκεν ὁ Σωτὴρ, οὐκ ἐκ τοῦ Μωυσέως, ἀλλ' ἐκ τῶν πατέρων ἐστὶν ἡ περιτομή. ὥστε διὰ τὴν ἐκ τῶν πατέρων περιτομὴν λύεταί πως ὁ νόμος ὁ Μωυσέως, ὁ ἐπὶ τῷ σαββάτῳ φημί. διά τοι τοῦτο Ἵνα μὴ λυθῇ ὁ νόμος Μωυσέως, τοῖς τοῦ Σωτῆρος ῥήμασι συναπτέον· χολᾶτε γάρ μοι φησὶν ἵνα μὴ λυθῇ ὁ νόμος Μωυσέως ὅτι ὅλον ἄνθρωπον ὑγιῆ 1.616 ἐποίησα ἐν σαββάτῳ. τὰ μὲν οὖν τῆς διαιρέσεως, ἐν τούτοις ἤδη περιώρισται· ἰτέον δὲ καὶ πρὸς τὴν τῶν δηλουμένων ἐξήγησιν, εἰ καὶ σφόδρα δυσχερῆ πρὸς κατάληψιν. φρον τίδος τοιγαροῦν τῆς ἐπ' ἀνθρώπῳ, φησὶ, τρόπος ἐστὶν ἡ περιτομὴ, καὶ αὐτὴν νικῶσα τὴν ἐπὶ τῷ σαββάτῳ διάταξιν. ἦν γὰρ ἀνάγκη τῷ παθόντι καὶ θεραπεύεσθαι. τί τοιγαροῦν τὸ ἀπεῖργόν ἐστιν, ἢ πῶς ἂν εὐλόγως διακωλύσειε τὸ πᾶν ὑγιάζεσθαι σῶμα τὸ ἐπὶ τῷ σαββάτῳ νομοθετούμενον, ἀνέγκλητον ἤδη τὴν λύσιν τῇ κατὰ μέρος καὶ βραχὺ θεραπείᾳ συγκεχωρηκός; περιτέμνεται γάρ τις, καὶ θερα πεύεται παθὼν, οὐ κατηγορούμενος ἐν σαββάτῳ. μάτην οὖν ἄρα, φησὶν, ἐπασχάλλετε τῷ τῶν ἀμεινόνων ἐργάτῃ τὴν τοῦ νόμου παράβασιν ἐπιφέροντες, ὅτε μὴ λυπεῖται νόμος καὶ ἐπὶ σμικρᾷ τῇ περιτομῇ παρὰ τοῦ Μωυσέως ἐξωθούμενος. ἀναπλέκεται δὲ διὰ τούτων συλλογισμὸς, ἀναπείθων εἰς συναίνεσιν, ὅτι μὴ προσήκοι λυπεῖσθαι μάτην αὐτοὺς, εἰ τύπος ἤδη τοῦ πράγματος γέγονεν ὁ Μωυσῆς, ᾧ συναγο ρεύειν παραλόγως ὅτι πρέποι νομίζοντες, καὶ εἰς τὸ χρῆναι μιαιφονεῖν κατεσύροντο παρ' οὐδὲν τὸν δι' ἐκείνου ποιούμενοι νόμον. Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. Ὁ νόμος, φησὶν, ᾧ συναγορεύειν ἐπείγεσθε, δι' ὃν οὕτω καὶ εἰς ἀγρίαν ὀργὴν ἀνεκαύθητε, διαῤῥήδην βοᾷ ὅτι "Οὐ "λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν." οἱ τοίνυν ἐμὲ κατακρίνοντες, ὡς παρανομοῦντα διὰ τὸ σάβ βατον, καὶ ἐπὶ τούτῳ χαλεπαίνειν ὅτι καὶ μάλα προσήκοι διεγνωκότες, μελετήσατε τὴν εἰς τὸν νόμον τιμήν· δυσωπή 1.617 θητε τὸ διηγγελμένον Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. εἰ μὲν γὰρ ἔξω τοῦ παρανομεῖν τεθείκατε τὸν Μωυσέα, καὶ τῆς ἐπὶ τούτῳ καταγνώσεως ἀμοιρεῖν εὖ μάλα ποιοῦντες λογίζεσθε, καίτοι παραλύοντα τὸν ἐπὶ τῷ σαββάτῳ θεσμὸν διὰ τὴν ἐκ πατέρων περιτομὴν, ἀπολύσατε τῶν ἐγκλημάτων καὶ τὸν Υἱὸν τῇ τοῦ Πατρὸς ἀεὶ συμφερόμενον γνώμῃ, καὶ τοῖς ἐκείνου συναινοῦντα θελήμασι, καὶ ἅπερ ἂν ἐργάζηται, ταῦτα καὶ αὐτὸν ὁμοίως ποιεῖν εἰθισμένον. εἰ δὲ μόνου καταδικάζετε τοῦ Υἱοῦ, Μωυσέα μὴ κρίνοντες, καίτοι τοῖς ἴσοις, φησὶν, ἐνεχόμενον, οἷσπερ ἂν οἴεσθε κἀμὲ διὰ τὸ σάββατον, πῶς οὐχὶ δὴ τὸν θεῖον πατοῦντες ἁλώσεσθε νόμον, καὶ τοῖς ἄνωθεν ἐνυβρίζοντες ὅροις καταληφθήσεσθε, αἰδοῖ τῇ περί τινας τὸν ἐπὶ τῷ τὰ δίκαια κρίνειν παραφθεί ροντες λόγον, καὶ τῶν θείων ἐνταλμάτων ποιούμενοι κρείτ τονα, τὸν ᾧ τὴν ἐκ προσωποληψίας αἰδῶ παρανομοῦντες χαρίζεσθε; Ἐπιτηρείτω δὲ πάλιν ὁ συνετὸς ἀκροατὴς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὴν ἀξιάγαστον τέχνην. νόμου γὰρ ἑνὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγκαλούμενος λύσιν, διὰ πολλῶν ἄγαν παρανομοῦντας ἐλέγχει, μονονουχὶ τὸ εὐαγγελικὸν ἐκεῖνο λαλῶν "Τί δὲ "βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, "τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;" κακὸν οὖν ἄρα τὸ κρίνειν ἑτέρους· "Ἐν ᾧ γάρ τις κρίνει τὸν "ἕτερον, ἑαυτὸν κατακρίνει," κατὰ τὸ γεγραμμένον. διάτοι τοῦτο καὶ παρ' αὐτοῦ τοῦ Σωτῆρος ἐλέγετο "Μὴ κρίνετε, "καὶ οὐ μὴ κριθῆτε, μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικα "σθῆτε." καὶ ταῦτά φαμεν ἐν τοῖς καθ' ἡμᾶς· παρανομήσει γὰρ οὐδαμῶς ὁ Χριστὸς, τοὺς ἑαυτοῦ μετατιθεὶς ἐφ' ὅπερ ἂν βούληται νόμους, καὶ τῆς ἀληθείας τὴν εὔχροιαν ταῖς νομι καῖς ἐπιτάττων σκιαῖς· ἵνα δὴ λοιπὸν καὶ εἰς πνευματικὴν 1.618 μεταβάλλοιτο θεωρίαν τὰ παχύτερόν πως τοῖς ἀρχαιοτέροις διατεταγμένα. Ἐπειδὴ δὲ ἅπαξ ὁ λόγος ἡμῖν εἰς τὴν ἐπὶ τῷ σαββάτῳ καὶ τῇ περιτομῇ κατεῤῥύηκε μνήμην, οἶμαι δὴ πάλιν οὐ μεῖον εἰσοίσειν ἤπερ ἔδει τὸ κέρδος τῷ γε ὅλως φιλομαθεῖ, τὸ συνιδεῖν ἀκριβῶς, τοῦ μὲν ἂν εἴη σημαντικὸς ὁ ἐν ἑβδόμῃ σαββατισμὸς, τί δ' αὖ τὸ ὑποδηλούμενον διὰ τῆς ἐν ὀγδόῃ περιτομῆς, ἔτι τε πρὸς τούτῳ τὸ μαθεῖν καὶ διὰ ποίαν αἰτίαν ἡ περιτομὴ καὶ ἐν αὐτῷ λαμβάνεται τῷ σαββάτῳ, τῆς κατὰ νόμον ἀργίας οὐκ ἀνεχομένη· τὸν δὲ ἐφ' ἑκάστῳ λόγον, ὡς ἂν οἷός τε ὦ, διευκρινησάμενος, σαφῆ ποιῆσαι πειράσομαι. προκείσεται δὲ πρῶτος ἡμῖν ὁ περὶ τῆς ἑβδόμης, ἤτοι τοῦ σαββάτου, καὶ τῆς ἀργίας τῆς ἐν αὐτῷ. οὕτω γὰρ ἂν γένοιτο καὶ τῶν ἐφεξῆς πρεπωδεστάτη λίαν ἡ βάσανος. οὐκοῦν ἤδη τὸν πρῶτον ἐπ' αὐτῷ διορισθέντα νόμον, ὅπως τε καὶ τίνα τρόπον ἔφυ, ζητήσωμεν. Ἐπειδὴ γὰρ τῆς ἐν Αἰγύπτῳ δουλείας τὸν Ἰσραὴλ ἐξελὼν πρὸς τὴν ἄνωθέν τε καὶ ἀρχαίαν ἐλευθερίαν ἐκάλει Θεὸς διὰ τοῦ πανσόφου Μωυσέως, καὶ διὰ μέσης θαλάσσης ξηρῷ τρόπον τινὰ καὶ ἀβρόχῳ ποδὶ παραδόξως διενεγκὼν ἐπὶ τὴν τῆς ἐπαγγελίας ἐπείγεσθαι γῆν διεκελεύετο· λοιπὸν ἀναγ καίως προαφαγνίζεσθαι τρόπον τινὰ καὶ προκαθαίρεσθαι προσεθίζων αὐτοὺς, συνεκάλει μὲν εἰς ἐκκλησίαν ἐν τῷ ὄρει Σινᾷ· ἐν πυρὸς δὲ εἴδει καταφοιτήσας ἐπ' αὐτὸ, τὰ πρὸς σωτηρίαν ἐνομοθέτει λέγων "Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, "ὅστις ἐξήγαγέ σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· οὐκ "ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιήσεις σεαυτῷ "εἴδωλον, οὐδὲ πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ "ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς "γῆς. οὐ προσκυνήσεις αὐτοῖς καὶ οὐ μὴ λατρεύσεις αὐτοῖς· "ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτής." ἔδει γὰρ 1.619 ἔδει τῆς τῶν συμφερόντων νομοθεσίας ἐντεῦθεν ἀπάρχεσθαι, καὶ τοῖς εἰς θεογνωσίαν μαθήμασι προμυσταγωγεῖν τοὺς ἅπαξ παραστήσαντας ἑαυτοὺς εἰς δουλείαν καὶ ὑπακοὴν τῷ Θεῷ. ῥίζα γὰρ ἁπάσης ἀρετῆς ἡ θεογνωσία, καὶ κρηπὶς εὐσεβείας ἡ πίστις. ἐπιδείξας τοιγαροῦν ἑαυτὸν, καὶ οἱονεὶ φανερὸν καταστήσας ἤδη, διὰ τοῦ εἰπεῖν Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, καὶ προγεωργήσας ἐν αὐτοῖς τὴν διὰ γνώσεως πίστιν, ἀποφήσας τε παντελῶς τὴν εἰδώλου κατασκευὴν, καὶ προσκύνησιν τῶν ψευδωνύμων θεῶν, ὅτι τὸ παραβαίνειν αὐτοῖς οὐκ ἀζήμιον, καὶ τὴν ἐκ τοῦ μεθίστασθαι κόλασιν εἰς ὄψιν ἄγει βοῶν "Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου "ἐπὶ ματαίῳ," τουτέστιν, οὐ περιθήσεις εἰδώλῳ ματαίῳ τὸ θεῖόν τε καὶ φρικωδέστατον ὄνομα, "οὐ γὰρ μὴ, φησὶ, καθα "ρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ." ἔνοχον τοίνυν ἔσεσθαι διειπὼν οὐ μετρίῳ πταίσματι τὸν, ᾧπερ ἂν γένοιτο φίλον προσκυνεῖν ἑτέρῳ, καὶ ψευδώνυμον ἐπιγράφεσθαι θεὸν, καὶ ἀπειλήσας συμμέτρως, ἅτε δὴ καὶ ἐν ἀρχῇ πρὸς τὸ πιστεύειν ἠγμένοις, καὶ τρυφερωτέραν ἔχουσι τὴν διάνοιαν, τίθησιν ἐφεξῆς, καὶ δεύτερον ὥσπερ διετύπου νόμον "Μνήσθητι, λέγων, τὴν ἡμέραν τῶν σαββάτων ἁγιά "ζειν αὐτήν· ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα "σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα Κυρίῳ τῷ Θεῷ "σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον·" εἶτα καὶ τίνα τοῦτο δρῶντες ἀπομιμήσονται χρησίμως ἐπιδεικνύς "Ἐν γὰρ ἓξ "ἡμέραις ἐποίησε, φησὶ, Κύριος τόν τε οὐρανὸν καὶ τὴν γῆν "καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε "τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο ηὐλόγησε Κύριος τὴν "ἡμέραν τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑβδόμην καὶ ἡγίασεν αὐτήν." Τί οὖν ἄρα πάλιν, ἐρεῖ τις, ὁ ἐπὶ τῷ σαββάτῳ παρεδίδου θεσμός; δεύτερος δὲ καὶ γείτων εὐθὺς μετὰ τὴν ἐπὶ ταῖς 1.620 παραβάσεσιν ἀπειλὴν εἰσενήνεκται διὰ ποίαν αἰτίαν; πρὸς δὴ καὶ τοῦτό φαμεν, ὡς ἔδει μὴ μόνον, ὅτι πείσονται τὰ δεινὰ τοῖς παραβαίνουσιν ἀπειλεῖν, μηδὲ μόνῳ τῷ δείματι πρὸς εὐλάβειαν ἀσφαλίζεσθαι τὸν Ἰσραήλ· δουλοπρεπέ στερον γὰρ τὸ ἐν φόβῳ θεοσεβεῖν· ἀλλ' ἐπιδεῖξαι καὶ τίνων ἔσονται μέτοχοι, ἢ καὶ εἰς ποῖον καταλήξουσι τέλος οἱ τῆς εἰς αὐτὸν ἀγάπης ἀπρὶξ ἠρτημένοι. διορίζει τοιγαροῦν καὶ δίδωσιν ὡς ἐν τύπῳ τῶν ἐσομένων αὐτοῖς ἀγαθῶν τὴν ὑπό σχεσιν. σκιὰν γὰρ ἔχει ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, καθὰ γέγραπται, καὶ προγύμνασμά τι τῆς ἀληθείας τὸ ἐν αὐτῷ σχῆμα φαίνεται. ἀργεῖν δὲ κελεύει τὴν τελευταίαν τῆς ἑβδομάδος ἡμέραν, τουτέστι τὸ σάββατον, καὶ ἀποπαύεσθαι μὲν ἔργου παντὸς, ἀνίεσθαι δὲ καὶ ἀνάπαυσιν ἐπιτηδεύειν ἐν αὐτῷ, τὴν ἐπὶ τέλει τῶν αἰώνων ἐσομένην τοῖς ἁγίοις ἀνά παυσίν τε καὶ τρυφὴν διὰ τούτου δηλῶν, ὅτε τῆς ἐν κόσμῳ καταλήξαντες ζωῆς, καὶ τοὺς ἐπὶ ταῖς ἀγαθουργίαις ἱδρῶτας ἀπονιψάμενοι, τὴν ἄπονόν τε καὶ καμάτου δίχα παντὸς δια ζήσονται βίον οἱ ἐν Χριστῷ, κατὰ τὸ εἰρημένον περὶ αὐτῶν διὰ τῆς τοῦ προφήτου φωνῆς "Ἐπιλήσονται γὰρ τὴν θλίψιν "αὐτῶν τὴν πρώτην, καὶ οὐ μὴ ἀναβῇ αὐτῶν ἐπὶ τὴν καρ "δίαν, ἀλλ' εὐφροσύνη αἰώνιος ἐπὶ τὴν κεφαλὴν αὐτῶν· ἐπὶ "γὰρ κεφαλῆς αὐτῶν αἴνεσις, καὶ εὐφροσύνη καταλήψεται "αὐτοὺς, ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός." καταλύ σαντα τοίνυν, καὶ μονονουχὶ τῶν ἐπὶ τῇ δημιουργίᾳ πόνων καταλήξαντα τὸν Δημιουργὸν ἀπομιμούμενοι καὶ αὐτοὶ, τῶν ἐν τῷδε τῷ βίῳ καμάτων ἀποπαύσονται, πρὸς τρυφὴν ἀνα βαίνοντες τὴν ἐπὶ τέλει τῶν αἰώνων δοθησομένην παρὰ Χριστοῦ. καὶ εἰς τοῦτον οἶμαι συντετάσθαι τὸν σκοπὸν τὴν ἐπὶ τῷ σαββάτῳ διατεταγμένην ἀργίαν. 1.621 Ἐπιτήρει δὲ ὅπως ἀποφατικῶς μέν φησιν ὁ νομοθέτης, τό Οὐ προσκυνήσεις θεοῖς ἑτέροις· τὸν δὲ ἐπὶ τῷ σαββάτῳ θεσμὸν γείτονα τούτῳ τιθεὶς τό Μνήσθητι λέγει, καὶ διὰ ποίαν αἰτίαν; ὅτι τοῦ μὲν μὴ προσκυνεῖν θεοῖς ἑτέροις ἤδη παρῆν ὁ καιρός. διὰ γάρ τοι τοῦτο καὶ ἐνεργοὺς εἶναι περὶ αὐτὸ παραχρῆμα διεκελεύετο, διὰ μνήμης δέ πως κατιδεῖν τὰ ἐσόμενα, καὶ τὰ ἐν τύποις ἔτι ζωγραφούμενα ταῖς ἐννοίαις προαναθεωρεῖν ἐνεδέχετο· εἶτα πρὸς τούτῳ κἀκεῖνο περι σκεπτέον· εὖ γὰρ δὴ καὶ μάλα διατεταχὼς τὰ ἐπὶ τῇ πίστει παθήματα, τίθησιν εὐθὺς τῆς ἐπὶ τέλει τῶν αἰώνων ἐπαγγε λίας τὴν μνήμην, εἶτα λοιπὸν τοὺς ἑτέρους ὁρίζει νόμους, τό "Τίμα, φημὶ, τὸν πατέρα σου καὶ τὴν μητέρα σου," καὶ τό Οὐ φονεύσεις, καὶ τὰ λοιπὰ, ἵνα μὴ ἐξ ἔργου δικαιοῦσθαι νομίζωμεν, μηδὲ τῶν οἰκείων πόνων καρπὸν τὴν ἄφθονον τοῦ Θεοῦ μεγαλοδωρεὰν, ἀλλ' ἐκ πίστεως μᾶλλον ἑαυτοῖς ἔσεσθαι προσδοκήσωμεν. διὰ τοῦτο πρὸ τῶν νόμων τῆς κατ' εὐσέβειαν πολιτείας, γείτων εὐθὺς τῇ πίστει τῶν ἐν ἐλπίσιν ἀγαθῶν ἡ χάρις εἰσβέβηκε. Σημαίνει τοιγαροῦν ἡ κατὰ τὸ σάββατον ἀργία τὴν ἐν ἀναπαύσει καὶ ἁγιασμῷ τῶν ἁγίων ζωὴν, ὅτε δὴ σύμπαν ἀποδυσάμενοι τὸ λυποῦν, καὶ πόνου παντὸς καταλήξαντες, τοῖς θεόθεν ἐντρυφήσουσιν ἀγαθοῖς. καὶ γοῦν ὁ μακάριος Παῦλος, ὅτε τοὺς περὶ τούτων ἡμῖν ἐποιεῖτο λόγους, καὶ τὸν ἐπὶ τῷ σαββατισμῷ τοῦ λαοῦ διερευνήσασθαι τρόπον ἄριστά τε ποιῶν ἐδοκίμαζεν, οὕτω φησί "Τίσι δὲ ὤμοσε "μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς "ἀπειθήσασι; καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν "διὰ ἀπιστίαν." ἐπειδὴ γὰρ ᾤοντό τινες ἐκείνην εἶναι τῆς καταπαύσεως τὴν γῆν, εἰς ἣν ἐβάδιζον τῆς τῶν Αἰγυπτίων ἐκκεχωρηκότες, καίτοι ληφθεῖσαν εἰς τύπον τῆς τοῖς ἁγίοις 1.622 δοθησομένης παρὰ Χριστοῦ, ἣν καὶ γῆν ζώντων ἀπεκάλεσεν ὁ Δαυεὶδ, πειρᾶται δεικνύειν ὁ σοφώτατος Παῦλος, ὅτι τύπος ἦν ἐκείνη τῆς προσδοκωμένης κατακληροδοτηθεῖσα τότε τοῖς υἱοῖς Ἰσραὴλ τοῖς Ἰησοῦ διατάγμασιν. ὅτι γὰρ εἰς τύπον τῆς ἀληθείας ἐκεῖνα λαμβάνεται, διελέγχει γοργῶς, ἀποδεικ τικὸν τοῖς εἰρημένοις ἐπάγων συλλογισμόν. λέγει δὲ οὕτως "Ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτὴν, καὶ οἱ "πρότερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπιστίαν, πάλιν "ὁρίζει τινὰ ἡμέραν Σήμερον ἐν Δαυεὶδ λέγων, μετὰ τοσοῦ "τον χρόνον, καθὼς προείρηται Σήμερον ἐὰν τῆς φωνῆς "αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν "τῷ παραπικρασμῷ. εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, "οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας." ὁρᾷς ὅπως τὸ δοκοῦν ἀντιπίπτειν ἔλυσε γοργῶς; εἶπε γὰρ ἄν τις εὐθὺς πρὸς ἐκεῖνα τοῖς τῶν Ἰουδαίων ἐπαγωνιζόμενος λόγοις Τί οὖν, ὦ βέλτιστε, φῄς; οὐκ εἰσκεκόμικεν ὁ Ἰησοῦς τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας; οὐ κατέπαυσαν καὶ ἐσαββάτισαν ἐν αὐτῇ; ναί φησιν, ἀλλ' ὡς ἐν τύπῳ τῶν ἀληθινῶν καὶ μιμήματι. εἰ γὰρ ἐν τούτοις καὶ μόνοις ἡ τοῦ Θεοῦ χάρις, καὶ τῆς ἐπαγγελίας τῆς παρ' αὐτοῦ τὸ μέτρον περιορίζεται, καὶ πεπλήρωται τῷ Ἰσραὴλ ἐν ἐκείνοις τὰ ἐν ἐλπίσι, δηλοῖ δὲ πρὸς τούτοις ἕτερον οὐδὲν τὸ γράμμα τὸ νομικὸν, κατὰ τίνα δὴ τρόπον, ὡς μή που καταπαύσαντος αὐτοὺς Ἰησοῦ, πάλιν ἕτερος διὰ τοῦ μακαρίου Δαυεὶδ ὁ τῆς καταπαύσεως ὁρίζεται καιρὸς, καίτοι τοσούτοις ὑστερίζοντος χρόνοις; σοφῶς οὖν ἄρα καὶ λίαν ἐμφρόνως τύπον ἐπιδείξας καὶ εἰκόνα πραγμάτων πνευματικῶν τὰ ἐν ταῖς ἱστορίαις κείμενα, τὸν κεκρυμμένον ἔτι καὶ διαλανθάνοντα λόγον ἐπὶ τῷ σαββάτῳ καταλαμπρύνει, προστιθείς "Ἄρα ἀπολείπεται "σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. ὁ γὰρ εἰσελθὼν εἰς τὴν 1.623 "κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ πάντων τῶν "ἔργων αὐτοῦ, καθάπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός." εἶτα πῶς ἐντεῦθεν οὐκ ἂν ἤδη λοιπὸν ὁμολογοῖτο σαφῶς, ὅτι τὸ κατα λῦσαι πόνων τῶν ἐπ' ἔργοις δηλαδὴ, σαββατισμὸν οἶδε τῶν ἁγίων ὁ νοῦς, ὅτε τοῖς ἤδη προειργασμένοις ἐν τῷδε τῷ βίῳ κατορθώμασι τὸ λαμπρὸν τῶν ἁγίων ἐντρυφήσει στῖφος, καθ' ὁμοιότητα τοῦ πάντων Δημιουργοῦ, καταπαύσαντός τε καὶ εὐφραινομένου κατὰ τὴν ἑβδόμην ἡμέραν, ὥσπερ οὖν ἐν βιβλίῳ παροιμιῶν ἡ σοφία φησίν "Ἐγὼ ἤμην ᾗ προσέ "χαιρε, καθ' ἡμέραν δὲ ηὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν "παντὶ καιρῷ, ὅτε ηὐφραίνετο τὴν οἰκουμένην συντελέσας, "καὶ ἐνηυφραίνετο ἐν υἱοῖς ἀνθρώπων." οὐκοῦν· ἐπανήξω γὰρ αὖθις ἐπὶ τὸ ἐξ ἀρχῆς, καὶ τοῦ παντὸς λόγου τὸν σκοπὸν ἀναλήψομαι· τὴν ἄπονον τῶν ἁγίων ζωὴν ἡ κατὰ τὸ σάββατον ἀργία δηλοῖ. πάντα γὰρ δίχα πόνου τὰ ἀγαθὰ κατ' ἐκεῖνο καιροῦ τοῖς ἁγίοις χορηγηθήσεται παρὰ Θεοῦ, καὶ οὔτε τὴν ἀρχέκακον ἁμαρτίαν ἐργασόμεθα τότε, διὰ τὸ πρόῤῥιζον αὐτὴν ἐξ ἡμῶν ἀπολέσθαι μετὰ τοῦ κατασπείρειν αὐτὴν ἐν ἡμῖν εἰωθότος, κατὰ τό "Οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ "τῶν θηρίων τῶν πονηρῶν οὐδὲν οὐ μὴ ἀναβῇ ἐκεῖ, ἀλλ' "ἔσται ἐκεῖ ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται." ἀλλὰ καὶ πάντων ἀκονιτὶ τῶν ἀγαθῶν τῶν ἁγίων ὁ νοῦς ἀνθέξεται. διὰ γάρ τοι τοῦτο καὶ ὁ συλλέγων ἐν σαββάτῳ τὰ ξύλα λιθόλευστος τελευτᾷ, ὡς ἀδικήσας ἐν τῷ τύπῳ τὴν ἀλήθειαν. καταλύσαντες γὰρ καὶ εἰς ἐκείνην κατντήσαντες τὴν ἀνά παυσιν, οὐκ ἐξελευσόμεθά ποτε τὸν ἀξιάγαστόν τε καὶ ἐν ἀρεταῖς διαφανῆ τρόπον, καθάπερ ἐκεῖνοι ἀπὸ τῆς ἰδίας σκηνῆς, ἀλλ' οὐδὲ τὴν πυρὸς ἔτι τροφὸν καὶ μητέρα συλλέ ξομεν ἁμαρτίαν, ὡσπεροῦν ἐκεῖνος τὰ ξύλα διὰ πολλὴν ἄγαν ἀναισθησίαν, οὐ συνεὶς τὰ ἐν τύπῳ πρὸς ἀλήθειαν 1.624 βλέποντα. διά τοι τοῦτο καὶ τοῖς λίθοις τοῖς ἀναισθήτοις, ἅτε δὴ καὶ ἁλοὺς ἐπ' ἀναισθησίᾳ πολλῇ, παρὰ τῶν κολα ζόντων ἐβάλλετο, γραφομένην ἔχων ἐν τῇ τιμωρίᾳ τὴν ποιότητα τοῦ τρόπου. ὅτι μὲν οὖν τότε τὴν βδελυρὰν ἁμαρτίαν οὐκ ἐργασόμεθα, δῆλον, ἀλλ' οὐδὲ τὸ ὠφελοῦν ἱδρῶτι κατορθώσομεν· καὶ ὀψόμεθα πάλιν ὡς ἐν αἰνίγματι καὶ τοῦτο δηλούμενον ἐν βιβλίοις τοῖς Μωυσαϊκοῖς. δρόσου μὲν γὰρ δίκην ἐπηφίει τὸ μάννα τοῖς υἱοῖς Ἰσραὴλ ἐν ἐρήμῳ Θεὸς, καὶ δέδωκεν ἄρτον ἀγγέλων αὐτοῖς, κατὰ τὸ γεγραμ μένον· εἶτα καὶ νόμον ἐπ' αὐτῷ διωρίζετο διὰ τοῦ πανσόφου Μωυσέως· προσεφώνει γὰρ οὕτως "Φάγετε σήμερον· ἔστι "γὰρ σάββατα σήμερον τῷ Κυρίῳ, οὐχ εὑρήσετε ἐν τῷ "πεδίῳ· ἓξ ἡμέρας συλλέξετε· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ "σάββατα, οὐκ ἔστιν ἐν αὐτῇ." ὑποδηλοῖ γὰρ, ὅτι πρὸ μὲν τῆς τῶν αἰώνων συστολῆς, πόνῳ τὸ ὠφελοῦν καὶ τὸ ἀπο τρέφον ἡμᾶς εἰς ζωὴν τὴν αἰώνιον συναγείρειν ἀκόλουθον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὥσπεροῦν ἐκεῖνοι τὴν πλατεῖαν περιθέοντες ἔρημον, ἅπαντα χόθεν εἰς τροφὴν τὸ μάννα συνεκομίζοντο· ἐν δὲ τῇ ἑβδόμῃ, τουτέστιν, ἐπὶ τέλει λοιπὸν, ὁ μὲν τῆς τῶν χρησίμων συλ λογῆς ἐξοίχεται καιρὸς, τοῖς δὲ ἤδη προπεπορισμένοις ἐντρυ φήσομεν, κατὰ τὸ εἰρημένον διὰ τοῦ ψαλμῳδοῦ "Τοὺς "καρποὺς τῶν πόνων σου φάγεσαι." Ὁ μὲν οὖν νομοθέτης καὶ Θεὸς, οὐ ταῖς σκιαῖς ἐφηδό μενος, ἀλλ' εἰς αὐτὴν ἤδη τὴν τῶν πραγμάτων εἰκόνα προ αναβλέπων, διηγγέλλετο μὴ δεῖν ἐν σαββάτῳ πονεῖν. ἀλλ' ὑπερφρονήσαντές τινες τοῦ διορισθέντος αὐτοῖς ἐπὶ τούτῳ νόμου, καὶ ῥιψοκινδύνως τῷ πάντων Δεσπότῃ προσκρούειν οὐ παραιτούμενοι, τὸ μὲν ὅτι προσήκοι βαδίζειν συγκομισο 1.625 μένους τὸ μάννα καὶ ἐν σαββάτῳ διεγνώκεσαν, καὶ οὐκ ἐν βουλαῖς τὸ τόλμημα μόναις, ἀλλ' εἰς ἔργον ἤδη τὸ δοκοῦν διεξήγετο. ἐπισκήπτει τοιγαροῦν διὰ τοῦτο πάλιν αὐτοῖς ὁ νομοθέτης καί φησιν "Ἕως πότε οὐ βούλεσθε εἰσακούειν "τὰς ἐντολάς μου καὶ τὸν νόμον μου; ἴδετε, ὁ γὰρ Κύριος "ἔδωκεν ὑμῖν τὴν ἡμέραν ταύτην σάββατα· διὰ τοῦτο αὐτὸς "δέδωκεν ὑμῖν τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἄρτους δύο ἡμερῶν· καθί "σεσθε ἕκαστος εἰς τοὺς οἴκους ὑμῶν, μηδεὶς ὑμῶν ἐκπο "ρευέσθω ἐκ τοῦ τόπου αὐτοῦ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ." ὁρᾷς ὅπως τὴν ἱδρῶτος καὶ πόνου παντὸς ἐλευθέραν ἡμῖν προανα πλάττων ζωὴν ἐν ταῖς κατὰ τύπον ἀργίαις, δρᾶν οὐδὲν ὅλως ἐφίησιν ἐν σαββάτῳ; συλλέγειν μὲν γὰρ οὐκ ἐᾷ, προσεπι τάττει δὲ τούτῳ, καὶ τὸ χρῆναι τὸν οἶκον ἀφέντα μηδαμόσε χωρεῖν, ἀλλ' ἐκ τῶν ἰδίων μὴ ἐκπορεύεσθαι τόπων. καὶ τί πάλιν ἡμᾶς διὰ τούτου βούλεται μαθεῖν, ἐκθησόμεθα, συγ γενὲς αὐτῷ καὶ ὡσαύτως ἔχον παραθέντες ῥητόν. προσε λάλει τοιγαροῦν ὁ μακάριος προφήτης Ἱερεμίας τοῖς Ἰουδαίοις ὡδί "Τάδε λέγει Κύριος Φυλάξατε τὰς ψυχὰς ὑμῶν "καὶ μὴ αἴρετε βαστάγματα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων καὶ "μὴ ἐκπορεύεσθε ταῖς πύλαις Ἱερουσαλὴμ, καὶ μὴ ἐκφέ "ρετε βαστάγματα ἐξ οἰκιῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ τῶν "σαββάτων, καὶ πᾶν ἔργον οὐ ποιήσετε· ἁγιάσατε τὴν "ἡμέραν τῶν σαββάτων καθὼς ἐνετειλάμην τοῖς πατράσιν "ὑμῶν." καὶ τί τὸ ἐντεῦθεν; εἰς ἕξιν ἡμᾶς προδιανιστὰς τὴν φιλάγρυπνον, φυλάττειν ἐπιτάττει τὴν ἰδίαν ψυχήν· οὕτω γὰρ ἂν ὑπάρξαι ῥᾳδίως καὶ τὸ δεῖν εἰσελάσαι λοιπὸν εἰς τὸν ἐν ἐλπίσι σαββατισμόν. ἀναφανεῖται δὲ ὅσα τοῖς τοῦδε τυχοῦσι τὰ ἀγαθὰ, διεσάφει καλῶς διὰ τῆς τῶν ἑτέρων 1.626 ἐπαγωγῆς. βαστάγματι μὲν γὰρ οὐκ ἐᾷ καταβρίθεσθαί τινας, ὡς οὐδενὸς ἔτι κατ' ἐκεῖνο καιροῦ τὸ δυσαχθὲς τῆς ἁμαρτίας ἀναληψομένου φορτίον· ἁγιότητος γὰρ ὁ καιρὸς, οἰχομένης μὲν εἰς ἀναίρεσιν παντελῆ τῆς ἀρχαίας ἁμαρτίας, ἀνακαινιζο μένης δὲ τῆς ἑκάστου ψυχῆς εἰς ἕξιν ἀκλινῶς τὴν φιλάρετον. ἀλλὰ καὶ τὸ ἔξω φοιτᾶν τῶν τῆς Ἱερουσαλὴμ οὐκ ἐφίησι πυλῶν. καὶ γὰρ δὴ κατὰ τὸν ἀληθῆ τε καὶ ὀρθῶς ἔχοντα λόγον οἰκήσει παγίως ὁ λαμπρὸς τῶν ἁγίων χορὸς τὴν ἐπουράνιον Ἱερουσαλὴμ, καὶ τὴν ἁγίαν οὐκ ἐκβήσεται πόλιν, ἔσται δὲ μᾶλλον διὰ παντὸς ἐν αὐτῇ καὶ πρὸς τὸ δύνασθαι δραπετεύειν οὐδαμῶς τῶν ἅπαξ δοθέντων ἀγαθῶν τῇ θείᾳ δυνάμει διακρατούμενος. "Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα "καὶ ἡ κλῆσις τοῦ Θεοῦ," κατὰ τὸν ἅγιον Παῦλον. ἐν δέ γε τῷ πάλιν εἰπεῖν Οὐκ ἐξελεύσεσθε ἕκαστος ἐκ τοῦ τόπου ὑμῶν, ἐκεῖνο δὴ μάλα σαφῶς ἔοικεν ὑποδηλοῦν. πολλαὶ μὲν γὰρ ὄντως αἱ μοναὶ παρὰ τῷ Θεῷ καὶ Πατρὶ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· καὶ τούτου δὴ πάλιν λαμπρῶς ἀνεπλήρου τὸν τύπον ἡ ἁγία σκηνὴ, δέκα λαμβάνουσα τὰς αὐλὰς, καὶ δοθήσεται μὲν ἑκάστῳ κατὰ τὴν ἀξίαν καὶ ἀναλόγως τοῖς κατωρθωμένοις ἡ μονή· οἱ δὲ ὅλως ἐν κατασχέσει τῶν ἐκεῖσε σκηνωμάτων γεγενημένοι, διὰ παντὸς μὲν αὐτοὶ ἐνδιαιτήσονται, βαδιοῦνται δὲ οὐδαμῶς εἰς ἀπόπτωσιν τῶν ἐκ θείας αὐτοῖς ἀπονεμηθέντων δωρεᾶς. καὶ ἀληθὴς ἡμῖν ὁ μάρτυς εἰσβήσεται· λέγει γὰρ οὕτως ὁ προφήτης Ἡσαΐας περὶ τῶν τοιούτων διειληφώς "Οἱ ὀφθαλμοί σου ὄψονται "Ἱερουσαλὴμ, πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, "οὐδ' οὐ μὴ κινηθῶσιν εἰς τὸν αἰῶνα χρόνον." ἐν γὰρ τῷ μὴ σείεσθαι λέγειν τὰς ἐν τῇ πλουσίᾳ πόλει σκηνὰς, τὸ ἀμετάθετον τῆς ἐν αὐτῇ διαμονῆς καὶ ἐνδιαιτήσεως κατα δηλοῖ. ἀλλὰ καὶ πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτοις ἔτι, πᾶν ἔργον, φησὶν, οὐ 1.627 ποιήσετε ἐν αὐτῇ, καὶ ἁγιάσετε τὴν ἡμέραν τῶν σαββάτων. καθάπερ ἤδη πολλάκις εἰρήκαμεν, ἀργίας τῆς ἐπ' ἀμφοῖν καὶ ἀναπαύσεως ὁ καιρὸς, καὶ ὅλος ἅγιος ἀνατεθειμένος εἰς ἑορτὴν τῷ Χριστῷ. Τὸ δὲ χρῆναι πάλιν ἡμᾶς ἐνεργεῖν μὲν ἐν σαββάτῳ μηδὲν, καταλύειν δὲ ὥσπερ καὶ ἀνεῖσθαι παντὸς τοῦ πρὸς ἱδρῶτα καλοῦντος καὶ πόνον, καὶ δι' ἑτέρων ἐπιγνωσόμεθα. ἐν μὲν γὰρ τῇ ἐξόδῳ φησίν "Ἓξ ἔτη σπερεῖς τὴν γῆν σου καὶ "συνάξεις τὰ γεννήματα αὐτῆς· τῷ δὲ ἑβδόμῳ ἄφεσιν "ποιήσεις καὶ ἀνήσεις αὐτήν." ἐν δὲ τῷ Λευιτικῷ "Ὅταν "εἰσέλθητε εἰς τὴν γῆν ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀναπαύ "σεται ἡ γῆ ἣν ἐγὼ δίδωμι ὑμῖν σάββατα Κυρίῳ· ἓξ ἔτη "σπερεῖς τὸν ἀγρόν σου, καὶ ἓξ ἔτη τεμεῖς τὴν ἄμπελόν σου "καὶ συνάξεις τὸν καρπὸν αὐτῆς· τῷ δὲ ἔτει τῷ ἑβδόμῳ "ἀνάπαυσις ἔσται τῇ γῇ, σάββατα Κυρίῳ." τὴν μὲν γὰρ ἀναίσθητον τῶν πόνων οὐκ ἀνίησι γῆν, ἀλλ' οὐδὲ αὐτῇ κυρίως τὸν ἐπὶ τούτοις ἐχαρίζετο νόμον, τὸ δὲ μὴ χρῆναι πονεῖν διὰ τοῦ τὴν γῆν ἀνεῖναι τοῖς αὐτὴν κεκτημένοις ἐπραγματεύετο. πολυτρόπως γὰρ ἡμῖν τὴν ἐπὶ Χριστῷ κατεσήμαινεν ἑορτὴν, καθ' ἣν οἱ φόβῳ τῷ θείῳ συζήσαντες, εἰς παντελῆ καὶ ὁλόκληρον ἐλευθερίαν ἀναδραμοῦνται τὴν ἐν ἁγιασμῷ καὶ πλουσιωτάτῃ τοῦ Πνεύματος χάριτι. καὶ τοῦτο δὲ πάλιν δι' αὐτῶν εἰσόμεθα τῶν Μωυσαικῶν ἐνταλμάτων. ἔχει γὰρ οὕτως "Ὅταν πραθῇ σοι ἀδελφός σου ἢ ἡ ἀδελφὴ "σου, ὁ Ἑβραῖος ἢ ἡ Ἑβραία, ἓξ ἔτη δουλεύσει σοι, τῷ δὲ "ἔτει τῷ ἑβδόμῳ ἄφεσις." οἱ γὰρ πάλαι τῇ ἁμαρτίᾳ δου λεύσαντες, καὶ ἡδονῇ τῇ πρὸς τὸ φαῦλον ἑαυτοὺς τρόπον τινὰ τῷ διαβόλῳ καταπωλήσαντες, δικαιωθέντες ἐν Χριστῷ διὰ τῆς πίστεως, εἰς τὸν ἀληθῆ καὶ ἅγιον ἀναβησόμεθα σαββατισμὸν, τὴν διὰ τῆς χάριτος ἐλευθερίαν ἠμφιεσμένοι, καὶ ἀγαθοῖς τοῖς θεόθεν λελαμπρυσμένοι.

1.628 ΚΕΦΑΛΗ Ζ. Λόγος περὶ τῆς ἐν ὀγδόῃ περιτομῆς, τίνος ἐστὶ σημαντικὴ πολυτρόπως ἐπιδεικνύς. ἈΡΚΟΥΝΤΩΣ ἤδη, καθάπερ ὑπολαμβάνω, καὶ κατὰ δύναμιν τῆς ἐνούσης ἡμῖν διανοίας τὸν ἐπὶ τῷ σαββάτῳ διαπτύξαντες λόγον, ἐπὶ τὴν τούτῳ γείτονα περιτομὴν τὸν ἐπὶ τῇ ζητήσει μετοίσομεν πόνον, πανταχόθεν τὸ λυσιτελὲς ὅτι πρέποι θηρᾶσθαι διεγνωκότες· καὶ γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων, καὶ γελοιότητος δὲ τῆς ἐσχάτης οὐκ ἀμοιροῦν, τὸ μὴ πάντα πόνον ἀδεῶς τῆς ἐν τούτοις γνώσεως ἀμεί βεσθαι φιλεῖν. τί δὲ δὴ καὶ τὸ ἐξ αὐτῆς ὡς ἐν τύπῳ τοῖς ἀρχαιοτέροις ὑποδηλούμενον περιαθροῦντες πνευματικῶς, ἐκ θησόμεθα πάλιν κατὰ τὸ μέτρον τῆς ἐπιχορηγίας τοῦ πάντα τὰ σκοτεινὰ φανεροῦντος Θεοῦ, καὶ θησαυροὺς ἡμῖν ἀποκρύ φους ἀοράτους ἀνοίγοντος. τοῖς μὲν γὰρ πρὸς ἕξιν ἤδη βεβηκόσι τὴν ἀπροσδεᾶ, καὶ τελειοτέραν ἔχουσι τὴν διάνοιαν, ἐξέσται καὶ νοεῖν καὶ λαλεῖν τὰ πολὺ τούτων βελτίονα· ἡμεῖς δὲ τὰ εἰς νοῦν ἰόντα τὸν ἡμέτερον, κἂν τοῦ πρέποντος ὑστε ρίζειν δοκεῖ, τοῖς ἀκροωμένοις παραθήσομεν, οὐκ αἰδοῖ τοῦ μὴ δοκεῖν ἡττῆσθαι τινῶν τὴν φιλαδελφίαν λυπήσαντες, μᾶλλον δὲ τὸ γεγραμμένον εἰδότες "Δίδου σοφῷ ἀφορμὴν, καὶ "σοφώτερος ἔσται· γνώριζε δὲ δικαίῳ, καὶ προσθήσει τοῦ "δέχεσθαι." πρῶτος τοιγαροῦν ἐπὶ τῇ περιτομῇ διωρίζετο 1.629 νόμος, λέγοντος πρὸς Ἀβραὰμ τοῦ Θεοῦ "Σὺ τὴν διαθήκην "μου διατηρήσεις, καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς "γενεὰς αὐτῶν· καὶ αὕτη ἡ διαθήκη μου ἣν διαθήσω ἀνὰ "μέσον ὑμῶν καὶ ἐμοῦ, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου "μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν· περιτμηθήσεται πᾶν ἀρσε "νικόν. καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας "ὑμῶν, καὶ ἔσται εἰς διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. "καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῶν πᾶν ἀρσε "νικόν." ὁρισάμενος δὲ τὸν ἐπὶ τούτῳ νόμον, καὶ ὅτι προσήκοι πάντως αὐτοὺς τῆς ἀκροβυστίας τὴν σάρκα περι τέμνεσθαι διατεταχὼς, οὐκ ἀζήμιον ἀποφαίνει τοῦ νόμου τὴν παράβασιν, μυστηρίου τύπον ἀναγκαιοτάτου τὸ πρᾶγμα δεικνύς· ἐπιλέγει γὰρ τούτοις ἐφεξῆς "Καὶ ἔσται ἡ διαθήκη "μου ἐπὶ τῆς σαρκὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑμῶν εἰς διαθήκην αἰώνιον· καὶ ἀπερίτ "μητος ἄρσην, ὃς οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκρο "βυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ "ψυχὴ ἐκείνη ἐκ τοῦ σπέρματος αὐτῆς· ὅτι τὴν διαθήκην "μου διεσκέδασεν." ὁ μὲν οὖν θεσπέσιος Παῦλος σημεῖον ὥσπερ τι καὶ σφραγῖδα δεδόσθαι τῆς ἐν ἀκροβυστίᾳ πίστεως τὴν περιτομὴν τῷ πατριάρχῃ διισχυρίσατο. σκοπὸς γὰρ ἦν, ὡς ἔοικεν, αὐτῷ καὶ περισπούδαστον ἐπιχείρημα, νομικοῦ παντὸς ἐπιτάγματος προανέχουσάν τε καὶ ἀρχαιοτέραν ἐπι δεῖξαι τὴν διὰ πίστεως κλῆσίν τε καὶ δικαιοσύνην. ἐδυσώπει γὰρ οὕτω μόλις τοὺς ἐξ Ἰσραὴλ καὶ συνέπειθέ πως εἰς τὸ μὴ παράβασιν ἡγεῖσθαι τοῦ νόμου τὴν διὰ πίστεως δικαιο σύνην, ἐπαναδρομὴν δὲ μᾶλλον εἰς τὸ ἀπ' ἀρχῆς, καὶ πρὸ νόμου παντός· ἀλλ' ἐν καιρῷ περιενεγκὼν εἰς τὸ τέως ὠφε λοῦν καὶ τῷ παρόντι χρήσιμον τοῦ λόγου τὴν δύναμιν, ἕτερόν τινα πάλιν εἰδὼς τῆς περιτομῆς τὸν τρόπον εὑρί σκεται. τὸ γὰρ ἐν σαρκὶ καυχᾶσθαι φιλεῖν τοῖς Ἰουδαίοις 1.630 ἀπομαθεῖν συμβουλεύων, ἐπιστέλλει πάλιν "Οὐ γὰρ ὁ ἐν "τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ "περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ "καρδίας ἐν πνεύματι οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ "ἀνθρώπων ἀλλ' ἐκ τοῦ Θεοῦ." ἢ γὰρ οὐχὶ διὰ τούτων καὶ ὑποπείθει λοιπὸν εἰς ἑτέρας ἐννοίας ἐπ' ἐκείνῃ μεταβιβάζε σθαι, καὶ οὐ μέχρι τοῦ δεδόσθαι "σφραγῖδα τῆς ἐν ἀκρο "βυστίᾳ πίστεως," τὴν περιτομὴν τῷ προπάτορι, διενθυ μεῖσθαι βούλεται, ἀλλά τι καὶ μεῖζον ἐπὶ τούτῳ νοεῖν καὶ πνευματικόν; Ζητητέον τοιγαροῦν καὶ περισκεπτέον οὐκ ἀνειμένως τίς ἡ ἐν πνεύματι περιτομὴ, τίνος δ' ἂν νοοῖτο σύμβολον ἡ ἐν σαρκὶ τελουμένη, καὶ διὰ ποίαν αἰτίαν οὐκ ἀδιαφόρως, ἐν ᾗπερ ἂν ἡμέρᾳ τύχοι, μόνῃ δὲ ἐν ὀγδόῃ περιτέμνεται ἄν θρωπος. ἔστι τοίνυν οὐδενὶ τῶν ὄντων ἀμφίβολον, ὡς ἐπείπερ ἡμῖν ὁ σκοπὸς συντείνεται πρὸς τὸ θέλειν συνδεῖ σθαι τῷ Θεῷ διὰ μεσίτου Χριστοῦ, διὰ τοῦτο δὴ πάντως καὶ προκαθαίρεσθαι πρέπει, προαγνίζεσθαι διὰ τρόπου παντὸς τοὺς εἰς οἰκειότητα διὰ πίστεως ἀναβαίνοντας τῷ πανάγνῳ Δεσπότῃ. ληψόμεθα δὲ εἰς ἀρίστην τοῦ τοιοῦδε πράγματος εἰκόνα τὸ εἰρημένον παρὰ Θεοῦ πρὸς τὸν ἅγιον Μωυσέα "Καταβὰς διαμάρτυραι τῷ λαῷ, καὶ ἅγνισον "αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια "ἑαυτῶν, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· "τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος "Σινᾶ." ἐν μὲν γὰρ τῷ προαγνίζεσθαι δεῖν, τὴν διὰ τρόπων ἐπιείκειαν ἐπιτηδεύειν βούλεται· ἐν δὲ τῷ χρῆναι τὰ ἄμφια περιπλύνειν αὐτοὺς, τὴν αὐτοῦ τοῦ σώματος ὑπεμφαίνει κάθαρσιν. ἄμφιον γὰρ ὥσπερ καὶ περιστολὴ τῆς ψυχῆς τὸ σῶμά ἐστιν. 1.631 Οὐκοῦν ἐπειδήπερ· ἀναβήσομαι γὰρ ἐπὶ τὴν τοῦ λόγου πρώτην τε καὶ ἀναγκαιοτάτην ἀρχήν· προαγνίζεσθαι πάντως ἐχρῆν τοὺς εἰς οἰκειότητα τρέχοντας τῷ ἁγίῳ Θεῷ, κατὰ τὸ παρ' αὐτοῦ λεγόμενον "Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι·" σύμβολον ἁγνισμοῦ διὰ τῆς ἐν σαρκὶ περιτομῆς τοῖς ἀρχαιο τέροις ὡρίζετο· καὶ ὅπως, ἐροῦμεν. τὴν τῶν καθ' ἡμᾶς πραγμάτων διευκρινησάμενοι φύσιν, ἁμαρτίας ἁπάσης προ βαδίζουσαν ἡδονὴν εὑρήσομεν· καὶ καλεῖ τις ἡμᾶς εἰς τὸ πλημμελεῖν ἐπιθυμία θερμὴ τῆς ἐνεργείας ἀεὶ προανίσχουσα, καὶ τὴν τῆς διανοίας σύνεσιν προαρπάζουσα, πείθουσά τε οὕτω λοιπὸν ἐπὶ τὴν τῶν αἱρεθέντων διεξαγωγὴν διὰ λειο τάτης ἔρχεσθαι τῆς ὁδοῦ. ἀληθῆ δέ πως ὄντα τὸν ἐπὶ τούτοις ἡμῶν λόγον ἀποφαίνει λέγων ὁ Χριστοῦ μαθητὴς, οὕτω βοῶν "Μηδεὶς πειραζόμενος λεγέτω ὅτι ἀπὸ Θεοῦ "πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει "δὲ αὐτὸς οὐδένα, ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας "ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία "συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα "ἀποκύει θάνατον." ὁρᾷς οὖν ὅπως ἐν ἐπιθυμίαις ταῖς ἐπί τισιν ἡ τῆς φαυλότητος προδημιουργεῖται γένεσις, καὶ ἐν ἐκτόποις ἡδοναῖς τὰ τῆς ἁμαρτίας προκυοφορεῖται σπέρ ματα; προστάττει τοιγαροῦν ὁ νομοθέτης καὶ Θεὸς ἐκείνῳ δὴ μάλιστα τῷ μορίῳ τοῦ σώματος, ἐν ᾧ καὶ δι' οὗ τῶν ἡδονῶν ἡ γένεσις, τὸν περιτέμνοντα σίδηρον ἐπιφέρεσθαι, ἵνα δὴ μάθοις ὡς δι'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰνίγματος, ὡς ἀμήχανον ἡμᾶς ὀφθή σεσθαί ποτε καθαροὺς, εἰ μὴ τοῦ θείου λόγου τὴν τομωτάτην ἐνέργειαν ἐν καρδίᾳ δεξάμενοι, καὶ εἰς νοῦν λαβόντες τὴν τοῦ Πνεύματος μάχαιραν, τὰς ἐφ' ἅπασι τοῖς αἰσχίστοις ἐπιθυμίας ἀποπεμψόμεθα, πράττοντες μὲν οὐδαμῶς τὰ ἐν 1.632 ἰδίοις θελήμασι, κἂν ἡδίστην ἔχειν ὑποκρίνωνται τὴν ἀπό λαυσιν, μόνον δὲ τὸ δοκοῦν τῷ Θεῷ στέργειν καὶ δρᾶν ἀναπειθόμενοι. τοιαύτην ἡμῖν εἰσκομιζούσης τῆς ἀληθε στέρας περιτομῆς τὴν δύναμιν, πρὸς τοὺς ἐπὶ μόνῃ τῇ σαρκὶ μεγαλοφρονεῖν εἰωθότας εἰκότως ἂν λέγοιτο "Περιτμήθητε "τῷ Θεῷ, καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, ἄνδρες "Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλήμ." ὁ γὰρ τὴν σάρκα περιτεμνόμενος, μόνῃ περιτέτμηται τῇ σαρκὶ, ὁ δὲ τὴν ἐν πνεύματι περιτομὴν διὰ πίστεως τῆς εἰς Χριστὸν κομισά μενος, μόνῳ καὶ ἀληθῶς περιτέμνεται τῷ Θεῷ. Δεχόμεθα δὲ τὴν ἐν πνεύματι περιτομὴν ἀνακομίζουσαν ἡμᾶς εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν, κατὰ τὴν ὀγδόην, τουτέστι τὴν ἀναστάσιμον τοῦ Σωτῆρος ἡμέραν, σημεῖον τοῦτο τιθέμενοι τοῦ πρόξενον εἶναι ζωῆς τὴν ἐν πνεύματι περιτομὴν, καὶ συναινοῦντες τρόπον τινὰ δι' αὐτοῦ τοῦ πράγματος, ὅτι συζησόμεθα τῷ Χριστῷ κατὰ τὸ εἰρημένον διὰ τοῦ Παύλου· "Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυ "πται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· ὅταν ὁ Χριστὸς φανε "ρωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθή "σεσθε ἐν δόξῃ." ἢ γὰρ οὐχὶ καὶ ἀληθεύων ἐρεῖ τις, ὅτι τῷ κόσμῳ τεθνήξεταί τις, τὰς ἐν κόσμῳ διὰ Θεὸν ἡδονὰς παραιτούμενος; τοιόσδε τις καὶ ὁ θεσπέσιος Παῦλος ἡμῖν ἀνεφαίνετο λέγων "Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν "τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται "κἀγὼ τῷ κόσμῳ." μέτοχοι γὰρ γεγονότες αὐτοῦ διὰ τοῦ Πνεύματος, τοῦ πᾶσαν τὴν ἐν ἡμῖν ἀκαθαρσίαν ἀχειρο ποιήτως περιτέμνοντος, ἐνεκρώθημεν τῷ κόσμῳ, ζῶμεν δὲ τὴν ἀρίστην ζωὴν τῷ Θεῷ. οὐκοῦν κατὰ τὴν ὀγδόην ἡ περιτομὴ διὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, καὶ οὐ πρὸ τῆς ὀγδόης· οὐ γὰρ πρὸ τῆς ἀναστάσεως ἡ τοῦ Πνεύματος 1.633 δόσις, ἀλλὰ μετ' ἐκείνην ἐστὶν, ἤτοι κατ' αὐτὸν τῆς ἀναστά σεως τὸν καιρὸν, ὅτε καὶ τοῖς ἑαυτοῦ μαθηταῖς ἐνεφύσησε λέγων "Λάβετε Πνεῦμα Ἅγιον." Ἰουδαίοις μὲν οὖν ἡ διὰ σιδήρου πρεπωδεστέρα περιτομὴ, δοῦλοι γὰρ ἔτι καὶ ὑπὸ νόμον τὸν κολαστήν· κολάσεως δὲ σημεῖον ὁ σίδηρος· ἡμῖν δὲ ὡς ἐλευθέροις καὶ πνευματικοῖς ἡ διὰ Πνεύματος κάθαρσις, πάντα μὲν τῶν ἡμετέρων ψυχῶν ἐκπέμπουσα μολυσμὸν, τὸ δὲ τέλειον ἐν λαμπρότητι τῇ κατ' εὐσέβειαν διὰ πίστεως εἰσκομίζουσα. Ὅτι γὰρ διὰ τῆς ἀληθεστέρας καὶ πνευματικῆς περιτομῆς, τῆς κατ' εὐσέβειαν τελειότητος ἀποπληροῦται τὸ καύχημα, περισκεψάμενοι πάλιν τὰ ἐπὶ τῷ πατριάρχῃ Ἀβραὰμ γε γραμμένα, θεωρήσομεν. γέγραπται τοίνυν περὶ τοῦ προ πάτορος Ἀβραὰμ, ὡς ἦν μὲν ἐτῶν ἐννέα καὶ ἐννενήκοντα τὸν ἀριθμὸν, ἐνομοθέτει δὲ τότε χρησίμως αὐτῷ τὴν περιτομὴν ὁ Θεὸς, σημεῖον ὥσπερ τι καὶ τοῦτο τιθεὶς ἐναργὲς, ὅτι πρό θυρον ὥσπερ καὶ προεισαγωγή τις ἐστὶ τῆς εἰς ἀρετὴν τελειότητος ἡ περιτομὴ, μᾶλλον δὲ οὐδὲ ὅλως ἀφίξεσθαί ποτε πρὸς τοὐτό τινα σαφῶς ὑποδηλῶν, μὴ τὴν ἐκ τῆς περιτομῆς σκιαγραφουμένην ἔχοντα κάθαρσιν· τελειότητος γὰρ σύμβολον ὁ ἑκατὸν ἀριθμός. πρὸ τῆς τελειότητος τοίνυν ἡ περιτομή. προβαδίζουσα γὰρ αὕτη πρὸς ἐκείνην ἡμᾶς ἀνακομίζει ῥᾳδίως. ἀλλ' οὐ μέχρι τούτων ἡμῖν τὰ ἐκ τῆς περιτομῆς περιορίζεται χρήσιμα, περιτομῆς δέ φημι τῆς ἐν πνεύματι· ἀλλ' ἤδη καὶ μόνοις αὐτὴν τοῖς κατὰ Χριστὸν ἐλευθέροις χρεωστουμένην εὑρήσομεν. ἐλεύθερος δὲ δήπου πάντως ἐστὶν ἐν Χριστῷ, τὴν μὲν ὑπὸ τῷ διαβόλῳ δουλείαν καὶ τὸν τῆς ἁμαρτίας ζυγὸν ἀποσεισάμενος ὁ ἄνθρωπος, καὶ διαῤῥήξας μὲν τοὺς ἐκείνων δεσμοὺς, καθὰ γέγραπται, τὸ δὲ λαμπρόν τε καὶ ἀτυράννευτον τῆς δικαιοσύνης ἀναδησάμενος καύχημα, δικαιοσύνης δέ φημι τῆς ἐν πίστει Χριστοῦ. 1.634 Ὅτι δὲ πρέπουσαν ἐλευθέροις μὲν τὴν ἐν ὀγδόῃ περιτομὴν εὑρήσομεν, δούλοις δὲ οὐκ ἔτι, τὴν ἱεράν τε καὶ θείαν περι νοστοῦντες γραφὴν, κατ' οὐδένα πάλιν ἐνδοιάσομεν τρόπον. οὐκοῦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ μὲν Ἰσμαὴλ, ὁ ἐκ θεραπαίνης τῆς Ἄγαρ τῷ πατριάρχῃ γεγεννημένος υἱὸς, περιετέμνετο μὲν, ἀλλ' οὐκ ἐν ὀγδόῃ, ἐν ἔτει δὲ μᾶλλον τῷ τρισκαιδεκάτῳ· γέγραπται γὰρ οὕτως, ὅτι περιέτεμεν Ἀβραὰμ Ἰσμαὴλ τὸν υἱὸν αὐτοῦ δέκα καὶ τριῶν ἐτῶν, ἵνα τὸν τῆς δουλευούσης Ἱερουσαλὴμ υἱὸν, τουτέστι τὸν Ἰσραὴλ, καὶ τῆς ὀγδόης ἐκπεσόντα καὶ τῆς δωδεκάτης, ὁ θεῖος ἡμῖν ἐπιδείξῃ λόγος. ἐκπίπτει μὲν γὰρ τῆς ὀγδόης, ὡς οὐκ ἐθελήσας προσδέξασθαι τῆς ἐν ὀγδόῃ γενομένης ἀναστάσεως τὸ σωτήριον κήρυγμα, τουτέστι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, δι' οὗπερ ἦν οὐκ ἀμφίβολον ὠφε λουμένους εἰς πίστιν καὶ ἐν πνεύματι περιτέμνεσθαι. ἐκ πίπτει δὲ πάλιν καὶ τῆς δωδεκάτης, ὡς ἐν αἰνίγματι τὸν ἱερὸν τῶν ἀποστόλων χορὸν ταῖς ἀπειθείαις ἐξωθούμενος, ἄγευστός τε καὶ παντελῶς ἀπείρατος τῆς παρ' ἐκείνων διδα σκαλίας διατελεῖν προθυμούμενος. ὁ μὲν οὖν οἰκέτης ἐν τούτοις· ὁ δὲ ἐκ τῆς ἐλευθέρας ἐλεύθερος Ἰσαὰκ ἐν ὀγδόῃ περιτέμνεται. οἱ γὰρ τῆς ἐλευθέρας ἐλεύθεροι παῖδες, τῆς ἄνω φαμὲν Ἱερουσαλὴμ, προσδεξάμενοι τὴν ὀγδόην, τουτ έστι τὴν ἀνάστασιν τοῦ Χριστοῦ, καὶ τὴν ἐν πνεύματι περιτομὴν πεπλουτήκασιν, ἁπάσης αὐτοὺς ἐλευθερώσασαν ἁμαρτίας, καὶ θανάτου μὲν ἀπαλλάττουσαν, ἐπειδὴ καὶ ἁμαρ τίας, ἐξ ἧς καὶ δι' ἣν ὁ θάνατος, εἰς δὲ τὴν Χριστοῦ ζωὴν μεθορμίζουσαν. Ὅτι δὲ πάλιν πρὸς οἷς ἤδη φθάσαντες διειρήκαμεν, καὶ θανάτου λύσις καὶ φθορᾶς ἀνατροπὴ διὰ τῆς ἐν πνεύματι περιτομῆς εὑρίσκεται, θεωρήσομεν εὐκόλως, τὸ τῆς καλου μένης ἐξόδου πολυπραγμονοῦντες βιβλίον. Μωυσῆς μὲν γὰρ 1.635 ὁ μακάριος διὰ θείου προστάγματος πρὸς Φαραὼ τὸν τῶν Αἰγυπτίων ἐστέλλετο τύραννον, ὅτι τῆς μακρᾶς ἐκείνης δουλείας ἀνεῖναι προσήκοι τὸν Ἰσραὴλ ἀπαγγέλλων. καὶ δὴ καὶ ἐβάδιζεν, ὡς ἤδη περιτευξόμενος ὧν εἰρήκαμεν χάριν· ἀλλ' "ἐγένετο, φησὶν, ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι "συνήντησεν αὐτῷ ἄγγελος, καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι· "καὶ λαβοῦσα Σεπφώρα ψῆφον περιέτεμε τὴν ἀκροβυστίαν "τοῦ υἱοῦ αὐτῆς καὶ εἶπεν Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ "παιδίου μου· καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, διότι εἶπεν Ἔστη τὸ "αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου." ἐνταῦθα μοι τίθει τὸ οὖς ἀκριβῶς· Μωυσέα μὲν γὰρ ὁ λεγόμενος ἄγγελος διαχειρίσασθαι καὶ ἀποκτεῖναι ζητεῖ, ἀναχωρεῖ δὲ μόλις αὐτοῦ καὶ ἀπανίσταται, τὴν τοῦ παιδίου περιτομὴν δυσω πούμενος, ἣν διὰ ψήφου Σεπφώρα δημιουργήσασα τὸ χρεὼν ἀποπληρῶσαί φησιν. ἔστη γὰρ τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου, τὸν Μωυσέως ὀλοθρευτὴν ἀποσοβοῦσα, βοᾷ. ἀλλ' εἰ μή τις καὶ τούτοις μυστικὸς ἐνεκρύπτετο λόγος, ποῖον ἂν εἰπέ μοι πιθανὸν ἐπιδείξαιτο νοῦν, τὸ τῇ τοῦ παιδίου περιτομῇ τὸν ἱεροφάντην σώζεσθαι Μωυσέα, καὶ θηρίου δίκην ἐπιπηδῶντα τὸν ὀλοθρευτὴν τῇ τοῦ αἵματος ἐπιδείξει καταλῆξαι μὲν τῆς ἐφόδου λοιπὸν, ἀνασειράζεσθαι δὲ ὥσπερ καὶ ὀπίσω χωρεῖν; οὐκοῦν· ἐπ' ἐκεῖνο γὰρ δὴ καὶ πρῶτον βαδιοῦμαι τῶν ἄλλων· οὐκ ἤρκεσεν εἰς σωτηρίαν τῷ μακαρίῳ Μωυσεῖ τὸ ἐκ τῆς ἰδίας περιτομῆς ἀγαθὸν, ἤτοι καύχημα. δεῖν γὰρ οἶμαι μᾶλλον οὕτως εἰπεῖν. οὐ γὰρ ἀνατρέψει τὸν θάνατον κατὰ παντὸς ἀδιακρίτως ἐρχόμενον, πονηροῦ τε καὶ ἀγαθοῦ, τῆς κατὰ νόμον περιτομῆς ἡ δύ ναμις. φοβεῖ δὲ καὶ ἄκοντα, καὶ ἀνατρέπει λυσσῶντα, τοῦ νέου λαοῦ, τουτέστι, τῶν εἰς Χριστὸν πεπιστευκότων ἡ ἐν πνεύματι περιτομὴ, διὰ τῆς Σεπφώρας, τουτέστι τῆς Ἐκκλη σίας, ἄριστα δὴ λίαν ἐπιτελουμένη. 1.636 Πῶς οὖν, εἴποι τις ἂν καὶ λίαν εἰκότως, ἐν τῇ τοῦ νέου λαοῦ κατὰ πνεῦμα περιτομῇ καὶ ὁ ταύτης ἀπείρατος Ἰσραὴλ περισώζεται; πρὸς δὴ τοῦτό φαμεν, ὡς ὅσον μὲν ἧκεν εἰς τὸ μὴ θελῆσαι τὸν Ἰσραὴλ παραδέξασθαι τὴν ἀνάστασιν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, βεβασίλευκεν ἂν καὶ εἰς τὸ διηνεκὲς ὁ θάνατος· ἐπειδὴ δὲ οἱ πιστεύσαντες παρεδέξαντο, δι' αὐτοὺς εἰς ὅλην διέβη τὴν φύσιν ἡ τῆς ἀναστάσεως χάρις, προτει νομένη τρόπον τινὰ τοῖς ὅλοις διὰ τῆς ἐν πνεύματι περι τομῆς· εἰ καὶ πολλή τις ἡ τῆς ἀναστάσεως ἔν τε τούτοις κἀκείνοις ὁρᾶται διαφορά. οἱ μὲν γὰρ τὸ πιστεύειν εἰς Χριστὸν ἐξωθούμενοι, καὶ ταῖς ἀπειθείαις ὑβρίζοντες τὸν χορηγὸν τῆς ζωῆς, ὅσον εἰς τὸ μόνον ἀναβιῶναι τὴν ἀπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς ἀναστάσεως κερδανοῦσι δύναμιν· ἀναβιώσονται γὰρ εἰς κατάκρισιν, οὐκ ἀγαπήσαντες τὸν δικαιοῦντα Χριστόν· οἱ δὲ τῆς τοῦ Σωτῆρος ἀναστάσεως θαυμασταὶ, καὶ τῶν ἐνταλ μάτων γνήσιοι φύλακες, "εἰς ἀνάστασιν ζωῆς," καθὰ γέ γραπται, τῆς ἐν ᾗπέρ εἰσιν ἐξοιχήσονται γῆς. παραπέμψει τοιγαροῦν ὁ ἐν πνεύματι περιτετμημένος λαὸς καὶ εἰς τοὺς ἀπίστους ἔτι τὸ ἴδιον ἀγαθόν. αὐτῷ γὰρ κυρίως ἡ τῆς ἀναστάσεως ὀφείλεται χάρις, παραπέμψει δὲ καὶ εἰς ἑτέρους αὐτὴν, ὅλην ἐκ τέχνης ἀνασῶσαι τὴν φύσιν ἐθελήσαντος τοῦ Θεοῦ. ὡς γὰρ ὁ Παῦλός φησιν, ὥσπερ ἡμεῖς ἠπειθή σαμέν ποτε τῷ ἐλέῳ τοῦ Ἰσραὴλ, ἵνα διὰ τῆς ἐκείνων εὐπειθείας τὴν διὰ Χριστοῦ κερδάνωμεν χάριν· "οὕτω καὶ "αὐτοὶ νῦν ἠπείθησαν τῷ ἡμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ "πάλιν ἐλεηθῶσι," παραπέμποντος καὶ εἰς αὐτοὺς τοῦ Σω τῆρος ἡμῶν Χριστοῦ διὰ τῆς ἡμετέρας πίστεως τὸ ἐκ τῆς ἀναστάσεως ἀγαθόν. τὰ γὰρ τοῖς πιστεύουσι χρεωστούμενα, πρεπωδέστερον ὅλῃ δωρεῖται τῇ φύσει. διὰ γάρ τοι τοῦτο καὶ ὁ θεσπέσιος ἡμῖν ἀπόστολος Παῦλος τὸ περὶ τῆς 1.637 ἐσομένης ἀναστάσεως ἀποκαλύπτων μυστήριον, ἀπαρχὴν μὲν τὸν Χριστὸν ἀναστήσεσθαι λέγει. καὶ γὰρ δὴ καὶ ἐγήγερται πρῶτος ἐκ νεκρῶν, ἀλλ' "ἔπειτα, φησὶν, οἱ τοῦ "Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ." πρὸ γὰρ τῶν ἄλλων ἁπάντων τοὺς οἰκειωθέντας αὐτῷ διὰ πίστεως δεῖ ἀναστή σεσθαι λέγει, χρεωστουμένην αὐτοῖς δὴ μάλιστα κυρίως τε καὶ ἰδικῶς ἐπιδεικνύων τὴν ἀνάστασιν, εἰ καὶ εἰς ὅλην διικνεῖται τὴν φύσιν, ἐξ ἀγαθότητος δηλονότι καὶ φιλαν θρωπίας τοῦ παντελῶς καταργῆσαι τὸν θάνατον ἐθελή σαντος Θεοῦ. Ἐπιτήρει δὲ ὅπως οὐ σιδήρῳ περιτέμνει τὸ παιδίον ἡ Σεπφώρα· κολαστὴς γὰρ ὁ σίδηρος, καὶ τοῖς ὑπὸ νόμον τὸν κολάζοντα πρέπων· ἀλλὰ ψήφῳ, καθὰ γέγραπται, νοουμένῃ εἰς τύπον Χριστοῦ. τὸ γὰρ ἄθραυστόν τε καὶ στερεὸν ἐφ' ἅπασι τῆς τοῦ Μονογενοῦς φύσεως διὰ τούτου σημαίνεται. τοιγάρτοι καὶ ἀδάμαντα τὸν Χριστὸν ὁ Θεὸς καὶ Πατὴρ ἐν ἁγίοις προφήταις ἀπεκάλει λέγων "Ἰδοὺ ἐγὼ ἐντάσσω "ἀδάμαντα εἰς μέσον λαοῦ μου Ἰσραήλ." τὸ γὰρ μηδα μόθεν εἴκειν τοῖς ἀντιπίπτουσι δύνασθαι τὴν θείαν τε καὶ ἄῤῥητον τοῦ Λόγου φύσιν, ὡς ἐν σχήματι πάλιν ὁ ἀδάμας ἡμῖν σημαίνει· οὕτω δὲ ἡμῖν καὶ ὁ θεσπέσιος Ἰησοῦς, μετὰ τὴν Μωυσέως στρατηγίαν καὶ τὴν ἐκείνου τελευτὴν εἰς ἡγεμονίαν κεκλημένος, ψήφῳ τῇ θείᾳ καθαροὺς ἀπετέλει τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐπείπερ τῆς τῶν πολεμίων χειρὸς κατεξανίστασθαι χρῆν, προεξοπλίζεσθαι τρόπον τινὰ διὰ τῆς περιτομῆς εὖ μάλα διεκελεύετο, οὐχ ἑτέρως ἔσεσθαι τοῦ πίπτειν ἀμείνους καὶ θανάτου κρείττονας τοὺς ὅσον οὐδέπω μαχομένους εἰδώς. Γέγραπται δὲ οὕτως περὶ αὐτοῦ "Καὶ εἶπε Κύριος τῷ "Ἰησοῦ Ποίησον σεαυτῷ μαχαίρας πετρίνας ἐκ πέτρας "ἀκροτόμου, καὶ καθίσας περίτεμε τοὺς υἱοὺς Ἰσραήλ. καὶ 1.638 "ἐποίησεν Ἰησοῦς μαχαίρας πετρίνας, καὶ περιέτεμε τοὺς "υἱοὺς Ἰσραήλ." ἐν γὰρ δὴ τούτοις ἡμῖν τὸ μὲν τῆς πέτρας ὄνομα, τὸ οἱονεὶ πεπηγός τε καὶ ἄθραυστον τοῦ Θεοῦ Λόγου· τὸ δὲ λεγόμενον ἀκρότομον, τὴν ἐν τῷ καθικνεῖσθαι λεπτῶς εἰς ἅπαντα δύναμιν καὶ τὴν ὀξυτάτην ἐνέργειαν αὐτοῦ δηλοῖ, ἐπεὶ καὶ Παῦλος ἡμῖν, ὁ τοῖς ἱεροῖς τε καὶ θείοις ἐντεθραμμένος γράμμασι "ζῶντα καὶ ἐνεργῆ, καὶ "τομώτερον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον" τὸν θεῖον ἀποκαλεῖ λόγον, διικνεῖσθαί τε φησὶν αὐτὸν "ἄχρι μερισμοῦ "ψυχῆς καὶ πνεύματος." ὁ δὲ οὕτως λεπτὸς καὶ τομὸς, ἐν καρδίαις ταῖς ἡμετέραις διὰ τοῦ ἰδίου καθικνούμενος Πνεύ ματος, ἀπαλλάττει μὲν ἁπάσης ἀκαθαρσίας· περιτεμὼν δὲ, ὡς οὐκ ἔστιν εἰπεῖν, τὰ ἐφ' οἷς ἐσμεν τῆς ἐσχάτης βδελυρίας ἀνάπλεῳ, καὶ ἁγίους καὶ ἀμώμους ἀπεργάζεται. ὅρα γάρ μοι διαφανεστάτην ἐν τούτοις τὴν τῆς ἀληθείας εἰκόνα. ἔστι γὰρ ὁ μὲν περιτέμνων Ἰησοῦς, οἱ δὲ ὑπομένοντες τοῦτο παρ' αὐτοῦ, "πᾶν παιδίον νέον, καθὰ γέγραπται, ὅστις οὐκ οἶδε "σήμερον ἀγαθὸν ἢ κακόν." οἱ μὲν γὰρ τῆς Αἰγυπτίων ἐκδεδημηκότες, τῆς ἀπειθείας ὀψώνιον τὴν θείαν εἶχον ὀργὴν, καὶ πολυειδὴς αὐτοὺς κατὰ τὴν ἔρημον ἐξεδέχετο κόλασις, δόξαν εἰκότως τῷ πανάγνῳ Θεῷ μὴ εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσιν αὐτῶν. οἱ δὲ αὖ μετ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκείνους τῶν τῆς ἀπειθείας ἐγκλημάτων ἐλεύθεροι, τύπον ἀνεπλήρουν τοῦ νέου λαοῦ, ὡς καὶ τὴν ἐν πνεύματι περι τομὴν διὰ Χριστοῦ λαμβάνειν, κατοιχομένου πρὸς ἀπώλειαν, καθάπερ ἀρτίως ἐλέγομεν, τοῦ ἀρχαίου καὶ πρώτου λαοῦ, τουτέστι τοῦ Ἰσραήλ. περιτέμνεται γεμὴν ὁ εὐγενὴς καὶ νέος λαὸς, Ἰησοῦ διατάττοντος, πέραν τοῦ Ἰορδάνου, καθὰ γέγραπται. ἔχει γὰρ οὕτω καὶ τὰ ἐκ τῆς ἀληθείας θεωρού 1.639 μενα. δεξόμεθα γὰρ οὐδαμῶς τὴν διὰ τοῦ Πνεύματος ἐν καρδίᾳ περιτομὴν, οὔπω τὸν μυστικὸν διαβιβασθέντες Ἰορ δάνην, ἀλλ' ἐπέκεινα γεγονότες τῶν ἁγίων ὑδάτων. ἐπειδὴ δὲ περιετμήθη πᾶς ὁ λαὸς διὰ προστάγματος Ἰησοῦ, τὸ ἐκ τοῦ πράγματος εὐθὺς ἀνακαλύπτει χρήσιμον ὁ νομοθέτης, καί φησι πρὸς τὸν ἅγιον Ἰησοῦν "Ἐν τῇ σήμερον ἡμέρᾳ "ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν." ἐπὶ τίσιν οὖν ἄρα τὸν Ἰσραὴλ ὠφελεῖσθαι δώσομεν περὶ τῆς περιτομῆς; ἢ ποῖον αὐτὸν ὀνειδισμὸν ἀφαιρεθῆναί φαμεν; τὴν δουλείαν δηλονότι, καὶ τὸ ἐξ ἀσθενείας ἕτοιμον εἰς πλεονεξίαν, καὶ προσέτι πόνους τοὺς ἐπὶ πηλῷ καὶ πλινθείᾳ. ὁρᾷς ὅσων ἀπαλλάττει κακῶν τῆς ἐν πνεύματι νοουμένης περιτομῆς ἡ δύναμις; ἐξέλκει μὲν γὰρ τῆς τοῦ διαβόλου χειρὸς τὴν τοῦ ἀνθρώπου ψυχὴν, ἐλευθέραν καὶ ἀνειμένην τῆς τυραννούσης ἐν ἡμῖν ἁμαρτίας ἀποτελεῖ, καὶ πλεονεξίας ἁπάσης τῆς ἐκ πονηρῶν δαιμονίων ἀμείνω δεικνύει. ἀλλὰ καὶ πηλοῦ καὶ πλινθείας ἀνίησιν, οὐ γὰρ ἔτι ταῖς τῆς σαρκὸς μεμολυσμένον ἡδοναῖς, ἢ τοῖς περὶ γῆν ἐγκαταφύρεσθαι πόνοις ἐᾷ, ἐλευθεροῖ δὲ καὶ θανάτου καὶ φθορᾶς, καὶ οὐκ ἐν τούτοις ὅλα τὰ ἐκ τῆς περιτομῆς, ἀλλὰ καὶ θείας φύσεως ἀποτελεῖ κοινωνοὺς διὰ μετοχῆς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. Ἐπισυνάπτει γὰρ τοῖς εἰρημένοις ὁ τοῦ βιβλίου συγγρα φεὺς, ὅτι "Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα τῇ "τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, καὶ ἐφάγοσαν ἀπὸ "τοῦ σίτου τῆς γῆς ἄζυμα καὶ νέα." οὐ γὰρ ἔστιν ἑτέρως δύνασθαι μετασχεῖν τοῦ ἀμνοῦ τοῦ ἀληθινοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλ' οὐδὲ τὴν ἄζυμόν τε καὶ νέαν τῶν εὐαγγελικῶν κηρυγμάτων εὑρέσθαι τροφὴν, μὴ προπαρ ελθόντας μὲν τὸν μυστικὸν Ἰορδάνην, τὴν δὲ ἐκ τοῦ ζῶντος 1.640 Λόγου λαβόντας περιτομὴν, καὶ προαποτριψαμένους τρόπον τινὰ, καθάπερ κηλῖδα ψυχῆς, τὸν ὀνειδισμὸν Αἰγύπτου, κατὰ τὸν ἀρτίως ἡμῖν διερμηνευθέντα τρόπον. Ὅτι γὰρ ὡς ὀνειδισμοῦ καὶ ἀκαθαρσίας ἀνάμεστον ἁπάσης τὸν οὔπω περιτετμημένον καταμυσάττεται Θεὸς, οὐ τὴν σάρκα βδελυττόμενος, ἣν οὐκ ἀπηξίωσε δημιουργεῖν· ἀλλὰ τὸν ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς ὑγιῶς ἔτι καὶ ὁλο κλήρως, ἵνα οὕτως εἴπωμεν, ἔχοντα, διὰ τὸ μηδὲν ἀποβαλεῖν, διαγνωσόμεθα πάλιν, ὅταν εὕρωμεν λέγοντα πρὸς τὸν ἅγιον Μωυσέα καὶ τὸν Ἀαρών "Οὗτος ὁ νόμος τοῦ πάσχα· πᾶς "ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ, καὶ πάντα οἰκέτην τινὸς "καὶ ἀργυρώνητον περιτεμεῖς αὐτὸν, καὶ τότε φάγεται ἀπ' "αὐτοῦ." ἐξείργει μὲν γὰρ παντελῶς τὸν ἀλλόφυλον, τὸν οὔπω διὰ πίστεως προσοικειωθέντα Χριστῷ διὰ τούτου δηλῶν· τὸν δέ γε τῇ ἁμαρτίᾳ δουλεύοντα, καὶ τῷ διαβόλῳ τρόπον τινὰ καταπεπραμένον, προπεριτμηθέντα καὶ προκεκα θαρμένον τῶν ἱερωτάτων ἅπτεσθαι κρεῶν εὐκαίρως δὴ λίαν ἐφίησι τότε. καθαροὶ γὰρ μᾶλλον καθαρῶς μεθέξομεν τοῦ Χριστοῦ, κατὰ τὸ ἐν ταῖς ἐκκλησίαις εὐρύθμως ἀναφωνού μενον Τὰ ἅγια τοῖς ἁγίοις. καὶ γὰρ ἦν ὄντως δίκαιόν τε καὶ πρέπον, ἀποθανόντος ὑπὲρ ἡμῶν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ οὐ τοῖς κατὰ νόμον ἡμᾶς περιῤῥαντηρίοις καθαρίσαντος, ἀλλ' αἵματι τῷ ἰδίῳ, καὶ ἡμᾶς αὐτῷ τὴν ἰδίαν ἀναθεῖναι ζωὴν, καὶ ὡς ἐν τάξει δικαίων ὀφλημάτων καταθέσθαι λοιπὸν τὸ μὴ πολιτεύεσθαι μὲν ἑαυτοῖς, ἀντιδιδόναι δὲ ὡσπερεὶ τὴν ὁλοσχερῆ πρὸς ἁγιασμὸν ἀφιέρωσιν τῶν ἡμετέρων ψυχῶν. ὅτι γὰρ ἡμᾶς τὸ τίμιον αἷμα καὶ ὁ θάνατος τοῦ ὑπὲρ πάντων ἀποθανόντος Χριστοῦ, καὶ παντὸς διέσωσε κακοῦ, καὶ τῆς ἐν πνεύματι περιτομῆς γέγονε πρόξενον, δι' ἧς τὸ συνάπτε σθαι τῷ ἐπὶ πάντας Θεῷ κερδαίνομεν, κἀν τούτῳ πάλιν ὀψόμεθα. γέγραπται γάρ τι τοιοῦτο ἐπὶ τῷ μετὰ Μωυσέα 1.641 γεγονότι στρατηγῷ, φημὶ δὲ πάλιν Ἰησοῦ τῷ τοῦ Ναυῆ "Καὶ ἐγένετο μετ' ἐκεῖνα καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπέθανεν Ἰησοῦς υἱὸς Ναυῆ "δοῦλος Κυρίου ἑκατὸν δέκα ἐτῶν. καὶ ἔθαψαν αὐτὸν πρὸς "τοῖς ὁρίοις τοῦ κλήρου αὐτοῦ· ἐκεῖ ἔθηκαν μετ' αὐτοῦ εἰς "τὸ μνῆμα ἐν ᾧ ἔθαψαν αὐτὸν ἐκεῖ, τὰς μαχαίρας τὰς "πετρίνας ἐν αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραήλ." ἐθάπτετο μὲν γὰρ τεθνεὼς ὁ μακάριος Ἰησοῦς· παρεπήγνυντο δὲ χρησίμως αἱ μάχαιραι τῷ μνημείῳ, πρὸς τὸν τῆς περιτομῆς ὑπουργήσασαι τύπον· ἵνα πάλιν ἡμεῖς διὰ τούτου συνῶμεν, ὅτι τῷ θανάτῳ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τῆς ἐν πνεύματι περιτομῆς παραπέπηγεν ἡ χάρις ἡ πάντων ἡμῖν τῶν οὐρα νίων ἀγαθῶν προμνήστρια. Ἐκληψόμεθα τοίνυν τὴν ἐν ὀγδόῃ περιτομὴν, Ἰουδαϊκὸν νοοῦντες οὐδὲν, τὴν διὰ Πνεύματος κάθαρσιν, ἐν πίστει καὶ ἀναστάσει Χριστοῦ, πάσης ἁμαρτίας ἀποβολὴν, θανάτου καὶ φθορᾶς ἀναίρεσιν, πρόξενον ἁγιασμοῦ καὶ οἰκειότητος τῆς εἰς Χριστὸν, ἐλευθερίας εἰκόνα, τῆς πρὸς Θεὸν οἰκειώσεως ὁδόν τε καὶ θύραν. Ἅλις μὲν οὖν ἤδη τῶν ἐπὶ τούτοις πανταχόθεν ἡμῖν ἠρανισμένων θεωρημάτων πνευματικῶν, διῃρημένοιν δὲ ὡς εἰκὸς τοῖν δυοῖν κεφαλαίοιν, ἑκάστῳ τε τὸν αὐτῷ πρέποντα διηντληκότες λόγον· λεῖπον ἂν εἴη καὶ χρεωστούμενον εἰπεῖν, ὅτου δὴ χάριν τῆς περιτομῆς τὸ χρῆμα τὸ πνευματικὸν καταneανιεύεταί πως καὶ τῆς τοῦ σαββάτου τιμῆς. δεκτὴ γὰρ ἡ περιτομὴ καὶ ἐν σαββάτῳ, τὸν ἐπ' αὐτῷ τῆς ἀργίας οὐ καταφρίττουσα νόμον. κατασημαίνοντος τοίνυν τοῦ μὲν ἐν ἑβδόμῃ σαββατισμοῦ τὴν ἐκ φαυλότητος ἁπάσης ῥαστώ νην τε καὶ ἀργίαν, καὶ τὴν ἀπὸ τῆς ἁμαρτίας σχολὴν, σημαινούσης δὲ πάλιν τῆς ἐν πνεύματι περιτομῆς οὐδὲν παρὰ ταῦτα ἕτερον, ὡς ἐν ἐξηλλαγμένῳ τρόπῳ· τὸ γὰρ 1.642 οἶμαι τῶν περιττῶν ἐπιθυμιῶν ἀπαλλάττεσθαι καὶ ἡδονῆς τῆς πλείονος, τὴν ἐκ φαυλότητος ἀργίαν ὠδίνειν διαφανῶς· οὐχ ὅπως κατ' οὐδένα παραλύουσαν τρόπον τὸν ἐπὶ τῷ σαββάτῳ νόμον τὴν περιτομὴν εὑρήσομεν, ἀλλ' ἤδη καὶ συνασπίζουσαν καὶ εἰς ἕνα καὶ τὸν αὐτὸν μονονουχὶ καὶ συνθέουσαν λόγον, καὶ ὅτι προσῆκεν ἀργεῖν καὶ ἀνεῖσθαι φαυλότητος ἀναφανδὸν ἀγορεύουσαν, ὡς εἶναι ταὐτὸν ἀμφό τερα, τό τε περιτέμνεσθαι λέγω, καὶ τὸ ἀργεῖν ἐν σαββάτῳ, καθόσονπερ ἄν τις ἄριστά γε ποιῶν ὑπολάβοι, κατὰ τὴν ἐξ ἀμφοῖν εἰς ἕνα σκοπὸν συνδρομήν. οὐ γὰρ δήπου τῷ παχεῖ τῆς ἱστορίας προσεδρεύσομεν τύπῳ, προσβαλοῦμεν δὲ μᾶλλον πνευματικῶς τοῖς λογίοις τοῦ Πνεύματος. οὐκοῦν ἀκατηγορήτως καὶ ἐν σαββάτῳ τὸ ἐκ τῆς περιτομῆς εἰσβή σεται χρήσιμον, ἐπεὶ κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, "βεβη "λοῦσιν οἱ ἱερεῖς ἐν τῷ ναῷ τὸ σάββατον" ἱερουργοῦντες ἐν αὐτῷ, καὶ τῶν συνήθων οὐ καταλήγοντες, "καὶ ἀναίτιοί "εἰσιν," ὡς αὐτὸς αὐτοῖς μεμαρτύρηκεν ὁ Κριτὴς, εὖ δὴ μάλα καὶ λίαν εἰκότως. ἔργων γὰρ ἱερῶν καὶ τῶν ὅσα τὸ θεῖον εὐφραίνει ποῖος ἂν γένοιτο καιρὸς, ὅτι προσῆκεν ἡμᾶς ἀποσχέσθαι λέγων; τὸ δὲ καταλήγειν τῆς ἐν εὐσεβείᾳ σπουδῆς κατὰ τίνα χρόνον οὐκ ἐπιζήμιον; φαυλότητος οὖν ἄρα καὶ μόνης τῆς βδελυρᾶς ἁμαρτίας ἀξιεπαινετωτάτην ἔχει κατάλυσιν καὶ ἀνοκωχὴν ἡ κατὰ τὸ σάββατον ἀργία, διακωλύει δὲ οὐδαμῶς ἔργοις μὲν ἐφήδεσθαι τοῖς ἱεροῖς, ὅπερ δ' ἂν οἴηταί τις πρὸς ὠφέλειαν ἔσεσθαι τῇ οἰκείᾳ ψυχῇ, τοῦτο καὶ λίαν ἐπείγεσθαι περαίνειν ὀρθῶς ἀνεγκλήτως ἐφίησι. τοῦτο δ' ἂν ἴδοις αὐτὸ καὶ ἐν τῇ δυνάμει τῆς περιτομῆς εἰσκεκομισμένον τὸ χρήσιμον. ἐν γὰρ τῷ τὰς εἰς τὸ φαῦλον ἡδονὰς ἀποτέμνειν, ἀργίας μὲν τῆς εἰς ἁμαρτίας ὁρᾶται γένεσις, λατρείας δὲ τῆς ἐν πνεύματι καὶ πολιτείας τῆς ἱερωτάτης ἀρχή· ἀλλ' ἥ γε διαφορὰ μικρὰ μὲν 1.643 ἐν τούτοις, ἀναγκαία δ' οὖν ὅμως. τὸ γὰρ ἄμφω μὴ ἐν ἑβδόμῃ τελεῖσθαι προστάττειν, μήτε μὴν ἐν ὀγδόῃ τυχὸν, ὅτι διέσταλταί πως ὁ ἐφ' ἑκάστῳ λόγος δίδωσιν ἐννοεῖν. ἀλλ' ἔχει τινὰ καὶ τοῦτο διάνοιαν, οὐκ ἄκομψον, ὥς γε μοι φαί νεται. τὸ γὰρ ἀργῆσαι φαυλότητος, οὔπω πάντως ἐστὶ καὶ φαυλότητος ἀποβολή. ἠρεμεῖ γὰρ πολλάκις ἐν ἡμῖν τὰ πάθη, τῆς μὲν διανοίας οὐκ ἔξωθεν ὄντα κατὰ τὸ πάντη· λογισμῷ δὲ τῷ σώφρονι, καθάπερ τινὶ χαλινῷ περιενεχθέντα βιαίως εἰς ἀπᾴδουσαν αὐτοῖς ἡσυχίαν, ἀλλὰ καὶ τοῖς εἰς ἄσκησιν πόνοις καὶ οὐχ ἑκόντα παραχωρεῖ· τὸ δὲ ἀποσείσα σθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάθος, ὅσον ἀνθρώπῳ πρέπει, πάντως γε δήπου καὶ ἕτερόν τι παρ' ἐκεῖνό ἐστι, καὶ πολύ τι μεῖζον παρὰ τὸ ἀργῆσαι πάθους. διεσκευασμένων δὲ οὕτω τῶν ἐπὶ τούτοις λόγων, προσήκει λοιπὸν ἐννοεῖν, ὡς οὐ πρότερον ἐπὶ τὴν τῶν παθῶν, ἤτοι τῶν ἐξ ἡδονῆς πταισμάτων, ἥξομεν ἀπο βολὴν, ὃ καὶ διὰ τῆς περιτομῆς σημαίνεται, μὴ οὐχὶ τῆς κατ' ἐνέργειαν δραστικῆς κακίας προκαταλύοντες, καὶ ἱστῶν τες ὥσπερ εἰς ἀργίαν τὰ εἰς πλημμέλειαν τρέχοντα τοῦ νοῦ κινήματα. βαθμῷ γὰρ ὥσπερ τινὶ τότε τῷ τοιούτῳ χρησά μενοι, καὶ προσέτι μεῖζον καὶ ὑπερτεροῦν ῥαδίως ἀναβησό μεθα, τὴν ὁλοσχερῆ φημι τῶν παθῶν ἀποτομήν. ἀλλὰ τὸ μὲν ἀργῆσαι πάθους, ἔχει τινὰ μοῖραν τοῦ καὶ ἐφ' ἡμῖν κεῖσθαι δοκεῖν· καταλήξομεν γὰρ τοῦ κακοῦ τοῖς ἀμείνοσι τῶν ἰδίων θελημάτων ἐπιδιδόντες τὴν ῥοπήν· τὸ δὲ ἀπαλ λάττεσθαι πάθους, οὐχὶ πάντως ἐφ' ἡμῖν, ἔργον δ' ἂν εἴη πρέπον ὄντως Χριστῷ τῷ παθόντι ὑπὲρ ἡμῶν, ἵνα καὶ πάντας ἀναῤῥυθμίσῃ πρὸς καινότητα ζωῆς. διάτοι τοῦτο 1.644 τὴν μὲν ὀγδόην ἡ περιτομὴ πρεπόντως ἀπεκληρώσατο, τὸν ἀνακαινιστὴν, ἵν' οὕτως εἴπω, τῆς ἀναστάσεως εἰσκομίζουσα καιρόν. γείτονα δὲ τὴν ὀπίσω βραχὺ, τὴν ἑβδόμην, ἡ ἀργία. λείπεται γάρ πως καὶ ὀπίσω κεῖται βραχὺ τῆς ὁλοκλήρου τῶν παθῶν ἀποτομῆς, ἡ πρόσκαιρός τε καὶ κατὰ θέλησιν ἀργία.

## 1.645 ΚΕΦΑΛΑΙΑ ΤΑ ΕΝ ΤΩι ΠΕΜΠΤΩι ΒΙΒΛΙΩι.

α. Ὅτι κατὰ Ἑλλήνων ἀμαθεῖς ὑπονοίας, οὐ ταῖς ὥραις ὡς ἐξ ἀνάγκης ὑπόκειται τὰ καθ' ἡμᾶς, ἀλλ' ἐκ προαιρέσεως ἰδίας ἐπί τε τὸ ἀγαθὸν καὶ τὸ ἐναντίον ἐρχόμεθα, καὶ ὅτι τοῖς τοῦ Θεοῦ νεύμασι διοικούμεθα· προκειμένου ῥητοῦ Ἐζήτουν αὐτὸν πιάσαι καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. β. Ὅτι μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν κατὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐνῳκίσθη παγίως ἡμῖν τὸ Ἅγιον Πνεῦμα· προκειμένου ῥητοῦ Οὔπω γὰρ ἦν Πνεῦμα ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. γ. Ὅτι οὐ τῆς Ἰουδαίων ἰσχύος ἔργον ἦν τὸ ἐπὶ τῷ σταυρῷ πάθος, οὐδὲ ἐκ τῆς τινων πλεονεξίας ἀπέθανεν ὁ Χριστὸς, ἀλλ' αὐτὸς ἑκὼν τοῦτο ὑπὲρ ἡμῶν πέπονθεν, ἵνα πάντας διασώσῃ· προκειμένου ῥητοῦ Ταῦτα τὰ ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ καὶ οὐδεὶς ἐπίασεν αὐτὸν ὅτι οὔπω ἐλήλυθεν ἡ ὥρα αὐτοῦ. 1.646 δ. Ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς τῆς πρὸς τὴν κτίσιν ὁμοιότητος ἀνῳκισμένος παντελῶς, ὅσον εἰς οὐσίας λόγον· προκειμένου ῥητοῦ Ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ· ἐγὼ ἐκ τοῦ κόσμου τούτου οὐκ εἰμί. ε. Ὅτι οὐκ ἐλάττων ἐν δυνάμει καὶ σοφίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, μᾶλλον δὲ [αὐτο]σοφία καὶ δύναμις αὐτοῦ· προκειμένου ῥητοῦ Ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ καθὼς ἐδίδαξέν με ὁ Πατὴρ ταῦτα λαλῶ.

## 1.647 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ

. Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; ἙΟΡΤΗΣ οὔσης τῆς κατὰ νόμον σκηνοπηγίας κατωνο μασμένης, καὶ ἐξ ἁπάσης, ὡς ἔπος εἰπεῖν, τῆς περιοικίδος συνδεδραμηκότων Ἰουδαίων εἰς Ἱεροσόλυμα· τοῦτο γὰρ ἦν τὸ τῷ νομοθέτῃ δοκοῦν· τὴν πρὸς ἅπαντας διδασκαλίαν ἐποιεῖτο Χριστός. οὐ γὰρ δήπου μόνοις προσελάλει τοῖς ἀστικοῖς. οὐκοῦν ἀνάγκη ζητεῖν τόν γε ὅλως χρηστομαθῆ καὶ φιλήκοον, τί τὸ πεπεικὸς τὸν θεῖον ἡμῖν Εὐαγγελιστὴν, τὴν μὲν ἄλλην ἅπασαν τῶν Ἰουδαίων ἀγέλην σιωπῶσαν εἰσάγειν, Ἱεροσολυμίταις δὲ μόνοις τὸν ἐπὶ τούτῳ προσάψαι λόγον· τί δὲ ἄρα διεσκεμμένοι καὶ καθ' ἑαυτοὺς ἐνθυμούμενοι τὰ τοιαῦτά φασιν· σχῆμα γὰρ τῷ λόγῳ περιτέθειται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βαθύ. 1.648 τί τοιγαροῦν πρὸς τοῦτο ἐροῦμεν; οὐκ εὐαρίθμητα κατὰ 1.648 τὸ ἄστυ σημεῖα πεποιηκότος τοῦ πάντων Σωτῆρος ἡμῶν Χριστοῦ, συχνότερον δὲ τοῖς Ἱεροσολύμοις ἐνδιατρίβοντος, ὑποπείθονται δέ πως, ἠρέμα βαδίζουσιν εἰς τὸ λοιπὸν θελῆ σαι πιστεύειν αὐτῷ τῶν κατὰ τὸ ἄστυ τινὲς, ἀλλ' οὔτε γυμνῶς, οὔτε μὴν ἐλευθέρως ἀγαπᾶν ἀπετόλμων, τῷ τῶν ἡγουμένων καταπτοούμενοι θράσει, καὶ πρὸς δέος ἐπιζήμιον οὐκ ἐξ ἐπιβουλίας συνωθούμενοι. τοῦτο γὰρ ἐδήλου σαφῶς ἐν τοῖς ἤδη παρῳχηκόσιν εἰρηκὼς ὁ μακάριος Εὐαγγελιστὴς, ἐν παῤῥησίᾳ μηδένα λαλεῖν "περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν "Ιουδαίων." Ἰουδαίους γὰρ ἐν τούτοις τοὺς ἡγουμένους ἀποκαλεῖ λοιπὸν, κατοκνήσας, ὥς γ' ἐμοὶ φαίνεται, τοῖς οὕτως ἀπεγνωσμένοις τὴν τῶν ἡγουμένων ἐπωνυμίαν χαρί ζεσθαι. παῤῥησιαζομένου τοιγαροῦν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ταῖς τῶν ἀρχόντων ἀπονοίαις ἐπιπη δῶντος εὐτόνως, διελέγχοντός τε καὶ μάλα σαφῶς ὡς οὐδεὶς μὲν αὐτοῖς τοῦ νομοθέτου λόγος, ἐπὶ δὲ τὸ δοκοῦν ἕκαστοι καὶ λίαν εὐπετῶς ἀποκλίνοντες καὶ εἰς τὸ φονᾶν ἀπερι σκέπτως ὡς ἐπὶ μηδενὶ τῶν φαύλων ἐξώλισθον, ὑπομένοντός τε τῶν ἀηδῶν ἐπὶ τούτοις οὐδὲν παρ' ὧν ἦν εἰκὸς ὑποστή σεσθαι τὰ δεινά· αὐτὸ δὴ τοῦτο πρὸς ἀπόδειξιν καὶ πληρο φορίαν τῆς ἐνούσης αὐτῷ θεοπρεποῦς ἐξουσίας Ἱεροσολυμῖται λαμβάνουσι, καὶ τοῖς ἤδη προτεθαυμασμένοις προσθήκην ὥσπερ τινὰ καὶ τοῦτο δεχόμενοι, καὶ τοῖς προλαβοῦσιν ἐπισωρεύοντες, θερμοτέροις λοιπὸν τοῖς κινήμασιν ἐπὶ τὸ χρῆναι πιστεύειν αὐτῷ συνελαύνονται. διὰ τοῦτό φασιν τὴν ἐκ λογισμοῦ τοῦ εἰκότος ἐρανιζόμενοι γνῶσιν Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; ἐννόει γὰρ ὅτι μονονουχὶ καὶ ὑψηλὴν 1.649 ἀνατείνοντες χεῖρα τὴν δεξιὰν, τῇδε κἀκεῖσε περικομίζοντες, δεικνύουσι μὲν τὸν ἐλέγχοντα, διαγελῶσι δὲ ἤδη τὴν ἐκείνων ἀτίθασον ἀγριότητα κατηυνασμένην ὁρῶντες, οὐ λογισμῷ τῷ σώφρονι· πόθεν; θεοπρεπεῖ δὲ μᾶλλον δυνάμει καὶ ἐξουσίᾳ. Σημειωτέον δὲ ὅτι τοῖς ἄλλοις ἅπασι τῶν Ἰουδαίων ὄχλοις Ἱεροσολυμῖται μόνοι τἀναντία φασὶ, καὶ ὅπως, ἐρῶ. εἰσηγουμένου ποτὲ τὰ κάλλιστα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ παρειστήκεισαν οἱ Φαρισαῖοι διαπριόμενοι ἐπὶ τούτοις, ἀνα κεκαλυμμένοι δὲ ἤδη πρὸς ἀνήμερον θράσος, καὶ τὰ ἐκ φόνου πράττειν ἐπειγόμενοι· πρὸς δὴ τοῦτο αὐτὸς ἔφασκε παρα νομοῦντας ἐλέγχων αὐτοὺς τοὺς ὅτι προσήκοι φονᾶν ἐγνω κότας "Οὐ Μωυσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ "ὑμῶν ποιεῖ τὸν νόμον· τί με ζητεῖτε ἀποκτεῖναι;" καὶ ὁ μὲν σύμπας τοῦ λόγου σκοπὸς τὰς τῶν ἡγουμένων κατα τοξεύει καρδίας· ὑποπλήττεται δ' οὖν ὅμως ἡ ἀγελαῖα πληθὺς, ἀφορητῶς δὲ διατεθεῖσα περὶ τοὺς λόγους ὑβριστι κώτερον ἀπεκρίνατο λέγουσα "Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ "ἀποκτεῖναι;" ἀλλ' οἶμαι παντί τῳ δῆλον ὑπάρχειν, ὡς ἐπείπερ ἐθεᾶτο φονῶντας ἤδη τοὺς Φαρισαίους, ἐκεῖνά φησιν ὁ Χριστός. πῶς οὖν ἀρνουμένων ἐνταῦθα τινῶν, καὶ τό Τίς σε ζητεῖ ἀποκτεῖναι, βοώντων, Ἱεροσολυμῖται μόνοι τἀναντία τοῖς ἄλλοις ἅπασι καταψηφιζόμενοι λέγουσιν Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; εὖ δὲ καὶ τοῦτο Ζητοῦσιν, ἵνα τοῖς ἄρχουσι μόνοις ἐπιγράφηται τὰ τολμήματα. οὐκοῦν πιθανός τις ἡμᾶς ἀναπείθει λόγος ἐννοεῖν, ὡς ὁ μὲν ἄλλος τῶν Ἰουδαίων ἠγνόησε δῆμος τὸν ἐν τοῖς ἡγουμένοις σκοπὸν, Ἱεροσολυμῖται δέ γε κατὰ τὰ πλεῖστα συνόντες αὐτοῖς καὶ 1.650 μίαν συνοικήσαντες πόλιν, ἀεί τε περιτυγχάνοντες, ἴσασί πως τὸν ἐγκεχωσμένον αὐτοῖς ἀνόσιον ἐπὶ τῷ Σωτῆρι τῷ Χριστῷ σκοπόν. καὶ συμβέβηκεν οὐ διὰ μόνης τῆς τοῦ Σωτῆρος ἡμῶν φωνῆς τὸ μιαρὸν τῶν Ἰουδαίων κατηγορεῖσθαι στῖφος, ἀλλ' ἤδη καὶ ἐξ αὐτῆς τῆς ὑπ' αὐτοῖς πρατ τούσης ἀγέλης, ἣ ταῖς αὐτῶν ἀπονοίαις διόλωλέ τε καὶ ἠνέχθη κατὰ κρημνῶν. καὶ γάρ ἐστι πως ἐκ τῶν εἰρημένων διψῶσαν μὲν ἤδη καὶ ἐκκεκαυμένην ὥσπερ εἰς τὴν ἐπὶ Χριστῷ πίστιν ὁρᾶν, ὀλίγης δὲ κομιδῇ δεομένην τῆς χειρα γωγίας, ἧς εἴπερ ἔτυχον, εὐκόλως ἂν παραδέξωνται τὸν οὐρανόθεν ὡς ἡμᾶς ἀφιγμένον. ὑπαίτιοι τοιγαροῦν τῆς τῶν προβάτων ἀπωλείας εἰσὶν οἱ τὸ ἡγεῖσθαι λαχόντες. καὶ μαρτυρήσει πάλιν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προφήτης Ἱερεμίας οὕτω βοῶν "Ὅτι "οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν· "διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν." Ἴδε ἐν παῤῥησίᾳ αὐτοῖς λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν. Ἐπιτείνουσι τῆς πληροφορίας ἐν ἑαυτοῖς τοὺς λόγους, καὶ εἰς φανερωτέραν ὥσπερ ἀναφοιτῶσιν ἀπόδειξιν, τὴν ἀκίνδυνον ὁρῶντες παῤῥησίαν Χριστοῦ. καταπλήττονται δὲ καὶ σφόδρα εἰκότως εἰς ἀμελέτητόν τε καὶ ἀσυνήθη μακρο θυμίαν ὑπενεχθέντας εὑρίσκοντες τοὺς ἀνοσίους τὸ πάλαι, καὶ ὑβριστὰς θεώμενοί τε καὶ ξένην ἐπιτηδεύοντας ἡμερό τητα. εἰς εὐλόγους ἐντεῦθεν ἀποδημοῦσιν ὑποψίας· δι' ὧν δὲ πάλιν ὡς ἀνεξικακοῦντας θαυμάζουσιν καὶ ἐφ' οἷς οὐδα μόθεν ὀργίζεσθαι χρῆν, διὰ τούτων αὐτῶν κατηγοροῦντες ἁλίσκονται, ὡς ἐν ἔθει παρ' ἐκείνοις ἦν τοῖς τῶν καλλίστων ἐξηγηταῖς ἀδιακρίτως ἐπιφύεσθαι, καὶ κατὰ παντὸς ἁπλῶς ἰέναι θερμῶς, ἂν μόνον αὐτοῖς ἀπᾴδοντα λέγῃ, κἂν εἴ τι τῷ θείῳ νόμῳ συνηγορῇ. δεινὸν γὰρ ἀεὶ τῶν Φαρισαίων τὸ 1.651 φύσημα, καὶ μέτρον οὐκ ᾔδει τῆς ἐκείνων ἀπονοίας τὸ θράσος. τίς οὖν ἄρα, φασὶν, ὁ τιθασεύων εἰς τὸ παρὸν, καὶ τίς ὁ ἀσχέτῳ τῷ πάλαι θυμῷ χαλινὸν ἐπιθεὶς τὸν σώφρονα λογισμόν; τίς δὲ οὕτω καταγοητεύσας, καὶ ὥσπερ τινὰς ὄφεις ἐπιπηδῶντας ἀεὶ κατευνάζει πρὸς ἡμερότητα; Ἴδε παῤ ῥησίᾳ λαλεῖ καὶ οὐδὲν αὐτῷ λέγουσιν. οὐχ ἁπλῶς λαλεῖ, φησὶν, ἀλλὰ μετὰ παῤῥησίας. καὶ οὐκ ἂν οἶμαί τις αἰτιά σαιτο δικαίως τὴν ἐκείνων ὀργὴν ἡσυχάζουσαν, εἰ λαθραίως ἐποιεῖτο τοὺς κατ' αὐτῶν λόγους ὁ ζητούμενος. ἐν γὰρ τῷ μὴ πυθέσθαι τυχὸν, οὐδ' ἂν ἐκινήθησαν οἱ θυμοὶ, ἀλλ' ἐν παῤῥησίᾳ γεγονότος τοῦ λόγου, καὶ δι' ἐλέγχων ἐρχομένου πικρῶν· τοῦτο γὰρ δὴ μάλιστα τὸ τῆς παῤῥησίας ὄνομα δηλοῖ· οὐχ ὅπως ἀπειρήκασι πρὸς ὀργὰς, καίτοι λίαν ἑτοίμως τοῦτο νοσοῦντες, ἀλλὰ καὶ πρὸς λόγους ὀκνοῦσι μόνους. οὐδὲν γὰρ αὐτῷ λέγουσιν. Μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι αὐτός ἐστιν ὁ Χριστός; Ὁρᾷς ὅπως ἐξ εὐλόγων ἐπινοιῶν καὶ λογισμῶν τῶν εἰκότων τὸ χρῆναι πιστεύειν ἐρανιζόμενοι μονονουχὶ καὶ ἀσχάλλουσιν, ὡς ἐγνωκότων μὲν ἤδη τῶν ἀρχόντων αὐτὸν, παραιτουμένων δὲ διαῤῥήδην ἐπὶ τῷ θεομαχεῖν, καὶ τοῦ ἄνωθεν ἥκοντος καταναισχυντεῖν οὐκ ἀνεχομένων, καταχων νύντων δέ πως βασκάνοις ἔτι ταῖς σιωπαῖς τὴν ἀνάῤῥησιν. εἰ γὰρ μὴ ἐγνώκασι, φησὶν, ἀληθῶς ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, τί τὸ ἀνέχεσθαι πεπεικὸς διελέγχοντος ἐν παῤῥησίᾳ, καινο τομοῦντος δέ πως καὶ τὰ πάλαι διηγγελμένα, δι' ὧν καὶ ἐν σαββάτῳ θεραπεύων ἡλίσκετο, καὶ λυποῦντος οὐ μετρίως αὐτοὺς δι' ὧν ἀπημφιεσμένως φησίν "Οὐ Μωυσῆς δέδωκεν 1.652 "ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον;" ἀνεξικακοῦσι δὲ πρὸς ταῦτα, καίτοι λίαν ἀφορήτως περὶ αὐτὰ διακείμενοι, καὶ θερμότερον εἰωθότες ἐνάλλεσθαι καὶ τοῖς ἀδικοῦσιν οὐδέν. διὰ παντὸς τοιγαροῦν ἐρχόμενοι λο γισμοῦ τὴν ἐπὶ Χριστῷ κατὰ βραχὺ συλλέγουσι πίστιν, ἀπονέμουσι γεμὴν τοῖς ἄρχουσι τὸ ἐγνωκέναι κατὰ ἀλήθειαν, ἅτε δὴ καὶ πρὸ αὐτῶν καὶ τοῖς ἱεροῖς ἐντεθραμμένοις γράμ μασι, καὶ πλέον ἤπερ αὐτοὶ τὰ ἐν ταῖς θείαις γραφαῖς δυναμένοις συνιέναι μυστήρια. ἐπιτήρει δὲ διὰ πάντων ὅτι τοῖς ἄρχουσιν ἀόκνως ἀκολουθεῖν ὁ τῶν Ἰουδαίων ηὐτρέ πιστο δῆμος, ὃς καὶ πάντως ἂν διεσώθη πρὸς τὸ εὐθὺ παρὰ τῶν ἡγουμένων παιδαγωγούμενος. διὰ γάρ τοι τοῦτο καὶ δίκας ὑφέξουσι πικρὰς, ὅτε καὶ αὐτὸς ὁ Σωτὴρ κατητιᾶτο λέγων "Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς "γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους "ἐκωλύσατε." θύρα γάρ ἐστιν ὥσπερ τις καὶ πύλη πρὸς θεογνωσίαν, καὶ ὁδὸς εἰς ἅπασαν ἀρετὴν εὐκόλως κομίζουσα τῶν ὀρθὰ διδασκόντων ὁ λόγος, καὶ ἡ τοῦ ποιμαίνοντος ἐπιστήμη διασώζειν οἶδε τὴν τῶν θρεμμάτων ἀγέλην. ὥσπερ οὖν καὶ τὸ ἐναντίον διόλλυσι μὲν εὐκόλως, κατὰ κρημνῶν δὲ ἀποίσει καὶ οὐχ ἑκόντα τὰ ποίμνια. Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχεται, οὐκ οἴδαμεν πόθεν ἐστίν. Οὐκ ἐκ μόνων τῶν ἔξωθεν ἐννοιῶν, οὐδὲ ἐπείπερ οἰστὸν ἐποιήσαντο τὸν ἐπὶ τοῖς ἐλέγχοις πόνον οἱ καθηγούμενοι, τὸ πιστεύειν εἰσδέχεται τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἱεροσολυμιτῶν ἡ διάνοια· σφόδρα δὲ χρησίμως καὶ τοὺς ἐξ εἰκότων ὠδινήσασα λογισμοὺς καὶ 1.653 ὑπενεχθεῖσα πρὸς ἀληθεῖς ὑπονοίας τὰς ἐπὶ Χριστῷ διὰ τῆς ἑνούσης αὐτῷ θεοπρεποῦς ἐξουσίας, οὐκ ἀκόμψως ἤδη πρὸς τὴν τῆς εὐσεβείας παιδαγωγουμένη κατάληψιν, οὐκ αἰσθά νεται πάλιν εἰς τὴν Ἰουδαίοις σύντροφον ἀμαθίαν ἐξολι σθαίνουσα. δοκοῦσι μὲν γάρ πως οἱ καλῶς ἐκεῖνα διεσκεμ μένοι πανταχόθεν ἐθέλειν θηρᾶσθαι τὸ ἀληθὲς, καὶ οὐκ ἐκ μόνης τῆς τῶν ἀρχόντων σιγῆς καὶ τῆς ἀσυνήθους πραό τητος ἐπὶ τὸ χρῆναι πιστεύειν βαδίζουσιν, ἀλλὰ καὶ αὐτὴν ἐρευνῶσι τὴν ἁγίαν γραφὴν, ἐξ ὀρθῆς μὲν εἰς τοῦτο καλού μενοι γνώμης, ἀπαιδαγωγήτως δ' οὖν ὅμως καὶ ἀσυνέτως κομιδῆ τὴν ἐπὶ τῷ μυστηρίῳ ποιούμενοι βάσανον· ὅτι γὰρ μόνον ἐπιγινώσκουσι πόθεν ἐστὶν ὁ ἐν παῤῥησίᾳ λαλῶν, τουτέστιν ἐκ ποίας μὲν ὁρμᾶται κώμης, τίνων δὲ ἐξέφυ γονέων, οὐκ εἶναί φασιν αὐτὸν τὸν διὰ νόμου προκεκηρυγ μένον. εἶτα τούτοις ἐπάγουσιν Ὁ δὲ Χριστὸς ὅταν ἔλθῃ, οὐδεὶς γινώσκει πόθεν ἐστίν. καὶ παντὶ μέν που δῆλον, ὡς ἐξ ἀμαθίας αὐτοῖς τὸ πλανᾶσθαι κἀν τούτῳ συμβέβηκεν. ἐξε τάσαι δὲ δεῖν ὑπολαμβάνω, πόθεν εἰς τοῦτο πρόεισιν αὐτοῖς τὰ φρονήματα· τί δ' ἄρα τὸ ἀναπεῖσάν ἐστιν τοὺς, οἵγε καλῶς τὰ ἐπ' αὐτῷ διεσκέπτοντο, διὰ ταύτην οἴεσθαι τὴν αἰτίαν οὐκ εἶναι Χριστὸν, ἐπείπερ ὅθεν ἐστὶν οὐκ ἠγνόουν· διὰ τί δὲ τούτοις ἐπάγουσι τό Χριστὸς ὅταν ἔλθῃ οὐδεὶς οἶδε πόθεν ἐστίν; ἀπὸ γάρ τοι τούτου λοιπὸν τὴν τῆς ἀληθείας ζημιοῦνται κατάληψιν. οὐκοῦν φέρεταί τις ἐν τῷ Ἡσαΐᾳ λόγος περὶ Χριστοῦ "Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; "ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ." καὶ ὁ μὲν μακάριος προφήτης ἐπὶ τοῦ Θεοῦ Λόγου τὸ ῥῆμα τιθεὶς, τὴν γενεὰν ἀντὶ τῆς ὑπάρξεως λέγει. τίς γὰρ ἂν ὅλως καὶ φράσαι τὸν τρόπον τῆς ὑπάρξεως τοῦ Μονογενοῦς; ποία δὲ γλῶσσα διηγήσεται τὴν ἐκ Πατρὸς ἄῤῥητον γέννησιν τοῦ 1.654 Υἱοῦ; ἢ ποῖος ἄρα νοῦς οὐκ ἀτονήσει πρὸς τοῦτο; ὅτι μὲν γὰρ ἐγεννήθη παρὰ Θεοῦ καὶ Πατρὸς ἴσμεν τε καὶ πεπι στεύκαμεν· τὸ δὲ πῶς, ἄβατον εἶναί φαμεν παντὶ νῷ, καὶ σφαλερωτάτην ἔχει τὴν βάσανον. δεῖ γὰρ βαθύτερα μὴ ζητεῖν, μηδὲ ἐξετάζειν τὰ χαλεπώτερα, διανοεῖσθαι δὲ μᾶλλον ἃ προστετάγμεθα, καὶ πιστεύειν μὲν οὐ σεσαλευμένως περὶ Θεοῦ "ὅτι τε ἔστι κατ' ἀλήθειαν καὶ τοῖς ἐκζητοῦσι μισθα "ποδότης γίνεται·" ζητεῖν δὲ οὐκέτι, κατὰ τὸ γεγραμμένον, τὰ ὑπὲρ νοῦν καὶ φρόνησιν, οὐ μόνον τὴν ἐν ἡμῖν, ἀλλὰ καὶ τὴν ἐν ὅλῃ τῇ κτίσει, ἢ καὶ ἐν παντὶ πεποιημένῳ λογικῷ. τίς οὖν ἄρα τοῦ Μονογενοῦς "τὴν γενεὰν ἐξηγήσεται; "αἴρεται γὰρ ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ," τουτέστιν, ὑψη λότερος ἁπάντων τῶν ὄντων ἐπὶ τῆς γῆς ὁ περὶ τῆς ὑπάρξεως αὐτοῦ φαίνεται λόγος. ζωὴν γὰρ πάλιν ἐνθάδε τὴν ὕπαρξιν λέγει. Τοῦτο τὸν ἀσύνετον τῶν Ἰουδαίων ἀπέσφηλε νοῦν, καὶ ἀπεβουκόλησέ πως τῆς ἀληθοῦς ἐπὶ Χριστῷ διαγνώσεως. οὐ γὰρ ἐνενόησαν, ὡς εἰκὸς, ὅτι διπλοῦς παρὰ τοῖς ἁγίοις προφήταις ὁ περὶ αὐτοῦ λόγος εὑρίσκεται. ὅτε μὲν γὰρ ὅτι παρέσται μετὰ σαρκὸς ἐν τῷδε τῷ βίῳ σημαίνουσι, κατὰ σάρκα φανερὰν αὐτοῦ καθιστῶσι τὴν ἐκ παρθένου γέννησιν· "Ἰδοὺ γὰρ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν." ἀλλὰ καὶ ὅποι τεχθήσεται κηρύττουσι σαφῶς "Καὶ σὺ "γὰρ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν "χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς "ἄρχοντα ἐν τῷ Ἰσραὴλ, καὶ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ 1.655 "ἡμερῶν αἰῶνος." τὴν δέ γε ἐκ Πατρὸς καὶ Θεοῦ ἄῤῥητον γέννησιν ὡς ἔνι διερμηνεύοντες, ἢ ἐκεῖνό φασιν, ὅπερ εἴπομεν φθάσαντες "Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται "ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ·" ἢ τὸ τῷ παροισθέντι συνε ζευγμένον ῥητόν "Καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν "αἰῶνος." ἐξόδους γὰρ ἐνταῦθα τοῦ Μονογενοῦς τὴν ὡς ἐκ φωτὸς ἀνάλαμψιν, καὶ πρὸ παντὸς αἰῶνος καὶ ἡμέρας καὶ ῥοπῆς εἰς ἰδίαν ὕπαρξιν ἐκδρομὴν ὥσπερ τινὰ τὴν ἀπὸ τῆς τοῦ τεκόντος οὐσίας σημαίνει. ἄμφω τοιγαροῦν ἡμῖν τῆς ἁγίας παρατιθείσης γραφῆς, καὶ τῶν ἱερῶν γραμμάτων καὶ πόθεν ἔσται λεγόντων τὸ κατὰ σάρκα Χριστὸς, καὶ ἀζήτητον τιμώντων σιγῇ τὴν ἐκ Πατρὸς ὕπαρξιν, πῶς οὐκ ἄν τις εὐλόγως οὐ μετρίως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμαθαίνοντας τοὺς Ἰουδαίους εὑρὼν, πλατὺ γελάσας ἐρεῖ Οὐκ ἀπὸ μόνου τοῦ μὴ γινώσκεσθαι τὴν γενεὰν τοῦ Χριστοῦ, τὰ ἐπ' αὐτῷ ζητητέον, ἀλλὰ καὶ ἐκ τοῦ γινώσκεσθαι τίς καὶ πόθεν ὁρμᾶται τὸ κατὰ σάρκα; Ἔκραξεν οὖν ὁ Ἰησοῦς διδάσκων ἐν τῷ ἱερῷ καὶ λέγων Κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί. Ἀλλήλοις ἠρέμα ψιθυριζόντων ἐκεῖνα τῶν Ἱεροσολυ μιτῶν· οὐ γὰρ ἀπετόλμων "ἐν παῤῥησίᾳ λαλεῖν διὰ τὸν "φόβον τῶν Ἰουδαίων," καθὰ γέγραπται· δέχεται πάλιν τῶν εἰρημένων τὴν γνῶσιν θεοπρεπῶς ὁ Χριστός. ἐπειδὴ δὲ προσωφελεῖν ὅτι πρέποι διεσκόπει τοὺς ἄνδρας, παραχρῆμα δεικνύει θεοπρεπῆ πάλιν ἐν ἑαυτῷ τὴν ἐνέργειαν, καὶ ὅτι πάντων ἔχει τὴν γνῶσιν ἀνακαλύπτει σαφῶς. ἐξαίρει μὲν γὰρ εἰς ὕψος τὴν βοὴν, καίτοι πρότερον οὐκ εἰωθὼς τοῦτο πράττειν αὐτὸς, διελέγχει δὲ πάλιν ὡς οὐκ ἔχοντας ἑδραῖον τὸν νοῦν τῆς θεοπνεύστου γραφῆς, καὶ ῥίζαν ποιεῖται τοῖς ἑαυτοῦ λόγοις τὸ ἐν παραβύστῳ καὶ μόλις ἀπεπτυσμένον. 1.656 εἶτα πρὸς τούτοις ἔτι καὶ ἐξ ὧν ὅτι χρὴ μὴ πιστεύειν ᾤοντο παραφρόνως, διὰ τούτων αὐτῶν ὅτι προσήκει πιστεύειν αὐτοὺς ἀναπείθει γοργῶς· ἔστι δὲ τῶν λεγομένων τοιοῦτος ὁ νοῦς. ἐθαυμάσατέ φησιν, καὶ σφόδρα ποιοῦντες ὀρθῶς, ὅτι θεοπρεπὴς ὄντως ἐνυπάρχει μοι δύναμις, ἐξημεροῦσα ῥᾳδίως καίτοι φονῶσαν τὴν τῶν Ἰουδαίων διάνοιαν· ζητοῦσι γὰρ ἀποκτεῖναί με κατὰ τὸν παρ' ὑμῶν ἀψευδῆ τε καὶ ἐξ ἀκριβείας παρ' ὑμῶν ποιηθέντα λόγον, καὶ πολλὴν ἄγαν εἰς τοῦτο τίθενται τὴν σπουδήν. ἀλλ' ἐμὲ, φησὶν, ἐξίστα σθαι δέον καὶ ἀποφοιτᾶν ὡς ποῤῥωτάτω τῶν ὅτι προσήκει φονεύειν βεβουλευμένων, οὐδὲν ὅλως τῆς ἐκείνων ἀπονοίας φροντίσας, ἐκ τῶν ἐναντίων ἐν παῤῥησίᾳ λαλῶ καὶ διελέγχω λυποῦντας τὸν νόμον διὰ τοῦ μὴ τὰ δίκαια κρίνειν ἐθέλειν αὐτούς· πάσχω δὲ τὸ σύμπαν οὐδέν. ἀνεξικακοῦσι γὰρ οὐχ ἑκόντες οἱ πάλαι δεινοὶ, καὶ οὐ τῆς ἐκείνων προαιρέσεως τὸ πρᾶγμα καρπὸς, ἀλλὰ τῆς ἐμῆς ἐξουσίας ἡ δύναμις. οὐ γὰρ ἐφίημι καίτοι λελυττηκόσιν αὐτοῖς καὶ εἰς ἀπάνθρωπον ἀποτεθηγμένοις ὀργὴν, πρόωρον εἰς ἐμὲ τὴν μιαιφονίαν ἀποτολμᾶν. ἐπὶ τούτοις οὖν ἄρα, φησὶ, καὶ λίαν εἰκότως, καταπέπληχθε μὲν ὑμεῖς, ἐγνωκέναι δὲ ἀληθῶς τοὺς ἡγου μένους φατὲ, ὅτι ἐγώ εἰμι ὁ Χριστός. λογισμῷ δὲ τῷ πρέποντι κατακολουθοῦντες ἐν τούτοις, πρὸς τὰ ἐκ τῆς θείας γραφῆς ἀπονεύοντες λόγια, δέον ὠφελεῖσθαι μᾶλλον εἰς τὴν ἐπ' ἐμοὶ βεβαιουμένους κατάληψιν, τοὐναντίον παθόντες ἐσκανδαλίσθητε. ἀπὸ γὰρ τοῦ μόνον ἐπίστασθαι πόθεν εἰμὶ, καὶ διὰ τίνος γεγέννημαι, νενομίκατε, φησὶν, οὐκ εἶναί με τὸν 1.657 Χριστόν. ἴστε τοιγαροῦν, ὅτι κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμὶ, τουτέστιν δέδωκεν ὑμῖν ἡ θεία γραφὴ καὶ τὸ εἰδέναι με καὶ πόθεν εἰμί. καὶ οὐκ ἐπείπερ ἐγνώκατε τυχὸν, ὅτι Ναζα ραῖος ἢ Βεθλεεμίτης εἰμὶ, καὶ ὅτι γεγέννημαι διὰ γυναικὸς, διὰ τοῦτο χρὴ πάντως ὑμᾶς καὶ τὸ τῆς ἀπιστίας εἰσδέχεσθαι νόσημα· ἀλλ' ἐκ τῶν εἰρημένων ἐπ' ἐμοὶ, καὶ διὰ τὴν κατὰ σάρκα γέννησιν, ἀπὸ τούτων ἰέναι μᾶλλον ἐχρῆν εἰς κατά ληψιν τῶν ἐπ' ἐμοὶ μυστηρίων, καὶ οὐκ εἰς μίαν ἀποκλῖναι μόνην προφήτου φωνὴν, ὃς τὴν ἐκ Θεοῦ καὶ Πατρὸς ἄῤῥητον καταμηνύει γέννησιν. Καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με. Διὰ μακρᾶς ἀπειθείας ὑβρίζοντας ὑποπλήττει πάλιν ἐν ἀπολογίας σχήματι. τέχνῃ μὲν οὖν οὐ μετρίᾳ συνεξυφήνας τὸν λόγον, οἰκονομεῖ πανταχῆ τὸ μὴ δοκεῖν εὐαφόρμως πρὸς εὐλόγους ὁρμὰς διανιστᾶν τοὺς ἀκροωμένους, κατασκιάσας δέ πως ἀσαφείᾳ τὸ εἰρημένον, ὑποκλέπτει τοῦ θυμοῦ τὸ πλέον, καὶ παραιρεῖ τὸ δριμὺ τοῦ κινήματος. τί τοίνυν καὶ διὰ τοῦτο, φησὶν, ἐξηγουμένου πολλάκις καὶ διαῤῥήδην ἀνακεκραγότος ἀπεστάλθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀπιστοῦσιν ἔτι, καὶ ἐπείπερ αὐτοῦ τὸ κατὰ σάρκα γινώ σκουσι γένος, οὐκ εἶναί φασιν αὐτὸν τὸν διὰ νόμου προκε κηρυγμένον καὶ διὰ τῶν ἁγίων προφητῶν προκατηγγελμένον· μόνον δὲ οὐχὶ καὶ ὑπαντιάζουσι λέγοντες Ψευδομυθεῖς ὦ οὗτος, ἐξ οἰκείων δὲ θελημάτων ὡς ἡμᾶς ἀφιγμένος, εἶτα τὸ τοῦ Πατρὸς ὄνομα πλαττόμενος οὐκ ἐρυθριᾷς; ἀποκρουό μενος τοιγαροῦν καὶ τὴν ἐπὶ τούτῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συκοφαντίαν αὐτῶν, ταῖς ἀπολογίαις ἀναμίσγει τὸν ἔλεγχον, εὐφυέστατά τε φησίν 1.658 Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με. ὑμῖν μὲν γὰρ ἔθος, φησὶν, ὦ πάντα τολμῶντες εὐκόλως, καὶ πρὸς ὁτιοῦν καὶ τῶν σφόδρα δεινῶν ἀπερισκέπτως βαδί ζοντες, ψευδοπροφητεύειν ἔσθ' ὅτε, καὶ Θεοῦ μὴ ἀπεσταλ κότος, πεπέμφθαι λέγειν παρὰ Θεοῦ. ἐγὼ δὲ τῶν καθ' ὑμᾶς οὐκ εἰμὶ, ἀλλ' οὐδὲ τὰς παρ' ὑμῖν τετριμμένας ἀπομιμήσομαι τόλμας. οὐκ ἀφικόμην ἀπ' ἐμαυτοῦ, οὐδὲ αὐτάγγελος, ὡς ὑμεῖς, ἀλλ' ἐξ οὐρανοῦ παραγέγονα· ἀληθινός ἐστιν ὁ πέμψας με, οὐ κατ' ἐκεῖνον δήπου τὸν ὑμέτερον τὸν φιλοψευδῆ, τουτέστι τὸν διάβολον, οὗ τὸ πνεῦμα λαμβάνοντες καὶ τὸ ψευδῆ προφητεύειν ἀποτολμᾶτε. οὐκοῦν ἀληθινὸς μὲν ὁ πέμψας με, ὁ δὲ ὑμᾶς πρὸς τὸ πλάττεσθαι τοὺς παρὰ Θεοῦ λόγους διανιστὰς, οὐκ ἀληθινός. ψεύστης γάρ ἐστι καὶ τῶν ψευδομένων πατήρ. ὅτι δὲ τοῖς Ἰουδαίοις κατειθισμένον εὑρήσομεν τὸ προφητεύειν ψευδῆ, τοῖς τῶν προφητῶν περι τυγχάνοντες λόγοις ἀκονιτὶ θεωρήσομεν. σαφέστατα γάρ που φησὶν ὁ πάντων Δεσπότης περὶ αὐτῶν "Οὐκ ἀπέ "στελλον τοὺς προφήτας, καὶ αὐτοὶ ἔτρεχον· οὐκ ἐλάλησα "πρὸς αὐτοὺς, καὶ αὐτοὶ ἐπροφήτευον." καὶ πάλιν ἐν Ἱερεμίᾳ "Ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, "οὐκ ἀπέστειλα αὐτοὺς καὶ οὐκ ἐλάλησα πρὸς αὐτοὺς καὶ "οὐκ ἐνετειλάμην αὐτοῖς· ὅτι ὁράσεις καὶ οἰωνίσματα καὶ "προφητείας καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν." ἐλέγχεται τοιγαροῦν ἐπὶ τούτῳ ὁ ἀλαζὼν Ἰουδαῖος, ὡς καὶ αὐτῷ περιθεὶς τῷ Χριστῷ τὸ προσὸν ἑαυτῷ καὶ κατὰ Θεοῦ θράσος, τουτέστι, τὴν ψευδοπροφητείαν. τὸ δὲ ὅλως ἀπι στεῖν τῷ θεόθεν καὶ ἐκ Πατρὸς ἀπεστάλθαι βοῶντι, τί ἂν ἕτερον εἴη λοιπὸν ἢ διαῤῥήδην ἀνακραγεῖν, ὅτι ψευδοπρο φητεύεις τὰ ἡμῶν εἰς ἡμᾶς μιμούμενος; 1.65 Ὃν ὑμεῖς οὐκ οἴδατε, ἐγὼ δὲ οἶδα αὐτὸν, ὅτι παρ' αὐτοῦ εἰμι, κἀκεῖνός με ἀπέστειλεν. Ἐλέγετε, φησὶν, ἀρτίως Ὁ Χριστὸς ὅταν ἔλθῃ, οὐδεὶς οἶδε πόθεν ἐστίν. ἀλλ' ἐπείπερ ὑμῖν τοῦτο δόξαν ἔχειν ὀρθῶς, ὡς ἀληθὲς κρατύνετε, συναινῶ τοῖς παρ' ὑμῶν περὶ τούτου λόγοις. ἀληθινὸς μὲν γὰρ ἐξ οὗπέρ εἰμι Πατὴρ, ἀλλ' οὐχ ὑμῖν ἐγνωσμένος. ὅταν τοίνυν, φησὶν, ἀβουλότατα μὲν, πλὴν ἑαυτοῖς ἀρεσκόντως διασκέπτησθε τὸ περὶ ἐμοῦ μυστήριον, εἶτα γινώσκοντες τίς καὶ πόθεν εἰμὶ τὸ κατὰ σάρκα, τὸ χρῆναι πιστεύειν ἐκπέμπητε, διὰ τοῦτο μόνον παραδέξασθε τὴν πίστιν, ὅταν εὑρίσκησθε μὴ νοοῦντες πόθεν εἰμί· εἰμὶ δὲ ἐκ Πατρὸς, ὃν ὑμεῖς οὐκ οἴδατε, τὸν ἐξ αὐτοῦ μὴ εἰδότες, ἐν ᾧ καὶ μόνῳ θεατὸς ὁ Πατήρ. ὁ γὰρ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε τὸν Πατέρα, καὶ ὁ γινώσκων τὸν Υἱὸν οὐκ ἠγνόησε τὸν γεννήσαντα. οὐκοῦν ἁπάσης αὐτοῖς εὑρεσιλογίας καὶ διὰ τοῦτο ἐξῃρημένης, κακονοίας πάλιν ὄντες ἁλώσονται, πρόφασιν μὲν ἀπειθείας οὐδεμίαν εὑρί σκοντες ἔτι, μόναις δὲ ταῖς ἑαυτῶν δυστροπίαις τὴν γνῶσιν ἐξωθούμενοι, ἵνα φαίνηται καὶ τὸ γεγραμμένον ἀληθές "Εἴ "δετε πλεονάκις, καὶ οὐκ ἐφυλάξασθε· ἠνοιγμένα τὰ ὦτα, "καὶ οὐκ ἠκούσατε." ἐπειδὴ δὲ τοῖς τῶν Ἰουδαίων προσέ κειτο λόγοις, ὡς "οὐδεὶς γινώσκει πόθεν ἐστὶν ὅταν ἔλθῃ "Χριστὸς," ἀναγκαίως ἑαυτὸν ὑφεξέλκων, ὡς Θεὸς, τῆς τῶν γενητῶν πληθύος, καὶ τῶν ἄλλων ἁπάντων καθ' ὃν ἂν εἰκότως ἔρχοιτο τό Οὐδεὶς, ἕτερον ὄντα τῇ φύσει δεικνύων, ὡς οὐ μετ' ἐκείνων ἀγνοεῖ τὸν ἑαυτοῦ γεννήτορα, φησὶν, ἀλλ' εἰδέναι κατὰ πᾶσαν ἀκρίβειαν ἑαυτόν τε κἀκεῖνον διισχυρίσατο. ἔστι γὰρ Θεὸς ἐκ Θεοῦ Πατρὸς, παράδοξόν 1.660 τινα καὶ ξένην, ἢ καὶ αὐτῷ πρέπουσαν μόνῳ τὴν ἐπὶ τούτοις εἴδησιν ἔχων. οὐ γὰρ ὥσπερ ἡμεῖς γινώσκομεν, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον οἶδεν ὁ Υἱὸς τὸν Πατέρα. μέχρι γὰρ ἐννοίας μόνης ἐπὶ τὴν θεοπτίαν ἡ τῶν γενητῶν ἔρχεται φύσις, καὶ τοὺς αὐτῇ πρέποντας ὅρους οὐχ ὑπερτρέχουσα, τὸ ἐν ἀῤῥήτοις κρύπτεσθαι λόγοις καὶ οὐχ ἑκοῦσα τῇ θείᾳ φύσει παραχωρεῖ. ὁ δὲ ἐκ Θεοῦ Πατρὸς πεφηνὼς Μονογενὴς ὅλον ἐν ἑαυτῷ θεωρεῖ τὸν γεννήσαντα, καὶ τὴν τοῦ τεκόντος οὐσίαν ἐν τῇ οἰκείᾳ φύσει ζωγραφῶν οἶδεν οὕτως αὐτὸν, ὡς οὐκ ἔστιν εἰπεῖν· ἀνέκφραστα γὰρ τὰ περὶ Θεοῦ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

**1.661 ΚΕΦΑΛΗ Α.** Ὅτι κατὰ τὰς Ἑλλήνων ἀμαθεῖς ὑπονοίας, οὐ ταῖς ὥραις ὡς ἐξ ἀνάγκης ὑπόκειται τὰ καθ' ἡμᾶς, ἀλλ' ἐκ προαιρέσεως ἰδίας ἐπί τε τὸ ἀγαθὸν καὶ τὸ ἐναντίον ἐρχόμεθα· καὶ ὅτι τοῖς τοῦ Θεοῦ νεύμασι διοικούμεθα. Ἐζήτουν οὖν αὐτὸν πιάσαι Ἰουδαῖοι· καὶ οὐδεὶς ἐπέβαλεν εἰς αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. ΚΑΤΑΔΗΧΘΕΝΤΕΣ τοῖς ἐλέγχοις οἱ Φαρισαῖοι, καὶ τὴν ἐπὶ τούτοις σιωπὴν ταῖς μὲν σφῶν δυστροπίαις ὁρῶντες οὐκ ἀζήμιον, ἐπωφελῆ δὲ τοῖς ὄχλοις· συνεπείθοντο γάρ πως ἐπὶ τὸ χρῆναι λοιπὸν ὁμολογεῖν αὐτὸν εἶναι τὸν Χριστόν· ἐπὶ τὸ συνῆθες αὐτοῖς κατασύρονται θράσος, καὶ διψῶσι πάλιν τὸ μιαιφονεῖν. αἰδῶ μὲν τὴν πρὸς τὸν νόμον, ὡς ἀχρειοτάτην αὐτοῖς παρωσάμενοι, ἐν δὲ τῷ μηδενὶ λόγῳ τὰ ἐν τοῖς ἱεροῖς πεποιημένοι γράμμασι, τὸ δέ "Ἀθῷον καὶ "δίκαιον οὐκ ἀποκτενεῖς" οὐδεμιᾶς ἀξιώσαντες μνήμης, ἀδικωτάτην κατὰ Χριστοῦ νοσοῦσι μανίαν. ἀλλ' ἐκ θείας ἰσχύος περιτρέπεται πάλιν αὐτοῖς πρὸς πᾶν τοὐναντίον τῶν ἐγχειρημάτων ἡ ἔκβασις. "Οὐ γὰρ ἐπιτεύξεται δόλιος "θήρας," κατὰ τὸ γεγραμμένον. ζητοῦσι μὲν γὰρ αὐτὸν πιάσαι, καθά φησιν ὁ Εὐαγγελιστὴς, ὡς ἐθελούσιον καὶ αὐτοκέλευστον τὴν ἐπὶ τοῖς ἐλέγχοις ποιησάμενοι σιωπὴν, καὶ τὸ κεκωλύσθαι δοκεῖν παρ' αὐτοῦ ταῖς ὑστέραις ὀργαῖς ἀποκρουόμενοι. τοῦτο γὰρ εἰς ἀπόδειξιν τοῦ εἶναι κατὰ 1.662 φύσιν Θεὸν τὸν Ἰησοῦν ἐδέχοντο λέγοντές τινες τῶν Ἱεροσολυμιτῶν "Ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι· "μήποτε ἄρα ἔγνωσαν οἱ ἄρχοντες ἀληθῶς ὅτι αὐτός ἐστιν "ὁ Χριστός;" ἀλλ' "ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ "πανουργίᾳ αὐτῶν," ἀχρειοτάτην μὲν τοῖς ἐκεῖνα διεσκεμ μένοις ἀποφαίνει τὴν τόλμαν, βεβαιοῖ δὲ τοῖς ὄχλοις τὸ ὡς ἐν σκέψει καὶ στοχασμοῖς ἠρέμα διαθρυλούμενον. εἴργονται γὰρ ἐνεργείᾳ θεοπρεπεῖ χαλινὸν αὐτοῖς ἐπιτιθείσῃ τοῖς ἀνο σιουργήμασι, καὶ μέχρι μόνων ἐγχειρημάτων ἐκτείνεσθαι συγχωρούσῃ τὰ σκέμματα. τὴν δὲ αἰτίαν τοῦ μὴ δεδυνῆσθαι διεξάγειν εἰς πέρας αὐτοὺς τὸν προτεθέντα σκοπὸν ἐπὶ τούτῳ χρησίμως ἐπήνεγκεν ὁ σοφώτατος Εὐαγγελιστής· οὔπω γὰρ ἐληλύθει φησὶν ἡ ὥρα αὐτοῦ· ὥραν ἐν τούτοις διαῤῥήδην εἰπὼν τὸν καιρὸν, δῆλον δὲ ὅτι τοῦ πάθους καὶ τὸν τοῦ τιμίου σταυροῦ. εἶτα τίνι λοιπὸν οὐκ ἂν γένοιτο καὶ διὰ τούτου καταφανὲς, ὡς οὐκ ἂν ὅλως πέπονθεν ὁ Χριστὸς τὸ παθεῖν ἐθέλειν ἐξωθούμενος; οὐ γὰρ ἐκ πλεονεξίας Ἰουδαϊκῆς, ἀλλ' ἐθελοντὴς ἐπὶ τὸν ὑπὲρ ἡμῶν δι' ἡμᾶς ἀνέβη σταυρόν. διά τοι τοῦτο καὶ λέγει, τὴν ἐκ τοῦ δοκεῖν ἀτονῆσαι λοιδορίαν ἀποτριβόμενος "Οὐδεὶς αἴρει τὴν "ψυχήν μου ἀπ' ἐμοῦ, ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ· "ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ πάλιν ἐξουσίαν ἔχω "λαβεῖν αὐτήν." ὡς γὰρ ἤδη προειρήκαμεν, οὐκ ἀβούλητον ὑπὲρ ἡμῶν ὑπέμεινε τὸν σταυρόν. αὐτὸς γὰρ ἑαυτὸν καθάπερ ἅγιον θῦμα προσκεκόμικε τῷ Θεῷ καὶ Πατρὶ, αἵματι τῷ ἰδίῳ τὴν ἁπάντων σωτηρίαν ἐξωνούμενος. διὸ δὴ καὶ ἔφασκεν ἐν εὐαγγελικοῖς κηρύγμασιν "Ὑπὲρ αὐτῶν ἐγὼ "ἁγιάζω ἐμαυτόν." τὸ δέ Ἁγιάζω φησὶν ἐν τούτοις, ἀντὶ τοῦ προσάγω καὶ ἀνατίθημι· ἅγιον γὰρ τὸ προσαγόμενον 1.663 εἰς θυσίαν τῷ Θεῷ. ὅτι δὲ πλεονεξίας ἁπάσης τῆς παρά τινων ἐλευθέραν ἐδέχετο τὴν ὑπὲρ ἁπάντων σφαγὴν, διαγνω σόμεθα πάλιν ὅταν ἐν ψαλμοῖς ἀκούωμεν λέγοντος πρὸς Θεὸν καὶ Πατέρα "Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, "σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας "οὐκ ηὐδόκησας, τότε εἶπον Ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου "γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου ὦ Θεός." ὁρᾷς ὅπως αὐτόμολος εἰς τὸ ὑπὲρ πάντων ἀνίει πάθος; ἰδοὺ γὰρ ἥκω, φησὶν, οὐκ ἐξ ἀνάγκης τῆς παρ' ἑτέρου τεθήραμαι. διαδιδράσκει τοίνυν τῶν ἡγουμένων τὸ παραυτίκα θράσος, καιρῷ τῷ πρέποντι τὸ παθεῖν ταμιευόμενος, καὶ θεοπρεπε στάτην ἐφ' ἅπασιν ἐπιτηδεύων τὴν παῤῥησίαν. Ἀρκέσει μὲν οὖν πρὸς τὴν τῶν προκειμένων σαφήνειαν οἶμαι καὶ ταῦτα· ἀλλ' ἐπείπερ εἰκός τινας τῶν μυσταγωγου μένων ἀκούοντας καὶ τό Οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ, ἐκ πολλῆς ἄγαν τῆς ἐλαφρίας πρὸς Ἑλληνικὰς καὶ μανιώδεις ὑπενεχθῆναι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακοβουλίας, ὡς νομίσαι παραλόγως, ὥραις καὶ ἡμέραις καὶ καιροῖς ὑποκεῖσθαι τὰ ἀνθρώπινα, οἶμαι δὴ πάλιν ἀναγκαῖον ὑπάρχειν ὀλίγα ἄττα περὶ τούτων εἰπεῖν, εἴπερ ἡμῖν ὁ σκοπὸς διὰ πάσης ἐννοίας τοῖς ἐντευξομένοις τὸ λυσιτελοῦν ἐμπορίζειν ἐπείγεται. τοῖς μὲν οὖν τῆς Ἐκκλησίας τέκνοις, ἃ καὶ τοῖς ἱεροῖς ἐντέθραπται γράμ μασιν, ἀρκέσειν ὑπολαμβάνω πρὸς ἔλεγχον τῆς Ἑλλήνων ἀπάτης, καὶ πρὸς τὸ δύνασθαι καλῶς τὴν ἐντεῦθεν ἀποφορ τίσασθαι δυσβουλίαν, τὸ ὡς ἐν τρόπῳ κατηγορίας ἤτοι σοφῆς ἐπιπλήξεως εἰρημένον παρὰ τοῦ Παύλου πρός τινας τῶν τῇδε διακειμένων "Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας "καὶ καιροὺς καὶ ἐνιαυτούς· φοβοῦμαι ὑμᾶς, μήποτε εἰκῇ "κεκοπίακα εἰς ὑμᾶς." καὶ γὰρ δὴ καὶ ὄντως εὑρεσιλογίας ἁπάσης ἀνῃρημένης, ὁ τῇ τοιαύτῃ κατειλημμένος μωρίᾳ τὴν 1.664 μὲν οἰκείαν ὀλοθρεύσει ψυχὴν, αὐτὸν δὲ ἀτιμάζων ἁλώσεται τὸν ἁπάντων ἡμῶν γενεσιουργὸν, ᾧ καὶ μόνῳ τῶν καθ' ἡμᾶς ὁ σοφός τε καὶ εὐπαίδευτος λόγος ἀνατίθησι τὰ πηδάλια. οἱ δὲ ἐπιτηρεῖν οὐκ ὀρθῶς ἐκεῖνα διεγνωκότες, τὸν μὲν τῆς προνοίας ἀνατρέψουσι λόγον, οὐκέτι δὲ τῶν καθ' ἡμᾶς ταμίαν εἶναι πιστεύουσι τὸν ἁπάντων Δεσπότην, και ροῖς δὲ καὶ ὥραις τὸ πάντων ἐπιτρέψουσι κράτος, τὴν κτίσιν ἐπιτιθέντες ἐπάνω τοῦ ποιητοῦ, καὶ τῶν μὲν καλλίστων ἀπο στεροῦντες τὸν, ᾧ πᾶσα χρεωστεῖται τιμὴ καὶ δόξα καὶ προσκύνησις, τὰ δὲ ὑπὲρ κτίσιν τῇ κτίσει δωρούμενοι, καὶ τοῖς ποιήμασιν ἀπονέμοντες τὰ οἷσπερ ἐχρῆν καταστέφειν τὸν Δημιουργόν· καὶ οὐ μέχρι τούτων αὐτοῖς στήσεται τὰ ἐγκλήματα, προβήσεται δὲ καὶ ἐπί τι τούτων τὸ χαλεπώ τερον· διαλοιδορήσεται ἀναφανδὸν τῷ φιλαγάθῳ Θεῷ, καὶ τῶν φαύλων ἐργάτην ἐρεῖ τὸν ἁπάσης ἁμαρτίας ἐχθρόν. εἰ γὰρ παρ' αὐτοῦ πεποίηται χρόνος, ὥρα τε καὶ ἡμέρα καὶ ἐνιαυτὸς, ἄγει δὲ ταῦτα τινὰς ὡς ἐξ ἀνάγκης καὶ πλεονεξίας εἰς ἀβούλητον ἔσθ' ὅτε φαυλότητα, πρὸς τὸ καὶ ταῖς ἐντεῦθεν περιπίπτειν συμφοραῖς, πῶς οὐκ ἀληθὴς ὑμῖν ὁ περὶ τούτῳ ἀναλάμψει λόγος; ὅποι δὲ ἡμῖν καὶ βαδιεῖται λοιπὸν τὸ διὰ τοῦ πανσόφου Μωυσέως; "Καὶ εἶδεν γὰρ, φησὶν, ὁ Θεὸς "πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ πάντα καλὰ λίαν." ἓν δὲ τῶν πάντων ὁ χρόνος· ἐν δὲ τῷ χρόνῳ καὶ ὥρα καὶ ἡμέρα καὶ ἐνιαυτός. εἰ δὲ ὅπερ εἶδεν ἀγαθὸν ὁ τῆς θείας φύσεως ὀφθαλμὸς, τοῦτο τῶν φαύλων ἐροῦμεν ἐπαγωγὸν, πῶς οὐκ ἄντικρυς τὸ ἐπ' αἰσχίστοις ἁλῶναι δημιουργὸν τὸν ἁπάντων ὁμολογήσομεν Κύριον; Οἶμαι μὲν οὖν ὑπερυθριάσειν ἤδη τοὺς ἐνεχομένους τοῖς ἀρτίως ἡμῖν εἰρημένοις πταίσμασιν. ἐπειδὴ δὲ εἰκὸς οὐχ 1.665 ὅπως ἐνίστασθαι μόνον ταῖς Ἑλληνικαῖς ἀβουλίαις, ἀλλ' ἤδη καὶ συναγορεύειν αὐταῖς, βεβουλῆσθαί τινας, φέρε δὴ πάλιν τὴν ἐνοῦσαν ἀτοπίαν τῷ δόγματι καὶ ἑτέρως διασκε ψώμεθα, καὶ τὰ ἐκ λογισμῶν χρήσιμα ἐπισωρεύοντες βοηθή ματα ταῖς ἐκείνων βδελυρίαις ἀντεξάγωμεν τὴν ἀλήθειαν. εἰ γὰρ δὴ καθ' ὑμᾶς, ὦ οὗτοι, καλοῦντος ἡμᾶς ὡς ἐκ πλεο νεξίας τοῦ καιροῦ καὶ ὥρας ἐπαναγκαζούσης, ἐπί τι τυχὸν τῶν ἀγαθῶν ἢ τῶν ἐναντίων ἑλκόμεθα, περιττὸς, ὡς ἔοικεν, ἡμῖν ὁ πρὸς ἕκαστα τῶν πρακτέων διιθύνων λογισμὸς, καὶ τῶν μὲν φαύλων ἐξίστασθαι συμβουλεύων, ἐπιτρέχειν δὲ μᾶλλον τοῖς ἐπαινουμένοις διακελευόμενος· ποῖα γὰρ ἐν τεῦθεν ὄνησις, εἰπέ μοι, λοιπὸν, τί δὲ τὸ ἐκ λογισμῶν ὠφέλημα χρηστὸν, εἰ πείσομαι πάντως καὶ βαδιοῦμαι καὶ οὐχ ἑκὼν ἐφ' ὅπερ ἂν ἡ ὥρα καλῇ, καὶ ὁ καιρὸς ἐπαναγκάζειν βούληται; ἀκόλουθον ἄρα, καθάπερ τῶν ὁλκάδων φασὶν τοὺς οἰακοστρόφους, πρὸς πᾶσαν ἀπειρηκότας ἐλπίδα τοῦ διασώ ζεσθαι τὴν ναῦν, ἐπειδὰν ἐν χειμῶνι κινδυνεῦσαι συμβῇ, πάντα μὲν ἀνεῖναι κάλων, ἀπολῦσαι δὲ καὶ αὐτοὺς ἤδη τοὺς οἴακας, οὐδὲν ἔτι τῆς τέχνης ἀνεχομένους τῆς ἐν αὐτῷ, ἐπιτρέψαι δὲ οὕτω ταῖς τῶν κυμάτων ὁρμαῖς, διαῤῥίπτεσθαι δὲ κατὰ τὴν θάλασσαν· οὐδὲν γὰρ οὐδὲν ὡς ἐκ τῶν ἤδη προειρημένων τὸ κέρδος οὔτε τοῖς ἐθέλουσι τὴν ἀρετὴν, οὔτε μὴν τοῖς τῆς κακίας ἐργάταις ἀνατελεῖ τὸ βλάβος, εἰ μὴ πρὸς ἕκαστα τῶν τελουμένων ἀντικομιζώμεθα παρὰ Θεοῦ, καὶ κατὰ τὴν τῶν πραγμάτων ποιότητα τὰς ἀντιμισθίας ἀντιλαμβάνωμεν. ὁριεῖ γὰρ, εἰπέ μοι, πολλάκις ἡ ὥρα τὰ κάλλιστα, καὶ ἀδιακρίτως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐποίσει τὸ ὠφελοῦν ὁ καιρὸς, κἂν ἐπὶ τοῖς αἰσχίστοις ἁλίσκωμαι; μετοισθέντος δὲ πάλιν πρὸς τὸ ἐναντίως ἔχον τοῦ λόγου, οὐδὲν ἔσθ' ὅτε τῶν ἀγαθῶν ὁ 1.666 καιρὸς ἐπιψηφιεῖταί τισιν, ἐποίσει δὲ μᾶλλον τὸ πάντων, ὡς ἔπος εἰπεῖν, χαλεπώτερον καὶ τοῖς ὅτι πρέπει τὴν τῶν ἀγαθῶν ἐργασίαν προτιμᾶν εὖ μάλα διεσκεμμένοις. Ἀλλ' οὐδὲν μὲν ἔσται τούτων, ἐρεῖ τις τυχὸν, ἑκάστῳ δὲ τὸ τυχὸν τὰ αὐτῷ πρέποντα δίδωσιν ἡ ὥρα καὶ ὁ καιρός. Οὐκοῦν βασιλεύσει μὲν ἤδη λοιπὸν ὁ καιρός; τὸ δὲ τῆς προνοίας ἀξίωμα ταῖς ὥραις περιθήσομεν, οὐδὲν ἔτι φροντί ζοντες τοῦ Θεοῦ; αἰτήσομεν δὲ δι' εὐχῆς παρ' αὐτοῦ μὲν οὐδὲν, παρὰ δὲ τῆς ὥρας ἢ τοῦ καιροῦ; καὶ τί τὸ ἐντεῦθεν; προσκυνοῦμεν τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ τὴν δόξαν τοῦ Δημιουργοῦ τοῖς παρ' αὐτοῦ γεγονόσι δυσσεβοῦντες περιθήσομεν. αὐτόθεν μὲν οὖν τὸ ἐν τούτοις αἶσχος, καὶ τῆς δυσσεβείας τὸ μέγεθος οὐ σὺν πολλῷ τῷ πόνῳ περιαθρή σομεν καὶ γυναίων αὐτῶν τῶν ἑταιρίζεσθαι πεφυκότων ἐκφανεστέραν λαχόντα τὴν βδελυρίαν· τὸ δὲ δὴ πάλιν εἰς νοῦν ἀναβαῖνον ἐροῦμεν διὰ τὸ χρήσιμον. περιττῶς, ὡς ἔοικεν, οἱ θεῖοί τε καὶ ἀνθρώπινοι νόμοι, τοῖς μὲν τῶν φαύλων ἐρασταῖς τὰς αὐτοῖς πρεπούσας ὁρίζουσι δίκας, τοῖς δὲ τὸ ζῆν ἐθέλειν ἐπιεικέστερον περὶ πολλοῦ ποιουμένοις προστε θείκασι τὰς τιμάς. εἰ γὰρ ὅλως οὐδὲν ἐν τοῖς ἐφ' ἡμῖν κεῖται θελήμασιν, ὑποπέπτωκε δὲ ταῖς ἐξ ὡρῶν ἀνάγκαις, ἀφύκτως τε καὶ ἀπαραιτήτως ἀγούσαις ἐπ' ἄμφω, πῶς ἂν ἔτι δικαίως τοῖς μὲν ἀγαθοῖς τὸ ἐπαινεῖσθαι πρέπειν ὁμολο γήσαιμεν, τοῖς δὲ μὴ τοιούτοις τὸ ἐναντίον ὡς ἐν ὀφλήματος τάξει καταθήσομεν; τί δὲ, εἰπέ μοι, καὶ ἐπαναγκάζουσιν ἡμᾶς οἱ νόμοι τῶν μὲν φαύλων ἀποφοιτᾶν, τοῖς δὲ ἀμείνοσιν ἐπιτρέχειν ἐπείγεσθαι, ἑτέρων ἐχόντων τῶν ἐν ἡμῖν βουλευ μάτων τὰς ἡνίας, καὶ ἐφ' ὅπερ ἂν βούλωνται διεξαγόντων εὐκόλως; ταῖς γὰρ τῶν ὡρῶν ἐξουσίαις ὑποκεῖσθαι δεῖν τὰ ἀνθρώπινα, καὶ φασὶ καὶ βεβούληνται, τῆς ἐντεῦθεν ἀτοπίας 1.667 οὐδὲν ὅλως φροντίσαντες. ἢ γὰρ οὐχὶ καὶ οὐχ ἑκόντες ἐροῦσιν, ὡς ὁ πάντων τῶν ὄντων ἐπὶ τῆς γῆς τὴν ἡγεμονίαν λαχὼν, καὶ αὐτῶν ἔσται τῶν ἀλόγων ἀθλιώτερος ζῴων, καὶ βιώσεται μὲν ἐλεεινῶς· ὁ δὲ προὔχειν ὀφείλων διὰ τὴν φύσιν, ἐν δευτέροις ἤδη, μᾶλλον δὲ καὶ ἐν τοῖς ἐσχάτοις, κατατετάξεται; εἰ γὰρ ἐκεῖνα μὲν αὐτοκελεύστοις ὁρμαῖς πρὸς τὸ δοκοῦν ἀπονεύει διακωλύοντος οὐδενὸς, καὶ προσίεται μὲν ὅπερ οἶδε λυσιτελοῦν, ἀποτρέχει δὲ τῶν ἀδικεῖν εἰω θότων, πικρῷ δὲ ἡμεῖς τῷ χρόνῳ δεσπότῃ δουλεύσομεν, καὶ ἀπαραίτητον τυραννίδα τὴν ἀπὸ τῶν ὡρῶν ἐξουσίαν σκήπτου τινὸς δίκην ἐπηρτημένην ἐσχήκαμεν, πῶς οὐ πολλῷ τινι μέτρῳ τὰ καθ' ἡμᾶς ἐν χείροσιν, ἢ ἐν οἷς ἐκεῖνά ἐστιν; Ἀλλ' ἐρυθριάσει μὲν, ὡς ἔοικεν, ὁ συνειπεῖν ἐθελήσας, μᾶλλον δὲ καταψεύσασθαι, τῶν ὡρῶν καὶ τῶν εἰς οὐδὲν τῶν τοιούτων πεποιημένων χρόνων, τὴν δὲ ἐν τοῖς δόγμασιν ἀβελτερίαν ἀποκρουόμενος ἥξει λέγων Οὔτε τὴν ὥραν, ὦ οὗτος, ἀλλ' οὐδὲ τὸν χρόνον ἢ τὸν καιρὸν κατεξουσιάζειν τῶν ἀνθρωπίνων διοριζόμεθα, ὥρας γεμὴν εἶναί φαμεν πονηρὰς, καὶ καιροὺς ἐπὶ ταύταις, οἳ ῥαγδαίων ἔσθ' ὅτε πνευμάτων δίκην τοῖς ἀθλίοις ἡμῖν ἐπιθρώσκουσιν. Ἀντεροῦμεν δὲ τούτοις ἡμεῖς Ὦ παράκοποι φρενῶν καὶ ἀκράτῳ μωρίᾳ μεμεθυσμένοι, πῶς ὑμᾶς διέλαθε πάλιν ὅτι κατ' αὐτῆς τῆς ἀνωτάτω πασῶν οὐσίας οἰκεῖον ἐξοπλίζετε νοῦν; ἢ γὰρ οὐκ ἔσται τῶν φαύλων ἐργάτις, εἰ πονηρόν ἐστίν τι τῶν παρ' αὐτῆς γεγονότων; ἀλλὰ τοῦτο μὲν ὡς ἤδη προειρημένον παριππεύσομεν, ἐκεῖνο δὲ μᾶλλον ὑμῖν ἀναπείθεσθαι σπουδάσομεν, πῶς ἂν ἡμᾶς ἡ ὥρα ἢ ὁ καιρὸς 1.668 ἀδικήσαι, ἢ καὶ ἐκ τῶν ἐναντίων εὐφρανεῖ, μὴ οὐχὶ τοῦ τὰ πάντα διιθύνοντος Θεοῦ, καθ' ὅπερ ἂν βούλεται, καὶ πρὸς τὸ ἑκάστῳ χρεωστούμενον ἢ λυπεῖν ἢ εὐφραίνειν ἐκ τῶν ἐναντίων θέλοντος; ἠκούομεν γὰρ λεγόντων ἀρτίως, ὡς ἐν ἐξουσίᾳ μέν ἐστι ταῖς ὥραις τῶν καθ' ἡμᾶς οὐδὲν, πονηρὰς γεμὴν εἶναι τῇ φύσει τινὰς, καὶ ἀθρόως ἡμῖν ἐγκαταφορεῖ σθαι πνεύματος δίκην. ἀλλ' οἶμαι δὴ πάλιν ὡς χαλεπὸν οὐδὲν τῆς ἐσχάτης ἀβουλίας ἀνάπλεων καὶ τοῦτον ὑμῖν ἐπιδεῖξαι τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λογισμόν. τίνι γὰρ οὐκ ἔσται τῶν ὄντων καταφανὲς, ὅτι τὰ δέκα καὶ δύο τῶν ὡρῶν διαστήματα, τὰ μὲν ἡμέρᾳ, τὰ δὲ νυκτὶ συμμεμέτρηται· νὺξ δὲ καὶ ἡμέρα οὐ τινὶ μὲν συμβαίνει, τινὶ δὲ οὐκ ἔτι, ἀλλὰ διὰ πάντων ἔρχεται; τὸ δὲ πονηρὸν τῇ φύσει, καὶ ἀπαραποιήτως ἔχον εἰς τοῦτο, οὐ τῷ μὲν δεῖνι πονηρὸν, ἑτέρῳ δὲ οὐκέτι, ἀλλ' οὐδὲ ἑνὶ τυχὸν ἢ δευτέρῳ, πᾶσι δὲ μᾶλλον ἐν ἴσῃ μοίρᾳ τὸ βλάβος ἐποίσει, δι' ὧνπερ ἂν ἴοι τὸ τῆς νυκτὸς ἢ τὸ τῆς ἡμέρας διάστημα. πῶς οὖν ἐν ἡμέρᾳ τυχὸν ἢ ἐν ὥρᾳ μιᾷ, τὸν μὲν ἔξεστιν εὐπαθοῦντα βλέπειν, καὶ πολλοῖς ἐντρυφῶντα τοῖς εὐφραί νειν εἰδόσιν, ὡς ἐπὶ διαίτας ἰέναι λαμπρὰς, καὶ συναγείρειν σὺν πολλῇ τῇ σπουδῇ τοὺς συνεστιασομένους, ἑτέρους δὲ ἀκριβῶς ἐν τοῖς ἐναντίοις, ὡς καὶ ἀπάγεσθαι πολλάκις τινὰ τεθνηξόμενον οἰκτρῶς. τίς ὁ λόγος, εἰπέ μοι, ἢ πῶς ἂν ἐνδέχοιτο μιᾶς οὔσης ὥρας, ἢ καὶ ἑνὸς τοῦ καιροῦ, τὸν μὲν ἐν ἐκείνοις, τὸ δὲ ἐν τούτοις ὁρᾶσθαι; τί τὴν ὥραν ἐκείνην προσερεῖς; πονηρὰν, ἢ τὸ ἐναντίον; εἰπεῖν γὰρ οὐκ ἔχω, κατὰ τῶν ἐπ' ἄμφω βλέπων, καὶ τρυφῶντα μὲν ἕνα, νεκρὸν δὲ καὶ ἄπνουν καὶ ἐλεεινὸν εὑρίσκων τὸν ἕτερον. ἆρ' οὐχὶ μῦθος ἀμαθὴς, καὶ δαιμονιώδους μανίας εὑρήματα τὰ ἐπὶ ταῖς ὥραις ἁλώσεται δόγματα; ἀλλ' οἶμαι πάντας 1.669 ἀμελλητὶ κατανεύσειν, καὶ τῶν ἐκεῖνα φρονούντων κατα ψηφίζεσθαι. Καὶ ἦν μὲν ὡς ἔοικεν τοῖς εἰρημένοις ἀρκεῖσθαι πρέπον, ἀλλ' ἵνα μὴ τοῖς ἐνδεχομένοις καὶ στοχασμοῖς τὸ πᾶν ἐπιτρέψας εὑρεσιλογίας πρόφασιν καταλείψω τισὶν, ἐπὶ πραγμάτων ἐξήγησιν μεταβήσομαι, καὶ ἐκ τῶν γεγονότων ἀναμφιλόγως ἐπισφραγιῶ τὸν ἀρτίως ἡμῖν διιππευθέντα λόγον. οὐκοῦν Ἀσσύριοί ποτε κύκλῳ περιέχοντες τὴν ἁγίαν πόλιν· φημὶ δὴ τὴν ἁγίαν Ἱερουσαλήμ· πολιορκεῖν ἐβου λεύοντο· ὁ δὲ τούτων στρατηγός· Ῥαψάκης δὲ οὗτος ἦν· ποτὲ μὲν ἀπατηλοῖς προεπειρᾶτο λόγοις καταμαλθάσσειν τῶν ἐν αὐτῇ μαχίμων τὸν νοῦν, ποτὲ δὲ ταῖς ἀπειλαῖς τοῦτο ποιεῖν ἐσκέπτετο· καὶ ὁ μὲν μακάριος Ἑζεκίας τὴν βασιλίδα τότε περιέπων τιμὴν, οὐ τοῖς ἰδίοις ἐπιθαρσεῖ στρατεύμασιν, ἀλλὰ Θεῷ τῷ πάντων ἀνετίθει τῆς νίκης τὸ τέλος, καὶ τὴν παρ' αὐτοῦ μόνην ἐπικουρίαν δι' ἐκτενεστάτης ἐκάλει τῆς προσευχῆς, καὶ κατέκλινε τὸ οὖς τῷ δικαίῳ παραχρῆμα μὲν Θεὸς, γείτονα δὲ ταῖς εὐχαῖς τὴν χάριν ἐτίθει. "Ἐξῆλθεν "γὰρ ἄγγελος Κυρίου, καθὰ γέγραπται, καὶ ἀνεῖλεν ἐκ τῆς "παρεμβολῆς τῶν ἀλλοφύλων ἑκατὸν ὀγδοήκοντα πέντε "χιλιάδας." τί οὖν, ὦ βέλτιστε, πρὸς τοῦτο ἐρεῖς; ἐν μιᾷ νυκτὶ, καὶ καθ' ὥραν τὴν αὐτὴν καὶ καιρὸν, ὁ μὲν Ἀσσύριος ἔπιπτεν ἀγγέλου χειρὶ δαπανώμενος, διεσώζετο δὲ τῶν Ἱερο σολυμιτῶν ἡ πληθὺς, καὶ οἱ μὲν ἦσαν ἐν τοῖς ἐσχάτοις, οἱ δὲ ἐν τέρψει καὶ χαρᾷ. ποῦ τῆς ὥρας ἡ δύναμις; πῶς ἐπ' ἀμφοῖν ἀνωμάλως ἐμερίζετο; καὶ τοῖς μὲν τὸ χαίρειν, τοῖς δὲ τὸ θνήσκειν κακῶς εἰργάζετο; οὐ γὰρ διφυᾶ τε καὶ πολύ μορφον ἀποτολμήσαις ἂν αὐτὴν ὀνομάσαι, καὶ εἰ σφόδρα ληρεῖς. ὁ αὐτὸς δ' ἂν ἡμῖν ἰσχύσαι λόγος ἐπί τε Δαθᾶν 1.670 καὶ Ἀβιρὼν οἳ, τῆς Μωυσέως ἡγεμονίας καταστασιάσαντές ποτε καὶ ἄκλητοι πρὸς τὴν τῆς θείας ἱερωσύνης ἀναπηδῆσαι τάξιν οὐ καταδείσαντες, πανοικὶ κατέβησαν εἰς τὰ βάθη τῆς γῆς· καὶ οἱ μὲν ἦσαν εἰς ᾅδου, διεσώζετο δὲ τῆς συναγωγῆς τὸ λοιπόν. χρῆν δὲ δήπου πάντως, εἴπερ ἦν ὅλως οὐκ ἐκ θείας ὀργῆς, ἀλλ' ἐξ ὥρας ἡ κόλασις, οὐκ ἐφ' ἓν ἁπλῶς καταῤῥήγνυσθαι μέρος τῆς συναγωγῆς, ἀλλ' ὅλην ἐξ ἴσου περισχοῦσαν ἑλεῖν. Οὐκοῦν οὐχ ὥραν οὐδ' ἡμέραν οὐδὲ καιρὸν ὡς ἢ τοῦ λυποῦντος πρόξενον, ἢ τοῦ πεφυκότος εὐφραίνειν καταδεξώ μεθα, τὸ ὅσον εἰς ἰδίαν φύσιν, ἢ καὶ ὅπως ἄν τις εἰπὼν ἐπ' αὐτὸν οὐκ ἂν ἁμάρτοι· ἀλλ' ἐκδεξώμεθα μὲν τὸ ἐξ ὥρας ἢ ἀπὸ καιροῦ χρήσιμον, καὶ ἐκ τῶν ἐναντίων τὸ βλάβος, ὅταν ἢ ἐπιστημόνως προσιόντες ἤγουν ἀμαθῶς, ἢ τοῖς ἠδέσιν ἢ τοῖς οὐχ οὕτως ἔχουσιν περιπίπτωμεν. οἷον δέ τι φημί "Καιρὸς παντὶ πράγματι," καθὰ γέγραπται, καὶ τὸ μὲν εἰδέ ναι καιροὺς, ἐπωφελέστατον, τὸ δὲ μὴ ἐπίστασθαι, πολὺ δὴ λίαν ἐπιζήμιον. δεῖ γὰρ οὐκ ἐν χειμῶνι ναυτίλλεσθαι, τὸ δὲ ἐν θέρει τοῦτο δρᾶν οὐκ ἀπαίδευτον· οὕτω δὲ περὶ τούτων διακείμενοι ἀναθήσομεν τῶν καθ' ἡμᾶς τὰ πηδάλια τῷ πάντων ἐπιστάτῃ Θεῷ. εἰ γὰρ κατὰ τὴν ἀψευδῆ τοῦ Σωτῆρος φωνὴν, τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μικρὸν τοῦτο καὶ εὐτελὲς στρουθίον οὐκ ἂν εἰς παγίδα πέσῃ ποτὲ δίχα τῆς γνώμης τοῦ Θεοῦ καὶ Πατρὸς, πῶς ἂν ὁ οὕτω τετιμημένος καὶ τὴν κατὰ πάντων ψῆφον λαχὼν, πάθοι τι τῶν παρὰ γνώμην ἢ κατ' εὐχὴν, μὴ οὐχὶ τῆς προνοίας οὐδέν τι καλούσης τῶν εἰρημένων ἀνα λόγως τοῖς ἑκάστῳ βεβιωμένοις; Παραθήσω δέ τι πρὸς τούτοις ἕτερον, ὃ καὶ μικροῦ τῆς μνήμης ἀποτιναχθὲν ἐξῴχετο, καίτοι λίαν ὑπάρχον τῶν προκειμένων συγγενὲς, μᾶλλον δὲ τὴν αὐτὴν ἐξαιτοῦν ἐφ' ἑαυτῷ ζήτησιν, καὶ τὴν λύσιν ἔχον οὐ χαλεπὴν, ἀλλὰ καὶ 1.671 σφόδρα ῥᾳδίαν ἑλεῖν τῷ γε ὅλως συνετῷ, καὶ τὰ αἰσθητήρια τῆς διανοίας ἔχοντι γεγυμνασμένα πρὸς διάκρισιν ἀγαθοῦ τε καὶ κακοῦ. τί δὴ οὖν ἄρα κἀκεῖνό ἐστιν, περὶ οὗ δὴ τὰ τοιαῦτά φαμεν; γάμον ἐπετέλουν οἱ Καναναῖοί ποτε τὴν τῶν Ἰουδαίων γείτονα προσοικοῦντες χώραν· Γαλιλαία δὲ ἦν· οἱ τ' ἐπὶ πανδαισίαν συνεκάλουν τὸν Κύριον ἅμα τῇ μητρὶ καὶ τοῖς ἁγίοις μαθηταῖς, καὶ πρόφασις αὐτοῖς τῆς πανηγύρεως ἦν ἡ γαμήλιος εὐνή· ὡς δὲ ὁμόσιτος τοῖς εἰς τοῦτο συνειλεγ μένοις ὁ Κύριος παρῆν εὐλογήσων ὃν νενομοθέτηκε γάμον, οἶνος ἐπέλειπε τοὺς ἑστιωμένους· ἔτι δὲ ὡς υἱοῦ κατεξουσιάζουσα διὰ τὴν πολλὴν ἄγαν ὑποταγὴν τοῦ Σωτῆρος ἡ μήτηρ, ὁμοῦ τε καὶ τὸν ἐν δυνάμει θεοπρεπεῖ διὰ πολλῆς ἤδη τῆς πείρας μαθοῦσα "Οἶνον οὐκ ἔχουσι," φησίν· ᾔδει γὰρ ἐξανύσοντα καὶ μάλα ῥᾳδίως, ὅπερ ἀπῄτει τῶν πραγ μάτων ἡ φύσις. πρὸς αὐτὴν δὲ ὁ Κύριος "Τί ἐμοὶ καὶ σοὶ, "γύναι; οὔπω ἥκει ἡ ὥρα μου." ὁ μὲν οὖν φιλόθεος νοῦς καὶ τῶν ἀλλοκότων ἀπηλλαγμένος δογμάτων, Ἑλληνικῆς τε ὡς πoῤῥωτάτω δεισιδαιμονίας ἀναφυγὼν, τὸ εἰρημένον εὐ σεβῶς ἐκδέξεται. οὔπω γὰρ ἥκει, φησὶν, ὁ τῆς ἀναδείξεώς μου καιρὸς, τῆς διὰ σημείων δηλαδή. Θεὸς γὰρ ὢν κατὰ φύσιν, τὸν ἑκάστῳ πράγματι πρέποντα χρόνον οὐκ ἠγνόησε, πόθεν; ὁ δὲ ἐκ πολλῆς ἄγαν τῆς ἀσυνεσίας περιτρέπων εἰς ἐκεῖνο καὶ τοῦτο· ἱππηλατῶν γάρ πως ἐστὶ τοῖς πολλοῖς τὸ κακόν· καὶ ταῖς τῶν ὡρῶν ἐνεργείαις, ὥσπερ οὖν τινες ληροῦντές φασιν, ὑποκεῖσθαι καὶ αὐτὸν οἰόμενοι τὸν Χριστὸν, αὐτόθεν ἡμῖν ἀνοητεύων ἁλώσεται, καὶ δι' ὧν ἐπαγωνιεῖσθαι τοῖς ἑαυτοῦ προσεδόκησε λόγοις, διὰ τούτων αὐτῶν τῆς ἐνούσης τοῖς δόγμασιν ἀτοπίας καταγνώσεται. εἰ γὰρ ταῖς τῶν ὡρῶν ἐνεργείαις ὑποκεῖσθαι δώσομεν τῶν πραγμάτων τὴν φύσιν, διά τε τοῦτο φάναι τὸν Χριστὸν πρὸς τὴν 1.672 μητέρα τό Οὔπω ἥκει ἡ ὥρα μου, πῶς, εἰπέ μοι, κατὰ τὸν παρ' ὑμῶν βδελυρόν τε καὶ ἀσοφώτατον λόγον, οὔπω τὴν ἀπὸ τῆς ὥρας συνασπίζουσαν αὐτοῦ τοῖς θελήμασιν ἐνέρ γειαν ἔχων δημιουργὸς τῶν αἰτηθέντων γίνεται; φαίνεται γὰρ παραχρῆμα τὸ ὕδωρ εἰς οἶνον μεταβαλών. ἀλλ' εἴπερ οἴεσθε χρῆναι ταῖς τῶν ὡρῶν ἐξουσίαις ὑποκεῖσθαι τὰ πράγματα, πῶς οὐκ ἔδει μηδὲ τὴν ἀρχὴν ὅλως ἐπιχειρεῖν ἐξανῦσαι τὸν Κύριον, ὅπερ ἡ τῆς ὥρας οὐκ ἐδίδου συνδρομή; ἀλλ' οὐδὲν τούτου φροντίσας ὁρᾶται, πρόωρον δὲ ὥσπερ ἐδίδου τὴν χάριν ἐκείνοις. οὐκ ἄρα τῆς ὥρας ἡ δύναμις ἦν ἐμποδὼν, καιροῦ δὲ οὔπω παρόντος εἰς ἀνάῤῥησιν τὴν διὰ θαυμάτων, τὰ τοιαῦτά φησιν ὁ Χριστός. Οὐκοῦν ἀπηλλάχθημεν τῆς ἐν τούτοις ὑμῶν ὑπονοίας, αὐτὸς καὶ ὀνομαζομένης τῆς ὥρας νοείσθω καιρὸς, ὁ ἑκάστῳ πράγματι πρέπων· ὅτι δὲ καὶ ἡμεῖς τῆς ἐξ ὡρῶν ἀνάγκης ἐλεύθεροι καθεστήκαμεν, πλειόνων οἶμαι μὴ δεῖσθαι ῥημάτων τὴν πραγματείαν. ἀρκούντως γὰρ ἤδη τὰ ἐπὶ τούτῳ διει λήφαμεν. Πλὴν ἐκεῖνο δεῖξαι σπουδάσομεν ἔν γε τῷ παρόντι λοιπὸν, ὅτι τὴν ὥραν ἐν ταῖς θείαις γραφαῖς τὸν ἑκάστῳ πρέποντα πράγματι καιρὸν εὑρήσομεν. καὶ κράζεται μὲν ὁ θαυμάσιος Παῦλος καὶ τῆς ὀνομαζομένης ὥρας σημαίνει τὴν δύναμιν "Καὶ τοῦτο εἰδότες τὸν καιρὸν, ὅτι ὥρα ὑμᾶς ἐξ "ὕπνου ἐγερθῆναι· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν." ὁρᾷς ὅτι καιρὸν προτάξας, τὴν ὥραν ἐπήνεγκεν, ὡς αὐτὸ διὰ τοῦ αὐτοῦ, καὶ οὐχ ἕτερόν τι δηλῶν. καιρὸς γὰρ ἦν διεγρη γορήσαντας ἤδη τοὺς κεκαρωμένους ἐν ἁμαρτίαις ἀναμῦσαι πρὸς τὸ συμφέρον, καὶ διεγερθῆναι πρὸς νῆψιν τὴν θεοφιλῆ. 1.673 Ἐκ τοῦ ὄχλου οὖν πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν, καὶ ἔλεγον Ὁ Χριστὸς ὅταν ἔλθῃ μὴ πλείονα σημεῖα ἔχει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιῆσαι ὧν οὗτος ἐποίησεν; Ὅσην ὁ λόγος ἐν τούτοις ἔχει τὴν οἰκονομίαν καὶ ὅπως ἡμῖν μετ' ἐκεῖνα πάλιν εὐρύθμως εἰσβέβηκεν, ἄξιον ἰδεῖν. προειρηκὼς γὰρ ὡς ἐζήτουν αὐτὸν Ἰουδαῖοι συλλαβεῖν, καὶ καθεῖρξαι βρόχοις τοῖς ἐξ ἀπονοίας εἰς ὠμὸν οὕτω καὶ οὐκ ἐν καιρῷ μελετώμενον κίνδυνον, τοὺς ὄχλους δεικνύει τοὺς πεπιστευκότας, ἵνα τῶν ἡγουμένων ὁμολογῆται λοιπὸν τὰ ἐπ' αὐτῷ κακουργήματα. τοσοῦτον γὰρ ἀφεστᾶσιν οἱ δῆμοι τοῦ βουλεύεσθαι παροινεῖν ὡς αὐτὸν, ὡς καὶ τὰς ἐκ τῶν θαυμάτων ἤδη συλλέγειν ἐννοίας, καὶ ὅτι προσήκει λοιπὸν τοῖς παρ' αὐτοῦ προσκεῖσθαι μαθήμασι διαῤῥήδην ὁμολογεῖν. λόγος δὲ ἦν, ὡς εἰκὸς, ἐφ' ὅλον τῶν Ἰουδαίων τὸ γένος ἐκτεθρυλημένος, καὶ ἀνὰ πᾶσαν αὐτῶν ἡπλωμένος τὴν χώραν, ὡς ἐπὶ μεγάλοις τισὶν ἡ Χριστοῦ παρουσία γενέ σθαι· καὶ τερατουργήσει μὲν ὑπὲρ λόγον, ἀξιολογωτέραν δὲ σφόδρα καὶ τῆς νομικῆς ἀμείνω παιδεύσεως τὴν διδασκα λίαν εἰσοίσει. γυνὴ μὲν γὰρ ἡ Σαμαρεῖτις, ὅτε τὸ ὕδωρ ἀρυσαμένη εἰς τὴν τοῦ Ἰακὼβ ἀφικνεῖτο πηγὴν, καὶ τῷ Σωτῆρι προσδιελέγετο "Οἴδαμεν, φησὶν, ὅτι Μεσσίας ἔρ "χεται, ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ "ἡμῖν πάντα." καὶ τό Οἴδαμεν, ἐν τούτοις, οὐχὶ δὴ πάντως ἐκείνῃ καὶ μόνῃ περιθήσομεν εἰκότως, ἀλλ' ὅλον προσ άπτοντες τὸ Σαμαρειτῶν τε καὶ Ἰουδαίων γένος, τὸν ἀρτίως ἡμῖν προσκεκομισμένον βεβαιώσομεν λόγον. οὗτοι δὲ νυνὶ τὰ ἐν λαμπραῖς ἐλπίσι περὶ αὐτοῦ θρυλούμενα τῶν ἤδη παρόντων οὐκ ἐν μείζοσι βλέποντες, μονονουχὶ πρὸς ἀλλή 1.674 λους τοιαῦτά φασιν Ἐπὶ τίσιν ἡμῖν ὁ νόμος ἀναδειχθή σεσθαι διαμεμήνυκε τὸν Χριστόν; τίνα δὲ αὐτὸν ὁ τῶν ἁγίων προφητῶν κεχρησμῴδηκε λόγος; θαυματουργὸν δη λονότι καὶ τῶν ἀρίστων εἰσηγητήν. ἀλλ' ὁρῶμεν ἄκρως πρὸς ἄμφω τὸν ἤδη παρόντα διαπρεπῆ. ποία σημείων ὑπερβολὴ τοῖς ἔτι τὸ μεῖζον ἐννοοῦσι περιλιμπάνεται; πρὸς τί τῶν δυσχερῶν ἠσθένησεν; τί δὲ ὑπὲρ λόγον καὶ παρα δόξως οὐκ εἴργασται; ἐν τίνι τὸ πλέον ἔτι ζητήσωμεν; ἴδωμεν εἰ μὴ λοιπὸν ἐν ὅροις τοῦ παντὸς ἀφικνεῖται θαύ ματος; τί τὸ ἐν Χριστῷ προσδοκώμενον, ὃ μὴ ἐν τούτῳ φαίνεται; ἀναίσχυντος ἤδη λοιπὸν ἡ τοῦ πιστεύειν παραί τησις, ἀγνώμων ἡ ῥᾳθυμία, καὶ ὁ τῆς μελλήσεως λόγος ἀπίθανος κομιδὴ κατά γε τὸ δεῖν αἱρεῖσθαι τὰ κάλλιστα· ὁμολογείσθω Θεός· τοῦτο γὰρ αὐτὴ τῶν πραγμάτων ἡ φύσις καὶ οὐχ ἑκόντας αἰτεῖ. Οὐκ ἀκόμψως μὲν οὖν οὐδὲ τοῦ πρέποντος ἐξῳκισμένως τὴν τοιαύτην ἄν τις τοῖς Ἰουδαίοις περιθείη φωνήν. σημειω τέον γεμὴν ὅτι ταῖς τῶν ἡγουμένων δυστροπίαις διόλωλε τὸ ὑπήκοον· οἱ μὲν γὰρ ἦσαν ἄριστοι στοχασταὶ τῇ τῶν τελου μένων λαμπρότητι πρὸς τὸ χρῆναι πιστεύειν ποδηγούμενοι, μόνην δὲ περὶ Χριστοῦ μένοντες τῶν ἡγουμένων σύνεσιν· οἱ δὲ οὕτως ἦσαν εἰς ὠμότητα δεινοὶ, ὡς κακοῦν ἐπιχειρεῖν τὸν ἐπὶ μεγάλαις ἐλπίσιν προκατηγγελμένον, διά τε τῶν τελου μένων ἤδη καὶ πεπιστευμένον. Ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα. Ἀσχάλλει μὲν ἡ πληθὺς κατὰ τῶν ἡγουμένων καὶ μάλα 1.675 εἰκότως. ἐποιεῖτο δὲ πολλήν τινα τὴν καταβοὴν περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, οὐχ ὅτι ξένος ἦν καὶ ὑπὲρ ἐλπίδα θαυματουργὸς, ἀλλ' οὐδὲ ὅτι τῆς νομικῆς λατρείας τὰ ἀμείνω παρῆλθεν ἐρῶν· ἀλλ' ὅτι τοῖς ἀρχιερεῦσιν καὶ Φαρισαίοις οὔπω γεγόνει παράδεκτος τοῖς παρὰ Χριστοῦ λεγομένοις ἰσοστατοῦσαν ἔχων τὴν δόξαν, καὶ κατ' οὐδὲν ὅλως ἐν ἐλάττοσιν ὢν ἢ ἐν οἷσπερ ἂν ἐκεῖνον οἱ ἐπ' αὐτῷ διαγγέλ λουσι θρῦλοι, ἢ καὶ ὁ τῶν ἁγίων προεκήρυξε προφητῶν λόγος. ὡς οὖν ἤδη φθόνῳ κεκρατημένους ἤπερ ὄντως τῆς τοῦ λαοῦ σωτηρίας πεφροντικότας καταιτιῶνται δικαίως· πολὺς δὲ ὢν τῆς ἐπὶ τούτοις αἰτίας ὁ λόγος οὐ διαλανθάνει τοὺς ἡγουμένους, καὶ προσκέκρουκεν, ὡς εἰκὸς, ἡ πληθὺς, εὐλόγως μὲν ἤδη καταπεπληγμένη τὸν Κύριον, διψῶσα δὲ λίαν τὸ πιστεύειν αὐτῷ καὶ ἤδη πως τῆς τῶν ἀρχόντων πλεονεξίας τὸν ζυγὸν οὐ φέρουσα, μελετῶσα δὲ ὥσπερ ἐκεῖνο δρᾶν τὸ ἐν ψαλμοῖς εἰρημένον "Διαῤῥήξωμεν τοὺς "δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν "αὐτῶν." οὐ γὰρ τοῖς τοῦ νόμου διατάγμασιν ὑποζεύξαντες τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγελαίων τὸν νοῦν, ἀλλὰ τοῖς ἰδίοις ὑποθέντες εὑρήμασι, καὶ διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων, τὴν εὐθεῖαν ἀφέντες καὶ ἱππήλατον ἐπὶ κρημνοὺς καὶ βόθρους ἐξέπεμπον τοὺς οἷσπερ ἦν ἤδη καὶ ἐν ἑτοίμῳ τὸ σώζεσθαι, καὶ οἴκοθεν χειραγωγουμένοις πρὸς εὐθύτητα λογισμῶν. Καὶ ἀπέστειλαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ὑπηρέτας ἵνα πιάσωσιν αὐτόν. "Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς" τοῦ νόμου διηγγελ κότος, ἄνω τε καὶ κάτω τό "Οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ "κακίᾳ" σαφῶς ἀνακεκραγότος, φονῶσιν οἱ νομοφύλακες, καὶ ἐπὶ τῷ τὰ Μωυσέως ἡγεῖσθαι σεπτὰ καταφρυαττόμενοι, 1.676 καὶ τοῖς ἄλλοις ἅπασιν, εἰ μὴ τοῦτον διακέοιντο τὸν τρόπον, ἐπιτιμᾶν εἰωθότες. ἀλλ' οὐδὲν ἐν τούτοις τοῦ νόμου φροντί σαντες, διαλακτίσαντες δὲ ὥσπερ τὰ παρ' αὐτοῖς τιμιώτατα, βρόχοις περιβαλεῖν σπουδάζουσι τὸν ἡμαρτηκότα μὲν τὸ παράπαν οὐδὲν, ὅτι δὲ μᾶλλον αὐτὸς εἴη ὁ Χριστὸς, δι' αὐτῶν ἤδη τῶν ἔργων πεπιστευμένον. ἐχρῆν δὲ δήπου πάντως, ἐρεῖ τις εὐλόγως, τοὺς ἀνοσίους τῶν Ἰουδαίων καθηγητὰς, εἴπερ ἦσαν τῶν θείων λογίων ἵστορες καὶ τῶν θείων νόμων ἐπιστήμονες, προσλαλῆσαι μᾶλλον τοῖς ὄχλοις, ἀνατρέψαι λογισμοῖς τοῖς καθήκουσι τὴν ἐπὶ τούτῳ κατα βοὴν, ἀποκρούσασθαι τοῦ φθόνου τὰς ὑποψίας, μεθιστᾶν εἰς τὸ φρονεῖν ἃ προσῆκεν, εἴτι περ ὅλως καὶ διεσφάλσθαι παρ' αὐτοῖς ἐνομίζοντο, καλὰς ἐπὶ Χριστῷ τὰς ὑπονοίας ὠδίνοντες· ἔδει ταῖς ἐκ προφητῶν μαρτυρίαις πληροφορῆσαι, καὶ διὰ πάσης ἁπαξαπλῶς ἰόντας τῆς θείας γραφῆς, ἀπονίψασθαι μὲν τὰ ἐκ τῶν ὄχλων ἐγκλήματα, διδάξαι δὲ περὶ Χριστοῦ τὸ ἀληθέστερον ὡς ἐγνωκότας τι πλέον. ἀλλ' οὐδεμίαν ἐντεῦθεν τὴν ἀπολογίαν εὑρίσκοντες, δυσωπούμενοι δὲ τὴν ἁγίαν γραφὴν, ἅτε κατηγοροῦσαν αὐτῶν μετὰ τῶν ὄχλων εὑρίσκοντες, εἰς ἀναίσχυντον ἐμπίπτουσι θράσος, καὶ ἐκ μέσου ποιεῖσθαι σπουδάζουσι τὸν Χριστὸν, ὅτι διέπταισται διελέγχειν οὐκ ἔχοντες. τὸ δὲ δὴ τῶν ἄλλων ἀφορητότερον, οὐδὲ τῶν τυχόντων ἡ σκέψις, ἀλλὰ τῶν ἀρχιερέων τὰ τολμήματα σύνδρομον ἐχόντων τοῖς Φαρισαίοις τὴν γνώμην, καίτοι καθηγεῖσθαι δέον αὐτῶν ὡς πλεονεκτοῦντας τῷ τῆς ἱερωσύνης πράγματι, καὶ τὸ προτετάχθαι διὰ τούτου λα χόντας, ἔδει φαίνεσθαι καθηγητὰς, καὶ ἐν ἀγαθοῖς τοῖς σκέμμασι, καὶ βουλῆς κατάρχειν οὐκ ἀπᾳδούσης Θεῷ. ἀλλ' 1.677 ἐπείπερ ἔξω φρενὸς γεγόνασιν ἀγαθῆς, καὶ κατόπιν τῶν ἰδίων ἐνθυμημάτων τὸν θεῖον ῥίψαντες νόμον, ἐπὶ μόνον τὸ δοκοῦν ἀδιακρίτοις ἐφέροντο ταῖς ὁρμαῖς· κεφαλὴ γὰρ γέγονεν εἰς οὐρὰν, κατὰ τὸ γεγραμμένον. ἕπεται γὰρ ὁ ἡγούμενος, καὶ τῇ τῶν Φαρισαίων ἀνοσιότητι συμφρονῶν ἀχαλίνους ἤδη καὶ κατὰ Χριστοῦ ποιεῖται τὰς καταδρομάς. ἀπροφάσιστος δέ πως ἀεὶ τοῖς πονηροῖς ὁ πρὸς φιλαρέτους εὑρίσκεται πόλεμος, καὶ μονονουχὶ χωλεύει τῆς μάχης ὁ τρόπος ταῖς ἐξ εὐλόγων αἰτιῶν εὑρεσιλογίαις οὐ βοηθού μενος, μόνοις δὲ τοῖς ἐκ φθόνου διακεκωλυμένος νοσήμασιν. οὐ γὰρ ἔχοντες ἁμιλλᾶσθαι τοῖς ἐκείνων μεγαλουργήμασιν, οὐδὲ διὰ τῆς ἴσης εὐψυχίας ἰσόμετρον αὐτοῖς ἀποκομίζεσθαι δόξαν, ἢ καὶ ἐν ἀμείνοσι τυχὸν διὰ τῶν ἀμεινόνων ὁρᾶσθαι, πρὸς ἀγριότητα πίπτουσι λογισμῶν, καὶ ταῖς τῶν νικώντων εὐφημίαις ἐξοπλίζονται παραλόγως, ἀφανίζειν σπουδάζοντες τὸ ἀσχημονεῖν ἀναγκάζον αὐτούς. ἀεὶ γὰρ τῇ παραθέσει τοῦ βελτίονος τὸ φαῦλον ἐλέγχεται. χρῆν δὲ δήπου μᾶλλον αὐτοὺς διὰ τῶν ἴσων παρισοῦσθαι φιλεῖν, καὶ τοῖς ἐπαινου μένοις τὰ αὐτὰ μᾶλλον ἐπείγεσθαι φρονεῖν καὶ δρᾶν. εἰκὸς δὲ δή τι καὶ πικρὸν ἐννοῆσαι τοὺς Φαρισαίους. ἐπειδὴ γὰρ ἐπύθοντο διαγογγύζειν τοὺς ὄχλους, καὶ ἀλλήλοις ἤδη δια θρυλεῖν "Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; ἴδε ἐν "παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. μήποτε ἔγνω "σαν οἱ ἄρχοντες ὅτι αὐτός ἐστιν ὁ Χριστός;" ἀποκρουο μένοι πάλιν τῇ συντρόφῳ κακίᾳ τὴν ἐντεῦθεν ὑπόληψιν, δεσμεῖν ἐπιτάττουσιν, αὐτό τε τοῦτο πληρώσοντας τοὺς ὑπηρέτας ἐκπέμπουσιν. 1.678 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Οὐκ ἠγνόησε πάλιν, ἅτε δὴ Θεὸς ὑπάρχων κατὰ φύσιν ὁ Κύριος, τὰ μιαιφόνα τῶν Φαρισαίων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τολμήματα, καὶ τὴν ἐφ' ἑαυτῷ τῶν ἀρχιερέων ἀνόσιον σκέψιν. θεωρεῖ δὲ τοῖς τῆς θεότητος ὀφθαλμοῖς ἤδη καὶ παρόντας, καὶ τοῖς ὄχλοις ἀναμεμιγμένους τοὺς οἵπερ ἦσαν ἐξειλεγμένοι παρ' ἐκείνων ὑπηρέται πρὸς τὸ συλλαβεῖν αὐτόν. διὰ τοῦτο κοινὸν μὲν ὡς πρὸς ἅπαντα τὸν περιεστῶτα δῆμον ποιεῖται τὸν λόγον, ἔχοντα δὲ ὥσπερ πρὸς ἐκείνους ἀπόκρισιν ἰδικὴν, ὁμοῦ δὲ καὶ ἐν ταὐτῷ πολλὰ διδάσκει τὰ χρήσιμα. ἀπειλεῖ μὲν γὰρ χαριέντως, ἀλλὰ καὶ, ἐφ' οἷς ἥδεσθαι χρὴ, μικροψυχοῦντας ἐλέγχει· ἄπρακτον δὲ καὶ ἑτέρως αὐτοῖς ἔσεσθαι τὸ ἐγχεί ρημα κἂν γενέσθαι συμβῇ. καὶ ὅπως, ἐροῦμεν, τὸν ἐφ' ἑκάστῳ διελόντες λόγον· ἐν μὲν γὰρ τῷ εἰπεῖν Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, μονονουχὶ τοῦτο διδάσκων φαίνεται Λέγετέ μοι, φησὶ, διὰ ποίαν αἰτίαν ὡς ἐν τῷδε τῷ κόσμῳ βραδύ νοντί μοι λοιπὸν ἐπασχάλλετε; φορτικός εἰμι τοῖς καθ' ὑμᾶς, ὁμολογῶ, καὶ τοῖς οὐ τιμῶσι τὴν ἀρετὴν οὐ λίαν ἡδὺς, συντρίβων τὸν οὐ φιλόθεον, καὶ ὑποπλήττων ἐλέγχοις ἔσθ' ὅτε τὸν δυσσεβῆ. μῖσος ἐμαυτῷ γεωργήσας οὐκ ἀγνοῶ. ἀλλὰ μὴ πρόωρον οὕτως ἐπ' ἐμοὶ τὸν τοῦ θανάτου βρόχον ἐκτείνετε. μικρὸν ἔτι μεθ' ὑμῶν ἔσομαι χρόνον, ἀπαναστήσομαι χαίρων, ὅταν ὁ τῷ παθεῖν πρέπων ἔλθῃ καιρὸς, οὔτε αὐτὸς ἀνέξομαι συνεῖναι κακοῖς, οὐχ ἡδεῖαι μοί φησιν αἱ μετὰ φονώντων διατριβαὶ, ἀποδραμοῦμαι τῶν δυσσεβούντων, ὡς Θεὸς, συνέσομαι δὲ τοῖς ἐμοῖς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος κἂν ἀπεῖναι δοκῶ τῇ σαρκί. ἐν δὲ τῷ λέγειν Ὑπάγω πρὸς 1.679 τὸν πέμψαντά με, σημαίνει τι πάλιν τοιοῦτον Μάτην ἐπ' ἐμοὶ τὸ τῆς ἑαυτῶν δυσσεβείας, φησὶν, ἠκονήσατε ξίφος. τί δὲ καὶ ἀνηνύτοις καταξαίνεσθε βουλαῖς; στήσατε τοῦ φθόνου τὸ βέλος· βάλλει γὰρ εἰς οὐδέν· οὐχ ὑποθήσεται θανάτῳ τὴν ζωὴν, οὐδὲ περιέσται τῆς ἀφθαρσίας ἡ φθορά· οὐκ ἔσομαι κάτοχος ταῖς ᾅδου πύλαις, οὐκ ἔσομαι μεθ' ὑμῶν ἐν μνη μείοις νεκρὸς, ἀναπτήσομαι πρὸς τὸν ἐξ οὗπέρ εἰμι, ἀναβή σομαι δὲ πάλιν εἰς οὐρανοὺς, ἔγκλημα τῆς ὑμετέρας δυσσε βείας καὶ ἀγγέλοις καὶ ἀνθρώποις ὁρώμενος. οἱ μὲν γὰρ ἀναφοιτῶντα θαυμάσουσιν, οἱ δὲ ὑπαντῶντες ἐροῦσι "Τί "αὗται αἱ πληγαὶ ἀνὰ μέσον τῶν χειρῶν σου; καὶ ἐρῶ "πρὸς αὐτούς Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου." οὐκοῦν ἐν ἤθει πολλῷ καὶ ἐν ἐξαιρέτῳ πρᾳότητι συντέθηται πάλιν ὁ λόγος, εἰς ὑπογραμμὸν δὲ καὶ τοῦτο ἡμέτερον· ὅθεν καὶ ὁ Παῦλος τὸν τοῦ Θεοῦ δοῦλον μὴ χρῆναι "μάχεσθαί" φησιν, "ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, ἐν πρᾳότητι παι "δεύοντα τοὺς ἀντιδιατιθεμένους." δεῖ γὰρ οἶμαι θορύβου παντὸς καὶ τῶν ἐξ ὀργῆς ἀτιθάσων κινημάτων ἔξω κεῖσθαι τὸν φιλόθεον νοῦν, καὶ ὥσπερ τινὰ κυμάτων ἀγρίαν ἐπει σφορὰν παραιτεῖσθαι φιλεῖν τὰ ἐκ μικροψυχίας συμβαί νοντα, νηνέμοις δὲ ὥσπερ εὐδίαις ἐφήδεσθαι τοῖς ἐκ πρᾳό τητος λογισμοῖς, καὶ ἀγαπᾶν ὅτι μάλιστα τὸ διαζῆν ἐν μακροθυμίαις, ἀνεξίκακον δὲ πρὸς πάντας ὁρᾶσθαι, καὶ φρενὸς μὲν ἔχεσθαι παντελῶς ἀγαθῆς, λόγον δὲ τὸν πρὸς ἐχθροὺς ποιεῖσθαι μὴ ἀσχήμονα. Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. Χαριέντως καὶ τοῦτο, καὶ ἐν ἤθει πολλῷ. σημαίνει μὲν γὰρ ὅ τι, κατὰ τὸ πρόχειρον ἐκληφθὲν, οὐ δυσχερὲς εἰς κατά 1.680 ληψιν, ὠδίνει δέ τι πικρὸν ἐν παραβύστῳ μυστήριον. ἐπειδὴ γὰρ ἀναβήσεσθαί φησι πρὸς τὸν ἀποστείλαντα αὐτὸν, τουτέστι, πρὸς τὸν Θεὸν καὶ Πατέρα, κἂν ἐπιβου λεύειν ἐπιχειρῶσιν ἔτι, κἂν τοῦ διώκειν οὐ παύσωνται, οὐδαμόθεν αὐτοῖς ἁλώσιμον ἔσεσθαι λέγει τὸν εἰς αὐτοὺς δραμόντα τοὺς οὐρανούς. τὸ δὲ ἀληθέστερόν τε καὶ αἰνιγμα τωδῶς ὑποδηλούμενον, τοιοῦτόν ἐστιν Ἐγὼ, φησὶ, χορη γήσων ὑμῖν ἀπεστάλην τὴν ζωὴν, ἀφῖγμαι δὲ τῆς ἀνθρω πείας φύσεως ἐξελεῖν τὸν ἐκ παραβάσεως ἐπισκήψαντα θάνατον, καὶ ἀνεξικάκως ἀνακομίσων πρὸς Θεὸν τοὺς δι' ἁμαρτίας ἐξολισθήσαντας· παραγέγονα τοῖς ἐν σκότει τὸ θεῖον ἐνθήσων καὶ οὐράνιον φῶς, καὶ πρὸς τούτοις ἔτι "πτωχοῖς μὲν εὐαγγελίσασθαι, τυφλοῖς" ἐπιδοῦναι τὴν "ἀνάβλεψιν, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν, καλέσαι ἐνιαυτὸν "Κυρίου δεκτόν." ἀλλ' ἐπείπερ ὑμῖν ταῖς ἀπονοίαις ἐξε λαύνειν δοκεῖ τὸν οὕτω πλουσίαν τῶν οὐρανίων ἀγαθῶν παραθέντα τὴν ἀπόλαυσιν, μετὰ βραχὺ μὲν αὐτὸς ἀνακομι σθήσομαι πρὸς τὸν ἐξ οὗπέρ εἰμι,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεταγνώσεσθε δὲ ὑμεῖς, καὶ ἀπράκτοις ὑστεροβουλίαις δαπανώμενοι πικρῶς ἐφ' ἑαυτοῖς θρηνήσετε, κἂν εὑρίσκειν ἔτι τὸν τῆς ζωῆς βούλησθε χορηγὸν, οὐκ ἐξέσται τότε τὸν ποθούμενον ἀπολαῦσαι. ἀποπηδήσας γὰρ ἅπαξ καὶ τῆς εἰς ὑμᾶς ἀγάπης ἀπονε νευκὼς, ἀποτειχιῶ πάντως ὑμῖν καὶ τὸ ἐν ζητήσει χρήσιμον. Τοιοῦτον δέ τι καὶ ἐν τοῖς τῶν προφητῶν κηρύγμασι περὶ αὐτῶν εὑρήσομεν. λέγει γάρ τις περὶ τῶν ἐξ Ἰσραὴλ "Μετὰ προβάτων καὶ μόσχων πορεύσονται τοῦ ἐκζητῆσαι "τὸν Κύριον, καὶ οὐ μὴ εὕρωσιν αὐτὸν, ὅτι ἐξέκλινον ἀπ' "αὐτῶν." οἱ γὰρ ἑλέσθαι παρόντι ζωὴν οὐ θελήσαντες, καὶ τὸ ἐν χερσὶν ἀγαθὸν λογισμοῖς ἀσυνέτοις ἐξωθούμενοι, πῶς 1.681 ἂν εἶεν ἔτι πρὸς τὸ λαβεῖν ἐπιτήδειοι; καὶ οἱ τὸ καιροῦ διαμαρτεῖν ἐν τῷ μηδενὸς ποιησάμενοι λόγῳ, πῶς ἂν ἔχειν δύναιντο τὰ ἐκ τῶν καιρῶν ἀγαθά; ἐνεστηκότος μὲν γὰρ τοῦ καιροῦ καὶ παρόντος ἔτι, τὰ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ ζητητέον· ἐξοιχομένου δὲ ἤδη καὶ παρελαύνοντος, περιττὴ λοιπὸν καὶ εἰκαιοτάτη τῶν ἐν αὐτῷ χρησίμων ἡ ζήτησις. καὶ γοῦν ὁ μακάριος Παῦλος "Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, φησὶν, "ἰδοὺ νῦν ἡμέρα σωτηρίας," ἀλλὰ καί "Ἕως καιρὸν ἔχομεν, "ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας." ἤδη γὰρ ἤδη πρέπει τοῖς τὴν ἕξιν ἀγαθοῖς τὸ μὴ δεῖν, παρηβῶντος ἤδη τοῦ καιροῦ, τὰ ἐξ αὐτοῦ ζητεῖν ἀγαθὰ, ἀρχομένου δὲ μᾶλλον, καὶ ἀκμαιοτάτην ὥσπερ τὴν παρουσίαν ἐπιδεικνύοντος. Καὶ πολλὰ μὲν ἦν ἐπὶ τούτοις ἔτι περὶ καιροῦ λέγειν ἀπὸ τῆς θείας γραφῆς, παρεὶς δὲ τοῖς φιλοπόνοις τὸ ἐκεῖνα ζητεῖν, ἐρῶ τι βραχὺ, κοινὸν μὲν καὶ ἐν χρήσει τῇ παρ' ἡμῖν, ὅμως δ' οὖν οὐ μετρίαν ἔχον τὴν ὄνησιν. φασὶ τοιγαροῦν τοὺς τὰς ἐν τοῖς πίναξιν ἀνατυποῦντας γραφὰς, ὅτε καιρὸν πρὸς εἶδος ἄγουσι τὸ ἀνθρώπινον, τὸ μὲν ἄλλο τοῦ σώματος σχῆμα κατὰ τὸ δοκοῦν αὐτοῖς ἀποσημαίνεσθαι, κεφαλὴν δὲ μόνην ἐπιτιθέναι τοιαύτην· ἀπὸ μὲν γὰρ τῶν κατόπιν αὐτὴν ἀπότριχά τε καὶ λειοτάτην ἐπιδεικνύουσι λαμπροῖς ἀλεί φοντες χρώμασιν· ἀπὸ δὲ μέσου κρανίου, μακρὰν τοῖς μετώ ποις ἐπαρτῶσι τὴν τρίχα, καὶ κεχυμένην εἰς τὸ πρόσω καὶ διαῤῥέουσαν, δι' αὐτοῦ δὴ τούτου δηλοῦντες τοῦ σχήματος, ὅτι καιροῦ μέν τινος ἐνεστηκότος τε καὶ οἷον ἀντιπροσώπου ὑπαντιάζοντος, ῥᾳδίαν ἐπιδράξαιτο, παρῳχηκότος δὲ ἤδη, πῶς ἂν ἔτι καὶ λάβοιτο; δασὺς μὲν γὰρ ὥσπερ καὶ εὐκά τοχος ἔτι παρὼν, παραδραμὼν δὲ, οὐκέτι. τοῦτο γὰρ ἡ κατόπιν λειότης ὑποδηλοῖ, μονονουχὶ τὴν τοῦ κατείργειν 1.682 ἐθέλοντος διαπαίζουσα χεῖρα. οὐκοῦν ἐπείπερ οὐκ ἐν ἡμῖν τὰ ἐκ τῶν καιρῶν μετὰ τοὺς καιροὺς, παροῦσι τοῖς ἀγαθοῖς μὴ ἐπινυστάξωμεν, ἐγρηγορῶμεν δὲ μᾶλλον, καὶ μὴ ὅτε τὸ ζητεῖν ἀνωφελὲς, τὸ θηρᾶσθαι τὸ ὠφελοῦν ἀσυνέτως σπου δάζωμεν. Καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Ἀστειότατα πάλιν τῆς τῶν οὐρανῶν βασιλείας τὸ τῶν Ἰουδαίων ἐκπέμπει γένος, ἀκόλουθα μὲν τοῖς ἤδη προειρη μένοις ἐπενεγκὼν, βαθὺ δ' οὖν ὅμως αὐτοῖς ἐγκαταχώσας μυστήριον. ἁπλούστερον μὲν γὰρ προσβάλλοντες τῷ λόγῳ, καὶ ἀπεριεργοτέραν ἐπ' αὐτῷ τὴν θεωρίαν δεξάμενοι, τοιοῦτόν τι φαμὲν ὑποδηλοῦν αὐτὸν, ὡς οὐδαμόθεν αὐτοῖς ἔσται καταληπτὸς, ἀλλ' οὐδὲ τοῖς παρ' αὐτῶν ὑποπεσεῖται βρόχοις παλινδρομήσας πρὸς τὸν Πατέρα. οὐ γὰρ βάσιμος αὐτοῖς ἔσται καὶ οὐρανὸς, ὁ δὲ αὐτῷ συνεδρεύων τῷ Θεῷ καὶ Πατρὶ, πῶς ἂν καὶ γένοιτο τοῖς ζητοῦσιν αὐτὸν ἁλώσιμος; εἷς μὲν οὖν λόγος οὗτος οὐ βαθὺς, πρεπωδέστερος δὲ ταῖς τῶν Ἰουδαίων ἐλαφρίαις μᾶλλον, καὶ ταῖς ἐκείνων διανοίαις ἐν ἀμείνοσι· χθαμαλώτερον γάρ πως ἀεὶ νοοῦντες εὑρί σκονται· ἡ δὲ ἀκριβὴς καὶ κεκρυμμένη τῶν εἰρημένων διά νοια τοῦτον ἔχει τὸν τρόπον Ἐγὼ μὲν, φησὶ, τῆς ὑμετέρας ἀνοσιότητος τὴν παγίδα διεκδραμὼν, ἀνακομισθήσομαι πρὸς Θεὸν καὶ Πατέρα· προαποδημήσω δὲ πάντως τῶν ἡμετέρων προσκυνητῶν, ἵνα καὶ πορεύσιμον αὐτοῖς ἀποδείξας τὴν πρὸς τὸ ἄνω διακομίζουσαν τρίβον, πάντας ἔχοιμι μεθ' ἑαυτοῦ. ὑμεῖς δὲ οὐ δύνασθε ἐλθεῖν ὅπου εἰμὶ ἐγὼ, τουτέστιν ἀπόκληροι τῶν θείων ἀγαθῶν εὑρεθήσεσθε, ἀμέτοχοι τῆς ἐμῆς ἔσεσθε δόξης, καὶ τοῦ συμβασιλεύειν τοῖς ἁγίοις 1.683 ἀλλότριοι, ἄγευστοι διαμενεῖτε τῆς ἐν ἐλπίσι δωρεᾶς, ἀπό σιτοι τῶν θείων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔσεσθε γάμων, τὴν ἐμὴν οὐκ ὄψεσθε πανή γυριν, οὐκ ἀναβήσεσθε πρὸς τὰς ἄνω μονὰς, ἀλλ' οὐδὲ τῆς τῶν πρωτοτόκων Ἐκκλησίας τὸ κάλλος ἐπαθρήσετε· ἄποπτος ὑμῖν ἡ ἄνω γενήσεται πόλις· οὐ θεωρήσετε τὴν πλουσίαν Ἱερουσαλήμ· ἐκεῖ γάρ με τὸ ἐμὸν δοξολογήσει ποίμνιον, ὑμεῖς δὲ οὐ δύνασθε ἐλθεῖν. οὐ γὰρ παραδέξεται κυριοκτόνους ὁ οὐρανὸς, οὐδὲ ἀνοίξει τοῦ παραδείσου τὰς πύλας τὰ Χερουβὶμ, ἵνα θεομάχος εἰσέλθῃ λαὸς, δυσωπήσει δὲ οὐ δαμῶς τὴν φλογίνην ῥομφαίαν ἀνὴρ ταῖς εἰς Θεὸν δυσσε βείαις ἔνοχος· μόνον οἶδε τὸν εὐσεβῆ καὶ τιμᾷ τὸν φιλόθεον, καὶ εἰρήνης σύνθημα ποιεῖται τὴν πίστιν. Τοιαύτην τινὰ θεωρίαν τοῖς εἰρημένοις ἐποίσομεν παντα χόσε τὴν ἀληθῆ, καὶ τοῖς ἐν συνέσει πρέπουσαν ἰχνηλατοῦντες διάνοιαν. ὀλίγα δὲ τούτοις προσθήσομεν ἀποδεικνύντες διὰ τὸ χρήσιμον, ὅσοι μὲν πρὸς ἕξιν ἀναβαίνοντες τὴν φιλόθεον, καὶ συνέσονται καὶ συνεορτάσουσι τῷ Χριστῷ· οἱ δὲ ταῖς Ἰουδαϊκαῖς ἀμαθίαις συντρέχοντες, οὐκ ἐν τούτοις ἔσονται· πόθεν; πικρὰν δὲ τῆς ἀπειθείας πραχθήσονται κόλασιν. οὐκοῦν ὁ θεσπέσιος ἡμῖν εἰσίτω Παῦλος πρὸς τοὺς τῇ ἁμαρτίᾳ νενεκρωμένους ἀναβοῶν "Ἀπεθάνετε γὰρ, καὶ ἡ "ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· ὅταν ὁ "Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ "φανερωθήσεσθε ἐν δόξῃ." καὶ πάλιν τοὺς περὶ τῆς ἀνα στάσεως διεκβιβάζων λόγους "Καὶ ἡμεῖς οἱ ζῶντες, φησὶν, "οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέ "λαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε "σὺν Κυρίῳ ἐσόμεθα." συγγενῆ δὲ τούτοις καὶ αὐτὸς ὁ Σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητὰς διαγορεύων ὁρᾶται. συνε στιώμενος γὰρ αὐτοῖς "Λέγω δὲ ὑμῖν, φησὶν, οὐ μὴ πίω ἀπ' "ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς 1.684 "ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν μεθ' ὑμῶν ἐν τῇ "βασιλείᾳ τῶν οὐρανῶν." ἀλλὰ καὶ τῷ συνανηρτημένῳ ληστῇ παρ' αὐτὰς τοῦ θανάτου τὰς πύλας διὰ πίστεως τῆς εἰς αὐτὸν τὴν τῶν ἁγίων ἁρπάζοντι χάριν "Ἀμὴν ἀμὴν "λέγω σοὶ, φησὶ, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ." οἱ μὲν οὖν ταῖς εὐπειθείαις τετιμηκότες αὐτὸν, συνέσονται μὲν ἀδιακωλύτως, ἐντρυφήσουσι δὲ τοῖς ὑπὲρ νοῦν ἀγαθοῖς· οἱ δὲ ταῖς ἀπονοίαις ἐξυβρίζειν οὐ παραιτούμενοι, καίτοι τοῦ νυμ φῶνος οὐκ ὄντες υἱοὶ, κατοιχήσονται μὲν εἰς ᾅδου στυγνοὶ, πικρὰς ἀποτίσοντες δίκας. "ἐκβληθήσονται" γὰρ, κατὰ τὸ γεγραμμένον, "εἰς τὸ σκότος τὸ ἐξώτερον." ἀληθεύσει τοιγαροῦν ὡς ἐν αἰνίγματι λέγων πρὸς Ἰουδαίους ὁ Κύριος Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς Ποῦ οὗτος μέλλει πορεύ εσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν δια σπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν τοὺς Ἕλληνας; Ὁρᾷς ἐν τούτοις πάλιν Ἰουδαϊκῶν ἀθλιότητα λογισμῶν; ὁρᾷς χαιμαιζήλου διανοίας οἰκτροτάτην ὑπόνοιαν; οὐ γὰρ ὅτι πρὸς οὐρανὸν ἀναβήσεταί φασι, καίτοι διαῤῥήδην ἀκού σαντες "Ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν "πέμψαντά με," ἀλλὰ τὴν τῶν Ἑλλήνων φαντάζονται χώραν, ὥσπερ παρ' ἐκείνοις ὄντος τοῦ πεπομφότος αὐτὸν, πρὸς ὃν καὶ ἐπανήξειν ἐπηγγέλετο. προφητεύει δὲ, ὡς εἰκὸς, διὰ τούτων, καίπερ οὐκ εἰδὼς ὃ λέγει τῶν Ἰουδαίων ὁ δῆμος. διὰ γὰρ θείας τινὸς ἐνεργείας κεκινημένοι δὴ τῇ τῶν ἐθνῶν χώρᾳ χαρίζονται τὸν Χριστὸν, ὡς ἐν ὑποψίας σχήματι τὰ μικρὸν ὕστερον ἀληθῆ δοξάζοντες· ἔμελλε γὰρ καὶ βαδι εῖσθαι ὄντως πρὸς Ἕλληνας καὶ διδάσκειν αὐτοὺς, τὴν ἀχά 1.685 ριστον τῶν Ἰουδαίων ἀπολακτίσας μητέρα τὴν Ἱερουσαλήμ. ἐπιτήρει δὲ ὅπως οὐχ ἁπλοῦν τὸν ἐπὶ τούτῳ ποιοῦνται λόγον. οὐ γὰρ ὅτι μόνον εἰς τὴν τῶν Ἑλλήνων ἀποδραμεῖται δια σπορὰν ὑπολαμβάνουσιν, ἀλλ' ἐπάγουσι δυστρόπως ὅτι καὶ μέλλει διδάσκειν τοὺς Ἕλληνας, ἵνα πάλιν αὐτοῖς κατηγορίας ἀποτέκῃ πρόφασιν καὶ ἡ παρ' αὐτῶν ὑποψία. τὸ μὲν γὰρ ἐπιμίγεσθαι ταῖς τῶν Ἑλλήνων διασποραῖς διὰ τοῦ πρὸς τὰς ἐκείνων ἰέναι πόλεις ἢ χώρας, τετριμμένον τε καὶ ἀκατη γόρητον παρὰ τοῖς Ἰουδαίοις ηὑρίσκετο· τὸ δὲ ἐξηγεῖσθαι τοῖς ἀλλογενέσι τὸν νόμον, καὶ τὰ θεῖα τοῖς ἀμυήτοις ἀνακα λύπτειν μυστήρια, διαβεβλημένον καὶ οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνέγκλητον παρ' αὐτοῖς. καὶ γοῦν ἀδιαφορήσαντάς τινας περὶ τοῦτο κατη τιᾶτο Θεὸς διὰ τοῦ προφήτου λέγων Ἱερεμίου "Καὶ ἀνέ "γνωσαν ἔξω νόμον." πικρῶς οὖν ἄρα φασὶν ὅτι μέλλει διδάσκειν τοὺς Ἕλληνας, ὡς ἑτοίμως παραβαίνοντα τὸν νόμον διασύροντες, καὶ ἐκ τῶν ἤδη προειργασμένων ἐν ἡμέρᾳ σαβ βάτου τὸ πάντα πράττειν ἀπερισκέπτως, κἂν τοῖς θείοις ἀπᾴδῃ νόμοις, σύνηθες ὂν αὐτῷ καὶ ἐν τῷ μηδενὶ γεγονὸς πιστεύοντες. Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἑορτῆς τῇ μεγάλῃ εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραξε λέγων Ἐάν τις διψᾷ, ἐρχέσθω πρὸς μὲ καὶ πινέτω. Ζητητέον εὖ μάλα κἀν τούτῳ, τί δὴ πάλιν ὁ σοφώτατος ἡμῖν Εὐαγγελιστὴς ὑπαινίττεται μετὰ πολλῆς τινος ἄγαν τῆς ἐπιτηρήσεως, μεγάλην ὀνομάσας τὴν ἐσχάτην τῆς ἑορτῆς ἡμέραν, ἢ τί τὸ παρασκευάσαν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν 1.686 Χριστὸν, ὥσπερ ἐξ ἀναγκαίου τινὸς λόγου καὶ τῷ καιρῷ πρέποντος κατ' αὐτὴν μάλιστα τοῖς Ἰουδαίοις εἰπεῖν Εἴ τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω. ἦν μὲν γὰρ καὶ ἑτέροις αὐτὸν ἀποχρήσασθαι λόγοις· οἷον Ἐγώ εἰμι τὸ φῶς, ἐγώ εἰμι ἡ ἀλήθεια. ἀλλ' εἰς τὸν τοῦ πιστεύειν παρατρέψας λόγον τὴν ἐξήγησιν, τό Πινέτω, ἀναγκαῖον ὥσπερ τι καὶ χρεωστούμενον τοῖς περὶ τῆς ἑορτῆς εἰσκεκόμικε λόγοις. τὸν δὲ ἐν τῷ προκειμένῳ σκοπὸν ὡς ἐν ὀλίγοις εἰπεῖν πειράσομαι. Ὅτε τοίνυν τὰ περὶ τῆς ἑορτῆς τῆς σκηνοπηγίας διετύπου Θεὸς οὕτω πρὸς τὸν Μωυσῆν "Τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ "τοῦ μηνὸς τοῦ ἑβδόμου ἑορτὴ σκηνῶν τῷ Κυρίῳ, καὶ "προσάξετε ὁλοκαυτώματα καὶ θυσίας ἑπτὰ ἡμέρας, καὶ "ἡμέρα ἡ πρώτη κλητὴ ἁγία ἔσται ὑμῖν." εἶτα τούτοις ἐπι διατάξας τῶν θυσιῶν τοὺς τρόπους, ἐπήνεγκε πάλιν "Καὶ "τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, "προσοίσετε ὁλοκαυτώματα τῷ Κυρίῳ ἑπτὰ ἡμέρας, καὶ "ἡμέρα ἡ πρώτη ἀνάπαυσις, καὶ ἡμέρα ἡ ἑβδόμη ἀνά "παυσις. καὶ τῇ ἡμέρᾳ τῇ πρώτῃ λήψεσθε κάλλυντρα "φοινίκων καὶ κλάδους ξύλου δασεῖς καὶ καρπὸν ξύλου "ὡραίου καὶ ἰτέας καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου εὐφραν "θῆναι." ἤδη μὲν οὖν ἐν τῷ δευτέρῳ βιβλίῳ ἕκαστα τοῦ παροισθέντος ῥητοῦ διεξιόντες τὰ μέρη, μακρὸν ἐπ' αὐτῷ δεδαπανήκαμεν λόγον, συντεμόντες δ' οὖν ὅμως ἐν ὀλίγοις, αὖθις ἐπαναμνήσομεν. ἐφάσκομεν γὰρ τὴν μὲν ἑορτὴν τῆς σκηνοπηγίας τὸν τριπόθητον ἡμῖν τῆς ἀναστάσεως κατα σημαίνειν καιρόν. τὸ δὲ κάλλυντρα λαβεῖν, καὶ καρπὸν ὡραίου ξύλου, καὶ πρὸς τούτοις ἔτι τὰ ἕτερα, ἐπανάληψίν 1.687 τινα τοῦ παραδείσου δηλοῦν, ὡς καὶ εἰσαῦθις ἡμῖν δοθησο μένου διὰ Χριστοῦ. ἐπειδὴ δὲ ὅτι τὰ πάντα λαβεῖν ἐκ χειμάῤῥου προσήκει τελευτῶντι προσέκειτο τῷ ῥητῷ, ἐξ αὐτοῦ τε πάλιν εὐφραινόμενοι, ἐλέγομεν, χειμάῤῥῳ παρω μοιῶσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ἐν ᾧ δὴ πᾶσαν τὴν ἐν ἐλπίσι τέρψιν τε καὶ τρυφὴν εὑρήσομεν, ἐν αὐτῷ τε εὐφρανθησόμεθα θείως τε καὶ πνευματικῶς. ὅτι δὲ χειμάῤῥους ἐστί τε καὶ καλεῖται πνευματικῶς, ἐπιμαρτυρήσει λέγων καὶ ὁ σοφώτατος ἡμῖν μελῳδὸς, ὡς πρὸς Θεὸν καὶ Πατέρα περὶ ἡμῶν "Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ "τῶν πτερύγων σου ἐλπιοῦσι. μεθυσθήσονται ἀπὸ πιότητος "οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς "αὐτούς." καὶ αὐτὸς δέ που φησὶν ἐν προφήταις ὁ Κύριος "Ἰδοὺ ἐγὼ ἐκκλίνω πρὸς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ "ὡς χειμάῤῥους ἐπικλύζων." Ἐπειδὴ τοίνυν ὁ νόμος κλητὴν ἁγίαν ἐκάλει τήν τε πρώτην, καὶ τὴν ἑβδόμην τῆς ἑορτῆς ἡμέραν, μεγάλην αὐτὴν κατωνόμασεν καὶ αὐτὸς ὁ θεσπέσιος Εὐαγγελιστὴς, τετριμ μένον, ὡς ἔοικε, τοῖς Ἰουδαίοις οὐκ ἀτιμάσας ἔθος. ἑνούσης τοιγαροῦν τοῖς περὶ τῆς ἑορτῆς διατεταγμένοις καὶ τῆς τοῦ χειμάῤῥου μνήμης, ἐπιδεικνὺς ἑαυτὸν ὁ Σωτὴρ αὐτὸν ἐκεῖ νον ὄντα τὸν χειμάῤῥουν, ὃς ἐν τῷ νομικῷ προκατηγγέλετο λόγῳ Εἴ τις διψᾷ φησιν ἐρχέσθω πρός με καὶ πινέτω. ὅρα γὰρ ὅπως ἐξίστησι τῶν Ἰουδαίων τὸν νοῦν τῶν ἐν γράμ μασι τύπων, καὶ μετακομίζει εὐφυῶς τὰ ἐν σχήμασιν, εἴ τι συμβουλεύει τὴν ἀλήθειαν. ἐγὼ γὰρ εἰμί φησιν ὁ διὰ τοῦ νομοθέτου χείμαῤῥος ἐν τοῖς περὶ τῆς ἑορτῆς προαναφωνού μενος λόγοις. καὶ εἰ κλάδους ἰτέας καὶ ἄγνου καὶ κλάδους ξύλου δασεῖς ἐκ χειμάῤῥου λαβεῖν ἀναγκαῖον, χείμαῤῥος δὲ 1.688 ὁ Χριστὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ κυρίως, οὐδὲ ἀληθῶς τῆς ἑορτῆς ἐν ἐκείνοις ἐστὶ τὸ σχῆμα, εἴη δ' ἂν μᾶλλον πραγμάτων σύμβολα νοητῶν, ἃ δοθήσεται τοῖς εὐσεβοῦσι διὰ Χριστοῦ. Πλατύτερον δὲ περὶ αὐτῶν ἐν τῷ δευτέρῳ διειληφότες βιβλίῳ, καθάπερ οὖν ἤδη προείπομεν, οὐ ταυτολογήσομεν, ἑψόμεθα δὲ μᾶλλον τοῖς ἐφεξῆς. Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Μακρὰν καὶ ἀγήρω τῆς πίστεως ἐπιδείκνυσι τὴν ἀμοιβὴν, καὶ πλουσιωτάτοις ἐντρυφήσειν χαρίσμασι τοῖς παρὰ Θεοῦ τὸν οὐκ ἀπειθοῦντά φησιν. ἔσται γὰρ οὕτω τῶν διὰ τοῦ Πνεύματος δωρημάτων ἀνάπλεως, ὡς μὴ μόνον τὸν ἐν αὐτῷ καταπιαίνεσθαι νοῦν, ἀλλ' ἤδη καὶ ταῖς ἑτέρων καρδίαις ἐπικλύζειν δύνασθαι, ποταμίου ῥεύματος δίκην τὸ θεόσδοτον ἀγαθὸν καὶ εἰς τὸν πέλας ἐκβλύζοντας. αὐτὸ δὴ τοῦτο τοῖς ἁγίοις ἀποστόλοις ἐπέταττε λέγων "Δωρεὰν ἐλάβετε, δωρεὰν "δότε." ἐνεργὸς δὲ ἤδη περὶ αὐτὸ γενέσθαι ποθῶν καὶ αὐτὸς ἡμῖν ὁ σοφὸς καὶ ἱερὸς ἐπιστέλλει Παῦλος "Ἐπιποθῶ γὰρ "ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα πνευματικόν." ἴδοις δ' ἂν τοῦτο σφόδρα καλῶς ἔν τε τοῖς ἁγίοις εὐαγγελισταῖς, ἀλλὰ καὶ ἐν τοῖς εὐαγγελικοῖς τῆς Ἐκκλησίας διδασκάλοις, οἳ τοῖς ἰοῦσιν ἐπὶ Χριστὸν διὰ τῆς πίστεως, ἀφθονώτατον τῆς ἐνθέου διδασκαλίας προχέοντες λόγον, πνευματικῶς κατευφραίνουσιν, οὐκέτι δὲ διψῆν ἐπιτρέποντες τῆς ἀληθείας τὴν γνῶσιν, σοφοῖς δ' ὥσπερ ἐν ἠχήμασι μονονουχὶ καὶ λαρυγγίζοντες εἰς τὴν τῶν παιδευομένων καρδίαν. διὸ δὴ χαίρων ὁ ψαλμῳδὸς ἐν πνεύματι περὶ αὐτῶν ἀνεφώνει "Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς
1.689 "αὐτῶν." μέγα τι καὶ ἐξαίσιον ὁ τῶν ἁγίων ἐφώνησε λόγος, καὶ "εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν," καθὰ γέγραπται, "καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα "αὐτῶν." τοὺς τοιούτους ἡμῖν ποταμοὺς ἀναδείξειν ἐπηγ γέλλετο διὰ τοῦ προφήτου λέγων Ἡσαΐου Θεὸς, ὁ πάντων Θεὸς καὶ Δεσπότης "Εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, "σειρῆνες καὶ θυγατέρες στρουθῶν, ὅτι δέδωκα ἐν τῇ ἐρήμῳ "ὕδωρ καὶ ποταμοὺς ἐν γῇ ἀνύδρῳ, ποτίσαι τὸ γένος μου "τὸ ἐκλεκτὸν, τὸν λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς "μου διηγεῖσθαι." πρόδηλον οὖν ὅτι ποταμοὺς ἐκ τῆς τοῦ πιστεύοντος κοιλίας προελεύσεσθαί φησιν ὁ Σωτὴρ τὴν διὰ τοῦ Πνεύματος διδακτήν τε καὶ ἐλλόγιμον χάριν ἧς καὶ ὁ Παῦλος μνημονεύει λέγων "Ὧι μὲν δίδοται διὰ τοῦ Πνεύματος" λόγος σοφίας." Εἰδέναι γεμὴν πρὸς τούτοις ἐστὶ καλὸν, ὅτιπερ οὐ τὸ ῥητὸν οὕτως ἔχον ὡς προενήνεκται παρὰ τῇ θείᾳ γραφῇ τοῖς ἑαυτοῦ λόγοις ἐντέθεικεν ὁ Σωτὴρ, ἑρμηνεύσας δὲ μᾶλλον τὸ πρὸς διάνοιαν. εὑρίσκομεν γάρ που περὶ παντὸς τοῦ τιμῶν τος καὶ ἀγαπῶντος τὸν Θεὸν, ὅτι "Ἔσται ὡς κῆπος μεθύων "καὶ ὡς πηγὴ ἣν μὴ ἐξέλιπεν ὕδωρ." ὅπερ δέ φησιν ἐν τοῖς ἤδη κατόπιν πρὸς τὴν ἐκ τῆς Σαμαρείας γυναῖκα, τοῦτο καὶ νῦν διαγορεύει σαφῶς. ἐκεῖ μὲν γάρ φησιν "Πᾶς ὁ πίνων "ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ "ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα, "ἀλλὰ τὸ ὕδωρ ὃ ἐγὼ δώσω αὐτῷ γενήσεται αὐτῷ πηγὴ "ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον." ἐνταῦθα δὲ πάλιν πρὸς τὴν ἴσην ἀναφέρων διάνοιαν τὸν τοῦ λόγου σκοπὸν, ποταμοί φησιν ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

1.690 ΚΕΦΑΛΗ Β. Ὅτι μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν κατὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐνῳκίσθη παγίως ἡμῖν τὸ Ἅγιον Πνεῦμα. Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. ΔΡΙΜΕΙΑΝ ἐφ' ἑαυτῷ τὴν βάσανον ἐξαιτεῖ τῶν προκει μένων ὁ νοῦς, καὶ πολλῆς ἀγχινοίας ἔργον ἂν γένοιτο μόλις τὸ συνιέναι διαρκῶς τοῦ μυστηρίου τὸ βάθος. ἀναλογιζό μενος γάρ τις καὶ εἰς ἕκαστον βλέπων τῶν ἁγίων προφητῶν, εἰκότως ἂν ἤδη καὶ εἰς ἐννοίας ἐκβαίνει θερμὰς, πῶς οὐκ ἦν τὸ Πνεῦμα, καίτοι τοσούτου προφητῶν ἀναδεδειγμένου χοροῦ, οἳ καὶ λαλοῦντες ἐν Πνεύματι τὰ θεῖα περὶ Χριστοῦ μυστή ρια διὰ μακρῶν εὑρίσκονται λόγων. μὴ γάρ τοι τοσοῦτον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμεῖς ἔξω βαίνομεν λογισμοῦ τοῦ καθήκοντος, ὡς οἰηθῆναι Πνεύματος ἐρήμην τὴν τῶν ἁγίων γενέσθαι διάνοιαν. δυ σωπεῖ γὰρ ἡμᾶς καὶ καθάπερ ἐξ ἀνάγκης πρὸς τὸ πείθεσθαι καλεῖ, ὡς διακεῖσθαι κατὰ ἀλήθειαν, ὡς ἦσαν πνευματοφόροι, καὶ αὐτὸ τῆς προφητείας τὸ χρῆμα καὶ τὰ ἐν τοῖς ἱεροῖς εὑρισκόμενα γράμμασι. Πρὸς μὲν γὰρ τὸν Σαοὺλ ὁ Σαμουὴλ φησιν, ὅτι "ἐφα "λεῖται ἐπὶ σὲ πνεῦμα Κυρίου, καὶ στραφήσῃ εἰς ἄνδρα 1.691 "ἄλλον·" περὶ δὲ αὐτοῦ γέγραπται τοῦ μακαρίου Ἐλισαίου "Καὶ ἐγένετο ὡς ἔψαλλεν ὁ ψάλλων, καὶ ἐγένετο ἐπ' αὐτὸν "χεὶρ Κυρίου." μαρτυρεῖ δὲ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῷ μακαρίῳ Δαυεὶδ, ὡς ἐν Πνεύματι λαλοῦντι μυστήρια. καὶ πολλὰ μὲν ἄν τις ἐπισωρεύσαι ῥᾳδίως τοῖς εἰρημένοις τὰ παραπλήσια, δι' ὧν ἂν γένοιτο καὶ λίαν εὐκόλως δύνασθαι κατιδεῖν πνευματοφοροῦντας τοὺς ἁγίους. ἐν δὲ τοῖς οὕτω προφανεστάτοις τὸ μακροῖς ἐν τρίβεσθαι λόγοις περιττὸν, ὡς ἔοικεν, ἢ καὶ ἑτέρως φορτικόν. πῶς οὐκ ἦν Πνεῦμα, ζητητέον ἀκριβῶς. οἶμαι γὰρ δεῖν ἀλη θεύειν ἡγεῖσθαι τὸν μακάριον Εὐαγγελιστήν. Οὐκοῦν τὸ μὲν ὄντως ἀληθὲς, αὐτὸς ὁ πάντων ἴδρις ἴστω Θεός· χρὴ γὰρ οὐ περιεργότερον τοῖς ὑπὲρ ἡμᾶς προσ βάλλειν ἀποτολμᾶν. πλὴν ὅσον ἔστιν ὡς ἐν εὐσεβέσιν ἰδεῖν λογισμοῖς, τοιοῦτόν τι περὶ ἡμᾶς συμβέβηκε γενέσθαι. γέγονε γὰρ ἐξ ἀρχῆς ἐν ἀφθαρσίᾳ τουτὶ τὸ λογικὸν ἐπὶ γῆς ζῷον, τουτέστιν ὁ ἄνθρωπος. αἴτιον δὲ τῆς ἀφθαρσίας αὐτῷ καὶ τῆς εἰς ἅπασαν ἀρετὴν διαμονῆς, τὸ ἐνοικεῖσθαι παρὰ Θεοῦ Πνεῦμα διεφαίνετο. "ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον "αὐτοῦ πνοὴν ζωῆς," καθὰ γέγραπται. ἀλλ' ἐξ ἀπάτης τῆς ἀρχαίας ἐκείνης ἀπονεύσας εἰς ἁμαρτίαν, εἶτα κατὰ βραχὺ διὰ τῶν ἐφεξῆς πολλὴν εἰς τοῦτο λαβὼν τὴν ἐπίδοσιν, ὁμοῦ τοῖς ἄλλοις ἀγαθοῖς καὶ τὴν τοῦ Πνεύματος ὑπομένει ζημίαν, γέγονέ τε οὕτω λοιπὸν οὐχ ὑπὸ μόνην τὴν φθορὰν, ἀλλὰ καὶ πρὸς πᾶσαν εὔκολος ἁμαρτίαν. ἐπειδὴ δὲ ὁ πάντων γενεσι ουργὸς "ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ," καλῶς γε σφόδρα ποιῶν ἐβουλεύσατο, καὶ ἀνακομίσαι πάλιν εἰς τὸ ἀρχαῖον ἠθέλησε τὴν τοῦ ἀνθρώπου φύσιν, ἐπαγγέλ λεται μετὰ τῶν ἄλλων ἐπιδώσειν αὖθις αὐτῇ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· οὐ γὰρ ἦν ἑτέρως εἰς ἀκλόνητον στάσιν τῶν 1.692 ἀγαθῶν ἀναδραμεῖν. ὁρίζει τοιγαροῦν τῆς ἐφ' ἡμᾶς τοῦ Πνεύματος καθόδου τὸν καιρὸν, καὶ ἐπαγγέλλεται λέγων "Ἐν ταῖς ἡμέραις ἐκείναις· ταῖς τοῦ Σωτῆρος ἡμῶν δηλαδή· "ἐκχέω· ἀπὸ τοῦ Πνεύματός μου, δηλαδή· ἐπὶ πᾶσαν σάρκα." ἐπειδὴ δὲ τῆς φιλοτιμίας ὁ χρόνος παρεκόμιζεν εἰς μέσον μετὰ σαρκὸς ἐπὶ τῆς γῆς τὸν Μονογενῆ, τουτέστιν, ἄνθρωπον ἐκ γυναικὸς γεγονότα κατὰ τὴν ἁγίαν γραφὴν, ἐδίδου πάλιν τὸ Πνεῦμα ὁ Θεὸς καὶ Πατὴρ, ἐδέχετο δὲ πρῶτος ὡς ἀπαρχὴ τῆς ἀνανεουμένης φύσεως τὸ Πνεῦμα Χριστός. "Ἐμαρ "τύρησε γὰρ Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ Πνεῦμα "καταβαῖνον ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν." Ἐδέχετο δὲ πῶς; ἐπεξεργαστέον γὰρ ἀναγκαίως τὸ εἰρη μένον. ἆρ' ὡς οὐκ ἔχων; οὐ τοῦτό φαμεν· μὴ γένοιτο. ἴδιον γὰρ τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστι, καὶ οὐκ ἔξωθεν, ὥσπερ ἡμῖν ἐπεισκρίνεται τὰ παρὰ Θεοῦ χορηγούμενον, ἀλλ' ἐνυ πάρχει φυσικῶς αὐτῷ καθάπερ καὶ τῷ Πατρὶ, καὶ δι' αὐτοῦ πρόεισι τοῖς ἁγίοις κατὰ τὸ ἑκάστῳ πρέπον διανεμηθὲν παρὰ τοῦ Πατρός. εἰληφέναι δὲ λέγεται, καθὸ γέγονεν ἄνθρωπος, καὶ ἦν ἀνθρώπῳ πρέπον τὸ λαβεῖν. καὶ ὥσπερ Υἱὸς ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ γεγεννημένος, καὶ πρὸ τῆς ἐνανθρωπήσεως, μᾶλλον δὲ καὶ πρὸ πάντων αἰώνων, κατ' οὐδὲν ὅλως ἀσχάλλει λέγοντος τοῦ Θεοῦ καὶ Πατρὸς πρὸς αὐτὸν ὅτε γέγονεν ἄνθρωπος "Υἱός μου εἶ σὺ, "ἐγὼ σήμερον γεγέννηκά σε." τὸν γὰρ πρὸ αἰώνων ὄντα Θεὸν, ἐξ αὐτοῦ γεγεννημένον, σήμερον γεγεννῆσθαί φησιν· ἵν' ἡμᾶς ἐν αὐτῷ καταδέξηται πρὸς υἱοθεσίαν, ὅλη γὰρ ἦν ἡ ἀνθρωπότης ἐν Χριστῷ, καθόπερ ἦν ἄνθρωπος· οὕτω καὶ τὸ ἴδιον ἔχοντι Πνεῦμα, διδόναι πάλιν αὐτὸ λέγεται τῷ Υἱῷ, 1.693 ἵνα ἡμεῖς ἐν αὐτῷ τὸ Πνεῦμα κερδάνωμεν. ταύτης τοιγαροῦν τῆς αἰτίας ἕνεκα "σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται," κατὰ τὸ γεγραμμένον, ὡμοιώθη δὲ "κατὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντα τοῖς ἀδελφοῖς." δέχεται τοίνυν οὐχ ἑαυτῷ τὸ Πνεῦμα τὸ Ἅγιον ὁ Μονογενής· αὐτοῦ γάρ ἐστι καὶ ἐν αὐτῷ καὶ δι' αὐτοῦ τὸ Πνεῦμα, καθάπερ ἤδη προείπομεν· ἀλλ' ἐπείπερ ἄνθρωπος γεγονὼς, ὅλην εἶχεν ἐν ἑαυτῷ τὴν φύσιν, ἵνα πᾶσαν ἐπανορθώσῃ μετασκευάσας εἰς τὸ ἀρχαῖον. Πρὸς δέ γε τοῖς εἰρημένοις κἀκεῖνο περισκεπτέον. ὀψό μεθα γὰρ διὰ λογισμῶν ἰόντες σοφῶν, καὶ τοῖς ἀπὸ τῆς θείας γραφῆς βεβαιούμενοι λόγοις, οὐχ ἑαυτῷ λαβόντα τὸ Πνεῦμα Χριστὸν, ἡμῖν δὲ μᾶλλον ἐν ἑαυτῷ· πάντα γὰρ δι' αὐτοῦ καὶ εἰς ἡμᾶς τρέχει τὰ ἀγαθά. ἐπειδὴ γὰρ ὁ προ πάτωρ Ἀδὰμ οὐ διέσωσε τὴν τοῦ Πνεύματος χάριν παρα τραπεὶς ἐξ ἀπάτης εἰς παρακοὴν καὶ ἁμαρτίαν, ὅλη τε οὕτως ἐν αὐτῷ ἐζημιοῦτο λοιπὸν ἡ φύσις τὸ θεόσδοτον ἀγαθὸν, ἀναγκαίως ὁ τροπὴν οὐκ εἰδὼς Θεὸς Λόγος γέγονεν ἄν θρωπος, ἵνα λαβὼν ὡς ἄνθρωπος διασώσῃ παγίως τῇ φύσει τὸ ἀγαθόν. τῶν τοιούτων ἡμῖν μυστηρίων ἐξηγητὴς καὶ αὐτὸς εἰσβήσεται ὁ θεῖος μελῳδός· λέγει γὰρ οὕτως πρὸς τὸν Υἱόν "Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· "διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιά "σεως παρὰ τοὺς μετόχους σου." ἐπειδὴ γὰρ, φησὶν, ἠγά πησας ἀεὶ τὴν δικαιοσύνην· δίκαιος γὰρ εἶ ὁ Θεὸς, παρατρέ πεσθαί ποι παρὰ τοῦτο μὴ δυνάμενος· ἐμίσησας δὲ τὴν ἀδικίαν ἀεί· φυσικῶς γάρ σοι τὸ μισοπόνηρον ἐμπέφυκεν, ὡς φιλοδικαίῳ Θεῷ· διὰ τοῦτό σε κέχρικεν ὁ Θεὸς καὶ Πατήρ· ὁ γὰρ φύσεως ἰδίας πλεονέκτημα τὴν ἄτρεπτον ἔχων δικαιοσύνην, οὐκ ἂν μετηνέχθης ποτὲ πρὸς ἣν οὐκ ἔγνως 1.694 ἁμαρτίαν· οὕτω δὲ ἔχων, διέσωσας ἀναμφιλόγως ἐν σεαυτῷ, καθὸ γέγονας ἄνθρωπος, τῇ ἀνθρωπότητι τὸ παρὰ Θεοῦ καὶ Πατρὸς ἅγιον χρίσμα, τουτέστι τὸ Πνεῦμα. γέγονε τοίνυν καθ' ἡμᾶς ἄνθρωπος ὁ Μονογενὴς, ἵν' ἐν αὐτῷ καὶ πρώτῳ παλινδρομοῦντα τὰ ἀγαθὰ, καὶ ἡ τοῦ Πνεύματος ῥιζωθεῖσα χάρις ὅλῃ λοιπὸν ἀραρότως τῇ φύσει φυλάττοιτο, οἱονεὶ κιχρῶντος ἡμῖν τὸ τῆς ἰδίας φύσεως ἀμετάπτωτον τοῦ Μονογενοῦς, καὶ ἐκ Θεοῦ Πατρὸς ὄντος Λόγου, διὰ τὸ κατεγνῶσθαι τὴν ἀνθρώπου φύσιν ἐν Ἀδὰμ, ὡς ἀδιαπτώτως ἔχειν οὐ δυναμένην, κατολισθαίνουσαν δὲ καὶ σφόδρα ῥᾳδίως εἰς παρατροπήν. ὥσπερ οὖν ἐν ταῖς τοῦ πρώτου τροπαῖς εἰς ὅλην διήκει τὴν φύσιν ἡ τῶν ἀγαθῶν ζημία· κατὰ τὸν αὐτὸν οἶμαι λόγον καὶ ἐν τῷ μὴ εἰδότι τροπὴν τῆς τῶν θείων χαρισμάτων διαμονῆς ὅλῳ σωθήσεται τῷ γένει τὸ κέρδος. εἰ δέ τῳ μὴ σφόδρα δοκοῦμεν τὰ εἰκότα φρονεῖν τε καὶ λέγειν, διδασκέτω παρελθὼν τὴν αἰτίαν, δι' ἣν παρὰ ταῖς θείαις γραφαῖς δεύτερος Ἀδὰμ ὁ Σωτὴρ κατωνόμασται. ἐν μὲν γὰρ ἐκείνῳ τῷ πρώτῳ πρόεισι μὲν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὸ γένος τὸ ἀνθρώπινον, καὶ προελθὸν ἐφθάρη, ὅτι τὸν θεῖον λελύπηκε νόμον· ἐν δὲ τῷ δευτέρῳ, τουτέστι τῷ Χριστῷ, πρὸς ἀρχὴν ἐπάνεισι δευτέραν ἀνασκευαζόμενον πρὸς καινότητα ζωῆς, καὶ εἰς τὴν τῆς ἀφθαρσίας ἐπανα δρομήν. εἴ τι γὰρ ἐν Χριστῷ, καινὴ κτίσις, ὡς ὁ Παῦλός φησι. δέδοται τοίνυν ἡμῖν τὸ ἀνακαινίζον Πνεῦμα, τουτέστι, τὸ Ἅγιον, τὸ τῆς αἰωνίου παραίτιον ζωῆς μετὰ τὸ δοξα σθῆναι Χριστὸν, τουτέστι, μετὰ τὴν ἀνάστασιν, ὅτε διαῤ ῥήξας τὰ τοῦ θανάτου δεσμὰ, καὶ κρείττων ἁπάσης φθορᾶς ἀναδεδειγμένος, ἀνεβίω πάλιν ὅλην ἔχων ἐν ἑαυτῷ τὴν φύσιν, καθόπερ ἦν ἄνθρωπος καὶ εἷς ἐξ ἡμῶν. 1.695 Πολυπραγμονήσας δὲ τὴν αἰτίαν, δι' ἣν οὐ πρὸ τῆς ἀναστάσεως, ἀλλὰ μετὰ ταύτην ἡ τοῦ Πνεύματος γέγονε χύσις, ἐκεῖνο πάλιν ἀκούσῃ Ἀπαρχὴ τῆς ἀνανεουμένης φύ σεως τότε γέγονεν ὁ Χριστὸς, ὅτε φροντίσας οὐδὲν τῶν τοῦ θανάτου δεσμῶν ἀνεβίω πάλιν, καθάπερ ἀρτίως εἰρήκαμεν. πῶς οὖν ἔδει πρὸ τῆς ἀπαρχῆς ζωοποιηθέντας ὁρᾶσθαι τοὺς μετ' αὐτήν; ὅνπερ γὰρ τρόπον οὐκ ἂν ἀπὸ γῆς ἀναβλα στῆσαι φυτὸν, μὴ οὐκ ἤδη πάντως τῆς ἰδίας ῥίζης ἐκπε φυκός· ἀρχὴ γὰρ αὐτῷ τῆς βλάστης ἐκεῖθεν· οὕτως ἦν ἀμήχανον ῥίζαν ἡμᾶς ἔχοντας εἰς ἀφθαρσίαν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, πρὸ τῆς ῥίζης ὁρᾶσθαι βλαστή σαντας. ἐπιδεικνύων δὲ τῆς εἰς ἡμᾶς καθόδου τοῦ Πνεύματος ἤδη παρόντα τὸν καιρὸν, μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐνεφύσησε τοῖς μαθηταῖς λέγων Λάβετε Πνεῦμα Ἅγιον. τότε γὰρ ἦν ὄντως ἐπὶ θύραις, μᾶλλον δὲ εἴσω θυρῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ τῆς ἀνανεώσεως χρόνος. καὶ περιαθρείτω μοι πάλιν ὁ φιλομαθὴς εἰ μὴ γέγονεν ἡμῖν ἀληθὴς καὶ ὁ περὶ τούτων λόγος· ἐν ἀρχῇ μὲν γὰρ, ὥσπερ οὖν ἡμῖν ὁ πνευματοφόρος ἔφη Μωυσῆς, λαβὼν χοῦν ἀπὸ τῆς γῆς, καὶ διαπλάσας τὸν ἄνθρωπον ὁ πάντων Δημιουργὸς, "ἐνεφύσησεν εἰς τὸ πρόσ "ωπον αὐτοῦ πνοὴν ζωῆς·" καὶ τίς ἡ πνοὴ τῆς ζωῆς, ἢ δηλονότι τὸ Πνεῦμα τοῦ Χριστοῦ τοῦ λέγοντος "Ἐγώ εἰμι "ἡ ἀνάστασις καὶ ἡ ζωή;" ἐπειδὴ δὲ τῆς ἀνθρωπότητος ἀπέπτη τὸ Πνεῦμα τὸ πρὸς τὸν θεῖον ἡμᾶς χαρακτῆρα συνέχειν τε καὶ διαπλάττειν δυνάμενον, αὖθις ἡμῖν ὁ Σωτὴρ χαρίζεται τοῦτο, πρὸς ἐκεῖνο τὸ ἀρχαῖον ἀναφέρων ἀξίωμα, 1.696 καὶ ἀναπλάττων εἰς εἰκόνα τὴν ἑαυτοῦ. διὰ γάρ τοι τοῦτο καὶ ὁ Παῦλος πρός τινας λέγει "Τεκνία, οὓς πάλιν ὠδίνω, "ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν." Λογιζώμεθα τοίνυν· ἀναλήψομαι γὰρ τὸν τοῦ λόγου σκοπόν· ἐν μὲν τοῖς ἁγίοις προφήταις ἔλλαμψιν ὥσπερ τινὰ πλουσίαν καὶ δᾳδουχίαν γενέσθαι τοῦ Πνεύματος, παιδαγωγεῖν ἰσχύουσαν εἰς τὴν τῶν ἐσομένων κατάληψιν καὶ τῶν κεκρυμμένων τὴν γνῶσιν· ἐν δὲ τοῖς πιστεύουσιν εἰς Χριστὸν οὐ δᾳδουχίαν ἁπλῶς τὴν ἀπὸ τοῦ Πνεύματος, ἀλλ' αὐτὸ κατοικεῖν τὸ Πνεῦμα, καὶ ἐναυλίζεσθαι τεθαρσή καμεν. ὅθεν εἰκότως καὶ ναοὶ Θεοῦ χρηματίζομεν, καίτοι τῶν ἁγίων προφητῶν οὐδενὸς θείου ναοῦ κεχρηματικότος πώποτε. ἐπεὶ πῶς ἐκεῖνο διαληψόμεθα, τί δὲ δὴ καὶ ἐροῦμεν ὅταν ἀκούσωμεν τοῦ Σωτῆρος λέγοντος ἡμῶν Χριστοῦ "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυ "ναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ· ὁ δὲ μικρότερος "ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν;" καὶ τίς ἡ βασιλεία τῶν οὐρανῶν; ἡ δόσις δηλονότι τοῦ Ἁγίου Πνεύματος κατ' ἐκεῖνο τὸ εἰρημένον "Ἡ βασιλεία τῶν "οὐρανῶν ἐντὸς ὑμῶν ἐστίν·" ἐναυλίζεται γὰρ ἡμῖν τὸ Πνεῦμα διὰ τῆς πίστεως. ὁρᾷς οὖν ὅπως προτάττει παντὸς γεννητοῦ γυναικῶν τὸν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ τοῦ τελείου μειονεκτούμενον; καὶ μή τις οἰέσθω τὴν δόξαν, ἢ τῆς ἐκείνων ἀρετῆς κατασμικρύνειν ἡμᾶς τῶν ἁγίων, ἢ ἀμείνους εἶναι λέγειν καὶ τοὺς εὐτελεστάτους. οὐ γὰρ τοῦτό φαμεν· ἀσύγκριτον γὰρ τῆς ἐκείνων πολιτείας τὸ κάλλος. ὑπὲρ δὲ τοῦ συνιέναι σαφῶς ἐν ὀλίγοις διερμηνεύσωμεν τὸ παρὰ τοῦ Σωτῆρος ἡμῶν εἰρημένον. μέγας ἦν ὄντως ὁ μακάριος Βαπτιστὴς, καὶ διὰ πάσης μὲν ἀρετῆς ἐκπρεπέστατος, ἐπ' αὐτοὺς δὲ λοιπὸν ἐλάσας τῆς ἐνούσης ἐν ἡμῖν δικαιοσύνης 1.697 τοὺς ὅρους, ὡς ὑπέρτερον εἶναι μηδέν. ἀλλ' ὁ οὕτως ἔχων ἐδεῖτο Χριστοῦ λέγων "Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτι "σθῆναι, καὶ σὺ ἔρχῃ πρὸς μέ;" ὁρᾷς ὅπως τέλειος ὢν, ὅσον ἧκεν ἐν ἀνθρώποις καὶ ἐν γεννητοῖς γυναικῶν, ἀνακτί ζεσθαι τρόπον τινὰ καὶ ἀναγεννᾶσθαι παρακαλεῖ διὰ τοῦ Ἁγίου Πνεύματος; ὁρᾷς ὅπως παραχωρεῖ τοῖς ἀναγεννη θεῖσι τὸ μεῖζον, δι' ὧν αὐτὸς ἔτι δεῖσθαι τούτου φησίν; εἰ μὲν γὰρ ᾖ ἐν ἀμείνοσι μὴ βεβαπτισμένος, τί τὸ βαπτίζεσθαι παρακαλεῖν αὐτὸν καὶ ἀναπεῖθον; εἰ δὲ οἶδεν ἑαυτὸν ἐσόμενον ἐν βελτίοσιν, ὅταν ἔρχῃ τὸ βάπτισμα, πῶς οὐκ ἀναθήσει τὸ μεῖζον τοῖς ἤδη βεβαπτισμένοις; μείζονα τοιγαροῦν καὶ αὐτοῦ φησιν Ἰωάννου Χριστὸς τὸν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μικρότερον, τουτέστι, καὶ τὸν ἄρτι βεβαπτισμένον, οὔπω δὲ καὶ τὸ ἐν ἔργοις ἐξαίρετον ἔχοντα, κατὰ τοῦτο μόνον, καθὸ γεννητὸς μὲν ἔτι γυναικὸς ὁ μακάριος ἦν Βαπ τιστὴς, ὁ δὲ ἐκ Θεοῦ γεγέννηται, κατὰ τὸ γεγραμμένον, καὶ θείας γέγονε φύσεως κοινωνὸς, ἐνοικοῦν ἔχων ἐν αὐτῷ τὸ Ἅγιον Πνεῦμα, καὶ ναὸς ἤδη χρηματίζων Θεοῦ. Ἐπ' αὐτὸ δὲ δὴ πάλιν ἀναδραμοῦμαι τὸ προκείμενον. ἐγίνετο μὲν γὰρ ἐν προφήταις τὸ Πνεῦμα διὰ τὴν τοῦ προ φητεύειν χρείαν· ἐνοικίζεται δὲ νῦν διὰ Χριστοῦ τοῖς πιστεύ ουσι, καὶ ἐν αὐτῷ πρῶτον ἀρξάμενον ὅτε γέγονεν ἄνθρωπος. ἔχει μὲν γὰρ ὡς Θεὸς ἀδιαστάτως, τὸ οὐσιωδῶς ἐκπεφυκὸς αὐτῷ, καὶ ἴδιον αὐτοῦ Πνεῦμα. χρίεται δὲ δι' ἡμᾶς καὶ τὸ Πνεῦμα λαμβάνειν ὡς ἄνθρωπος λέγεται, οὐχ ἑαυτῷ τὴν τῶν θείων ἀγαθῶν ἐμπορίζων μετάληψιν, ἀλλὰ τῇ ἀνθρώπου 1.698 φύσει, καθάπερ οὖν ἤδη προεδιδάξαμεν. ὅταν τοίνυν ἡμῖν ὁ θεῖος Εὐαγγελιστής Οὔπω γὰρ ἦν Πνεῦμα λέγει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη, τὴν ὁλοσχερῆ καὶ ὁλόκληρον κατοίκησιν ἐν ἀνθρώποις τοῦ Ἁγίου Πνεύματος σημαίνειν αὐτὸν ὑπο τοπήσωμεν. Ἐκ τοῦ ὄχλου οὖν ἀκούσαντές τινες τὸν λόγον τοῦτον ἔλεγον Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης· ἄλλοι ἔλεγον ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός. Καταπλήττονται τὴν παῤῥησίαν ὡς θεοπρεπῆ, καὶ τοὺς λόγους ὁρῶντες οὐκέτι τοῖς ἀνθρώπου πρέποντας μέτροις, ἐπὶ τὴν τοῦ νόμου καταφεύγουσι μνήμην, ὡς προαγγεί λαντος ἤδη περὶ Χριστοῦ, καὶ προφήτην ἀναστήσεσθαι καὶ λέγοντος τῷ πανσόφῳ Μωυσεῖ παραπλήσιον δια πορθμεύειν μέλλοντα τοὺς παρὰ Θεοῦ λόγους τῷ Ἰσραήλ. οὕτω γάρ που φησὶν ὁ Θεὸς περὶ αὐτοῦ πρὸς τὸν ἅγιον Μωυσέα "Προφήτην αὐτοῖς ἀναστήσω ἐκ τῶν ἀδελφῶν "αὐτῶν ὥσπερ σὲ, καὶ θήσω τοὺς λόγους μου εἰς τὸ "στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς κατὰ πάντα ὅσα ἂν "ἐντέλλωμαι αὐτῷ." οὐκοῦν ἀπὸ τῆς τῶν λόγων ποιότητος, καὶ τῆς τῶν ῥημάτων ὑπερβολῆς αὐτὸν ἐκεῖνον ἤδη φασὶ τὸν διὰ νόμου προκεκηρυγμένον ἀναπεφάνθαι λοιπόν. τίνι γὰρ ἂν πρέποι τὸ λέγειν "Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ "πινέτω·" καί "Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, "ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος," εἰ μὴ μόνῳ τῷ κατὰ φύσιν Θεῷ, τοῦτο δὲ ἦν ὁ Χριστός. εἰ καὶ μικρὰ φρονοῦντες Ἰουδαῖοι περὶ αὐτοῦ, προφήτην ἁπλῶς ὀνομάζουσιν, οὐκ εἰδότες τὴν κατὰ πάντων ὑπεροχὴν τοῦ Ἐμμανουὴλ, ἀλλ' ὡς ἕνα τῶν ἄλλων ἀναμετροῦντες αὐτὸν, 1.699 ἀσυνέτως δὲ σφόδρα καὶ τοῖς νομικοῖς προσβάλλοντες θεω ρήμασι κἀν τούτῳ πάλιν ἁλώσονται· ἕτερον γὰρ εἶναι νομί ζουσι τὸν Χριστὸν παρὰ τὸν ἐν τῷ νόμῳ προφήτην. καὶ θαυμαστὸν οὐδὲν εἰ τὴν ἐν τούτοις ἀκρίβειαν ὁ δῆμος οὐκ ἔχει, ὅπου καὶ αὐτὴ τῶν ἀλαζόνων Φαρισαίων ἡ θεομάχος πληθὺς τὴν ἴσην τοῖς ὄχλοις ἀμαθίαν νοσοῦσα φαίνεται. ἐπιπλήττουσα γάρ ποτε τῷ μακαρίῳ Βαπτιστῇ "Τί οὖν "βαπτίζεις, φησὶν, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς οὔτε Ἡλίας οὐδὲ "ὁ προφήτης;" δύο γὰρ ἥξειν προσδοκωμένων, τοῦ τε κατὰ τὸν νόμον προφήτου φημὶ, τουτέστι Χριστοῦ, καὶ Ἡλίου, περὶ τριῶν ἐπυνθάνοντο, ἕτερον εἶναι τὸν προφήτην ὑποτο πήσαντες παρὰ τὸν Ἰησοῦν. οὐκοῦν εὔκαιρον ἐκεῖνο λέγειν ἐπ' αὐτοῖς, τὸ διὰ τοῦ προφήτου λεγόμενον Ἰεζεκιὴλ "Καθὼς "ἡ μήτηρ καὶ ἡ θυγάτηρ, θυγάτηρ τῆς μητρός σου εἶ σύ." νοσεῖ γὰρ ὁ δῆμος τὰ παραπλήσια τοῖς ἡγεῖσθαι λαχοῦσι· πλὴν ἐκεῖνο καλὸν συνιδεῖν ὡς ἦσαν μὲν ἤδη πρὸς τὸ πιστεύειν ηὐτρεπισμένοι, καὶ ἀναπείθονται δέ πως ἀπὸ τῶν τοῦ Σωτῆρος ῥημάτων ἐπὶ τὸ θαυμάζειν αὐτὸν, οὐκ ἔχοντες δὲ τὴν ἀπὸ τῶν ἡγουμένων παιδαγωγίαν, εἰς πολυσχιδῆ νοημάτων ἀποφέρονται τρίβον, οἱ μὲν τὸν Χριστὸν, οἱ δὲ τὸν προφήτην ἀποκαλοῦντές τε εἶναι καὶ ἤδη πιστεύοντες. τὸ γάρ Ἀληθῶς ἐγκείμενον, ἔμφασιν ἔχει τινὰ πεπηγότος ἤδη λο γισμοῦ, καὶ παραδεχθείσης εἰσφέρει πίστεως ὑποψίαν. Οἱ δὲ ἔλεγον Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; οὐχ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαυεὶδ καὶ ἀπὸ Βηθλεὲμ, τῆς κώμης ὅπου ἦν Δαυεὶδ, ἔρχεται ὁ Χριστός; Οὐκ ἀταλαίπωρον Ἰουδαῖοι ποιοῦνται τὴν ζήτησιν τὴν ἐπὶ Χριστῷ. διὰ γὰρ πάσης ἰόντες ἐννοίας εὑρίσκονται, καὶ διὰ 1.700 ποικίλων συνάγοντες ἐννοιῶν τὴν ἐπ' αὐτῷ τῆς ἀληθείας κατάληψιν. προτεθαυμακότες γὰρ ἤδη διὰ τῶν λόγων αὐτῶν, καὶ τὴν ἐν ταῖς ὑφηγήσεσιν ὑπερφερῆ παῤῥησίαν χειραγωγὸν ἤδη δεξάμενοι πρὸς τὸ λογίζεσθαί τι μέγα περὶ αὐτοῦ, καὶ αὐτὴν τὴν θείαν προσερευνῶσι γραφὴν, ἀπλανεστάτην ἐκεῖθεν εὑρήσειν οἰόμενοι περὶ αὐτοῦ τὴν διάληψιν· ἔχει γὰρ οὕτω τῇ φύσει τὸ πρᾶγμα. ὅτι μὲν οὖν ἀπὸ σπέρματος ἔσται τοῦ τρισμακαρίου Δαυεὶδ, καὶ ἐν Βηθλεὲμ ἀναδειχθήσεται τῆς Ἰουδαίας, πεπιστεύκασι ταῖς περὶ τούτου δηλονότι προφη τείαις ἀναπεπεισμένοι. "Ὤμοσε γὰρ Κύριος τῷ Δαυεὶδ "ἀλήθειαν, που φησὶν ὁ σοφὸς μελῳδὸς, καὶ οὐ μὴ ἀθετήσει "αὐτόν Ἐκ καρποῦ τῆς ὀσφύος σου θήσομαι ἐπὶ τὸν θρόνον "σου." ὁ προφήτης δέ φησι "Καὶ σὺ Βηθλεὲμ, οἶκος τοῦ "Εφραθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ "σοῦ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα τοῦ Ἰσ "ραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος." ἐπλανᾶτο γεμὴν ἡ τῶν Ἰουδαίων ἀχειραγώγητος γνώμη, καὶ ἐπὶ Χριστῷ διεσφάλλετο διὰ μόνην τὴν Ναζαρὲθ ἐν τῇ Γαλιλαίᾳ κειμένην, ἐν ᾗ τετράφθαι τὸν Κύριον ὁ πολὺς ἔχει λόγος. οὕτω γάρ φησί τις τῶν ἁγίων εὐαγγελιστῶν "Ἦλθε "δὲ εἰς Ναζαρὲθ οὗ ἦν ἀνατεθραμμένος." ἀλλ' οὐκ εἰδότες ὅτι γεγέννηται μὲν ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐκ τῆς ἁγίας παρθένου τῆς ἐκ σπέρματος Δαυείδ· φυλῆς γὰρ ἦν τῆς Ἰούδα τὸ γένος· ἀπὸ μόνου τοῦ τετράφθαι τὸν Κύριον ἐν Ναζαρὲθ, τῆς ἀληθείας ἐκπίπτουσι καὶ τοῦ σώζοντος ἁμαρ τάνουσι λογισμοῦ. Σχίσμα οὖν ἐγένετο ἐν τῷ ὄχλῳ δι' αὐτόν. Φιλονεικοῦσι μάτην, καὶ εἰς διαφόρους κατασχίζονται 1.701 γνώμας, οἱ μὲν εἶναι τὸν προφήτην αὐτὸν, οἱ δὲ τὸν Χριστὸν ὑπολαμβάνοντες. καὶ πρόφασις αὐτοῖς τῆς ἐντεῦθεν διχο νοίας, τὸ μὴ εἰδέναι τὸν Χριστὸν, μηδὲ τὴν ἐν τοῖς ἱεροῖς γράμμασιν ἀκρίβειαν συνιδεῖν· ἢ γὰρ ἂν οὐχ ἕτερον εἶναι τὸν Ἰησοῦν παρὰ τὸν ἐν τῷ νόμῳ προφήτην πιστεύοντες, τῆς ἀκαίρου διχονοίας ἐξέστησαν. Τινὲς δὲ ἐξ αὐτῶν ἤθελον πιάσαι αὐτὸν, ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας. Οἱ παρὰ τῶν ἀρχιερέων καὶ Φαρισαίων ἀπεσταλμένοι πρὸς τὸ συλλαβεῖν τὸν Κύριον, εὔκαιρον τοῦ τολμήματος ἐποιοῦντο πρόφασιν τὴν ἐν ἀλλήλοις τῶν ὄχλων διχόνοιαν· ἀφιλονεικότερον γάρ πως ἐπιτρέψειν αὐτοῖς ὑπελάμβανον ἀποκομίζειν αὐτὸν, οὐδὲν μὲν ἔτι ζηλοῦντας ἐφ' οἷς ἄν τι καὶ πάθοι, γεγονότι δὲ ὥσπερ πολέμου καὶ στάσεως ἀφορμῇ, καὶ ὑβριζομένῳ πάντως ἐφησθήσεσθαι. ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, οὐκ αἰδοῖ τῇ περὶ αὐτὸν, ἀλλ' οὐδὲ τοῖς θυμοῖς τὸν ἐξ εὐλαβείας ἐπιῤῥίψαντες χαλινὸν, μόνῃ δὲ τῇ παρ' αὐτοῦ καταραϊσθέντες δυνάμει· καιρῷ γὰρ ἰδίῳ τὸ παθεῖν ὑπὲρ ἡμῶν ἐχαρίζετο, καὶ δυσωπεῖται μόλις ἡ τῶν Ἰουδαίων ἐπιβουλὴ τοῖς ἄνωθεν εἰργομένη διακωλύμασιν. οὐ γὰρ ἔδει πρόωρον τὴν μιαιφονίαν ἐπιχειρεῖν, περιμένειν δὲ μᾶλλον, καίπερ ὄντας ἀνοσίους, τῆς ἀνοσιότητος τὸν καιρόν. Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι Διατί οὐκ ἠγάγετε αὐτόν; Οὐδὲν ἐξανῦσαι τῶν προστεταγμένων ἰσχύσαντες οἱ πρὸς τὸ θηρᾶσαι τὸν Κύριον ἐσταλμένοι πρὸς τοὺς ἡγουμένους 1.702 ἀνεκομίζοντο. θορυβοῦνται δὲ λίαν πρὸς τὴν ἄφιξιν τῶν ὑπηρετῶν, οὐχ ὁρῶντες ἔχοντας τὸν ζητούμενον. ὃ δὲ ἦν ἐν ὑποψίαις αὐτοῖς, ἤδη δεδρᾶσθαι πιστεύοντες, οὐ μετρίως πλήττονται δείματι. ἐπειδὴ γὰρ διά τε σημείων ὑπερφυῶν καὶ τῆς ἐν λόγοις ὑπερβολῆς ἐθαυμάζετο Χριστὸς, τῷ μὲν συντρόφῳ κατεμαραίνοντο φθόνῳ· ἦσαν δὲ πάλιν οὐκ ἐν ὀλίγῳ τῷ φόβῳ μὴ ἄρα τῶν Ἰουδαίων ὁ δῆμος ἕπεσθαι λοιπὸν ὅτι πρέποι δοκιμάσας αὐτῷ τῆς αὐτῶν ἔξω γένοιτο χειρός. τοῦτο πεπράχθαι νομίσαντες· ἑτοιμότερα γὰρ εἰς τὸ πιστεύεσθαι τὰ ἐν ὑποψίαις ἀεί· σπουδαίως ἀναπυνθάνονται λέγοντες Διατί οὐκ ἠγάγετε αὐτόν; τί γὰρ ὑμᾶς τὸ διακω λύσαν, φασὶ, μὴ εἰς πέρας ἀγαγεῖν τὸ τοῖς κρατοῦσι δοκοῦν; θερμότεροι δέ πως ἐσμὲν πρὸς τὸ πάντα μανθάνειν ἐπεί γεσθαι, καὶ τὸ λυποῦν ἔσθ' ὅτε μὴ διακρίνοντες, ἀλλ' ἐκ προαλοῦς ἐπιθυμίας καὶ τῶν ἀπευκτῶν τὴν γνώμην ἁρπά ζοντες. Ἀπεκρίθησαν οἱ ὑπηρέται Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος. Εὔκαιρον εἰπεῖν ὄντως ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ "Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν." ἰδοὺ γὰρ ἰδοὺ, κατὰ τὸ γεγραμμένον, "βουλὴν πολύπλοκον "ἐξέστησε," καὶ ὅλην ἐξ ἀντιστρόφου τὴν τῶν πραγμάτων ἔδειξε φύσιν, πανταχόθεν τῶν ἡγουμένων τὴν μυσαρότητα καὶ τὴν τῶν τρόπων ἀνοσιότητα διελέγχων ὡς ἀσθενῆ καὶ ῥιψοκίνδυνον, θεομαχεῖν οὐ παραιτουμένους. δεδοικότες γὰρ οἵ τε ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, μὴ ἄρα τοῖς τοῦ Σωτῆρος ὑποπεισθεῖεν ῥήμασιν οἱ τῶν Ἰουδαίων λαοὶ, συλληψομένους αὐτὸν τοὺς ὑπηρέτας ἐκπέμπουσι, τὸ ἐκ μέσου γενέσθαι Χριστὸν ἀναιρήσειν αὐτοῖς τὴν ἐπ' ἐκείνῳ φροντίδα νομί 1.703 ζοντες. ἀλλ' ὅπερ ἦν αὐτοῖς ἐν ὑποψίαις κείμενον, τοῦτο παθόντες ὑπέστρεψαν οἱ παρ' αὐτῶν ἀπεσταλμένοι, καὶ ὅπερ ἦν εἰκὸς ἀποφρίττειν ἀκούοντας, καὶ οὐχ ἑκόντες διδάσκονται, καὶ τοῖς παρὰ γνώμην ὁμιλοῦσιν ἀδοκήτως ἀκούοντες Οὐδέ ποτε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐλάλησεν οὕτως ἄνθρωπος. Ἐπειδὴ δὲ εἰς ἀπολογίαν τοῦ μὴ ἀγαγεῖν τὸν Κύριον τὰ τοιαῦτά φασι, φέρε δὴ πάλιν ἐκπλατύνωμεν εἰς λόγους τὸ παρ' αὐτῶν εἰρημένον, πανταχοῦ τῆς σαφηνείας τῶν λαλου μένων φροντίζοντες. εἰ γὰρ τῇ μαθήσει, φησὶ, τῶν ἱερῶν ἐντρυφῶμεν γραμμάτων, εἰ τοὺς θείους ἐπαυχοῦμεν ὅτι πεπαιδεύμεθα νόμους, εἰ τὴν σοφίαν, ὡς χρῆμά τι τῶν ὑπερκοσμίων ἀγαθῶν θαυμάζομεν, τί δυσσεβοῦντες ἐλαύ νομεν τὸν οὕτω σοφὸν, ἀδικοῦμεν δὲ οὐ μετρίως ὃν ἥκιστα χρὴ, καίτοι μᾶλλον αὐτῷ τὴν ἐξαίρετον χρεωστοῦντες ἀγά πησιν· ἀλλὰ καὶ τοῖς ἐκ νόμου κινδύνοις τὰς ἑαυτῶν ὑποτί θεμεν κεφαλὰς, ἀθῷον καὶ δίκαιον παραλόγως ἀποκτεῖναι διψήσαντες; ταύτην ἂν εἰκότως ὠδίνειν τὴν ἔννοιαν τοὺς παρὰ τῶν ὑπηρετῶν οἰησόμεθα λόγους. οἶμαι δὲ ἔγωγε καὶ πικρότερόν τι διεσκεμμένους εἰπεῖν Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος· μόνον γὰρ οὐχὶ τοῦτό φασιν Οὐκ εὐλόγως ἐπαι τιᾶσθε νυνὶ διαγαγεῖν οὐκ ἰσχύσαντας ὡς ὑμᾶς τὸν ζητού μενον· πῶς γὰρ ἄν τις καὶ οὐκ ἔχοντα βιάσαιτο τὸν ὅσον εἰς λόγους θείαν ἔχοντα φύσιν; ἐλάλει γὰρ οὐχ ὡς ἄνθρω πος, οὐδὲ ἦσαν ἀνθρώπῳ πρέποντες οἱ παρ' αὐτοῦ γεγονότες λόγοι, Θεῷ δὲ μᾶλλον τῷ κατὰ φύσιν ἀκατηγορήτως ἁρμό ζοντες. λεγέτω γάρ τις εἰ διαμέμνηται, φασί, τις τῶν ἁγίων προφητῶν χείμαῤῥον ἑαυτὸν ἁλώσεται λέγων, ἢ τίς ἀπετόλ μησεν εἰπεῖν "Εἴ τις διψᾷ, ἐρχέσθω πρὸς μὲ καὶ πινέτω·" πότε δὲ ἡμῖν αὐτὸς ὁ μέγας ἔφη Μωυσῆς "Ὁ πιστεύων εἰς "ἐμὲ, [κἂν ἀποθάνῃ, ζήσεται·] ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ 1.704 "ῥεύσουσιν ὕδατος ζωῆς." ταῦτα δὲ λαλοῦντος ἠκούσαμεν. ἦν οὖν ἄρα φύσει Θεὸς ὁ τοῖς ὑπὲρ ἄνθρωπον λόγοις ἀκινδύνως μεγαλαυχούμενος· τὸ δὲ θηρᾶν ἐπιχειρεῖν ὡς ἐξ ἀνάγκης καὶ βίας τὸν ὑπὲρ τὴν κτίσιν, πῶς οὐκ ἐρεῖ τις ἐπισφαλέστατον; ἢ πῶς ἂν ἥλω πρὸς ἡμῶν οὐχ ἑκὼν ὁ τοσοῦτον ὑπὲρ ἡμᾶς, ὅσον ἀνθρώπου Θεός; οὐκοῦν ἀπό δειξιν ἐναργῆ τοῦ κατὰ φύσιν εἶναι Θεὸν τὸν Κύριον οἱ ὑπηρέται προτείνουσι τό Οὐδέποτε ἐλάλησεν ἄνθρωπος οὕτως. πλήττεται δὲ πανταχόθεν ὁ θεομάχος, καὶ δι' ὧν ἂν νοῆται κατορθοῦν τὸ ποθούμενον, διὰ τούτων αὐτῶν οὐκ εἰδὼς ἐπισφάττεται. Ἀπεκρίθησαν αὐτοῖς οἱ Φαρισαῖοι Μὴ καὶ ὑμεῖς πεπλάνησθε; Ἐντονώτερον Ἰουδαΐζειν τοὺς ὑπηρέτας εἰκός γε δὴ σφόδρα, καὶ προσεδρεύοντας μὲν τοῖς Φαρισαίοις ἀεὶ, καὶ κοινῆς αὐτοῖς μετασχόντας γνώμης, τοὺς δὲ τῶν ἡγουμένων ἀεὶ περιαντλουμένους λόγους, ταῦτα δὲ φρονεῖν ὡς ἀεὶ συνόντας ἀναπεπεισμένους. ἐπειδὴ δὲ ἧκον ἄγοντες μὲν οὐδαμῶς τὸν Κύριον, καταπεπληγμένοι δὲ παρ' ἐλπίδα, καὶ ὃν οὐκ ἔδει μισεῖν ἐν ἀρχαῖς, ὀψὲ καὶ μόλις θαυμάζοντες, καὶ τοὺς ἄλλους ἅπαντας πρὸς αὐτῶν ἀναπείθεσθαι λογιζόμενοι, μετὰ πολλῆς τινος τῆς ἀγωνίας φασί Μὴ καὶ ὑμεῖς πεπλά νησθε; σύνες γὰρ ὅπως ἀπόγνωσίν τινα τῆς ἐπὶ τοῖς δήμοις ἐλπίδος ὠδίνει τὸ εἰρημένον. ὡς γὰρ ἤδη πεπλανημένης τῆς ἄλλης πληθύος, ὅσοιπερ ἦσαν οὐκ ἀσφαλέστεροι, τὸν ἐπὶ τοῖς ὑπηρέταις προΐσχονται φόβον. τὴν μὲν γὰρ ἄλλην, φησὶ, τῶν ἀγελαίων πληθὺν τοῖς ἱεροῖς οὐκ ἐντετριμμένην γράμμασιν, ἀλλ' οὐδὲ τῇ προσεδρείᾳ τῇ πρὸς ἡμᾶς ὠχυρω μένην, διδόσθω τυχὸν ἀπεριεργάστοις αὐτῷ προστεθῆναι 1.705 ῥοπαῖς, καὶ συντεθεῖσθαι μᾶλλον εὐσυναρπάστως οἷς ἔφη καὶ πέπραχεν· εἰσεδέχθη δὲ καὶ παρ' ὑμῶν τὸ πλανᾶσθαι πόθεν; κατὰ τίνα δὲ τρόπον ἐξηπάτησθε καὶ αὐτοί; τί δὲ τὸ τῆς πρὸς ἡμᾶς ἐξελκύσαν ἀγάπης, καίτοι ταῖς ἴσαις ἡμῖν ἀπειθείαις κατεσκληκότας; ὑπεμφαίνειν γὰρ οἶμαί τι τοιοῦ τον τῶν Φαρισαίων τὸ ῥῆμα. Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρισαίων; ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπικατάρατοί εἰσιν. Ἐπὶ τὴν συνήθη πάλιν ἀλαζονείαν ἐκπίπτουσιν, ἀμαθίας μὲν ἐπιῤῥιπτοῦντες γραφὴν τοῖς ὡς τερατουργοῦντα καὶ εἰσηγούμενον τὰ θεοπρεπῆ καταπεπληγμένοις τὸν Ἰησοῦν, νομομαθείᾳ δὲ καὶ ἐπιστήμῃ τῶν ἱερῶν γραμμάτων μόνας τὰς ἑαυτῶν καταστέφοντες κεφαλάς· ὅτι δὲ μὴ συναινοῦσιν αὐτοὶ τοῖς ὀρθῶς ἐκεῖνα θαυμάζουσι, διὰ πάσης ἰέναι πιστεύ ουσιν ἀρετῆς. ὥσπερ δὲ τοῦ νόμου κελεύοντος τῶν ἀξια γάστων κατηγορεῖν, καὶ τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπέκεινα θαύματος κρίσιν ἐπάγειν ἀντίστροφον, οὐ μετρίως ἁβρύνονται παραπαίοντές τε καὶ πρὸς πᾶσαν ἀπαιδευσίαν ἐκ πολλῆς ἄγαν τῆς ἐλα φρίας εὐκόλως διαῤῥιπτούμενοι. ὅθεν δὲ μᾶλλον ἐχρῆν ἐπι γινώσκειν αὐτοὺς ἤδη παρόντα τὸν Ἰησοῦν, ἐκεῖθεν ἑαυτοὺς ἀδικοῦντες ἁλίσκονται, καὶ βαρύνουσι τὸν κλοιὸν ἑαυτῶν, κατὰ τὸ γεγραμμένον· "Φάσκοντες γὰρ εἶναι σοφοὶ ἐμω "ράνθησαν." καίτοι πολύ τι τὸ ἄμεινον ἦν, μὴ εἰδέναι τὸν νόμον ὁμολογεῖν, ἢ εἰδέναι καλῶς οἰομένους καὶ φάσκοντας, εἶτα τὸν δι' αὐτοῦ κηρυττόμενον ἀτιμάζοντας, πικροτέρᾳ περιπίπτειν τῇ δίκῃ, καὶ ἀφύκτοις ἐγκαταπείρεσθαι κακοῖς. 1.706 ὁ γὰρ εἰδὼς, φησὶ, τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας δαρήσεται πολλάς· ὁ δὲ μὴ εἰδὼς, καὶ μὴ ποιήσας, δαρήσεται ὀλίγας. οὐκοῦν εἰδέναι τὸν νόμον ὁμολογήσαντες, αὐτοὶ τῆς αὐτῶν ἀπειθείας κατηγορεῖν ἐγνώκασι, διαγελῶσι δὲ τὸν ὄχλον ὡς ἀμαθῆ, διά τε τοῦτο τοῖς τοῦ Σωτῆρος ἡμῶν σεσαγηνευμένον θαύμασιν· εἶτα τοῖς ἐκ νόμου διηγήμασι μεταπείθειν οὐκ ἔχοντες, ἀλαζόνως ὑβρίζουσιν ἀπαιδεύτους ὀνομάζοντες τοὺς ἑτοίμους εἰς σύνεσιν. τοῦτο γὰρ ἔθος ἀεὶ τοῖς τῶν διδασκάλων ἀμαθεστέροις, οἱ μηδὲν ἔχοντες τῶν ζητουμένων εἰπεῖν, ὀργαῖς ἀποκρούοντες τῶν φιλοπευστούν των τὴν ἀκρίβειαν. ἐπαράτους δὲ εἶναί φασι τοὺς πιστεύ οντας, αὐτοὶ καθ' ἑαυτῶν δικαιότερον ἂν τοῦτο λέγειν ἀναπε πεισμένοι. τὸ γὰρ ἐπάρατον εἶναι τὸν ἀπειθῆ πρεπωδέστερον δὴ, εἰπόντος τοῦ νομοθέτου σαφῶς, ὡς περὶ προφήτου τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ "Καὶ ἔσται ὃς ἂν μὴ ἀκούσῃ ὅσα "ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματί μου, ἐξολο "θρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς." Λέγει πρὸς αὐτοὺς Νικόδημος, ὁ ἐλθὼν πρὸς αὐτὸν πρότερον, εἷς ὢν ἐξ αὐτῶν Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον ἐὰν μὴ ἀκούσῃ πρῶτον παρ' αὐτοῦ καὶ γνῷ τί ποιεῖ; Εἷς μὲν ὁ Νικόδημος τῶν ἡγουμένων ἐστὶ, καὶ τοῖς ἀρχὴν λαχοῦσιν ἐναρίθμιος, πλὴν οὐχ ὁλοκλήρως ἀπειθὴς, οὐδὲ ταῖς ἐκείνων ἀπονοίαις εἰς ἅπαν ἁμιλλώμενος, κατανενυγ μένος δὲ ἤδη, καὶ ἐλευθέραν μὲν οὔπω τὴν εἰς Χριστὸν ἀγάπην ἔχων, πλὴν ἠρέμα τοὺς ἀπὸ τοῦ συνειδότος ἐλέγ χους δυσωπούμενος. ὅτι γὰρ καὶ διὰ νυκτὸς δὲ ἀφίκετο πρὸς αὐτὸν, καὶ ἐγνωκέναι σαφῶς διεβεβαιώσατο ὡς παρὰ Θεοῦ τε ἥκει διδάσκαλος, καὶ ὡς οὐδεὶς ἂν δύναιτο 1.707 τοιαῦτα σημεῖα ποιεῖν, εἰ μὴ Θεὸν ἔχοι μεθ' ἑαυτοῦ, πάντας οἶμαι μαθεῖν, τοῦτο σαφῶς εἰρηκότος ἐν ἀρχῇ τοῦ μακαρίου Εὐαγγελιστοῦ. συντεθαυμακὼς τοιγαροῦν τοῖς ὄχλοις τὸν Ἰησοῦν, ὑποπλήττεταί πως ἐπάρατος σὺν ἐκείνοις ἀποκε κλημένος. δεινὸν γὰρ ἀναπεῖσαι τὸ συνειδὸς ἐν τοῖς παρὰ γνώμην ἠρεμεῖν. ὡς οὖν ἐπὶ τούτῳ λελυπημένος, ἀντεπάγει τὴν ἴσην ὕβριν αὐτοῖς, ἐμφανῶς μὲν οὔπω, λόγοις δὲ τοῖς ἐκ νόμου τὸ πιθανὸν ἔχουσαν, καὶ οὐ σφόδρα γυμνὴν ἀντεξάγων τὴν ἀγανάκτησιν. τοῦ γὰρ νόμου, φησὶν, ἐφ' ἑκάστῳ τῶν ζητουμένων πραγμάτων τό "Καὶ ἐκζητήσεις" ἀκριβῶς καὶ σαφῶς, εἰ γέγονε τὸ πρᾶγμα τοῦτο, τοῖς δικάζουσι λέγοντος, προαλῶς κατεκρίνατε τοὺς οὔπω κεκλημένους εἰς κρίσιν, καὶ πρίν τι τῶν παρ' ἐκείνων ἀκοῦσαι ῥημάτων, προχειροτάτην οὕτω τὴν ψῆφον ἐπάγετε. ὑμεῖς οὖν ἄρα, φησὶν, οἱ ἀληθέ στερον ἐπάρατοι καταφρονοῦντες τοῦ νόμου. γέγραπται γάρ "Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις "ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου τοῦ ποιῆσαι αὐτά." δι' ὧν δὲ πάλιν ἀγανακτεῖ καταδικαζόντων τοῦ δήμου τῶν Φαρι σαίων διὰ μόνον τὸ θαυμάσαι τὸν Ἰησοῦν, δῆλος ἂν εἴη τοῖς πιστεύουσι συναινῶν. αἰδὼ μὲν γὰρ ἔτι νοσῶν ἐπιζήμιον, οὔπω τε κεράσας τῷ ζήλῳ τὴν παῤῥησίαν, γυμνὴν οὐχ ὁρᾶσθαι τὴν ἐνοῦσαν αὐτῷ πίστιν ἐφίησι, σκοτεινῷ δὲ ὥσπερ ἀμφίῳ τῇ ὑποκρίσει περιβαλὼν, λανθάνει πως ἔτι συναγορεύων Χριστῷ· χαλεπὸν δ' οὖν ὅμως νόσημα νοσεῖ. χρὴ γὰρ πιστεύειν ἀνυποστόλως, καυχωμένους μᾶλλον ἤπερ αἰσχυνομένους, καὶ διαφανῆ μὲν παῤῥησίαν ἐπιτηδεύοντας, 1.708 ὑπόκρισιν δὲ παραιτουμένους τὴν δουλοπρεπῆ· διὰ γάρ τοι τοῦτο καὶ ὁ σοφὸς διωρίζετο Παῦλος ἐργάτην ἀνεπαίσχυντον δεῖ εἶναι τὸν ὀρθοτομοῦντα τῆς ἀληθείας τὸν λόγον· καὶ αὐτὸς δέ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

που φησὶν ἐν ἑαυτῷ τὴν ἀρετὴν διαλάμπουσαν ἐπιδεικνύς "Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον, δύναμις "γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι." γέ γονε τοίνυν· ἐρῶ γὰρ αὖθις ἀναλαβών· πικρὸς ὁ τοῦ Νικο δήμου λόγος· ὅτου γὰρ χάριν ταῖς τῶν Φαρισαίων φωναῖς αὐτὸς ἀντεπράττετο μόνος λέγων, καίτοι πολλοὺς ἔχοντος καὶ ἑτέρους τοῦ μιαιφόνου συστήματος; ἀλλ' ἔστι δῆλον παντί τῳ λοιπὸν, ὡς ἐπείπερ τοῖς θαυμάζουσι τὸν Χριστὸν ἐναρίθμιος ἦν, ἐπαράτους ἀνταποφαίνει τοὺς οἷς ἥκιστα ἐχρῆν ἀνοσίως ἐπάγοντας τὴν ἀράν. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας ἐγήγερται. Ἰουδαῖος, φησὶν, ὑπάρχων καὶ αὐθιγενὴς, τί τὴν Γαλιλαίων ἀπειρίαν ὑπέδυς, καὶ τοῖς ἀγνοήσασι παντελῶς τὰ ἡμέτερα συναμαθαίνεις ἐκτόπως; ὁμιλήσας δὲ ὅτι μάλιστα τοῖς ἱερω τάτοις γράμμασι, καὶ τοῖς ἐν νόμων διατάγμασιν ὑπάρχων ἐντριβὴς, πόθεν οὐκ ἔγνως, φησὶν, ὡς οὐκ ἔστι προσδοκᾶν προφήτην ἐκ Γαλιλαίων; σκοπὸς μὲν οὖν τοῖς τῶν Φαρι σαίων λόγοις ἐνυπάρχει τοιοῦτος. ἀθρητέον δὲ πάλιν ἐκεῖνο· οἱ γὰρ τοὺς ὄχλους ὡς εἰδότας οὐδὲν ὧν ἐχρῆν ἐξεπίστασθαι διαπτύοντες, καὶ ἐπὶ πολλῇ λίαν ἀμαθίᾳ καταιτιώμενοι, κατα μυσαττόμενοί τε καὶ ἀπαιδεύτους ἀποκαλοῦντες ὑπερηφάνως, αὐτοὶ τὰ χείρω νοσοῦντες ἁλίσκονται, καὶ τῆς ἐκείνων ἀπει 1.709 ρίας κατ' οὐδένα ἐπενεγκόντες τρόπον. ἐκεῖνοι μὲν τὰ διὰ Χριστοῦ λαβόντες θαύματα, καὶ συλλέγοντες ἤδη πως κατὰ βραχὺ τὴν ἐπ' αὐτῷ πίστιν, ποτὲ μὲν ἔφασκον "Ὁ Χριστὸς "ὅταν ἔλθῃ, μή τι πλείονα σημεῖα ἔχει ποιῆσαι ὧν οὗτος "ἐποίησεν;" ποτὲ δὲ πάλιν τῆς οὕτως ὀρθῆς ἐξελκόμενοι γνώμης, ἀπὸ μόνης ἐσφάλλοντο τῆς Ναζαρὲτ πρὸς τῇ Γαλιλαίων κειμένης, ἐν ᾗ ἐντεθράφθαι τὸν Κύριον ἡ θεία διαγορεύει γραφή· ἔφασκόν τε διὰ τοῦτο "Μὴ γὰρ ἐκ τῆς "Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ "σπέρματος Δαυεὶδ καὶ ἀπὸ Βηθλεὲμ, τῆς κώμης ὅπου ἦν "Δαυεὶδ, ὁ Χριστὸς ἔρχεται;" οἱ δὲ πλατὺ γελῶντες ἐπὶ ταῖς τῶν δήμων ἀπαιδευσίαις, ἐπαράτους δὲ διὰ τοῦτο καλοῦντες αὐτοὺς, τῆς ἐκείνων ἀγνοίας οὐκ ἦσαν ἐν ἀμεί νοσιν. ἰδοὺ γὰρ καὶ αὐτοί φασιν Ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται. Εἴποι δ' ἄν τις πρὸς αὐτοὺς ἐπὶ τούτοις εὐλόγως κεκινη μένος Ὦ τὸ νικᾶν ἐν ἀπαιδευσίᾳ παραχωροῦντες οὐδενὶ, ἄτευκτοι καὶ σκληροὶ, ποῦ τῆς ὑμετέρας ὀφρύος καύχημα σοφίας ἴχνος ἐν ὑμῖν; ποῦ δὲ τοῖς νομομαθέσιν ἡ πρέπουσα σύνεσις; οὐ γὰρ ἐνδοιάζειν ἐχρῆν ἐπὶ τῷ Σωτῆρι Χριστῷ, καταπείθεσθαι δὲ μᾶλλον οὐδὲν ὅλως ἀναδυομένους τῷ Θεῷ καὶ Πατρὶ λέγοντι περὶ αὐτοῦ πρὸς τὸν ἅγιον Μωυσέα, ὅτι "Προφήτην αὐτοῖς ἀναστήσω ἐκ τῶν ἀδελφῶν αὐτῶν "ὥσπερ σε." τὸ δέ Ἐκ τῶν ἀδελφῶν αὐτῶν, πῶς οὐχὶ πάντως εἶναι χρῆν ἐκ τῶν Ἰουδαίων καὶ ἐξ Ἰσραήλ; ἄλλωστε τῶν μὲν θύραθεν οὐ δεήσεσθε κατηγόρων, αὐτοὶ δὲ δι' ἑαυτῶν ἀσυνετοῦντες ἐξελεγχθήσεσθε. διδάσκοντος 1.710 μὲν γὰρ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ διαῤῥήδην εἰπόντος " Οτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα "τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με," πικρὰ μὲν τότε διελογίζεσθε, θυμὸν δὲ τούτοις οὐ μέτριον ἐπωδίνοντες, ἐλέγετε πάλιν "Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ "ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς νῦν λέγει "ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;" ὅτε τοίνυν ὡμολόγηκας ἐναργῶς εἰδέναι σαφῶς τὸν πατέρα καὶ τὴν μητέρα, ᾔδεις που πάντως τοῦτον ἀπὸ ῥίζης ὄντα τῆς ἐξ Ἰσραήλ· πῶς οὖν Γαλιλαῖον εἶναι φῂς τὸν ἐξ Ἰουδαίων; πῶς ἀλλογενὴς ὁ ἐξ Ἰσραήλ; οὐ γὰρ δὴ τὸ ἐν τῇ Γαλιλαίᾳ ἐντεθράφθαι χώρᾳ, καὶ χρόνους ἐνδεδιητῆσθαί τινας, τοῦτο δὴ πάντως καὶ τοῦ γένους ἐξίστησι καὶ τὸν ἐξ Ἰσραὴλ, ἐπεὶ τὸ κωλύον οὐδὲν Ἰουδαῖον εἶναι τὸ γένος τὸν ἐκ Γαλιλαίων ὁρμώμενον, εἰ πρὸς τὴν τῶν Ἰουδαίων ἀφίκοιτο χώραν. εἰκαῖον οὖν ἄρα τὸ λέγειν τοὺς οἰησίφρονας Φαρισαίους περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται. μᾶλλον γὰρ ἔδει ζητεῖν πῶς ἂν εἴη Γαλιλαῖος ὁ ἐξ Ἰουδαίων, οὕτω τε λοιπὸν ἐννοεῖν τὴν εἰς Ναζαρὲτ ἀνατροφὴν, καὶ μὴ διὰ τοῦτο τοῦ πιστεύειν ἀποφοιτᾶν. Ἐπιτηρητέον δὲ πάλιν ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδαμόθεν ἔχοντες ἐπισκήπτειν τοῖς θαύμασι τοῖς παρ' αὐτοῦ, καίτοι πρὸς ἀκροτάτην ἠκονη μένοι δυσμένειαν, ἀπὸ μόνης ἀντιλέγουσι τῆς χώρας, ἐπείπερ ἦν ἐκ τῆς Γαλιλαίας κατὰ τὴν ἐνοῦσαν αὐτοῖς ὑπόνοιαν. λελυμένης οὖν ἄρα τῆς ἐντεῦθεν αὐτοῖς ὑποψίας, ἡ πίστις ἤδη λοιπὸν οὐκ ἀμφίβολος, εἴπερ ἦσαν σοφοί. 1.711 Πάλιν οὖν ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ὥσπερ ἐλέγομεν πρέποντα τοῖς περὶ τῆς ἑορτῆς γεγραμ μένοις πεποιῆσθαι τὸν λόγον τὸν Ἰησοῦν, ὅτε κατὰ τὴν ἐσχάτην ἡμέραν εἱστήκει βοῶν "Εἴ τις διψᾷ, ἐρχέσθω πρός "με καὶ πινέτω," ἐπείπερ χειμάῤῥου τὸ Μωυσέως διε μέμνητο λόγιον· οὕτω καὶ νῦν ἐπικαιροτάτην ποιεῖται τὴν ἐξήγησιν, καὶ τῇ τῶν πραγμάτων φύσει χρεωστουμένην. ἐπειδὴ γὰρ συναφραίνοντας τοῖς ὄχλοις ἐθεᾶτο τοὺς διδα σκάλους, καὶ τοὺς γελῶντας τοῖς γελωμένοις νοσοῦντας τὰ παραπλήσια, μιᾷ δὲ ὥσπερ νυκτὶ τῇ τῆς ἀμαθίας βεβαπ τισμένους, καὶ ζητοῦντας μὲν ἐπιχειρεῖν τὸ ἐπ' αὐτῷ μυστή ριον, εὑρίσκοντας δὲ τὸ παράπαν οὐδὲν, τὴν αἰτίαν ὥσπερ τῆς ἐνούσης αὐτοῖς ἀσυνεσίας εἰς μέσον ἄγει βοῶν Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. διὰ πάσης, φησὶ, τῆς ἁγίας ἰόντες γραφῆς, καὶ τὰ ἐπ' ἐμοὶ διὰ τῶν προφητῶν εἰρημένα βασανί ζειν οἰόμενοι, πολὺ τῆς ὁδοῦ τῆς ζωῆς διασφάλλεσθε. καὶ θαυμαστὸν οὐδέν· οὐ γάρ ἐστιν ἐν ὑμῖν ὁ ἀποκαλύπτων μυστήρια, καὶ πάντα καταφωτίζων τὸν κόσμον, ἡλίου τε δίκην εἰς τὰς τῶν δεχομένων αὐτὸν καταλάμπων καρδίας. τὸν δὲ οὐκ ἔχοντα φῶς ἐν ἑαυτῷ τὸ θεῖον καὶ νοητὸν ἀνάγκη δὴ πάντως ἐν σκότῳ περιπατεῖν, καὶ πολλοῖς διὰ τοῦτο περιπταίειν τοῖς ἀτοπήμασιν. ὅτι δὲ φῶς κατὰ φύσιν ἐστὶν ὁ Μονογενὴς, ὡς ἐκ φωτὸς τοῦ κατὰ φύσιν ἀναλάμψας τοῦ Θεοῦ καὶ Πατρὸς, διὰ μακρῶν ἡμῖν δέδεικται λόγων ἐν τῷ πρώτῳ βιβλίῳ, ῥητοῦ προτεθέντος Ἦν τὸ φῶς τὸ ἀληθινόν. Ἀθρητέον δὲ πάλιν ὅτι φῶς ἑαυτὸν εἶναί φησιν οὐκ ἰδίως ἢ ἀφωρισμένως τῶν ἐξ Ἰσραὴλ, ἀλλ' ὅλου τοῦ κόσμου. καὶ πρᾶγμα μὲν διὰ τούτου φησὶν ἀληθέστατον· αὐτὸν γὰρ 1.712 εἶναί φαμεν τὸν ὅλῃ τῇ φύσει τὸ νοητὸν ἐνιέντα φῶς, καὶ ὥσπερ τινὰ σπέρματος καταβολὴν παντὶ τῷ κεκλημένῳ πρὸς γένεσιν τὴν ἀνθρώπῳ πρέπουσαν ἐνσπείροντα σύνεσιν, κατὰ τὸ εἰρημένον περὶ αὐτοῦ "Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ "φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον." πλὴν οἶμαί τι τῷ λόγῳ πάλιν ἐγκατακεχῶσθαι πικρόν. εἰ γὰρ μή τι τοιοῦτον ὠδίνει τὸ εἰρημένον, ἔδει μόνον εἰπεῖν Ἐγώ εἰμι τὸ φῶς. ἐπειδὴ δὲ τοῦ κόσμου προστέθεικεν, οἶμαι δή τι τοιοῦτον αὐτὸν ὑπαινίττεσθαι καὶ νῦν ἐθέλειν. ἦν μὲν γὰρ ἐν μόνῃ τῇ Ἰουδαίᾳ γνωστὸς ὁ Θεὸς, καὶ ἐν μόνῳ δὲ τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ, βαθὺς δὲ ὥσπερ τὴν ἑτέραν ἅπασαν γῆν κατεπίμπλη σκότος, οὐδενὸς τῶν ἐν τῷ κόσμῳ τὸ θεῖόν τε καὶ οὐράνιον ἔχοντος φῶς, πλὴν ὅτι μόνου τοῦ Ἰσραήλ. ἀλλ' ὥσπερ τὸ τηνικάδε πάντων ὁμοῦ τῶν ἐθνῶν τῶν ἐν τῷδε τῷ κόσμῳ τῆς θεογνωσίας ἐξῳκισμένων, καὶ ὥσπερ ἐν ἰδίᾳ τινὶ τάξει κειμένων, "Ἐγενήθη λαὸς Κυρίου "μερὶς αὐτοῦ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ·" οὕτω πάλιν ἐφ' ὅλον τὸν κόσμον τοῦ νοητοῦ μετοισθέντος ἡλίου, καὶ ἀπάραντος μὲν τῶν ἐξ Ἰσραὴλ τοῦ φωτὸς, μεθορμιζο μένου δὲ παρὰ τοῖς ἔθνεσιν, ἔξω τῶν ὅλων ὁ Ἰσραὴλ ηὑρί σκετο· "Ὑπομεινάντων γὰρ αὐτῶν φῶς ἐγένετο αὐτοῖς "σκότος, κατὰ τὸ γεγραμμένον, μείναντες αὐγὴν ἐν ἀωρίᾳ "περιεπάτησαν." οὐ μάτην οὖν ἄρα φησὶν ὁ Σωτὴρ τοῖς Φαρισαίοις προσλαλῶν Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ἀπειλεῖ γὰρ εὐφυῶς ὡς ἀπαναστήσεται μὲν τοῦ Ἰσραὴλ, μετακομίσει δὲ τὴν χάριν ἐφ' ὅλον ἤδη τὸν κόσμον, καὶ ἐφαπλώσει λοιπὸν ἑτέροις τὴν τῆς θεογνωσίας ἀκτῖνα. Ἐπιτηρητέον δὲ ὅπως, καίτοι παρὰ τοῖς ἀκροωμένοις 1.713 ἄνθρωπός τε ὁρώμενος καὶ μετὰ σαρκὸς, οὐκ ἐν ἐμοί φησι τὸ φῶς, ἀλλ' ἐγώ εἰμι τὸ φῶς, ἵνα μή τις εἰς υἱῶν δυάδα διατέμῃ Χριστὸν μετὰ τὴν διὰ τῆς ἐνανθρωπήσεως οἰκονομίαν· εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς, ὡς ὁ Παῦλός φησι, καὶ πρὸ σαρκὸς καὶ μετὰ σαρκὸς, καὶ εἷς καὶ μόνος κατὰ ἀλήθειαν Υἱὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ ὅτε γέγονεν ἄνθρωπος, οὐκ ἐν μέρει τεθέντος τοῦ ἐκ γυναικὸς ληφθέντος ναοῦ· αὐτοῦ γὰρ ἴδιον τὸ σῶμα, καὶ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διατέμνειν ὅλως μετὰ τὴν σάρκωσιν, κατά γε τὸν τῆς υἱότητος λόγον, δυσφημίας οὐκ ἀμοιρεῖ. πλὴν ἰστέον, ὅτι κἂν σεσαρκῶσθαι λέγωμεν, οὐ μόνῃ σαρκὶ περιβεβλῆσθαί φαμεν τὸν τοῦ Θεοῦ Λόγον, ἀλλ' ἐν τῷ τῆς σαρκὸς ὀνόματι τὸν πάντα δηλοῦμεν ἄνθρωπον. Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. Ὑποπείθει πάλιν αὐτοὺς πανταχόθεν τὸ λυσιτελοῦν θη ρᾶσθαι φιλεῖν, καὶ παιδαγωγεῖσθαι μᾶλλον ἐθέλειν τοῖς αὐτοῦ διατάγμασιν, ἤγουν ταῖς σφῶν αὐτῶν ἀμαθίαις ἀκο λουθεῖν ἑλομένους, καὶ αὐτῆς τῆς αἰωνίου στερεῖσθαι ζωῆς. ὅσον δὲ πειθηνίοις αὐτῷ γεγονόσι προσέσται τὸ ὠφελοῦν, ὑποδείκνυσιν, ἐπείπερ ἐστὶ κατὰ φύσιν ἀγαθὸς καὶ "πάντας "ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας "ἐλθεῖν." ἐπειδὴ δὲ ἤδει πάλιν ἀντεροῦντας ὡς Θεὸς, εἰκόνι πραγμάτων ἀρχαιοτέρᾳ συναναπλάττει τὸν λόγον, καὶ ἐκ τῶν τοῖς προγόνοις συμβεβηκότων, ὅτι πρὸς πολλῆς αὐτοῖς ὠφελείας γενήσεται τὸ ἀκολουθεῖν ἐθέλειν αὐτῷ, διαγορεύει σαφῶς. γέγραπται τοίνυν περὶ τῶν ἐξ Ἰσραὴλ, ὅτι "καὶ "ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα "ἐν φωτισμῷ πυρός." ὅτε γὰρ τὴν πλατεῖαν διεβάδιζον 1.714 ἔρημον, πρὸς τὴν τῆς ἐπαγγελίας εἰστρέχοντες γῆν, νεφέλη μὲν αὐτοῖς ἐν ἡμέρᾳ τὴν ἡλιακὴν ἀποτινάσσουσα φλόγα κατὰ βούλησιν δηλονότι τὴν θείαν, ὀρόφου δίκην ἐπήρτητο· στύλος δὲ ἡγεῖτο πυρὸς τῆς νυκτὸς μαχόμενος σκότῳ, καὶ ἀπλανεστάτην τοῖς ἰοῦσι χαράττων τὴν ὁδόν. ὡσπεροῦν οἱ κατ' ἐκεῖνο καιροῦ τῷ ἡγουμένῳ καὶ προελαύνοντι κατακο λουθοῦντες πυρὶ, τὸ πλανᾶσθαι διέφυγον, καὶ κατευθὺ τῆς εὐθείας καὶ ἁγίας ἐφέροντο γῆς, οὐδὲν ὅλως νυκτὸς ἢ σκότους φροντίζοντες· οὕτως ὁ ἀκολουθῶν ἐμοὶ, τουτέστιν, ὁ κατ' ἴχνη βαίνων τῶν ἐμῶν διδαγμάτων, ἔσται μὲν οὐδαμῶς ἐν σκότῳ, τὸ δὲ φῶς τῆς ζωῆς ἀποκερδανεῖ, τουτέστι, τῶν ἐπ' ἐμοὶ μυστηρίων τὴν ἀποκάλυψιν χειραγωγεῖν αὐτὸν δυναμένην εἰς ζωὴν τὴν αἰώνιον. τεχνίτης δὲ πάλιν εἰς λόγους ὑπάρχων ὁ Κύριος, ἀγριαίνοντας ἤδη τοὺς Φαρισαίους καὶ λελυττη κότας οὐ μικρῶς, προσερεθίζει μὲν οὐδαμῶς διὰ τοῦ γυμνό τερον λέγειν ὅτι καὶ μενοῦσιν ἐν σκότῳ καὶ ταῖς ἑαυτῶν ἀπειθείαις ἐντεθνήξονται· τρόπῳ δὲ πάλιν ἑτέρῳ τοῦτο λέγων εὑρίσκεται, μεταστρέψας ἐπὶ τὸ χρηστότερον τοῦ λόγου τὴν δύναμιν. δι' ὧν γὰρ ἐνθάδε τὸν αὐτῷ κατακολουθεῖν ῄρημένον ἕξειν τὸ φῶς τῆς ζωῆς ἐπαγγέλλεται, διὰ τούτων αὐτῶν ὑπο δηλοῖ περιεσταλμένως, ὡς τὸ ἕπεσθαι παραιτούμενοι, καὶ φωτὸς ἕξουσιν ἐρημίαν τοῦ πρὸς ζωὴν αὐτοὺς ἀνακομίζειν ἰσχύοντος. ἢ γὰρ οὐ πᾶσι καταφανὲς, καὶ ἀναμφιλόγως παραδεκτὸν, ὅτι τοῖς τὸ εὐθυμεῖν ἀποφεύγουσι συμβαίνειν ἀνάγκη τὸ ἐναντίον; ἦν οὖν ἄρα τοῦ Σωτῆρος ἡμῶν ὁ λόγος ἀληθὴς, καὶ τὸ διὰ τῆς ἐν αὐτῷ τέχνης οἰκονομηθὲν οὐκ ἀμφίβολον. 1.715 Εἶπον οὖν οἱ φαρισαῖοι Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. Νωθὴς καὶ βραδύνους ὁ Φαρισαῖος, καὶ δυσάγωγος λίαν εἰς τὸ δύνασθαι κατιδεῖν τὴν τοῦ Κυρίου θεότητα· πλανᾶται δὲ πάλιν διὰ τὴν σάρκα, καὶ πλέον οὐδὲν τῶν ὁρωμένων φαντάζεται. πολὺ γὰρ τοῖς ὑπὲρ ἄνθρωπον ῥήμασι κεχρη μένον ὁρῶν, καὶ θεοπρεπεστάτων ἐπακούσας λόγων, ἄνθρω πον ἔτι κοινὸν ἐννοεῖ, πρὸς τὸ τῆς θεότητος περιφανὲς οὐ βλέπων, οὐδὲ τὸν τῆς διανοίας ἀνοιγνὺς ὀφθαλμὸν πρὸς τὸ ἐπαθρῆσαι τὸν Ἐμμανουήλ. τίνι γὰρ ἂν καὶ πρέποι τὸ λέγειν "Ἐγώ εἰμι τὸ τοῦ κόσμου φῶς," εἰ μὴ ἑνὶ καὶ μόνῳ τῷ κατὰ φύσιν Θεῷ; τίς τῶν ἁγίων προφητῶν τοιαύτην εἰπεῖν ἀπετόλμησε φωνήν; ποῖος ἡμῖν τῶν ἀγγέλων τοιοῦτον ἔῤῥηξε λόγον, ὅλην ἡμῖν τὴν θεόπνευστον περινοστοῦντες γραφὴν, καὶ τὸν ἱερὸν καὶ θεῖον περιεργαζόμενοι λόγον, αὐτὸ δὴ τοῦτο δεικνύτωσαν. ἀλλ' οὐδένα τῶν ἀναγκαίων τιθέ μενοι λόγον, ἀντερεῖν ὅτι πρέπει λογίζονται, καὶ ἐπ' ἐκεῖνο χωροῦσι θερμῶς ὃ μόνον ἴσασιν ἀκριβῶς, τὸ τῆς φιλοψογίας ἔγκλημά φημι. διασύρουσι γὰρ ὡς οὐκ ὄντα τὸ φῶς τοῦ κόσμου, κατηγοροῦντες τῶν παρ' αὐτοῦ λεγομένων, οὐκ εἶναί τε ἀληθῆ τὴν παρ' αὐτοῦ μαρτυρίαν διαβεβαιούμενοι. "Σοφοὶ "γάρ εἰσι τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακοποιῆσαι, τὸ δὲ καλῶς ποιῆσαι οὐκ "ἔγνωσαν," ἀνατρέψειν τε καὶ σφόδρα κιβδήλως ὑπολαμ βάνουσι δύνασθαι τὴν μαρτυρίαν αὐτοῦ, ἀπὸ ψιλῆς καὶ μόνης τῆς παρ' ἡμῖν συνηθείας, οὐκ ἐκ νομικῶν ἐνταλμάτων ἀκυροῦν ἐπιχειροῦντες αὐτήν. Ποῦ γὰρ ὁ νόμος, διδασκέτωσαν πάλιν, ἀβέβαιον εἶναί φησι τήν τινος μαρτυρίαν περὶ ἑαυτοῦ· φορτικὸν μὲν γάρ πως ἐστὶ, καὶ οὐκ οἰστὸν ἔσθ' ὅτε τισὶ τό τινα τῶν ὄντων 1.716 τυχὸν ἐπιμαρτυρεῖν ἑαυτῷ τὰ ἐξαίρετα. καὶ γοῦν ὁ σοφώ τατος παροιμιαστής "Ἐγκωμιαζέτω σέ φησιν ὁ πέλας καὶ "μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη·" πλὴν οὐ πάντως διεψευσμένον ὁρᾶται τὸ ὑπό του τυχὸν περὶ ἑαυτοῦ λελεγμένον. ἡκέτω γάρ τις ἡμῖν τῶν Φαρισαίων εἰς μέσον, εἶτα τί δράσωμεν διδασκέτω τὸν μακάριον Σαμουὴλ ἑαυτῷ μαρτυροῦντα τὰ κάλλιστα. εὑρίσκεται γάρ που τοῖς ἐξ Ἰσραὴλ ἀπολογούμενος καὶ λέγων "Μάρτυς Κύριος ἐν "ὑμῖν καὶ μάρτυς ὁ χριστὸς αὐτοῦ σήμερον ἐν ταύτῃ τῇ "ἡμέρᾳ, ὅτι οὐχ εὑρήκατε ἐν ταῖς χερσί μου οὐδέν." ἀλλ' εἴπερ ὁ νόμος ἑαυτῷ μαρτυρεῖν τινα διεκώλυε, πῶς εἰπέ μοι παρ' οὐδὲν αὐτὸν ἐποιήσατο Σαμουὴλ, καίτοι τῆς θείας γραφῆς λεγούσης περὶ αὐτοῦ "Ἅγιος ἦν Μωυσῆς καὶ "Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς "ἐπικαλουμένοις αὐτόν· ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς "ἐπήκουεν αὐτῶν· ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς· "ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα "αὐτοῦ ἃ ἔδωκεν αὐτοῖς." ὁρᾷς ὅτι συνεπλάκη τῷ μακαρίῳ Μωυσεῖ ὡς συντρέχουσαν ἔχων ἐκείνῳ τὴν ἀρετὴν, καὶ ὡς ἀκριβὴς νομοφύλαξ μαρτυρεῖται διὰ τοῦ Πνεύματος; πῶς οὖν παρέβη τὸν νόμον ἑαυτῷ μαρτυρήσας, εἴποι τις ἄν; ἀλλ' οὐ παρέβη· μαρτυρεῖται γὰρ ὡς φυλάσσων, καὶ μεμαρτύ ρηκεν ἑαυτῷ. νόμος οὖν ἄρα τὸ μαρτυρεῖν ἑαυτῷ τῶν ὄντων οὐδένα κωλύει. τί δὲ πρὸς τούτοις ἐροῦμεν, ὅταν ἴδωμεν λέγοντα τὸν μακάριον Δαυείδ "Κύριε ὁ Θεός μου, εἰ ἐποίησα "τοῦτο, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά;" ἀλλὰ καὶ πρὸς τοῦτό φησιν ὁ μακάριος Ἱερεμίας "Κύριε παντο "κράτωρ, οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλ' "ηὐλαβούμην ἀπὸ προσώπου χειρός σου·" Παῦλος δὲ πάλιν ὁ σοφώτατος, καίτοι "πεπαιδευμένος κατὰ ἀκρίβειαν "τὸν πατρῷον νόμον," καθάπερ οὖν καὶ αὐτός που διε 1.717 μαρτύρατο "Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα" διαῤῥήδην ἀναβοᾷ. Λεγέτω τοιγαροῦν ἐφ' ἑκάστῳ τούτων ὁ Φαρισαῖος Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθὴς, εἰ καὶ ὅτι μάλιστα τοῖς ἐπιτιμᾶν αὐτῷ μὴ παραιτουμένοις τῷ πάντων Δεσπότῃ, τὸ κατὰ τῶν ἄλλων τὰ χείριστα δρᾶν ἱππηλατῶν. πλὴν ἐκεῖνο λέγομεν ἀναλαβόντες εἰσαῦθις, ὡς οὐκ ἀναγκαία μὲν ἐκ νομικῶν ἐνταλμάτων ἡ τῶν Φαρισαίων ἀντίῤῥησις, ἀπὸ δὲ μόνου πεποιημένη τοῦ κρατοῦντος ἐν συνηθείᾳ, καὶ τοῦ μὴ πρέπειν δοκοῦντος τοῖς ἐπιεικέσι τὸν τρόπον· λοιδορία δὲ μᾶλλόν ἐστιν ἡ ἀντίῤῥησις νομικὴ, ὑποκλέπτουσά πως αὐτοῦ τοὺς ἤδη θαυμάζοντας καὶ ὅτι προσήκει πιστεύειν ἀναπεπεισμένους. διασύρουσι γὰρ ὡς οὐκ ἀληθεύοντα, καὶ τὴν τῶν εἰρημένων ἀρτίως παραφθεί ροντες πίστιν, οὐδὲ φῶς κατὰ ἀλήθειαν εἶναί φασι, τὸν ἐκ τῆς δυσφημίας ὄλεθρον ταῖς ἑαυτῶν ἐπαντλοῦντες οἱ δειλαιοὶ κεφαλαῖς. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω. Τοῦθ' ὅπερ ἐστὶ κατὰ φύσιν καὶ ἀληθῶς ἑαυτὸν φάσκον τος εἶναι τοῦ Χριστοῦ "Ἐγὼ γάρ εἰμι τὸ φῶς τοῦ κόσμου," διαῤῥήδην ἀνεφώνει· διεψεῦσθαι πάλιν αὐτὸν ἡ φιλοκίν δυνος τῶν Φαρισαίων ᾠήθη πληθύς. οὐ γὰρ ᾔδεσαν ἀσυνε τοῦντες ἐκτόπως, ὅτι τὴν ἰδίαν τινὲς ὅταν γε ἐκδιηγοῦνται φύσιν, καὶ τὰ οὐσιωδῶς αὐτοῖς ἐνυπάρχοντα λέγουσιν, οὐ φιλοκόμπως αὐτοὺς τοῦτο δρᾶν τὰ εἰκότα φρονοῦντες ὑπο τοπήσομεν, ἀλλ' οὐδὲ δόξαν ἐροῦμεν φιλοθηρεῖν τὴν διά κενον, ἐκτρανοῦν δὲ μᾶλλον, ὅπερ εἰσὶν ἀληθῶς. οἷον δὲ δή 1.718 τι πάλιν ἐπὶ τούτῳ φαμὲν, ὅταν ἄγγελος εἴπῃ τὴν ἰδίαν κατασημαίνων φύσιν Ἄγγελός εἰμι· εἰ καὶ ὅταν ἄνθρωπος τοῦθ' ὅπερ ἐστὶν ἐπιδεικνύων λέγει Ἄνθρωπός εἰμι· ἀλλὰ καὶ εἴ τις ἡλίῳ περιθείη φωνὴν, εἶτα κἀκεῖνος τῆς ἑαυτοῦ φύσεως τὸ ἴδιον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκδιδάσκων Ἐγὼ, φαίη, τὸν οὐράνιον δια θέων κύκλον, λαμπρὸν ἀφίημι φῶς τοῖς ἐπὶ τῆς γῆς· οὐχ ἑαυτῷ τις αὐτὸν τὰ μὴ προσόντα μαρτυρεῖν, ἀλλ' ὅπερ ὄντως ἐστὶ κατὰ φύσιν, εὐλόγως οἰήσεται. τὸν αὐτὸν οἶμαι τρόπον καὶ ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, κἂν φῶς ἑαυτὸν εἶναι λέγῃ, τἀληθὲς ἐρεῖ, καὶ οὐδὲν ἧττον ἔξωθεν ἐπικομπάζων ἁλώσεται. οὐ συνέντες τοιγαροῦν τὸν Ἐμμανουὴλ οἱ πολλοὶ συζῶντες ἀπαιδευσίᾳ, φιλοδοξεῖν μὲν αὐτὸν ὑπολαμβάνουσιν, ὡς ἑνὶ δὲ τῶν καθ' ἡμᾶς ἐπιφύονται, καὶ οὐ καταπεφρίκασι λέγοντες "Ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθὴς," τῷ μὴ εἰδότι τὸ ψεύδεσθαι· οὐ γὰρ "εὑρέθη δόλος ἐν τῷ στόματι "αὐτοῦ," καθὰ γέγραπται. ἀλλ' ἔδει πάλιν πολὺ δὴ λίαν τῆς ἀληθείας ἀπεσφαλμένους, καὶ ἀποφοιτῶντας τοῦ πρέ ποντος λογισμοῦ χειραγωγῆσαι τοὺς πλανωμένους καὶ ἀνε ξικάκως ὅτι τοῦ πρέποντος διημαρτήκασιν εἰπεῖν, τῷ ἄνωθεν ὄντι καὶ ἐκ Θεοῦ Πατρὸς γεγεννημένῳ, τὸ καὶ ψεύδεσθαι φιλεῖν ἀνοσίως ἐπιγράφοντες. ἀληθὴς γάρ φησίν ἐστιν ἡ ἐμὴ μαρτυρία κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ. ἀνθρώποις μὲν γὰρ ἐκ φιλαυτίας ἔσθ' ὅτε τὸ θέλειν ἑαυτοῖς ἐπιμαρτυρεῖν τὰ κάλλιστα, κἂν εἰ μὴ τύχοιεν ἔχοντες, ὁρᾶται προσπε φυκός· εὐόλισθος γὰρ εἰς τὸ φαῦλον ἡ φύσις· ἀλλ' οὐκ ἐμοὶ, φησὶ, τὸ δύνασθαι ταὐτὰ πρόσεστι νοσεῖν τοῖς ἀπὸ τῆς γῆς. οἶδα γὰρ πόθεν εἰμί· φῶς ἐκ φωτὸς δηλονότι, καὶ Θεὸς ἀληθινὸς ἐκ Θεοῦ Πατρὸς ἀληθινοῦ ἄβατον ἀσθενείας ἔχων τὴν φύσιν. εἰ γὰρ καὶ ἄνθρωπος γέγονά φησι διὰ τὴν εἰς 1.719 ἀνθρώπους ἀγάπην, ἀλλ' οὐ διὰ τοῦτο τῆς θεοπρεποῦς ἀξίας ἔρημος ὢν γνωσθήσομαι· μένω δὲ πάλιν ὅπερ εἰμὶ κατὰ φύσιν, τουτέστι Θεός. ἀπόδειξις δὲ τούτου σαφὴς, τὸ εἰδέναι ποῦ ὑπάγω· ἀναβήσομαι γὰρ εἰς οὐρανοὺς πρὸς τὸν ἐξ οὗπέρ εἰμι Πατέρα. ὅπερ οἶμαι φαίη τις ἂν οὐκ ἀνθρώπῳ πρέπειν ἑνὶ τῶν καθ' ἡμᾶς, ἀλλὰ τῷ κατὰ φύσιν Θεῷ, καὶ εἰ γέγονεν ἄνθρωπος. οὐκοῦν τὸ μὲν οἶδα πόθεν εἰμὶ, τὸ ἐκ τοῦ Πατρὸς κατὰ φύσιν εἶναι τὸν Υἱὸν ὑπαινίττεται· τὸ δέ Ποῦ ὑπάγω, θεοπρεποῦς μὲν ἐξουσίας ἐπίδειξις. ἄνεισι γὰρ ὡς Θεὸς ἐπάνω τῶν οὐρανῶν, ὡς ὁ Παῦλός φησιν· ἀπειλὴν δ' οὖν ὅμως, εἰ καὶ οὐ σφόδρα σαφῶς, τῇ τῶν Ἰουδαίων ἀνοσιότητι πρέπουσαν ἔχει. ὡς γὰρ ὅσον οὐδέπω πάντως μὲν ἀπαναστήσεται τοῦ γένους αὐτῶν, ἐν τούτοις ὁρᾶται λέγων, ἐν ἐρημίᾳ δὲ τοῦ θείου φωτὸς καταλελοιπὼς, ἐν ἀγνοίᾳ καὶ σκότῳ βαθεῖ γενέσθαι παρασκευάσει, ὅπερ αὐτοῖς ἐν ἑτέροις σαφέστερον φαίνεται διειπών "Ἕως γὰρ τὸ "φῶς ἔχετε, φησὶ, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία "ὑμᾶς καταλάβῃ." Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ κρίνω οὐδένα. Ἀξιεραστοτάτῃ πραότητι πάλιν τὸν ἁπάντων Κύριον ἀποκεχρημένον εὑρήσομεν· οὐ γὰρ ἰσοστάθμοις ὀργαῖς τοὺς δυσφημοῦντας αὐτὸν ἀνταμείβεται, καίτοι πικρὰς ἤδει μετα σχεῖν ὀφείλοντας δίκας· ἀλλὰ τοὺς τῶν ἰατρῶν ἐπιεικε στέρους ἀπομιμούμενος δικαίως ἂν οἶμαι κἀν τούτῳ θαυμά ζοιτο. οἱ μὲν γὰρ τὰς τῶν ἀῤῥωστούντων ὀλιγωρίας ἐν οὐδενὶ πολλάκις τίθενται λόγῳ, ἀνεξικακοῦντες δὲ τληπαθέ στατα πάλιν αὐτοῖς ἐπίκουρον ποιοῦνται τὴν τέχνην, τὸ πεφυκὸς ἀνιᾶν ἀφανίζοντες, καὶ διαλοιδορούμενοι ἔσθ' ὅτε, τὸ συντελοῦν εἰς ὑγείαν ἐξηγούμενοι μεταπείθουσί πως ἐπὶ τὸ δρᾶν ἐπείγεσθαι τὰ συμφέροντα, καὶ τῆς νόσου τὴν 1.720 αἰτίαν καταλευκαίνουσιν. ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς καὶ δυσφημούντων ἀνέχεται, καὶ λοιδορούμενος ὠφελεῖ, καταδεσμεῖ τῶν ὑβριζόντων τὰ τραύματα· ἀλλὰ καὶ πόθεν αὐτοῖς συνέβη νοσεῖν τῆς εἰς αὐτὸν ἀπιστίας τὰ ἐγκλήματα, καταλέγει διαφανέστατα. ὑμεῖς γάρ φησι κατὰ τὴν σάρκα κρίνετε, τουτέστι, πλανᾶσθε, καὶ λίαν εἰκότως, ἐπείπερ ὁρᾶτε πρὸς μόνην ταύτην τὴν σάρκα, καίτοι πολὺ δὴ μᾶλλον τῇ τῶν ἔργων μεγαλοπρεπείᾳ προσέχειν ὀφεί λοντες· ἕνα δὲ τῶν καθ' ὑμᾶς εἶναι πιστεύοντες διὰ τὸ κατημφιέσθαι τῇ ὑμετέρᾳ σαρκὶ, ἐξηπάτησθε δεινῶς, καὶ τὸ βαθὺ τῆς μετὰ σαρκὸς οἰκονομίας οὐκ ἐπαθροῦντες μυστήριον, ἀβουλοτάτην ἐπ' ἐμοὶ τὴν ψῆφον ὁρίζετε, ψεύδεσθαι λέγοντες τὴν ἀλήθειαν. ἐγὼ δὲ τὸ κρίνειν ὑμᾶς εἰς καιρὸν ἕτερον ὑπερθήσομαι "Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν εἰς τὸν "κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωθῇ ὁ κόσμος." Οἶμαι μὲν οὖν οὐκ ἀκόμψως λελύσθαι τὸ ἐν τῷ προκει μένῳ ζητούμενον· ἰέναι δὲ πάλιν καὶ δι' ἑτέρων ἐξέσται θεωρημάτων τὸν ἐπ' αὐτῷ καθ' ὅσον ἐνδέχεται καταλεπτύ νουσι νοῦν. ὑμεῖς φησι κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. οὐδέν φησιν ἔχοντες τὸ παράπαν ἐγκαλεῖν, ἀλλ' οὐδὲ τοῖς ἡμετέροις τερατουργήμασιν εὐλόγως ἂν ἐπισκῆψαι δυνάμενοι, διὰ μόνην μὲν τὴν σάρκα κατασμικρύνετε, καὶ ἐπείπερ ἄνθρωπος ὁρῶμαι καθ' ὑμᾶς, ἐν τῷ μηδενὶ δυσσεβῶς κατετάξατε. ἀλλ' ἐγώ φησιν οὐ διὰ ταύτην ὑμᾶς κατακρίνω τὴν αἰτίαν. οὐ γὰρ ἐπείπερ ἄνθρωποι τὴν φύσιν ἐστὲ, διὰ τοῦτο πάντως ὑμᾶς λογιοῦμαι τὸ μηδὲν, οὐδὲ διὰ τοῦτο δίκην ἀποδώσετε τῷ Κριτῇ. οὐκ ἐπιτιμῶ τῇ φύσει, οὐ κατα δικάζω τῶν ἐμαυτοῦ δημιουργημάτων, οὐδὲν ἐν ἀνθρώπῳ τὸ πλημμέλημα διὰ τὸν ἄνθρωπον εἶναί φημι. ἀλλ' ὑμεῖς μὲν 1.721 διὰ τὴν σάρκα τὸ μηδὲν εἶναί με λογίζεσθε, καὶ διὰ τοῦτο κατεκρίνατε· ἐγὼ δὲ οὐχ οὕτω λελόγισμαι περὶ ὑμῶν, ἀλλά τι μέγα καὶ τίμιον χρῆμα τὸν ἄνθρωπον, εἰ καὶ γέγονεν ἀπὸ γῆς, ἐπιστάμενος· καίτοι Θεὸς ὑπάρχων ἀληθινὸς, καὶ ἐν μορφῇ γεγεννηκότος με Πατρὸς, ἐμαυτὸν ἐταπείνωσα μορφὴν δούλου λαβὼν, καὶ ἄνθρωπος γεγονώς· ἐφ' ᾧ δὴ νυνὶ μόνῳ κατακρίνομαι παρ' ὑμῶν, καίτοι κρίνων αὐτὸς ἐπὶ τούτῳ μηδένα. καὶ ἐὰν κρίνω ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστὶ καὶ ἀληθὴς, ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με Πατήρ. Ἆρ' οὖν, ἐρεῖ τις τυχὸν τῶν τἀναντία τοῖς τῆς Ἐκκλησίας" φρονούντων δόγμασι, διὰ τοῦτο καὶ μόνον κρίνειν ὀρθῶς οἶδεν ὁ Υἱὸς, ἐπείπερ αὐτῷ τοῦτο δρῶντι σύνεστιν ὁ Πατήρ; τούτου δὲ τῇδε κειμένου, καὶ ἔχοντος ἀληθῶς, τί λοιπόν ἐστι τὸ διακωλύον εἰπεῖν διὰ βουλῆς τοῦ Πατρὸς πηδαλιουχεῖσθαι τρόπον τινὰ πρὸς ὀρθότητα τὸν Υἱὸν, οὐκ ἔχοντα τοῦτο τελείως, ἢ καὶ ἀνεγκλήτως δυνάμενον κατορ θοῦν ἐξ ἑαυτοῦ; Τί οὖν ἄρα καὶ ἡμεῖς τοῖς παρ' ἐκείνων ἀντεροῦμεν λό γοις; δυσσεβὲς ὑμῶν, ὦ οὗτοι, τὸ φρόνημα, καὶ μόναις ταῖς Ἰουδαίων ἀπονοίαις ὅτι μάλιστα πρεπωδέστατον· οὐ γὰρ ὡς οὐκ ἔχων τὸ δίκαια κρίνειν ἐξ ἑαυτοῦ δύνασθαι, τὰ τοιαῦτά φησιν ὁ Υἱός· ἐπιμαρτυρήσει γὰρ αὐτῷ λέγων καὶ ὁ μελῳ δὸς ἐν Πνεύματι "Ὁ Θεὸς κριτὴς δίκαιος." ὅτι δὲ κριτὴς ἕτερος παρ' αὐτὸν οὐδεὶς, αὐτὸς εἰσδραμεῖται μάρτυς ἡμῖν ἐν εὐαγγελίοις εἰπών "Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ "πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ." ἆρα οὖν ὡς οὐκ εἰδότι κρίνειν ὀρθῶς τὴν κρίσιν δέδωκεν ὁ Θεὸς καὶ Πατήρ; ἀλλ' οἶμαι τῆς ἁπασῶν ἐσχάτης ἀπονοίας δοίη τις ἂν τὸ οὕτως 1.722 διακεῖσθαι περὶ τῆς δικαιοσύνης τοῦ Πατρὸς, τουτέστι τοῦ Υἱοῦ. οἶδε γὰρ ὁ Πατὴρ τὸ ἴδιον γέννημα, δέδωκεν αὐτῷ τὴν κρίσιν, τὸ δίκαια κρίνειν δύνασθαι καὶ διὰ τοῦ δοῦναι σαφῶς ἐπιμαρτυρῶν. ἔστι τοιγαροῦν προδηλότατον, ὡς οὐκ ἀσθενῶν περὶ τὸ τὰ δίκαια κρίνειν συνδικάσειν ἑαυτῷ τὸν Πατέρα φησὶν, ἀλλ' ὠδίνει τινὰ θεωρίαν τὸ προκείμενον τοῖς ἀνωτέρω συγγενῆ καὶ ἀκόλουθον. τί δὴ οὖν ἄρα βού λεται δηλοῦν, ἐροῦμεν σαφῶς. Ὑμεῖς, φησὶν, ὦ τῶν Ἰουδαίων ἡγεμόνες καὶ διδάσκαλοι, πονηρὰν ἐπ' ἐμοὶ καὶ ἀδικω τάτην ἐποιήσασθε κρίσιν· διὰ γὰρ μόνην τὴν σάρκα τὸ μηδὲν ἡγεῖσθαι δεῖν ὑπολαμβάνετε, καίτοι κατὰ φύσιν ὄντα Θεόν. ἐγὼ δὲ κρίνειν τὰ καθ' ὑμᾶς ἀρξάμενος, οὐ τοιαύτην καθ' ὑμῶν ἐξοίσω τὴν ψῆφον· οὐ γὰρ ἐπείπερ ἐστὲ κατὰ φύσιν ἄνθρωποι, διὰ τοῦτο κολάζεσθαι πρέπειν ὑμᾶς οἰήσομαι δεῖν· ἔχων δὲ μᾶλλον ἐφ' ἅπασι συνθελητὴν καὶ συνδικαστὴν τὸν Πατέρα, κατακρίνω δικαίως ὑμᾶς. καὶ διὰ ποίαν αἰτίαν; οὐ γὰρ ἐδέξασθε τὸν οὐρανόθεν ἥκοντα, καὶ ὡς ὑμᾶς ἐκ Πατρὸς ἀπεσταλμένον ἐξυβρίζοντες οὐ διαλελοίπατε, τὸν ἐπὶ σωτηρίᾳ τῶν ὅλων ἐπιδημήσαντα κατεσμικρύνατέ με διὰ μόνην τὴν σάρκα, μακράν που τὸν ἀεὶ φίλον ὑμῖν ἀπολακτίσαντες νόμον. ποῦ γὰρ εἰπέ μοι Μωυσῆς καταδικάζειν χρῆναι κελεύει τινὸς διὰ τὸ ἄνθρωπον εἶναι τὴν φύσιν; οὐκοῦν ἄδικα μὲν ὑμεῖς καὶ κρίνετε καὶ λογίζεσθε· οὐ γὰρ ἔχετε συνεθελητὴν ἐν τούτοις τὸν νόμον, μόνοι δὲ κατὰ παντὸς τολμᾶτε δεινοῦ, τὰς ἐκ τῶν θείων θελημάτων συμπνοίας οὐκ ἔχοντες· ἐγὼ δὲ οὐχ οὕτως, σύνδρομον γὰρ ὥσπερ καὶ συνευδοκητὴν ἔχων ἐφ' ἅπασι τοῖς καθ' ὑμῶν ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμαυτῷ τὸν Πατέρα, κρίνω δικαιότατα παραδιδοὺς εἰς ἐρήμωσιν ὅλην 1.723 ὑμῶν τὴν χώραν, καὶ ταῖς ἐκ πολέμου καταχωννύων συμ φοραῖς, ἀλλὰ καὶ αὐτῆς τῆς τῶν οὐρανῶν βασιλείας ἐκ πέμπων τοὺς οὕτω λελυττηκότας κατὰ τοῦ σώζειν ἐθέ λοντος, καὶ διὰ ταύτην ἀφιγμένου τὴν αἰτίαν ἐν ἀνθρωπίνῳ σχήματι. Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ καὶ ὁ πέμψας με Πατήρ. Συνδικάσειν ἑαυτῷ τὸν Θεὸν καὶ Πατέρα καὶ συγκατα κρινεῖν τοὺς εἰς αὐτὸν δυσσεβοῦντας εἰπὼν, δέχεται τὴν τῶν προσώπων δυάδα καὶ πρὸς ἕτερόν τι χρήσιμον. ἐγὼ μὲν γὰρ, φησὶν, ὅπερ εἰμὶ κατὰ φύσιν, τοῦτο καὶ λέγειν οὐ παραιτήσομαι. φῶς μὲν γάρ εἰμι τοῦ κόσμου, καὶ φιλο κομπεῖν μὲν ὅλως οὐκ ἄν τῳ δοκοίην ἐγώ· οὐ γὰρ ἐπ' ὀθνείοις πλεονεκτήμασιν, ἀλλὰ τοῖς ἐμοὶ προσοῦσιν οὐ σιωδῶς σεμνύνομαι. πλὴν εἰ ταῦτα λέγων, οὐκ ἀξιόχρεως εἶναι δοκῶ πρὸς τὸ χρῆναι λαβεῖν παρ' ὑμῶν τὴν ἐπ' ἀληθείᾳ σύνεσιν, ἐπείπερ εἰμὶ μόνος, καὶ ἐμαυτῷ μεμαρ τύρηκα, παραλήψομαι συνεργοῦντά τε καὶ συμψηφιούμενον τοῖς ἐμοῖς πλεονεκτήμασι τὸν Θεὸν καὶ Πατέρα. συνθαυ ματουργεῖ γάρ μοι, φησὶν, ὡς ὁρᾶτε, καὶ συνεργάζεται. ὅσον μὲν γὰρ ἧκεν εἰς ἀνθρώπου φύσιν, οὐκ ἄν τι δρῴην ἐγὼ, εἰ τὸ εἶναι Θεὸν κατὰ φύσιν οὐκ ἔχω· ὅσον δὲ εἰς τὸ ὑπάρχειν ἐκ Πατρὸς, ἔχειν τε ἐν ἐμαυτῷ τὸν Πατέρα, καὶ πάντα δύνασθαι κατορθοῦν ὁμολογῶ, καὶ τῇ τοῦ γεννήσαντος μαρ τυροῦμαι φύσει· ὡς γὰρ διὰ τὴν ταυτότητα τῆς οὐσίας ἔχων αὐτὸν ἐν ἐμαυτῷ, ἐπὶ τὸ πάντα κατορθοῦν ἀδιακωλύτως ἔρχομαι. ἔχει γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀπὸ μὲν 1.724 τῆς θείας φύσεως τὸ παντουργικὸν ὡς Θεὸς, καὶ εἰ πέφηνεν ἄνθρωπος· μαρτυρεῖται δὲ καὶ παρὰ τοῦ Πατρὸς, ὡς συνερ γάτην αὐτὸν ἐφ' ἅπασιν ἔχων κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ "Απ' ἐμαυτοῦ ποιῶ οὐδέν· ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων "ποιεῖ τὰ ἔργα αὐτός." λογιζόμεθα δὲ συνεργάζεσθαι τῷ Υἱῷ τὸν Πατέρα, οὐχ ὡς ἀτονοῦντι τυχὸν ἰδίαν τινὰ καὶ ἑτέραν συνεισάγοντα δύναμιν πρὸς τὴν τῶν τελουμένων κατόρθωσιν. εἰ γὰρ οὕτω νοοῦμεν, ἀτελῆ πάντως εἶναι δώσομεν καὶ τὴν τοῦ Πατρὸς δύναμιν καὶ τὴν τοῦ Υἱοῦ, εἴ γε δι' ἀμφοῖν ἀποτελεῖταί τι τῶν παραδόξων· ὥσπερ οὐκ ἀρκοῦντος εἰς τὴν χρείαν ἑνός. εὐσεβέστερον δὲ καὶ νοοῦντες καὶ δεχόμενοι τὸ εἰρημένον, ἐροῦμεν πάλιν, ὡς ἐπείπερ ἐστὶν ἐν Πατρὶ καὶ Υἱῷ καὶ μία θεότης, καὶ τῆς αὐτῆς φύσεως ἀπαράλλακτος ἐξουσία τε καὶ δύναμις, ἔσται δήπου πάντως ἔργα τοῦ Θεοῦ καὶ Πατρὸς τὰ τοῦ Υἱοῦ, ἔργα δὲ αὖ πάλιν τοῦ Υἱοῦ τὰ τοῦ Θεοῦ καὶ Πατρός. λέγει δὲ τό Οὐδὲν ἀπ' ἐμαυτοῦ ποιῶ, οὐχ ὡς ὑπηρέτης ἢ ὑπουργὸς, ἢ καὶ ἐν μαθητοῦ τινος τάξει διακείμενος, καὶ περιμένων τὸ διακελεύεσθαι παρὰ τοῦ Πατρὸς, ἢ καὶ διδακτικὸς πρὸς τὸ κατορθοῦν ἰέναι τὰ παράδοξα· ἐκεῖνο δὲ μᾶλλον ἀκριβέστατα κατασημαίνων, ὅτι τῆς οὐσίας ἐκπεφυκὼς τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ φωτός τινος δίκην ἐκ τῶν ἀδύτων αὐτοῦ κόλπων ἀῤῥήτως τε καὶ ἀνάρχως ἀναφὺς, καὶ συνυπάρχων ἀϊδίως αὐτῷ, εἰκών τε καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ καὶ ὑπάρχων καὶ νοού μενος, τὴν αὐτὴν αὐτῷ γνώμην, ἵν' οὕτως εἴπω, καὶ τὴν ἐφ' ἅπασιν ἐνέργειαν ἔχει. ἵνα γὰρ διδάξῃ σαφῶς ὅτι καὶ συνεθελητής ἐστι πρὸς ἅπαντα τῷ Γεννήτορι, ποιῶ, φησὶν, οὐδὲν ἀπ' ἐμαυτοῦ· ὅμοιον γὰρ ὡς εἰ ἔλεγεν Οὐκ ἐξῴκισμαί ποι πρὸς ἰδίαν τινὰ θέλησιν, τὴν οὐκ ἐνοῦσαν τῷ Θεῷ καὶ 1.725 Πατρί. ὅσα πέφυκεν ἡ τοῦ Πατρὸς βούλεσθαί τε καὶ λογί ζεσθαι φύσις, ταῦτα δὴ πάντως ἐστὶ καὶ ἐν ἐμοὶ, ἐπείπερ τῶν ἐκείνου κόλπων ἐξέλαμψα, καὶ εἰμὶ καρπὸς ἀληθινὸς τῆς οὐσίας αὐτοῦ. δυσχερῆ μὲν οὖν ταῦτα πρὸς ἐξήγησιν, καὶ τὸ ἐκτρανοῦσθαι διὰ γλώσσης οὐκ ἀταλαίπωρον τὸ καὶ αὐταῖς ἔσθ' ὅτε ταῖς διανοίαις οὐκ ἐφικτόν. εἰς εὐσεβῆ δ' οὖν ὅμως θεωρίαν, εἰς ὅσονπερ ἄγοντες ἐνδέχεται τὰ τοιαῦτα, μισθὸν ἑαυτοῖς περιποιήσομεν τὸν οὐράνιον, ἄτρωτόν τε οὕτω καὶ ἀκλόνητον ταῖς εἰς ἕτερόν τι παρατροπαῖς τὸν ἑαυτῶν διατη ρήσομεν νοῦν. Σημειωτέον δὲ ὅτι προσθεὶς ὁ Σωτὴρ καὶ λέγων πρὸς Ἰουδαίους Καὶ ἐν τῷ ὑμετέρῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ νόμῳ γέγραπται, καταδέχε σθαι λοιπὸν ὡς ἐξ ἀνάγκης ἀναπείθει τοὺς Φαρισαίους τὴν τῶν προσώπων δυάδα. μαρτυρῶ μὲν γὰρ ἐγὼ περὶ ἐμαυτοῦ, φησὶν, συλλήψεται δέ μοι καὶ πρὸς τοῦτο καὶ ὁ Πατήρ· ἆρα οὖν ἔσται παρ' ὑμῖν δεκτὴ ἡ τῶν μαρτύρων δυὰς νομικῷ βεβαιουμένη γράμματι, ἢ πάλιν εἰς μόνον ὁρῶντες τὸν ἐπ' ἐμοὶ φθόνον, οὐδὲ τὸν ὑμῖν τεθαυμασμένον τηρήσετε νόμον; Ἔλεγον οὖν αὐτῷ Ποῦ ἐστιν ὁ Πατήρ σου; Κἀν τούτῳ δὴ μάλιστα τῆς τῶν Ἰουδαίων ἀσυνεσίας πᾶς τις οὖν, οἶμαι, καὶ λίαν εἰκότως καταβοήσειε τὸ προφητικὸν ἐκεῖνο λέγων "Ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος." μακροῦ γὰρ πολλάκις πρὸς αὐτοὺς γεγονότος τοῦ λόγου παρὰ τοῦ Σω τῆρος ἡμῶν Χριστοῦ, ἄνω τε καὶ κάτω τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεὸν ὀνομάζοντος, πρὸς τοσαύτην οἱ δειλαιοὶ κατολισθαίνουσιν ἄνοιαν, ὡς ἀποτολμῆσαι λέγειν Ποῦ ἐστιν ὁ Πατήρ σου; λογίζονται μὲν γὰρ περὶ μὲν τοῦ ὄντος ἐν τοῖς οὐρανοῖς Θεοῦ τὸ παράπαν καὶ Πατρὸς οὐδὲν, περιβλέπονται δὲ μᾶλλον καὶ ζητοῦσι τὸν Ἰωσὴφ, αὐτὸν εἶναι πατέρα Χριστοῦ, καὶ οὐχ ἑτέρως ἔχειν τε πεπιστευκότες. ὁρᾷς οὖν 1.726 ὅπως λαὸς ὄντως μωρὸς καὶ ἀκάρδιος εὐλόγως ἀποκέκληται· τὸν γὰρ τῆς διανοίας ὀφθαλμὸν οὐδ' ὅσον τῶν ἐπιγείων ἀνακουφίζειν δυνάμενοι, δεικνύουσιν ἀληθὲς τὸ ἐπ' αὐτοῖς εἰρημένον "Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ "βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον·" ζῴων μὲν γὰρ τῶν ἀλόγων συνεκάμφθη τὰ νῶτα, τοῦτο γὰρ παρὰ τῆς φύσεως ἐχόντων τὸ σχῆμα, καὶ ὀρθοτενὲς ἐν αὐτοῖς οὐδέν. ἀλλὰ καὶ τῶν Ἰουδαίων ὁ νοῦς ἀπεκτηνώθη τρόπον τινὰ, καὶ νένευκεν ἀεὶ πρὸς τὸ κάτω, βλέπει δὲ τῶν οὐρανίων οὐδέν. ἢ γὰρ οὐχὶ καὶ ἐξ αὐτοῦ τοῦ πράγματος εἰς τὸν ἐπὶ τοῦτο λόγον ἄριστα παιδαγωγούμενοι φρονοῦμέν τε καὶ λογιζόμεθα περὶ αὐτῶν ἀληθῆ; εἰ γὰρ ὅλως ἐλογίζοντο τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεὸν, πῶς ἂν ἐζήτησαν τὸν ἀσώματον ἐν τόπῳ; πῶς δ' ἂν, εἰπέ μοι, περὶ τοῦ τὰ πάντα πληροῦντος Θεοῦ, τό Ποῦ ἐστιν ἀβουλότατα λέγοντες, οὐχ ὅλῃ μάχονται τῇ θείᾳ γραφῇ, καίτοι τὸν περὶ τοῦ Θεοῦ λόγον ὡς ἔνι διεξιὼν ὁ θεσπέσιος μελῳδὸς, καὶ τὸ πάντα δύνασθαι πληροῦν ἀναθεὶς αὐτῷ "Ποῦ πορευθῶ, φησὶν, ἀπὸ "τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; "ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ εἶ ἐκεῖ, ἐὰν καταβῶ εἰς τὸν "ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον "καὶ πορευθῶ εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ "χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου." ἀλλὰ καὶ αὐτὸς ἡμῖν ὁ ἐπὶ πάντων Θεὸς, ὅτι μὴ τόπῳ περιγραπτὴν φύσιν ἔχει καθαρῶς ἐπιδεικνὺς, πρὸς αὐτοὺς τοὺς οὕτω φησὶν ἀνοσίους Ἰουδαίους "Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν "γῆν ἐγὼ πληρῶ, λέγει Κύριος· ποῖον οἶκον οἰκοδομήσετέ "μοι; ἢ τίς τόπος τῆς καταπαύσεώς μου; ὁ οὐρανός μοι "θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου." ἔστι τοι γαροῦν διὰ πάντων ὁρᾶν ἀμαθαίνοντας Ἰουδαίους, ὅτε λέγουσι τῷ Σωτῆρι Χριστῷ Ποῦ ἐστιν ὁ Πατήρ σου; εἰ μὴ 1.727 περὶ τοῦ κατὰ σάρκα νομισθέντος πατρὸς τὰ τοιαῦτά φασι, ληροῦντες κἀν τούτῳ. εἰκὸς δὲ δή τι καὶ ἕτερον ὑπαινίττε σθαι βαθὺ τῶν Ἰουδαίων τοὺς λόγους. ἐπειδὴ γὰρ ᾤοντο μεμοιχεῦσθαι πρὸ γάμου τὴν ἁγίαν παρθένον, ταύτητοι καὶ μάλα πικρῶς ὡς μηδὲ εἰδότι τῷ Χριστῷ τὸν ἐξ οὗπέρ ἐστι διαλοιδοροῦνται λέγοντες Ποῦ ἐστιν ὁ πατήρ σου; ληροῦντες. Ἀπεκρίθη Ἰησοῦς Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν Πατέρα μου· εἰ ἐμὲ οἴδατε καὶ τὸν Πατέρα μου ἂν εἴδητε. Ἀληθὴς ὁ λόγος, καὶ οὐδαμόθεν ἐπὶ τῷ διεψεῦσθαι κατη γορεῖσθαι δυνάμενος. οἱ γὰρ ὄντως ἐξ Ἰωσὴφ, ἤγουν ἐκ πορνείας, νομίζοντες εἶναι τὸν Χριστὸν καὶ τὸν ἐκ Θεοῦ Πατρὸς ἀγνοήσαντες πεφηνότα Λόγον, πῶς οὐκ εὐλόγως ἀκούσονται τό Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν Πατέρα μου; εἰ γὰρ ᾔδεσαν τὸν ἐκ Θεοῦ καὶ Πατρὸς πεφηνότα Λόγον, καὶ δι' ἡμᾶς ἐν σαρκὶ γεγονότα κατὰ τὴν θείαν γραφὴν, ἐπέγνωσαν ἂν καὶ τὸν τούτου γεννήτορα. ἀκριβεστάτη γὰρ ἐπίγνωσις τοῦ Πατρὸς δι' Υἱοῦ ταῖς τῶν φιλομαθεστέρων διανοίαις ἐγγίνεται, καθὰ καὶ αὐτός που διεβεβαιώσατο λέγων ὡς πρὸς Θεὸν καὶ Πατέρα "Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς "ἀνθρώποις." καὶ πάλιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"Ἐθαυμαστώθη ἡ γνωσίς σου ἐξ "ἐμοῦ." ἐπειδὴ γὰρ ἐπέγνωμεν τὸν Υἱὸν, ἐπέγνωμεν ἐξ αὐτοῦ τὸν γεννήσαντα. εἰσφέρεται μὲν γὰρ δι' ἀμφοῖν ἡ θατέρου περίνοια, καὶ συνειστρέχει μὲν πάντως ὀνομασθέντι τῷ Πατρὶ καὶ ἡ τοῦ γεννήματος μνήμη· συμβαδίζει δὲ πάλιν τοῦ Υἱοῦ σημασίᾳ τὸ τοῦ γεννήσαντος ὄνομα. διὰ γάρ τοι τοῦτο θύρα τις ὥσπερ ἐστὶ καὶ ὁδὸς, εἰς ἐπίγνωσιν 1.728 ἀποφέρουσα τὴν περὶ τοῦ Πατρὸς, ὁ Υἱός. οὕτω καί φησιν "Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ·" δεῖ γὰρ πρότερον ἡμᾶς τί κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, κατά γε τὸ ἐγχωροῦν, ἐκμαθεῖν, εἶθ' οὕτως ὡς ἐξ εἰκόνος καὶ χαρακτῆρος ἀκριβεστάτου συνεῖναι καλῶς τὸ ἀρχέτυπον. ὁρᾶται γὰρ ὁ Πατὴρ ἐν Υἱῷ, καὶ καθάπερ ἐν ἐσόπτρῳ τῇ τοῦ ἰδίου γεννή ματος φύσει διαφαίνεται. εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ οὖν ἐστιν ἀληθὲς, δυσωπείσθω πάλιν ὁ θεομάχος Ἀρειανός. ἀνάγκη γὰρ ὅμοιον εἶναι κατὰ πάντα λόγον τε καὶ τρόπον αὐτῷ τὸν χαρακτῆρα τῆς οὐσίας αὐτοῦ, ἵνα μὴ ἕτερόν τι παρ' ὅπερ ἐστὶν ὁ Πατὴρ ὑπολαμβάνηται ἐν Υἱῷ διαλάμπον ἀπαραποιήτως· καὶ εἰ ἀγαπᾷ τὸ ἐν Υἱῷ γνωρίζεσθαι καὶ ἐν αὐτῷ διαφαίνεσθαι, πάντως δήπου καὶ ὁμοούσιον, καὶ τῆς ἑνούσης αὐτῷ δόξης οἶδεν ὄντα κατ' οὐδὲν ὅλως χείρονα· οὐ γὰρ ἂν ἠθέλησεν ἐν ἐλάττοσιν εἶναι πιστεύεσθαι, παρ' ὅπερ ἐστὶ κατὰ φύσιν αὐτός. ἐπειδὴ δὲ τοῦτο καὶ ἀγαπᾷ καὶ βεβούληται, πῶς οὐκ ἀνάγκη λοιπὸν ὅμοιον εἶναι κατὰ πάντα τρόπον ὁμολογεῖν τῷ Πατρὶ τὸν Υἱὸν, ἵνα τις δι' αὐτοῦ γινώσκῃ καὶ τὸν γεννήτορα, καθάπερ ἤδη προειρή καμεν, ἀπὸ τῆς εἰκόνος ἐπὶ τὸ ἀρχέτυπον ἀναβαίνων ὀρθῶς, ἀκατηγόρητον ἔχειν δύνηται τὴν ἐπὶ τὴν ἁγίαν Τριάδα διά ληψιν. οὕτω μὲν οὖν ὁ γινώσκων τὸν Υἱὸν, οἶδε καὶ τὸν Πατέρα. κατανόει δὲ ὅπως μετὰ τοῦ λέγειν τὰ ἀληθῆ πρὸς Ἰουδαίους ὁ Κύριος, καί τινα τέχνην ἑτέραν παραπλέκει τῷ λόγῳ· σαφῶς γὰρ εἰπών Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν Πατέρα μου, τὸν τῶν Ἰουδαίων ὑπεξέλκει νοῦν εἰς τὸ μὴ μόνα περὶ αὐτοῦ φρονεῖν τὰ ἀνθρώπινα, μήτε μὴν οἴεσθαι κατὰ ἀλήθειαν υἱὸν αὐτὸν εἶναι τοῦ Ἰωσὴφ παραληφθέντος οἰκονομικῶς, ζητεῖν δὲ μᾶλλον καὶ περισκέπτεσθαι, τίς μὲν ὁ ἐν τῇ σαρκὶ Λόγος, τίς δὲ ὁ τούτου κατὰ φύσιν Πατήρ.

**2.1 ΚΕΦΑΛΗ Γ.** Ὅτι οὐ τῆς Ἰουδαίων ἰσχύος ἔργον ἦν τὸ ἐπὶ σταυρῷ πάθος, οὐδὲ ἐκ τῆς τινων πλεονεξίας ἀπέθανεν ὁ Χριστὸς, ἀλλ' αὐτὸς ἑκὼν ὑπὲρ ἡμῶν τοῦτο πέπονθεν, ἵνα πάντας διασώσῃ. Ταῦτα τὰ ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτὸν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. ἈΠΟΛΟΓΕΙΤΑΙ χρησίμως ὑπὲρ τοῦ σωτηρίου πάθους ὁ σοφώτατος Εὐαγγελιστὴς, καὶ τὸν ἐπὶ τῷ σταυρῷ γεγο νότα θάνατον οὐκ ἐξ ἀνθρωπίνης ἀνάγκης, ἤγουν ἐξ ἑτέρας πλεονεξίας ἀβουλήτως ἐπιδεικνύει τὸν θάνατον τὸν Ἰησοῦν παθόντα, ἑαυτὸν δὲ μᾶλλον ὑπὲρ ἡμῶν καθάπερ ἄμωμον θῦμα τῷ Θεῷ καὶ Πατρὶ διὰ τὴν ἐνοῦσαν αὐτῷ περὶ ἡμᾶς ἀγάπην ἱερουργήσαντα. ἐπειδὴ γὰρ ἔδει παθεῖν, οὕτω μελ λούσης ἀνατρέπεσθαι τῆς ἐπεισάκτου φθορᾶς καὶ τῆς ἁμαρ τίας καὶ τοῦ θανάτου, δέδωκεν ἀντίλυτρον ἑαυτὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς. ποῖος οὖν ἄρα λόγος ἐν τοῖς προκειμένοις εὑρεθήσεται τῷ σωτηρίῳ συναγορεύων πάθει, τί δὲ ὁ σκοπὸς τῶν ἐν τούτῳ θεωρημάτων ὠδίνει τὸ χρήσιμον, ἄκουε πάλιν. ταῦτα γάρ φησιν ἐλάλει τὰ ῥήματα Χριστὸς οὐκ ἔξω τῆς Ἱερουσαλὴμ, οὐδὲ εἰς πόλιν τινὰ τῶν περιοικίδων, ἀλλ' οὐδὲ εἰς πόλιν ἢ εἰς κώμην τῆς Ἰουδαίας ἀσημοτέραν, παρ' αὐτὸ 2.2 γὰρ εἱστήκει τὸ γαζοφυλάκιον, τουτέστιν, εἰς αὐτοῦ τοῦ ναοῦ τὸ μεσαίτατον ἐν αὐτῷ τῷ ἱερῷ τοὺς περὶ τῶν τοιούτων ἐποιεῖτο λόγους. ἀλλὰ καίτοι σφόδρα διαπριόμενοι καὶ λελυπηκότες ἐκτόπως ἐπὶ τοῖς παρ' αὐτοῦ λεγομένοις οἱ Φαρισαῖοι, οὐκ ἐπίασαν αὐτὸν, ἐξὸν εὐκόλως τότε δὴ τοῦτο μάλιστα δρᾶν αὐτοῖς· ἦν γὰρ, ὡς ἔφην, ἀρκύων ἐντός. τί οὖν ἄρα τὸ πεπεικὸς καὶ οὐχ ἑκόντας ἠρεμεῖν, τοὺς θηρίων ἀτιθάσων ἀγριαίνοντας δίκην; τί τὸ ἀνακόψαν τὴν ἐκείνων ὀργήν; κατεγοητεύθη δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅπως ἡ μιαιφόνος τῶν Φαρισαίων καρδία; οὔπω φησὶν ἐληλύθει ἡ ὥρα αὐτοῦ, τουτέστιν, οὔπω παρῆν ὁ τοῦ θανάτου καιρὸς, οὐ παρ' ἑτέρου τινὸς ὁ ὡρι σμένος ἐπὶ τῷ Σωτῆρι Χριστῷ, ἀλλ' οὐδὲ κατὰ τὰς Ἑλλή νων ψευδομυθίας ἐξ εἱμαρμένης ἐπιῤῥιπτούμενος, ἤγουν ἀπὸ τῆς ὥρας κατὰ τὸν παρ' ἐκείνοις ληροῦντα λόγον, ὡρισμένος δὲ μᾶλλον παρ' αὐτοῦ κατὰ συναίνεσιν τοῦ Θεοῦ καὶ Πατρός. Θεὸς γὰρ ὑπάρχων τῇ φύσει καὶ ἀληθινὸς καὶ τοῦ πρέποντος διαμαρτεῖν οὐκ εἰδὼς, εὖ δὴ καὶ λίαν ἐξηπί στατο πόσον μὲν ἔδει τοῖς ἐπὶ τῆς γῆς συνδιαιτᾶσθαι χρόνον μετὰ σαρκὸς, πότε δὲ αὖθις ἰέναι πρὸς οὐρανὸν, τῷ τῆς ἰδίας σαρκὸς θανάτῳ καθελόντα τὸν θάνατον· ὅτι γὰρ οὐκ ἐκ τῆς τινων πλεονεξίας ὁ θάνατος ἐπενήνεκται τῇ κατὰ φύσιν ζωῇ, δῆλον μὲν δήπου οἶμαι πᾶσιν εἶναι τοῖς σοφοῖς. πῶς γὰρ ἂν ὑπερίσχυσε τῆς κατὰ φύσιν ζωῆς τὰ τοῦ θανάτου δεσμά; καὶ αὐτὸς δέ που διαμαρτύρεται λέγων ὁ Κύριος "Οὐδεὶς "αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἐγὼ τίθημι αὐτὴν ἀπ' "ἐμαυτοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ πάλιν ἐξουσίαν "ἔχω λαβεῖν αὐτήν." εἰ μὲν γὰρ ὡς ἐξ ἀνάγκης ὡρίζετο παρ' ἑτέρου τινὸς ὁ καιρὸς, καθ' ὃν ἔδει πάντως αὐτὸν ὑπομεῖναι τὸν θάνατον, πῶς ἐν ἐξουσίᾳ κείμενον εὑρήσομεν 2.3 τῇ παρ' αὐτῷ τὸ θεῖναι αὐτὴν ψυχήν; ἐλήφθη γὰρ ἂν καὶ οὐχ ἑκόντως, εἴπερ ἦν οὐκ ἐν ἑαυτῷ τὸ παθεῖν. εἰ δὲ τίθησιν αὐτὴν ἀφ' ἑαυτοῦ, τὸ ἄρα παθεῖν οὐκ ἐν δυνάμει τῇ ἑτέρου τινὸς, ἀλλ' ἐν βουλήσει μόνῃ τῇ αὐτοῦ θεωρήσομεν. τότε γὰρ ταῖς τῶν Ἰουδαίων ἀπονοίαις διεξάγεσθαι πρὸς τὸ ἐκείνοις δοκοῦν συγκεχώρηκεν, ὅτε δὲ συνεῖδεν ἤδη παρόντα τὸν πρέποντα τῷ θανάτῳ καιρόν. Μὴ μέγα φρονείτω τοιγαροῦν ἐπὶ τοῖς ἑαυτοῦ τολμήμασιν ὁ ἀλαζὼν Φαρισαῖος, μηδὲ λεγέτω φυσώμενος ἐκ πολλῆς ἀβουλίας Εἰ Θεὸς κατὰ φύσιν ὑπῆρχεν ὁ Χριστὸς, πῶς οὐ γέγονεν ἔξω βρόχων τῶν ἐμῶν; πῶς οὐ διέδρα χεῖρας τὰς ἐμάς; ἀντακούσεται γὰρ παρὰ τῶν ἀγαπώντων αὐτόν Οὐχ ὁ σὸς οὕτως ἴσχυσε βρόχος· ἦν γὰρ οὐδὲν χαλεπὸν τῷ πάντων κρατοῦντι Θεῷ τὴν σὴν συνθραῦσαι παγίδα, καὶ τὸ τῆς σῆς δυσσεβείας ὑπεκδῦναι δίκτυον· ἀλλ' ἦν τὸ παθεῖν τῷ κόσμῳ σωτήριον, λύσις ἦν θανάτου τὸ πάθος, ἁμαρτίας καὶ φθορᾶς καταστροφὴν ὁ μέγας εἶχε σταυρός. ταῦτα γινώσκων ὡς Θεὸς τοῖς σοῖς ἑαυτὸν ὑπέθηκεν ἀνοσίοις τολμήμασι· τί γὰρ εἰπέ μοι διεκώλυε περιπλέκεσθαι τότε μᾶλλον αὐτῷ, ὅτε παρ' αὐτῷ τῷ γαζοφυλακίῳ διδάσκοντι τοὺς ὀδόντας ἐπέτριζες· καὶ εἰ τῆς σῆς δυνάμεως ἔργον ἦν τὸ νικῆσαι Χριστὸν, τί μὴ δέσμιον ἐποιήσω τότε; ἀλλ' εἱστή κεις θυμῷ μὲν ἀκράτῳ πρὸς μιαιφονίαν ἐκκεκαλυμμένως, πράττων δὲ τῶν δοκούντων οὐδέν. οὔπω γὰρ ἤθελε παθεῖν ὁ ταῖς σαῖς ἀπονοίαις τῶν ἀῤῥήκτων ὥσπερ χαλινῶν πει σθείς. ταῦτα μὲν ἄν τις εἰκότως ταῖς τῶν Ἰουδαίων γλωσ σαλγίαις ἀντιτιθεὶς δυσωπήσει καὶ οὐχ ἑκόντας εἰς τὸ μὴ οἷς ἥκιστα χρῆν ἀπαλαζονεύεσθαι· ἀποθαυμάσαι δὲ ἄν τις, καὶ μάλα εἰκότως, τὸν ἅγιον Εὐαγγελιστὴν ἐπισημηνάμενον εὐ 2.4 καίρως, καὶ εἰρηκότα σαφῶς, ὅτι ταῦτα ἐδίδασκεν ἐν τῷ ἱερῷ παρὰ τὸ γαζοφυλάκιον ὁ Σωτὴρ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν. ἐπεμαρτύρει γὰρ ὥσπερ τοῖς παρ' αὐτοῦ ῥήμασιν, ἅπερ ἔφη πρὸς Ἰουδαίους ὅτε συλληψόμενοι παρῆσαν αὐτόν "Ὡς ἐπὶ "λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν "με; καθ' ἡμέραν ἐκαθεζόμην ἐν τῷ ἱερῷ διδάσκων καὶ οὐκ "ἐκρατήσατέ με." καὶ οὐ δήπου φήσειεν ἄν τις τὰ εἰκότα φρονῶν, ὡς ἐπῃτιᾶτο τοὺς Ἰουδαίους ὅτι μὴ πρόωρον αὐτῷ τὸ πάθος ἐπήγαγον, ἀλλ' οὐδὲ ὅτι τὸν δέοντα παρελάσαντες χρόνον, βραδεῖς ὥσπερ ἐβάδιζον ἐπὶ τὸ χρῆναι μιαιφονεῖν. ἐλέγχει δὲ μᾶλλον αὐτοὺς, ὡς οἰηθέντας ἀσυνέτως, καὶ οὐχ ἑκόντος αὐτοῦ περιέσεσθαί ποτε, καὶ βιασαμένους ἑλεῖν δύνασθαι τὸν οὐδὲν εἰδότα παθεῖν εἰ μὴ βούλοιτο. "Ἐκαθε "ζόμην γὰρ διδάσκων ἐν τῷ ἱερῷ καὶ οὐκ ἐκρατήσατέ με·" οὐ γὰρ ἠβουλόμην τότε, ἀλλ' οὐδ' ἂν εἰς τὸ παρὸν ἰσχύσατε τοῦτο δρᾶν, εἰ μὴ ταῖς ὑμετέραις χερσὶν ἐθελοντὴς ὑπενή νεγμαι. οὐκοῦν διὰ πάντων ἔξεστιν ἰδεῖν, ὡς οὐ τῆς Ἰουδαίων ἰσχύος ἔργον ἦν τὸ θανάτῳ περιβαλεῖν τὸν Κύριον, ἀλλὰ τοῖς μὲν ἐκείνων ἀνοσίοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τολμήμασιν ἐπιγράψαι τις ἂν τὸ ἐγχείρημα· τῷ δὲ Σωτῆρι Χριστῷ τὸ ὑπὲρ πάντων ἐθελῆσαι παθεῖν, ἵνα πάντας ἐξέληται καὶ ἀγοράσας αἵματι τῷ ἰδίῳ παραστήσῃ τῷ Θεῷ καὶ Πατρί. "Θεὸς γὰρ ἦν," κατὰ τὴν τοῦ Παύλου φωνὴν, "ἐν Χριστῷ κόσμον καταλλάσσων "ἑαυτῷ," καὶ τὸ τῆς εἰς αὐτὸν φιλίας ἐκπεπτωκὸς ἀνακομίζων ἀμνησικάκως εἰς ὅπερ ἦν ἐν ἀρχῇ. Εἶπεν οὖν πάλιν αὐτοῖς Ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε. Ὅτι χρὴ παρόντος ἐπιδράττεσθαι τοῦ καιροῦ καθ' ὅνπερ 2.5 δύναιτό τις ἑαυτὸν ὠφελεῖν, ἐν τούτοις εὖ μάλα διαγορεύει Χριστός. τὸ γὰρ ὑστερίζειν ἐν ἀγαθοῖς, καὶ ὑστεροβουλεῖν εἰς τὸ χρήσιμον, ὄνησιν μὲν ἔχον οὐδεμίαν ὁρᾶται, θρῆνον δὲ μᾶλλον τὸν ταῖς ῥαθυμίαις πρέποντα προξενεῖ. χρηστὸς τοιγαροῦν ὑπάρχων ὁ Κύριος ἡμῶν καὶ ἐπιεικὴς, καθὰ γέγραπται, καὶ ἀτιμαζόντων ἀνέχεται, καὶ προσωφελεῖ τοὺς ὑβρίζοντας, καὶ τῆς ἐν ἀνθρώποις μικροψυχίας ἀμείνων ὡς Θεὸς εὑρίσκεται. ἀπειλεῖ δὲ χρησίμως τὴν ἐξ αὐτῶν ἀπανά στασιν, καὶ τό Ὑπάγω φησὶν ἐναργῶς, ἵνα γοργοτέραν αὐτοῖς ἐμφυτεύσῃ διάνοιαν, καὶ λογιζομένους ὅτι χρὴ πα ρόντα τὸν λυτρωτὴν ἄπρακτον οὐκ ἐᾶν, παρελαύνειν αὐτοὺς ἀκονήσῃ πρὸς πίστιν, ἑτοιμοτέρους τε ἤδη πρὸς εὐπείθειαν ἐργάσηται. ἐπιβοήσας δὲ τό Ὑπάγω, καὶ ἀπειλήσας τὴν ἐκ παντὸς τοῦ ἔθνους ἀποδρομὴν, παρέζευξεν οἰκονομικῶς καὶ τὴν ἐντεῦθεν αὐτοῖς ἐσομένην ζημίαν. ἐντεθνήξεσθε γὰρ ταῖς ἑαυτῶν ἁμαρτίαις, φησί· καὶ λόγον ἀληθῆ τὴν τοῦ πράγματος φύσιν εἰσκομίζουσαν θεωρήσωμεν. οἱ γὰρ ὅλως οὐ παραδεξάμενοι τὸν ὡς ἡμᾶς ἀφιγμένον ἐξ οὐρανῶν, ἵνα πάντας δικαιώσῃ διὰ τῆς πίστεως, πῶς οὐκ ἐν ταῖς ἑαυτῶν ἁμαρτίαις ἀναμφιλόγως τεθνήξονται· καὶ τὸν καθαίρειν εἰ δότα μὴ προσηκάμενοι, πῶς οὐ διηνεκῆ τὸν ἐκ τῆς ἑαυτῶν δυσσεβείας ἕξουσι μολυσμόν; τὸ δὲ τεθνάναι μὴ λελυτρω μένον, ἀλλ' ἔτι τῷ τῆς ἁμαρτίας κατηχθισμένον βάρει, ὅποι παραπέμψει τὴν τοῦ ἀνθρώπου ψυχὴν, τίνι τῶν ὄντων ἀμφίβολον; ᾅδης γὰρ, οἶμαι, τὸν τοιοῦτον ὁ βαθὺς ἐκδέ ξεται, καὶ ἐν σκότει διατελέσει μακρῷ, ἀλλὰ καὶ πῦρ οἰκήσει καὶ φλόγας, ἐκείνοις εἰκότως ἐναριθμούμενος, περὶ ὧν εἴρηταί που διὰ τῆς τοῦ προφήτου φωνῆς "Ὁ σκώληξ αὐτῶν οὐ "τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται 2.6 "εἰς ὅρασιν πάσῃ σαρκί." ὧν ἵνα τὴν πεῖραν ἀποκερδά νωσιν, εἰς ταχεῖαν αὐτοὺς ἀποστροφὴν τῆς συνήθους ἀπει θείας πολυτρόπως ἐκάλει Χριστὸς, οὐχ ἁπλῶς ὡς ἀποδρα μεῖται καὶ ἀποφοιτήσει λέγων, ἀλλὰ καὶ ὅσην ἐντεῦθεν ὑπομένουσι συμφορὰν ἀναγκαίως προτιθείς. ἀποθανεῖσθε γάρ φησιν ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἐπειδὴ δὲ διὰ μέσου τέθεικεν, ὅτι καὶ ζητήσετέ με, ζητοῦντας δὲ τέως αὐτὸν Ἰουδαίους οὐχ εὑρίσκομεν, ἥξομεν εὐλόγως ἐπὶ τοιαύτην τινὰ διάνοιαν· δεῖ γὰρ ἀληθεύειν αὐτόν. εἰ γὰρ καὶ νῦν ὄντες ἐν σώμασι καὶ ταῖς τῆς σαρκὸς ἡδοναῖς ἔτι διαπαιζόμενοι διὰ πολλὴν ἄγαν ἀναισθησίαν οὐ ζητοῦσι τὸν λυτρωτὴν, ἀλλ' εἰς ᾅδου πε σόντες οἱ δειλαιοὶ, καὶ τοῖς τῶν κολαστηρίων ὁμιλήσαντες τόποις, ὅταν ἐν αὐτοῖς γένωνται τοῖς κακοῖς, τότε δὴ τότε καὶ οὐχ ἑκόντες ζητήσουσιν. "Ἐκεῖ γὰρ ἐστὶ, φησὶν, ὁ κλαυθμὸς "καὶ ὁ βρυγμὸς τῶν ὀδόντων," ἑκάστου κατὰ τὸ εἰκὸς τῶν ἐκεῖ γεγονότων τὴν ἐπ' ἀγαθοῖς ῥαθυμίαν ἀνοιμώζοντος, καὶ μονονουχὶ τὸ ἐν βίβλῳ τῇ τῶν παροιμιῶν λέγοντος "Οὐκ "ἤκουον φωνὴν παιδεύοντός με καὶ διδάσκοντός με." οὐκοῦν ὡς ὁ Παῦλός φησι "Φοβηθῶμεν οὖν μή ποτε καταλειπο "μένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, "δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι." χρὴ γὰρ τρέχειν ἵνα καταλάβωμεν, καὶ τὸν ἐκ δουλείας ἡμᾶς ἐξέλκοντα τῆς πι κρᾶς, μὴ ταῖς ἀπειθείαις ὑβρίζειν, προσίεσθαι δὲ μᾶλλον, καὶ ὑπτίαις ὥσπερ χερσὶν ἁρπάζειν τὴν χάριν. Καὶ ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Οὐ μόνον ἐν ταῖς ἑαυτῶν ἁμαρτίαις τεθνήξονται, φησὶν, ἀλλ' ὅτι καὶ τῶν τῆς βασιλείας ἀγαθῶν ἔξω μενοῦσι πρὸς τὰς ἄνω μονὰς οὐκ ἀναβαίνοντες, διαγγέλλει σαφῶς· οἱ γὰρ 2.7 τὸν ἄνωθεν ἥκοντα μὴ παραδεξάμενοι, πῶς ἂν καὶ δύναιντο κατακολουθεῖν πρὸς τὰ ἄνω βαδίζοντι; διπλῆ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τις οὖν ἄρα ἐστὶ τοῖς ἀπειθοῦσιν ἡ κόλασις, καὶ οὐκ ἐν ἁπλοῖς τισι τῆς ζημίας ὁ λόγος. ὅνπερ γὰρ τρόπον τοῖς ἀῤῥωστίᾳ περι πεσοῦσι σωματικῇ τληπαθεῖν ἀνάγκη λοιπὸν καὶ τὰ δεινὰ τοῦ πάθους ὑποφέρειν ἀλγήματα, καὶ πρὸς τούτῳ καὶ τῶν τῆς ὑγείας στερεῖσθαι καλῶν· οὕτως οἶμαι, καὶ οὐχ ἑτέρως, τοὺς ἐληλακότας εἰς ᾅδου, καὶ δίκην ἐκεῖ πραττομένους ταῖς ἁμαρτίαις ἰσόμετρον, καὶ τὴν ἐκ τῆς κολάσεως ὑπομένειν συμφορὰν, καὶ τῆς τῶν ἁγίων ἐλπίδος ζημιοῦσθαι τὴν ἀπό λαυσιν. ἄριστα τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὐχ ὅτι ταῖς ἑαυτῶν ἁμαρτίαις ἐναποθανοῦνται μόνον, ἀλλ' ὅτι καὶ πρὸς τὰς ἄνω μονὰς οὐκ ἀναβήσονταί φησι· διπλῷ γὰρ ὥσπερ αὐτοὺς καταδήσας σχοινίῳ, τῆς ἐνούσης δυσβου λίας ἐξέλκειν ἐπείγεται. πανταχόθεν ἀνασώζων τὸ ἀπολωλὸς, καὶ καταδεσμῶν τὸ συντετριμμένον, καὶ ἀνορθῶν τὸ κατεῤ ῥαγμένον· ταῦτα γὰρ ἦν ποιμένος ἀγαθοῦ, καὶ τὴν ψυχὴν ὑπὲρ τῆς τῶν προβάτων σωτηρίας ἀντιδιδόντος ἑτοίμως· τοῖς μὲν αὐτοῦ μαθηταῖς ἐπηγγείλατο λέγων "Πορεύσομαι, καὶ "ἑτοιμάσω τόπον ὑμῖν, καὶ πάλιν ἥξω καὶ παραλήψομαι "ὑμᾶς μετ' ἐμαυτοῦ," βάσιμον ἔσεσθαι δεικνὺς καὶ αὐτὸν τοῖς ἁγίοις τὸν οὐρανὸν, καὶ τὰς ἄνω μονὰς ηὐτρεπίσθαι διδάσκων τοῖς ἀγαπῶσιν αὐτόν· τοῖς γεμὴν ἀπειθεῖν ἑλομέ νοις αὐτῷ, δικαίως τε καὶ ἀναγκαίως φησὶν, ὅτι ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. τίς γὰρ ἂν ὅλως ἀκολουθῆσαι ποτὲ τῷ παναγίῳ Χριστῷ τὸν διὰ πίστεως οὐκ ἀγαπήσας καθαρισμόν; ἢ κατὰ τίνα τρόπον ὁ μεμολυσμένος ἔτι, καὶ τὸν ἐκ τῶν ἰδίων παθῶν οὐκ ἀποτριψάμενος ῥύπον, συν έσται τῷ φιλανθρώπῳ Δεσπότῃ; "Τίς κοινωνία φωτὶ πρὸς "σκότος," κατὰ τὴν τοῦ Παύλου φωνήν; οἶμαι γὰρ ἁγίους 2.8 εἶναι δεῖν τοὺς τῷ πανάγνῳ Θεῷ λέγειν ἐθέλοντας "Ἐκολ "λήθη ἡ ψυχή μου ὀπίσω σου." Ταύτην οἶμαι τὴν διάνοιαν οὐκ ἀκόμψως καὶ νῦν ἐφηρ μόσθαι τῷ προκειμένῳ ῥητῷ· εἰ δὲ χρὴ περινοστοῦντας αὐτὸ διαφόρως ἐπαθρῆσαι, καὶ εἰπεῖν ἐπὶ τούτοις ἕτερόν τι πάλιν, καὶ τοῦτο ποιεῖν οὐκ ὀκνήσομεν. Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Θεὸς ὑπάρχων ἀληθινὸς, ἀφέστηκα μὲν οὐ δενὸς, πληρῶ δὲ τὰ πάντα, καὶ τοῖς πᾶσι συνὼν, οἰκῶ μάλιστα τὸν οὐρανὸν, ἥδιστα τοῖς ἁγίοις ἐνδιαιτώμενος πνεύμασιν. ἀλλ' ἐπείπερ εἰμὶ καὶ φιλάνθρωπος τῶν ὅλων γενεσιουργὸς, οὐ φορητὴν ἡγησάμην τῶν ἐμαυτοῦ ποιημάτων τὴν ζημίαν· εἶδον εἰς ὄλεθρον παντελῆ κεχωρηκότα τὸν ἄν θρωπον· ἐθεώρουν ἐξ ἁμαρτίας πεσόντα πρὸς θάνατον· ἀλλ' ἔδει χεῖρα λοιπὸν τὴν ἐπίκουρον τῷ κειμένῳ προτείνεσθαι· ἔδει τῷ νενικημένῳ καὶ πίπτοντι διὰ παντὸς ἐπαμῦναι τρόπου. εἶτα πῶς ἦν ἀκόλουθον ἀνασῶσαι τὸ ἀπολωλός; ἔδει συνεῖναι τοῖς κινδυνεύουσι τὸν ἰατρὸν, ἔδει παρεῖναι τοῖς ἀποθνήσκουσι τὴν ζωὴν, ἔδει συνδιαιτᾶσθαι τοῖς ἐν σκότει τὸ φῶς. ἀλλ' ἦν οὐκ ἐφικτὸν ἀνθρώπους ὄντας ὑμᾶς τὴν φύσιν ἀναπτῆναι πρὸς οὐρανὸν καὶ συνδιαιτᾶσθαι τῷ σώ ζοντι. ἀφῖγμαι τοιγαροῦν αὐτὸς ἐγὼ πρὸς ὑμᾶς, ἤκουον τῶν ἁγίων πολλάκις βοώντων "Κύριε κλῖνον οὐρανούς σου καὶ "κατάβηθι." καταβέβηκα τοιγαροῦν κατακλίνας, φησὶν, οὐ ρανούς· οὐ γὰρ ἦν ὑμᾶς ἥξειν ἐκεῖσε προσδοκᾶν ἄλλως. ἔτι σὺν ὑμῖν καὶ συνδιατρίβειν ἀνέχομαι, γοργότερον ἐπιδρά ξασθε τῆς ζωῆς, καθαρίσθητε διὰ τῆς πίστεως, ἕως ὅτου πάρεστιν ὁ ἐλεεῖν ἐπ' ἐξουσίας εἰδὼς καὶ δυνάμενος. βαδι οῦμαι γὰρ ἢ καὶ ἐπανήξω πάλιν ὅπου ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, κἂν ζητήσητε τῆς σωτηρίας τὸν χορηγὸν ἐξ ἀκαίρου λοιπὸν 2.9 ὑστεροβουλίας, οὐχ εὑρήσετε· τί δὴ τὸ ἐντεῦθεν ἐξέστω σκοπεῖν. ἀποθανεῖσθε γὰρ πάντως ἐν ἁμαρτίαις, καὶ τοῖς ἑαυτῶν πλημμελήμασι καταχθόμενοι, στυγνοὶ κατοιχήσεσθε λοιπὸν εἰς τὸ τοῦ θανάτου δεσμωτήριον, δίκας ἀποτίσοντες ἐκεῖ τῆς οὕτω μακρᾶς ἀπειθείας. ἀγαθὸς τοιγαροῦν ὑπάρχων καὶ σφόδρα φιλάνθρωπος ὁ Σωτὴρ, συνελαύνει τῷ φόβῳ τοὺς Ἰουδαίους τῶν ἐσομένων κακῶν καὶ οὐχ ἑκόντας ἐπὶ τὸ σώζεσθαι. Καὶ ἔλεγεν αὐτοῖς Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. Πάλιν ἐρεῖ τις τυχὸν τῶν φιλομαθεστέραν ἐχόντων διά νοιαν, καὶ λεπτότερον τῶν θείων θεωρημάτων ἐπαινεῖν κατει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θισμένων, τί τὸ ἀναπεῖσαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἄρτι τοῖς Ἰουδαίοις προσφωνοῦντα καὶ λέγοντα "Ἐγὼ "ὑπάγω, καὶ ζητήσετέ με," καθάπερ τι τῶν ἀναγκαίων ἐπενεγκεῖν Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. δοκεῖ μὲν γὰρ πως οὐ σφόδρα τοῖς ἄνω κατακολουθεῖν τὰ τοιαῦτα, πλὴν ὠδίνει τινὰ κεκρυμμένην οἰκονομίαν. ἐπειδὴ γάρ ἐστι Θεὸς χρείαν οὐκ ἔχων, ὡς αὐτός που φησὶν ὁ θεσπέσιος Εὐαγγελιστὴς Ἰωάννης, "ἵνα τις μαρτυρήσῃ περὶ "τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ," διικνεῖται γὰρ "μέχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος ἁρμῶν "τε καὶ μυελῶν, καὶ κριτικός ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν "καρδίας·" οὐκ ἠγνόησε πάλιν τὰς τῶν Ἰουδαίων ἀμαθεῖς ὑπονοίας, οἳ ἐπείπερ αὐτοῖς παχύς τις καὶ ἀδρανὴς ἐνῴκισται νοῦς, τό Ὑπάγω παρὰ τοῦ Σωτῆρος ἀκούσαντες, ᾠήθησαν ἀσυνέτως ἢ ὅτι φεύξεταί ποι τὴν Ἰουδαίαν ἀφεὶς, ἢ καὶ ὅτι τοιοῦτόν τι φησίν Ἕως ὅτε περίειμι καὶ ζῶ, πιστεύσατε, μὴ ἄρα πως καὶ τεθνάναι συμβῇ. τὸ γάρ Ὑπάγω, κοινῶς 2.10 ἐκληφθὲν ὑποσημαίνει καὶ τοῦτο· καὶ θαυμαστὸν οὐδὲν εἰ τοιαύταις ἀβουλίαις Ἰουδαῖοι περιπεπτώκασιν, ὡς καὶ λογί ζεσθαί τι τοιοῦτον ἐπὶ Χριστῷ. Θεὸν γὰρ ὄντα κατὰ φύσιν οὐκ ᾔδεσαν, μόνον δὲ εἰς τοῦτο τὸ ἀπὸ γῆς ὁρῶντες σῶμα, ἄνθρωπον ἐνενόουν ἕνα τῶν καθ' ἡμᾶς. διὰ γάρ τοι τοῦτο καὶ ἐπιπλήττων αὐτοῖς ἔφασκεν ὁ Σωτήρ "Ὑμεῖς κατὰ τὴν "σάρκα κρίνετε." ἀφιστὰς τοιγαροῦν αὐτοὺς τῆς οὕτω μειρακιώδους καὶ χαμαιπετοῦς ἐννοίας, διδάσκει πάλιν, ὡς οὐ περί τινος τῶν ἐν γενέσει καὶ φθορᾷ διαλογίζονται ταῦτα, περὶ δὲ τοῦ ἄνωθεν καὶ ἐκ Θεοῦ Πατρὸς γεγεννημένου κατὰ ἀλήθειαν. ἁρμόσει τοιγαροῦν οὐκ ἐμοὶ μᾶλλον τὸ τεθνάναι, φησὶ, καὶ φεύγειν, ἄνωθεν γάρ εἰμι, τουτέστι, Θεὸς ἐκ Θεοῦ· τὸ γὰρ ἄνω πάντων Θεός· ὑμῖν δὲ τοῦτο προσέσται πρεπω δέστερον. κάτωθεν γάρ ἐστε, τουτέστι φύσεως ὑποκειμένης τε θανάτῳ, καὶ ὑποπιπτούσης φθορᾷ καὶ δειλίᾳ· ἐπ' ἐμοὶ τοιγαροῦν διαλογίζεσθε, φησὶ, τοιοῦτον μηδὲν, τὴν ἑαυτῶν ἀφέντες ἀσθένειαν· οὐ γὰρ ἰσότιμον τῷ Δεσπότῃ τὸ δοῦλον, τῷ ἄνωθέν τε καὶ ἐκ Θεοῦ Πατρὸς γεγεννημένῳ τὸ κάτωθεν καὶ ἀπὸ τῆς γῆς. Ὅτι δὲ τό Ἄνωθεν τὴν ἐκ Θεοῦ Πατρὸς γέννησιν τοῦ Υἱοῦ ὑποσημαίνει, καὶ λογισμὸς ἡμᾶς ἀναπείσει σοφός. τοπικῶς μὲν γὰρ ἐκληφθὲν τό Ἄνωθεν, τὸ ἐξ οὐρανοῦ δηλονότι δηλοῖ, ἀλλ' οὐδὲν ἐν Υἱῷ τὸ ἐξαίρετον παρὰ τὴν κάτω καὶ ὑποκειμένην τῷ Θεῷ κτίσιν, ὅταν ἔρχηται ἐξ οὐρανοῦ μόνον, ἐπεί τοι καὶ ἀγγέλων οἱ πλείους πρὸς διακονίαν ἀποστελλόμενοι κάτω βαδίζουσι διοικοῦντές τινα τῶν ἐπὶ τῆς γῆς ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβαίνοντες. καὶ μάρτυς ἡμῖν ὁ Σωτὴρ λέγων "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, 2.11 "ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ "Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ "ἀνθρώπου." ὅτε τοίνυν καὶ ἄγγελοι καταβαίνουσιν ἄνωθεν ἐξ οὐρανοῦ, τί μάτην ἐπικομπάζει Χριστὸς ὡς ἐπὶ μεγάλῳ τινὶ καὶ ὅλην ὑπερέχοντι τὴν κτίσιν, τῷ ἄνωθεν ἥκειν φημί; ἀλλ' ἔστιν ἀνιδρωτὶ καὶ ἀταλαιπώρως σφόδρα συνιδεῖν τίς μέν ἐστι κατὰ φύσιν ὁ Μονογενὴς, τί δὲ οἱ παρ' αὐτοῦ γεγονότες ἄγγελοι· οὐκοῦν ἀναγκαίως οὐ τὸ κοινὸν δὴ τοῦτο τὸ ἐξ οὐρανοῦ καταβαίνειν τό Ἄνωθεν ἡμῖν σημαίνει, ἀλλ' ὅτι τῆς ἀνωτάτω καὶ ὑπερκειμένης τὰ πάντα φύσεως ἐξέλαμψεν ὁ Υἱός. οὐκοῦν τό Ἄνωθεν ἐπὶ μόνου τοῦ Μονο γενοῦς τὸ ἐκ Θεοῦ κατὰ φύσιν καὶ οὐχ ἕτερον δηλοῖ. πάντων γὰρ εἶναί τε καὶ ὑπάρχειν ἐκ Θεοῦ λεγομένων, πρόσεστι τῷ Υἱῷ κατὰ πάντων ἐξαίρετον, τὸ ἐξ αὐτῆς ὑπάρχειν τῆς οὐσίας τοῦ Πατρὸς γεννητῶς, καὶ οὐχ ὥσπερ τὰ ποιήματα δημιουργικῶς.

2.12 **ΚΕΦΑΛΗ Δ.** Ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς τῆς πρὸς τὴν κτίσιν ὁμοιότητος ἀνῳκισμένος παντελῶς, ὅσον εἰς οὐσίας λόγον. Ὑμεῖς ἐκ τούτου τοῦ κόσμου ἐστὲ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. ἜΔΕΙΞΕΝ ἐν τούτοις εὖ μάλα καὶ σαφῶς, τί μὲν ἂν νοοῖτο τό Ἄνω, τί δὲ τό Κάτω. ἐπειδὴ γὰρ δυναμένους συνιέναι μηδὲν εἰκὸς δήπου τοὺς Φαρισαίους σωματικώτερον τοῖς εἰρημένοις προσβαλεῖν, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ ἄνω τε καὶ κάτω τοπικῶς ἐκλαβεῖν, καὶ εἰς πολλὰς ἐντεῦθεν ἐννοίας περιπλανᾶσθαι, χρησίμως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ δοκοῦντος ἐπεῤῥίφθαι περιβλήματος καὶ ἀσαφείας ἁπάσης ἀπογυμνοῖ τὸν λόγον, λευκότερον ὥσπερ καὶ εἰσαῦθις αὐτοῖς παραθεὶς ὅπερ εἴρηκεν αἰνιγματωδῶς. Ὑμεῖς γάρ φησιν ἐκ τούτου τοῦ κόσμου ἐστὲ, τουτέστι τοῦ κάτω· ἐγὼ οὐκ εἰμὶ ἐκ τούτου τοῦ κόσμου, οὐκοῦν τοῦτό ἐστι τὸ ἄνω. ὑπερτρέχει δὲ ἅπαν τὸ ἐν γενέσει Θεὸς, οὐ τοπικοῖς ὑπερέχων ὑψώμασιν· εὔηθες γὰρ καὶ ἀνόητον κομιδῇ τὸ ἐν τόπῳ νοεῖν τὸ ἀσώματον· ἀλλὰ τοῖς τῆς φύσεως ἀῤῥήτοις πλεονεκτήμασιν ὑπερανί σχων τὰ γενητά. ταύτης ἑαυτὸν εἶναι τῆς οὐσίας φησὶν ὁ Λόγος, οὐκ ἔργον, ἀλλὰ καρπὸν καὶ γέννημα. ἐπιτήρει γὰρ ὅπως οὐχ ἁλίσκεται λέγων Ἄνωθεν ἐγὼ γέγονα καὶ πεποίη μαι, μᾶλλον δὲ τό Εἰμὶ, ἵνα δείξῃ καὶ ὅθεν ἐστὶ, καὶ ὅτι 2.13 συνῆν ἀϊδίως τῷ ἰδίῳ γεννήτορι. ὢν γάρ ἐστιν ὥσπερ καὶ ὁ Πατήρ· ὁ δὲ ὢν, καὶ τῷ ὄντι συνὼν ἀϊδίως, κατὰ τίνα δὴ τρόπον οὐκ ἦν, ἡ τῶν ἑτεροδοξούντων λεγέτω μωρία. Ἀλλ' ἴσως ἡμῖν ἀνταναστήσεται λέγων ὁ τῆς ἀληθείας ἐχθρός Οὐκ ἀδιακρίτως εἴρηκεν ὁ Χριστός Οὐκ εἰμὶ ἐκ τοῦ κόσμου, προσθεὶς δὲ τό Τούτου, δέδειχεν ἀκριβῶς, ὅτι καὶ ἕτερός ἐστι κόσμος ὁ νοητὸς ἀφ' οὗπερ εἶναι δύναται. Οὐκοῦν ἐν ποιήμασιν ὁ Υἱός· τοῦτο γὰρ ἡμῖν ὁ σὸς, ὦ οὗτος, διαπραγματεύεται λόγος· τετάξεται δὲ πάντως ἐν τοῖς γενητὴν ἔχουσι τὴν φύσιν ὁ Δημιουργὸς, ἀγγελικὸν δὲ ἴσως αὐτῷ καὶ δουλοπρεπὲς ἀξίωμα περιθεὶς τῶν τῆς δυσφημίας ἐγκλημάτων ἑαυτὸν ἀπηλλάχθαι νομίζεις. ἢ γὰρ οὐκ οἶσθα πάλιν ὅτι κἂν τὴν ἀνωτάτω στάσιν τε καὶ ἵδρυσιν ἀποδῷς αὐτῷ ἥπερ ἂν νοοῖτο παρὰ τοῖς ἁγίοις ἀγγέλοις, κἂν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ θρόνων ὁμολογεῖς ὑπάρχειν αὐτὸν, γενητὸν δ' οὖν ὅμως πιστεύσῃς, οὐδὲν ἧττον ὑβριεῖς; λόγος γὰρ ὅλως οὐδεὶς εἰς ἀξίαν τῷ Μονογενεῖ τῆς κατὰ τῶν ἄλλων ὑπεροχῆς, ἐστ' ἂν ὅλως νοῆται πεποιημένος. οὐ γὰρ ἐν τῷ προτετάχθαι τινῶν ἔχει τὴν δόξαν, ἀλλ' ἐν τῷ μὴ εἶναι γενητὸς, ὑπάρχειν δὲ μᾶλλον Θεὸς ἐκ Θεοῦ κατὰ φύσιν. σὺ δὲ πάλιν ἡμῖν τὸν ἐκ Θεοῦ πεφηνότα, καὶ διὰ τοῦτο Θεὸν, τοῖς γενητοῖς ἐγκαταριθμεῖς, καὶ μέρος εἶναι τοῦ κόσμου λογίζῃ, καὶ εἰ μὴ τούτου τυχὸν, ἀλλ' οὖν ἑτέρου· διοίσει γὰρ ὅλως οὐδενὸς ὅσον εἰς τὸν τοῦ πεποιῆσθαι λόγον ἡ νοουμένη τῶν κόσμων διαφορά· εἶτα τὸν τῷ γεννήσαντι συνεδρεύοντα Λόγον, τοῖς δορυφόροις καὶ παραστάταις ἐγκα ταλέγων οὐκ ἐρυθριᾷς; εἰ γὰρ οὐκ ἀκούεις τοῦ μὲν Γαβριὴλ λέγοντος πρὸς τὸν Ζαχαρίαν "Ἐγώ εἰμι Γαβριὴλ ὁ παρε 2.14 "στηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς "σέ·" Ἡσαΐου δὲ πάλιν ὅτι "Εἶδον τὸν Κύριον σαβαὼθ "καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ Σερα "φεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ." καὶ τό γε παράδοξον, τὸν Υἱὸν ὁ προφήτης κατεθεᾶτο, καὶ Κύριον αὐτὸν ἀπεκάλει σαβαὼθ, καὶ ἐν βασιλέως τάξει δορυφορούμενον παρὰ τῶν ἀνωτάτω δυνάμεων εἰσφέρει. ὅτι δὲ τὴν τοῦ Μονογενοῦς δόξαν κατεθεᾶτο σαφῶς, μαρτυρήσει λέγων ὁ σοφὸς Ἰωάν νης "Ταῦτα δὲ εἶπεν Ἡσαΐας ὅτι εἶδε τὴν δόξαν αὐτοῦ· "καὶ ἐλάλησε περὶ αὐτοῦ." διάτοι τοῦτο καὶ ὁ θεσπέσιος Παῦλος ἀπό τε τοῦ συνεδρεύειν αὐτὸν τῷ Θεῷ καὶ Πατρὶ, καὶ ἀπὸ τοῦ κεκλῆσθαι κατὰ φύσιν Υἱὸν, εἰς ἀκριβεστάτην ἐρχόμενος τοῦ μυστηρίου κατάληψιν, καὶ τῆς ἐπ' αὐτῷ θεωρίας συλλέγων τὴν γνῶσιν "Τίνι γὰρ εἶπέ φησι τῶν "ἀγγέλων ποτέ Υἱός μου εἶ σύ" ὁ Θεὸς δηλαδὴ καὶ Πατὴρ, "ἐγὼ σήμερον γεγέννηκά σε;" ἐν γὰρ τῷ Γεγέν νηκα, τὸ φύσει Θεὸν ὑπάρχειν ἐκ Θεοῦ τὸν Υἱὸν σημαίνεται. καὶ πάλιν "Τίνι δὲ εἶπέν ποτε τῶν ἀγγέλων Κάθου ἐκ "δεξιῶν μου;" καὶ οὐ δήπου τὰ τοιαῦτα λέγων, ἢ ὡς ἄδικόν τι δρᾶν εἰωθότα καταιτιᾶται τὸν Θεὸν καὶ Πατέρα, ἢ ὡς τὴν τῶν ἀγγέλων ἀτιμάζοντα φύσιν, ὅτε τοῖς δευτέροις αὐτὴν ἔγνω τιμᾶν παρὰ τὸν Υἱόν· τί γὰρ δὴ τὸ διακωλύον, ἐρεῖ τις τυχὸν, ἐπείπερ ἐστὶ δίκαιος καὶ ἀγαθὸς ὁ Θεός τε καὶ Πατὴρ, σύνεδρον ἑαυτῷ καὶ τὴν τῶν ἀγγέλων ποιεῖσθαι φύσιν, εἴπερ ἐστὶν ὅλον ἐν γενητοῖς ὁ Υἱὸς καὶ ὁμογενὴς αὐτοῖς κατά γε τὸν τοῦ πεποιῆσθαι λόγον, κἂν ὑπεροχαῖς τισιν ἑτέραις τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνὸν αὐτοῖς πλεονεκτῇ μέτρον, ὥσπερ οὖν ἡμᾶς ἐκεῖνοι τυχόν. ἀλλ' οὐκ ἄδικος ὁ Θεὸς καὶ Πατὴρ, ὁ τοῖς μὲν ἀγγέλοις παρεστάναι κελεύων, καὶ τοῦτο διδοὺς τῇ ἐκείνων φύσει τὸ ἀξίωμα σύνεδρον ἔχων τὸν ἴδιον Υἱὸν, ἐπείπερ οἶδε κατὰ φύσιν ὄντα Θεὸν, καὶ οὐκ ἀλλότριον τῆς οὐσίας αὐτοῦ 2.15 τὸ ἴδιον γέννημα. πῶς οὖν ἔτι γενητὸς, πῶς δὲ ἀπὸ κόσμου τοῦ γενητοῦ, καὶ οὐχὶ μᾶλλον ἐν τούτοις, ἐν οἷσπερ ἂν εἴη Θεὸς ἀληθινὸς, ὑπὲρ πάντα δηλονότι τὰ ἐν παντὶ κόσμῳ νοούμενά τε καὶ ὑπάρχειν ὁμολογούμενα; Ἐπειδὴ δὲ ὥς τι μέγα καὶ ἄμαχον προσετείνατε τὸ εἰπεῖν τὸν Χριστὸν εὐδιαστόλως Ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου, διὰ δέ Τούτου τὸν ἕτερον ἡμῖν κατασημαίνεσθαι κόσμον διισχυρίζεσθε λέγοντες ἐκεῖθεν ὑπάρχειν αὐτὸν, ἴδωμεν πάλιν εἰ μὴ σαθροῖς ἐπερείδεσθε λογισμοῖς, ταῦτα λογίζεσθαι καὶ φρονεῖν ὑπὸ μόνης τῆς ἑαυτῶν ἐλαφρίας ἀναπειθόμενοι. τὸ γάρ Οὗτος, ἢ Τούτου τυχὸν, καὶ εἴ τι λέγεται παρ' ἡμῶν ἀντωνυμικῶς, δεικτικόν ἐστι, καὶ οὐχὶ πάντως οὐδὲ ἀναγκαίως ἑτέρου σημαντικόν. καὶ γοῦν ὁ μακάριος Βαροὺχ, τὸν ἕνα καὶ μόνον ἡμῖν κατασημαίνων Θεόν "Οὗτός φησιν ὁ Θεὸς "ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν·" ἀλλ' εἴπερ ἦν πάντως τό Οὗτος ἑτέρου σημαντικὸν, πῶς οὐκ ἂν ἕτερος ἐλογίσθη πρὸς αὐτῷ; ἀλλὰ καὶ Συμεὼν ὁ δίκαιος τὸ ἐπὶ τῷ Χριστῷ προφητεύων μυστήριον "Ἰδοὺ οὗτος, φησὶ, "κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν νεκρῶν πολλῶν ἐν τῷ "Ισραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον·" καίτοι τίνι τῶν ὄντων οὐ προδηλότατον, οὐχ ὡς ἑτέρων ἡμᾶς προσώπων ἀφιστὰς ὁ δίκαιος τό Οὗτός φησιν, ἀλλ' ἵνα οὕτως εἴπω, μοναδικῶς τὸν ἤδη παρόντα καὶ πρὸς τοῦτο τεθειμένον ὑπο δεικνύς. οὐκοῦν ὅταν λέγῃ Χριστός Ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου, οὐχὶ πάντως ὡς ὑπάρχων ἐξ ἑτέρου κόσμου τὰ τοιαῦτά φησιν, ἀλλ' ὥσπερ δύο τινὰς τόπους σωματικώ τερον ὁρίζων καὶ τιθεὶς, τῆς γενητῆς φύσεώς φημι καὶ τῆς ἀῤῥήτου καὶ ἐπάνω πάσης οὐσίας ἀνθρώπου, μένοντας Ἰου δαίους ἐν τῷ τῶν γενητῶν τόπῳ τίθησι λέγων Ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ· ἑαυτὸν δὲ παντελῶς τῶν ἐν γενέσει διιστὰς, καὶ τῷ ἑτέρῳ συνάπτων τόπῳ τῷ τῆς θεότητος 2.16 λέγω Οὐκ εἰμί φησιν ἐκ τοῦ κόσμου τούτου. οὐκοῦν ἀντι παραθεὶς εἰς γνῶσιν τὴν θεότητα τῷ κόσμῳ, τούτου μὲν ἐκείνῳ δίδωσιν, ἑαυτὸν δὲ τῷ γεγεννηκότι Θεῷ καὶ τῇ ἀνωτάτω πασῶν οὐσίᾳ προσνέμει. Ἀλλ' οὐδὲν ἀδικήσει, φησὶ, τῶν ἀγγέλων τὴν φύσιν ὁ Θεὸς καὶ Πατὴρ, εἰ μὴ τούτοις αὐτὴν οἷς καὶ τὸν Υἱὸν ἔγνω τιμᾶν. ἄδικον γὰρ οὐδαμῶς ἀποφαίνει τὸν Θεὸν, τὸ ἐν τῇ κτίσει ποικίλον, ἢ τῷ ἑκάστῳ πρεπόντως ἀπονέμειν τὴν δόξαν, ἐπεὶ κατά τινα τρόπον ἡμεῖς ἀγγέλων ἠλαττώ μεθα, καίτοι δίκαιον εἶναι ὁμολογοῦντες τὸν Θεόν· ὅπερ οὖν ἡμεῖς πρὸς ἀγγέλους, τοῦτο καὶ ἄγγελοι πρὸς τὸν Υἱόν· παραχωροῦσι δὲ ὡς ἀμείνονι καὶ τὸ ἐν μείζοσιν εἶναι τιμαῖς, ἢ ἐν αἷσπέρ εἰσιν αὐτοί. Ἀλλ', ὦ βέλτιστε· πάλιν ἐροῦμεν τὸν ἀμαθῆ δυσωποῦντες αἱρετικόν· εἰ καὶ τῆς τῶν ἀγγέλων δόξης ἀφεστήκαμεν, ἐπεὶ καὶ τῆς ἐνούσης αὐτοῖς εὐσεβείας ἡττώμεθα, καὶ εἰ πολύ τι τὸ ἐν τῇ κτίσει ποικίλον καὶ παρηλλαγμένον καὶ πλεονεκτοῦν ἐν τιμαῖς, ἤτοι μειονεκτούμενον κατὰ τὴν τοῦ ποιήσαντος βούλησιν, ἀλλά γε τοῖς πᾶσιν τὸ ἐκτίσθαι κοινὸν, καὶ οὐδὲν ὅλως ἐν τούτοις τὸ ἕτερον ὑπερτεροῦν ἢ λειπόμενον. προΰ χειν μὲν γὰρ ἔν τε τιμῇ καὶ δόξῃ τοῦ ἀνθρώπου τὸν ἄγγελον θαυμαστὸν οὐδὲν, ἢ καὶ τοῦ ἀγγέλου τὸν ἀρχάγγελον· τὸ γεμὴν εἰς τοῦ τὰ πάντα πεποιηκότος ἀναβαίνειν δύνασθαι δόξαν οὐδενὶ τῶν κτισμάτων προσὸν εὑρήσομεν· οὐ γὰρ ἔσται τι τῶν γεγονότων φύσει Θεὸς, οὐδ' ἰσότιμον ἔσται τῷ Δεσπότῃ τὸ δοῦλον, σύνεδρόν τε καὶ συμβασιλεῦον αὐτῷ. ποῖον οὖν ἄρα μέτρον ἔσται τιμῆς τῷ Υἱῷ γενητῷ καθ' ὑμᾶς ὄντι, καὶ ἐκ τοῦ κόσμου τοῦ νοητοῦ τὸ θεοπρεπὲς ἀξίωμα; πῶς δὲ εἰς τὴν αὐτὴν ἀναδραμεῖται δόξαν τῷ κατὰ φύσιν Θεῷ τὸ τοῖς κτίσμασιν ὁμογενὲς, καίτοι τοῦ Θεοῦ 2.17 λέγοντος "Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω." τί δὲ εἰπέ μοι τὸν διάβολον τῶν οὐρανίων ἐξέπεσεν αὐλῶν; ἆρα τὸ δι ψῆσαι τιμὴν πρέπουσαν μὲν φύσει τῇ γενητῇ, τῶν γεμὴν προσόντων αὐτῷ μέτρων τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμείνω καὶ μείζονα, καὶ ἐν τούτοις ἦν αὐτῷ τῶν ἐγκλημάτων ὁ λόγος; ἢ ὅτι τετόλ μηκεν εἰπεῖν "Ἔσομαι ὅμοιος τῷ ὑψίστῳ;" ἐφαντάσθη γὰρ δύνασθαι τὸ ποιηθὲν εἰς τὴν τοῦ ποιήσαντος ἀναβῆναι φύσιν, καὶ σύνθρονον ἔσεσθαι τῷ πάντων ἔχοντι τὸ κράτος Θεῷ. διὰ τοῦτο καὶ πέπτωκεν ὡς ἀστραπὴ, κατὰ τὸ γεγραμ μένον, ἐξ οὐρανοῦ. σὺ δὲ ἡμῖν τοῖς οὕτω σφαλεροῖς ἀφυ λάκτως ἐπιπηδῶν, ἐν τῷ μηδενὶ τίθης τὸ ἔκ τινος κόσμου καθ' ὑμᾶς ὄντα τὸν Υἱὸν, καὶ μέρος διὰ τοῦτο τῆς κτίσεως, ἐν τάξει τιμῆς καλεῖσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς τὸ συνεδρεύειν αὐτῷ, τοῦτο προξενούσης αὐτῷ τῆς οὐσίας οὐδαμῶς, ἀλλ' οὐδὲ ἐπὶ τὸ πρέπον αὐτῇ καὶ χρεωστούμενον καλούσης ἀξίωμα. δέχεται γὰρ, ἂν οὕτως ἔχῃ καθάπερ ὑμεῖς ληροῦντές φατε, ὡς ἐν χάριτος μέρει τὰ ὑπὲρ τὴν κτίσιν. ἄπαγε τῆς δυσφημίας ἄνθρωπε· διακεισόμεθα γὰρ οὐχ οὕτως ἡμεῖς, μὴ δοίη Θεός. ἀγγέλους μὲν γὰρ καὶ ἀρχαγγέλους, καὶ τοὺς ἔτι τούτων ἐν ἀμείνοσι τετιμῆσθαι διαφόρως πιστεύομεν κατ' ἐξουσίαν καὶ βούλησιν τοῦ πανσόφου Θεοῦ, δικαίαν δηλονότι τὴν ἐφ' ἑκάστῳ τῶν γεγονότων ὁρίζοντος ψῆφον· τὸν δὲ κατὰ φύσιν Υἱὸν, οὐκ ἐν τούτοις εἶναι νομιοῦμεν· οὐ γὰρ ἐν χάριτος μέρει καὶ ἐπακτὴν ἔχει τὴν δόξαν, ἀλλ' ἐπείπερ ἐκ τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, Θεὸς ἀληθινὸς ἐκ Θεοῦ τοῦ κατὰ φύσιν καὶ ἀλη θινοῦ, σύνθρονός τε καὶ σύνεδρος ἐστὶν αὐτῷ, πάντα ὑπὸ πόδας ἔχων ὡς Θεὸς, καὶ ἐκ τοῦ Πατρὸς μετὰ τοῦ Πατρὸς καὶ ὅλῃ τῇ κτίσει θεοπρεπῶς ἐποχούμενος. διὰ τοῦτο καὶ 2.18 δικαίως ἤκουεν "Ὅτι τὰ σύμπαντα δοῦλα σά·" ἐπειδὴ δὲ πανταχόθεν Θεὸς ἀληθινὸς ὑπάρχων εὑρίσκεται, δῆλον δήπου πάντως ὡς οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου, τουτέστι, γενητός. ὅλην γὰρ τῶν πεποιημένων τὴν φύσιν ὁ κόσμος ἡμῖν ἐν τούτῳ κατασημαίνει, τὴν ὡς ἐκ μέρους ἐπὶ τὸ σύμπαν τὸ πεποιῆσθαι νοούμενον παραπέμπων σύγκρισιν, ὥσπερ οὖν ἀμέλει πάσης ἑαυτὸν ὑπεξάγων τῆς πρὸς τὴν κτίσιν ὁμοφυΐας ἐν προφήταις ἔφη Θεός "Διότι Θεὸς ἐγώ "εἰμι καὶ οὐκ ἄνθρωπος." καὶ οὐκ ἐπείπερ ἔφη μὴ εἶναι καθ' ἡμᾶς ἄνθρωπος, διὰ τοῦτο πάντως αὐτὸν ἀγγέλοις, ἤγουν ἑτέροις τισὶ τῶν γενητῶν, συντάξομεν, ἀλλ' ἐκ μέρους ἐπὶ τὸ σύμπαν ἰόντες, ἕτερόν τι κατὰ φύσιν ὑπάρχειν ὁμολο γήσομεν τὸν Θεὸν παρὰ πάντα τὰ γενητά. οὕτως οἶμαι δεῖν εὐσεβοῦντας νοεῖν τὰ παρεμπίπτοντα δυσχερῆ· "Βλέπομεν "γὰρ ἐν ἐσόπτρῳ δι' αἰνίγματος," καθάπερ ὁ Παῦλός φησιν. Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. Δι' ὀλίγων ἀνατρέψας τὴν ἀβουλοτάτην τῶν ἐκεῖνα διεν θυμουμένων ὑπόνοιαν, καὶ ληροῦντας ἐφ' ἑαυτῷ πάλιν ἐλέγξας, ἐπάνεισιν ὥσπερ ἐπὶ τὸν ἐξ ἀρχῆς προτεθέντα τῷ λόγῳ σκοπὸν, καὶ ἐν ὅσοις ἔσονται κακοῖς, περιπεσοῦνται δὲ τίσιν, ἀλογώτατα παρωθούμενοι τὸ πιστεύειν αὐτῷ, καὶ εἰσαῦθις ἐπαναλαβὼν ὑποφαίνει. χρῆμα δὲ διδασκάλῳ τῷ σοφῷ καὶ ἐπιεικεῖ πρεπωδέστερον ἂν εἴη καὶ τοῦτο· δεῖν γὰρ οἶμαι τὸν διδάσκοντα, μὴ ταῖς τῶν ἀκροωμένων ἀμαθίαις φιλονεικεῖν, μηδὲ τῆς εἰς αὐτοὺς φροντίδος ὀλιγωρεῖν, εἰ καὶ μὴ λίαν ἑτοίμως παραδέχοιντο τυχὸν τῶν μαθημάτων τὴν γνῶσιν, ἀλλὰ καὶ εἰσαῦθις τὰ αὐτὰ, μᾶλλον δὲ καὶ πολλάκις ἀνακυκλοῦντα λέγειν, καὶ διὰ τῶν αὐτῶν ἰέναι ῥημάτων. 2.19 ἐπείτοι καὶ ὁ τληπαθὴς ἀροτρεὺς ἀνατεμὼν ἔσθ' ὅτε τὴν ἄρουραν, καὶ πόνους ἐν αὐτῇ διηντληκὼς οὐ βραχεῖς, καὶ τὸν σπόρον ἐγκαταχώσας τοῖς αὔλαξιν, ἂν ἴδῃ διεφθαρμένον, παλινδρομεῖ πρὸς ἄροτρον, καὶ τοῖς ἤδη κατεφθαρμένοις ἐπισπείρειν οὐ κατοκνεῖ. διημαρτηκὼς γὰρ ἐν ἀρχῇ τοῦ σκοποῦ πάθοι ἂν οὐ πάντως ἐν γοῦν τοῖς δευτέροις τὰ παραπλήσια. τοιαύτην ἐπασκήσας τὴν ἕξιν καὶ ὁ θεσπέσιος Παῦλός που φησίν "Τὰ αὐτὰ λέγειν ὑμῖν ἐμοὶ μὲν οὐκ "ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές." ὁρᾷς ὅπως ὄκνου κρείττων ὁ διδάσκων εὑρίσκεται, τότε τοῖς ἀκροωμένοις τὸ ἐν ἀσφαλεῖ τῶν ἐπιτηδευμάτων γενέσθαι πολλάκις ἀκολουθεῖ; χρησίμως τοιγαροῦν τὸν πρὸς Ἰουδαίους ἀναμηρυσάμενος λόγον ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὐκ ἐν τοῖς τυχοῦσιν ἔσεσθαι τοῦ μὴ πιστεύειν αὐτῷ τὴν ζημίαν διισχυρίζεται· δεῖν γὰρ πάντως ἐν ἁμαρτίαις ἀποθανεῖν τοὺς ἀπειθοῦντάς φησι, τὸ δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τεθνάναι πεφορτισμένον τοῖς πλημμελήμασιν, ὅτι φλογὶ τῇ παμφάγῳ παραδώσει τὴν τοῦ ἀνθρώπου ψυχὴν, οὐκ ἀμφίλογον. Ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. Ἀκριβέστερον εἰσηγεῖται τὰ συμφέροντα, καὶ φανότατον τῆς σωτηρίας καθιστὰς τὸν τρόπον ὑποδεικνύει λοιπὸν διὰ ποίας ἰόντες ὁδοῦ πρὸς τὴν τῶν ἁγίων ἀναβήσονται ζωὴν, καὶ εἰς τὴν ἄνω γενήσονται πόλιν, τὴν ἐπουράνιον Ἱερου σαλήμ. καὶ οὐ μόνον ὅτι προσήκει πιστεῦσαί φησιν, ἀλλ' ὅτι καὶ εἰς αὐτὸν τοῦτο γενέσθαι δεήσει δισχυρίζεται. δικαι ούμεθα γὰρ πιστεύοντες εἰς αὐτὸν ὡς εἰς Θεὸν ἐκ Θεοῦ, ὡς εἰς Σωτῆρα καὶ λυτρωτὴν καὶ βασιλέα τῶν ὅλων καὶ Κύριον 2.20 ἀληθῶς. ἀπολεῖσθε τοιγαροῦν οὐ πιστεύοντες, φησὶν, ὅτι ἐγώ εἰμι. τὸ δέ Ἐγὼ περὶ οὗ, φησὶν, ἐν προφήταις γέγραπται "Φωτίζου φωτίζου Ἱερουσαλὴμ, ἥκει γὰρ τὸ φῶς σου, καὶ "ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν." ἐγὼ γάρ εἰμί φησιν, ὁ πάλαι πρὸς ἀπόστασιν τῶν ἐν ψυχῇ νοσημάτων βαδίσαι κελεύων, καὶ τὴν ἐξ ἀγάπης θεραπείαν ὑπισχνούμενος διὰ τοῦ λέγειν "Ἐπιστράφητε υἱοὶ ἐπιστρέφοντες, καὶ ἰάσομαι "τὰ συντρίμματα ὑμῶν." ἐγώ εἰμι ὁ τὴν θεοπρεπῆ ἐν σοὶ καὶ πάλαι χρηστότητα καὶ ἀσύγκριτον ἀνεξικακίαν χαριεῖ σθαι δὴ εἰπὼν, διά τε τοῦτο βοῶν "Ἐγώ εἰμι ἐγώ εἰμι ὁ "ἐξαλείφων τὰς ἁμαρτίας σου καὶ οὐ μὴ μνησθήσομαι." ἐγώ εἰμι, φησὶν, ὁ καὶ διὰ τοῦ προφήτου Ἡσαΐου λέγων "Λούσασθε, καθαροὶ γενέσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ "τῶν καρδιῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύ "σασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, καὶ δεῦτε καὶ διαλεχθῶμεν "λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, "ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡσεὶ κόκκινον, ὡς ἔριον "λευκανῶ." ἐγώ φησίν εἰμι, περὶ οὗ πάλιν αὐτός που φησὶν ὁ προφήτης Ἡσαΐας "Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιὼν", ὕψωσον τῇ ἰσχύϊ τὴν φωνὴν ὁ εὐαγγελι "ζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· ἰδοὺ ὁ Θεὸς "ὑμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων "μετὰ κυρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον "ἐνώπιον αὐτοῦ. ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ "τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας "παρακαλέσει." καὶ πάλιν "Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ "τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται, τότε ἁλεῖται ὡς "ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων." ἐγώ εἰμί φησι, περὶ οὗ πάλιν γέγραπται ὅτι "Ἐξαίφνης 2.21 "ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ "ἄγγελος τῆς διαθήκης ὃν ὑμεῖς θέλετε· ἰδοὺ ἔρχεται, λέγει "Κύριος, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς "ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; ὅτι αὐτὸς εἰσπορεύ "σεται ὡς πῦρ ἐν χωνευτηρίῳ καὶ ὡς ποία πλυνόντων." ἐγώ φησίν εἰμι ὁ ὑπὲρ τῆς ἁπάντων σωτηρίας προσάγειν ἐμαυτὸν εἰς θυσίαν αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ διὰ φωνῆς τοῦ μελῳδοῦ καθυπισχνούμενος καὶ βοῶν "Θυσίαν καὶ προσ "φορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώ "ματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας· τότε εἶπον Ἰδοὺ "ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι "τὸ θέλημά σου ὁ Θεός." ἐγώ φησίν εἰμι, καὶ αὐτὸς ὁ διὰ Μωυσέως ἐκήρυττε νόμος οὕτω λέγων "Προφήτην ἐκ τῶν "ἀδελφῶν σου ὡς ἐμὲ ἀναστήσει σοι Κύριος ὁ Θεός σου, "αὐτοῦ ἀκούσεσθε· κατὰ πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου "τοῦ Θεοῦ σου ἐν ὄρει ἐν Χωρὴβ ἐν ἡμέρᾳ τῆς ἐκκλησίας." οὐκοῦν εὐλόγως ἀπολεῖσθε, φησὶ, καὶ δικαιοτάτην ἀποτίσετε τῷ κρίνοντι δίκην τὸν διὰ πολλῶν μὲν ὑμῖν προκεκηρυγμένον ἁγίων, μαρτυρηθέντα δὲ καὶ δι' ὧν ἐργάζομαι διὰ πολλὴν ἀνοσιότητα τρόπων οὐ προσηκάμενοι. καὶ γὰρ δὴ καὶ κατὰ ἀλήθειαν οὐδεὶς ἐξαλεῖται λόγος τοῦ κολάζεσθαι δεῖν τοὺς ἀπειθοῦντας αὐτῷ, πεπληρωμένης μὲν τῆς θεοπνεύστου γραφῆς τῶν περὶ αὐτοῦ μαρτυριῶν τε καὶ λόγων, καὶ αὐτοῦ δὲ συνῳδὸν τοῖς πάλαι χρησμῳδουμένοις τὴν ἀπὸ τῶν ἔργων παρεχομένου λαμπρότητα. Ἔλεγον οὖν αὐτῷ Σὺ τίς εἶ; Πρόεισι πάλιν αὐτοῖς ἐξ ἀλαζονείας ὁ λόγος ἀγριωτάτῃ συγκεκραμένον ὀργῇ. φιλοπευστοῦσι γὰρ οὐχ ἵνα μαθόντες πιστεύσειαν, ἀλλ' ἐκ πολλῆς ἀπονοίας μονονουχὶ καὶ ἐπιπη 2.22 δῶσι Χριστῷ.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁπλούστερον μὲν γὰρ τό Ἐγώ εἰμί φησιν αὐτὸς, οὐ προσθεὶς ὅτι Θεὸς ἐκ Θεοῦ, ἀλλ' οὐδὲ ἕτερόν τι τῶν ὅσα τὴν ἐνοῦσαν αὐτῷ κατασημαίνει δόξαν· ὑφειμένως δὲ πάλιν καὶ κόμπου δίχα παντὸς μόνον ἐκεῖνό φησι, τό Ἐγώ εἰμι, προστιθέναι τὸ λεῖπον ἐπιτρέψας τοῖς εὐμαθε στέροις· οἱ δὲ πρὸς ἐκτοπωτάτην καὶ ἀχάλινον χωροῦσι μανίαν, καὶ ἐξ ἀμέτρου τῆς ὑπεροψίας μονονουχὶ καὶ δια κόπτουσιν οὔπω πρὸς τέλος ἐλάσαντα τοῦ Σωτῆρος τὸν λόγον, ἐπιτιμῶσι δὲ ὥσπερ καὶ μεταξὺ διαλαβόντες φασί Σὺ τίς εἶ; τοῦτο δὲ ἦν εἰπεῖν ἐναργῶς Μὴ ἄρα τι μεῖζον ὧν ἴσμεν ἡμεῖς περὶ σεαυτοῦ φρονῆσαι τολμᾷς; οἴδαμέν σε τοῦ τέκτονος υἱὸν, ἀνδρὸς εὐτελοῦς καὶ πενιχροτάτου, ἀσήμου παρ' ἡμῖν καὶ οὐδενὸς παντελῶς. κατακρίνουσι τοιγαροῦν ὡς οὐδὲν ὄντα τὸν Κύριον ὁρῶντες εἰς μόνον τὸ κατὰ σάρκα γένος, τὴν δὲ ἐκ τῶν ἔργων μεγαλοπρέπειαν, ἀλλ' οὐδὲ τὴν ἄνωθεν καὶ ἐκ Θεοῦ γέννησιν, οὐδ' ὅσον εἰς νοῦν δεξάμενοι, ὅθεν ἦν μάλιστα Θεὸν ὄντα κατὰ φύσιν ἐπιγινώσκειν αὐτόν· τίς γὰρ ἂν εἰργάσατο τὰ μόνῳ πρέποντα Θεῷ; μὴ οὐχὶ καὶ αὐτὸς ὑπάρχων κατὰ φύσιν Θεός; εἰργάζετο δὲ ὁ Χριστός· ἦν οὖν ἄρα, καὶ ἔστι Θεὸς, καὶ ἐν σαρκὶ γεγονὼς ὑπὲρ τῆς ἁπάντων σωτηρίας καὶ ζωῆς. ἀλλ' οἱ μόναις ταῖς ἑαυτῶν δυσβουλίαις πειθόμενοι, τῆς δὲ θείας ἡμῶν καὶ θεοπνεύστου γραφῆς λόγον οὐδένα λαβόντες πώποτε, ἐφ' οἷς ἔδει μᾶλλον εὐχαριστεῖν, ἐπὶ τούτοις αὐτὸν κατασμικρύνουσι, μὴ εἰδότες "μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται." Στήσαντες τοίνυν εἰς τό Σὺ μετ' ἐμφάσεως τὴν ὑπο στιγμὴν, καὶ τὴν καλουμένην ὀξεῖαν ἀναπέμψαντες, ὡς ἐν ἐρωτήσει μετὰ θαύματος ἐκδεχόμεθα τὸν λόγον· φασὶ γὰρ τό Σύ, οἱονεί Ὁ μηδεὶς ὢν ὅλως, καὶ τοῦτο παρ' ἡμῖν 2.23 γινωσκόμενος, ὁ εὐτελὴς καὶ ἐξ εὐτελῶν, τί περὶ σεαυτοῦ λαμπρὸν ἔχεις εἰπεῖν, τί δὲ ἄξιον λόγου τῶν περὶ σοῦ; τῆς γὰρ Ἰουδαϊκῆς ἀπονοίας οὐδὲν τῶν τοιούτων τολμημάτων ἀλλότριον. Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν. Ἀτιμάζομαι, φησὶ, καίτοι καλῶν εἰς αἰώνιον ζωὴν, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ἀπόθεσιν θανάτου καὶ φθορᾶς, εἰς ἁγιασμὸν, εἰς δικαιοσύνην, εἰς δόξαν, εἰς καύχημα πρὸς υἱο θεσίαν Θεοῦ· ἀλλὰ καὶ τούτοις ἅπασι στεφανοῦν ἐθέλων ὑμᾶς, ἐν τῷ μηδενὶ κατατέταγμαι λόγῳ, καὶ εὐτελὴς οὕτω λελόγισμαι παρ' ὑμῖν· ἀλλὰ ναὶ δίκαια πάσχω, φησὶν, ὅτι καὶ λόγου παρ' ὑμῖν ἐποιησάμην ἀρχὴν ὅτι καὶ προσπεφώνηκά τι τῶν εἰδότων ὠφελεῖν, καὶ διασώζειν ἐβουλευσάμην τοὺς οἵπερ ἔμελλον εἰς τοσαύτην κατοιχήσεσθαι μοχθηρίαν, ὡς πικρὰς ἀμοιβὰς ἀποδιδόναι φιλεῖν τῷ διασώζειν αὐτοὺς ᾑρημένῳ. Ἔοικε δέ τι καὶ ἕτερον ἡμῖν διὰ τούτων ὑποδηλοῦν ὁ Χριστός. ἔδει γάρ με, φησὶν, οὐχ ὑμῖν ὅλως προσλαλῆσαι κατὰ τὴν ἀρχὴν, ἐκείνοις δὲ μᾶλλον τοῦτο χαρίζεσθαι τοῖς μέλλουσι καὶ λίαν ἀσμένως ἐφήδεσθαι λόγοις, καὶ ἀμελλητὶ τὸν αὐχένα τοῖς εὐαγγελικοῖς ὑποζεῦξαι διατάγμασι. σημαίνει δὲ διὰ τούτων τῶν ἐθνῶν τὴν πληθύν. ὅταν δὲ τὰ τοιαῦτα λέγοντα νοῶμεν αὐτὸν, παραφυλαξόμεθα πάλιν τῶν δι' ἐναν τίας τὸν λόγον· ἐρεῖ γάρ τις τυχὸν τῶν εἰωθότων χριστομαχεῖν Εἰ μὴ τοῖς Ἰουδαίοις προσλαλεῖν ἐν ἀρχῇ, μᾶλλον δὲ τοῖς ἔθνεσιν ἔδει, διήμαρτεν ἄρα τοῦ πρέποντος ὁ Υἱὸς, οὐχὶ τοῦτο μᾶλλον, ἀλλ' ἐκεῖνο διαπεπραχώς. ἀλλ' ἐροῦμεν πρὸς τοῦτο πάλιν Οὐκ εἰς μετάγνωσιν τῶν ἰδίων, ἢ τῶν τοῦ Πατρὸς θελημάτων ἐλθὼν ὁ Υἱὸς, τὰ τοιαῦτά φησιν, ἀλλ' 2.24 οὐδὲ ὡς ἔξω βεβηκὼς τοῦ πρέποντος τῇ οἰκονομίᾳ πράγ ματος, οὐ γὰρ ἂν ἐβουλεύσατό τι Θεὸς, ὃ μὴ πάντως ἦν γενέσθαι καὶ πρέπον· διὰ δὲ τοῦ λέγειν, ὡς οὐχ ὑμῖν ἔδει λαλῆσαι κατὰ τὴν ἀρχὴν, οὐδὲ θεμέλιον ὥσπερ καταβαλέσθαι παρ' ὑμῖν τῆς σωτηριώδους διδασκαλίας, ἀληθῆ καὶ φιλάν θρωπον κατὰ φύσιν ὑπάρχοντα καὶ τὸν Πατέρα δεικνύει καὶ ἑαυτόν. ἰδοὺ γὰρ, καίτοι μὴ οὖσιν ἀξίοις τοῖς ἀνοσίοις Ἰουδαίοις τὸν σωτήριον ἐχαρίζετο λόγον, ἐν δευτέρῳ κατα τάξας τόπῳ τῶν ἐθνῶν τὴν πληθὺν, καίτοι λίαν εὐπετέστερον καὶ πιστεύειν αὐτῷ καὶ πείθεσθαι μελετήσασαν. Τί οὖν ἄρα τὸ ἀναπεῖσαν αὐτὸν τὸν σκληροτράχηλον τῶν Ἰουδαίων λαὸν τῶν ἑτέρων προτάξαι καὶ προτιμᾶν; πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοὺς ἐποιήσατο τῆς ἀφίξεως τὴν ἐπαγγελίαν διὰ τῶν ἁγίων προφητῶν, αὐτοῖς ἡ χάρις διὰ τοὺς πατέρας ὠφείλετο. διὰ τοῦτο καὶ ἔφασκεν "Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρό "βατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·" καὶ πρὸς γυναῖκα δὲ τὴν συροφοινίκισσαν "Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν "τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις." οὐκοῦν ὁ μὲν Ἰσραὴλ ἐκ τούτου τετίμηται, καὶ προτέτακται τῶν ἐθνῶν, καίτοι σκαιοτέραν ἔχων τὴν γνώμην. ἐπειδὴ δὲ ἠγνόησε τὸν ἁπάντων Δεσπότην, καὶ τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν τὸν τελειωτὴν, μετέστη λοιπὸν ἐπὶ τὰ ἔθνη τῆς διδασκαλίας ἡ χάρις, οἷς ἐχρῆν κατὰ τὴν ἀρχὴν καὶ ἐν πρώτοις προσδια λεχθῆναι τὸν Κύριον, οὐχ ὅσον εἰς τὴν ὑπόσχεσιν τὴν εἰς τοὺς πατέρας γεγενημένην, ἀλλ' ὅσον εἰς τὴν ἐνοῦσαν αὐτοῖς εὐπείθειαν. Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν. Καταδικαζόντων αὐτοῦ τῶν Ἰουδαίων προαλέστερον, καὶ οὐδενὶ μὲν ἐχόντων τὸ παράπαν ἐγκαλεῖν, ἐπὶ μόνῃ δὲ τῇ 2.25 εὐτελείᾳ τοῦ κατὰ σάρκα γένους ἐξωφρυωμένων, διά τε τοῦτο τὸ μηδὲν εἶναι λεγόντων αὐτὸν, ἐδυσώπει πράως, καὶ ἐν τοῖς ἀνωτέρω γυμνότερον εἰπών "Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, "ἐγὼ κρίνω οὐδένα." τὸ δὲ κρίνειν κατὰ τὴν σάρκα, τοι αύτην ἂν ἔχοι τὴν διάνοιαν εἰκότως· οἱ γὰρ μόνα θαυμά ζοντες τὰ ἐπίγεια, τῶν μὲν οὐρανίων ἀγαθῶν ὁρῶσιν οὐδὲν, εἰς μόνην δὲ τὴν τῷδε τῷ βίῳ λαμπρότητα βλέποντες, τὸν πλουτοῦντα θαυμάζουσιν, ἤτοι τὸν ἑτέροις τισὶ δοξαρίοις ἐπικομπάζοντα· ἀλλ' οἵ γε κατὰ τὸν τοῦ Θεοῦ νόμον τὰς τῶν πραγμάτων διευκρινόμενοι φύσεις, τῶν ἀξιεράστων ὄντως καὶ ἀξιοζηλώτων ἀνθρώπων ἐκεῖνον εἶναί φασιν, ᾧ τὸ βούλεσθαι βιοῦν ἐνυπάρχει κατὰ τὴν τοῦ πεποιηκότος βουλήν τε καὶ θέλησιν. ἀδικήσει γὰρ οὐδὲν τὴν τοῦ ἀνθρώ που ψυχὴν ἀγαθουργεῖν εἰθισμένην τὸ κατὰ σάρκα σμικρο πρεπὲς, ὠφελήσει δὲ καὶ ἐκ τῶν ἐναντίων οὐδὲν τοὺς διαζῆν ἐννόμως παραιτουμένους ἡ ἐν τῷδε τῷ βίῳ λαμπρότης καὶ τὸ ἐκ πλούτου περιφανές. κρίνουσι τοιγαροῦν κατὰ τὴν σάρκα, καθάπερ οὖν ἀρτίως ἐλέγομεν, οἱ μὴ βλέποντες εἰς ἁγιότητα, μὴ πολιτείαν, μὴ τρόπους εἰωθότες δοκιμάζειν, ἀλλ' εἰς μόνα τὰ ἐπίγεια τὸν οἰκεῖον παρατρέποντες νοῦν, καὶ παντὸς ἀξιοῦντες θαύματος τὸν ἐν πλούτῳ καὶ τρυφῇ τεθραμμένον. ὑμεῖς οὖν, ὦ παραφρονέστατοι τῶν Ἰουδαίων καθηγηταὶ, καίτοι νόμῳ τῷ διὰ Μωυσέως πρὸς τὴν ἐπὶ τὸ δικάζειν ἀκρίβειαν παιδαγωγούμενοι, κατεγνωκότες ἐπ' οὐδενὶ διὰ μόνην τὴν τῆς σαρκὸς εὐτέλειαν κατακρίνετε τὸν διὰ πολλῶν ὑμῖν παραδόξων ὀφθέντα Θεόν. ἐγὼ δὲ τὴν ὑμετέ ραν ἀπαιδευσίαν οὐ μιμήσομαι, οὐδὲ τοιαύτην περὶ ὑμῶν ἐξοίσω τὴν ψῆφον· οὐδὲν μὲν γὰρ ὅλως ἡ ἀνθρώπου φύσις. τί γὰρ ἂν εἴη τὸ ἐπίκηρον τουτὶ καὶ ἀπὸ γῆς σῶμα; σαπρία καὶ σκώληξ καὶ ἕτερον οὐδέν. ἀλλ' οὐ διὰ ταύτην ὑμᾶς τὴν αἰτίαν κατακρινῶ, οὐδὲ ἐπείπερ ἄνθρωποι κατὰ φύσιν ἐστὲ, 2.26 διὰ τοῦτο πάντως ὑμᾶς καὶ περιπτύεσθαι δεῖν ὁριῶ· ἔχω πολλὰ περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν, τουτέστι, πλουτεῖ πᾶς ὁ λόγος ὁ κατηγορῶν ἐφ' ὑμῖν, οὐχ ἓν ἐγκαλέσω μόνον, ἀλλὰ πολλὰ, καὶ ἐπ' οὐδενὶ διαψεύσομαι, καθάπερ ὑμεῖς. ἔχω κρί νειν ὡς ἀπειθεῖς, ὡς ἀλαζόνας, ὡς ὑβριστὰς, ὡς θεομάχους, ὡς ἀγνώμονας, ὡς ἀχαρίστους, ὡς πονηροὺς, ὡς φιληδο νοῦντας μᾶλλον ἢ φιλοθεεῖν εἰθισμένους, ὡς "δόξαν παρ' "ἀλλήλων λαμβάνοντας, τὴν δὲ δόξαν τὴν παρὰ τοῦ μόνου "οὐ ζητοῦντας·" ὡς ἐμπυρίσαντας τὸν νοητὸν ἀμπελῶνα, ὡς μὴ βοσκήσαντας κατὰ λόγον τὴν ἐγχειρισθεῖσαν ὑμῖν ἀγέλην παρὰ Θεοῦ, ὡς μὴ χειραγωγήσαντας ἐπὶ τὸν διὰ νόμου καὶ τῶν προφητῶν κηρυττόμενον, τουτέστιν, ἐμέ. τοιαῦτα μὲν ὁ Σωτὴρ τοῖς Ἰουδαίοις ἐπιφθέγξαιτο· προσ τιθεὶς δὲ τό Πολλὰ ἔχω λέγειν περὶ ὑμῶν ἔτι καὶ κρίνειν, ὑπα πειλεῖ πως αὐτοῖς, ὡς ἀναδειχθήσεταί ποτε Κριτὴς, ὁ μηδὲν εἶναι δοκῶν παρ' ἐκείνοις διὰ τὴν σάρκα. Ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι, κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λαλῶ εἰς τὸν κόσμον. Ἐῤῥῶσθαι φράσας ταῖς Ἰουδαίων ἀπαιδευσίαις, καὶ τοὺς ἀνέδην αὐτῷ διαλοιδορήσασθαι τολμήσαντας, ἐν τῷ μηδενὶ λογισάμενος, ἐπάνεισιν ὥσπερ ἐπὶ τὸ ἐξ ἀρχῆς, τὸ μὲν κρίνειν ἤδη τὰ κατ' αὐτοὺς, καὶ τὴν ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτῳ παῤῥησίαν οὐ τῷ παρόντι μᾶλλον, ἀλλὰ τῷ πρέποντι τηρήσας καιρῷ, καὶ τῷ τῆς ἐπιδημίας τρόπῳ τὸν ἴδιον ἀποσώσας σκοπόν· οὐ γὰρ ἦλθεν ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον, ὡς αὐτός που φησί. διάτοι τοῦτο καὶ ἀπρὶξ τῶν αὐτῷ πρεπόντων ἐχόμενος, καὶ τὸν εἰς σωτηρίαν καλοῦντα πάλιν ἀναμηρυσάμενος λόγον, ἐπιτείνει τὴν παραίνεσιν. ἐν τούτῳ 2.27 γὰρ μάλιστα θαυμάζειν ἄξιον τῆς τε ἀνεξικακίας τὸ μέτρον, καὶ τῆς ἐνούσης αὐτῷ φιλανθρωπίας τὴν ὑπερβολήν· διὰ τοῦτο καὶ ὁ Πέτρος ἐπιστέλλει περὶ αὐτοῦ "Ὃς λοιδορού "μενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ "τῷ κρίνοντι δικαίως." οὐκοῦν ἀναλώσω φησὶ τὸν πρὸς ὑμᾶς νῦν μάλιστα λόγον, οὐκ ἐφ' οἷς ὑμῖν ἔθος· εἰς φιλο ψογίας δηλονότι καὶ τὴν ἐπ' οὐδενὶ τῶν χρησίμων τριβήν· ἀλλὰ τὸ κρίνειν ὑμᾶς καιρῷ τηρήσας τῷ πρέποντι, τῶν ὑμῖν συμφερόντων ἀνθέξομαι, καὶ τῆς εἰς ὑμᾶς οὐκ ἀποστήσομαι φειδοῦς, κἂν ἐξ ἀπονοίας τῆς ἐνούσης ὑμῖν ἀσυνέτως ὑβρί ζετε. ἔλεγον τοίνυν πρὸς ὑμᾶς ἀρτίως "Ἐγώ εἰμι τὸ φῶς "τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ "σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς·" ἐπὶ τούτῳ παρα λόγως ἀσχάλλοντες ἀνεπηδᾶτε δριμεῖς "Σὺ περὶ σεαυτοῦ "μαρτυρεῖς, ἀναβοῶντες ἐκτόπως, ἡ μαρτυρία σου οὐκ ἔστιν "ἀληθής." πρὸς δὴ τὰ τοιαῦτα πάλιν ἐγώ "Κἂν ἐγὼ μαρ "τυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι "οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω." ἀλλ' εἰ δοκῶ τις εἶναι φορτικὸς, ταῦτα λέγων ἐν ὑμῖν, εἰ μὴ δεκτός εἰμι μάρτυς περὶ τῶν ἐμοὶ προσόντων ἀξιωμάτων φυσικῶν, ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ ταῦτα λαλῶ εἰς τὸν κόσμον. ταυτολογῶ, φησὶ, τῷ πέμψαντί με Πατρὶ, συνῳδὰ τοῖς ἐκείνου φθέγγομαι ῥήμασιν, ὅτι φῶς εἰμι κατὰ φύσιν εἰπών. ἅπερ οὖν ἤκουσα λέγοντος περὶ ἐμοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, ταῦτα λαλῶ εἰς τὸν κόσμον. οὐκοῦν εἰ ψεύδομαι καθ' ὑμᾶς, καὶ οὐκ ἀληθής ἐστιν ἡ μαρ τυρία μου, προεψεῦσθαι πάντως ἀναγκαῖον ὑμᾶς εἰπεῖν τὸν Πατέρα. ἀλλ' ἔστιν ἀληθής· οὐκοῦν οὐ διέψευσμαι, καὶ εἰ μὴ τοῖς παρ' ἐμοῦ καταπείθησθε λόγοις, δυσωπήθητε, φησὶ, τὰς τοῦ πέμψαντός με φωνάς. τί γὰρ ἔφη περὶ ἐμοῦ; "Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ·" καὶ πάλιν πρὸς τοὺς 2.28 σεβομένους αὐτόν "Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ "ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν "αὐτοῦ·" πρὸς ἐμὲ δή φησιν, ὃν οὐκ εἰδότες ὑβρίζετε "Ἰδοὺ "δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν." ἀλλ' ὅτι καὶ φῶς εἰμι πρὸς ὑμᾶς ἐλέγετο παρ' αὐτοῦ "Φωτίζου "φωτίζου γάρ φησιν, Ἱερουσαλὴμ, ἥκει γάρ σου τὸ φῶς, "καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε." ταῦτα λέγοντος ἤκουσα περὶ ἐμοῦ τοῦ ἀποστείλαντός με Πατρὸς, κἀγὼ διὰ τοῦτο φῶς ἐμαυτὸν εἶναι τοῦ κόσμου φημὶ, ὑμεῖς δὲ διὰ μόνην τὴν σάρκα κατεσμικρύνατε κρίναντες οὐκ ὀρθῶς, καὶ διὰ τοῦτο λέγειν ἀποτολμᾶτε συχνῶς "Σὺ περὶ σεαυτοῦ "μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής." Οὐκοῦν· ἀνακεφαλαιώσασθαι γὰρ ὅλην ἀκόλουθον τὴν ἐν τῷ προκειμένῳ διάνοιαν· θεομαχοῦντας ἀντικρὺς ἀπο φαίνει τοὺς Ἰουδαίους, καὶ οὐ μόνον ταῖς παρ' αὐτοῦ μαχο μένους φωναῖς, ἀλλὰ καὶ ψήφῳ τῇ παρὰ τοῦ Πατρός· ὁ μὲν γὰρ φῶς οἶδεν ὄντα κατὰ φύσιν τὸν ἴδιον Υἱὸν, καὶ ἀνατολὴν καὶ ἥλιον δικαιοσύνης διὰ τοῦτο καλεῖ· οἱ δὲ τὸν ἐξ ἀπει θείας ὄλεθρον ταῖς ἑαυτῶν ἐπισύροντες κεφαλαῖς ἀποδοκι μάζουσι τὴν ἀλήθειαν, "τὸ καλὸν λέγοντες πονηρὸν," καὶ διά τοι τοῦτο δικαίως αὐτοῖς ἀκολουθήσει τό Οὐαί. Οὐκ ἔγνωσαν ὅτι τὸν Πατέρα αὐτοῖς ἔλεγε. Καταπλήττεται πάλιν τὴν τῶν Ἰουδαίων ἀναισθησίαν ὁ πνευματοφόρος, καὶ μάλα εἰκότως· τί γὰρ ἂν γένοιτο τῶν τοιούτων ἀνοητότερον, οἵ γε καὶ μακροῦ πολλάκις πρὸς αὐτοὺς γεγονότος λόγου περὶ τοῦ Θεοῦ καὶ Πατρὸς, οὐδὲν ἐννοοῦσι περὶ αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν ἀκροώμενοι λέγοντος "Ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι." τίς οὖν ἡ πρόφασις, 2.29 καὶ διὰ ποίαν αἰτίαν ὁ μακάριος Εὐαγγελιστὴς οὐκ ἔγνω κέναι φησὶν Ἰουδαίους ὅτι τὸν Θεὸν αὐτοῖς καὶ Πατέρα διὰ τούτων ἐσήμανεν ὁ Χριστὸς, ἀναγκαῖον εἰπεῖν. ἐπειδὴ γὰρ ἔφη πρὸς αὐτοὺς ὁ Σωτήρ "Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα "μου ἂν ᾔδειτε," ἵνα κἀν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτῳ πάλιν ἀληθῆ λέγων εὑρί σκηται, τοὺς ἀγνοήσαντας τὸν Υἱὸν, ἀγνοοῦντας εἰσφέρει καὶ τὸν Πατέρα. θύρα γὰρ ὥσπερ καὶ πύλη τις ἐστὶ τῆς εἰς τὸν Πατέρα γνώσεως ὁ Υἱός· διὰ τοῦτο καὶ ἔλεγεν "Οὐδεὶς "ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ." ὡς γὰρ ἐξ εἰκόνος ἐπὶ τὸ ἀρχέτυπον ἀνατρέχων ὁ νοῦς ἐκ τοῦ παρεμ πίπτοντος ἐκεῖνο φαντάζεται. ἦν οὖν ἀναγκαῖον ἐπιδεῖξαι τοὺς Ἰουδαίους οὐδὲν ἐννοοῦντας περὶ Πατρὸς, ἐπείπερ οὐκ ἠθέλησαν ἀναγώγως ἀπὸ τῆς γνώσεως τῆς τοῦ Υἱοῦ πρὸς τὴν ἐκείνου χειραγωγεῖσθαι κατάληψιν. διὰ τοῦτο γοργῶς ὁ Εὐαγγελιστὴς μονονουχὶ καὶ ἐπισημαίνεται, ὅτι λέγοντος τοῦ Χριστοῦ Ὁ πέμψας με ἀληθής ἐστιν, οὐκ ἔγνωσαν ὅτι τὸν Πατέρα αὐτοῖς ἔλεγεν. Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. Τοὺς τῶν ἰατρῶν ἀρίστους ἀπομιμούμενος, τῆς ἐνούσης αὐτοῖς κατὰ ψυχὴν ἀῤῥωστίας ἀπογυμνοῖ τὴν πρόφασιν, καὶ τὸ διακωλύον αὐτοὺς εἰς τὴν ἐπ' αὐτῷ σύνεσίν τε καὶ πίστιν ἰέναι γοργῶς, ἀποκαλύπτει σαφῶς. ἐπειδὴ γὰρ εἴς τε τὴν σάρκα καὶ τὸ ἐντεῦθεν βλέποντες γένος, μικρά πως φρονεῖν ἀνεπείθοντο περὶ αὐτοῦ, κάλυμμα δὲ τοῦτο τοῖς τῆς διανοίας ἔχοντες ὀφθαλμοῖς, οὐκ ᾔδεσαν ἂν ὄντα Θεὸν, καὶ εἰ πέφηνεν ἄνθρωπος, ἀναγκαίως αὐτοῖς προσεφώνει λέγων Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου τότε γνώσεσθε ὅτι ἐγώ 2.30 εἰμι, τουτέστιν, ὅταν τῆς ἐπ' ἐμοὶ μικρᾶς τε καὶ χαμαιπετοῦς ἀποπαύσησθε διαλήψεως, ὅταν ὑψηλόν τε καὶ ὑπέργειον φρονήσητε περὶ ἐμοῦ, καὶ Θεὸν ἐκ Θεοῦ πεφηνότα πιστεύ σητε, εἰ καὶ γέγονα δι' ὑμᾶς ἄνθρωπος καθ' ὑμᾶς, τὸ τηνι κάδε διαγνώσεσθε σαφῶς, ὅτι ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· τοῦτο γὰρ εἰς ὑμᾶς ἔλεγον ἀρτίως· τί γὰρ ἂν ἔτι διακω λύσαι, φησὶ, τὸν ὅλως παραδεχθέντα Θεὸν ὑπάρχειν ἀλη θινὸν, καὶ φῶς εἶναι τοῦ κόσμου; οὐ γὰρ δὴ πρὸς τοσαύτην κατοιχηθήσεταί τις μανίαν καὶ θράσος, ὡς καὶ τότε φάναι τολμᾶν "Ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής·" ψευδηγορήσει γὰρ οὐδαμῶς ἐφ' οἷσπερ ἂν λέγῃ Θεὸς φύσει καὶ ἀληθινός. Ἔστι τοίνυν προδηλότατον καὶ ἐκ τῶν τοῦ Σωτῆρος ῥημάτων, ὅτι σμικρὰν ἔχοντες ἐπ' αὐτῷ τὴν ὑπόνοιαν, καὶ ἄνθρωπον εἶναι γυμνὸν, ἔρημόν τε τῆς κατὰ φύσιν θεότητος διενθυμούμενοι, πάντως δήπου καὶ ἀπιστήσομεν εἰκότως αὐτῷ, καὶ οὐ παραδεξόμεθα Σωτῆρα καὶ λυτρωτήν. εἶτα τί τὸ ἐντεῦθεν; τῆς ἐλπίδος ἀποπεπτώκαμεν. εἰ γὰρ διὰ πίστεως ἡ σωτηρία, φρούδη δὲ ἡ πίστις, τί τὸ διασῶζον ἔτι; πιστεύοντες δὲ καὶ εἰς ὕψος αἴροντες τὸ θεοπρεπὲς τὸν Μονογενῆ, καὶ εἰ γέγονεν ἄνθρωπος, ἐξ οὐρίας ὥσπερ ἐρχόμενοι, καὶ τὸ παγχάλεπον τοῦ βίου διαθέοντες πέλαγος, πρὸς τὴν ἄνω μεθορμισόμεθα πόλιν, τὰς ἐκ τοῦ πιστεύειν τιμὰς ἐκεῖ κομιούμενοι. ΑΛΛΩΣ ΤΟ ΑΥΤΟ. Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. Πολλοῖς τε καὶ ἀγαθοῖς περιαντλήσας λόγοις τὸν τῶν Ἰουδαίων θυμὸν, σφριγῶντα πάλιν οὐδὲν ἧττον ὁρᾷ. δυσφη 2.31 μοῦντες γὰρ ἀφυλάκτως οὐ καταλήγουσιν, ἀλλὰ ποτὲ μὲν ἄκυρον αὐτοῦ ποιοῦσι τὴν φωνὴν, καὶ ψεύστην ἀποκαλοῦσι δυσσεβῶς· τὸ γὰρ ὅλον εἰπεῖν "Ἡ μαρτυρία σου οὐκ ἔστιν "ἀληθὴς," τί ἂν ἕτερον εἴη λοιπὸν ἢ τοῦτο; ποτὲ δὲ πάλιν ἐξ ἀγάπης αὐτοῖς τὰ εἰς σωτηρίαν εἰσηγουμένῳ, καὶ διὰ τοῦτο λέγοντι, ὅτι "Ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀπο "θανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν," ἀντηγείροντο θερμῶς, καὶ τοῖς ἐξ ἀγάπης αὐτοῖς ῥήμασι τοὺς ἐξ ἀπονοίας ἀντεξά γοντες λόγους, ἔφασκον Σὺ τίς εἶ; ἔδει τοίνυν τοῖς ἀκράτως οὕτως ἐγκεκυλισμένοις εἰς παράλογον θράσος τοῦ σωφρονί ζοντος λόγου, καὶ μετριώτερον ἔχειν ἀναπείθοντος φρόνημα, χαλινὸν δὲ λοιπὸν ἐπιτιθέντος καὶ οὐχ ἑκούσῃ τῇ γλώττῃ. διὰ ταύτην αὐτοῖς ἠπείλει τὴν αἰτίαν ἐναργέστατα λέγων ὡς οὐ διαφεύξονται τὴν ἐφ' οἷς δυσσεβοῦσι κόλασιν, ἀλλ' εἰ καὶ πρὸς τὸ παρὸν ἀνεξικακοῦντα βλέπουσιν, ἀλλ' εἰς πέρας αὐτοῖς τὸ δεινὸν διεξοιχομένης τῆς εἰς αὐτὸν δυσσεβείας, τουτέστι τοῦ θανάτου καὶ τοῦ σταυροῦ, πάνδεινον ὑποστή σονται δίκην, καὶ ἀφόρητον ἀντιδέξονται συμφορὰν, τὴν ἐκ τοῦ πολέμου δηλονότι τοῦ πρὸς Ῥωμαίους, ὃς αὐτοῖς μετὰ τὸν τοῦ Σωτῆρος συνέβη σταυρὸν ἐξ ὀργῆς τῆς ἄνωθεν παρὰ Θεοῦ. ὅτι δὲ ἔμελλον ὑπομεῖναι τὰ παγχάλεπα,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σαφέ στερόν που πάλιν αὐτοῖς ὁ Σωτὴρ κατεσήμαινε λέγων, ποτὲ μὲν πρὸς τὰς κλαιούσας γυναῖκας "Θυγατέρες Ἱερουσαλὴμ, "μὴ κλαίετε ἐπ' ἐμοὶ, κλαίετε δὲ ἐφ' ὑμᾶς καὶ ἐπὶ τὰ τέκνα "ὑμῶν·" ποτὲ δὲ πάλιν "Ὅταν ἴδητε κυκλουμένην ὑπὸ "στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε ἐρεῖτε τοῖς ὄρεσι "Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς Πέσατε ἐφ' ἡμᾶς." εἰς τοῦτο γὰρ Ἰουδαίοις τὰ ἐκ τοῦ πολέμου περίεστι πάθη, ὡς τῆς ἐκείνων πείρας πᾶν εἶδος θανάτου γενέσθαι γλύκιόν τε καὶ αἱρετώτερον· τὴν δὲ τῆς χώρας αὐτῶν ἐξανάστασιν, καὶ 2.32 τῶν ἐνοικούντων αὐτὴν τούς τε ἐξανδραποδισμοὺς, καὶ τὴν ὠμοτάτην σφαγὴν, καὶ τοὺς ἐν ἑκάστῃ πόλει λιμοὺς, τάς τε ἐν αὐταῖς τεκνοφαγίας, ἱστορεῖ καὶ Ἰώσηπος ἐν οἰκείοις συγ γράμμασι. ὅταν οὖν, φησὶ, σταυρῷ παραδόντες τὸν υἱὸν τοῦ ἀνθρώπου τὴν ἀντίῤῥοπον ὑπομείνητε κόλασιν, καὶ τῶν εἰς ἐμὲ τολμημάτων ἰσοστάθμους ἀντεκτίσητε δίκας, τότε κλαί οντες γνώσεσθε ὅτι ἐγώ εἰμι ὁ πάντα ἰσχύων, δηλονότι Θεός. εἰ γὰρ στρουθίον ἓν ἀθεεὶ πρὸς παγίδα τοῦ θηρεύοντος οὐκ εἰσβήσεται, πῶς δ' ἂν ὅλη χώρα, φησὶ, καὶ ἔθνος τὸ ἠγαπη μένον, πρὸς ὄλεθρον οὕτως βαδιεῖται παντελῆ, μὴ οὐχὶ πάντως τοῦτο γενέσθαι κατανεύσαντος τοῦ πάντων κρα τοῦντος Θεοῦ; κακὸν οὖν ἄρα καὶ πάνδεινον ἡ Θεοῦ κατα φρόνησις εἰς πέρας ἄγουσα τῶν ἀπεύκτων. διὸ καὶ ὁ Παῦλός τισιν ἐπιπλήττει λέγων ὡς περὶ Θεοῦ "Ἢ τοῦ "πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς "μακροθυμίας αὐτοῦ καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν "τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει, κατὰ δὲ τὴν σκληρότητά "σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν "ἐν ἡμέρᾳ ὀργῆς." ΑΛΛΩΣ ΤΟ ΑΥΤΟ. Μακροὺς διετέλεσε χρόνους τοῖς Ἰουδαίοις συνδιαιτώ μενος ὁ Χριστὸς, καὶ κατὰ πᾶσαν, ὡς ἔπος εἰπεῖν, συναγω γὴν προσλαλῶν, καὶ ἐν παντὶ σαββάτῳ προσδιαλεγόμενος, καὶ μάθημα πολλάκις αὐτοῖς ἀφθόνως παραθεὶς τὸ λυσι τελοῦν, ἐκάλει συχνῶς πρὸς τὸν διὰ τοῦ Πνεύματος φω τισμόν· καὶ δὴ καὶ ἔφασκεν, ἅτε δὴ καὶ Θεὸς ὑπάρχων κατὰ φύσιν καὶ ἀληθινός "Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου·" ἀντέπραττον δὲ ταῦτα λέγοντι φρονοῦντες παραλογώτατα "Σὺ γὰρ, φησὶ, περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου "οὐκ ἔστιν ἀληθής." καὶ οὐ μέχρι τῶν ἐν ῥήμασιν ἀντι 2.33 λογιῶν τὰ τῶν Ἰουδαίων ἐστὶ τολμήματα, οὐδὲ ἐν μόνῳ τῷ διαλοιδορῆσαι φιλεῖν τὸ ἀτίθασον αὐτῶν συμπεπέρασται θράσος· ἐρχόμενοι δὲ διὰ πάσης ὠμότητος ἀφειδῶς, τελευ τῶντες καὶ σταυρῷ καὶ θανάτῳ παρέδοσαν αὐτόν. ἐπειδὴ δὲ ἦν κατὰ φύσιν ζωὴ, διαῤῥήξας τὰ τοῦ θανάτου δεσμὰ, διεγήγερται μὲν ἐκ νεκρῶν, ἀποφοιτᾷ δὲ εἰκότως τῆς Ἰου δαίων βδελυρίας, καὶ τοῦ μὲν Ἰσραὴλ ἀπεπήδα καὶ σφόδρα δικαίως, ἑαυτὸν δὲ πρὸς τὰ ἔθνη μετατιθεὶς, πάντας ἐκάλεσε πρὸς τὸ φῶς, καὶ τυφλοῖς μὲν οὖσιν ἀνάβλεψιν ἐχαρίζετο. συμβέβηκε τοίνυν μετὰ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τὰς μὲν τῶν Ἰουδαίων σκοτισθῆναι διανοίας, ἅτε δὴ καὶ ἐκεχωρηκότος παρ' αὐτῶν τοῦ φωτὸς, τὰς δὲ τῶν ἐθνῶν καταλαμπρυνθῆναι καρδίας, ὡς ἐπιλάμ ψαντος αὐτοῖς τοῦ φωτὸς τοῦ ἀληθινοῦ. Ὅταν οὖν ὑψώσητέ φησι τὸν υἱὸν τοῦ ἀνθρώπου τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. ἀντὶ τοῦ Περιμενῶ τῆς ὑμῶν δυσσεβείας τὸ τέλος, οὐκ ἐποίσω δὲ πρόωρον ὑμῖν τὴν ὀργὴν, ἐκδέξομαι τὸ παθεῖν καὶ τὸν θάνατον, ὑπομενῶ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο· ἀλλ' ὅτε σταυρῷ παραδῶτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἄνθρωπον γυμνὸν νομισθέντα παρ' ὑμῖν, τότε γνώσεσθε καὶ οὐχ ἑκόντες, φησὶν, ὡς οὐ διέψευσμαι λέγων ὅτι ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. ὅταν γὰρ ἑαυτοὺς σκοτισθέντας βλέπητε, πεφωτισμένην δὲ τῶν ἐθνῶν τὴν ἀμέτρητον πληθὺν διὰ τὸ γενέσθαι με παρ' αὐτοῖς, πῶς οὐχὶ καὶ ἄκοντες συνερεῖτε λοιπὸν ὅτι φῶς εἰμι τοῦ κόσμου κατὰ ἀλήθειαν; ὅτι γὰρ ἔμελλεν τῆς Ἰουδαίων ἀποφοιτήσειν Συναγωγῆς μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ὁ Σωτὴρ, οὐδενὶ μὲν ἀμφίβολον· πέπρακται γὰρ καὶ διήνυσται· πλήν ἐστί πως, μᾶλλον δὲ ἤδη σαφῶς καὶ ἐκ τῶν παρ' αὐτοῦ περιαθρῆσαι λόγων "Ἕως γὰρ τὸ φῶς ἔχετε, περι "πατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ." 2.34 ἡ γὰρ τοῦ φωτὸς συστολή τε καὶ ἀναχώρησις σκοτίας γένεσιν ποιεῖ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πάλιν ἡ τοῦ φωτὸς παρουσία σκοτίας ἀφανισμὸν ἐργάζεται. οὐκοῦν ἀποδείκνυται φῶς ὑπάρχων κατὰ ἀλήθειαν ὁ Χριστὸς, σκοτίσας μὲν Ἰουδαίους διὰ τῆς ἀπ' αὐτῶν ἀποστάσεως, καταφωτίσας δὲ τὰ ἔθνη διὰ τῆς εἰς αὐτὰ παρουσίας, καὶ πικρὸν μάθημα τοῖς Ἰουδαίοις ἡ τῶν δεινῶν γέγονε πεῖρα. ΑΛΛΩΣ ΤΟ ΑΥΤΟ. Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. Ἐπείπερ εἰς τὴν σάρκα, φησὶν, ἀφορῶντες μόνην, ψιλὸν ἄνθρωπον εἶναί με πιστεύετε, καὶ τῶν καθ' ὑμᾶς ὑπάρχειν ἕνα νομίζετε, τὸ δὲ τῆς θεότητος ἀξίωμα, καὶ ἡ ἐντεῦθεν δόξα, οὐδ' ὅσον εἰς νοῦν ἄνεισι τὸν ὑμῶν· ἔσται σημεῖον ὑμῖν ἐναργέστατον τοῦ κατὰ ἀλήθειαν ἐκ Θεοῦ Θεὸν ὑπάρ χειν ἐμὲ, καὶ φῶς ἐκ φωτὸς, τὸ πάνδεινον ὑμῶν καὶ παρα νομώτατον τόλμημα, τουτέστιν, ὁ σταυρὸς καὶ ὁ ἐπ' αὐτῷ τῆς σαρκὸς θάνατος. ὅταν γὰρ ἴδητε τῆς ἑαυτῶν ἀπονοίας ἄπρακτον μὲν γενομένην τὴν ἔκβασιν, συντεθραυσμένην δὲ καὶ τὴν ἐπὶ τῷ θανάτῳ πάγην· διαναστήσομαι γὰρ ἐκ νεκρῶν· τότε καὶ οὐχ ἑκόντες ὡς ἐξ ἀνάγκης ἤδη λοιπὸν συνθήσεσθε τοῖς παρ' ἐμοῦ πρὸς ὑμᾶς γεγονόσι λόγοις, καὶ Θεὸν εἶναι κατὰ φύσιν ὁμολογήσετε. κρείττων μὲν γὰρ ἔσομαι θανάτου καὶ φθορᾶς, ὡς δὲ ζωὴ κατὰ φύσιν ὑπάρχων τὸν ἐμὸν ἀναστήσω ναόν. ἀλλ' εἴπερ ἐστὶ τὸ θανάτου κρατεῖν καὶ τῶν τῆς φθορᾶς καταλαζονεύεσθαι βρόχων Θεῷ πρέπον τῷ κατὰ φύσιν, καὶ οὐχ ἑτέρῳ τῶν ὄντων τινὶ, πῶς οὐ κατὰ πάσης ἐκποδὼν γενομένης ἀντιλογίας καὶ παντὸς ἐνδοιασμοῦ ἀναδειχθήσομαι πάντα διὰ τοῦτο νικᾶν 2.35 ἰσχύων καὶ ἀκονητί; οὐκοῦν σημεῖον ἔσεσθαι τοῖς Ἰουδαίοις τὸν οἰκεῖον σταυρὸν ἔφασκεν ὁ Σωτὴρ, καὶ ἀπόδειξιν τὴν ἐναργεστάτην τοῦ κατὰ φύσιν αὐτὸν εἶναι Θεόν. Τοῦτο δ' ἂν ἴδῃς αὐτὸν καὶ ἑτέρωθί που λέγοντα σαφῶς· πολλῶν μὲν γὰρ καὶ ἀναριθμήτων τερατουργημάτων ἐπι δειχθέντων δι' αὐτοῦ, προσῄεσάν ποτε πειράζοντες οἱ Φαρι σαῖοι καὶ λέγοντες "Διδάσκαλε θέλομεν ἀπὸ σοῦ σημεῖον "ἰδεῖν·" ὁ δὲ ἐπείπερ τοὺς ἐν αὐτοῖς ἰόντας ἐθεᾶτο διαλο γισμοὺς, καὶ πικρῶς διενθυμουμένους οὐκ ἠγνόει "Γενεὰ," φησὶ, "πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον "οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· "ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας "καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν "τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας." ἀκούεις ὅπως σημεῖον αἰτοῦσι τοῖς Ἰουδαίοις εἰς ἀπόδειξιν ὅτι Θεὸς ὑπάρχει κατὰ ἀλήθειαν, εἰ καὶ πειράζοντες ἔλεγον, οὐχ ἕτερον αὐτοῖς ἐπιδειχθήσεσθαί φησιν, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου, τουτέστι, τὸν τριήμερον θάνατον καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν; τί γὰρ ἂν γένοιτο τῆς θεοπρεποῦς ἐξουσίας σημεῖον οὕτω μέγα καὶ περιφανὲς, ὡς τὸ κατα λῦσαι θάνατον, καὶ ἀνατρέψαι φθορὰν, καίτοι κατὰ θείαν ἀπόφασιν τῆς ἀνθρωπείας κατακρατήσαντα φύσεως; ἤκουσε γὰρ ἡ ἐν Ἀδάμ "Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ·" ἀλλ' ἦν ἐν ἐξουσίᾳ τῷ Σωτῆρι Χριστῷ καὶ τέλος ἐπιθεῖναι ταῖς οἰκείαις ὀργαῖς, καὶ ταῖς εὐλογίαις ἀνατρέψαι τὸν ἐκ τῆς αὐτοῦ πάλιν ἀρᾶς ἰσχύσαντα θάνατον. ὅτι δὲ σφόδρα κατέφριττον Ἰου δαῖοι τὸ ἐκ τῆς ἀναστάσεως σημεῖον ὡς ἀναπεῖσαι δεινὸν ὅτι Θεὸς ὑπάρχοι κατὰ ἀλήθειαν ὁ Χριστὸς, τὸ τελευταῖον αὐτῶν δραματούργημα διδάξει σαφῶς· ὡς γὰρ ἐπύθοντο τοῦ Σωτῆρος τὴν ἀνάστασιν, καὶ ὅτι οὐχ εὕρηται ἐν τῷ μνημείῳ, 2.36 τεθορυβημένοι τε καὶ περιδεεῖς ἐπὶ τοῦτο γεγονότες λίαν, τὰς ἐκ τῶν στρατιωτῶν συκοφαντίας πολλοῖς ἐξωνεῖσθαι χρή μασιν ἐμελέτων. δεδώκασι γὰρ ἀργύριον αὐτοῖς, ἵνα λέγωσιν "ὅτι οἱ μαθηταὶ αὐτοῦ ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμω "μένων." μέγα τοιγαροῦν τὸ ἐκ τῆς ἀναστάσεως σημεῖον ἀναμφίλογον ἔχον τὴν ἀπόδειξιν τοῦ εἶναι Θεὸν τὸν Ἰησοῦν, ἐφ' ᾧ καὶ τῶν Ἰουδαίων σκληρὰ καὶ ἀκαμπὴς διεταράχθη καρδία.

2.37 ΚΕΦΑΛΗ Ε. Ὅτι οὐκ ἐλάττων ἐν δυνάμει καὶ σοφίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, μᾶλλον δὲ αὐτὸς σοφία καὶ δύναμις αὐτοῦ. Καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ Πατὴρ, ταῦτα λαλῶ. ΛΑΛΕΙ μὲν ἀνθρωπινώτερον, οὐχ ἑτέρως συνιέναι δυνα μένων τῶν Ἰουδαίων, οὔτε μὴν ἀκρατῶς ἐπαΐειν ἀνεχομένων παρ' αὐτοῦ τὰ θεοπρεπῆ. ἐπὶ γὰρ τοιούτων καὶ λίθοις αὐτὸν κατασφενδονῶντες ἁλίσκονται, βλασφημίαν αὐτοῦ καθορί ζοντες, ὅτιπερ ἄνθρωπος ὢν, ἑαυτὸν ἐποίει Θεόν. ὑπεξελὼν τοιγαροῦν τῆς θεοπρεποῦς ἀξίας τὸ πλεῖον, καὶ πολὺ τῆς ἐπὶ τούτῳ λαμπρότητος ἀπαμφιέσας τὸν λόγον, ταῖς τῶν ἀκρο ωμένων ἀσθενείαις εὖ μάλα συμπλάττεται καὶ, ἐπείπερ τὴν ἐνοῦσαν αὐτοῖς διάνοιαν ἐρευνῶν εὑρίσκει Θεὸν οὐκ εἰδότας αὐτὸν, ἀνθρωποπρεπῆ ποιεῖται τὸν λόγον, ἵνα μὴ πάλιν αὐτοῖς εἰς ὀργὴν ἀνακαίοιτο τὰ φρονήματα, καὶ τοῦ προσ εδρεύειν κἂν γοῦν ἐκ μέρους αὐτῷ παραλόγως ἀποπηδήσειαν. γνώσεσθε τοίνυν φησίν "ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀν "θρώπου ὅτι ἐγώ εἰμι·" γνώσεσθε πάλιν ὁμοίως, ὅτι ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ Πατὴρ οὕτω λαλῶ. Καὶ τίς ἡ χρεία τῶν τοιούτων ῥημάτων εἰπέ μοι, ἐρεῖ τις τυχόν· τί δὲ πάλιν ἐν τούτοις διδάσκει ἡμᾶς Χριστός; 2.38 οὐκοῦν ἐροῦμεν εὐδιαστόλως ἕκαστα τῶν εἰρημένων εὐσεβῶς ἀπολεπτύνοντες· οὐ διαλελοίπατε, φησὶ, τοῖς ἐμοῖς ἐπι σκήπτοντες ἔργοις, ὡς ἐκτόπως τε καὶ ἀνοσίως γεγενη μένοις, κατεκρίνατε πολλάκις ὡς παρανομεῖν οὐ παραιτού μενον, ὡς τὰ ἀπᾴδοντα τῷ νομοθέτῃ δρᾶν εἰθισμένον. ἀπέλυον μὲν γὰρ τῆς οὕτω μακρᾶς ἀῤῥωστίας τὸν πάρετον, ἠλέουν ἄνθρωπον ἐν σαββάτῳ. ἀλλ' ἰδὼν, φησὶν, ἐπὶ τούτῳ φιλεγκλήμονας, τοὺς θαυμάζειν ὀφείλοντας, καὶ πολύ τι τῶν ἐμοὶ πρεπόντων ἀπεσφαλμένους, ἀλλὰ καὶ ἔναγχος ὑμῖν τὰ πρὸς σωτηρίαν εἰσηγούμενος, καὶ βαδίζειν ἀνέπειθον ἐπὶ τὸ βούλεσθαι μετασχεῖν φωτός. εἶτα τὸ φῶς ὑμῖν τὸ ἀληθινὸν ἐπεδείκνυον· τὴν γὰρ ἐμαυτοῦ φύσιν ἐξηγούμενος, ἔφασκον "Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου," ὑμεῖς δὲ πάλιν ἀβουλότατα δρῶντες καὶ βουλόμενοι, τῶν ἐμῶν κατεξανέστητε λόγων, ἀνέδην εἰπεῖν τετολμήκατε "Ἡ μαρτυρία σου οὐκ ἔστιν "ἀληθής." ὅταν οὖν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τουτέστιν, ὅταν αὐτὸν περιβαλεῖσθε θανάτῳ, καὶ τῶν τοῦ θανάτου δεσμῶν κρείττονα βλέπητε· ἀναστήσομαι γὰρ ἐκ νεκρῶν, ἐπείπερ εἰμὶ κατὰ φύσιν Θεός· τότε γνώσεσθέ φησιν ὅτι οὐδὲν ἀπ' ἐμαυτοῦ ποιῶ ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ Πατὴρ, οὕτω λαλῶ. μαθήσεσθε γὰρ ὅταν ἴδητε κατὰ φύσιν ὄντα Θεὸν καὶ Υἱὸν, ὡς εἰμὶ μὲν ἰδιογνώμων οὐδαμῶς, συνεθε λητὴς δὲ ἀεὶ τῷ Θεῷ καὶ Πατρὶ, καὶ ὅσαπερ ἂν ἐργάζοιτο ταῦτα καὶ αὐτὸς ποιεῖν οὐκ ὀκνῶν, λαλῶν δὲ πάλιν ὅσα καὶ αὐτὸν οἶδα λέγοντα. τῆς γὰρ αὐτῆς οὐσίας εἰμὶ τῷ γεννή σαντι. ἐθεράπευον μὲν γὰρ τῷ σαββάτῳ τὸν πάρετον, ὑμεῖς δὲ πάλιν ἐπὶ τούτῳ διέκεισθε πικρῶς, ἀλλ' ἐνεργὸν ὑμῖν ὑπέ δειξα τὸν Πατέρα καὶ ἐν σαββάτῳ· ἔλεγον γάρ "Ὁ Πατήρ 2.39 "μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι." οὐκοῦν ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν. πάλιν ἔλεγον Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ἀλλ' ᾠήθητέ τι λέγειν τῶν ἀπᾳδόντων αὐτῷ, κἀν τούτῳ πάλιν ὑμᾶς ἐδυσώπουν ὑποδεικνὺς λέγοντα περὶ ἐμοῦ "Ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν." μάτην οὖν ἄρα καταιτιᾶσθε, φησὶ, τὸν ἀεὶ τῷ Πατρὶ συνεθέ λοντα, καὶ ποιοῦντα μηδὲν τῶν ἀπᾳδόντων αὐτῷ, μήτε μήν τι λαλεῖν ἀνεχόμενον, ὃ μή ἐστι παρ' αὐτοῦ. τουτονὶ τοῖς προκειμένοις οἶμαι δεῖν ἐφαρμόσαι τὸν νοῦν. Ἀλλὰ τὸ πικρὸν ἡμῖν ἴσως ἐφαλεῖται θηρίον, τὸν χριστο μάχον δὲ δηλονότι, φημὶ Ἀρειανόν· καταβοήσει δὲ ὡς εἰκὸς, καὶ λέγων ἀφίξεται Ἐξ οὐρίας, ὦ οὗτος, ἰόντα τὸν λόγον, τί βιάζῃ πάλιν ἐπὶ τὸ σοὶ μόνῳ δοκοῦν ἀντωθεῖν ἐπειγό μενος, καὶ τὴν τῆς ἀληθείας παρακλέπτων δύναμιν οὐκ ἐρυθριᾷς; ἰδοὺ σαφῶς ὁ Υἱὸς οὐδὲν ἐξ ἑαυτοῦ διισχυρί ζεται δρᾶν, ἀλλ' ὅπερ ἂν μάθοι παρὰ Θεοῦ καὶ Πατρὸς, τοῦτο καὶ λαλεῖν, οὕτως οἶδεν ἐν ἀμείνοσιν ὄντα τὸν ἑαυτοῦ Πατέρα ἢ ἐν οἷς ἐστιν αὐτός. Τί οὖν ὦ βέλτιστε; πάλιν ὁ τοιοῦτος ἀντακούσεται, ἰσχὺν ἆρα καὶ σύνεσιν χορηγεῖται παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς ἵνα καὶ δύνηταί τι δρᾶν καὶ λαλεῖν ἀνεγκλήτως; πῶς οὖν ἔτι Θεὸς κατὰ φύσιν, ὁ παρ' ἑτέρου τὸ δύνασθαι καὶ φρονεῖν δανειζόμενος, καθάπερ οὖν ἔχει καὶ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κτισμάτων ἡ φύσις; τοῖς γὰρ ἐξ οὐκ ὄντων λαχοῦσι τὴν γένεσιν, πᾶν ὅπερ ἂν γένοιτο προσὸν, τοῦτο δὴ πάντως ἐστὶ καὶ θεόσδοτον. ἀλλ' οὐχ οὕτως ἐν Υἱῷ· Θεὸν γὰρ ἀληθινὸν ἥ θεία τε οἶδε καὶ κηρύττει γραφή. δεῖν γε οἶμαι τῷ γε ὄντι κατὰ φύσιν Θεῷ πάντα τελείως προσεῖναι τὰ ἀγαθά· τὸ δὲ τελείως οὐκ ἔχον 2.40 κατά τι γοῦν ὅλως τῶν ὀφειλόντων θαυμάζεσθαι, πῶς ἂν εἴη κατὰ φύσιν Θεός; ὅνπερ γὰρ τρόπον τὸ ἄφθαρτον καὶ ἀθάνατον προσεῖναι δεῖ πάντως αὐτῷ φυσικῶς, καὶ οὐκ ἔξωθεν, οὐδὲ ἐπακτῶς, οὕτω καὶ τὸ ἐφ' ἅπασι τοῖς ἀγαθοῖς παντέλειον καὶ ἀπροσδεές. εἰ δὲ κατὰ τὸν σὸν, ὦ οὗτος, ἀνόσιόν τε καὶ ἀμαθῆ λογισμὸν ἀτελής ἐστιν ὁ Υἱὸς κατά τε τὸ δύνασθαι δρᾶν τὰ θεοπρεπῆ καὶ τὸ δεόντως λαλεῖν, ἔστι δὲ δύναμις καὶ σοφία τοῦ Πατρὸς, κατὰ τὴν θείαν γραφὴν, τῷ Πατρὶ μᾶλλον ἁρμόσει καὶ οὐκ αὐτῷ τοσοῦτον τὸ κατη γόρημα. οὕτω γὰρ ταῦτα διαλαβὼν, οὐκ ἔτι τέλειον ὑπάρ χειν ἐρεῖς ἐν δυνάμει τὸν Θεὸν καὶ Πατέρα, ἀλλ' οὐδὲ τελείως σοφόν. ὁρᾷς οὖν ὅποι κατολισθαίνει πάλιν τῆς σῆς ἀμαθίας τὸ θράσος. θαυμάζω δὲ ὅπως κἀκεῖνο τὴν σὴν παρατρέχει διάνοιαν. κατὰ τίνα τρόπον, λέγε μοι, πάλιν ὁ Θεὸς καὶ Πατὴρ τῇ ἰδίᾳ δυνάμει χορηγήσει τὸ δύνασθαι, ἢ πῶς ἂν τὴν ἑαυτοῦ σοφίαν σοφωτέραν ἐργάσαιτο; ἢ γὰρ ἀνάγκη λέγειν ὡς ἐπί τι μεῖζον ἄνεισιν ἀεὶ, καὶ προκόπτει κατὰ βραχὺ πρὸς τὸ δύνασθαί τι καὶ πλέον τῆς ἐνούσης ἰσχύος αὐτῷ· ὅπερ ἐστὶν εὔηθές τε καὶ ἀδύνατον παντελῶς· ἢ δυσσεβοῦντας ὑπολαμβάνειν παρ' ἑτέρου νευροῦσθαι μᾶλ λον αὐτόν. πῶς ἂν ἔτι καὶ τῶν δυνάμεων ὀνομάζοιτο Κύριος ὁ Υἱὸς, ἢ πῶς ἂν ἔτι νοοῖτο σοφία καὶ δύναμις, δυναμού μενος καθ' ὑμᾶς καὶ σοφούμενος παρ' ἑτέρου; ἄπαγε τῆς δυσφημίας, καὶ τῆς τῶν λογισμῶν ἀτοπίας. ἢ γὰρ δότε σαφῶς ὑπάρχειν ποίημα τὸν Υἱὸν, ἵνα πᾶσαν ἔχητε κατα βοῶσαν ὑμῶν τὴν θεόπνευστον γραφὴν, ἤγουν εἰ πιστεύετε κατὰ φύσιν εἶναι Θεὸν, δότε δὴ δότε τελείως ἔχειν αὐτῷ τὰ τῆς θεότητος ἴδια. ἴδιον δὲ τῆς κατὰ φύσιν ἰδιότητος τὸ μήτε περὶ μηδὲν ἀσθενεῖν, μήτε μὴν τῆς ἀνωτάτω σοφίας 2.41 ἀπολιμπάνεσθαι, μᾶλλον δὲ αὐτὸ κατὰ φύσιν εἶναι σοφίαν καὶ δύναμιν· ἐν δὲ τῇ σοφίᾳ διδακτῶς οὐδέν· ἀλλ' οὐδ' ἂν ἐν τῇ πρώτῃ τε καὶ ἀληθῶς νοουμένῃ δυνάμει τὸ δύνασθαί ποτε θεωρήσαιμεν ἐπακτόν. Ἵνα δὲ καὶ αὐτὴν ἐξετάζοντες τῶν πραγμάτων τὴν φύσιν, τὰ εἰρημένα παρὰ Χριστοῦ βασανίσωμεν ἀκριβέστερον, καὶ τόδε τοῖς εἰρημένοις ἐποίσομεν. τί τοσοῦτον εἴργασταί γε γονὼς ἄνθρωπος ὁ Μονογενὴς, ὃ τὴν ἐνοῦσαν αὐτῷ πλεο νεκτήσει δύναμιν; εἰκὸς γὰρ δήπου φάναι τινὰς τότε γὰρ ἠνύσθαι πρεπόντως εἰπεῖν, ἅτε δὴ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ δύνασθαι δανεισάμενον Ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ὅτι δαι μόνιον ἤλασεν, ὅτι τῶν ἀῤῥωστημάτων ἀφῆκε τὸν παρά λυτον, ὅτι λεπρὸν τοῦ πάθους ἀπήλλαξεν, ὅτι τυφλοῖς δέδωκεν ὁρᾶν, ὅτι πληθὺν ἀνθρώπων οὐκ εὐαρίθμητον πέντε κατεκόρεσεν ἄρτοις, ὅτι θάλασσαν ἀγριαίνουσαν κατεκοίμισε λόγῳ, ὅτι τὸν Λάζαρον ἤγειρεν ἐκ νεκρῶν· ἆρα καὶ ἀμείνω τῆς ἐνούσης ἰσχύος αὐτῷ τὴν ἐν τοῖς τοιούτοις ἐροῦμεν ἐπίδειξιν; εἶτα πῶς εἰπέ μοι τὸν οὕτω μέγαν ἔστησεν οὐρανὸν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖν, πῶς ἐθεμελίωσε τὴν γῆν, πῶς δὲ ἡλίου καὶ σελήνης καὶ τῶν ἐν τῷ στερεώ ματι γέγονεν ἐργάτης; πῶς δὲ ἔκτισεν ἀγγέλους καὶ ἀρχαγ γέλους, θρόνους καὶ κυριότητας, καὶ πρὸς τούτοις ἔτι τὰ Σεραφίμ; ὁ δὲ ἐν τοῖς οὕτω μεγάλοις καὶ ὑπερφυέσιν, οὔτε δυνάμεως οὔτε μὴν σοφίας τῆς παρ' ἑτέρου δεηθεὶς, πῶς ἂν ἠτόνησεν ἐν τοῖς οὕτω μικροῖς, ἢ πῶς ἂν ἐδεήθη τοῦ διδά σκειν ὀφείλοντος, ἃ χρῆν λαλῆσαι πρὸς Ἰουδαίους, ὁ καὶ διὰ τῶν ἁγίων προφητῶν ὡς σοφία δοξολογούμενος; ἀκούω γάρ τινος λέγοντος "Κύριος ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ "αὐτοῦ, ὁ ἀνορθώσας τὴν οἰκουμένην τῇ σοφίᾳ αὐτοῦ, καὶ "ἐν τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν," πρὸς δέ γε 2.42 τοῦτο καὶ ὁ θεσπέσιος Δανιὴλ φησιν "Εἴη τὸ ὄνομα τοῦ "Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας, ὅτι ἡ σοφία καὶ ἡ "σύνεσις καὶ ἡ ἰσχὺς αὐτοῦ ἐστιν." εἰ δὲ αὐτοῦ, κατὰ τὸν τοῦ προφήτου λόγον, καὶ ἡ ἰσχὺς καὶ ἡ σοφία ἐστὶ, τίς ἔτι λοιπὸν τῆς τῶν ἑτεροδόξων ἀνέξεται γλωσσαργίας, παρ' ἑτέρου καὶ δύναμιν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σοφίαν χορηγεῖσθαι λεγόντων τὴν σοφίαν καὶ δύναμιν εἶναι τοῦ Πατρός; Ἀλλ' εἰ μὲν τινά, φησιν, ἐλέγομεν ἕτερον ἢ τὸ λεῖπον εἰς δύναμιν ἐπιχορηγεῖν τῷ Υἱῷ, ἤγουν διδάσκειν αὐτὸν, εὐλόγως ἂν τοῖς παρ' ἡμῶν ἐπεσκήψατε λόγοις, ὡς ὕβρι ζομένῳ συνηγορεῖν ἐγνωκότες αὐτῷ· ἐπειδὴ δὲ τὸν Θεὸν καὶ Πατέρα ταῦτα διδόναι φαμὲν, ποία λοιπὸν ἐντεῦθεν ὑμῖν ἡ τῆς λύπης ἀναφανεῖσα πρόφασις;" Οὐκοῦν εἰ μηδὲν ἀδικήσειν οἴεσθε τὸν Υἱὸν εἰς τὸ εἶναι κατὰ φύσιν ἀνόμοιον τῷ γεννήσαντι, κἂν χορηγεῖσθαί τι λέγεται παρ' αὐτοῦ, τῶν νέων, ὦ ἄνθρωπε, διαμέμνησο λόγων, καὶ ἀναπείθου διὰ τούτου μὴ σκανδαλίζεσθαι· δίδου δὲ αὐτῷ τὸ ἐν ἴσοις ὑπάρχειν κατὰ πάντα τῷ ἰδίῳ γεννήτορι, καὶ κατὰ μηδένα παντελῶς ἡττᾶσθαι τρόπον ἢ λόγον. εἰ δέ σε τοῦτο τῶν τῆς ὀρθότητος ἐξέλκει λογισμῶν, καὶ φρονεῖν ἃ μὴ θέμις ἀναπείθει περὶ αὐτοῦ, τί μάτην ἡμᾶς τοῖς οὕτω σαθροῖς κατασοφίζεσθαι λόγοις ἐπιχειρεῖς; διοίσει γὰρ ὅλως οὐδὲν κἂν αὐτὸς ὁ Θεὸς καὶ Πατὴρ, κἂν ἕτερός τις παρ' ἐκεῖνον διδόναι τι λέγεται τῷ Υἱῷ. ἐπὶ γὰρ τῷ τι λαβεῖν ἅπαξ κατηγορούμενος, ποίαν ἂν ἔχῃ τὴν ὄνησιν, κἂν λίαν ὑπάρχοι περιφανὲς τοῦ διδόντος τὸ πρόσωπον; τί γὰρ εἰπέ μοι διοίσει τῷ τὸ πλήττεσθαι παραιτουμένῳ τὸ ξυλίνῃ 2.43 τυχὸν ἤγουν διαχρύσῳ παίεσθαι ῥάβδῳ; οὐ γὰρ τὸ τοιῶσδε παθεῖν, ἀλλὰ τὸ μηδαμῶς παθεῖν ἀγαθόν. ἐλεγχομένου τοιγαροῦν τοῦ Υἱοῦ, δυνάμεώς τε καὶ σοφίας ἐπιδεοῦς, ὅταν φαίνηταί τι παρ' αὐτοῦ λαβὼν, καὶ ἐν τούτοις σύμπαν ἔχοντος ἤδη τὸ κατηγόρημα, πῶς οὐκ εὐήθες κομιδῇ λόγοις ἡμᾶς ἑώλοις κατακροτεῖν τοὺς ἀκροωμένους, καὶ τοῖς ἐξ ἀπάτης εὑρήμασι περιπλάττειν τὸ ἔγκλημα διὰ τοῦ δεῖν οἴεσθαι τῶν μὲν ἄλλων οὐδένα, μόνον δὲ τὸν Πατέρα κατα δέχεσθαι χορηγόν; θαυμάζω δὲ ὅπως, καίτοι δοκοῦντας εἶναι σοφοὺς, καὶ λόγοις τοῖς ἔξωθεν οὐ μετρίως ἐξησκημένους πρὸς τὸ δύνασθαι διενθυμεῖσθαι πικρὰ, κἀκεῖνο διέλαθεν, ὅτι τὸν τοῦ Θεοῦ καὶ Πατρὸς κατασμικρύνοντες χαρακτῆρα, τουτέστι, τὸν Υἱὸν, οὐκ αὐτοῦ τοσοῦτον, ὅσον ἐκείνου κατη γορεῖν ἐγνώκατε, οὗ καὶ ἔστι χαρακτὴρ, οὕτως ἔχειν ἐξ ἀνάγκης ὀφείλοντος ὡς ἂν ἐν Υἱῷ διαφαίνηται. Ἀλλ' ἐκβιάσεταί σε, φησὶν, ἡ τοῦ Υἱοῦ φωνὴ, πρὸς τὸ καὶ οὐχ ἑκόντα συναινεῖν οἷς εἰπεῖν οὐκ ἀπηξίωσεν. αὐτὸς γὰρ οὐδὲν ἐξ ἑαυτοῦ ποιεῖν ὡμολόγηκεν, ἀλλὰ καὶ ἅπερ ἂν διδάσκοιτο παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ταῦτα λαλεῖν. Ἀλλὰ σοὶ μὲν, ὦ γενναῖε, καὶ τὰ καλῶς εἰρημένα δο κούντων ἔχειν οὐκ ὀρθῶς, ἐπείπερ ἠρνήσω τῆς ἀληθείας τὸ φῶς· ἡμεῖς δὲ πάλιν τὴν ἑαυτῶν βαδιούμεθα ὁδὸν, καὶ τὰ συνήθη καὶ φιλὰ φρονήσομεν περὶ τοῦ Μονογενοῦς μετὰ τῆς πρεπούσης ἡμῖν εὐσεβείας τοῖς προκειμένοις προσβάλλοντες. εἰ μὲν γὰρ εἴρηκεν ὁ Μονογενής Οὐδὲν ἀπ' ἐμαυτοῦ ποιῶ, λαμβάνων δὲ τὸ δύνασθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τερατουργῶ καὶ θαυμάζομαι, ἦν μέν τις καὶ οὕτω λόγος οὐδὲν ὅλως ὀφείλοντα διὰ τοῦτο κατηγορεῖσθαι δεικνύων αὐτὸν, πλὴν ἔδοξέ πως ἂν εὐπροσωπότερον ἡμῖν ἀντιπράτ 2.44 τειν ὁ δι' ἐναντίας. ἐπειδὴ δὲ ἁπλῶς καὶ ἀπολύτως ἐπενε χθέντος οὐδενός Οὐδὲν ἀπ' ἐμαυτοῦ ποιῶ φησιν, οὐ πάντως ἐροῦμεν αὐτὸν ὡς κατά τι γοῦν ἀσθενῆ τὴν ἰδίαν καταιτιᾶ σθαι φύσιν, ἀλλ' ἕτερόν τι σημαίνειν ἀληθὲς καὶ ἀκατηγό ρητον. ἵνα γὰρ ἐπ' ἄνθρωπον μετασχηματίζοντες τοῦ λόγου τὴν δύναμιν, ἴδωμεν ἀκριβῶς, ὅ φησιν· ἔστωσαν δύο τινὲς ἄνδρες τυχὸν τὴν αὐτὴν δηλονότι λαχόντες φύσιν, ἰσοσθενεῖς τε ἀλλήλοις καὶ ὁμογνώμονες, εἶτα λεγέτω ὁ εἷς ἐξ αὐτῶν Ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ· ἆρα ὡς ἀσθενὴς, ἢ καὶ δρᾶν ὅλως οὐδὲν ἀφ' ἑαυτοῦ δυνάμενος τὸ τοιοῦτον φήσειεν ἂν, ἢ ὡς ἔχων ἐφ' ἅπασι συνευδοκητὴν καὶ ὁμογνώμονα τὸν ἕτερον καὶ συνεζευγμένον αὐτῷ; οὕτω μοι νόει καὶ ἐφ' Υἱοῦ, μᾶλλον δὲ καὶ ὑπὲρ τοῦτο πολύ. ἐπειδὴ γὰρ ἐργαζομένῳ τὰ παράδοξα παραλόγως ἐπεπήδων Ἰουδαῖοι, ἄνω τε καὶ κάτω τὴν τοῦ σαββάτου λύσιν ἐπαιτιώμενοι, καὶ παρανομίαν ἐγκαλοῦντες αὐτῷ, λοιπὸν ἐφ' ἅπασιν ὁμογνωμονοῦντα καὶ συνευδοκητὴν ἐπεδείκνυε τὸν Θεὸν καὶ Πατέρα, τέχνῃ δυσω πῶν τὸν ἀχάλινον τῶν ἀπειθούντων θυμόν. ἦν γὰρ δὴ καὶ εἰκὸς ἀποφρίξαι μὲν ἤδη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τινὰς τὸ ἐγκαλεῖν ἐθέλειν αὐτῷ πάντα δρᾶν λέγοντι κατὰ βούλησιν τοῦ Πατρὸς, καὶ τὸ ἴδιον ἐν τῷ ἐκείνου δεικνύοντι θελήματι. τὸ δὲ πάντα κατὰ θέλησιν τοῦ Πατρὸς ἐργάζεσθαι τὸν Υἱὸν, οὐκ ἐλάττονα δείξει καὶ ὑπουργὸν, ἀλλ' ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ καὶ ὁμοού σιον. ἐπειδὴ γάρ ἐστιν αὐτὸς ἡ σοφία τοῦ Πατρὸς, καὶ ἡ ζῶσα βουλὴ, οὐχ ἕτερόν τι ποιεῖν ὁμολογεῖ παρ' ὅπερ ἂν βούληται τυχὸν ὁ Πατὴρ, οὗ καὶ ἔστι καὶ σοφία καὶ βουλὴ, ἐπεὶ καὶ σύνεσις ἡ ἐν ἡμῖν οὐκ ἀφ' ἑαυτῆς τι ποιεῖ, σύμπαν δὲ τὸ ἡμῖν δοκοῦν ἀποπληροῖ. καὶ μικρὸν μὲν ὡς πρὸς 2.45 ἐκεῖνο τὸ παράδειγμα, πλὴν ἔχον εἰκόνα τῆς ἀληθείας οὐκ ἀμυδράν. καὶ ὥσπερ ἡ σύνεσις ἡ ἐν ἡμῖν οὐχ ἕτερον εἶναι παρ' ἡμᾶς τι λελόγισται· τὸν αὐτὸν οἶμαι τρόπον καὶ ἡ σοφία τοῦ Θεοῦ καὶ Πατρὸς, τουτέστιν ὁ Υἱὸς, οὐχ ἕτερόν τι παρ' αὐτόν ἐστιν ὅσον εἰς οὐσίας ταυτότητα λέγω, καὶ φύσεως ἀπαράλλακτον ὁμοιότητα· Πατὴρ γάρ ἐστιν ὁ Πατὴρ, καὶ Υἱὸς ὁ Υἱὸς ἰδιοσυστάτως. Ἐπειδὴ δὲ πρὸς τοῦτό φησιν ὅτι Καθὼς ἐδίδαξέ με ὁ Πατὴρ ταῦτα λαλῶ, νομιζέτω μηδεὶς μαθήσεως ὅλως τῆς κατά τι γοῦν ἐπιδεᾶ καθεστάναι τὸν Υἱόν· πολλὴ γὰρ ἐν τούτοις ἡ τῶν λογισμῶν ἀτοπία· σημαίνει δέ τι τοιοῦτον ἡ τοῦ λόγου δύναμις. Ἰουδαῖοι μὲν γὰρ οἱ συνιέναι τῶν ἀγαθῶν τι οὐκ ἰσχύοντες, οὐ μόνον ἐφ' οἷς εἰργάζετο παρα δόξως ἐσκανδαλίζοντο, ἀλλὰ καὶ ὅτε τι τῶν θεοπρεπῶν ῥημάτων ἐφθέγγετο τοῦτο παθόντας ἴδοι τις ἄν· καὶ γοῦν λέγοντός τε καὶ ἀληθεύοντος Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, διεπρίοντό τε καὶ τὰ πάνδεινα χρῆναι τολμᾶν διεσκέπτοντο. ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἵνα μάτην αὐτοὺς ἐπὶ τούτῳ λελυττηκότας ἐλέγξῃ, τοὺς ἑαυτοῦ λόγους τοῦ Θεοῦ καὶ Πατρὸς εἶναί φησιν, ἀνθρωπινώτερον μὲν τό Ἐδίδαξεν εἰπών. πλὴν οὐκ ἔξω θεωρίας λεπτῆς τὴν ἀπὸ τῆς λέξεως εὑρήσομεν δύναμιν· καὶ εἰ μὴ δέχοιτο τυχὸν ὁ τῆς ἀληθείας ἐχθρὸς τὰ ἀνθρώπινα, μάλιστα μὲν ἀδικεῖ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν λόγον. ἐταπείνωσε γὰρ ἑαυτὸν ὁ Μονογενὴς ἄνθρωπος γεγονὼς, καὶ διὰ τοῦτο πολλάκις λαλῶν ὡς ἄνθρωπος. πλὴν ἴστω πάλιν ὡς οὐδὲν ἀδικήσει τὸν Υἱὸν εἰς ἀξίωμα τὸ θεοπρεπὲς τὸ εἰπεῖν Καθὼς ἐδίδαξέ με ὁ Πατὴρ οὕτω λαλῶ· πανταχόθεν γὰρ ὑγιῶς ἔχοντα καὶ καλῶς καὶ τοῦτον αὐτοῦ τὸν λόγον ἐπιδείξομεν. ἀποκρινάσθω δὲ ἡμῖν 2.46 διερωτῶσιν ἐκεῖνος τῶν τῆς εὐσεβείας δογμάτων ὁ κατή γορος Τίς εἰπέ μοι τὸ βρέφος τὸ ἀρτιγενὲς τῇ ἀνθρωπείᾳ διδάσκει κεχρῆσθαι φωνῇ; διὰ τί μὴ βρυχᾶται κατὰ τὸν λέοντα, ἤγουν ἕτερόν τι τῶν ἀλόγων ζῴων ἀπομιμεῖταί ποτε; ἀλλ' ἔδει δήπου πάντως, καὶ ἐπ' ἐκεῖνο δραμεῖται τὸ κοινὸν καὶ πᾶσι κατειθισμένον· ἡ φύσις διδάσκαλος πρὸς τὴν τοῦ σπείροντος ἰδιότητα τὸ ἐξ αὐτοῦ διαπλάττουσα. ἔστιν οὖν ἄρα μαθεῖν ἀδιδάκτως παρὰ τῆς φύσεως, ὅλης, ἵν' οὕτως εἴπω, τῆς τοῦ σπείροντος ἰδιότητος ἐντεθείσης τῷ γεννήματι. οὕτω τοιγαροῦν καὶ αὐτὸς ὁ Μονογενὴς μαθεῖν παρὰ τοῦ Πατρὸς καὶ ἐν τούτοις διισχυρίσατο. ὅπερ γάρ ἐστιν ἡμῖν ἡ φύσις, τοῦτο δὴ πάντως αὐτῷ νοοῖτ' ἂν εἰκότως ὁ Θεὸς καὶ Πατὴρ, καὶ ὥσπερ ἡμεῖς, ἐπείπερ ἄνθρωποι καὶ ἐξ ἀνθρώπων ἐσμὲν, ἀδιδάκτως μανθάνοντες παρὰ τῆς φύσεως λαλοῦμεν ἀνθρωποπρεπῶς, οὕτω καὶ αὐτὸς, ἐπείπερ Θεὸς ἐκ Θεοῦ κατὰ φύσιν ἐστὶν, ἔμαθεν ὥσπερ ἀπὸ τῆς ἰδίας φύσεως λαλεῖν, ὡς Θεὸς, καὶ τὰ πρέποντα Θεῷ διαλέγεσθαι, ὅπερ ἐστίν Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὃ γὰρ οἶδεν ἑαυτὸν ὄντα διὰ τὸ ἐξ οὗπέρ ἐστι Πατήρ· φῶς ἐστι γὰρ ἐκ φωτός· τοῦτο μαθεῖν ἔφη παρ' αὐτοῦ, ἀδίδακτόν τινα μάθησιν τῶν θεοπρεπῶν ἔργων τε καὶ λόγων ἐκ τῆς τοῦ γεννήσαντος ἰδιότητος ἔχων καὶ φύσεως, ὥσπερ ἀναγ καίοις θεσμοῖς εἰς ταυτοβουλίαν τὴν ἐφ' ἅπασι καὶ ταυτο λογίαν ἀναβαίνων τῷ Θεῷ καὶ Πατρί. πῶς γὰρ οὐκ ἔδει τὸ ἐν θελήσει ταὐτὸν, καὶ τὸ ἐν λόγοις ἴσον τε καὶ ὅμοιον ἀναμφιλόγως ἐνυπάρχειν τοῖς, οἵ γε μίαν ἔχουσι τὴν φύσιν; ἐπὶ Θεοῦ δὲ πάντως ὁ λόγος, οὐκ ἐφ' ἡμῶν· ἡμᾶς μὲν γὰρ καὶ ἠθῶν παρατροπαὶ, καὶ θελημάτων διαφοραὶ, καὶ παθῶν πλεονεξίαι τῶν τοῦ πρέποντος ἐξέλκουσιν ὅρων· ἡ δὲ θεία τε καὶ ἀπερινόητος φύσις, ὡσαύτως ἔχουσα διὰ παντὸς καὶ 2.47 ἐν τοῖς ἰδίοις ἀγαθοῖς ἀκλονήτως ἐρηρεισμένη,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποίαν ἔχοι τὴν ἐφ' ἕτερόν τι παρατροπήν· ἢ πῶς οὐχὶ πάντως δραμεῖται κατ' εὐθὺ τοῦ ἰδίου σκοποῦ, καὶ τὰ ἑαυτῇ πρέποντα καὶ λαλήσει καὶ ἐξεργάσεται; τῆς αὐτῆς οὖν οὐσίας ὑπάρχων ὁ Μονογενὴς πρὸς τὸν ἑαυτοῦ γεννήτορα, καὶ τοῖς τῆς μιᾶς θεότητος ἀξιώμασι διαπρέπων, πάντως δήπου καὶ ἀναγκαίως ἐργάσεται μὲν ἅπερ ἂν ἐργάσαιτο καὶ αὐτὸς ὁ Πατήρ· τοῦτο γάρ ἐστι τὸ ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν· λαλήσει δὲ πάντως τὰ τοῦ γεννήσαντος, οὐχ ὡς ὑπουργὸς ἢ κεκελευσμένος ἢ ὡς μαθητὴς, ἀλλ' ὡς φύσεως ἰδίας ἔχων καρπὸν, τὸ καὶ τοῖς τοῦ Θεοῦ καὶ Πατρὸς χρῆσθαι λόγοις. ἐν τούτῳ γὰρ δια φαίνεται σαφῶς καὶ λοιδορίας ἁπάσης ἀμοιροῦν τὸ μὴ λέγεσθαί τι παρ' αὐτοῦ. Καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστι· καὶ οὐκ ἀφῆκέ με μόνον. Ἐν τούτῳ δείκνυσιν ἐναργῶς ὅτι τὴν τοῦ Θεοῦ καὶ Πατρὸς διερμηνεύει βουλὴν, οὐκ αὐτὸς ἔχων ἑτέραν παρὰ τὴν ἐν ἐκείνῳ· πόθεν; αὐτὸς γάρ ἐστιν ἡ ζῶσα καὶ ἐνυπό στατος βουλή τε καὶ θέλησις τοῦ γεννήσαντος αὐτὸν, κατὰ τὸ ἐν βίβλῳ ψαλμῶν εἰρημένον ὑπό τινος τῶν ἁγίων "Ἐν "τῇ βουλῇ σου ὡδήγησάς με," καὶ πάλιν "Κύριε, ἐν τῷ "θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν," πάντα γὰρ ἐν Χριστῷ τὰ ἀγαθὰ τοῖς ἀγαπῶσιν αὐτόν· ἀλλ' ὡς εἰς γνῶσιν ἐκφέρων τὴν ἡμετέραν τὰ ἐν τῷ Θεῷ καὶ Πατρί. ὅνπερ γὰρ τρόπον τὰ ἐν τῷ βάθει τῆς ἡμετέρας διανοίας ὁ προφορικὸς ἡμῶν οὗτος καὶ διὰ γλώσσης προχεόμενος σα φηνίζει λόγος, καὶ τὴν ἐν τῷ νῷ θέλησιν τὴν ἐπί τισι δηλονότι φημὶ, καθάπερ τι μάθημα λαβὼν, καὶ ἐξ αὐτῆς 2.48 ἐπὶ τὸ τοιῶσδε τυχὸν λαλεῖν ὁρμώμενος· οὕτω πάλιν εὐσε βοῦντες ὑποτοπήσωμεν τὴν τοῦ παραδείγματος δύναμιν ἀναβαίνοντα τὸν Υἱὸν, ἐπείπερ ἐστὶν αὐτὸς καὶ Λόγος καὶ σοφία τοῦ Θεοῦ καὶ Πατρὸς, τὰ ἐν αὐτῷ διαλέγεσθαι. καὶ ἐπείπερ ἐστὶν οὐκ ἀνυπόστατος ὥσπερ ὁ ἀνθρώπινος, ἀλλ' ἐνούσιός τε καὶ ζῶν ὡς ἰδίαν ἔχων ἐν Πατρὶ καὶ μετὰ Πατρὸς τὴν ὕπαρξιν, οὐκ εἶναι μόνος ἐνθάδε φησὶν, εἶναι δὲ μετ' αὐτοῦ καὶ τὸν πέμψαντα αὐτόν. ὅταν δὲ λέγῃ τό Μετ' ἐμοῦ, σημαίνει τι πάλιν θεοπρεπές τε καὶ μυστικόν· οὐ γὰρ δήπου νομιοῦμεν ἐκεῖνο λέγειν αὐτὸν, ὅτι ὥσπερ ἂν εἴη τυχὸν μετὰ προφήτου Θεὸς, συνασπίζων δηλονότι τῇ οἰκείᾳ δυνά μει, καὶ ταῖς εὐμενείαις ἐπικουρῶν ἤτοι ταῖς διὰ τοῦ Πνεύ ματος ἐλλάμψεσιν εἰς προφητείαν ἐγείρων, οὕτω καὶ μετ' αὐτοῦ τὸν γεννήσαντα· ἀλλὰ καὶ ἐν τούτοις τίθησι τό Μετ' ἐμοῦ καθ' ἕτερον τρόπον· εἰς τὴν αὐτὴν γάρ μοι φύσιν ἐστὶν ὁ πέμψας μέ φησι, Θεὸς δηλονότι καὶ Πατήρ. Κατὰ τόδε νοήσεις τὸ σχῆμα καὶ τὸ ἐν τῷ προφήτῃ κείμενον Ἡσαΐᾳ περὶ Χριστοῦ "Γνῶτε ἔθνη καὶ ἡττᾶσθε, "ὅτι μεθ' ἡμῶν ὁ Θεὸς," ἁρμόσει μὲν γὰρ ὁ ἐπὶ τούτῳ λόγος καὶ ἐπ' αὐτῷ τὴν τοῦ σώζεσθαι πεποιημένοις ἐλπίδα· φασὶ δὲ ὅμως καὶ οὗτοι τό Μεθ' ἡμῶν ὁ Θεὸς, οὐχ ὥσπερ ἂν εἴ τις ὑπονοήσαι τυχὸν, ὅτι συνεργὸς μὲν γὰρ καὶ συμπαραστάτης ἔσται Θεὸς, ἀλλ' ὅτι μεθ' ἡμῶν, τουτέστιν, ἐξ ἡμῶν. ἄνθρωπος μὲν γὰρ γέγονεν ὁ τοῦ Θεοῦ Λόγος, καὶ ἐν τούτῳ πάντες διασεσώσμεθα, καὶ διεῤῥήξαμεν τὰ τοῦ θανάτου δεσμὰ, καὶ τὴν ἐκ τῆς ἁμαρτίας ἀπεδυσάμεθα φθορὰν, ἐπείπερ καταβέβηκεν εἰς ἡμᾶς, καὶ μεθ' ἡμῶν γέγονεν ὁ ἐν μορφῇ τοῦ Θεοῦ ὑπάρχων Θεὸς Λόγος. ὥσπερ 2.49 οὖν ἐν τούτῳ νοοῦμεν τὸ μεθ' ἡμῶν ὁ Θεὸς, ἀντὶ τοῦ εἰς τὴν αὐτὴν ἡμῖν γέγονε φύσιν ὁ ἐκ Θεοῦ καὶ Πατρὸς Λόγος, οὕτω κἀνθάδε τὴν ἴσην τοῖς θεωρήμασιν ἀναλογίαν ἀποσώ ζοντες ὅταν λέγῃ Χριστός Ὁ πέμψας με μετ' ἐμοῦ ἐστι καὶ οὐκ ἀφῆκέ με μόνον, ἐκδεξόμεθα σαφῶς ἐκεῖνο σημαίνοντα μυστικῶς, ὅτι, καθάπερ ἤδη προείπομεν, εἰς τὴν αὐτήν μοι φύσιν ἐστὶν ὁ Θεὸς καὶ Πατὴρ, καὶ οὐκ ἀφῆκέ με μόνον. καὶ γὰρ ἦν ὄντως ἀμήχανον, μὴ οὐχὶ πάντως ἔχειν μετ' ἐμαυτοῦ τὸν ἐξ οὗ γεγέννημαι Θεὸν καὶ Πατέρα. Καὶ ἴσως ἐρεῖ τις καὶ διερωτήσει φιλομαθέστερον Διὰ ποίαν αἰτίαν αὐτὸς τὰ τοιαῦτά φησιν ὁ Σωτὴρ, ἢ τί τὸ πεπεικὸς ἐπὶ ταύτην αὐτὸν ἰέναι τὴν ἐξήγησιν; Πρὸς δὴ τὰ τοιαῦτα καὶ ἡμεῖς ἀπολογησόμεθα, χρησίμως καὶ ἀναγκαίως ἐπιδεικνύντες αὐτὸν τοῖς ἤδη προειρημένοις ἐπιτιθέντα καὶ τοῦτο. ἐπειδὴ γὰρ εἴρηκεν ὅτι "καθὼς ἐδί "δαξέ με ὁ Πατὴρ ταῦτα λαλῶ," ἀναγκαίως ἤδη συνόντα τε καὶ ὁμοούσιον ἑαυτῷ δεικνύει τὸν Πατέρα, ἵνα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πιστεύηται λοιπὸν τὰ ἐκείνου λαλῶν ὡς Θεὸς τὰ ἐκ Θεοῦ, καὶ ἀπὸ τῆς φυσικῆς τοῦ γεννήσαντος ἰδιότητος ἐπὶ τὸ λέγειν τὰ θεο πρεπῆ παρορμώμενος, καθαπεροῦν τὰ ἀνθρώπων τέκνα μά θησίν τινα παρὰ τῆς φύσεως ἀδίδακτον ἔχοντα, καθάπερ ἐν τοῖς ἀνωτέρω προειρήκαμεν, οἶδεν ἀληθῶς τὰ τῆς ἀνθρωπό τητος ἴδια. οὐ σκανδαλιστέον τοιγαροῦν, ὅταν τι λέγῃ μαθεῖν παρὰ τοῦ Πατρὸς ὁ Υἱός· οὐ γὰρ διὰ ταύτην ἔσται τὴν αἰτίαν ἐλάττων αὐτοῦ, ἀλλ' οὐδὲ ἔκφυλός τις κατ' ἐκείνους εὑρεθήσεται· καὶ λογισμῷ τοιῷδε τὸ πρᾶγμα κατα σκεψώμεθα. οὐ γὰρ ἐν τῷ εἰδέναι τι τυχὸν, ἢ μὴ εἰδέναι ὁ τῆς οὐσίας δοκιμάζεται λόγος, ἀλλ' ἐν τῷ τί ἕκαστον κατὰ φύσιν ἐστίν· οἷον φέρε εἰπεῖν Παῦλος ὑποκείσθω καὶ Σιλουανός· καὶ ὁ μὲν Παῦλος ἴστω καὶ πεπαιδεύσθω τελείως τὸ ἐπὶ Χριστῷ μυστήριον· ἔλαττον δέ πως ἢ κατὰ 2.50 τὸν Παῦλον ὁ Σιλουανός. ἆρ' οὖν οὐχ ὅμοιοι κατὰ τὴν φύσιν, ἢ ὑπερέξει κατὰ τὸν οὐσίας λόγον ὁ Παῦλος τὸν Σιλουανὸν, ἐπείπερ ἔγνω μειζόνως ἢ κατ' ἐκεῖνον τοῦ μυστη ρίου τὸ βάθος; ἀλλ' οὐδένα ληρεῖν εἰς τοσοῦτον ὑπολαμ βάνω, ὡς νομίσαι ποτὲ διηλλάχθαι τὴν φύσιν αὐτοῖς διὰ τὸ ἐν γνώσει μεῖζον ἢ ἔλαττον. ὅτε τοίνυν οὐκ ἐν τῷ τι μαθεῖν ἢ διδάξαι, τὰ τῆς οὐσίας ἀκριβῶς δοκιμάζεται, καθάπερ εἰρήκαμεν, οὐδὲν ἀδικήσει τὸν Υἱὸν εἰς τὸ εἶναι κατὰ φύσιν Θεὸν, ὅταν τι λέγῃ καὶ μαθεῖν παρὰ τοῦ ἰδίου Πατρός. οὐ γὰρ διὰ τοῦτο τῆς πρὸς αὐτὸν ὁμοουσιότητος ἐξοιχήσεται, μένει δὲ πάντως ὅπερ ἐστὶ, τουτέστι, Θεὸς ἐκ Θεοῦ, φῶς ἐκ φωτός. Ἀλλ' ἴσως ἐρεῖς Πῶς οὖν; ἐν γνώσει μείζων ὁ Πατήρ· διὰ γὰρ τοῦτο διδάσκει τὸν Υἱόν. ἐροῦμεν δὲ πάλιν ὅτι μάλιστα μὲν ἤδη διὰ πολλῶν ἀπεδείξαμεν λόγων ὅτι μαθή σεως καὶ διδασκαλίας ἀπροσδεὴς ἡ σοφία τοῦ Πατρὸς, καὶ πολλοὺς ἐπὶ τούτῳ συνείροντες λογισμοὺς, εἰς ἄμετρον δυσφημίαν καταστρέφοντα τὸν λόγον ἐξηλέγχομεν. εἶτά σοι κἀκεῖνο πρὸς τούτοις εἰπεῖν ἀναγκαῖον ἤδη φαίνεται, ὅτι σπουδὴ τῷ Υἱῷ καὶ πολλὴ λίαν ἡ ἐπιτήρησις πρὸς τὸ κολοβοῦν ἀεὶ τὸ ἴδιον ἀξίωμα, καὶ οὐ σφόδρα θεοπρεπῶς διαλέγεσθαι διὰ τὴν τοῦ δούλου μορφὴν, καὶ τὴν ἐντεῦθεν δι' ἡμᾶς ἀναληφθεῖσαν ταπείνωσιν. ποῦ γὰρ καταβέβηκεν, ἢ ἐκ ποίων εἰς οἷα μετέστη λοιπὸν, εἰ μὴ λαλεῖ τι καὶ ὑποβεβηκότως καὶ τῆς θεοπρεποῦς δόξης οὐ λίαν ἐπαξίως; διὰ γάρ τοι τούτων πολλάκις, καὶ ἅπερ οἶδεν ὡς Θεὸς, ἀγνοεῖν ὡς ἄνθρωπος σχηματίζεται. ὄψει δὲ τοῦτο σαφῶς ἐν ἱστορίᾳ τῇ κατὰ τὸν Λάζαρον τὸν ἐκ Βηθανίας φημὶ, ὃν καὶ παραδόξῳ δυνάμει καὶ θεοπρεπεστάτῃ φωνῇ τεθρήμερον ὄντα καὶ ὀδωδότα, λοιπὸν παλινδρομῆσαι πρὸς ζωὴν παρε 2.51 σκεύασεν· ἀλλ' ὅρα μοι τὴν ἐν τῷ πράγματι πεπλασμένην οἰκονομίαν. εἰδὼς γὰρ ὅτι τέθνηκε Λάζαρος, καὶ τοῦτο προειρηκὼς τοῖς ἑαυτοῦ μαθηταῖς, ὡς Θεὸς, ἀνθρωπίνως ἀντεπύθετο "Ποῦ τεθείκατε," λέγων, αὐτόν. ὢ παραδόξου πράγματος. ὁ μακράν που τῆς Βηθανίας διαιτώμενος, καὶ οὐκ ἀγνοήσας ὡς Θεὸς, ὅτι τέθνηκε Λάζαρος, πῶς ἐζήτει μαθεῖν τὸ μνημεῖον; ἀλλ' ἐρεῖς ἄριστά γε φρονῶν, ὡς ὑπεπλάττετο τὴν ἐρώτησιν οἰκονομῶν τι χρήσιμον. δέχου τοίνυν κἀν τούτῳ πάλιν οἰκονομικῶς, ἅπερ οἶδεν ὡς Θεὸς, ταῦτα λέγοντα μαθεῖν παρὰ τοῦ Πατρός· παροτρύνεσθαι δὲ οὐκ ἐπιτρέπων μειζόνως τὴν τῶν Ἰουδαίων ἀπόνοιαν, καὶ τὸν τῶν ἀμαθεστέρων κολάζων θυμὸν, οὐκ ἄκρατον εἰς αὐτοὺς τὸν θεοπρεπῆ λόγον εἰσφέρει, καίτοι πρέπον οὕτω μᾶλλον αὐτῷ διαλέγεσθαι. Ἐπειδὴ δὲ ἄνθρωπον ἔτι καὶ ψιλὸν ὑπάρχειν αὐτὸν ὑπενόουν, τοῖς ἀνθρωποπρεπέσι λόγοις κεράσας ὥσπερ τὸ τῆς θεότητος ἀξίωμα, μετριώτερόν πως ἢ καθ' ἑαυτὸν οἰκο νομικῶς προσλαλεῖ Ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτοῦ ποιῶ πάντοτε· δέχου μοι πάλιν κἀν τούτῳ τὴν λύσιν τοῦ δοκοῦντος εἶναι δυσχεροῦς, καὶ περιάθρει σαφῶς διερμηνευόμενον ὀρθῶς τό "Ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ." διὰ γὰρ τοῦτο, φησὶ, μηδὲν ἀπ' ἐμαυτοῦ ποιεῖν διεμαρτυράμην ὑμῖν ἔναγχος προσλαλῶν, ἐπείπερ ἔθος ἐμοὶ καὶ τριβὴ μηδὲν ἀπᾷδον ἐργάζεσθαι τῷ Θεῷ καὶ Πατρὶ, μηδὲ εἰδέναι τι δρᾶν, εἰ μὴ ὅπερ ἀρέσκει τῷ φύσαντι. πρόδηλον οὖν ἄρα λοιπὸν ὡς ἐν τούτῳ καὶ μόνον τὸ μηδὲν ἀφ' ἑαυτοῦ ποιεῖν τὸν Υἱὸν νοηθήσεται, ἐν τῷ τὰ ἀρεστὰ πράττειν ἀεὶ τῷ Θεῷ καὶ Πατρὶ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς εἴπερ εἰ μὴ τῶν τοιούτων εἰργάζετο τυχὸν, ἔδρασεν ἄν τι καὶ ἀφ' ἑαυτοῦ, τουτέστι, τὸ παρὰ βούλησιν τοῦ γεννήσαντος. οὐκ ἄρα διὰ τὸ ἡττῆσθαι τῆς πατρῴας ἀρετῆς, οὐδὲ διὰ τὸ μὴ δύνασθαί τι κατορθοῦν ἐξ ἰδίας ἰσχύος, οὐδὲν ἀφ' ἑαυτοῦ 2.52 ποιεῖν ἐν τούτοις διισχυρίσατο, ἀλλ' ἐπείπερ ἰσογνώμων ἐστὶ καὶ συνεθελητὴς ἀεὶ τῷ γεννήσαντι πρὸς πᾶν ὁτιοῦν, καὶ οὐδὲν μελετήσας κατὰ μόνας ὥσπερ καὶ διῃρημένως ἐπιτελεῖν. καὶ οὐ δήπου νομιοῦμεν εἰς ἐκτόπους ἐννοίας κατολισθαίνοντες προαιρετικήν τινα καὶ ἑκτικὴν ἀρετὴν ἐν δείκνυσθαι τὸν Υἱὸν ἐν τούτοις, φύσεως δὲ μᾶλλον ἀτρέπτου καρπὸν, οὐκ ἀξιούσης τὸ θεοπρεπὲς ἐν τῷ τι βουλεύεσθαι δρᾶν. ἐπὶ μὲν γὰρ τῶν κτισμάτων ἅτε δὴ καὶ τρέπεσθαι δυναμένων ἐπὶ τὰ χείρω, καὶ μεταβολαῖς ὑπείκειν ταῖς ἐξ ἀμεινόνων ἐπὶ τὰ αἰσχίονα, καρπὸς ἂν εἴη θεοσεβοῦς τε καὶ φιλαρέτου γνώμης τὸ ἀγαθόν. ἐπὶ δέ γε τῆς θείας καὶ τὰ πάντα ὑπερκειμένης οὐσίας οὐχ οὕτως. ἀλλοιώσεως γὰρ καὶ τροπῆς ἁπάσης ἐξῃρημένης, καὶ τόπον οὐκ ἐχούσης οὐδένα, καρπὸς ἔσται λοιπὸν οὐσίας ἀπαραποιήτου τὸ ἀγα θὸν, ὥσπερ οὖν ἀμέλει καὶ ἐν πυρὶ τὸ θερμὸν, ἢ ἐν χιόνι τὸ ψυχρόν· οὐ γὰρ ἐν θελήσει τὸ πῦρ τὴν ἰδίαν ἐνέργειαν ἔχον ὁρᾶται, φυσικὴν δὲ μᾶλλον καὶ οὐσιώδη, ἑτέρως ἔχειν οὐ δυνάμενον, εἰ μὴ ἄρα ποιεῖν τοῖς τοῦ πεποιηκότος ἐκβιάζηται νεύμασιν. οὐκοῦν οὐ καθάπερ ἡμεῖς, ἀλλ' οὐδὲ ἕτερόν τι τῶν λογικῶν κτισμάτων, ἐκ προαιρέσεως τῆς ἐξαιρέτου δια κρατούμενος εἰς τὸ δρᾶν ἐπείγεσθαι τὸ ἀρέσκον τι Θεῷ καὶ Πατρὶ τὰ τοιαῦτά φησιν ὁ Μονογενὴς, ἀλλ' ὡς φύσεως ἰδίας θεσμοῖς ἀκολουθῶν, καὶ οὐδὲν ἕτερον εἰδὼς φρονεῖν τε καὶ πράττειν, εἰ μὴ τὰ ἐν θελήσει τοῦ γεννήσαντος αὐτόν. πῶς γὰρ ἂν ὅλως ἡ ὁμοούσιός τε καὶ μία θεότης αὕτη καθ' ἑαυτῆς διχονοήσαι ποτέ; ἢ πῶς ἂν τὸ μὴ αὐτῇ φίλον ἐργάσαιτο, τινὸς αὐτὴν ἐφ' ἕτερόν τι παρατρέπειν ἰσχύοντος; εἰ γὰρ ὑφέστηκεν ἰδίᾳ καὶ καθ' ἑαυτὸν ὁ Θεὸς καὶ Πατὴρ, 2.53 ὁμοίως δὲ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἀλλ' οὖν εἰς ὁλοτελῆ μερισμὸν ἡ ἁγία καὶ ὁμοούσιος οὐ διασπασθήσεται Τριὰς, εἰς μίαν δὲ μᾶλλον θεότητος φύσιν σύμπαν αὐτῆς ἀναβαίνει τὸ πλήρωμα. πρὸς δέ γε τούτοις κἀκεῖνο περισκεπτέον, ὡς οὐδεὶς ἂν εἰκότως καθέλοι λόγος τῆς πρὸς τὸν Πατέρα φυσικῆς ταυτότητος τὸν Υἱόν· ἐπείπερ ποιεῖν τὰ ἀρεστὰ αὐτῷ πάντοτε διισχυρίσατο, ὁμοούσιος δὲ μᾶλλον ὑπάρχων αὐτῷ, καὶ διὰ τούτου γνωσθήσεται καὶ Θεὸς ἐκ Θεοῦ κατὰ φύσιν καὶ ἀληθινός. τίς γὰρ ἂν εἰπέ μοι φρονήσει τὰ Θεοῦ θεοπρεπῶς τε καὶ ἀπαραλλάκτως, εἰ μὴ καὶ αὐτὸς ὑπάρχοι κατὰ φύσιν Θεός; ἢ τίς ἂν ἐπιτελέσαι πάντοτε τὸ ἀρέσκον αὐτῷ, μὴ οὐχὶ τὴν φύσιν ἄβατον ἔχων τοῖς χείροσι, καὶ τὸ ἐξαίρετον τῆς θείας φύσεως ἀξίωμα λαχὼν, τὸ μὴ εἰδέναι φημὶ τὸ ἁμαρτεῖν; περὶ μὲν γὰρ τῶν κτισμάτων εἴρηται "Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παῤῥησιά "σεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν;" ὅτε καὶ εἰς ἄκρο τάτην ὑπερβολὴν ἀνατείνουσα τὸ εἰρημένον ἡ θεία γραφή " Αστρα δὲ, φησὶν, οὐ καθαρὰ ἐνώπιον αὐτοῦ." ἄγγελοι μὲν γὰρ καίτοι κατὰ πολὺ τῶν καθ' ἡμᾶς διαλλάττοντες, καὶ στάσιν ἔχοντες ἑδραιοτέραν τὴν εἰς ἀρετὴν, οὐ τετηρήκασι "τὴν ἑαυτῶν ἀρχήν·" διὰ γὰρ τὸ κατεσπᾶσθαί τινας ὅλως ἐκεῖθεν καὶ πεσεῖν εἰς ἁμαρτίαν, ὅλη κατηγορεῖται τῶν λογικῶν κτισμάτων ἡ φύσις ὡς ἁμαρτίας δεκτικὴ, καὶ τροπῆς τῆς ἐπὶ τὸ χεῖρον ἀμοιρεῖν οὐκ ἰσχύουσα· ζῷον δὲ τὸ ἐπὶ τῆς γῆς λογικόν τε [καὶ] θεοείκελον, οὐδὲ ἐν μακροῖς ἐξώλισθε χρόνοις, ἀλλ' ἐν πρώτῳ πέπτωκε τῷ Ἀδάμ. οὐκοῦν ἀπείρηται παντελῶς τῇ κτίσει τὸ ἀμετάφορον καὶ ἄτρεπτον, καὶ τὸ ὡσαύτως ἔχειν δύνασθαι φυσικῶς· μόνῳ γὰρ ἁρμόσει τῷ κατὰ ἀλήθειαν ὄντι Θεῷ. τοῦτο δὲ ἐν Υἱῷ διαφαίνεται καλῶς· "ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, ὡς ὁ Παῦλός φησιν, 2.54 "οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ·" Θεὸς οὖν ἄρα καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς τοῦ ἁμαρτάνειν καὶ τρέπε σθαι μὴ εἰδότος, καὶ τὸ πρέπον τῇ ἰδίᾳ φύσει μὴ ἐκτρέχοντός ποτε. ὅταν οὖν τὰ ἀρεστὰ τῷ Πατρὶ ποιεῖν ὁμολογῇ πάν τοτε, σκανδαλιζέσθω μηδεὶς, μηδὲ ἐν ἐλάττοσιν ἢ ἐν οἷς ἐστιν ὁ Πατὴρ, ὑπάρχειν οἰέσθω τὸν ἐξ αὐτοῦ, φρονείτω δὲ μᾶλλον εὐσεβῶς, ὡς δὲ Θεὸς ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεοῦ κατὰ φύσιν εἰς ταυτοβουλίαν καὶ, ἵν' οὕτως εἴπω, ταυτοεργίαν ἀναβαίνει τῷ φύσαντι. Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. Τὸ σμικροπρεπὲς ἐν τῷ λόγῳ πολλάκις ἐπιτηδεύοντα τὸν Χριστὸν, διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν, καὶ μέγα τι τὸ ἐντεῦθεν κατορθοῦν εἰωθότα θαυμάζει πάλιν ἐντεῦθεν ὁ σοφὸς Εὐαγγελιστής· παρὸν γὰρ ὡς Θεῷ τὰ πάντα λαλεῖν, ἐλευθέραν τε καὶ βασιλικὴν ἔχουσαν τὴν ἐφ' ἅπασιν ἐξου σίαν ποιεῖσθαι τὴν διάλεξιν, συμμετριάσας οἰκονομικῶς ἕξει τὸν λόγον, σαγηνεύει μὲν εἰς εὐπείθειαν πολλοὺς, προσ εδρεύειν τε λοιπὸν πολλοὺς ὑποπείθει σπουδαιότερον αὐτῷ. οὐκοῦν οὐκ εἰκαῖον τῷ Σωτῆρι τὸ ἐπιτήδευμα, φημὶ δὲ τὸ λαλεῖν τοῖς ὄχλοις ἀνθρωποπρεπέστερον· ἀπεθρασύνοντο γὰρ οὐ μικρῶς, καὶ ἀπεφοίτων εὐκόλως αὐτοῦ τῶν ἀμαθε στέρων τινὲς, ἄνθρωπον βλέποντες, καὶ θεοπρεπῶν ἀκού οντες λόγων. ἐπειδὴ δὲ ἦν ἐν ταὐτῷ Θεὸς καὶ ἄνθρωπος, ἀκατηγόρητον ἔχων ἐπ' ἄμφω τὴν ἐξουσίαν, καὶ ἀνεγκλήτως καθ' ὅνπερ ἂν βούλοιτο τρόπον διαλέγεσθαι δυνάμενος, ταῖς τῶν ἀκροωμένων ἐλαφρίαις εὖ μάλα ποιῶν συνεπλάττετο, τὰ ἀνθρώπῳ πρέποντα πολλάκις περὶ ἑαυτοῦ ποικίλως ἐξηγού μενος, οἷον δέ τι φημὶ τό Ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ, καὶ τὰ τούτοις ἀδελφά· συνιέντες γὰρ ὅλως οὐδὲν, ἀβασανίστως δὲ 2.55 μᾶλλον τοῖς λεγομένοις προσβάλλοντες, ἐπὶ τὸν κοινὸν δὴ τοῦτον καὶ πρόχειρον τοῖς πολλοῖς ἐβάδιζον νοῦν· ᾤοντο δὲ λέγειν αὐτὸν ὅτι Καὶ λαβὼν παρὰ Θεοῦ τὸ δύνασθαι θαυμα τουργῶ, καὶ ὅτι μετ' ἐμοῦ ἐστιν, ἐπείπερ "αὐτῷ τὰ ἀρεστὰ "ποιῶ πάντοτε." Συμφρονοῦσιν οὖν ἄρα τοῖς ἀνοσίοις Ἰουδαίοις οἱ ἐπά ρατοι τῆς ἀληθείας ἐχθροὶ καὶ, τοῖς τῆς εὐσεβείας ἀντιπράτ τοντες δόγμασι, μικρὰ περὶ τοῦ Κυρίου φιλονεικοῦντες βουλεύονται, καὶ τὰ οἰκονομικῶς τε καὶ καλῶς εἰρημένα, πρὸς καθαίρεσιν τῆς ἐνούσης αὐτῷ δόξης τε καὶ ἐξουσίας ἁρπάζοντες, τὸ τῆς ἀληθείας παρακλέπτουσι κάλλος. οὐ γὰρ διαμέμνηνται κατὰ τὸ εἰκὸς Παύλου μὲν λέγοντος, ὅτι χρὴ λογισμοὺς καθαιρεῖν "καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ "τῆς γνώσεως τοῦ Θεοῦ, αἰχμαλωτίζειν τε πᾶν νόημα εἰς" Χριστὸν καὶ εἰς τὴν ὑπακοὴν αὐτοῦ· ἠγνοήκασι δὲ πάλιν τὸ περὶ τῶν θείων εἰρημένον λογίων δι' ἑνός που τῶν προφητῶν "Τίς σοφὸς καὶ συνήσει ταῦτα; ἢ συνετὸς καὶ "ἐπιγνώσεται ταῦτα;" εἰ μὴ γάρ τις αὐτοῖς πολλὴ λίαν ἐπεπόλαζεν ἀσάφεια, καὶ βαθύ τι καὶ σκοτεινὸν ἐπενήχετο κάλυμμα, τίς ἡ χρεία τοῦ ζητεῖσθαι σοφὸν καὶ συνετὸν, ὃς ἂν εὑρεῖν δύναιτο τὴν τούτων ἐπίγνωσιν; Ἀλλὰ τούτων μὲν ἅλις πρὸς τὸ παρὸν, ἐροῦμεν δὲ μᾶλλον ἀπὸ τῶν προκειμένων ἑλόντες τι χρήσιμον. ἐπί στευον τὰ τοιαῦτα λέγοντι τῷ Χριστῷ, καθά φησιν ὁ Εὐαγγελιστὴς, οὐ πάντες, ἀλλὰ πολλοί· ἀλλὰ καίτοι Θεὸς ὑπάρχων ἀληθινὸς, καὶ οὐδὲν ἔχων ἐν ὀφθαλμοῖς, ὃ μὴ πάντως ἐστὶ γυμνὸν, εἰδώς τε καὶ λίαν ἀκριβῶς, ὡς οὐχ ἅπαντας ἁρπάσει πρὸς εὐπείθειαν, διεκαρτέρει μακροὺς ἀνα λίσκων λόγους τοῖς προσιοῦσιν αὐτῷ, κάλλιστον ἡμῖν ὑπο 2.56 γραμμὸν καὶ διὰ τούτων διδοὺς, καὶ τύπον ἑαυτὸν τοῖς τῆς Ἐκκλησίας διδασκάλοις ἀνατιθείς. εἰ γὰρ καὶ μὴ πάντες ὠφελοῖντο τυχὸν ἕνεκά γε τῆς σφῶν αὐτῶν μοχθηρίας, ἀλλ' ἐπείπερ εἰκὸς ἀπόνασθαί τινας τῆς ἐντεῦθεν σπουδῆς, οὐκ ὀκνητέον περὶ τὴν τῶν συμφερόντων ὑφήγησιν. καταχων νῦντες γὰρ ὥσπερ εἰς ἄκαρπον σιωπὴν τὸ δοθὲν ἡμῖν τάλαντον, τουτέστι, τὴν διὰ τοῦ Πνεύματος χάριν, κατ' ἐκεῖνον ἐσόμεθα τὸν πονηρὸν οἰκέτην τὸν ἀνέδην λέγοντα τῷ οἰκείῳ δεσπότῃ "Ἤιδειν ὅτι σκληρὸς ἄνθρωπος εἶ, "θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρ "πισας, καὶ φοβηθεὶς κατέχωσα τὸ τάλαντόν σου. ἴδε "ἔχεις τὸ σόν." ἀλλ' εἰς οἷον ὁ οὕτω δειλὸς κατέστρεψε τέλος, καὶ ποίαν ἐξήτησε δίκην, ἔγνω που πάντως ὁ φιλο μαθὴς τοῖς εὐαγγελικοῖς οὐχ ἅπαξ περιτυχὼν συγγράμ μασιν. οὐκοῦν ἐκεῖνο διενθυμούμεθα, καὶ σκοπῶμεν ὀρθῶς, ὡς ὄκνου μὲν ἀπηλλάχθαι προσήκει παντὸς, τοῦ πρὸς τὸ χρῆναι διδάσκειν φημὶ, τὸν εἰς τοῦτο προκεχειρισμένον, τρέπεσθαι δὲ πρὸς ὀλιγωρίας οὐδαμῶς, εἰ καὶ μὴ πάντες τοῖς παρ' αὐτοῦ καταπείθωνται λόγοις, χαίροις δὲ μᾶλλον ἐφ' οἷσπερ ἂν ὅλως ἀποκερδαίνοι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πονῶν, ἐννοεῖν δὲ καὶ μάλα σωφρόνως ἀκόλουθον τὸ διὰ τοῦ Σωτῆρος ἡμῶν εἰρημένον "Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ "δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἀρκετὸν τῷ μαθητῇ ἵνα "γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ τῷ δούλῳ ὡς ὁ "κύριος αὐτοῦ." εἰ γὰρ οὐ πάντας ὁ Κύριος πείθει διὰ τὴν τῶν ἀκροωμένων σκαιότητα καὶ σκληροκαρδίαν, τίς ἀσθε νοῦντα τὸν παρ' ἡμῶν αἰτιάσεται λόγον, καίτοι προαιρετικὴν ἀπαιτοῦντα καὶ οὐκ ἐξ ἀνάγκης τὴν σύνεσιν; 2.57 Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ. Τρόπον ἀπαιτεῖ τοὺς πιστεύσαντας τὸν ἐρηρεισμένον καὶ πεπήγοτα καὶ ἑτοίμως ἔχοντα πρὸς διαμονὴν τοῦ καθάπαξ αἱρεθέντος αὐτοῖς ἀγαθοῦ. τοῦτο δὲ ἦν ἡ πίστις ἡ εἰς αὐτόν. τὸ γὰρ ἐπαμφοτερίζειν ἀνόητόν τε καὶ ἀκερδὲς ἀποφαίνει παντελῶς, ἐπεὶ καὶ "Ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις "ταῖς ὁδοῖς ἑαυτοῦ," καθὰ γέγραπται. τὸ δὲ ἀπρὶξ ἅπτε σθαι τῶν λυσιτελούντων ἐπείγεσθαι, σοφὸν ὄντως ἐστὶ καὶ ἐπωφελέστατον. ὅσον μὲν οὖν ἧκεν εἰς τὸ νοῆσαι προ χείρως, ἐκεῖνό φησιν, ὡς εἴπερ ἂν βούλοιντο τοῖς παρ' αὐτοῦ καταπείθεσθαι λόγοις, τότε δὴ πάντως καὶ αὐτοῦ χρημα τιοῦσι μαθηταί. ὅσον δὲ εἰς τὸ συνιέναι τι κεκρυμμένον, ἐκεῖνο δηλοῖ· λέγων γὰρ ὅτι Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, φαίνεταί πως αὐτοὺς ἀγωγῶς τε καὶ πράως διδαγμάτων ἐξέλκων τῶν Μωσαϊκῶν, καὶ τῆς μὲν τοῦ γράμματος προσ εδρείας ἀφιστὰς, οὐκέτι τε τοῖς ἐν τύπῳ λαληθεῖσί τε καὶ πεπραγμένοις προσκεῖσθαι κελεύων, μᾶλλον δὲ τῷ λόγῳ τῷ παρ' αὐτοῦ, ὅπερ ἐστὶν ἐναργῶς τὸ εὐαγγελικὸν καὶ θεσπέσιον κήρυγμα. ἐλάλει γὰρ καὶ πάλιν πρὸς ἡμᾶς διὰ τῶν ἁγίων προφητῶν, ἀλλ' ἦσαν οἱ μεσιτεύοντες, οἱ δι' ὧν δηλονότι τοὺς πρὸς ἡμᾶς ἐποιεῖτο λόγους. λόγος δὲ κυρίως αὐτοῦ τὸ εὐαγγελικὸν νοηθήσεται κήρυγμα· οὐ γὰρ δι' ἑτέρου πρὸς ἡμᾶς, ἀλλὰ δι' αὐτοῦ γεγονὸς εὑρίσκομεν· διὰ γάρ τοι τοῦτο καὶ ἐνανθρωπήσας φησίν "Αὐτὸς ὁ λαλῶν πάρειμι." ἐπι μαρτυρήσει δὲ καὶ ὁ Παῦλος λέγων ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ "Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς 2.58 "λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις ἐπ' ἐσχάτου τῶν "ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ." οὐκοῦν αὐτουργὸς ἡμῖν εἰς διδασκαλίαν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς γέγονεν ὁ Υἱός. διά τοι τοῦτο λόγος αὐτοῦ κυρίως ὀνομασθήσεται μάθημα τὸ εὐαγγελικόν. ἦν μὲν γὰρ ἀκόλουθον γυμνότερόν πως καὶ ἀπημφιεσμένως εἰπεῖν Οἱ τὴν πίστιν τὴν εἰς ἐμὲ παραδεδεγμένοι, καὶ ὀψὲ μὲν, ὅμως δ' οὖν ἐπεγνωκότες τὸν ἄνωθεν ὑμῖν διὰ νόμου καὶ προφητῶν κηρυττόμενον, μηκέτι τοῖς διὰ Μωυσέως προσπέπηχθε τύποις, μηδὲ ταῖς κατὰ τὸν νόμον προσεδρεύειν σκιαῖς ἀναπείθεσθε, μηδὲ ἐν ἐκείνοις ὅλως τὴν τῆς σωτηρίας ὁρίζεσθε δύναμιν, ἀλλ' ἐν μαθήμασιν τοῖς πνευματικοῖς, καὶ ἐν τοῖς εὐαγγελικοῖς καὶ δι' ἐμοῦ κηρύγμασιν· ἀλλ' ἦν οὐκ ἀπεικὸς, μᾶλλον δὲ ἤδη καὶ ἀνενδοιάστως ἔχον, ὡς ἄρτι καὶ μόλις τὴν πίστιν παρα δεξάμενοι, σαλευομένην τε καὶ εὐανάτρεπτον εἰς μετάστασιν ἔχοντες τὴν διάνοιαν, οὐκ ἂν τῶν τοιούτων ἀνέσχοντο λόγων, ἀλλ' οὐκ ἂν διεκαρτέρησαν ὅλως ἑτοίμως ἀεὶ πίπτοντες εἰς ὀργὴν, ὡς ὑβριζομένου δὲ διὰ τούτων τοῦ πανσόφου Μωυ σέως, καὶ πεμπομένου πρὸς τὸ μηδὲν διὰ τοῦ καταφρονεῖσθαι δι' αὐτοῦ τὰ τοῖς ἀρχαιοτέροις διωρισμένα, πρὸς τὴν οἰκείαν εὐκόλως ἐτράποντο τόλμαν, καὶ τὸ συναγορεύειν ἐκείνῳ μελετῶντες ἀεὶ, παρ' οὐδὲν ἂν ἐποιήσαντο τὸ πιστεύειν ἔτι βούλεσθαι τῷ Χριστῷ. οἰκονομικῶς τοιγαροῦν καὶ ἐπεσκια σμένως ἔτι τοῖς ἑαυτοῦ λόγοις ἀντιδιαστέλλων τὰ Μωυσέως, τουτέστιν, ἀντιπαρεξάγων τῷ νόμῳ τὸ κήρυγμα τὸ εὐαγγε λικὸν, καὶ πολὺ λίαν ἐν ἀμείνοσι τῶν ἀρχαιοτέρων τὰ νέα τιθεὶς παιδεύματα Ἐὰν ὑμεῖς φησι μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ὄντως μαθηταί μου ἐστέ· οἱ γὰρ ὁλοκλήρῳ διαλάμποντες πίστει, καὶ ἀνενδοιάστως εἰς νοῦν τὸ εὐαγγελικὸν παραδεξά 2.59 μενοι μάθημα, σκιᾶς τε τῆς κατὰ νόμον οὐ σφόδρα φροντί ζοντες, μαθηταὶ κατὰ ἀλήθειάν εἰσι τοῦ Χριστοῦ· οἱ δὲ μὴ τοῦτον αὐτὸν προσιόντες τὸν τρόπον ἑαυτοὺς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαπαίζουσι, τὸ εἶναι μαθηταὶ κατὰ ἀλήθειαν οὐκ ἔχοντες, διά τε τοῦτο τῆς σωτηρίας ἐκπεπτωκότες. καὶ γοῦν ὁ μακάριος Παῦλος τοῖς ἐκ νόμου δικαιοῦσθαι μετὰ τὴν πίστιν ἀνοήτως ἐθέλουσι, διαῤῥήδην ἐπιστέλλει "Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ οἵ "τινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε." θαυ μαστὸν οὖν ἄρα καὶ τίμιον ἡ μονότροπος πίστις, καὶ τὸ ἀκολουθεῖν ἀραρότως βούλεσθαι τῷ Χριστῷ τὰς ἐκ νόμου σκιὰς εἰς τὴν ἐπ' αὐτῷ περιέλκοντας γνῶσιν, καὶ τὰ αἰνιγ ματωδῶς εἰρημένα πρὸς τὴν πνευματικὴν μεταπλάττοντας παίδευσιν. κηρύττεται γὰρ διὰ νόμου καὶ τῶν προφητῶν τὸ ἐπ' αὐτῷ μυστήριον. Καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. Ἀμυδρὸς μὲν ἔτι, καὶ οὐ σφόδρα διαφανὴς ὁ λόγος· ὠδίνει δ' οὖν ὅμως ἀδελφὴν τοῖς πρὸ αὐτοῦ τὴν δύναμιν, καὶ διὰ τῶν αὐτῶν ἡμῖν εἶσι θεωρημάτων ἑτεροτρόπως ἐξυφασμένος. ἀποδημεῖν γὰρ καὶ αὐτὸς ἀναπείθει καὶ λοιπὸν ἀπανίστασθαι φιλεῖν τῆς κατὰ νόμον λατρείας τοὺς ἅπαξ πεπιστευκότας· παιδαγωγῶν δὲ ἡγεῖσθαι τὴν σκιὰν εἰς τὴν ἐπ' αὐτῷ γνῶσιν, καὶ τὰ ἐν τύποις ἀφέντας καὶ αἰνίγμασιν, ἐπ' αὐτὴν ἰέναι γοργῶς τὴν ἀλήθειαν, τουτέστι, Χριστὸν τὸν τῆς ἀληθοῦς ἐλευθερίας δοτῆρα καὶ λυτρωτήν. γνώσεσθε τοίνυν φησὶ τὴν ἀλήθειαν τοῖς ἐμοῖς ἐμμένοντες λόγοις, ἀπὸ δὲ τοῦ γνῶναι τὴν ἀλήθειαν τὴν παρ' αὐτῆς ὠφέλειαν εὑρήσετε. καὶ δέχου μοι πάλιν τοιοῦτόν τι λέγοντα πρὸς Ἰουδαίους τὸν Κύριον· ἐκπλατῦναι γὰρ οἶμαι δεῖν καὶ τὸ ἐν τῷ προκειμένῳ θεώρημα, διὰ τὸ τοῖς ἐντευξομένοις λυσιτελοῦν· πικρὰν ἐν Αἰγύπτῳ, φησὶν, ὑπεμείνατε τὴν 2.60 δουλείαν, καὶ μακρὸς ὑμᾶς ἀνήλωσε πόνος τὴν ὑπὸ τῷ Φαραῷ θητείαν εἰσδεδυκότας, ἀλλ' ἐβοήσατε τὸ τηνικάδε πρὸς τὸν Θεὸν, καὶ πρὸς ἔλεον τὸν ἐφ' ὑμῖν κεκινήκατε, ταῖς ἐνούσαις ὑμῖν ἐποιμώζοντες συμφοραῖς ἐξ οὐρανῶν ἐζητεῖτε τὸν λυτρωτήν· ἐπεφοίτων δὲ ὑμῖν παραχρῆμα καὶ τότε, καὶ γῆς μὲν ὑμᾶς τῆς ἀλλοτρίας ἐξέπεμπον, ὠμοτάτης δὲ σφόδρα τυραννίδος ἐξελὼν πρὸς ἐλευθερίαν ἐκάλουν. ἀλλ' ἵνα μανθάνητε τὸν ἐπίκουρον καὶ λυτρωτὴν, κατέ γραφον ὑμῖν ἐν προβάτου σφαγῇ τὸ ἐμαυτοῦ μυστήριον, καὶ τὴν δι' αἵματος σωτηρίαν προανατυποῦν ἐκέλευον τότε· διεσώζεσθε γὰρ καταχρίοντες ἑαυτούς τε καὶ τὰς φλιὰς τῷ αἵματι τοῦ ἀμνοῦ. οὐκοῦν ἀπὸ τῶν τύπων ἔξω τὸ βραχὺ πηδήσαντες, ὅταν μανθάνητε τὴν ἀλήθειαν, ἔσεσθε δὴ πάντως καὶ ἀληθῶς ἐλεύθεροι. καὶ ἀμφιβαλέτω, φησὶν, ἐπὶ τούτῳ μηδείς. εἰ γὰρ τοσούτων ὑμῖν ἀγαθῶν ὁ τύπος τότε γέγονε πρόξενος, πῶς οὐχὶ μᾶλλον ἡ ἀλήθεια πλουσιωτέραν ἐπιδί δωσι τὴν χάριν; Τοιαῦτα μὲν δὴ τὸ κωλύον οὐδὲν πρὸς Ἰουδαίους ὑποτοπῆ σαι λέγειν τὸν Ἰησοῦν, εἰς πλατεῖαν ἐκτρέχοντος θεωρίαν τοῦ λόγου· εἰκὸς δέ τινα καὶ ἑτέραν ἡμῖν ἐκ τῶν προκειμένων ἀναλάμψαι τὴν διάνοιαν. ὁ νόμος ὁ διὰ Μωυσέως βαπτισ μοὺς ἐτύπου καὶ περιῤῥαντήρια, ἀλλὰ καὶ ὅτῳ τυχὸν ἁλῶναι συμβέβηκε καὶ τῷ τῆς ἁμαρτίας βόθρῳ περιολισθεῖν, θύειν ἐκέλευε μόσχον ἢ πρόβατον, οὕτω τε τὰ ἐφ' οἷς ἂν ἕκαστος πλημμελῇ περικόπτειν ἐγκλήματα. ἀλλ' οὐδὲν ἐκεῖνα πρὸς ἀπόνιψιν ἁμαρτίας. οὐ γὰρ ἂν ἐξέλοι ποτὲ τῆς αἰτίας τοὺς κατεγνωσμένους, ἀλλ' οὐδὲ τοῦ κολάζεσθαι δεῖν ἐλευθέρους ἀποφαίνει, τοὺς οἷς ὁ θεῖος πεπάτηται νόμος. τί γὰρ ἂν ὀνήσαι τὸν ἄνθρωπον τὸ βουθυτεῖν πλημμελήσαντα, ἐν δὲ 2.61 τῷ μηλοσφαγεῖν ποῖον ἂν εὕρῃ τις τὸ κέρδος; τί γὰρ χαριεῖται διὰ τούτων οἱονεὶ, ὅσον ἧκεν εἰς τὴν τοῦ νόμου παράβασιν, ὑβρισμένῳ τῷ Θεῷ; αὐτοῦ γὰρ λέγοντος ἄκουσον "Μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων "πίωμαι;" πρὸς τούτοις ἔτι πρὸς Ἰουδαίους ἐναργῶς "Τὰ "ὁλοκαυτώματα ὑμῶν κατὰ τῶν θυσιῶν ὑμῶν συναγάγετε "καὶ φάγετε κρέα, ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας "ὑμῶν περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν, ἀλλ' ἢ τὸ ῥῆμα "τοῦτο ἐνετειλάμην αὐτοῖς λέγων Κρῖμα δίκαιον κρίνατε." οὐκοῦν ἀνόνητος παντελῶς ἡ δι' αἱμάτων προσαγωγὴ, καὶ ἀποπλύνειν οὐκ οἶδε τὴν ἐξ ἁμαρτίας προστετριμμένην ἀνθρώπῳ κηλῖδα. πληροφορήσει δὲ πάλιν, ὅταν ἴδῃς αὐτὸν λέγοντα πρὸς τὴν τῶν Ἰουδαίων μητέρα τὴν Ἱερουσαλὴμ διὰ φωνῆς Ἱερεμίου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου "ἐποίησε βδελύγματα; μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφελοῦσιν "ἀπὸ σοῦ τὰς κακίας σου, ἢ τούτοις διαφεύξῃ;" "Ἀδύνατον "γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας," ὡς ὁ Παῦλός φησιν. ὅτι δὲ ὡς εἰκαίαν μελετῶντες λατρείαν, καὶ τὰς δι' αἱμάτων προσαγωγὰς ἤτοι δωροφορίας ἐπ' οὐδενὶ τῶν χρησίμων ἐπιτελεῖν σπουδάζοντες, τῆς θείας εἰκότως αὐλῆς ἐξεπέμποντο, διδάξει σαφῶς καὶ διὰ φωνῆς Ἡσαΐου λέγων "Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε· ἐὰν "φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα, βδέλυγμά μοι ἐστίν." οὐκοῦν οὐκ ἐν ἐκείνοις· τοῖς ἐν νόμῳ διατεταγμένοις φημί· ἡ ἀληθὴς σωτηρία, ἀλλ' οὐδ' ἂν ἕλοιτό τις ἐκεῖθεν τὴν τριπόθητον ἐλευθερίαν, τὴν ἐκ τῆς ἁμαρτίας φημί· ὀλίγον δὲ τῶν τύπων ἀναπηδήσαντες, καὶ τῆς ἐν πνεύματι λατρείας περιαθροῦντες ἤδη τὸ κάλλος, ἐπεγνωκότες τε τὴν ἀλήθειαν, τουτέστι, τὸν Χριστὸν, διὰ τῆς εἰς αὐτὸν πίστεως δικαιού 2.62 μεθα· δικαιούμενοι δὲ πρὸς ἐλευθερίαν τὴν ἀληθῆ διαβαί νομεν, κατατατττόμενοι λοιπὸν οὐκ ἐν δούλοις ἔτι καθάπερ καὶ πρότερον, ἀλλ' ἐν υἱοῖς δηλονότι Θεοῦ. καὶ μαρτυρήσει λέγων ὁ Ἰωάννης περί τε Χριστοῦ καὶ τῶν πιστευόντων εἰς αὐτόν "Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν "τέκνα Θεοῦ γενέσθαι." χρησίμως τοιγαροῦν ὁ Κύριος καὶ Χριστὸς ἡμῶν, τὸ μὲν θαυμάζειν ἔτι τὰς ἐν νόμῳ σκιὰς οὐκ ἐᾷ τοὺς πιστεύοντας εἰς αὐτόν· οὐδὲν γὰρ ἐν ἐκείναις τὸ ὠφελοῦν, ἤτοι τῆς ἀληθοῦς ἐλευθερίας πρόξενον· ἐπιγνῶναι δὲ μᾶλλον ἐπιτάττει τὴν ἀλήθειαν. διὰ ταύτης γὰρ αὐτοὺς ἀραρότως ἐλευθερωθήσεσθαι λέγει, κατὰ τὴν ἐν τοῖς εἰρη μένοις δύναμιν. Σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσεσθε; Διαγελῶσι πάλιν τοῦ Σωτῆρος ἡμῶν τὴν ὑπόσχεσιν, μᾶλλον δὲ ἤδη καὶ δυσφοροῦσιν ὡς ὑβρισμένοι. τὸ γὰρ ᾧ δουλείας μετέστιν οὐδὲν, πῶς ἂν δέοιτο, φησὶ, τοῦ πρὸς ἐλευθερίαν καλοῦντος ἡμᾶς, καὶ ὡς ἐν προσθήκης μέρει τὸ ἐνυπάρχον ἤδη διδόντος· ἀγνοοῦσι δὲ, καίτοι δοκησισοφεῖν εἰωθότες, ὅτι γέγονε μὲν ὁ προπάτωρ Ἀβραὰμ οὐ πατρὸς ἐπισήμου κατὰ τὸν κόσμον, ἀλλ' οὐδὲ τοῖς ἐν τῷδε τῷ βίῳ θαυμαζομένοις περιφανέστατος, κατελαμπρύνθη δὲ διὰ μόνης τῆς πίστεως τῆς εἰς Θεόν· "Ἐπίστευσε δὲ Ἀβραάμ φησιν, "τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην ἡ πίστις, καὶ "φίλος Θεοῦ ἐκλήθη." ὁρᾷς δὴ οὖν καὶ μάλα σαφῶς τῆς ἐν ἐκείνῳ λαμπρότητος τὴν αἰτίαν. ἐπειδὴ γὰρ κεχρημάτικε φίλος τοῦ πάντων κρατοῦντος Θεοῦ, γέγονε διὰ τοῦτο μέγας 2.63 καὶ ἀοίδιμος, ἐλογίσθη δὲ αὐτῷ ἡ πίστις εἰς δικαιοσύνην, καὶ πρόφασις αὐτῷ γέγονεν ἐλευθερίας τῆς κατὰ Θεὸν ἡ ἐκ πίστεως δικαιοσύνη. οὐκοῦν ὅτε πιστεύσας ἐδικαιώθη, τουτ έστιν, ὅτε τὴν ἐκ τῆς ἁμαρτίας δυσγένειαν ἀπεσείσατο, τότε πέφηνε λαμπρὸς καὶ εὐγενὴς καὶ ἐλεύθερος. ἀνοήτως τοι γαροῦν οἱ Ἰουδαῖοι τὴν καὶ αὐτὸν ἐλευθερώσασαν τοῦ γένους τὸν ἀρχηγέτην περιπτύοντες χάριν, ἐπὶ μόνον τὸν δι' αὐτῆς ἐλευθερωθέντα βαδίζουσιν, ἀλλ' οὐδὲ ὅθεν ἐστὶν, ἢ ὅποι ποτὲ βλέποι, τὸ ἐν ἐκείνῳ λαμπρὸν περισκεψάμενοι, τὸν τῶν ἐν αὐτῷ καλλίστων ἀτιμάζουσι χορηγὸν, καὶ τὴν ἁπάσης εὐγενείας ἀφέντες πηγὴν, ἐπὶ τῷ ταύτης μετεσχηκότι φρο νοῦσι μέγα· ἁλώσονται δὲ καὶ ἐπὶ τῷ μηδενὶ δουλεῦσαι πώποτε μάτην ἐπικομπάζοντες, καὶ διεψευσμένος αὐτοῖς καὶ ὁ περὶ τούτου λόγος οὐδὲν ἧττον διελεγχθήσεται. δεδουλεύ κασι μὲν γὰρ Αἰγυπτίοις ἔτη τὸν ἀριθμὸν τετρακόσια καὶ τριάκοντα, καὶ διὰ τῆς ἄνωθεν χάριτος μόλις ἐξεκομίσθησαν ἐξ οἴκου δουλείας, καὶ ἐκ καμίνου σιδηρᾶς, καθὰ γέγραπται, τῆς Αἰγυπτίων πλεονεξίας δηλαδή. δεδουλεύκασι δὲ καὶ Βαβυλωνίοις καὶ Ἀσσυρίοις, ὅτε πᾶσαν τὴν Ἰουδαίων ἀναστήσαντες χώραν, καὶ αὐτὴν δὲ τὴν Ἱερουσαλὴμ, εἰς τὴν ἑαυτῶν ὅλον μετέθεσαν τὸν Ἰσραήλ. οὐδαμόθεν τοιγαροῦν τῶν Ἰουδαίων ὑγιὴς ὁ λόγος· πρὸς τῷ γὰρ τὴν ἀληθεστέραν ἀγνοῆσαι δουλείαν τὴν ἐν ἁμαρτίαις φημὶ, καὶ τὴν ἑτέραν ἀρνοῦνται δυσγενῆ παντελῶς, καὶ ἐπὶ τῷ μηδενὶ πολλάκις μέγα φρονεῖν εἰθισμένην ἔχοντες τὴν διάνοιαν. Ἀπεκρίθη αὐτοῖς ὁ Σωτήρ Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι πᾶς ὁ ποιῶν τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας. Ψυχικοὺς ὄντας αὐτοὺς, καὶ εἰς μόνα βλέποντας τὰ 2.64 σωματικὰ, τῆς μὲν ἐνούσης ἀμαθίας ἐξίστησι, μεταβιβάζει δέ πως ἐπὶ τὰ πνευματικώτερα, καὶ ὥσπερ εἰς ἀτριβῆ τε καὶ ἀήθη παντελῶς μετακομίζει παίδευσιν, τὴν κεκρυμμένην αὐτοῖς καὶ ἐν πολλοῖς ἀγνοηθεῖσαν καιροῖς δουλείαν ὑπο δεικνὺς, καὶ ὅτι μὲν ψευδόμενοι λέγουσι, τό "Οὐδενὶ δεδου "λεύκαμεν πώποτε," παρίησι σοφῶς, ἀλλ' οὐδὲ μάτην ἐπικομπάζειν αὐτοὺς τῇ τοῦ προπάτορος εὐγενείᾳ φησὶν, ἵνα μὴ πάλιν αὐτοὺς ἐφ' ἃ μὴ προσῆκε παροτρύνειν δοκῇ κεκλιμένους ἤδη καὶ πολὺ ῥέποντας εἰς ὀργήν· ἐπ' αὐτὸ δὲ ὥσπερ χωρήσας τὸ ἀναγκαῖον, καὶ ὅπερ ὄντως ἔδει μαθεῖν, δοῦλον εἶναί φησι τῆς ἁμαρτίας τὸν ποιοῦντα αὐτὴν, μόνον δὲ οὐχὶ τοῦτο λέγει Σύνθετόν τι ζῷον, ὦ οὗτοι, κατὰ τὴν γῆν ἄνθρωπος, ἐκ ψυχῆς δηλονότι καὶ σώματος, καὶ ἡ μὲν κατὰ σάρκα δουλεία περὶ τὴν σάρκα ἐστὶν, ἡ δὲ ἐν ψυχῇ καὶ περὶ ψυχὴν τελουμένη, βάρβαρον ἔχει μητέρα τὴν ἁμαρτίαν. τὸ μὲν οὖν κατὰ σάρκα τῆς δουλείας ἀφεῖναι τὸν ἄνθρωπον ἡ τῶν κρατούντων ἐξουσία κεκτήσεται, τὸ δὲ ἐκ τῆς ἁμαρτίας ἐλευθεροῦν, μόνῳ μὲν ἂν πρέποι κατειρῆσθαι Θεῷ, ἁρμόσει δὲ τῶν ἄλλων οὐδενί. οὐκοῦν ἀναπείθει τὰ εἰκότα φρονεῖν, καὶ τῆς ὄντως τε καὶ ἀληθοῦς ἐλευθερίας ἐφίεσθαι, ζητεῖν δὲ οὕτω λοιπὸν οὐ τὴν τῶν προγόνων λαμπρότητα πρὸς οὐδὲν οὖσαν αὐτοῖς εἰς τοῦτο λυσιτελῆ, μόνον δὲ τὸν τῶν ἰδίων νόμων κατεξουσιάζοντα Θεὸν, ὧν ἡ παράβασις τὴν ἁμαρτίαν δημιουργεῖ τῆς ἐν τῇ ψυχῇ δου λείας τὴν τροφόν. ἔοικε δέ πως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λεληθότως ἔτι καὶ πολὺ κατεσκιασμένως ἐλέγχειν αὐτοὺς, ὡσανεὶ μάτην ἐπ' ἀνθρώπῳ φρονοῦντας μέγα, ἐλεύθε ρόν τε ὑπάρχειν παντελῶς οἰομένους τὸν μακάριον Ἁβραάμ. τῷ γὰρ γενικώτερον ἀποφήνασθαι πάντα τὸν ποιοῦντα τὴν 2.65 ἁμαρτίαν δοῦλον εἶναι τῆς ἁμαρτίας, καὶ αὐτὸν εἴσω βρόχων ποιεῖται τὸν Ἁβραὰμ δοῦλον ὄντα τῆς ἁμαρτίας ποτέ· δεδικαίωται γὰρ οὐ δίκαιος ὢν, ἀλλ' ὅτε πεπίστευκε τῷ Θεῷ πρὸς τὴν ἐκ τοῦ δεδικαιῶσθαι κεκλημένος ἐλευθερίαν. καὶ οὐχὶ πάντως τῇ τοῦ δικαίου φιλονεικοῦντες δόξῃ τὰ τοιαῦτά φαμεν, ἀλλ' ἐπείπερ οὐδεὶς ἐν ἀνθρώποις τῶν τῆς ἁμαρτίας βελῶν ἀπείρατος, ὑπηνέχθη δὲ πάντως καὶ ὁ δοκῶν εἶναι μέγας τῷ τῆς ἁμαρτίας ζυγῷ, κατὰ τὸ γεγραμμένον "Οὐκ "ἔστι δίκαιος οὐδεὶς, πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται "τῆς δόξης τοῦ Θεοῦ." δόξα δὲ Θεοῦ πρὸς τοῖς ἄλλοις, καὶ τὸ μηδαμόθεν δύνασθαι περιπεσεῖν ἁμαρτίᾳ, ὃ δὴ καὶ μόνῳ τετήρηται τῷ Χριστῷ· μόνος γὰρ γέγονεν "ἐν νεκροῖς "ἐλεύθερος," οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, καίτοι γεγονὼς ἐν νεκροῖς, τουτέστιν ἐν ἀνθρώποις κατατεταγμένος, ὧν ὁ τῆς ἁμαρτίας ποτὲ κατεκράτει θάνατος. Οὐκοῦν· ἀνακεφαλαιώσομαι γὰρ τὸν ἐν τοῖς εἰρημένοις σκοπόν· ὑπηνίττετό πως ὁ Κύριος ὅτι καὶ αὐτὸς ὁ μακάριος Ἁβραὰμ δεδουλευκὼς τῇ ἁμαρτίᾳ ποτὲ, καὶ διὰ μόνης τῆς εἰς Χριστὸν πίστεως ἐλευθερωθεὶς οὐχ ἱκανὸς εἰς ἑτέρους παραπέμψαι τὴν πνευματικὴν εὐγένειαν, ἐπεὶ μηδὲ τοῦ δύνασθαί τινας ἐλευθεροῦν ὑπάρχει κύριος ὁ τὴν ἐκ τῆς ἁμαρτίας δουλείαν οὐ δι' ἑαυτὸν ἀποπεμψάμενος, ἀλλ' οὐδὲ τῆς ἐλευθερίας ἑαυτῷ χορηγὸς ἀναδεικνύμενος, παρ' ἑτέρου δὲ ταύτην λαβὼν, αὐτοῦ δηλονότι τοῦ δικαιοῦντος Χριστοῦ. 2.66 Ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ Υἱὸς μένει εἰς τὸν αἰῶνα. Ἀνελεύθερον ἀποφήνας καὶ ὑπὸ δουλείαν ὄντα πικρὰν τὸν ταῖς ἁμαρτίαις ἔνοχον, ἐπιλέγει χρησίμως, καὶ τίνα μὲν ἔσται τῷ τὴν δουλείαν ἠγαπηκότι, τί δ' αὖ πάλιν ὑπάρξει παρὰ Θεοῦ τοῖς βιοῦν ἑλομένοις ἐννόμως, καὶ ἐν υἱοῖς Θεοῦ διὰ τοῦτο κατατεταγμένοις. Ὁ μὲν γὰρ δοῦλός φησιν οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· καὶ γὰρ δὴ καὶ ὄντως εἰς τὸ σκότος δραμεῖται τὸ ἐξώτερον, ἐκεῖ δίκας ἀποτίσων τῆς ἀνελευθέρου ζωῆς, μένει δὲ ὁ Υἱὸς εἰς τὸν αἰῶνα. οἱ γὰρ ἅπαξ τῇ τῆς υἱοθεσίας ἀπολαύσαντες δόξῃ, μενοῦσιν ἐν προσώπῳ Θεοῦ, τῆς ἱερᾶς τῶν πρωτοτόκων αὐλῆς κατ' οὐδένα καιρὸν ἐξωθούμενοι, μακρὸν δὲ μᾶλλον καὶ ἀμήρυτον αἰῶνα τρί βοντες ἐν αὐτῇ. συνήσεις δὲ τὸ λεγόμενον ἀκριβῶς ἐν τοῖς εὐαγγελίοις παραβολὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προτιθεὶς εἰς ἀνάγνωσιν, ἐν ᾗ στήσει μὲν τοὺς ἐρίφους ἐξ εὐωνύμων, ἐκ δεξιῶν δὲ τὰ πρόβατα, φησὶν, ὁ Χριστὸς, καὶ ὅτι τοὺς μὲν ἐρίφους ἀποπέμψεται "Πορεύεσθε λέγων οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον "τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ·" συνάξει δὲ πρὸς ἑαυτὸν τὰ πρόβατα, καὶ ἀσμένως εἰσδέξεται "Δεῦτε πάλιν ἀναβοῶν οἱ εὐλογημένοι τοῦ Πατρός μου, "κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ "καταβολῆς κόσμου." διὰ μὲν γὰρ τῶν ἐρίφων, ἡ ἄκαρπος τῶν φιλαμαρτημόνων δηλοῦται πληθύς· διὰ δὲ τῶν προ βάτων, ὁ τῶν εὐσεβούντων χορὸς, καθάπερ ἐρίῳ τινὶ τῷ τῆς δικαιοσύνης καρπῷ καταβριθόμενος. οὐκοῦν ὁ μὲν τὸ τῆς δουλείας αἶσχος ἀράμενος, τῆς τῶν οὐρανῶν βασιλείας ὡς 2.67 ἄχρηστόν τε καὶ ἀτιμώτατον σκεῦος ἐξωσθήσεται· εἰσδεχθή σεται δὲ καὶ ἐν αὐτῇ διαμενεῖ πᾶς ὁ βιοῦν ὀρθῶς ἀγαπήσας, ἐν υἱοῖς τε διὰ τοῦτο κατατεταγμένος Θεοῦ. εἰκὸς δὲ ὅτι τὰ τοιαῦτα λέγων ὁ Κύριος καὶ ὑπαινίττεταί πως αὐτοῖς, ὅτι τὴν διὰ πίστεως ἐλευθερίαν οὐ προσηκάμενοι, πάντως δήπου καὶ τῆς ἱερᾶς τε καὶ θείας αὐλῆς ἐξοιχήσονται, τουτέστι, τῆς Ἐκκλησίας, κατὰ τὸ δι' ἑνός που τῶν προφητῶν εἰρημένον "Ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτούς." ὅτι γὰρ εἰς πέρας αὐτοῖς τὸ προαναφωνηθὲν ἐκβέβηκεν, αὐτὴ τῶν πραγμάτων ἡ φύσις διαμαρτύρεται· "Ἐγκατελίπη μὲν γὰρ ἡ θυγάτηρ "Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν "σικυηράτῳ," καθὰ γέγραπται· πέπτωκε δὲ καὶ καθῃρέθη παντελῶς ὁ ναὸς, καὶ αὐτοὶ μὲν ἔξω γεγόνασιν οὐ μείναντες ἐν αὐτῷ εἰς τὸν αἰῶνα, ἀντανέβη δὲ ὥσπερ καὶ ἀντεγήγερται διὰ Χριστὸν ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ἐν αὐτῇ τε μένουσι διὰ παντὸς οἱ πρὸς τὴν θείαν υἱοθεσίαν κεκλημένοι διὰ τῆς πίστεως· πεπαύσεται γὰρ οὐδαμῶς, ἀλλ' οὐδὲ καταλήξει ποτὲ τῆς Ἐκκλησίας τὸ καύχημα· αἱ γὰρ τῶν δικαίων ψυχαὶ τῶν ἐπιγείων ἀπαίρουσαι, πρὸς τὴν ἄνω μεθορμί ζονται πόλιν τὴν ἐπουράνιον Ἱερουσαλὴμ τὴν τῶν πρωτο τόκων ἐκκλησίαν, "ἥ τις ἐστὶ μήτηρ ἡμῶν" κατὰ τὴν τοῦ Παύλου φωνήν. Ἐπειδὴ δέ πως καὶ τὸν περὶ τῆς δουλείας βασανίζοντες λόγον, καὶ διὰ παντὸς τρόπου τὴν ἀλήθειαν ἰχνηλατεῖν γλιχόμενοι, καὶ αὐτὸν ἐν δούλοις κατωνομάσθαι τὸν Ἀβραὰμ εἰρήκαμεν, οὐδὲ τὸ αὐτοῦ πρόσωπον ἔξω τιθέντες τῆς ἐν τοῖς θεωρήμασι περιβολῆς, διὰ τὸ γενικώτερον εἰρῆσθαι παρὰ Χριστοῦ "Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς "ἁμαρτίας·" φέρε δὴ πάλιν τοῖς ἑαυτῶν ἑπόμενοι λόγοις 2.68 τὴν τῶν εἰρημένων δύναμιν σαφηνίζωμεν. ἐφρόνουν οἱ Ἰουδαῖοι μεγάλα καὶ ὑπέρογκα τῆς ἐνούσης αὐτοῖς εὐγενείας ἀρχηγέτην ὥσπερ τινὰ καὶ πηγὴν προϊσχόμενοι τὸν Ἀβραὰμ, τὸ δὲ ὅτι προσήκει ζητεῖν τὸ διὰ τῆς ἄνωθεν ἐλευθεροῦσθαι χάριτος, οὐδ' ὅσον ἐν ψιλοῖς ἐδέχοντο λογισμοῖς, "μωροὶ "καὶ τυφλοὶ," κατὰ τὴν τοῦ Σωτῆρος ὑπάρχοντες φωνήν. ἀναγκαίως τοιγαροῦν ἐπιδεῖξαι βούλεται Χριστὸς, ὅτι τὸ τῇ φύσει δοῦλον, εἰς ἐλευθερίαν οὐχ ἱκανὸν τὴν ἑτέρων, ἀλλ' οὐδὲ ὅλως εἰς τὴν ἑαυτοῦ· κατὰ τίνα γοῦν τρόπον ἑαυτῷ χαριεῖται τὴν ἐλευθερίαν τὸ ταύτης ἐπιδεὲς, ὅσον εἰς τὴν φύσιν, τὸ δὲ παρ' ἑτέρου τὴν ἐφ' ἑαυτῷ χάριν δανειζόμενον, πῶς ἂν ἀρκέσαι πρὸς τὴν ἑτέρων; ἁρμόσει δὲ μόνῳ καὶ ἀνακείσεται πρεπόντως τὸ ἐλευθεροῦν δύνασθαι τῷ ἐκ Θεοῦ κατὰ φύσιν Θεῷ. ἀπόδειξιν τοιγαροῦν ποιεῖται σαφῆ τοῦ δεῖν ἀναγκαίως ὑπάρχειν καὶ ὁμολογεῖσθαι δοῦλον, πᾶν, ὃ μὴ μένει εἰς τὸν αἰῶνα, τουτέστιν, ᾧ μὴ πρόσεστι τὸ ὡσαύ τως ἔχειν ἀεί. σύμπαν μὲν γὰρ τὸ ἐν γενέσει, πάντως δήπου καὶ ὑποκείσεται τῇ φθορᾷ· τὸ δὲ οὕτως ἔχον, δοῦλον ἔσται δηλαδὴ τοῦ πρὸς τὸ εἶναι κεκληκότος Θεοῦ. περὶ γὰρ τῶν κτισμάτων ἐλέγετο πρὸς αὐτόν "Ὅτι τὰ σύμπαντα δοῦλα "σά." γέγονε μὲν ἐπὶ τούτῳ γενικὸς ὁ λόγος· ἓν γεμὴν τὸ μέρος τῷ παντὶ, τουτέστιν, ὁ μακάριος Ἀβραὰμ, ἤτοι καθόλου πάλιν ἡ ἀνθρωπότης. σημεῖον δὲ δίδωσιν ἐναργὲς τοῦ εἶναι βασιλέα καὶ δεσπότην τῶν ὅλων τὸν ἐκ Θεοῦ πεφηνότα Θεὸν Μονογενῆ, τὸ μένειν εἰς τὸν αἰῶνα· τίνι γὰρ ἂν πρέποι τὸ ὡσαύτως ἔχειν ἀεὶ, καὶ ἐν βεβαίῳ τῶν ἀϊδίων ἱδρύσθαι καλῶν, εἰ μὴ τῷ γε ὄντι κατὰ φύσιν Θεῷ; κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτον ἡμῖν τὸν λόγον καὶ ὁ θεσπέσιος μελῳδὸς τὴν μὲν κτίσιν ἀπέδειξε δούλην, τὸν δὲ ἐκ Θεοῦ Πατρὸς πεφηνότα Θεὸν Λόγον βασιλέα καὶ Κύριον. ἀπὸ γὰρ μέρους ἐπὶ τὸ σύμπαν τὸ ἐν γενέσει φημὶ τὴν θεωρίαν ἐξαπλῶν, περί τε 2.69 τῶν οὐρανῶν καὶ τοῦ κατὰ φύσιν Υἱοῦ φησιν "Αὐτοὶ "ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον "παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ "ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ "ἐκλείψουσιν." ὁρᾷς ὅπως εὖ μάλα καὶ διὰ τούτων ἀληθὲς ὑπάρχον ὁμολογουμένως, ὅτι τὸ μὲν δοῦλον οὐ μένει εἰς τὸν αἰῶνα, μένει δὲ ὁ Υἱὸς, καὶ τὸ μὴ μένειν, ἀπόδειξις τοῦ εἶναι δοῦλον τὸ καθ' οὗπερ ἂν κατηγοροῖτό ἐστιν; ἀναλόγως δὲ τούτῳ τὸ ἕτερον, τουτέστι, τὸ μένειν εἰς τὸν αἰῶνα, σημεῖον ἂν γένοιτο σαφὲς τοῦ δεσπότην εἶναι καὶ Θεὸν καθ' οὗπερ ἂν λέγοιτο κυρίως τε καὶ ἀληθῶς ἡ τοιαύτη φωνή. ἐξήρκει μὲν οὖν εἰς τὸ τοῖς παρ' ἡμῶν ἐπιμαρτυρῆσαι λόγοις ὁ ψαλμῳδός· ἐπειδὴ δὲ κατὰ τὸ γεγραμμένον "ἐπὶ στόματος "δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα," φέρε πάλιν πρὸς ἐκείνῳ καὶ τὸν μακάριον Ἱερεμίαν συνῳδὰ καὶ φρονοῦντα καὶ λέγοντα δεικνύωμεν. ἀπὸ γὰρ τοῦ καταφθεί ρεσθαι πᾶν τὸ ποιηθὲν, καὶ δοῦλον αὐτὸ διὰ τοῦτο δεικνὺς, ἀπὸ δὲ τοῦ μένειν τε καὶ ἀμεταποιήτως ἔχειν Θεὸν ἀπο φαίνων κατὰ φύσιν τὸν Υἱὸν, δῆλον δὲ ὅτι διὰ τοῦτο καὶ Κύριον, οὕτω που φησὶ πρὸς αὐτόν "Ὅτι σὺ καθήμενος τὸν "αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα." ἐν παντὶ γὰρ χρόνῳ τὸ γενητὸν ἔσται φθαρτὸν κατά γε τὸν τοῦ πεποιῆ σθαι λόγον, καὶ εἰ μὴ φθείροιτο δυνάμει Θεοῦ, ἔσται δὲ ἀεὶ καθήμενος ὁ Θεὸς, τῆς ἐνθάδε λεγομένης καθίσεως τὸ ἱδρυ μένον καὶ ἐν ταυτότητι πεπηγὸς ὑποδηλούσης τῆς οὐσίας αὐτοῦ μετὰ τοῦ συνάγεσθαι, καὶ τὸ ἐν βασιλικῷ σχήματί τε καὶ πράγματι διαπρέπειν αὐτόν· εἰκόνα γάρ πως ἔχει καὶ τούτων ἡ κάθισις. Οὐκοῦν· ἀναδραμοῦμαι γὰρ αὖθις εἰς τὸ ἐξ ἀρχῆς· ἀπὸ μὲν τοῦ μὴ μένειν εἰς τὸν αἰῶνα φθαρτόν τε καὶ γενητὸν ἐπι 2.70 δείκνυσι τὸν μακάριον Ἀβραάμ· τετελεύτηκε γὰρ καὶ μετέστη τρόπον τινὰ τῆς οἰκίας τῆς δεσποτικῆς, τουτέστι, τοῦδε τοῦ κόσμου· ἀναλόγως δὲ ἐντεῦθεν καὶ δοῦλον αὐτὸν νοεῖσθαι βούλεται οὐχ ἱκανῶς ἔχοντα πρὸς τὸ δύνασθαι καὶ ἑτέροις τὴν ἐλευθερίαν χαρίζεσθαι· ἀπὸ δὲ τοῦ μένειν εἰς τὸν αἰῶνα τὸν Υἱὸν, ἑαυτὸν ἤδη σαφῶς Θεὸν ἐκ Θεοῦ κατὰ φύσιν εἶναί φησιν, ᾧ δὴ πάντως ἕποιτο ἂν τὸ εἶναι βασιλέα καὶ Κύριον. καὶ τί τὸ ἐκ τῆς ἀρτίως εἰρημένης ἡμῖν διαφορᾶς οἰκονομούμενον, ἐν τῷ γείτονι καὶ ἐν τῷ ἐφεξῆς προκειμένῳ δειχθήσεται σαφῶς. Ἐὰν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. Μόνῳ, φησὶ, τῷ κατὰ φύσιν Υἱῷ τῷ κατὰ ἀλήθειαν ἐλευθέρῳ καὶ δουλείας ἁπάσης ἐξῃρημένῳ τὸ ἐλευθεροῦν δύνασθαι προσὸν εὑρίσκεται, ἑτέρῳ δὲ παρ' αὐτὸν τὸ παράπαν οὐδενί. ὅνπερ γὰρ τρόπον ἐπείπερ ἐστὶ κατὰ φύσιν καὶ σοφία καὶ φῶς καὶ δύναμις, σοφοῖ μὲν τὰ σοφίας δεκτικὰ, φωτίζει δὲ τὰ φωτὸς δεδεημένα, καὶ δυναμοῖ τὰ δυνάμεως χρῄζοντα· οὕτως ἐπείπερ ἐστὶ Θεὸς ἐκ Θεοῦ, καὶ τῆς ἁπάντων βασιλευούσης οὐσίας γνήσιός τε καὶ ἐλεύθερος καρπὸς, οἷσπερ ἂν ἐθελήσαι χορηγεῖ τὴν ἐλευθερίαν. ἀπὸ μὲν οὖν τοῦ κατὰ φύσιν οὐκ ἔχοντος αὐτὴν οὐκ ἂν γένοιτό τις ἐλεύθερος ἀληθῶς· ὅταν δὲ αὐτὸς ὁ Υἱὸς ἐλευθεροῦν ἐθελήσῃ τινὰς, τὸ ἴδιον αὐτοῦ ἐντιθεὶς ἀγαθὸν, χρηματιοῦσιν ὄντως ἐλεύθεροι παρὰ τοῦ τὴν ἐξουσίαν ἔχοντος κομισάμενοι τὸ ἀξίωμα, καὶ οὐχὶ παρά τινος τῶν παρ' ἑτέρου δεδανει σμένων καὶ ὀθνείοις ὥσπερ λελαμπρυσμένου χαρίσμασιν. Ἀναγκαιοτάτη τοιγαροῦν ἡ ἐν τοῖς προλαβοῦσιν ἐξή γησις, καὶ πολὺ τὸ χρήσιμον τὸ ἐκ τῆς ἐκεῖσε διαφορᾶς ἀνατελεῖ τοῖς ἐκμαθέστερον ἐπαΐειν ἐσπουδακόσιν. ἔδει γὰρ 2.71 συνιέναι πόθεν ἡμᾶς ἀναγκαῖον ἐπιζητεῖν τὴν κατὰ Θεὸν εὐγένειαν, καὶ τὸν ἐλευθεροῦν ἰσχύοντα μανθάνειν Υἱόν. μελετάτωσαν τοίνυν μὴ ὑψηλοῖς ἐξογκοῦσθαι φρονήμασιν οἱ τοῖς ἐν κόσμῳ χαίροντες ἀξιώμασι, μηδὲ τῆς τῶν ἁγίων κατατρεχέτωσαν δόξης τε καὶ χάριτος, εἰ καὶ μικροί τινες ἐκ μικρῶν γεγόνασι κατὰ σάρκα· οὐ γὰρ τὸ ἐν ἀνθρώποις λαμπρὸν εἶναι δοκοῦν ἀρκεῖ πρὸς εὐγένειαν τὴν παρὰ Θεῷ, ἀλλὰ τὸ ἐν βίῳ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρόποις τοῖς ἐν ἀρετῇ διαφανὲς ἐλεύ θερον ὄντως καὶ εὐγενῆ τὸν ἄνθρωπον ἀπεργάζεται. "ἐπράθη "μὲν εἰς δοῦλον Ἰωσὴφ," καθὰ γέγραπται, ἀλλ' ἦν καὶ οὕτως ἐλεύθερος τῇ κατὰ ψυχὴν εὐγενείᾳ διαλάμπων· πατρὸς δὲ ἐξέφυ μὲν ἐλευθέρου καὶ ἦν ὄντως Ἡσαῦ, ἀλλὰ τῇ τῶν τρόπων αἰσχρότητι τὸ δουλοπρεπὲς ἐπεδείκνυ φρό νημα. εὐγενεῖς οὖν ἄρα παρὰ Θεῷ, καθάπερ οὖν ἀρτίως εἰρήκαμεν, οὐχ οἱ πλοῦτον ἔχοντες, καὶ χρημάτων περιου σίαις περιχεόμενοι, καὶ λαμπραῖς ἐπιχαίροντες ταῖς ἐν κόσμῳ τιμαῖς, ἀλλ' οἱ βίῳ σεμνῷ καὶ πολιτείᾳ συννόμῳ διαφανεῖς. Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. Πολυτρόπως αὐτοῖς τὸ ἐκ τῆς συγγενείας τῆς πρὸς Ἀβραὰμ καύχημά τε καὶ φρόνημα παντελῶς εἰκαῖον καὶ οὐδεμίαν ἔχον τὴν ὄνησιν ἐπιδεικνὺς, τὰ τοιαῦτά φησιν, ἵνα ζητῶσι τὴν ἀληθῆ καὶ Θεῷ φίλην εὐγένειαν. ὁρᾷ γὰρ οὐκ εἰς σάρκα Θεὸς, κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ "Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδὲν," ἀποδέχεται μᾶλλον καὶ ἐπαίνου παντὸς ἀξιοῖ τὸ ἐν ψυχαῖς εὐγενὲς, καὶ συγγένειαν οἶδεν ἔχοντας ἀληθῆ, οὕσπερ ἂν ἡ τῶν ἔργων ὁμοιότης ἤτοι τῶν ἐθῶν ἡ ταυτότης εἰς μίαν ὥσπερ ἀρετὴν 2.72 συναγείρουσα, ταῖς ἴσαις τῶν ἀγαθῶν ἰδέαις ἐπισεμνύνεσθαι ποιεῖ, ἀναλόγως δὲ τούτοις καὶ τὸ ἐναντίον. ἐπεὶ κατὰ τίνα τρόπον ἀπὸ γῆς ὄντες ἡμεῖς, καὶ ἐκ πηλοῦ διηρτισμένοι, κατὰ τὸ γεγραμμένον, χρηματιοῦμεν τοῦ πάντων Δεσπότου, καθάπερ οὖν ὁ Παῦλός φησι "Γένος οὖν ὑπάρχοντες τοῦ "Θεοῦ;" ὁμολογουμένως μὲν γὰρ συγγενεῖς γεγόναμεν αὐτῷ διὰ τὴν σάρκα τὴν ἐν τῷ κατὰ Χριστὸν μυστηρίῳ· ἀλλ' ἔστι πως καὶ καθ' ἕτερον τρόπον τοῦτο συνυπάρχον ἰδεῖν ἀληθές. φρονοῦντες γὰρ τὰ αὐτοῦ καὶ ὅτι προσῆκεν εὐσεβεῖν οὐ παρέργως διενθυμούμενοι, χρηματιοῦμεν υἱοὶ τοῦ ἐπὶ πάντας Θεοῦ, καὶ πρὸς τὴν ἐν αὐτῷ θέλησιν κατὰ τὸ ἐγχωροῦν τὸν οἰκεῖον διαπλάττοντες νοῦν, οὕτω τε τὴν πρὸς αὐτὸν ὁμοιότητα καὶ ἀκριβεστάτην ἐμφέρειαν συγγενεῖς ὄντως ἐσμέν. Ὅτι δὲ τὴν ἐξ ἔργων ἤτοι τῶν τρόπων ὁμοιότητα καὶ ἀκρι βεστάτην ἐμφέρειαν εἰς συγγενείας δύναμιν λαμβάνει Θεὸς, διαγνωσόμεθα σαφῶς τοῖς ἱεροῖς ἐγκύπτοντες λόγοις, καὶ τὴν θείαν περινοστοῦντες γραφήν. οὐκοῦν ἐν καιροῖς Ἱερεμίου τοῦ προφήτου, γέγονέ τις ἐλαμίτης Σαμείας τοὔνομα ψευδομάντις, τὰ ἀπὸ καρδίας ἐρευγόμενος τῆς ἑαυτοῦ, καθὰ γέγραπται, καὶ οὐκ ἀπὸ στόματος Κυρίου. ἐπειδὴ δὲ πολλή τις ἦν καὶ ἑτέρα πληθὺς ψευδομαρτύρων καὶ ψευδοπροφητῶν, περιπλανῶσα τοὺς ὄχλους καὶ ἐφ' ἃ μὴ προσῆκεν ἐξέλκουσα, ἠγανάκτει λοιπὸν εἰκότως ὁ πάντων δεσπότης Θεός. εἶτα πολλοὺς ἐπὶ τῷ Σαμείᾳ δαπανήσας λόγους, καὶ ποίας ὑφέξει τὰς τούτου τοῦ τολμήματος δίκας λεπτότερον διειπὼν, ἐν τελευταίοις ἐπάγει, καὶ ἐκδικήσω "ἐπὶ Σαμείαν καὶ ἐπὶ τὸ γένος αὐτοῦ, "τοὺς ποιοῦντας τὰ ὅμοια αὐτῷ·" ἀκούεις ὅπως ἐν τοῖς ὁμοίοις 2.73 ἐπιχειρήμασι τὴν συγγένειαν ὁρᾷ; πῶς γὰρ ἂν ὁ τὰ δίκαια κρίνειν εἰδὼς συνεκόλασε τῷ Σαμείᾳ τὸ κατὰ σάρκα γένος οὐκ ἰσοτροποῦν αὐτῷ κατά γε τὸν ἐν φαυλότητι λόγον, καίτοι σαφῶς διὰ τοῦ προφήτου λέγων Ἰεζεκιὴλ "Ψυχὴ ἡ "ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται." οὐκοῦν ἵνα μή τι τοι οῦτο νοῆται περὶ αὐτοῦ, τὸ γένος εἰπὼν ἐπήνεγκεν εὐθύς Τοὺς ποιοῦντας τὰ ὅμοια αὐτῷ, ἐν τῇ τῶν δρωμένων ταυτό τητι τὴν συγγένειαν ὁριζόμενος. ἀλλ' ἵνα καὶ ἐπ' αὐτῶν ἴδωμεν τῶν Ἰουδαίων τὸ εἰρημένον ἀληθὲς, ἀναμιμνησκώ μεθα τῶν Ἰωάννου λόγων, τοῦ ἁγίου φημὶ Βαπτιστοῦ· ἔωλον γὰρ ἀποφαίνων αὐτοῖς τῆς πρὸς Ἀβραὰμ συγγενείας τὸ καύχημα "Καὶ μὴ λέγετε, φησὶν, ἐν ἑαυτοῖς Πατέρα "ἔχομεν τὸν Ἀβραάμ· δυνατὸς γὰρ ὁ Θεὸς ἐκ τῶν λίθων "τούτων ἐγεῖραι σπέρμα τῷ Ἀβραάμ." ἐπειδὴ γὰρ εἴρητο πρὸς αὐτὸν παρὰ Θεοῦ "Πληθύνων πληθυνῶ τὸ σπέρμα "σου ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ," τῷ χρῆναι πάντως ἀψευδεῖν τὸν ἐπαγγειλάμενον ἐπερειδόμενος τῶν Ἰουδαίων ὁ δῆμος, ἐφρόνει μὲν μέγα, προσεδόκα δὲ οὐδαμῶς τῆς τοῦ προγόνου συγγενείας ἀποπεσεῖσθαί ποτε, ἵνα τὸ θεῖον ἐπάγ γελμα σώζηται, φησίν. ἀλλὰ καὶ ταύτην αὐτοῖς ἀφανίζων τὴν ἐλπίδα, σαφῶς δὴ μάλα φησὶν ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μακάριος Βαπτιστὴς, δυνατὸς "ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ." συνδραμεῖται δὲ τούτοις καὶ ὁ μακάριος Παῦλος ὡδὶ λέγων "Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, "οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα." δεικνυμένου τοιγαροῦν πανταχόθεν ἀληθοῦς, ὅτι τὴν ἐν ἤθει καὶ τρόποις συγγένειαν οἶδε Θεὸς, μάταιον ἤδη φαίνεται τὸ προγόνοις μὲν ἐπαυχεῖν ἁγίοις καὶ ἀγαθοῖς, ἀπολιμπάνεσθαι δὲ καὶ ἀφεστάναι μακρὰν τῆς ἐκείνων ἀρετῆς. Διά τοι τοῦτό φησιν εὐλόγως πρὸς Ἰουδαίους ὁ Κύριος 2.74 Οἶδα ὅτι σπέρμα Ἀβραὰμ ἐστὲ ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. ναὶ γάρ, φησιν, ὅταν εἰς μόνην ἴδω τὴν σάρκα, καὶ ὅθεν ἐξέφυ τῶν Ἰουδαίων ὁ δῆμος περισκέψωμαι, τότε καὶ ἐκ σπέρματος Ἀβραὰμ γεγονότας ὁρῶ· ἐπὰν δὲ τῆς ἐκείνου πολιτείας τε καὶ γνώμης περια θρήσω τὸ κάλλος, ἀλλοτρίους ὑμᾶς καὶ οὐκέτι συγγενεῖς καταθεῶμαι, φησί. ζητεῖτέ με γὰρ ἀποκτεῖναι, καίτοι τοῦ προπάτορος, ἐφ' ᾧ νῦν φρονεῖτε μέγα, μὴ ὄντος φονευτοῦ· καὶ τό γε χείριστόν τε καὶ παρανομώτατον, οὐδὲ ἐπ' εὐλόγοις παρ' ὑμῶν διώκομαι ταῖς αἰτίαις, φονᾶτε δὴ λίαν ἀδίκως· διὰ τοῦτο γὰρ καὶ μόνον ἀναιρεῖν ἐβουλεύσασθε, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν, καίτοι καλῶν ὑμᾶς εἰς σωτηρίαν καὶ ζωήν. οὐ χωρεῖ δὲ ἐν ὑμῖν, διὰ τὴν ἐνοικήσασαν ἐν ὑμῖν ἁμαρτίαν δηλαδὴ, καὶ τόπον ὥσπερ οὐκ ἐῶσαν ἔχειν τινὰ τὴν ἐπ' ἀγαθοῖς συμβουλήν τε καὶ παραίνεσιν. οὐκοῦν φονευταὶ κατὰ ταὐτὸν Ἰουδαῖοι καὶ ἀδικώτατοι κριταὶ, θανάτῳ χρῆναι τιμᾶσθαι διοριζόμενοι τὸν οὐδὲν ἀδικήσαντα, μᾶλλον δὲ τὸν ὠφελεῖν ἐγνωκότα, καὶ διασώζειν αὐτοὺς σπουδάζοντα. πῶς οὖν ἔτι συγγενεῖς Ἀβραὰμ τῷ δικαίῳ καὶ ἀγαθῷ, οἱ τοσοῦτον τῶν ἐν ἐκείνῳ καλῶν λειπόμενοι, καὶ τῆς πρὸς αὐτὸν ὁμοηθείας ἐκδεδραμηκότες, ὅσον ἀφε στάναι δοίη τις ἂν καὶ διωρίσθαι λέγοι τῆς ἀρετῆς τὴν φαυλότητα; Ἐγὼ ἃ ἑώρακα παρὰ τῷ Πατρὶ λαλῶ· καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ Πατρὸς ποιεῖτε. Ἀχώρητον ἔφη παρὰ τοῖς Ἰουδαίοις τὸν ἑαυτοῦ γενέσθαι λόγον, ταύτης τε καὶ μόνης ἕνεκα τῆς αἰτίας ἐπ' αὐτῷ παρο τρύνεσθαι διειπὼν, μᾶλλον δὲ καὶ φονῶντας ἐλέγχων, ἀναγ 2.75 καίως ἐπάγει καὶ ταῦτα, καὶ διὰ ποίαν αἰτίαν, ἐκθήσομαι πάλιν. οὐ γὰρ ἠγνόησεν, ὡς εἰκὸς, ὡς ἀνταναστήσονται τῶν Ἰουδαίων τινὲς τοῖς παρ' αὐτοῦ διαμαχόμενοι λόγοις, καὶ τὰ ἐκ τῆς ἐνούσης αὐτοῖς φρενοβλαβείας ἐρευγόμενοι, πάλιν ἐροῦσιν Οὐ μάτην, ὡς φῄς, ἐπὶ σοὶ φονῶσί τινες, ἐπ' εὐλόγοις εἰς τοῦτο παρώρμηνται ταῖς αἰτίαις, θεοφιλὲς ἐν αὐτοῖς τὸ κίνημα, καὶ ζῆλος οὐκ ἔχων τὸ κατηγορεῖσθαι δικαίως· ἀχώρητος γὰρ ἐν αὐτοῖς ὁ σός ἐστι λόγος, ἐπείπερ αὐτὸν ἀπῳδὸν ἐποιήσω τῷ Θεῷ, φησὶν, ἑτέραν ἡμᾶς διδά σκεις πλάνησιν, καὶ τῆς μὲν κατὰ τὸν νόμον ἐξέλκεις ὁδοῦ, μεταβιβάζεις δέ πως ἐπὶ τό σοι καὶ μόνῳ δοκοῦν. ταῦτα δήπου πάντως διαψιθυριζόντων κατὰ τὸ λεληθὸς τῶν Ἰουδαίων, ἢ καὶ καθ' ἑαυτοὺς διενθυμουμένων προσυπαντᾷ πάλιν ὁ Κύριος, εἰδὼς τὰ ἐν αὐτοῖς τῶν διαλογισμῶν κινή ματα· Θεὸς γάρ ἐστιν ἀληθινός· καὶ διὰ τοῦτο λέγει Ἐγὼ ἃ ἑώρακα παρὰ τῷ Πατρὶ λαλῶ, κατεσκεψάμην τὴν τοῦ Πατρὸς τοῦ ἐμοῦ φύσιν, εἶδον ἐξ ἐμαυτοῦ πολλάκις καὶ ἐν ἐμαυτῷ τὸν γεννήσαντα, καὶ τῶν ἐν αὐτῷ θελημάτων γέγονα θεωρός. εἶδον δι' ἐμφύτου δηλονότι γνώσεως, ποίων ἔργων ἐστὶν ἐραστὴς, ταῦτά τε λαλῶ πρὸς ὑμᾶς, οὐδὲν δὲ ὅλως ἀπᾷδον εἰρηκὼς ἁλώσομαι, οὐδὲ διατέταχά τι παρὰ τὸ ἐκείνῳ δοκοῦν. ἐπ' ἐκεῖνα καλεῖν ἐσπούδακα τοὺς ἀκροωμένους, οὐ τῶν ἐμῶν ἀφιστάς· ἐν ἐμοὶ γὰρ τὰ ἐκείνου, καὶ τὰ ἐμὰ πάλιν αὖ ἐν αὐτῷ· ἀλλ' εἰ καὶ οὕτως ἔχων τῇ φύσει, καὶ συνεθελητὴς ἐν ἅπασιν ὑπάρχων τῷ Θεῷ καὶ Πατρὶ, δοκῶ τις εἶναι παρ' ὑμῶν οὐκ ἀληθὴς, καὶ νενόμισμαι τῶν θείων ὑμᾶς ἀπο πλανᾶν παιδευμάτων, λελύσθω τὸ ἔγκλημα, ῥίψατε τὴν ὑπόνοιαν· ἃ ἠκούσατε παρὰ τοῦ Πατρὸς ποιεῖτε, λελάληκεν ὑμῖν διὰ Μωυσέως, περάσατε τὴν ἐντολὴν, ἠκούσατε λέ γοντος "Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς." πῶς οὖν 2.76 ζητεῖτέ με ἀποκτεῖναι, καὶ τὴν τοῦ Πατρὸς παραλύοντες ἐντολήν; Ἀλλὰ καὶ καθ' ἕτερον πάλιν ἐκδεξόμεθα τρόπον Καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ Πατρὸς ποιεῖτε·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λελάληκε μὲν, φησὶ, διὰ τῶν προφητῶν ὑμῖν, ἠκούσατε λέγοντος "Χαῖρε "σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλήμ· "ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, καὶ "ἐπιβεβηκὼς ἐπὶ πῶλον ὄνου υἱὸν ὑποζυγίου," ἀλλὰ καὶ διὰ φωνῆς Ἡσαΐου πάλιν "Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιὼν", ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ "εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· "ἰδοὺ ὁ Θεὸς ὑμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ "ὁ βραχίων αὐτοῦ μετὰ κυρείας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' "αὐτοῦ, καὶ τὸ ἔργον ἐνώπιον αὐτοῦ· ὡς ποιμὴν ποιμανεῖ τὸ "ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ "ἐν γαστρὶ ἐχούσας παρακαλέσει." καταπειθόμενοι τοίνυν ταῖς τοῦ Πατρὸς ἐντολαῖς, παραδέξασθε τὸν προαναφωνού μενον· τιμήσατε τῇ πίστει τὸν προκεκηρυγμένον. δότε κἂν τοῖς τοῦ Πατρὸς λόγοις τὸ κρατεῖν ἐν ὑμῖν. Ἰστέον δὲ ὅτι τοῦ Θεοῦ καὶ Πατρὸς τὸν νόμον εἶναί φησι, καίτοι λαληθέντα παρ' αὐτοῦ δι' ἀγγέλων, οὐχ ἑαυτὸν ἔξω τοῦ νομοθετῆσαι τιθεὶς, ἀλλὰ ταῖς Ἰουδαίων συγχωρῶν ὑπο νοίαις οὕτως ἔχειν πεπιστευκότων, καὶ οὐ διαμάχεται πρὸς τὴν ὑπόνοιαν οἰκονομικῶς· ἐδυσώπει γὰρ πολλάκις αὐτοὺς, ἐπείπερ αὐτὸν οὐ παραδέχονται· τὸ γὰρ τοῦ Πατρὸς ὄνομα παράγων εἰς μέσον· Ἀπεκρίθησαν αὐτῷ καὶ εἶπον Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. Ὦ πολλῆς ἀμαθίας, καὶ νοῦ κατεσκληκότος εἰς ἀπείθειαν, καὶ εἰς μόνην ὁρῶντος φιλονεικίαν. συγκατανεύοντος γὰρ 2.77 τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ φάσκοντος ἐναργῶς "Οἶδα "ὅτι σπέρμα Ἀβραάμ ἐστε," τοῖς αὐτοῖς ἐπιμένουσι, καὶ καθάπερ τινὸς διατεινομένου καὶ ἀντιπράττοντος, οὐκ εἶναί τε λέγοντος αὐτοὺς ἐκ σπέρματος Ἀβραὰμ κατὰ σάρκα, πάλιν φασὶν ὅτι ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι, καὶ διὰ τῶν αὐτῶν πολλάκις ἰόντες λόγων οὐκ ἐρυθριῶσιν, οἱ μηδὲ Βάττῳ τάχα που παραχωρεῖν οἰόμενοι δεῖν, μόνης δὲ τῆς ἐκείνου γλωσσαλγίας ἄριστοι ζηλωταί. ἀλλ' ἴσως γέγονέ τις αὐτοῖς ἀλογωτάτη τοῦ πράγματος ἀφορμὴ, καὶ ποία πάλιν ἐροῦμεν. τοῦ γὰρ Κυρίου λέγοντος "Ἐγὼ ἃ ἑώρακα "παρὰ τῷ πατρὶ ταῦτα λαλῶ," τὸ μὲν Θεὸν καὶ Πατέρα διὰ τούτων σημαίνειν οὐχ ὑπελάμβανον, ᾤοντο δὲ λέγειν αὐτὸν, ἢ τὸν δίκαιον Ἰωσὴφ, ἢ καὶ ἕτερόν τινα τῶν ἐπὶ τῆς γῆς, μικρὰ κομιδῇ περὶ αὐτοῦ κωμῳδοῦντες καὶ φρονοῦντες καὶ διεσκεμμένοι. ἡ μὲν γὰρ ἁγία παρθένος τὸ θεῖον ἐκυοφόρησε βρέφος, οὐχ ὁμιλήσασα γάμοις, ἀλλ' "ἐκ Πνεύματος Ἁγίου," καθὰ γέγραπται. καὶ ἀγνοήσας μὲν τῆς οἰκονομίας τὸν τρόπον ἐν ἀρχαῖς ὁ μακάριος Ἰωσὴφ, "ἐβουλήθη δὲ λάθρα "ἀπολῦσαι αὐτὴν," κατὰ τὴν τοῦ Ματθαίου φωνήν. πλὴν οὐκ ἠγνοήθη παντελῶς παρὰ τοῖς Ἰουδαίοις ὅτι πρὸ γάμου καὶ μίξεως ἐκυοφόρησεν ἡ ἁγία παρθένος, οὐ μὴν συνῆκαν ὅτι καὶ ἐξ Ἁγίου Πνεύματος, ᾤοντο δὲ μᾶλλον ὑπό του διεφθάρθαι τῶν ἐκ τοῦ ἔθνους αὐτὴν, ὅθεν οὐκ ὀρθὰς δια λήψεις εἶχον ἐπὶ Χριστῷ. ἑτέρου μὲν γὰρ αὐτὸν γεγεννῆ σθαι πατρὸς ἐνόμιζον παῖδα τοῦ τὴν ἁγίαν διεφθαρκότος παρθένον κατὰ τὴν ἐκείνων ἀποπληξίαν, ἐπιγεγράφθαι δὲ μόνον τῷ Ἰωσὴφ νόθον ὄντα, καὶ οὐχ υἱὸν ἀληθῶς. λέ γοντος τοίνυν "Ἐγὼ ἃ ἑώρακα παρὰ τῷ πατρὶ λαλῶ," οὐδεμίαν μὲν ὅλως ἐδέχοντο περὶ Θεοῦ τὴν ἔννοιαν, κατα σημῆναι γεμὴν αὐτὸν ἕνα τῶν ἐπὶ γῆς πατέρων, καὶ μετα 2.78 σκευάζειν αὐτοὺς ἐπιχειρεῖν τῆς ἐπὶ τῷ προγόνῳ φιλοτιμίας ὑπώπτευον, αἵματι δὲ τῷ οἰκείῳ προσνέμειν τὴν ἑτέρῳ χρεωστουμένην τιμὴν, καὶ τῆς πατριαρχείας τὴν ἀρχαιοτάτην δόξαν ὑποτοπήσαντες, φιλονεικότερόν τε καὶ εὐτονώτερον ὑπαντιάζουσι λέγοντες Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. ἴσον γὰρ ὡς εἰ καὶ ἔφασκον Κἂν σοφοῖς ἡμᾶς, ὦ οὗτος, περιαντλήσῃς λόγοις, κἂν τοῖς ἐξαισίοις περικτυπήσῃς θαύ μασι καὶ ταῖς ὑπὲρ λόγον κατακροτήσῃς μεγαλουργίαις, οὐκ ἀποστήσεις τοῦ ἀρχαίου καυχήματος, οὐκ ἐπιγραψόμεθα τοῦ γένους ἀρχηγέτην πατέρα τὸν σὸν, ἑτέρῳ τὴν τοιαύτην οὐκ ἀναθήσομεν δόξαν, ἀλλ' οὐδὲ νέους γενάρχας τῶν ἀρχαιο τέρων ἀνταλλαξόμεθα. θαυμαστὸν δὲ οὐδὲν, ἀλλ' οὐδὲ τοῦ πιστεύεσθαι μακρὰν, τὸ τοιαύταις ἀμαθίαις περιπίπτειν Ἰουδαίους, ὅπου καὶ ψιλὸν ὑπάρχειν αὐτὸν ὑπελάμβανον ἄνθρωπον, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ τέκτονος ἀπεκάλουν υἱὸν πολυτρόπως ἐξευτελίζοντες, καὶ ἐν τῷ μηδενὶ κατατάττοντες τὸν ἁπάντων βασιλέα καὶ Κύριον. ὅτι δὲ καὶ περὶ τῆς ἁγίας παρθένου διετέθησαν οὐκ ὀρθῶς, ὡς ὑπό του κατεφθαρμένης, διὰ τῶν ἐφεξῆς σαφῶς δὴ λίαν εἰσόμεθα. Λέγει αὐτοῖς ὁ Ἰησοῦς Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν· νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε. Διὰ παντὸς, ὡς ἔπος εἰπεῖν, τρόπου τε καὶ λόγου τὸ τῶν Ἰουδαίων τιθασεύων θράσος ἐπεσκιασμένως αὐτοῖς προσ λαλεῖ Χριστὸς, οὐ γυμνὸν προσάγων τὸν ἔλεγχον, ἀλλ' ἠπίῳ μὲν λόγῳ κεκραμένον, ὑφειμένως δέ πως καὶ ποικίλως αὐτῶν καταγοητεύων τι τὸν θυμόν. ἐπειδὴ δὲ πολὺ λίαν ἀνοηταίνοντας βλέπει, καὶ συνιέντας τῶν εἰρημένων οὐδὲν, ἐλεύθερον ἤδη καταπετάσματος, καὶ γυμνὸν ἁπάσης περι βολῆς ποιεῖται τὸν λόγον. ἔδει γὰρ ἔδει, φησὶν, εἰ τὸ ἐν 2.79 τέκνοις Ἀβραὰμ κατατετάχθαι, τιμὴν εἶναι τὴν ἀνωτάτω πεπιστεύκατε, τοὺς ἐκείνου σπουδάζειν ἀπομιμήσασθαι τρό πους· ἔδει τοῦ προγόνου τὴν ἀξιέραστον ἰχνηλατεῖν ἀρετὴν, ἔδει πρὸς τούτοις τὴν εὐπείθειαν ζηλοῦν καὶ ἀγαπᾶν. ἤκουσε τοῦ Θεοῦ λέγοντος "Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς "συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω." καὶ μελλήσας οὐδὲν περὶ τὴν τῶν χρηματισθέντων ἐκπλή ρωσιν, παραχρῆμα μὲν τῆς ἐνεγκούσης ἐξέθει, τὴν δὲ ἄλλο τρίαν οὐκ εἰδὼς καταλαμβάνεται τοῦ προστάξαντος ἐπιθαρ σήσας φειδοῖ. ἐπὶ νύσσῃ δὲ ὥσπερ αὐτῇ γεγονὼς τοῦ βίου, καὶ ἑκατοστόν που τρίβων ἐνιαυτὸν, ἤκουσεν ὅτι ἔσται σοι σπέρμα· καὶ κατ' οὐδὲν ἐνδοιάσας, θερμὴν ἐδίδου τῷ λαλοῦντι τὴν πίστιν, οὐ τῇ τῆς σαρκὸς ἀσθενείᾳ προσε σχηκὼς, ἀλλὰ τὴν τοῦ χρηματίσαντος ἐννοήσας ἰσχύν. ἤκουσεν εἰς θυσίαν ἀναθεῖναι τῷ Θεῷ τὸν ἀγαπητὸν, καὶ τῶν τῆς φύσεως εὐθὺς κατηγωνίζετο πόθων, δευτέραν ἐποι εῖτο τῆς θείας ἐντολῆς τὴν ἐπὶ τῷ νεανίσκῳ φιλοστοργίαν. πᾶν δὲ τούτοις ἐν ὑμῖν εὑρίσκω τὸ ἐναντίον· ἀποκτεῖναι γάρ με ζητεῖτέ φησιν, ὅτι λελάληκα ὑμῖν τὰ παρὰ τοῦ Θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. οὐ γὰρ ἐξύβρισε ταῖς ἀπει θείαις τὸν λαλήσαντα πρὸς αὐτὸν, οὐκ ἐζήτησέ τι δράσαι τῶν λυπούντων αὐτόν. πῶς οὖν ἔτι τέκνα τοῦ Ἀβραὰμ ἐστὲ, τοσοῦτον τῆς ἐκείνου φιλοθεΐας ἀποφοιτήσαντες, ὅσον ἡ τῶν τρόπων δεικνύει διαφορά; ἐπιτήρει δὲ ὅπως οἰκονομεῖ τὸν λόγον· οὐ γὰρ εἴρηκεν ἐν τούτοις ἀκοῦσαι τὴν ἀλήθειαν παρὰ τοῦ Πατρὸς, ἀλλὰ παρὰ τοῦ Θεοῦ, ἐπείπερ, ὡς ἀρτίως εἰρή καμεν, ἐκ τῆς ἐνούσης αὐτοῖς ἀμέτρου μωρίας κατεσύροντό πως ἐπ' αὐτῷ πρὸς ἐννοίας οὐκ ἀληθεῖς, πατέρα τινὰ τῶν ἐπὶ τῆς γῆς οἰόμενοι λέγειν αὐτόν. εὖ δὲ δὴ λίαν τοὺς ἐπὶ τῷ τεθνάναι ποιούμενος λόγους, ἄνθρωπον ἑαυτὸν ὀνομάζει, 2.80 πανταχῆ μὲν ἑαυτῷ φυλάττων τὸ ἀδιάφθορον ὡς Θεῷ κατὰ φύσιν, πλὴν οὐ διορίσας ἑαυτοῦ τὸν ἴδιον ναὸν, ἀλλ' ὡς εἷς ὑπάρχων Υἱὸς, καὶ ὅτε γέγονεν ἄνθρωπος· ἀλήθειαν γεμὴν λαλῆσαί φησιν. οὐ γὰρ ἐν τύποις ἔτι καὶ σχήμασι τὴν εὐσέβειαν ἐπιτηδεύειν ἡμᾶς ὁ τοῦ Σωτῆρος διδάσκει λόγος, ἀλλὰ τὴν ἐν πνεύματι καὶ ἀληθινὴν λατρείαν ἀναπείθει ἀγαπᾶν. Ὅταν δὲ λέγῃ ὅτι Ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, σκανδα λιστέον οὐδαμῶς. ἐπειδὴ γὰρ ἑαυτὸν ἄνθρωπον εἶναί φησιν, ἀνθρωποπρεπῶς καὶ τοῦτο λαλεῖ. ὡς γὰρ ἀποθνήσκειν ὡς ἄνθρωπος λέγεται, λεγέσθω καὶ ἀκούειν ὡς ἄνθρωπος. εἰκὸς δὲ ὅτι τὴν ἔμφυτον γνῶσιν, ἣν ἔχει περὶ τῶν θελημάτων τοῦ ἰδίου Γεννήτορος, ὡς ἐν τῷ Ἀκοῦσαι τίθησιν· οὕτω γὰρ ἔθος καὶ αὐτῇ λέγειν πολλάκις τῇ θεοπνεύστῳ γραφῇ περὶ Θεοῦ· ὅταν γὰρ εἴπῃ Καὶ ἤκουσε Κύριος, οὐχὶ δὴ πάντως ἰδικὴν καὶ ἀφωρισμένην τὴν ἀκουστικὴν αὐτῷ περιθήσομεν αἴ σθησιν, καθάπερ οὖν ἐστιν ἐν ἡμῖν. ἁπλῆ γάρ ἐστιν ἡ θεία φύσις, καὶ συνθέσεως ἁπάσης ἀπηλλαγμένη· παραδεξόμεθα δὲ μᾶλλον ὡς ἀκοὴν τὴν γνῶσιν, καὶ τὴν γνῶσιν ὡς ἀκοήν· σύνθετον δὲ οὐδὲν ἐν ἁπλῷ, καθάπερ εἰρήκαμεν. τρίτον δὲ τούτοις ἐποίσομεν λόγον, οὐκ ἀπὸ τοῦ πρέποντος ἰόντες σκοποῦ. ἔφη που περὶ Χριστοῦ πρὸς Μωυσέα τὸν ἱερώ τατον ὁ Θεὸς καὶ Πατὴρ, ὅτι "Προφήτην ἀναστήσω αὐτοῖς·" δῆλον δὲ ὅτι τοῖς ἐξ Ἰσραήλ· "ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἀδελφῶν αὐτῶν "ὥσπερ σὲ, καὶ θήσω τοὺς λόγους μου εἰς τὸ στόμα αὐτοῦ, "καὶ λαλήσει αὐτοῖς κατὰ πάντα ὅσα ἂν ἐντείλωμαι αὐτῷ." διὰ ταύτην οὖν οἶμαι τὴν αἰτίαν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀκοῦσαί φησι παρὰ τοῦ Πατρὸς τὴν ἀλήθειαν, ταύτην τε λαλῆσαι τοῖς Ἰουδαίοις, ὁμοῦ καὶ αὐτῷ μαχο μένους ἐλέγχων αὐτοὺς τῷ Θεῷ καὶ Πατρὶ, καὶ ἑαυτὸν 2.81 ἐναργῶς ἐκεῖνον ὄντα δεικνὺς, ὃν ἀναστήσειν αὐτοῖς ὁ νομοθέτης προεπηγγείλατο. Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. Ἐξετεροτροποῦντας ἀποδείξας τῷ προγόνῳ τοὺς Ἰου δαίους, καὶ πολὺ τῆς ἐκείνου φιλοθεΐας ἐξῳκισμένους, ἀπο γυμνοῖ μὲν εἰκότως τοῦ εἰκαίου σαρκικοῦ καυχήματος· τὸ δὲ μὴ χρῆναι λοιπὸν ἐν τοῖς ἐκείνου κατατετάχθαι τέκνοις διαῤῥήδην εἰπὼν, ἑτέρῳ τῷ κατ' αὐτοὺς προσνέμει πατρὶ, καὶ τὴν ἐξ ἔργων ὁμοιότητα δεσμὸν ὥσπερ τινὰ συγγενείας ὡρίσατο, τοὺς μὲν ἀγαθοὺς τὴν ἕξιν ὅτι τοῖς ἀγαθοῖς συνδεῖσθαι πρέπει διδάσκων, τοὺς γεμὴν τῷ φαύλῳ συμβιο τεύοντας τρόπῳ τοὺς ἐπὶ τοῖς ἴσοις κατεγνωσμένους ἐν τάξει ποιεῖσθαι πατέρων ἀκόλουθον εἶναι διοριζόμενος. ὅνπερ γὰρ τρόπον τοῖς ἄριστα βιοῦν ἑλομένοις, καὶ ἁγίοις ἤδη διὰ τοῦτο κεχρηματικόσιν, ἀκινδύνως ἐξέσται πατέρα καλεῖν τὸν Θεὸν, ἐπείπερ αὐτὸν κατὰ τὸ ἐγχωροῦν ἀνθρώποις ἀπομι μεῖσθαι σπουδάζουσιν, οὕτω καὶ τοῖς πονηροῖς δικαίως ἂν ἐπιγράφοιτο γεννήτωρ ὁ πονηρὸς, ἐπείπερ αὐτοῦ καὶ τῆς πονηρίας καὶ δυστροπίας ἐν ἤθεσι τοῖς ἰδίοις διαπλάττουσι τὴν εἰκόνα. πατὴρ γὰρ οὐ πάντως ὁ ἐξ ἑαυτοῦ γεννήσας νοεῖται παρὰ τῇ θείᾳ μάλιστα γραφῇ, ἀλλὰ καὶ ὁ τοῖς ἰδίοις ἤθεσι συμμόρφους ἔχων τινὰς, ὧν καὶ εἶναι λέγεται διὰ τοῦτο πατήρ. οὕτω καὶ ὁ θεσπέσιος Παῦλος ἐπιστέλλει πρός τινας "Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου "ἐγὼ ὑμᾶς ἐγέννησα." ὥσπερ οὖν, καθάπερ ἐλέγομεν, καὶ Θεῷ, καὶ τοῖς ἁγίοις πατράσι σύμμορφοί τινες ἀποτελοῦνται διὰ τῆς ἐν τρόποις ὁμοιότητος καὶ ἁγιασμοῦ· οὕτω καὶ τῷ διαβόλῳ, καὶ τοῖς κατ' αὐτὸν ὁμοήθεσι, καὶ ὁμογνώμονες ἀποτελοῦνταί τινες ἐξ ἰδίας τοῦτο πάσχοντες μοχθηρίας. 2.82 οὐκοῦν ἁγίοις μὲν πατέρες οἱ ἅγιοι, πονηροῖς δὲ αὖ πάλιν οἱ πονηροὶ τρεπόμενοι, πρεπωδέστατοι. καὶ οἱ μὲν τὴν θείαν μορφὴν ὅσον ἧκεν εἰπεῖν ἐν ἁγιασμῷ ταῖς ἑαυτῶν ἀναματτό μενοι ψυχαῖς, καὶ τὴν οἰκείοις υἱοῖς πρέπουσαν ἔχοντες παῤ ῥησίαν, εἰκότως ἐροῦσι "Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς." φαῦλοι δὲ πάλιν τῷ κατ' αὐτοὺς ἀνακείσονται πατρὶ, γεννη θέντες ὥσπερ διὰ τῆς εἰς αὐτὸν ὁμοιώσεως εἰς τὴν ἴσην μοχθηρίαν αὐτῶν. πατέρα τοιγαροῦν Ἰουδαίοις ἕτερον παρὰ τὸν ἅγιον Ἀβραὰμ ὁρίζει τε καὶ ὀνομάζει Χριστός· τίς δὲ οὗτος, οὔπω λέγει σαφῶς. Εἶπον οὖν αὐτῷ Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν τὸν Θεόν. Φθάσας ἤδη προεῖπον ὅτι πικρὰς καὶ ἀνοσίους ἐπὶ τῷ Σωτῆρι Χριστῷ τὰς διαλήψεις ἐνόσουν οἱ πάντα τολμῶντες Ἰουδαῖοι εὐκόλως. ᾤοντο γὰρ διεφθάρθαι μὲν τὴν ἁγίαν παρθένον, τὴν τοῦ Κυρίου μήτερα φημὶ, ἔχουσαν δὲ ἁλῶναι κατὰ γαστρὸς οὐκ ἐξ Ἁγίου Πνεύματος, ἢ ἐξ ἐνεργείας τῆς ἄνωθεν, ἀλλ' ὑπό του τυχὸν τῶν ἐπὶ τῆς γῆς. ἀπειθεῖς γὰρ ὄντες καὶ ἀσύνετοι παντελῶς, ἢ λόγον οὐδένα τῶν προφη τικῶν ἐποιοῦντο γραμμάτων, καίτοι διαῤῥήδην ἀκούοντες "Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν," ἢ εἰς μόνην ὁρῶντες τὴν σάρκα, καὶ ταῖς καθ' ἡμᾶς ἀκολουθίαις ἑπόμενοι, τὴν δὲ καὶ ὑπὲρ λόγον ἐργάτιν οὐκ ἐννοήσαντες φύσιν, ᾗ δυσήνυτον μὲν οὐδὲν, ἅπαν δὲ τὸ δοκοῦν ἱππήλατον, μὴ ἑτέρως δύνασθαι κυοφορεῖν γυναῖκα νομίζουσιν, εἰ μὴ ἐκ συνόδου τῆς πρὸς ἄνδρα καὶ μίξεως. τοιαύτην νο σοῦντες τὴν ὑποψίαν οἱ δείλαιοι, συκοφαντεῖν ἀπετόλμων τὴν διὰ τοῦ Πνεύματος γέννησιν τοῦ θείου τε καὶ οὐκ 2.83 ἀθαυμάστου γεννήματος. ἐπειδὴ δὲ τῆς πρὸς Ἀβραὰμ αὐτοὺς συγγενείας ἔξω τιθεὶς ἑτέρῳ προσνέμει δὲ πατρὶ, χαλεπαίνουσι σφόδρα, καὶ τὴν ἐνοῦσαν αὐτοῖς ὀργὴν ἀχα λίνως ἐπαφρίζοντες, διαλοιδορούμενοι λέγουσιν Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα, ἕνα πατέρα ἔχομεν τὸν Θεόν. τοιοῦτόν τι γάρ φασιν αἰνιγματωδῶς Δύο μὲν πατέρας ἔχεις αὐτὸς, ἀλλ' οὐδὲ ἐξ εὐγενῶν ἐγεννήθης γάμων, ἡμεῖς δὲ ἕνα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν Θεόν. ἀλλ' ὁράτω τις πάλιν καὶ διασκεπτέσθω σαφῶς ὅσην κἀν τούτῳ νοσοῦσι μωρίαν. οἱ γὰρ διὰ τὴν ἐν αὐτοῖς φαυλότητά τε καὶ μοχθηρίαν οὐδὲ ἐν τέκνοις Ἀβραὰμ τεθειμένοι παρὰ τῷ δικαίῳ Κριτῇ, πρὸς τοσοῦτον ἀποπληξίας οἴχονται μέτρον, ὡς καὶ Θεὸν ἑαυτοῖς ἐπιφημίζειν πατέρα, τάχα που διὰ τὸ εἰρημένον ἐν βιβλίοις Μωυσαϊκοῖς "Υἱὸς πρωτότοκός μου Ἰσραὴλ," τὸ δὲ διὰ τῆς Ἡσαΐου φωνῆς εἰς νοῦν οὐ δεχόμενοι "Οὐαὶ τέκνα ἀποστάται, τάδε λέγει Κύριος." ζητήσειε δ' ἄν τις εἰκότως, τί τὸ πεπεικὸς ἐπὶ τοῦ παρόντος τοὺς Ἰουδαίους οὐκέτι λέγειν Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν,ἢ ἕνα πατέρα ἔχομεν τὸν Ἀβραὰμ, ἀλλ' εὐθὺς ἐπὶ τὸν ἕνα Θεὸν ἀναδραμεῖν. καί μοι δοκοῦσι τοιοῦτόν τι διεσκέφθαι καθ' ἑαυτούς. ἐπειδὴ γὰρ ὑποπλήττοντες τῇ λοιδορίᾳ τὸν Κύριον ὡς νενοθευμένης πρὸ γάμου τῆς μητρὸς, δύο πατέρας ἐπέγραφον αὐτῷ, ἀναγκαίως συνεργὸν ὥσπερ τινὰ τῆς ἐπὶ τούτῳ κακονοίας τὴν τοῦ ἑνὸς κλῆσιν ἐζήτουν λαβεῖν. δι' ὧν γὰρ αὐτοὺς ἕνα πατέρα τὸν Θεὸν ἔχειν διισχυρίζονται, διὰ τούτων αὐτῶν δύο τῷ Κυρίῳ πλαγίως ἐπονειδίζουσιν ἀντι παριστάντες ὥσπερ τὸν ἕνα δυσίν. ἐνενόουν γὰρ ὅτι λέγοντες ἕνα πατέρα ἔχομεν τὸν Ἀβραὰμ, πάντως ἂν ἠρνή σαντο τοὺς ἑτέρους, τὸν Ἰσαὰκ δὴ λέγω καὶ τὸν Ἰακὼβ, καὶ τοὺς ἐξ ἐκείνου δυοκαίδεκα, ὅπερ εἰ δρῷεν, ἐδόκουν ἤδη καθ' 2.84 ἑαυτῶν ἐξοπλίζεσθαι, μάχεσθαί τε τῷ ἰδίῳ θελήματι καὶ καυχήματι, τῆς τῶν πατέρων εὐγενείας τὸν Ἰσραὴλ ἄλλο τριοῦντες, συντρέχειν τε διὰ τούτου λοιπὸν ταῖς τοῦ Κυρίου φωναῖς. βλάβος τοιγαροῦν ἐκτρέχοντες τὸ ἐντεῦθεν αὐτοῖς ἀναφύεσθαι δοκοῦν, οὐκέτι μὲν λέγουσιν Ἕνα πατέρα ἔχομεν τὸν Ἀβραὰμ, ἐπιγράφουσι δὲ μᾶλλον ἑαυτοῖς ἕνα πατέρα τὸν Θεὸν, ταῖς εἰς λοιδορίας σφαλερωτάταις ἡδοναῖς καταθελγό μενοι μόναις, ἵνα καὶ μείζοσι περιπταίωσι ταῖς αἰτίαις, δυσσεβείας μὲν ἁπάσης ὄντες ἐργάται, ἐν πατρὸς δὲ τάξει λαβεῖν θαρσήσαντες τὸν ἁπάσης δυσσεβείας ἐχθρόν. Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν εἴη, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω. Οὐκ ἀναιρεῖ δὲ διὰ τούτων ὁ Κύριος τὸ ἐξεῖναί τισι καὶ ἐν υἱοῖς κατατάττεσθαι Θεοῦ, δεικνύει δὲ μᾶλλον τίσιν ἂν πρέποι τὸ καύχημα, καὶ ὅτι μᾶλλον ἁγίοις ἐνυπάρχον εὕρε θήσεται. διελέγχει δὲ μᾶλλον ἀφραίνοντα τὸν ὑβριστὴν Ἰουδαῖον. εἷς μὲν γὰρ, φησὶ, καὶ ἀληθὴς ἐγὼ πέφυκα κατὰ φύσιν Υἱὸς, ἐκ Θεοῦ δὲ δηλονότι Πατρός· τέθεινται δὲ πάντες ὡς πρὸς ἐμὲ μορφούμενοι, καὶ εἰς τὴν ἐμὴν ἀναβαί νοντες δόξαν· αἱ γὰρ εἰκόνες ἀεὶ πρὸς τὰ ἀρχέτυπα. πῶς οὖν ὅλως δύνασθέ φησιν ἐναριθμεῖσθαι ἐν τέκνοις Θεοῦ, τὸν ἐκ Θεοῦ πεφηνότα καὶ πρὸς τὴν ἰδίαν μεταπλάττοντα μόρφωσιν τοὺς εἰς αὐτὸν πιστεύοντας, οὐχ ὅπως οὐκ ἀγαπᾶν ἐγνωκότες, ἀλλ' ἤδη καὶ ἀτιμάζοντες, οὐ καθ' ἕνα τρόπον, ἀλλὰ κατὰ πολλούς; καὶ οἱ τὸν χαρακτῆρα μὴ δεξάμενοι τοῦ Θεοῦ καὶ Πατρὸς, πῶς ἂν ὅλως μορφωθεῖεν ὡς πρὸς αὐτόν; ἄλλως τε καὶ οὐ τοῖς τυχοῦσιν ἀνεγκλήτως ἐξέσται, φησὶ, πατέρα καλεῖσθαι τὸν Θεὸν, ἀλλ' οἷς ἂν τῆς εἰς αὐτὸν εὐσεβείας ἐναστράπτοι τὸ κάλλος, ἐκείνοις οἶμαι, καὶ οὐχ 2.85 ἑτέροις, ἁρμόσει. ἐγὼ τὰ κάλλιστα συμβουλεύσων ἐξ οὐ ρανοῦ παραγέγονα, καὶ πρὸς τὴν τοῦ Θεοῦ μόρφωσιν καλῶν ὑμᾶς ὁ ἐμὸς εὑρίσκεται λόγος. ἀλλ' εἴπερ ἦν ὄντως ὑμῖν ἐν σπουδῇ καὶ πόθῳ τὸ ἔχειν πατέρα τὸν Θεὸν, πάντως ὅτι καὶ ἠγαπήσατέ με, τὸν τῆς τοιαύτης ὁδοῦ καὶ καθηγητὴν καὶ διδάσκαλον, τὸν διδόντα τῆς πρὸς τὸν ἕνα καὶ ἀληθῶς Υἱὸν ὁμοιότητος τὰς ἀφορμὰς, τὸν ἀποτελοῦντα συμμόρφους ἑαυτῷ διὰ τοῦ Ἁγίου Πνεύματος τοὺς δεχομένους αὐτόν. ὁ δὲ ὅλως, φησὶν, οἰκειότητι τῇ πρὸς Θεὸν ἐπαυχῶν, πῶς οὐκ ἂν ἠγάπησε τὸν παρὰ Θεοῦ; πῶς γὰρ εἰπέ μοι τιμήσει τὸ δένδρον ὁ τὸν ἐξ αὐτοῦ γεννηθέντα καρπὸν ἀνοήτως ἐκμυσαττόμενος; "Ἢ τοίνυν, φησὶ, ποιήσατε τὸ δένδρον "καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλὸν, ἢ ποιήσατε τὸ δένδρον "σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν." οὐκοῦν εἰ τὸ δένδρον εὐγενὲς, τουτέστιν, ὁ Θεὸς καὶ Πατὴρ, καὶ τὴν ἐξ αὐτοῦ λαμπρότητα ταῖς ἑαυτῶν κεφαλαῖς ἐπαντλεῖν ἐγνώ κατε, διὰ τί μὴ καὶ τὸν ἐξ αὐτοῦ καρπὸν τοιοῦτον εἶναι πιστεύσαντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἠγαπήσατε; ὁμοῦ τοιγαροῦν τὸ προκείμενον καὶ πικρὸν ἔχει πρὸς Ἰουδαίους τὸν ἔλεγχον· δεικνύει γὰρ ψευδομένους. ὅτε γὰρ πατέρα καλεῖν Θεὸν ἐπιχειροῦσι, πολύ τι τῆς ἀρετῆς τῶν εἰς τοῦτο κεκλημένων ἀφεστηκότες διὰ τοῦ μὴ ἀγαπᾶν τὸν ἐκ Θεοῦ κατὰ φύσιν· ὁμοῦ δὲ χρησίμως καὶ τῆς ἀῤῥήτου γεννήσεως εἰσφέρει τὴν μνήμην, ἵνα πάλιν κἀν τούτῳ δυσσεβοῦντες ἁλίσκωνται, δυσγενῆ καὶ νόθον ἀποκαλοῦντες αὐτόν. εἰ μὲν οὖν τὸ λέγειν Ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον, τὴν ἐκ Πατρὸς ἄῤῥητόν τε καὶ ἄναρχον γέννησιν ἑαυτοῦ σημαίνει· τὸ δέ Ἥκω προστιθεὶς, τὴν ἐν τῷδε τῷ κόσμῳ πάροδον τὴν μετὰ σαρκός. καὶ οὐ δήπου φησὶν ἔναντι καὶ πρῶτον τότε ἐκ Θεοῦ καὶ Πατρὸς ἀναλάμψαι 2.86 τὸν Θεὸν Λόγον, ὅτε γέγονεν ἄνθρωπος· τοῦτο γὰρ ἔν τισιν ἔδοξε τῶν ἀνοσίων αἱρετικῶν· ἐκλήψεται δὲ μᾶλλον καὶ ἀκολούθως τὸ εἰρημένον, καὶ νοήσει πάλιν εὐσεβῶς. οὐ γὰρ ἐπεὶ συνῆψε τὰς λέξεις, τό τε Ἐξῆλθον καὶ τό Ἥκω φημὶ, ὁμόχρονος ἔσται πάντως τῇ γενέσει τῆς σαρκὸς ὁ ἐκ Πατρὸς Λόγος, ἀλλ' ἑκάστῳ τῶν σημαινομένων τὸ πρέπον διατηρή σομεν. πρώτην μὲν γὰρ τὴν τοῦ Λόγου γέννησιν τὴν ἐκ Θεοῦ νοουμένην ἀνάρχως εἶναι καὶ ὑπὲρ νοῦν πιστεύοντες· διὸ καὶ προτέθειται ἐν τῷ Ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον· ἡ δὲ δευτέρα, τουτέστιν ἡ κατὰ σάρκα Οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν. ἐσαρκώθην καθ' ὑμᾶς, τουτέστι, γέγονα ἄνθρωπος, ἐν εὐδοκίᾳ τε τοῦ Θεοῦ καὶ Πατρὸς ἀφικόμην ἐν τῷδε τῷ κόσμῳ διαλεξόμενος ὑμῖν τὰ παρὰ Θεοῦ, καὶ γνωρίσων οὐκ εἰδόσι τὰ ὅσαπερ αὐτῷ κατὰ γνώμην ἐστίν. ἀλλ' οὐκ ἠγαπήσατε, φησὶ, τὸν ἐκ θείας ὑμῖν ἀναδειχθέντα βουλήσεως Σωτῆρα καὶ ποδηγόν. πῶς οὖν ἔτι χρηματιεῖτε τέκνα Θεοῦ, ἢ κατὰ τίνα τρόπον τῆς πρὸς αὐτὸν οἰκειότητος ἀποκερδανεῖτε τὴν χάριν, τὸν ἐξ αὐτοῦ μὴ τιμήσαντες; εἰκὸς δὲ δή τι πάλιν ὑπαινίττεσθαι τὸν Κύριον, καὶ καθυλακτοῦντα μάτην αὐτοῦ τῶν Ἰουδαίων τὸν δῆμον κατασιγάζειν ἐπείγεσθαι καὶ διὰ τῶν τοιούτων ῥημάτων. τί δὲ ἄρα τὸ ὑποδηλούμενόν ἐστι, δι' ὀλίγων ἐροῦμεν. Πολλοὶ παρὰ τοῖς Ἰουδαίοις τὸν μὲν θεῖον παρ' οὐδὲν ἡγούμενοι φόβον, θαυμάζοντες δὲ καὶ ἀποδεχόμενοι μόνας τὰς ἐξ ἀνθρώπων τιμὰς, καὶ αἰσχρῶν λημμάτων ἡττώμενοι, προφητεύειν ἀπετόλμων τὰ "ἀπὸ καρδίας ἑαυτῶν λαλοῦντες, "καὶ οὐκ ἀπὸ στόματος Κυρίου," καθὰ γέγραπται. καὶ γοῦν αὐτὸς ὁ πάντων Δεσπότης ἐπῃτιᾶτο λέγων "Οὐκ ἀπέστελον "τοὺς προφήτας, οὐκ ἐλάλησα πρὸς αὐτοὺς, καὶ αὐτοὶ προε "φήτευον·" ἀλλὰ καὶ δράσειν αὐτοὺς τὰ δεινὰ ἐπηπείλει 2.87 λοιπὸν βοῶν "Οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, "καὶ τὸ καθόλου μὴ βλέπουσι." τοιοῦτός τις ἦν ὁ Σαμέας ὁ τοῖς Ἱερεμίου λόγοις τὸ οἰκεῖον ψεῦδος ἀντιτιθεὶς, καὶ τοὺς μὲν ξυλίνους ἁρπάσας κλοιοὺς, συντρίψας δὲ καὶ εἰπών "Τάδε λέγει Κύριος Συντρίψω τὸν ζυγὸν Βαβυλῶνος "βασιλέως." ἐπειδὴ τοίνυν λέγοντος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ "Νῦν δέ με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν "ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ," διεγόγγυζον οἱ Ἰουδαῖοι, καὶ τίς ἐστιν ἀληθῶς οὐκ εἰδότες αὐτὸν, ψευδοπροφήτην ὑπάρχειν ἐνόμιζον, ἐσκληρύνοντό τε ταύτης ἕνεκα τῆς αἰτίας, ὡς ἤδη μὲν αὐτῷ καὶ διαλοιδορεῖ σθαι τολμᾶν, φονᾶν δὲ οὕτως ἀγρίως, ὡς ἤδη τοῦτο καὶ ἐπείγεσθαι δρᾶν, χρησίμως αὐτοὺς καταπτοεῖ πάλιν, οὐκ ἀφ' ἑαυτοῦ μὲν ἐλθεῖν καθάπερ ἦν ἔθος αὐτοῖς ψευδοπροφητεύ ουσιν, ἀπεστάλθαι δὲ παρὰ Θεοῦ λέγων, ἵνα ἐν ταὐτῷ καὶ τὴν τοῦ ψευδοπροφήτου δόξαν ἀποκρουόμενος, καὶ διδάσκων ὡς οὐ μετρίαν ὑφέξουσι δίκην, οὐχ ὅπως ἀτιμάζοντες μόνον τὸν ἀπεσταλμένον παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀλλ' ἤδη καὶ φονᾶν ἐπ' αὐτῷ τολμήσαντες, τὸ ἀχάλινον αὐτῶν ἀνακόψειε θράσος. Ὁ μὲν οὖν τοῦ προκειμένου λόγος ἐν τούτοις· εἰκὸς δὴ πάλιν τροφὴν ὥσπερ τινὰ ποιεῖσθαι τὸν αἱρετικὸν τῆς ἐνούσης αὐτῷ δυσσεβείας τὸ εἰρημένον. κατηγορήσει γὰρ ἴσως τῆς οὐσίας τοῦ Μονογενοῦς, εἶναί τε αὐτὴν ἐν ἐλάτ τοσιν ἢ ἐν οἷς ἐστιν ὁ Πατὴρ νομίσει, διὰ τὸ ἀπεστάλθαι λέγειν παρ' αὐτοῦ. ἀλλ' ἐννοείτω πάλιν ὁ τοιοῦτος καὶ τῆς ἀρτίως ἡμῖν εἰρημένης οἰκονομίας τὸν τρόπον, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεμνήσθω βοῶντος τοῦ Παύλου περὶ τοῦ Υἱοῦ "῝Ος ἐν μορφῇ Θεοῦ "ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' "ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι "ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος "ἐταπείνωσεν ἑαυτὸν, ὑπήκοος γενόμενος μέχρι θανάτου." 2.88 εἰ δὲ τεταπείνωκεν ἑαυτὸν ἑκὼν, δηλονότι συγκατανεύοντος ὥσπερ καὶ συνεθέλοντος αὐτῷ τοῦ Πατρὸς, ποῖον ἕξει τὸ κατηγόρημα διεξάγων εἰς τέλος τῆς οἰκονομίας τὸν τρόπον, καθ' ὃν ἔδει λόγον; εἰ δὲ διὰ τὸ λέγειν ἀπεστάλθαι, καὶ ἐν ἐλάττοσιν ἢ ἐν οἷς ἐστιν ὁ Πατὴρ οἴει κεῖσθαι τὸν Υἱὸν, πῶς εἰπὲ γάρ μοι πάλιν ὁ ἐν ἐλάττοσιν ὢν κατὰ τὴν σὴν ἀμα θίαν, ἀπαραλλάκτως ἐνεργεῖ τὰ Θεοῦ; ποῦ γὰρ τὸ ἔλαττον ἐν αὐτῷ διαφαίνεται πάντα τελείως ἔχοντος τὰ τοῦ ἰδίου γεννήτορος, καὶ πληρεστάτην ἐξουσίαν τὴν θεοπρεπῆ; οὐκ οὖν οὐκ ἐλάττων διὰ τὴν ἀποστολὴν νοηθήσεται, ἀλλὰ Θεὸς ὑπάρχων ἐκ Θεοῦ κατὰ φύσιν καὶ ἀληθινῶς, ἐπείπερ αὐτός ἐστιν ἡ σοφία καὶ ἡ δύναμις τοῦ Πατρὸς, πέμπεται πρὸς ἡμᾶς καθάπερ ἐξ ἡλίου τὸ ἐξ αὐτοῦ σκεδαννύμενον φῶς, ἵνα σοφοῖ τὸ σοφίας ἐπιδεὲς, οὕτω τε λοιπὸν ἀναβιβάζοιτο δι' αὐτοῦ, καὶ πρὸς ἐπίγνωσιν τοῦ Θεοῦ καὶ Πατρὸς δυναμωθείη τὸ ἠσθενηκὸς, καὶ πρὸς πᾶσαν ἀρετὴν ἀναγάγοιτο. πάντα γὰρ τῇ ἀνθρώπου φύσει τὰ κάλλιστα διὰ μόνου πέφηνε τοῦ Χριστοῦ. οἰκετικὸν οὖν ἄρα τὸ παράπαν οὐδὲν ἐν Χριστῷ, πλὴν ἄρα μόνης τῆς κατὰ σάρκα μορφῆς, θεοπρεπὴς δὲ μᾶλλον ἡ ἐφ' ἅπασιν ἐξουσία καὶ δύναμις, κἂν ὁ λόγος ἡμῖν σχηματίζηται τὸ ἀνθρώπινον τῷ τῆς ταπεινώσεως μέτρῳ καλῶς συμμορφούμενος. Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν. Τὸ καὶ πολλάκις εἰρημένον ἡμῖν ἐροῦμεν πάλιν, διὰ τὸ τοῖς ἐντευξομένοις λυσιτελές· ἰέναι γὰρ καὶ μάλα συχνῶς τὸν λόγον διὰ τοῦ πεφυκότος ὠφελεῖν τὸ ἀδικοῦν οὐδέν. 2.89 ἔθος τοιγαροῦν τῷ Σωτῆρι Χριστῷ τὸν μὲν ἀπὸ γλώσσης ἀναβρασθέντα λόγον οὐ πάντως ἐκδέχεσθαι τῶν ἀπειθούντων αὐτῷ, ἐνορᾶν δὲ μᾶλλον εἰς καρδίας καὶ νεφροὺς, καὶ τὰς ἀποκρίσεις ποιεῖσθαι πρὸς τοὺς ἐν τῷ βάθει τῆς καρδίας αὐτῶν στρεφομένους ἔτι διαλογισμούς. ἄνθρωπος μὲν γὰρ οὐκ εἰδὼς τὰ ἐν ἑτέρῳ διανοήματα, τὸν προφορικὸν ἀναγ καίως ἐκδέξεται λόγον, Θεὸς δὲ οὐχ οὕτως· πάντα γὰρ εἰδὼς, ἀντὶ φωνῆς ἔχει τὸ ἐνθύμιον. ἐπειδὴ τοίνυν ἔφη τοῖς Ἰου δαίοις ὁ Κύριος ἐληλυθέναι μὲν οὐκ ἀφ' ἑαυτοῦ, καθάπερ ἦν ἔθος τοῖς ἐξ οἰκείας γνώμης, καὶ οὐκ ἐκ θείου Πνεύματος ἐπὶ τὸ προφητεύειν βαδίζουσι, πεπέμφθαι γεμὴν παρὰ τοῦ Θεοῦ, διενθυμοῦνται πάλιν, ἤτοι διαλογίζονται καθ' ἑαυτοὺς, ἢ καὶ λεληθότως ἀλλήλοις ἐμψιθυρίζοντες ἔφασκον Πολλοὶ λελα λήκασι προφῆται τὰ παρὰ τοῦ Θεοῦ, καὶ τοὺς ἐκ τοῦ Πνεύ ματος εἰς ἡμᾶς εἰσεκόμισαν λόγους, ἀλλ' εὑρίσκομεν οὐδὲν παρ' ἐκείνοις τοιοῦτον, ὁποῖον ἐν τοῖς τούτου ῥήμασιν. ἀποφέρει γὰρ παντελῶς τῆς κατὰ νόμον λατρείας, καὶ εἰς ἑτέραν τινὰ μεθίστησι πολιτείαν, καὶ ξένην ἡμῖν εἰσηγεῖται βίου διαγωγήν. οὐκοῦν ἀσύμφωνος ἐναργῶς, ἀσύμβατος δὲ τοῖς πάλαι γέγονεν ὁ λόγος αὐτῷ. ταῦτα κατὰ τὸ εἰκὸς ἐπείπερ ἐθεᾶτο διενθυμουμένους αὐτοὺς, δεικνὺς ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ, καὶ τὰ ἐν καρδίαις εἰδὼς βουλεύματα προσλαμβάνει καί φησι Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν. οὐκ ἠγνόηκα, φησὶν, ὡς τὴν ἐμὴν οὐ δύνασθε συνιέναι λαλιὰν, ἤτοι διδασκαλίαν, ἀλλ' ἐρῶ τὴν αἰτίαν ὑμῖν τοῦ πράγματος, καὶ τί τὸ ἐμποδὼν, καταστήσω σαφές. οὐ δύνασθε τὸν ἐμὸν ἀκοῦσαι λόγον· τὸ δέ Οὐ δύνασθέ φησιν, ἀτονοῦντας ἐλέγχων περὶ τὸ τελείως ἀγαθὸν, διὰ τὸ ἰδίοις προκεκρατῆσθαι πάθεσιν. ἀπονευροῖ μὲν γὰρ ἡ φιληδονία τὸν νοῦν, καὶ ἡ 2.90 πρὸς τὸ φαῦλον ἀχαλίνως ἔχουσα ῥοπὴ προσεκλύουσα τῆς καρδίας τὸν τόνον, ἀδρανῆ καὶ ἀτολμοτάτην αὐτὴν ἀπεργά ζεται πρός γε τὸ δύνασθαι κατορθοῦν ἀρετήν. προησθενη κότες τοιγαροῦν ταῖς εἰς φαυλότητα ῥοπαῖς, καὶ ὑπὸ τῶν ἰδίων παθῶν τυραννούμενοι, φησὶ, τὸν ἐμὸν ἀκούειν οὐ δύνασθε λόγον· "Εὐθεῖαι μὲν γὰρ αἱ ὁδοὶ Κυρίου," κατὰ τὸ γεγραμ μένον, "καὶ δίκαιοι πορεύσονται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς "ἀσθενήσουσιν ἐν αὐταῖς." συγγενὲς εὑρήσεις τούτοις, καὶ τὸ ἐν ἑτέροις πρὸς τοὺς Φαρισαίους εἰρημένον "Πῶς δύνασθε "πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν "δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε;" κἀν τούτῳ γὰρ δὴ τὸ μὴ δύνασθαι πιστεύειν αὐτοὺς, τὴν ἑκούσιον τῆς διανοίας ἀσθένειαν, ἤτοι τὸ προκεχειρῶσθαι ταῖς φιλοδοξίαις τὸν νοῦν σημαίνει. ἀληθὲς δὲ πάλιν ὑπάρχον ἐπὶ τοῖς Ἰουδαίοις εὑρίσκομεν τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς εἰρη μένον "Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος "τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστιν." οὐκοῦν ἐπειδήπερ ἦσαν ψυχικοὶ, μωρίαν ἡγοῦντο τὸν ἐπὶ τὸ σώζεσθαι καλοῦντα λοιπὸν, καὶ τῆς ἐξαιρέτου πολιτείας διδάσκοντα τὴν ὁδὸν, ἀπευθύνοντά τε καλῶς εἰς τὸ ἀρέσκειν δύνασθαι τῷ φιλα ρέτῳ Θεῷ, ᾧ πᾶσα τιμὴ, δόξα, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

2.91 ΚΕΦΑΛΑΙΑ ΤΑ ΕΝ ΤΩι ΕΚΤΩι ΒΙΒΛΙΩι.

Ὅτι οὐκ ἐκ προγενεστέρων τῆς ψυχῆς ἁμαρτημάτων τὰ σωματικά τισιν ἐπισυμβαίνει πάθη, ἀλλ' οὐδὲ ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἢ τίνων ἐπάγει τισὶν ὁ Θεὸς, τοὺς οὐδὲν ἡμαρτηκότας κολάζων, ἀλλὰ δίκαιον ἐφ' ἅπασιν ἐκφέρει τὸ κρῖμα, προσκειμένου ῥητοῦ Ῥαββὶ, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;

2.93 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἐστὶν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. ἈΠΟΒΟΥΚΟΛΗΣΑΣ εἰκότως τῆς ἀπὸ Ἀβραὰμ συγ γενείας αὐτοὺς, ἔχοντάς τε ἀνομοίως τοῖς ἐκείνου τρόποις, καὶ πολὺ τῆς εἰς αὐτὸν τὸν Θεὸν εὐσεβείας ἐξεστηκότας ἐλέγξας, καὶ πρὸς τούτοις ἔτι τὴν αἰτίαν ἐξηγησάμενος τοῦ μὴ δύνασθαι κατηκόους εἶναι τῆς παρ' αὐτοῦ λαλιᾶς, ἐπιδεικνύει πάλιν, τίς ἂν μᾶλλον αὐτοῖς πρεπωδέστερόν τε καὶ οἰκειό τερον ὀνομάζοιτο πατήρ. ὑμεῖς τοιγαροῦν φησιν ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, ὃν καὶ ἀνθρωποκτόνον φησὶν εἶναι ἐν ἀρχῇ, καὶ ἐν τῇ ἀληθείᾳ μὴ ἑστάναι, ψεύστην εἶναι· ψεύ στην δὲ ὑπάρχειν αὐτῷ τὸν πατέρα, ὃν καὶ ἐν τοῖς ἐφεξῆς 2.94 τίς ἂν εἴη σαφῶς διωρίσατο· αὐτὴ γὰρ ὡς ἐν ὀλίγοις ἡ τῶν προκειμένων προπέτεια πολλὴν ἔχουσα τὴν ἀσάφειαν, καὶ βασάνων τῶν ἐξ ἀκριβείας ὅτι μάλιστα δεομένη. βαθὺς γὰρ ὁ περὶ τούτου λόγος καὶ οὐκ εὐκάτοπτος οἶμαι πολλοῖς· ὅσον μὲν γὰρ εἰς τὴν ἐξ ἑτοίμου ληφθῆναι δυναμένην διά νοιαν, οὐχ ἕτερόν τινα τοῖς Ἰουδαίοις ὁρίζεται πατέρα παρὰ τὸν ἐξ οὐρανοῦ κατολισθήσαντα σατανᾶν. ἀλλ' ἐν τοῖς ἐφεξῆς κείμενον ὡς περὶ τοῦ διορισθέντος αὐτοῖς πατρὸς, ὅτι ψεύστης ἐστὶ καθὼς καὶ ὁ πατὴρ αὐτοῦ, θορυβεῖ πως ἡμᾶς, μᾶλλον δὲ οὐ μετρίως ἐπαπορεῖν ἀναγκάζει. τίνα γὰρ τὰ εἰκότα δὴ φρονοῦντες ὑποτοπήσαιμεν ἂν γενέσθαι τῷ διαβόλῳ πατέρα, ἢ τίς πρὸ αὐτοῦ κατώλισθεν ἕτερος ᾧπερ ἂν ὡς ἐν εἴδει καὶ τρόπῳ ὁ μετ' αὐτὸν παρεικάζοιτο; ἐν μὲν γὰρ τοῖς ἱεροῖς τε καὶ θείοις γράμμασιν οὐκ ἄν τις ἡμῖν ἐπιδείξοιτο τοιοῦτον ἀνάγνωσμα· παραδεκτὸν δὲ οὐδαμῶς εἰς πίστιν ὃ μὴ ταῖς θεοπνεύστοις εἴρηται γραφαῖς. πνεῦμα γὰρ ἅπαν τὸ ἐν δαίμοσι τελοῦν ὡς διαβόλου τέκνον σατανᾶς καλεῖται κατὰ τὸ εἰρημένον παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ "Εἰ οὖν ὁ "σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη·" ἀλλ' ἕνα τῶν ἄλλων προὔχοντά τε καὶ ὑπερκείμενον ἐκεῖνον ἠκούσαμεν πρὸς ὃν εἴρηταί που διὰ τοῦ προφήτου Ἰεζεκιὴλ "Σὺ εἶ ἀποσφράγισμα ὁμοιώσεως καὶ στέφανος κάλλους ἐν "τῇ τρυφῇ τοῦ παραδείσου τοῦ Θεοῦ γεννηθεὶς, πάντα "λίθον χρηστὸν ἐνδέδυσο." τίνα τοίνυν ὑπάρχειν ἕτερον ἀνεγκλήτως ὑποτοπήσομεν, πρὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὃν οὗτος ἐμορφώθη, κατ' εἶδος λέγω τὸ ἐν φαυλότητι; τινὲς μὲν γὰρ τῶν παλαιο τέρων ἐξηγητῶν τὰ ἐν τῷ προκειμένῳ διαλαμβάνοντες, τὸν μὲν ἀρχαῖον ἐκεῖνον σατανᾶν, ὃς καὶ τῶν ἄλλων ἁπάντων 2.95 δαιμονίων πρωτοστάτης νοεῖται, δεδέσθαι φησὶ τῇ τοῦ Θεοῦ δυνάμει, καὶ εἰς αὐτὸν ἐῤῥίφθαι τὸν τάρταρον τὰς ἐφ' οἷς εἰς Θεὸν πεπαρῴνηκεν εὐθύνας ὑφέξοντα, ἕτερον δὲ μετ' ἐκεῖνον ἀναπεφάνθαι τινὰ, ταῖς τοῦ πατρὸς βδελυρίαις ἰσοτρο ποῦντα· καλῶς τὸν νῦν ἄρχοντα τοῦ αἰῶνος τούτου, περὶ αὐτοῦ τε φάναι τὸν Σωτῆρα διισχυρίσαντο, ὅτι καὶ ἀνθρω ποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ὅτι ψεύστης ἐστὶν ὥσπερ ὁ πατὴρ αὐτοῦ. Ἀλλ' εἰ μὴ πολλὰ καθ' ἑαυτοὺς ἐπὶ τούτῳ διενοούμεθα, κἂν εἰκότως τὸν λόγον ἐξ ἑτοίμου παρεδεξάμεθα· νυνὶ δὲ ἡμᾶς συναινεῖν ἀπερισκέπτως οὐκ ἐᾷ, καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο. κατὰ μὲν γὰρ τῆς ἐπιδημίας τοῦ Σωτῆρος ἡμῶν καιρὸν, ἡ τοῦ διαβόλου τυραννὶς ἐδέχετο τὴν τοῦ κατα πίπτειν ἀρχὴν, καὶ εἰς τὴν ἄβυσσον ἐξεπέμπετο τὰ πονηρά τε καὶ ἀκάθαρτα πνεύματα. καὶ γοῦν προσιόντες οἱ δαίμονες διαῤῥήδην αὐτὸν παρεκάλουν, "ἵνα μὴ αὐτοῖς ἐπιτάξῃ εἰς "τὴν ἄβυσσον ἀπελθεῖν," καθὰ γέγραπται. μεμνήμεθα δὲ ὅτι καὶ πολλὴν ἐποιοῦντο τὴν καταβοὴν ἐπὶ τούτῳ λέγοντες " Εα, τί ἡμῖν καὶ σοὶ Ἰησοῦ Ναζαρηνέ; οἴδαμέν σε τίς εἶ· "ὁ ἅγιος τοῦ Θεοῦ· ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι "ἡμᾶς;" ὅτι μὲν γὰρ ἐπιδημήσας ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς κατατήξειν ἤμελλεν αὐτοὺς καὶ ποικίλως ἀνιά σειν, ᾔδεσάν που πάντως καὶ αὐτοὶ, πολὺν ὄντα τὸν περὶ αὐτοῦ λόγον εὑρίσκοντες παρὰ τοῖς ἐξ Ἰσραὴλ, κατῃτιῶντο γεμὴν ὡς ἀφιγμένον οὐκ ἐν καιρῷ, καὶ τοῦτο δρῶντες τυραννικῶς, καὶ τὸν τῆς ἐπιδημίας χρόνον κατηγοροῦντες δυστρόπως· πλὴν τό Πρὸ καιροῦ λέγουσιν, ὡς βασανι σθέντες μὲν καθ' ἕτερόν τινα χρόνον οὐδαμῶς, ἕνα δὲ προσ δοκῶντες τὸν τῆς ἐπιδημίας, καθ' ὃν ἔμελλον ἀνενδοιάστως ὑπομεῖναι τὰ προσδοκώμενα. πρὸς δέ γε τοῦτο κἀκεῖνό φαμεν Εἰ ἐκείνου δεδεμένου, κατὰ τὴν τινῶν διάληψιν, 2.96 ἕτερός τις ἠπάτησε τὸν Ἀδὰμ, καταλήγει δὲ οὔπω τῆς ἐφ' ἧς κατηγορεῖται μανίας, ἀνυπαίτιος μὲν ἔσται παντελῶς ὁ πρῶτος ἐν τοῖς καθ' ἡμᾶς, ἀπαλλάξει δὲ ὡς εἰκὸς καὶ παντὸς ἐγκλήματος ὁ λόγος αὐτὸν, οὔτε δὲ πεφόνευκέ τινα, οὔτε ἠπάτησεν, οὔτε ἐψεύσατο. ἀλλ' οὐδὲ πρὸς αὐτὸν δικαίως λελέξεται παρὰ τοῦ Θεοῦ "Ὃν τρόπον ἱμάτιον ἐν αἵματι "πεφυρμένον οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ "καθαρὸς, διότι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου "ἀπέκτεινας." ἂν τοίνυν τῶν ἀρτίως ἡμῖν ἀπηριθμημένων κακῶν ἀμοιρεῖν ἐκεῖνον, ὃν καὶ πρῶτον εἶναί φασιν, ἐπιτρέ πομεν, τίνα μιμεῖσθαι λοιπὸν ὁριούμεθα τὸν μετ' ἐκεῖνον δεύτερον, ἢ πρὸς τίνα λοιπὸν ἐμορφώθη πλεονεκτῶν ἐν κακίᾳ τὸν ἡγούμενον, καὶ τῆς ἐκείνῳ φαυλότητος παχυτέρους ἔχων τοὺς χαρακτῆρας; Ἀλλ' ἦν μὲν ἴσως οὐκ ἀπεικὸς καὶ διὰ πλειόνων ἐλθεῖν τὸν ἐπὶ τούτῳ διερευνῶντας λόγον, τὸ γεμὴν σφόδρα διατεί νεσθαι περιττὸν ἐφ' οἷς ἥκιστα χρὴ λογιζόμεθα. οὐκοῦν ἐφ' ἑτέραν ἰτέον διάνοιαν, καὶ ζητητέον ἀκριβῶς τίνα τοῖς Ἰου δαίοις πατέρα ὁρίζει ὁ Χριστὸς ἰσότροπόν τε καὶ ὁμογνώ μονα, ὥσπερ ἂν εἰκότως καὶ πατὴρ ἐπιγράφοιτο δαιμόνιον, ἐκεῖνος ὁ ἀρχέκακος, τουτέστιν, ὁ σατανᾶς. ἀναφέρει τοίνυν αὐτοὺς ἐπὶ τὸν Κάϊν, ὃς πρῶτος ἀνθρώπων ἁπάντων ἐλέγχων μὲν οὐκ ἠγάπησε τὸν σωφρονιστὴν, φθόνου δὲ καὶ φόνου καὶ δόλου καὶ ψεύδους καὶ ἀπάτης ἀρχὴ μετ' ἐκεῖνον ἐδείχθη τὸν σατανᾶν, οὗπερ ἂν δικαίως ὀνομάζοιτο καὶ υἱὸς, ἅτε δὴ καὶ πᾶσαν τῆς ἐκείνου πονηρίας ἀναματτόμενος ἐν ἑαυτῷ τὴν μόρφωσιν. ὅνπερ γὰρ τρόπον ἁγίῳ τε καὶ δικαίῳ τε παντὶ πατὴρ νοεῖται Θεὸς, αὐτὸς ὢν ἡ πάντων ἁγιασμοῦ καὶ δικαιοσύνης ἀρχὴ, τὸν αὐτὸν οἶμαι τρόπον παντὶ πονηρῷ πατὴρ ἂν εὐλόγως ὁ σατανᾶς ὀνομάζοιτο, αὐτὸς ὢν ἁπάσης 2.97 πονηρίας ἀρχή· ἐπειδὴ δὲ τὸν μὲν Κάϊν δεδόσθαι τοῖς Ἰουδαίοις πατέρα, αὐτῷ δὲ τῷ Κάϊν τὸν σατανᾶν εἰρήκαμεν, φέρε δὴ πάλιν τοῖς ἑαυτῶν ἑπόμενοι λόγοις ἀναφανδὸν ἐπιδείξωμεν πρῶτον μὲν εἰς ἐλέγχους τοὺς παρὰ Θεοῦ τραχηλιῶντα τὸν σατανᾶν, εἶτα καὶ ἀπατήσαντα καὶ ψευσά μενον, καὶ τὸ τελευταῖον διὰ φθόνου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φονεύσαντα. ἐπιδεί ξαντες δὲ τούτῳ τὸν Κάϊν ἰσότροπόν τε καὶ ὁμογνώμονα, καταφέρομεν τὸν λόγον ἐπὶ τρίτου εἰς τοὺς Ἰουδαίους τῆς ἐν αὐτῷ φαυλότητος ὅλην ἔχοντας τὴν εἰκόνα. Οὐκοῦν ἀτιμάσας μὲν ὥσπερ τὴν ἰδίαν ἀρχὴν, καὶ πολὺ τῶν ὑπὲρ φύσιν τὴν ἑαυτοῦ γλιχόμενος, ὅρον τε τὸν τῆς ἑαυτοῦ τάξεως οὐ τηρήσας ὁ σατανᾶς κατηνέχθη, καὶ πέπτωκεν ἐλεγχθεὶς ὥσπερ διὰ τούτου παρὰ Θεοῦ, καὶ τῆς οἰκείας φύσεως τὸ μέτρον ἐκδιδασκόμενος· ἀλλ' οὐδεμίαν ἐντεῦθεν τὴν ὄνησιν ἔχων διὰ τὴν ἑαυτοῦ δυσβουλίαν, ἐνόσει τὰ χείρονα βλέπων μὲν οὐδαμῶς εἰς τὸ χρῆναι γοργῶς τὴν οἰκείαν γνώμην ἐπανορθοῦν, ἐν ἀκλονήτῳ δὲ ὥσπερ τῆς δυστροπίας διαμεῖναι σπουδάσας. ἐπειδὴ δὲ ὁ πρῶτος ἄνθρωπος ἐπλάσθη παρὰ Θεοῦ κατὰ τὴν Μωυσέως συγ γραφὴν, καὶ ἦν ἐν τῷ παραδείσῳ τὴν δοθεῖσαν ἔτι ἐντολὴν φυλάττων, τὴν ἐπὶ τῷ ξύλῳ φημὶ, πρῶτος εἰς φθόνον ὁ σατανᾶς ἀνεκαύθη, ἐλεγχομένης δὲ ὥσπερ τῆς αὐτοῦ παρα βάσεώς τε καὶ παρακοῆς τοῖς πρωτοπλάστοις, ὅτε τὴν δο θεῖσαν ἐντολὴν ἐφύλαττον ἔτι, πολυπλόκοις ἀπάταις αὐτοὺς εἰς παρακοὴν ἐξέλκειν ἠπείγετο. εἰδὼς δὲ ὅτι τέξονται παρ' οὐδὲν ποιησάμενοι τοῦ μεγάλου βασιλέως τὰ προστάγματα, καὶ τοῦτο δρᾶν ἀναπείθει τοὺς οὐδὲν ἀδικήσαντας τοῖς ἐσχά τοις περιβάλλων κακοῖς. ὅτι γὰρ διαβολικῆς ἀπάτης καὶ φθόνου γέγονεν ἔργον ἡ ἐν Ἀδὰμ παράβασις, καὶ ὁ δι' 2.98 αὐτῆς ἐπιπηδήσας θάνατος, καὶ αὕτη μὲν ἡ τοῦ πράγματος διδάξει φύσις, σαφηνιεῖ δὲ οὐδὲν ἧττον καὶ τὸ τοῦ πανσόφου Σολομῶντος λόγιον ἔχον ὡδί "Ὁ Θεὸς θάνατον οὐκ ἐποίησε· "φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον." ἐν τούτοις μὲν τὰ ἐκείνου σαφῶς· δεύτερος δὲ ὁ Κάϊν ἡμῖν εἰσίτω καὶ ἑστάτω λοιπόν. ἦν μὲν γὰρ πρωτότοκος ἐξ Ἀδὰμ γηπόνος τὸ ἐπιτήδευμα, δεύτερος ἐπ' αὐτῷ γέγονεν Ἄβελ, ἀλλ' ἦν προβάτων ποιμήν. ἐπειδὴ δὲ προσάγειν αὐτοὺς θυσίαν τῷ Θεῷ νόμος ἐκάλει φυσικὸς, ἀδιδάκτως ἐντιθεὶς τὴν τοῦ δημιουργήσαντος γνῶσιν· ἐνέσπαρται γὰρ καὶ ἐντέθειται τῇ φύσει παρὰ Θεοῦ πάντα τὰ ἀγαθά· προσεκόμιζε μὲν ὁ "Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς," καθὰ γέγραπται, ἀλλὰ "καὶ Ἄβελ ἤνεγκεν ἀπὸ τῶν πρωτοτόκων "τῶν προβάτων καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. καὶ ἐπεῖδεν "ὁ Θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν "καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε. καὶ ἐλύπησε τὸν "Κάϊν λίαν καὶ συνέπεσε τῷ προσώπῳ. καὶ εἶπε Κύριος ὁ "Θεὸς τῷ Κάϊν Ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέ "πεσε τὸ πρόσωπόν σου; οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, "ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον." εἶτα πρὸς τὸν Ἄβελ "Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ." οὐκοῦν ὁ μὲν Κάϊν ἠλέγχετο διελὼν οὐκ ὀρθῶς τὸ προσε νεχθὲν, ἐπαίνων δὲ καὶ τιμῆς ἠξιοῦτο δικαίως ὁ Ἄβελ, ὃ δὴ καὶ τροφὴ φθόνου τῷ Κάϊν ἐγίνετο. ἀπετραχύνετο γὰρ πρὸς ἐλέγχους τοὺς σωφρονίζοντας καθάπερ ὁ Σατανᾶς, εἶτα τὸν ἄδικον ὠδινήσας φθόνον, καθάπερ εἰρήκαμεν, δόλῳ μέτεισι τὸν ἀδελφὸν, τὸν ἀνόσιον ἤδη μελετήσας φθόνον. "Εἶπε γὰρ, φησὶ, Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ "Διέλθωμεν δὴ εἰς τὸ πεδίον ἄλλο τούτου βέλτιον," λέγων, καὶ καθάπερ ἐπὶ τέρψιν τινὰ καὶ χλόην τὸν οὐδὲν εἰδότα 2.99 καλῶν θηριοπρεπῶς διεχρήσατο, καὶ πρῶτον μὲν ἐπὶ γῆς ἀπετέλει νεκρὸν, οἰηθεὶς, κατά γε τὸν ἐν τῷ εἰκότι λόγον, ὅτι πάντως εἴσω γενήσεται θαύματος, οὐκ ἔχων ἔτι τὸν εἰδότα νικᾶν. ἀλλὰ καὶ φονεύσας ἐψεύδετο. λέγοντος γὰρ τοῦ Θεοῦ "Ποῦ Ἄβελ ὁ ἀδελφός σου;" τό Οὐκ οἶδά φησιν, ἐκ πολλῆς δὲ λίαν τῆς ἀπονοίας προσετίθει θερμῶς "Μὴ φύλαξ τοῦ ἀδελφοῦ μου ἐγώ εἰμι;" μόνον γὰρ οὐχὶ καὶ τοῦτό φησιν εἰπεῖν Ὁ στεφανώσας ἀδίκως τί ὠφέλησας αὐτὸν ὁ φυλάττων αὐτόν; ὁρᾷς οὖν καὶ μάλα σαφῶς ἤδη ἐν αὐτῷ τῆς τοῦ διαβόλου κακίας ὅλον ὥσπερ ἀπηκριβω μένον τὸ εἶδος, καὶ τὴν συμμορφίαν τοῦ τρόπου κατὰ τὸ ἴσον τε καὶ ὅμοιον σχῆμα διαπεπλασμένην; Ἡκέτω τοίνυν ὁ λόγος καὶ κατ' εὐθὺ τῆς Ἰουδαίων ἀνοσιότητος, καὶ τῆς τοῦ Κάϊν φαυλότητος περιτιθέντες αὐτοῖς τὴν ὁμοίωσιν, ταῦτα δεικνύωμεν ἐπιχειροῦντας κατὰ Χριστοῦ, ὅσα κατὰ τοῦ Ἄβελ ἐκεῖνος, ἵνα δικαίως αὐτοῖς καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρεπόντως ἤδη λοιπὸν ὀνομάζοιτο πατήρ. οὐκοῦν πρωτότοκος μὲν ὁ Κάϊν, καθάπερ εἰρήκαμεν, πρωτότοκος δὲ πάλιν ὡς ἐν Θεοῦ τέκνοις τοῖσδε κατὰ θέσιν ὁ Ἰσραὴλ, κατὰ τὸ εἰρημένον πρὸς Μωυσῆν "Υἱὸς πρωτό "τοκός μου Ἰσραήλ." προσκεκόμικεν ἐκεῖνος τὰ ἀπὸ γῆς εἰς θυσίαν τῷ Θεῷ, ἀλλ' "οὐ προσέσχε ταῖς θυσίαις αὐτοῦ," καθὰ γέγραπται· γεωδεστέρα δέ πως ἐστὶ καὶ τοῦ Ἰσραὴλ, κατὰ τὸ εἰρημένον, ἡ τοῦ νόμου λατρεία, διὰ μόσχων καὶ προβάτων καὶ καρπῶν τῶν ἀπὸ τῆς γῆς· ἀλλ' οὐδὲ προσ δέχεται ταύτην ὁ Θεός· "Ἵνα τί μοι γὰρ, φησὶν, λίβανον "ἐκ Σαβὰ φέρετε καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν;" ἀλλὰ καὶ διὰ φωνῆς Ἡσαΐου διαῤῥήδην ἀναβοᾷ "Τίς γὰρ ἐζήτησε "ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;" εἶτα μετὰ τὸν Κάϊν εἰσέρ χεται θύσων Ἄβελ ὁ δίκαιος ἀπὸ τῶν προβάτων. μετὰ γὰρ 2.100 τὴν κατὰ νόμον λατρείαν, καὶ ἐπὶ τέλει τῶν προφητῶν ὁ Δίκαιος ὄντως ἐπεδήμησε Χριστὸς, οὐ καρποὺς τοὺς ἀπὸ γῆς προσκομίζων εἰς θυσίαν τῷ Θεῷ καὶ Πατρὶ, ἀλλ' ὑπὲρ τῆς ἁπάντων ζωῆς τε καὶ σωτηρίας ὡς ἄμωμον ἱερεῖον ἑαυτὸν ἀναθεὶς εἰς ὀσμὴν εὐωδίας αὐτῷ. ἀποπεμπόμενος δὲ ὁ Θεὸς καὶ Πατὴρ τὴν κατὰ νόμον λατρείαν ὡς γεωδεστέραν, προσέσχεν ἐπὶ τῇ θυσίᾳ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. τὸ δέ Προσέσχε, τὸ προσήσθη δηλοῖ. εἶτα τί πρὸς τούτοις; ἐπετιμήθη Κάϊν οὐχ ὡς ὀρθῶς διελὼν, καὶ διελεγχθεὶς ἐνόσει τὸν φθόνον, ἐπί τε τὸ φονεύειν ἀκρίτως ὁρμᾷ. ἐνουθέτει καὶ Θεὸς ἐν Υἱῷ τὸν τῶν Ἰουδαίων λαὸν, ἀπῄτει τὰ κρείττονα παρ' αὐτῶν εἰς δωροφορίαν, τὴν κατὰ νόμον λατρείαν μεθι στάναι προστάττων εἰς πνευματικὴν καρποφόρησιν, καὶ μεταπλάττειν τὸ γράμμα προτρέπων εἰς ἀλήθειαν. ἀλλ' ἐλεγχόμενοι χαλεπαίνουσι, καὶ πλήττονται μὲν τῷ πατρῴῳ φθόνῳ, φονῶσι δὲ καὶ ἀδίκως κατὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. ἠπάτησεν ὁ Κάϊν τὸν Ἄβελ, καὶ λαβὼν εἰς τὸ πεδίον ἔδειξε νεκρόν· ἠπάτησαν ὁμοίως τὸ ὅσον ἐφ' ἑαυτοῖς Ἰουδαῖοι τὸν Χριστὸν ἐν σχήματι φίλου τὸν προδότην ἀποστείλαντες, ὃς ἵνα παραδῷ πρὸς αὐτὸν ἀφιγμένος ἀπα τηλῶς κατησπάζετο λέγων "Χαῖρε ῥαββί." ἀλλὰ καὶ λαβόντες αὐτὸν εἰς τὸ πεδίον, τουτέστιν, ἔξω τῆς πύλης διεχρήσαντο. "ἔξω γὰρ τῆς πύλης" πέπονθε δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ὁ Χριστός. ὁρᾷς οὖν ὅπως τῷ μὲν Ἀβραὰμ ἢ τοῖς ἐξ ἐκείνου γεγονόσι προσεχῶς κατ' οὐδένα τρόπον ἐοικότες ἁλίσκονται, τοῦ δὲ ἰδίου καὶ πρέποντος ὄντως αὐτοῖς πατρὸς ἔχουσι τὴν εἰκόνα, σύμμορφόν τε καὶ συγγενῆ τὴν κακίαν αὐτῷ νοσοῦντες ἐκτόπως, δικαίως ἀκούουσιν Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν 2.101 λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης ἐστὶ, καθὼς καὶ ὁ πατὴρ αὐτοῦ. ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω ὑμῖν, οὐ πιστεύετέ μοι. βλέπει μὲν ὁ τοῦ λόγου σκοπὸς πρὸς τὸν ἐν μέσῳ παροισθέντα καὶ ὑποδειχθέντα τῶν Ἰουδαίων πατέρα, φημὶ δὲ τὸν Κάϊν, ἐκπλατύνεται δὲ πρὸς τὸ γενικώτερον. οὐ γὰρ μέχρι τῶν ἐκείνου τρόπων τὴν τῶν λεγομένων ἵστησι δύναμιν, περιτίθησι δὲ τῷ κατ' ἐκεῖνον παντὶ τὸ ὡς ἐφ' ἑνὸς ἰδικῶς ἐπὶ παντὸς ὁμοίου τιθείς. ὅταν γὰρ, φησὶν, ὁ Κάϊν ἤτοι κατ' ἐκεῖνον ἕτερος ψεύστης λαλῇ τὸ ψεῦδος ἐξ ἰδίας ὥσπερ συγγενείας λαλεῖ. ἃ γὰρ ἔχει μαθὼν παρὰ τῶν ἡγουμένων, καὶ τοῦ τῆς κακίας δεδωκότος τὴν ἀρχὴν, τινὰ καθάπερ φυσικὴν ἐπιτηδειότητα τὸ ψεύδεσθαι ποιησάμενος τὸν ἑαυτοῦ μιμεῖται πατέρα. λαλεῖ γὰρ τὸ ψεῦδος· διὰ τοῦτο, φησὶν, ἐπείπερ αὐτῷ καὶ φιλοψεύστης γέγονε πατὴρ, ἄγεται δὲ ὥσπερ τισὶ φυσικοῖς ἤδη θεσμοῖς εἰς δυσγένειαν τὴν παππῴαν τε καὶ πατρικὴν, καὶ δεικνύει μὲν ἐν ἑαυτῷ τὴν ἐκείνων φαυλότητα, διαφανεστάτην δὲ ὥσπερ εἰκόνα τῶν ἰδίων ἠθῶν τε καὶ τρόπων τὴν ἐν τοῖς προγόνοις μοχθηρίαν πεποιημένος, ἐπαυχεῖ που πάντως τοῖς ἰδίοις κακοῖς. ὅτε τοίνυν ταῦθ' οὕτως συμβαίνειν ἔθος, καὶ ἡ τῶν ἀρχαίων φαυλότης ἐγχαραττομένη τοῖς ὁμοηθέσιν ἐκείνων αὐτοὺς καὶ παῖδας ὀνομάζεσθαι ποιεῖ, τί τὸ κωλύον ἐστὶ τὴν ἀλήθειαν λέγοντι καί μοι πιστεύειν ὑμᾶς, ὅτι δὴ πάντως ἐξ ἀληθοῦς πέφηνα Πατρὸς, καὶ καθάπερ ἤδη προεῖπον "Ἐκ "τοῦ Θεοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξῆλθον καὶ ἥκω;" εἰ γὰρ ψεύδεταί τις ἐπειδὴ ψεύστην ἔχει τὸν πατέρα, καὶ ἐξ ἰδίας ὥσπερ συγγενείας ἐκεῖθεν λαλεῖ, πῶς οὐκ ἀναγκαῖον λέγοντα κἀμὲ τὴν ἀλή θειαν νοεῖσθαι δὴ πάντως ἐξ ἀληθοῦς γεγεννῆσθαι Πατρὸς καὶ οὐ, καθάπερ ὑμεῖς δυσσεβοῦντες ὑπετοπήσατε, τῶν ἐπι γείων τινὸς ἐκ πορνείας καὶ συνόδου τῆς οὐ κατὰ νόμον; Τοιούτοις μὲν οὖν χρήσαιτ' ἂν ῥήμασι πρὸς Ἰουδαίους ὁ Κύριος· ἰστέον δὲ ὅτι ἐπὶ μὲν ἀνθρώπων ἤγουν πνευμάτων 2.102 λογικῶν ἐν ἤθει καὶ τρόποις ὁρᾶται τὸ συγγενὲς, ὅπερ ἂν ἔχοιεν πρός τε ἀλλήλους εἰς τὸν ἁπάσης κακίας πατέρα διάβολον· ἐπὶ δὲ τοῦ Μονογενοῦς μόνον εἰς εἰκόνα τοῦ θεωρουμένου τὸ πρᾶγμα ληφθέν· παρ' αὐτοῦ γὰρ πάντως ἀπαραποιήτως σχηματίζεται· τὸ γὰρ ὁμοφυὲς αὐτῷ πρὸς τὸν Πατέρα φυσικόν τε καὶ οὐσιῶδες· ἐξ αὐτοῦ γὰρ ὑπάρχων ἀληθῶς μετὰ τῆς κατὰ φύσιν ἰδιότητος πάντα ἔχων τὰ αὐτοῦ, καὶ τῆς ἐμφερείας τῆς εἰς ἅπαντα τὴν ἀκρότητα, μορφὴν καὶ εἰκόνα καὶ χαρακτὴρ ὁρᾶται τοῦ φύσαντος. ἐπειδὴ τοίνυν ἀληθὴς ὁ Πατὴρ, ἀλήθεια πάντως καὶ ὁ ἐξ αὐτοῦ, τουτέστιν, ὁ Χριστός. Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; Οὐκ ἐλέγχεσθαι προσδοκῶντος ἡ ἐρώτησις, ἀναιροῦντος δὲ μᾶλλον καὶ ἀποφάσκοντος παντελῶς τὸ περιπεσεῖν ἁμαρτίᾳ δύνασθαι τὸν ἐκ Θεοῦ πεφηνότα Θεὸν ἀληθινόν· ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν ὁ Χριστός. ἅπασα μὲν γὰρ ἁμαρτία ἐκ παρατροπῆς τῆς ἀπὸ τοῦ βελτίονος ἐπὶ τὸ μὴ οὕτως ἔχον λαμβάνει τὴν γένεσιν, ἐντίκτεται δὲ τοῖς τρέπε σθαι πεφυκόσι, καὶ ἀλλοιώσεως τῆς ἐφ' ἃ μὴ προσῆκε δεκτικοῖς. πῶς ἂν οὖν νοοῖτο καὶ ἁμαρτεῖν ὁ τροπὴν οὐκ εἰδὼς, οὐδὲ ἀλλοιώσεως τῆς ἐπί τι τῶν οὐ πρεπόντων δεκτικὸς, ἀκλόνητος δὲ μᾶλλον τοῖς ἰδίοις ἐμπεφυκόσιν ἀγαθοῖς, καὶ οὐ παρ' ἑτέρου τινὸς, ἀλλ' ἐξ ἑαυτοῦ; ἀνα πυνθάνεται τοιγαροῦν Ἰουδαίων ὁ Κύριος, εἴπερ ὅλως ἔχουσι διελέγχειν αὐτὸν περὶ ἁμαρτίας. καὶ ὁ μὲν λόγος ὁ περὶ τούτου καὶ κατὰ παντὸς ἂν διήκοι πλημμελήματος ἐπὶ τὸ καθόλου ληφθείς· πλὴν τῷ προκειμένῳ πρεπόντως αὐτὸν ἐφαρμόζοντες, οὐ περὶ πάσης φαμὲν ἁμαρτίας ἔρεσθαι πρὸς 2.103 τὸ παρὸν, καὶ οὕτως ἐλέγχεσθαι δεδιὼς τοῦτο δρᾶν, διενοή θημεν δέ τι τοιοῦτον, ὅτι τὴν τῶν Ἰουδαίων ἁμαρτίαν δυσωπεῖν ὅτι μάλιστα διὰ σπουδῆς ἔχων ἀεὶ, οὐκ ἂν διὰ τούτου παραθήγειν ἠνέσχετο πρὸς τὸ πάλιν ἐκεῖνα κατη γορεῖν, ἃ δὴ καὶ φθάσαντες ἐλέγομεν "Περὶ καλοῦ ἔργου "οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ "ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν·" πρὸς δὲ τούτοις ἔτι καὶ τὴν ἐπὶ τῷ σαββάτῳ παρακομίζειν κατάλυσιν ἐφ' ᾗπερ ἂν λίαν ὡς παρανομήσας ἐκρίνετο. ἁμαρτίαν οὖν ἄρα πρὸς τὸ παρὸν ὀνομάζει τὸ ψεῦδος. εἰ γὰρ οὐδεπώποτε, φησὶν, ἐλέγχομαι ψεύστης, τοῦ δὴ χάριν ἀπειθεῖν ἐγνώκατε τῷ διὰ παντὸς ἀληθεύοντι, λέγοντί τε πάντως σαφῶς ὅτι Πατρὸς ἐξέφυν ἀληθινοῦ, καὶ ὅτι τὸ ψεῦδος οὐκ οἶδα; δότε δὴ δότε λοιπὸν ἀνενδοιάστως πίστει κρατεῖν ὅτι πάντως εἰμὶ καὶ ἀληθὴς, ὅταν λέγω περὶ ἐμαυτοῦ "Ἐγὼ ἐκ τοῦ Πατρὸς "ἐξῆλθον καὶ ἥκω·" περὶ δὲ ὑμῶν ὅτι ὁ πατὴρ ὑμῶν ὁ διάβολός ἐστι· ψεύδεσθε γὰρ καὶ φονᾶτε καθάπερ ἐκεῖνος. διελέγχει δὲ χρησίμως φονῶντας αὐτοὺς, ἀνακόπτων ὥσπερ διὰ τούτου τὰ ἐγχειρήματα. ἐξελεγχομένη γὰρ ἁμαρτία πολλάκις ὑπερυθριᾷ, καὶ ὑπονοστεῖ τρόπον τινὰ, πρὸς τὸ πρόσω χωρεῖν καὶ ἐπεκτείνεσθαι μηδαμόθεν εὑρίσκουσα· δοκοῦσα δέ πως διαλανθάνειν ἀεὶ πρὸς τὸ μεῖζον αἴρεται, καὶ ἀδιακωλύτοις ὁρμαῖς εἰς πέρας ἕρπει τὸ χείριστον. Εἰ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; Διὰ τῶν αὐτῶν πολλάκις δίεισι λόγων, ἐπείπερ ὁρᾷ συνιέντας οὐδέν· χρῆμα γὰρ δὴ καὶ τοῦτο διδασκάλοις ὅτι μάλιστα πρεπωδέστατον, τὸν εἰς ἅπαξ φημὶ μὴ παρα δεχθέντα λόγον πολυτρόπως ἀνελίττειν οὐ κατοκνεῖν, ἵνα ταῖς τῶν ἀκροωμένων ἐνιζάνῃ ψυχαῖς. ὅτε τοίνυν ὁ ψεύστης, 2.104 φησὶ, "λαλεῖ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· ψεύστης γάρ "ἐστι καθὼς καὶ ὁ πατὴρ αὐτοῦ·" τί τοῖς εἰρημένοις οὐκ ἀδελφὰ λογιζόμενοί τε καὶ πράττοντες, κἀμοὶ λέγοντι τὴν ἀλήθειαν οὐ πιστεύετε, ὅτι παρὰ ἀλήθειαν διὰ τοῦτο λαλῶ, ἐπείπερ εἰμὶ καὶ οὕτως ἀληθὴς καθάπερ καὶ ὁ Πατήρ; εἰκὸς δὲ δήπου διελέγχειν αὐτὸν Ἰουδαίους ἀσθενοῦντας διὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτο πρὸς τὸ μὴ δύνασθαι τοὺς ἐξ ἀληθείας χωρήσαντας λόγους, ἐπείπερ οὐκ εἰσὶ τῆς ἀληθείας υἱοί. ἐπιψεύδονται δὲ μάτην ἑαυτοῖς πατέρα τὸν Θεὸν ὅταν λέγωσιν "Ἕνα πατέρα ἔχομεν "τὸν Θεὸν." ὁ μὲν γὰρ Θεὸς, φησὶν, ὅλως ὢν ἀλήθεια, χαίρει τῇ ἀληθείᾳ, "καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν "ἀληθείᾳ καὶ πνεύματι" βούλεται προσκυνεῖν. τὰ δὲ τῆς ἀληθείας τέκνα δέχεται προθύμως τὸ συγγενὲς, τουτέστι, τὴν ἀλήθειαν. ὑμεῖς δὲ διὰ τοῦτο λέγοντί μοι τὴν ἀλήθειαν οὐ πιστεύετε, ἐπείπερ οὐκ ἐστὲ τῆς ἀληθείας υἱοί. τοιοῦτόν τι μοι δοκεῖ λέγειν πρὸς Ἰουδαίους ὁ Κύριος, ὁποῖόν περ ἄν τις καὶ ἐφ' ἑτέρου σχηματίσας κατίδοι καλῶς. λεγέτω γάρ τις τυχὸν τῶν σωφρονεῖν εἰωθότων πρὸς ἀκόλαστον υἱὸν ἤγουν οἰκέτην ἢ γείτονα Εἰ σωφρονεῖν σοι δοκῶ πορνείαν παραι τούμενος, καὶ τὴν ἐντεῦθεν ὑπόληψιν τῆς ἐμαυτοῦ κεφαλῆς ὡς πορρωτάτω τιθεὶς, διὰ τί ἀπειθεῖς καὶ οὐ πιστεύεις λέγοντι φαῦλον ὅτι καὶ μυσαρὸν τὸ πρᾶγμά ἐστι; καὶ οὐ δήπου πάντως τῇ πεύσει τὴν ἀπολογίαν ἀντεπάγεσθαι ζητῶν τὰ τοιαῦτα φήσειεν ἂν, ἀλλ' ἐξ ὧν ἀπειθοῦντα δεικνύει σαφῶς ἐξελέγχων, ὅτι χαίρων ταῖς ἀκολασίαις οὐ χωρεῖ τὸν σωφρονίζοντα λόγον. Οὕτως οὖν ἄρα καὶ ἐπὶ τῶν Ἰουδαίων νοήσομεν, ὅταν εἴπῃ 2.105 Χριστός Εἰ ἀλήθειαν λέγω διὰ τί οὐ πιστεύετέ μοι; τὸ γὰρ τῶν τοιούτων ἐρωτήσεων σχῆμα παραπίπτουσαν ἔχει καὶ ἀεί πως παρακειμένην ἐκ τῶν ἐρωτωμένων ὁμολογίαν, ἐλέγχουσα δὲ μᾶλλον αὐτοὺς ἡ ἐπερώτησις κατὰ τὸ πολὺ φαίη τις ἄν. ὧν γὰρ ἡμεῖς κεκτήμεθα νοσοῦντας τὴν ἐρημίαν τοὺς ἠρωτη μένους ἐξελέγχομεν. ἐπιτήρει δὲ ὅπως οὐκ ἀπολύτως, ἀλλ' οὐ καθόλου φησί Διὰ τί οὐ πιστεύετέ μοι; ἀλλὰ προστέθεικε τό Ὑμεῖς, αἰνιττόμενός πως τοὺς ἀγριώτερον ἀπειθεῖν εἰω θότας, καὶ ὑπεμφαίνων ὡς παρῆσάν τινες εὐγενεστέραν ἴσως ἔχοντες τὴν διάνοιαν, καὶ οὐκ ἀκριβεῖς τῆς τοῦ Κάϊν δυστρο πίας τοὺς χαρακτῆρας ἐν τοῖς ἰδίοις ἤθεσιν ἀποσώζοντες, ἀλλ' ὅσον οὐδέπω προκόψαντες καὶ εἰς τὸ ἐν τέκνοις κατατάττεσθαι Θεοῦ. φημὶ γὰρ οἴεσθαι δεῖν μὴ πάντας ἄρδην ἀκράτοις ἀπονοίαις βεβαπτίσθαι τοὺς Ἰουδαίους, ἀλλ' εἶναί τινας ζῆλον μὲν ἔχοντας Θεοῦ, καθάπερ ὁ Παῦλός φησι, πλὴν οὐ κατ' ἐπίγνωσιν, διά τοι τοῦτο βραχὺ περὶ τὴν πίστιν μελλήσαντας. ἐν δέ γε τοῖς οὕτω διακειμένοις αἰτία σόμεθα πολὺ βλέποντας εἰς ὀργὴν, καὶ ἀκρατῶς ἐκκεκαυ μένους εἰς μιαιφονίαν, τοὺς ἀνοσίους μάλιστα γραμματεῖς καὶ Φαρισαίους, οἷς ἂν ἐπάγοιτο πρεπωδέστερον καὶ τό Διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι, ἰδικῶς ὥσπερ αὐτοῖς τὴν ἄμετρον ἀπείθειαν ἀνατιθέντος Χριστοῦ. αὐτοὶ γὰρ ἦσαν οἱ καθη γούμενοι, καὶ συντρέχειν τοῖς σφῶν ἀνοσιουργήμασιν ἀνα πείθοντες τὸ ὑπήκοον. διά τοι τοῦτο κατηγοροῦνται δικαίως ὡς ἄραντες τὴν κλεῖδα τῆς γνώσεως, καὶ μήτε εἰσβαίνοντες αὐτοὶ, διακωλύοντες δὲ καὶ ἑτέρους. ἔχει τοίνυν τὸ καί Ὑμεῖς ἰδικωτέραν ὥσπερ πρὸς τοὺς ἡγουμένους μάλιστα τὴν ἀναφοράν. 2.106 Ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστέ. Τὸ μέν Ἐκ τοῦ Θεοῦ τινας εἶναι νοητέον ἐν τούτοις, οὐκ ὡς ἐκ τῆς οὐσίας αὐτοῦ γεννηθέντας· εὔηθες γάρ· ἀλλ' οὐδὲ κατ' ἐκεῖνο τὸ διὰ τοῦ Παύλου λεγόμενον "Τὰ πάντα ἐκ "τοῦ Θεοῦ·" ἐπειδὴ γάρ ἐστι δημιουργὸς καὶ γενεσιουργὸς ἁπάντων ὁ τοῖς πᾶσι τὸ εἶναι διδοὺς, τὰ πάντα ἐξ αὐτοῦ φησιν ὁ θεσπέσιος Παῦλος. ἀλλ' ἐν τούτοις οὐχ ἁρμόσει τὸ οὕτω νοεῖν· ἅπαντες γάρ εἰσιν ἐκ Θεοῦ πονηροί τε καὶ ἀγαθοὶ, καθὸ πάντων ἐστὶ δημιουργός. ἐκ Θεοῦ τοιγαροῦν φησι τὸν ἐξ ἀρετῆς καὶ ἐννόμου πολιτείας προσοικειωθέντα Θεῷ, καὶ ἠξιωμένον ὥσπερ τῆς πρὸς αὐτὸν συγγενείας, καθὸ καὶ ἐν τέκνοις κατατάττειν τοὺς τοιούτους ἀξιοῖ. ὁ τοίνυν φησὶν ὢν ἐκ Θεοῦ προχειρότατα καὶ ἀσμένως τοὺς θείους εἰσδέξεται λόγους· φίλον γάρ πως ἀεὶ τὸ συγγενὲς καὶ οἰκεῖον· ὁ δὲ μὴ ὢν ἐκ Θεοῦ, τουτέστιν, ὁ κατὰ μηδένα τρόπον τὴν πρὸς αὐτὸν οἰκείωσιν τετιμηκὼς, οὐκ ἂν ἥδιστα τῶν θείων ἐπακροάσαιτο λόγων· οὐδὲ γὰρ ἐνυπάρξαι τοῖς πονηροῖς ῥᾳδίως τὸ ἀγαθὸν, ἀξιομάχος δὲ οὐδαμῶς ὑπὲρ τῆς ἀρετῆς ἐστι πόθος, ἐπείπερ αὐτοῖς τῆς ἐσχάτης ἀναπέπλη σται μοχθηρίας ὁ νοῦς, καὶ πρὸς μόνον ὁρᾷ τὸ ἴδιον θέλημα. Ὅταν δὲ λέγῃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστός Ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει, νομιζέτω μηδεὶς ὅτι μόναις ταῖς τοῦ σώματος ἀκοαῖς τὰς θείας ἡμᾶς εἰσοικίζεσθαι φωνὰς ἐπιτάττει. τίς γὰρ τῶν ὄντων, εἰ καὶ φαῦλος εἴη κομιδῇ, τῆς τοῦ λαλοῦντος ὁτιδηποτοῦν οὐκ ἂν ἀκροάσαιτο φωνῆς, εἰ μὴ ἄρα νόσῳ τινὶ παραιροῖτο τὴν αἴσθησιν; τὸ δέ Ἀκούει τίθησιν ἐν τούτοις, 2.107 ἀντὶ τοῦ συγκατανεύει, πείθεται καὶ εἰς νοῦν ἀποκρύπτει τὸν ἑαυτοῦ, κατὰ τὸ εἰρημένον ἐν βίβλῳ παροιμιῶν "Σοφὸς "καρδίᾳ δέξεται ἐντολάς." τὴν μὲν γὰρ τῶν ἀνοήτων, ἤτοι καταφρονητῶν, καθάπερ τις ἄσημος ἠχὴ περιενεχθεὶς ὁ λόγος, καὶ ὥσπερ τις κτύπος παρενοχλήσας εἰκῇ παραχρῆμα τῶν λαβόντων ἀπαλλάττεται, εἰσδύνει δὲ καθάπερ εἰς ἄρου ραν εὐγενῆ τῶν συνετῶν τὴν καρδίαν. σοφῶς δὴ σφόδρα τὰς τῶν Ἰουδαίων ἀπονοίας ἐλέγχων ὁ Κύριος, καὶ δυσφη μοῦντας ἀνέδην ἐπιδεικνὺς, τοὺς ἑαυτοῦ λόγους τοῦ Θεοῦ λόγους εἶναί φησι. μεταπαιδεύει γάρ πως, φησὶν, αὐτοὺς εἰς τὸ φρονεῖν ἐπ' αὐτῷ τὰ πρεπωδέστερα, καὶ μὴ νομίζειν Ἰωσὴφ, ἤγουν ἑτέρου τινὸς τῶν ἐπὶ τῆς γῆς, ἐκπεφυκέναι κατὰ ἀλήθειαν, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸν ἐκ Θεοῦ πεφηνέναι πιστεύειν, ὃ δὴ καὶ συνέντες ἀσχάλλουσι, καὶ θερμοτέροις καταφλέγουσι τοῖς θυμοῖς προστιθέντες "ἀνομίαν ἐπὶ τὴν ἀνομίαν ἑαυτῶν," καθὰ γέγραπται, δι' ὧν ἔτι μειζόνως ὑβρίζουσιν. Ἀπεκρίθησαν Ἰουδαῖοι καὶ εἶπον αὐτῷ Οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις; Καταθρηνῆσαι πάλιν ἀκόλουθον τὴν τῶν Ἰουδαίων ἀπο πληξίαν, καὶ τῆς εὐηθείας τὴν ὑπερβολήν. ταῖς γὰρ σφῶν αὐτῶν ἁλίσκονται φωναῖς, καθάπερ οἱ θῆρες, ὅτε ταῖς τῶν σφαττόντων ἐπιπηδῶσι χερσὶν, αὐτοὶ καθ' ἑαυτῶν τὰς ἐπὶ τῷ σιδήρῳ κιχρῶντες ὁρμάς. ἐλεγχόμενοι γὰρ ὡς ἔθος αὐτοῖς καὶ μελέτη σύντροφος τὸ ψευδομυθεῖν, ἀληθὲς ὂν παραχρῆμα δεικνύουσι, καὶ διαπριόνται μὲν ὡς οὐκ εἶεν ἐκ Θεοῦ παρὰ τοῦ Σωτῆρος ἀκούοντες. οὐδενὸς δὲ μεταξὺ διαγεγονότος χρόνου, τῆς τοῦ διαβόλου κακίας ἀκριβεστάτην ἐν ἑαυτοῖς ἀποφαίνουσι τὴν εἰκόνα. Σαμαρείτην γὰρ καὶ 2.108 δαιμονιῶντα, φασὶ, τὸν ἐκ Θεοῦ πεφηνότα τολμῶσι λέγειν Θεὸν, αὐτοὶ μᾶλλον ἐν ἑαυτοῖς τὸ πικρὸν ἔχοντες καὶ θεομάχον δαιμόνιον· οὐδεὶς γὰρ λέγει Ἀνάθεμα Ἰησοῦς εἰ μὴ ἐν Βεελζεβοὺλ, κατὰ τὴν τοῦ Παύλου φωνήν. ψεῦσται μὲν οὖν καὶ ὑβρισταὶ καὶ λοίδοροι καὶ διὰ τούτων ὄντες ἁλώσονται, καὶ θεομαχεῖν εἰθισμένοι, τὴν πρέπουσαν ἀποτί σουσι δίκην τῷ πάντα ἰσχύοντι κριτῇ. Ζητητέον δὲ πάλιν κἀν τούτῳ τὴν αἰτίαν, δι' ἣν καὶ Σαμαρείτην εἶναί φασι καὶ δαιμονιῶντα τὸν Κύριον. τὸ γὰρ προθέντας εἰπεῖν Οὐ καλῶς ἡμεῖς λέγομεν, ὑπεμφαίνει πως ὡς ἐπ' αἰτίαις τισὶ καὶ ὡς Σαμαρείτην διασύρουσι, καὶ μὴν καὶ τὸ ἕτερον, ὅπερ τῆς ἐκείνων ἔστι τολμῆσαι φωνῆς. οὐκοῦν Σαμαρείτην εἶναί φασιν ὡς ἀδιαφοροῦντα περὶ τὰς νομικὰς ἐντολὰς, καὶ τὴν τοῦ σαββάτου λύσιν ἐν οὐδενὶ λογιζόμενον. οὐ γὰρ ἀκριβὴς παρὰ τοῖς Σαμαρείταις ἐστὶν Ἰουδαϊσμὸς, μέμικται δέ πως ἔθεσι τοῖς ὀθνείοις καὶ Ἑλληνικοῖς ἡ ἐκείνων λατρεία. ἢ καθ' ἕτερον λόγον Σαμαρείτην λέγουσιν αὐτὸν εἶναι, ἐπείπερ Σαμαρείταις ἦν ἔθος ἑαυτοῖς μὲν τὴν καθαρότητα μαρτυρεῖν τε καὶ ἐπιψεύδεσθαι, κατα κρίνειν δὲ τοὺς ἑτέρους ὡς μεμολυσμένους. διὰ ταύτην γὰρ οἶμαι τὴν πρόφασιν "Οὐ συγχρῶνται Ἰουδαῖοι Σαμαρεί "ταις," κατὰ τὸ γεγραμμένον, παραιτοῦνται δὲ καὶ τὸ ἑτέροις τισὶν ἐπιμίσγεσθαι, καταμυσαττόμενοι τρόπον τινὰ τὸν ἐντεῦθεν μολυσμὸν, ἐπείπερ αὐτοῖς τὸ οὕτως ληρεῖν ὀρθῶς ἔχειν δοκεῖ. καταδικάζων δὲ τῆς Ἰουδαίων κακοηθείας ὁ Κύριος, υἱοὺς μὲν αὐτοὺς ἀπεκάλει τοῦ διαβόλου, ἑαυτῷ γεμὴν τὸ παντελῶς ἀνυπαίτιον εἰς ἁμαρτίαν, καὶ καθαρότητα τὴν εἰς ἄκρον ἐπιμαρτυρεῖ λέγων "Τίς ἐξ ὑμῶν ἐλέγχει με "περὶ ἁμαρτίας;" τοῦτο δὲ ἦν ἐναργῶς ἑαυτῷ μὲν καθαρό τητα, διὰ τοῦ μὴ δύνασθαι περιπεσεῖν ἁμαρτίᾳ, τὴν ἀνωτάτω 2.109 προσγράφοντος· διὰ δὲ τοῦ τέκνα λέγειν τοὺς Ἰουδαίους τοῦ Σατανᾶ, κατακρίνοντος ὡς μεμολυσμένους, καὶ πάσης ἀκαθαρσίας ἀνάπλεω ἔχοντας τὸν νοῦν, ὅπερ ἐστὶ καὶ ἀληθές. οὐκοῦν Σαμαρείτην μὲν διὰ ταῦτα, δαιμονᾶν δὲ πάλιν φασὶν, ὅτι τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δαιμονίοις ἔθος τὴν Θεῷ χρεωστου μένην εἰς ἑαυτὰ μετατιθέναι τιμὴν, καὶ τὴν τοῦ Θεοῦ δόξαν ἁρπάζειν ἀφειδῶς. αὐτὸ δὲ δὴ τοῦτο δρᾶν οἴονται τὸν Χριστὸν, ὅταν ἑαυτὸν ἄνθρωπος ὢν ὡς εἰς Θεοῦ τόπον εἰσφέρῃ λέγων "Ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ Θεοῦ "ἀκούει." ὑπεμφαίνει γὰρ ὡς περὶ τῶν ἰδίων ῥημάτων τὰ τοιαῦτα, φησί. τῆς μὲν οὖν λοιδορίας, μᾶλλον δὲ τῆς δυσφη μίας, τῆς κατ' αὐτοῦ πρόφασις αὕτη τοῖς Ἰουδαίοις καὶ ἀφορμὴ πρὸς τὸ ἐκεῖνα λέγειν, ἅπερ αὐτοῖς τὴν αἰώνιον ἠῤῥαβωνίζετο φλόγα. ἔπεισι δέ μοι θαυμάσαι κἀν τούτῳ πάλιν αὐτούς. ὀργιζόμενοι γὰρ, ἐπείπερ υἱοὶ διαβόλου καὶ ψεῦσται πολλάκις ἐκλήθησαν, ἔργῳ δεικνύουσι προσὸν αὐτοῖς τὸ ἔγκλημα, ὃ καὶ μᾶλλον ἐχρῆν διὰ τῆς εἰς ἀρετὴν ἀποτρίβεσθαι ῥοπῆς. τὸ γὰρ ὅλως διαλοιδορεῖσθαι φιλεῖν, καὶ τὰ μὴ προσόντα τισὶν ὡς προσόντα λέγειν, οὐ τοῖς ἐν τέκνοις Θεοῦ κατατεταγμένοις, ἀλλὰ υἱοῖς διαβόλου πρεπω δέστατον. λοιδοροῦσι δὲ οὐ μόνον οἱ δειλαιοὶ, οἳ καὶ τῆς ἑαυτῶν καταψεύδονται κεφαλῆς, ἵνα μὴ λέγω Χριστοῦ, ἀλλὰ γὰρ καὶ καλῶς τοῦτο διισχυρίζονται δρᾶν, οὐδὲ ὅσον εἰπεῖν καταγινώσκοντες τῆς φαυλότητος, ὅπερ ἐστὶ τυφλότητος τελειοτάτης ἀπόδειξις. Ἀπεκρίθη Ἰησοῦς Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν Πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. Ἐν πραότητι μὲν ὁ λόγος, γέγονε δ' οὖν ὅμως ἐν ἤθει 2.110 πολλῷ. ἐμφατικώτατα γὰρ τό Ἐγὼ δαιμόνιον οὐκ ἔχω, φησὶν, ἑαυτὸν δὲ ὥσπερ ἀντιδιαστέλλων ἐκείνοις, τῆς μὲν ἐπὶ τούτῳ λοιδορίας ἐλεύθερον ἀποφαίνει, δεικνύει δὲ μᾶλλον ἐπ' αὐτῶν τὸ εἰρημένον ἀληθές. εἰ μὴ γὰρ αὐτοὶ τὸ δαι μόνιον εἶχον ἀληθῶς, κἂν ἀπέφριττον εἰκότως δαιμονῶντα καλεῖν τὸν διὰ τῶν ἔργων αὐτοῖς μαρτυρηθέντα Θεόν. εὐφυέστατα τοίνυν τό Ἐγὼ, φησὶν, οὐκ ἔχω, μετατιθεὶς ὥσπερ ἐπ' ἐκείνους τὸ εἰρημένον καὶ αὐτοῖς μᾶλλον ἀπονέμων αὐτὸ διὰ τὸ οὕτως ἔχειν κατὰ ἀλήθειαν. ἐγὼ τοίνυν οὐκ ἔχω, φησὶν, ἀλλ' ὑμεῖς δηλονότι τὸ δαιμόνιον, τιμῶ δὲ τὸν ἐμαυτοῦ Πατέρα, Θεὸν ἐμαυτὸν καὶ ἐκ Θεοῦ πεφηνέναι λέγων, καὶ ὅτι οὐκ ἔγνων ἁμαρτίαν διισχυριζόμενος. ἔδει γὰρ ἔδει Θεὸν εἶναι τὸν ἐκ Θεοῦ, καὶ τὸν ἐκ τοῦ μὴ εἰδότος ἁμαρτίαν κατὰ τὸν ἐξ οὗπέρ ἐστιν ὁρᾶσθαι τοιοῦτον. ἦν δὲ ὡς ἀνάγκη συμβῆναι τὸ ἐναντίον, εἰς τὸ προσκρούειν ὑμῖν παραιτού μενος, τοῖς οὐχ οὕτω λαμπροῖς ἐχρησάμην λόγοις· οὐ γὰρ ἂν ἐτιμήθη Θεὸς Υἱὸν ἔχειν νοούμενος τὸν οὐκ ὄντα Θεόν· οὐκ ἂν ἐτιμήθη φησὶν ὁ Πατὴρ, εἰ τοῦ καταπίπτοντος εἰς ἁμαρτίαν ὠνομάσθη ὁ πατήρ φησιν. οὐκοῦν ἐμαυτῷ τὰ κάλλιστα μαρτυρῶν, δυσφημῶν μέν φησιν οὐδαμῶς, καθάπερ ὑμεῖς ὑπολαμβάνετε, τιμῶν δὲ μᾶλλον τὸν γεννήτορα. τιμῶ δὲ πάλιν αὐτὸν καὶ καθ' ἕτερον τρόπον· φημὶ γὰρ δικαίως περὶ ὑμῶν, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστὲ, ἐπεὶ μηδὲ θέμις τοὺς εἰς τοῦτο πονηρίας ἥκοντας καὶ πάσῃ φαυλότητι βεβαπτισμένους, ἐκ Θεοῦ εἶναι λέγειν. τιμᾷ γὰρ καὶ οἱ κειότητος ἄξιοῖ τῆς πρὸς αὐτὸν οὐ τὸν ψεύστην καὶ λοί δορον καὶ δύσφημον καὶ ἀλαζόνα καὶ ὑβριστὴν, οὐδὲ τὸν ἀδίκως φονᾶν εἰωθότα, ἀλλὰ τὸν ἐπιεικῆ καὶ πρᾶον καὶ εὐσεβῆ καὶ φιλόθεον καὶ ἀγαθόν. οὐκοῦν καὶ κατὰ τοῦτο 2.111 τιμῶ τὸν Πατέρα, τῆς πρὸς αὐτὸν οἰκειότητος ἔξω τιθεὶς τοὺς ἐπ' ἀκράτῳ πονηρίᾳ κατεγνωσμένους, ὑμεῖς δὲ καὶ τοῦτο ποιοῦντα πάλιν ἀτιμάζετε, καὶ τοῖς ἐπαίνοις τοῖς περὶ τοῦ Πατρὸς ἐπισκήπτοντες, ἵνα μὴ μόνον εἰς τὸν Υἱὸν, ἀλλ' ἤδη καὶ εἰς αὐτὸν δυσσεβοῦντες ἁλίσκησθε. εἰ γὰρ ἐμαυτῷ τὰ κάλλιστα μαρτυρῶν τιμῶ τὸν γεννήσαντα, ἀτιμάσει πάντως δήπου, φησὶν, ὁ τὸν ἐξ αὐτοῦ τοῖς ἐσχάτοις περιβάλλων ὀνείδεσι. πανταχόθεν τοιγαροῦν καὶ τοῖς ἑαυτοῦ λόγοις συνίσταται Χριστὸς, καὶ ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ἀπο φαίνει σαφῶς, καὶ δι' ὧν τιμᾶσθαι τὸν Πατέρα φησὶ, τῆς πρὸς αὐτὸν οἰκειότητος τῆς τῶν ἀνοσίων πληθύος ἔξωθου μένης, ἀλλοτρίους Ἰουδαίους παντάπασιν ἀποφαίνει Θεοῦ. τί γὰρ τῶν ἐκεῖνα λεγόντων ἀνοσιώτερον; Ἐγὼ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. Ἀληθὲς ἐν τούτοις ὁρᾶται διαφανῶς τὸ διὰ τοῦ Πέτρου περὶ τοῦ Σωτῆρος ἡμῶν εἰρημένον "Ὃς λοιδορούμενος οὐκ "ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρί "νοντι δικαίως." βλέπετε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ὅπως τὰ πάντων καίτοι χείριστά τε καὶ ἀπηχέστατα τὰ παρὰ τῶν ἀνοσίως ἐμπαροι νούντων αὐτῷ, καὶ τοῦτο πολλάκις [καὶ οὐκ] εἰσάπαξ ἀκούων, ἐπιμένει τῇ οἰκείᾳ χρηστότητι, καὶ τοῦ πρέποντος αὐτῷ κατ' οὐδένα τρόπον ἐξίσταται, πρὸς ὑποτύπωσιν καὶ τοῦτο δρῶν ἡμετέραν, ἵνα "τοῖς ἴχνεσιν αὐτοῦ" κατακολουθεῖν σπουδά ζοντες, μὴ "λοιδορίαν ἀντὶ λοιδορίας," μὴ ἕτερόν τι "κακὸν "ἀντὶ κακοῦ" τοῖς ἐθέλουσι λυπεῖν ἀντιδιδόντες ἁλισκώ μεθα, νικῶμεν δὲ μᾶλλον "ἐν τῷ ἀγαθῷ τὸ κακόν." ἐγὼ τοιγαροῦν οὐ ζητῶ τὴν δόξαν μου, φησὶ, καὶ οὐχ ὡς ἀκίνδυνον καθιστὰς τὸ ἐμπαροινεῖν αὐτῷ τοὺς ἐθέλοντας, ἀλλ' οὐδὲ 2.112 προτρέπων εὐπετῶς εἰς ταύτην ἰέναι τινὰς τὴν δυσσέβειαν, τοῦτο λέγων ὁρᾶται, ἐκεῖνο δὲ μᾶλλον ὑποδηλοῖ, ἥκω γάρ φησιν, οὐ δόξαν τὴν παρ' ὑμῶν ἐμπορευσόμενος, ἀλλ' οὐδὲ ὅλως τιμῆς ἢ εὐκλείας γλιχόμενος. τεταπείνωκα γὰρ ἐμαυ τὸν, ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων, καὶ ἄνθρωπος γέγονα καθ' ὑμᾶς δι' ὑμᾶς. ὁ δὲ δούλου μορφὴν οὐκ ἀπα ξιώσας λαβεῖν, ἐξὸν ἐν ἰσότητι διαμεῖναι τῇ πρὸς Θεὸν καὶ Πατέρα, καὶ τοῖς ὑπὲρ νοῦν καὶ λόγον ἐντρυφᾶν, πῶς ἂν ἔτι νοοῖτο δόξαν τὴν ὑπό του ζητῶν, καὶ οὐχὶ μᾶλλον ἐθελούσιον ὑπομεῖναι τὴν ἀδοξίαν διὰ τὸ ἑτέροις χρήσιμον; ἢ γὰρ τοῦτό φησιν ἐν τούτοις ὁ Κύριος, ἢ καὶ καθ' ἕτερον τρόπον οὐ ζητεῖν αὐτὸν τὴν ἑαυτοῦ δόξαν ὑποτοπήσομεν. παρὸν γὰρ αὐτῷ παραχρῆμα κολάζειν τοὺς ὑβριστὰς, καὶ τὰς ὑπὲρ τῆς δυσφημίας εἰσπράττειν δίκας, ὡς εἰς αὐτὸν ἀσεβοῦντας τὸν ἁπάντων Κύριον· φέρει τὸ λυποῦν ἡσυχῇ, καὶ διεκαρ τέρει τοσοῦτον ὡς μηδ' ὅσον εἰπεῖν ἀντιλυπῆσαι λόγῳ ψιλῷ τοὺς ἀλαζόνας ἐθέλειν· ἀλλ' ἵνα μὴ φαίνηται τὸ δυσσεβεῖν εἰς Θεὸν τοῖς τυχοῦσιν ἱππήλατον, ἀναγκαίως αὐτοῖς ὥσπερ ἐπιτείχισμά τι διακωλύων εἰς τοῦτο βαδίζειν εὐθέως, τὴν τοῦ Πατρὸς ἀντέταξεν ὀργήν. ἀνεξικακοῦντος γὰρ τοῦ Υἱοῦ, καὶ τὴν ἰδίαν οὐ διεκδικοῦντος παραχρῆμα δόξαν, οὐκ ἀνέξεταί φησιν ὁ Πατήρ· ἔκδικος γὰρ ἔσται, καὶ τοῖς ὑβρισταῖς ἐπαναστήσεται, οὐχ ὡς ἑτέρῳ συνασπίζων τυχὸν, οὐδὲ ὡς ἑνὸς τῶν ἁγίων ὑβρισμένου λυπεῖσθαι θέλων καὶ πρέπειν οἰόμενος, ἀλλ' ὡς εἰς αὐτὸν ἀναβαινούσης τῆς ἁμαρτίας· οὐδὲν γὰρ ὅλως τὸ μεσολαβοῦν Πατέρα καὶ τὸν Υἱὸν, ὅσον εἰς οὐσίας ταυτότητά φαμεν, κἂν ἰδίως ἑκάτερος ὑπάρχειν νοοῖτο. διὰ γάρ τοι τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐν ἑτέροις φησίν "Ὁ μὴ τιμῶν τὸν Υἱὸν, 2.113 "οὐδὲ τὸν Πατέρα τιμᾷ." ἔχει γὰρ ἐν ἑαυτῷ φυσικῶς ὁ Υἱὸς τὸν Πατέρα συνδοξαζόμενόν τε καὶ ἑκάτερον δηλονότι συνυφιστάμενον· ἔχει δ' αὖ πάλιν ἐν ἑαυτῷ ὁ Πατὴρ τὸν Υἱὸν ὥσπερ κοινωνὸν τῆς οὐσίας, οὕτω καὶ τῆς ἐφ' ἅπασι δόξης. κολασθήσονται τοίνυν οἱ τάλανες Ἰουδαῖοι διὰ τῆς εἰς τὸν Κύριον καὶ Υἱὸν δυσφημίας, εἰς ὅλην δυσσεβήσαντες τὴν ὁμοούσιον καὶ ἁγίαν Τριάδα, καὶ τὴν ἁπάντων βασιλίδα φύσιν, ὡς ἐν τῷ Υἱῷ λυπήσαντες. Παραιτητέον τοιγαροῦν παντὶ τῷ γε ὅλως σωφρονεῖν εἰω θότι, τὸ κατά τι γοῦν τῷ ἀγαθῷ προσκρούειν Θεῷ. οὐ γὰρ ἐπείπερ οὐκ ἐπάγει παραχρῆμα τοῖς εἰς αὐτὸν πλημμελοῦσι τὴν ὀργὴν διὰ τοῦτο πάντως ὑπτιωτέον. ἀγαθὸς μὲν γάρ ἐστι, "Μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν, ἀλλ' ἐὰν μὴ "ἐπιστραφῶμεν τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει" κατὰ τὸ γεγραμμένον, καὶ ἐντενεῖ τὸ τόξον αὐτοῦ καθ' ἡμῶν, ἐν ᾧ τοῦ θανάτου τὰ σκεύη, τουτέστι, πᾶν εἶδος αἰκίας καὶ ἀφορήτου συμφορᾶς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον μου τηρῇ, θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα. Περιττὸν ἀποφαίνει τὸ καὶ μακρὰς ἀντεπάγειν τὰς ἀπο λογίας τοῖς εἰωθόσι φιλοψογεῖν. ἀποκλίνει γὰρ ἐφ' ὅπερ ἦν ἀναγκαῖον, τὸ καλεῖσθαί φημι διὰ πίστεως εἰς τὴν αἰώνιον ζωὴν, μόνον δὲ οὐχὶ τὸ ἐῤῥῶσθαι φράσας τοῖς ἐξ ἀμαθίας λελυπηκόσι, τέχνῃ τινὶ πάλιν τὸν οἰκεῖον ἀναμίσγει λόγον. προειρηκὼς γὰρ ὡς περὶ Θεοῦ ὅτι "Ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ "ῥήματα τοῦ Θεοῦ ἀκούει," παραχρῆμά φησιν Ἐάν τις τὸν ἐμὸν λόγον τηρῇ, δεικνὺς ἑαυτὸν κατὰ φύσιν ὄντα Θεὸν, ἀπό τε τούτου διδάσκων μηδεμίαν τοῖς Ἰουδαίοις περιλελεῖφθαι δυσσεβείας ὑπερβολὴν, ὅτε καὶ δαιμόνιον ἔχειν εἰρήκασι τὸν 2.114 ζωὴν διδόντα τὴν αἰώνιον τοῖς ἐθέλουσι τηρεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν λόγον αὐτοῦ. ἢ γὰρ οὐχὶ κατὰ φύσιν ὑπάρχων Θεὸς καὶ διὰ τούτου γνωσθήσεται; τίνι γὰρ ἂν ἑτέρῳ πρέποι τὸ δύνασθαι ζωο ποιεῖν εἰσαεὶ τοὺς τῶν παρ' αὐτοῦ ἀκροωμένους λόγων, εἰ μὴ τῷ γε ὄντι κατὰ φύσιν Θεῷ; τηρεῖται γεμὴν ὁ λόγος ὁ θεῖος, οὐ παραβαίνοντός τινος τὴν θείαν ἐντολὴν, ἀλλ' ἐνισταμένου καὶ δρῶντος ἀμελλητὶ τὸ κεκελευσμένον, καὶ κατὰ μηδένα τρόπον ἐπ' ἀργίᾳ τῶν θείων κατηγορουμένου νόμων. ἐπι τήρει δὲ πάλιν ὅσην ὁ λόγος ἔχει τὴν ἀκρίβειαν· οὐ γὰρ ἠνέσχετο λέγειν Ἐάν τις τὸν ἐμὸν ἀκούσῃ λόγον, ἀλλ' Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ. δέχονται μὲν γὰρ εἰς οὓς τὸν τοῦ Θεοῦ λόγον, οὐκ ἄνθρωποι μόνον ἁμαρτίας ἔνοχοι, ἀλλὰ καὶ αὐτὸ τῶν δαιμόνων τὸ ἀνόσιον στῖφος· καὶ γοῦν ὁ πάντων ἡγούμενος Σατανᾶς, ὅτε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πειράζειν ἐτόλμα κατὰ τὴν ἔρημον, λακτίζων εἰς κέντρα διὰ πολλὴν ἠθῶν ἀγριότητα, καὶ θεῖον αὐτῷ παρετίθει λόγον "Γέγραπται φήσας ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ "σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου." οὐκοῦν οὐκ ἐν ἀκροάσει ψιλῇ τῆς σωτηρίας ὁ λόγος, οὐδὲ ἐν μόνῳ τῷ μαθεῖν ἡ ζωὴ, ἀλλ' ἐν τῷ τηρῆσαι τὸ ἀκουσθὲν, καὶ ὥσπερ τινὰ κανόνα καὶ ὁριστὴν τοῦ βίου, τὸν θεῖον αὐτῷ παρετίθει λόγον. φησὶ δὲ ὅτι θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα τῶν αὐτοῦ ῥημάτων ὁ βέβαιος φύλαξ, οὐχὶ πάντως ἀναιρῶν τὸ τεθνάναι σαρκὶ, ἀλλ' ἢ τὸν θάνατον εἶναι θάνατον μὴ λογιζόμενος ὡς Θεός· οὐδὲν γὰρ αὐτῷ τὸ νεκρὸν, καθὸ πέφυκε καὶ τὸ μὴ ὂν ἄγειν εἰς γένεσιν, καὶ τὸ ἐνεχθὲν κατεφθαρμένον εὐκόλως ζωοποιεῖν· ἢ θάνατον οὐκ ὄψεσθαι τοὺς ἁγίους φησὶν εἰς αἰῶνα τὸν μέλλοντα, ὃς δὴ καὶ κυρίως τε καὶ ἀληθέστερον αἰὼν εἰκότως νοοῖτο πέρας οὐκ ἔχων, 2.115 καθάπερ οὗτος ὁ καθ' ἡμᾶς, οὐκ ὄψεσθαι δὲ τὸν θάνατον εἰς ἐκεῖνόν φησι τὸν αἰῶνα, τοὺς τὸν θεῖον αὐτοῦ τηρήσαντας λόγον, οὐχ ὡς τεθνηξομένων τινῶν μετὰ τὴν ἀνάστασιν· λέλυται γὰρ ὁ πάντων θάνατος ἐν θανάτῳ Χριστοῦ, καὶ τὸ τῆς φθορᾶς ἠφάνισται κράτος· ἀλλὰ θάνατον ὀνομάζει κατὰ τὸ εἰκὸς τὸ δι' αἰῶνος κολάζεσθαι. τοῦτο δὲ ἂν μάθοις, ὅπερ εἴρηκεν αὐτὸς ἐν τοῖς ἀνωτέρω διασκοπούμενος· "Ἀμὴν γὰρ, φησὶ, "λέγω ὑμῖν, ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ "δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται ζωήν." καίτοι πάντες ἀναβιώσονται, καὶ εἰς ζωὴν εἰσαῦθις ἀναδραμοῦνται, πιστοί τε καὶ ἄπιστοι. μερικὴ γὰρ καὶ οὐδαμῶς ἡ ἀνάστασις, ἀλλ' ἴση τοῖς ὅλοις, κατά γε τὸν ἐν τῷ χρῆναι πάντας ἀναβιῶναι λόγον. Πῶς οὖν ὁ μὴ πιστεύων τῷ Υἱῷ τὴν ζωὴν οὐκ ὄψεται, καίτοι πάντων ἀναστήσεσθαι προσδοκωμένων; δῆλον οὖν ἄρα παντί τῳ λοιπὸν ὅτι ζωὴν ἔθος ἀποκαλεῖν τῷ Χριστῷ, τὸ ἐν εὐθυμίᾳ καὶ δόξῃ βιῶναι μακρὰν καὶ καταλήγειν εἰς πέρας παραιτουμένη, ὅπερ ἐστὶν ἐν ἐλπίδι τοῖς ἁγίοις τεθη σαυρισμένον. ὥσπερ οὖν ἀπειθοῦντα τῷ Υἱῷ τὴν ζωὴν ἀθέατον ἕξειν φησὶ, καίτοι πάντων ἀποβιῶναι προσδοκω μένων, οὐ τὴν τοῦ σώματος κατασημαίνων ἐν τούτοις ζωὴν, ἀλλὰ τὴν τοῖς ἁγίοις ηὐτρεπισμένην εὐθυμίαν, οὕτως ἀπο καλῶν· τὸν αὐτὸν οἶμαι τρόπον τὸν γενναῖον καὶ νεανικὸν τῶν θείων αὐτοῦ ῥημάτων ἐσόμενον φύλακα, θάνατον οὐκ ὄψεσθαί φησιν εἰς τὸν αἰῶνα, καὶ οὐχὶ πάντως τὸν τοῦ σώματος θάνατον διὰ τούτου δηλῶν, ἀλλὰ τὴν τοῖς ἁμαρ τωλοῖς ηὐτρεπισμένην κόλασιν. ὡς γὰρ ἐν ἐκείνοις ἡ εὐθυμία διὰ τῆς ζωῆς σημαίνεται, οὕτω κἀνθάδε διὰ τοῦ θάνατον εἰπεῖν ἡ κόλασις. 2.116 Εἶπον αὐτῷ οἱ Ἰουδαῖοι Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Κατηγοροῦσι πάλιν τῆς ἀληθείας, οἱ ἐπείπερ ὠνομάζοντο ψεῦσται δυσφοροῦντες ὡς ὑβρισμένοι· μαρτυροῦσι δὲ καὶ οὐχ ἑκόντες ταῖς τοῦ Σωτῆρος φωναῖς, καὶ δι' ὧν ἀτιμάζουσι, διὰ τούτων αὐτὸν ἀψευδοῦντα δεικνύουσι. τυφλοὶ δὲ οὗτοί εἰσιν οἱ δείλαιοι, καὶ τοσαύτης ἀμαθίας ἀναπεπλησμένην ἔχουσι τὴν καρδίαν, ὡς μηδ' ὅλως ἀποτρίβεσθαι δεῖν τὰ ἐφ' οἷς ἂν ἐγκαλοῦνται νοεῖν, ἀλλ' αἰσχίοσι τῶν παρῳχηκότων ἀεὶ περιπίπτειν κακοῖς, καὶ τοῖς ἑαυτῶν ἁλίσκεσθαι βρόχοις. ἰδοὺ γὰρ ἰδοὺ καὶ δι' ὧν ἀπολογεῖσθαι νομίζουσιν, ὡς οὐ μάτην αὐτῷ λελοιδορημένοι, ψεῦσται διὰ τούτων μειζόνως ἐλέγχονται, καὶ σειραῖς ὥσπερ τῶν οἰκείων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁμαρτημάτων ἐντονώτερον κατασφίγγονται. εὐηθέστατα δὲ καὶ τό Νῦν ἐγνώκαμεν ἐνθάδε φασίν· οἱ γὰρ καὶ πολλάκις καθυλα κτοῦντες αὐτοῦ, καὶ δαιμόνιον ἔχειν ἐπιφημίζοντες, νῦν ἐγνω κέναι φασὶ τῆς προλαβούσης αὐτῶν ἀθυρογλωττίας κατα δικάζοντες. εἰ γὰρ νῦν ἐγνώκασιν, οὐκ ᾔδεσαν πάλαι. πῶς οὖν ἔφασκον δαιμονᾶν τὸν οὔπω κατεγνωσμένον ὥσπερ οὖν ᾠήθησαν αὐτοί; ψεύστης οὖν πάλαι καὶ πρότερον ἄρα ἦν ὁ δυσσεβὴς τῶν Ἰουδαίων λαὸς, καὶ ἀπυλώτῳ στόματι τὴν ἐκ τοῦ διαβόλου κακίαν ἠρεύγετο κατὰ Χριστοῦ· ἁρπάζουσι δὲ πρὸς βεβαίωσιν τῆς ἑαυτῶν φλυαρίας τὸ εἰρημένον παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, διὰ πολλὴν ὡς εἰκὸς τὴν ἀποπληξίαν καὶ συνασπίζειν οἰόμενοι τῷ ψεύδει τὴν ἀλή θειαν. εἶτα δι' ὧν δύνασθε μαθεῖν ὅτι πλημμελοῦσι δυσ σεβῶς, τὸν τῆς αἰωνίου ζωῆς χορηγὸν ἐκτόπως ὑβρίζοντες, διὰ τούτων αὐτῶν οὐκ αἰσθάνονται πάλιν πρὸς ἐπίτασιν ἰόντες τῆς νόσου· οὐ γὰρ ὅπως ἐπ' ἐκείνοις μεταγινώσκειν αὐτοὺς ὅτι πρέποι λογίζονται, ἀλλ' ἤδη πεπεῖσθαί φασι περὶ 2.117 ὧν εἰρήκασιν ὡς ἦν ἡ ἀλήθεια .................. ................. καὶ ἀληθὴς ὁ προφήτης λέγων "Ὅτι εὐθεῖαι αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι πορεύσονται "ἐν αὐταῖς· οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς." κατα πλαγείη δ' ἄν τις τὴν ἀσύγκριτον αὐτῶν κἀν τούτῳ μανίαν. δαιμονίων καὶ πονηρῶν πνευμάτων οὐκ εὐαρίθμητον ὄχλον μιᾷ τοῦ Σωτῆρος φωνῇ συντριβόμενον βλέποντες, καὶ οὐχ ἑκόντα τῶν ἐν οἷς ἦσαν ἐξωθούμενον, οὐ καταφρίττουσι δαιμόνιον ἔχειν λέγοντες αὐτὸν, καίτοι διὰ λογισμῶν πληρο φορηθέντες ἀναγκαίων, ὡς οὐκ ἂν ὁ Σατανᾶς ἐκβάλοι τὸν Σατανᾶν. "Πᾶσα γὰρ βασιλεία, φησὶν ὁ Χριστὸς, μερι "σθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται· καὶ πᾶσα οἰκία καὶ πόλις "μερισθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται. καὶ εἰ ὁ Σατανᾶς τὸν "Σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθή "σεται ἡ βασιλεία αὐτοῦ;" ἰδοὺ τοίνυν ἐρεῖ τις, καὶ μάλα εἰκότως "Λαὸς ὄντως μωρὸς καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς "καὶ οὐ βλέπουσιν, ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσιν." οὔτε γὰρ λόγῳ καὶ διδασκαλίαις μετατίθενται πρὸς τὸ ἐθέλειν τὰ ἀμείνω φρονεῖν, οὔτε τοῖς τῆς διανοίας ὄμμασι τὴν ἁπάντων βασιλίδα καταθεώμενοι φύσιν, ταῖς εἰς ἀτιμίαν ὑπερβολαῖς, καθάπερ τισὶ λίθοις, κατασφενδονῶσιν αὐτὴν, μᾶλλον δὲ τὴν ἰδίαν ἕκαστος ψυχήν. Ἁβραὰμ ἀπέθανε καὶ οἱ προφῆται ἀπέθανον, καὶ σὺ λέγεις Ἐάν τις τὸν λόγον μου τηρήσῃ, θάνατον οὐ μὴ γεύσηται εἰς τὸν αἰῶνα. Ὅτε τῆς ἰδίας καταψευδόμενοι κεφαλῆς οἱ πάντολμοι τῶν Ἰουδαίων δῆμοι, τό Δαιμόνιον ἔχεις τῷ Σωτῆρί φασιν, οὐδὲν ἕτερον ὑποδηλοῦν ἐθέλουσιν, ἢ ὅτι Θεὸν σεαυτὸν ποιεῖς, ὡς 2.118 τὴν ὀφειλομένην τῇ θείᾳ φύσει τιμήν τε καὶ δόξαν εἰς αὐτὸν ὥσπερ περιπλάσας. τοῦτο γὰρ τοῖς δαιμονίοις ἔθος, ὥσπερ οὖν καὶ ἐν ἑτέροις εἰρήκαμεν. νοοῦσι δὲ τῶν ὁρωμένων πλέον οὐδὲν, οὐδὲ τὸν ἐν τῇ ἀνθρωπείᾳ σαρκὶ Θεὸν Λόγον ἐπιγινώ σκουσιν, ἀλλ' οὐδὲ βραχύ τι τῶν σωματικῶν τὸν οἰκεῖον ἀνοχλίζοντες νοῦν, μόνοις δὲ τοῖς ἐπιγείοις ἐμπήξαντες, περὶ μόνα στρέφονται τὰ χείρω, ἁφαῖς ὑποπίπτοντα. διὰ ταύτην οἱ τάλανες σκανδαλίζονται τὴν αἰτίαν, καὶ ψευδομυθεῖν οἴονται τὴν ἀλήθειαν, τουτέστι Χριστὸν, ἀλλὰ καὶ τῆς τῷ Θεῷ πρεπούσης κατεπαίρεσθαι δόξης ὑπολαμβάνουσιν αὐ τὸν, οὐχ ὅπως τὸ ἐν ἴσῃ τάξει τεθεῖσθαι τῷ πάντων κρατοῦντι καταδεχόμενον, ἀλλ' ἤδη μεῖζόν τι φρονοῦντα, καὶ δύνασθαι λογιζόμενον, ἢ καὶ δράσειν ὑπισχνούμενον, ὅπερ οὐκ ἔδρασεν ὁ Θεὸς καὶ Πατήρ. τί γὰρ δὴ καὶ ἀσχάλλουσι τεθνάναι λέγοντες Ἁβραὰμ καὶ τοὺς προφήτας, τοῦ δὴ χάριν πρὸς ἀνατροπὴν τῶν τοῦ Σωτῆρος λόγων τὸν τῶν ἁγίων προΐσχονται θάνατον, ἀκόλουθον κατιδεῖν. οὐκοῦν τοιοῦτόν τι βούλονται δηλοῦν Οὐ διεψεύσμεθα λέγοντες ὅτι δαιμόνιον ἔχεις, οὐ μακρὰν τῶν εἰρημένων ἡ ἀπόδειξις. ἰδοὺ γὰρ καὶ αὐτὸν ὑπεραλεῖσθαι τὸν Θεὸν ἐπαγγέλῃ τοῖς θαύ μασι, καὶ κατορθοῦν εὐκόλως ἰσχύσειν ἃ μὴ δέδρακεν αὐτός. Ἁβραὰμ μὲν γὰρ καὶ οἱ προφῆται, καίτοι τὸν τοῦ Θεοῦ τηρήσαντες λόγον, τοῖς τῆς φύσεως νόμοις οὐκ ἀντειρήκασιν, ἀλλ' ἐκλίθησάν τε καὶ πεπτώκασιν εἰς τὸν κοινὸν δὴ τοῦτον τοῦ σώματος θάνατον· εἶτα σὺ φῂς ἄγευστον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔσεσθαι τοῦ θανάτου παντελῶς τὸν τῶν παρὰ σοῦ φύλακα λόγων· πῶς οὖν οὐκ ἀμείνω φησὶ τῶν ἐκείνου τὰ σά; ὁ δὲ Θεὸν 2.119 ὑπερτερήσειν ὑπολαβὼν, πῶς οὐκ ἀπόπληκτος ἐναργῶς; οἴονται γὰρ ἐκ πολλῆς ἀμαθίας, μόνον τὸν τοῦ σώματος θάνατον παραδηλοῦν ἐν τούτοις τὸν Κύριον, καὶ τὸ μὴ τεθνάναι σαρκὶ τοῖς αὐτῷ πειθομένοις κατεπαγγέλεσθαι, εἰ καὶ ὅτι μάλιστα σωφρόνων ἦν ἔργον ἐννοεῖν ὡς οὐδὲν ἀποθνήσκει τῷ Θεῷ, κἂν ἀποθάνῃ ζωοποιούμενον. εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρηνέχθη, πῶς οὐχὶ μᾶλλον ἑτοιμότερόν τε καὶ εὐπετέστερον τὸ ἤδη παρενεχθὲν ἐς τὸ καὶ εἰσαῦθις εἶναι κληθήσεται, κἂν βραχύ τι νοοῦσι κατευνασθὲν δι' οἰκονομίαν; οὐκ εἰδότες τοιγαροῦν τοῦ Σωτῆρος τὴν δόξαν Ἰουδαῖοι κατασοβαρεύονταί πως τῶν παρ' αὐτοῦ λόγων, καὶ δαιμονῶντα καλοῦσιν, ὡς καὶ ὧν οὐκ εἴργασται Θεὸς τὰ μείζω ποιεῖν ὑπισχνούμενον, καὶ πρὸς ἀπόδειξιν τῆς ἑαυτῶν συκοφαντίας τόν τε τοῦ Ἀβραὰμ καὶ τῶν ἁγίων προφητῶν παρακομίζουσι θάνατον, διά τοι τούτου ἐλέγχειν οἴονται τὸν Χριστὸν ὡς ματαίοις μὲν ἐπικομπάζοντα λόγοις, διηνεκῆ δὲ τὴν ζωὴν τοῖς φυλάττουσι τὸν λόγον αὐτοῦ δώσειν ὑπισχ νούμενον, παραλύοντα δέ πως καὶ τὴν τοῦ Θεοῦ δόξαν, δι' ὧν τὰ μείζω δώσειν αὐτοῖς ὁμολογεῖ. Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ, ὅστις ἀπέθανε; καὶ οἱ προφῆται ἀπέθανον. Ἐπεσκιασμένος κἀν τούτῳ τῶν Ἰουδαίων ὁ λόγος, καὶ βαθεῖαν ἑαυτῷ τὴν διάνοιαν ὠδίνων ὁρᾶται. τί γὰρ πάλιν ἐν τούτῳ φασὶν ἀνθρωποπρεπῆ μὲν ἐννοοῦντες, πικρὰ δ' οὖν ὅμως κατά γε τὸν ἐν ἑαυτοῖς ὄντα σκοπόν; ἰδοὺ γὰρ καίτοι φασὶ τὸν θεῖον τηρήσαντες λόγον, τεθνάασιν Ἀβραάμ τε καὶ οἱ προφῆται, ἀλλ' ἠκούσαμεν ἀρτίως σου τὰ μείζω τισὶν ἐπαγγελλομένου. δι' ὧν γὰρ οὐδ' ὅλως 2.120 αὐτοὺς ἀποτεθνήξεσθαι φῂς, μείζους δήπου πάντως καὶ ἐν ἀμείνοσι τῶν εἰρημένων εἰσὶ, κατ' αὐτὸ δὴ τοῦτο τὸ μὴ τεθνάναι. ἆρ' οὖν· εἰπὲ γὰρ, φασὶ, καὶ ἀπόκριναι διαπυνθα νομένοις ἐκεῖνο· μείζων αὐτὸς εἶ τοῦ Ἀβραὰμ καὶ τῶν προφητῶν, ὁ καὶ μείζους ἐκείνων ἑτέρους ἀποτελεῖν ὑπισχ νούμενος; ἆρ' οὐ τεθνήξῃ τεθνηκότων ἐκείνων, διαμενεῖς δὲ ἀθάνατος, ἄνθρωπος ὢν, καὶ ἀπὸ γῆς ἔχων τὸ σῶμα; πῶς οὖν ἂν ἐπιδοίης ἑτέροις ὃ οὐκ ἔχεις αὐτός; τεθνήξῃ γὰρ πάντως ἄνθρωπος ὤν. εἰ δὲ οὐκ εἶ μείζων Ἀβραάμ τε καὶ τῶν προφητῶν, τὸν κοινὸν ἐκείνοις ὑποστησόμενος θάνατον, οὐκ ἄρα δώσεις ἑτέροις ὃ μηδέ σοι πρόσεστιν ἀγαθόν· τοιαύτην τινὰ τὴν διάνοιαν ἔχει τὸ πλαγίως παρ' αὐτῶν εἰρημένον. καὶ μὴ θαυμάσῃς, εἰ πλέον οὐδὲν ἐννοοῦσι περὶ Χριστοῦ. ὡς γὰρ πολλάκις ἤδη διὰ πολλῶν εἰρήκαμεν, ἄνθρωπον αὐτὸν εἶναι ψιλὸν καὶ τῶν καθ' ἡμᾶς ἕνα νομίζουσι, τὸν ἑνωθέντα σαρκὶ Μονογενῆ Θεὸν Λόγον παντελῶς ἀγνοήσαντες, τίνα σεαυτὸν ποιεῖς, ἐξ ἀμέτρου φρενοβλαβείας μονονουχὶ καὶ ἐπανορθοῦν οἴονται πλημμε λοῦντα τὸν Κύριον, καὶ ὥσπερ ἠγνοηκότι τὸ πρέπον, συμ βουλεύουσι φρονεῖν τι μετριώτερον. ἠγνόηκας γὰρ ὦ οὗτος, φασὶ, τὴν ἑαυτοῦ φύσιν, ἐπελάθου δὲ ὥσπερ ἄνθρωπος ὢν, οὐκ ἠρκέσθης τῷ δοθέντι παρὰ Θεοῦ μέτρῳ· τίνα γὰρ σεαυτὸν ποιεῖς, ὁ καὶ τῆς παρ' αὐτοῦ φιλοτιμίας τὰ ἀμείνω δώσειν καθυπισχνούμενος, καὶ μείζονα κατορθώσειν τῆς ἐκείνου δυνάμεως ῥιψοκινδύνως εἰπών; κατακρίνουσι τοίνυν ὡς δυσφημήσαντα, καὶ σκορπίων δίκην ἐπιπηδῶσι λοιπὸν, ἐπιτιμᾶν δὲ χρῆναι καὶ σφόδρα δικαίως ὑπολαμβάνουσι τῷ Χριστῷ, ὡς τὸ μὲν τῆς ἀνθρωπότητος ἀτιμάζοντι μέτρον, ἀναπηδῶντι δὲ καὶ ἐξαλλομένῳ τοσοῦτον, ὡς ἐπέκεινα φέρεσθαι τῆς ἐνούσης δόξης τῷ πάντων Δεσπότῃ, ἀλλὰ 2.121 καὶ τὴν τῶν ἁγίων πατριαρχῶν τε καὶ προφητῶν πατοῦντι τιμήν· προσδοκῶσι γὰρ ἤδη καὶ διαῤῥήδην ἀναβοῶντος ἀκούεσθαι, δι' ὧν ἐρεθίζειν νομίζουσι, τό Τίνα σεαυτὸν ποιεῖς κακοτρόπως ἐπιφθεγγόμενοι, ὅτι μείζων εἰμὶ καὶ Ἀβραὰμ καὶ τῶν προφητῶν, εἰ καὶ ὅτι μάλιστα τοῦτο λέγων ἀληθὴς ἦν ὁ Κύριος, ἐπείπερ οὐδεὶς ἀνθρώπων λόγος εἰς τὸ συγκρί νεσθαι Θεῷ τῷ πάσης ἐπάνω φύσεως ὁρατῆς τε καὶ νοητῆς. Ἀπεκρίθη Ἰησοῦς Ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα μου οὐδέν ἐστι. Βλέπει μὲν ἅπας ὁ τοῦ λόγου σκοπὸς εἴς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε τοῦ Ἀβραὰμ τοῦ ἁγίου πρόσωπον καὶ τῶν προφητῶν, μετασχηματίζει δὲ πιθανῶς εἰς ἑαυτὸν τὸ δηλούμενον ὁ Σωτὴρ, οὐκ ἀγνοήσας ὅτι πρόχειρος εἰς ὀργὴν καὶ προφάσεως δίχα τῆς εἰς τοῦτο καλούσης ὁ Φαρισαῖος, καὶ προσθήκην ἀεὶ πρὸς τὸ χρῆναι μιαιφονεῖν ἀγριώτερον πᾶν ὁτιοῦν τῶν περὶ αὐτοῦ λαλου μένων ἐκδέχεται. φιλαμαρτήμονας γὰρ ὁ φθόνος ἐργάζεται τοὺς ἐν οἷς ἂν γένοιτο, καὶ θερμότερον ἀναπείθει δυσφορεῖν, καὶ ἐφ' οἷς ἥκιστα χρῆν. τοιοῦτόν τι δὲ παραδηλοῦν πάλιν ἐθέλει Χριστός. ἐπεπήδων Ἰουδαῖοι καὶ ἀντέπραττον τοῖς παρ' αὐτοῦ λεγομένοις ἄνω τε καὶ κάτω τὸν μακάριον Ἀβραὰμ καὶ τοὺς προφήτας κατακόρως ὀνομάζοντες, καὶ διαῤῥήδην βοῶντες "Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν "Ἀβραὰμ, ὅστις ἀπέθανε; καὶ οἱ προφῆται ἀπέθανον." εἶτα πρὸς τούτοις, καὶ ὡς τῇ τῶν ἁγίων ἁλλόμενον δόξῃ, καὶ ὑπεραιρόμενον πολὺ δὴ λίαν ὑπὲρ ἐκείνους, κατητιῶντο λέγοντες "Τίνα σεαυτὸν ποιεῖς;" ἔδει τοίνυν πρὸς ταῦτα σαφῶς ἀπολογεῖσθαι τὸν Κύριον, καὶ λέγειν ἐναργῶς, ὅτι Κρείττων εἰμὶ καὶ μείζων Ἀβραὰμ καὶ τῶν προφητῶν. ἀλλ' οὐκ ἂν οἰστὸν ἐποιήσατο τὸν λόγον ὁ μεγαλόφρων Ἰουδαῖος· 2.122 ἠγανάκτησε γὰρ ἂν ἐπὶ τούτῳ τις εὐθὺς, καὶ φιλοπάτωρ εἶναι πλαττόμενος, καὶ τῇ τῶν ἁγίων δόξῃ συναγορεύειν ὑποκρινόμενος, θερμότερον ἂν ἐπέφυ κατὰ Χριστοῦ, καὶ δικαίως ἤδη μιαιφονεῖν ἐδόκει λελυπημένος· διὰ τοῦτο μετα σχηματίσας εἰς ἑαυτὸν ὁ Κύριος τοὺς λόγους φησίν Ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν ἡ δόξα μου ἐστὶν οὐδέν· μόνον γὰρ οὐχὶ τοῦτό φησι Μηδεὶς ἐφ' ἑαυτῷ φρονείτω μέγα τῶν ἐπὶ τῆς γῆς. εἰ γὰρ βουλοίμεθα διανοεῖσθαι καθ' ἑαυτοὺς, τίς ἡ ἀνθρώπου δόξα ἐστὶν, οὐδὲν οὖσαν αὐτὴν εὑρήσομεν· "Πᾶσα γὰρ "σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου·" θαυμαστὸν οὖν ἄρα φησὶν οὐδὲν εἰ τετελεύτηκεν Ἀβραὰμ, καὶ μετ' ἐκεῖνον οἱ προφῆται. τί γὰρ ἡ ἀνθρώπου δόξα, τυραννουμένης τῆς φύσεως καὶ θανάτῳ καὶ φθορᾷ εὐμα ράντῳ χόρτῳ διὰ τοῦτο παρεικασμένης; Εἰκὸς δὲ ὅτι μετασχηματίσας εἰς ἑαυτὸν εὐφυῶς τὸ προσὸν τῷ Ἀβραὰμ ἤτοι τοῖς προφήταις μέτρον, καὶ λέγων Ἡ δόξα μου οὐδέν ἐστιν, εἰς ἀνάμνησιν ἄγει τὸν Ἰουδαῖον τοῦ μὲν Ἀβραὰμ σαφέστατα λέγοντος περὶ ἑαυτοῦ "Ἐγώ εἰμι "γῆ καὶ σποδὸς," τῶν δὲ μακαρίων προφητῶν ἀνακεκρα γότων πρὸς Θεόν "Μνήσθητι ὅτι χοῦς ἐσμεν." καὶ οὐ δήπου φαμὲν διὰ τοῦτο τῆς τῶν ἁγίων δόξης κατηγορεῖν τὸν δοξάζοντα αὐτούς. ἀλλ' ἦν ἀνάγκη λοιπὸν, καὶ ὁ τοῦ χρησίμου λόγος ἐκάλει πρὸς τὸ δεικνύειν αὐτὸν ὅσην ἔχει τὴν διαφορὰν ἡ θεία τε καὶ ἄῤῥητος αὐτοῦ φύσις πρὸς τὰ ὑποπίπτοντα θανάτῳ καὶ φθορᾷ. Ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με. Ὑπὲρ σαφηνείας ἀκριβοῦς καὶ θεωρίας τῶν σημαινο μένων, τοῖς αὐτοῖς ἀποκεχρήσομαι λόγοις, καὶ διὰ τῶν αὐτῶν 2.123 ἥξω ῥημάτων. ὡς ἄμαχον ζήτημα καὶ πρότασιν οὐκ εὐανά τρεπτον προτεινόντων τῶν Ἰουδαίων ἀεὶ καὶ λεγόντων "Μὴ "σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ, ὅστις ἀπέθανε; "καὶ οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν ποιεῖς;" οἰομένων δὲ κατὰ ἀλήθειαν ὅτι καὶ τεθνήξεται, καὶ ὑποκείσεται καὶ αὐτὸς θανάτῳ καὶ φθορᾷ, καὶ οὐκ ἔσται μείζων κατὰ τοῦτο τοῦ τε Ἀβραὰμ καὶ τῶν ἁγίων προφητῶν, φρονούντων τε τὸ παράπαν οὐδὲν ὅλως μέγα περὶ αὐτοῦ· λοιπὸν ἀναγκαίως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὁ ἐκ τῆς τοῦ γεννήσαντος ἀϊδιότητος, ἀΐδιον αὐτὸν ὄντα δεικνύει· διὰ τοῦτό φησιν Ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με. τό Ἔστιν ἐν τούτοις οὐχ ἁπλῶς οὐδὲ ἀβασάνιστον νοεῖσθαι βουλόμενος, τεθεικὼς δὲ μᾶλλον αὐτὸ ὡς τοῦ εἶναι τὸν Πατέρα σημαντικόν. ὁ δὲ ἐκ τοῦ ὄντος Πατρὸς ἀῤῥήτως γεγεννημένος Υἱὸς, συνεπάγεται δήπου πάντως τὸ τοῦ γεννήσαντος ἴδιον, τουτέστι τὸ εἶναι. κρείττων οὖν ἄρα καὶ Ἀβραὰμ καὶ τῶν προφητῶν· οἱ μὲν γὰρ τεθνάασιν ὡς γηγενεῖς θνητῶν ὄντες πατέρων· ὁ δὲ ἐκ τοῦ ὄντος ἀπερινοήτως προελθὼν, ἐστὶν ἀεὶ δοξαζόμενος ὑπὸ τοῦ ἰδίου Πατρὸς, οὐχ ὡς δόξης ἐπιδεής· βασιλεὺς γὰρ τῆς δόξης ἐστίν· ἀλλ' ὡς ἔχων καύχημα, τὸ ἐξ ἀϊδίου γεννη θῆναι Πατρὸς, ἀΐδιός τε διὰ τοῦτο ὑπάρχων καὶ αὐτὸς, ἐπάγεται γὰρ οὐσιωδῶς τὸ τοῦ τεκόντος ἀξίωμα. ἀδικήσει τοιγαροῦν οὐδὲν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς ὑπόληψιν τὴν θεοπρεπῆ τὸν Υἱὸν, τὸ δόξαν αὐτοῦ λέγεσθαι τὸν Πατέρα, ἐπεὶ καὶ αὐτὸς ὁ Πατὴρ δοξάζεται τὸ ὅμοιον παρὰ τοῦ Υἱοῦ, οὐχ ὡς δόξης ἐπιδεὴς, ἀλλ' ἐπείπερ ἡγεῖται καὶ ἔχει δόξαν τὸ τοιούτου γεννήματος γνωσθῆναι Πατέρα, ἰδίου δηλονότι κατ' αὐτὸν τοῦ Θεοῦ. διὰ γάρ τοι τοῦτο καὶ αὐτὸς ὁ Υἱὸς ὡς πρὸς τὸν Πατέρα φησί "Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱὸς 2.124 "δοξάσῃ σε." οὐκοῦν ἡ μὲν ἀνθρώπου δόξα τὸ παράπαν οὐδέν. πίπτει γὰρ τὸ ἀπὸ γῆς εἰς θάνατον, καὶ κατὰ γὰρ τὸ σῶμα, εἰ καὶ ἀναστήσεται. δοξάζεται μέν γε ὁ Μονογενὴς παρὰ τοῦ ἰδίου γεννήτορος, ὡς μετὰ τῶν ἄλλων ἁπάντων ἀγαθῶν καὶ τὸ ἴδιον ἔχων τῆς οὐσίας αὐτοῦ· ὅση δὲ αὐτοῦ πρὸς πᾶσαν τὴν κτίσιν ἡ διαφορὰ, καὶ ὁ μακάριος μελῳδὸς ὡς ἐν ὀλίγοις κατασημαίνει βοῶν "Οἱ οὐρανοὶ ἀπολοῦνται, "σὺ δὲ διαμενεῖς· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, "καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτοὺς καὶ ἀλλαγήσονται· "σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι." φθαρτὸν γὰρ πᾶν τὸ ποιηθὲν καὶ εἰ μήπω διέφθαρται τῇ θείᾳ βουλήσει πρὸς τοῦτο διακρατούμενον, ἄφθαρτος δὲ καὶ ἀΐδιος κατὰ φύσιν Θεὸς, οὐ τοῖς ἑτέρου θελήμασιν ἀποκερ δαίνων αὐτὸ καθάπερ ἡ κτίσις, ἀεὶ δὲ ὑπάρχων ἐν ἰδίοις ἀγαθοῖς, ἐν οἷς ἐστι καὶ τὸ ἴδιον. Ὃν ὑμεῖς λέγετε ὅτι Θεὸς ἡμῶν ἐστι, καὶ οὐκ ἐγνώκατε αὐτόν. Διελέγχει πάλιν αὐτοὺς καὶ μάλα γοργῶς ὡς μόνην τὴν ἐν ῥήμασι, καὶ τοῦτο ψιλοῖς, φιλοθεΐαν ἐπιτηδεύοντας, πολὺ δὲ λίαν ἀφεστηκότας τοῦ κατὰ ἀλήθειαν εἰδέναι τὸν Θεὸν, μόνον δὲ οὐχὶ τὸ διὰ τοῦ προφήτου διηγγελμένον ἐπιφθέγ γεται πάλιν αὐτοῖς, τότε μὲν γὰρ ἔλεγεν "Ἐγγίζει μοι ὁ "λαὸς οὗτος, τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία "αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ·" νυνὶ δὲ χρησίμως, καὶ τῷ πάλαι συνηρμοσμένως τό Οὐκ ἐγνώκατε αὐτὸν ἐπιφωνεῖ. καὶ ἀληθὴς ὁ λόγος· οὐ γὰρ τὸ εἰδέναι τυχὸν ὅτι ἔστι Θεὸς, τοῦτο δὴ πάντως ἐστὶ καὶ γνῶσιν ἔχειν Θεοῦ· ὅτι γὰρ ὑφέστηκε καὶ ἔστιν ὁ Θεὸς, "καὶ τὰ δαιμόνια πιστεύουσι, 2.125 "καὶ φρίττουσι," κατὰ τὸ γεγραμμένον. πρὸς δὲ τὸ γινώ σκειν, ὅτι ἔστι, καὶ δόξας ἔχειν ἀκόλουθον περὶ αὐτοῦ τὰς αὐτῷ πρεπούσας καὶ χρεωστουμένας· οἷον δέ φημί τι· τὸν ὄντα Θεὸν τί μὲν ὄντως ἐστὶ κατὰ φύσιν, οὐκ ἂν οἶμαί τις πολυπραγμονήσαι σωφρονῶν· εὑρεῖν γὰρ ἀμήχανον· τὰ γεμὴν προσόντα αὐτῷ, καὶ μὴ προσόντα τυχὸν, ἐπιγνοίη τις ἂν καὶ λίαν εὐκόλως, τοῖς ἱεροῖς ὁμιλήσας γράμμασιν. ἴσμεν γὰρ καὶ πεπιστεύκαμεν ὅτι δυνατός ἐστιν· ἴσμεν δὲ ὅτι οὐκ ἔστιν ἀσθενὴς, ἴσμεν ὅτι ἀγαθός ἐστιν, ἴσμεν ὅτι οὐκ ἔστι πονηρὸς, ἴσμεν ὅτι δίκαιός ἐστι, καὶ πάλιν οὐκ ἔστιν ἄδικος. ἴσμεν ὅτι ἀΐδιός ἐστι, διακείμεθα καὶ πιστεύ ομεν ὅτι οὐκ ἔστι χρόνῳ πεπερασμένος, ἀλλὰ οὐδὲ πρόσ καιρος καθὰ καὶ ἡμεῖς. ἐν ῥήμασι καὶ φωναῖς φάσκοντες Ἰουδαῖοι τοίνυν ὅσον, διωμολόγουν σαφῶς Θεὸν ἑαυτῶν εἶναι τὸν Θεὸν, ἀγνοοῦντες αὐτὸν οὐδὲν ἧττον, ἀλλ' ὅσον τε ὅτι τε ἄφθαρτός ἐστι καὶ ἀΐδιος συνέντας οὐχ εὑρήσομεν. εἰ γὰρ ᾔδεσαν, οὐκ ἄν, οἶμαι, πρὸς τοῦτο κατώλισθον ἀπο πληξίας ὡς τεθνήξεσθαι προσδοκᾶν τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα Υἱὸν Μονογενῆ· ἀλλ' οὐδ' ἂν αὐτῷ τὸν τοῦ Ἀβραὰμ καὶ τῶν προφητῶν προτείνοντες θάνατον ἀνοήτως ἔφασκον Τίνα σεαυτὸν ποιεῖς; ἢ γὰρ οὐχὶ καὶ σφόδρα ἐρεῖ τις εἰκότως ὡς ἦν ἀναγκαῖον τοὺς εἰδότας τίς ἐστι κατὰ φύσιν ὁ Πατὴρ, τοιοῦτον εἶναι πιστεύειν καὶ τὸν ἐξ αὐτοῦ προελθόντα Λόγον; ὅνπερ γὰρ τρόπον ἀπὸ γλυκείας πηγῆς γλυκὺ μὲν πάντως πρόεισι νᾶμα, καὶ ἀπὸ ξύλων εὐγενῶν εὐγενῆ πάντως ἔσται καὶ τὰ τικτόμενα· οὕτως οἶμαι δεῖν τὸν ἐκ τοῦ κατὰ φύσιν Θεοῦ, Θεὸν εἶναι πιστεύειν ἀληθῆ, καὶ τὸν ἐξ ἀϊδίου γεγεννημένον Πατρὸς, ἀΐδιον εἶναι κατὰ τὸν γεννήτορα· εὔκαιρον οὖν ἄρα κἀνθάδε πρὸς Ἰουδαίους εἰπεῖν "Η ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ "σαπρὸν, ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ 2.126 "καλόν. οὐ γὰρ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς "ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιεῖν." πῶς οὖν ἐνδέχεται, μᾶλλον δὲ πῶς οὐχ ἁπάσης ἐστὶ μωρίας ἀνάμεστον, τὸν ἐξ ἀθανάτου γεννηθέντα Πατρὸς θνητὸν εἶναι νομίζειν, καὶ τοῖς ἐφθαρμένοις ἐναρίθμιον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιεῖσθαι τὸν οὐκ εἰδότα φθοράν; Ἐγὼ δὲ οἶδα αὐτόν· καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτὸν, ἔσομαι ὁμοίως ὑμῶν ψεύστης. Οὐκ ἐψευσάμην, φησὶν, Ἰουδαίοις λέγων "Ἐάν τις τὸν "ἐμὸν λόγον τηρήσῃ θάνατον οὐ μὴ ἴδοι εἰς τὸν αἰῶνα." δύναμαι γὰρ ἀπαθανατίζειν, ἐπείπερ οἶδα τοῦτο ποιεῖν ἰσχύοντα τὸν ἐξ οὗπέρ εἰμι, οἶδα κατὰ φύσιν ὄντα ζωὴν τὸν Πατέρα τὸν ἐμαυτοῦ. εἰμὶ τοιγαροῦν κατ' ἐκεῖνον κἀγὼ, ζωὴ δηλονότι κατὰ φύσιν, καὶ ζωοποιός. ἀρνησάμενος δὲ τὸ δύνασθαι ζωογονεῖν, ὡς ἀγνοῶν ἔσομαι τὸν Πατέρα, οὗ τὸ ἴδιον τῆς οὐσίας ἔχων ἐγὼ ζωοποιεῖν δύναμαι, καθάπερ ἐκεῖνος. οὐκοῦν ἔχειν μὲν ὁμολογῶ πάντα τὰ ἐν τῷ Πατρὶ, καὶ κατ' ἐκεῖνον ὑπάρχειν ἐμαυτὸν, διισχυριζόμενος διά τε τοῦ τὰ ἐκείνου δρᾶν ὑπισχνούμενος, οἶδα πάντως αὐτόν· λέγων δὲ μὴ ἔχειν ἀπαραποιήτως ἐν ἐμαυτῷ τὰ τοῦ Πατρὸς ἴδια, ψεύστης ἔσομαι καθ' ὑμᾶς, ὡς μὴ εἰδὼς τὸν Πατέρα. ἀλλὰ καὶ ὅτε φημὶ τὴν μὲν τοῦ Ἀβραὰμ καὶ τῶν προφητῶν οὐδὲν εἶναι δόξαν, ἐπείπερ ἦσαν ἐκ γῆς, καὶ ἄνθρωποι τὴν φύσιν, οἷς καὶ τὸ ἀποθνήσκειν οὐ ξένον, τὴν δ' ἐμὴν εἶναι δόξαν, τὸ ἀΐδιον τοῦ Πατρὸς, ὡς εἰδὼς τὸν Πατέρα, τὰ τοιαῦτά φημι· λέγων δὲ ὅτι φθαρήσομαι κατ' ἐκείνους, καὶ οὐκ εἰμὶ τῷ Πατρὶ συναΐδιος, ψεύσομαι καθ' ὑμᾶς, ἀγνοήσας τὸν ἐξ οὗπέρ εἰμι Πατέρα. ἀμήχανον γὰρ τὸν ἐκ τοῦ ὄντος καὶ ὡσαύτως ἔχοντος ἀεὶ, μὴ οὐχὶ πάντως εἶναί τε καὶ ὡσαύτως ἔχειν ἀεί. ἀΐδιον γὰρ τὸ ἐξ ἀϊδίου γεγεννημένον. ἁπλούστερον γὰρ τὸ προκείμενον ἐκλαβὼν ἐρεῖ τις αὐτὸ 2.127 καθ' ἕτερον εἰρῆσθαι τρόπον. οἶδα, φησὶ, τὸν ἐμαυτοῦ Πατέρα· λέγων δὲ μὴ εἰδέναι καθ' ὑμᾶς ἔσομαι ψεύστης, τοὺς οὐκ εἰδότας μὲν τὸν Θεὸν, εἰδέναι δὲ φάσκοντας αὐτόν. Τίς δὲ ὁ τῆς εἰδήσεως τρόπος, καὶ ἐπὶ τίσι τοῦ μὴ εἰδέναι τὰ ἐγκλήματα, σαφῶς ἤδη διειρηκότες, περιττὸν ἐποίσομεν οὐδέν. Ἀλλ' οἶδα αὐτὸν καὶ τὸν λόγον αὐτοῦ τηρῶ. Ὅσον μὲν ἧκεν εἰς τὸ ἑτοίμως τῷ προκειμένῳ προσ βάλλειν, ἐκεῖνό φαμεν, ὅτι λαλεῖ πάλιν ὡς ἄνθρωπος, καὶ καταβιβάζει πάλιν αὐτὸν εἰς τὰ ἡμέτερα Χριστὸς, τὸ δουλο πρεπὲς οὐκ ἀφιεὶς σχῆμα κατὰ καιρὸν τὸν πρέποντα. λέγει τοίνυν καὶ εἰδέναι τὸν Πατέρα καὶ τὸν λόγον αὐτοῦ τηρεῖν. καὶ οὐχὶ πάντως ἐροῦμεν ἀναγκαίως ἑαυτῷ τὰ τοιαῦτα προσ μαρτυρεῖν, ἀλλ' οὐδὲ τῶν αὐτῷ πρεπόντων ἀπαριθμεῖσθαί τινα, τέχνη δέ τις ἀνεμίχθη τῷ λόγῳ πολλή. διὰ τοῦ γὰρ φάναι καὶ εἰδέναι τὸν Πατέρα καὶ τὸν λόγον αὐτοῦ τηρεῖν, οἷς ἔχειν αὐτὸς διισχυρίζεται, τἀναντία φρονοῦντας τοὺς Ἰου δαίους ἐπιδείκνυσιν, ὡς μήτε εἰδότας δηλονότι τὸν Θεὸν, μήτε μὴν οἰομένους ὅτι πρέποι τηρεῖν τὸν λόγον αὐτοῦ· ἢ γὰρ ἂν ἐδέξαντο καὶ μάλα προθύμως τὸν διὰ Μωυσέως καὶ τῶν προφητῶν προκεκηρυγμένον. εὑρήσομεν δέ πως καὶ παρ' ἡμῖν σχῆμά τι τοιοῦτον ἐν λόγοις εὐφυές τε καὶ κάλ λιστον, ἐλέγχου μὲν ἔχον δύναμιν, καὶ ἠρέμα τισὶν ὑποδη λοῦν τὰ ἐν οἷς εἰσι κακὰ, ὑποτέμνον δέ πως τὸν εἰς τὸ διελέγχεσθαι θυμόν. οἷον ἔστω τις ἀνὴρ τυχὸν ἐπιεικὴς καὶ τὰ ἄλλα χρηστὸς, ὀνειδίζων τῷ κλέπτοντι καὶ τῷ μεθύοντι, καὶ λέγων Ἐγὼ ἄνθρωπός εἰμί τις ἐπιεικὴς, οὐ κέκλοφα τὰ ἑτέρων, ἀλλ' οὐδὲ μεμέθυσμαί ποτε. καὶ οὐ πάντως ὁ τοιοῦτος ἑαυτῷ διὰ τούτου μαρτυρεῖ, οὐδὲ οὕτως αὐτὸν οἰησόμεθα λαλεῖν, ἀλλ' ὧν ἔχει τἀναντία περιτι θέντα τοῖς ὀνειδιζομένοις. οὕτω τοιγαροῦν καὶ ὁ Κύριος 2.128 ἡμῶν Ἰησοῦς ὁ Χριστὸς εἰδέναι φησὶ τὸν Πατέρα καὶ τηρεῖν τὸν λόγον αὐτοῦ, ἑτεροίως διὰ τοῦτο τοῖς ἀνοσίοις Ἰουδαίοις, τὸ μήτε εἰδέναι τὸν Θεὸν περιτιθεὶς, μήτε μὴν ἀνέχεσθαι τὸν παρ' αὐτοῦ λόγον, ἢ φυλακῆς τινος ὅλως ἀξιοῦν τὸν ἄνωθεν αὐτοῖς διορισθέντα νόμον. Εἰ δὲ χρὴ καὶ ἑτέρως τοῖς προκειμένοις ἐμβαλεῖν, καὶ λεπτότερόν πως ἰδεῖν τὸ πλαγίως ὑποδηλούμενον, καὶ τόδε πρὸς τούτοις ἐροῦμεν Οἶδεν ὁ Υἱὸς τὸν ἑαυτοῦ Πατέρα, οὐ τοιαύτην ἔχων γνῶσιν, ὁποία πέρ ἐστιν ἡ ἐν ἡμῖν, ἀλλὰ θεοπρεπῆ τε καὶ ἀνεξήγητον. ὥσπερ γὰρ ὁ ἐξ ἀνθρώπου γεγεννημένος ἄνθρωπος, οὐ παρ' ἑτέρου τινὸς μαθὼν, ἀλλ' ἐξ ὧν ἐστιν αὐτὸς τὴν τοῦ γεννήσαντος οὐκ ἀγνοεῖ φύσιν· οὕτω καὶ ὁ Υἱὸς οἶδε μὲν ἐξ ὧν ἐστι τὸν ἑαυτοῦ γεννήτορα, τηρεῖ δὲ τὸν λόγον αὐτοῦ, τουτέστιν ὅλον ἔχει σωζόμενον ἐν ἑαυτῷ τῆς οὐσίας αὐτοῦ τὸν ὅρον· δηλοῖ γὰρ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγος τὸν ὅρον. λόγος μὲν γὰρ ὁ ἀνθρώπου, τουτέστιν ὁ ὅρος τῆς οὐσίας αὐτοῦ, ζῷον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἀλλὰ γὰρ καὶ ἀγγέλου τυχὸν ὁ λόγος, ὅρος ἂν νοοῖτο τῆς οὐσίας αὐτοῦ. ἐπὶ δὲ Θεοῦ τοῦ κατὰ φύσιν ἡμᾶς μὲν λόγον ἢ ὅρον οὐκ ἔστι λαβεῖν· οὐ γὰρ ἴσμεν τί κατὰ φύσιν ἐστὶν, οἶδεν δὲ ὁ Υἱὸς τὸν ἑαυτοῦ Πατέρα, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ γεγεννημένος οἶδεν τί κατὰ φύσιν ἐστὶν ὁ γεννήσας αὐτόν· ἀπὸ δὲ τῆς παρ' ἡμῖν συνηθείας λαβὼν καὶ τοῖς ἀνθρωπίνοις ἀποχρησάμενος ῥήμασι, τὸν λόγον τοῦ Πατρὸς, οἱονεὶ τὸν ὅρον τῆς οὐσίας αὐτοῦ, τηρεῖν ἐν ἑαυτῷ 2.129 φησιν. ἔστι γὰρ εἰκὼν τοῦ τεκόντος αὐτὸν καὶ χαρακτὴρ οὐδαμόθεν παντελῶς εἰς ἀνομοιότητα κατηγορούμενος, ἔχων δὲ πάντα ἐν ἑαυτῷ τὰ τοῦ γεννήτορος θεοπρεπῆ τε καὶ ἐξαίρετα. Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε καὶ ἐχάρη. Ἡμέραν ἐν τούτοις, οὐχ ἕτερόν τι φησὶ παρὰ τὸν τῆς ἐπιδημίας καιρὸν, καθ' ὃν ἡμῖν τὸ φῶς ἔλαμψεν τὸ ἀλη θινὸν, καὶ ὁ τῆς δικαιοσύνης ἀνέσχεν ἥλιος, λελυμένου ὥσπερ ἐν ἀχλύος τάξει τοῦ συνέχοντος ἡμᾶς τὸ τηνικάδε σκότου, τυραννοῦντος ἐπὶ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, καὶ πᾶσαν ὡς ἔπος εἰπεῖν τὴν οἰκουμένην ταῖς ἑαυτοῦ δυστροπίαις καταμελαίνοντός τε καὶ εἰς πολύθεον κατω θοῦντος πλάνην, διαφόρως τε τὸν ἑκάστου κατασκοτίζοντος νοῦν. διὰ τοῦτο καὶ ὁ θεσπέσιος μελῳδὸς ἡμέραν ὥσπερ εἰδὼς τὸν τριπόθητον τῆς ἐπιδημίας αὐτοῦ καιρὸν, προανε φώνει λέγων ἐν Πνεύματι "Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ "Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ." ἄλλως τε καὶ ἡμέραν ἔθος ἀποκαλεῖν τῇ θείᾳ γραφῇ τὸν ἑκάστου πράγματος καιρὸν, κατὰ τό "Ἡμέρα γὰρ Κυρίου "σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ταπει "νωθήσονται," καὶ πάλιν "Τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύ "ρεως καὶ ἐν ἡμέρᾳ ἑορτῆς Κυρίου;" ἀλλὰ καὶ ἀπολεῖσθαι τοὺς τινῶν διαλογισμοὺς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ φησὶν ὁ μελῳδὸς, πάλιν ἡμέραν ὁρίζων τὸν τοῦ θείου καὶ προσδοκω μένου βήματος καιρὸν, καθ' ὃν οὐδὲν ὠφελήσει τοὺς ἐν κόσμῳ λαμπροὺς ἡ τῶν ἀρχαίων διαλογισμῶν ἀπάτη, καὶ τῆς ὀφρύος τῆς ἐπὶ πλούτῳ τὸ διάκενον φύσημα. Ἠγαλλιάσατο οὖν φησιν ὁ πατὴρ ὑμῶν Ἀβραὰμ ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε καὶ ἐχάρη. καὶ πῶς ἢ πότε 2.130 νομιοῦμεν τὸν μακάριον Ἀβραὰμ τὴν ἡμέραν τεθεᾶσθαι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τουτέστι, τὸν καιρὸν τῆς ἐπιδημίας αὐτοῦ τῆς μετὰ σαρκὸς ἰδεῖν; οὐ πλατὺς μὲν ὁ λόγος· οὐ γὰρ ἔστιν εἰπεῖν ἐξ ἀντιῤῥήτου λαβόντα καὶ σαφηνίσαι· πλὴν ὡς ἔνι καλῶς τὰ εἰς τοῦτο νοοῦντες ἐροῦμεν, ὅτι καθάπερ ἑνὶ τῶν ἁγίων προφητῶν ἀπεκάλυψεν ὁ Θεὸς τὸ ἑαυτοῦ μυστήριον. ἤγουν τοῦ θεάσασθαι δώσομεν ἀληθῶς τὴν ἡμέραν αὐτὸν τῆς τοῦ Κυρίου σφαγῆς, δι' ἣν τὰ πάντα ἡμῖν αἰσίως ἐκβέβηκεν, καὶ καθάπερ ἐξ οὐρίας ἠνέχθη καλῶς, ὅτε καὶ εἰς τύπον αὐτοῦ τὸν μονογενῆ καὶ πρωτότοκον, τουτέστι τὸν Ἰσαὰκ, ἀναφέρειν εἰς θυσίαν ἐπετάττετο· ἱερουργοῦντι γὰρ εἰκὸς αὐτῷ τότε καθάπερ ἐν τύπῳ τῷ δρωμένῳ καταστῆναι σαφῆ τοῦ μυστηρίου τὴν ἀκρίβειαν. δοίη τις ἂν καὶ ἑτέρας εἰς τοῦτο τοῖς φιλομαθεστέροις τὰς ἀφορμάς. καὶ γὰρ εἶδεν ἄνδρας τρεῖς "πρὸς τῇ δρυῒ τῇ "Μαμβρῇ," ἀλλὰ καὶ ἐπαγγελίαν ἐδέχετο παρὰ Θεοῦ, ὅτι πατὴρ ἔσται πολλῶν ἐθνῶν, ὅπερ ἦν οὐχ ἑτέρως ἀνυσθῆναι δυνατὸν, εἰ μὴ διὰ τῆς εἰς Χριστὸν πίστεως ἐκλήθη πατέρα τὰ ἔθνη τὸν Ἀβραὰμ ἐπιγραφόμενα, καὶ ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ συνανακλιθησόμενά τε καὶ συμμεθέξοντα αὐτῷ τῆς ἐφ' ἅπασιν ἀγαθοῖς τοῦ Σωτῆρος ἡμῶν φιλοτιμίας. εἶδεν οὖν φησιν ὁ μακάριος Ἀβραὰμ, καὶ ἰδὼν ἐχάρη τὴν ἡμέραν τὴν ἐμήν. καὶ διὰ ποίαν αἰτίαν ἐπὶ τὸ καὶ ταῦτα φάναι πρόεισι Χριστὸς, ἀναγκαῖον εἰπεῖν. ἄνθρωπον ὁρῶντες αὐτὸν Ἰουδαῖοι διὰ τὸ περίβλημα τῆς σαρκὸς, οὐδὲν ἐνενόουν περὶ αὐτοῦ θεοπρεπὲς, ᾤοντο δὲ ὅτι καὶ θνητός ἐστι καθ' ἡμᾶς, ἅτε δὴ καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρενεχθείς. ὅτι δὲ ἦν ἀΐδιος ὡς ἐξ ἀϊδίου Πατρὸς, πιστεύειν οὐκ ἤθελον διὰ πολλὴν ἀβουλίαν. ἵνα τοίνυν ἀποδείξῃ σαφῶς ὡς οὐ πρόσφατός ἐστιν, οὐδὲ ἀρτιγενὴς καθ' ἡμᾶς, ἀλλ' ὅτι καὶ 2.131 τοῖς ἀρχαιοτάτοις αὐτῶν πατράσιν ἐγινώσκετο ὡς ὢν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀΐδιος, τὰ τοιαῦτά φησιν. ἐν ταὐτῷ δὲ ὡς ἔοικεν ὀνειδίζει χρησίμως, ὅτι περιπτύουσι δρῶντες ἀβούλως, καὶ φρονοῦντες ἀσυνέτως, ἅπερ ἦν ἐν ἑορτῆς τάξει τῷ τοῦ γένους αὐτῶν ἐξάρχοντι. ἐκεῖνος μὲν γὰρ μόνον εἶδε καὶ ἐχάρη· ἔχοντες δὲ αὐτοὶ καὶ ἀπολαύειν ἐξὸν ταῖς ἀπειθίαις ὑβρίζουσι, καὶ τῆς οὕτω λαμπρᾶς καταλαζονεύονται χάριτος. ἢ τάχα κἀκεῖνο πλα γίως ὑποδηλοῖ ὅτι καὶ μείζων ἐστὶ καὶ κρείττων τοῦ Ἀβραὰμ, εἴπερ ἦν ἐκείνῳ πανήγυρις, τὸ καὶ μόνον γνῶναί τι περὶ αὐτοῦ. γυμνῶς μὲν γὰρ καὶ ἐπικαλύμματός τινος δίχα τοῦτο λέγειν οὐκ ἦν, διὰ τὸ ἐκείνων ἀκρατὲς εἰς ὀργὴν, ἑτέρῳ δὲ τρόπῳ κατασημαίνει πάλιν αὐτό. Καὶ μήτις οἰέσθω λέγοντα πρὸς Ἰουδαίους τὸν Ἰησοῦν Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἀπέθανεν, ἑαυτῷ φθέγγεσθαι τἀ ναντία, ἐπείπερ αὐτοὺς ποτὲ μὲν τῆς πρὸς Ἀβραὰμ οἰκειό τητος ἐξίστησι λέγων "Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα "τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν·" νυνὶ δ' αὖ πάλιν υἱοὺς Ἀβραὰμ ἀποκαλεῖ. ἰστέον δὲ ὅτι καλῶς ἐπ' ἀμφοῖν τὸν οἰκεῖον εἰς ἀλήθειαν ἀπευθύνει λόγον. ἐν μὲν γὰρ ἐκείνοις, τῆς πνευμα τικῆς εὐγενείας ὁριζόμενος τὴν ποιότητα, ἐν τῇ τῶν ἠθῶν ταυτότητι τὴν οἰκειότητα ζωγραφεῖ· ἐν δὲ τούτοις, μόνην αὐτοῖς καὶ γυμνὴν τῆς σαρκὸς ἀπονέμει τὴν συγγένειαν, ἵνα καὶ ἐν ἐκείνοις ἀληθεύῃ, καὶ ἐν τούτοις μὴ ψεύδηται. Εἶπον οὖν Ἰουδαῖοι πρὸς αὐτόν Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; Ἀνόητος κομιδῇ τῶν Ἰουδαίων ὁ λόγος, καὶ πολλὴν ὠδίνων τὴν γελοιότητα· θαυμάσαι δ' ἄν τις αὐτοὺς καὶ σφόδρα εἰκότως εἰς τοσαύτην ἐκδεδραμηκότας τὴν ἀσυνεσίαν, 2.132 ὡς μηδὲν τὸ παράπαν δύνασθαι ὧν ἐχρῆν ἐννοεῖν. μυρίας γὰρ λόγων περιστροφὰς ἐπινοοῦντος αὐτοῖς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ἄνω τε καὶ κάτω διὰ τῶν αὐτῶν ἰόντος ῥημάτων, καὶ τὴν ἰδίαν αὐτοῖς ἀϊδιότητα πολυτρόπως κατα σημαίνοντος, οὐδὲν ὅλως διαλογίζονται πλέον ὧν ὁρῶσι τοῖς τοῦ σώματος ὀφθαλμοῖς, ὥσπερ δὲ παντελῶς ἐξεστηκότες καὶ παρακεκομμένοι τοῦ νοῦ τὴν ἐνέργειαν, οὐκ ἀνατείνουσι τὴν καρδίαν εἰς τὰ πρέποντα Θεῷ, πάλιν δὲ ὡς ἑνὶ τῶν καθ' ἡμᾶς ἀνθρώπων τότε μόλις ἀρξαμένῳ τὸ εἶναι καὶ ἐν τοῖς οὖσι τελεῖν, ὅτε καὶ γεγέννηται, παραλόγως ἐγκαλοῦσι τὸ ψεῦδος, οὐδὲ ὅπερ ἤκουσαν λέγοντος ἐννοοῦντες ὀρθῶς. ὁ μὲν γὰρ ἔφη τεθεᾶσθαι τὸν Ἀβραὰμ τὴν ἡμέραν αὐτοῦ, οἱ δὲ μεταθέντες πρὸς τὸ ἐναντίον αὐτῷ τοῦ λόγου τὴν δύναμιν, οὔπω γάρ φασιν ἔχεις ἔτη πεντήκοντα καὶ πῶς τεθέασαι τὸν Ἀβραάμ; ἐλεεινὸς τοιγαροῦν ὁ παράφρων Ἰουδαῖος, πολλῇ μὲν ἀεὶ συζήσας ἀπαιδευσίᾳ, μανίαν δὲ τὴν ἀτίθασον ποιη σάμενος σύντροφον. Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμγενέσθαι ἐγώ εἰμι. Πάλιν ἐπὶ τὸ σύνηθες αὐτῷ καὶ φίλον ἐπιτήδευμα βαδίζει Χριστός. λαλεῖ μὲν γὰρ ἔσθ' ὅτε πολὺ λίαν αἰνιγματωδῶς, καὶ διαφόροις ἐπικρύψεσιν ἐπισκιάζων τὴν ἐξήγησιν οὐ πᾶσιν ἐᾷ γενέσθαι καταφανῆ. ἐπὰν δὲ συνέντας ἴδῃ μηδὲν τοὺς ἀκροωμένους, τότε τῆς ἀσαφείας ἀπαμφιάσας τὸν λόγον παρατίθησι γυμνὸν καὶ σαφῆ, ὃ δὴ καὶ δρᾶν ἐπὶ τοῦ πα ρόντος ἐπείγεται. ἐπειδὴ γὰρ οὐδὲν εὑρίσκει συνέντας, καίτοι μακροῦ διιππεύσαντος λόγου, οὐδὲ δυνηθέντας ἐννοεῖν ὅτι καὶ ἀΐδιός ἐστιν ὡς ἐξ ἀϊδίου Πατρὸς, καὶ ὅτι μείζων τοῦ Ἀβραὰμ ἀσυγκρίτως ὡς Θεὸς, ἀναφανδὸν ἤδη φησὶν ὡς ἐν 2.133 ὅρκου τάξει προστιθεὶς τό Ἀμὴν εἰς βεβαίωσιν τῶν λεγο μένων Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι. οἰησόμεθα δὲ οὐδα μῶς ἐπαυχεῖν τὸν Μονογενῆ τῷ εἶναι πρὸ μόνου τοῦ Ἀβραάμ. ἔστι γὰρ πρὸ χρόνου παντὸς, καὶ πρεσβυτάτην ἔχει τὴν γέννησιν ἄναρχος ὢν ἐν Πατρί. ἐπειδὴ δὲ προὔκειτο πρὸς τὸ παρὸν ἡ πρὸς Ἀβραὰμ αὐτῷ σύγκρισις, ἐκείνου φησὶν ἑαυτὸν ὑπάρχειν ἀρχαιότερον, ὡσπερανεὶ λέγοι καὶ ὁ ἑκατὸν ἀριθμὸς τὸ τυχὸν, ὅτι μείζων εἰμὶ τοῦ δέκα, καὶ οὐχὶ πάντως ὡς γείτονα τῷ δέκα τὴν ὑπεροχὴν ἔχων, τὰ τοιαῦτα φήσειεν ἂν, ἀλλ' ὅτι πολὺ λίαν ὑπερκείμενος, καὶ ὑπὲρ τῶν δέκα ἐστίν. οὐκοῦν οὐ τοῖς Ἀβραὰμ ἁμιλλᾶται χρόνοις, οὐδὲ ὀλίγῳ προὔχειν ἑαυτὸν τῶν ἐκείνου καιρῶν διισχυρίζεται, ἀλλ' ἐπείπερ ἐστὶν ἄνω παντὸς χρόνου, καὶ παντὸς αἰῶνος ἀριθμὸν ἐξάλλεται, καὶ πρὸ τοῦ Ἀβραὰμ ἑαυτὸν εἶναί φησι, πρᾶγμα λέγων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀληθές. οἰκείως δὲ σφόδρα καὶ καλῶς, ἐπὶ μὲν τοῦ Ἀβραὰμ τό Γενέσθαι τίθησιν, ἐφ' ἑαυτοῦ δὲ τό Εἰμι, δεικνὺς ὅτι τῷ μὲν ἐξ οὐκ ὄντων γενομένῳ πάντως ἂν ἕποιτο καὶ τὸ φθείρεσθαι δεῖν, τῷ δὲ ἀεὶ ὄντι τὸ πρὸς τὸ μὴ εἶναι χωρεῖν οὐκ ἂν συμβαίη ποτέ. μείζων οὖν ἄρα καὶ κρείττων τοῦ Ἀβραάμ· μείζων μὲν ὡς ἀΐδιος, κρείττων δὲ ὅτι μὴ φθείρεται καθάπερ ἐκεῖνος. Ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' αὐτόν· ὁ δὲ Ἰησοῦς ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ. Οὐχ ὁρῶσι τὴν ἀλήθειαν, ἅτε δὴ καὶ ὄντως ψεῦσταί τε ὄντες αὐτοὶ, καὶ ψεύστην ἔχοντες τὸν πατέρα, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· ἀγανακτοῦσι δὲ πάλιν ἐπ' οὐδενὶ τῶν ἀνιᾶν εἰωθότων. ὥσπερ οὖν ἀδικουμένῃ τῇ τοῦ προπάτορος δόξῃ συναθλεῖν οἰόμενοι, διὰ τούτων ἀνεκαύθησαν πάλιν εἰς οὐκ εὐκαίρους ὀργὰς, καίτοι δέον μᾶλλον αὐτοὺς συνιδεῖν καὶ 2.134 τῶν εἰρημένων εἰς δύναμιν, καὶ τίς ὁ ταῦτα λέγων ἐστὶν, ἀλλ' εἰς μανίαν ἀλογωτάτην καὶ θηριοπρεπῆ παραλόγως ἐκνεύοντες, λίθοις αὐτὸν ἐπιχειροῦσι σφενδονᾶν, ὥσπερ οὐκ ἀρκούντως διὰ πολλῆς ἤδη λοιδορίας προσκρούσαντες, ἤγουν μετρίαν ἐξ ἀπονοίας ἐφ' ἑαυτοῖς ἐπισυρόμενοι τὴν ὀργήν. θερμὸν μὲν οὖν καὶ παραλογώτατον τὸ τῶν Ἰουδαίων ἐγχεί ρημα· πρόεισι δὲ οὐκ εἰς ἔργον ἀκαίρως, ἀπῆν γὰρ ἔτι τοῦ παθεῖν ὁ καιρός. κατακρύπτει δὲ ἑαυτὸν ὁ Χριστὸς, οὐ τοίχοις ὑποδραμὼν, οὐχ ἕτερόν τι τοῦ ἰδίου προστησάμενος σώματος, ἀλλὰ τῇ δυνάμει τῆς θεότητος ἀφανῆ τοῖς ζητοῦ σιν ἑαυτὸν καταστήσας. καὶ οὐκ ἠρκέσθη τῷ λαθεῖν, ἀλλὰ καὶ ἔξεισιν ἐκ τοῦ ἱεροῦ, τύπον ὥσπερ τινὰ πραγμάτων ἡμῖν νοητῶν καταγράφων ἐν τούτοις. τοῖς μὲν γὰρ ἀγαπῶσιν αὐτὸν ἐμφανής ἐστι διὰ παντὸς, κατὰ τό "Μακάριοι οἱ "καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται." ἀπο τρέχει δὲ τῶν θεομαχεῖν εἰθισμένων, καὶ οὐδενὶ τῶν δυσσε βούντων φαίνεται, ἀλλ' οὐδὲ τὸ συνεῖναι τρόπον τινὰ καὶ συνδιαιτᾶσθαι τοῖς διώκουσιν αὐτὸν ποιεῖται φίλον, ἀπο δημεῖ δὲ μᾶλλον αὐτῶν, καὶ ἀπανίσταται, πᾶσαν ὥσπερ ἑαυτῷ συνεξέλκων εὐθυμίαν, καὶ τῶν παρ' ἑαυτοῦ χαρι σμάτων ἐρήμους ἀφεὶς τοὺς, ἀφ' ὧν ἂν πάθοι κακῶς, ὅσον εἰς τὸ θέλειν αὐτὸν ἀδικῆσαί φημι, καὶ εἰς τὰ τῶν δυσσε βούντων ἐγχειρήματα, εἰ καὶ μάταια πάντα δεικνύει Χριστὸς, ἀφάτῳ δυνάμει τῶν εἰς αὐτὸν πλημμελούντων τὸ ἀνόσιον ἀφανίζων θράσος. Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. Ἐμπαροινούντων αὐτῷ τῶν Ἰουδαίων, λίθοις τε ἤδη κατακοντίζειν ἐπιχειρούντων αὐτὸν, ἔξεισι μὲν τοῦ παρ' αὐτοῖς ἱεροῦ παραχρῆμα, καὶ τῆς τῶν διωκόντων ἀνοσιότητος ἑαυτὸν ὑπεξάγει. παρατρέχων δὲ τὸν ἐκ γενετῆς εὐθὺς 2.135 ἐπιβλέπει τυφλὸν, σημεῖον ὥσπερ καὶ τοῦτο τίθησιν ἐναργέ στατον, ὅτι τῆς μὲν Ἰουδαίων ἐπαναστήσεται βδελυρίας, καὶ τὴν θεομάχων καταλείψει πληθὺν, ἐπισκέψεται δὲ πάλιν μᾶλλον τὰ ἔθνη, καὶ εἰς αὐτὰ μεταστρέψει τῆς ἡμερότητος τῆς αὐτοῦ τὴν φιλοτιμίαν, ἃ καὶ τῷ ἐκ γενετῆς παρεικάζεται τυφλῷ, διὰ τὸ ἐν πλάνῃ γεγενῆσθαι καὶ ἐκ πρώτης ὥσπερ ἡλικίας ἔρημα τῆς ἀληθοῦς θεογνωσίας ὑπάρχειν αὐτὰ, καὶ τὸ φῶς οὐκ ἔχειν τὸ παρὰ Θεοῦ, τουτέστι, τὸν διὰ τοῦ Πνεύματος φωτισμόν. ἐπιτηρῆσαι δὲ πάλιν ἀκόλουθον τί ἂν βούλοιτο δηλοῦν τὸ ὡς ἐν παραδρομῇ τὸν τυφλὸν ἐπεσκέφθαι παρὰ Χριστοῦ. καί μοι πάλιν ἔπεισι νοεῖν, ὅτι κυρίως μὲν οὐχὶ τοῖς ἔθνεσιν ἐπεδήμησεν ὁ Χριστὸς, διὰ μόνον δὲ τὸν Ἰσραὴλ, καθὰ καὶ αὐτός που φησίν "Οὐκ "ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου "Ἰσραήλ·" κατωρθώθη δὲ τοῖς ἔθνεσιν ἡ ἀνάβλεψις ὡς ἐν παρόδῳ Χριστοῦ μεθορμίσαντος ἐπ' αὐτὰ τὸν ἔλεον, διὰ τὴν τοῦ Ἰσραὴλ ἀπείθειαν. καὶ τοῦτο ἦν ἄρα τὸ διὰ Μωυσέως καὶ πάλιν προαδόμενον "Ἐγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ "ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς." ἔθνος μὲν γὰρ ἀσύνετον ἦν τὸ δουλεῦον τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ κτηνῶν ἀλόγων δίκην εἰς πᾶσαν ἁπλῶς ἀμαθίαν καταβοσκό μενον, καὶ μόνοις προσανέχον τοῖς ἐπὶ τῆς γῆς. ἐπειδὴ δὲ παρώργισεν ὁ Ἰσραὴλ ὁ σοφὸς διὰ τὸν νόμον, καὶ συνετὸς διὰ τὸ προφήτας ἔχειν, ἀντιπαρωργίσθη παρὰ τοῦ Θεοῦ προσληφθέντων εἰς τὸν ἐκείνοις πρέποντα τόπον τῶν ἀσυ νέτων τὸ πρὶν, οἷς διὰ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πίστεως καὶ "σοφία γέγονεν ὁ "Χριστὸς καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις," κατὰ τὸ γεγραμ μένον, δῆλον δὲ ὅτι καὶ φῶς καὶ ἀνάβλεψις.

2.136 ΚΕΦΑΛΗ Α. Ὅτι οὐκ ἐκ προγενεστέρων τῆς ψυχῆς ἁμαρτημάτων τὰ σωματικά τισιν ἐπισυμβαίνει πάθη, ἀλλ' οὐδὲ ἁμαρτίας πατέρων ἐπάγει τισὶν ὁ Θεὸς, τοὺς οὐδὲν ἡμαρτηκότας κολάζων, ἀλλὰ δίκαιον ἐφ' ἅπασιν ἐκφέρει τὸ κρῖμα. Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες Ῥαββὶ, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; ἀπεκρίθη ὁ Ἰησοῦς Οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. ΧΡΗΣΤΟΜΑΘΕΙΣ μὲν καὶ λίαν ἐπιεικῶς οἱ σοφώτατοι μαθηταὶ, μᾶλλον δὲ οὐκ ἀθεεὶ πρὸς τὸ βούλεσθαι ταῦτα μαθεῖν παρωρμήθησαν, καὶ φιλοπευστοῦσι χρησίμως οὐχ ἑαυτοῖς τοσοῦτον, ὅσον ἡμῖν τὴν ἐντεῦθεν ὄνησιν ἐξαρτύ οντες· ὠφελούμεθα γὰρ οὐ μετρίως, παρὰ τοῦ πάντα εἰδότος καὶ τὴν ἐν τούτοις ἀληθῆ δόξαν ἀκροώμενοι, καὶ πρὸς τού τοις ἔτι βδελυρίας ἐξιτήλων δογμάτων ἀποκρουόμενοι, ἃ μὴ παρὰ μόνοις ἦν Ἰουδαίοις, ἀλλὰ καὶ ἤδη τινὲς καὶ τῶν ἐπὶ γνώσει τῆς θεοπνεύστου γραφῆς ἀφορήτως ἐξωφρυωμένων, καὶ δοκούντων τελεῖν εἰς Χριστιανοὺς, ἀπετόλμησαν εἰπεῖν, ὡς ἐστὶν ἀληθὲς, ταῖς ἰδίαις μᾶλλον εὑρεσιλογίαις ἡδόμενοι, καὶ τῶν ἰδίων ἡττώμενοι θελημάτων, καὶ πλάνην Ἑλληνικὴν τοῖς τῆς Ἐκκλησίας ἀναφύρειν δόγμασιν οὐ καταδείσαντες. 2.137 Ἰουδαῖοι μὲν γὰρ οἱ τάλανες ὡς προγονικῶν ἀσεβημάτων πραττόμενοι δίκας, ἢ καὶ ἀλογώτατα τὰς τῶν πατέρων ἁμαρτίας ἐπιῤῥιπτοῦντος αὐτοῖς τοῦ Θεοῦ, καὶ διεγόγγυζον οὐ μικρῶς, καὶ κατεγέλων ὡς ἀδικωτάτου κρίματος, καὶ δὴ καὶ ἔφασκον ὡς ἐν εἴδει παραβολῆς "Οἱ πατέρες ἔφαγον "ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν." οὗτοι δὲ πάλιν γείτονά τε καὶ συγγενῆ νοσοῦντες ἀπαιδευσίαν τοῖς ἀρτίως ἡμῖν κατωνομασμένοις πρὸ τῆς τῶν σωμάτων κατασκευῆς προϋπάρχειν μὲν καὶ προϋφεστάναι τὰς τῶν ἀνθρώπων ψυχὰς διατείνονται, καταφοιτώσας δὲ προθύ μως εἰς τὸ πλημμελεῖν καὶ πρὸ τῶν σωμάτων, τὸ τηνικάδε συνδεῖσθαι τούτοις αὐτὰς, ὡς ἐν τάξει κολάσεως τὸ ἐν σαρκὶ γενέσθαι δεχομένας. ἀλλ' ἑνὶ καὶ συντόμῳ λόγῳ τὰς παρ' ἀμφοῖν ἀσυνεσίας ἔλυσεν ὁ Χριστὸς, μήτε τὸν τυφλὸν ἡμαρτηκέναι, μήτε μὴν τοὺς τεκόντας αὐτὸν διισ χυρισάμενος, ἀνατρέπει μὲν Ἰουδαίων τὸ δόγμα, οὐκ ἀπό τινος πλημμελείας τυφλὸν γεγεννῆσθαι τὸν ἄνθρωπον εἰπὼν, οὔτε ἐξ οἰκείας, οὔτε προγονικῆς, ἀλλ' οὐδὲ πατρὸς ἢ μητρός· καταστρέφει δὲ πάλιν τῆς τῶν ἑτέρων ἀβελ τηρίας τοὺς ὕθλους, οἳ καὶ πρὸ σώματος ἁμαρτεῖν λέγουσι τὰς ψυχάς. Ἐρεῖ γάρ τις αὐτοῖς καὶ μάλα εἰκότως Πῶς εἰπέ μοι φησὶν ὁ Χριστὸς, μήτε τὸν τυφλὸν ἁμαρτῆσαι μήτε τοὺς γονεῖς αὐτοῦ; καίτοι καθαροὺς ἁμαρτίας οὐκ ἂν δοίημεν ὅλως ὑπάρχειν αὐτούς. ἀνθρώπους γὰρ ὄντας εἰκὸς δήπου πάντως, μᾶλλον δὲ ἦν ἀναγκαῖον, περιπίπτειν καὶ πταί σμασι. ποῖον οὖν ἄρα καιρὸν ὁρίζει Χριστὸς, καθ' ὃν ἀληθὴς ἡμῖν ὁ παρ' αὐτοῦ λόγος ὀφθήσεται, ὡς οὔτε ἥμαρτεν αὐτὸς οὔτε μὴν οἱ γονεῖς αὐτοῦ; ἀλλ' ἔστι δῆλον ὅτι τὸν 2.138 πρὸ τῆς γενέσεως λέγει, καθ' ὃν οὐκ ὄντες ὅλως οὐδὲ ἡμάρτανον. Περὶ μὲν οὖν τῶν τοιούτων, καὶ ὅτι ληρούντων ἐστὶ καὶ παραπαιόντων ἐστὶν ἀληθῶς τὸ λογίζεσθαι πρὸ σωμάτων ἁμαρτῆσαι ψυχὰς, σεσωματῶσθαί τε διὰ τοῦτο, καὶ εἰς τόνδε τὸν περίγειον ἀφικέσθαι χῶρον, μακρὸς ἡμῖν γέγονε λόγος ἐν ἀρχῇ τοῦ εὐαγγελίου προκειμένου εἰς ἐξήγησιν καὶ θεωρίαν ἡμῖν "Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα "ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον," καὶ πάρελκον ἂν εἴη καὶ περὶ τούτων ἡμᾶς καὶ εἰσαῦθις διαλαβεῖν. πόθεν δὲ Ἰου δαίοις εἰς τοῦτο δόξης καὶ ὑπονοίας ἐλθεῖν συμβέβηκεν, ἀναγ καῖόν τε εἰπεῖν, καὶ ἐπιδεῖξαι σαφῶς ὅτι τὴν θείαν οὐκ ἰσχύσαν τες νοῆσαι φωνὴν, λογισμοῦ τοῦ πρέποντος ἀπεσφάλησαν. Ἐσκηνοπηγεῖτό ποτε κατὰ τὴν ἔρημον ὁ Ἰσραὴλ, ἐκάλει δὲ τὸν ἱεροφάντην Μωυσέα ὁ Θεὸς ἐν τῷ ὄρει Σινᾷ· ἀλλ' ὡς ἦν ἐκεῖσε μετὰ τοῦ Θεοῦ παρατείνων εἰς ἡμέρας τεσσαρά κοντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν ἀριθμὸν, μελλητὴς εἶναι τοῖς παρὰ τοῖς δήμοις ἐδόκει, οἳ καὶ μόνου τότε κατεξανίσταντο τοῦ Ἀαρὼν, καὶ πρὸς τὰς ἐν Αἰγύπτῳ ψευδολατρείας ἐξ ὀλιγωρίας κατα συρόμενοι κατεβόων λέγοντες "Ποίησον ἡμῖν θεοὺς οἳ "προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωυσῆς οὗτος ὁ ἄνθρωπος "ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέ "γονεν αὐτῷ." εἶτα τί τὸ ἐντεῦθεν, οἶμαι δεῖν ἐπιδρομάδην εἰπεῖν. "ἐμοσχοποίησαν" κατὰ τὸ γεγραμμένον, καὶ ὠργί ζετο δικαίως ἐπὶ τούτῳ Θεός· εἶτα καὶ ὅλην εἰσάπαξ ἀνα λώσειν ἐπηπείλει τὴν Συναγωγήν. προσέπιπτεν ὁ Μωυσῆς, καὶ συγγνώμην ἐξῄτει διὰ μακρᾶς προσευχῆς· ἐπένευσε πρὸς τὴν ἄφεσιν ὁ πάντων Δημιουργὸς, καὶ κολάσειν μὲν οὐκ ἔτι τὸν λαὸν, πλὴν οὐ συναναβήσεσθαι πρὸς τὴν γῆν τῆς ἐπαγγελίας αὐτῷ διετείνετο, συνεκπέμψειν δὲ μᾶλλον αὐτοῖς ὥσπερ ἐν τάξει καθηγητοῦ τὸν ἴδιον ἄγγελον. 2.139 ἐδυσχέραινε πρὸς τοῦτο Μωυσῆς, καὶ διὰ τὸ μὴ βούλεσθαι συναναβαίνειν τῷ λαῷ τὸν Θεὸν, κατεστοχάζετό πως καλῶς γε σφόδρα νοῶν ὅτι τελείαν οὔπω κατάληξιν ἔχει τὰ τῆς θείας ὀργῆς, ἐδεῖτο δὲ καὶ πάλιν ἐκτενῶς συμβαδίζειν αὐτοῖς τὸν Δεσπότην, οὐκ ἀρκέσειν τοῖς ἐξ Ἰσραὴλ τὴν ἀγγέλου μόνην χειραγωγίαν εἰδὼς, ἢ τάχα καὶ δεδιὼς τοῦ λαοῦ τὴν ἀσθένειαν, διά τε τοῦτο τὴν τῶν ἁγίων ἀγγέλων μισοπονη ρίαν παραιτούμενος, τὸν δὲ ἀγαθὸν καὶ φιλάνθρωπον, καὶ τὸν ὅλων παμβασιλέα καὶ Κύριον συνεῖναι μᾶλλον τοῖς ἑτοιμότερον πταίουσι παρακαλῶν. ᾔδει γὰρ οὐχ ἅπαξ αὐτοῖς, ἀλλὰ καὶ πολλάκις συγγνωσόμενον, καὶ τὸν ἐφ' οἷς ἂν πλημμελῶσιν ἔλεον ἐπιδώσοντα. ἐπενεύετο δὲ καὶ πρὸς τοῦτο Θεός· εἶτα σημεῖον ἐζήτει παρ' αὐτοῦ πρὸς πληρο φορίαν ἐναργῆ καὶ ἀπόδειξιν τοῦ δεδόσθαι τὴν συγγνώμην ὁλοσχερῶς τῷ ἰδεῖν αὐτόν· "Εἰ γὰρ εὕρηκα, φησὶ, χάριν "παρὰ σοὶ, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς ἴδω σε, ὅπως "ἂν ὦ εὑρηκὼς χάριν ἐναντίον σου, καὶ ἵνα γνῶ ὅτι ὁ λαός "σου τὸ ἔθνος τοῦτο τὸ μέγα." ἐνήργει καὶ τοῦτο Θεὸς, ὡς ἦν ἐφικτὸν, πληροφορῶν εἰς ἅπαντα τὸν θεραπευτὴν τὸν οἰκεῖον, ὅτι καὶ παρῆκε τῷ λαῷ τὴν ἁμαρτίαν, καὶ ὅτι συναναβήσεται πρὸς τὴν γῆν τῆς ἐπαγγελίας αὐτῷ. εἶτα ταῖς ἐπαγγελίαις ὥσπερ τινὰ κορωνίδα διὰ τὸ λεῖπον ἐπιτι θεὶς, ἑτέρας αὐτῷ δύο πλάκας ἀναλαξεῦσαι προστάττει, συντριβεισῶν δηλονότι τῶν ἐν ἀρχῇ, πρὸς τὸ καὶ εἰσαῦθις αὐτῷ καταγράψαι τὸν νόμον, ἡμερότητος κἀν τούτῳ τῆς ἐπ' αὐτοῖς οὐ μετρίαν ποιούμενος τὴν ἀπόδειξιν. ἐπειδὴ δὲ καὶ πρὸς τοῦτο γέγονεν εὐτρεπὴς ὁ Μωυσῆς "Κατέβη Κύριος "ἐν νεφέλῃ, καθὰ γέγραπται, καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ 2.140 "ἐκάλεσε τῷ ὀνόματι Κυρίου. καὶ παρῆλθε Κύριος πρὸ "προσώπου αὐτοῦ, καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς οἰκτίρμων "καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς, καὶ "δικαιοσύνην διατηρῶν, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας, "ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ οὐ καθαριεῖ "τὸν ἔνοχον, ἐπάγων ἁμαρτίας πατέρων ἐπὶ τέκνα καὶ ἐπὶ "τέκνα τέκνων ἐπὶ τρίτην καὶ τετάρτην γενεάν." ἀλλ' ἰδοὺ δὴ σαφῶς· ἐρῶ γὰρ αὖθις ἀναλαβὼν τὸ ἐν ἀρχῇ ζητούμενον· θεοπρεπῆ τὴν ἡμερότητα καὶ ἀσύγκριτόν τινα τὴν φιλαν θρωπίαν ἔχειν ἑαυτὸν διισχυρίζεται Θεός. αὐτοῦ γὰρ καὶ οὐχ ἑτέρου τινὸς τὸν λόγον εἶναί φαμεν, καὶ οὐ καθάπερ οἴονταί τινες τοῦ πανσόφου Μωυσέως τὰς χαριστηρίους ἀναπέμποντος ὑπὲρ τοῦ λαοῦ προσευχάς. ὅτι γὰρ αὐτός ἐστιν ὁ πάντων Δεσπότης περὶ ἑαυτοῦ ταῦτα λέγων, οὐχ ἕτερος ἡμῖν, ἀλλ' αὐτὸς ὁ μακάριος μαρτυρήσει Μωυσῆς διδάσκων ἐν βιβλίῳ τῶν ἀριθμῶν, ὅτε πάλιν προσκέκρουκεν ἐξ ἀκαίρου δειλίας ὁ Ἰσραὴλ, κακυνόντων τινῶν τῆς ἐπαγγε λίας τὴν γῆν, οἳ καὶ ταύτην κατασκεψόμενοι διὰ προσ τάγματος Κυρίου παρὰ Μωυσέως ἐπέμποντο. οἱ γὰρ ἐπείπερ ἐκ τῆς τῶν ἀλλοφύλων ἀνεκομίζοντο γῆς, ἥκοντό τε αὖθις ὡς τὸν λαὸν, πικροὺς μὲν περὶ αὐτῆς ἐξέπτυον λόγους, γῆν δὲ εἶναι λέγων ἀγρίαν οὕτω καὶ ἀπηνῆ ὡς κατεσθίειν δύνασθαι τοὺς οἰκοῦντας αὐτὴν, εἰς τοσαύτην δυσφημίαν τοὺς ἀκροωμένους ἐκάλουν, ὡς διάβροχον μὲν ἔχειν δακρύων τὴν παρειὰν, οἱ πόνοι δὲ ἤδη καὶ ἐν Αἰγύπτῳ βούλεσθαι. "Δῶμεν γὰρ, ἔφασκον, ἀρχηγοὺς, καὶ πορευθῶμεν εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"Αἴγυπτον·" ἀναλώσειν δὲ αὐτοὺς ἀπειλοῦντος Θεοῦ, πάλιν ἐδεῖτο Μωυσῆς, καὶ τῆς δοθείσης ἐπαγγελίας αὐτῷ μονον ουχὶ καὶ εἰς ἀνάμνησιν ἄγων τὸν Θεὸν πρόεισι βοῶν "Καὶ 2.141 "νῦν ὑψωθήτω ἰσχύς σου Κύριε, ὃν τρόπον εἶπας λέγων "Κύριος καὶ μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς, "ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας· καὶ καθαρισμῷ "οὐ καθαριεῖ τὸν ἔνοχον, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ "τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς· ἄφες τὴν ἁμαρτίαν "τῷ λαῷ τούτῳ κατὰ τὸ μέγα ἔλεός σου, καθάπερ ἵλεως "αὐτοῖς ἐγένου ἀπὸ Αἰγύπτου ἕως τοῦ νῦν." δέδεικται τοίνυν ὡς αὐτὸς ἑαυτῷ τὸ φιλάνθρωπον ἐπιμαρτυρεῖ καὶ τὸ ἄκρως ἀνεξίκακον ὁ ἐπὶ πάντων Θεός. πρέπον δ' ἂν εἴη λοιπὸν τὴν αἰτίαν τοῦ πεπλανῆσθαι τοὺς Ἰουδαίους εἰπεῖν, καὶ μνησίκακόν τινα καὶ βαρύμηνιν ὑπάρχειν τὸν ἀγαθὸν ἡμῶν οἴεσθαι Θεόν. Ἀλλ' οἶμαι γεμὴν τῶν θείων λογίων οὐδαμόθεν ἔχειν αὐτοὺς ἐπιδράξασθαι, ἢ καὶ δύνασθαι κατηγορεῖν ὡς οὐκ ἄριστα γεγονότων, ἀλλ' ἐκβεβηκότων πολὺ τὸν τοῦ δικαίου θεσμὸν, μόναις δὲ ταῖς σφῶν αὐτῶν καὶ τοῦτο παθεῖν ἀμαθίαις αὐτοὺς, ὡς νομίσαι κατὰ ἀλήθειαν ἁμαρτίας ἐπά γεσθαι τῶν γεγεννηκότων ἐπὶ τέκνα, καὶ μακρὰν οὕτω τῆς θείας ὀργῆς γίνεσθαι τὴν παράτασιν, ὡς μέχρι τρίτης καὶ τετάρτης ἀφικνεῖσθαι γενεᾶς, ὑπὲρ ὧν ἕτεροι κατηγόρηνται τοὺς οὐδὲν ἡμαρτηκότας ἀδίκως κολάζουσαν. πῶς γὰρ οὐκ ἔδει μᾶλλον, εἴπερ τινὲς ἦσαν σοφοὶ, διενθυμεῖσθαι πρε πόντως, ὡς οὐκ ἂν ἡ τῆς δικαιοσύνης πηγὴ καὶ τῶν παρ' ἡμῖν ἠθῶν δράσεται τὰ αἰσχίονα; ἄνθρωποι μὲν γὰρ τοῖς παρανομεῖν εἰωθόσι τὰς ἐκ τῶν νόμων ἐπιῤῥίπτουσι ποινὰς, οὐδὲν τὸ παράπαν τοῖς ἐξ αὐτῶν γεγονόσιν ἐπιφέροντες, εἰ μὴ ἄρα τι συνυπαίτιοι καὶ κοινωνοὶ τῶν πταισμάτων ἁλί σκοιντο· ὁ δὲ καὶ ἡμῖν τοὺς ἐφ' ἅπασι τοῖς δικαίοις διορισά 2.142 μενος νόμους, πῶς ἂν ἁλοίη τιμῶν τῶν καὶ παρ' ἡμῖν αὐτοῖς οὐ μετρίως κατεγνωσμένων; εἶτα κἀκεῖνο πρὸς τούτῳ δια σκεπτέον. μυρίους μὲν γὰρ διὰ Μωυσέως ἐχρησμῴδησε νόμους, καὶ πολλαχῶς διατέταχε κολάζεσθαι τοὺς ἀνοσίοις συζῶντας τρόποις· ἀλλ' οὐδαμοῦ προστάττων ὁρᾶται συγ κινδυνεύειν τοῖς ἁμαρτάνουσι χρῆναι τοὺς ἐξ αὐτῶν. κατὰ γὰρ τῶν ἁλόντων ἡ δίκη, καὶ τοῖς ὑποπίπτουσι τῷ νόμῳ τὸ μόνοις κολάζεσθαι πρέπειν ὡρίσατο. δυσσεβὲς οὖν ἄρα τὸ νοεῖν Ἰουδαϊκῶς, σοφὸν δὲ δεῖ πάντως τὸ καὶ τῆς θείας καταστοχάζεσθαι γνώμης, καὶ πανταχόσε τηρεῖν τὰ τῇ πάντων βασιλίδι πρέποντα φύσει. ἐννοῶμεν τοίνυν ποι οὖντες ὀρθῶς, ὡς οὐκ ἂν ὁ τῶν ὅλων Θεὸς τὴν ἐνοῦσαν αὐτῷ γαληνότητα προτιθεὶς ὥσπερ εἰς μέσον, καὶ ἐπ' ἀκράτῳ τῇ φιλανθρωπίᾳ θαυμάζεσθαι θέλων, διά τε τοῦτο βοῶν "Κύριος "μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς, ἀφαιρῶν ἀνομίας "καὶ ἁμαρτίας," οὕτω μνησίκακος ἠβουλήθη γνωρίζεσθαι, ὡς καὶ εἰς τετάρτην παραπλοῦν γενεὰν τὴν ὀργήν. πῶς γὰρ ἔτι μακρόθυμος καὶ πολυέλεος, ἢ πῶς ἀνομίας καὶ ἁμαρτίας ἀφαιρῶν, ὁ μηδὲ μεχρὶ τῆς τοῦ πταίοντος κεφαλῆς τὰ τῆς δίκης συμμετρεῖν ἀνεχόμενος, ἀλλ' ἐκτείνων ἐπέκεινα τρίτης γενεᾶς, καὶ σκηπτοῦ τινος δίκην καὶ τοῖς ἀθῴοις ἐπιπηδῶν; οὐκοῦν ἀπίθανον κομιδῇ, καὶ τῆς ἐσχάτης εὐηθείας οὐ μακρὰν, ἐν ταὐτῷ καὶ φιλανθρωπίαν καὶ ἡμερότητα καὶ μακρὰν οὕτω καὶ ἀλογωτάτην ὀργὴν ἑαυτῷ προσεῖναι μαρτυρεῖν οἴεσθαι τὸν Θεόν. Εἶτά τι πρὸς τούτοις ἕτερον οἱ νοοῦντες Ἰουδαϊκῶς, οὐδὲ εἰδέναι δώσουσι τὸν Θεὸν τὸν ἑκάστῳ τῶν πραγμάτων πρέ 2.143 ποντα καιρόν. εἰ γὰρ ἐπαγγέλλεται τὸ μακροθυμεῖν, καὶ τὸ κατατίθεσθαι λίαν εὐκόλως προσάπτων εὑρίσκεται, τοῦ δὴ καὶ χάριν ὁρᾶται προστεθεικώς "Ἐπάγων ἁμαρτίας πατέρων "ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς;" τουτὶ γὰρ ἦν ἕτερον τοῦ δρῶντος οὐδὲν, ἢ καταπτοεῖν ἐθέλοντος τοὺς ἐκδε χομένους παρ' αὐτοῦ τῶν διεπταισμένων τὴν ἄφεσιν, ὡς οὐδαμόθεν αὐτοῖς ὑπάρξει τὸ ἐν ἐλπίσιν, εἴπερ οὕτως ἐστὶ μνησίκακος καὶ μακρὸς εἰς ὀργὴν ὁ ἐπ' αὐτοῖς εἰκότως λελυπημένος. τί δὲ εἰπέ μοι καὶ αὐτὸς ἡμῖν ὁ ἱεροφάντης Μωυσῆς; ἆρ' οὐχὶ ποιήσας ὁρᾶται πρᾶγμα παραλογώτατον, εἰ προσκεκρουκότος τοῦ Ἰσραὴλ καὶ κολάζεσθαι μέλλοντος, πρόσεισι μὲν παρακαλῶν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμνηστίαν δὲ τὴν παρὰ Θεοῦ καὶ φιλανθρωπίαν αἰτῶν οὐκ εὐκαίρως φησὶ πρὸς Θεόν Ὅτι πέφυκας εἶναι τοιοῦτος ὡς ἀποδιδόναι πατέρων ἁμαρτίας ἐπὶ τέκνα τέκνων. τοῦτο γὰρ ἦν παραθήγοντος μᾶλλον εἰς ὀργὴν, ἢ καλοῦντος εἰς ἔλεον, καὶ μνησικακίαν ἐξαιτοῦντος μᾶλλον ἢ μακροθυμίαν. ἀλλ' οἶμαι δυσωπεῖν ἐδόκει καὶ διὰ τούτων αὐτὸν, καὶ μονονουχὶ πρὸς ὑπόμνησιν ἄγειν ὧν αὐτὸς ἐφθέγξατο, ὅτε τῆς ἐνούσης αὐτῷ χρηστότητος ἔποι εῖτο τὴν ἀνάῤῥησιν. ὅπως γὰρ αὐτός ἐστι μακρόθυμος καὶ πολυέλεος, καὶ ὅτι πέφυκεν ἁμαρτίας καὶ ἀνομίας ἀφαιρεῖν, ἐν τούτοις εὖ μάλα διαγνωσθήσεται, ἐν οἷς μάλιστα δοκεῖ τις εἶναι πικρός. Τίνα τοίνυν προσῆκε νοῆσαι τρόπον τὰ εἰρημένα παρὰ Θεοῦ, λοιπὸν οἶμαι πρέπειν εἰπεῖν. "Κύριος, φησὶ, μακρό "θυμος καὶ πολυέλεος, ἀφαιρῶν ἀνομίας καὶ ἁμαρτίας·" εἶτα τὸ τούτων κείμενον ἐφεξῆς ὡς ἐν ἐρωτήσει μεθ' ὑπο στιγμῆς ἀναγνωσόμεθα "Καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν "ἔνοχον;" ἵνα τι τοιοῦτον ἐννοήσῃς Ὁ μακρόθυμός φησι 2.144 καὶ πολυέλεος Θεὸς, ὁ ἀφαιρῶν ἀνομίας καὶ ἁμαρτίας, οὐκ ἂν καθαρίσαι καθαρισμῷ τὸν ἔνοχον; ἀλλ' ἔστιν οὐκ ἀμφί βολον· καθαριεῖ γὰρ πάντως· ἐπεὶ πῶς ἐστι μακρόθυμος καὶ πολυέλεος, πῶς δὲ ὅλως ἀφαιρῶν ἁμαρτίας, εἰ μὴ καθαρίζει τὸν ἔνοχον; πρὸς δέ γε τοῦτο τῆς ἐνούσης πάλιν αὐτῷ μακροθυμίας τε καὶ ἀνεξικακίας εἰς ἀπόδειξιν ἀποφέρει, καὶ ὅτι τὰς τῶν πατέρων ἁμαρτίας ἐπιθήσει τέκνοις ἕως τρίτης καὶ τετάρτης γενεᾶς, οὐχ ὑπὲρ πατρὸς κολάζων υἱόν· μὴ τοῦτο νομίσῃς· ἀλλ' οὐδὲ ἐκγόνῳ τῷ μακρὰν, καθάπερ τι φορτίον ἐπιῤῥίπτων τῶν προγόνων τὰ πταίσματα, σημαίνων δέ τι τοιοῦτον. γέγονέ τις τυχὸν ἀνὴρ παράνομος, καὶ μοχθηρίας ἁπάσης ἀνάμεστον ἔχων τὴν διάνοιαν· καὶ κολάζεσθαι μὲν ὑπερθέσεως ἁπάσης δίχα τὸν οὕτω διαζῆν ᾑρημένον ἐχρῆν, διεκαρτέρησε δ' οὖν ὅμως ἀνεξικάκως ὁ Θεὸς, οὐκ ἐπενεγκὼν αὐτῷ τὴν αὐτῷ χρεω στουμένην ὀργήν. εἶτα τούτῳ γέγονεν υἱὸς ταῖς τοῦ πατρὸς δυσσεβείαις ἁμιλλώμενος, καὶ παρατρέχων ἐν κακίᾳ τὸν φύσαντα· καὶ ἐμακροθύμησε καὶ ἐπὶ τούτῳ Θεός· ἀλλὰ καὶ ἐκ τούτου γέγονε τρίτος, ἢ καὶ ἐκ τοῦ τρίτου τέταρτος κατ' οὐδένα τρόπον ὅσον εἰς κακίας εἶδος τῶν πατέρων ἡττώμενος, ἰσόῤῥοπον δὲ ταῖς ἐκείνων ἐπιτηδεύσας τὴν δυσσέβειαν. ἐπάγει λοιπὸν ὁ Θεὸς τὴν ἄνωθεν καὶ ἀπ' ἀρχῆς ὅλῳ τῷ γένει χρεωστουμένην ὀργὴν, ἀνεξικακήσας διαρκῶς, μᾶλλον δὲ καὶ ἤπερ ἐχρῆν. τὸ γὰρ ὑπερθέσθαι τὴν τιμωρίαν καὶ μέχρι τετάρτης γενεᾶς, πῶς οὐκ ἂν γένοιτο θεοπρεποῦς ὄντως ἡμερότητος ἐγκώμιον; ὅτι γὰρ οὐχ υἱὸν ὑπὲρ πατρὸς, ἀλλ' οὐδὲ πατέρα κολάζειν οἶδεν ὑπὲρ υἱοῦ, χαλεπὸν οὐδὲν ἐκμαθεῖν καὶ ἐξ ὧν ἔφη σαφῶς διὰ φωνῆς Ἰεζεκιὴλ τοῦ προφήτου πρὸς αὐτοὺς Ἰουδαίους, ἐπ' αὐτῷ δὴ 2.145 τούτῳ διαγογγύζοντας καὶ λέγοντας Οἱ πατέρες ἔφαγον ὄμ 2.145 φακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν. "Καὶ ἐγένετο," φησὶ, "λόγος Κυρίου πρὸς μὲ λέγων Υἱὲ ἀνθρώπου, τίς ὑμῖν "ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραὴλ, λέγοντες Οἱ πατέρες "ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν; "ζῶ ἐγὼ, λέγει Κύριος, ἐὰν γένηται ἡ παραβολὴ αὕτη ἔτι "λεγομένη ἐν τῷ Ἰσραήλ· ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν, ὃν "τρόπον ἡ ψυχὴ τοῦ πατρὸς οὕτω καὶ ἡ ψυχὴ τοῦ υἱοῦ, ἐμαί "εἰσιν· ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται. ὁ δὲ υἱὸς "οὐ λήψεται τὴν ἀδικίαν τοῦ πατρὸς, οὐδὲ ὁ πατὴρ λήψεται "τὴν ἀδικίαν τοῦ υἱοῦ αὐτοῦ· ἕκαστος ἐν τῇ ἀδικίᾳ αὐτοῦ, ᾗ "ἥμαρτεν, ἀποθανεῖται ἐν αὐτῇ." ἀλλ' οἶμαι ληρεῖν οὐδένα τοσοῦτον ὡς νομίσαι τὰ κάλλιστα μὲν οὐκ ἐν ἀρχῇ νομο θετῆσαι Θεὸν, μεταβεβουλεῦσθαι δέ πως καὶ μετεσκέφθαι τὸ ἄμεινον, καὶ ὡς ἕνα τῶν καθ' ἡμᾶς ὑστεροβουλήσαντα μόλις ἐπινομοθετεῖν δεδυνῆσθαι τὰ πρεπωδέστερα. εἰ μὲν γὰρ ἐπαινοῦμεν ἐκεῖνα, τῶν δευτέρων δηλονότι διὰ τούτου κατηγορήσομεν, εἰ δὲ τοῖς δευτέροις ἀποψηφιούμεθα τὸ νικᾶν, πάντως δήπου τῶν ἡττωμένων καταγνωσόμεθα. ἑαυτῷ τοιγαροῦν νομοθετήσει τἀναντία Θεὸς, καὶ διημάρτηκε καθάπερ ἡμεῖς τοῦ δέοντος, ποτὲ μὲν ἐκεῖνα, ποτὲ δὲ ταῦτα θεσμοθετῶν. ἀλλ' οἶμαι πᾶς τις ἐρεῖ ταῖς μὲν εἰρημέναις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀτοπίαις κατ' οὐδένα δύνασθαι τρόπον τὴν θείαν ὑποκεῖσθαι φύσιν, ἀλλ' οὐδ' ἂν ἀφαμαρτῆσαί ποτε τοῦ δέοντος. Ἀπόδειξιν οὖν ἄρα τῆς ἀσυγκρίτου φιλοτιμίας αὐτοῦ τὸ εἰρημένον εἰσφέρει, τουτέστιν, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς. ὅτι γὰρ ἔθος τῷ φιλανθρώπῳ Θεῷ μὴ παραχρῆμα κολάζειν τοὺς πλημμελή σαντας, ἀναδύεσθαι δὲ μᾶλλον καὶ εἰς χρόνους ἀνατιθέναι μακροὺς τὰς τιμωρίας, αὐτοῦ λέγοντος συνήσεις "Καὶ τὸν 2.146 "θυμόν μου ἔπλησα καὶ ἐπέσχον, καὶ οὐ συνετέλεσα αὐτούς." ἑτέρωθι δὲ πάλιν "Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι "τῶν Ἀμοῤῥαίων ἕως τοῦ νῦν." ὁρᾷς ὅπως ἔπλησε μὲν τὸν θυμὸν, ἔδρων γὰρ ἤδη τινὲς πληρεστάτου λοιπὸν ἄξια θυμοῦ, διεκαρτέρει δὲ ὡς Θεὸς, καὶ τὸ συντέλειαν τοῖς λυποῦσιν ἐπενεγκεῖν ἀνεβάλλετο. ἀλλ' ἵνα σοι, καὶ καθάπερ ἐν πίνακι, τὴν τῶν εἰρημένων ἀνατυποῦντες ἀπόδειξιν, καὶ δι' αὐτῶν ἤδη πληροφορήσωμεν τῶν πραγμάτων, ὅτι τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγκώμιόν ἐστι τὸ εἰρημένον, παροίσω τι τῶν ἐν τοῖς ἱεροῖς κειμένων γράμμασι, καὶ ἐξ αὐτῆς ἀποδεῖξαι πειράσομαι τῆς θείας γραφῆς, ἐπενεχθείσας ἁμαρτίας πατέ ρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν οὐκ ἀδίκως, ἀλλὰ δικαίως, καὶ τοῖς τοῦτο παθοῦσι κεχρεωστημένως. γενήσεται δὲ ὁ λόγος διὰ τὸ μῆκος τῆς ἱστορίας ἐν παρα δρομῇ. Οὐκοῦν, ὡς ἐν τῷ τρίτῳ βιβλίῳ τῶν βασιλειῶν ἀνέγνω μεν, βεβασίλευκεν ἐπὶ τὸν Ἰσραὴλ μεθ' ἑτέρους ὁ Ἀχαὰβ, ὃς ἀμπελῶνος κατ' οὐδένα τρόπον αὐτῷ προσήκοντος εἰς ἀδικωτάτην ἐμπεσὼν ἐπιθυμίαν, ἀναιρεῖ τὸν δεσπότην, φημὶ δὲ τὸν Ναβουθαί. εἰ γὰρ καὶ μὴ τοῦτο γενέσθαι προστέταχεν αὐτὸς, ἀλλ' ἐπὶ ταῖς τῆς γυναικὸς δυστροπίαις οὐκ ἐδυ σφόρει. ἠγανάκτει Θεὸς ἐπὶ τούτοις ἀναγκαίως, εἶτά φησι πρὸς αὐτὸν διὰ τοῦ προφήτου Ἡλιοῦ "Τάδε λέγει Κύριος "Ὡς σὺ ἐφόνευσας καὶ ἐκληρονόμησας, διὰ τοῦτο τάδε "λέγει Κύριος Ἐν τῷ τόπῳ οὗ ἔλειξαν αἱ ὕες καὶ οἱ κύνες "τὸ αἷμα Ναβουθαὶ, ἐκεῖ λείξουσιν οἱ κύνες τὸ αἷμά σου "καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου·" καὶ πάλιν εὐθύς "Τάδε λέγει Κύριος Ἰδοὺ ἐπάγω ἐπὶ σὲ κακὰ, καὶ "ἐκκαύσω ὀπίσω σου καὶ ἐξολοθρεύσω τοῦ Ἀχαὰβ οὐ 2.147 "ροῦντα πρὸς τοῖχον καὶ συνεχόμενον καὶ καταλελειμμένον "ἐν Ἰσραὴλ, καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον Ἱεροβοὰμ" υἱοῦ Ναβὰτ καὶ ὡς τὸν οἶκον Βαασσὰ υἱοῦ Ἀχαὰβ, "περὶ τῶν παροργισμάτων ὧν παρώργισας καὶ ἐξήμαρτες "τῷ Ἰσραήλ. καὶ τῇ Ἰεζάβελ ἐλάλησε λέγων Οἱ κύνες "φάγονται αὐτὴν ἐν τῷ προτειχίσματι τοῦ Ἰσραὴλ, καὶ τὸν "τεθνηκότα τοῦ Ἀχαὰβ ἐν τῇ πόλει φάγονται οἱ κύνες, καὶ "τὸν τεθνηκότα ἐν τῷ πεδίῳ φάγονται τὰ ὄρνεα τοῦ "οὐρανοῦ." ταῦτα δὲ δράσειν ἅπαντα καὶ ἀναμφιλόγως ἐποίσειν διαπειλήσαντος τοῦ πάντων Δεσπότου, διέῤῥηξε μὲν τὸ ἀμφίον ὁ Ἀχαὰβ, εἰσελθὼν δὲ εἰς τὸν οἶκον αὐτοῦ, καθὰ γέγραπται, κατενύγη, καὶ δακρύων μὲν κατετήκετο πικρῶς, σάκκῳ δὲ διεζώσατο τὴν ὀσφύν. ἐπειδὴ δὲ ἐν τούτοις αὐτὸν γεγονότα κατηλέει Θεὸς, κολοβοῦν ἄρχεται τὴν ὀργὴν, καὶ χαλινὸν ὥσπερ ἐπιτιθεὶς τῷ παραχρῆμα θυμῷ, τῷ προφήτῃ φησίν "Ἑώρακας ὡς κατενύγη Ἀχαὰβ "ἀπὸ προσώπου μου; οὐκ ἐπάξω ταῦτα ἐν ταῖς ἡμέραις "αὐτοῦ, ἀλλ' ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ αὐτοῦ ἐπάξω τὴν "κακίαν." ἆρα οὖν ἐπὶ τίνος ταῦτα πεπλήρωνται, πῶς οὐχὶ δίκαιον κατιδεῖν; οὐκοῦν γέγονε μὲν ἐξ Ἀχαὰβ Ὀζίας, ὃς "ἐποίησε, φησὶ, τὸ πονηρὸν ἐναντίον Κυρίου, καὶ ἐπορεύθη "ἐν ὁδῷ τοῦ πατρὸς αὐτοῦ Ἀχαὰβ καὶ ἐν ὁδῷ Ἰεζάβελ τῆς "μητρὸς αὐτοῦ." ἀλλὰ καὶ ἐξ Ὀζίου γέγονε, φησὶν, Ἰωρὰμ, περὶ οὗ πάλιν γέγραπται ὅτι ἐπορεύθη "ἐν ταῖς ἁμαρτίαις "οἴκου Ἱεροβοάμ." ἀλλὰ καὶ ἐξ Ἰωρὰμ βεβασίλευκε τρίτος Ὀχοζίας, περὶ οὗ πάλιν φησὶν ὁ τῆς ἱστορίας λόγος ὅτι "ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καθὼς ὁ οἶκος "Ἀχαάβ." ἐπειδὴ δὲ ἤδη παρῆν ὁ καιρὸς τοῦ κολάζεσθαι δεῖν τὸν οἶκον Ἀχαὰβ, μέχρι καὶ τετάρτων ἐγγόνων τῆς 2.148 κατὰ Θεοῦ δυσσεβείας οὐ καταλήξαντα, κέχρισται λοιπὸν ἐπὶ τὸν Ἰσραὴλ εἰς βασιλέα Ἰωσαφὰτ υἱὸς Ναμεσὶ, ὃς ἀναιρεῖ μὲν τὸν Ὀχοζίαν, καὶ σὺν ἐκείνῳ τὴν Ἰεζάβελ, ἀναιρεῖ δὲ τῷ Ἀχαὰβ καὶ ἑτέρους υἱοὺς ἑβδομήκοντα, τὴν θείαν ὥσπερ διεξάγων εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέρας ὀργὴν, ὡς καὶ τιμῆς καὶ χάριτος ἐπὶ τούτῳ τυχεῖν. τί γάρ φησι πρὸς αὐτὸν ὁ Θεός; "Ἀνθ' ὧν ἠγάθυνας ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου, "καὶ πάντα ὅσα ἐν τῇ καρδίᾳ μου ἐποίησας τῷ οἴκῳ "Ἀχαὰβ, υἱοὶ τέταρτοι καθήσονταί σοι ἐπὶ τοῦ θρόνου σου." ὁρᾷς οὖν ὅπως τοὺς μὲν πονηροὺς ἐκ πονηρῶν ἐν τετάρτῃ μόλις ἐκόλασε γενεᾷ, τῷ δὲ τιμήσαντι καὶ μέχρι τετάρτης γενεᾶς ἐκτείνει τὸν ἔλεον. παῦσαι τοίνυν Ἰουδαῖε τῆς τοῦ Θεοῦ δικαιοσύνης κατηγορῶν· εἰς ἐγκωμίου γὰρ τάξιν παρ' ἡμῖν δεχθήσεται τό Ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεάν. Ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. Δυσεξήγητον μέν πως ἔσται καὶ ἀπορίας εἴσω πολλῆς τὸ προκείμενον, καὶ ἦν μὲν ἴσως οὐκ ἀμαθὲς καὶ παρατρέχειν αὐτὸ, καὶ διὰ τὸ σφόδρα δυσέφικτον ἐᾶν. ἀλλ' ἵνα μὴ λελυμένων δογμάτων Ἰουδαϊκῶν, ἕτερόν τι συγγενὲς ἐκεί νοις καθάπερ "τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ," κατὰ τὴν τοῦ Παύλου φωνήν· εἰκὸς γὰρ ὑποτοπῆσαί τινας διὰ τοῦτο πρὸς πάθη τὰ τῶν ἀνθρώπων καλεῖσθαι σώματα, ἵνα ἐν αὐτοῖς φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ· χρησίμως ὥς γε μοι φαίνεται καὶ πρὸς τοῦτο εἰπεῖν ὀλίγα ἄττα πρὸς τὸ καὶ ἐντεῦθεν ἀποκρούσασθαι βλάβη, καὶ τοῖς ἐξ ἀπάτης λο γισμοῖς μηδεμίαν ἔχειν ἐπιτρέψαι παρείσδυσιν. ὅτι μὲν οὖν οὔτε τὰς γονέων ἁμαρτίας ἐπάγει τέκνοις Θεὸς εἰ τῆς ἐκείνων δυστροπίας εἶεν ἀμέτοχα, καὶ ὅτι πρὸς τούτοις οὐκ 2.149 ἐκ προγενεστέρων τῆς ψυχῆς ἁμαρτημάτων ἡ σωμάτωσις, ἀπεδείξαμεν. ἀνεῖλε γὰρ παραδόξως ἀποφήσας ἄμφω Χριστὸς, ἅτε δὴ καὶ τὰ πάντα γινώσκων ὡς Θεὸς, μᾶλλον δὲ αὐτὸς ὑπάρχων τῶν καθ' ἡμᾶς πραγμάτων ταμίας, καὶ τῶν ἑκάστῳ πρεπόντων, ἤτοι χρεωστουμένων, διανομεύς. ἐν μὲν γὰρ τῷ μὴ ἁμαρτῆσαι λέγειν τὸν τυφλὸν, μήτε μὴν διὰ τοῦτο τὴν τύφλωσιν ὑπομεῖναι, τὸ προγενεστέροις τοῦ σώματος πλημμελήμασιν ὑπαίτιον εἶναι νομίζειν τὴν τοῦ ἀνθρώπου ψυχὴν, ἀποφαίνει μωρόν· ἐν δὲ τῷ μήτε τοὺς γονεῖς πλημμελῆσαι διαῤῥήδην εἰπεῖν, ἵνα τυφλὸς ὁ ἐξ αὐτῶν γεννηθῇ, τὴν ἀνόητον τῶν Ἰουδαίων ὑπόνοιαν ἀναιρεῖ. διδάξας τοιγαροῦν ὅσον ἦν ἀναγκαῖον εἰδέναι τοὺς μαθητὰς, διὰ τὴν τῶν ἀρτίως ἡμῖν εἰρημένην δογμάτων ἀνατροπὴν, καὶ τοσοῦτον αὐτοῖς χαρισάμενος, ὅσον ἔδει τῇ ἀνθρώπου παραθέσθαι γνώσει, σιωπᾷ τὸ λεῖπον, καὶ οὐκέτι προστί θησιν ἐναργῶς τὴν αἰτίαν τοῦ γεννηθῆναι τυφλὸν τὸν ἐπ' οὐδενὶ προγενεστέρῳ κατηγορούμενον πταίσματι, μόνῃ τῇ θείᾳ φύσει τὴν ἐφ' ἅπασι τοῖς τοιούτοις εἴδησίν τε καὶ οἰκονομίαν ὡς ἐξαίρετον ἀναθείς. εὐφυέστατα δὲ πάλιν ἐφ' ἕτερόν τι παρατρέπει τὸν τῆς ἀποκρίσεως λόγον, καί φησιν Ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. Ἆρ' οὖν, ἐρεῖ τις, δογματίζει καὶ νῦν ἡμῖν ταῦτα λέγων ὁ Κύριος, ὡς διὰ τοῦτο καὶ μόνον τοῖς τῶν ἀνθρώπων σώμασι τοῦ πάσχειν ἐπισυμβαίνοντος, ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτοῖς; ἀλλ' οὐ σφόδρα μοι δοκεῖ, μᾶλλον δὲ ἀπηχὲς παντελῶς τὸ οὕτω διακεῖσθαι καὶ φρονεῖν· οὐ γὰρ δογμα τίζων, ὥσπερ οὖν οἰήσεταί τις, τὰ τοιαῦτά φησιν. ὅτι μὲν γὰρ πλήττεσθαί τισιν ἐξ ἁμαρτιῶν συμβέβηκε, γραμμάτων πολλάκις ἐπυθόμεθα τῶν ἱερῶν. ὁ μὲν γὰρ Παῦλος ἐπι στέλλει σαφῶς πρὸς τοὺς ἀνίπτοις ὥσπερ ποσὶν ἐπὶ τὸ 2.150 θεῖον ἀνάττειν τολμῶντας θυσιαστήριον, καὶ βεβήλῳ τε καὶ ἀνοσίᾳ χειρὶ τῆς μυστικῆς εὐλογίας ἐπιθιγγάνειν "Διὰ τοῦτο "ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται "ἱκανοί. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· "κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ "κόσμῳ κατακριθῶμεν." ὥστε τοῖς ἀῤῥωστήσασι καὶ τεθ νεῶσιν ἔσθ' ὅτε διὰ θείας ὀργῆς ἐπενήνεκται τὸ παθεῖν. ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὅτε τὸν πάρετον τῆς μακρᾶς ἀπέλυσε νόσου, καὶ παραδόξως ἔδειξεν ὑγιᾶ "Ἴδε, φησὶν, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ "χεῖρόν σοι γένηται." ὡς ἐνδεχομένου γὰρ καὶ συμβαίνοντος τοῦ καὶ ἐν χείροσιν αὐτὸν γενέσθαι δι' ἁμαρτίας, εἰ μὴ φυλάξαιτο, διαφυγὼν ἅπαξ καὶ ἀνασεσωσμένος χάριτι τῇ παρ' αὐτοῦ, τὰ τοιαῦτά φησιν. ἀλλ' ἴσως ταύτῃ μὲν εἰρῆ σθαι καλῶς συγχωρήσομεν· τοῖς δὲ ἐκ σπαργάνων καὶ ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρώτων τῆς γενέσεως χρόνων πεπονθόσι τι τῶν ἀπευκτῶν, καὶ τοῖς νοσήμασι συναποτεχθεῖσιν ἐκ μήτρας, ποῖον ἄν τις ἐφαρμόσαι λόγον, οὐ ῥᾴδιον συνιδεῖν. προεῖναι μὲν γὰρ τὴν ψυχὴν οὐ πιστεύομεν, ἀλλ' οὐδὲ πρὸ σώματος ἁμαρτεῖν οἰησόμεθα· πῶς γὰρ ἂν καὶ ἁμάρτοι τὸ κεκλημένον οὔπω πρὸς γένεσιν; ἁμαρτίας δὲ οὐκ οὔσης, ἀλλ' οὐδὲ τοῦ πάθους προηγησαμένου πταίσματος, τίνα λοιπὸν ἐροῦμεν τοῦ παθεῖν τὴν πρόφασιν; ἀλλ' ἔστιν ἀθέατα παντελῶς ταῖς ἡμετέραις διανοίαις τὰ πολὺ λίαν ὑπὲρ ἡμᾶς, καὶ τὸ περὶ τούτων ὅλως ἐθελῆσαι ζητεῖν συμβουλεύσαιμ' ἂν ἔγωγε παραιτεῖσθαι τοῖς σώφροσι, καὶ πρό γε πάντων ἐμαυτῷ. χρὴ γὰρ διανοεῖσθαι μᾶλλον ἃ προστετάγμεθα, καὶ βαθύτερα μὲν μὴ ἐξετάζειν, χαλεπώτερα δὲ μὴ ζητεῖν, μηδὲ ἀνορύττειν πειρᾶσθαι ῥιψο κινδύνως τὰ ἐγκεκρυμμένα μόνῃ τῇ θείᾳ καὶ ἀφράστῳ βουλῇ, ἐπιτρέπειν δὲ μᾶλλον εὐσεβῶς εἰδέναι μόνῳ Θεῷ 2.151 τὰ αὐτῷ πρέποντα καὶ ἐξαίρετα, μετὰ τοῦ διακεῖσθαι καὶ πιστεύειν ἀληθῶς ὅτι δικαιοσύνης ἁπάσης ὑπάρχων πηγὴ, οὐκ ἄν τι δράσαι τυχὸν, ἢ βουλεύσαιτο ἔν τε τοῖς καθ' ἡμᾶς, καὶ ἐν τοῖς κατὰ πᾶσαν τὴν ἄλλην κτίσιν, εἰ μὴ ὅπερ ἂν αὐτῷ φαίνοιτο πρέπον, καὶ τῶν τῆς ἀληθοῦς ὀρθότητος οὐκ ἐξοίχεται λόγων. Οὐκοῦν ἐπείπερ ἡμᾶς τοῦτον διακεῖσθαι τὸν τρόπον οὐκ ἀπεικὸς, οὐ δογματικῶς εἰρηκέναι φημὶ τὸν Κύριον τό Ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ· περισπῶντα δὲ μᾶλλον εἰς ἑτέραν ὁδὸν ὥσπερ τοῦ ζητουμένου τὴν ἀπόκρισιν, καὶ ἐκ τῶν βαθυτέρων ἢ καθ' ἡμᾶς περιάγοντα πρὸς τὰ πρεπωδέ στερα· κατείθισται γάρ πως καὶ τοῦτο αὐτό. ὅτι δὲ ἀληθὴς ὁ λόγος, ἄκουε πάλιν φιλοπευστούντων σφόδρα ποτὲ τῶν ἁγίων μαθητῶν τὰ περὶ τῆς συντελείας τοῦ αἰῶνος, καὶ οὐ μετρίως ἐξακριβοῦν πειρωμένων τὰ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας, καὶ πολὺ τὸ ἀνθρώποις ἐοικὸς ἀναβαινόντων μέτρον, σαφέστερον αὐτοὺς τῶν τοιούτων ἀφιστὰς ἐρωτή σεων "Οὐχ ὑμῶν ἐστι τὸ γνῶναι, φησὶ, χρόνους ἢ καιροὺς "οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· ἀλλὰ λήψεσθε "δύναμιν ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ "ἔσεσθέ μου μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν τῇ Ἰουδαίᾳ "πάσῃ." ἀκούεις ὅπως ζητεῖν ἡμᾶς ἅπερ ἥκιστα χρῆν οὐκ ἐφίησι παντελῶς, παρατρέπει δὲ μᾶλλον ἐφ' ὅπερ ἦν ἀναγ καῖον ἐλθεῖν· οὕτω κἀνθάδε διειρηκὼς ἐναργῶς ὅπερ ἔδει μαθεῖν, ἀποσιωπᾷ τὸ λεῖπον, ἑαυτῷ μόνῳ πρέπειν εἰδὼς τὸ ἐξεπίστασθαι τοῦτο. ἵνα δὲ μὴ παντελῶς σιωπήσας καλέσῃ πως αὐτοὺς εἰς τὸ καὶ εἰσαῦθις περὶ τῶν αὐτῶν ἀναπυνθά νεσθαι φιλεῖν, ὡς ἐν ἀπολογίας σχήματι, καὶ ὥσπερ τινὰ χρεωστουμένην ταῖς ἐρωτήσεσιν ἀμοιβὴν εὐφυῶς διαπλάτ των, φησίν Ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ, ὅπερ 2.152 ἐστὶν ὡς ἐν ἑτέρῳ καὶ ἁπλουστέρῳ λόγῳ Οὐκ ἐξ οἰκείων ἁμαρτημάτων ἢ γονικῶν ὁ ἄνθρωπος ἀπετέχθη τυφλὸς, ἐπειδὴ δὲ ἅπαξ τοῦτο παθεῖν συμβέβηκε, δυνατὸν καὶ ἐν αὐτῷ δοξάζεσθαι τὸν Θεόν· ὅταν γὰρ ἐνεργείᾳ τῇ ἄνωθεν, τοῦ παρενοχλοῦντος καὶ ἐπισκήψαντος αὐτῷ πάθους ἐλεύ θερος εὑρεθῇ, τίς οὐ θαυμάσει τὸν ἰατρόν; τίς δὲ τοῦ θερα πεύσαντος οὐ κατόψεται τὴν δύναμιν ἐν αὐτῷ; Ταύτην οἶμαι τὴν διάνοιαν ἐγκεῖσθαι τῷ προκειμένῳ, νοεῖν δὲ τοῖς συνετοῖς ἐξέστω τὰ τελειότερα· εἰ δὲ ὅτι πρέπει φιλονεικεῖν οἴονταί τινες, διά τε τοῦτό φασι τὸν τυφλὸν γεγεννῆσθαι τὸν ἄνθρωπον, ἵνα Χριστὸς ἐν αὐτῷ δοξασθῇ, πάλιν ἐροῦμεν αὐτοῖς Ἆρα οὖν ὦ γενναῖοι μόνος ἦν ἐκεῖνος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ τυφλὸς ἐκ γενετῆς, κατὰ τὸν τῆς παρου σίας τοῦ Σωτῆρος ἡμῶν καιρὸν, ἄλλος δὲ οὐδεὶς τὸ παράπαν; ἀλλ' οἶμαι καὶ οὐχ ἑκόντες ὁμολογήσονται ὡς ἦν δὲ καί που σφόδρα εἰκὸς οὐκ εὐαρίθμητον ἐν ὅλῃ τῇ χώρᾳ τῶν τοιούτων εἶναι τὴν πληθύν. πῶς οὖν εἰς ἕνα καὶ μόνον, ἢ καὶ εἰς ἑτέρους τὸν ἀριθμὸν βραχεῖς ἡ ἐπίδειξις, ἤτοι φιλοτιμία, γέγονε τοῦ Χριστοῦ; ἀλλ' οἶμαί γε δὴ καὶ τὸ ἐπὶ τούτοις ὅλως διατείνεσθαι περιττόν. οὐκοῦν ὡς εὔηθες κομιδῇ παρω σάμενοι τὸ ἐξ ἀρχῆς, ἐροῦμεν ὡς ἀληθὲς, ὅτι τοσοῦτον ἡμῖν ἀποκαλύψας ἐν τοῖς ζητουμένοις ὅσον ἔδει μαθεῖν, ἀπονεύει πρὸς ἕτερον λόγον τῆς ἐν τούτοις ἐρεύνης εὐφυῶς ὑπεξάγων τὸν ἴδιον μαθητήν. Ἡμᾶς δεῖ ἐργάζεσθαι τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔργα τοῦ πέμψαντος ἡμᾶς ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. Ἰδοὺ δὴ λίαν ἐν τούτοις σαφῶς τε καὶ ἐπιεικῶς μονον ουχὶ καὶ ἕτερον ὑποπλήττει τοὺς μαθητὰς ὡς ἕτερόν τι τραπομένους παρ' ὅπερ ἐχρῆν, καὶ ἁμαξιτὸν μὲν ἀφέντας 2.153 τὴν εὐτριβῆ τε καὶ βάσιμον, ὁδὸν δὲ ὥσπερ τὴν κατ' οὐδὲν αὐτοῖς πρέπουσαν ἰέναι θαρσήσαντας. τί γὰρ ζητεῖτε, φησὶν, ἃ σιωπᾶσθαι καλόν; τί δὲ τὸ τῷ καιρῷ πρέπον ἀφέντες, μανθάνειν ἐπείγεσθε τὰ ὑπὲρ ἀνθρώπου διάνοιαν; οὐ τῆς ἐπὶ τούτοις ἐρεύνης, ἀλλ' ἔργου, φησὶ, καὶ συντόνου σπουδῆς ὁ καιρός· δεῖν γὰρ οἶμαι μᾶλλον τὰ περὶ τούτων ἀνέντας φιλοπευστεῖν, ἐξανύσειν ἐπείγεσθαι τὰ προστεταγμένα παρὰ Θεοῦ, καὶ ἐπείπερ ἡμᾶς ἀνέδειξεν ἀποστόλους, τὰ τῆς απο στολῆς ἔργα πληροῦν. ἑαυτὸν δὲ τοῖς ἀπεσταλμένοις συν αναπλέκων ὁ Κύριος, καὶ τοῖς ὀφείλουσιν ἐργάζεσθαι τίθησιν ἀριθμὸν, οὐχὶ πάντως ὡς μεθ' ἡμῶν, ἢ ὡς εἷς ἐξ ἡμῶν ἐξ ἀνάγκης δουλοπρεποῦς τοῖς τοῦ προστεταχότος θελήμασιν ὑποκείμενος τὰ τοιαῦτά φησιν· ἀλλὰ σύνηθές τι τῷ λόγῳ καὶ παρ' ἡμῖν τετριμμένον σχῆμα τετηρηκώς. εἰθίσμεθα γάρ πως, ἐπὰν μάλιστα τὰ τοῦ πλήττειν τοὺς ἀκροωμένους ὁ λόγος μὴ ὑπάρχῃ γυμνὸς, ἑαυτοὺς ἐκείνοις συνδεῖν τε καὶ συνεισφέρειν, καθάπερ οὖν ἀμέλει καὶ ὁ σοφώτατος Παῦλος Κορινθίοις προσλαλῶν, ὡς ἐφ' ἑαυτοῦ τε καὶ Ἀπολλὼ, τὸ τελευταῖον ἐπήνεγκεν "Ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα "εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ "ἃ γέγραπται φρονεῖν." ἕως τοίνυν ἡμέρα ἐστὶ, φησὶν, ἐργα ζώμεθα τὰ ἔργα τοῦ πέμψαντος ἡμᾶς· ἥξει γὰρ νὺξ ὅτε οὐδεὶς ἐργάσασθαι δύναται. καὶ ἡμέραν μὲν ἐν τούτοις τὸν τῆς ἐνσωμάτου ζωῆς ὀνομάζει καιρόν· νύκτα δέ γε τὸν ἐν θανάτῳ χρόνον. ἐπειδὴ γὰρ ἡμέρα τοῖς ἔργοις μὲν ἀπενε μήθη, νὺξ δὲ ἀργίᾳ καὶ ὕπνῳ, διὰ τοῦτο τὸν μὲν τῆς ζωῆς χρόνον καθ' ὃν ἐργάζεσθαι δεῖ τὸ ἀγαθὸν, ἡμέραν εἶναί φασι, νύκτα δὲ τὸν ἐν τῇ κοιμήσει καιρὸν, καθ' ὃν οὐδὲν ἔστιν ἐργάσασθαι παντελῶς· "Ὁ γὰρ ἀποθανὼν δεδικαί 2.154 "ωται ἀπὸ τῆς ἁμαρτίας," κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἀπὸ τοῦ μηδὲν δύνασθαι δρᾶν ἔξω καὶ τοῦ πλημμελεῖν εὑρισκόμενος. Οἶδεν μὲν οὖν οἶδεν ἡ θεῖα γραφὴ καὶ ἡμέρας τῆς νοητῆς ἕτερον λόγον, καὶ νύκτα δὲ οὐδὲν ἧττον παρὰ ταύτην ἑτέραν. ἀλλ' ἐν καιρῷ τῷ πρέποντι τῶν νοημάτων ἕκαστον παρα δεχθὲν, ἀπλανῆ τῶν ζητουμένων τὴν θεωρίαν ἐκφαίνει. τὸ δὲ ἐφ' ἃ μὴ προσῆκε, καὶ ὅτε μὴ δεῖ περιέλκειν πειρᾶσθαι βιαίως εἰς πνευματικὴν ἑρμηνείαν τὸ ἱστορικῶς ὠφελοῦν, οὐδὲν ἕτερόν ἐστιν, ἢ συγχεῖν ἁπλῶς τὸ ἀπεριέργως λυσι τελοῦν, καὶ τὸ χρήσιμον αὐτόθεν ἐκ πολλῆς σφόδρα τῆς ἀμαθίας καταθολοῦν. Ὅταν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου. Ἆρα γὰρ ὅλως οὐκ εἶναί ποτε νομιοῦμεν ἐν τῷ κόσμῳ Χριστὸν, ἢ ἀναληφθέντα πρὸς οὐρανὸν μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, οὐκ ἐνδημεῖν ἔτι τοῖς ἐν τῷδε τῷ βίῳ πιστεύομεν; καίτοι Θεὸς ὑπάρχων ἀληθινὸς οὐχ ὅπως οὐρανοὺς καὶ τὰ ἐπέκεινα τοῦ στερεώματος μόνον, ἀλλὰ καὶ τὴν καθ' ἡμᾶς οἰκουμένην πληροῖ τε καὶ περιέπει· καὶ ὥσπερ ἐν τῷδε τῷ κόσμῳ μετὰ σαρκὸς ἀνθρώποις συνδιαιτώμενος τῶν οὐρανῶν οὐκ ἀπελιμπάνετο, οὕτω διακεισόμεθα φρονοῦντες ὀρθῶς, ὅτι κἂν ἐκ τοῦ κόσμου γένηται διὰ τὴν σάρκα, παρέσται πάλιν οὐδὲν ἧττον τοῖς ἐν αὐτῷ καὶ ἐπιστατήσει τοῖς ὅλοις ἡ θεία τε καὶ ἄῤῥητος αὐτοῦ φύσις οὐδενὸς ἀποδημοῦσα τῶν ὄντων, ἢ ἀπολιμπανομένη τινὸς, πανταχῆ δὲ τοῖς πᾶσι παροῦσα· καὶ πληροῦσα μὲν τόδε τὸ σύμπαν καὶ τὸ ὑπὲρ τοῦτο νοούμενον, χωρουμένη δὲ ὑπὸ μόνης ἑαυτῆς. Τί οὖν ἐστιν ὅ φησιν ἐν τούτοις ὁ Κύριος ἀκόλουθον 2.155 συνιδεῖν. ὡς ἕωλον ἀνατρέψας τὴν Ἰουδαίων ὑπόνοιαν, καὶ σαθροῖς ἐναφραίνοντας ἀποδείξας δόγμασι, συμβουλεύσας τε τοῖς ἑαυτοῦ μαθηταῖς ὅτι πρέποι μᾶλλον αὐτοὺς ἐργά ζεσθαι φιλεῖν τὰ δοκοῦντα Θεῷ, καὶ ἀπομαθεῖν ἐπείγεσθαι τὸ ζητεῖν ὅλως τὸ ὑπερτεροῦν, καταπτοήσας δέ πως ὡς παρε λάσει δρῶντας οὐδὲν ὁ τῶν ἔργων καιρὸς, εἰ μὴ πᾶσαν ποιοῖντο σπουδὴν εἰς τὸ θέλειν εὐδοκιμεῖν, ὡς εἰσὶν ἐν τῷδε τῷ κόσμῳ μετὰ σαρκὸς, ἑαυτὸν εἰς εἰκόνα λαμβάνει τοῦ πράγματος. ἰδοὺ γὰρ κἀγὼ, φησὶ, τὸ ἐμαυτῷ πρέπον ἐργά ζομαι, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπείπερ ἀφῖγμαι φωτίσων τὰ ἐν ἐνδείᾳ φωτὸς, δεῖ με καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς, εἰ φωτὸς νοσοῖεν τὴν ἀπευκτὴν ἐρημίαν, ἐνοικίζειν τὸ φῶς, ὅταν μάλιστα τῶν πεπονθότων προσίωσί τινες. Ἐκληψόμεθα τοιγαροῦν ἱστορικώτερον, καὶ ὡς ἐν ἁπλῷ λόγῳ τὸ εἰρημένον· ὅτι γάρ ἐστι καὶ φῶς νοητὸν ὁ Μονο γενὴς καταφωτίζειν εἰδὼς καὶ δυνάμενος, οὐ τὰ ἐν τῷδε τῷ κόσμῳ μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ὑπερκόσμιον κτίσιν, οὐκ ἀμφίβολον· πρὸς δὲ τὴν τῶν ἐν χερσὶ θεωρίαν τὴν ἐκ τῶν λαλουμένων διάνοιαν συναρμόζοντες, οὐκ ἀπί θανον οἶμαί τι δρῶντες ἁλωσόμεθα. Ταῦτα εἰπὼν ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισεν αὐτοῦ τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς, καὶ εἶπεν αὐτῷ Ὕπαγε νίψαι εἰς τοῦ Σιλωὰμ τὴν κολυμβήθραν, ὃ ἑρμη νεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων. Εἰς τύπον τῆς τῶν ἐθνῶν κλήσεως τὴν ἐπὶ τῷδε τῷ τυφλῷ θεραπείαν παραδεξάμενοι, πάλιν ἐροῦμεν ὡς ἐν βραχέσιν ἀνακεφαλαιούμενοι τοῦ μυστηρίου τὸν λόγον. 2.156 πρῶτον μὲν ὅτι παρατρέχων, καὶ τὸ παρὰ τοῖς Ἰουδαίοις ἀφεὶς ἱερὸν, ὁρᾷ τὸν τυφλὸν, εἶτα τούτῳ κἀκεῖνο χρησίμως ἐποίσομεν, ὡς παρακλήσεως δίχα, καὶ οὐδενὸς ἐκλιπαροῦντος αὐτὸν, ἐθελουργῷ δὲ μᾶλλον καὶ αὐτοκελεύστῳ ῥοπῇ πρόσ εισιν ὁ Σωτὴρ ἐπὶ τὸ θέλειν ἰάσασθαι τὸν ἄνθρωπον, σημεῖον ὥσπερ καὶ τοῦτο τιθεὶς ὡς οὐδεμιᾶς ἐκ τῆς τῶν ἐθνῶν πληθύος παρακλήσεως γεγενημένης· πάντες γὰρ ἦσαν ἐν τῇ πλάνῃ· Θεὸς ὑπάρχων καὶ ἀγαθὸς κατὰ φύσιν, αὐτόκλητος ὥσπερ ἐπὶ τὸν ἐπ' αὐτοῖς ἔλεον παρελήλυθε. πῶς γὰρ ἂν ὅλως ἢ κατὰ τίνα τρόπον ἐξήτησε παρὰ Θεοῦ τὸν ἔλεον ὁ πολύχους τῶν Ἑλλήνων ἀριθμὸς, ἤτοι τῶν ἐθνῶν, ἀσυγκρίτοις ἀμαθίαις κατακεχωσμένον ἔχων τὸν νοῦν, ὡς μηδόλως ὁρᾶν δύνασθαι τὸν φωτιστήν; ὥσπερ οὖν ἀμέλει καὶ ὁ τεθεραπευμένος τυφλὸς οὐκ οἶδε τὸν Ἰησοῦν, ἐλέῳ δὲ καὶ φιλανθρωπίᾳ τὸ παρ' ἐλπίδα κερδαίνει· ὃ καὶ τοῖς ἔθνεσιν ὑπήρχθη διὰ Χριστοῦ. ἐν σαββάτῳ γεμὴν τὰ τῆς θεραπείας τελεῖται, τύπον ἡμῖν ἐν τούτοις ἀποπληροῦν ἰσχύοντος τοῦ σαββάτου τοῦ τελευταίου καιροῦ τοῦ παρ όντος αἰῶνος, καθ' ὃν τοῖς ἔθνεσιν ἐπέλαμψεν ὁ Σωτήρ· τέλος μὲν γὰρ ἑβδομάδος τὸ σάββατον, ἐπιδεδήμηκε δὲ καὶ ἐπεφάνη πᾶσιν ἡμῖν ὁ Μονογενὴς ἐν ἐσχάτῃ ὥρᾳ, καὶ ἐν τελευταίοις τοῦ αἰῶνος καιροῖς. ἀλλὰ καὶ τὸν τῆς ἰάσεως τρόπον ἄξιον ὄντως ἀποτεθηπότας εἰπεῖν "Ὡς ἐμεγαλύνθη "τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας." Τοῦ γὰρ χάριν, ἐρεῖ τις τυχὸν, καίτοι λόγῳ πάντα κατορ θοῦν εὐκόλως δυνάμενος, ἀναφύρει μὲν πηλὸν ἀπὸ τοῦ πτύσ 2.157 ματος, καταχρίσας δὲ τοῦ πεπονθότος τοὺς ὀφθαλμοὺς, καὶ ἐργωδέστερόν τι προσεπιτάττων ὁρᾶται. ὕπαγε νίψαι γάρ φησιν εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ. ἀλλ' οἶμαι βαθύς τις τοῖς εἰρημένοις ἐγκέχωσται λόγος· ἐπιτελεῖ γὰρ εἰκαῖον οὐδὲν ὁ Σωτήρ. καταχρίει μὲν γὰρ τῷ πηλῷ τὸ λεῖπον ὥσπερ καὶ ἡμαρτημένον τῇ τοῦ ὄμματος φύσει προστιθεὶς, καὶ δεικνὺς διὰ τούτου, ὡς αὐτὸς ἦν ὁ πλάσας ἡμᾶς ἐν ἀρχῇ, κτίστης τε καὶ δημιουργὸς τοῦ παντός. ἔχει δέ τινα καὶ λόγον μυστικὸν ἡ τοῦ πράγματος δύναμις· τί γὰρ δὴ πρὸς τοῦτό φαμεν, ἢ τί νοεῖν ἐπ' αὐτῷ διεσκέμμεθα, πάλιν ἐροῦμεν. οὐκ ἦν ἑτέρως τὰ ἔθνη δύνασθαι τὴν ἐπισκήψασαν αὐτοῖς ἀποκρούσασθαι τυφλότητα, καὶ τὸ θεῖόν τε καὶ ἅγιον ἐπαθρῆσαι φῶς, τουτέστι, τὴν τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος γνῶσιν ἀναλαβεῖν, εἰ μὴ γέγονε μέτοχα τῆς ἁγίας αὐτοῦ σαρκὸς, καὶ ἀπελούσατο τὴν καταμελαίνουσαν ἁμαρ τίαν, ἀπεδύσατο δὲ τοῦ διαβόλου τὴν ἐξουσίαν διὰ τοῦ ἁγίου δηλονότι βαπτίσματος. ἐπειδὴ δὲ πρόωρον τοῦ μυστηρίου τὸν τύπον τῷ τυφλῷ ἐνεχάραττεν ὁ Σωτὴρ, ἀπεπλήρου τέως τῆς μετοχῆς τὴν δύναμιν διὰ τῆς ἐπιχρίσεως τοῦ πτύσματος. εἰς εἰκόνα γεμὴν τοῦ ἁγίου βαπτίσματος τὸ ἐν τῷ Σιλωὰμ ἀπονίπτεσθαι δραμόντα κελεύει, οὗ καὶ ἀναγκαίως διερμη νεύει τοὔνομα σοφὸς ἄγαν ὢν καὶ πνευματοφόρος ὁ Εὐαγγε λιστής. λογιζόμεθα γὰρ ἕτερον οὐδένα τὸν ἀπεσταλμένον ὑπάρχειν, ἢ τὸν ἐπ' ὀλέθρῳ τῆς ἁμαρτίας καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ἄνωθεν ἡμῖν καὶ παρὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατρὸς ἐπιφοι τήσαντά τε καὶ ἀπεσταλμένον Θεὸν Μονογενῆ, αὐτόν τε τοῖς ὕδασιν ἀοράτως ἐπινήχεσθαι τῆς ἁγίας κολυμβήθρας γινώ σκοντες, λουόμεθα μετὰ πίστεως, οὐκ εἰς ἀπόθεσιν ῥύπου 2.158 σαρκὸς, κατὰ τὸ γεγραμμένον, ἀλλ' ὥσπερ λύμην τινὰ καὶ ἀκαθαρσίαν τῶν τῆς διανοίας ὀμμάτων ἐκπλύνοντες, ἵνα λοιπὸν καθαροὶ καθαρῶς τὸ θεῖον ἐπαθρεῖν ἰσχύσωμεν κάλλος. ὅνπερ οὖν τρόπον ζωοποιὸν εἶναι πιστεύομεν τὸ σῶμα Χριστοῦ, ἐπείπερ ἐστὶ τοῦ ζῶντος Θεοῦ Λόγου ναός τε καὶ ἐνδιαίτημα, πᾶσαν ἔχων αὐτοῦ τὴν ἐνέργειαν, οὕτως εἶναί φαμεν καὶ φωτισμοῦ πρόξενον· σῶμα γάρ ἐστι τοῦ κατὰ φύσιν καὶ κατὰ ἀλήθειαν φωτός. καὶ ὥσπερ ὅτε τεθνεῶτα διανίστη τὸν μονογενῆ τῆς χήρας υἱὸν, οὐκ ἠρκέσθη μόνῳ τῷ προστάξαι καὶ εἰπεῖν "Νεανίσκε, σοὶ "λέγω, ἐγέρθητι," καίτοι λόγῳ πάντα κατορθοῦν εἰθισμένος ὅσαπερ ἂν βούλοιτο, ἀλλ' ἐπετίθει τῇ σορῷ καὶ τὴν χεῖρα, δεικνὺς ὅτι καὶ τὸ σῶμα αὐτοῦ τὴν ζωοποιὸν ἐνέργειαν ἔχει· οὕτω κἀνθάδε καταχρίει τῷ πτύσματι, διδάσκων ὅτι καὶ φωτισμοῦ πρόξενον καὶ διὰ ψιλῆς τῆς ἁφῆς τὸ σῶμα αὐτοῦ ἐστι. σῶμα γάρ ἐστι φωτὸς ἀληθινοῦ, καθάπερ εἰρήκαμεν. ἄπεισι γεμὴν ὁ τυφλὸς ᾗ τάχος ἀπονιψάμενος, καὶ ἀμελλητὶ τὸ προσταχθὲν ἀποπληροῖ, δεικνὺς ὥσπερ ἐν ἑαυτῷ τὴν τῶν ἐθνῶν εὐπείθειαν περὶ ὧν γέγραπται "Τὴν ἑτοιμασίαν τῆς "καρδίας αὐτῶν προσέσχε τὸ οὖς αὐτοῦ." σκληροκάρδιοι μὲν οὖν οἱ τάλανες Ἰουδαῖοι, τρυφεροὶ δὲ παντελῶς εἰς ὑπακοὴν καὶ δι' αὐτῆς μαρτυροῦνται τῆς πείρας οἱ ἐξ ἐθνῶν. ἀναμύει δὲ παραχρῆμα τὴν τυφλότητα τῷ πηλῷ συναπονιψάμενος ὁ ἀνὴρ, καὶ ὑποστρέφει βλέπων. οὐ γὰρ ἦν ἑτέρως γενέσθαι παρὰ τὸ δοκοῦν τῷ Χριστῷ. καλὴ τοιγαροῦν ἡ πίστις, ἰσχύειν ἐν ἡμῖν τὴν θεόσδοτον χάριν παρασκευάζουσα, καὶ τὸ διψυχεῖν ἐπιζήμιον. "Ὁ γὰρ 2.159 "δίψυχος ἀνὴρ ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ," καθὰ γέγραπται, καὶ λήψεται παρὰ Κυρίου παντελῶς οὐδέν. Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι προσαίτης ἦν, ἔλεγον Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; ἄλλος ἔλεγεν Οὐχὶ, ἀλλ' ὅμοιος αὐτῷ ἐστιν. ἐκεῖνος ἔλεγεν ὅτι ἐγώ εἰμι. Δυσπαράδεκτά πως εἰς πίστιν τὰ τῶν θαυμάτων ὑπερ φερῆ, καὶ τὸ μηδαμόθεν ...... οὐκ ἀταλαίπωρον ἐφ' ἑαυτῷ τὴν σύνεσιν ἔχει, τιμᾶται δὲ μόλις ἀπεριέργως εἰσκο μισθὲν ταῖς τινῶν διανοίαις. τὸ γὰρ βασανίζειν πειρᾶσθαι τὰ ὑπὲρ νοῦν δεῖν καὶ λόγον, εὐηθείας οὐ μακράν. ἐντεῦθεν οἶμαι καὶ ἀπιστῆσαί τινας τῶν εἰδότων μὲν πρότερον τὸν ταῖς τριόδοις ἐμφιλοχωροῦντα τυφλὸν, κατατεθηπότων δὲ αὖθις, ἐπείπερ αὐτὸν ἀδοκήτως φαιδρῷ διαπρέποντα βλέ πουσιν ὀφθαλμῷ. καταμερίζονται δὲ πρὸς ἐνδοιασμὸν ἀπὸ τοῦ συμβεβηκότος, καὶ οἱ μὲν τῷ μεγέθει τοῦ πράγματος ἐνορῶντες ἀκριβέστερον, οὐδὲ αὐτὸν εἶναι τὸν ἄνθρωπον, ἐμφερῆ δὲ λίαν τῷ γινωσκομένῳ φασί. καὶ γὰρ δὴ καὶ ὄντως οὐκ ἀπεικός τι παθεῖν ἐν τούτοις τινὰς πρὸς τὸ καὶ αὐτὴν παραιτεῖσθαι τὴν ἀλήθειαν, τῷ μεγέθει τῆς θεοσημείας εἰς ἀνεθέλητον ὥσπερ ἐξωθουμένους ψευδομυθίαν. ἕτεροι δὲ τῶν εὐμαθεστέρων μελλησμῶν ἐλευθέραν ποιοῦνται τὴν σύνεσιν, αἰδοῖ δὲ καὶ φόβῳ τὸ θαῦμα τιμήσαντες αὐτὸν ἐκεῖνον εἶναί φασι. λύει δὲ παραχρῆμα τὸ ζητούμενον ὁ τεθεραπευμένος, ἀξιολογωτάτην ἐφ' ἑαυτῷ τὴν ἰδίαν εἰσ φέρων ὁμολογίαν. οὐ γὰρ ἂν ἑαυτὸν ἠγνόησέ τις, οὐδὲ εἰ σφόδρα νοσοῖ τὸ ληρεῖν. πανταχόθεν δὲ τῷ θαυματουργῷ 2.160 τὸ ἐν μεγάλοις ὁρᾶσθαι προξενεῖ δι' ὑπερβολὴν δυνάμεως ἀπιστούμενον τὸ παράδοξον. Ἔλεγον οὖν αὐτῷ Πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; Συννεύουσι μόλις αὐτὸν ἐκεῖνον εἶναι πιστεύσαντες, ὃν ἐγίνωσκον ἐξ ἀρχῆς, καὶ τὸ περὶ τούτων ἀφέντες ἀμφιγνοεῖν, ἐρωτῶσιν ὅπως τὴν τυφλότητα διεκρούσατο, καὶ τίς ὁ τρόπος τοῦ παρ' ἐλπίδα πράγματος. ἐν ἔθει γάρ πως ἀεὶ τοῖς θαυμάζουσι τὸ φιλοπευστεῖν ἀκριβέστερον, καὶ τῶν δρω μένων τὸν τρόπον περιεργάζεσθαι· ὃ δὴ καὶ αὐτὸ ποιεῖν ἐγνώκασιν οὐκ ἀθεεὶ, κατά γε τὸν ἡμέτερον νοῦν, ἀλλ' ἵνα καὶ οὐχ ἑκόντες μανθάνωσι τοῦ Σωτῆρος ἡμῶν τὴν δύναμιν, ἐκδιηγουμένου καὶ σαφῶς αὐτοῖς διαγγέλλοντος τοῦ τυφλοῦ, ὅπερ εἰς εἰκόνα λήψῃ καλὴν τοῦ γενέσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διδασκάλους τοῖς ἐξ Ἰσραὴλ τοὺς ἐξ ἐθνῶν ἐπιστρέψαντας, καὶ τὴν μὲν ἀρχαίαν διαδράντας τυφλότητα, τὸν δὲ παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ διὰ τοῦ Πνεύματος ἀποκερδάναντας φω τισμόν. ὅτι δὲ τὸ εἰρημένον ἀληθές ἐστιν, αὐτὰ βοήσει τὰ πράγματα. Ἀπεκρίθη ἐκεῖνος Ἄνθρωπος ὁ λεγόμενος Ἰησοῦς πηλὸν ἐποίησε καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέ μοι Ὕπαγε νίψαι εἰς τὸν Σιλωάμ. ἀπελθὼν οὖν καὶ νιψάμενος ἀνέβλεψα. Ὅτι μὲν Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Σωτὴρ ἀγνοῶν ἔτι φαίνεται· οὐ γὰρ ἂν οὕτω μικροπρεπῶς ἐλάλησε περὶ αὐτοῦ· ἔοικε δέ πως ὡς περί τινος τῶν ἁγίων τὸ ἐπ' αὐτῷ φρονεῖν καὶ λογίζεσθαι, ἐξ ἀμυδροτέρας ὡς εἰκὸς καὶ τοῦτο φήμης ἑλὼν περιφοιτώσης ἅπασαν τὴν Ἱερουσαλὴμ, καὶ ἐκτεθρυ 2.161 λημένης τῆς ἐπ' αὐτῷ λαλιᾶς πανταχῇ. ἄλλως τε καὶ οὐ σφόδρα διὰ σπουδῆς ὑπάρχον ὁρῶμεν τοῖς καὶ τὸ σῶμα λελωβημένοις καὶ ἀκράτῳ μαχομένοις ἐνδείᾳ, τὸ περὶ γνῶσιν ἀσχολεῖσθαι τὴν τινῶν, δαπανώσης ὥσπερ ὅλην αὐτῶν τὴν φροντίδα τῆς ἀγοητεύτου πενίας. ἁπλούστερον τοίνυν καὶ ἄνθρωπον ἀποκαλεῖ, καὶ τὸν τῆς ἰάσεως ἐξηγεῖται τρόπον. ἔδει μὲν γὰρ τῷ μεγέθει τοῦ θαύματος ἀναπεπεισμένον τὴν ὑπὲρ ἀνθρώπων φύσιν χαρίζεσθαι δόξαν τῷ τερατουργῷ, τῷ γεμὴν δύνασθαι τοὺς ἁγίους ἐνεργεῖν διὰ Θεοῦ τὰ παρά δοξα τὴν πίστιν ἐπιδιδοὺς, συναρπάζεταί πως πρὸς τὸ ὑπάρχειν ἐκείνων ἕνα νομίζειν αὐτόν. Καὶ εἶπον αὐτῷ Ποῦ ἐστιν ἐκεῖνος; λέγει Οὐκ οἶδα. Οὐκ ἐκ φιλοθέου γνώμης ζητοῦσι τὸν Ἰησοῦν, ἀλλ' οὐδὲ ὅποι καὶ παρὰ τίσιν ἐποιεῖτο τὰς διατριβὰς ἐπείγονται μαθεῖν, ἵνα τι τῶν συντελούντων εἰς ὄνησιν περιτυχόντες αἰτήσειαν, πεπηρωμένοι δὲ τῆς διανοίας τὸν ὀφθαλμὸν, καὶ πολὺ χειρόνως ἤπερ ἐκεῖνός ποτε τὸν τοῦ σώματος, πρὸς ἀδικωτάτην ὀργὴν ἀνακαίονται, καὶ θηρίων ἀτιθάσων ἀναπη δῶσι δίκην, λελύσθαι νομίζοντες παρὰ τοῦ Σωτῆρος ἡμῶν νομικὴν ἐντολὴν τὴν ἐπὶ τὸ χρῆναί φημι μηδὲν ἐν σαββάτῳ τὸ παράπαν ἐργάζεσθαι διηγορευμένην. λελυττήκασι δὲ οὐ μετρίως, ἐπείπερ ὅλως πηλοῦ θιγεῖν ἀπετόλμησε, περιτρίψας δακτύλῳ τὴν γῆν, καὶ προσέτι τοῦτο καὶ ἀπονίψασθαι δεῖν ἐν σαββάτῳ τὸν ἄνθρωπον διετάξατο. διάτοι τοῦτο καὶ τὸν ἐξ ὀργῆς καὶ ἀπονοίας ἐρεύγονται λόγον τό Ποῦ ἐστιν ἐκεῖνος 2.162 ἀναισχύντως λέγειν οὐ παραιτούμενοι. ᾧ γὰρ ἦν εἰκὸς καὶ πλουσίαν ὀφείλεσθαι δόξαν τὴν ἐκ μικρυσμοῦ λοιδορίαν προσάπτουσι· καίτοι θαυμάσαι δέον εἴπερ ἦσαν ἀγαθοὶ, καὶ τοῖς προσήκουσιν ἐπαίνοις τὴν τοῦ Θεοῦ δύναμιν κατα στέφειν εἰδότες, ἀλλ' ὅπερ ἦν οἶμαι δίκαιον αὐτοὺς φρονεῖν τε καὶ δρᾷν ἐξ ἀμετρήτου κακοβουλίας παρωθούμενοι, εἰς ἄκαιρον παρατρέπονται ζῆλον, καὶ ὅτι προσῆκεν ἀδικουμένῳ τρόπον τινὰ συνειπεῖν τῷ νόμῳ κιβδήλως διενθυμούμενοι, ζητοῦσιν ὡς ἐργασάμενον ἐν σαββάτῳ τὸν Ἰησοῦν καὶ τὴν οὕτως ἀξιάγαστον ἐντολὴν ἀδικήσαντα διὰ τοῦ θεραπεῦσαι τὸν ἄνθρωπον. εἰκὸς γὰρ δήπου νομίζειν αὐτοὺς, ἀπηνῆ τινα καὶ οὐ φιλοικτίρμονα τὸν Θεὸν ὑπάρχειν ἐν σαββάτῳ, ἀγανακτεῖν δὲ σφόδρα κἂν βλέπῃ σωζόμενον τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν τὴν αὐτοῦ γεγονότα, δι' ὃν καὶ τὸ σάββατον· "Κύριος γάρ ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ "ἀνθρώπου," κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους τόν ποτε τυφλόν. ἦν δὲ σάββατον ἐν ᾗ ἡμέρᾳ τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς καὶ ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς. Ἀποκομίζουσι τοῖς ἡγουμένοις τὸν ἄνθρωπον, οὐχ ἵνα τὰ ἐπ' αὐτῷ μαθόντες θαυμάσωσιν· οὐ γὰρ ἦν εἰκὸς ἐπί τινι τῶν τοιούτων ἡσθῆναί ποτε τοὺς ἀσύγκριτον ὠδίνοντας φθόνον κατὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ἀλλ' ὡς ἔνδηλον καταστήσοντες, καθάπερ ᾤοντο, τὴν παρανομίαν αὐτοῦ, καὶ κατηγορήσοντες ὡς ἠδικηκότα διὰ τὸ εἰργάσθαι πηλὸν ἐν σαββάτῳ. τὸ γὰρ ἐπὶ τῷ παραδόξῳ θαῦμα λακτίσαντες, ὡς πλημμελείας τοῦ πράγματος ἐπιδράττονται, ἔλεγχον ὥσπερ τῶν δεδραμένων παραδεικνύντες τὸν ἄνθρωπον, ἐφ' ᾧ τετόλ 2.163 μητο τὸ παράδοξον, ὁμοῦ δέ τι καὶ κατορθοῦν οἴονται συντελοῦν αὐτοῖς εἰς εὐσεβείας ὑπόληψιν ὡς ἐν ἔθεσιν Ἰουδαϊκοῖς, καὶ νομικὸν ἐπίταγμα διεξάγειν εἰς πέρας ἐπεί γονται. ἐν μὲν γὰρ τῷ Δευτερονομίῳ Θεὸς ὁ φύσει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀληθινὸς τὸ μὴ δεῖν ἑτέρωσε παραφέρεσθαί ποι τῶν φιλο θέων τὸν νοῦν ἐκδιδάσκων, μήτε μὴν παρ' αὐτὸν οἴεσθαί τινας εἶναι θεοὺς, προσεδρεύειν δὲ μόνῳ τῷ κατὰ ἀλήθειαν ἐπιτάττων, ἀλλὰ καὶ λίαν ἐκπικραίνεσθαι κατὰ τῶν ἕτερόν τι παρὰ τοῦτο φρονεῖν συμβουλεῦσαι τολμώντων, οὕτω φησίν "Ἐὰν δὲ παρακαλέσῃ σε ὁ ἀδελφός σου ἐκ πατρός σου ἢ "ἐκ μητρός σου, ἢ ὁ υἱός σου ἢ ἡ θυγάτηρ σου, ἢ ἡ γυνή "σου ἡ ἐν τῷ κόλπῳ σου, ἢ ὁ φίλος ὁ ἴσος τῇ ψυχῇ σου "λάθρα λέγων Πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, "οὐ συνθελήσεις αὐτῷ καὶ οὐκ εἰσακούσῃ αὐτοῦ, καὶ οὐ "φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ, καὶ οὐκ ἐπιποθήσεις "αὐτῷ οὐδὲ μὴ σκεπάσεις αὐτόν· ἀναγγέλλων ἀναγγελεῖς "τὰ περὶ αὐτοῦ." Ἰουδαῖοί τε πάλιν πρὸς μόνα βλέποντες τὰ ἑτέρων πταίσματα, καὶ τὸ καθ' ἑνὸς ὁρισθὲν πράγματος κατὰ παντὸς ἀσυνέτως ἐκδεξάμενοι, τοὺς ἁλόντας ἐπί τισι τοῖς ἔξω νόμου παρῆγον ἐπὶ τοὺς ἄρχοντας, τιμᾶν οἰό μενοι καὶ διὰ τούτου τὸν νομοθέτην. διὰ ταύτην οἶμαι τὴν αἰτίαν, τὸν μὲν Ἰησοῦν ἐζήτουν λέγοντες "Ποῦ ἐστιν "ἐκεῖνος;" ἀνευρεῖν δὲ οὐδαμόθεν ἰσχύσαντες, ἄγουσιν ὡς ἐν δευτέρᾳ τάξει τὸν ἐφ' ᾧ τὸ θαῦμα τετέλεστο, δι' οἰκείας ὥσπερ ἐπισφραγιοῦντα φωνῆς τὸ λελύσθαι τὸν νόμον ἐν τοῖς κατ' αὐτὸν παρὰ τοῦ θεραπεύσαντος ἐν σαββάτῳ. Ὅτι δὲ οὐ μετρίως ἀσχάλλουσι διὰ τὸ γενέσθαι πηλὸν ἐν σαββάτῳ σαφὲς ἡμῖν καθιστὰς ὁ μακάριος Εὐαγγελιστὴς, ἐπιτηδείως ἐπισημαίνεται τὴν τοῦ πράγματος γελοιότητα, 2.164 προσθεὶς τό Ἦν δὲ σάββατον ἐν ᾗ ἡμέρᾳ τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς. Πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ φαρισαῖοι Πῶς ἀνέβλεψας; Περιεργάζονται τῆς θεραπείας τὸν τρόπον, θερμότερον ὥσπερ ἐν ἑαυτοῖς τὸ ἐκ τῆς βασκανίας ἀνακαίοντες πῦρ, φιλοπευστοῦσι δὲ λίαν, οὐκ ἀγνοοῦντες δὲ ὥς γε μοι φαίνεται τὸ παράδοξον. πῶς γὰρ οὐκ εὔηθες παντελῶς τοὺς, οἵπερ ἦσαν ὡς αὐτοὺς ἀφιγμένοι ποτὲ τυφλὸν ἀπο φέροντες, μὴ οὐχὶ πάντως εἰπεῖν τῆς ἀπαγωγῆς τὴν αἰτίαν, ὥσπερ δὲ οὐκ ἀρκούντων ἐκείνων εἰς τὸ κατηγορεῖν τοῦ Χριστοῦ, καὶ αὐτὸν δι' οἰκείας ἀναγκάζουσι φωνῆς ὁμολο γῆσαι τὸ δεδραμένον, χαλεπωτέραν ἔσεσθαι τῆς συκοφαντίας τὴν δύναμιν διὰ τούτου πιστεύοντες. σύνες γὰρ ὅπως οὐ διερωτῶσιν ἁπλῶς εἰ τεθεράπευται μόνον, ζητοῦσι δὲ μᾶλλον πῶς ἀνέβλεψεν ἀκοῦσαι· τοῦτο δὲ ἦν ἐπακοῦσαι λίαν ἐσπου δακότων ὅτι πηλὸν ἐποίησε, καὶ ἔχρισέ μου τοὺς ὀφθαλμούς· ἐν τούτῳ γὰρ πᾶσαν κεῖσθαι τοῦ νόμου τὴν παράβασιν ἀσυνέτως ὑπελάμβανον καὶ, τοὺς ἄνωθεν διυβρίσθαι θεσμοὺς σκηπτόμενοι, ἀπασχάλλειν ἤδη δικαίως καὶ χρῆναι δίκας ἀπαιτεῖν τὸν λυπήσαντα διεσκέπτοντο. Ὁ δὲ εἶπεν αὐτοῖς Πηλὸν ἐπέθηκέ μου ἐπὶ τοὺς ὀφθαλμοὺς, καὶ ἐνιψάμην, καὶ βλέπω. Δέχονται προθύμως ὥσπερ τινὰ φθόνου τροφὴν τὴν ὁμολογίαν τοῦ θαύματος, καὶ ἀσμένως ἁρπάζουσι τῆς κατ' αὐτοῦ μανίας τὴν ὑπόθεσιν. ἁπλούστερον μὲν γὰρ ἐξηγεῖται τὸ συμβὰν ὁ πηρὸς τότε, καὶ κακοήθος σφόδρα φησὶν ὡς ἐν συντόμοις ὁμολογίαις ἀνυμνῶν ὥσπερ τὸν ἰατρόν· κατα 2.165 πλήττεται γὰρ τρόπον τινὰ τὴν τοῦ πράγματος φύσιν. ἐκεῖνό γε ὡς εἰκὸς διενθυμούμενος ὅτι πηλῷ καταχρίσας ἀσυνήθει φαρμάκῳ τὸ βλέπειν αὐτῷ παραδόξως ἐξήνυσεν· ἐκφαντικώτατα δέ μοι δοκεῖ καὶ ἐκ πικρῶν νοημάτων εἰπών Πηλὸν ἐποίησε καὶ ἔχρισέ μου τοὺς ὀφθαλμούς. ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις ὑπολάβοι λέγειν αὐτόν Οἶδα μὲν αὐτὸς εἰς φθονούντων ἐρῶν ἀκοὰς, τἀληθὲς δ' οὖν ὅμως οὐκ ἀποκρύ ψομαι. ἀμείψομαι ταῖς εὐχαριστίαις τὸν ἐμὸν εὐεργέτην, κρείττων ἔσομαι τῆς ἀκαίρου σιγῆς· τιμήσω ταῖς ὁμολογίαις τὸν ἰατρὸν, οὐ περίεργόν μοι τὸν τῆς ἰάσεως ἐπιτηδεύσαντα τρόπον, οὐ σιδήρῳ καὶ ἀνατομαῖς τὸ πρᾶγμα κινήσαντα, οὐ φαρμάκων καρυκείαις τὸ ὠφελοῦν ἐξαρτύσαντα, οὐ μεθόδῳ χρησάμενον ἐντριβεῖ, ξέναις δὲ μᾶλλον ἐπινοίαις ἰσχύσαντα. πηλὸν ἐποίησε καὶ ἔχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ ἐνιψάμην, καὶ βλέπω. ἔστι δέ πως θαυμάσαι καὶ σφόδρα δικαίως τὸν ἄνθρωπον τοῖς περὶ τούτων ῥήμασι καθάπερ τινὰ κορωνίδα χρησίμως τό Βλέπω προστεθεικότα, μόνον γὰρ οὐχὶ κἀν τούτῳ φησίν Οὐ ματαίαν ἀποφανῶ τὴν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεραπεύσαντος δύναμιν, οὐκ ἀρνήσομαι τὴν χάριν· ἔχω γὰρ ἤδη τὸ πάλαι ποθούμενον· αὐτὸς ἐγὼ, φησὶν, ὁ καὶ ἐν ὠδῖσιν τυφλὸς, ὁ ἐν ἐμβρύῳ καὶ μήτρᾳ νοσῶν, πηλῷ κατακεχρισμένος τεθερά πευμαι, καὶ βλέπω, τουτέστιν, οὐχ ἁπλῶς ἀνεῳγότα δεικνύω τὸν ὀφθαλμὸν, καλύπτων ἐν βάθει τὸν σκότον, ἀλλ' ὄντως ὁρῶ. ἔχω λοιπὸν ἐν ὄψει τὰ ἐν ψιλαῖς τοπρὶν ἀκοαῖς. ἰδοὺ λαμπρὸν ἡλίου περιαστράπτει με φῶς· ἰδοὺ ξένων θεαμάτων τὸν ἐμὸν ὀφθαλμὸν περιστοιχίζεται κάλλος. ἄρτι μόλις 2.166 ἔγνων τὴν Ἱερουσαλὴμ, καὶ βλέπω μὲν θεῖον ἐν αὐτῇ περια στράπτοντα ναὸν, ὁρῶ δὲ ἐν μέσῳ τὸ σεπτὸν ὄντως θυσια στήριον· κἂν ἐπέκεινα πύλης εὑρεθῶ, ὅλην ἐν κύκλῳ περια θρήσω τὴν Ἰουδαίαν, καὶ τί μὲν ὄρος ἐστὶ, τί δὲ φυτὸν ἐπιγνώσομαι. μεταμειβομένου δὲ τοῦ καιροῦ πρὸς ἑσπέραν, οὐκ ἔτι τὸν ἐμὸν ὀφθαλμὸν τὸ τῶν ἄνω θαυμάτων διαλήσεται κάλλος, οὐχ ὁ διαφανὴς τῶν ἀστέρων χορὸς, ἀλλ' οὐδὲ τῆς σελήνης τὸ πάγχρυσον σέλας. καταπλαγήσομαι διὰ τούτου τοῦ τεκτηναμένου τὴν τέχνην, ἀπὸ καλλονῆς κτισμάτων ἐπι γνώσομαι κἀγὼ τὸν Δημιουργόν. οὐκοῦν ὅσον ἧκεν εἰς πλάτος θεωρημάτων καὶ τὴν ἐν λόγοις κομψείαν, τοιαύτην τινὰ ὠδίνει δύναμιν τὸ εἰρημένον, αὐτό τε τό Βλέπω φημὶ καὶ τό Πηλὸν ἐποίησε καὶ ἔχρισέ μου τοὺς ὀφθαλμούς. οὐ γὰρ ἐξωθεῖται τὸ χαρίεν ἐν θεωρήμασιν, οὐδὲ ὡς κίβδηλον παραιτεῖται λόγος ὁ παρ' ἡμῖν, τουτέστιν, ὁ ἐκκλησιαστικός. οὐκοῦν ἀσυκοφάντητον ἀληθῶς τὴν τοῦ θεραπεύσαντος δύ ναμιν, ὅσον ἦν ἐν αὐτῷ, διατηρῶν τὰ τοιαῦτά φησιν, ὁ, ἐπείπερ ἠλεήθη παρὰ Χριστοῦ, παρὰ τοῖς ἱερεῦσι κρινό μενος. Ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινές Οὐκ ἔστιν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, ὅτι τὸ σάββατον οὐ τηρεῖ. Οὐκ εἶναί φασι ληροῦντες παρὰ Θεοῦ τὸν ᾧ πρόσεστιν ἐνεργεῖν δύνασθαι τὰ Θεοῦ, καὶ ἴσῳ δόξης μέτρῳ στεφανού μενον βλέποντες τῷ πάντα ἰσχύοντι Πατρὶ τὸν Υἱὸν, τὸν ἐπ' ἀσεβείᾳ μῶμον ἐπιῤῥιπτεῖν οὐκ αἰσχύνονται παραλόγως αὐτῷ, παρωσάμενοι δὲ τὴν ἐκ τοῦ παραδόξου βοὴν, τὸν οἰκεῖον ἀντεξάγουσι φθόνον τῷ θαυματουργῷ, καὶ κατηγο ροῦσιν ἀφυλάκτως ὡς πλημμελήσαντος τοῦ μὴ εἰδότος 2.167 ἁμαρτίαν. ὅλον δὲ παραλελύσθαι τὸν νόμον ἀσυνέτως πιστεύουσι δι' ἑνὸς δακτύλου κίνησιν ἐν σαββάτῳ τετολμη μένην, καίτοι τῆς φάτνης τὸν βοῦν ἀνιέντες αὐτοὶ, καὶ ἐφ' ὕδωρ ἀποκομίζοντες, ἀλλὰ καὶ εἰ πρόβατον εἰς βόθρον ἐμπέσοι, κατὰ τὸ γεγραμμένον, καὶ τοῦτο σὺν πολλῇ διανι στάντες σπουδῇ. οὐκοῦν διυλίζουσι τὸν κώνωπα, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· τοῦτο γὰρ ἦν ἐν αὐτοῖς ἐν ἔθει πολλῷ· ἀφρόνως δὲ σφόδρα καὶ λίαν ἀπεγνωσμένως οὐκ ἀποτιν νύντες τὸ θαῦμα Χριστῷ, οὐδὲ ἐκ τοῦ κατορθώματος, τίς ἂν εἴη λοιπὸν ἐπιγινώσκειν αὐτὸν ἀνεχόμενοι, μικρολογοῦσι διὰ τὸ σάββατον, καὶ ὥσπερ ἁπάσης κατορθουμένης αὐτοῖς ἀρετῆς διὰ μόνου τοῦ ἀργεῖν ἐν σαββάτῳ, τῆς πρὸς Θεὸν οἰκειότητος ὁλοκλήρως ἐκπέμπουσιν, οὐκ εἶναι λέγοντες αὐτὸν παρὰ Θεοῦ, καίτοι μᾶλλον ἐχρῆν τὸν τῶν ἰδίων κατεξουσιάζοντα νόμων ἤδη παρόντα νοεῖν, καὶ ὅτι φίλον μὲν καὶ αἱρετὸν τῷ Θεῷ τὸ καὶ ἐν σαββάτῳ ἀγαθουργεῖν, καὶ τὸν ἐλέου δεόμενον, τῆς ἐλπίδος οὐκ ἀφεῖναι κενόν. πότε γάρ τις οὐκ ἂν ἐπαινέσαι τὸν τῶν ἀγαθῶν ἐργάτην, ἢ ποῖος τῆς ἀρετῆς κατατυραννήσει καιρός; οἱ δὲ καίτοι τὸν ἀρχαῖον ἐκεῖνον θαυμάζοντες Ἰησοῦν ἑλόντα μὲν ἐν σαββάτῳ τὴν Ἱεριχὼ, δρᾶν δὲ τὰ τοῖς νικῶσι συνήθη τοῖς πατράσιν αὐτῶν διατεταχότα, καὶ παρ' οὐδὲν ὅλως τὸ ἀργεῖν ἐν σαββάτῳ χρῆναι ποιησάμενον, ἐπιφύονται τῷ Χριστῷ, καὶ ὅσον εἰς ἰδίαν κακόνοιαν, οὐκ ἐξωθεῖν ἐπείγονται μόνον τῆς θεοπρεποῦς δόξης αὐτὸν, ἀλλὰ καὶ τοῖς ἁγίοις πρεπούσης ἀποστεροῦσι τιμῆς. εἰκαιομυθεῖν δὲ σφόδρα διὰ μόνης τῆς σφῶν βασκανίας ἀναπειθόμενοι, τὴν ἐπ' ἀσεβείᾳ καταχέουσι ψῆφον τοῦ δικαιοῦντος τὸν κόσμον, καὶ διὰ τοῦτο παρὰ Πατρὸς ὡς ἡμᾶς ἀφιγμένου. 2.168 Ἄλλοι δὲ ἔλεγον Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; καὶ σχίσμα ἦν ἐν αὐτοῖς. Σμικρὰ μὲν ἔτι καὶ οὗτοι φρονοῦσιν ὡς ἐπ' ἀνθρώπῳ ψιλῷ λαλοῦντες καὶ λογιζόμενοι, πλὴν ἁλόντες τῷ θαύματι Χριστῷ τὸ νικᾶν ἢ νόμῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χαρίζονται, καὶ τὴν ἀπὸ τῆς θείας θεοσημίας ἐπίδειξιν τῆς κατὰ τὸ σάββατον ἀργίας ἤδη τιθέντες, ἐν ἀμείνοσιν ὀρθοὶ φαίνονται δικασταί. τὸ γὰρ ὅλως τοῦ πλημμελεῖν ὑπεξάγειν, καὶ ἁμαρτίας ἔξω ποιεῖν τὸν ὅτι προσήκοι καὶ ἐν σαββάτῳ τι δρᾶν οὐ παραιτούμενον, πῶς οὐ σφόδρα τοῖς ἐπὶ τῷ σαββάτῳ διωρισμένοις ἀνθο πλίζεται; λογισμῷ δὲ ὡς εἰκὸς ἀναγκαίῳ, καὶ πολλὴν ἐν ἑαυτῷ τὴν σύνεσιν ἔχοντι, πρὸς τὸ οὕτω διακεῖσθαι βαδί ζοντες τὰ τοιαῦτά φασι. πρόδηλον μὲν γὰρ καὶ ἀναμφι λόγως ὁμολογούμενον, ὅτι τοῖς τὸν θεῖον παραβλέπουσι νόμον, καὶ παρ' οὐδὲν τιθεμένοις τὰ διὰ τῆς ἄνωθεν ψήφου διωρισμένα, οὐκ ἂν ἐπιδοίη Θεὸς τὸ δύνασθαί τι πώποτε τῶν ἀξιαγάστων ἐπιτελεῖν. ἀλλ', ὡς Ἰουδαῖοι νομίζουσι, δέδωκε τοῦτο Χριστῷ, καίτοι τὸν ἐπὶ τῷ σαββάτῳ νόμον λυπή σαντι. οὐκ ἄρα τὸ ἐν σαββάτῳ τι δρᾶν κρατύνει πρὸς ἁμαρτίαν, ἀλλ' οὐδὲ ἀργίας τῆς ἐν αὐτῷ πολὺ δὴ κρείττονα τὴν ἐπ' ἀγαθοῖς ἐργασίαν [ἀμφιβάλοι τις ἄν]. καὶ γοῦν ὡς αὐτός που πάλιν φησὶν ὁ Σωτὴρ, ἱερᾶσθαι τοῖς λευίταις ἐφεῖται κατὰ τὸ σάββατον, καὶ ἀζήμιον ἔχουσι τὴν ἐπὶ τούτῳ σπουδὴν, μᾶλλον δὲ τὴν ἀργίαν οὐκ ἀζήμιον. αἰτιάσαιτο 2.169 γὰρ μὲν τίς αὐτοὺς βουθυτεῖν ἑλομένους κατὰ τὸ σάββατον, ἢ καὶ τοὺς τῶν ἄλλων θυσιῶν ἐπιτηδεύοντας τρόπους; ἐγκα λέσαι μὲν πάλιν μᾶλλον εἰκότως εἰ μὴ δρῷεν ἃ χρῆν, καὶ τοῖς τῆς λατρείας νόμοις ὠφείλετο. ὅτε τοίνυν τὰ ὑπὲρ τῆς τινων σωτηρίας κατὰ νόμον καθοσιούμενα ἀδιακωλύτως καὶ ἐν σαββάτῳ πρὸς τὸ θεῖον ἀναβαίνει θυσιαστήριον, πῶς οὐκ ἂν μᾶλλον ἐπιτελοῖτο πρεπωδέστερον ἡ εἰς ἄνθρωπον χάρις, δι' ὃν τὸ θαῦμα καὶ ἐν σαββάτῳ δεκτόν; λογισμῷ τοι γαροῦν τῷ πρέποντι πρὸς τὸ κρίνειν ἄριστα κεκλημένοι τῶν Ἰουδαίων τινὲς, καὶ μόλις τῆς τῷ ἔθνει προσούσης ἀμαθίας τὴν ἀχλὺν τῶν τῆς διανοίας ὀμμάτων ἀποπεμψάμενοι, τὴν τοῦ Σωτῆρος θαυμάζουσι δόξαν, εἰ καὶ οὔπω σφόδρα καλῶς· ἐλάττονα γὰρ ἤπερ ἐχρῆν λαλοῦσι περὶ αὐτοῦ, ἀποσχίζονται δὲ τῶν ἑτοίμως κατακρινόντων αὐτόν. οἱ μὲν γὰρ ἀνοσίως φθόνῳ τὸ νικᾶν ἢ λογισμῷ διδόντες τῷ πρέποντι, καὶ τὸ μηδαμόθεν ἐγκαλεῖσθαι πεφυκὸς εἰς παρανομίας δέχονται δύναμιν· οἱ δὲ τῇ φύσει τοῦ πράγματος ἐνορῶντες ὀρθῶς, τῆς ἐκείνων μωρίας καταδικάζουσιν. Εἰκὸς δὲ δήπου καὶ ἕτερόν τι κατορθοῦν ἑλομένους εἰπεῖν τό Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; ὅλῳ γὰρ, ὡς ἔπος εἰπεῖν, συναθλεῖν ἐπείγονται τῷ τῶν ἁγίων θεσμῷ. εἰ γὰρ ὅλως ἐξεῖναι, φασὶν, ἐπιτρέψομεν, καὶ τοῖς εἰωθόσι πλημμελεῖν τοῖς ὑπὲρ λόγον ἐπισεμνύνεσθαι, καὶ θαυμάτων ὁρᾶσθαι αὐτοὺς δημιουργοὺς, τί τὸ κωλύον ἔτι φανεῖται τοὺς φιλεγκλήμονας τῆς τῶν προφητῶν πληθύος κατηγορεῖν, ἢ καὶ αὐτῷ λοιπὸν ἐπιφύεσθαι τῷ μακαρίῳ Μωυσεῖ, καὶ ἐν μηδενὶ ποιεῖσθαι λόγῳ τὸν οὕτω σεπτὸν, εἰ καὶ ἐπὶ τοῖς ἁπάντων ἀρίστοις μαρτυροῖτο κατορθώμασιν; οὐκοῦν καὶ αὐτοὶ συναγορεύουσι τῇ τῶν πατέρων δόξῃ διὰ Χριστὸν, πρόφασιν ὥσπερ τινὰ τῆς εἰς ἐκείνους ἀγάπης καὶ τὰ ἐπ' αὐτῷ δεξάμενοι. 2.170 Λέγουσιν οὖν πάλιν τῷ τυφλῷ Τί σὺ λέγεις περὶ αὐτοῦ ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Παραπαίειν νομίζουσι τοὺς τὰ δίκαια κρίνειν προθυμου μένους· ἐπιλελῆσθαι δέ μοι δοκοῦσι παντελῶς τοῦ λέγοντος Κρῖμα δίκαιον κρίνατε, προκατειλημμένοι δὲ ὥσπερ τοῖς ἀπὸ φθόνου δεσμοῖς, φωνῆς ὅλως ἐπαΐειν τιμώσης Χριστὸν οὐκ ἀνέχονται, ἀλλ' ὥσπερ τινὰ τῶν αὐτοῖς πολεμιωτάτων τὸν τῶν παραδόξων συνειπεῖν θέλοντα παραιτούμενοι, καὶ μικρὰ τῆς ἑαυτῶν φροντίσαντες κεφαλῆς παρατρέπουσιν ἀλαζόνως τοὺς λόγους ἐπὶ τὸν ἄνθρωπον, ὃς ἦν τεθεραπευμένος, καὶ τὸ πολλάκις ἀκουσθὲν ἐρωτῶσιν εἰσαῦθις, προκεκληκότες μὲν ἤδη φαῦλόν τε καὶ ἁμαρτωλὸν τὸν ἐνεργήσαντά τι κατὰ τὸ σάββατον· οἰόμενοι δὲ διὰ τοῦτο καταδικάσειν αὐτοῦ σὺν αὐτοῖς τὸν τυφλὸν, καὶ ταῖς παρ' αὐτῶν ἀκολουθήσειν φω ναῖς, τὰς μὲν ἐπὶ τῇ τοῦ πάθους ἀπαλλαγῇ χαριστηρίους εὐχὰς περιστείλαντα, δεδιότα δὲ καὶ τὴν παρ' ἐκείνων ὀργὴν καταπεφρικότα, κατηγορήσειν εὐκόλως ὡς παροινήσαντος τῷ νόμῳ διὰ τὸ σάββατον. πονηρὸς μὲν οὖν τῶν Φαρισαίων ὁ λογισμὸς, ὅτι δὲ ἀμαθὴς οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμφίβολον. τί γὰρ ἂν ἠδίκησε τοῦ παραδόξου τὴν δύναμιν ἑνὸς ἀχαρίστου φωνή; ἢ πῶς οὐκ ἐν δόξῃ θεοπρεπεῖ φανεῖται Χριστὸς εἴπερ ἐνικήθη τῷ φόβῳ τὸ τυχὸν ὁ τυφλὸς, καὶ τὸ ὑπομεῖναί τι τῶν εἰωθότων λυπεῖν παραιτούμενος τὴν χάριν ἠρνήσατο; ἀλλὰ δεινὸς εἰς τὸ πείθειν ὁ φθόνος τοὺς ὠδίνοντας αὐτὸν πρὸς τὸ δρᾶν ἐπείγεσθαί τι θερμῶς, κἂν ἔχῃ πολὺ τὸ γελᾶσθαι δικαίως· ἀπηλλαγμένος δὲ τῶν τοιούτων ὁ νοῦς, λογισμοὺς μὲν ἀσυνέτους διαπηδᾶ, ἀθόλωτον δὲ τὸ οἰκεῖον ἀεὶ διασώζων κάλλος, φέρεται κατ' εὐθὺ τοῦ πρέποντος, καὶ τῶν τῆς 2.171 ἀληθείας ὅρων οὐκ ἀποφοιτᾷ. δείλαιοι τοιγαροῦν καὶ ἄλα ζόνες οἱ Φαρισαῖοι, τοὺς μὲν ὀρθὰ καὶ φρονεῖν ἑλομένους καὶ λέγειν, παραπαίειν ἡγούμενοι, ἐπαναγκάζοντες δὲ καὶ ἃ μὴ θέμις εἰπεῖν περὶ τοῦ παραδόξως εἰς τὰ παρ' ἐλπίδα καλέ σαντος τὸν ἕτοιμον μὲν εἰς εὐχαριστίας, ἐγγὺς δὲ ἤδη λαμ πρᾶς ἐπιγνώσεως διὰ τοῦ παραδόξου γεγενημένον. Ὁ δὲ εἶπεν ὅτι προφήτης ἐστίν. Ὀξὺ κατὰ καρδίας δέχονται βέλος οἱ τὸν ὀρθὸν μὲν καὶ δίκαιον οὐ προσιέμενοι λόγον, μόνον δὲ τὸ τῷ φθόνῳ δοκοῦν θηρᾶσθαι σπουδάζοντες· "Οὐ γὰρ ἐπιτεύξεται δόλιος θή "ρας," κατὰ τὸ γεγραμμένον. περιτρέπεται γὰρ αὐτοῖς εἰς τὸ παρὰ γνώμην τὸ σπούδασμα, καὶ πολὺ τῆς ἐλπίδος ἐσφάλησαν ἀδοκήτως ἀκούσαντες Ὅτι προφήτης ἐστί. συμ φρονεῖ γὰρ τοῖς ἄλλοις ἄριστά γε ποιῶν ὁ τεθεραπευμένος. οἱ μὲν γὰρ οὐκ ἀσυνέτως τὴν τοῦ πράγματος φύσιν διεσκεμ μένοι, ἄνθρωπον ἁμαρτωλὸν μηδὲν τῶν τοιούτων δύνασθαι δρᾶν ἀποφαίνονται· ὁ δὲ ἐφ' ᾧ τὸ θαῦμα τετέλεσται, μονον ουχὶ τὴν ἐν ἐκείνοις γνώμην ἰχνηλατῶν, προφήτην εἶναί φησιν, οὔπω μὲν ἀκριβῶς τίς ἐστι κατὰ ἀλήθειαν ἐκμαθὼν, τετριμμένῳ δὲ παρὰ τοῖς Ἰουδαίοις ἀκολουθήσας πράγματι. ἦν γὰρ αὐτοῖς ἐν ἔθει προφήτας ἀποκαλεῖν τοὺς τερατουρ γοὺς, ὡς ἐφ' ἁγιότητι μαρτυρουμένους διὰ τοῦτο παρὰ Θεοῦ. ὅνπερ οὖν τρόπον ἐκεῖνοι ποιοῦντες ὀρθῶς οὐκ αἰδοῖ τῇ περὶ τὸ σάββατον τὸ τῆς θεοσημείας ἀτιμάζουσι μέγεθος, διά τε τοῦτο καὶ ἁμαρτίας ἀνυπαίτιον παντελῶς εἶναί φασι τὸν ἐνεργήσαντα· τὸν αὐτὸν οἶμαι καὶ οὗτος τρόπον τὴν ἐπὶ τῷ σαββάτῳ σμικρολογίαν παρωσάμενος, τὴν ἐπὶ τοῖς ἀμεί νοσιν ἀπονέμει δόξαν τῷ τὸ βλέπειν δωρησαμένῳ, ὃν καὶ ἐν 2.172 τῇ τῶν ἁγίων τάξει τιθεὶς, προφήτην ἀποκαλεῖ. δοκεῖ δέ μοι λοιπὸν οὐ σφόδρα τῶν νομικῶν μεταποιεῖσθαι διαταγ μάτων. οὐ γὰρ ἂν ἐθαύμασε τοσοῦτον αὐτὸν, οὐδ' ἂν ἐν προφήτου τάξει παρεδέξατο τὸν ἰατρὸν, καίτοι παραλύειν τὸν ἐπὶ τῷ σαββάτῳ δοκοῦντα θεσμόν. ὠφελημένος οὖν ἄρα τῷ θαύματι, καὶ πρὸς ἕξιν ἤδη τῆς Ἰουδαίων τὴν κρείττονα διαβεβηκὼς, τῷ θαυματουργῷ τὸ χρῆναι νικᾶν ἀπονέμει νομικὴν ἐπιτήρησιν ἀνυπαίτιον παντελῶς τὴν ἐπ' ἀγαθοῖς ποιουμένῳ παράβασιν. Οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀνα βλέψαντος καὶ ἠρώτησαν αὐτοὺς λέγοντες Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν βλέπει ἄρτι; Οὐκ ἐᾷ πιστεύεσθαι τὸ πᾶσιν ὁμολογούμενον δριμὺς ὢν ἐν αὐτοῖς ὁ κατὰ τοῦ θεραπεύσαντος φθόνος, καὶ τῷ τῆς μανίας οἴστρῳ τυραννούμενοι μικρὰ μὲν κομιδῇ τῆς ἀληθείας φροντίζουσι, ψευδηγορεῖν τε κατὰ Χριστοῦ, καὶ αὐτὸν μὲν ἐν πρώτοις ἐξεβιάζοντο τὸν τυφλὸν, οὐδὲν δὲ ἧττον νυνὶ καὶ τοὺς τεκόντας αὐτὸν εἰκαιοπονοῦντες ἁλίσκονται, πρὸς πᾶν τοὐναντίον ἐκβεβηκότος τοῦ πράγματος. περιττοτάτην δὲ σφόδρα τὴν πεῦσιν προσάγουσι τοῖς γεγεννηκόσι τὸν ἄν θρωπον, καί μοι δοκοῦσιν ἐξ ἀμέτρου δυσβουλίας καὶ τὸν δι' αἰδοῦς αὐτοῖς ὄντα καὶ σφόδρα συνηγορούμενον ἀτιμάζειν νόμον. ἦγον μὲν γὰρ οἱ γείτονες, καθὰ γέγραπται, "τόν "ποτε τυφλὸν," καὶ τοῖς ταῦτα διερωτῶσι νυνὶ παραστή σαντες πάντως δήπου καὶ ὅτι τυφλὸς ἐγεννήθη διήγγελλον, καὶ ὅτι νῦν ἀνέβλεψεν ἐμαρτύρουν. εἶτα τοῦ νόμου σαφῶς ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων ἀληθὲς εἶναι πᾶν 2.173 ῥῆμα διηγγελκότος, οὐ δύο μόνον καὶ τριῶν ἀκυροῦντες ἐπιμαρτύρησιν, ἀλλ' ὡς εἰκὸς καὶ πλειόνων, ἐφ' ἑτέρους ἔρχονται τοὺς γονεῖς τοῦ τεθεραπευμένου, πρᾶγμα ποιοῦντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παράνομόν τε καὶ ἀμαθές. ἀλλ' οὐδὲν αὐτοῖς ὁ νόμος, ὅτε τι τῶν ἐν οἰκείαις ἡδοναῖς ἐξανύειν ἐπείγονται. ἐπειδὴ γὰρ ἐδυσώπει καὶ οὐχ ἑκόντας ἤδη τὸ θαῦμα μαρτυρούμενον διά τε τῆς γειτόνων καὶ διὰ τῆς τοῦ θεραπευθέντος φωνῆς, προσεδόκησαν ἀναπείθειν δύνασθαι τοὺς ἐρωτωμένους παρ' οὐδὲν μὲν ποιήσασθαι τὴν ἀλήθειαν, εἰπεῖν δὲ μᾶλλον τὰ κατὰ γνώμην αὐτοῖς. ὅρα γὰρ ὅπως ἐμβριθέστερόν πως αὐτοὺς διερωτῶντές φασιν Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; μόνον γὰρ οὐχὶ τὰ πάνδεινα δρᾶν εἰς αὐτοὺς διισχυρίζονται, καὶ ἀμέτρῳ καταπτοοῦσι δείματι πρὸς ἐκεῖνο καλοῦντες ὡς ἐξ ἀνάγκης καὶ βίας ὅπερ ἀκούειν ἤθελον. τοῦτο δὲ ἦν τό Οὐκ ἐγεννήθη τυφλός. εἷς γὰρ ἦν ἐν αὐτοῖς καὶ δυσσεβὴς ὁ σκοπὸς, τὴν ἐπὶ Χριστῷ τῶν ὄχλων παραλῦσαι διάληψιν, καὶ ἀνατρέψαι τῶν ἤδη τεθαυ μακότων τὴν ἀγνώμονα πίστιν. ὅνπερ δὲ τρόπον οἱ πόλιν τινὰ τῶν εὐτυχεστάτων ἐξελεῖν σπουδάζοντες, κύκλῳ μὲν ἅπασαν περιθέουσι, παντοδαποῖς δὲ αὐτὴν ἐκπολιορκοῦσι τρόποις, ποτὲ μὲν διορύττειν τὰς ὑποβάθρας ἐπείγονται, ποτὲ δὲ τοῖς πύργοις τὰς ἐκ τῶν ἑλεπόλεων ἐφιστᾶσι πληγάς· οὕτω καὶ οἱ πάντολμοι Φαρισαῖοι ταῖς σφῶν αὐτῶν δυστρο πίαις πολιορκοῦσι τὸ θαῦμα, καὶ τρόπον οὐδένα δυσσεβείας καταλιμπάνουσιν. ἀλλ' οὐκ ἦν τὸ πᾶσι διεγνωσμένον ὡς ἕωλον ἀποκρούσασθαι, καὶ τὸ πολλοῖς ἤδη τεθαυμασμένον εἰς ἀφανεστέραν καταστρέψαι διάληψιν. 2.174 Ἀπεκρίθησαν οἱ γονεῖς αὐτοῦ καὶ εἶπον Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει οὐκ οἴδαμεν, ἢ τίς ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸν ἐρωτήσατε, ἡλικίαν ἔχει αὐτὸς περὶ αὐτοῦ λαλῆσαι. Ὁμολογοῦσιν ὡς ἀληθὲς, τὸ μηδαμόθεν ἀμφίβολον, καὶ ἐφ' ᾧπερ εἰκὸς ἦν ὑπομεῖναι τῶν ἀβουλήτων οὐδέν· εἰδέναι μὲν γὰρ τὴν ἰδίαν φάσκουσι γονὴν, καὶ τῆς ὠδῖνος οὐκ ἀρνοῦνται τὸ γνήσιον, συνετέχθη δὲ ὅτι τῷ πάθει λέγουσι σαφῶς· ἀναδύονται γεμὴν τοῦ θαύματος τὴν ἐξήγησιν, τῇ τοῦ πράγματος φύσει τοῦτο βοᾶν ἐπιτρέποντες, καὶ αὐτὸ μᾶλλον πρεπωδέστερόν πως εἶναι διαβεβαιούμενοι τό Τίνα τρόπον τεθεράπευται, λέγειν τῷ ἰδίῳ γεννήματι· δεινὸς δέ πως ἐστιν εἰς τὸ ἀποστῆσαι τοῦ πρέποντος ὁ ἐπὶ κινδύνῳ φόβος. διὸ δὴ τὴν τῶν Φαρισαίων ὠμότητα καταφρίττοντες, οὐ τετηρήκασι τοῦτό που καλῶς εἰρημένον "Ἕως θανάτου "ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας." εἰκὸς δὲ δή τι παθεῖν αὐτοὺς ἕτερον· δειλὸς γὰρ ὁ πένης πανταχῇ, καὶ τὸ ἀντι βλέπειν δύνασθαί τισιν ἐξ ἀχρηματίας παραιρούμενος, ὑπο φεύγει πολλάκις εἰς ἀβούλητον σιωπὴν καὶ τὴν ἐξ ἀνάγκης ἀνεξικακίαν. ὡς γὰρ ἤδη διαρκῶς τῷ τῆς πτωχείας ἄχθει συντετριμμένος, ὡς τὸ καὶ ἑτέροις καταφορτίζεσθαι κακοῖς ἀποναρκᾷ. τοιοῦτόν τι παθεῖν ὑποτοπητέον τοὺς τεκόντας τὸν τυφλὸν, εἰ καὶ ὅτι μάλιστα σὺν ἀκολουθίᾳ πολλῇ πρόεισιν ὁ λόγος αὐτοῖς. τὸ μὲν γὰρ εἰδέναι τὸν ἐξ ἑαυτῶν δήπου πάντως μᾶλλον αὐτοῖς καὶ οὐχὶ τῷ γεννηθέντι πρεπω δέστερον ἀναθείη τις ἄν, τὸ γεμὴν εἰδέναι τὸν ἰατρὸν οὐχὶ πάντως τοῖς γεγεννηκόσιν, εἴη δ' ἂν μᾶλλον ἁρμοδιώτερον τῷ διὰ πείρας ἔχοντι τὴν ἀπὸ τοῦ θαύματος χάριν. οὐκοῦν 2.175 ὅπερ ἴσασιν ὁμολογοῦσι σαφῶς, ἅτε δὴ καὶ τῷ πρέποντι πρὸς τοῦτο καλούμενοι· ὅπερ δὲ ἦν ἀληθέστερον ἐκεῖνον εἰπεῖν, ὡς ἀκριβεστέραν ἔχοντα τὴν γνῶσιν, τοῦτο παρα καλοῦσι διδάσκειν. οὐκ ἀθεεὶ δέ μοι δοκοῦσι τοῖς ἑαυτῶν ἐπενεγκεῖν λόγοις, τό Ἡλικίαν ἔχει. κατηγορεῖ γάρ πως καὶ τοῦτο τῆς τῶν Φαρισαίων ἀνοσιότητος. εἰ γὰρ ἔχει τὸ δύνασθαι φρονεῖν ἀπό τε τοῦ χρόνου καὶ τῆς ἡλικίας ὁ πρὸς τὴν ἀνάβλεψιν κεκλημένος, ὅταν λέγῃ τὸ θαῦμα, καὶ τίς ὁ ἐπ' αὐτῷ γέγονε τρόπος, οὐκ ἐκ μειρακιώδους ἐρεῖ τῆς φρενὸς, ἀλλ' ἐκ νοῦ βεβηκότος τε ἤδη καλῶς, καὶ συνα γορεύειν οἷς ἂν ἐθελήσαι τυχὸν ἰσχύοντος. συμβήσεται δὴ οὖν ὡς ἐξ ἀνάγκης ἐντεῦθεν ἀναιδεστάτην ὁρᾶσθαι τῶν Φαρισαίων τὴν ἀπείθειαν. ἰδοὺ γὰρ οὔτε τοῖς γείτοσιν, οὔτε αὐτῷ πιστεύουσι τῷ τυφλῷ, καὶ οὐκ ἐξ ἁπαλῆς τρόπον τινὰ ταυτὶ λέγοντι φρενὸς, οὔτε μὴν ἐκ μειρακιώδους διανοίας ἐπὶ τὸ ψευδηγορεῖν εὐκόλως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατολισθαίνοντι, ἀλλ' ἡλικίαν ἔχοντι τῶν πραγμάτων τὰς φύσεις προξενοῦσαν μὴ ἀγνοεῖν. Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ συνετίθεντο οἱ Ἰουδαῖοι ἵνα ἐάν τις ὁμολογήσῃ τὸν Χριστὸν αὐτὸν εἶναι ἀποσυνάγωγος γένηται. Καλῶς καὶ πρεπόντως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ταῖς τῶν Φαρισαίων κεφαλαῖς ἐπιφέρει τὸ οὐαί· "Οὐαὶ γὰρ "ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· "αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε." ἐπαθρείτω γὰρ πάλιν ὁ θεοφιλὴς εἰ μὴ τοῖς εἰρημένοις τὸ ἐκ τῆς ἀληθείας ἕψεται κάλλος. οὐδὲ γὰρ ἂν διαψεύσαιτό ποτε 2.176 Χριστός. ἰδοὺ γὰρ πρὸς τῷ μηδένα διδάσκειν ἐπείγεσθαι τὸν περὶ τῆς ἐπιδημίας αὐτοῦ λόγον, καὶ τοὺς συνιέναι δυναμένους ἐκ τῆς τῶν κατορθουμένων λαμπρότητος ἀμει λίκτῳ καταπτοοῦσι φόβῳ, καὶ σκληρὰν ἐπιτιθέντες ἀνάγκην τὴν ἐκ τῆς σφῶν ἀγριότητος, ὁμολογεῖσθαι διακωλύουσι τὸν ἐξ αὐτῶν ὁρᾶσθαι τῶν παραδόξων οὐκ ἀτονήσαντα. ἀπο σύνακτον γὰρ ποιοῦντες τὸν εὐγνώμονα, διά τε τοῦτο πρὸς τὸ πιστεύειν εὔκολον, οὐκ ἐρυθριῶσιν οἱ δείλαιοι, ἀλλοτριοῦν δὲ τρόπον τινὰ τοῦ Θεοῦ τὸν Θεῷ κολλώμενον ἐπ' ἐξουσίας, αὐτοῖς καὶ αὐτὸν ἀναπείθειν τὸν ἁπάντων Κύριον συνεθελη τὴν γενέσθαι τῆς ἑνούσης αὐτοῖς κατὰ πάντων μανίας. ἀπολογεῖται γεμὴν ὁ θαυμάσιος Εὐαγγελιστὴς, καὶ τῷ φόβῳ νενικῆσθαί φησι τοὺς ἐρωτωμένους, οὐκ ἐθελῆσαί τε διὰ τοῦτο εἰπεῖν ὡς τὸν ἐξ αὐτῶν γεγονότα τεθεράπευκεν ὁ Χριστὸς, ἵνα τῆς Ἰουδαίων ἀπονοίας ἀπογυμνώσας τὸ μέγεθος φανερὸν καταστήσῃ καὶ τοῖς μετ' αὐτούς. τί γὰρ ἂν γένοιτο τῶν τοιούτων ἀπανθρωπότερον, οἵ γε καὶ τιμωρίας ὁρίζουσι τοῖς εὐγνώμοσιν, ἄγουσι δὲ πρὸς τὸ κολάζεσθαι δεῖν τοὺς συνέντας ὅλως τὸν διὰ νόμου καὶ προφητῶν κηρυττόμενον. οὐκ ἀγνοηθεῖσαν δὲ τοῖς ἁγίοις προφήταις τὴν τῶν Ἰουδαίων ἀνόσιον σκέψιν, ἐκ τῶν ἱερῶν γραμμάτων εὑρήσομεν. διὰ γὰρ Ἡσαΐου φησὶν ὁ καρδίας καὶ νεφροὺς ἐρευνῶν, "διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος "ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν "καρδίας, ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα" ἐστίν "Οὐαὶ "τέκνα ἀποστάται, τάδε λέγει Κύριος Ἐποιήσατε βουλὴν "καὶ οὐ δι' ἐμοῦ, συνθήκας καὶ οὐ διὰ τοῦ Πνεύματός μου, "προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίας." ὁ μὲν γὰρ λέγων ὅτι Κύριος Ἰησοῦς, ἐρεῖ δήπου πάντως ἐν Ἁγίῳ Πνεύματι, κατὰτὴν τοῦ Παύλου φωνήν· μελετήσας δέ τις τὸ ἐναντίον, οὐκ ἐν Ἁγίῳ Πνεύματι· πόθεν; λαλήσει δὲ μᾶλλον ἐν Βεελζε 2.177 βούλ. οὐκοῦν, οὐ διὰ τοῦ Ἁγίου Πνεύματος αἱ τῶν Ἰουδαίων συνθῆκαι, προσετίθεσαν γὰρ ἁμαρτίας ἐφ' ἁμαρτίαις, αὐτοὶ μὲν πρὸ πάντων τὸν ἐκ τῆς ἀπειθείας ὄλεθρον ταῖς ἑαυτῶν ἐπισύροντες κεφαλαῖς, παραπέμποντες δὲ καὶ εἰς ἑτέρους διὰ τοῦ κωλύειν αὐτοὺς ὁμολογεῖν τὸν Χριστόν· δυσσεβείας μὲν γὰρ τῆς ἐσχάτης ἀνάμεστον ὄντως τὸ ἐγχείρημα, πλὴν ἀνηνύτῳ πράγματι σφαλερῶς ἐγκειμένους διαγελᾷ λέγων ὁ ψαλμῳδὸς "Κύριε ἐν ὀργῇ σου συντα "ράξεις αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ, τὸν καρπὸν "αὐτῶν ἀπὸ γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν "ἀνθρώπων· ὅτι ἔκλιναν εἰς σὲ κακὰ, διελογίσαντο βουλὴν "ἣν οὐ μὴ δύνωνται στῆναι." ἴσχυσαν γὰρ οὐδαμῶς τὴν θεομάχον κρατῦναι βουλὴν, καίτοι πολλάκις καὶ διὰ μυρίων ἐπιχειρήσαντες τρόπων ἀφανίσαι τὴν δόξαν Χριστοῦ. διὸ καὶ τέθεινται νῶτος, τουτέστιν, ἐκ προσώπου γεγόνασι, καὶ ἐξ ὀφθαλμῶν τοῦ πάντων Δεσπότου, δικαίως ἀκούοντες "Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ "ἐξεκαύσατε." Ἐφώνησαν οὖν τὸν ἄνθρωπον ἐκ δευτέρου ὃς ἦν τυφλὸς, καὶ εἶπον αὐτῷ Δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν. Ἀποστῆσαι τῆς εἰς Χριστὸν εὐφημίας τὸν ἄνθρωπον οὐκ ἰσχύσαντες, ἑτέρῳ πρὸς τούτῳ μεθοδεύειν ἐπιχειροῦσι λόγῳ, καὶ χρηστῷ τρόπον τινὰ τῷ δελεάσματι πρὸς τὸν οἰκεῖον καθέλκειν ἐπείγονται σκοπὸν, τὸ δὲ μηδ' ὅλως μεμνῆσθαι Χριστοῦ, μήτε μὴν ἀνακηρύττειν αὐτὸν ὡς ἰατρὸν, διὰ πολλῶν ἀναπείθειν ἐκμηχανώμενοι λόγων, πανουργότατα λίαν χρῆναι μὲν δόξαν ἀναθεῖναι τῷ Θεῷ διὰ τὸ θαῦμά φασιν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐσεβεῖν ἐν τούτῳ πλαττόμενοι, συνδιακεῖσθαι γεμὴν 2.178 καὶ πιστεύειν αὐτοῖς ἐπιτάττουσι, κἂν τῆς ἀνωτάτω πασῶν ἀσεβείας ἁπτόμενοι ἁμαρτωλὸν εἶναι λέγουσι τὸν ἐπ' ὀλέθρῳ τῆς ἁμαρτίας ἐπιδημήσαντα. καὶ τῆς μὲν ἐπὶ τοῦτο συκο φαντίας οὐδεμίαν παντελῶς παρακομίζουσι τὴν ἀπόδειξιν, περιαυτιζόμενοι δὲ καὶ φρονοῦντες ἐφ' ἑαυτοῖς μέγα τι καὶ ἐξαίσιον δι' αὐτὸ δὴ καὶ μόνον τὸ ἡγεῖσθαι λαῶν τῇ τῶν προσώπων περιφανείᾳ τὴν πίστιν χαρίζεσθαι, καὶ καθάπερ ἐν ὀφλήματος τάξει καταθέσθαι διακελεύονται. τὸ γάρ Ἡμεῖς οἴδαμεν, τὴν ἀσύγκριτον ὠδῖνον ὑπεροψίαν ἁλώσεται παρά γε τοῖς τὸν ἑαυτῶν λανθάνοντα βασανίζουσι νοῦν. ἀλλ' ἔστι κἀντεῦθεν οὐ μετρίως ἀποθαυμάσαι τὸν τῶν Ἰουδαίων ἀπόπληκτον νοῦν. ἀνατιθέναι γὰρ τῷ Θεῷ τὴν ἐπὶ τῷ παραδόξῳ προστάττοντες δόξαν, ἅτε δὴ καὶ μόνῳ τῶν τοιούτων ἐργάτῃ, τὸν ἐξ οἰκείας ἰσχύος ἐνεργήσαντα [τὰ] τοῦ Θεοῦ κατακρίνουσι, καὶ οὐχ ὅπως αὐτοὶ μόνοι οἱ τάλανες, συμφρονεῖν δὲ καὶ ἑτέρους ἐπαναγκάζουσι· μόνῃ δὲ γνώσει τῇ ἑαυτῶν ἀπονέμοντες τὸ εἰδέναι σαφῶς ὡς ἁμαρτωλὸς εἴη Χριστὸς, ἀγνοοῦσιν ὅπως τὰ χείριστα τῆς οἰκείας καθορί ζουσι κεφαλῆς. πολὺ γὰρ ταῖς νομομαθείαις ἐπαυχεῖν εἰω θότες, καὶ τοῖς ἱεροῖς ἀφορήτως ἐπισοβαρευόμενοι γράμμασι, μείζονα δὴ πάντως ἀποτίσουσι δίκην ὡς ἐξὸν μὲν εἰδέναι τὸ ἐπὶ Χριστῷ μυστήριον διά τε νόμου καὶ τῶν προφητῶν πολυειδῶς ἐκτυπούμενόν τε καὶ βοώμενον, αὐτόκλητον δὲ διὰ πολλῆς ἄγαν τῆς ῥαθυμίας ἁρπάζοντες ἄγνοιαν, ἢ καὶ εἰδότες μὲν ἀκριβῶς, μὴ μὴν ὅπερ ἔδει δρᾶν καὶ μάλιστα προθύμως ἐθελήσαντές ποτε. παιδαγωγεῖν γὰρ ἔδει τῶν ἀγελαίων τὸν νοῦν πρὸς κατάληψιν τῶν ἐπὶ Χριστῷ μυστη ρίων, καὶ πειρᾶσθαι μᾶλλον καθηγεῖσθαι τῶν ἄλλων πρὸς ἐπίγνωσιν ὧν ἔδει μαθεῖν. ἀλλ' οἱ πλατεῖς εἰς λόγους, καὶ 2.179 δεινοὶ πρὸς ἀλαζονείας, τό Ἡμεῖς οἴδαμεν, πολὺ λίαν ἀπηυ χενισμένως ἀναβοήσαντες, τὰς μὲν τοῦ νόμου παρωθοῦντες φωνὰς, οὐδὲν τὰ Μωυσέως εἶναι λογίζονται, ὄχλος δὲ ἄλλως αὐτοῖς καὶ τὰ ἐκ προφητῶν εἶναι δοκεῖ· τίθενται γὰρ εἰς διάνοιαν οὐδαμῶς τὰ διὰ τῆς τοῦ προφήτου φωνῆς ἔσεσθαι προηγγελμένα κατὰ τὸν καιρὸν τῆς ἐπιδημίας τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· "Τότε γὰρ, φησὶν, ἀνοιχθήσονται "ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τότε "ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα "μογιλάλων." τεθεράπευται μὲν γὰρ ὁ παράλυτος ἐπὶ τῇ κολυμβήθρᾳ τῇ Βηζαθὰ, τριακοστὸν δὲ καὶ ὄγδοον ἔτος διατετελεκὼς "ἐν τῇ ἀσθενείᾳ αὐτοῦ," καθὰ γέγραπται, ἑνὶ τοῦ Σωτῆρος ῥήματι τὸ κλινίδιον ἀφεὶς ἐλάφου δίκην ἐξήλατο· καὶ ἐπ' ἐκείνῳ θαυμάσαι δέον τὸν Ἰησοῦν, τὴν ἐπὶ τῷ σαββάτῳ λύσιν ἐθρήνουν, καὶ παραβεβάσθαι τὸν νόμον διατεινόμενοι, τὴν ἐπὶ τῷ θαύματι κατεσοφίζοντο χάριν. ἐκβληθέντος δέ ποτε δαιμονίου λελάληκεν ὁ κωφός· οἱ δὲ πρὸς οὕτω δεινὴν ἀσυνεσίαν ἐξώλισθον, ὡς μηδὲ βραχεῖαν ἐντεῦθεν ἀποκερδᾶναι τὴν ὄνησιν. ἀνέβλεψεν ὁ τυφλὸς, προφητικὸν πεπλήρωται κήρυγμα, ἡ διὰ τοῦ Πνεύματος εἰς πέρας ἤχθη φωνὴ, καὶ τί; πάλιν ἐπὶ τούτοις νοσοῦσιν ἐκεῖνοι, κατακρίνουσι τὸν θαυματουργὸν, ἁμαρτίαν καθορί ζουσι τοῦ θεοπρεπῶς ἐκλάμπειν ἰσχύοντος, καὶ τὸ ἐκ μακρῶν ἄνωθεν χρόνων ἔσεσθαι προσδοκηθὲν, παρὸν ἤδη δεικνύοντος. Ἀπεκρίθη οὖν ἐκεῖνος Εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν ἄρτι βλέπω. Διττὴν, ὡς ἔοικεν, ὁ ποτὲ τυφλὸς συνεκομίσατο χάριν παρὰ Χριστοῦ· συνελαμπρύνθη πως αὐτῷ δὲ τοῖς τοῦ σώματος ὀφθαλμοῖς καὶ ὁ νοῦς· καὶ ἡλίου μὲν τοῦ καθ' ἡμᾶς τὸ σέλας ἐν σαρκικοῖς ἔχει τοῖς ὄμμασιν, ἀκτῖνα δὲ 2.180 ὥσπερ τὴν νοητὴν, τὸν διὰ τοῦ Πνεύματος λέγω φωτισμὸν, εἰσοικίζεται πρὸς τὸ εἴσω τε καὶ ἐν καρδίᾳ λαμβάνει. ἄκουε γὰρ ὅπως ταῖς τῶν ἡγουμένων βδελυρίαις ἐκ πολλῆς ἄγαν τῆς εἰς Χριστὸν ἀγάπης ἀντιστατεῖ, καὶ μονονουχὶ μεθύουσί τε καὶ διαῤῥιπτουμένοις εὐφυῶς ἐπιπλήττει, αἰδοῖ δὲ συμ μέτρῳ συνυφήνας τὸν λόγον, καὶ τῇ τάξει τῆς ἡγεμονίας ἀναθεὶς τὸ χρεωστούμενον, ἐν ἤθει φησίν Εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα· καὶ οὐ διὰ τοῦτό φαμεν ἠγνοηκέναι τὸν ἄνθρωπον, ὡς οὐκ ἦν ἁμαρτωλὸς ὁ Χριστὸς,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰησόμεθα. δέ πως αὐτὸν τοιαῦτά τινα πρὸς ἐκείνους ἀναφωνεῖν. λεγέτω γὰρ οὕτω τυχόν Στέργειν ἃ μὴ χρῆν ἀβουλήτως ἀναγκαζόμενος οὐκ ἀνέξομαι συκοφαντεῖν τὸν ἐμὸν εὐεργέτην, οὐ συνδιακείσομαι τοῖς ἀτιμάζειν ἐθέλουσι τὸν ᾧ πᾶσα χρεωστεῖται τιμή. ἁμαρτωλὸν οὐκ· ἐρῶ τὸν οὕτω θαυματουργὸν, πονηρὰν οὐκ ἐποίσω ψῆφον τῷ δρᾶν ἰσχύοντι τὰ Θεοῦ, οὐκ ἐᾷ με τοῖς παρ' ὑμῶν συγκατανεῦσαι λόγοις ἐν ἐμοὶ τὸ θαῦμα βλεπό μενον· τυφλὸς ἤμην καὶ βλέπω, οὐχ ἑτέρου λέγοντος τὰ ἐκείνου πεπίστευκα, οὐχ ἁπλῶς ὀθνείοις συναρπάζομαι δι η γήμασιν, οὐ τὰ ἐφ' ἑτέροις ἔπεισί μοι θαυμάζειν κατορθώ ματα. αὐτὸς ἐγὼ, φησὶ τῆς ἐκείνου δυνάμεως ἡ ἐπίδειξις, ἕστηκα βλέπων ὁ πάλαι τυφλὸς, εἰκὼν ὥσπερ τις τῆς ἐκείνου φιλανθρωπίας τὸ κάλλος ὑποδεικνύουσα, καὶ τῆς θεοπρεποῦς ἐξουσίας τὸ μέγεθος ἐξαστράπτουσα. τοιοῦτόν τινα νοῦν ἐφηρμόσθαι προσήκειν ὑπολαμβάνω τοῖς τοῦ ἀναβλέψαντος λόγοις. τὸ γὰρ εἰπεῖν μέν Εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα, παραχρῆμα δὲ τοῦτο συνείραι τό Ἓν οἶδα ὅτι τυφλὸς ἤμην καὶ ἄρτι βλέπω, οὐχ ἁπλῆς τινος θεωρίας, ἀλλὰ καὶ σφόδρα σοφῆς ὑπόνοιαν εἰσφέρει. 2.181 Εἶπον οὖν αὐτῷ πάλιν Τί ἐποίησέ σοι; πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς; Φιλοπευστοῦσι πάλιν καὶ τὸν τῆς θεοσημίας διερευνῶσι τρόπον, οὐκ ἐκ φρενὸς ἀγαθῆς ἢ χρηστομαθείας τὸ πρᾶγμα ποιούμενοι, ἀλλὰ καίτοι ζημίας ἁπάσης αἰσχίονα, καὶ παντὸς κακοῦ ἐπέκεινα τιθέντες καὶ λογιζόμενοι τὸ ὑπό του τῶν ὄντων εὐφημεῖσθαι Χριστὸν, ταῦτα πάντα πάλιν ἀνασκα λεύουσιν, οἰόμενοί πως τὸν ἄνθρωπον οὐ ταυτολογήσειν ἔτι, διαπεσεῖν δέ πως περὶ τοῦ πράγματος ἐξήγησιν, καί τι τοῖς πρότερον ἐναντίως ἔχον ἐρεῖν, ἵνα τῆς διαφωνίας ἐπιδραξά μενοι, πεπλασμένον τινὰ καὶ ψεύστην αὐτὸν ἀποφήνειαν. διελογίζοντο γὰρ οἱ ἐπὶ πολλῇ σφόδρα συνέσει κατωφρυω μένοι ἐν ψιλαῖς τοῦ ἀνθρώπου φωναῖς τὴν τοῦ παραδόξου σώζεσθαι δύναμιν, καὶ οὐχὶ μᾶλλον ἐν τῷ πεπράχθαι δια φαίνεσθαι. οἶμαι δέ τι καὶ τοιοῦτον αὐτοὺς ὑπομεῖναι πάλιν οἱ μισεῖν ἀδίκως οὐ καταναρκῶντές τινας, ὅταν ἐκπύθωνταί τι τῶν αὐτοῖς δεδραμένων, εἶτα τοῦτο μὴ δικαίως πεπράχθαι δοκῇ, οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις αὐτὸ παρὰ τῶν ἐξηγου μένων ἐπαΐειν ἐθέλουσιν, ἀκονῶντες ὥσπερ εἰς ὀξυτέραν κίνησιν βραδύνοντά πως τὸν ἐπ' ἐκείνῳ θυμόν. δυσωπεῖ γὰρ ἀεὶ τὸ συνειδὸς ἐξελέγχον τὰ ἐν ἡμῖν, καὶ τῆς ἀδικίας κατηγορῶν οὐ παύεται, κἂν ἐκ προσπαθείας ἡδὺ φαίνηταί πως τὸ ἀδικεῖν. ἀνακινοῦσι τοίνυν, καὶ οὐχ ἑκόντα παρο τρύνουσιν εἰς τὸ καὶ εἰσαῦθις ἀνακυκλοῦντα αὐτὸν καὶ διὰ τῶν αὐτῶν ἔρχεσθαι λόγων τὸν τεθεραπευμένον, μονονουχὶ διανεύοντες ἀλλήλοις καὶ λίαν ἐπιτηρεῖν διακελευόμενοι εἰ 2.182 μὴ πέπρακταί τι τῶν ἔξω νόμου διὰ τὴν ἐν σαββάτῳ θεοση μίαν. ἀγριαίνοντα γὰρ τὸν ἐν αὐτοῖς θηριοπρεπῆ λογισμὸν κατάγχει τὸ συνειδὸς, χαλινὸν ὥσπερ ἐπιφέρον καὶ οὐχ ἑκοῦσι τὸν ἔλεγχον. Ἀπεκρίθη αὐτοῖς Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; Περιττὸν ἤδη φαίνεται, φησὶ, τὸ καὶ εἰσαῦθις εἰπεῖν εἰς ἀπειθεῖς ἀκοὰς, εἰκαῖον δὲ σφόδρα τὸ καὶ πλειστάκις ὑμᾶς περὶ τούτων διερωτᾶν, οἵ γε ὠφελεῖσθε μὲν τὸ παράπαν οὐδὲν, καίτοι μαθόντες καὶ πεπεισμένοι, ἀνελίττειν δέ με καὶ νῦν τοὺς αὐτοὺς προστάττετε λόγους ἐπ' οὐδενὶ τῶν χρη σίμων, ὡς ἡ πεῖρα βοᾷ. ἐλέγχει γὰρ διὰ τούτων τοὺς Φαρισαίους ὁ τεθεραπευμένος ὡς ἀνοηταίνουσι κομιδῇ, "τὴν "μὲν ἀκοὴν ἀποστρέφοντες ἀπὸ τῆς ἀληθείας," κατὰ τὸ γεγραμμένον, ἐπὶ δὲ τῷ λελύσθαι τὸν νόμον οὐκ εὐλόγως παρωργισμένοι, διά τε τούτων τὸν εὐφημεῖν ἐθέλοντα τὸν τερατουργὸν ἐν κατηγόρου τάξει παρεῖναι κελεύοντες, ἢ θαυμαστὴν ὑπάρχειν ὑπολαμβάνοντες· ἦν γὰρ οὗτος ἀληθῶς ἐν ἐκείνοις ὁ σκοπὸς, ἐπείπερ αὐτοῖς ἀδιάφορον παντελῶς καὶ ἐν λόγῳ τοῦ μηδενὸς ἡ τοῦ νόμου παράβασις ἦν. διά τοι τοῦτο τὰ δίκαια κρίνειν παρωσάμενοι, πρὸς τὸ δοκοῦν ἐτρά ποντο μόνον, καίτοι λέγοντος ἀμνημονοῦντες Θεοῦ "Χείλη "ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ "στόματος αὐτοῦ." Μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι; Ὡμολόγηκεν ἤδη σαφῶς, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑποστολῆς ἁπάσης ἐξῄρη 2.183 μένης, ὡς εἰ μὴ καὶ λόγῳ τυχὸν, ἀλλ' οὖν ἐμαθητεύθη τῷ θαύματι, καὶ πεπίστευκεν ἤδη παραδόξως τὸ βλέπειν ἐν διδασκαλίας τάξει λαβών. ἐν γὰρ δὴ τῷ πρὸς ἐκείνους εἰπεῖν Μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι, τὴν οἰκείαν ὥσπερ προεκάλυψε γνώμην, ὡς ἤδη θελήσαντός τε καὶ γεγονότος· μελετῶν δὲ τρόπον τινὰ καὶ πρὸ ὁλοκλήρου τῆς πίστεως τό "Δωρεὰν ἐλάβετε, δωρεὰν δότε," ηὐτρέπισται τάχα καὶ λίαν ἀφθόνως εἰς τὸ παιδεύειν αὐτοὺς τὰ λυσιτελῆ· διισχυρίζεται ἀοκνότατα δὲ καὶ πολλάκις ἐρεῖν τὰ ἐπὶ τῷ θαύματι, εἰ μαθητείαν ὄντως ποιοῖντο τὴν ἐξήγησιν. τετή ρηκεν οὖν ἄρα καὶ σφόδρα καλῶς τὸ ἐν βίβλῳ παροιμιῶν "Εἰς ὦτα ἀκουόντων λάλει." Ἔοικε δέ πως ὑπαινίττεσθαι διὰ τούτων λεληθός τι καὶ κεκρυμμένον. καὶ τί τοῦτό ἐστιν, ἐν βραχέσιν ἐρῶ. ἦσάν τινες ἐν τοῖς ἡγουμένοις οἳ διεγνώκεισαν μὲν ὅτι Χριστὸς εἴη κατὰ ἀλήθειαν ὁ Θαυματουργῶν, κεχωσμένην δὲ ὥσπερ ἐν ὠδῖσι τὴν ἐπ' αὐτῷ κρύπτοντες γνῶσιν ἔτι πολλοὺς διελάν θανον. μαρτυρήσει δὲ καὶ αὐτὸς ἡμῖν ὁ σοφὸς λέγων Εὐαγγελιστὴς, ὅτι ἔγνωσαν μὲν οἱ ἄρχοντες, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, "διὰ γεμὴν τοὺς Φαρισαίους οὐχ ὡμολο "γοῦν·" ἐπαγωνιεῖται δέ πως τοῖς περὶ τοῦτον λόγοις καὶ ὁ Νικόδημος διαῤῥήδην ἀναβοῶν καὶ λέγων πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν "Ῥαββὶ, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ "ἐλήλυθας διδάσκαλος, καὶ ὅτι οὐδεὶς δύναται ταῦτα τὰ "σημεῖα ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ." ᾔδεσαν οὖν ἄρα τῶν ἀρχόντων τινὲς, καὶ διετεθρύλητό πως ὁ περὶ τούτου λόγος ἀνὰ πᾶσαν τὴν Ἱερουσαλήμ. ἐγνωκέναι μὲν τοὺς ἄρχοντας ἡ τῶν Ἰουδαίων πληθὺς ὑπονοεῖ, μὴ μὴν 2.184 καὶ ὁμολογεῖν ὡς βούλεσθαι διὰ βασκανίαν καὶ φθόνον. ὅτι δὲ ἀληθὲς καὶ τοῦτό ἐστιν, ἐξ αὐτῶν ἐπιδείξομεν τῶν εὐαγγελικῶν γραμμάτων. αὐτὸς γάρ που φησὶν ὁ μακάριος Ἰωάννης, ὡς εἱστήκει μὲν διδάσκων ὁ Ἰησοῦς ἐν αὐτῷ τῷ ναῷ, καὶ ὅσα τὸν νόμον ἐδόκει λυπεῖν κατά γε τὴν τῶν ἀκροωμένων ὑπόνοιαν ἐξηγούμενος. οὐδὲν δὲ τὸ παράπαν οἱ τῶν Ἰουδαίων ἡγούμενοι κινήσαντες, ἀλλ' οὐδὲ ὅσον εἰπεῖν ἀποτολμήσαντες φῆσαι λόγον Ὦ οὗτοσὶ, παῦσαι διδάσκων τὰ τοῖς πάλαι νόμοις ἀπᾴδοντα, ἐν ὑπονοίᾳ παρὰ τοῖς ὄχλοις ἐγίνοντο τῇ καὶ ἀρτίως ἡμῖν εἰρημένῃ. καὶ γοῦν καθὰ γέ γραπται "Ἔλεγόν τινες τῶν Ἱεροσολυμιτῶν Οὐχ οὗτός "ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ "οὐδὲν αὐτῷ λέγουσι· μήποτε ἔγνωσαν οἱ ἄρχοντες ὅτι "οὗτός ἐστιν ὁ Χριστός;" μονονουχὶ γάρ φησιν οὕτως Ἴσασιν οἱ καθηγήσασθαι λαχόντες ὡς αὐτὸς ὄντως ἐστὶν ὁ Χριστός· ἰδοὺ καίτοι φονᾶν νομιζόμενοι κατ' αὐτοῦ, λαλοῦντι μετὰ πολλῆς ἄγαν τῆς παῤῥησίας, οὐδὲ ψιλοῖς ἐπισκήπτουσι λόγοις. τοιαύτης τοιγαροῦν ὑπονοίας διεσπαρ μένης ἀνὰ πᾶσαν τὴν Ἱερουσαλὴμ, ἐξεπύθετό ποτε καὶ ὁ τυφλὸς, καὶ εἶχεν ἐν ὠσὶ τὸν ἐπὶ τούτοις λόγον. χαριέντως οὖν ἄρα τρόπον τινὰ διελέγχων φησίν Ἆρά με μάτην τοὺς αὐτοὺς ἀναμηρύσασθαι λόγους, καὶ ἀνυμνεῖν τὸ θαῦμα προσ τάττετε, ἢ σφόδρα ποιεῖσθαι τὴν καθ' ἡδονὴν ἐξήγησιν, διψῶντες μὲν ἤδη τὴν ὑπ' αὐτῷ μαθητείαν, ἀλλήλους δὲ ἐπιδυσωπούμενοι, καὶ ἀχάριστον προτιμῶντες αἰδὼ τῆς οὕτως ἀξιαγάστου γνώσεως; 2.185 Καὶ ἐλοιδόρησαν αὐτὸν καὶ εἶπαν Σὺ μαθητὴς εἶ ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωυσέως ἐσμὲν μαθηταί. Ὑπογελᾷ τρόπον τινὰ τοῦτο λέγων ὁ Εὐαγγελιστής. ὁρᾷ γὰρ τοὺς ἱερᾶσθαι λαχόντας ἀποπληξίας εἰς τοῦτο κατολισθήσαντας, ὡς λοιδορίας ἡγεῖσθαι χρῆμα τὸ οὕτω σεπτὸν, τὴν ὑπὸ Χριστῷ δηλονότι παιδαγωγίαν, ἧς εἰς ἀξιέραστον ἰόντες ἀγάπην φασὶ τῶν ἁγίων τινὲς, οἱ μὲν ὅτι "Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ "κηρίον τῷ στόματί μου·" ἕτερος δὲ πάλιν, ὡς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν περὶ τῶν ἀπειθούντων αὐτῷ "Συντέλεσον αὐτὸ, καὶ ἔσται ὁ λόγος σου ἐμοὶ εἰς "εὐφροσύνην καὶ ἀγαλλίαμα καὶ χαρὰν καρδίας μου." ἀλλ' οὐδὲν τῶν ἱερῶν μεταποιούμενοι λόγων, τὸν ὑπὸ Χριστοῦ παιδαγωγούμενον, καὶ δι' αὐτὸ δὴ καὶ τοῦτο μόνον οὐκ ἀνεγκλήτως εἶναι νομίζουσιν, ἀληθῆ δὲ καθ' ἑαυτῶν καὶ ψηφοφοροῦντες δόγματα, διδάσκαλον μὲν τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυφλῷ τὸν Χριστὸν ἀπονέμουσιν, ἑαυτοῖς δὲ Μωυσέα· καὶ γὰρ δὴ καὶ ὄντως κατεφωτίσθη μὲν τὰ ἔθνη παρὰ Χριστοῦ διὰ παιδεύσεως εὐαγγελικῆς, ἐναπέθανε δὲ τοῖς διὰ Μωυσέως τύποις ὁ Ἰσραὴλ, καὶ τῇ τοῦ γράμματος ἐνεχώσθη σκιᾷ. διὰ τοῦτο καὶ ὁ Παῦλος περὶ αὐτῶν που φησί "Μέχρι γὰρ "σήμερον ἥνικα ἀναγινώσκηται Μωυσῆς, κάλυμμα ἐπὶ τὴν "καρδίαν αὐτῶν κεῖται." ὅτι δὲ καὶ εἰς τύπον τῶν ἐθνῶν τὴν ἐπὶ τῷ τυφλῷ καθάπερ ἐν εἰκόνι κατεγράφομεν ἱστορίαν, τὰ ὡς ἐν τύπῳ τὰ κατ' αὐτὸν εἰς τὴν ἐπ' ἐκείνοις ἀλήθειαν μεταπλάττοντες, οὐκ ἀμφίβολον. Πλὴν ἐκεῖνο σημειωτέον, ὅτι χρῆμα τερπνὸν καὶ πάσης εὐκλείας ἀνάμεστον ὁ διὰ Χριστὸν ὀνειδισμός· δι' ὧν γὰρ 2.186 οἴονται χρῆναι λυπεῖν οἱ διώκειν οὐ παραιτούμενοι τοὺς ἀγαπῶντας αὐτὸν, διὰ τούτων αὐτῶν οὐκ εἰδότες εὐφραί νουσι, λαμπροτέρους δὲ μᾶλλον αὐτοὺς ἀποφαίνουσιν ἤπερ ἀληθῶς ἀδικεῖν ἰσχύουσι. κατασμικρύνοντες δὲ, ὡς εἰκὸς, οἱ πανώλεις Φαρισαῖοι τὰς ἑαυτῶν κεφαλὰς, ἵνα μὴ λέγω Χριστὸν, περὶ μὲν αὐτοῦ, τό Ἐκείνου φασὶν, ἐκπλατυνόμενοι δὲ ὥσπερ εἰς ἀλαζονείαν ὑπέρογκον, ἀνοήτως λέγουσιν Ἡμεῖς δὲ τοῦ Μωυσέως ἐσμὲν μαθηταί. Ἡμεῖς οἴδαμεν ὅτι Μωυσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. Ἀπαυθαδίζονται πάλιν, ὅπλον ἔχοντες τὴν αὐτοῖς συνήθη καὶ φιλαιτάτην ἀπόνοιαν, καὶ ἐπ' ἀθραύστοις ἀναισχυντίαις σοβαρευόμενοι, τό Ἡμεῖς οἴδαμεν ἀναφθέγγονται. προστι θέντες δὲ ὅτι Μωυσεῖ λελάληκεν ὁ Θεὸς, διά τε τούτου τιμᾶν ὅτι πρέποι καὶ σφόδρα διεγνωκότες αὐτὸν, ἑτέρῳ τρόπῳ πάλιν ὑβρίζειν ἐν οὐδενὶ τὰ ἐκείνου τιθέντες δόγματα. κατακρίνουσι γὰρ ἀσυνέτως, ὃν οὔπω γινώσκουσι, μᾶλλον δὲ καὶ μαθόντες δυσσεβῶς ἀτιμάζουσι, καίτοι τοῦ νόμου τὸ ἀδίκως ἐξεῖναί τισιν ἀπηχές τι δρᾶν ἢ ψηφίζεσθαι παντελῶς ἀποφάσκοντος. τοιοῦτον δέ τι φασὶ καὶ διὰ τούτου πάλιν Ὁμολογουμένως λελάληκε πρὸς Μωυσέα ὁ Θεός· οὐδεὶς ἐπὶ τούτῳ λόγος ἐνδοιάζειν ἀναπείθων τινὰς, νόμους ὡρίσατο δι' αὐτοῦ, καὶ τοὺς ἐφ' ἑκάστῳ τῶν πρακτέων τέθεικεν ὅρους. παραβάτης οὖν ἄρα, φησὶν, τῶν ἱερῶν γραμμάτων, ὁ τοῖς δι' ἐκείνου φρονῶν τἀναντία, καὶ λέλυται σαφῶς ὁ ἐπὶ τῷ σαββάτῳ θεσμός· ἐθεραπεύθης γὰρ ἐν σαββάτῳ· τὸν ἐπὶ τούτοις ἁλόντα καὶ κατεγνωσμένον, οὐκ εἰδέναι δίκαιον. 2.187 εὐλόγως ἤδη φαμὲν ὅτι τὸν θεῖον οὐ τετήρηκε νόμον. οὐκοῦν ὅτε λέγουσι περὶ Χριστοῦ, τό Οὐκ οἴδαμεν πόθεν ἐστὶν, οὐχ ὡς ἀγνοοῦντες τὸ τίς ἢ πόθεν ἐστὶ τὰ τοιαῦτά φασιν, ἁλί σκονται γὰρ ἑτέρωθεν διαῤῥήδην ὁμολογήσαντες εἰδέναι τὰ ἐπ' αὐτῷ. "Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱὸς, οὗ ἡμεῖς "τὸν πατέρα καὶ τὴν μητέρα οἴδαμεν; πῶς οὖν λέγει ὅτι "ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;" οὐχ ὡς ἀγνοίας οὖν ἄρα σημαντικὸν ἐκδεξώμεθα τό Οὐκ οἴδαμεν τοῦτον πόθεν ἐστὶν, ἀλλὰ τῆς ἐνούσης αὐτοῖς ἀλαζονείας καρπὸν ἐπαθρήσομεν. περιπτύοντες γὰρ τὰς ἑαυτῶν κεφαλὰς, καὶ ἐν τῷ μηδενὶ τὸ παράπαν λογιζόμενοι, τὴν τοιαύτην ἐπ' αὐτῷ λέγουσι φωνήν. εἰκὸς δὲ δήπου κἀκεῖνο βούλεσθαι δηλοῦν· ἀναπείθει γάρ πως ἡμᾶς τὸ τοῖς θεωρήμασι πρέπον καὶ εἰς λεπτοτέραν ἰέναι βάσανον· οἴδαμεν, φησὶν, ὅτι Μωυσῇ λελάληκεν ὁ Θεὸς, πιστεύσωμεν οὖν ἄρα καὶ ἀμελλητὶ τοῖς δι' αὐτοῦ, καὶ τηρή σωμεν τὰ θεόθεν διεσταλμένα· τοῦτον δὲ οὐκ οἴδαμεν, οὐ γὰρ λελάληκε πρὸς αὐτὸν ὁ Θεὸς, οὐδέ τι τοιοῦτον ἐπ' αὐτῷ διεγνώκαμεν. ἀλλ' ἔδει τοὺς Φαρισαίους, καίτοι δοκησι σοφεῖν εἰθισμένους, καὶ πολὺ τῇ γνώσει τῶν θείων ἐπαυ χοῦντας λόγων, ἐκεῖνο λογίζεσθαι, ὅτι διὰ τοῦ πανσόφου Μωυσέως προκηρύττων ὡς ἥξοντα κατὰ καιρὸν τὸν Ἰησοῦν ὁ Θεὸς καὶ Πατὴρ οὕτω φησί "Προφήτην ἀναστήσω αὐτοῖς "ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σε, καὶ δώσω τὸ ῥῆμά μου "ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθότι ἂν "ἐντέλλωμαι αὐτῷ. καὶ ἄνθρωπος ὃς ἂν μὴ ἀκούσῃ ὅσα "ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ "ἐκδικήσω ἐξ αὐτοῦ." καίτοι φήσειεν ἄν τις τοῖς Ἰουδαίοις εὐλόγως ἐπιφυόμενος Ὦ μόνον εἰδότες τὸ ἀπειθεῖν, εἰ τοῖς τοῦ Μωυσέως λόγοις καταπείθεσθε προαλέστερον, ἐπείπερ 2.188 αὐτῷ λελάληκεν ὁ Θεὸς, πῶς οὐκ ἐχρῆν τοῦτο δρᾶν καὶ ἐπὶ Χριστῷ, καίτοι διαῤῥήδην ἀνακεκραγότος ἀκούοντες "Τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"ῥήματα ἃ ἐγὼ λαλῶ, οὐκ ἔστιν ἐμὰ, ἀλλὰ τοῦ πέμψαντός "με Πατρός·" καὶ πάλιν "Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ "πέμψας με Πατὴρ αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ "τί λαλήσω;" πρόφασις οὖν ἄρα καὶ λογισμῶν εἰκαίων εὑρήματα τῶν Φαρισαίων οἱ λόγοι. εἰ γὰρ διὰ τοῦτό φασι Μωυσεῖ μᾶλλον ἕπεσθαι δεῖν, ἐπείπερ αὐτῷ λελάληκεν ὁ Θεὸς, τί μὴ ταῦτα φρονοῦσιν ἐπὶ Χριστῷ, καίτοι λέγοντι σαφῶς ἅπερ ἀρτίως εἰρήκαμεν; ἀλλ' ἐν μέρει τιμῶντες τὸν νόμον, καὶ σεπτὸν ἡγεῖσθαι προσποιούμενοι τὸ δοκοῦν τῷ Θεῷ, πλήττουσιν ἑτέρως χειρόνως ἀτιμάζοντες διὰ τοῦ μὴ παραδέχεσθαι θέλειν τὸ καιριώτερον κήρυγμα· τοῦτο δὲ ἦν τὸ ἐπὶ Χριστῷ διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν ὡς ἐν προ φήτου τάξει κατηγγελμένον. Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς Ἐν τούτῳ γὰρ τὸ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶ, καὶ ἤνοιξέ μου τοὺς ὀφθαλμούς. Καταπέπληγμαι, φησὶ, καὶ σφόδρα καλῶς εἰ τὸν ἐν ἁγιότητι τοσαύτῃ καὶ θεοπρεπεῖ δυναστείᾳ δι' ὧν εἴργασται μαρτυρούμενον ἠγνοηκέναι φατὲ, καὶ τὸ προσεδρεύειν ἀπερι σπάστως τῷ Θεῷ νομιζόμενοι, καὶ νόμου προεστηκότες, καὶ ταῖς ἱεραῖς ἐντρυφῶντες συλλαβαῖς, καὶ λαχόντες ἡγεμονίαν ἢ καὶ μάλιστα τὸ ἀγαθοὺς εἰδέναι φροντιστάς. τίνι γὰρ ἂν καὶ πρέποι τὸ εἰδέναι καλῶς τοὺς τερατουργοῦντας διὰ Θεοῦ, εἰ μὴ τοῖς καὶ ἱερᾶσθαι προστεταγμένοις, καὶ οἷς εἰς φρον τίδα τὸ σεπτὸν ἀπενεμήθη μυστήριον; καταπλήττεσθαι δὲ λέγων ὡς ἠγνοηκότας κομιδῇ τὸν οὕτως ἀξιάγαστον καὶ ξένην εἰς αὐτὸν ἐπιτελέσαντα τὴν θεοσημίαν, ὑποπλήττει 2.189 λεληθότως, ὅτι τοσοῦτον ἀφεστᾶσιν ἁγιασμοῦ, καὶ τῆς εἰς εὐσέβειαν ἐπιεικείας, ὡς καὶ ἀναισχύντως ὁμολογεῖν μηδὲ εἰδέναι παντελῶς τὸν ἀληθῶς ἅγιον, τουτέστι Χριστόν. Ἵνα γὰρ τὸν καθ' ἡμᾶς γυμνάσωμεν λόγον· εἰ ἀληθὲς τοῦτό που καλῶς εἰρημένον, ὅτι "Πᾶν ζῷον ἀγαπᾷ τὸ ὅμοιον "αὐτῷ, καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ·" πῶς εἴπερ ἦσαν ἅγιοί τε καὶ ἀγαθοὶ, τὸ κολλᾶσθαι φιλεῖν ἀπε τρέποντο τῷ ἁγίῳ καὶ ἀγαθῷ; ἔλεγχον οὖν ἄρα τῆς τῶν Φαρισαίων ἐναγοῦς πολιτείας, ἤτοι διαγωγῆς, ὠδίνει τὸ εἰρημένον. οἶμαι δέ τι καὶ ἕτερον ἐπὶ τούτῳ παραδηλοῦν. δεῖν γὰρ οἶμαι τοῖς θεωρήμασι φιλεργὸν ἐπάγοντα τὴν διάνοιαν, τὸ ἐν ἑκάστῳ κεκρύφθαι δοκοῦν ὀξυωπέστερον καθορᾶν. τί τοίνυν ἐστὶ τοῦτο; πολὺς μὲν ἅπασαν τὴν Ἰουδαίαν περιηχεῖτο λόγος περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, πλὴν ὡς περὶ προφήτου. οὕτω γὰρ ὁ νόμος αὐτὸν ἥξειν προεχρησμῴδησε "Προφήτην λέγων ἀνατήσει Κύριος ὁ "Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν·" εἶχον γεμὴν ἐν ἐλπίσιν ὡς ἀναδειχθεὶς κατὰ καιρὸν τὸν οἰκεῖον τὰ ὑπὲρ τὸν νόμον αὐτοῖς διαλεχθήσεται, καὶ τὴν ἀληθεστέραν τοῦ νομοθέτου βούλησιν εὖ μάλα διεξιὼν μεταπαιδεύσει τὰ πρεπωδέστερα. καὶ μὴ θαυμάσῃς εἰ παρὰ τοῖς Ἰουδαίοις ἐλπὶς ἦν καὶ λόγος τοιοῦτος, ὅπου καὶ παρὰ τοῖς ἀλλογενέσι ταὐτόθρους διέ σπαρτο λόγος. καὶ γοῦν ἡ Σαμαρεῖτις ἐκείνη γυνή "Οἴδαμεν "ὅτι Μεσίας ἔρχεται, ὁ λεγόμενος Χριστὸς, ὅταν ἔλθῃ "ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα." ᾔδεσαν τοιγαροῦν οἱ Ἰουδαῖοι, καὶ μάλα σαφῶς, ὅτι καὶ ἥξει Χριστός· τοῦτο γὰρ ὁ Μεσίας δηλοῖ· καὶ βούλησιν αὐτοῖς τὴν ἀμείνω διερμη νεύσει Θεοῦ, πρὸς δέ γε τούτοις ὅτι καὶ ὀφθαλμοὺς ἀνοίξει τυφλῶν διωμολόγητο παρὰ τοῦ Ἡσαΐου φάσκοντος ἐναργῶς, 2.190 ὅτι "Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν·" ἀλλὰ καὶ ἕτερός τις τὴν Ἱερουσαλὴμ περιεφοίτα λόγος, ἐπειδήπερ τὸν τοῦ Θεοῦ καὶ Πατρὸς ἄῤῥητον τόκον ἄγνωστον εἶναι πάντως φησὶν ὁ προφήτης Ἡσαΐας λέγων "Τὴν γενεὰν αὐτοῦ τίς "διηγήσεται;" πάλιν Ἰουδαῖοι πρὸς ἰδίας παρατρέποντες ἐννοίας τῶν εἰρημένων τὴν δύναμιν, ἀγνοηθήσεσθαι παν τελῶς τὸν Χριστὸν ὑπετόπησαν, οὐδενὸς τὸ παράπαν εἰδότος πόθεν ἐστὶ, καίτοι τῆς θείας γραφῆς φανοτάτην αὐτοῦ τὴν κατὰ σάρκα γέννησιν καθιστώσης ἡμῖν, διά τε τοῦτο βοώσης "Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν." ὅτι δὲ πάλιν ἀχειραγώγητος εἰς τὴν τῶν ἀναγκαίων κατάληψιν τῶν Ἰουδαίων ὑπάρχων ὁ νοῦς, ἀγνοήσεσθαι τὸν Χριστὸν ὑπε λάμβανον, οὐ χαλεπὸν οὖν ἰδεῖν, ἐξ ὧν ὁ μακάριος Εὐαγγε λιστὴς Ἰωάννης Ἱεροσολυμίταις ἐπ'


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῷ φάναι διισχυρίσατο. "Ἔλεγον γάρ τινες τῶν Ἱεροσολυμιτῶν Οὐχ οὗτός "ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; καὶ ἴδε παῤῥησίᾳ λαλεῖ, "καὶ οὐδὲν αὐτῷ λέγουσι. μήποτε ἀληθῶς ἔγνωσαν οἱ "ἄρχοντες ὅτι οὗτός ἐστιν ὁ Χριστός; ἀλλὰ τοῦτον "οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς "γινώσκει πόθεν ἐστίν." Οὐκοῦν τὰ τοιαῦτα δογματιζόντων ἀσυνέτως ἐπὶ Χριστῷ τῶν Ἰουδαίων, ἐννοίας ἤδη τὰς ἐπ' αὐτῷ λαμβάνει γοργῶς ὁ ποτὲ τυφλὸς ἀπὸ τοῦ θαύματος, μόνον δὲ οὐχὶ καὶ ἁρπάζει πρὸς βεβαίωσιν τῶν οἰκείων διαλογισμῶν τῶν Φαρισαίων τὸ ῥῆμα. ἐν τούτῳ γάρ φησίν ἐστι τὸ παράδοξον, ὅτι οὐκ οἴδατε πόθεν ἐστὶ, καὶ ἤνοιξέ μου τοὺς ὀφθαλμούς. δύο, φησὶν, ἔχω σημεῖα, καὶ μάλα σαφῆ, τοῦ αὐτὸν εἶναι τὸν Χριστόν. οὔτε γὰρ οἴδατε πόθεν ἐστὶν, ἀλλὰ καὶ ἤνοιξέ μου τοὺς ὀφθαλμούς. αὐτὸς οὖν ἄρα οὗτος σαφῶς ὁ διὰ νόμου προ βοώμενος, καὶ διὰ φωνῆς προφητῶν μαρτυρούμενος. 2.191 Οἴδαμεν ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. Προεντρυφήσας τρόπον τινὰ τοῖς διὰ τῶν προφητῶν καὶ νόμου κηρύγμασιν, ὥσπερ ἤδη τετελειωμένοις ἐν τῷ καὶ ἠγνοῆσθαι πόθεν ἐστὶν ὁ Χριστὸς καὶ ἀνοιχθῆναι ὀφθαλ μοὺς τυφλῶν, πανταχόθεν ἑαυτῷ τὰ εἰς πίστιν ἐρανιζόμενος βοηθήματα, προσεπινοεῖ τι καὶ ἕτερον. ἐξ ἀναγκαίων γὰρ καὶ ὁμολογουμένων ἐννοιῶν ἐπὶ τὴν τοῦ χρησίμου καὶ τοῦ πρέποντος ζήτησιν ἰέναι σχηματίζεται, καὶ συλλογισμὸν ὥσπερ τινὰ συνάγει θεοφιλῆ· φιλαμαρτημόνων μὲν γὰρ οὐκ ἀκοῦσαι πώποτε τὸν φιλοδίκαιόν τε καὶ φιλάρετον Θεὸν, ἄριστά γε φρονῶν καὶ διισχυρίζεται, καὶ τοῦτο ἐν τάξει τῶν ἀνενδοιάστως ὁμολογουμένων τιθεὶς, ἀντιπαρεισάγει τὸ ἐναν τίον ὡς ἀληθὲς, ὡς μηδαμόθεν ἀντιλεγόμενον, φημὶ δὴ τῷ πάντη τε καὶ πάντως ὑπακούειν τῶν θεοσεβεῖν εἰωθότων τὸν ἁπάντων Κύριον. καὶ ὁ μὲν τοῦ συμπεράσματος σκοπὸς εἰς μόνον ὁρᾷ τὸν Χριστὸν, πεποίηται δέ πως ἐπὶ τὸ γενικώ τερον καὶ καθολικὴν ἔχει τὴν δήλωσιν. ὡς γὰρ ἤδη φθάσας ἐμήνυσα, χθαμαλωτέραν ἔχει τὴν ἐπὶ Χριστῷ διάληψιν ὁ ποτὲ τυφλὸς, οὔπω δὲ ὄντα κατὰ φύσιν Θεὸν ἀκριβῶς ἐκμαθὼν, ὡς περὶ προφήτου διανοεῖται καὶ λαλεῖ, ἐφ' οὗπερ ἂν ἀκατηγορήτως τάττοιτο τὸ θεοσεβεῖν· Χριστῷ δὲ οὐδα μόθεν ἁρμόσει· Θεὸς γάρ ἐστι κατὰ φύσιν, τὴν ἐκ τῶν θεοσεβούντων λατρείαν, ὡς ἐν τάξει θυσίας πνευματικῆς προσδεχόμενος. 2.192 Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. Καταδηχθεὶς ὡς ἔοικεν οὐ μικρῶς, ἐπαλγήσας δὲ ὥσπερ ταῖς ἐπὶ Χριστῷ λοιδορίαις καὶ ἀφορήτως λελυπημένος, ἐπείπερ ὡς ὀνειδίζοντες ἔφασαν "Σὺ μαθητὴς εἶ ἐκείνου, "ἡμεῖς δὲ τοῦ Μωυσέως ἐσμὲν μαθηταὶ," συναγορεύειν ἐπείγεται τῷ οἰκείῳ καθηγητῇ, καὶ ἀντιπαρεξάγει τρόπον τινὰ τοῖς διὰ Μωυσέως τετελεσμένοις τὰ λαμπρὰ τοῦ Σωτῆρος ἡμῶν κατορθώματα, ὅσῳ μείζων ἐστὶν εἰς τερα τουργίαν, τοσούτῳ δεικνὺς ἐν ἀμείνοσιν. ἢ γὰρ οὐκ ἀνάγκη τὸν τοῦ μείζονος ἀποτελεστὴν εἶναι δὴ πάντως καὶ κατὰ τὴν δόξαν ὑπερφερῆ; ἀλλ' ἔστιν οὐκ ἀμφίβολον. ὁμοῦ δὲ ὡς εἰκὸς δηλοῖ τι τοιοῦτον, ἀρχαιοτάτης μὲν προαδούσης προφη τείας, ἐχούσης δὲ ὧδε περὶ τῆς Χριστοῦ παρουσίας "Τότε," φησὶν, "ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν," οὐδεὶς μέν πω πρότερον τοιοῦτόν τι δεδρακὼς ἐθαυμάσθη, πεπλήρωται δὲ διὰ τούτου καὶ μόνου ὃν ὑμεῖς οὐκ οἶδ' ὅπως, φησὶν, ἁμαρ τωλὸν ἀποκαλεῖν οὐ κατεναρκήσατε. καίτοι πολὺς μὲν ἁγίων προφητῶν ἀνεδείχθη χορὸς, οὐκ εὐαρίθμητοι δὲ δικαίων ἐμοὶ διὰ τῶν ἱερῶν φέρονται γραμμάτων, ἀλλ' Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. οὐχ οὗτος οὖν ἀρά ἐστιν ὁ Χριστὸς ὁ πέρας ἐπενεγκὼν τοῖς τῶν προφητῶν μηνύμασιν, ὁ πρὸς τέλος διεξαγαγὼν τὰ πάλαι διηγγελμένα; εἰ γὰρ οὐδείς τις παρ' αὐτὸν ἀνοίγει ἕτερος τυφλῶν ὀφθαλμοὺς, τί λοιπὸν ἀντιστατήσει τῇ πίστει· τί δὲ ἀνατρέψει τὴν ἐπ' αὐτῷ συναίνεσιν; ἢ πῶς οὐ παντὸς ἐνδοιασμοῦ γεγονότος ἐκποδὼν, διὰ λειοτάτης ὥσπερ δρα μεῖται τῆς ὁδοῦ τῆς ἐπ' αὐτῷ γνώσεως τὸ μυστήριον; 2.193 Συναγορεύει τοιγαροῦν τῷ Σωτῆρι Χριστῷ καὶ διὰ τούτων ὁ τεθεραπευμένος. βλέπε δὲ ὅπως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐφυῶς τὸν τῆς συνηγορίας ἐξυφαίνει λόγον. ἦν μὲν γὰρ ὄντως ἐλευθέρας παντελῶς παῤῥησίας εἰπεῖν, ὅτι καὶ Μωυσέως καὶ προ φητῶν ἀμείνων τε καὶ διαφανέστερός ἐστιν ὁ Χριστὸς, ἀλλ' ἦν οὐκ ἀπεικὸς ἐννοεῖν ἀλύοντας ἐπὶ τούτῳ τοὺς Φαρισαίους τὸ μὲν ἐπαγωνίζεσθαι τοῖς ἁγίοις ὡς ὑβρισμένοις προσποιεῖ σθαι πανούργως, εὐαφόρμως δὲ ἤδη καὶ κολάζειν ἐπιχειρῆσαι τὸν ἄνθρωπον, ἵνα μὴ ζῶν καὶ ὁρώμενος ὑπόμνημα τῆς Χριστοῦ φαίνοιτο δόξης, καὶ εἰκὼν ὥσπερ τις τῆς ἐνούσης αὐτῷ θεοπρεποῦς ἐξουσίας· διὰ τοῦτο καὶ τὴν ἐντεῦθεν ὑπεκνεύων ὀργὴν, καὶ ταῖς ἐκείνων μιαιφονίαις ἀποκλείων τὴν εἰς τὸ πρόσω πάροδον, ἐπὶ τὸ καθόλου καὶ ἀσημότερον παρατρέπει τοῦ λόγου τὸν σκοπὸν, Ἐκ τοῦ αἰῶνος ὑπὸ μηδενὸς τὸ παράπαν γεγενῆσθαι λέγων ὅπερ εἴργασται Χριστὸς ἐπ' αὐτῷ. τοῦτο δὲ ἦν ἕτερον ὑποδεικνύοντος οὐδὲν, ἢ ὅτι μείζων ἁπάντων καὶ ἐπιδοξότερος ὁ Χριστὸς, ὁ τοιαύτην ἐνοῦσαν αὐτῷ τήν τε δύναμιν καὶ ἐξουσίαν διὰ πραγμάτων ἐπιδεικνὺς, ἣν πεφόρηκεν οὐδεὶς τῶν ἁγίων πώποτε. καταστέφει τοιγαροῦν τὸν οἰκεῖον ἰατρὸν τῇ κατὰ πάντων ὑπεροχῇ, λαβὼν εἰς ἀπόδειξιν τὸ τοῖς ἑτέροις ἀνή νυτόν τε καὶ ἀνεπιχείρητον θαῦμα, τοῦτο δὲ ἦν ἡ τυφλότητος ἀνατροπή. Εἰ μὴ ἦν. οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. Ὀξυωπέστερος εἰς ἀλήθειαν τῶν διὰ νόμου πεπαιδευ μένων ὁ ἄρτι βλέπων, καὶ τῆς ἀρχαίας τυφλότητος παρα δόξως ἀπηλλαγμένος· ἰδοὺ γὰρ ἰδοὺ πολλοῖς ἄγαν καὶ 2.194 σοφοῖς ἀποκέχρηται λόγοις κιβδηλοτάτην ἐπιδεικνὺς τῶν Φαρισαίων τὴν γνώμην. ἐπειδὴ γὰρ ἔφασαν ἀνοήτως περὶ Χριστοῦ, ὅτι "Τοῦτον οὐκ οἴδαμεν πόθεν ἐστὶν," ἐξελέγχει πάλιν εὐτόνως, ὡς φρονοῦντας πλημμελῶς, ὅτε τὸ παράπαν οὐκ εἰδέναι φασὶ τὸν οὕτω θαυματουργὸν, προδήλου πᾶσιν ὑπάρχοντος ὡς ἀμήχανόν τι δρᾶν τῶν διὰ θείας ἐνεργείας ἀποτελουμένων τὸν οὐκ ὄντα παρὰ Θεοῦ. ἐνεργεῖ γὰρ διὰ μόνων ἁγίων τὰ τοιαῦτα Θεός· ἀλλοτρίῳ δὲ καὶ οὔπω βεβηκότι τὴν εἰς αὐτὸν εὐσέβειαν οὐκ ἂν ἐπιδοίη ποτὲ τὸ δύνασθαι τοιαύταις ἐναβρύνεσθαι δόξαις. ἐπεὶ λεγέτω παρ ελθὼν ὁ παραπλὴξ Φαρισαῖος, τίς ἐστι λοιπὸν ἡ διαφορὰ παρὰ Θεῷ ἁγίου καὶ βεβήλου, δικαίου καὶ ἁμαρτωλοῦ, ἀνοσίου καὶ θεοφιλοῦς. εἰ γὰρ ἐφεῖται διὰ τῶν ἴσων ἀπαρα ποιήτως διαλάμπειν ἑκάτερον, οὐδὲν ἔτι τὸ μεσολαβοῦν, πάντα δὲ ἤδη συγκέχυται, καὶ τὸ γεγραμμένον εὐλόγως ἐροῦμεν "Τί ἱκανῶς δουλεύσομεν αὐτῷ, ἢ τίς ὠφέλεια ὅτι "ἀπαντήσομεν αὐτῷ;" εἰ γὰρ καθάπερ ἔφη τις τῶν παρ' Ἕλλησι ποιητῶν Ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι, καὶ ἐν ἴσῃ τιμῇ κακός τε καὶ ἀγαθὸς, πῶς οὐκ εἰκαῖον τὸ πικρῶν ἀποπειρᾶσθαι πόνων διὰ τὴν ἀρετήν; ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχειν λογιούμεθα· πόθεν; "Τοὺς γὰρ δοξάζοντάς "με, φησὶν ὁ Θεὸς, δοξάσω, καὶ ὁ ἐξουδενῶν με ἐξουδενω "θήσεται." Ἐροίμην δ' ἂν ἔγωγε τοὺς οἰησίφρονας Φαρισαίους, εἰ ἀδιακρίτως καὶ διὰ τῶν ἁμαρτωλῶν ἐνεργεῖ τὰ τοιαῦτα Θεὸς, τί μὴ ταὐτὰ τῷ μεγάλῳ Μωυσεῖ δεδράκασι κατὰ τὴν 2.195 Αἰγυπτίων οἱ μάγοι; διὰ τί μὴ διὰ τῶν ἴσων ἰόντες θαυ μάτων τὴν αὐτὴν ἐκείνῳ δόξαν ἀπηνέγκαντο; ἀλλ' ἐρεῖς ὅτι γέγονε μὲν ὄφις πεσοῦσα πρὸς γῆν ῥάβδος ἡ Μωυσαϊκὴ, γεγόνασι δὲ οὐδὲν ἧττον καὶ αἱ τῶν μάγων. ἀντακούσῃ παρ' ἡμῶν ὡς αἱ μὲν ἐκείνων οὐκ εἰς ὄφιν μεταπεποίηντο, ἀλλ' ἦν ἀπάτη καὶ φάντασμα τῆς ἀνθρωπίνης ὄψεως παρα κλέπτον τὴν ἀκρίβειαν, καὶ τέχνη τις ἦν μαγικὴ τὴν ῥάβδον ὡς ὄφιν ἐπιδεικνύουσα· ἡ δὲ Μωυσέως ἀληθῶς εἰς ὄφιν μετεσκευάζετο, καὶ εἰς τὴν τοῦ θηρίου μετεπήδα φύσιν. ἀπὸ δὲ τῆς διαφορᾶς τῆς τοῖς ἱεροῖς ἐντεθείσης γράμμασιν, ἀληθὲς κατόψει τὸ εἰρημένον. κατέφαγε γὰρ ἡ Μωυσέως τὰς ἐκείνων ῥάβδους· ἐπειδὴ γὰρ αἱ μὲν ἐν ψιλοῖς ἦσαν τῶν ὄφεων σχήμασιν, ἡ δὲ ἀληθῶς τε καὶ φυσικῶς τοῦτο ἦν ὅπερ ἐφαίνετο, παρεκομίσθη καὶ εἰς ὀργὴν, ἵνα ζῷον φαί νηται, καὶ ῥάβδος οὐκέτι, καταδάκνει δὲ καὶ ὑπὲρ δύναμιν ὄφεως ἀφάτῳ δυνάμει, καὶ τὸ οὕτω χαλεπὸν ἐξευμαρίζοντος τοῦ Θεοῦ. λεγέτω δέ μοι πάλιν ὁ Φαρισαῖος, οἱ ταῖς ἑαυτῶν ῥάβδοις τὰ τῶν ὄφεων ἐπιθέντες σχήματα, καὶ πῶς καὶ χεῖρα λεπρῶσαν οὐκ ἔδειξαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθαρὰν, ἀτονήσαντες δὲ διαῤ ῥήδην ἔφασκον "Δάκτυλος Θεοῦ ἐστι τοῦτο." πῶς δὲ, εἰπέ μοι, πῦρ ἐξ οὐρανῶν οὐ κατῆγον οἱ τοῦ Βαὰλ ἱερεῖς, καίτοι κατενεγκόντος Ἡλίου; ἐν προσωποληψίαις οὖν ἄρα τὰ παρὰ Θεοῦ; μὴ γένοιτο· δίκαιος γὰρ ὢν καὶ δικαίων ἐραστὴς, καὶ διὰ μὲν τῶν ἁγίων ἐνεργεῖ τὰ χαρίσματα τὰ παράδοξα, διὰ δὲ τῶν πλημμελούντων οὐδαμῶς. εὐλογώτατα τοίνυν ὁ ποτὲ τυφλὸς ταῖς τῶν Φαρισαίων ἀθυρογλωττίαις ἐπιτιμᾷ, καὶ πλημμελῶς ἐλέγχει πεφρονηκότας, ἐπείπερ οὐκ εἶναί φασι παρὰ Θεοῦ τὸν ἐκ τοῦ δύνασθαι δρᾷν τὰ παράδοξα θεόθεν ὄντα κατὰ φύσιν μαρτυρούμενον. 2.196 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν ἔξω. Δυσπαράδεκτα τοῖς πολλοῖς τὰ ἐξ ἐλέγχων τραύματα καὶ ἡ δι' αὐτῶν ἐπανόρθωσις. οἰστὰ μὲν γὰρ καὶ ἡδέα τοῖς σοφοῖς, ἐπείπερ ἔχει πολλὴν ἐν ἑαυτοῖς τὴν ὄνησιν καὶ τὴν εἰς τὸ ἄμεινον ἀνακομιδὴν, κἂν συνεισβαίνῃ τὸ δάκνον. πικρὰ δὲ τοῖς φιλαμαρτήμοσι, καὶ διὰ ποίαν αἰτίαν; ἐῤῥιζώ σαντες γὰρ ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς τὴν διάνοιαν, τὴν ἐντεῦθεν αὐτοὺς ἀποκείρουσαν νουθεσίαν ὡς τὸ λυποῦν ἐκτρέπονται, καὶ ζημίαν ἡγοῦνται τὴν ἐκ τῶν ἡδέων ἀπο δρομὴν, οὐδένα τοῦ λυσιτελεῖν πεφυκότος ποιούμενοι λόγον. ὅνπερ γὰρ τρόπον οἱ νεὼς ἀποπίπτοντες, καὶ ποταμίῳ ῥεύματι γεγονότες ἁλώσιμοι ἀντιπράττειν μὲν οὐδαμῶς ἰσχύουσι, τὸ δὲ ἀντινήχεσθαι τοῖς ὕδασι σφαλερὸν ἡγού μενοι, μόνῃ φέρονται τῇ ῥύμῃ· τὸν αὐτὸν οἶμαι τρόπον καὶ οὗτοι, περὶ ὧν ἀρτίως ὁ λόγος, τῇ τῶν οἰκείων ἡδονῶν τυραννίδι νικώμενοι, πάσας ἔχειν αὐταῖς ἐπιτρέπουσι τὰς ἡνίας, τὸ ἀντιστατεῖν κατά τι γοῦν ἀπαυδήσαντες. δυσφο ροῦσι τοιγαροῦν οἱ δείλαιοι Φαρισαῖοι, καὶ τῷ τῶν ἀρίστων εἰσηγητῇ θηριοπρεπῶς ἐπιτρίζοντες, ἐπὶ τὰ τῆς ὀργῆς χαί ρουσι προοίμια, καὶ μανίας ἀπρόσιτον ἀπαρχὴν ἀναβλύ ζοντες λοιδοροῦσιν ἀθέσμως, ἀναπηδῶντες δὲ τρόπον τινὰ πρὸς τὴν σύντροφον αὐτοῖς ὑπεροψίαν, ἐν ἁμαρτίαις γεγεννῆ σθαί φασι τὸν τυφλὸν, Ἰουδαϊκαῖς ὑπονοίαις πρὸς τοῦτο διαπαιζόμενοι, καὶ ἀσυστάτῳ δόγματι συναγορεύοντες ἀμα θῶς. ὅτι γὰρ τῶν ὄντων οὐδεὶς οὔτε δι' ἑαυτὸν κυρίως, οὔτε μὴν διὰ τοὺς τεκόντας αὐτὸν ἢ τυφλὸς ἀποτίκτεται, 2.197 ἤγουν ἕτερόν τι πάθος ἔχων σωματικὸν, ἀλλ' οὐδὲ ὅτι τὰς πατέρων ἁμαρτίας ἐπὶ τέκνα καταφέρει Θεὸς, οὐκ ἀκόμψως, ὥς γε μοι φαίνεται, διὰ μακροῦ δεδείχαμεν λόγου, προτε θέντος ἡμῖν εἰς ἐξήγησιν "Ῥαββὶ, τίς ἥμαρτεν, οὗτος ἢ οἱ "γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;" ἐπειδὴ τοίνυν διελέγ χειν ἔγνω τοὺς Φαρισαίους ὁ ποτὲ τυφλὸς, οὐχ ὅπως ἐλοιδο ρήθη μόνον, ἀλλὰ καὶ ἐκβάλλεται παρ' αὐτῶν. καὶ δέχου πάλιν εἰς τύπον πράγματος ἀληθοῦς τὸ τετελεσμένον· ὅτι γὰρ ἔμελλον οἱ ἐξ Ἰσραὴλ καταβδελύσσεσθαι τοὺς ἐξ ἐθνῶν ὡς τεθραμμένους ἐν ἁμαρτίαις διὰ τὴν προλαβοῦσαν ἀπάτην, ἐπιγνώσεταί τις ἐξ ὧν οἱ Φαρισαῖοι πρὸς ἐκεῖνον εἰρήκασιν. ἐκπέμπουσι δὲ αὐτὸν, ἀπόπεμπτοι γὰρ καὶ ἀπόβλητοι παρὰ τοῖς Ἰουδαίοις οἱ τὸν ἐπὶ Χριστῷ πρεσβεύοντες λόγον. Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω. Ἀκοῦσαί φησιν ὁ θεσπέσιος Εὐαγγελιστὴς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐχὶ πάντως, οὐδὲ ἐξ ἀνάγκης ἀπαγ γέλλοντός τινος αὐτῷ τὸ γεγενημένον, ἀλλ' ἐπείπερ ὥς πού τις ἔφη τῶν σοφῶν "Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκου "μένην, καὶ οὖς ἀκροάσεως ἀκροᾶται τὰ πάντα." εἰσακούει γὰρ, ὡς ὁ ψάλλων φησίν "Ὁ φυτεύσας τὸ οὖς οὐχὶ "ἀκούει; καὶ ὁ πλάσας ὀφθαλμὸν οὐχὶ κατανοεῖ;" ὅταν τοίνυν ὑβριζώμεθα δι' αὐτὸν, ἢ καί τι τῶν πεφυκότων λυπεῖν ὑπομένωμεν παρὰ τῶν θεομαχεῖν εἰωθότων, πιστεύειν ἀκό λουθον, ὅτι δὴ πάντως ἐπόπτης ἔσται Θεὸς, ἀκούει δὲ ὥσπερ τὸν ἐπισυμβαίνοντα πειρασμόν· αὐτὴ γὰρ ἡ φύσις τοῦ πράγματος καὶ τῶν δι' αὐτὸν ἀτιμαζομένων τὸ γνήσιον ἐν ὠσὶ τοῖς θείοις μεγάλην ἔχει τὴν βοήν. 2.198 Καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Ἐκβέβληται παρὰ τῶν Φαρισαίων ὁ ποτὲ τυφλὸς, ἀλλ' οὐ μακροῦ μεταξὺ διαγεγονότος χρόνου ζητεῖ μὲν αὐτὸν ὁ Χριστὸς, εὑρὼν δὲ μυσταγωγεῖ. σημεῖον οὖν ἔσται καὶ τοῦτο τοῦ ἐν φροντίδι κεῖσθαι τῇ παρὰ Θεῷ τοὺς συνα γορεύειν ἐθέλοντας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῷ, καὶ τῆς εἰς αὐτὸν πίστεως προκιν δυνεύειν οὐ καταφρίττοντας. ἀκούεις γὰρ ὅπως ὡς ἐν τάξει καλῆς ἀντιμισθίας ἑαυτὸν ἐμφανῆ καθιστὰς, τελεώτατον αὐτῷ τὸν ἐπὶ τῇ πίστει λόγον ἐμφυτεύειν ἐπείγεται. προσ άγει δὲ τὴν πεῦσιν ἵνα λάβῃ τὴν συναίνεσιν. οὗτος γὰρ τοῦ πιστεύειν ὁ τρόπος. διὰ γάρ τοι τοῦτο τοὺς ἐπὶ τὸ θεῖον ἰόν τας βάπτισμα προδιερωτωμένους παρέργως εἰ πεπιστεύκασι, συναινοῦντάς τε ἤδη καὶ διωμολογηκότας, ὡς γνησίους ἤδη τῇ χάριτι παραπέμπομεν. ἄρχεται ὁ τοῦ πράγματος τοίνυν τύπος ἐντεῦθεν ἡμῖν, καὶ ἐξ αὐτοῦ μεμαθήκαμεν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ τίνα χρὴ τὸν τρόπον τὸν ἐπὶ τῇ πίστει ποιεῖσθαι λόγον. διὰ τοῦτο καὶ ὁ θεσπέσιος Παῦλος ὁμολο γεῖσθαι τὴν ἐν τούτοις ὁμολογίαν ἐπὶ πολλῶν μαρτύρων διισχυρίσατο, τουτέστι, τῶν ἁγίων ἀγγέλων· καὶ εἰ φρικῶδές ἐστι τὸ ἐπ' ἀγγέλων εἰρηκότα διαψεύσασθαι, πόσῳ μᾶλλον ἐπ' αὐτοῦ τοῦ Χριστοῦ; ἐρωτᾷ τοιγαροῦν τόν ποτε τυφλὸν οὐχ ἁπλῶς εἰ βούλοιτο πιστεύειν, ἀλλὰ καὶ εἰς τίνα, προστί θησιν. ἡ γὰρ πίστις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ οὐχ ὡς εἰς ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς, ἀλλ' ὡς εἰς Θεὸν ἐνανθρωπή σαντα. πλῆρες γὰρ οὕτω τὸ ἐπὶ Χριστῷ μυστήριον. λέγων δὲ τό Σὺ πιστεύεις, μονονουχί φησι Βούλει τῆς ἐκείνων ἀπο νοίας ὁρᾶσθαι κρείττων; σὺ ταῖς ἐκείνων ἀπειθίαις ἐῤῥῶσθαι 2.199 φράσας καταδέχῃ τὴν πίστιν. τὸ γάρ Σὺ τοιαύτην εἰσφέρει τινὰ τὴν ὡς πρὸς ἑτέρους ἀντιδιαστολήν. Καὶ τίς ἐστι Κύριε, φησὶν, ἵνα πιστεύσω εἰς αὐτόν; Ἡ σώφρονι λογισμῷ προκατηρτισμένη ψυχὴ, ἐλευθέροις τε τῆς διανοίας ὄμμασι τὸν τῆς ἀληθείας διερευνῶσα λόγον ἀπαραποδίστως ἐπ' αὐτῇ καθάπερ εἰς λιμένα καταίρει, καὶ ἀταλαίπωρον ἔχει τὴν τοῦ συμφέροντος θήραν. ἔσται δὲ πάλιν ἀπόδειξις τῶν εἰρημένων ὁ ποτὲ τυφλός. διὰ πολλῶν γὰρ ἤδη λογισμῶν τε καὶ ἐννοιῶν τὸ ἐπὶ Χριστῷ θαυμάσας μυστήριον, ἀλλὰ καὶ τὴν ἄῤῥητον αὐτοῦ καταπεπληγμένος ἰσχὺν, ἐξ ὧν, οὐχ ἕτερός τις, ἀλλ' αὐτὸς ἐφ' ἑαυτῷ πεπεί ραται, πρόχειρος οὕτως εἰς τὸ πιστεύειν εὑρίσκεται, καὶ ἀμελλητὶ πρὸς τοῦτο βαδίζων. ἰδοὺ γὰρ ἰδοὺ τίνι δεήσαι προσάγειν τὴν ἤδη προοικοδομηθεῖσαν ἐν αὐτῷ πίστιν διερωτᾷ. λείπει γὰρ αὐτῷ τοῦτο μόνον προηυτρεπισμένῳ πρὸς ἐκεῖνο καθάπερ εἰρήκαμεν. Καὶ εἶπεν ὁ Ἰησοῦς Καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. Εἰς τίνα προσήκοι πιστεῦσαι διερωτώμενος, ἑαυτὸν ἐπι δεικνύει, καὶ οὐχ ἁπλῶς Ἐγώ εἰμι λέγων, ἀλλὰ τὸν ὁρώ μενόν τε καὶ προσλαλοῦντά φησι τὸν Υἱὸν εἶναι τοῦ Θεοῦ, ὠφελείας τῆς ἡμετέρας πανταχῇ προνοῶν, καὶ τὰ εἰς πίστιν βοηθήματα τὴν ἀπλανῆ τε καὶ ἀδιάστροφον ἐξυφαίνων ποικίλως, ἵνα μὴ δοκοῦντες εὐσεβεῖν εἰς βρόχους καὶ πάγην 2.200 ἐμπέσωμεν διαβολικὴν, τοῦ μυστηρίου τὴν ἀλήθειαν ἀσυ νέτως ἀποτρεπόμενοι. ἤδη γάρ τινες καὶ τῶν δοκούντων εἶναι Χριστιανῶν, οὐ συνέντες ἀκριβῶς τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν σκοπὸν, ἀποδιελεῖν τετολμήκασι τοῦ Θεοῦ Λόγου τὸν ἐκ γυναικὸς δι' ἡμᾶς ληφθέντα ναὸν, καὶ εἰς υἱῶν κατεμέρισαν δυάδα τὸν ἕνα καὶ ἀληθῶς Υἱὸν, καὶ ὅτι γέγονεν ἄνθρωπος· διὰ γὰρ πολλὴν ἀποπληξίαν ἀπαξιοῦσι κατὰ τὸ εἰκὸς ὁμολογεῖν, ὃ καὶ δρᾶσαι δι' ἡμᾶς οὐκ ἀπηξίωσεν ὁ Μονογενής. αὐτὸς γὰρ "ἐν μορφῇ Θεοῦ ὑπάρχων" κατὰ τὸ γεγραμμένον, "οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, "ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν," ἵνα γένηται καθ' ἡμᾶς ἄνθρωπος δηλαδὴ χωρὶς ἁμαρτίας· οἱ δὲ φρο νοῦσιν ἐκτόπως ἐπιτιμῶντες τρόπον τινὰ τῇ θείᾳ καὶ φιλαν θρώπῳ βουλῇ, παρωσάμενοι δὲ ὅσον εἰς οἰκείας ἐννοίας τῆς ἀληθοῦς υἱότητος τὸν ἐκ γυναικὸς ληφθέντα ναὸν, οὐ παρα δέχονται τὴν ταπείνωσιν, πολὺ δὲ τῆς ἀληθείας ἀπεσφαλ μένην ἐπινοοῦντες δόξαν, ἕτερον μὲν εἶναί φασι τὸν ἐκ Θεοῦ Πατρὸς Υἱὸν Μονογενῆ, τουτέστι, τὸν ἐκ τῆς οὐσίας αὐτοῦ γεννηθέντα Λόγον, ἕτερον δὲ πάλιν τὸν ἐκ γυναικὸς υἱόν. εἶτα τῆς θεοπνεύστου γραφῆς Υἱὸν καὶ Χριστὸν ἀνακηρυτ τούσης ἕνα, πῶς οὐχὶ ἁπάσης εἰσὶ δυσσεβείας ἀνάπλεῳ διατέμνοντες εἰς δύο τὸν ἕνα καὶ ἀληθῶς Υἱόν; ᾗ μὲν γάρ ἐστι Θεὸς Λόγος, ἕτερος νοεῖται παρὰ τὴν σάρκα· ᾗ δὲ σάρξ ἐστιν, ἕτερόν τι νοεῖται παρὰ τὸν Λόγον· ᾗ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ γέγονεν ἄνθρωπος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἀργήσει παντελῶς τὸ ἕτερος καὶ ἕτερος διὰ τὴν ἄῤῥητον ἕνωσίν τε καὶ σύνοδον. εἷς γὰρ καὶ μόνος Υἱὸς, καὶ πρὸ τῆς πρὸς σάρκα συνόδου, καὶ ὅτε συνῆλθε σαρκί· διὰ δὲ τῆς σαρκὸς ὁλοκλήρως τὸν ἄνθρωπον ὀνομάζομεν, τὸν ἐκ ψυχῆς καὶ σώματος λέγω. διὰ ταύτην οὖν ἄρα τὴν πρόφασιν, προνοητικώτατα πάλιν ὁ 2.201 Κύριος Τίς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ διερωτώμενος, οὐκ εἶπεν Ἐγώ· ἦν γὰρ δή τινας, ὡς εἰκὸς, ἀσυνέτως ὑπολαμβάνειν ὅτι μόνος ὁ Λόγος ὁ ἐκ Θεοῦ καὶ Πατρὸς πεφηνὼς διὰ τούτου κατεσημαίνετο, αὐτὸ δὲ τῶν δοκούντων ἀμφιβάλλε σθαι παρά τισιν ἑαυτὸν προαποδείξας διὰ τοῦ εἰπεῖν Καὶ ἑώρακας αὐτόν· καὶ τὸν ἐνοικοῦντα αὐτὸν τῇ σαρκὶ παρα δεικνύει Λόγον, διὰ τοῦ πάλιν εἰπεῖν καὶ ἐνεγκεῖν Καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁρᾷς οὖν ὅσην ὁ Λόγος ἔχει τὴν ἕνωσιν· οὐ γὰρ τέθεικε διαφορὰν, ἀλλ' ἑαυτὸν εἶναί φησι, καὶ τὸν τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὑποπίπτοντα, καὶ τὸν ἐκ τῆς λαλιᾶς γινωσκόμενον. ἀπαίδευτον οὖν ἄρα καὶ δυσσεβὲς κομιδῇ τὸ λέγειν ἀπερισκέπτως τινάς Ὁ ἄνθρωπος τοῦ Χριστοῦ· Θεὸς γὰρ ὢν γέγονεν ἄνθρωπος ἀδιαίρετος ὅσον εἰς τὸ εἶναι Θεὸς καὶ Υἱὸς καὶ μετὰ σαρκὸς, τελεωτάτη γὰρ ἐν τούτοις ἡ τῆς εἰς αὐτὸν πίστεως ὁμολογία καὶ γνῶσις. Ὁ δὲ εἶπε Πιστεύω, Κύριε. καὶ προσεκύνησεν αὐτόν. Ὀξὺς εἰς ὁμολογίαν τὴν ἐπὶ τῇ πίστει φημὶ, καὶ θερμὸς εἰς εὐσέβειαν ὁ ποτὲ τυφλός. ἐπειδὴ γὰρ ἔγνω παρόντα τε καὶ ὁρώμενον τὸν ἀληθῶς Υἱὸν τὸν Μονογενῆ, προσεκύνησεν ὡς Θεῷ, καίτοι βλέπων αὐτὸν ἐν σαρκὶ, δόξαν οὐκ ἔχοντα τὴν ὄντως θεοπρεπῆ, πεφωτισμένος δὲ τὴν καρδίαν ἀπὸ τῆς ἐνούσης αὐτῷ δυνάμεώς τε καὶ ἐξουσίας, ἀναλόγως εἰς ἐννοίας ἀναπηδᾷ σοφάς τε καὶ ἀγαθὰς, καὶ τῆς θείας αὐτοῦ καὶ ἀῤῥήτου φύσεως τὸ κάλλος καταφαντάζεται· οὐ γὰρ ἂν 2.202 προσεκύνησεν ὡς Θεὸν, εἰ μὴ Θεὸν εἶναι πεπίστευκεν, ἀπὸ 2.202 τοῦ γεγονότος εἰς αὐτὸν καὶ παραδόξως τετελεσμένου θαύ ματος ἐπὶ τὸ φρονεῖν οὕτω παιδαγωγούμενος. ἐπειδὴ δὲ ὅλην τὴν ἐπ' αὐτῷ πραγματείαν εἰς τὸ τῶν ἐθνῶν μετη γάγομεν πρόσωπον, φέρε δὴ περὶ τούτου λέγωμεν πάλιν. βλέπε γάρ μοι πληροῦντα διὰ τῆς προσκυνήσεως τῆς ἐν πνεύματι λατρείας τὸν τύπον, εἰς ὃν ἐχειραγωγήθη τὰ ἔθνη διὰ τῆς πίστεως. βουθυσίαις γὰρ καὶ λιβανωτοῖς καὶ ταῖς τῶν ἑτέρων ζῴων προσαγωγαῖς, θεραπεύειν ἦν ἔθος τῷ Ἰσραὴλ τὸν ἁπάντων Κύριον κατ' ἐπίταγμα νομικόν· οἱ δὲ ἐξ ἐθνῶν πεπιστευκότες, οὐ ταύτην ἴσασι τῆς λατρείας τὴν ὁδὸν, ἐτράποντο δὲ τὴν ἑτέραν, τουτέστι, τὴν πνευματικὴν, ἣν δὴ καὶ μάλιστα φίλην αὐτῷ καὶ ἡδίονά φησιν εἶναι Θεός. οὐ γὰρ "φάγομαι κρέα ταύρων, φησὶν, ἀλλ' οὐδὲ "αἷμα τράγων πίομαι." θύειν δὲ μᾶλλον ἡμῖν ἐπιτάττει "θυσίαν αἰνέσεως," τουτέστι, τὴν μετ' ᾠδῆς προσκύνησιν, εἰς ἣν ὅτι πάντως ἀναβήσεται τὰ ἔθνη διὰ τῆς πίστεως ἐν Ἁγίῳ Πνεύματι θεωρήσας ὁ μελῳδὸς ὡς πρὸς τὸν Κύριον ἡμῶν καὶ Σωτῆρά φησιν "Πᾶσα ἡ γῆ προσκυνησάτωσάν "σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου." ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῆς νομικῆς λατρείας ἐν ἀμείνοσιν οὖσαν ἐπιδεικνὺς τὴν πνευμα τικὴν, πρὸς τὴν ἐκ τῆς Σαμαρείας γυναῖκά φησι "Πίστευέ "μοι, γύναι, ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ "οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. ἀλλ' "ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ "προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ "γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. "πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύ "ματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν." διαλογιζόμεθα δὲ φρο 2.203 νοῦντες ὀρθῶς τούτῳ διαπρέπειν τῷ τρόπῳ καὶ τοὺς ἁγίους ἀγγέλους, καὶ ὥσπερ τινὰ δορυφορίαν πνευματικὴν προς κομίζειν Θεῷ τὴν προσκύνησιν. καὶ γοῦν ὅτε τὴν θεοπρεπῆ προάγειν τιμὴν τῷ Πρωτοτόκῳ καὶ Μονογενεῖ τὸ Πνεῦμα τοῖς ἄνω διεκελεύετο "Καὶ προσκυνησάτωσαν αὐτῷ, φησὶ, "πάντες ἄγγελοι Θεοῦ." ἀλλὰ καὶ ὁ θεῖος ἡμᾶς ψαλμῳδὸς πρὸς τοῦτο λέγων ἐκάλει "Δεῦτε προσκυνήσωμεν καὶ προσ "πέσωμεν αὐτῷ." καὶ μακρηγορεῖν μὲν ἦν ἐπὶ τούτοις οὐ χαλεπόν· μέτρον δὲ τοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰρημένοις ἐπιθέντες τὸ πρέπον, τῆς τῶν ῥητῶν παραθέσεως πρὸς τὸ παρὸν ἀφεξόμεθα. πλὴν ἐκεῖνο πάλιν ἀναμνήσωμεν, ὅτι τῆς τῶν ἐθνῶν λατρείας τὸν τύπον ἀπεπλήρου καλῶς ὁ ποτὲ τυφλὸς, τῇ τῆς πίστεως ὁμολογίᾳ γείτονα τιθεὶς τὴν προσκύνησιν. Καὶ εἶπεν ὁ Ἰησοῦς Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Τῆς ἀναδείξεως, τῆς ἐν τῷδε τῷ κόσμῳ φημὶ, τὴν αἰτίαν ἡμῖν ἐξηγούμενος διὰ φωνῆς Ἡσαΐου φησὶν ὁ Χριστός "Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελί "σασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις "ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν." ἀλλὰ καὶ ἑτέρωθί που φησίν "Οἱ κωφοὶ ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε "ἰδεῖν." ὅτε τοίνυν ταύτης ἕνεκα τῆς αἰτίας κεχειροτονῆσθαι λέγει παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἵνα κηρύξῃ τυφλοῖς τὴν ἀνάβλεψιν, πῶς ἐνθάδε φησίν Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον ἵνα οἱ μὴ βλέποντες βλέπωσι καὶ οἱ βλέποντες τυφλοὶ γένωνται; "Ἆρα οὖν, ἐρεῖ τις, Χριστὸς ἁμαρτίας "διάκονος, κατὰ τὴν τοῦ Παύλου φωνήν; μὴ γένοιτο·" 2.204 ἀφίκετο μὲν γὰρ ἐξανύσων τὸν ἐξ ἡμερότητος τῆς εἰς ἡμᾶς προτεθέντα σκοπὸν, τουτέστι, καταφωτίσαι σύμπαντας τῇ τοῦ Πνεύματος δᾳδουχίᾳ. δεινοὶ δὲ πρὸς ἀπείθειαν ὑπάρ χοντες Ἰουδαῖοι τὴν καταλαμπρύνουσαν αὐτοὺς οὐ παρε δέξαντο χάριν, αὐτόκλητον ὥσπερ ἐφ' ἑαυτοὺς καλοῦντες τὸν σκοτισμόν. καὶ γοῦν γέγραπται περὶ αὐτῶν ἐν προφη τικοῖς μηνύμασιν "Ὑπομεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς "σκότος, μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιεπάτησαν." ὅσον γὰρ ἧκεν εἰς τὸ τοῦ νόμου κήρυγμα, περιέμενον Ἰουδαῖοι τήν τε αὐγὴν καὶ τὸ φῶς, τουτέστι Χριστόν. ἥξειν γὰρ καὶ παρεδέχοντο, καὶ προσεδόκων αὐτὸν, ἀλλ' οἱ κατὰ τοῦτο δοκοῦντες εὐσεβεῖν, ἐν ἀωρίᾳ περιεπάτησαν, τουτέστιν, ἐν σκότῳ βαθεῖ, οὐχ ἑτέρου τινὸς αὐτοῖς γεγονότος αἰτίου τοῦ παθεῖν τὸν σκοτισμὸν, ἀλλὰ ταῖς σφῶν αὐτῶν ἀπειθείαις αὐτεπίσπαστον ἐφ' ἑαυτοῖς ἐχόντων τὴν νόσον. παραγέγονα τοίνυν, φησὶ, τυφλοῖς ἐπιδώσων τὸ βλέπειν διὰ τῆς πίστεως, ἡ δὲ τῶν ἀχειραγωγήτων καὶ ἀνυποτάκτων ἄτεγκτος γνώμη πολὺ βλέπουσα πρὸς ἀπείθειαν εἰς κατάκριμα γενέσθαι παρεσκεύασεν αὐτοῖς τὴν τοῦ φωτίζοντος ἄφιξιν. ἐπειδὴ γὰρ οὐ πιστεύουσι, κατακρίνονται. τοῦτο δέ σοι σαφέστερον καὶ δι' ἑτέρων εἴρηκεν ὁ Σωτήρ "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ "πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται, ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ "ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ Υἱοῦ "τοῦ Θεοῦ." χαριέντως τοιγαροῦν ἀπὸ τοῦ παρακειμένου καὶ ἐν χερσὶν ὄντος διαλέγεταί τε πράγματος, καὶ τὸ παρα δόξως ἀποτελεσθὲν ἐπὶ τῷ ποτε τυφλῷ ῥίζαν ὥσπερ ποιεῖται τῷ λόγῳ· ἀναβλέψαι μὲν γὰρ αὐτὸν οὐ κατὰ σῶμα μόνον, ἀλλὰ καὶ ὅσον εἰς νοῦν διισχυρίζεται, διὰ τὸ παραδέξασθαι τὴν πίστιν, παθεῖν δὲ τὸ ἐναντίον τοὺς Φαρισαίους· οὐ γὰρ 2.205 ἐθεάσαντο τὴν δόξαν αὐτοῦ, καίτοι φανότατα διαλάμπουσαν, καὶ ἐν τῷ μεγίστῳ καὶ νεαρῷ θαύματι. Ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ μετ' αὐτοῦ ὄντες, καὶ εἶπον αὐτῷ Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Προσεδρεύουσιν οἱ Φαρισαῖοι καὶ συμβαδίζειν ἐπείγονται τῷ Σωτῆρι Χριστῷ, καίτοι πικρὸν εἰς καρδίαν ἔχοντες βέλος, καὶ λύπῃ καὶ φθόνῳ διατηκόμενοι διὰ τὴν δόξαν αὐτοῦ· συμβαδίζουσι δὲ ὅμως τροφὰς τῷ μίσει συλλέγοντες, καὶ πολυτρόπους τοῖς θαύμασι συκοφαντίας ἀρτύοντες, πα ραλύοντές τε διὰ τοῦτο τῶν εὐπειθεστέρων τὴν ἀκακοήθη διάνοιαν. ἐπειδὴ δὲ ταῦτα λέγοντος διεπυνθάνοντο τοῦ Χριστοῦ, διεπρίοντο πάλιν, οὐ γὰρ ἦν εἰκὸς ἀγνοεῖν ὅτι τέτραπται πρὸς αὐτοὺς ὁ τοῦ λόγου σκοπός. ἐπειδὴ δὲ ἀπολελυμένως ἔτι καὶ ἀδιορίστως εἴρητο παρ' αὐτοῦ, τό " Ινα οἱ βλέποντες τυφλοὶ γένωνται·" οὔπω καιρὸν ἔχοντες ἐγκαλεῖν εὐλόγως ὡς ὑβρισμένοι, διερωτῶσι πανούργως τῶν εἰρημένων τὴν δύναμιν εἰς τὸ οἰκεῖον περιέλκοντες πρόσωπον, καὶ σαφέστερον ὥσπερ ἀξιοῦντες εἰπεῖν, εἰ καὶ αὐτοὺς εἶναι λέγοι τυφλοὺς, ἵνα δὴ πάλιν ὡς νομικὴν ἐντολὴν ἀδικήσαντα κατακρίνωσιν. ᾔδεσαν γὰρ ἄνω καὶ κάτω τὰ Μωυσέως γράμματα περινοστοῦντες ὅτι γέγραπται "Ἄρχοντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ "λαοῦ σου οὐκ ἐρεῖς κακῶς." ἢ τοίνυν ὑβρίζεσθαι προσδο κήσαντες τὰ τοιαῦτά φασιν, ἵνα δοκεῖεν εὐλόγως ἐπιφύεσθαι καὶ ἀγανακτεῖν καὶ ἀκατηγόρητον ἤδη ποιεῖσθαι τὴν ἐπι βουλὴν τὴν ἐπὶ Χριστοῦ, ἢ καὶ ἀληθῶς ἔχοντές τι πικρό τερον εἰς νοῦν, καὶ συκοφαντίας εἶδος τὸ αὐτοῖς πρέπον ὠδίνοντες. ἐπειδὴ γὰρ ἔφη Χριστός "Εἰς κρῖμα ἐγὼ εἰς τὸν "κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν," 2.206 ὑπεδήλου δὲ διὰ τούτων τοῦ τυφλοῦ τὴν ἀνάβλεψιν, οὐ δυνηθέντες ὑπενεγκεῖν τοῦ παραδόξου τὴν ἀνάμνησιν, ἀντε γείρονται πάλιν διατεθηγμένοι τῷ φθόνῳ, καὶ ἀντιπράττειν ἐπιχειροῦσι τοῖς παρ' αὐτοῦ μονονουχὶ λέγειν οὐ παραιτού μενοι Δεινὰ κομπάζεις, ὦ οὗτος, κατορθώσας οὐδὲν ὧν εἰργάσθαι νομίζεις, ἀλλ' ἆρα μὴ βούλει, φασὶ, καὶ ἐφ' ἡμῶν αὐτῶν πλάττεσθαι τὴν θαυματουργίαν, ἆρα μὴ παρέσται σοι λέγειν ὅτι καὶ ἡμᾶς ὄντας τυφλοὺς τεθεράπευκας; βούλει σοι περιθῶμεν τὴν ἰατροῦ δόξαν καὶ θαυματουγοῦ, ψευσά μενοι κατ' ἐκεῖνον, ὃν φῂς ἀναβλέψαι γεννηθέντα τυφλόν; μὴ καὶ ἡμᾶς ἄρα συκοφαντήσεις ἀποτολμήσας εἰπεῖν τὰ ἐπ' ἐκείνῳ; πονηρὸς οὖν ἄρα καὶ σφόδρα πικρὸς τῶν Φαρισαίων ὁ λόγος διαγελώντων τὰ ἐπ' ἐκείνῳ, καὶ συκοφαντίαν εἶναι μᾶλλον οἰομένων ἤπερ ἀλήθειαν· δυσωπεῖ γὰρ οὐδὲν τὸν ἀγνώμονα. Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι βλέπομεν· αἱ ἁμαρτίαι ὑμῶν μενοῦσι. Κατατήκει πάλιν αὐτοὺς ὁ Σωτὴρ τέχνῃ κεράσας τὸν ἔλεγχον. λοιδορίας μὲν γὰρ ἁπάσης ἀποφοιτᾷ, δυσωπεῖ δὲ τῆς ἀληθείας παρατιθεὶς τὴν δύναμιν· ἐπ' οὐδενὶ δὲ χρησίμῳ τὸ βλέπειν ἔχοντας ἀποδείκνυσι, μᾶλλον δὲ καὶ τοῦ μηδόλως ὁρῶντος πεσόντας ἐν χείροσιν. ἄνθρωπος μὲν γὰρ ὁ τυφλὸς, φησὶ, τῷ τεθεᾶσθαι μηδὲν τῶν παραδόξως ἀποτελουμένων, ἔξω βέβηκεν ἁμαρτίας, καὶ ἀνυπαίτιός πως ὑπάρχει· οἱ δὲ τῶν θαυμάτων ἐπόπται καὶ θεωροὶ διὰ πολλὴν ἀβουλίαν καὶ κακόνοιαν τὴν ἐξ αὐτῶν οὐ παραδεξάμενοι πίστιν, δυσαπό νιπτον ἔχουσι τὴν ἁμαρτίαν, καὶ δυσεξίτητον ὄντως τὴν ἐπὶ 2.207 τούτῳ κατάκρισιν. ἐπὶ μὲν οὖν τῆς σωματικῆς τυφλότητός τε καὶ ἀναβλέψεως τῇδε νοεῖν οὐκ ἀπίθανον· ἀναλόγως δὲ διαβαίνοντες εἰς τὸ νοητὸν, καὶ τὴν ἴσην ἐντεῦθεν ἀναματτό μενοι τῷ λόγῳ δύναμιν πάλιν ἐροῦμεν, ὡς ἄνθρωπος μὲν ὁ ἀσύνετος εὐλογωτάτην ἂν τὴν ἐπὶ τοῦ δικάζοντος αἰτήσαι συγγνώμην, ὁ δὲ ὀξὺς εἰς νόησιν καὶ συνεὶς τὸ συμφέρον, εἶτα τοῖς αἰσχίοσι τῆς ἑαυτοῦ διανοίας καταπωλήσας τὴν ῥοπὴν, καὶ τὸ νικᾶν ἡδοναῖς οὐ τῷ χρησίμῳ δωρούμενος, ἀναισχύντως αἰτήσει τὸν ἔλεον, καὶ παραίτησιν τὴν ἐπὶ τῷ κολάζεσθαι δεῖν οὐδαμόθεν ἕξει βοηθουμένην, ἀπολεῖται δὲ καὶ σφόδρα δικαίως ἀσυνηγόρητον ἐφ' ἑαυτῷ τηρήσας τὴν ἁμαρτίαν. καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς αὐτὸ δὴ τοῦτο κατασημαίνων ἐν εὐαγγελίοις φησίν "Ὁ εἰδὼς τὸ "θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ποιήσας δαρήσεται "πολλάς·" ἀγνοίας μὲν γὰρ ἐπὶ τῷ μὴ εἰδότι τὰ ἐγκλή ματα, καταφρονήσεως δὲ τῆς ἐσχάτης ἐπὶ τῷ νενοηκότι, καὶ τὸ δρᾶν ἀβούλως ἐξωθουμένῳ. ἐπιτήρει δὲ πάλιν ὅπως κἀν τούτῳ γέγονεν ἀσφαλὴς τοῦ Σωτῆρος ὁ λόγος· οὐ γὰρ δή φησιν ἀποφαντικῶς Ὅτι βλέπετε, ἀλλ' Ὑμεῖς, φησὶ, λέγετε ὅτι βλέπομεν. ἦν γὰρ δὴ καὶ λίαν ἀτοπώτατον σύνεσιν ἐπιμαρτυρεῖν τοῖς οὕτω τυφλὸν καὶ ἀπεσβηκότα φοροῦσι τὸν νοῦν, ὡς τολμῆσαι φάναι περὶ αὐτοῦ "Ἡμεῖς οἴδαμεν "ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν." αὐτοκατάκριτοι τοιγαροῦν Ἰουδαῖοι βλέπειν μὲν ἑαυτοὺς διαβεβαιούμενοι, πράττοντες δὲ τὸ σύμπαν οὐδὲν ὧν ἔδει δρᾶν, καὶ λίαν εὐτόνως, καὶ γινώσκοντες μὲν τοῦ Κυρίου τὸ θέλημα, περιφρονοῦντες δὲ οὕτως ὡς καὶ τοῖς ἀρίστοις ὑπαντιάζειν θαύμασιν. 2.208 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων· τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα φωνεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά· ὅταν δὲ πάντα τὰ ἴδια ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Δόξειεν μὲν ἂν καὶ μάλα εἰκότως τοῖς ἀβασανίστως ἐπακροωμένοις οὐ λίαν εὐκαίρως ὁ τῆς προκειμένης παρα βολῆς εἰσπεφορῆσθαι λόγος· τυφλότητος γὰρ ἀναβλέψεώς τε πέρι διαλεγόμενος, περὶ προβάτων εὐθὺς, αὐλῆς τε καὶ θύρας ποιεῖται τοὺς λόγους. ἀλλ' ὅτῳ σοφὸς ἐνῴκισται νοῦς, καὶ περιεργότερον τοῖς θεωρήμασι προσβάλλειν ἐσπού δασται, κατόψεται πάλιν ἐπ' εὐθείας ὥσπερ ἰόντα τὸν λόγον, καὶ μηδαμόσε τοῦ πρέποντος ἀπεσφαλμένον. ὃ δὲ πολλάκις εἶπον ἐρῶ καὶ εἰσαῦθις ἀναλαβών. ἔθος τῷ Σωτῆρι Χριστῷ μὴ πρὸς μόνους ἀποκρίνασθαι τοὺς διὰ φωνῆς ἀποκτυπη θέντας λόγους, ὅταν αὐτῷ προσίωσί τινες, ἀλλ' ἐπείπερ ὁρᾷ καὶ νεφροὺς καὶ καρδίας, καὶ πρὸς ἐνθυμήσεις ἀπολογεῖσθαι μόνας· "πάντα γὰρ αὐτῷ γυμνὰ καὶ τετραχηλισμένα, καὶ "οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ·" διά τοι τοῦτο καὶ πρὸς ἕνα τῶν ἁγίων φησί "Τίς οὗτος ὁ κρύπτων με βουλὴν, "συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν;" ἐπειδὴ τοίνυν τὸ τῶν Φαρισαίων ἀνόσιον στῖφος κακούργως διεπυνθάνετο, καθάπερ ἐλέγομεν ἀρτίως, εἰ καὶ αὐτοὶ τυφλοί εἰσιν, ἵνα λέγων ἀληθῶς ὅτιπέρ εἰσι, τυφλοὶ δηλονότι, κατα δικάζηται πάλιν ὡς τοῖς ἡγουμένοις διαλοιδορησάμενος, καὶ 2.209 κακῶς εἰρηκὼς τοὺς ἄρχειν λαχόντας λαῶν· ἐφρόνουν γὰρ ἐπὶ τούτῳ μέγα τι καὶ ἐξαίσιον· ἀναγκαίως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, καὶ ταύτῃ πάλιν αὐτῶν τῇ διενθυμήσει μαχόμενος, εἰσκομίζει χρησίμως τὴν παραβολὴν, ἀμυδρότερόν πως καὶ ὡς ἐν αἰνίγμασιν ὑποδηλῶν ὡς οὐχ ἕξουσιν ἐκ πλεονεξίας τὸ καθηγεῖσθαι βεβαίως, ἀλλ' οὐδὲ πάγιον αὐτοῖς προσέσται τὸ ἀξίωμα τὸν τούτου δοτῆρα τὸν Θεὸν ἐξ ἀλα ζονείας ὑβρίζουσι· διδάσκει δὲ ὅτι τοῦτο προσέσται μόνοις τοῖς δι' αὐτοῦ καλουμένοις εἰς λαῶν ἡγεμονίαν. θύραν τοι γαροῦν ἑαυτὸν εἶναί φησιν εἰσφέροντα διὰ βουλῆς ἰδίας εἰς τὸ καθηγεῖσθαι ποιμνίων τῶν λογικῶν τὸν ἐπιστήμονα καὶ φιλόθεον. κλέπτην δὲ καὶ λῃστὴν ἀποκαλεῖ καὶ ἀλλαχόθεν ἀναβαίνοντα τὸν ἐκ βίας καὶ τυραννίδος τὴν οὐ δοθεῖσαν αὐτῷ τιμὴν δύνασθαι λαβεῖν οἰόμενον, ὁποῖοί τινες ἦσαν περὶ ὧν δήπου φησὶ δι' ἑνὸς τῶν προφητῶν, ὅτι "Ἐβασί "λευσαν καὶ οὐ δι' ἐμοῦ, ἦρξαν καὶ οὐ διὰ τοῦ Πνεύματός "μου." αἰνίττεται δὲ διὰ τούτων ὡς εἴπερ αὐτοῖς καθ' ἡδονὴν τὸ ἡγεμονεύειν ἐστὶ τῶν λαῶν, δεήσει πιστεύσαντας καὶ τὸ θεῖον παραδεξαμένους κήρυγμα δι' αὐτοῦ πρὸς τοῦτο δραμεῖν, ἵνα καὶ ἀκλόνητον καὶ καλῶς ἱδρυμένην ἔχοιεν τὴν ἀρχὴν, ὃ δὴ καὶ γέγονεν ἔν τε τοῖς ἁγίοις ἀποστόλοις, καὶ τοῖς μετ' ἐκείνους τῶν ἁγίων ἐκκλησιῶν διδασκάλοις, οἷς καὶ ὁ θυρωρὸς ἀνοίγει, τουτέστιν, ἢ ὁ τεταγμένος ἄγγελος εἰς τὸ ταῖς ἐκκλησίαις ἐπιστατεῖν καὶ συμπράττειν τοῖς ἱερᾶσθαι λαχοῦσιν εἰς τὰς τῶν λαῶν ὠφελείας, ἢ πάλιν αὐτὸς ὁ Σωτὴρ, αὐτὸς καὶ θύρα καὶ τῆς θύρας ὑπάρχων Κύριος. καταπείθεσθαι γεμὴν καὶ ὑπείκειν ὀρθῶς τῇ τοῦ ποιμαί νοντος φωνῇ τὴν τῶν προβάτων ἀγέλην εὖ μάλα διισχυ ρίζεται, παραιτεῖσθαι δὲ καὶ λίαν ἐσπουδασμένως τὴν τῶν ἀλλοτριῶν φωνὴν, ἵνα πρᾶγμα νοῇς ἀληθὲς ἐπὶ τὸ γενικώτερον ἐκπλατύνων τοῦ λόγου τὴν δύναμιν. διδάσκομεν γὰρ ἐν 2.210 ἐκκλησίαις τὰ διὰ τῆς θεοπνεύστου γραφῆς παρακομίζοντες δόγματα, καὶ ὥσπερ τινὰ τροφὴν πνευματικὴν τὸν εὐαγγε λικόν τε καὶ ἀποστολικὸν παρατιθέντες λόγον. κατήκοοι δὲ τῶν τοιούτων εἰσὶν οἱ πιστεύοντες εἰς Χριστὸν, καὶ ἀδια στρόφῳ διαπρέποντες τῇ πίστει, παραιτοῦνται δὲ πρὸς τὰς τῶν ψευδοποιμένων φωνὰς, καὶ ὡς ὀλέθριον ἀποτρέπονται πάθος. τί οὖν ἄρα τὸ ἐντεῦθεν, ἐρεῖ τις, τοῖς φαρισαίοις ὑποδηλούμενον; συνελὼν ὡς ἐν βραχεῖ τε καὶ κεφαλαιώδει λόγῳ πάλιν ἐρῶ. ἑαυτὸν ἐπιδεικνύει, καὶ τῆς αὐλῆς κύριον καὶ θύραν καὶ θυρωρὸν, ἵνα δὴ μάθοιεν ἀκριβῶς ὡς οὐχ ἕξουσι τῆς ἡγεμονίας ἱδρυμένην τὴν στάσιν, εἰ μὴ δι' αὐτοῦ πρὸς ταύτην ἰόντες τὸ θεόσδοτον ἔχοιεν ἀγαθόν. προστιθεὶς δὲ ὅτι τὰ πρόβατα τοῖς ἰδίοις καταπείθεται ποιμέσι, τῶν δὲ ἀλλοτρίων ἐξάλλεται, πάλιν εὐφυῶς ὑπαινίττεται ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιστα τήσουσι μὲν οὐδαμῶς αὐτοὶ τῶν μελλόντων πιστεύειν εἰς αὐτὸν, ἀποφοιτήσει δὲ πάλιν τῆς παρ' αὐτοῖς διδασκαλίας τὰ πρόβατα, καὶ τοῖς δι' αὐτοῦ ποιμέσι προσκείσεται. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Ἁπλοῦς τῶν ἁγίων ὁ λόγος, καὶ τῆς Ἑλλήνων περιεργίας ἀπηλλαγμένος· "Ἐξελέξατο γὰρ ὁ Θεὸς τὰ μωρὰ τοῦ "κόσμου, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἵνα καταισχύνῃ "τοὺς σοφούς." κατεχρήσατο τοίνυν τῷ τῆς παροιμίας ὀνόματι· καλεῖ γὰρ οὕτω τὴν παραβολήν· τάχα δὲ ὅτι μέμικταί πως ἀεὶ τῶν τοιούτων ὁ χαρακτὴρ καὶ δι' ἀμφοῖν ὡς δι' ἑνὸς νοεῖται τὸ δηλούμενον. πλὴν ἐκεῖνό φαμεν ὡς ἀποθαυμάζει σφόδρα τὴν τῶν Ἰουδαίων ἀσυνεσίαν ὁ θεσπέ σιος Εὐαγγελιστής. ὡς γὰρ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα διαμαρτύρεται, πέτραις ἢ σιδήρῳ παραπλησίαν ἔχουσι τὴν 2.211 διάνοιαν, οὐδὲν τὸ παράπαν τῶν ἐπωφελῶν ἀκροαμάτων εἰσδέχεσθαι μελετήσασαν. διὰ τοῦτο πρὸς αὐτοὺς ἐλέγετο διὰ φωνῆς Ἰωὴλ τοῦ προφήτου "Διαῤῥήξατε τὰς καρδίας "ὑμῶν καὶ μὴ τὰ ἱμάτια ὑμῶν." Δοκεῖ δέ μοι πάλιν οὐκ ἀπερισκέπτως εἰπεῖν ὁ τοῦ βιβλίου συγγραφεὺς, ὅτι ταύτην τὴν παραβολὴν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, οἱ δὲ οὐ συνῆκαν, φησὶ, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. ἐκφωνεῖ δὲ ταύτην μετ' ἐμφάσεως οὐ μικρᾶς. ἐν ἴσῳ γὰρ εἰ λέγοι σαφῶς Οὕτως ἀφιστᾶσι τοῦ δύνασθαί τι συνιέναι τῶν ἀναγκαίων οἱ Φαρισαῖοι, καίτοι δοκησισοφοῦντες ἐκτόπως, ὥστε ταύτην οὐ συνῆκαν τὴν παραβολὴν, τὴν οὕτως εὐκά τοπτον καὶ λελευκασμένην, ἐν ᾗ δυσχερὲς οὐδὲν, οὐ καμ πύλον εἰς νόησιν, οὐ χαλεπὸν εἰς κατάληψιν. διαγελᾷ δὲ πρεπόντως τὴν Ἰουδαϊκὴν δυσβουλίαν, ἐπείπερ αὐτοῖς τὸ μηδὲν εἶναι Χριστὸς κατεφαίνετο, καίτοι τὰ ὑπὲρ νόμον διδάσκων, καὶ πολὺ τῆς Μωυσέως χαριεστέραν ποιούμενος τὴν ὑφήγησιν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἀμὴν λέγω ὑμῖν ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Ἔγνω δὴ πάντως κατὰ τὴν φύσιν ὑπάρχων Θεὸς καὶ τὰ ἐν τῷ βάθει κείμενα βλέπων, ὡς οὐδὲν τῶν παρ' αὐτοῦ λεγομένων συνῆκεν ὁ Φαρισαῖος, καίτοι μεγάλα φρονεῖν εἰωθὼς ἐπί τε νομομαθείᾳ, καὶ ἐπὶ τῷ δοκεῖν εἶναι σοφὸς ἀσυγκρίτως ἐξωφρυωμένος. διὰ τοῦτο φανοτάτην αὐτοῖς ποιεῖται τὴν ἐξήγησιν, καὶ ἀναμηρυσάμενος ὥσπερ τὸν διὰ τῶν μακρῶν λόγον ἐν ὀλίγοις κομιδῆ τὸν τῆς παροιμίας διαμηνύει σκοπόν. ἀγαθὸς γὰρ ὢν φύσει, χειραγωγεῖ πρὸς 2.212 κατάληψιν καὶ οὐκ ὄντας ἀξίους, ὡς τάχα τις αὐτοῖς ὠφελείας ἐλλάμψοι τρόπος. ἑαυτὸν δέ φησιν ἐναργῶς τῶν προβάτων εἶναι τὴν θύραν, πρᾶγμα διδάσκων ὁμολογούμενον· μόνης γὰρ διὰ πίστεως τῆς εἰς αὐτὸν, εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν εἰσελαύνομεν, καὶ μάρτυς αὐτὸς ἐπὶ τούτῳ λέγων "Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ." ἢ τοίνυν τοιοῦτόν τι σημαίνειν βούλεται ἢ, ὅπερ ἐστὶ τοῖς προκει μένοις θεωρήμασι πρεπωδέστερον, ἀπολευκαίνει πάλιν ὡς δι' αὐτοῦ πρὸς ἡγεμονίαν καὶ τὸ καθηγεῖσθαι τῶν λογικῶν ποιμνίων ἐρχόμεθα, κατὰ τὸ εἰρημένον διὰ τοῦ Παύλου "Οὐ γὰρ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος "ὑπὸ τοῦ Θεοῦ." καὶ γοῦν οὐδεὶς ἑαυτὸν ἀνέδειξε τῶν ἁγίων προφητῶν, ἀλλ' οὐδὲ ὁ λαμπρὸς καὶ μέγας τῶν ἀποστόλων χορὸς ἑαυτὸν εἰς τοῦτο κεκληκὼς ἁλώσεται. ἀνεδείχθη γὰρ διὰ θελήσεως τοῦ Χριστοῦ καλέσαντος εἰς ἀποστολὴν αὐτοὺς κατ' ὄνομα, καὶ καθ' ἕνα, καθά φησιν ἐν τῇ προκει μένῃ παροιμίᾳ. ἴσμεν γὰρ ὅπως ἐν εὐαγγελίῳ τῷ κατὰ Ματθαῖον συνετέθη μὲν ἐφεξῆς τὰ τῶν ἀποστόλων ὀνόματα, εἶτ' εὐθὺς ἐπενήνεκται τῆς ἀναῤῥήσεως ὁ τρόπος· "τούτους" γάρ φησι "τοὺς δώδεκα" ἀνέδειξεν ὁ Σωτὴρ, "οὓς καὶ "ἀποστόλους ὠνόμασεν." ἀρχοντιῶντα τοιγαροῦν τὸν ἀπό πληκτον Φαρισαῖον, καὶ οὐ μετρίως ἐκκεκαυμένον ὁρῶν πρὸς τὸ τῆς ἡγεμονίας ὄνομά τε καὶ πρᾶγμα, διδάσκει χρησίμως ἑαυτὸν ὄντα καὶ τοῦ καθηγεῖσθαί τισι χορηγὸν καὶ πρὸς τοῦτο ῥᾳδίως εἰσκομίζειν ἰσχύοντα. θύρα γὰρ ὢν τῆς ἱερᾶς τε καὶ θείας αὐλῆς, εἰσδέξεται μὲν τὸν ἐπιτήδειον, ἀποτειχιεῖ δὲ τῷ μὴ τοιούτῳ τὴν εἰς τὸ εἴσω πάροδον. 2.213 Πάντες ὅσοι ἦλθον κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Πανταχόθεν τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀτίθασον τῶν Φαρισαίων καταγοητεύων διάνοιαν, καὶ πρὸς ἔμφρονα μετατιθεὶς λογισμὸν, πειρᾶται δεικνύειν ὡς ἀνόνητόν τι χρῆμα καὶ σφαλερώτατον, τὸ καθηγεῖσθαι τολμᾶν, οὐ διὰ τῆς ἄνωθεν χειροτονίας, οὐδὲ διὰ τῆς θείας βουλήσεως, ἀλλ' ἐξ ἀνθρωπίνης ἀπονοίας οἰομένους ὅτι περιέσονται τῆς ἀρχῆς, κἂν ὁ ταύτης μὴ βούληται χορηγός. ἑαυτὸν τοιγαροῦν θύραν διαῤῥήδην εἰ πὼν, ἅτε δὴ καὶ μόνον εἰσκομίζοντα πρὸς ἡγεμονίαν τοὺς ἐπιτηδείους, τὰ τῶν ἀρχαιοτέρων ἐπιχειρήματα παρατίθησιν εὐθὺς, ἵνα καθάπερ ἐν πίνακι σκιαγραφουμένην βλέποντες τὴν εἰς τέλος τοῦ πράγματος διεξαγωγὴν, μάθοιεν ἤδη σαφῶς ὡς τὸ δύνασθαι κρατεῖν καὶ προηγεῖσθαι ποιμνίων καὶ λαῶν, διὰ μόνης τῆς ἄνωθεν ὑπάρχει χάριτος, καὶ οὐκ ἐξ ἐπιχειρημάτων τυραννικῶν. χρησίμως τοιγαροῦν κἀνθάδε φησὶ πρὸς ἀνάμνησιν ἀνακομίζων τὴν ἐν τοῖς ἀρχαιοτέροις ὅτι πάντες ὅσοι ἦλθον κλέπται εἰσὶ καὶ λῃσταὶ ἀλλ' οὐκ ἤκουσεν αὐτῶν τὰ πρόβατα. ὑποκρινάμενοι γὰρ τὴν τῶν ἀγαθῶν ποιμένων ἐπιστασίαν παρῆλθον εἰς μέσον τινὲς, ἐπειδὴ δὲ οὐκ ἦν αὐτοῖς ὁ ὑποτιθεὶς τὸ ἡγούμενον, καὶ ὑπα κούειν ἀναπείθων ὧν ἡγεμονεύειν ἐχρῆν, ἀπεσκίρτησεν ἡ τῶν προβάτων πληθύς. Ὑποτοπητέον δὲ οὐδαμῶς διὰ τό Πάντες εἰπεῖν, ἀκυροῦ σθαι παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τῶν ἁγίων προ φητῶν τὴν ἀποστολήν· οὐ γὰρ κατ' ἐκείνων, ἀλλὰ καθ' ἑτέρων ὁ λόγος. ἐπειδὴ γὰρ περί τε ψευδοποιμένων, καὶ τῶν ἀλλαχόθεν ἀναβαινόντων εἰς τὴν αὐλὴν τῶν προβάτων προὔκειτο λέγειν, ἀναγκαίως ἤδη προσημανθέντων ἐναργῶς 2.214 τῶν ἐφ' οἷς ἦν ὁ λόγος, τό Πάντες φησὶν, οἰησόμεθα δὲ οὐδαμῶς τὸ τῶν ἁγίων προφητῶν ἀθετεῖσθαι πρόσωπον· πῶς γὰρ ἂν ἠθέτησεν ὁ τῆς ἑαυτοῦ παρουσίας δι' ἐκείνων ἐναργῆ καταστήσας τὰ μηνύματα, ὁ λέγων "Ἐγὼ ὁράσεις "ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην;" καὶ Μωυσέα μὲν ἀναδείξας, πρὸς Ἱερεμίαν δὲ εἰπών "Μὴ λέγε "ὅτι νεώτερος ἐγώ εἰμι, ὅτι πρὸς πάντας οὓς ἂν ἐξαποστελῶ "σε πορεύσῃ, καὶ κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι "λαλήσεις·" πρὸς δὲ τὸν μακάριον Ἰεζεκιήλ "Υἱὲ ἀνθρώ "που, ἐξαποστελῶ ἐγώ σε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, "τοὺς παραπικραίνοντάς με;" οὐκοῦν ὁ τοῦ λόγου σκοπὸς οὐκ εἰς τὸν τῶν ἁγίων προφητῶν τέτραπται χορὸν, ὁρᾷ δὲ μᾶλλον εἰς ἐκείνους, οἵπερ ἦσάν ποτε κατὰ τὴν Ἰουδαίαν προφητείας ὑποκρινόμενοι, καὶ ψευδηγοροῦντες ὡς παρὰ Θεοῦ ἥκοντες, καὶ τὸν λαὸν ἀναπείθοντες οὐ τοῖς ἀληθῶς παρὰ Θεοῦ προφητεύουσι καταπείθεσθαι μᾶλλον, ἢ τοῖς παρ' αὐτῶν διαπεπλασμένοις ἐπιχειρήμασί τε καὶ λόγοις, περὶ ὧν που φησὶ καὶ αὐτὸς ὁ Κύριος ὁ πάντων Δεσπότης καὶ Θεός "Οὐκ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ "ἔτρεχον· οὐκ ἐλάλησα πρὸς αὐτοὺς, καὶ αὐτοὶ ἐπροφή "τευον·" πρὸς δέ γε τὸν μακάριον Ἱερεμίαν "Ψευδῆ οἱ "προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, οὐκ ἀπέ "στειλα αὐτοὺς καὶ οὐκ ἐλάλησα πρὸς αὐτοὺς καὶ οὐκ "ἐνετειλάμην αὐτοῖς, ὅτι ὁράσεις καὶ οἰωνίσματα καὶ προ "φητείας καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν· εἰ "προφῆταί εἰσι, καὶ εἰ ἔστι λόγος Κυρίου ἐν αὐτοῖς, "ἀπαντησάτωσάν μοι. τί τὸ ἄχυρον πρὸς τὸν σῖτον;" ὁ μὲν γὰρ λόγος ὄντως ὁ παρὰ Θεοῦ τροφιμωτάτην ἔχει τὴν 2.215 δύναμιν, καὶ στηρίζει καρδίαν ἀνθρώπου, κατὰ τὸ γεγραμ μένον, ὁ δὲ τῶν ἀνοσίων ψευδοπροφητῶν, ἤτοι ψευδοδιδα σκάλων, εὐδιαθρυπτότατός τε καὶ ἀχυρώδης ὑπάρχων οὐδε μίαν τοῖς ἀκροωμένοις ἐμποιεῖ τὴν ὄνησιν. ὅταν τοίνυν κλέπτας ὀνομάζει καὶ λῃστὰς τοὺς προελάσαντας τῆς παρου σίας αὐτοῦ, ἢ τὴν ψευδήγορον καὶ ἀπατεῶνα τῶν ἀρτίως ἡμῖν εἰρημένων ὑποσημαίνει πληθὺν, ἢ τοῦ λόγου τὴν δύναμιν ἐποίσεις κἀκείνοις, περὶ ὧν ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται. οἱ μὲν γὰρ τῶν Ἰουδαίων καθηγηταὶ τοὺς ἁγίους ἀποστόλους συνενεγκόντες ποτὲ, καὶ εἰς τὸ παρανομώτατον ἑαυτῶν στήσαντες βουλευτήριον, ἐξελαύνειν μὲν τῆς Ἱερουσαλὴμ ἐβουλεύοντο, κινδύνοις δὲ τοῖς ἐσχάτοις ἀναγκάσαι προσομιλεῖν, ἀλλ' εἰς ἀνάμνησιν αὐτοὺς ψευδοδι δασκάλων ἐκάλει λέγων ὁ Γαμαλιήλ "Ἄνδρες Ἰσραηλῖται, "προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέλλετε "πράττειν. πρὸ γὰρ τῶν ἡμερῶν τούτων ἀνέστη Θευδὰς "λέγων τινὰ ἑαυτὸν εἶναι μέγαν, ᾧ προσεκλίθησαν αὐτῷ "ἀνδρῶν ἀριθμὸς ὡσεὶ τετρακόσιοι· ὃς ἀνῃρέθη, καὶ πάντες "ὅσοι ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. "μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις "τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος "ἀπώλετο, καὶ πάντες οἳ ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν." ὁρᾷς οὖν ἐν τούτοις ἀνενδοιάστως καὶ σαφῶς, ὡς οὐ περὶ τῶν ἁγίων προφητῶν, ἀλλὰ περὶ τῶν τὴν ἑτέραν ἐχόντων τάξιν τὰ τοιαῦτά φησιν ὁ Χριστὸς, ἵνα καὶ οὐχ ἑκόντας ἀναπείσῃ τοὺς Φαρισαίους μὴ ταῖς ἑαυτῶν ἀπονοίαις ἐπιτρέ πειν ἀβούλως τὸ δύνασθαι προξενεῖν αὐτοῖς, καὶ οὐχ ἑκόντος Θεοῦ, τὸ προεστάναι λαῶν, ἀλλὰ νεύματι τῷ θείῳ τὴν ἐφ' 2.216 ἅπασιν ἐξουσίαν παραχωρεῖν, καὶ διὰ τῆς ὄντως θύρας εἰστρέχειν ἐπείγεσθαι μᾶλλον, ἢ τοῖς συλῶσι παραπλησίως ἀλλαχόθεν ἀναβαίνειν ἐπιχειρεῖν εἰς τὴν τῶν προβάτων αὐλήν. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ἀπὸ τοῦ συμβαίνειν εἰωθότος εἰς θεωρίαν πνευματικὴν καθάπερ ἐξ ἱστορίας διαπλάττει τοῦ λόγου τὸ σχῆμα, καὶ μονονουχὶ τὰ ἐν ὀφθαλμοῖς ἡπλωμένα, καὶ οὐδὲν ἔχοντα χαλεπὸν εἰς κατάληψιν, εἰκόνα ποιεῖται τῶν ἀφανεστέρων. οἱ μὲν γὰρ κλέπται, φησὶ, καὶ λῃσταὶ τοῖς τῶν προβάτων σηκοῖς ἀνέδην προσβάλλοντες, διὰ μὲν τῆς θύρας οὐκ εἰσελαύνουσι, καταπηδῶντες δὲ ἀλλαχόθεν, καὶ τῆς αὐλῆς τὸ θριγκίον ὑπεραλλόμενοι, κινδυνεύουσιν. ἁλῶναι γὰρ δήπου καὶ σφόδρα εἰκὸς τὸν οὕτω λῃστεύοντα, καὶ ἀπερισκέπτως κακουργεῖν ᾐρημένον, οἱ δὲ δι' αὐτῆς τῆς θύρας εἰσβαίνοντες, ἀκινδυνοτάτην ποιοῦνται τὴν εἰσδρομὴν, οὐκ ἄσημοι δηλονότι τυγχάνοντες, ἀλλ' οὐδὲ ἄγνωστοι τῷ τῶν προβάτων δε σπότῃ. εἰστρέχουσι γὰρ ἀνοιγνύντος αὐτοῖς τοῦ ταῖς θύραις ἐφεστηκότος· ἀλλ' οἱ τοιοῦτοι, φησὶ, συνέσονται τοῖς προ βάτοις ἐν πολλῇ παῤῥησίᾳ νομιμωτάτην ὥσπερ καὶ ἀκά κουργον, καὶ τῆς ἐπὶ τὸ λῃστεύειν ὑποψίας ἀπηλλαγμένην, τὴν εἰσβολὴν ποιησάμενοι. Οὗτος μὲν οὖν τῆς ἱστορίας ὁ τύπος· μεταβιβάζοντες δὲ τὸ ἐξ αὐτῆς ὑποδηλούμενον εἰς ὠφέλειαν πνευματικὴν ἐκεῖνό φαμεν, ὅτι οἱ μὴ διὰ θείας ἐπιτροπῆς τε καὶ γνώμης εἰς τὸ κατάρχειν λαῶν ἀναβαίνοντες, ὥσπερ εἰς τὸ διὰ θύρας εἰσελθεῖν παραιτούμενοι πάντως δήπου καὶ ἀπολοῦνται, 2.217 φησὶ, κρῖμα τὸ θεῖον ἐκβιαζόμενοι, κατά γε τῶν ἐγχειρη μάτων τὸν λόγον. οἱ δὲ θεόσδοτον λαχόντες ἡγεμονίαν, καὶ διὰ Χριστοῦ πρὸς τοῦτο βαδίζοντες, ἐν πολλῇ παῤῥησίᾳ καὶ χάριτι τῆς ἱερωτάτης κατάρξουσιν αὐλῆς, τοσοῦτον ἀφεστη κότες τῆς ἐπ' ἐκείνοις ὀργῆς, ὡς καὶ τιμὰς ἐντεῦθεν ἐκδέ χεσθαι, καὶ στεφάνους ἄνωθεν ἥξοντας ὅσον οὐδέπω καρα δοκεῖν, ἐπείπερ σκοπὸς αὐτοῖς διαλυμήνασθαι μὲν τοῖς προβάτοις κατά τι γοῦν οὐδαμῶς, ἐπωφελεῖν δὲ μᾶλλον αὐτὰ, καὶ τῷ τῆς ἀγέλης δεσπότῃ τὰ θυμήρη δρῶντας διὰ παντὸς διασώζεσθαι φιλεῖν τοῖς ὑπ' αὐτῷ γεγονόσι. θορυβεῖ δὲ σφόδρα καὶ διὰ τούτων ὁ Κύριος τοὺς ἀκαμπεῖς Φαρισαίους, ἥκιστα μὲν αὐτοὺς διασωθήσεσθαι λέγων, ἀπο πεσεῖσθαι δὲ πάντως τῆς ἐν ᾗπέρ εἰσιν ἀρχῆς, καὶ μάλα δικαίως, ἐπείπερ οὐ διὰ Θεοῦ, διὰ δὲ τῆς σφῶν αὐτῶν κακονοίας παγίως αὐτὴν ἕξειν ὑπολαμβάνουσιν. ἀλλά μοι καὶ διὰ τοῦτο θαυμάζειν ἐπέρχεται τὴν ἀσύγκριτον τοῦ Σωτῆρος φιλανθρωπίαν. "Οἰκτίρμων γὰρ ὄντως καὶ ἐλεή "μων ὁ Κύριος," προτιθεὶς μὲν ἅπασι τῆς σωτηρίας τὴν ὁδὸν, πολυτρόπως δὲ καλῶν ἐπ' αὐτὴν καὶ τὸ σφόδρα δυσήκοον καὶ ἀπεσκληκότα. ἔσται δέ μοι πάλιν ἀπὸ τοῦ πράγματος ἡ τῶν εἰρημένων ἀπόδειξις. ἐπειδὴ γὰρ οὔτε διὰ θαυμάτων, οὔτε μὴν πόθῳ τῷ πρὸς ἐλπίδα καὶ δόξαν ὁρῶντι τὴν μέλλουσαν, ἀναπείθει τὸν Φαρισαῖον τὸν παρ' αὐτοῦ προσήκασθαι λόγον, ἐπ' ἐκεῖνο βαδίζει γοργῶς, ἐφ' ᾧπερ ἦν μάλιστα θορυβουμένους εἰκὸς, ὡς ἐξ ἀφύκτου λοιπὸν ἀνάγκης εἰς εὐπείθειαν ὁρᾶν. τῆς γὰρ ἐκ τοῦ καθη γεῖσθαι δόξης μεταποιουμένους εἰδὼς, καὶ οὐκ ἐν τοῖς τυχοῦσι τὸ ἐντεῦθεν λογίζεσθαι κέρδος ἐσπουδακότας, ἀπογυμνοῦσθαί φησι, καὶ ἐρήμους ἔσεσθαι παντελῶς τοῦ σφόδρα τετιμη 2.218



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μένου, καὶ μετὰ χεῖρας ὄντος αὐτοῖς, εἰ μὴ τὴν ταχίστην ἑαυτοὺς μεταστήσαντες ἐπὶ τὸ θέλειν ὑπακούειν αὐτῷ τῆς παρ' αὐτοῦ φειδοῦς ἀπολαύσειαν. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι. Θύραν ἑαυτὸν εἶναι φάσκοντος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ ἐπ' αὐτῷ κεῖσθαι διδάσκοντος τὸ καὶ εἰσκο μίζειν οὓς ἂν βούλοιτο τυχὸν, ἔξω τε μένειν ἐᾶν τὸν ἀνεπι τήδειον καὶ πρὸς τὸ ποιμαίνειν ἀτεχνέστατον, ἔτι τε πρὸς τούτοις, καὶ λῃστὰς καὶ κλέπτας ἀποκεκληκότος τοὺς οἵπερ ἦσαν αὐτόμολοι πρὸς τὴν οὐ δοθεῖσαν αὐτοῖς ἄνωθεν χάριν, διελογίζοντο πάλιν οἱ δείλαιοι Φαρισαῖοι τίς ἄρα ὑπάρχων οὑτοσὶ πρὸς τοσαύτην ἄνεισι παῤῥησίαν, ἐκείνοις ὢν τάχα καὶ αὐτὸς ἐναρίθμιος, ὧν καταιτιᾶται τὴν ἄφιξιν· ψευδοποι μένα γὰρ ᾤοντο καὶ ψευδεπιστάτην καὶ αὐτὸν ὡς ἐξ οἰκείας ἀναδεδεῖχθαι γνώμης, οὐχ ὅτι Θεὸς ὢν γέγονεν ἄνθρωπος κατὰ τὸ ἀρχαιότατον κήρυγμα τῆς θεοπνεύστου γραφῆς. εἰκὸς δὲ δὴ καὶ συλλέξαντας τὴν ἀληθῆ γνῶσιν περὶ αὐτοῦ καθάπερ τι τῶν δυσαχθῶν ταῖς ἀπειθείαις ἀποφορτίζεσθαι, εἰς μόνα δὲ βλέπειν τὰ καθ' ἡδονὴν αὐτοῖς καὶ τὰ διὰ φροντίδος κείμενα· ταῦτα δὲ ἦν τὸ λαῶν ἡγεῖσθαι καὶ παρ' αὐτὸ χρηματίζεσθαι. ἐπεὶ τοίνυν ἔγνω ταῦτα διενθυμου μένους, ἢ καὶ ἀλλήλοις ψιθυρίζοντας, οὐ περιμείνας τὴν παρ' αὐτῶν ἐμφανεστέραν κατάῤῥησιν, ἀπολογεῖται πρε πόντως, καὶ ἐξ αὐτῶν χρῆναι τῶν πραγμάτων δοκιμάζεσθαι διισχυρίζεται, τίς μὲν ὁ ποιμὴν, τίς δὲ ὁ κλέπτης ἐστὶ, δυσδιάκριτον γεμὴν τὸ τοιοῦτον οὐδαμῶς εἶναί φησιν, ὅταν τις τὸν ἑκάστου περιαθρήσῃ σκοπόν τε καὶ τρόπον. Ὁ μὲν 2.219 γὰρ κλέπτης ἔρχεται, φησὶν, ἐπὶ λύμῃ θρεμμάτων, τῆς τοῦ λῃστεύειν ἐπιθυμίας ταύτην ἐχούσης ἀναμφιλόγως τὴν ἔκ βασιν· ὁ δὲ ἀγαθὸς ὄντως ποιμὴν ἐπ' οὐδενὶ μὲν ἀφίξεται τῶν δεινῶν εἰς τὴν τῶν προβάτων αὐλὴν, κατορθώσων δὲ μᾶλλον αὐτοῖς τὸ λυσιτελοῦν, καὶ ἅπερ ἂν νοοῖτο πρὸς πολλῆς αὐτοῖς ὠφελείας ἔσεσθαι, ταῦτα συντόνως ἐξεργα σόμενος. Ἡκέτω τοιγαροῦν ὡς ἐξ ἑτέρας εἰκόνος ἐπὶ τὸ ἀληθέ στερον ἡ τοῦ λόγου δύναμις, καὶ ἀθρείτω πάλιν ὁ Φαρι σαῖος, τί μὲν ὡς ψευδοποιμένες καὶ ψευδοδιδάσκαλοι τοῖς παρ' αὐτῶν πεφενακισμένοις προὐξένησαν τότε, τίνα δὲ δώσων ἀφίκετο Χριστὸς, ἢ πρὸς ποίαν ἡμᾶς ἀνοίσων εὐημερίαν. οὐκοῦν οἱ ψευδηγορεῖν οὐ παραιτησάμενοί ποτε, καὶ τὸ ἀπεστάλθαι παρὰ Θεοῦ πλασάμενοι, προφητεύσαντές τε κατὰ τὸ γεγραμμένον "ἀπὸ καρδίας αὐτῶν, καὶ οὐκ ἀπὸ "στόματος Κυρίου," καὶ πρὸς τούτοις ἔτι Θευδᾶς τε ἐκεῖνος καὶ ὁ Γαλιλαῖος Ἰούδας ἀποστήσαντες "λαὸν ὀπίσω" αὐτῶν, τοῖς συναπαχθεῖσι συνδιεφθάρησαν· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὴν αἰώνιον ἡμῖν προξενήσων ζωὴν, ἐξ ἀγάπης τῆς εἰς ἡμᾶς παραγέγονεν. ὧν δὲ ἐναντίος ὁ σκοπὸς, καὶ ὁ τῆς ἀφίξεως τρόπος τοσοῦτον ἐξηλλαγμένος, πῶς οὐκ ἐναντία καὶ γνώμη καὶ ἐπιτήδευμα; οὐκοῦν ἀπὸ τῆς τῶν πραγμάτων ποιότητος δοκιμάζεσθαι χρῆναί φησι τίνες μὲν ἂν εἶεν ἐκεῖνοι, τίς δὲ πάλιν αὐτός. ἦν γὰρ οὕτως ἀναπεῖσαι μηδὲν ἀπηχὲς περὶ αὐτοῦ φρονεῖν ἔτι τοὺς ἡγου μένους, ἕνα τῶν ψευδοποιμένων ὑπάρχειν οἰομένους αὐτὸν, ἢ καὶ τῶν ἀλλαχόθεν ἀναβαινόντων εἰς τὴν τῶν προβάτων αὐλὴν, θύραν δὲ μᾶλλον καὶ εἰσαγωγέα καὶ ποιμένα Χριστὸν ἐληλυθέναι γεμὴν, οὐχ ἵνα μόνην ἔχωσι ζωὴν τὰ πρόβατα, φησίν· ἀλλά τι καὶ περιττόν· πρὸς γὰρ τῷ ἀναβιῶναι τοὺς 2.220 εἰς αὐτὸν πιστεύοντας, καὶ τὸ ἐν πᾶσιν ἔσεσθαι τοῖς ἀγαθοῖς ἐλπὶς οὐκ ἀμφίλογος. εἰκὸς δὲ ὅτι τὸ περισσὸν καὶ αὐτῆς τῆς ζωῆς, τουτέστι, τὸ πλέον ἤτοι τὸ τιμιώτερον, τὴν τελεωτάτην τοῦ Πνεύματος μέθεξιν εἶναί φησιν, εἰ καὶ σφόδρα περιε σταλμένως. τὸ μὲν γὰρ ἀναβιῶναι κοινὸν ἁγίοις τε καὶ ἁμαρτωλοῖς, Ἕλλησί τε καὶ Ἰουδαίοις καὶ ἡμῖν αὐτοῖς· "Ἀναστήσονται γὰρ οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς "μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ," κατὰ τὴν ἀψευδῆ τοῦ Σωτῆρος ὑπόσχεσιν. τὸ δὲ ἐν μεθέξει γενέσθαι τοῦ Ἁγίου Πνεύματος, οὐκέτι πᾶσι κοινὸν, ἀλλὰ πρὸς τῇ ζωῇ περιττὸν καὶ ὡς ἐν τάξει πλείονος τοῦ κοινῇ πᾶσιν ὑπάρξαντος, μόνοις ἀπονεμηθήσεται τοῖς διὰ πίστεως τῆς εἰς Χριστὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεδικαιωμένοις· σημανεῖ δὲ καὶ τοῦτο ὁ θεῖος ἡμῖν Παῦλος λέγων "'Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες "μὲν κοιμηθησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα, ἐν "ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλ "πίσει γὰρ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσονται ἄφθαρ "τοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα·" πάντες μὲν γὰρ ἐκ νεκρῶν ἀναστήσονται, διὰ τὸ πάσῃ δεδόσθαι τῇ φύσει διὰ τὴν τῆς ἀναστάσεως χάριν· καὶ ἐν ἑνὶ τῷ Χριστῷ, τῷ ἐξ ἀρχῆς καὶ πρώτῳ καταλύσαντι τοῦ θανάτου τὸ κράτος, καὶ εἰς ζωὴν ἐνεργηθέντι τὴν διηνεκῆ, ὁ κοινὸς τῆς ἀνθρωπότητος ὅρος καὶ πρὸς ἀφθαρσίαν ἀναμορφούμενος, καθάπερ οὖν ἐν Ἀδὰμ ἐν ἑνὶ πάλιν καὶ πρώτῳ πρὸς θάνατον καὶ φθορὰν καταδικαζό μενος. ἀλλὰ πολλή τις κατ' ἐκεῖνο καιροῦ τῶν ἀνισταμένων ἡ διαφορὰ, καὶ πολύ τι τὸ διαλλάττον εὑρεθήσεται. οἱ μὲν γὰρ ἐν πίστει τῇ εἰς Χριστὸν ἀναπαυσάμενοι, καὶ τὸν ἀῤῥα βῶνα τοῦ Πνεύματος κατὰ τὸν καιρὸν τῆς μετὰ σώματος 2.221 ζωῆς κομισάμενοι τελεωτάτην ἐναποκομιοῦται τὴν χάριν, καὶ ἀλλαγήσονται πρὸς δόξαν κομιζόμενοι τὴν παρὰ Θεοῦ. οἱ δὲ ἀπειθήσαντες τῷ Υἱῷ καὶ τὴν περίβλεπτον ἀντιμισθίαν παρ' οὐδὲν ποιησάμενοι, διελεγχθήσονται αὐτοῦ πάλιν φωνὴν, μόνον τὸ ἀναβιῶναι τοῖς ἄλλοις συγκληρωσάμενοι, τῆς οὕτω μακρᾶς ἀπειθείας ἀποτίσουσι δίκας. κατοιχήσονται γὰρ εἰς ᾅδου κολασθησόμενοι, καὶ ἀνόνητον ἕξουσιν ὑστεροβουλίαν. ἔσται γὰρ, φησὶν, ἐκεῖ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Προεπιδείξας εὖ μάλα καὶ σαφῶς ὅσα τοῖς ἀρχαιοτέροις ἡ τῶν ψευδοπροφητῶν, ἤτοι ψευδοποιμένων, ὑπόκρισις διε λυμήνατο, ἐμφανῆ τε καταστήσας τῆς ἑαυτοῦ παρουσίας τὰ κατορθώματα, καὶ ἐξ αὐτῆς ἤδη τῆς τῶν προβάτων συγκρί σεως τὴν νικῶσαν ἀπενεγκάμενος, καὶ ταῖς ἐξ ἀληθείας στεφανούμενος ψήφοις, εἰκότως ἀναφθέγγεται τό Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. μάτην οὖν ἄρα φησὶν ἐκεῖνα κατ' ἐμοῦ διεσκέπτεσθε, ἐγκαλεῖν δὲ οὐκ ἔχοντες ὡς κατά τι γοῦν ὅλως παραχαράττειν ἐθέλοντι τὸ τοῖς προβάτοις λυσιτελὲς, τοῖς τοῦτο δρᾶν εἰωθόσιν ἐπαριθμεῖν οὐ κατεναρκήσατε, τὸν δὲ ἀληθῶς ἀγαθὸν, πονηρὸν εἶναί φατε, καὶ τὸ δύνασθαι κρίνειν ὀρθῶς ἐφ' ἑκάστῳ πράγματι κατὰ τὴν τοῦ νομοθέτου διάταξιν ἐκ τοῦ φιλαυτεῖν ζημιούμενοι. οὐκοῦν ὡς ἀδίκους, ὡς ἀλογήσαντας κομιδῇ τῶν διὰ Μωυσέως, ὡς ἠγνοηκότας τῆς ἐπιδημίας αὐτοῦ τὸν σκοπὸν, ἐλέγχει τοὺς ἡγουμένους, ἵνα δὴ λοιπὸν καὶ ἀληθεύων ἐπ' αὐτοῖς ὁ προφήτης Ἡσαΐας εὑρίσκηται. "Οὐαὶ γὰρ, φησὶν, οἱ λέγοντες τὸ πονηρὸν "καλὸν καὶ τὸ καλὸν πονηρὸν, οἱ λέγοντες τὸ γλυκὺ πικρὸν "καὶ τὸ πικρὸν γλυκὺ, οἱ τιθέντες τὸ φῶς σκότος καὶ τὸ 2.222 "σκότος φῶς." ἢ γὰρ οὐχὶ τοῦτο δρῶντες ἁλώσονται, τὸ κατὰ ἀλήθειαν φῶς, τουτέστι, τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τιθέντες εἰς σκότος, διὰ τοῦ τὸν ἀγαθὸν ἡμῶν ποιμένα τοῖς ψευδωνύμοις ποιμέσιν οὐ παραιτεῖσθαι συν τάττειν, καὶ τάχα τῆς ἐκείνων τιμῆς ὀπίσω πέμπειν ἀπο τολμᾶν; τοὺς μὲν γὰρ τὸν θεῖον ἑαυτοῖς ἐπιφημίζοντας λόγον, καὶ τῷ τῆς προφητείας ὀνόματι καταληΐζεσθαι μὲν μελετήσαντας τῶν ἀγελαίων τὸν νοῦν, καὶ ὁδοῦ μὲν τῆς πρὸς ἀλήθειαν ὑπεκκλέπτοντας, ἀποβουκολοῦντας δέ ποι πρὸς τὸ δοκοῦν αὐτοῖς, καὶ οὐχὶ πάντως Θεῷ, διὰ πολλῆς εἶχον αἰδοῦς οἱ καὶ τότε δοκοῦντες κρατεῖν. Σαμέας γοῦν ὁ Σαλαμίτης τοῖς παρὰ Θεοῦ λόγοις τὴν ἐξ ἑαυτοῦ ψευδομυ θίαν ἀντιτιθεὶς, τῆς Ἱερεμίου δόξης κατεθρασύνετο. ὁ μὲν γὰρ ἦν ἐν δεσμοῖς, ὁ δὲ τὴν παρὰ Σεδεκίου τιμὴν, γέρας εἶχε τῆς ψευδηγορίας. Φαρισαῖοι δὲ νῦν οἱ δείλαιοι πολὺ τῆς ἐκείνων δυσσεβείας ἰόντες ἐπέκεινα, καὶ ἀσχημονοῦντες νεανικώτερον, οὐδὲ τὸ ὑπάρξαν τοῖς ψευδοδιδασκαλήσασιν ἀπονέμουσι τῷ Χριστῷ. τί γὰρ δὴ καί φασι περὶ αὐτοῦ πρὸς τοὺς ἥδιστα τὸν παρ' αὐτοῦ λόγον ἐπακροωμένους; "Δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε;" διὰ γάρ τοι τοῦτο καὶ αὐτὸς διὰ τοῦ προφήτου φησὶν Ἡσαΐου περὶ αὐτῶν "Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δείλαιοί "εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς, "αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ." καὶ πάλιν "Πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"γλώσσης αὐτῶν." πῶς γὰρ οὐχ ἁπάσης ἄξιοι δίκης οἱ γλῶτταν οὕτω δριμεῖαν ἀνοήτως ἐπασκήσαντες, ὡς ἐκεῖνα φάναι τολμῆσαι κατὰ Χριστοῦ, ἅπερ ἡμῖν μὲν οὐδαμῶς, μόνοις δὲ ἁρμόσει τοῖς κατ' αὐτοὺς ἀκοῆς τε τῆς σφῶν εἴσω ποιήσασθαι, καὶ ῥιψοκινδύνως εἰπεῖν; 2.223 Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ δὲ μισθωτὸς καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ ἔστι τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει· ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἀντιπαραθεὶς ἐντέχνως ταῖς τινῶν γλωσσαλγίαις καὶ ἀθέσμοις τολμήμασι τὴν ἐκ τῶν ἰδίων ἔργων φαιδρότητα, καὶ λῃστὰς μὲν ἐκείνους καὶ κλέπτας καὶ καταπηδῶντας ἀλλαχόθεν εἰς τὴν τῶν προβάτων αὐλὴν, ἑαυτὸν δὲ ποιμένα τὸν ὄντως ἀγαθὸν, ἀποφήνας τε καὶ ὀνομάσας, ἐπ' αὐτοὺς ἤδη μεταχωρεῖ τοὺς τῶν Ἰουδαίων καθηγητὰς, καὶ τῆς τῶν Φαρισαίων ἡγεμονίας ἀμείνω δεικνύει τὴν ἑαυτοῦ. ποιεῖται δὲ πάλιν ἀπὸ συγκρίσεως φανερωτάτην αὐτοῖς τὴν ἀπό δειξιν. ἀντιπαρεξάγει γὰρ ὥσπερ ταῖς παρ' αὐτῶν ῥᾳθυμίαις γρήγορσίν τε καὶ ἀγάπην τὴν ἐξ ἑαυτοῦ, καὶ πεφροντικότας μὲν τῆς ἀγέλης οὐδὲν ἐξελέγχει πάλιν, ἑαυτῷ γεμὴν ἥκειν εἰς τοῦτο τὴν ὑπὲρ αὐτῆς φροντίδα φησὶν, ὡς καὶ τῆς ἅπασι φιλαιτάτης ὑπερφρονῆσαι ψυχῆς. ὁρίζει δὲ ὥσπερ κατὰ τίνα δοκιμάζεσθαι προσήκοι τρόπον ποιμένα τὸν ἀγαθὸν, καὶ αὐτὴν γὰρ χρῆναι μὴ κατοκνεῖν προέσθαι τὴν ψυχὴν διορί ζεται τῆς τῶν ποιμνίων σωτηρίας ὑπερμαχόμενον, ὃ δὴ καὶ τετέλεσται διὰ Χριστοῦ. ἀπεσκίρτησε μὲν γὰρ τῆς πρὸς Θεὸν ἀγάπης ὁ ἄνθρωπος, ἀπονεύσας εἰς ἁμαρτίαν, ἐξῳκίσθη διὰ τοῦτο τῆς ἱερᾶς τε καὶ θείας αὐλῆς, τῶν τοῦ παραδείσου περιβόλων φημὶ, καὶ ταύτην νοσήσας τὴν συμφορὰν τῷ πρὸς ἁμαρτίαν φενακίσαντι διαβόλῳ, καὶ θανάτῳ τῷ ἐξ ἁμαρτίας ἀναβλαστήσαντι, πικροῖς ὄντως καὶ ἀγοητεύτοις κατεσαγηνεύθη λύκοις. ἐπειδὴ δὲ ποιμὴν ἀγαθὸς ἐφ' ἅπαντας ἀνεδείχθη Χριστὸς, ἔθηκεν ὑπὲρ ἡμῶν τὴν ψυχὴν τῇ τῶν 2.224 ἀτιθάσων θηρίων ξυνωρίδι μαχόμενος, σταυρὸν ὑπέμεινε δι' ἡμᾶς ἵνα θανάτῳ νεκρώσῃ τὸν θάνατον, κατεκρίθη τε δι' ἡμᾶς ἵνα τῆς ἐπὶ τῷ πλημμελεῖν κατακρίσεως πάντας ἐξέ ληται, καταργήσας διὰ τῆς πίστεως τὴν τυραννήσασαν ἁμαρτίαν, καὶ "προσηλώσας τὸ καθ' ἡμῶν χειρόγραφον τῷ "ἰδίῳ σταυρῷ," καθὰ γέγραπται. οὐκοῦν ὁ μὲν τῆς ἁμαρτίας πατὴρ ὡς "πρόβατα ἐν ᾅδῃ" ἔθετο θανάτῳ ποιμανεῖν ἡμᾶς ἐπιτρέψας, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον. ἀπέθανε δὲ δι' ἡμᾶς ὁ ἀγαθὸς ὄντως ποιμὴν, ἵνα τῆς ἀφεγγοῦς τοῦ θανάτου χειᾶς ἐξελὼν τοῖς οὐρανίοις συναγελάζεσθαι παρασκευάσῃ χοροῖς, καὶ ἀντὶ σηκῶν τῶν εἰς πυθμένας ἀβύσσου καὶ μυχοὺς θαλάσσης κειμένων, τὰς ἄνω καὶ παρὰ Πατρὶ χαρίσηται μονάς· διὰ τοῦτο καὶ πρὸς ἡμᾶς που φησί "Μὴ φοβοῦ, τὸ "μικρὸν ποίμνιον, ηὐδόκησε γὰρ ὁ Πατὴρ δοῦναι ὑμῖν τὴν "βασιλείαν." ἀλλ' ἐν τούτοις μὲν τὰ διὰ Χριστοῦ· ἴδωμεν δὲ τὰ ἐκείνων ἐν τίσιν. οὐκοῦν ἕτερον μὲν οὐδὲν ὄντως ἁλώσονται τῷ γε ὄμμασιν ὀρθοῖς τὰ ἐπ' αὐτοῖς διευκρινου μένῳ ἢ μισθωτοὶ καὶ ψευδοποιμένες καὶ δειλοὶ καὶ προδόται καὶ ὀκνηροὶ, λόγον μὲν οὐδένα τῆς τῶν προβάτων ὠφελείας πεποιημένοι πώποτε, τὸ δὲ ἡδύ πως καὶ ἑκάστῳ δοκοῦν πανταχόθεν ἐκπορίζειν σπουδάζοντες. μισθωτοὶ γὰρ ἦσαν, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οὐκ ἦν αὐτῶν ἴδια τὰ πρόβατα, μᾶλλον δὲ τοῦ Χριστοῦ τοῦ μισθώσαντος κατὰ τὴν ἀρχὴν, καὶ ἐπὶ τιμαῖς ταῖς ἀνωτάτω χειροτονήσαντος ἐπιστάτας τοῖς Ἰουδαίων λαοῖς τοὺς ἱερουργούς· ἀλλὰ τὴν οὕτω λαμπρὰν καὶ ..... τῆς τῶν θρεμμάτων αὐλῆς ἀφει δήσαντες παντελῶς, προὔδωκαν τῷ λύκῳ τὰ πρόβατα, καὶ 2.225 ὅπως ἢ τίνα τρόπον ἐροῦμεν ἐπιτομώτερον. ἐν μὲν γὰρ τοῖς ἀρχαιοτέροις καιροῖς, μόνον ἐπεγράφετο βασιλέα τὸν Θεὸν ὁ πολύχους τῶν Ἰουδαίων λαὸς, αὐτῷ τὸ δίδραχμον, αὐτῷ θυσίας ἐτέλει, καὶ ὥσπερ τινὰ δασμὸν, τὴν ἐν νόμῳ προσ εκομίζετο πολιτείαν. ἀλλ' ἦλθεν ἐπ' αὐτὸν καθάπερ τις ἄγριος λύκος ἑτερογενὴς ἄνθρωπος, δουλείας ἐπιθεὶς ὄνομά τε καὶ πρᾶγμα, καὶ βασιλείας ἀνθρωπίνης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιῤῥίπτων ζυγὸν, μετακομίζεσθαί πως ἐπαναγκάζων εἰς ἔκνομόν τε καὶ ἀήθη ζωὴν, φόρους ἐξαιτῶν, τῆς ὑπὸ Θεῷ βασιλείας ἀποσυλῶν. ἦν γὰρ δὴ καὶ ἀνάγκη τοῖς εἰς τοῦτο ταλαιπωρίας κατεῤῥαγ μένοις τοῖς τοῦ κρατοῦντος ὑπείκειν θεσμοῖς· ἧκεν ὁ ἀλλο γενὴς ἀφιστὰς μὲν ἀρχὴν τὴν παρὰ Θεοῦ, τουτέστι, τὴν ἱερᾶσθαι λαχοῦσαν φυλὴν, ᾗ τὸ κρίνειν καὶ τὸ δικάζειν ἐπετέτραπτο παρὰ Θεοῦ, μετατιθεὶς πάντα καὶ βιαζόμενος, ἑαυτὸν τοῖς νομίσμασιν ἐνσημαίνεσθαι ποιῶν, καὶ πᾶν εἶδος ἐπάγων πλεονεξίας. πρὸς τὴν οὕτως ἀφόρητον ὕβριν οὐκ ἠγρύπνησαν οἱ ποιμένες. εἶδον τὸν λύκον ἐρχόμενον, καὶ τὴν ἀγέλην ἀφέντες ἀπέδρασαν, οὐ γὰρ ἦν αὐτῶν ἴδια τὰ πρόβατα, οὐκ ἐκάλεσαν τὸν ἐπαμῦναι δυνάμενον, τὸν διασώ σαντα μὲν ἐκ Βαβυλωνίων, ἀνατρέψαντα δὲ τὸν Ἀσσύριον, τὸν ἀνελόντα διὰ χειρὸς ἀγγέλου "ἑκατὸν καὶ ὀγδοήκοντα "πέντε χιλιάδας" τῶν ἀλλογενῶν. ὅτι δὲ ἠδίκησεν οὐ μικρῶς καὶ παρέλυσεν εἰς εὐλάβειαν τοὺς ἐξ Ἰσραὴλ τὸ παραδέξασθαι τὴν ὀθνείων ἀρχὴν, τὴν ὑπό γε τοῖς ἀλλο γενέσι φημὶ, καὶ ἐξ αὐτοῦ μαθήσῃ τοῦ πράγματος. Πιλάτου γάρ ποτε τοῖς Ἰουδαίοις τὸ παράλογον ἐξονειδίζοντος θράσος, ὅτε καὶ σταυροῦσθαι παρεκάλουν τὸν Κύριον, καὶ ἀκατα καλύπτως λέγοντος "Τὸν βασιλέα ὑμῶν σταυρώσω;" τότε 2.226 δὴ τότε τὴν ὑπὸ Θεῷ δουλείαν ἀποσεισάμενοι, καὶ τὰ τῆς ἀρχαίας δεσποτείας διαῤῥηγνύντες δεσμὰ, νέοις ὥσπερ προσεχώρουν ζυγοῖς, ἀνέδην ἀναφωνήσαντες "Οὐκ ἔχομεν "βασιλέα εἰ μὴ Καίσαρα." καὶ ταῦτα τοῖς ἡγουμένοις ὀρθῶς ἔχειν ἐδόκει, δρώμενά τε καὶ ἀναφωνούμενα· αὐτοῖς οὖν ἄρα τὰς ἐφ' ἅπασι τοῖς κακοῖς ἀναθετέον αἰτίας. κατα κρίνονται δὲ καὶ μάλα εἰκότως ὡς τῶν ποιμνίων προδόται, ὡς δειλοὶ καὶ ἄνανδροι καὶ φιλόμαχοι παντελῶς, καὶ ἀπαυ δήσαντες ὁλοκλήρως τὸ ὑπερασπίζειν καὶ ὑπερμάχεσθαι θέλειν τῶν ὑπὸ χεῖρα ποιμνίων. διὰ τοῦτο καὶ Θεὸς αὐτοὺς ἀπαιτιᾶται λέγων "Ὅτι οἱ ποιμένες ηὐφρονεύσαντο, καὶ τὸν "Κύριον οὐκ ἐξεζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ "νομὴ, καὶ διεσκορπίσθησαν." ἐξ αὐτῶν τοιγαροῦν ἀποδέ δεικται τῶν πραγμάτων, ὅτι ποιμὴν μὲν προβάτων ἀγαθὸς ὄντως ὁ Χριστὸς, οἱ δὲ φθόροι μᾶλλον ἢ ἀγαθοὶ ἐπαίνων τε τῶν ἐπὶ γνησιότητι πολὺ δὴ λίαν ἐξῳκισμένοι. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ἀνεσκίρτησε πάλιν ὡς τὴν νικῶσαν εὑρὼν, καὶ τὴν ἐπὶ τὸ χρῆναι προτάττεσθαι τῆς Ἰουδαίων ἀρχῆς ἀποκομισά μενος ψῆφον, οὐ ταῖς τινῶν μαρτυρίαις, ἀλλ' ἐξ αὐτῆς ἤδη τῆς τῶν πραγμάτων συνεξετάσεως ἀναφωνουμένην. ὅνπερ γὰρ τρόπον ἀντιπαραθεὶς τὰ οἰκεῖα τοῖς διὰ τῶν ψευδοπρο φητῶν κακουργήμασι, καὶ ἀμείνω δεικνὺς τῆς ἐκείνων ψευδο λογίας τῶν οἰκείων κατορθωμάτων τὴν ἔκβασιν· τοὺς μὲν γὰρ ἐπὶ μόνῳ τῷ κλέψαι καὶ θῦσαι καὶ ἀπολέσαι γενέσθαι φησὶν αὐτομόλους ἐπὶ τὸ ψεύδεσθαι, καὶ ἃ μὴ θέμις εἰπεῖν, ἑαυτὸν γεμὴν ἀφῖχθαι πρὸς τὸ μὴ μόνον ἔχειν ζωὴν, ἀλλὰ 2.227 καὶ περισσόν τι τὰ πρόβατα· καλῶς τε καὶ ὀρθῶς ἀνεφώνει τό Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, οὕτω κἀνθάδε τὸν ἀγαθὸν ὄντως ποιμένα διορισάμενος ἐν τῷ καὶ προθνήσκειν ἐπεί γεσθαι τῶν προβάτων, καὶ τὴν ψυχὴν προθεῖναι προθύμως ὑπὲρ αὐτῶν, τὸν δὲ μισθωτὸν καὶ ὀθνεῖον ἐπιστάτην καὶ δειλὸν καὶ φυγάδα, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων προειρηκὼς, ἐπείπερ ἑαυτὸν οἶδε καταθήσοντα τὴν ψυχὴν ὑπὲρ τῶν ποιμνίων, πάλιν εὐλόγως ἀναβοᾷ τό Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ἔδει γὰρ ἔδει πάντας νικᾶν τὸν ἐν πᾶσι πρωτεύοντα, ἵνα καὶ ἀληθὴς φανῆται πάλιν ὁ μελῳδὸς πρὸς αὐτόν που λέγων "Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς "ἐν τῷ κρίνεσθαί σε." Πρὸς δέ γε τοῖς εἰρημένοις κἀκεῖνο διασκεπτέον. οἶμαι γὰρ ἔγωγε τὰ πρὸς ὠφελείας ἐσόμενα πολλῆς τοῖς Ἰουδαίων λαοῖς παραθέντα τὸν Κύριον, μὴ μόνον ἐξ οἰκείων ῥημάτων, ἀλλὰ καὶ διὰ τῆς τῶν προφητῶν χρησμῳδίας ἀναπείθειν αὐτοὺς ἐπείγεσθαι τὰ εἰκότα φρονεῖν, καὶ εἰδέναι σαφῶς, ὡς αὐτὸς μέν ἐστιν ὁ ποιμὴν ὁ καλὸς, οἱ δὲ οὐκέτι· πόθεν; ἦν γὰρ οὐκ ἀπεικὸς ἐννοεῖν ὡς εἰ μὴ τοῖς παρ' αὐτοῦ καταπεί θονται λόγοις, ἀλλά γε τοῖς δι' ἐκείνων καὶ οὐχ ἑκόντες ἐνδώσουσι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγει τοίνυν τό Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, εἰς ἀνάμνησιν ὥσπερ τῶν εἰρημένων διὰ φωνῆς Ἰεζεκιὴλ τοῦ προφήτου τὴν τῶν Ἰουδαίων ἀνακομίζων διάνοιαν. λέγει γὰρ οὕτω περί τε Χριστοῦ καὶ τῶν καθηγεῖσθαι λαχόντων τῆς Ἰουδαίων ἀγέλης "Τάδε λέγει κύριος κύριος Ὦ ποιμένες "τοῦ Ἰσραὴλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς; οὐχὶ τὰ "πρόβατα βόσκουσιν οἱ ποιμένες; ἰδοὺ τὸ γάλα κατεσθίετε "καὶ τὰ ἔρια περιβάλλεσθε καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ 2.228 "πρόβατά μου οὐ βόσκετε. τὸ ἠσθενηκὸς οὐκ ἐνισχύσατε, "καὶ τὸ κακῶς ἔχον οὐκ ἐσωματοποιήσατε καὶ τὸ συντε "τριμμένον οὐ κατεδήσατε, καὶ τὸ πεπλανημένον οὐκ "ἐπεστρέψατε, καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ "ἰσχυρὸν κατειργάσασθε μόχθῳ· καὶ διεσπάρη τὰ πρό "βατά μου διὰ τὸ μὴ εἶναι ποιμένας, καὶ ἐγενήθη εἰς "κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ διεσπάρη τὰ "πρόβατά μου ἐν παντὶ ὄρει καὶ ἐπὶ πάντα βουνὸν ὑψηλὸν, "καὶ ἐπὶ προσώπου πάσης τῆς γῆς, καὶ οὐκ ἦν ὁ ἐκζητῶν "οὐδὲ ἐπιστρέφων." εἷς γὰρ τοῖς Ἰουδαίων καθηγηταῖς ὁ σκοπὸς πρὸς μόνην ὁρᾶν τὴν φιλοκερδίαν, καὶ χρηματίζεσθαι μὲν ταῖς παρὰ τῶν ὑπηκόων προσαγωγαῖς, δασμούς τε συλλέγειν, καὶ τὰ ὑπὲρ νόμον διατάσσειν, τοῦ δέ γε λυσι τελήσειν μέλλοντος, ἢ καὶ τοῦ διασώζειν ἰσχύοντος τοὺς ὑπὸ χεῖρα λαοὺς, μηδένα ποιεῖσθαι λόγον. διὰ τοῦτο πάλιν ἐπ' αὐτοῖς οὕτω φησὶν ὁ καλὸς ὄντως ποιμήν "Τάδε λέγει "Κύριος κύριος Ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω "τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀποστρέψω "αὐτοὺς τοῦ μὴ ποιμαίνειν τὰ πρόβατά μου, καὶ οὐ βοσκή "σουσιν ἔτι οἱ ποιμένες αὐτά· καὶ ἐξελοῦμαι τὰ πρόβατά "μου ἐκ τοῦ στόματος αὐτῶν, καὶ οὐκ ἔτι ἔσονται αὐτοῖς "εἰς κατάβρωμα." καὶ πάλιν μεθ' ἕτερα "Καὶ ἀναστήσω "ἐπ' αὐτοὺς ποιμένα ἕνα καὶ ποιμανεῖ αὐτοὺς, τὸν δοῦλόν "μου Δαυεὶδ, καὶ ἔσται αὐτῶν ποιμὴν, καὶ ἐγὼ Κύριος "ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ Δαυεὶδ ἄρχων ἐν μέσῳ αὐτῶν· "ἐγὼ Κύριος ἐλάλησα. καὶ διαθήσομαι τῷ Δαυεὶδ διαθήκην 2.229 "εἰρήνης, καὶ ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς, καὶ "κατοικήσουσιν ἐν τῇ ἐρήμῳ καὶ ὑπνώσουσιν ἐν τοῖς "δρυμοῖς. καὶ δώσω αὐτοὺς περικύκλῳ τοῦ ὄρους μου, καὶ "δώσω τὸν ὑετὸν ὑμῖν, ὑετὸν εὐλογίας, καὶ τὰ ξύλα τοῦ "πεδίου δώσουσι τὸν καρπὸν αὐτῶν, καὶ ἡ γῆ δώσει τὸν "καρπὸν αὐτῆς." οὐκοῦν ἐν τούτοις εὖ μάλα καὶ σαφῶς, ὅτι μὲν τῆς τῶν Ἰουδαίων ἡγεμονίας ἐκστήσεται τῶν Φαρισαίων ἡ ἀνοσία πληθὺς διαγορεύει Θεὸς, ὅτι δὲ μετ' ἐκείνους ἐπι στατήσει ταῖς λογικαῖς τῶν πιστευόντων ἀγέλαις ὁ ἐκ σπέρματος Δαυεὶδ τὸ κατὰ σάρκα Χριστὸς ἀναφανδὸν ὡρίσατο. διαθήκην γὰρ εἰρήνης συντέτακται δι' αὐτοῦ, τὸ εὐαγγελικὸν δηλονότι καὶ θεσπέσιον κήρυγμα πρὸς φιλίαν ἡμᾶς ἀναφέρον τὴν ὡς πρὸς Θεὸν, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν περιποιοῦν. δι' αὐτοῦ τε πάλιν ὁμοίως ὁ τῆς εὐλογίας ὑετὸς, τουτέστιν, ἡ τοῦ Πνεύματος ἀπαρχὴ καρπο φόρον ὥσπερ τινὰ γῆν ἀποτελοῦσα τὴν ἐν ᾗπερ ἂν γένοιτο ψυχήν. ἐπειδὴ δὲ τοῖς μὲν προβάτοις οὐ μετρίως οἱ Φαρι σαῖοι διελυμήναντο, καταβόσκοντες μὲν οὐδαμῶς, καταλω βᾶσθαι δὲ μᾶλλον αὐτὰ πολλαχῶς ἐπιτρέποντες, διέσωσε δὲ ὁ Χριστὸς, καὶ τῆς ἄνωθεν εὐλογίας ἐδείχθη καὶ δοτὴρ καὶ πρόξενος, εἰκότως ἀναφαίνεται τοῦθ' ὅπερ ἐστὶν ὁμολογῶν Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Σκανδαλιζέσθω δέ μοι μηδεὶς, εἰ δοῦλον ἀπεκάλεσεν ὁ Θεὸς καὶ Πατὴρ τὸν ἐκ σπέρματος Δαυεὶδ γενόμενον ἄν θρωπον, καίτοι κατὰ φύσιν ὄντα Θεὸν καὶ Υἱὸν ἀληθινὸν, ἐννοείτω δὲ μᾶλλον, ὅτι τεταπείνωκεν ἑαυτὸν μορφὴν δούλου λαβών. πρεπόντως ἄρα τῇ ληφθείσῃ μορφῇ κέκληται παρὰ τοῦ Θεοῦ καὶ Πατρός. 2.230 9Καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκουσί με τὰ ἐμά· καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα.9 Ἀπεριεργότερον μὲν ἐπὶ τούτῳ φαίη τις ἂν ἕτερον οὐδὲν βεβουλῆσθαι κατασημῆναι τὸν Κύριον, ἢ ὅτι σαφὴς μὲν αὐτὸς ἔσται τοῖς ἑαυτοῦ, καὶ τοῖς εἰς αὐτὸν πιστεύουσιν ἀταλαίπωρον χαριεῖται τὴν περὶ αὐτοῦ γνῶσιν, ἐπιγνώσεται δὲ καὶ αὐτὸς τοὺς ἰδίους, οὐκ ἀνόνητον δηλονότι τὸ γινώ σκεσθαι καθιστὰς τοῖς τοῦτο δὴ λαχοῦσι. τί γὰρ ἐροῦμεν τὸ ἄμεινον τοῦ γινώσκεσθαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεῷ; ἐπειδὴ δὲ πικροτέραν ἐφ' ἑαυτῷ τὴν βάσανον ἐξαιτεῖ πως τὸ εἰρημένον διὰ τὸ προσ κεῖσθαι μάλιστα Καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα· φέρε πρὸς τοιαύτην ἴωμεν τοῦ προκειμένου τὴν ἔννοιαν. οὐ γὰρ, οἶμαι, τὶς ἐρεῖ τῶν ἐῤῥωμένον ἐχόντων τὸν νοῦν κατισχύσαι τῶν ὄντων τινὰ τοιαύτην δύνασθαι λαβεῖν περὶ Χριστοῦ τὴν γνῶσιν, ὁποίαπερ ἂν εἴη τυχὸν ἡ ἐν τῷ Θεῷ καὶ Πατρὶ περὶ αὐτοῦ. μόνος γὰρ οἶδεν ὁ Πατὴρ τὸ ἴδιον γέννημα, γινώσκεται δὲ ὑπὸ μόνου τοῦ ἰδίου γεννή ματος. "Οὐδεὶς γὰρ οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὐδ' αὖ "τὸν Πατέρα τις οἶδε τί ἐστιν εἰ μὴ ὁ Υἱὸς," κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν. ὅτι μὲν γὰρ Θεὸς ὁ Πατὴρ καὶ Θεὸς ὁμοίως ἀληθινὸς ὁ Υἱὸς, ἴσμεν τε καὶ πεπιστεύκαμεν· τὸ δὲ τί κατ' οὐσίαν ἐστὶν ἡ ἄῤῥητος φύσις, ἀνέφικτον παντελῶς ἡμῖν τε καὶ τοῖς ἄλλοις λογικοῖς κτίσμασι. πῶς οὖν ἰσο μέτρως εἰσόμεθα τῷ Πατρὶ τὸν Υἱόν; ἀθρητέον γὰρ ὅπως ἐπιγνώσεσθαι μὲν αὐτὸς ἡμᾶς δισχυρίζεται, ἐπιγνωσθή σεσθαι δὲ παρ' ἡμῶν ὡς οἶδεν αὐτὸς τὸν Πατέρα καὶ ὁ Πατὴρ αὐτόν. Οὐκοῦν ἐπεξεργαστέον καὶ τίνα τοῖς εἰρημένοις ἐφαρμό σωμεν θεωρίαν, οὐκ ἀπὸ τοῦ προκειμένου φέρουσαν σκοποῦ· 2.231 ζητητέον δὲ, τό γε ἧκον εἰς νοῦν ἐγὼ μὲν οὐκ ἀποκρύψομαι, τοῖς γεμὴν ἐθέλουσιν ἔστω παραδεκτόν. οἶμαι γὰρ ὅτι τὴν γνῶσιν ἐν τούτοις οὐχ ἁπλῶς τὴν εἴδησιν λέγει, δέχεται δὲ μᾶλλον ἀντὶ τῆς οἰκειότητος, ἤτοι τῆς κατὰ γένος καὶ φυσικῆς, ἢ τῆς ὡς ἐν μεθέξει χάριτος καὶ τιμῆς. γνωστοὺς οὖν ἔθος ἀποκαλεῖν τοῖς Ἑλλήνων παισὶν οὐχ ὅπως τοὺς κατὰ τὰ γένους οἰκείους μόνον, ἀλλὰ καὶ ὁμαίμους ἀδελ φούς. ὅτι δὲ καὶ ἡ θεία γραφὴ γνῶσιν οἶδε τὴν οἰκειότητα, διὰ τούτων εἰσόμεθα. λέγει γάρ που Χριστὸς περὶ τῶν οὐδαμόθεν οἰκειωθέντων αὐτῷ "Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ "τῇ ἡμέρᾳ· τῇ τῆς κρίσεως δηλονότι· Κύριε Κύριε, οὐ τῷ "σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν, καὶ δαιμόνια "ἐξεβάλομεν; τότε ὁμολογήσω αὐτοῖς, ὅτι ἀμὴν λέγω ὑμῖν "ὅτι οὐδέποτε ἔγνων ὑμᾶς." ἀλλ' εἴπερ ἡ γνῶσις μόνην ἡμῖν κατασημαίνει τὴν εἴδησιν, πῶς ἠγνόησε τῶν ὄντων τινὰς ὁ πάντα ἔχων "γυμνὰ καὶ τετραχηλισμένα τοῖς "ὀφθαλμοῖς αὐτοῦ," καθὰ γέγραπται· ὁ καὶ "πρὶν γενέ "σεως τὰ πάντα εἰδώς;" οὐκοῦν ἀνόητον κομιδῇ, μᾶλλον δὲ ἤδη καὶ δυσσεβὲς, τὸ ἀγνοῆσαί τινας ὑποτοπῆσαι τὸν Κύριον, οἰησόμεθα δὲ μᾶλλον εἰπεῖν αὐτὸν ὡς οὐδαμόθεν τὴν οἰκειότητα τὴν πρὸς αὐτὸν καὶ σχέσιν ἐπάγονται. οὐκ οἶδα γὰρ, φησὶ, γεγονότας ἐραστὰς ἀρετῆς, οὐ τὸν ἐμὸν τιμήσαντας λόγον, ἀλλ' οὐδὲ συναφθέντας ἐμοὶ διὰ πράξεων ἀγαθῶν. ἀκολούθως τοῖς ἄνω νοήσεις καὶ ἐπὶ τοῦ πανσόφου Μωυσέως, ὅταν πρὸς αὐτὸν λέγῃ Θεός "Οἶδά σε παρὰ "πάντας, καὶ χάριν εὗρες παρ' ἐμοῦ," ἀντὶ τοῦ ἐν οἰκειότητι τῇ ὑπὲρ πάντας ἐτέθης παρ' ἐμοὶ, καὶ πολλὴν ἐπορίσω τὴν χάριν. καὶ οὐκ ἀναιροῦντες τὸ καὶ εἰς εἰδήσεως δύναμιν τὴν γνῶσιν λαμβάνεσθαι τὰ τοιαῦτά φαμεν, ἀλλὰ τρόπον τοῖς 2.232 θεωρήμασιν ἐπινοοῦντες τὸν πρεπωδέστερον. οὐκοῦν Γινώσκω φησὶ τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα· ἀντὶ τοῦ προσοικειω θήσομαι τοῖς προβάτοις τοῖς ἐμοῖς, οἰκειωθήσεται δέ μοι τὰ πρόβατα τὰ ἐμὰ, κατὰ τοῦτον τὸν τρόπον καθ' ὃν ἐμοὶ μὲν οἰκεῖός ἐστιν ὁ Πατὴρ, ἐγὼ δὲ αὖ πάλιν οἰκεῖός εἰμι τῷ Πατρί. ὅνπερ γὰρ τρόπον οἶδεν ὁ Θεὸς καὶ Πατὴρ γνησίαν ἔχων ὠδῖνα τὸν ἴδιον Υἱὸν καὶ καρπὸν τῆς οὐσίας αὐτοῦ, οἶδε δὲ πάλιν ὁ Υἱὸς Πατέρα κατὰ ἀλήθειαν ἔχων τὸν Θεὸν, ἅτε δὴ γεννητὸς ὑπάρχων ἐξ αὐτοῦ, κατὰ τὸν αὐτὸν καὶ ἡμεῖς τρόπον προσοικειωθέντες αὐτῷ, γένος αὐτοῦ χρηματί ζομεν καὶ κεκλήμεθα τέκνα, κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ "Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός." γένος δὲ καὶ γνήσιον ἐσμὲν καὶ χρηματίζομεν τοῦ Υἱοῦ, καὶ δι' αὐτὸν τοῦ Πατρὸς, ἐπείπερ ὑπάρχων ἐκ Θεοῦ Θεὸς Μονογενὴς ἄνθρωπος γέγονε, τὴν αὐτὴν ἡμῖν φύσιν ἀναλαβὼν, εἰ καὶ δίχα πάσης ἁμαρτίας. ἐπεὶ πῶς "γένος ἐσμὲν τοῦ Θεοῦ," κατὰ τίνα δὲ τρόπον "θείας φύσεως κοινωνοί;" οὐ γὰρ ἐν μόνῳ τῷ ἐθελῆσαι Χριστὸν εἰς οἰκειότητα λαβεῖν ἡμᾶς τὸ τῆς καυχήσεως ἔχομεν μέτρον, ἀλλ' ἐπαληθεύεται πᾶσιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῖν ἡ τοῦ πράγματος δύναμις. θεία μὲν γὰρ φύσις ὁ τοῦ Θεοῦ Λόγος καὶ μετὰ σαρκὸς, ἡμεῖς δὲ γένος αὐτοῦ, καίτοι κατὰ φύσιν ὄντος Θεοῦ, διὰ τὸ τὴν αὐτὴν ἡμῖν σάρκα λαβεῖν. οὐκοῦν ἐμφερὴς ὁ τῆς οἰκειότητος τρόπος. ὡς γὰρ ᾠκείωται μὲν αὐτὸς τῷ Πατρὶ, ᾠκείωται δὲ διὰ τὴν ταυτό τητα τῆς φύσεως ὁ Πατὴρ αὐτῷ, οὕτω καὶ ἡμεῖς αὐτῷ καθὸ γέγονεν ἄνθρωπος, καὶ αὐτὸς δὲ ἡμῖν. δι' αὐτοῦ δὲ ὡς διὰ μεσίτου τῷ Πατρὶ συναπτόμεθα. μεθόριον γὰρ ὥσπερ τι θεότητός τε τῆς ἀνωτάτω καὶ ἀνθρωπότητός ἐστιν ὁ Χρι στὸς, ἐν ταὐτῷ τε ὢν ἀμφότερα, καὶ οἷον συνέχων ἐν ἑαυτῷ 2.233 τὰ τοσοῦτον διῳκισμένα, καὶ συνάπτεται μὲν ὡς φύσει Θεὸς τῷ Θεῷ καὶ Πατρὶ, ἀνθρώποις δὲ πάλιν ὡς κατ' ἀλήθειαν ἄνθρωπος. Ἀλλ' ἴσως ἐρεῖ τις Οὐχ ὁρᾷς, ὦ οὗτος, ὅποι ποτὲ πάλιν ὁ σὸς ἀποκινδυνεύει λόγος; εἰ γὰρ καθὸ γέγονεν ἄνθρωπος γινώσκειν αὐτὸν οἰησόμεθα τὰ αὐτοῦ, τουτέστιν, ἐλθεῖν εἰς οἰκειότητα τῶν προβάτων αὐτοῦ, τίς ἔξω μένει τῆς ἀγέλης; ἔσονται γὰρ οἰκεῖοι σύμπαντες καθὸ καὶ ἄνθρωποι καθάπερ αὐτός. τί οὖν ἐν τῷ λέγειν ἔτι τὸ περισσὸν Τὰ ἐμά; τί δὲ τοῖς ὄντως αὐτοῦ τὸ ἐξαίρετον; εἰ γὰρ πάντες οἰκεῖοι διὰ τὴν ἤδη προειρημένην αἰτίαν, τί τοῖς γνωρίμοις ἔσται τὸ πλεῖον; Πρὸς τοῦτό φαμεν, ὅτι κοινὸς μὲν ἅπασι καὶ τοῖς ἐγνω κόσιν αὐτὸν καὶ τοῖς ἀγνοήσασιν ὁ τῆς οἰκειότητος τρόπος· γέγονε γὰρ ἄνθρωπος, οὐ χαριζόμενος ἀνὰ μέρος τισὶ, τισὶ δὲ οὐκέτι, ἀλλ' ὅλην πεσοῦσαν ἐποικτείρας τὴν φύσιν. ὀνήσει δὲ οὐδὲν ὁ τῆς οἰκειότητος τρόπος τοὺς διὰ τῆς ἀπειθείας ὑβρίζοντας, ἀπονεμηθήσεται δὲ μᾶλλον καθάπερ γέρας ἐξαίρετον τοῖς ἀγαπῶσιν αὐτόν. ὅνπερ γὰρ τρόπον ὁ τῆς ἀναστάσεως λόγος διήκει μὲν ἐπὶ πάντας, διὰ τὴν τοῦ Σωτῆρος ἀνάστασιν, ὅλην ἑαυτῷ συνανιστῶντος τὴν ἀν θρώπου φύσιν, ὠφελήσει δὲ οὐδὲν τοὺς φιλαμαρτήμονας· κατοιχήσονται γὰρ εἰς τὸν ᾅδην, ἐπὶ μόνῳ τῷ χρῆναι κολάζεσθαι τὸ ἀναβιῶναι δεχόμενοι· τοῖς γεμὴν τὸν ἐξαί ρετον ἠσκηκόσι βίον πρὸς ὠφελείας ἔσται πολλῆς· ἐπὶ γὰρ μετουσίᾳ τῶν ὑπὲρ νοῦν ἀγαθῶν λήψονται τὴν ἀνάστασιν· κατὰ τοῦτον οἶμαι τὸν τρόπον τὸν τῆς οἰκειότητος λόγον ἥκειν μὲν ἐπὶ πάντας πονηρούς τε καὶ ἀγαθοὺς, μὴ μὴν ἐν ἴσῳ πᾶσιν ὑπάρχειν, ἀλλὰ τοῖς μὲν πιστεύουσιν εἰς αὐτὸν συγγενείας ἀληθοῦς καὶ τῶν ταύτῃ χρεωστουμένων ἀφορ μὴν, τοῖς δὲ μὴ τοιούτοις ἀχαριστίας τε καὶ ἀνοσιότητος 2.234 ἔγκλημα χαλεπώτερον. καὶ ταῦτα μὲν ἐπὶ τούτοις ἡμεῖς· διανοείσθω δέ τις τὰ τελεώτερα. Ἐπιτηρητέον δὲ γεμὴν ὅπως ἐστὶν ἀληθής τε ὁμοῦ καὶ ἀσφαλὴς ὁ λόγος, οὐ γὰρ διαφορήσας περὶ αὐτῶν ὁρᾶται, ἀλλ' ἐν τάξει τῇ οἰκείᾳ καὶ πρεπωδεστάτῃ τῶν πραγμάτων ἕκαστα τιθείς. οὐ γὰρ ἔφη Γινώσκει με τὰ ἐμὰ καὶ γινώσκω τὰ ἐμὰ, ἀλλ' ἑαυτὸν ἐγνωκότα πρότερον εἰσφέρει τὰ ἴδια πρόβατα, εἶθ' οὕτως γνωσθήσεσθαί φησι παρ' αὐτῶν. ἐκληφθείσης δὲ τῆς γνώσεως ἐπὶ μὲν τῆς εἰδήσεως, ὥσπερ οὖν ἐλέγομεν ἐν ἀρχῇ, τοιῶσδέ πως νοήσεις Οὐχ ἡμεῖς αὐτὸν ἐπεγνώκαμεν πρῶτοι, ἐπέγνω δὲ ἡμᾶς πρῶτον αὐτός. καὶ γοῦν ὁ Παῦλος τοῖς ἐξ ἐθνῶν ἐπιστέλλων τοιοῦτόν τι φησί "Διὸ μνημονεύετε ὑμεῖς τὰ ἔθνη ἐν σαρκὶ οἱ λεγόμενοι "ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειρο "ποιήτου, ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ ἀπηλλο "τριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν δια "θηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν "τῷ κόσμῳ· νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ οἱ ποτὲ ὄντες "μακρὰν ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ." ἐξ ἀμετρήτου γὰρ ἡμερότητος ἑαυτὸν τοῖς ἔθνεσι προσαγήοχεν ὁ Χριστὸς, καὶ προέγνω μᾶλλον ἢ ἐγνώσθη παρ' ἡμῶν. εἰς δέ γε τὴν οἰκειότητα καὶ συγγένειαν νοουμένης τῆς γνώσεως, πάλιν ἐκεῖνό φαμεν Οὐχ ἡμεῖς ἠρξάμεθα τοῦ πράγματος, ἀλλ' ὁ ἐκ Θεοῦ Θεὸς Μονογενής· οὐ γὰρ ἡμεῖς ἐπεδραξάμεθα τῆς ὑπὲρ φύσιν θεότητος, ἀλλ' αὐτὸς ὁ φύσει Θεὸς σπέρματος Ἁβραὰμ ἐπελάβετο, καθά φησιν ὁ Παῦλος, καὶ γέγονεν ἄνθρωπος, ἵνα τοῖς ἀδελφοῖς ὁμοιωθεὶς κατὰ πάντα, χωρὶς ἁμαρτίας, πρὸς οἰκειότητα λάβῃ τὸν οὐκ ἔχοντα ταύτην ἐξ ἑαυτοῦ, τουτέστι, τὸν ἄνθρωπον. οὐκοῦν 2.235 ἀναγκαίως αὐτὸς ἡμᾶς προεγνωκέναι φησὶν, εἶθ' οὕτως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμᾶς αὐτόν. Καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Ὡς ὑπὲρ οἰκείων ἤδη καὶ συγγενῶν ηὐτρέπισται μὲν εἰς τὸ παντὶ μὲν ὑπερασπίζειν τρόπῳ, καὶ κατεπαγγέλλεται καὶ προκινδυνεύειν μὲν ἑτοίμως, συνιστὰς ἐν ταὐτῷ διὰ τῆς ἐπαναλήψεως ὅτι περ αὐτὸς ὄντως ἐστὶν ὁ ποιμὴν ὁ καλός. οἱ μὲν γὰρ τοῖς λύκοις ἀνέντες τὰ πρόβατα, καὶ δειλοὶ καὶ μισθωτοὶ διὰ τοῦτο καὶ μάλα κατωνομάσθησαν, ὁ δὲ ἐπεί περ ἔγνω τοσοῦτον αὐτῶν ὑπεραγωνίσασθαι δεῖν, ὡς μηδὲ αὐτὸν καταναρκῆσαι τὸν θάνατον, εὐλόγως ἂν δὴ νοοῖτο ποιμὴν ὁ καλός. λέγων δὲ ὅτι τίθημι τὴν ψυχήν μου ὑπὲρ τῶν προβάτων, ἐπείπερ εἰμὶ ὁ ποιμὴν ὁ καλὸς, ὑποπλήττει τὸν Φαρισαῖον, καὶ δίδωσί πως ἐννοεῖν ὅτι τοσοῦτον ἔμπαροι νήσει ποτὲ, καὶ εἰς τοῦτο μανίας τῆς ἐπ' αὐτῷ κληθήσεται, ὡς θανάτῳ περιβαλεῖν ὃν ἥκιστα μὲν τοῦτο πάσχειν ἐχρῆν, ἐπαίνου δὲ μᾶλλον παντὸς ἀξιοῦσθαι καὶ θαύματος αὐτῶν τε ὧν εἰργάζετο χάριν, καὶ τῆς ἐν τῷ ποιμαίνειν εὐτεχνοῦς ἐπιστήμης. Σημειωτέον γεμὴν ὅτι τὸν ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς θάνατον οὐκ ἀκούσιον ὑπέμεινεν ὁ Χριστὸς, ἐθελοντὴς δὲ πρὸς τοῦτο βαδίζων ὁρᾶται, καίτοι ῥᾷστα τὸ πάσχειν δια δράναι δυνάμενος, εἰ μὴ βούλοιτο παθεῖν. οὐκοῦν τὸ τῆς εἰς ἡμᾶς ἀγαπήσεως κάλλος καὶ τὸ τῆς ἡμερότητος ὑπερφυὲς, ἐν τῷ καὶ ἑκόντα παθεῖν ὑπὲρ ἡμῶν ὀψόμεθα. 2.236 Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα δεῖ με ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. Πολυτρόπως τὸν ἄτακτον περικροτεῖ Φαρισαῖον· ὅτι μὲν γὰρ τῆς τῶν προβάτων ἐπιστασίας ὅσον οὐδέπω παρωσθή σεται, κατάρξει δὲ μᾶλλον αὐτὸς καὶ καθηγήσεται, διὰ πολλῶν ὑπεμφαίνει λόγων. ὑποσημαίνει δὲ ὅτι τοῖς ἐξ Ἰσραὴλ εὐγνωμονεστέροις τὰς ἐκ τῶν ἐθνῶν ἀναμίξας ἀγέλας, οὐ μόνης ἡγεμονεύσει τῆς Ἰουδαίων, ἀλλ' ἤδη καὶ εἰς ὅλην διατενεῖ τὴν γῆν τῆς ἑαυτοῦ δόξης τὸ φῶς, καὶ καλέσει πρὸς θεογνωσίαν τοὺς ἁπανταχόσε λαοὺς, οὐκ ἐν μόνῃ τῇ Ἰουδαίᾳ γνωστὸς εἶναι καταδεχόμενος, ὥσπερ οὖν ἐν ἀρχαῖς, ἁπάσῃ δὲ μᾶλλον τῇ ὑπ' οὐρανὸν προτιθεὶς εἰς ἀπόλαυσιν τῆς ἀληθοῦς θεογνωσίας τὴν ἐπιστήμην. ὅτι δὲ παιδαγωγὸς εἰς εὐσέβειαν τοῖς ἔθνεσιν ἀνεδείχθη Χριστὸς, ἐκμάθοι τις ἂν καὶ λίαν εὐκόλως· μεστὴ γὰρ ἡ θεόπνευστος γραφὴ τῶν ἐπὶ τούτῳ μαρτυριῶν, καὶ ἦν μὲν ὡς ἔοικε παρα τρέχειν οὐκ ἀπεικὸς ἀνέντα τοῖς εὐμαθεστέροις τὴν ἐπὶ τούτῳ ζήτησιν· παραθεὶς δ' οὖν ὅμως δύο τῶν προφητῶν ἢ τρεῖς περὶ τούτου λόγους ἐρῶ πάλιν τὰ ἐφεξῆς. φησί που τοίνυν ὁ Θεὸς καὶ Πατὴρ περὶ αὐτοῦ "Ἰδοὺ μαρτύριον ἔθνεσι "δέδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν." διε μαρτύρατο γὰρ τοῖς ἔθνεσιν ὁ Χριστὸς μάθημα δοὺς τὸ σωτήριον, καὶ δι' ὧν ἀνασώζεσθαι χρῆν ἀνυποστόλως εἰπών. μελῳδὸς δὲ ὁ θεῖος καθάπερ εἰς θίασον ἕνα τοὺς ἁπανταχόσε καλῶν, καὶ πρὸς οὐράνιον ἑορτὴν συναγείρεσθαι τὴν ὑφ' ἡλίῳ κελεύων "Πάντα τὰ ἔθνη, φησὶ, κροτήσατε χεῖρας, "ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως." ἀλλ' εἴ τῳ δοκοίη καὶ τῆς οὕτω λαμπρᾶς καὶ ἀοιδίμου πανηγύρεως 2.237 πολυπραγμονεῖν τὴν αἰτίαν, εὑρήσει λέγοντα σαφῶς "Ὅτι "βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλλετε συνετῶς, ἐβασί "λευσεν ὁ Θεὸς ἐπὶ πάντα τὰ ἔθνη." καὶ αὐτὸν δέ που τὸν Κύριον ἐν ἰδίοις λόγοις εἰσαγήοχε πᾶσιν ὁμοῦ τοῖς ἔθνεσι τὸ εὐαγγελικὸν περιαγγέλλοντα κήρυγμα· ἐν γὰρ τῷ ὀγδόῳ καὶ τεσσαρακοστῷ λέγει ψαλμῷ "Ἀκούσατε πάντα τὰ ἔθνη, "ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, οἵ τε "γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος "καὶ πένης. τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη "τῆς καρδίας μου σύνεσιν." τί γὰρ ἐρεῖ τις τῶν εὐαγγε λικῶν παιδευμάτων εἶναί τι σοφώτερον, τί δὲ οὕτως ἐν συνέσει λαληθὲν εὑρήσομεν ὡς μάθημα τὸ διὰ Χριστοῦ; οὐκοῦν· ἐπανήξει γὰρ ὁ λόγος εἰς τὸ ἀπ' ἀρχῆς· ὅτι τοῖς ἐξ Ἰσραὴλ ἐπιστρέφουσι συναγελασθήσεται τῶν ἐθνῶν ἡ πλη θὺς, προαγορεύει σαφῶς. ἀλλὰ τοῦ δὴ χάριν, φαίη τις ἂν τὴν ἐν τῷ προκειμένῳ διάνοιαν πικρότερον ἐρευνῶν, τοῖς Ἰουδαίων ἡγουμένοις προσδιαλεγόμενος [ὁ Σωτὴρ], καὶ πρὸς ἄνδρας μίσει καὶ φθόνῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διακεκαυμένην ἔχοντας τὴν καρδίαν λαλῶν, ἀποκαλύπτει μυστήρια; τί γὰρ, εἰπέ μοι, τοὺς τοιούτους ἐχρῆν ὅτι τῶν ἐθνῶν κατάρξει μαθεῖν, καὶ ὅτι τὰ ἔξω τῆς Ἰουδαίας πρόβατα ταῖς ἰδίαις αὐλαῖς ἐνσηκιεῖ; τί οὖν ἐροῦμεν πρὸς τοῦτο, τί δὲ ἀπολογισόμεθα; οὐχ ὡς φίλοις ἀνακοινοῦται μυστήρια, ἀλλ' οὐδὲ εἰκαίαν αὐτοῖς ποιεῖται τὴν ἐπὶ τούτοις ἐξήγησιν· ἀλλ' ἐπείπερ ὠφελήσων ἠπίστατο, ὅσον ἐφ' ἑαυτῷ· τοῦτο γὰρ ἦν τὸ προκείμενον, εἰ καὶ τῶν ἀκροωμένων δυσάλωτος κομιδῇ καὶ πρὸς εὐπείθειαν οὐκ εὐχερὴς ὑπάρχων ὁ νοῦς διέμεινεν ἀκαμπής. ἐπειδὴ δὲ τήν τε Μωυσέως συγγραφὴν καὶ τὰ τῶν ἁγίων προφητῶν 2.238 μηνύματα διεγνωκότας ἠπίστατο, πολὺς δὲ καὶ μακρὸς παρὰ τοῖς προφήταις ὁ λόγος, ὅτι καὶ τὰ ἔθνη πρὸς θεογνωσίαν σαγηνεύσει Χριστὸς, διὰ τοῦτο σημεῖον αὐτοῖς ὥσπερ τὸ πρᾶγμα τιθεὶς ἐναργέστατον ὡς αὐτὸς εἴη σαφῶς ὁ προηγ γελμένος, ὅτι καλέσει καὶ τὰ οὐκ ὄντα ἐκ τῆς Ἰουδαίων αὐλῆς πρόβατα διαῤῥήδην διισχυρίσατο, ἵνα λοιπὸν, ὥσπερ οὖν ἐλέγομεν ἀρτίως, αὐτὸν ὄντως ἐκεῖνον εἶναι πιστεύσειαν, ὃν καὶ ὁ τῶν ἁγίων ἀνδρῶν προεχρησμῴδει χορός. Διὰ τοῦτό με ὁ Πατὴρ ἀγαπᾷ, ὅτι τίθημι τὴν ψυχὴν ἵνα πάλιν λάβω αὐτήν. Ὑπαντᾷ πολλάκις οὐ μόνον τοῖς ἤδη διὰ γλώττης ἐκπε φωνημένοις, ἀλλὰ καὶ τοῖς ἐν τῷ βάθει λογισμοῖς· Θεὸς γὰρ ὑπάρχων ἀληθινὸς, πάντων ἔχει σαφῆ τὴν ἐπίγνωσιν. δια γελώντων τοιγαροῦν τῶν ἀνοσίων Ἰουδαίων τὸν παρ' αὐτοῦ λόγον, καὶ ἐπείπερ εἰς τοσοῦτον τοῖς ἰδίοις προβάτοις συν αθλήσειν κατεπηγγέλλετο, καὶ σφόδρα προθύμως, ὡς καὶ προτεθνάναι λίαν ἑτοίμως ἔχειν, ληρεῖν οἰομένων ἤδη καὶ μαίνεσθαι δοκούντων αὐτὸν, ἀναγκαίως ἤδη λοιπὸν ἐξ ἀπαι δευσίας ὁμοῦ καὶ δυσσεβείας ἀμέτρου τῆς ἐνούσης αὐτοῖς διαγελῶντας ἐπιδεικνύει λόγοις τε καὶ πράγμασιν ἐπιτιμᾶν ἑλομένους ἃ πολλῆς οἶδε τιμῆς ἀξιοῦν ὁ Θεὸς καὶ Πατήρ. ἀγαπᾷ γάρ με διὰ τοῦτο, φησὶν, ὃ διὰ πολλὴν ἀσυνεσίαν πεποίησθε παρ' οὐδέν. πῶς οὖν οὐκ ἀλαζόνες καὶ δυσσεβείας ἁπάσης ἐντὸς, οἳ καταγέλαστον εἶναί φατε τὸ τῷ Θεῷ θυμηρέστατον; δίδωσι δέ πως αὐτοῖς καὶ διὰ τούτων ἐννοεῖν, ὅτι μεμίσηνται σφόδρα παρὰ Θεοῦ. εἰ γὰρ ἀγαπᾷ τὸν τιθέντα τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων τῆς ἐγχειρισθείσης ἀγέλης, ἀνάγκη δὴ πᾶσα νοεῖν, ὅτι βδελυρὸν ἡγήσεται τὸν 2.239 θεωροῦντα τὸν λύκον ἐρχόμενον, καὶ ἀνέντα μὲν τὴν ἀγέλην ἐπιπηδῶντι καὶ μαινομένῳ, τρεπόμενον δὲ πρὸς φυγὴν, ὁ δὴ καὶ δρῶντας ἐξήλεγχε τοὺς ἄρχειν λαχόντας τοῦ Ἰουδαίων λαοῦ, ἤτοι αὐλῆς. ἐν ταὐτῷ τοιγαροῦν καὶ θεομισεῖς καὶ ἀσεβοῦντας ἐλέγχει διὰ τοῦ μὴ καταφρίξαι γελᾶν τὸ παρὰ τῷ Θεῷ τιμιώτατον. ἠγαπῆσθαι γεμὴν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς διισχυρίζεται Χριστὸς, οὐχ ὅτι μόνον τίθησι τὴν ψυχὴν, ἀλλ' ὅτι τίθησιν ἵνα καὶ λάβῃ· ἐν γὰρ δή τοι μάλιστα τούτῳ τῶν εἰς ἡμᾶς κατωρθωμένων ἀγαθῶν διαλάμπει τὸ μέγεθος. εἰ γὰρ ἐτεθνήκει μὲν μόνον, μὴ ἐγήγερτο δὲ, τί τὸ πλέον ἦν ἔτι; κατὰ τί δ' ἂν τὴν φύσιν ὀνήσας ἐφάνη νεκρὸς σὺν ἡμῖν ἀπομείνας, ὑπὸ τὰ τοῦ θανάτου δεσμὰ καὶ ὑπὸ τῆς ἐπεισάκτου φθορᾶς ἀναμὶξ τοῖς ἄλλοις τυραννού μενος; ἐπειδὴ δὲ τέθεικεν Ἵνα καὶ λάβῃ, διέσωσεν ὅλην κατὰ τοῦτο τὴν φύσιν, καταργήσας τοῦ θανάτου τὸ κράτος, καὶ κτίσιν ἡμᾶς ἀναδείξει καινήν. Ἀγαπᾶται τοιγαροῦν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, οὐχ ὡς ἔξω τῆς ἀγάπης διαμένων, εἰ μὴ συνέβη τὸ καθ' ἡμᾶς· ἦν γὰρ ἀεὶ καὶ διὰ παντὸς ἀγαπώμενος. βαδιούμεθα δὲ πρὸς τὴν τοῦ λεγομένου κατάληψιν· τὰ φύσει προσόντα τισὶν, ἢ καὶ καθ' ἕξιν συμβαίνοντα, τότε δὴ μάλιστα χαριε στάτην ἔχει τὴν ἔκφανσιν, ὅταν ἄγηται πρὸς ἐνέργειαν. οἷον, τὸ πῦρ ἔχει φυσικῶς τὴν ἰδίαν ἐν ἑαυτῷ θερμότητα, ἀλλ' ὅταν ἐνεργῇ τι περὶ τὰς ὕλας, τότε δὴ μάλιστα πόση τις αὐτῷ καὶ ποία δύναμις ἐνυπάρχει διαγινώσκομεν. ὁμοίως ὁ γραμματικῆς τυχὸν, ἤγουν ἑτέρας τοιαύτης τινὸς ἐπιλαβό μενος ἐπιστήμης, οὐκ ἂν, οἶμαι, θαυμάζοιτο σιωπῶν, προτι θεὶς δὲ μᾶλλον εἰς γνῶσιν ἑτέροις τὸ τῆς ἐνούσης αὐτῷ μαθήσεως κάλλος. οὕτω τοιγαροῦν ἡ θεία τε καὶ ἄῤῥητος 2.240 φύσις ὅταν ἐνεργῇ τι τῶν ἰδίως ἀνακειμένων αὐτῇ, καὶ προσεῖναι πεφυκότων, τότε δὴ μάλιστα καὶ αὐτὴ παρ' ἑαυτῇ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χαριεστέρα φαίνεται, ὁρᾶται δὲ οὕτω καὶ παρ' ἡμῖν. καὶ γοῦν ἡ σοφία φησὶν ἐν βιβλίῳ παροιμιῶν "Ἐγὼ ἤμην ᾗ "προσέχαιρε, καθ' ἡμέραν δὲ ηὐφραινόμην ἐν προσώπῳ "αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε ηὐφραίνετο τὴν οἰκουμένην "συντελέσας, καὶ ἐνηυφραίνετο ἐν υἱοῖς ἀνθρώπων." καίτοι τὸ χαρεῖν ἀεὶ πρόσεστι τῷ Θεῷ, καὶ τὸ ἀτελεύτητον ἐν θυμη δίαις· τὸ γὰρ λυποῦν ὅλως οὐδὲν τὸν ἁπάντων ἔχοντα τὴν ἐξουσίαν, ἀλλὰ προσέχαιρε τῇ ἰδίᾳ σοφίᾳ συντελέσας τὴν οἰκουμένην. εἰς ἔργον γὰρ ἐνεχθεῖσαν ὁρῶν τῆς ἑαυτοῦ σοφίας τὴν ἐνέργειαν, τότε δὴ μάλιστα χαίρειν ᾤετο δεῖν πλουσιώτερον. οὕτω τοιγαροῦν κἀνθάδε νοήσωμεν. ἀγάπη γὰρ ὑπάρχων ὁ Θεὸς καὶ Πατὴρ, κατὰ τὴν Ἰωάννου φωνὴν, καὶ οὐκ ἀγαθὸς ἁπλῶς, αὐτὸ δὲ μᾶλλον τὸ ἀγαθὸν, ἐπείπερ εἶδε τὸν ἴδιον Υἱὸν ὑπὲρ ἡμῶν τιθέντα διὰ τῆς εἰς ἡμᾶς ἀγάπης καὶ ἀσυγκρίτου χρηστότητος τῆς ἑαυτοῦ φύσεως ἀκριβεῖς ἀποσώζοντα τοὺς χαρακτῆρας, ἠγάπησεν εἰκότως, οὐ μισθὸν ὥσπερ τινὰ τῶν εἰς ἡμᾶς γεγονότων τὴν ἀγάπην αὐτῷ δωρούμενος, ἀλλ', ὥσπερ εἰρήκαμεν, τῆς οὐσίας τῆς ἑαυτοῦ τὸ γνήσιον ἐν Υἱῷ θεωρῶν, καὶ φύσεως ὥσπερ τισὶν ἀναγκαίοις τε καὶ ἀπαραιτήτοις ὁλκοῖς πρὸς τοῦτο καλού μενος. ὥσπερ οὖν εἴ τις καὶ τῶν καθ' ἡμᾶς ἐν ἰδίῳ τέκνῳ τυχὸν τῆς οἰκείας μορφῆς ἀκριβῆ τὸν χαρακτῆρα καταθεώ μενος, αἴρεται πρὸς ἐπίτασιν ἀγάπης ὅτε μάλιστα βλέπει· κατὰ τοῦτον οἶμαι τὸν τρόπον ὁ Θεὸς καὶ Πατὴρ ἀγαπῆσαι λέγεται τὸν ἴδιον Υἱὸν ὑπὲρ ἡμῶν τιθέντα τὴν ἰδίαν ψυχὴν καὶ αὖθις λαμβάνοντα. ἀγάπης γὰρ ἔργον τὸ καὶ παθεῖν 2.241 ἑλέσθαι, καὶ τοῦτο ἀδόξως, διὰ τὴν τινῶν σωτηρίαν, καὶ οὐχ ὅπως τεθνάναι μόνον, ἀλλὰ καὶ αὖθις τὴν τεθεῖσαν ψυχὴν λαβεῖν, ἵνα νεκρώσῃ τὸν θάνατον καὶ τὴν ἀπὸ τῆς φθορᾶς ἐλάσῃ κατήφειαν. ἀγαπητὸς οὖν ὑπάρχων ἀεὶ διὰ τὴν φύσιν, ἠγαπῆσθαι νοηθήσεται καὶ διὰ τῆς εἰς ἡμᾶς ἀγάπης καλῶν εἰς θυμηδίαν τὸν ἑαυτοῦ γεννήτορα· ἐπείπερ ἦν αὐτῷ κἀν τεῦθεν ὁρᾶν ἀθόλωτον παντελῶς καὶ ἀπαραποιήτως ἐκλάμ πουσαν τῆς ἑαυτοῦ φύσεως τὴν εἰκόνα. 2.243 λιβρι ῃιι φραγμεντα θυαε ρεπεριρι ποτυερυντ. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ΕΝΤΑΥΘΑ μέν τοι διδάσκει ὅτι οὐ μόνον ὑπῆρχεν ποιμὴν ἀγαθὸς κινδυνεύων ὑπὲρ τῆς ποίμνης, ἀλλὰ καὶ Θεὸς φύσει. διὸ οὐκ ἂν τὸν θάνατον ὑπέμεινεν, εἰ μὴ ἑκὼν διὰ τὸ ἔχειν θεοπρεπέστερον ἐξουσίαν τῆς οἰκονομίας ταύτης πολὺ τὸ χρήσιμον ἐχούσης ὑπὲρ ἡμῶν· καὶ διδασκούσης τῆς τοῦ λόγου ὑφῆς καὶ τοὺς Ἰουδαίους, ὅτι οὐδέποτε ἔμελλον αὐτοῦ περιγενέσθαι μὴ θελήσαντος. οὐ μόνον δὲ ἐπὶ τοῦ θεῖναι τὴν ψυχὴν, εἶπεν Ἐξουσίαν ἔχω, ἀλλ' ἐπὶ ἀμφοτέρων τοῦ τε θανάτου καὶ τῆς ἀναστάσεως τό Ἐξουσίαν ἔχω ἔθηκεν, ἵνα μὴ δυνάμεώς τε καὶ ἐνεργείας ἑτέρου φαίνηται τὸ κατόρθωμα 2.244 καθάπερ ὑπηρέτῃ καὶ ὑπουργῷ κατ' ἐπιτροπὴν αὐτῷ συγχω ρούμενον, ἀλλ' ἵνα φύσεως ἰδίας ἐπιδείξῃ καρπὸν τὸ καὶ αὐτῶν δύνασθαι κατεξουσιάζειν τῶν τοῦ θανάτου δεσμῶν, καὶ ἐφ' ὅπερ ἂν βούλοιτο μετατρέπειν εὐκόλως τῶν πραγ μάτων τὰς φύσεις, ὅπερ ἐστὶν ἴδιον ὄντως τοῦ κατὰ φύσιν Θεοῦ. τοῦτο οὖν βούλεται δεῖξαι, διὰ τοῦ λέγειν Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχὴν καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν· ὅτι οὐ κελευσθεὶς ὡς δοῦλος ἢ ὑπηρέτης, ἀλλ' οὐδὲ ὡς ἐξ ἀνάγκης ἢ βιασθεὶς παρά τινων, ἀλλ' ἑκὼν ἦλθεν ἐπὶ τοῦτο. Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ Πατρός μου. Ἵνα γὰρ μή τις εἴπῃ, ὅτι παρὰ τὴν τοῦ Υἱοῦ βούλησιν οὐ δύναται ὁ Πατὴρ λαβεῖν αὐτοῦ τὴν ψυχὴν, καὶ ἐκ τούτου στασιασμὸν καὶ διχόνοιαν εἰσαγάγῃ ἐν τῇ μιᾷ θεότητι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· δι' ὧν φησιν Ἔλαβον ἐντολὴν, συμφρονοῦντα καὶ συνθέλοντα πρὸς τοῦτο δείκνυσι καὶ τὸν Πατέρα, καὶ ὡς ἀπὸ μιᾶς γνώμης εἰς τοῦτο παρελθεῖν ὁμολογεῖ, εἰ καὶ αὐτός ἐστιν ἡ τοῦ Πατρὸς βουλή. ἁρμόσει δὲ τοῦτο καὶ τῇ μετὰ σαρκὸς οἰκονομίᾳ. ἐν ἐντολῆς δὲ τάξει παρειλη φέναι λέγων τὸ δόξαν παρὰ τῷ Πατρὶ ὀρθῶς ἔχειν, οὐκ ἐλαττοῖ ἑαυτὸν τοῦ Πατρὸς ὢν φύσει Θεὸς, ἀλλὰ τὸ μὲν πρέπον τῇ ἐνανθρωπήσει τηρεῖ. πλὴν ὑπομιμνήσκει ὅτι αὐτός ἐστιν ὁ προφήτης περὶ οὗ εἶπεν ὁ Πατήρ "Ὅτι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λαλήσει "καθότι ἂν ἐντείλωμαι αὐτῷ·" τὴν πρὸς τὸν Θεὸν καὶ Πατέρα κοινοβουλίαν, ὡς ἐντολὴν, δεδέχθαι λέγων. ὅπερ ἔλεγε πρὸς Ἰουδαίους πρὸς τὸ μὴ νομίζειν αὐτὸν παρὰ τὰ 2.245 τοῦ Πατρὸς λαλεῖν προστάγματα. εἰ δὲ προφήτην ὠνόμασε τὸν ἴδιον Υἱὸν ὁ Πατὴρ τὸν ὁμοούσιον, μὴ θορυβηθῇς· ὅτε γὰρ γέγονεν ἄνθρωπος, τότε ἡρμόσθη αὐτῷ καὶ τὸ τοῦ προφήτου ὄνομα, τότε καὶ ἐντολὰς αὐτῷ δεδόσθαι φαμὲν παρὰ τοῦ Πατρὸς οἰκονομικῶς. πλὴν ὁ λαμβάνων ἐντολὰς, οὐ κατὰ τοῦτο ἐλάττων ἢ ἀνόμοιός ἐστι τῆς τοῦ ἐντελλο μένου οὐσίας ἢ φύσεως, ὅπου γε καὶ ἄνθρωποι ἀνθρώποις ἐντέλλονται, καὶ ἄγγελοι ἀγγέλοις· καὶ οὐ διὰ τοῦτο ἑτερο φυεῖς ἢ ἐλάττονας τοὺς ἐπιταττομένους λέγομεν. οὐκοῦν οὔτε τοῦ Πατρὸς ὁ Υἱὸς ἐλάττων, εἰ καὶ γέγονεν ἄνθρωπος ἵνα γένηται ἡμῖν πάσης ὑπογραμμὸς ἀρετῆς· διὸ καὶ τοῦτο διδάσκει ὅτι χρὴ τοῖς γονεῦσιν ἐν πᾶσιν ὑπακούειν ἡμᾶς, εἰ καὶ τὸ ἴσον ἔχομεν κατὰ τὴν φύσιν. ἔστι δὲ ὅπου τὸ παρὰ τοῦ Πατρὸς λεγόμενον Ἐντελοῦμαι, δηλοῖ τό Ἀραρότως ποιήσω, ὡς ὅταν εἴπῃ "Καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ "κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν." πλὴν καὶ συγκαταβατικῶς ἔσθ' ὅτε λαλεῖ ὁ Υἱὸς, διὰ τὸ ἡμᾶς νοῆσαι ὡς ἔστι δυνατὸν τὰ ἄῤῥητα λόγια· ὅμως οὐ τὸ εἰπεῖν ὅτι Ἐντολὴν ἔλαβον, ποιεῖ μὴ εἶναι Θεὸν τὸν φύσει ὄντα Θεόν. ἢ οὖν λέγε Θεὸν, καὶ δίδου ὅσα τῇ θεότητι ἁρμόζει ἔχειν, ἢ λέγε αὐτὸν κτίσμα φανερῶς. οὐ γὰρ τὸ λαβεῖν ἐντολὴν, γυμνοῖ τῶν φυσικῶς τινι προσόντων. ἐπειδὴ δὲ ὅσα ὁ Πατὴρ ἐνετείλατο τῷ Υἱῷ ταῦτα λαλεῖ· καί φησιν "Ἐγὼ καὶ ὁ "Πατὴρ ἕν ἐσμεν," ἀνάγκη σε εἰπεῖν, ἤτοι ὅτι ἀληθεύειν ὁ Πατὴρ ἐνετείλατο τῷ Υἱῷ, ἢ ὅτι ψεύδεσθαι. ἃ γὰρ ἔλαβεν ὁ Υἱὸς ἐντολὴν λαλῆσαι, λαλεῖ· "Ὁ πέμψας με "γὰρ, φησὶ, Πατὴρ, ἐντολὴν ἔδωκε τί εἴπω καὶ τί λαλήσω." εἰ δὲ καὶ εἶπεν "Ὅτι ὁ Πατήρ μου μείζων μου ἐστὶν," οὐδὲν ἐναντίον. καθὸ μὲν γὰρ φύσει Θεὸς, ἴσος τῷ Πατρί· 2.246 καθὸ δὲ γέγονεν ἄνθρωπος καὶ ἐταπείπωσεν ἑαυτὸν, τὰ πρέποντα τῇ ἀνθρωποτητι λαλεῖ ῥήματα οἰκονομικῶς. ὅμως τὸ τῆς ἐντολῆς ὄνομα ἔξωθεν τῆς οὐσίας ὑπάρχον, οὐκ ἂν γένοιτο τῆς οὐσίας ἔγκλημα. οὐ γὰρ ἐν τῷ ἐντέλλεσθαι τὸν Πατέρα, τὸ εἶναί ἐστι τῷ Υἱῷ, οὐδὲ τοῦτο γένοιτό ποτε τῆς οὐσίας ὅρος. οἶδε τοίνυν ὁ Υἱὸς, ὡς βουλὴ καὶ σοφία τοῦ Πατρὸς, τὸ ἀραρότως κεκριμένον παρ' αὐτοῦ· εἰ δὲ ὡς ἐντολὴν δέχεται, μὴ θαυμάσῃς. ἀνθρωπίνοις γὰρ λόγοις τὰ ὑπὲρ λόγον σημαίνεται, καὶ τὰ ταῖς ἡμετέραις ἄῤῥητα φωναῖς κατεσπάσθη πρὸς τὸν λόγον τὸν ἐν ἡμῖν, ἵνα καὶ νοεῖν ἰσχύσωμεν. αἰτιασώμεθα τοίνυν, οὐ τὴν τοῦ πράγματος ἀτοπίαν, ἀλλὰ τὴν τῶν ῥημάτων ἀσθένειαν οὐ δυναμένων ἐφικέσθαι, καθ' ὃν ἔδει τρόπον, τῆς τῶν πραγμάτων ποιό τητος καὶ ἀκριβοῦς ἑρμηνείας. Σχίσμα πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους· ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν Δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε; ἄλλοι ἔλεγον Ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοῖξαι; Κάτεισι τοῦ Σωτῆρος ὁ λόγος εἰς τὰς τῶν ἀκροωμένων καρδίας, καὶ τρυφερωτέρας μὲν εὑρὼν μεταπλάττει παρα χρῆμα, καὶ πρὸς ἕξιν μεθίστησιν ἀγαθήν· σκληραῖς δὲ περιτυχὼν ἀπανίσταται καὶ ἀπονεύει τρόπον τινά. οὐκοῦν ὁ μὲν ἕτοιμόν πως εἰς εὐγνωμοσύνην ἔχων τὸν νοῦν, τὸν σωτήριον ἀσμένως παραδέξεται λόγον, ὁ δὲ μὴ τοιοῦτος, οὐκέτι. τοιοῦτόν τι συνέβη παθεῖν τοὺς Ἰουδαίων λαούς. ἐπειδὴ γὰρ τῶν τοῦ Σωτῆρος κατηκροάσαντο λόγων, κατα 2.247 σχίζονται πρὸς διχόνοιαν, καὶ οἱ μὲν αἰσθητικώτεροι, ῥέ πουσιν ἤδη πρὸς σωτηρίας ἀρχήν· οἱ δὲ σκληροὶ, νοσοῦσι χειρόνως, ἤπερ εἶχον ἐν ἀρχῇ. καταπλήττεται δὲ ὥσπερ ὁ θεσπέσιος Εὐαγγελιστὴς εἰ διὰ τούτους τοὺς λόγους συνέβη σχισθῆναι τοὺς Ἰουδαίων λαούς. ἐμφαντικώτατα γὰρ οἶμαι λέγειν αὐτὸν τὸ σκληρὸν τῶν ἀπειθησάντων θαυμάζοντα, ὅτι σχίσμα ἐγένετο διὰ τοὺς λόγους τούτους, δι' οὓς, φησὶν, ἔδει τοὺς Ἰουδαίους ἀκριβῶς πεισθῆναι ὅτι αὐτός ἐστιν ὁ Χριστός. τοσοῦτον ἦσαν οἱ τοῦ Σωτῆρος λόγοι θαυμαστοί. ἀλλὰ καὶ τούτων αὐτοῖς εἰρημένων οἷς εἰκὸς ἦν εἰς εὐπείθειαν σαγηνεύεσθαι καὶ τὸν σφόδρα δυσθήρατον,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σχίσμα γέγονεν ἐν αὐτοῖς. ἀποθαυμάζει τοίνυν αὐτοὺς εἰς ἀναίσχυντον παρα κοὴν ἀνοσίως ἐκτετραμμένους. τοσούτῳ γὰρ οἶμαι κατηγο ρεῖσθαι δίκαιον, ὅσῳπερ ἂν εἰκότως ὁ παρὰ τοῦ Σωτῆρος ἡμῶν θαυμάζοιτο λόγος. ὁ μὲν οὖν ἐλάλει θεοπρεπῆ καὶ ἅπερ ὑπεραναβαίνει ἄνθρωπον· ἡ δὲ τῶν ὑπὲρ ἄνθρωπον λόγων λαμπρότης καὶ ἡ θεοπρεπὴς παῤῥησία πρὸς ἄκρατον ἀβουλίαν ἐξίστησι τοὺς πολλούς. καὶ ἐπείπερ ἦν ἔθος τοῖς ἀληθῶς δαιμονιζομένοις προχειρότατα δυσφημεῖν, ἅτε δὴ λελυττηκόσιν εὐκόλως καὶ συνέσεως ἁπάσης ἔξω κειμένοις, ᾤοντο δὲ τὸν Κύριον ἄνθρωπον εἶναι ψιλὸν, οὐκ ἐννοοῦντες, ὅτι Θεὸς ἦν φύσει, διὰ τοῦτο ὡς ἀκρατήτως βλασφημοῦντα, δαιμονῶντα ἐκάλουν. ἤκουον γὰρ λέγοντος ἅπερ ἂν πρέποι μόνῳ λέγειν τῷ Θεῷ. ὡς ἕνα δὲ τῶν καθ' ἡμᾶς ὁρῶντες, καὶ τίς ἐστι κατὰ φύσιν οὔπω γινώσκοντες, δυσφημεῖν ἐνόμιζον ὅτε τι λέγοι θεοπρεπές. οὐκοῦν οἰκονομικῶς διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν ὑφειμένως πολλάκις καὶ τῷ 2.248 καθ' ἡμᾶς κέχρηται λόγῳ. κατασχίζεται τοίνυν τῶν Ἰου δαίων ὁ δῆμος· καὶ οἱ μὲν, οὐδὲν ἐννοήσαντες ὅλως τῶν ἐπ' αὐτῷ μυστηρίων, ἀνοσίως ὑβρίζουσιν· οἱ δὲ τὴν ἕξιν ἐπιει κέστεροι προχείρως οὐ κατακρίνουσιν, ἀναμασώμενοι δὲ τοὺς παρ' αὐτοῦ λόγους καὶ μετὰ ἀκριβείας βασανίζοντες, τῆς ἐν αὐτοῖς γλυκύτητος ὑπαισθάνονται, δοκιμωτάτην τε οὕτω ποιοῦνται τὴν διάκρισιν, νήφοντας καὶ συνέσεως τῆς ἀνω τάτω γέμοντας λόγους, ταῖς τῶν δαιμονίων ἐλαφρίαις οὐ χαριζόμενοι. ἔθος γὰρ ἐκείνων ἐν τῷ παραπαίειν, τὸ παρεμ πίπτον λαλεῖν. οἱ οὖν Φαρισαῖοι μᾶλλον ἦσαν οἱ δαιμο νῶντες, οἱ τοιοῦτον καλοῦντες τὸν παντὸς ἐλεύθερον πάθους· καὶ λελήθασιν ἑαυτοὺς τὴν ἐνοῦσαν αὐτοῖς ἐξαγορεύοντες νόσον καὶ τὸ συνέχον αὐτοὺς κακὸν ἐξ ἀγνοίας ἐξηγεῖσθαι οὐ παραιτούμενοι. οἶμαι δὲ ἔγωγε κακουργοτάτως σφόδρα λέγειν αὐτοὺς, ὅτι δαιμονᾷ ὁ Κύριος. ἐπειδὴ γὰρ ὡς ποι μένας κατῃτιᾶτο δειλοὺς καὶ μισθωτοὺς, ὡς ἀνέντας τῷ λύκῳ τὰ πρόβατα, καὶ ὀλίγα παντελῶς τῆς ἀγέλης φροντίσαντας, οὐ μετρίως καταπτοούμενοι μὴ ἄρα συνιέντες οἱ δῆμοι τὸ εἰρημένον, παραιτήσωνται μὲν ἤδη τὸ ὑπ' αὐτοῖς ἔτι ποιμαί νεσθαι, προσδράμωσι δὲ τῇ ὑπὸ Χριστῷ μαθητείᾳ, διὰ τοῦτο τὸν νοῦν τῶν ἀγελαίων φενακίζοντές φασι Δαιμόνιον ἔχει, τί αὐτοῦ ἀκούετε; ἀλλὰ καὶ ταῦτα ἐκείνων διὰ κακουρ γίαν λεγόντων, εἰς τὸ ἐναντίον αὐτοῖς ἀπέβη τὸ σκέμμα. ἄλλοι δὲ ἀπὸ μὲν τῆς τῶν λόγων ποιότητος, ὀρθοὺς εἶναι κρίνουσι τοὺς τοῦ Κυρίου λόγους, ὡς οὐκ ὄντων τῶν τοι ούτων λόγων δαιμονιζομένου· ὅμως αἱ θαυματουργίαι, φησὶν, ἄμαχον ἔχουσι μαρτυρίαν. εἰ γὰρ καὶ τῶν λόγων ὡς οὐκ ὀρθῶς λεγομένων κατηγορεῖτε, ἀλλ' ἀμήχανον ἐν ταὐτῷ τινα καὶ δαιμόνιον ἔχειν, κἀκεῖνα ποιεῖν ἅπερ μόνος δύναται Θεὸς 2.249 ποιεῖν. ἀπὸ οὖν τῶν καρπῶν οἱ αἴσιοι κριταὶ ἐπεγίνωσκον αὐτὸν, μετὰ καὶ τοῦ καὶ θαυμάζειν τὸν παρ' αὐτοῦ λόγον. Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις καὶ χειμὼν ἦν· καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ Σολομῶνος. Παρὴν δὲ ἐν ταῖς ἑορταῖς ὁ Κύριος οὐχ ὡς συνεορτάσων· πῶς γάρ; ὁ εἰπών "Μεμίσηκα ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν·" ἀλλ' ἵνα τοὺς ἐπωφελεῖς αὐτοῦ λόγους ἐπὶ παρουσίᾳ πολλῶν εἴπῃ, ἐμφανῆ ἑαυτὸν καταστήσας τοῖς Ἰουδαίοις, καὶ ἀζη τήτως αὐτοῖς ἑαυτὸν καταμίξας. ἐγκαίνια δὲ οἰητέον ἐνταῦθα, ἤτοι τὴν πρώτην ἑορτὴν καθ' ἣν ὁ Σολομὼν ἐπετέλεσε τὰ ἐγκαίνια, ἢ ὅτε ὁ Ζοροβάβελ ὕστερον σὺν τῷ Ἰησοῦ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τὸν ναὸν ᾠκοδόμησε. χειμῶνος δὲ καὶ ὑετοῦ ὄντος τηνικαῦτα, εἰκότως ἅπαντες ἐπὶ τὴν στοὰν ἔτρεχον· διὸ καὶ ὁ Χριστὸς ἐκεῖ ἦλθεν, ἵνα πᾶσιν γνωρίσῃ ἑαυτὸν τοῖς θέλουσιν αὐτὸν ἰδεῖν, καὶ μεταδῷ αὐτοῖς ὠφελείας. οἱ γὰρ ὁρῶντες ἠκονῶντο πρὸς τὸ ἐρωτᾶν τι αὐτόν· ὅτι καὶ μᾶλλον ἐν ταῖς ἀργίαις οἱ ἄνθρωποι πεφύκασι τοὺς τοιούτους ἐπιμελῶς ἀνακινεῖν λόγους. Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ. Παραιρεῖται μὲν αὐτοὺς τὸ εἰς πίστιν ὀξὺ δριμύσσων ὁ φθόνος· ἐκβιάζεται δὲ πρὸς τὸ θαῦμα τῶν τελουμένων τὸ 2.250


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέγεθος. ὑπαιτιῶνται γεμὴν τοῦ λόγου, καὶ τὸ τῆς διδα σκαλίας περιεσταλμένον, ἐμπόδιον αὐτοῖς εἶναί φασι τοῦ συνιέναι δύνασθαι καλῶς ἅπερ ἔδει μαθεῖν. ἀξιοῦσι τοι γαροῦν εἰπεῖν αὐτὸν ἐναργέστερον, καίτοι πολλάκις ἀκροα σάμενοι καὶ μακρὰν ἐπὶ τούτῳ λαβόντες ἐξήγησιν. εἰ γὰρ καὶ μὴ ἔφη σαφῶς Ἐγώ εἰμι ὁ Χριστὸς, ἀλλὰ τῶν προσ εῖναι πεφυκότων αὐτῷ ἀξιωμάτων πολλὰ παρῆγεν εἰς μέσον, ποτὲ μὲν λέγων "Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου," ποτὲ δὲ πάλιν "Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ἐγώ εἰμι "ἡ ὁδός· ἐγώ εἰμι ἡ θύρα· ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός." ἐξ ὧν γὰρ ταῦτα ἑαυτὸν ὀνομάζει, σημαίνει ὅτι ὁ Χριστός ἐστι. τοῖς γὰρ τοιούτοις ἀξιώμασιν εἴωθεν ἡ γραφὴ στεφανοῦν τὸν Χριστὸν, εἰ καὶ λευκῶς τοῦτο αὐτὸν ἀπήτουν οἱ Ἰουδαῖοι εἰπεῖν. ἄλλως τε τάχα πως καὶ οὐ σφόδρα εὐπαράδεκτον τὸ ἐν ἁπλαῖς λέγειν φωναῖς Ἐγώ εἰμι ὁ Χριστὸς, οὐχ ἑπομένων εἰς ἀπόδειξιν τῶν πραγμάτων, δι' ὧν ἂν εἰκότως ἐπιστεύθη ὡς αὐτὸς εἴη ὁ Χριστός. ἀσυγκρίτως δὲ κρεῖττον μὴ ἐξ ὧν αὐτὸς ἔλεγε γνωρίζεσθαι αὐτὸν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, ἀλλ' ἐκ τῶν προσεῖναι πεφυκότων μᾶλλον, καὶ ἐξ ὧν αἱ θεῖαι περὶ αὐτοῦ χρησμῳδοῦσι γραφαὶ, καὶ φανερὸν αὐτὸν ἔσεσθαι μηνύουσιν. ἅπερ μὴ νοήσαντες οἱ Ἰουδαῖοι ὡς ἄγαν μικροψυχοῦντες, φασὶ τό Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; ἔθος γὰρ τοῖς ὀλιγωροῦσι τοῦτο λέγειν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς Εἶπον ὑμῖν καὶ οὐ πιστεύετε· τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ. Περιττὸν οὖν ἐνόμισε καὶ ὁ Χριστὸς τοῖς πολλάκις 2.251 ἀκούσασι καὶ μὴ πεισθεῖσι, πάλιν τὰ αὐτὰ εἰπεῖν. χρὴ γὰρ ἀπὸ τῆς τῶν γινομένων ποιότητος δοκιμάζεσθαι τὰ ἑκάστου, καὶ οὐ πάντως εἰς λόγους ὁρᾷν. ἀποπληροῦν δὲ λέγει ἑαυτὸν τὰ ἔργα ἐν τῷ ὀνόματι τοῦ Πατρὸς, οὐ τὴν ἄνωθεν καθά τις ἅγιος καρπούμενος δύναμιν, οὐδ' ὡς ἀδυναμίαν ἑαυτῷ κατηγορῶν, ὁ Θεὸς ἐκ Θεοῦ, ὁ τοῦ Πατρὸς ὁμοού σιος, ἡ δύναμις τοῦ Πατρὸς, ἀλλ' ὡς ἀπονέμων τῇ θείᾳ δόξῃ τὴν τῶν τελουμένων δύναμιν, ἐν τῷ ὀνόματι τοῦ Πατρὸς τὰ ἔργα φησὶ ποιεῖν. πλὴν καὶ ἀνάγει ἐπὶ τὸν Πατέρα τὴν τιμήν· ἵνα μὴ δῷ τοῖς Ἰουδαίοις ἀφορμὴν τοῦ ἐπιφύεσθαι αὐτῷ. ὅμως καὶ ἄξιον ἡγήσατο μὴ παρελθεῖν τὸ μέτρον τῆς τοῦ δούλου μορφῆς κἂν ὑπάρχῃ Θεὸς καὶ Κύριος. εἰπὼν δὲ ὅτι ἐν ὀνόματι τοῦ Πατρὸς ποιεῖ τὰ ἔργα, διδάσκει ὅτι οἱ Ἰουδαῖοι βλασφημοῦντες ἔλεγον, ἐν Βεελζεβοὺλ ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια. ἐπεὶ δὲ ὁ Πατὴρ, οὐκ ἐπειδὴ πατήρ ἐστι, ποιεῖ τὰ θαύματα, ἀλλ' ἐπειδὴ Θεός ἐστι φύσει· καὶ ὁ Υἱὸς ἄρα, οὐκ ἐπειδὴ Υἱὸς, ἀλλ' ὡς Θεὸς ἐκ Θεοῦ, δύναται καὶ αὐτὸς τὰ τοῦ Πατρὸς ἔργα ποιεῖν· διὸ οἰκονομικῶς εἶπεν, ἐν ὀνόματι τοῦ Πατρὸς τὰ ἔργα ποιεῖν. Ἀλλ' ὑμεῖς οὐ πιστεύετέ μοι, ὅτι οὐκ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν. καθὼς δὲ εἶπον ὑμῖν, τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα. Ἀπόδειξις τῶν τοῦ Χριστοῦ προβάτων, τὸ εὐήκοον καὶ τὸ ἕτοιμον εἰς εὐπείθειαν, ὥσπερ τῶν ἀλλοτρίων τὸ ἀπειθές. τὸ γάρ Ἀκούειν ὧδε νοοῦμεν, τὸ τοῖς λεγομένοις πεισθῆναι· ἐκεῖνοι δὲ γινώσκονται ὑπὸ Θεοῦ οἱ ἀκούοντες αὐτοῦ· τὸ δέ 2.252 Γινώσκεσθαι δηλοῖ τὸ οἰκειοῦσθαι· καθόλου γὰρ οὐδεὶς ὑπὸ τοῦ Θεοῦ ἀγνοεῖται. ὅταν οὖν λέγῃ Γινώσκω τὰ ἐμὰ, τουτό φησιν, ὅτι προσδέξομαι καὶ οἰκειώσομαι αὐτὰ μυστικῶς τε καὶ σχετικῶς. εἴποι δ' ἄν τις ὅτι καὶ καθὸ ἄνθρωπος γέγονε, πάντας ἀνθρώπους ᾠκειώσατο διὰ τὸ ὁμογενὲς, ὥστε οἰκεῖοι πάντες ἐσμὲν Χριστῷ κατὰ σχέσιν μυστικὴν, καθὸ γέγονεν ἄνθρωπος· ἀλλότριοι δὲ ὅσοι μὴ φυλάττουσι τὴν σύμ μορφον τῆς ἁγιότητος εἰκόνα. οὕτω γὰρ καὶ Ἰουδαῖοι οἰκεῖοι ὄντες κατὰ γένος τοῦ Ἀβραὰμ τοῦ πιστοῦ, ἐξ ὧν ἄπιστοι γεγόνασιν, ἐστερήθησαν τῆς ἐκείνου συγγενείας διὰ τὴν τῶν τρόπων ἀνομοιότητα. φησὶ δὲ ὅτι Καὶ ἀκολουθοῦσί μοι τὰ πρόβατα· οἱ γὰρ πειθόμενοι καὶ ἕπονται ἀπό τινος θεοσδότου χάριτος κατ' ἴχνος Χριστοῦ, οὐκέτι ταῖς νομικαῖς δουλεύοντες σκιαῖς, ἀλλ' οἷς ὁ Χριστὸς ἐπιτάττει καὶ τῷ αὐτοῦ ἀκολου θοῦντες λόγῳ, διὰ χάριτος εἰς τὸ αὐτοῦ ἀναβήσονται ἀξίωμα, υἱοὶ Θεοῦ καλούμενοι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστοῦ γὰρ ἀνιόντος εἰς τοὺς οὐρανοὺς, κἀκεῖνοι ἀκολουθήσουσιν αὐτῷ. ἀμοιβὴν δὲ καὶ γέρας τοῖς ἑπομένοις αὐτῷ τὴν ζωὴν τὴν αἰώνιον χαρί σασθαί φησι, καὶ τὸ μὴ ὑποκεῖσθαι θανάτῳ ἢ φθορᾷ καὶ ταῖς βασάνοις ταῖς ἐπαγομέναις παρὰ τοῦ Κριτοῦ τοῖς πλημμελήσασι. δι' ὧν δὲ δίδωσι ζωὴν, δείκνυσιν αὐτὸς ζωὴ ὢν φύσει· καὶ ὅτι αὐτὸς ταύτην χορηγεῖ ἐξ ἑαυτοῦ καὶ οὐκ ἐξ ἑτέρου λαβών. ζωὴν δὲ νοοῦμεν αἰώνιον, οὐ τὴν μακροημέρευσιν, ἧς πάντες μέλλουσιν ἀπολαύειν μετὰ τὴν ἀνάστασιν καλοί τε καὶ κακοί· ἀλλὰ καὶ τὸ ἐν εὐθυμίᾳ διάγειν. Δυνατὸν δὲ ζωὴν νοεῖν καὶ τὴν μυστικὴν εὐλογίαν δι' ἧς ἐμφυτεύει Χριστὸς τὴν ἑαυτοῦ ζωὴν, διὰ τῆς μεταλήψεως τῆς ἰδίας σαρκὸς τοῖς πιστοῖς, κατὰ τὸ εἰρημένον "Ὁ 2.253 "τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει "ζωὴν αἰώνιον." Καὶ οὐ μὴ ἁρπάσῃ τις αὐτὰ ἐκ τῆς χειρός μου. ὁ Πατήρ μου ὃς δέδωκέ μοι πάντων μείζων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. ἐγὼ καὶ ὁ Πατήρ μου ἕν ἐσμεν. Οἱ πιστοὶ καὶ τὴν ἐπικουρίαν ἔχουσι τοῦ Χριστοῦ, οὐ δυναμένου τοῦ διαβόλου ἁρπάζειν αὐτούς· ἤτοι οἱ ἔχοντες ἀκατάπαυστον τῶν ἀγαθῶν ἀπόλαυσιν, μένουσιν ἐν αὐτῷ, οὐχ ἁρπάζοντος αὐτοὺς ἔτι τινὸς ἀπὸ τῆς δοθείσης αὐτοῖς εὐθυμίας εἰς τιμωρίαν ἢ βασάνους. οὐ γὰρ δυνατὸν τοὺς ὄντας ἐν τῇ τοῦ Χριστοῦ χειρὶ, ἁρπαγῆναι εἰς τὸ κολα σθῆναι, διὰ τὸ ἄγαν ἰσχύειν τὸν Χριστόν· ἡ γὰρ χεὶρ ἐν τῇ θείᾳ γραφῇ, τὴν δύναμιν δηλοῖ· ὅτι μὲν οὖν ἀνίκητος ἡ τοῦ Χριστοῦ χεὶρ καὶ εἰς πάντα ἰσχύουσα, ἀναμφίβολον. ἀλλ' ἐπείπερ ἑώρα τοὺς Ἰουδαίους καταγελῶντας αὐτοῦ ὡς ἀν θρώπου ψιλοῦ, μὴ νοοῦντας ὅτι φύσει Θεὸς ἦν ὁ ὁρώμενος καὶ ψηλαφώμενος ἄνθρωπος, πείθων αὐτοὺς ὅτι αὐτός ἐστιν ἡ τοῦ Πατρὸς δύναμις, φησὶν, ὅτι οὐδεὶς ἁρπάσει ἀπὸ τῆς χειρὸς τοῦ Πατρός μου, τουτέστιν ἐμοῦ. ἑαυτὸν γάρ φησι τὴν παντοδύναμον τοῦ Πατρὸς δεξιάν· ὡς δι' αὐτοῦ πάντα ἐνεργοῦντος τοῦ Πατρός· ὡς καὶ διὰ τῆς ἡμετέρας χειρὸς τὰ παρ' ἡμῶν ἐνεργούμενα. ἐν πολλοῖς γὰρ τῆς γραφῆς τόποις, ὁ Χριστὸς χεὶρ ὀνομάζεται καὶ δεξιὰ τοῦ Πατρός· ὅπερ σημαίνει τὴν δύναμιν· καὶ ἁπλῶς χεὶρ ὀνομάζεται Θεοῦ ἡ παντουργικὴ ἐνέργεια καὶ ἰσχύς. ἀμείνων γάρ πως ἀεὶ σωματικῆς φαντασίας ὁ περὶ Θεοῦ λόγος. λέγεται δὲ ὁ 2.254 Πατὴρ διδόναι τῷ Υἱῷ, οὐχ ὡς μὴ ἔχοντι ἀεὶ ὑπὸ χεῖρα τὴν κτίσιν, ἀλλ' ὡς ὄντι αὐτῷ φύσει ζωῇ, προσκομίζων ἡμᾶς τοὺς ἐπιδεομένους ζωῆς, ἵνα διὰ τοῦ Υἱοῦ ζωοποιηθῶμεν τοῦ ὄντος φύσει ζωῆς, καὶ οἴκοθεν ἔχοντος τοῦτο. πλὴν καὶ καθὸ γέγονεν ἄνθρωπος, ἁρμόζει αὐτῷ τὸ αἰτεῖν τε καὶ λαμβάνειν παρὰ τοῦ Πατρὸς ἃ εἶχεν ὡς φύσει Θεός. Ἐάσας γὰρ τὰ ἀνθρώπινα ὁ Χριστὸς, ἐπὶ τὸ θεοπρεπὲς αὐτοῦ ἀνατρέχει ἀξίωμα, ἐναβρυνόμενος τοῖς φυσικοῖς αὐτοῦ πλεονεκτήμασι διὰ τὸ χρήσιμον τῶν πιστῶν καὶ τὴν ὑγιᾶ πίστιν, ἥτις ἐστὶ τὸ μηδόλως ὑποπτεύειν ἐλάττονα εἶναι τοῦ Πατρὸς τὸν Υἱόν. οὕτω γὰρ δείκνυται εἰκὼν ἀσινὴς τοῦ Πατρὸς, ὁλόκληρον ἐν ἑαυτῷ καὶ ὑγιῆ διασώζων τὸν τοῦ Πατρὸς χαρακτῆρα. ἓν δὲ λέγομεν τὸν Υἱὸν καὶ τὸν Πατέρα, οὐκ ἀναφύροντες τὰς ἐν ἀριθμῷ μονάδας, καθώς τινες τὸν αὐτὸν εἶναι λέγουσι Πατέρα καὶ Υἱὸν, ἀλλὰ ἰδίως ὑφεστάναι πιστεύοντες τὸν Πατέρα, καὶ ἰδίως τὸν Υἱὸν, τοὺς δὲ δύο εἰς μίαν οὐσίας ταυτότητα συνάγοντες, καὶ μίαν ἔχοντας ἰσχὺν εἰδότες, ὡς ἐν τῷ ἑτέρῳ ἕτερον ἀπαραλλάκτως ὁρᾶσθαι. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. διὰ μὲν τοῦ Ἓν, τὴν ταυτό τητα τῆς οὐσίας σημαίνει· διὰ δὲ τοῦ Ἐσμὲν εἰς δυάδα τέμνει τὸ νοούμενον, καὶ πάλιν εἰς μίαν περισφίγγει θεότητα. Πλὴν κἀκεῖνο κατὰ Ἀρειανῶν σημειωτέον, ὅτι ἐν τῷ εἰπεῖν Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, οὐ τῆς ταὐτοβουλίας ἡ δήλωσις, ἀλλ' ἡ τῆς οὐσίας ἑνότης σημαίνεται· ὅτι γὰρ καὶ Ἰουδαῖοι ἐνόησαν ὅτι τοῦτο εἰπὼν Θεὸν ἑαυτὸν εἶναι λέγει καὶ ἴσον 2.255 τῷ Πατρί· καὶ οὐκ ἠρνήσατο ὁ Χριστὸς ὅτι τοῦτο εἶπεν ὅπερ ἐνενόουν. Ἐβάστασαν οὖν πάλιν οἱ Ἰουδαῖοι λίθους, ἵνα λιθάσωσιν αὐτόν. Μὴ ἀνασχόμενοι γὰρ αὐτοῦ, ἓν εἶναι ἑαυτὸν λέγοντος πρὸς τὸν Πατέρα, ἐπὶ τὸ φονεῦσαι αὐτὸν ὥρμησαν· καίπερ ἑκάστου τῶν παρ' αὐτοῦ γινομένων Θεὸν αὐτὸν ἀναγορευ όντων φύσει. οὐ μόνον δὲ νῦν, ἀλλὰ καὶ ἄλλοτε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λαβόντες λίθους ἐπὶ τῷ αὐτὸν φονεῦσαι, ἀκίνητοι ἔστησαν ἐνεργείᾳ τῇ τοῦ Χριστοῦ· ὡς δῆλον καὶ ἐκ τούτου γενέσθαι, ὅτι οὐκ ἂν ἔπασχεν, εἰ μὴ ἑκών. ὅμως διὰ ἠπιότητα ὁ Χριστὸς κατέ στελλε τὴν ἐκείνων ἄλογον ὁρμὴν, λέγων οὐ Διὰ ποῖον λόγον ὃν εἶπον, θυμοῦσθε, ἀλλά Διὰ ποῖον ἔργον ὃ ἐποίησα; εἰ γὰρ μὴ ἐποίησα, φησὶ, πολλὰ θεοπρεπῆ ἔργα τὰ δεικνύντα με φύσει Θεὸν, εἰκότως ἂν ἠγανακτεῖτε νῦν ἀκούοντές μου λέγοντος "Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν." ἀλλ' οὐκ ἂν εἶπον τοῦτο, εἰ μὴ διὰ πάντων ὧν ἐποίησα, τοῦτο ἔδειξα. φησὶ δὲ παρὰ τοῦ Πατρὸς, οὐ παρ' ἑαυτοῦ, τὰ ἔργα, μετριοφρονῶν πρὸς τὴν ἡμῶν ὠφέλειαν, ἵνα μὴ ὅταν λάβωμέν τι παρὰ Θεοῦ, ἀλαζονευώμεθα. δεδειχέναι δὲ παρὰ τοῦ Πατρὸς τὰ ἔργα φησὶν, οὐκ ἀλλότριον ἑαυτὸν δεικνὺς τῆς ἐκείνων ἐνεργείας, ἀλλὰ διδάσκων ὅτι τῆς ὅλης ἐστὶ θεότητος τὰ ἔργα. θεότης δὲ μία νοεῖται παρ' ἡμῶν ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. ὅπερ γὰρ τυχὸν ποιεῖ ὁ Πατὴρ, τοῦτο τελεῖται δι' Υἱοῦ ἐν Πνεύματι· καὶ πάλιν, ὃ ποιεῖ ὁ Υἱὸς, τοῦτο λέγεται ὁ Πατὴρ ποιεῖν ἐν Πνεύματι. διὸ καὶ αὐτὸς ἔλεγεν "Ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ, ὁ δὲ Πατὴρ ἐν ἐμοὶ μένων, "αὐτὸς ποιεῖ τὰ ἔργα." 2.256 Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας. Ἔχοντες "ζῆλον Θεοῦ, ἀλλ' οὐ κατ' ἐπίγνωσιν," ἠγανάκ τουν ἀκούοντες τοῦ Χριστοῦ λέγοντος "Ἐγὼ καὶ ὁ Πατὴρ "ἕν ἐσμεν." τί γὰρ τὸ κωλύον αὐτὸν εἶναι ἓν πρὸς τὸν Πατέρα, εἴπερ ἐπίστευσαν ὅτι Θεὸς ἦν κατὰ φύσιν; διὸ καὶ λιθάζειν αὐτὸν ἐπεχείρουν, καὶ ἀπολογούμενοι δι' ἣν αἰτίαν τοῦτο ἐποίουν, φασὶν, ὅτι οὐχ ἕνεκεν ὧν ἐποίησας καλῶν λιθάζομέν σε, ἀλλ' ὅτι βλασφημεῖς· αὐτοὶ ἐκ τοῦ ἐναντίου βλασφημοῦντες, δι' ὧν ἤθελον λιθάζειν τὸν ὄντα ἀληθῶς Θεὸν, ἀγνοοῦντες ὅτι οὐ γυμνῇ τῇ θεότητι ἔμελλεν ὁ Ἰησοῦς ἐπιδημεῖν, ἀλλὰ σαρκούμενος ἐκ σπέρματος Δαυεὶδ, βλα σφημίαν εἶναι λέγοντες τὴν ὀρθὴν ὁμολογίαν. Ἐγὼ εἶπα Θεοί ἐστε, καὶ τὰ ἑξῆς. Ἐπειδὴ τοίνυν θεούς τινας ἐκάλεσεν ὁ Πατὴρ, εἶναι δὲ δήπου αὐτοῖς ἐπακτὸν ἀνάγκη τὸ ἀξίωμα· εἷς γὰρ ὁ κατὰ φύσιν ὑπάρχων Θεός· ἀναγκαίως, ἵνα μὴ καὶ αὐτὸς εἷς ὑπάρχειν ἐκείνων νομίζηται, οὐκ οὐσιώδη τὴν τῆς θεότητος περικείμενος δόξαν, προσπεπορισμένην δὲ μᾶλλον ἐν ἴσῳ τοῖς ἄλλοις, ἀντιδιαστέλλει σαφῶς ἑαυτὸν ἐκείνοις. τοσοῦτον γὰρ τῆς ἐκείνων πτωχείας διενηνοχότα δεικνύει, ὡς ἐπείπερ γέγονεν αὐτὸς ἐν αὐτοῖς, διὰ ταύτην αὐτοὺς τὴν αἰτίαν κεκλῆσθαι θεούς· αὐτὸς γὰρ ἐστὶν ὁ Λόγος τοῦ Θεοῦ καὶ Πατρός. εἰ δὲ καὶ ἐξήρκεσέ τισιν ἐν αὐτοῖς γεγονὼς ὁ Λόγος εἰς τὸ καὶ ἀνθρώπους ὄντας τῇ τῆς θεότητος καταλαμπρύναι τιμῇ, πῶς οὐκ ἂν εἴη κατὰ φύσιν Θεὸς ὁ καὶ τοῖς ἄλλοις τὴν ἐπὶ τούτῳ προξενήσας φαιδρότητα; Νῦν ἐλέγχων τοὺς Ἰουδαίους, ὅτι οὐ διὰ τὸ εἰπεῖν "Ἐγὼ 2.257 "καὶ ὁ Πατὴρ ἕν ἐσμεν," ἐλίθαζον αὐτὸν, ἀλλὰ μάτην, φησίν Εἰ ἐπείπερ εἶπον ἐμαυτὸν Θεὸν, δοκῶ βλασφημεῖν, διατί τοῦ Πατρὸς εἰρηκότος διὰ τοῦ νόμου πρὸς τοὺς ἀνθρώ πους Θεοί ἐστε, οὐκ ἐκρίνατε τοῦτο εἶναι βλασφημίαν; τοῦτο δέ φησιν, οὐχὶ προσκαλούμενος αὐτοὺς εἰπεῖν τι κατὰ τοῦ Πατρός· ἀλλ' ἐλέγχων ὅτι τὸν νόμον ἀγνοοῦσι καὶ τὰς θεοπνεύστους γραφάς. ἐπειδὴ δὲ τῶν εἰρημένων θεῶν καὶ τοῦ φύσει Θεοῦ πολὺ τὸ μέσον, δι' ὧν λέγει διδάσκει τὸ διάφορον· εἰ γὰρ οἱ ἄνθρωποι πρὸς οὓς γέγονεν ὁ τοῦ Θεοῦ Λόγος, θεοὶ κέκληνται, καὶ ἐλαμπρύνθησαν τῇ τῆς θεότητος τιμῇ, τὸν τοῦ Θεοῦ Λόγον εἰσοικισάμενοι καὶ εἰσδεδεγμένοι κατὰ ψυχὴν, πῶς οὐκ ἂν εἴη φύσει Θεὸς, ὁ δι' ὃν ἐκεῖνοι θεοί; "Θεὸς γὰρ ἦν ὁ Λόγος," κατὰ τὴν Ἰωάννου φωνήν· ὁ καὶ τοῖς ἄλλοις τοῦτο προξενήσας τὸ λαμπρόν. εἰ γὰρ ὁ τοῦ Θεοῦ Λόγος διὰ τοῦ Ἁγίου Πνεύματος ἀνάγει πρὸς τὴν ὑπὲρ ἄνθρωπον χάριν, καὶ κατακοσμεῖ θεϊκῇ τιμῇ τοὺς ἐν οἷς ἂν γένοιτο, διὰ τί, φησὶ, λέγετε ὅτι βλασφημῶ, λέγων ἐμαυ τὸν Υἱὸν Θεοῦ καὶ Θεόν; καίπερ δι' ὧν ἐνεχειρίσθην παρ' αὐτοῦ μαρτυρούμενος ὅτι Θεός εἰμι φύσει. ἁγιάσας γάρ με ἀπέστειλεν εἰς τὸν κόσμον "Σωτῆρα τοῦ κόσμου·" ὅπερ μόνου ἔστι φύσει Θεοῦ, τὸ δύνασθαι διασώζειν ἐκ τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας καὶ τῆς φθορᾶς τοὺς ἀνθρώπους. Ἀλλ' ἴσως ὅταν ἡ θεία λέγῃ γραφὴ, παρὰ τοῦ Πατρὸς ἀπεστάλθαι τὸν Υἱὸν, εὐθὺς ὁ αἱρετικὸς τροφὴν τῇ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰκείᾳ πλάνῃ ποιεῖται τὴν λέξιν, ἐρεῖ δέ που πάντως ὅτι ὑμεῖς οἱ παραιτούμενοι λέγειν τὸν Υἱὸν ἐλάττονα τοῦ Πατρὸς, πῶς οὐχ ὁρᾶτε παρ' αὐτοῦ πεμπόμενον ὡς παρὰ μείζονός τινος καὶ ὑπερκειμένου; τί οὖν ἐροῦμεν; ἢ ὅτι τὸ τῆς ἀποστολῆς ὄνομα, μάλιστα μὲν πρέπει τοῖς τῆς κενώσεως μέτροις· ἀκούεις γὰρ ὅτι συνάπτων ὁ Παῦλος ἀμφότερα, τότε φησὶν 2.258 ἀπεστάλθαι παρὰ τοῦ Πατρὸς τὸν Υἱὸν, ὅτε καὶ γέγονεν ἐκ γυναικὸς καὶ ὑπὸ νόμον ὡς ἄνθρωπος μεθ' ἡμῶν, καίτοι νομοθέτης ὢν καὶ Κύριος. εἰ δὲ νοοῖτο γεγονὼς ἐν τῇ δούλου μορφῇ ὁ Υἱὸς, εἶτα ἀποστέλλεσθαι λέγοιτο παρὰ τοῦ Πατρὸς, οὐδὲν ὅλως ὑπομένει τὸ βλάβος, εἰς τὸ εἶναι καὶ ὁμοούσιος αὐτῷ καὶ ἰσοκλεὴς καὶ κατ' οὐδὲν ὅλως μειονεκτούμενος. αἱ γάρ τοι λέξεις αἱ παρ' ἡμῶν εἰ ἐπὶ Θεοῦ προφέροιντο, τὴν ἀκριβῆ παραιτοῦνται βάσανον· χρὴ δὲ αὐτὰς οὐχ οὕτω νοεῖν κατὰ τὴν ἐν ἡμῖν συνήθειαν λέγω, ἀλλ' ὡς ἂν αὐτῇ πρέποι τῇ θείᾳ καὶ ὑπερτάτῃ φύσει. τί γὰρ, εἰ μὴ ἔχοι φωνὰς ἡ ἀνθρώπου γλῶττα δυναμένας ἀρκέσαι τῇ θείᾳ δόξῃ πρὸς ἐξήγησιν; ἔστι τοίνυν ἄτοπον διὰ τὴν τῆς ἀνθρωπίνης γλώττης ἀσθένειαν καὶ τὴν ἐν λέξει πτωχείαν, τῆς ἀνωτάτω πασῶν δόξης ἀδικεῖσθαι τὴν ὑπερ οχήν. μέμνησο τοῦ Σολομῶντος λέγοντος "Δόξα Κυρίου "κρύπτει λόγον." περιεργαζόμενοι γὰρ ἀκριβῶς τὴν τοῦ Κυρίου δόξαν, ἐοίκαμεν τοῖς ἐθέλουσι σπιθαμῇ μετρῆσαι τὸν οὐρανόν. οὐκοῦν ὅταν ἀνθρωπίνως τι λέγηται περὶ Θεοῦ, νοείσθω θεοπρεπῶς. ἐπεὶ τί ποιήσεις ὅταν ἀκούσῃς ψάλ λοντος τοῦ Δαυείδ "Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφά "νηθι, ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι "ἡμᾶς;" πῶς γὰρ κάθηται τὸ ἀσώματον; ποῦ δὲ ὄντα τὸν τῶν ὅλων Θεὸν πρὸς ἡμᾶς ἀφικέσθαι παρακαλεῖ, τὸν λέγοντα διὰ τῶν προφητῶν "Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ "πληρῶ, λέγει Κύριος;" ποῦ τοίνυν ἂν ἔλθοι πρὸς ἡμᾶς ὁ πάντα πληρῶν; πάλιν γέγραπται, ὅτι πύργον οὐρανομήκη κατεσκεύαζόν τινες "Καὶ κατέβη Κύριος ἰδεῖν τὴν πόλιν καὶ "τὸν πύργον· καὶ εἶπε Κύριος Δεῦτε καὶ καταβάντες συγ "χέωμεν αὐτῶν τὰς γλώσσας ἐκεῖ." ποῦ κατέβη Κύριος; ἢ 2.259 τίνα τρόπον ἡ ἁγία Τριὰς ἑαυτὴν εἰς κάθοδον παροτρύνει; τί δὲ εἰπέ μοι καὶ αὐτὸς ὁ Σωτὴρ πέμπειν ἡμῖν ἐξ οὐρανοῦ τὸν Παράκλητον ἐπηγγέλλετο; ποῦ γὰρ ἢ πόθεν πέμπεται τὸ πάντα πληροῦν; "Πνεῦμα γὰρ Κυρίου πεπλήρωκε τὴν "οἰκουμένην," καθὰ γέγραπται. Οὐκοῦν αἱ λέξεις αἱ καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς σημαί νουσιν, εἰ ἐπὶ Θεοῦ λέγοιντο. βούλει τι νοῆσαι τῶν οὕτω δυσχερῶν; εἶτά σοι πρὸς κατάληψιν ὁ νοῦς ἀσθενεῖ, καὶ τοῦτο παθὼν, αἰσθάνῃ; μὴ χαλεπήνῃς ἄνθρωπε, ὁμολόγει τῆς σαυτοῦ φύσεως τὴν ἀσθένειαν, μέμνησο τοῦ λέγοντος "Ἰσχυρότερά σου μὴ ζήτει·" ὅταν εἰς τὸν τοῦ ἡλίου κύκλον τὸν τοῦ σώματος ὀφθαλμὸν ἀνατείνῃς, εὐθὺς ἀποστρέφεις, τῇ τοῦ φωτὸς προσβολῇ νικώμενος. ἴσθι δὴ οὖν ὅτι καὶ ἡ θεία φύσις φῶς ἀπρόσιτον οἰκεῖ· ἀπρόσιτον δὲ ταῖς τῶν περιεργαζομένων διανοίαις. χρὴ τοίνυν ὅταν καὶ ἀνθρωπίναις φωναῖς λαλῆται τὰ περὶ Θεοῦ, μηδὲν λογίζεσθαι ταπεινὸν, ἀλλ' ἐν τῇ πτωχείᾳ τῶν καθ' ἡμᾶς λέξεων, τὸν τῆς θείας δόξης κατοπτρίζεσθαι πλοῦτον. τί γὰρ εἰ ἀποστέλλεται παρὰ τοῦ Πατρὸς ὁ Υἱός; ἆρα διὰ τοῦτο ἐλάττων ἔσται; οὐκοῦν ὅταν ἐκ τοῦ ἡλιακοῦ σώματος τὸ ἐξ αὐτοῦ πέμπηται φῶς, ἑτεροφυές ἐστι παρ' αὐτὸ, καὶ ἐν ἐλάττοσι παρ' αὐτοῦ; καίτοι πῶς τοῦτο καὶ μόνον ἐννοῆσαι οὐκ ἀμαθές; φῶς οὖν ὑπάρχων τοῦ Πατρὸς ὁ Υἱὸς, πέμπεται πρὸς ἡμᾶς, ὡς ἡλίου τυχὸν αὐγὴν ἀπαστράψαντος· ὃ δὴ καὶ γενέσθαι παρεκάλει λέγων ὁ Δαυείδ "Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν "ἀλήθειάν σου." καὶ εἰ δόξα ἐστὶ τῷ Πατρὶ τὸ φῶς ἔχειν, πῶς ἔλαττον φὴς αὐτοῦ τὸ ἐν ᾧ δοξάζεται; καὶ αὐτὸς δὲ ὁ Υἱὸς περὶ ἑαυτοῦ λέγει Ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλε. τὸ δέ Ἡγίασεν ἡ γραφὴ κατὰ πολλοὺς δέχεται τρόπους. 2.260 λέγεται μὲν γὰρ ἁγιάζεσθαι τὸ ἀνατιθέμενον τῷ Θεῷ. καὶ γοῦν ἔφη πρὸς Μωυσέα "Ἁγίασόν μοι πᾶν πρωτότοκον." ἁγιάζεται δὲ πάλιν τὸ προχειρισθὲν παρὰ Θεοῦ πρὸς τὸ πρᾶξαί τι τῶν κατὰ γνώμην αὐτοῦ· οὕτω γὰρ περί τε τοῦ Κύρου καὶ τῶν Μήδων φησὶν, ὅτε τῆς Βαβυλωνίων αὐτοὺς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταστρατεύειν ἤθελε "Γίγαντες ἔρχονται πληρῶσαι τὸν "θυμόν μου χαίροντες ἅμα καὶ ὑβρίζοντες· ἡγιασμένοι εἰσὶ, "καὶ ἐγὼ ἄγω αὐτούς." ἁγιάζεται δὲ πάλιν τὸ ἐν μεθέξει γεγονὸς τοῦ Ἁγίου Πνεύματος. οὐκοῦν ἡγιάσθαι φησὶν ἑαυτὸν παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς, ὡς προχειρισθέντα παρ' αὐτοῦ πρὸς κατόρθωσιν τῆς τοῦ κόσμου ζωῆς, καὶ κατὰ τῆς τῶν ἀντικειμένων καταλύσεως· ἢ καὶ ἔτι, καθὸ ἐπέμφθη εἰς τὸ ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας σφαγῆναι· καὶ γὰρ ἅγια καλοῦνται καὶ τὰ ἀφοριζόμενα εἰς θυσίαν Θεῷ. ἡγιάσθαι δέ φαμεν αὐτὸν καὶ μεθ' ἡμῶν ἀνθρωπίνως ὅτε γέγονε σάρξ· ἡγιάσθη γὰρ αὐτοῦ ἡ σὰρξ, δεξαμένη τὸν ἑνωθέντα αὐτῇ Λόγον, μὴ οὖσα φύσει ἁγία· δι' ὧν δὲ τοῦτο γίνεται, ἁγιά ζεται παρὰ τοῦ Πατρός· μία γὰρ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἡ Θεότης. Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε, ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ καὶ ἐγὼ ἐν αὐτῷ. Ὃ λέγει, τοιοῦτόν ἐστιν. ἐπειδὴ τὸ εἰπεῖν τινα Πατέρα τὸν Θεὸν εὐχερές· τὸ μέν τοι δεῖξαι δι' ἔργων τοῦτο, 2.261 δυσχερὲς καὶ ἀδύνατον τῇ κτίσει· δι' ὧν κατορθῶ, φησὶ, θεοπρεπῶς, ἴσος φαίνομαι τῷ Θεῷ καὶ Πατρί· καὶ οὐδεμία ὑμῖν ἀπολογία ἀπιστοῦσι, τῇ πείρᾳ μαθοῦσιν, ὅτι ἴσος εἰμὶ τῷ Πατρὶ, δι' ὧν ποιῶ θεοπρεπῶν ἔργων, εἰ καὶ διὰ τὴν σάρκα ἔδοξά τις εἶναι παρ' ὑμῖν, ὡς εἷς τῶν πολλῶν. ἐντεῦθεν δυνατὸν ἐννοεῖν ὅτι "Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ "Πατὴρ ἐν ἐμοί." ἡ γὰρ τῆς οὐσίας ταυτότης τὸν Πατέρα ἐν Υἱῷ καὶ τὸν Υἱὸν ἐν Πατρὶ εἶναι καὶ ὁρᾶσθαι ποιεῖ. καὶ γὰρ καὶ ἐφ' ἡμῶν ἡ τοῦ Πατρὸς ἡμῶν οὐσία γινώσκεται ἐν τῷ παρ' αὐτοῦ τεχθέντι, καὶ ἐν τῷ τεκόντι πάλιν ἡ τοῦ τεχθέντος. εἷς γὰρ ἐν πᾶσιν ὁ τῆς φύσεως ὅρος, καὶ ἓν οἱ πάντες τῇ φύσει. ἐν δὲ τῷ διακεχωρίσθαι ἡμᾶς τοῖς σώ μασιν, οὐκέτι ἓν οἱ πολλοί. ὅπερ οὐκ ἔστιν εἰπεῖν ἐπὶ τοῦ κατὰ φύσιν Θεοῦ· ἀσώματον γὰρ τὸ θεῖον, εἰ καὶ ἐν ἰδία ζούσαις ὑπάρξεσι τὴν ἁγίαν νοοῦμεν Τριάδα. Πατὴρ γάρ ἐστιν ὁ Πατὴρ, καὶ οὐχ Υἱός· Υἱὸς δὲ πάλιν ὁ Υἱὸς καὶ οὐ Πατήρ· καὶ Πνεῦμα Ἅγιον ἰδιαζόντως τὸ Πνεῦμα, εἰ καὶ οὐκ εἰσὶν ἐν διαστάσει, διὰ τὴν πρὸς ἀλλήλους κοινωνίαν τε καὶ ἑνότητα. Μιᾶς τοίνυν οὔσης θεότητος ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, τὸν Πατέρα ἐν Υἱῷ, τὸν δὲ Υἱὸν ἐν Πατρὶ λέ γομεν ὁρᾶσθαι. ἀναγκαῖον δὲ κἀκεῖνο εἰδέναι, ὅτι περ οὐ τὸ βούλεσθαι ταὐτὰ τῷ Πατρὶ, οὐδὲ τὸ μίαν ἔχειν πρὸς αὐτὸν 2.262 γνώμην, παρασκευάζει λέγειν τὸν Υἱόν "Ἐγὼ ἐν τῷ Πατρὶ "καὶ ὁ Πατὴρ ἐν ἐμοὶ," καί "Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·" ἀλλ' ὅτι τῆς τοῦ Πατρὸς οὐσίας γνήσιον ὑπάρχων γέννημα, φαίνει μὲν ἐν ἑαυτῷ τὸν Πατέρα, φαίνεται δὲ καὶ αὐτὸς ἐν Πατρί. φησὶ γὰρ ὅτι τὰ αὐτὰ καὶ βούλεται καὶ λαλεῖ καὶ ἰσχύει τῷ Πατρὶ, καὶ κατορθοῖ εὐκόλως ὃ θέλει, καὶ ἅπερ ὁ Πατὴρ ποιεῖ, ἵνα διὰ πάντων δεχθῇ ὁμοούσιος αὐτῷ καὶ τῆς οὐσίας αὐτοῦ καρπὸς ἀληθὴς, καὶ οὐ μόνον ἔχων πρὸς αὐτὸν ἑνότητα σχετικὴν ἐν μόνοις ὁμοίοις θελήμασι καὶ θεσμοῖς ἀγάπης· ὃ καὶ τοῖς κτίσμασι προσεῖναι λέγομεν. Καὶ ἀπῆλθε πάλιν πέραν τοῦ Ἰορδάνου εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων, καὶ ἔμεινεν ἐκεῖ. καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἔλεγον ὅτι Ἰωάννης μὲν ἐποίησεν σημεῖον οὐδέν· πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου ἀληθῆ ἦν. καὶ πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν ἐκεῖ. Ἐν τόπῳ πηγὰς ἔχοντι μεθορμίζεται ὁ Σωτὴρ, τὰ Ἱερο σόλυμα καταλιπὼν, ἵνα ὡς διὰ τύπου αἰνίξηται ὡς κατα λείψει μὲν τὴν Ἰουδαίαν, ἐπὶ τὴν ἐξ ἐθνῶν δὲ ἐκκλησίαν μεταβήσεται τὴν ἔχουσαν τὰς πηγὰς τοῦ βαπτίσματος· ἔνθα καὶ προσέρχονται αὐτῷ πολλοὶ διαπεραιούμενοι τὸν Ἰορδάνην· τοῦτο γὰρ δηλοῖ τό Πέραν τοῦ Ἰορδάνου αὐλίζεσθαι τὸν Χριστόν. οἱ τοίνυν περάσαντες τὸν Ἰορδάνην διὰ τοῦ ἁγίου βαπτίσματος, ἀποκομίζονται πρὸς Θεόν· καὶ 2.263 γὰρ μετέβη ἀπὸ τῆς τῶν Ἰουδαίων συναγωγῆς ἐπὶ τὰ ἔθνη· καὶ τότε πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἐπίστευσαν ταῖς περὶ αὐτοῦ λεχθείσαις παρὰ τῶν ἁγίων φωναῖς. καὶ πιστεύουσιν εἰς αὐτὸν ἐκεῖ, ὅπου αἱ τῶν ὑδάτων πηγαὶ, ὅπου τὸ ἐπὶ Χριστῷ διδασκόμεθα μυστήριον. ὁ γὰρ Χριστὸς οὐκ ἐν τοῖς πρὸ Ἰορδάνου νάμασιν ἦν· ἀλλὰ πέραν που· καὶ ἐλθὼν ἔμεινεν, ἐν τῇ ἐξ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐθνῶν Ἐκκλησίᾳ προσμείνας παγίως. τιμῶμεν δὲ τὸν Ἰωάννην, οὐχ ὡς ἐνεργήσαντά τι θεοπρεπὲς, ἀλλ' ὡς τἀληθῆ περὶ Χριστοῦ μαρτυρήσαντα. οὐ μόνον γὰρ Ἰωάννου, ἀλλὰ καὶ παντὸς ἁγίου ὁ Χριστὸς θαυμαστότερος· οἱ μὲν γὰρ προφῆται, ὁ δὲ Θεὸς θαυματουργός. σημειωτέον δὲ ὅτι ὁδός εἰσιν οἱ Ἰωάννου καὶ τῶν λοιπῶν προφητῶν λόγοι, εἰς τὸ πιστεῦσαι Χριστῷ. Ἦν δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. Ἐπίτηδες δὲ μέμνηται τῶν ὀνομάτων τῶν γυναικῶν ὁ Εὐαγγελιστὴς, δεικνὺς ὅτι ἐπίσημοι ἦσαν ὡς θεοσεβεῖς. διὸ καὶ ἠγάπα αὐτὰς ὁ Κύριος. πολλῶν δὲ γεγονότων ὡς εἰκὸς εἰς τὸν Κύριον ὑπὸ τῆς Μαρίας, τοῦ μύρου μέμνηται οὐχ ὡς ἔτυχεν, ἀλλ' ἵνα δείξῃ ὅτι τοσαύτην εἶχε δίψαν ἡ Μαρία περὶ τὸν Χριστὸν, ὅτι ἐξέμαξε τοὺς πόδας αὐτοῦ ταῖς ἰδίαις θριξὶ, ζητοῦσα τὴν ἐκ τῆς ἁγίας σαρκὸς πνευματικὴν εὐλογίαν προσηλῶσαι πρὸς ἑαυτὴν γνησιέστερον· καὶ γὰρ 2.264 πολλαχοῦ φαίνεται θερμότερον τῷ Χριστῷ προσεδρεύουσα καὶ ἀπερισπάστως, τὴν πρὸς αὐτὸν ἐπισπωμένη οἰκειότητα. Ἀπέστειλαν οὖν πρὸς αὐτὸν αἱ ἀδελφαὶ αὐτοῦ λέγουσαι Κύριε, ἰδοὺ ὃν φιλεῖς ἀσθενεῖ. Ἀποστέλλουσιν αἱ γυναῖκες πρὸς τὸν Κύριον ἀεὶ μὲν θέλουσαι αὐτὸν ἔχειν πλησίον ἑαυτῶν, τότε δὲ εὐπροσώπως τοῦτο διὰ τὸν ἀῤῥωστοῦντα ποιοῦσαι. ἐπίστευον γὰρ, ὡς εἰ φανείη μόνον ὁ Χριστὸς, ἀπηλλάττετο τῆς νόσου ὁ κείμενος. ὑπομιμνήσκουσι δὲ τῆς ἀγάπης ἧς εἶχε πρὸς τὸν νοσοῦντα, ἕλκοντες αὐτὸν μάλιστα διὰ τούτου ἐκεῖ· ᾔδεισαν γὰρ ὅτι ἐφρόντιζε τούτου· καὶ ἠδύνατο μὲν καὶ ἀπὼν ὡς Θεὸς καὶ τὰ πάντα περιέπων, θεραπεῦσαι αὐτόν· ὅμως ἐνόμιζον ὅτι εἰ παραγένοιτο, καὶ χεῖρα ὀρέξει καὶ ἐγερεῖ· οὔπω τὸ τέλειον τῆς πίστεως οὐδ' αὗται ἔχουσαι· διὰ τοῦτο καὶ δυσφοροῦσιν, ὡς εἰκὸς, οἰόμεναι μηδὲ ἀῤῥωστῆσαι ὅλως τὸν Λάζαρον, εἰ μὴ ἠμέλησεν αὐτοῦ ὁ Χριστός· πάντα γὰρ, φασὶν, ἐχόντων τὰ ἀγαθὰ τῶν ἀγαπωμένων παρὰ Θεοῦ, διὰ ποίαν αἰτίαν αὐτὸς ὃν φιλεῖς, ἀσθενεῖ; ἢ καὶ τοῦτο τάχα φασί Μεγάλη τῆς νόσου ἡ θρασύτης, ὅτι κατετόλμησεν ἐπιθέσθαι τοῖς ὑπὸ Θεοῦ ἀγαπωμένοις. ἴσως δὲ καὶ τοιοῦτόν τι δοκοῦσι λέγειν Ἐπειδὴ καὶ τοὺς ἐχθροὺς ἀγαπᾷς καὶ θεραπεύεις, πολλῷ μᾶλλον χρεωστεῖς εἰς τοὺς ἀγαπῶντάς σε τοῦτο ἐνδείξα σθαι. δυνάσαι γὰρ ἐν μόνῳ τῷ θέλειν πάντα ποιῆσαι. 2.265 πίστεως οὖν ὁ λόγος μεστὸς καὶ τῆς εἰς Χριστὸν γνησιό τητος ἀπόδειξις. Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν Ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς. Λέγει μέν τοι ταῦτα ὁ Κύριος, οὐχ ἵνα ἀπελθόντες οἱ ἄνθρωποι ἀπαγγείλωσι ταῖς ἀδελφαῖς τοῦ Λαζάρου, ἀλλ' ὡς Θεὸς προλέγων τὸ ἐσόμενον, ὅτι πρὸς δόξαν Θεοῦ ἑώρα τὸ τοῦ πράγματος ἀποτέλεσμα, οὐ διὰ τοῦτο συμβάσης τῆς νόσου, ἵνα δοξασθῇ· εὔηθες γὰρ τοῦτο εἰπεῖν· ἀλλ' ἐπείπερ συνέβη καὶ εἰς θαυμαστὸν ἑώρα τέλος. ἑαυτὸν δέ φησι τὸν φύσει Θεὸν, αὐτοῦ γὰρ εἰς δόξαν γέγονε τὸ γεγονός. εἰπὼν γὰρ ὅτι ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ γέγονεν ἡ ἀσθένεια, ἐπήγαγεν Ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ ἐν αὐτῇ, περὶ ἑαυτοῦ λέγων. Εἰ δὲ αὐτὸς μὲν εἶπε μὴ εἶναι πρὸς θάνατον τὴν τοῦ Λαζάρου ἀῤῥωστίαν, συμβέβηκε δὲ ὁ θάνατος, οὐδὲν θαυμαστόν. πρὸς γὰρ τὸ πέρας ὁρῶντες τοῦ πράγματος, καὶ ὅτι ἔμελλε μετ' ὀλίγον ἀναστῆναι· οὐχὶ τί συμβέβηκεν ἐν τῷ μεταξὺ σκοποῦμεν, ἀλλ' εἰς ποῖον ἀπέβη τὸ πέρας. ἔκρινε γὰρ ὁ Κύριος ἀσθενοῦντα δεῖξαι τὸν θάνατον, καὶ τὸ συμβὰν εἰς δόξαν Θεοῦ δεῖξαι, τουτέστιν ἑαυτοῦ. 2.266 Ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. Καὶ ἀνεβάλετο τὴν ἄφιξιν, ἵνα μὴ νοσοῦντα αὐτὸν θερα πεύσῃ, ἀλλὰ τελευτήσαντα ἀναστήσῃ· ὅπερ ἐστὶ μείζονος δυνάμεως, ἵνα καὶ μειζόνως δοξάσηται. Μετὰ δὲ τοῦτο λέγει τοῖς μαθηταῖς αὐτοῦ Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ Ῥαββὶ, νῦν ἐζήτουν σε οἱ Ἰουδαῖοι λιθάσαι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; Εἰπὼν δὲ ὁ Κύριος τό Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν, δοκεῖ ὑπεμφαίνειν, ὅτι εἰ καὶ ἀνάξιοι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσιν ἐκεῖνοι εὐεργεσίας, ἀλλὰ καιροῦ καλοῦντος τοῦ ἐμποιοῦντος αὐτοῖς ὠφέλειαν, ἀπέλθωμεν πρὸς αὐτούς· οἱ δὲ μαθηταὶ δοκοῦσι διὰ τὴν ἀγάπην τὴν πρὸς αὐτὸν κωλύειν αὐτὸν, πλὴν ὡς ἄνθρωποι οἴονται ὅτι καὶ ἄκων ἐκινδύνευε τοῖς Ἰουδαίοις περιτυχών. διὸ καὶ ἀναμιμνήσκουσιν αὐτὸν τῆς Ἰουδαίων κατὰ αὐτοῦ μανίας, μονονουχὶ λέγοντες Τί πάλιν ζητεῖς μετὰ τῶν ἀπει θῶν γενέσθαι καὶ ἀχαρίστων τῶν μὴ λόγοις μηδὲ ἔργοις μαλασσομένων; οἳ καὶ ἔτι φονῶσι κατὰ σοῦ, καὶ ζέοντα τὸν θυμὸν ἔχουσιν. ἤγουν τοῦτό φασιν, ἢ τοῦτο σημαίνει ὁ 2.267 λόγος αὐτῶν· ὅτι εἰς προφανῆ κίνδυνον αὐτοὺς ἄγει. ὅμως ὑπακούουσι τῷ διδασκάλῳ, ὡς εἰδότι τὸ βέλτιον. Ἀπεκρίθη ὁ Ἰησοῦς Οὐχὶ δώδεκα ὧραί εἰσι τῆς ἡμέρας; ἐὰν οὖν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπῃ· ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. Τάχα δὲ τῇ τῆς ἡμέρας ἀεικινήτῳ φορᾷ παρεικάζει τὴν εὐπάροιστον καὶ φιλόκαινον τῶν ἀνθρώπων διάνοιαν, τὴν μὴ ἱσταμένην ἐπὶ μιᾶς δοκήσεως, ἀλλὰ μεταπηδῶσαν ἀπὸ ἑτέρας γνώμης εἰς ἄλλην, ὡς καὶ ἡ ἡμέρα ἀπὸ ὥρας ἄλλης εἰς ἄλλην μεταβαίνει. νοήσεις δὲ καὶ οὕτως τό Οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας; τουτέστιν Ἡμέρα, φησὶν, εἰμὶ καὶ φῶς. ὥσπερ οὖν οὐκ ἔνι καταλῆξαι τῆς ἡμέρας τὸ φῶς, μὴ οὐχὶ τὸν τεταγμένον ἀποπληρῶσαν καιρόν· οὕτως οὐκ ἔστι τῶν ἐνδεχομένων, τὸν παρ' ἐμοῦ συστέλλεσθαι φωτισμὸν ἀπὸ τῶν Ἰουδαίων, μὴ εἰς τὸ πρέπον τῆς φιλανθρωπίας προελθούσης μέτρον. ἡμέραν δὲ λέγει τὸν τῆς παρουσίας καιρόν· νύκτα δὲ, τὸν πρὸ ταύτης· ὡς καὶ ὅταν λέγῃ ὁ Κύριος "Ἡμᾶς δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντος "ἡμᾶς, ἕως ἡμέρα ἐστί." τοῦτο οὖν ἐνταῦθά φησιν ὅτι οὐκ ἔστι νῦν καιρὸς ἀποσχίσαι ἐμαυτὸν τῶν Ἰουδαίων, κἂν 2.268 ἀνόσιοι ὦσιν, ἀλλὰ πάντα ποιεῖν τὰ πρὸς θεραπείαν αὐτῶν. οὐ γὰρ δεῖ αὐτοὺς νῦν κολάζεσθαι, ἀποχωρούσης ἀπ' αὐτῶν τῆς θείας χάριτος ἡλίου δίκην. ἀλλ' ὥσπερ τὸ φῶς τῆς ἡμέρας οὐκ ἐκλείπει εἰ μὴ πληρωθῇ τὸ δωδεκάωρον, οὕτως οὐδὲ ὁ παρ' ἐμοῦ συστέλλεται φωτισμὸς πρὸ καιροῦ, ἀλλὰ μέχρι τοῦ σταυρωθῆναι μένω μετὰ τῶν Ἰουδαίων, ἐνιεὶς αὐτοῖς ὡς φῶς τῆς θεογνωσίας τὴν σύνεσιν. ἐπειδὴ γὰρ Ἰουδαῖοι ἐν σκοτίᾳ ὄντες ἀπιστίας, προσκόπτουσιν ἐπ' ἐμοὶ ὡς λίθῳ, δεῖ ἀπελθεῖν πρὸς αὐτοὺς καὶ φωτίσαι αὐτοὺς, ἵνα παύσωνται τῆς θεομάχου μανίας. Ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. Ἀξιόλογος πρόφασις ἕλκει με εἰς Ἱερουσαλήμ· τὸ γάρ Ὁ φίλος ἡμῶν κεκοίμηται, τοῦτο σημαίνει· καὶ ἐὰν παρί δωμεν τοῦτον, ἀφιλοικτίρμονος λαμβάνομεν δόξαν. διὸ δυσωπεῖσθαι χρὴ ἡμᾶς ἐπὶ τούτῳ καὶ δραμεῖν ἐπὶ τὴν τοῦ φίλου σωτηρίαν, ὑπερορῶντας τῶν Ἰουδαίων τὰς ἐπιβουλάς. δεικνὺς δὲ ἑαυτοῦ τὴν θεοπρεπῆ δύναμιν, ὕπνον καλεῖ τῆς 2.269 ἀνθρωπίνης ψυχῆς τὴν ἀπὸ τοῦ σώματος ἔξοδον καὶ σφόδρα εἰκότως· θάνατον γὰρ οὐκ ἠξίωσεν εἰπεῖν ὁ κτίσας ἐπὶ ἀφ θαρσίᾳ τὸν ἄνθρωπον, κατὰ τὸ γεγραμμένον, καὶ σωτηρίους ἀναδείξας τὰς γενέσεις τοῦ κόσμου. πλὴν ἔστι καὶ ἀληθὴς ὁ λόγος· ὕπνος γὰρ ὄντως παρὰ Θεῷ καὶ ἕτερον οὐδὲν ὁ πρόσκαιρος ἡμῶν τοῦ σώματος θάνατος, ψιλῷ καὶ μόνῳ καταργούμενος νεύματι τῆς κατὰ φύσιν ζωῆς, τουτέστι Χριστοῦ. ὅρα δὲ ὅτι οὐκ εἶπε Λάζαρος ἀπέθανε καὶ πορεύ ομαι ἀναστῆσαι αὐτὸν, ἀλλά φησι Κεκοίμηται, τὸ κομπα στικὸν φεύγων, πρὸς ἡμετέραν διδασκαλίαν καὶ ὠφέλειαν· οὐ γὰρ ἂν οὕτως ἀμυδρὰν μετ' ἐπικρύψεως ἠφίει φωνὴν, ὡς μηδ' αὐτοὺς συνιέναι τοὺς μαθητὰς τὸν λόγον. οὐ γὰρ ἔφη Πορεύομαι ζωώσων ἢ ἀναστήσων αὐτὸν ἐκ νεκρῶν, ἀλλ' ἐξυπνίσων· ὅπερ ἦν ἀργὸν τέως εἰς ὑποψίαν. Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ Κύριε, εἰ κεκοίμηται, σωθήσεται. εἰρήκε δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. Ἐκεῖνοι δὲ μὴ νοήσαντες τοῦ λόγου τὴν δύναμιν, ᾠήθησαν τὸν Ἰησοῦν λέγειν περὶ κοιμήσεως ὕπνου, ὃς ἐπὶ τὸ πολὺ τοῖς ἀῤῥώστοις συμβαίνων, ἀνάπαυσιν ποιεῖ· διό φασιν Οὐκ ἀξιό λογος ἡ ἄφιξις τοῦ ἄφυπνον ποιῆσαι τὸν Λάζαρον· οὐ γὰρ ἐπωφελὲς τὸ ἐξυπνίσαι ἄῤῥωστον. ταῦτα δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔλεγον, ἐγκόψαι αὐτὸν βουλόμενοι τῆς ὁδοῦ, λέγοντες ὅτι οὐκ ἄξιον ἐν μέσῳ 2.270 γενέσθαι τῶν φονευτῶν, διὰ τὸ ποιῆσαι πρᾶγμα οὐκ ἐπωφελές. Τότε εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ Λάζαρος ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ. ἀλλὰ ἄγωμεν πρὸς αὐτόν. Μὴ νοησάντων οὖν τῶν μαθητῶν, ὅτι τὸν θάνατον ὕπνον ὠνόμασε, λευκότερον ἐνέφηνεν εἰπὼν, ὅτι ἀπέθανε. φησὶ δὲ ἑαυτὸν χαίρειν, οὐ διὰ φιλοδοξίαν, ὅτι ἔμελλε ποιῆσαι τὸ θαῦμα, ἀλλ' ὅτι τοῦτο πρόφασις ἔμελλε γίνεσθαι τοῖς μαθηταῖς εἰς πίστιν. τὸ δὲ εἰπεῖν Ὅτι οὐκ ἤμην ἐκεῖ, τοῦτο δηλοῖ. εἰ ἤμην ἐκεῖ, οὐκ ἔμελλεν ἀποθνήσκειν, ἠλέησα γὰρ ἂν αὐτὸν καὶ ὀλίγον κάμνοντα· νῦν δὲ ἀπόντος ἐμοῦ συνέβη ὁ θάνατος, ἵνα ἀναστήσας αὐτὸν, μεγάλην ὑμῖν ἐμποιήσω τὴν ὠφέλειαν διὰ τῆς εἰς ἐμὲ πίστεως. ταῦτα δὲ λέγει ὁ Χριστὸς, οὐχ ὡς τότε μόνον δυνάμενος τὰ θεοπρεπῆ ποιεῖν, ὅταν παρῇ· ἀλλ' ἐπείπερ εἰ παρῆν, οὐκ ἂν παρεῖδε τὸν φίλον ἕως θανάτου καταβιβασθέντα. τὸ δέ Ἄγωμεν πρὸς αὐτὸν, ὡς πρὸς ζῶντά φησι· ζῶσι γὰρ αὐτῷ ὡς Θεῷ οἱ νεκροὶ, ὡς μέλλοντες ζήσειν. Εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συμμαθηταῖς αὐτοῦ Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. Ὁ τοῦ Θωμᾶ λόγος ἔχει μὲν προθυμίαν· ἔχει δὲ καὶ δειλίαν, καὶ γέγονε μὲν ἐκ φιλοθέου φρονήματος, κατακε κέρασται δὲ τῇ ὀλιγοπιστίᾳ. ἀπολειφθῆναι γὰρ οὐκ ἀνέ 2.271 χεται, ἀλλὰ καὶ τοὺς ἄλλους ἀναπείθει τοῦτο ποιεῖν· ὅμως οἴεται ὅτι καὶ παθεῖν ἔμελλον ὑπὸ Ἰουδαίων, καὶ οὐ θέλοντος αὐτοῦ, διὰ τὸ φονικὸν τῶν Ἰουδαίων, οὐ σκοπῶν τὴν τοῦ σώζοντος δύναμιν, ὅπερ ἔδει μᾶλλον. ἐποίει δὲ αὐτοὺς δειλοὺς ὁ Χριστὸς, ὑπὲρ μέτρον ἀνεξικακῶν ἐν οἷς ἔπασχεν ὑπὸ Ἰουδαίων. λέγει οὖν μὴ χρῆναι χωρίζεσθαι τοῦ διδασκάλου, εἰ καὶ ἀναμφίβολος πρόκειται κίνδυνος· ὡς ὑπομειδιῶν δὲ τρόπον τινὰ ὁ Θωμᾶς ἔλεγε τό Ἄγωμεν, τουτέστιν Ἀποθάνωμεν. ἢ οὕτω φησί Πάντως μὲν ἐὰν ἀπέλθωμεν, ἀποθνήσκομεν, ὅμως μὴ παραιτησώμεθα τὸ παθεῖν, οὐ γὰρ δεῖ τοσοῦτον φιλοψυχεῖν· εἰ γὰρ ἐγείρει τὸν νεκρὸν, περιττὸς ὁ φόβος, ἔχομεν γὰρ τὸν δυνάμενον ἀνα στῆσαι μετὰ τὸ πεσεῖν. Ἐλθὼν οὖν ὁ Ἰησοῦς εἰς Βηθανίαν, εὗρεν αὐτὸν τέσσαρας ἤδη ἡμέρας ἔχοντα ἐν τῇ μνημείῳ. ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων ἀπὸ σταδίων δεκαπέντε. πολλοὶ δὲ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὴν Μάρθαν καὶ τὴν Μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. Διὰ τοῦτο καὶ τὸ διάστημα λέγει τῶν ἡμερῶν τῶν μετὰ τὸν θάνατον Λαζάρου, ἵνα ἐπὶ πλέον θαυμασθῇ τὸ θαῦμα, καὶ μήτις εἴπῃ τυχὸν, ὅτι μετὰ μίαν ἡμέραν ἐληλύθει, καὶ οὐκ ἦν τεθνεὼς, ἀλλὰ ἀῤῥωστοῦντα αὐτὸν ἤγειρε. λέγει δὲ ὅτι πολλοὶ ἦσαν ἐν τῇ Βηθανίᾳ Ἰουδαῖοι· καίτοι χωρίου οὐκ ὄντος πολυανθρώπου· ἐκ τῆς Ἱερουσαλὴμ παραγενόμενοι· οὐ γὰρ ἦν πολὺ τὸ τῆς ὁδοῦ διάστημα τὸ κωλύον τοὺς ἐνδιαθέτους φίλους συνεῖναι ταῖς περὶ τὴν Μάρθαν, ἤτοι 2.272 ἐπείπερ ἐξάκουστον γέγονε τὸ θαῦμα ἐν τῇ Ἱερουσαλὴμ παρὰ πᾶσι καὶ ἐν τῇ περιχώρῳ, τίθησι τὴν αἰτίαν, ὅτι πολλῶν ὄντων ἐκεῖ, εἰκότως ἁπανταχόσε διεδόθη ὁ λόγος· τῶν μὲν θαυμαζόντων, τῶν δὲ διὰ φθόνον λαλούντων τὸ γεγονὸς, πρὸς τὸ διαβολὴν ποιῆσαι τῷ θαύματι διὰ ψευδο κατηγορίας. Ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. Τάχα δὲ θερμοτέρα μὲν ἡ Μάρθα πρὸς τὸ ποιῆσαι τὰ δέοντα· διὸ καὶ πρώτη ὑπήντησε· συνετωτέρα δὲ ἡ Μαρία. διὸ ὡς αἰσθητικωτέραν ἔχουσα ψυχὴν, ἔμεινεν οἴκοι, τὰς ἐκ τῶν παραμυθουμένων δεχομένη θεραπείας, ἡ δὲ Μάρθα ὡς ἁπλουστέρα ἔδραμε, μεθύουσα μὲν τῷ πάθει, φέρουσα δὲ ὅμως νεανικώτερον. Εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν Κύριε, εἰ ἧς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός μου· καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, δώσει σοι ὁ Θεός. λέγει αὐτῇ ὁ Ἰησοῦς Ἀναστή σεται ὁ ἀδελφός σου. ἀπεκρίθη αὐτῷ ἡ Μάρθα Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ὃ λέγει ἡ Μάρθα, τοιοῦτόν ἐστιν Οὐ διὰ τοῦτο, φησὶν, ἀπέθανεν ὁ ἀδελφός μου, ὅτι ὑπόκειται ἡ ἀνθρώπου φύσις τῷ θανάτῳ, ἀλλ' ὅτι σὺ οὐ παρῆς, ὁ τὸν θάνατον νικῆσαι δυνάμενος διὰ τοῦ προστάγματος. ὑπὸ δὲ τῆς λύπης ἔξω τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσήκοντος πλανωμένη, ἐνόμιζε μηκέτι δύνασθαί τι ποιῆσαι τὸν Κύριον· ὡς παραδραμόντος τοῦ καιροῦ· καὶ 2.273 ᾤετο αὐτὸν παραγεγονέναι, οὐκ ἐπὶ τῷ ἀναστῆσαι Λάζαρον, ἀλλ' ἵνα παραμυθήσηται αὐτάς. ἠρέμα γὰρ αὐτῷ καὶ ὑπο μέμφεται βραδύναντι, καὶ μὴ εὐθὺς ἐλθόντι ὅταν ἠδύνατο βοηθεῖν, ὅτε ἀπέστειλαν λέγουσαι "Κύριε, ἴδε ὃν φιλεῖς "ἀσθενεῖ." τὸ δὲ λέγειν Ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν δώσει σοι, ὑπερυθριώσης ἐστὶ φανερῶς αἰτῆσαι ὃ βούλεται· ὅμως σφάλλεται περὶ τὴν ἀλήθειαν, οὐχ ὡς Θεῷ διαλεγομένη, ἀλλ' ὡς ἑνὶ τῶν ἁγίων, διὰ τὴν ὁρωμένην σάρκα οἰομένη ὅτι ὅσα ἂν αἰτήσῃ ὡς ἅγιος, λαμβάνει ἀπὸ Θεοῦ, οὐ μὴν εἰδυῖα ὅτι φύσει Θεὸς ὢν καὶ δύναμις τοῦ Πατρὸς, ἄμαχον ἔχει τὴν ἐπὶ πᾶσιν ἰσχύν. εἰ ᾔδει γὰρ ὅτι Θεὸς ἦν, οὐκ ἂν εἶπεν ὅτι Εἰ ἦς ὧδε· ὁ γὰρ Θεὸς πανταχοῦ ἐστιν. ὁ μέντοι Κύριος διὰ τὸ ἀφιλόκομπον, οὐκ εἶπεν Ἐγερῶ τὸν ἀδελφόν σου, ἀλλά Ἀναστήσεται, μονονουχὶ ἠρέμα αὐτὴν ἐλέγχων καὶ λέγων Ἀνίσταται μὲν καθὼς βούλει, πλὴν οὐχ ὡς σὺ νομί ζεις. εἰ γὰρ οἴει δι' εὐχῆς καὶ αἰτήσεως τοῦτο ἀνύεσθαι, σὺ ποίει τὸ τῆς εὐχῆς, μὴ μὴν ἐμοὶ ἐπίταττε τῷ θαυματουργῷ, ὃς δύναμαι τῇ ἰδίᾳ ἰσχύϊ ἀναστῆσαι τὸν νεκρόν. ταῦτα ἀκούσασα ἡ γυνὴ, καὶ αἰδουμένη μὲν εἰπεῖν ὅτι νῦν αὐτὸν ἀνάστησον, τρόπον δέ τινα παροξύνουσα αὐτὸν εἰς τὸ ποιῆσαι νῦν τὸ ἔργον, δοκεῖ πως ἀδημονεῖν περὶ τὴν βραδύ τητα τοῦ χρόνου, λέγουσα Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, ἀλλὰ πρόωρον ἰδεῖν ἐπιθυμῶ τὴν τοῦ ἀδελφοῦ ἀνά στασιν. ἤτοι τοῦ Κυρίου εἰπόντος τό Ἀναστήσεται ὁ ἀδελφός σου, μονονουχὶ συναινεῖ τῷ δόγματι τούτῳ ἡ γυνὴ λέγουσα Οἶδα τοῦτο· πιστεύω γὰρ ὅτι ἀνίστανται οἱ νεκροὶ καθὼς σὺ ἐδίδαξας· "Ὅτι ἔρχεται ὥρα, καὶ ἐξελεύσονται, οἱ τὰ "ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα 2.274 "πράξαντες εἰς ἀνάστασιν κρίσεως." ὁμοίως δὲ καὶ ὁ Ἡσαΐας ἐν Πνεύματι εἶπεν "Ἀναστήσονται οἱ νεκροὶ, καὶ "ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις." οὐ γὰρ ἀπιστῶ τῷ τῆς ἀναστάσεως λόγῳ, ὡς οἱ Σαδδουκαῖοι. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται, καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο; λέγει αὐτῷ Ναὶ Κύριε· ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος. Καρπὸς γεμὴν καὶ τιμὴ τῆς εἰς Χριστὸν πίστεως, ἡ αἰώνιος ζωὴ, καὶ οὐκ ἄλλως προσγίνεται τοῦτο τῇ τοῦ ἀνθρώπου ψυχῇ. εἰ γὰρ διὰ Χριστὸν πάντες ἀνιστάμεθα, ἀλλὰ ζωὴ αὕτη ἐστὶν ἀληθὴς, τὸ ἀτελευτήτως ἐν μακαριό τητι ζῆν· οὐδὲν γὰρ διαφέρει θανάτου, τὸ εἰς κόλασιν ἀναβιῶναι μόνον. εἰ οὖν ὁρᾷ τις καὶ τοὺς ἁγίους θνήσκοντας τοὺς λαβόντας ὑποσχέσεις ζωῆς, οὐδὲν τοῦτο, μόνον γὰρ ὅσον εἰς τὸ συμβῆναι γίνεται. καιρῷ δὲ τῷ πρέποντι τετή ρηται ἡ τῆς χάριτος ἀνάδειξις, οὐ κατὰ μέρος ἰσχύουσα, ἀλλ' ἐν πᾶσι διηνεκῶς καὶ τοῖς ἤδη προαποθανοῦσιν ἁγίοις πρὸς ὀλίγον γευσαμένοις τοῦ θανάτου, ἕως τῆς κοινῆς ἀνα στάσεως. τότε γὰρ κοινῇ πάντες τῶν ἀγαθῶν ἀπολαύ σουσιν. εἰπὼν δὲ ὁ Σωτὴρ ὅτι Ἐὰν ἀποθάνῃ ζήσεται, οὐκ ἀνεῖλεν ἐν τῷ νῦν αἰῶνι τὸν θάνατον· ἀλλὰ τοσοῦτον αὐτὸν δίδωσι κατὰ τῶν πιστῶν ἰσχύειν, ὅσον εἰς τὸ συμβῆναι μόνον, καιρῷ γὰρ τῷ πρέποντι τετήρηκε τὴν τῆς ἀναστά σεως χάριν. φησὶ γοῦν, ὅτι οὐκ ἄμοιρος ἔσται τοῦ τῆς σαρκὸς θανάτου διὰ τὴν ἀνθρωπίνην φύσιν ὁ εἰς ἐμὲ 2.275 πιστεύων, ἀλλ' ὅμως οὐδὲν ἐκ τούτου πείσεται δεινὸν, Θεοῦ δυναμένου ζωοποιεῖν εὐκόλως ὃν ἂν ἐθέλῃ· ὁ γὰρ εἰς αὐτὸν πιστεύσας, ἐν τῷ μέλλοντι αἰῶνι ἀτελεύτητον ἔχει ζωὴν ἐν μακαριότητι καὶ ὁλοκλήρῳ ἀφθαρσίᾳ. διὸ μήτις γελάτω τῶν ἀπίστων· οὐ γὰρ εἶπεν ὁ Χριστός Ἀπάρτι θάνατον οὐ μὴ ἴδῃ, ἀλλὰ ἀπολελυμένως εἰπών Θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα, περὶ τοῦ μέλλοντος αἰῶνος εἶπεν, εἰς ἐκεῖνον τηρήσας τὸ πέρας τῆς ὑποσχέσεως. εἰπὼν δὲ τῇ Μάρθᾳ Πιστεύεις, ὡς μητέρα καὶ πρόξενον τῆς ζωῆς ἀπαιτεῖ τῆς πίστεως τὴν ὁμολογίαν· ἡ δὲ ἑτοίμως συνέθετο καὶ ἀκριβῶς ὁμολογεῖ, οὐχ ἁπλῶς πιστεύουσα ὅτι Χριστός ἐστι καὶ Υἱὸς τοῦ Θεοῦ· χριστὸς γὰρ δύναται εἶναι καὶ προφήτης, διὰ τὸ κεχρίσθαι, ὁ αὐτὸς καὶ υἱὸς νοεῖσθαι δύναται· ἀλλὰ μετὰ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄρθρου εἰποῦσα Ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, τὸν ἕνα καὶ ἐξαίρετον καὶ ἀληθῶς Υἱὸν ὡμολόγησεν. εἰς τὸν Υἱὸν οὖν ἡ πίστις, οὐκ εἰς ποίημα. 2.276 Πιστεύεις τούτῳ; Προεξηγησάμενος τοῦ κατὰ αὐτὸν μυστηρίου τὴν δύναμιν, καὶ δείξας ἐναργῶς ὅτι ζωὴ κατὰ φύσιν ἐστὶ καὶ Θεὸς ἀλη θινὸς, ἀπαιτεῖ τὴν ἐπὶ τῇ πίστει συναίνεσιν, τύπον ταῖς ἐκκλησίαις τὸν ἐπὶ τούτῳ θείς. χρὴ γὰρ οὐ διάκενον ἡμᾶς εἰς ἀέρα ῥιπτοῦντας φωνὴν, τὸ σεπτὸν ὁμολογεῖν μυστήριον, ἀλλ' ἐν καρδίᾳ καὶ νῷ τὴν πίστιν ῥιζώσαντας, καρπὸν τοῦ πράγματος ποιεῖσθαι τὴν ὁμολογίαν· χρὴ δὲ πιστεύειν ἐνδοι ασμοῦ τινος δίχα καὶ διψυχίας. ὑβριστὴς γὰρ ὁ δίψυχος καὶ χωλεύων περὶ τὴν πίστιν· διὰ τοῦτο καὶ "ἀκατάστατος "ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ." εἰδέναι γεμὴν ἀναγκαῖον, ὅτι Θεῷ τῆς πίστεως τὴν ὁμολογίαν ποιούμεθα, κἂν δι' ἀνθρώ πων ἐρωτώμενοι, τῶν ἱερᾶσθαι λαχόντων φημὶ, τό Πιστεύω λέγομεν ἐν τῇ παραλήψει τοῦ ἁγίου βαπτίσματος. πάνδεινον οὖν ἄρα τὸ διαψεύσασθαι καὶ παρολισθῆσαι πρὸς ἀπιστίαν, ἵνα μὴ καὶ δικαστὴν καὶ μάρτυρα ἀπονοίας ἔχωμεν αὐτὸν τὸν πάντων Δεσπότην λέγοντα "Καὶ ἐγὼ μάρτυς, φησὶ "Κύριος." ἐπιτηρητέον δὲ ὅτι Λαζάρου κειμένου καὶ τεθνη κότος, ὑπὲρ αὐτοῦ τρόπον τινὰ τὸ γύναιον ἐξαιτεῖται τὴν ἐπὶ τῇ πίστει συναίνεσιν· ἵνα πάλιν ὁ τύπος ἐν ταῖς ἐκκλησίαις ἰσχύσῃ· ὅτε γὰρ ἀρτιγενὲς προσάγεται βρέφος, ἢ τῆς κατη χήσεως τὸ χρίσμα λαβεῖν, ἤτοι τὸ τῆς τελειώσεως ἐπὶ τῷ ἁγίῳ βαπτίσματι, ὁ προσάγων ὑπὲρ αὐτοῦ τό Ἀμὴν ἀνα φωνεῖ. ὑπὲρ δὲ τῶν ἐσχάτῃ νόσῳ κατειλημμένων, μελλόν των τε διὰ τοῦτο βαπτίζεσθαι, καὶ ἀποτάττονταί τινες καὶ συντάττονται, τὴν οἰκείαν ὥσπερ ἐξ ἀγάπης κιχρῶντες 2.277 φωνὴν τοῖς νόσῳ πεπεδημένοις· ὅπερ ἔστι κατιδεῖν γεγονὸς ἐπί τε Λαζάρου καὶ τῆς ἀδελφῆς αὐτοῦ. σοφῶς δὲ ἡ Μάρθα καὶ οἰκονομικῶς προκατασπείρει τῆς πίστεως τὴν ὁμολογίαν, ἵνα τὸν ἐξ αὐτῆς θερίσῃ καρπόν. Καὶ ταῦτα εἰποῦσα ἀπῆλθε καὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα Ὁ διδάσκαλος πάρεστι καὶ φωνεῖ σε. ἐκείνη δὲ ὡς ἤκουσεν, ἐγέρθη καὶ ἤρχετο πρὸς αὐτόν. Ἀπῆλθε καλέσουσα τὴν ἀδελφὴν αὐτῆς πρὸς τὸ καὶ αὐτὴν κοινωνῆσαι τῆς ἐπὶ τῷ προσδοκωμένῳ πράγματι εὐθυμίας, συναποληψομένην ἀναστάντα παρ' ἐλπίδα πᾶσαν τὸν τεθνη κότα. ἣν γὰρ ἀκούσασα "Ἀναστήσεται ὁ ἀδελφός σου." λάθρα δὲ τὴν τοῦ Σωτῆρος παρουσίαν τῇ ἀδελφῇ αὐτῆς εὐηγγελίσατο, διὰ τὸ παρακαθέζεσθαι τῶν Ἰουδαίων τινὰς τῶν φθονούντων θαυματουργοῦντι τῷ Χριστῷ. Καὶ οὐχ εὑρήσομεν ἐν τοῖς εὐαγγελίοις ὅτι ὁ Χριστὸς εἶπε Κάλει μοι τὴν ἀδελφήν σου· ἀλλ' ἡ Μάρθα τὴν τοῦ πράγματος ἀπαραίτητον χρείαν καὶ τὸ τῆς παρουσίας χρεω στούμενον, ἀντὶ κελεύσεως καὶ φωνῆς δεξαμένη, τοῦτό φησιν. ἡ δὲ ἑτοίμως ἔδραμε πρὸς αὐτὸν, καὶ ὑπαντᾶν ἐθέλει. πῶς γὰρ οὐκ ἔμελλε τοῦτο ποιεῖν ἡ σφόδρα λυπουμένη ἐπὶ τῇ ἀπουσίᾳ αὐτοῦ, καὶ θερμὸν ἔχουσα φρόνημα εἰς εὐσέβειαν καὶ ἀγάπην εἰς αὐτὸν πολλήν; 2.278 Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν ἔτι ἐν τῷ τόπῳ ὅπου προσυπήντησεν αὐτῷ ἡ Μάρθα. οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτὴν, ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολού θησαν αὐτῇ λέγοντες ὅτι ὑπάγει εἰς τὸ μνῆμα ἵνα κλαύσῃ ἐκεῖ. Οἱ οὖν συνόντες Ἰουδαῖοι, οἰηθέντες αὐτὴν δεδραμηκέναι ἐπὶ τὸ μνημεῖον πρὸς τὸ ἑαυτὴν σπαράξαι, συνακολουθοῦσιν αὐτῇ, νεύματι Θεοῦ τοῦτο ποιοῦντες, ἵνα συνέλθωσιν ἐπὶ τῷ τὸ θαῦμα ἰδεῖν καὶ μὴ βουλόμενοι. εἰ γὰρ μὴ οἰκονομίᾳ Θεοῦ τοῦτο ἐγεγόνει, οὐκ ἂν ἐμέμνητο αὐτοῦ ὁ Εὐαγγε λιστὴς, οὔτε τὰς ἐφ' ἑκάστῳ συμβαινούσας αἰτίας ἀπεγρά φετο, εἰ μὴ πανταχοῦ τῆς ἀληθείας ἀντεποιεῖτο. εἶπεν οὖν τὴν αἰτίαν δι' ἣν πολλοὶ εἰς τὸ μνημεῖον ἔδραμον, εὑρέ θησάν τε καὶ γεγόνασι θεαταὶ τοῦ θαύματος, καὶ ἄλλοις ἀπήγγειλαν. Ἡ οὖν Μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἴδουσα αὐτὸν ἔπεσε πρὸς τοὺς πόδας αὐτοῦ λέγουσα Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός μου. Ἡ μέντοι Μαρία, πρόωρον γεγενῆσθαι λέγει τὸν θάνατον τῷ ἀδελφῷ διὰ τὸ ἀπεῖναι τὸν Κύριον· καὶ τότε φησὶν ἐπι δεδημηκέναι αὐτὸν τῷ οἴκῳ, ὅτε ὁ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεραπείας παρέδραμε καιρός· καὶ ἔστι μὲν καὶ ἐκ τούτου στοχάσασθαι, ὅτι ὡς Θεῷ αὐτῷ ἔλεγε τοῦτο, εἰ καὶ οὐκ ἀκριβῶς λελάληκεν, οἰομένη μὴ παρεῖναι αὐτὸν εἰ καὶ ἀπῆν τῷ σώματι. ἀκριβε 2.279 στέρα δὲ οὖσα καὶ συνετωτέρα τῆς Μάρθας, οὐκ εἶπεν " Οσα ἂν αἰτήσῃ τὸν Θεὸν δώσει σοι ὁ Θεός." διὸ πρὸς ταύτην οὐδὲν λαλεῖ ὁ Κύριος, πρὸς δὲ τὴν Μάρθαν μακρὸν διέτεινε τὸν λόγον. τῇ λύπῃ μέν τοι μεθύουσαν τὴν Μαρίαν οὐκ ἐλέγχει, εἰποῦσαν τό Εἰ ἦς ὧδε, τῷ πληροῦντι τὴν ἅπασαν κτίσιν· πρὸς ἡμέτερον ὑπόγραμμον καὶ τοῦτο ποιῶν, ἵνα μὴ τοὺς ἐν ἀκμῇ τῶν θρήνων ὄντας ἐλέγχωμεν· συγ καταβαίνει δὲ μᾶλλον, τὴν ἀνθρωπίνην φύσιν ἀπογυμνῶν, δακρύει δὲ καὶ συγχεῖται, ἰδὼν αὐτὴν κλαίουσαν καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας. Ὁ οὖν Ἰησοῦς ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ τοὺς συνεληλυθότας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτὸν καὶ εἶπε Ποῦ τεθείκατε αὐτόν; Ἐπειδὴ δὲ οὐ Θεὸς κατὰ φύσιν μόνον, ἀλλὰ καὶ ἄν θρωπος ἦν ὁ Χριστὸς, πάσχει μετὰ τῶν ἄλλων τὸ ἀνθρώ πινον· ἀρχομένης δέ πως ἐν αὐτῷ κινεῖσθαι τῆς λύπης, καὶ νευούσης ἤδη πρὸς τὸ δάκρυον τῆς ἁγίας σαρκὸς, οὐκ ἀφίησιν αὐτὴν τοῦτο παθεῖν ἐκλύτως, καθάπερ ἔθος ἡμῖν. ἐμβριμᾶται δὲ τῷ πνεύματι, τουτέστι τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος ἐπιπλήττει τρόπον τινὰ τῇ ἰδίᾳ σαρκί· ἡ δὲ, τὸ 2.280 τῆς ἑνωθείσης αὐτῇ θεότητος οὐκ ἐνεγκοῦσα κίνημα, τρέμει τε καὶ θορύβου πλάττεται σχῆμα. τοῦτο γὰρ οἶμαι σημαί νειν τό Ἐτάραξεν ἑαυτόν· πῶς γὰρ ἂν ἑτέρως ὑπομείνῃ θόρυβον; ταραχθήσεται γεμὴν κατὰ τίνα τρόπον ἡ ἀθό λωτος ἀεὶ καὶ γαληνιῶσα φύσις; ἐπιτιμᾶται τοίνυν ἡ σὰρξ διὰ τοῦ πνεύματος, τὰ ὑπὲρ φύσιν ἰδίαν διδασκομένη φρο νεῖν. διὰ γάρ τοι τοῦτο γέγονεν ἐν σαρκὶ, μᾶλλον δὲ σὰρξ, ὁ πάντα ἰσχύων τοῦ Θεοῦ Λόγος, ἵνα ταῖς ἐνεργείαις τοῦ ἰδίου πνεύματος, τὰς μὲν τῆς σαρκὸς ἀσθενείας νευρώσῃ, καὶ γεωδεστέρου φρονήματος ἀπαλλάξῃ τὴν φύσιν, ἀναμορφώσῃ δὲ ὥσπερ εἰς μόνα τὰ δοκοῦντα Θεῷ. οὐκοῦν νόσημα μὲν φύσεως ἀνθρωπίνης, τὸ τυραννεῖσθαι ταῖς λύπαις· καταρ γεῖται δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐν πρώτῳ Χριστῷ, ἵνα καὶ εἰς ἡμᾶς διαβῇ. Ἢ οὕτω νοητέον τό Ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτά ραξεν ἑαυτὸν, ἀντὶ τοῦ Κεκινημένος εἰς ἔλεον ἐκ τοῦ δακρῦσαι πολλοὺς, ἐνετείλατο τρόπον τινὰ τῷ ἰδίῳ πνεύματι κατα παλαίειν καὶ πρὸ καιροῦ τὸν θάνατον καὶ ἀναστῆσαι τὸν Λάζαρον. οὐκ ὡς ἀγνοῶν δὲ ἐρωτᾶ Ποῦ τεθείκατε αὐτόν· ὁ γὰρ ἐπ' ἀλλοδαπῆς ὢν καὶ εἰδὼς ὅτι τέθνηκε, πῶς ἠγνόησε τὸ μνῆμα; λέγει δὲ οὕτως ὡς ἀφιλόκομπος· οὐ μὴν εἶπεν Ἄγωμεν εἰς τὸ μνημεῖον, ἐγερῶ γὰρ αὐτὸν, εἰ καὶ τὰ μάλιστα τὸ ἐρωτῆσαι οὕτως, ταύτην ἔχει τὴν ἔμφασιν. ὅμως καὶ τοῦτο εἰπὼν, πολλοὺς παρεσκεύασε προβαδίζειν 2.281 αὐτοῦ, ὡς ὑποδεικνύντας τὸ ζητούμενον. οἰκονομικῶς οὖν καὶ τοῦτο εἶπεν, ἕλκων διὰ τοῦ ῥήματος πολλοὺς εἰς τὸν τόπον, καὶ ἀγνοεῖν σχηματίζεται, τὴν τῆς ἀνθρωπότητος πτωχείαν οὐδαμοῦ παραιτούμενος ὁ φύσει Θεὸς καὶ πάντα εἰδὼς, οὐ τὰ γεγονότα μόνον ἀλλὰ καὶ τὰ ἐσόμενα, πρὶν γενέσεως αὐτῶν. Καὶ τὸ ἐρωτᾶν οὖν οὐδεμίαν ἄγνοιαν φέρει τῷ δι' ἡμᾶς καθ' ἡμᾶς γενομένῳ, ἀλλ' ἐκ τοῦδε μᾶλλον ἴσος τῷ Πατρὶ δείκνυται· καὶ γὰρ ἐκεῖνος ἐρωτᾷ "Ἀδὰμ, ποῦ εἶ;" καὶ οὗτος ἄγνοιαν σοφίζεται καὶ πυνθάνεται Ποῦ τεθείκατε, ὥστε διὰ τῆς πεύσεως πλῆθος συναγερθῆναι πρὸς τὴν ἀπόδειξιν, καὶ παρὰ τῶν ἐχθρῶν μᾶλλον μαρτυρηθῆναι τὸ παράδοξον τῆς ἀναβιώσεως τοῦ ἤδη διαφθαρέντος. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι Ἴδε πῶς ἐφίλει αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν εἶπον Οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; Ὁ μέντοι Εὐαγγελιστὴς βλέπων δακρύουσαν τὴν ἀδά κρυτον φύσιν, καταπλήττεται, εἰ καὶ ἴδιον ἦν τῆς σαρκὸς τὸ πάθος, καὶ οὐ τῇ θεότητι πρέπον. δακρύει δὲ ὁ Κύριος, 2.282 ἑωρακὼς τὸν κατ' ἰδίαν εἰκόνα γεγονότα ἄνθρωπον κατε φθαρμένον, ἵνα τὸ ἡμῶν περιστείλῃ δάκρυον. διὰ γὰρ τοῦτο καὶ ἀπέθανεν, ἵνα καὶ ἡμεῖς ἀπαλλαγῶμεν θανάτου. δακρύει δὲ μόνον, καὶ εὐθὺς ἐπέχει τὸ δάκρυον, ἵνα μὴ δόξῃ τις ὠμὸς καὶ ἀπάνθρωπος εἶναι, καὶ ἡμᾶς ἐπὶ τοῖς αὐτοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παιδεύων μὴ ἐπὶ πολὺ ἐκλύεσθαι ἐπὶ τοῖς τεθνηκόσι. τὸ μὲν γὰρ, συμ παθείας ἐχόμενον· τὸ δὲ γυναικικὸν καὶ ἄνανδρον. διὰ τοῦτο οὖν συνεχώρησε τῇ ἰδίᾳ σαρκὶ κλαῦσαι ὀλίγον, καίπερ ὢν τῇ φύσει ἄδακρυς καὶ ἁπάσης ἀνεπίδεκτος λύπης, ὅσον εἰς ἰδίαν φύσιν. θαυμάζουσι δὲ καὶ αὐτοὶ οἱ μισοῦντες, τοῦ Κυρίου τὸ δάκρυον. οἱ γὰρ εἰς ἄκρον φιλοσοφοῦντες καὶ οἱ ἐν ὑπολήψει λαμπρᾷ δυσχερέστατα δακρύουσιν, ὡς κατα νεανιευόμενοι πάσης συμφορᾶς. ἐνόμιζον δὲ οἱ Ἰουδαῖοι ὅτι διὰ τὸν θάνατον ἐδάκρυσε Λαζάρου, αὐτὸς δὲ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν κατελεῶν ἐδάκρυσεν, οὐ μόνον Λάζαρον κλαίων, ἀλλὰ τὸ πᾶσι συμβεβηκὸς ἐννοῶν, ὅτι πᾶσα ἡ ἀνθρωπότης γέγονεν ὑπὸ θάνατον, δικαίως τῷ τοιούτῳ ἐπι τιμίῳ ὑποπεσοῦσα. ἄλλοι δὲ ὑπὸ τοῦ φθόνου τρωθέντες, οὐδὲν ἔλεγον ἀγαθόν· οὐ γὰρ κατὰ ἀλήθειαν ᾐτιῶντο τὸν Κύριον, ὡς ἐπιτρέψαντα ἀποθανεῖν τὸν Λάζαρον· τοῦτο γὰρ ἦν πιστευόντων ὅτι ἠδύνατο τὸν θάνατον στῆσαι· ἀλλὰ μονονουχὶ τοῦτό φασιν Ποῦ ἡ ἰσχύς σου ὦ θαυματουργέ; ἰδοὺ γὰρ καὶ μὴ βουλομένου σου, τέθνηκεν ὁ ὑπὸ σοῦ φιλού μενος. ὅτι γὰρ ἠγάπας, δῆλον ἐξ οὗ δακρύεις. εἰ οὖν ἦν τῆς σῆς ἰσχύος τὸ τοῦ τυφλοῦ ἔργον, ἠδύνασο καὶ τὸν θάνατον 2.283 στῆσαι, ὅπερ ἐστὶ καὶ αὐτὸ ὑπὲρ ἀνθρώπου φύσιν. ὡς ἐπι χαίροντες οὖν ἐξ ὧν ἑώρων τρόπον τινὰ παραλυομένην τὴν αὐτοῦ δόξαν, φασὶ τοῦτο. Ὁ οὖν Ἰησοῦς πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ ἔρχεται εἰς τὸ μνημεῖον· ἦν δὲ σπηλαῖον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ. λέγει δὲ ὁ Ἰησοῦς Ἄρατε τὸν λίθον. Ἐνταῦθα τὴν ἐμβρίμησιν νοοῦμεν, τὴν οἱονεὶ μετὰ κινή σεως τῆς κατ' ἐξουσίαν θέλησιν· καὶ ὅτι ἀγριώτερον τῇ λύπῃ ἐπετίμησε, καὶ τῷ δακρύῳ τῷ ἐκ τῆς λύπης ἐκχεῖσθαι μέλλοντι. ὡς γὰρ Θεὸς παιδαγωγικῶς τῇ ἀνθρωπότητι ἐπι τιμᾷ, νεανιεύεσθαι ἐπιτάττων τῶν λυπηρῶν, ἢ θεοπρεπεῖ κινήματι διορίζεται, ὅτι χρὴ ἀνατρέψαι λοιπὸν τοῦ θανάτου τὸ κράτος. καὶ τοῦτο διὰ τῆς ἰδίας αὐτοῦ ἐμφαίνει σαρκός· καὶ τὸ τοῦ σώματος κίνημα τὸ κεκρυμμένον ἐσήμαινεν ἔσωθεν. καὶ τοῦτο δηλοῖ ὧδε τό Ἐνεβριμήσατο, ἀντὶ τοῦ, διὰ σχηματισμοῦ τοῦ σώματος τὸ κεκρυμμένον ἐσήμαινε κίνημα. Τὸν δὲ λίθον οὐκ ἀπεκύλισε δι' ἑαυτοῦ διὰ δύο ταῦτα· ἓν μὲν διδάσκων ὅτι περιττὸν τὸ ἐν τοῖς μὴ ἀναγκαίοις θαυμα τουργεῖν· ἕτερον δὲ, ὅτι αὐτὸς μὲν ἐγείρει τοὺς νεκροὺς, παραστήσονται δὲ εἰς ὑπηρεσίαν τοῦ πράγματος οἱ ἄγγελοι, οὓς καὶ θεριστὰς ἀλλαχοῦ παραβολικῶς ἀποκαλεῖ ὁ Κύριος. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τετελευτηκότος Μάρθα Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι. Τὰ μεγάλα τῶν κατορθωμάτων ἀπιστεῖσθαι φιλεῖ, καὶ 2.284 τοῖς ὑπὲρ λόγον ἀκολουθεῖ τὸ μὴ λίαν ἑτοίμως θαυμάζεσθαι· τοῦτό μοι δοκεῖ ὑπομεῖναι καὶ τὴν ἀγαθὴν Μάρθαν· παραι τεῖται γὰρ αὐτὴν τὸ εἰς πίστιν ἀσφαλὲς ἡ τοῦ πράγματος ὑπερβολὴ, καὶ τὸ ξένον τῆς ἐλπίδος τοῦ καθήκοντος ἐξίστησι λογισμοῦ· καὶ θαυμαστὸν οὐδὲν εἰ τὴν πίστιν ὁμολογήσασα πάλιν ὀλιγοπιστίᾳ χειμάζεται τῇ ὑπερβολῇ τοῦ θαύματος. ἤτοι καὶ ὡς πάνυ τιμῶσα τὸν Χριστὸν, εἶπε τό Ἤδη ὄζει, πρὸς τὸ μὴ ἀηδισθῆναι ἐκ τῆς τοῦ νεκροῦ δυσωδίας· ἢ ὡς αἰσχύνην τοῦτό φησι. σπεύδουσι γὰρ οἱ τῶν τεθνεώτων οἰκεῖοι, πρὸ τοῦ τὸ σῶμα γενέσθαι δυσῶδες, κατακρύψαι τῇ γῇ, αἰσχυνόμενοι τοὺς ζῶντας καὶ ἀτιμίαν ἡγούμενοι τοῦ κειμένου, τὸ βδελύττεσθαι αὐτὸν παρά τινων. Λέγει αὐτῇ ὁ Ἰησοῦς Οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς ὄψει τὴν δόξαν τοῦ Θεοῦ; Μέγα ἀγαθὸν πίστις, ὅταν ἀπὸ θερμῆς γίνηται διανοίας, καὶ τοσαύτην ἔχει δύναμιν, ὥστε οὐ μόνον ὁ πιστεύων σώ 2.285 ζεται, ἀλλὰ γὰρ καὶ ἄλλοι ἄλλων πιστευσάντων ἐσώθησαν, ὡς ὁ ἐν Καπαρναοὺμ χαλασθεὶς παράλυτος διὰ τὴν πίστιν τῶν βασταζόντων αὐτόν· ὡς ὁ Λάζαρος, διὰ τὴν τῆς ἀδελφῆς, πρὸς ἣν ἔφη ὁ Κύριος Ἐὰν πιστεύῃς ὄψει τὴν δόξαν τοῦ Θεοῦ; μονονουχὶ λέγων Ἐπειδὴ Λάζαρος νεκρὸς ὢν πιστεύειν οὐ δύναται, σὺ τοῦ νεκροῦ τὸ λεῖπον τῆς πίστεως ἀναπλήρωσον. διττὸν δὲ τῆς πίστεως τὸ εἶδος· τὸ μὲν, δογματικὸν, συγκατάθεσιν τῆς ψυχῆς ἔχον περὶ τοῦδέ τινος· ὡς τό "Ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται·" τὸ δὲ, ἐν χάριτος μέρει παρὰ τοῦ Χριστοῦ δωρούμενον· "Ὧι μὲν "γὰρ, φησὶ, διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"ἑτέρῳ δὲ πίστις," ἥτις οὐ δογματικὴ μονόν ἐστιν, ἀλλὰ καὶ τῶν ὑπὲρ ἄνθρωπον ἐνεργητικὴ, ὡς καὶ "ὄρη μεθιστά "νειν." ἡ μέν τοι Μάρθα ὑπὸ ἀσθενείας λογισμῶν εἰς ἀπιστίαν ἐνέπεσεν. ἀλλ' ὁ Κύριος οὐκ ἐφίησι, λύσιν ὑπε νεγκὼν τῷ πάθει ταχεῖαν. χρὴ γάρ φησι πιστεύειν ἀσφαλῶς, ἵνα θεάσηται τὰ παρ' ἐλπίδα. μέγα γὰρ ἡ διψυχία νόσημα, καὶ ἀποστεροῦν τῶν ἐκ Θεοῦ χαρισμάτων. διὸ ταύτῃ ἐπιτι μήσας, τὸ πάντων ἀνθρώπων διωρθώσατο γένος, ὥστε μὴ ἁλῶναι τοῖς τῆς διψυχίας κακοῖς. φεύγων δὲ τὸ κενόδοξον ὁ Χριστὸς, οὐκ εἶπεν Ὄψει τὴν δόξαν μου, ἀλλὰ τὴν τοῦ Θεοῦ. δόξα δὲ Θεοῦ, τὸ ἐγεῖραι νεκρόν. αὐτὸς οὖν ἄρα ἐστὶν ὁ κατὰ φύσιν Θεὸς, ὁ εἰπών "Ἐγώ εἰμι ἡ ἀνάστασις," οὗ τὴν δόξαν μετ' οὐ πολὺ θεωρήσειν τὴν γυναῖκά φησιν, ὅταν οἰηθῇ μὴ ψεύδεσθαι τὴν ἀλήθειαν, ὅς ἐστιν ὁ Χριστός· ἣν δὲ αὐτῇ ἐπαγγελθὲν, τὸ ἀναστῆναι τὸν νεκρὸν αὐτῆς ἀδελ 2.286 φόν. καὶ ἡ μὲν Μαρία συνετωτέρα οὖσα, οὐδὲν ἐνδοιαστικὸν φθέγγεται· ἡ δὲ Μάρθα, τῷ τῆς διψυχίας κατείχετο νο σήματι. Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν Πάτερ εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν παρεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. Οἰκονομικῶς μέντοι ὡς ἄνθρωπος λαλεῖ ὁ Χριστὸς χθα μαλῶς, οὐ κατὰ τὴν τῆς θεότητος ὑπεροχήν· καὶ ἀναφέρει τῷ Πατρὶ τὴν χάριν οὐχ ὑπὲρ Λαζάρου μόνον, ἀλλ' ὑπὲρ τῆς πάντων ζωῆς. ἀγαθὸς γὰρ ὢν, ὁμογνώμων ἐστὶ τῷ Πατρὶ ἀνακομίζοντι τὴν ἀνθρώπου φύσιν εἰς τὴν ζωὴν, τὴν εἰς φθορὰν πεσοῦσαν διὰ τῆς παρακοῆς, οὐδεμίαν ἔχων διαφορὰν πρὸς τὴν τοῦ Πατρὸς ἀγαθότητα. ὥσπερ δὲ καὶ ἡμεῖς διὰ τῶν οἰκείων λογισμῶν ἀναπειθόμεθα εἰς τὸ μὴ ποιῆσαι τὸ δοκηθὲν, οὕτω καὶ ὁ Κύριος, Λόγος ὢν καὶ βουλὴ τοῦ Πατρὸς, φίλον ἡμῖν πεποίηκε τὸν Πατέρα. καὶ οὐ δήπου φαμὲν ὅτι ὀργίζεται τὸ θεῖον, ἀλλ' ὅτι δίκαιος ὢν καὶ ἀγαθὸς, οἶδε τὸν τῇ ἐπιτιμήσει πρέποντα καιρὸν, καὶ τὸν τῇ ἀνέσει. πλὴν εὐχαριστεῖ ὁ Κύριος, καὶ τοῦτο ποιεῖ πρὸς ὑπογραμμὸν ἡμῶν, τιμῶν τὸν Πατέρα. ὅταν δὲ ὁ ἴσος τῷ ἴσῳ εὐχαριστῇ, οὐ ποιεῖ πάντως τοῦτο τῆς οὐσίας ἐλάττωσιν. δι' ὧν δὲ ἐπισημαίνεται ὅτι διὰ τὸν ὄχλον ταῦτα λέγω, μονονουχί φησιν, ὅτι προσπεποίημαι τῆς προσευχῆς τὸ σχῆμα, καὶ οἰκονομικῶς εἶπον εὐχαριστεῖν. ᾔδειν γὰρ ὅτι πάντοτέ μου ἀκούεις. οὐ γάρ ἐστι πρὸς ἑαυτὴν ἀπειθὴς ἡ μία τῆς θεότητος φύσις, ἐπείπερ εἷς ἐστιν ὁ τῆς Τριάδος νοῦς, 2.287 Πατρὸς Υἱοῦ καὶ Πνεύματος. εἰδὼς οὖν, φησὶν, ὅτι μία ἡμῶν ἡ βούλησις καὶ ἓν τὸ θέλημα, διὰ τὸν ὄχλον ταῦτα ἔφην. ταῦτα δὲ ὁ Χριστὸς λέγει διὰ τοὺς Ἰουδαίους, τῷ Πατρὶ εὐχαριστῶν, ὡσανεὶ δι' αὐτοῦ ἐνεργῶν τὰ θεοπρεπῆ· ἵνα μηκέτι εἴπωσιν ὅτι ἐν Βεελζεβοὺλ ποιεῖ τὰ σημεῖα. ἀπολογεῖται δὲ καὶ διὰ τὸ σχῆμα τῆς προσευχῆς, ἵνα μὴ σκανδαλισθῶμεν ἡμεῖς, εἰπὼν ὅτι διὰ τὸν ὄχλον τοῦτο ἐποί ησα, καὶ τό Σύ με ἀπέστειλας, διὰ τὰς Ἰουδαϊκὰς ὑπονοίας φησίν· ἥκω γὰρ οὐκ ἀπ' ἐμαυτοῦ, ὡς οἱ ψευδοπροφῆται· ἀλλ' εὐδοκίᾳ σῇ καὶ θελήσει, ἐμαυτὸν ἐκένωσα μορφὴν δούλου λαβὼν, ἵνα πᾶσι κατορθώσω τὴν ζωήν. οἰκονομικὸς οὖν τῆς προσευχῆς ὁ τρόπος καὶ σχήματι πρέπων τῷ μετὰ σαρκὸς, οὐχὶ τῇ τῆς θεότητος ὑπεροχῇ καὶ ἀσυγκρίτῳ λαμ πρότητι. τὸ γὰρ ὅλως αἰτῆσαι καὶ λαβεῖν, δουλοπρεπὲς ἂν εἴη μᾶλλον, καὶ τῷ βασιλευομένῳ κατειθισμένον. δράσει γεμὴν ἀνεγκλήτως καὶ τοῦτο Χριστός· ὁ γὰρ ἄνθρωπος γενέσθαι καταδεξάμενος, πῶς ἂν ἔτι παραιτήσαιτο τὰ ἀν θρώπινα; 2.289 Καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασε Λάζαρε, δεῦρο ἔξω. καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. Ὢ τοῦ θαύματος· τὸν δυσώδη νεκρὸν καὶ μετὰ τετάρτην τῆς τελευτῆς ἡμέραν, ἐκ τῆς θήκης ἐξήγαγε, καὶ τὸν πεπε δημένον καὶ συμπεποδισμένον βαδίζειν ἐκέλευσε. καὶ παρα χρῆμα, ὅ τε θάνατος ἐδραπέτευσε, καὶ ὁ νεκρὸς ἔδραμε τῆς σηπεδόνος ἀπαλλαγεὶς, καὶ τὴν ταύτης ἀποθέμενος δυσω δίαν, καὶ τὰς τοῦ θανάτου πύλας διαφυγὼν, καὶ ὑπὸ τῶν 2.290 δεσμῶν οὐ κωλυόμενος τρέχειν. καὶ τῷ μὲν καλύμματι τοῦ προσώπου, τὸ βλέπειν ἀφῃρημένος, ἀκωλύτως δὲ πρὸς τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλέσαντα τρέχων, καὶ τὴν δεσποτικὴν ἐπιγινώσκων φωνήν. θεοπρεπὴς γὰρ ὁ λόγος καὶ βασιλικὸν τὸ κέλευσμα, λύσιν ἔχον θανάτου καὶ φθορᾶς ἀνατροπὴν, καὶ τῆς ὑπὲρ λόγον ἐνεργείας ἀπόδειξιν. τὸ γεμὴν διαπρυσίῳ χρῆσθαι κραυγῇ, ξένον παντελῶς καὶ ἀσύνηθες τῷ Σωτῆρι Χριστῷ. καὶ γοῦν ὁ Θεὸς καὶ Πατὴρ περὶ αὐτοῦ που φησίν "Οὐκ ἐρίσει οὐδὲ "κραυγάσει," καὶ τὰ ἑξῆς. ἀψοφητὶ γὰρ καὶ θορύβου δίχα παντὸς τὰ τῆς ἀληθοῦς θεότητος ἔργα· τοῦτο δὲ ἦν ἐν Χριστῷ, Θεὸς γὰρ ἐκ Θεοῦ κατὰ φύσιν ἐστὶ καὶ ἀληθινός. τί οὖν ἄρα φαμὲν, ὅταν ἴδωμεν ἀσυνήθως ἀνακεκραγότα; οὐ γὰρ δήπου κατοιχήσεταί τις εἰς τοῦτο μωρίας, ὡς ἔξω τοῦ πρέποντος ἰέναι ποτὲ λέγειν αὐτὸν, ἢ καὶ ἁμαρτεῖν τοῦ δέοντος. πῶς οὖν ἐνδέχεται; οὐκοῦν ἔχει λόγον ἡ κραυγὴ καὶ πρόφασιν, ἣν ἀναγκαίως ἐροῦμεν, διὰ τὸ τοῖς ἀκροω μένοις χρήσιμον· τύπον ὥσπερ τινὰ τῆς καθόλου τῶν νεκρῶν ἀναστάσεως τὸ ἐπὶ Λαζάρῳ ποιεῖται θαῦμα, καὶ τὸ ἐφ' ἑνὶ πληρούμενον, εἰκόνα τοῦ γενικωτέρου καὶ κατὰ παντὸς ἔστησε καλήν. ὅτι γὰρ ἥξει Κριτὴς, πεπιστεύκαμεν, λογι ζόμεθά τε ὅτι κραυγή τις ἔσται διὰ σάλπιγγος, κατὰ τὴν τοῦ Παύλου φωνὴν, διακελευομένη τοῖς ἐν γῇ κειμένοις τὴν ἀνάστασιν, ἐνεργούσης δηλονότι τὸ πρᾶγμα τῆς ἀῤῥήτου δυνάμεως τοῦ πάντα ἰσχύοντος Θεοῦ. Διὰ γάρ τοι τοῦτο καὶ ὁ νόμος διὰ Μωυσέως, ὅτε τῆς 2.291 σκηνοπηγίας διετύπου τὴν ἑορτήν· ἑορτάσατε, φησὶν, αὐτὴν, "μνημόσυνον σαλπίγγων." συμπήγνυσθαι γὰρ μελλόντων ἐσαῦθις τῶν ἀνθρωπίνων σωμάτων, καὶ τὴν ἰδίαν ὥσπερ σκηνὴν παραληψομένης ὅσον οὐδέπω τῆς ἑκάστου ψυχῆς, προαναφωνήσει κέλευσμα τὸ δεσποτικὸν καὶ προηχήσει τὸ τῆς ἀναστάσεως σύνθημα, σάλπιγξ Θεοῦ, κατὰ τὸ εἰρημένον. εἰς τύπον οὖν ταύτης, ἐπὶ Λαζάρῳ μέγα τι καὶ ἐξάκουστον ἐφώνησε Χριστὸς, οὐ σφόδρα τοῦ συνήθους φροντίσας, ἵνα τῶν ἔσεσθαι προσδοκωμένων ἐπιδείξῃ τὸν τύπον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς Λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν. Χρησίμως οὖν διὰ χειρῶν οἰκείων ἐπέτρεψεν αὐτοῖς λῦσαι αὐτὸν, ἵνα μηδεμίαν ἔχοιεν συκοφαντίας ἀφορμὴν, ἀλλὰ 2.292 μάρτυρες ὦσι τοῦ θαύματος. καὶ τοῦτο δὲ ἔχει δεῖγμα τῆς καθολικῆς ἀναστάσεως, ὅτε λυομένης τῆς ἁμαρτίας καὶ τῆς τοῦ θανάτου φθορᾶς, ἐλεύθερος ἀφίεται ἕκαστος. πεσόντες γὰρ εἰς ἁμαρτίαν, καθάπερ τι κάλυμμα, τὴν ἐντεῦθεν αἰ σχύνην τῷ τῆς ψυχῆς προσώπῳ περιτεθείκαμεν, καὶ τοῖς τοῦ θανάτου κατεδεσμεύθημεν βρόχοις. ὅταν οὖν ἡμᾶς κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν τῶν ἀπὸ γῆς μνημάτων ἐξοίσει ὁ Χριστὸς, τότε δὴ τότε τῶν ἐν ἀρχῇ ἀπολύσας κακῶν, καὶ περιαιρῶν τρόπον τινα τῆς αἰσχύνης τὸ κάλυμμα, λοιπὸν ἐλευθέρως ἀνεῖσθαι κελεύει, οὐχ ἁμαρτίᾳ τυραννουμένους, οὐχ ὑποκειμένους τῇ φθορᾷ, ἤγουν ἑτέροις τισὶ τοῖς εἰωθόσι κακοῦν, ὡς πληροῦσθαι ἐν ἡμῖν τὸ δι' ἑνὸς τῶν ἁγίων προ φητῶν εἰρημένον "Καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς "μοσχάρια ἐκ δεσμῶν ἀνειμένα." Λάμβανε δέ μοι τὸ θαῦμα καὶ ἐπὶ τὰ ἐντός. εἰ γὰρ ὁ νοῦς ἡμῶν ἀποθάνοι Λάζαρος, δεῖ μετὰ ἐξομολογήσεως, ὡς Μάρθαν καὶ Μαρίαν, τὴν ὑλικὴν σάρκα καὶ τὴν σεμνοτέραν ψυχὴν προσελθεῖν τῷ Χριστῷ καὶ παρακαλέσαι· καὶ ὃς ἐπιστὰς, τὴν ἐπικειμένην τῇ μνήμῃ ἀρθῆναι κελεύσει πώ ρωσιν, καὶ φωνήσει μεγάλῃ φωνῇ τῆς εὐαγγελικῆς σάλ πιγγος Δεῦρο ἔξω τῶν τοῦ κόσμου περισπασμῶν, καὶ τὰς σειρὰς λύσει τῶν ἁμαρτιῶν, ὥστε δύνασθαι κινεῖσθαι ἀρα ρότως πρὸς ἀρετήν. 2.293 Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν καὶ θεασάμενοι ὃ ἐποίησεν ὁ Ἰησοῦς ἐπίστευσαν εἰς αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς Φαρισαίους καὶ εἶπον αὐτοῖς ὃ ἐποίησεν ὁ Ἰησοῦς. Τῷ παραδόξῳ νικηθέντες πολλοὶ πεπιστεύκασιν· ἕτεροι δὲ τῷ φθόνῳ τρωθέντες, ἀφορμὴν ποιοῦνται τὸ θαῦμα τοῦ δρᾶσαι τὰ τῶν φθονούντων, καὶ τοῖς ἡγουμένοις ἀπήγγειλαν τὸ γεγονὸς, ἵνα κἀκείνων λυπηθέντων ἐφ' οἷς εἰργάσατο ὁ Χριστὸς, σχῶσί τινα παραψυχὴν τῆς ἰδίας λύπης, τῷ καὶ ἄλλους ἔχειν ὁμόφρονας καὶ συγκοινωνοὺς τῆς παράφρονος ταύτης λύπης· καὶ ἵνα αὐτοὶ μὴ ἰσχύοντες βλάψαι τὸν οὐδὲν ἀδικήσαντα, τοὺς δυνατωτέρους κατ' αὐτοῦ ἐρεθίσωσι. Συνήγαγον οὖν οἱ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον καὶ ἔλεγον Τί ποιοῦμεν ὅτι ὁ ἄνθρωπος οὗτος σημεῖα πολλὰ ποιεῖ; ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. Ἀμέλει καὶ οἱ μὲν Φαρισαῖοι τὸ θαυμάζειν ἀφέντες, ἐπὶ τὸ λυπεῖσθαι τρέπονται, καὶ θανάτου αὐτὸν κρείττονα βλέ ποντες, ἀποκτεῖναι βουλεύονται, οὐκ ἐννοοῦντες τὴν ἄφατον ἐξουσίαν, ὡς περὶ ἀνθρώπου δὲ ψιλοῦ ἐννοοῦντες, ἐλάλουν Τί ποιοῦμεν ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ; καίτοι δέον ἐκ τούτου μᾶλλον πιστεῦσαι ὅτι αὐτὸς ἦν ὁ Χριστὸς, ὃν ἡ θεόπνευστος γραφὴ ἐν πολλοῖς προανεφώνησεν, ὅτι πολλῶν σημείων ἔσται δημιουργός. οἱ δὲ καὶ αἰτίαν προφασίζονται, δι' ἧς ἐπειρῶντο πεῖσαι τοὺς ἐλαφροτέρους ἀποκτεῖναι αὐτὸν, καί φασιν Ἐὰν ἐάσωμεν αὐτὸν οὕτως, ἀντὶ τοῦ, ζῶντα καὶ 2.294 θαυματουργοῦντα, πεισόμεθα πάνδεινα. ἐὰν γὰρ τούτῳ τῷ τὸν νόμον καταλύοντι πιστεύσωσι πολλοὶ, οἰχήσεται λοιπὸν τὰ ἡμέτερα· καὶ λοιπὸν ὡς ἀσθενησάντων Ἰουδαίων εἰς τέλος, ἐπιθήσονται ἡμῖν οἱ Ῥωμαῖοι, καὶ οὐκ ἐάσουσιν ἡμᾶς τοῖς πατρῴοις ἔθεσιν ἀδεῶς χρήσασθαι, οὔτε τοῦ ἰδίου ἄρχειν ἔθνους, οὔτε δικάζειν, αὐτοὶ μᾶλλον δικάζοντες καὶ οὐχ ἡμεῖς ἔτι. Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς Ὑμεῖς οὐκ οἴδατε οὐδὲν, οὐδὲ διαλογί ζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν ὅτι ἤμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. Ἀλλ' ὅπερ ἐλέγομεν, ὅπερ λάθρα ἐμελέτων Ἰουδαῖοι ποιῆσαι, τοῦτο φανερῶς αὐτοῖς ὁ τούτων ἀρχιερεὺς συμβου λεύει ποιεῖν καὶ φονεῦσαι τὸν Χριστὸν, ὡς ὑπὲρ τοῦ ἔθνους τοῦτο λέγων, καίπερ τὸ ἔθνος ἄδικον. πρᾶγμα δὲ ἀληθές φησιν, οὐκ ἐκ τῆς αὐτῶν δυστροπίας κατωρθωμένον, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ δυνάμεως καὶ σοφίας. οἱ μὲν γὰρ ἐπ' ὀλέθρῳ ἰδίῳ τὸν Χριστὸν ἀπέκτειναν, ὁ δὲ "θανατωθεὶς σαρκὶ," πάντων ἡμῖν γέγονεν αἴτιος τῶν ἀγαθῶν. ἀπώλειαν δὲ τοῦ ἔθνους καλεῖ, τὸ ὑπὸ χεῖρα γενέσθαι τὴν Ῥωμαϊκὴν, καὶ ἀπολέσθαι τὴν τοῦ νόμου σκιάν· ὅπερ ἀνατρέψαι ζητοῦντες, ὑπέμειναν. ἐξ ἀνόμου μὲν οὖν εἶπε γνώμης ὁ Καϊάφας ὃ εἶπεν· ὅμως ὁ λόγος γέγονε πράγματος ἀληθοῦς ἑρμηνευ 2.295 τικὸς, ὡς ἐν τάξει προσενεχθεὶς προφητείας. ὅσων γὰρ γέγονεν αἴτιος ἀγαθῶν ὁ τοῦ Χριστοῦ θάνατος, προανα φωνεῖ λέγων ὃ οὐκ οἶδε, καὶ δοξάζων τὸν Θεὸν ὡς ὁ Βαλαὰμ κατὰ ἀνάγκην, ἐπείπερ ἦν ἔχων τὸ ἱερατικὸν ἀξίωμα, ὡς οὐκ αὐτῷ δοθείσης τῆς προφητείας, ἀλλὰ τῷ τῆς ἱερωσύνης σχήματι· ἤτοι ἐξ ὧν ὕστερον τὰ εἰρημένα γέγονεν ὑπὸ τοῦ Καϊάφα καὶ ἀπέβη οὐ πάντως λαβόντος προφητικὴν χάριν. εἰκὸς γὰρ ὅτι ὃ λαλοῦσί τινες γίνεται· εἰ καὶ μὴ εἰδότες ὅτι πάντως ἔσται, λαλοῦσιν. ὁ μὲν οὖν Καϊάφας ὑπὲρ μόνων Ἰουδαίων ἔλεγεν ἔσεσθαι τὸν Χριστοῦ θάνατον, ὁ δὲ ὑπὲρ πάσης φησὶν αὐτὸν γενέσθαι τῆς ἀνθρωπότητος. γένος μὲν γὰρ καὶ τέκνα Θεοῦ ἅπαντες χρηματίζομεν, καθὸ πάντων ἐστὶ πατὴρ τρόπῳ δημιουργικῷ γεννήσας καὶ ἀγαγὼν ὥσπερ εἰς ὕπαρξιν τὰ οὐκ ὄντα. ἔτι δὲ καὶ ὅτι κατ' εἰκόνα αὐτοῦ ἐτιμήθημεν γεγονότες ἐξ ἀρχῆς, καὶ ἄρχειν λαχόντες τῶν ἐπὶ γῆς, καὶ τῆς θείας ὁμολογίας ἠξιωμένοι, καὶ τῆς ἐν παραδείσῳ διαίτης τε καὶ τρυφῆς ἀπολαύοντες. ἀλλ' ἐσκόρ πισεν ὁ σατανᾶς ἐν ταὐτῷ μεῖναι μὴ συγχωρήσας, καὶ ἀποβουκολήσας πολυτρόπως τῆς εἰς Θεὸν προσεδρείας τὸν ἄνθρωπον. συνεισήγαγε δὲ πάλιν καὶ συνεκόμισε πάντας διὰ τῆς πίστεως ὁ Χριστὸς εἰς μίαν αὐλὴν τὴν Ἐκκλησίαν, καὶ ὑπὸ ζυγὸν ἕνα παρεσκεύασε, πάντων ἓν γεγονότων, Ἰου δαίων, Ἑλλήνων, Βαρβάρων, Σκυθῶν, καὶ "εἰς ἕνα καινὸν "ἄνθρωπον" ἀναπλαττομένων, καὶ προσκυνούντων ἕνα Θεόν. 2.296 Ἀπ' ἐκείνης οὖν τῆς ὥρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. Εἶχον μὲν γὰρ τὴν ἐπιθυμίαν τῆς κατὰ Χριστοῦ μιαι φονίας· ἀπὸ δὲ τοῦ καιροῦ καθ' ὃν τὸ συνέδριον γέγονεν, ἀρχὴν ὥσπερ ἔλαβε, δημοσιευθείσης τῆς ἁπάντων εἰς τοῦτο


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συναινέσεως. οὐ γὰρ εἶπεν ὁ Εὐαγγελιστὴς, ὅτι Ἀπ' ἐκείνης τῆς ὥρας ἐβουλεύσαντο ποιῆσαι τὸν φόνον, ἀλλά Συνεβουλεύ σαντο, τουτέστιν, ὅπερ τῷ καθ' ἕκαστον ἐδόκει, κοινῇ πᾶσιν ἤρεσεν. Ὁ οὖν Ἰησοῦς οὐκ ἔτι παρρησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλ' ἀπῆλθεν ἐκεῖθεν ἐγγὺς τῆς ἐρήμου εἰς Ἐφραῒμ λεγομένην πόλιν καὶ ἐκεῖ ἔμεινε μετὰ τῶν μαθητῶν αὐτοῦ. Καὶ ἐνταῦθα τοίνυν ὡς Θεὸς τὸ λάθρα δόξαν αὐτοῖς εἰδὼς καὶ μηδενὸς ἀναγγείλαντος εἰς κατάκριμα τῶν Ἰουδαίων ὑποχωρεῖ, οὐ δειλιάσας, ἀλλ' ἵνα μὴ δόξῃ ὁρώμενος ἐρεθίζειν αὐτοὺς, καίπερ φονῶντας. διδάσκει δὲ καὶ ἡμᾶς ὑπείκειν ταῖς τῶν ὀργιζομένων ἀκμαῖς, καὶ μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς τοῖς κινδύνοις, μηδ' ἂν ὑπὲρ τῆς ἀληθείας ὦσιν· ἀλλὰ κατα λαμβανομένους μὲν ἵστασθαι, μέλλοντας δὲ ἀναδύεσθαι, διὰ τὸ τῆς ἐκβάσεως ἄδηλον. Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων· καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ Πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. Παρατρέχων ἅπαντα ὁ Εὐαγγελιστὴς ἐπὶ τὸν τοῦ πάθους 2.297 ἔρχεται καιρόν. Ἰουδαίων δὲ τὸ Πάσχα καλεῖ τὸ τυπικόν· τὸ γὰρ ἀληθινὸν Πάσχα οὐκ Ἰουδαίων, ἀλλὰ Χριστιανῶν τῶν ἐσθιόντων τὴν σάρκα Χριστοῦ τοῦ ἀληθινοῦ ἀμνοῦ. προ ηγνίζοντο δὲ κατὰ παλαιὸν ἔθος οἱ ἡμαρτηκότες ἑκούσια ἢ ἀκούσια ἁμαρτήματα, καὶ οὐ πᾶς ἐποίει τὸ τυπικὸν πάσχα, οὐκ ἐθνικὸς, οὐκ ἀπερίτμητος, οὐ πάροικος, οὐ μισθωτὸς, οὐ μεμολυσμένος, ἅπερ πάντα πνευματικῶς διὰ Χριστιανῶν γίνεται. Ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ' ἀλλήλων ἑστηκότες ἐν τῷ ἱερῷ Τί ὑμῖν δοκεῖ; ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; ἐδεδώκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολὴν ἵνα ἐάν τις γνῷ ποῦ ἐστι, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν. Ἀμφίβολος μέντοι ὁ λόγος, πότερον ἀπὸ μισούντων ἢ ἀγαπώντων ἐλέχθη τό Δοκεῖτε ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; εἰκὸς γὰρ ἦν λέγειν τοὺς εἰς αὐτὸν πιστεύοντας πρὸς τοὺς ἀπίστους οὕτως Ἐπειδὴ ἐβουλεύσασθε φονεῦσαι τὸν Ἰησοῦν, καὶ νομίζετε ὅτι ἀγνοεῖ τὸ λάθρα ὑμῖν ἐσκεμμένον, σημεῖον ἔσται τοῦτο σαφὲς, ὅτι Θεός ἐστιν. οὐ γὰρ δὴ ἥξει νῦν συνεορτάσων ἡμῖν, εἰδὼς τὰ σκέμματα ἡμῶν ὡς Θεός. ἢ οὕτως σχηματιστέον τὸν λόγον ὡς ἀπὸ τῶν μισούντων Ἐπείπερ ἔθος ἀεὶ τῷ Ἰησοῦ παραλύειν τὸν νόμον, θέλετε γνῶναι ὑμεῖς οἱ εἰς αὐτὸν πιστεύοντες, ὅτι τοιοῦτός ἐστιν, ἐξ ὧν οὔτε νῦν εἰς τὴν ἑορτὴν παραγίνεται, ἀθετῶν τὸν τῆς ἑορτῆς νόμον πρὸς τὸ μὴ συνεορτάσαι ἡμῖν; φασὶ δὲ τοῦτο, οὐχ ὅτι ἀνάγκη ἦν πάντας συνδραμεῖν εἰς Ἱερουσαλὴμ ἐν τῷ Πάσχα, ὡς ἐπὶ τῇ σκηνοπηγίᾳ, ἀλλ' ἤτοι δειλίας ἀπόδειξιν 2.298 ἐμποιοῦνται τὸ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱεροσόλυμα, ὡς μὴ δυναμένου ἑαυτῷ βοηθεῖν ἐν τοιαύτῃ ἡμέρᾳ, καὶ διὰ τοῦτο ἀπολιμπανομένου. ἢ καὶ πρὸς ἑαυτοὺς ταῦτά φασιν οἱ προσταχθέντες αὐτὸν συλλαβεῖν καὶ ὀλιγωροῦντες, ἐπείπερ οὔπω αὐτὸν ἑώρων ἐλθόντα, καὶ ἔσπευδον ταχέως ποιῆσαι τὸ προσταχθέν. Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκὼς ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ. Καταφρονήσας τῆς τῶν Ἰουδαίων ἐπιβουλῆς ὁ Κύριος, ἑαυτὸν ἑκουσίως πρὸς τὸ παθεῖν ἐκδίδωσιν, ἐπεὶ παρῆν ὁ τοῦ πάθους καιρὸς, εἰς τὴν Βηθανίαν ἐλθὼν, οὐ μὴν εἰς τὴν Ἱερου σαλὴμ, ἵνα μὴ αἰφνιδίως ὀφθεὶς τοῖς Ἰουδαίοις, ἐκκαύσῃ αὐτοὺς εἰς ὀργὴν, ἀλλὰ διὰ τῆς φήμης τοῦ εἶναι αὐτὸν ἐγγὺς, καταστείλῃ τὸ ζέον τοῦ ἐκείνων θυμοῦ. συνεσθίει δὲ τῷ Λαζάρῳ, διὰ τούτου ὑπομιμνήσκων τοὺς ὁρῶντας τῆς θεο πρεποῦς αὐτοῦ ἐξουσίας. δείκνυσι δὲ ὁ Εὐαγγελιστὴς διὰ τοῦ διηγήματος, ὅτι οὐ κατεφρόνει ὁ Χριστὸς τοῦ νόμου· ὅθεν καὶ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ὅτε ἔδει ἀγορασθῆναι τὸν ἀμνὸν καὶ τηρηθῆναι ἕως τῆς τεσσαρεσκαιδεκάτης, συνέφαγε τοῖς περὶ τὸν Λάζαρον· ἴσως τὴν ἡμέραν τὴν πρὸ τοῦ ληφθῆναι τὸ πρόβατον ἔθους ὄντος τοῖς Ἰουδαίοις ὀλίγον τι πανηγυρίζειν, οὐκ ἐκ νόμου ἀλλ' ἀπὸ συνηθείας, ἵνα μετὰ τὸ παραληφθῆναι τὸ πρόβατον, σχολάσωσι λοιπὸν ἕως τῆς 2.299 ἑορτῆς, νηστείᾳ, ἤτοι ὀλιγοσιτίᾳ, καὶ ἁγνισμοῖς. φαίνεται οὖν ὁ Κύριος τιμήσας καὶ ἐν τούτῳ τὰ τῆς ἑορτῆς ἔθη. καταπληττόμενος δὲ ὁ Εὐαγγελιστής


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησιν, ὅτι ὁ τετραή μερος νεκρὸς συνήσθιε τῷ Χριστῷ, εἰς ὑπόμνησιν τῆς θεο πρεποῦς αὐτοῦ ἐξουσίας. εἰσάγει δὲ ἐξ ἀγάπης τῆς εἰς Χριστὸν, τὴν Μάρθαν διακονοῦσαν, καὶ τοῖς τῆς τραπέζης ὑπηρετοῦσαν πόνοις. 2.301 λιβρι ῃιιι φραγμεντα θυαε ρεπεριρι ποτυερυντ. Ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. ΤΗΣ Μάρθας ὑπηρετούσης, ἡ Μαρία ἀλείψασα τὸν Κύριον μύρῳ, ἐτελείωσε τὴν εἰς αὐτὸν ἀγάπην, καὶ διὰ τῶν δύο, τέλειος ὁ τῆς ἀγάπης ὅρος ἐτελειώθη. 2.302 Λέγει Ἰούδας ὁ Ἰσκαριώτης εἷς τῶν μαθητῶν αὐτοῦ, ὁ μέλλων αὐτὸν παραδιδόναι Διατί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τρια κοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς; εἶπε δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν καὶ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν. εἶπεν οὖν ὁ Ἰησοῦς Ἄφες αὐτὴν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ἐπιτιμᾷ ὁ προδότης τῇ γυναικὶ ἐπιδειξαμένῃ τὴν εἰς Χριστὸν εὐσέβειαν, καὶ τῆς ἀξιαγάστου πράξεως ἐπιλαμ βάνεται, καὶ προσποιεῖται διὰ τῆς εἰς τοὺς πτωχοὺς ἀγάπης μέμφεσθαι, διότι μύρον προσέφερε, καὶ οὐκ ἀργύριον. ἀγνοῶν δὲ καὶ τὸ ὄντως καλὸν, λέγει τοῦτο ὁ Ἰούδας. δεῖ γὰρ τὴν εἰς Θεὸν δωροφορίαν προτιμοτέραν εἶναι τῶν πτωχῶν. Ὁ μέντοι Εὐαγγελιστὴς ἐξηγεῖται τὴν αἰτίαν, δι' ἣν ταῦτα εἶπεν ὁ Ἰούδας· ὅτι οὐχ ὡς τῶν πενήτων κηδόμενος, ἀλλ' ὅτι κλέπτης ἦν καὶ ἱερόσυλος, τὰ τῷ Θεῷ ἀνατιθέμενα χρήματα κλέπτων. καὶ ὁ Κύριος δὲ πάσης αἰτίας ἐλευθέραν ἀποφαίνει τὴν γυναῖκα, δι' ὧν ἐγκεκαλυμμένως ἐλέγχει τὸν προδότην, οὐκ εὐλόγως αἰτιώμενον τὰ ἐπαίνου ἄξια, λέγων 2.303 Ἄφες αὐτήν. ἀπολογεῖται δὲ ὑπὲρ τῆς τοῦ μύρου χρίσεως, οὐ διὰ τρυφὴν γεγονυίας, ἀλλὰ διά τι μυστήριον, ὅπερ εἰς τὸν αὐτοῦ γέγονεν ἐνταφιασμὸν, εἰ καὶ ἠγνόει ἡ ποιήσασα τοῦ μυστηρίου τὴν οἰκονομίαν. πολλὰ γάρ τινες καὶ εἶπον καὶ ἐποίησαν εἰς μυστικὸν ὁρῶντα τύπον ἀγνοοῦντες. ὅμως ὁ Κύριος ἐλέγχει πάλιν τὸν Ἰούδαν, ὅτι οὐ δι' εὐλάβειαν ταῦτα ἔλεγεν, ἀλλ' ὅτι αἰσχροκερδὴς ἦν, καὶ δι' ὀλίγον κέρδος προδοῦναι ἔμελλε τὸν διδάσκαλον. ὁ γὰρ ἐντα φιασμὸς καὶ ἡ τοῦ θανάτου μνήμη τοῦτο δηλοῦν φαίνεται. ἐπάγει δὲ καὶ λογισμὸν ὁ Σωτὴρ, ἀναπείθων ἡμᾶς ὅτι τῆς εἰς αὐτὸν εὐσεβείας οὐδέν ἐστι βέλτιον. ἀξιολογωτάτη μὲν γὰρ, φησὶν, ἡ φιλοπτωχία, πλὴν ὀπίσω τετάχθω τῆς εἰς Θεὸν αἰδοῦς. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν Ὁ χρόνος, φησὶν, ὁ τῆς εἰς ἐμὲ τεταγμένος ἕνεκα τιμῆς, ἤγουν ὁ τῆς ἐπὶ γῆς διατριβῆς, οὐκ ἀπαιτεῖ ἐμοῦ προτιμᾶσθαι τοὺς πένητας. τοῦτο δὲ εἶπεν οἰκονομικῶς. οὐκ ἀφίστησι μέντοι παντελῶς τῆς εἰς τοὺς πτωχοὺς ἀγάπης τὸν συμπαθῆ. ὅτε οὖν χρεία λατρείας ἢ ὑμνῳδίας, δεῖ προτιμᾶν ταύτας τῆς εἰς τοὺς πτωχοὺς ἀγάπης· δυνατὸν γὰρ εὖ ποιεῖν μετὰ τὰς πνευ ματικὰς λειτουργίας. φησὶν οὖν ὅτι οὐκ ἀδιαστάτως ἀεὶ ταῖς εἰς ἐμὲ τιμαῖς δεῖ σχολάζειν, οὔτε εἰς τὴν ἱερατικὴν λειτουργίαν πάντα ἀναλίσκειν, ἀλλὰ τὰ πολλὰ δαπανᾶν εἰς τοὺς πένητας. ἢ οὕτως· ὥσπερ μετὰ τὸ ἀναβῆναι πρὸς τὸν Πατέρα, ἐπιτρέπει τοῖς μαθηταῖς νηστεύειν· οὕτω καὶ τῆς εἰς τοὺς πτωχοὺς ἐπιμελείας τότε αὐτοὺς ἀδεέστερον ἀντιλα βέσθαι φησὶν, ἀθορύβως τε μᾶλλον καὶ σχολαιότερον κατορ θώσειν τὴν φιλοπτωχίαν· ὅπερ καὶ γέγονε. μετὰ γὰρ τὴν ἀνάληψιν τοῦ Σωτῆρος, ὅτε οὐκέτι ἠκολούθουν τῷ διδα σκάλῳ, ἀλλ' ἐσχόλασαν, τότε ἐντόνως ἅπαντα τὰ καρποφο ρούμενα εἰς τοὺς πένητας ἀνήλισκον. 2.304 Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστι, καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν ὃν ἤγειρεν ἐκ νεκρῶν. Διὰ τὸ ξένον τοῦ σημείου καταπλήττεται ὁ ὄχλος, καὶ ὅπερ ἤκουσαν γεγονὸς, ἤθελον καὶ ὄψει θεωρῆσαι πρὸς βεβαιοτέραν πίστιν. οὐ μόνον δὲ τὸν Λάζαρον ἤθελον ἰδεῖν, ἀλλὰ καὶ τὸν Χριστὸν τὸν τοῦ σημείου ποιητὴν, οὐ τότε πρῶτον αὐτὸν ἑωρακότες· ἦσαν γὰρ πολλάκις αὐτὸν ἰδόντες καὶ ὁμιλήσαντες αὐτῷ· ἀλλ' ἐπείπερ ἦν ὑποχωρήσας, διὰ τὸ μὴ παθεῖν παρὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καιρὸν, ἐζήτουν πάλιν ἰδεῖν αὐτόν· οἱ δὲ ἐπιεικέστεροι καὶ ἐθαύμαζον αὐτὸν, ὡς οὐδὲν αὐτοῦ κατεγνω κότες. οἰκονομικῶς οὖν ὁ Κύριος οὐκ εὐθὺς εἰσῆλθεν εἰς Ἱερουσαλὴμ, ἀλλ' ἔμεινεν ἔξω, ἵνα τοὺς πολλοὺς διὰ τῆς φήμης ἐπισπάσηται εἰς ἐπιθυμίαν τοῦ θέλειν αὐτὸν ἰδεῖν. Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. Ὅρα δὲ ὅτι παραφρονεῖν δοκοῦσιν οἱ ἡγούμενοι, τῇδε κἀκεῖσε κλονούμενοι ὑπὸ τοῦ φθόνου, καὶ οὐδὲν ἀκόλουθον λαλοῦντες, φόνον ἐπὶ φόνῳ μελετῶσιν, οἰόμενοι τοῦ παρα δόξου δράματος τὴν δύναμιν συναναιρεῖσθαι τῷ τελευτῶντι, ἵνα τοὺς λαοὺς ἀνακόψωσι τρέχοντας ἐπὶ τὸ πιστεύειν Χριστῷ. 2.305 Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν, ἀκούσαντες ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς συνάντησιν αὐτοῦ, καὶ ἔκραζον λέ γοντες Ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου βασιλεὺς τοῦ Ἰσραήλ. Εὐπειθέστεροι ὄντες οἱ ὄχλοι καὶ τῇ τοῦ σημείου ποιήσει ὑπαχθέντες ὑπήντησαν τῷ Χριστῷ, ὑμνοῦντες αὐτὸν ὡς νενικηκότα τὸν θάνατον, μετὰ βαΐων. εὐφημοῦσι δὲ οὐχ ἁπλῶς, ἀλλ' ἐκ τῆς θεοπνεύστου γραφῆς, τὸ ἐπ' αὐτῷ καλῶς εἰρημένον λέγοντες, ὁμολογοῦντες ὅτι καὶ βασιλεὺς ἦν τοῦ Ἰσραὴλ, ὃν καὶ ἔλεγον ἑαυτὸν βασιλέα ἴδιον, τὴν τοῦ Χριστοῦ κυριότητα παραδεχόμενοι. εὐλογημένος δὲ λέγοντες ὁ Υἱός· οὐχ ὡς εὐλογίας τῆς παρὰ Πατρὸς τυχὼν, ὁ πάντα εὐλογῶν καὶ οὐκ ἐῶν διαφθείρεσθαι, καὶ τῆς ἀῤῥήτου οὐσίας ὢν τοῦ Πατρός· ἀλλ' ὅτι εὐλογία ἡ Θεῷ πρέπουσα καὶ τῷ κατὰ φύσιν Κυρίῳ προσάγεται παρ' ἡμῶν, ἐπείπερ ἐλήλυθεν ἐν ὀνόματι Κυρίου. πάντες γὰρ οἱ ἅγιοι οὐκ ἐν ἐξουσίᾳ κυριό τητος ἦλθον, ἀλλ' ὡς οἰκέται γνήσιοι· οὗτος δὲ ὡς Κύριος. διὸ καὶ ἁρμοδίως ἐπ' αὐτῷ ἡ προφητικὴ λέλεκται φωνή. εἰ γὰρ καὶ κύριοι καλοῦνταί τινες, οὐ φύσει, ἀλλὰ χάριτι ἔχουσι τὸ ἀξίωμα. καὶ γὰρ καὶ τῇ ἀποχῇ τοῦ ψεύδους, καλοῦνται οἱ ἄνθρωποι ἀληθεῖς. ὅπερ οὐκ ἔστιν εἰπεῖν ἐπὶ Χριστοῦ· οὐ γὰρ διὰ τοῦτο καλεῖται ἀλήθεια, ἐπειδὴ οὐ ψεύδεται, ἀλλ' ὅτι ἀμείνω ἔχει παντελῶς τοῦ ψεύδους τὴν φύσιν. 2.306 Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ' αὐτὸ, καθώς ἐστι γεγραμμένον Μὴ φοβοῦ θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι καθήμενος ἐπὶ πῶλον ὄνου. Πολλοῦ γὰρ πλήθους αὐτὸν δορυφοροῦντος καὶ εὐφη μοῦντος, ὑπὸ μετριοπαθείας ἄκρας ἐπὶ ὄνου ἐκαθέσθη, διδά σκων ἡμᾶς, μὴ ὑψοῦσθαι ἐν τοῖς ἐπαίνοις· οὐδὲν τῶν τῆς χρείας παρεκβαίνων. ὁ μὲν οὖν Ματθαῖος, πλατύτερον εἶπε τὰ περὶ τῆς ὄνου· ὁ δὲ Ἰωάννης ἐπ' αὐτὸ τοῦ πράγματος ἦλθε τὸ καιριώτατον, ὅπερ ἔθος αὐτῷ ποιεῖν. ἐπειδὴ δὲ παρὰ τὸ σύνηθες ἑαυτῷ ἄρτι μόνον φαίνεται ὁ Κύριος ἐπὶ ὄνου καθήμενος, οὐ διὰ τοῦτό φαμεν αὐτὸν καθίσαι, ὅτι μακρὰν ἦν τῆς πόλεως· οὐ γὰρ ἀπεῖχε πλείω δεκαπέντε σταδίων· οὐδὲ ὅτι ὄχλος ἦν· καὶ ἄλλοτε γὰρ συνευρεθεὶς ὄχλῳ οὐκ ἐποίησε τοῦτο· ποιεῖ δὲ τοῦτο, δεικνὺς ὅτι νέον ἑαυτῷ λαὸν τὸν ἐξ ἐθνῶν τὸν ἀκάθαρτον μέλλει ὑποτάσσειν καὶ ἀνάγειν εἰς τὸ τῆς δικαιοσύνης ἀξίωμα, εἴς τε τὴν ἄνω Ἱερουσαλὴμ, ἧς τύπος ἡ ἐπίγειος· εἰς ἣν εἰσέρχεται ὁ λαὸς καθαρὸς γενόμενος σὺν Χριστῷ ὑμνουμένῳ ὑπὸ τῶν ἀκάκων ἀγγέ λων, ὧν τύπος τὰ νήπια. πῶλον δὲ λέγει τὸν ὄνον, ἐπειδὴ ὁ ἐξ ἐθνῶν λαὸς ἀγύμναστος ἦν τῆς εἰς εὐσέβειαν ἀγούσης πίστεως. Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα καὶ ταῦτα ἐποίησαν αὐτῷ. Ἠγνόουν μὲν οὖν τὸ κατ' ἀρχὰς, τὰ ἐπ' αὐτῷ γεγραμ μένα· μετὰ δὲ τὴν ἀνάστασιν, οὐκ ἔμειναν ἔχοντες τὴν Ἰουδαϊκὴν πήρωσιν, ἀλλὰ ἀπεκαλύφθη αὐτοῖς διὰ τοῦ Πνεύματος ἡ γνῶσις τῶν θείων λόγων. τότε δὲ ἐδοξάσθη ὁ 2.307 Χριστὸς, ὅτε σταυρωθεὶς ἀνεβίω. οὐκ ἐρυθριᾷ δὲ ὁ Εὐαγ γελιστὴς καταλέγων τὴν τῶν μαθητῶν ἄγνοιαν, καὶ πάλιν γνῶσιν, ἐπείπερ ἦν αὐτῷ σκοπὸς, ἀλογῆσαι μὲν τῆς εἰς ἀνθρώπους αἰδοῦς, συνηγορῆσαι δὲ τῇ τοῦ Πνεύματος δόξῃ, καὶ δεῖξαι τίνες μὲν ἦσαν οἱ μαθηταὶ πρὸ τῆς ἀναστάσεως, τίνες δὲ γεγόνασι μετὰ τὴν ἀνάστασιν. εἰ οὖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὗτοι ἠγνόουν, πολλῷ μᾶλλον οἱ ἄλλοι Ἰουδαῖοι. μετὰ δὲ τὸ σταυρωθῆναι, ἐσχίσθη τὸ καταπέτασμα, ἵνα γνῶμεν ὅτι οὐδὲν ἔτι τῶν ἀποκρύφων διαλανθάνει τοὺς πιστοὺς καὶ φιλοθέους. ἐφωτίσθησαν οὖν τὴν γνῶσιν ἀπὸ τοῦ καιροῦ τῆς ἀναστάσεως, ὅτε ἐνεφύσησεν ὁ Χριστὸς εἰς τὸ πρόσωπον αὐτῶν, καὶ γεγόνασιν ἐξ ἑτέρων ἄλλοι. ἐπὶ πλεῖον δὲ ἐφω τίσθησαν ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς, ὅτε εἰς τὴν τοῦ ἐπιφοιτήσαντος αὐτοῖς Ἁγίου Πνεύματος μετεπλάττοντο δύναμιν. Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Ἀκούσας τὸ συμβὰν τῶν ἀγελαίων ὁ σύλλογος, εὐηκόως ἐπείσθη τοῖς μαρτυροῦσιν ὅτι ἀνέστησε τὸν Λάζαρον ὁ Χριστὸς, καὶ κατέλυσε τὸ τοῦ θανάτου κράτος, καθὼς οἱ προφῆται εἶπον· διὰ τοῦτο καὶ ὑπήντησαν αὐτῷ. 2.308 Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε, ὁ κόσμος ὅλος ὀπίσω αὐτοῦ ἀπῆλθεν. Τοῦτο ὡς ἑαυτοὺς καταμεμφόμενοί φασιν, ἐπείπερ ἔκ παλαι οὐκ ἀνεῖλον σὺν τῷ Λαζάρῳ τὸν Ἰησοῦν, προτρε πόμενοι ἑαυτοὺς εἰς τὸ φονᾶν· ἀγανακτοῦντες περὶ τοῦ πιστοῦ ὄχλου, ὡς ἰδίων κτημάτων ἀποστερούμενοι, τῶν ὄντων τοῦ Θεοῦ. Ἦσαν δὲ Ἕλληνές τινες ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ. Ἀπορήσειε δ' ἄν τις ἐν τούτοις καὶ διασκέψαιτο, κατὰ τίνα λόγον ἀναβαίνουσι τῶν Ἑλλήνων τινὲς προσκυνήσοντες εἰς Ἱεροσόλυμα, καὶ τοῦτο τῆς κατὰ νόμον ἑορτῆς ἐπιτελου μένης. οὐ γὰρ δήπου τις ἐρεῖ πρὸς τὴν τῶν ἐκεῖσε θέαν ἀναβῆναι μόνον αὐτούς· συμμεθέξοντες γὰρ τοῖς Ἰουδαίοις τῆς αὐτοῖς καὶ μόνοις πρεπούσης συναναθέουσιν ἑορτῆς. τί τὸ κοινὸν εἰς λατρείας λόγον Ἕλλησί τε καὶ Ἰουδαίοις; καίτοι πολὺ διεστῶσαν εὑρήσομεν τὴν ἐν ἀμφοῖν ἕξιν τε καὶ προαίρεσιν· οἱ μὲν γὰρ τὴν ἀλήθειαν, οἱ δὲ τὸ ψεῦδος τετιμήκασι. τί οὖν ἐροῦμεν ἐν τούτοις; παρακειμένης τῆς Ἰουδαίων χώρας τῇ τῶν Γαλιλαίων, πόλεις τε καὶ κώμας ἀλλήλαις ὁμόρους ἔχοντες Ἕλληνές τε κἀκεῖνοι, συχνὰς μὲν ἐποιοῦντο τὰς ἐπιμιξίας, ἐφοίτων δὲ παρ' ἀλλήλοις ἑκάτεροι, ποικίλης εἰς τοῦτο καλούσης ἀφορμῆς. ἐπειδὴ δέ πως θερ μοτέρα πολὺ πρὸς μετάστασιν τὴν ἐπὶ τὸ ἄμεινον ἡ τῶν εἰδωλολατρούντων ἐστὶ διάνοια, ἅτε δὴ καὶ μάλα ῥᾳδίως 2.309 ἐξελεγχομένης αὐτῶν τῆς ψευδολατρείας ὡς ἀχρήστου παν τελῶς, μετεπείθοντό τινες εὐκόλως· οὔπω μὲν ὁλοτελῶς εἰς τὸ μόνῳ λατρεύειν τῷ κατὰ ἀλήθειαν ὄντι Θεῷ, μεριζόμενοι δέ πως τοῖς εἰς ἀπόστασιν λογισμοῖς, καὶ ταῖς τῶν ἰδίων διδασκάλων ἑπόμενοι γνώμαις, Πλάτωνός φημι καὶ τῶν κατ' ἐκεῖνον εἶναι λεγομένων σοφῶν. οἱ μὲν γὰρ ἕνα φασὶν εἶναι τὸν πάντων Δημιουργὸν, ἐγκοσμίους δὲ τοὺς λοιποὺς, καὶ ὥσπερ τινὰς ἡγεμόνας κεχειροτονῆσθαι παρ' ἐκείνου πρὸς διοίκησιν τῶν ἀνθρωπίνων πραγμάτων. ἔθος οὖν τισι Παλαιστινοῖς, [Ἕλλησι] μάλιστα, παρεζευγμένην καὶ γείτονα τὴν τῶν Ἰουδαίων ἔχουσι χώραν, ἀπομάττεσθαί πως ἔθη παρ' αὐτοῖς καὶ τὸ τῆς μοναρχίας ὄνομα τιμᾶν, δόξαν οὕτω κἀκείνοις, ὧν ἀρτίως ἐμνημονεύσαμεν, εἰ καὶ μὴ οὕτω φασὶ καθάπερ ἡμεῖς. οἱ δὲ, μήτε πλήρη τὴν εἰς Ἰουδαίους ἔχοντες ῥοπὴν, μήτε μὴν τῶν Ἕλλησι φίλων ἀφεστηκότες ἐθῶν, μέσην δέ τινα καὶ πρὸς ἄμφω βλέπουσαν ἐπιτηδεύοντες δόξαν, θεοσεβεῖς ὀνομάζονται. οἱ τοιοῦτοι τοιγαροῦν, οὐ σφόδρα τῶν Ἰουδαϊκῶν ἐθῶν τὰ ἴδια διῳκισμένα βλέποντες, ὅσον ἧκεν εἰς θυσιῶν τρόπους καὶ μοναρχίας διάληψιν· οὐ γὰρ ᾔδεισαν πρότερον τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος τοὺς λόγους οἱ ἐξ Ἰσραὴλ, ἀλλ' οὐδὲ τῆς πνευματικῆς λατρείας τὴν δύναμιν· συνανέβαινον προσκυνήσοντες, ἐν πανδήμοις μάλιστα συνδρομαῖς, οὐχ ὡς τὴν ἰδίαν λυποῦντες θρησκείαν, ἀλλ' ὡς ἕνα τὸν ἐπὶ πάντων τιμῶντες Θεόν. 2.310 Οὗτοι οὖν προσῆλθον φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας καὶ ἠρώτησαν αὐτὸν λέγοντες Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ· ἔρχεται Ἀνδρέας καὶ Φίλιππος, καὶ λέγουσι τῷ Ἰησοῦ. Καὶ μὴ εἰδότες οἱ Φαρισαῖοι τὸ ἀληθὲς ἐλάλουν λέγοντες " Ιδε ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κόσμος ὅλος ὀπίσω αὐτοῦ ἀπῆλθεν." οὐ μόνον γὰρ Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ ἐξ ἐθνῶν ἔμελλον πιστεύειν. διὸ καὶ ὡς ἐν ἀπαρχῇ τότε γέγονεν ἡ τῶν Ἑλλήνων προσθήκη, καὶ ὡς Γαλιλαῖοι οἱ Ἕλληνες προσῆλθον τῷ φιλίππῳ, ὡς καὶ αὐτῷ Γαλιλαίῳ ὄντι, ἵνα δείξῃ αὐτοῖς τὸν Ἰησοῦν, ὃν ἤθελον ἰδεῖν, πολλὴν ἀκούοντες εἰς αὐτὸν γινομένην τὴν εὐφημίαν, ὥστε προσκυνῆσαι καὶ ὧν ἤθελον τυχεῖν. μνησθεὶς δὲ ὁ Φίλιππος ὅτι εἶπε πρὸς αὐτοὺς ὁ Κύριος "Εἰς ὁδὸν ἐθνῶν "μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε," δειλιᾷ μήπως προσκροῦσαι δόξῃ τοὺς μὴ πεπιστευκότας προσάγων τῷ Χριστῷ, ἀγνοῶν ὅτι οἰκονομικῶς ὁ Κύριος ἐκώλυσε τοὺς μαθητὰς εἰσελθεῖν πρὸς τὰ ἔθνη, ἕως οὗ πρῶτοι οἱ Ἰουδαῖοι τὴν δοθεῖσαν αὐτοῖς ἀποσείσονται χάριν. ὡς θερμοτέρῳ δὲ καὶ ἐπιτηδειοτέρῳ πρὸς τὰ τοιαῦτα λέγει τῷ Ἀνδρέᾳ· δόξαν δὲ οὕτω καλῶς, ἀμφότεροι ἀπαγγέλλουσι τῷ Κυρίῳ. συνετῶς δὲ πράξας ὁ Φίλιππος, διδάσκει ἡμᾶς ὅτι οὐ καλὸν τοῖς ὑπὲρ ἡμᾶς λαλεῖν τι ὡς ἔτυχε, κἂν δοκῇ τι τῶν ἀγαθῶν εἶναι, ἀλλὰ μᾶλλον μετὰ φρονίμων συσκέπτε σθαι τὸ τί δεῖ ποιεῖν. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων Ἐλήλυθεν ἡ ὥρα ἵναδοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. Ἐπειδὴ οὖν οἱ ἐξ ἐθνῶν ἐπείγονται πρὸς τὸ θέλειν αὐτὸν 2.311 ἰδεῖν ἢ ἐπιστρέψαι, διὰ τοῦτό φησιν Ἐλήλυθεν ἡ ὥρα. ὁ γὰρ καιρὸς ἐγγὺς ἦν τοῦ πάθους, μεθ' ὃν εὐθὺς ἡ τῶν ἐθνῶν κλῆσις. ὥραν δὲ ἐν τούτοις τὸν παρόντα καιρὸν ὀνομάζει, οὐκ ἄλλο τι πρὸς ἀνάγκην ἄγον αὐτὸν τοῦ παθεῖν, ἀλλ' ὁρισμοῖς τοῖς παρ' αὐτοῦ τοῦτον ἀναδεικνύμενον. πάντα γὰρ ποιήσας ὅσα εἰς πίστιν ἐνῆγε τοὺς ἀνθρώπους, καὶ τὸν τῆς βασιλείας τῶν οὐρανῶν κηρύξας λόγον, ἐπ' αὐτὸ λοιπὸν τῆς ἐλπίδος τὸ κεφάλαιον βαδίζειν θέλει, τὸ νεκρῶσαι τὸν θάνατον· ὅπερ οὐκ ἄλλως ἐγένετο ἄν, εἰ μὴ ἡ ζωὴ τὸν ὑπὲρ ἁπάντων ὑπέμεινε θάνατον, ἵνα οἱ πάντες ζήσωμεν ἐν αὐτῷ. διὰ γὰρ τοῦτο καὶ δόξαν ἰδίαν ὀνομάζει τὸν θάνατον, καὶ τὸ παθεῖν ἅπαντα τὰ δεινὰ ὑπὲρ τῶν αὐτὸν ἀτιμαζόντων ἁμαρ τωλῶν. ὅμως εἰ καὶ ἀεὶ ἦν δεδοξασμένος παρὰ τῶν ἐν οὐρανοῖς ἀγγέλων, ἀλλ' ὁ σταυρὸς γέγονεν αὐτῷ ἀρχὴ τοῦ δοξασθῆναι ἐπὶ γῆς παρὰ τῶν ἐθνῶν ὡς Θεῷ. ἐπείπερ ἐάσας τοὺς ἐνυβρίσαντας αὐτῷ Ἰουδαίους, μετέβη εἰς τὰ ἔθνη, καὶ δοξολογεῖται ὡς Θεὸς παρ' αὐτῶν ἐλπιζόμενος ἥξειν ἐν τῇ δόξῃ τοῦ Πατρός. οὐ γυμνὸν δὲ λέγει τὸν Λόγον δοξασθήσεσθαι, ἀλλ' ἕνα δεικνύων Υἱὸν τὸν ἐξ ἀνθρωπότητός τε καὶ θεότητος ἀῤῥήτως νοούμενον, υἱὸν ἀνθρώπου φησίν· εἷς γὰρ Υἱὸς καὶ Χριστὸς, τομὴν οὐκ ἔχων μετὰ τὴν ἐνανθρώπησιν· ἀλλὰ Θεὸς ὑπάρχων καὶ νοούμενος καὶ μετὰ σαρκός. 2.312 Ἀμὴν ἀμὴν λέγω ὑμῖν Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Οὐ μόνον ὅτι πάσχει προλέγει, οὐδὲ ὅτι πάρεστιν ὁ καιρὸς, ἀλλὰ καὶ τὴν αἰτίαν καταλέγει, δι' ἣν ἥδιστον ἐποιή σατο τὸ παθεῖν· καὶ ὅτι πολὺ τὸ τοῦ πάθους κέρδος· ἢ γὰρ ἂν οὐκ ἂν εἵλετο παθεῖν, οὐ γὰρ ἄκων ἔπαθε. καὶ γὰρ διὰ τὴν εἰς ἡμᾶς φειδὼ, τοσαύτην ἡμερότητα ὑπεδείξατο, ὡς καὶ πάντα τὰ ὠμὰ δι' ἡμᾶς ἑλέσθαι παθεῖν. ὥσπερ δὲ ὁ σπαρεὶς κόκκος τοῦ σίτου, στάχυας πολλοὺς ἀναβλαστάνει, οὐχ ἑαυτὸν δι' ἐκείνους ζημιούμενος, ἀλλὰ δυνάμει ὅλοις τοῖς κόκκοις τοῦ στάχυος ἐνυπάρχων· ἐξ αὐτοῦ γὰρ οἱ πάντες ἀνεβλά στησαν· οὕτω καὶ ὁ Κύριος ἀπέθανε, καὶ ἀνοίξας τοὺς τῆς γῆς μυχοὺς, ἀνήγαγε σὺν ἑαυτῷ τὰς τῶν ἀνθρώπων ψυχὰς, αὐτὸς ὢν ἐν πᾶσι κατὰ τὸν τῆς πίστεως λόγον μετὰ καὶ τοῦ ὑπάρχειν ἰδιοσυστάτως. οὐ μόνον δὲ τοῖς ἀποθανοῦσι τοῦτο δέδωκε τὸ κέρδος τὸ δι' αὐτοῦ καρποφορεῖν, ἀλλὰ καὶ τοῖς ζῶσιν· εἰ καὶ πρὸς τὴν παραβολὴν ὁ λόγος ἐσχηματίσθη πιθανῶς. καρπὸς γὰρ τῶν Χριστοῦ παθημάτων, ἡ πάντων ζωὴ, νεκρῶν τε καὶ ζώντων. σπέρμα γὰρ γέγονε ζωῆς, ὁ Χριστοῦ θάνατος. Ἆρά γε ἡ θεία τοῦ Λόγου φύσις, θανάτου γέγονε δεκτική; καὶ πῶς τοῦτο εἰπεῖν οὐκ ἀνόσιον παντελῶς; ζωὴ γάρ ἐστι κατὰ φύσιν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος· ἐγείρει μᾶλλον, οὐ πίπτει. καταργεῖ τὸν θάνατον, οὐ κρατεῖται 2.313 φθορᾷ· ζωοποιεῖ μᾶλλον τὸ ζωῆς ἐπιδεὲς, οὐκ αὐτὸς ζητεῖ παρ' ἑτέρου τὴν ζωήν. ὥσπερ γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ φῶς οὐκ ἂν γένοιτο σκότος, οὕτως ἀμήχανον τὴν ζωὴν μὴ εἶναι ζωήν. πῶς οὖν ὁ αὐτὸς καὶ ὡς κόκκος σίτου λέγεται πεσεῖν εἰς γῆν, καὶ ἀναβῆναι ὡς "Θεὸς ἐν ἀλαλαγμῷ;" ἢ δηλονότι, τὸ μὲν θα νάτου γεύσασθαι πρέποι ἂν αὐτῷ καθὸ γέγονεν ἄνθρωπος· τὸ γεμὴν ἀναβῆναι θεϊκῶς, ἴδιον αὐτοῦ φυσικῶς. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτὴν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Οὐ μόνον ὑμᾶς ἐπὶ τῷ ἐμῷ σκανδαλίζεσθαι οὐ χρὴ πάθει, οὐδὲ ἀπιστεῖν οἷς εἶπον, ἀλλὰ καὶ πρὸς τοῦτο παρε σκευάσθαι προσήκει· ὁ γὰρ δοκῶν ἐνταῦθα ἐπιμελεῖσθαι τῆς ἰδίας ψυχῆς καὶ οὐ θέλων αὐτὴν εἰς κινδύνους ἐκδιδόναι δι' ἐμὲ, ἀπόλλυσιν αὐτὴν ἐν τῷ μέλλοντι καιρῷ. ὁ δὲ εἰς κινδύνους αὐτὴν διδοὺς ἐν τῷ νῦν αἰῶνι, μεγάλους αὐτῇ φυλάσσει τοὺς καρπούς. καὶ ὁ τῆς ἐν τῷ κόσμῳ τούτῳ κατα φρονήσας ζωῆς, τὴν ἄφθαρτον κτήσεται ἐν τῷ μέλλοντι. ταῦτα δὲ ἔφη ὁ Κύριος, οὐχ ὡς τῆς ψυχῆς ἐνταῦθά τι πασχούσης, ἀλλὰ τῆς ψυχῆς φιλίαν καλεῖ, τὸ δοκεῖν αὐτὴν κατέχειν, οὐ προδιδόντας εἰς κινδύνους τὸ σῶμα. Ἐὰν ἐμοί τις διακονῇ, ἐμοὶ ἀκολουθείτω. Ὃ λέγει τοιοῦτόν ἐστιν Εἰ ἐγὼ, φησὶ, διὰ τὸ ὑμῶν χρήσιμον ἐκδίδωμι ἐμαυτὸν εἰς θάνατον, πῶς οὐκ ἄνανδρον τὸ μὴ, τῶν οἰκείων ἕνεκεν χρησίμων, τῆς προσκαίρου κατα φρονῆσαι ὑμᾶς ζωῆς, καὶ τῷ τῆς σαρκὸς θανάτῳ τὴν 2.314 ἀμάραντον κτήσασθαι ζωήν; δοκοῦσι γὰρ μισεῖν τὴν ἑαυ τῶν ψυχὴν, ὅσον ἧκεν εἰς τὸ παθεῖν, οἱ ἐκδιδόντες αὐτὴν εἰς θάνατον, τοῖς αἰωνίοις φυλάττοντες ἀγαθοῖς· καὶ οἱ ἐν ἀσκήσει δὲ ζῶντες, μισοῦσι τὰς ἑαυτῶν ψυχὰς, οὐχ ἡττώ μενοι ταῖς τῆς φιλοσαρκίας ἡδοναῖς. ὃ οὖν ἐποίησεν ὁ Χριστὸς διὰ τὴν ἁπάντων σωτηρίαν παθὼν, εἰς τύπον ἐποίησεν ἀνδρείας, διδάσκων τοὺς τῶν ἐλπιζομένων ἀγαθῶν ἐπιθυμοῦντας, ἐπείγεσθαι κατορθοῦν τὴν ἀρετήν. δεῖ γὰρ, φησὶ, τοὺς θέλοντάς μοι ἀκολουθεῖν, τὴν ἴσην ἐμοὶ ἀνδρείαν καὶ εὐτολμίαν ἐνδείκνυσθαι· οὕτω γὰρ λήψονται τὰ τῆς νίκης βραβεῖα. Καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. Καὶ ἐπειδὴ ὁ τῆς σωτηρίας ἀρχηγὸς, οὐ διὰ δόξης καὶ τρυφῆς ὥδευσεν, ἀλλὰ διὰ ἀτιμίας καὶ πόνων· οὕτω δεῖ καὶ ἡμᾶς ἀλύπως ποιεῖν, ἵνα εἰς τὸν αὐτὸν τόπον καταντήσωμεν, καὶ τῆς θείας μετάσχωμεν δόξης. ποίας δὲ ἄξιοί ἐσμεν τιμῆς, οἱ μὴ ἀξιοῦντες τὰ ἴσα τῷ Δεσπότῃ παθεῖν; τάχα δὲ εἰπών Ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔστω, οὐ τόπον λέγει, ἀλλὰ τρόπον ἀρετῆς. ἐν οἷς γὰρ ὤφθη Χριστὸς διαπρέπων, ἐν τοῖς αὐτοῖς ὀφείλουσιν εἶναι καὶ οἱ αὐτῷ ἀκολουθοῦντες, οὐκ ἐν τοῖς θεοπρεπέσιν ἀξιώμασι καὶ τοῖς ὑπὲρ ἄνθρωπον· οὐ γὰρ δυνατὸν ἀνθρώπῳ τὸν ἀληθῆ καὶ φύσει Θεὸν μιμήσασθαι· ἀλλ' ἐφ' οἷς ἂν ἐνδέχηται τὴν ἀνθρώπου διαπρέπειν δύνασθαι φύσιν, οὐκ ἐν τῷ χαλινοῦν 2.315 θάλασσαν καὶ τὰ ὅμοια ποιεῖν, ἀλλ' ἐν τῷ εἶναι ταπεινοὺς καὶ πράους καὶ φέροντας ὕβρεις. Ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ Πατήρ. Ἐν τούτῳ γοῦν φησι τὴν ἀντιμισθίαν εἶναι ἐν τῷ τιμᾶ σθαι ἐκ τοῦ Πατρός· μέτοχοι γὰρ τῆς τοῦ Χριστοῦ βασι λείας καὶ εὐκλείας οἱ Χριστοῦ μαθηταὶ, κατὰ τὸ πρέπον ἀνθρώποις μέτρον· ἀπὸ δὲ τοῦ Πατρὸς λέγει δίδοσθαι τὰς τιμὰς, καίτοι αὐτὸς ὢν ὁ δοτὴρ τῶν ἀγαθῶν, ἀνατιθεὶς δὲ τῇ θείᾳ φύσει τὸ ἑκάστῳ διδόναι κατὰ τὸ ἔργον αὐτοῦ, καὶ δεικνὺς ὅτι θέλει ὁ Πατὴρ δουλεύειν ἡμᾶς τοῖς τοῦ Υἱοῦ διατάγμασιν· οὐ γὰρ ἐναντία τῷ Πατρὶ νομοθετεῖ. Σημειωτέον οὖν ὅτι ὁ ποιῶν τὰ ἀρεστὰ Θεῷ, Χριστῷ διακονεῖ· ὁ δὲ τοῖς ἰδίοις ἀκολουθῶν θελήμασιν, ἑαυτῷ μᾶλλον ἀκολουθεῖ καὶ οὐ Θεῷ. Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; Πάτερ, σῶσον με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο εἰς τὴν ὥραν ταύτην. Πατὲρ, δόξασόν σου τὸν Υἱόν. Νῦν, φησὶν, ἡ ψυχή μου τετάρακται· καὶ τί εἴπω; Πάτερ σωσόν με ἐκ τῆς ὥρας ταύτης, ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. ὅρα δὴ πάλιν ἐν τούτοις τῆς μὲν ἀνθρωπίνης φύσεως τὸ εἰς θορύβους εὔκολον καὶ εὐπαράκομιστον εἰς δειλίαν, τῆς δὲ θείας αὖθις καὶ ἀῤῥήτου δυνάμεως τὸ ἐφ' 2.316 ἅπασιν ἀῤῥαγές τε καὶ ἄθραυστον καὶ εἰς μόνην βλέπον τὴν αὐτῇ πρέπουσαν ἀνδρείαν. ἡ μὲν γὰρ θανάτου παρεισδύσα μνήμη ταράττειν πειρᾶται τὸν Ἰησοῦν, ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ τῆς θεότητος δύναμις κεκινημένον εὐθὺς χειροῦται τὸ πάθος καὶ μετα μορφοῖ παραχρῆμα πρὸς ἀσύγκριτον εὐτολμίαν τὸ δειλίᾳ νενικημένον. οἰησόμεθα γὰρ καὶ ἐν αὐτῷ τῷ Σωτῆρι Χριστῷ κεκινῆσθαι τὰ ἀνθρώπινα διὰ δύο τε καὶ ἀναγκαίους τρό πους. ἔδει γὰρ ἔδει καὶ διὰ τούτων αὐτὸν οὐ δοκήσει καὶ ὑπονοίᾳ, φυσικῶς δὲ μᾶλλον καὶ ἀληθῶς ἄνθρωπον ἐκ γυναικὸς γεγονότα φαίνεσθαι, πάντα φέροντα τὰ ἀνθρώπινα, δίχα μόνης ἁμαρτίας. φόβος δὲ καὶ δειλία, πάθη μὲν ἐν ἡμῖν φυσικὰ, τὸ γεμὴν ἐν ἁμαρτίαις τετάχθαι διαπεφευ γότα. καὶ πρὸς τούτοις ἔτι χρησίμως ὑπεκινεῖτο καὶ ἐν Χριστῷ τὰ ἀνθρώπινα, οὐχ ἵνα κινηθέντα κρατύνηται καὶ εἰς τὰ πρόσω χωρῇ, καθάπερ καὶ ἐφ' ἡμῶν, ἀλλ' ἵνα κεκινη μένα τῇ δυνάμει τοῦ Λόγου διακόπτηται, πρὸς ἀμείνω τινὰ καὶ θειοτέραν κατάστασιν μεταστοιχειουμένης τῆς φύσεως ἐν πρώτῳ Χριστῷ. ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως καὶ εἰς ἡμᾶς αὐτοὺς τὸν τῆς ἰάσεως διαβῆναι τρόπον. ἐν γὰρ. ἀπαρχῇ Χριστῷ εἰς καινότητα ζωῆς ἡ ἀνθρώπου φύσις 2.317 ἀνεκομίζετο· ἐν αὐτῷ δὲ καὶ τὰ ὑπὲρ φύσιν ἐκερδάναμεν. διὰ γὰρ τοῦτο καὶ δεύτερος Ἀδὰμ κατωνόμασται παρὰ ταῖς θείαις γραφαῖς. ὥσπερ δὲ ὡς ἄνθρωπος ἐπείνασε καὶ ἐκοπίασεν, οὕτω καὶ τὸν ἐκ τοῦ πάθους δέχεται θόρυβον, ὡς ἀνθρώπινον. ταράττεται δὲ οὐχ ὥσπερ ἡμεῖς, ἀλλ' ὅσον εἰς αἴσθησιν μόνον ὑπενεχθῆναι τοῦ πράγματος, εἶτα πάλιν εὐθὺς εἰς τὴν ἑαυτῷ πρέπουσαν εὐτολμίαν ἀναπηδᾷ. ἐκ τούτων δῆλον ὅτι καὶ ψυχὴν εἶχε λογικήν. ὥσπερ γὰρ τὸ πεινῆσαι τυχὸν ἤγουν ἑτέρῳ τινὶ τῶν τοιούτων περιπεσεῖν, ἴδιον τῆς σαρκὸς πάθος, οὕτω καὶ τὸ ταράττεσθαι διὰ μνήμης τῆς τῶν δεινῶν, ψυχῆς ἂν εἴη πάθος τῆς λογικῆς, ᾗ καὶ μόνῃ ἡμῖν διὰ τῶν ἐνθυμήσεων ἐπεισκρίνεται μνήμη. οὔπω γὰρ ἐν αὐτῷ τῷ σταυρῷ γεγονὼς ὁ Χριστὸς, πρόωρον ὑπομένει τὸν θόρυβον, προαναθεωρήσας δηλονότι τὸ μέλλον, καὶ τῷ λογισμῷ πρὸς τὴν τῶν ἐσομένων μνήμην ὑπενεχθείς. τὸ γὰρ τῆς δειλίας πάθος, οὔτε τῆς ἀπαθοῦς εἴποιμεν θεότητος, οὔτε μὴν τῆς σαρκός· λογισμῶν γὰρ ἔστι ψυχῆς, καὶ οὐ σαρκὸς τὸ πάθος. εἰ δὲ καὶ τὸ ἄλογον ἔχον ψυχὴν θορυ βεῖται καὶ ταράττεται, ἀλλ' οὐ διὰ μνήμης, οὐδὲ λογισμῷ τὸ ἐσόμενον προανασκοποῦν πάθος ἐπὶ δειλίαν ἔρχεται, ἀλλ' ὅταν αὐτοῖς ἁλῶναι γένηται τοῖς κακοῖς, τότε τοῦ παρόντος κινδύνου συλλέγει μόλις τὴν αἴσθησιν. νῦν δὲ ὁ Κύριος θορυβεῖται, οὐκ ἐξ ὧν βλέπει, ἀλλ' ἐξ ὧν ἐνθυμεῖται, καὶ ἐξ ὧν προσδοκᾷ. ἀλλ' οὐδὲ εἶπεν ὁ Χριστός Ἡ σάρξ μου τετάρακται, ἀλλ' ἡ ψυχή μου, τὴν τῶν αἱρετικῶν ὑπόνοιαν παρωθούμενος. εἰ δὲ καὶ ἐν τῇ παλαιᾷ φήσεις εἰρῆσθαι ὑπὸ Θεοῦ πρὸς Ἰουδαίους "Νηστείαν καὶ ἀργίαν καὶ τὰς 2.318 "ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου," καὶ ὅσα τοιαῦτα· ἐροῦμεν, ὡς τοῖς ἡμετέροις ἔθεσιν ἀποκέχρηται μᾶλλον διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν, ὥσπερ καὶ πρόσωπον καὶ ὀφθαλμοὺς καὶ τὰ λοιπὰ μέλη προσάπτει τῷ ἀσωμάτῳ καταχρηστικῶς. μετὰ δὲ τὴν ἐνανθρώπησιν, εἰ οὕτως εἰρῆσθαι φήσομεν, εἰκὼν ἦν ἄρα, καὶ δόκησις, καὶ σκιὰ, καὶ οὐ κατὰ ἀλήθειαν ἄνθρωπος, κατὰ τὸν ἄθεον Μάνην. ὅλην τοίνυν τὴν ἀν θρώπου φύσιν ἥνωσεν ἑαυτῷ ὁ τοῦ Θεοῦ Λόγος, ἵνα ὅλον σώσῃ τὸν ἄνθρωπον. ὃ γὰρ μὴ προσείληπται, οὐδὲ σέ σωσται. Εἰπὼν μέντοι τό Ἐταράχθη, οὐ σιωπᾷ, ἀλλ' εἰς εὐτολμίαν μεταπλάττει τὸ πάθος, καὶ μονονουχὶ φησίν Οὐδέν ἐστι τὸ ἀποθανεῖν· ἀλλὰ διὰ τοῦτο ἐπέτρεψα τῇ σαρκὶ τὸ δειλιάσαι, ἵνα μεταστοιχειώσω αὐτὴν εἰς εὐτολμίαν. ἦλθον τοῖς ἐπὶ γῆς τὴν ζωὴν κατορθώσων, διὸ καὶ πρὸς τὸ παθεῖν ηὐτρέ πισμαι. Αἰτεῖ δὲ τὸν Πατέρα, καὶ τὸ τῆς εὐχῆς σχῆμα διατυποῖ, οὐχ ὡς ἀδυνατῶν ὁ πάντα ἰσχύων, ἀλλ' ὡς ἄνθρωπος τὰ μείζω ἢ κατὰ ἄνθρωπον ἀπονέμων τῇ θείᾳ φύσει, οὐκ ἔξω ὢν ταύτης, ὅταν καλῇ τὸν Πατέρα τὸν ἴδιον, ἀλλ' εἰδὼς ὅτι διὰ Πατρὸς καὶ Υἱοῦ ἥξει ἡ ἐν παντὶ πράγματι δύναμις καὶ δόξα. εἴτε δέ Δόξασόν σου τὸν Υἱὸν ἔχει ἡ γραφὴ, εἴτε Δόξασόν σου τὸ ὄνομα, ταὐτόν ἐστι τῇ τῶν θεωρημάτων ἀκριβείᾳ. ὅμως ὁ Χριστὸς καταφρονήσας τοῦ θανάτου καὶ τῆς ἐκ τοῦ παθεῖν αἰσχύνης, μόνα δὲ τὰ ἐκ τοῦ παθεῖν σκοπῶν κατορθώματα, καὶ ὅσον οὐδέπω ἐκ μέσου βαδίζοντα διὰ τοῦ θανάτου τῆς ἰδίας σαρκὸς τὸν ἁπάντων θάνατον 2.319



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βλέπων, ἀναιρεθησόμενόν τε παντελῶς τὸ τῆς φθορᾶς κράτος, ἀναμορφουμένην τε ἤδη λοιπὸν πρὸς καινότητα ζωῆς τὴν ἀνθρώπου φύσιν, μονονουχὶ πρὸς τὸν Θεὸν καὶ Πατέρα τοιοῦτόν τι φησίν Ὀκνηρὸν μὲν, ὦ Πάτερ, πρὸς τὸ παθεῖν τὸ σῶμα, δέδιε δὲ καὶ τὸν παρὰ φύσιν θάνατον, ἀλλὰ καὶ οὐκ οἰστόν πως εἶναι δοκεῖ τῷ συνέδρῳ καὶ τῷ κατὰ πάντων ἔχοντι κράτος τοῖς τῶν Ἰουδαίων ἐμπαροινεῖσθαι τολμήμασι· πλὴν ἐπείπερ ἀφῖγμαι πρὸς τοῦτο, δόξασόν σου τὸν Υἱὸν, τουτέστι, μὴ διακωλύσῃς ἰόντα πρὸς θάνατον, συγκατά νευσον τῷ σῷ γεννήματι διὰ τὸ πᾶσι λυσιτελές. ὅτι δὲ δόξαν ὁ Εὐαγγελιστὴς καὶ ἑτέρωθί που τὸν σταυρὸν ἀπε κάλει, μαθήσῃ λέγοντος αὐτοῦ "Οὔπω γὰρ ἦν Πνεῦμα " Αγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη." σαφῶς γὰρ ἐν τούτοις τὸ ἐσταυρῶσθαι, τὸ δεδοξάσθαι φησί· δόξα δὲ ὁ σταυρός. εἰ γὰρ καὶ περὶ τὸν τοῦ πάθους καιρὸν πολλὰ ἐφύβριστα ὑπέμεινεν ἀνεξικάκως ἑκὼν, ἀλλ' ἐξ ὧν δυνά μενος μὴ παθεῖν, ὑπέστη δι' ἡμᾶς ἐθελουσίως τὸ πάθος, τῆς ὑπεράγαν ἔστιν εὐσπλαγχνίας καὶ τῆς ἀνωτάτω δόξης, τὸ δι' ἄλλων ὠφέλειαν ὑποστῆναι τοῦτο. γέγονε δὲ καὶ ἑτέρῳ τρόπῳ ἐν εὐδοξίᾳ ὁ Υἱός. δι' ὧν γὰρ κατεκράτησε τοῦ θανάτου, ἔγνωμεν αὐτὸν ὄντα ζωὴν καὶ Υἱὸν Θεοῦ τοῦ ζῶντος. δοξάζεται δὲ ὁ Πατὴρ, ὅταν φαίνηται τοιοῦτον ἔχων Υἱὸν ἐξ ἑαυτοῦ γεννηθέντα, ὁποῖός ἐστι καὶ αὐτός. 2.320 ἔστι δ' ἀγαθὸς, φῶς, ζωὴ, καὶ θανάτου κρείττων, καὶ ὅσα θέλει ποιῶν. ὅταν δὲ λέγῃ Δόξασόν σου τὸν Υἱὸν, τοῦτό φησι Συγκατάνευσόν μοι παθεῖν ἐθέλοντι. οὐ γὰρ ἀβου λήτως τὸν Υἱὸν ὁ Πατὴρ ἔδωκεν εἰς θάνατον, ἀλλ' ἑκὼν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· τὸ οὖν συνθελῆσαι τὸν Πατέρα, ὡς δόσις ὠνόμασται ἡμῖν ἀγαθῶν· ἀντὶ γὰρ τοῦ παθεῖν τὴν δόξαν εἶπε. λέγει δὲ τοῦτο καὶ πρὸς ὑπογραμμὸν ἡμῶν· ὅτι δεῖ μὲν εὔχεσθαι μὴ ἐμπεσεῖν εἰς πειρασμὸν, ἐμπεσόντας δὲ γενναίως φέρειν, καὶ μὴ ἀποπηδᾶν, εὔχεσθαί τε εἰς Θεὸν σωθῆναι. ἀλλὰ δόξασόν σου τὸ ὄνομα. εἰ γὰρ διὰ τῶν κιν δύνων ἡμῶν συμβαίνει δοξασθῆναι τὸν Θεὸν, πάντα τούτου τετάχθω δεύτερα. Ὥσπερ μέντοι οὐκ ἄλλως ὁ θάνατος κατηργήθη, μὴ ἀπο θανόντος τοῦ Σωτῆρος· οὕτω καὶ ἐφ' ἑκάστου τῶν τῆς σαρκὸς παθῶν· εἰ μὴ γὰρ ἐδειλίασεν, οὐκ ἂν ἐν ἐλευθερίᾳ τοῦ δειλιᾶν ἡ φύσις γέγονεν· εἰ μὴ ἐλυπήθη, οὐκ ἂν ἀπηλ λάγη τοῦ λυπεῖσθαί ποτε· εἰ μὴ ἐταράχθη καὶ ἐπτοήθη, οὐκ ἂν ἔξω ποτὲ τούτων ἐγένετο. καὶ ἐφ' ἑκάστῳ τῶν ἀνθρω πίνως γεγονότων, τὸν αὐτὸν ἐφαρμόζοντα λόγον εὑρήσεις ἐν Χριστῷ· τὰ τῆς σαρκὸς πάθη κεκινημένα, οὐχ ἵνα κρατήσῃ, ὥσπερ καὶ ἐν ἡμῖν, ἀλλ' ἵνα κινηθέντα καταργηθῇ τῇ δυ νάμει τοῦ ἐνοικήσαντος τῇ σαρκὶ Λόγου, πρὸς τὸ ἄμεινον μεταποιουμένης τῆς φύσεως. 2.321 Ἦλθεν οὖν φωνὴ ἐξ οὐρανοῦ λέγουσα Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. Οὐκ εἶπε δὲ ὁ Εὐαγγελιστὴς ὅτι ὁ Πατὴρ ἄνωθεν ἐπεφώ νησεν, ἀλλ' ὅτι ἐξ οὐρανοῦ γέγονεν ἡ φωνὴ, ἵνα μή τινες αἱρετικοὶ δι' ὧν ἤκουον λαλεῖν τὸν Πατέρα εἰπεῖν ἐπιχειρή σωσιν ὅτι καὶ ἡ θεία φύσις ὁ Πατὴρ σῶμά τι παχὺ περί κειται. διὸ καὶ φωνὴν τὴν ἐναρμόνιον λαλεῖ, πῶς δὲ ἡ φωνὴ διεσκευάσθη οὐχ ἡμῶν εἰπεῖν. ὃ δὲ σημαίνει ἡ τοῦ λόγου ἑρμηνεία τοῦτό ἐστι. διὰ πολλῶν σημείων περίβλεπτος ἦν ὁ Υἱὸς, συνεργαζομένου αὐτῷ τὰ παράδοξα τοῦ Πατρὸς, καὶ ἐπείπερ συνεργάτης ἦν αὐτῷ εἰς ἅπαντα ἃ ἐποίει, δοξάσαι μὲν ἤδη φησὶ, καὶ εἰσαῦθις δὲ δοξάσειν ἐπαγγέλλεται προθύμως, διὰ τοῦ ἐπὶ τῷ θανάτῳ σημείου. καθὸ μὲν γὰρ Θεός ἐστιν ὁ Υἱὸς καὶ ἐκ Θεοῦ καὶ ζωὴ ἐκ τῆς κατὰ φύσιν ζωῆς ἐκπεφυκὼς, ἑαυτὸν ἤγειρεν ἐκ νεκρῶν· καθὸ δὲ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος χωρὶς ἁμαρτίας, οὐχ ἑαυτὸν ἀναστήσας νοεῖται, ἀλλὰ διὰ τοῦ Πατρὸς ἀναστάς. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Ἀντεφθέγγετο ὁ Πατὴρ, καθ' ὃν οἶδε τρόπον, τῷ ἰδίῳ 2.322 Υἱῷ, εἰς φιλοτιμίαν τῶν ἀκροωμένων τὴν ἑαυτοῦ βούλησιν φανερῶν, ἵνα πιστεύσωσιν ἀναμφιβόλως, ὅτι Υἱός ἐστι κατὰ φύσιν τοῦ Θεοῦ καὶ Πατρός. διηπόρει δὲ ὁ ὄχλος εἰς δια φόρους ὑπονοίας σχιζόμενος ἀσυνέτως. ἔδει γὰρ αὐτοὺς ἐννοῆσαι ὅτι ὁ Πατὴρ ἦν ὁ ἀντιφθεγξάμενος, πρὸς ὃν ἐποιήσατο τοὺς λόγους ὁ Υἱός. οὐ γὰρ βροντὴν ᾔτησε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενέσθαι, οὔτε ἄγγελον φωνῆσαι, ὅμως ὁ Υἱός φησιν, ὅτι οὐ δι' ἐμὲ γέγονεν ἡ φωνὴ ἀλλὰ δι' ὑμᾶς. ᾔδει γὰρ τοῦ τεκόντος τὴν βούλησιν κἂν μηδὲν ἐλαλήθη, ἐπειδὴ ἦν καὶ ἔστιν ἡ τοῦ Πατρὸς σοφία καὶ Λόγος. δι' ὑμᾶς οὖν φησι γέγονεν ἡ φωνή· ἵνα παραδέχησθέ με ὡς Υἱὸν Θεοῦ, ὃν οἶδεν ὄντα φύσει ἑαυτοῦ Υἱὸν ὁ Πατήρ. λέγει μὲν οὖν ὁ Κύριος ὅτι γέγονεν ἡ φωνὴ, οὐ μὴν προστίθησιν ὅτι τοῦ Πατρὸς ἦν, ἢ πῶς γέγονεν· ἔστι γὰρ περιττὸν τοῦτο. πλὴν ἐπιμαρτύ ρεται ὅτι καὶ φωνὴν ἀκούσαντες ὡς ἐξ οὐρανοῦ, οὐδὲν ἧττον ἐπέμειναν τῇ ἑαυτῶν δυσσεβείᾳ. Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἀρχὼν τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Τῆς τοῦ Σωτῆρος ἐπιδημίας ὁ τριπόθητος οὑτοσὶ καιρὸς, παροῦσαν ἤδη τὴν ἐπὶ τοῖς ἔθνεσι κρίσιν τε καὶ δίκην ἐδείκνυεν. ἔμελλον γὰρ ἀπαλλάττεσθαι τῆς τοῦ διαβόλου πλεονεξίας, δικαιότατον αὐτοῖς ἀπονέμοντος ἔλεος τοῦ ὁσίου τε καὶ δικαίου Κριτοῦ. οὐ γὰρ οἴομαι δεῖν οἴεσθαι νυνὶ κατακρίνεσθαι κόσμον, ὅτε τοῦ δικαιοῦσθαι παρῆν ὁ καιρός· ἀλλὰ τῷ μὲν κόσμῳ κρίσις ἔσται, τουτέστιν, ἐκδίκησις. ὁ δὲ 2.323 ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· ἔσται, φησὶ, κατὰ τοῦ τὸν κόσμον ἠδικηκότος κρίσις, καὶ οὐχὶ κατὰ τοῦ τὴν ἀδικίαν ὑπομείναντος κόσμου. καὶ γὰρ ὡς αὐτὸς ἔφη ὁ Χριστός "Οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν ἵνα κρίνῃ τὸν "κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον." ὅρος τοίνυν ἔσται, φησὶ, τῆς ἐνεστώσης κρίσεως, τὸ ἐκβληθῆναι ἔξω τὸν ἄρχοντα τοῦ κόσμου τούτου. ἐκβληθῆναι δὲ πόθεν; ἢ δῆλον ὅτι τῆς ἐκ βίας αὐτῷ πεπορισμένης ἀρχῆς καὶ τῆς οὐδαμόθεν προσ ηκούσης βασιλείας. σημαίνει δὲ τό Ἔξω τὴν κόλασιν καὶ τὴν εἰς ᾅδου βάδισιν. Κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, ἑλκύσω πάντας πρὸς ἐμαυτόν. Χριστοῦ μέντοι δεδωκότος ἑαυτὸν τῷ Πατρὶ ὑπὲρ τῆς ἡμῶν σωτηρίας ὡς ἄμωμον ἱερεῖον, καὶ τὰς ὑπὲρ ἡμῶν μονονουχὶ δίκας τιννύντος, ἐλυτρώθημεν τῶν τῆς ἁμαρτίας ἐγκλημάτων. καὶ δὴ ὅτε ὁ θὴρ ἐκ μέσου γέγονε, καὶ καθῃρέθη ὁ τύραννος, τότε ἄγει πρὸς ἑαυτὸν ὁ Χριστὸς τὸ ἀποπλανηθὲν γένος, οὐ μόνον Ἰουδαίους ἀλλὰ καὶ πάντας ἀνθρώπους πρὸς σωτηρίαν καλῶν διὰ τῆς εἰς αὐτὸν πίστεως. μερικὴ γὰρ ἡ διὰ τοῦ νόμου κλῆσις, γενικὴ δὲ ἡ διὰ Χριστοῦ. μόνος γὰρ ὁ Χριστὸς δυνατὸς ἦν ὡς Θεὸς πάντα ἡμῖν προξενῆσαι τὰ ἀγαθά. εὐφήμως δὲ λίαν, ἀντὶ τοῦ σταυρω θῆναι, τὸ ὑψωθῆναί φησι. τοῖς μὲν γὰρ φονῶσιν ἀσυμφανὲς ἐτήρει τὸ μυστήριον· οὐ γὰρ ἦσαν ἄξιοι μαθεῖν· τοῖς γεμὴν νουνεχεστέροις ἐφῆκε νοεῖν ὅτι διὰ πάντας καὶ ὑπὲρ πάντων 2.324 πείσεται. ἄλλως τε φαίη τις ἂν οἶμαι καὶ σφόδρα καλῶς, ὕψος εἶναι τὸ ἐπὶ εὐκλείᾳ καὶ δόξῃ νοούμενον, τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. δοξάζεται γὰρ καὶ διὰ τοῦτο Χριστὸς, πολλὰ τῇ ἀνθρωπότητι διὰ τούτου προξενήσας τὰ ἀγαθά· δι' ὧν ἕλκει πρὸς ἑαυτόν· καὶ οὐ καθάπερ οἱ μαθηταὶ, ἑτέρῳ προσάγει. δείκνυσιν οὖν ἑαυτὸν ὄντα φύσει Θεὸν, οὐκ ἔξω τιθεὶς τὸν Πατέρα. διὰ γὰρ τοῦ Υἱοῦ ἕλκεταί τις εἰς τὴν τοῦ Πατρὸς γνῶσιν. Τοῦτο δὲ ἔλεγε σημαίνων ποίῳ θανάτῳ ἔμελλεν ἀποθνήσκειν. Διὰ τούτου ἔδειξεν ὁ Εὐαγγελιστὴς, ὅτι οὐκ ἀγνοῶν ἔπαθεν ὁ Κύριος, ἀλλ' ἑκὼν καὶ εἰδὼς οὐ μόνον ὅτι ἀπέθνησκεν, ἀλλὰ καὶ ποίῳ τρόπῳ· τὸν σταυρὸν δὲ ὠνό μασε θάνατον. Ἀπεκρίθη οὖν αὐτῷ ὁ ὄχλος Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς εἰς τὸν αἰῶνα μένει· καὶ πῶς σὺ λέγεις ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; Ταῦτα δέ φασιν ὡς εἰρήκαμεν, νοήσαντες ὅτι τὸ ὑψωθῆναι τὸ σταυρωθῆναι ἔλεγεν. ἔθος γὰρ ἦν αὐτοῖς εὐφημοτέροις ὀνόμασι σημαίνειν τὰ πολὺ βλέποντα εἰς ἀκράτους συμ φοράς. πειρῶνται οὖν διὰ τῆς γραφῆς ἀποδεῖξαι ψευδόμενον τὸν Χριστόν. αὕτη γὰρ, φησὶν, οὐ λέγει πρόσκαιρον τὸν Χριστὸν λέγουσα περὶ αὐτοῦ "Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα." 2.325 πῶς οὖν σὺ λέγεις ὅτι ὁ Χριστός εἰμι λέγων σεαυτὸν τεθνη ξόμενον; ἀλλὰ γὰρ μὴ νοοῦντες Ἰουδαῖοι λέγουσι μὲν αὐτὸν διὰ τὸ πάθος μὴ εἶναι Χριστόν· οὐ λέγουσι δὲ ὅτι ἐγράφη ὅτι δεῖ τὸν Χριστὸν παθεῖν καὶ ἀναστῆναι καὶ ἀνελθεῖν πρὸς τὸν Πατέρα, λειτουργὸν ἐσόμενον τῶν ἁγίων καὶ τῶν ἡμε τέρων ψυχῶν ἀρχιερέα, ὅτε καὶ κρείττων καὶ ἄφθαρτος ἀνεβίω. καίτοι τῆς γραφῆς οὐχ ὅτι μόνον ἥξει ἐν τῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κοινῷ δὴ τούτῳ καὶ ἀνθρωπίνῳ σχήματι προαπαγγελλούσης, ἀλλ' ὅτι καὶ τῆς ἁπάντων ζωῆς προτεθνήξεται καὶ ἀναβιώσεται πάλιν τὰ τοῦ θανάτου διαῤῥήξας δεσμὰ, ἐξ οὗ πάντως τὸ μένειν εἰς αἰῶνα Χριστὸν κατορθοῦται καλῶς· κρείττων γὰρ ἀναδεδειγμένος θανάτου καὶ φθορᾶς, ἀνέβη πρὸς τὸν Πατέρα. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἔτι μικρὸν χρόνον τὸ φῶς ἐν ὑμῖν ἐστι. περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει. Ὡς ἀσυνέτοις καὶ ἀπίστοις τοῖς Ἰουδαίοις, οὐ καταλέγει σαφῶς ὁ Χριστὸς τὸ βαθὺ τοῦ λόγου μυστήριον. ἀλλὰ πρὸς ἕτερον πηδᾷ, ὁμοῦ καὶ τὸ ἐπωφελὲς αὐτοῖς ἐξηγού μενος καὶ δεικνὺς τὴν αἰτίαν δι' ἣν οὐ νοοῦσι τὰ ἐν ταῖς γραφαῖς, καὶ ὅτι εἰ μὴ πιστεύσειαν αὐτῷ φωτὶ ὄντι, ὁλοτελῶς αὐτοὺς τὸ τῆς ἀγνωσίας καταλήψεται σκότος, καὶ τῶν ἐκ τοῦ φωτὸς ἀγαθῶν στερηθήσονται· ὅσον γὰρ ἀπὸ τῆς γραφῆς, ὡς φῶς προσεδόκων τὸν Μεσίαν. ἐπειδὴ δὲ ἦλθεν, εἰς τοὐναντίον αὐτοῖς ἀπέβη τὰ τῆς ἐλπίδος· σκότος γὰρ αὐτοὺς κατέλαβε διὰ τὴν ἀπιστίαν. ἀνανήψατε οὖν, φησὶ, ταχέως, ἕως ὑμῖν ἔξεστι μικρόν τι τῆς τοῦ θείου 2.326 φωτὸς αὐγῆς μετασχεῖν, ἵνα μὴ ὑμᾶς ὁ τῆς ἁμαρτίας κατα λάβῃ σκότος. καλῶς δὲ εἶπε, μετὰ τὸ φῶς τὴν σκοτίαν. κατ' ἴχνος γὰρ τῆς τοῦ φωτὸς ἀναχωρήσεως βαδίζει τὸ σκότος. εἰπὼν δὲ σὺν τῷ ἄρθρῳ τὸ φῶς, ἑαυτὸν ἐδήλωσεν· ὅτι αὐτός ἐστι μόνος κατὰ ἀλήθειαν τὸ φῶς. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. Ὁδὸν μὲν οὖν σωτηρίας τὴν πίστιν ἀπέδειξε τὴν εἰς αὐτὸν, δι' οὗ τις καὶ τὸν Πατέρα γινώσκει. υἱοὺς δὲ φωτὸς αὐτοὺς ὀνομάζει ἤτοι ἑαυτοῦ ἢ τοῦ Πατρός· φῶς γὰρ λέγει τὸν Πατέρα, μετὰ τὸ εἰπεῖν ἑαυτὸν φῶς, ἵνα δείξῃ μίαν ἑαυτοῦ καὶ τοῦ Πατρὸς φύσιν· γινόμεθα δὲ υἱοὶ τοῦ Πατρὸς, ὅταν διὰ τῆς εἰς Χριστὸν πίστεως εἰσδεξώμεθα τὸν Πατέρα, ὅς ἐστι φῶς· τότε γὰρ καὶ ἡμεῖς τέκνα Θεοῦ χρηματιοῦμεν. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν. Δι' ὀλίγων διδάξας τὰ λυσιτελῆ, πάλιν θεοπρεπεῖ δυ νάμει ἐκ μέσου αὐτῶν ποιεῖ ἑαυτὸν, κατακρύπτων ἑαυτὸν, καὶ εἰς ὀργὰς αὐτοὺς οὐκ ἐῶν ἐξεγείρεσθαι, ἀλλὰ μεταβουλεύ εσθαι διδοὺς καιρὸν, ὅπως ἂν τὰ ἀμείνω πράξωσιν. ὑπο χωρεῖ δὲ οἰκονομικῶς ἐγγὺς ὄντος τοῦ πάθους· δεικνὺς ὅτι ἀβούλητον ἦν αὐτῷ τὸ ἀναιρεθῆναι ὑπὸ Ἰουδαίων, εἰ καὶ ἑκὼν ἑαυτὸν ἐπέδωκεν εἰς τὸ παθεῖν, ἀντίλυτρον ἑαυτὸν τῆς ἡμετέ ρας διδοὺς ζωῆς, καὶ ἐδέξατο τὸν θάνατον, τὸν λύπῃ εἰκότως ἀπεικαζόμενον καὶ μετεσκεύασε τὴν λύπην εἰς εὐφροσύνην. 2.327 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν οὐκ ἐπίστευον εἰς αὐτόν. Θέλων δὲ αὐτῶν τὴν ἄμετρον δυστροπίαν ἐλέγξαι ὁ Εὐαγγελιστὴς, προσέθηκε καὶ τό Ἔμπροσθεν αὐτῶν, δεικνὺς ὅτι οὐδὲ οἷς ἑώρων ἐπίστευον. Ἵνα ὁ λόγος Ἡσαΐου πληρωθῇ ὃν εἶπε Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν· ὅτι πάλαι Ἡσαΐας εἶπε Τετύ φλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσι τῇ καρδίᾳ καὶ ἐπιστραφῶσι καὶ ἰάσωμαι αὐτούς. Οὐχ ἵνα τοίνυν πληρώσωσι τὰς προφητείας οἱ Ἰουδαῖοι ἐφόνευσαν τὸν Κύριον· ἢ γὰρ ἂν οὔτε δυσσεβεῖς ἦσαν· ἀλλὰ δι' οἰκείαν κακόνοιαν. εἰ γὰρ καὶ προεῖπον οἱ προ φῆται τὰ διὰ τὴν ἑκούσιον αὐτῶν δυσβουλίαν πάντως ἐσόμενα, διὰ τοῦτο προεῖπον, ἵνα οἱ νήφοντες διαπηδήσωσι τοὺς τοῦ διαβόλου βόθρους· ἐξὸν γὰρ πάντως τοῖς ἀκούουσι καὶ φυλάξασθαι. διὸ καὶ ἀναγκαία ἡ πρόῤῥησις. Πάλιν ἑτέρου ζητήματος λύσις. Ὅτι οὐχ ὁ Θεὸς ἐτύφλωσε τοὺς Ἰουδαίους. ἢ γὰρ ἂν οὔτε ἀπῄτει αὐτοὺς εὐθύνας· ὅπου γε καὶ τὰ ἀκούσια συγχωρεῖ πταίσματα. ὁ δὲ νοῦς οὕτως· ὡς γὰρ ἀπὸ Θεοῦ λαληθέντα τὰ ῥήματα ὁ Ἡσαΐας προφέρει Ἐὰν γένωμαι ἄνθρωπος καὶ οἰκείᾳ φωνῇ εἰσηγήσωμαι ὑμῖν τὰ λυσιτελῆ, οὐδὲ οὕτως ἀκούσετέ μου, ὥσπερ οὐδὲ τῶν προφητῶν· οὐδὲ ὅταν ἴδητε τὰ ὑπὲρ λόγον σημεῖα, οὐδὲν ἐκ τοῦ ἰδεῖν ὠφελη 2.328 θήσεσθε. καὶ τοῦτο δηλοῖ τό Οὐ μὴ ἴδητε. οὐ γὰρ εἶπεν ὅτι πωρώσω αὐτῶν τὰς καρδίας, καὶ τυφλώσω τοὺς ὀφθαλ μοὺς, ἀλλ' ὅτι κἂν ἀκούσητε, οὐ μὴ ἀκούσητε· κἂν ἴδητε, οὐ μὴ ἴδητε,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἵνα μὴ ἐπιστραφέντας ἰάσωμαι. εἰ γὰρ ἤκουσαν καὶ εἶδον ὅνπερ ἐχρῆν τρόπον, ἔτυχον ἂν πάντως ὠφελείας. οὐκοῦν οὐ τιμωρίας ἀναγκαίας ἔχει δήλωσιν ὁ λόγος, οὐδὲ ὅρον καταδικάζοντος καὶ καταψηφιζομένου τῶν Ἰουδαίων, ἀλλὰ τῶν χρησίμων ἐστὶ προαγγελτικός. ᾔδει γὰρ ποῖοι ἔμελλον γίνεσθαι, καὶ ἀπεφήνατο περὶ αὐτῶν. πλὴν οὐδὲ κατὰ πάντων χωρεῖ ὁ λόγος, ἀλλὰ κατὰ μόνων τῶν ἀπίστων· πολλοὶ γὰρ πεπιστεύκασιν ἐξ αὐτῶν. οὕτω μὲν οὖν ἐκδεδώ κασιν οἱ ἑβδομήκοντα. εἰκὸς δὲ, ὅτι ὁ Εὐαγγελιστὴς τῇ Ἑβραίων ἐκδόσει ἀκολουθήσας ἑτέρως ἐχούσῃ παρὰ τὴν τῶν ἑβδομήκοντα, εἶπε τό Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ἐπειδὴ ἐτύφλωσεν αὐτούς· καὶ ὅσον μὲν ἐκ τῆς προφανοῦς λέξεως, οὐκ εἴρηκεν ὅτι ὁ Θεὸς ἐτύφλωσεν αὐτούς. εἰκὸς δὲ, ὅτι ἄλλος τοῦτο ἐποίησε πρὸς τὸ μὴ ἐπιστρέψαι τοὺς Ἰουδαίους καὶ τυχεῖν ἰάσεως. εἰ δὲ καὶ δεξόμεθα ὅτι ὁ Θεὸς ἐτύ φλωσεν, οὕτω νοητέον, ὅτι παρεχώρησεν αὐτοὺς παθεῖν τὴν τύφλωσιν ὑπὸ τοῦ διαβόλου, οὐκ ἀγαθοὺς ὄντας τὴν ἕξιν. οὕτω γὰρ παραδίδωσιν εἰς ἀδόκιμον νοῦν καὶ εἰς πάθος τοὺς ὁμοιοτρόπους. ἐν ᾧ δὲ τοιοῦτοι ἦσαν, οὐ δίκαιον ἦν αὐτοῖς γνῶναι τοῦ μυστηρίου τὸ βάθος καὶ τὰ κρύφια, τοὺς μηδὲ τὰς νομικὰς ἐντολὰς διατηρήσαντας. ἐπεὶ οὖν οὔτε τὸν νόμον, οὔτε τὰ εὐαγγελικὰ ἐδέξαντο διατάγματα, τὸν τῆς διανοίας μύοντες ὀφθαλμὸν, διὰ τοῦτο οὐ δέχονται τὴν φωτίσαι δυναμένην αὐτοὺς παίδευσιν. 2.329 Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀν θρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. Νῦν μέντοι συνωθούμενοι ὑπὸ τῶν σημείων εἰς τὸ πιστεύειν, καὶ οὐκέτι τολμῶντες ἀντιλέγειν τῷ Κυρίῳ, ἐκπίπτουσι τῆς αἰωνίου ζωῆς, ἐπιμονῇ τῆς ἑαυτῶν βδελυ ρίας, τὴν εἰς ἀνθρώπους αἰδῶ τῆς πρὸς Θεὸν οἰκειώσεως προτιμήσαντες, καὶ δόξης προσκαίρου δοῦλοι ὄντες, ἀφό ρητον ἡγούμενοι ζημίαν τὸ ἐκπεσεῖν τῆς ἐκ τῶν Φαρισαίων τιμῆς. ἐπεὶ οὖν τοῦτο ἦν τὸ κωλύον αὐτοὺς πιστεῦσαι τότε, ἄκουσον τί φησιν ὁ Χριστός· Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. Κράζει δὲ παρὰ τὸ εἰωθὸς ἑαυτῷ, ἐλέγχει δὲ ἡ κραυγὴ τῶν πιστευσάντων μὲν εἰς αὐτὸν, ἐγκαλυψαμένων δὲ ἔτι τὴν ἄκαιρον αἰδῶ. οὐ γὰρ λεληθότως τιμᾶσθαι βούλεται παρὰ τῶν θαυμάζειν αὐτὸν ἑλομένων, ἀλλὰ φανερῶς. χρῆναι γὰρ ὑπελάμβανε τὴν μὲν πίστιν ἀποτίθεσθαι τῇ καρδίᾳ, ποιεῖ σθαι γεμὴν ἐν παῤῥησίᾳ πολλῇ τὴν ἐπ' αὐτῇ σοφωτάτην ὁμολογίαν. ἐπειδὴ δὲ Θεὸς κατὰ φύσιν ὑπάρχων, τὴν καθ' ἡμᾶς ὑπέδυ μορφὴν, παραιτεῖται γυμνῶς εἰς μισούντων ἀκοὰς εἰς τὸ παρὸν εἰπεῖν, ὅτι χρὴ πιστεύειν εἰς αὐτὸν, καίτοι πολλάκις τοῦτο εἰπών· οἰκονομικώτατα δὲ τῶν νενο σηκότων ἐπ' αὐτῷ τὸν ἀτίθασον φθόνον κατὰ βραχὺ προσ 2.330 εθίζει τὸν νοῦν καθικνεῖσθαι πρὸς τὸ βάθος τῶν περὶ αὐτὸν μυστηρίων, οὐκ εἰς ἀνθρώπινον πρόσωπον, ἀλλ' εἰς τὸ τῆς θείας οὐσίας, ὡς νοουμένης τῆς θεότητος ὁλοκλήρως ἐν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρός· ἔχει γὰρ ἐν ἑαυτῷ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα. σοφώτατα λίαν ἀνακομίζει λέγων Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλ' εἰς τὸν πέμψαντά με, οὐ γὰρ ἔξω τίθησιν ἑαυτὸν τοῦ πιστεύεσθαι παρ' ἡμῶν ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ καὶ ἐκ Θεοῦ πέφηνε Πατρός· ἀλλ' ἐντέχνως, καθὰ εἴρηται, μεταχειρίζεται πρὸς εὐσέβειαν τῶν ἀσθενούντων τὸν νοῦν, ἵνα τι τοιοῦτον ἐννοῇς λέγοντα Ὅταν εἰς ἐμὲ πιστεύητε τὸν δι' ὑμᾶς μὲν ἄνθρωπον καθ' ὑμᾶς, Θεὸν δὲ δι' ἑαυτὸν καὶ τὸν ἐξ οὗπέρ εἰμι Πατέρα, μὴ ἀνθρώπῳ τὴν πίστιν ἀνατιθέναι νομίσητε. εἰμὶ γὰρ οὐδὲν ἧττον κατὰ φύσιν Θεὸς, καὶ εἰ φαίνομαι καθ' ὑμᾶς· ἔχω δὲ ἐν ἑαυτῷ τὸν γεννήσαντα. ἐμοῦ τοιγαροῦν ὄντος ὁμοουσίου τῷ γεγεννηκότι, διαβήσεται πάντως ἡ πίστις καὶ εἰς αὐτὸν τὸν Πατέρα. ὅπερ οὖν ἔφημεν, κατὰ βραχὺ μεταπαιδεύων ὁ Κύριος ἐπὶ τὸ ἄμεινον, καὶ χρησίμως ἀναπλέκων τῷ θεο πρεπεῖ τὸ ἀνθρώπινον, ἔφασκεν Ὁ πιστεύων εἰς ἐμὲ, καὶ τὰ ἑξῆς. ὅτι μὲν γὰρ οὐκ εἰς ἄνθρωπον ἁπλῶς ἡ πίστις, ἀλλ' εἰς Θεοῦ φύσιν, εἰ καὶ ἦν ὁ Λόγος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν σαρκὶ, διὰ τοῦ μὴ εἰς αὐτὸν πράττεσθαι τὴν φύσιν, εὖ μάλα διαμεμήνυκεν· ὅτι δέ ἐστιν ἐν ταυτότητι τῇ κατὰ πᾶν τῷ Θεῷ καὶ Πατρὶ, διὰ τὴν φυσικὴν ἐμφέρειαν καὶ τὸ τῆς οὐσίας οἱονεὶ ταυτοειδὲς, διε σάφει λέγων. 2.331 Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. Ἰδοὺ πάλιν εἰς ἑαυτὸν ἁρπάζει τὴν πίστιν, καὶ δύο κατὰ ταὐτὸν ἐξανύει τὰ χρησιμώτατα. φῶς μὲν γὰρ ἑαυτὸν ὑπάρχειν ὁμολογῶν, Θεὸν ὄντα κατὰ φύσιν ἀποδεικνύει· μόνῳ γὰρ τῷ φύσει Θεῷ πρέπει τὸ οὕτω καλεῖσθαι. προσ θεὶς δὲ τῆς ἀφίξεως τὴν αἰτίαν, ἐρυθριᾶν ἀναπείθει τὸν τῆς εἰς αὐτὸν ἀγάπης ὀλιγωρήσαντα· καὶ ὅτι ἀνάγκη δήπου νοεῖν, ἐν σκότει τέως ὑπάρχειν τοὺς οὔπω πιστεύσαντας, εἴ γε μόνοις τοῖς πεπιστευκόσιν εἰς αὐτὸν ὑπάρχει τὸ ἐν φωτὶ γενέσθαι τῷ παρ' αὐτοῦ. ἄγει δὲ αὐτοὺς καὶ εἰς ἀνάμνησιν τῶν πολλαχοῦ περὶ αὐτοῦ εἰρημένων, δι' ὧν ἥξειν προηγγέλ λετο τὴν οἰκουμένην καταφωτίσων· ὁποῖόν ἐστι τό "Φω "τίζου φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς τὸ "ἀληθινὸν, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν," καὶ τό "Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου." ὅμοιον οὖν ὡς εἰ ἔλεγεν Ἐγώ εἰμι τὸ φῶς τὸ ἐν τῇ γραφῇ ἀφίξεσθαι προσδοκώμενον ἐπὶ σωτηρίᾳ τοῦ κόσμου, πρὸς τὸ φωτίσαι τοὺς ἐν σκότει πλανωμένους ὡς ἐν νυκτί. Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Αὐτοκατακρίτους οὖν φησιν ἔσεσθαι τοὺς αὐτοῦ παρα κούοντας καὶ οὐ προσδεξαμένους τὴν σώζουσαν πίστιν. ὁ 2.332 γὰρ ἐπὶ τῷ φωτίσαι ἐλθὼν, οὐχ ἵνα κρίνῃ ἦλθεν, ἀλλ' ἵνα σώσῃ. ὁ τοίνυν ἀπειθῶν καὶ τοῖς μεγίστοις κακοῖς ἑαυτὸν ὑποβάλλων, ἑαυτὸν μεμφέσθω ὡς δικαίως τιμωρούμενον. οὐ γὰρ ἐγὼ τούτου αἴτιος, ὁ θέλων σῶσαι τοὺς μέλλοντας εἰς κρίσιν ἐμπεσεῖν· καὶ διὰ τοῦτο ἐλθών. ὁ γὰρ νόμον τιθεὶς κολάζοντα τοὺς ἀπειθεῖς, οὐχ ἕνεκεν τοῦ τιμωρήσασθαι τοὺς παραβάντας τοῦτον τίθησιν, ἀλλ' ἵνα φυλάξαντες αὐτὸν οἱ ἀκούοντες, σωθῶσιν. ἐγὼ οὖν ἐλθὼν σῶσαι, παραγγέλλω ὑμῖν πιστεύειν, καὶ μὴ καταφρονεῖν τῶν ἐμῶν λόγων, ἐπείπερ ὁ παρὼν καιρὸς, σωτηρίας ἐστὶν, ἀλλ' οὐ κρίσεως. ἐν ἡμέρᾳ γὰρ κρίσεως ἐπάξει ὑμῖν τῆς ἀπειθείας τὰς τιμωρίας, ὁ πρὸς σωτηρίαν ὑμᾶς καλέσας λόγος. ποῖος δὲ ἦν ὁ λόγος ὃν ἐλάλησα;

2.335 ΚΕΦΑΛΑΙΟΝ ΤΟ ΕΝ ΤΩι ΕΝΝΑΤΩι ΒΙΒΛΙΩι.

α. Ὅτι διὰ τὴν ταυτότητα τῆς φύσεως ὁ Υἱὸς μὲν ἐν τῷ Πατρί ἐστιν· ὁ Πατὴρ δ' αὖ πάλιν ἐν τῷ Υἱῷ ἐστιν.

2.337 ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με Πατὴρ αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω· καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν λαλῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ Πατὴρ, οὕτως λαλῶ. ΕΙΣ ἀνάμνησιν ἄγει τὸν τῶν Ἰουδαίων λαὸν τῶν διὰ Μωυσέως προκεκηρυγμένων περὶ αὐτοῦ, ὑποπλήττει δὲ διὰ τούτων εὐφυῶς καὶ, τὴν ἐνοῦσαν αὐτοῖς ἀνοσιότητα παρα δεικνὺς, ἀπελέγχει σαφῶς, ὡς οὐδεὶς αὐτοῖς λόγος τοῦ καὶ εἰς αὐτὸν ἐμπαροινῆσαι τὸν νόμον, καίτοι δεδόσθαι πιστευθέντα παρὰ Θεοῦ. τί γὰρ ἔφη διὰ Μωυσέως περὶ Χριστοῦ, γνώ ριμον μὲν ἅπασιν, ἐρῶ δ' οὖν ὅμως διὰ τὴν τοῦ νοήματος χρείαν "Προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελ "φῶν αὐτοῦ ὥσπερ σέ·" τουτέστι νομοθέτην καὶ μεσίτην Θεοῦ καὶ ἀνθρώπων· "καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ 2.338 "στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθότι ἂν ἐντείλωμαι "αὐτῷ. καὶ ὁ ἄνθρωπος ἐκεῖνος, ὃς ἂν μὴ ἀκούσῃ ὅσα ἂν "λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ "αὐτοῦ." ἐν ταὐτῷ τοιγαροῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλαζόνα τῶν Ἰουδαίων εὐθύνει δῆμον, ὡς καὶ αὐτῷ μαχόμενον τῷ Θεῷ καὶ Πατρὶ, καὶ δι' ὧν ἐντολὴν εἰληφέναι λέγει παρ' αὐτοῦ καὶ ἀφ' ἑαυτοῦ μὴ λαλεῖν, ἑαυτὸν ὄντα τὸν προφήτην ἐπιδεικνύει σαφῶς, τὸν διὰ νόμου προβοώμενον, καὶ διὰ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς φωνῆς ἐκ πολλῶν ἄνωθεν χρόνων προκεκηρυγμένον. καλεῖ δέ πως πρὸς ἀνάμνησιν, καίτοι νωθεῖς ὄντας αὐτοὺς, ὡς εἰ μὴ βούλοιντο τοῖς παρ' αὐτοῦ καταπείθεσθαι λόγοις, ὑποκεί σονται πάντως ἀδιαφύκτῳ κολάσει, καὶ ὑπομενοῦσιν ἅπερ ἔφη Θεός. οἱ γὰρ τὴν θείαν ἐντολὴν τοῦ Θεοῦ καὶ Πατρὸς παρατρέχοντες, καὶ τὸν ζωοποιὸν τοῦ Θεοῦ λόγον ἐξωθού μενοι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, πῶς οὐκ ἐν τοῖς ἐσχάτοις κείσονται κακοῖς, ἢ πῶς οὐκ ἀμέτοχοι μενοῦσι τῆς παρ' αὐτοῦ ζωῆς, εὐλόγως ἀκούοντες τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς "Γῆ, γῆ, ἄκουε, ἄκουε λόγον Κυρίου· ἰδοὺ ἐγὼ "ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ, τὸν καρπὸν ἀποστροφῆς "αὐτῷ, ὅτι τῷ νόμῳ μου οὐ προσέσχον, καὶ τὸν λόγον μου "ἀπώσατε." διττῷ γὰρ ἐνόχους ὄντας ἐγκλήματι τοὺς Ἰου δαίους εὑρήσομεν· οὔτε γὰρ αὐτὸν καίτοι σεπτὸν εἶναι δοκοῦντα καὶ φίλον τετιμήκασι τὸν νόμον, τὸν δι' αὐτοῦ κηρυχθέντα μὴ προσηκάμενοι, οὔτε μὴν προσεσχήκασι τοῖς λόγοις τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καίτοι βοῶντος ἀνα φανδὸν, ὡς αὐτὸς εἴη σαφῶς ὁ προφήτης ὁ διὰ νόμου χρησμῳδούμενος, δι' ὧν ἔφασκε τοῖς παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς διακονεῖσθαι λόγοις. Καὶ μή τις οἰέσθω τὸ φάναι τὸν Κύριον, ὡς ἀφ' ἑαυτοῦ 2.339 μὲν οὐδὲν, λαλεῖται δὲ παρὰ Πατρὸς, ἀδικεῖν αὐτὸν δύνασθαι κατά τι γοῦν ὅλως, ἢ κατὰ τὸν τῆς οὐσίας αὐτῆς, ἤγουν εἰς ἀξίας λόγον τῆς θεοπρεποῦς· ἀλλὰ πρῶτον μὲν ἐκεῖνο διεν θυμείσθω τε πάλιν, καὶ λεγέτω ἐρομένοις ἡμῖν Ἆρα γὰρ πρέπειν οἰήσεταί τις τῷ γε ὅλως ὄντι τε καὶ νοουμένῳ κατὰ φύσιν Θεῷ τὸ τῆς προφητείας ὄνομά τε καὶ πρᾶγμα; καίτοι παστισοῦν οἶμαι καὶ τῶν λίαν εὐχερῶν ἀποφήσειεν ἂν, ἀπίθανον εἶναι λέγων ἀποκαλεῖσθαι προφήτην τὸν ἐν προ φήταις λαλοῦντα Θεόν· αὐτὸς γὰρ ὁράσεις ἐπλήθυνε κατὰ τὸ γεγραμμένον, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθη. ἐπειδὴ τοίνυν τὸ τῆς δουλείας ὄνομα καὶ σχῆμα τῆς πρὸς ἡμᾶς ὁμοιότητος ἀναλαβὼν, καθ' ἡμετέραν ὁμοίωσιν ἐκλήθη προ φήτης, ἀναγκαίως αὐτῷ καὶ τὰ τῷ προφήτῃ πρέποντα περι τέθεικεν ὁ νόμος, τουτέστι, τὸ πυθέσθαι τι παρὰ τοῦ Πατρὸς, ἐντολήν τε εἰληφέναι τί εἴπῃ καὶ τί λαλήσῃ. πρὸς δέ γε τούτῳ κἀκεῖνο εἰπεῖν οἰήσομαι δεῖν· ἐν πολλῇ προλήψει γεγονότες Ἰουδαῖοι περὶ τὸν νόμον, λελαλῆσθαι παρὰ τοῦ Θεοῦ πιστεύοντες αὐτὸν, οὐκ ἂν παρεδέξαντο τοῦ Σωτῆρος τοὺς λόγους, εἰς πνευματικὴν λατρείαν μεταπλάττοντος τὰ πάλαι διωρισμένα. Καὶ τίς ἡ πρόφασις τοῦ μὴ θέλειν αὐτοὺς παραδέξασθαι τὸν εἰς ἀλήθειαν τῶν τύπων μεταπλασμόν; οὐκ ᾔδεσαν κατὰ φύσιν ὄντα Θεὸν, ἀλλ' οὐδὲ εἶχον εἰς νοῦν, ὅτι Λόγος ὢν τοῦ Πατρὸς ὁ Μονογενὴς τὴν ἡμετέραν δι' ἡμᾶς πεφό ρεκε σάρκα· ἢ γὰρ ἂν εὐθὺς ὑποπεσόντες Θεῷ, πρὸς πᾶν ὁτιοῦν ἀμελλητὶ μεθιστάμενοι, τὴν αὐτῷ πρέπουσαν διετή ρησαν δόξαν. ᾤοντο δὲ μᾶλλον τῶν καθ' ἡμᾶς οἱ δείλαιοι ὑπάρχειν ἕνα, καὶ ἄνθρωπον ὄντα ψιλὸν φρονῆσαι τοσοῦτον, ὡς καὶ αὐτοὺς ἐπιχειρεῖν τοὺς παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς παραλύειν νόμους. καὶ γοῦν ἀνέδην ἔφασκον πρὸς αὐτόν "Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφη "μίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν." διὰ 2.340 πολλῆς τοίνυν καὶ ἀκριβοῦς οἰκονομίας ὁ Κύριος ἡμῶν Ἰησοῦς τῆς ἐνούσης αὐτοῖς ὑπονοίας μεθιστὰς τοὺς ἀκροω μένους, ὡς ἀπὸ ψιλοῦ καὶ μόνου τοῦ ἀνθρωπίνου προσώπου μετακομίζει τὸν λόγον ἐπὶ τὸν ἀναντιῤῥήτως τε καὶ ὁμολο γουμένως προσκυνούμενον, φημὶ δὴ τὸν Θεὸν καὶ Πατέρα, διὰ παντὸς χρῆναι τρόπου τὴν ἀπαίδευτον τῶν Ἰουδαίων καρδίαν ἐκδυσωπεῖν οἰόμενος, καὶ μεταχειρίζεσθαι ποικίλως τοὺς ἀσυνέτους ἐπιχειρῶν εἰς τὸ βούλεσθαι μαθεῖν τὰ ἀληθῆ καὶ πρεπωδέστερα. τοιούτοις μὲν οὖν ἀποχρήσαιτ' ἄν τις λόγοις τε καὶ θεωρήμασι, τὰς τῶν ἀνοσίων αἱρετικῶν φιλο ψογίας διακρουόμενος οἰομένων, ὅτι μεῖον ἕξει κατά τι γοῦν ὁ Υἱὸς, ὡς πρὸς τὸν ἑαυτοῦ γεννήτορα, διὰ τὸ φάναι λαλεῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν ἀφ' ἑαυτοῦ μηδὲν, δεδόσθαι γεμὴν ἐντολὴν, λαλεῖν τε οὕτω καθάπερ ἠκροάσατο. Καὶ ἀρκέσειν μὲν οἶμαι καὶ ταῦτα, πλὴν ἐρῶ τι καὶ ἕτερον τῆς ἐκείνων ἀθυρογλωττίας τὴν ὕβριν ἀπογυμνοῦν. φέρε γὰρ, εἰ δοκεῖ, βραχὺ περιστείλαντες τῆς μετὰ σαρκὸς οἰκονο μίας ἕν γε τῷ παρόντι τὸν λόγον, ἐπ' αὐτοῦ δεικνύωμεν τοῦ Μονογενοῦς ὀρθῶς τε καὶ καλῶς εἰρημένον τό Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πέμψας με Πατὴρ αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω. αὐτὸς γὰρ ὢν ὁ ζῶν τε καὶ ἐνυπόστατος Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, ἀναγκαίως διερ μηνεύει τὰ ἐν αὐτῷ, καὶ τὸ ὡς ἐν θελήσει δοκοῦν τῷ ἰδίῳ γεννήτορι ἐξάγων εἰς φῶς, ὡς ἐντολῆς δύναμιν εἰληφέναι φησίν· ἴδοι δ' ἄν τις καὶ ἐφ' ἡμῶν αὐτῶν ἀληθὲς τὸ πρᾶγμα, καὶ οὐχ ἑτέρως ἔχον. λόγος γὰρ ὁ προφορικὸς, ὁ ἐν συνθέσει λέξεων καὶ ῥημάτων, διά τε φωνῆς τῆς ἐνάρθρου πρὸς τὸ ἔξω διακτυπούμενος, ἐντελλομένης ὥσπερ αὐτῷ τῆς ἡμετέρας διανοίας, ἐκκαλύπτει τὰ ἐν αὐτῇ, καὶ εἰ μὴ ἐν χρόνῳ μακρῷ τὸ πρᾶγμα γίνεται· ἅμα γάρ τι συνῆκεν ὁ νοῦς, καὶ παρέθετο τῇ φωνῇ· ἡ δὲ πρὸς τὸ ἔξω βαδίζουσα τὰ ἐν τῷ βάθει, τὰ ἐν τῷ νοΐ διερμηνεύει παραλλάττουσα 2.341 μηδὲν τῶν ἐντεταλμένων αὐτῇ. τί τοίνυν τὸ ξένον, ὦ οὗτοι, φήσειεν ἄν τις εὖ μάλα πρὸς ἐκείνους, εἰ Λόγος ὢν τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, οὐχ ὥσπερ ὁ ἡμέτερος· μείζω γὰρ παντὸς παραδείγματος τὰ περὶ Θεοῦ· τὴν τοῦ τεκόντος αὐτὸν διερμηνεύει βουλήν; ἢ γὰρ οὐχὶ καὶ ὄνομά φησιν ὁ προφήτης αὐτῷ πρεπωδέστατον, καλεῖσθαι "Μεγάλης βου "λῆς ἄγγελον;" ἀλλ' οἶμαι καὶ τοῦτο ὑπάρχειν σαφές. οὐδὲν τοιγαροῦν εἰς τὸν τῆς οὐσίας λόγον, ἤτοι τῆς ἀξίας, ὑπομενεῖ τὸ βλάβος ὁ Μονογενὴς, κἂν ἐντολὴν εἰληφέναι λέγηται παρὰ τοῦ Θεοῦ καὶ Πατρός· ἐπεὶ καὶ ἡμεῖς αὐτοὶ πολλάκις ἑτέροις ἐντελλόμεθά τι καὶ δρᾶν ἐπιτάττομεν, ἀλλ' οὐ ταύτης ἕνεκα τῆς αἰτίας τὴν πρὸς ἡμᾶς ὁμοιότητα φυ σικὴν ἀρνήσονται, οὐδὲ τὸ εἶναι καθ' ἡμᾶς ἀποβαλοῦνται, ἧττον ὄντες ὁμοούσιοι, καὶ πρὸ τῆς ἐντολῆς, καὶ μετὰ τὴν ἐντολήν. Ἀλλ' ἐρεῖς ὅτι μένουσι μὲν ὁμοούσιοι, ἡττώμενοι δὲ τῆς ἀξίας ὑπηρετοῦσι τῆς παρ' ἡμῖν. Κἀγὼ δέ σοι πρὸς τοῦτό φημι περὶ τοῦ Μονογενοῦς Εἰ μὲν γὰρ οὐκ ἐγράφη περὶ αὐτοῦ, ὅτι "ἐν μορφῇ Θεοῦ "ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' "ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, καὶ σχήματι "εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν," εἶχεν ἄν σοι καὶ οὐκ ἀπίθανον λόγον τῆς ἀντιλογίας τὸ σχῆμα· ἐπειδὴ δὲ τῆς ὑποταγῆς καὶ ταπεινώσεως ἐναργὴς ὁ τρόπος, τί ῥιψο κινδύνως ἐπιτιμᾷς τῷ δι' ἡμᾶς καὶ τοῦτο παθεῖν ὑπομείναντι; πανταχόθεν τοιγαροῦν εἰς ὀρθότητα δογμάτων περιιστάντες τὸν λόγον, οἰκονομικῶς εἰρηκέναι φαμὲν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὰ ἐν τῷ προκειμένῳ ῥητῷ. 2.342 Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν Πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ τούτῳ, εἰς τέλος ἠγάπησεν αὐτούς. Ἀσυμφανέστερόν ἐστι τοῖς πολλοῖς τὸ ἐν τοῖς προκει μένοις θεώρημα, καὶ οὐ σφόδρα τρανὲς εἰς ἐξήγησιν, ἀλλ' οὐδὲ ἁπλοῦν ἔχον, ὥσπερ ἄν τις οἰηθείη, τὸν νοῦν. τοῦ γὰρ δὴ χάριν ἐπισημαίνεται νῦν ὁ θεσπέσιος Εὐαγγελιστὴς, καὶ ὥσπερ τι τῶν ἀναγκαίων ἐπιτηρεῖ, λέγων Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν Πατέρα; τί δὲ αὖ πάλιν ἐστὶ τό Ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ εἰς τέλος ἠγάπησεν αὐτούς; ἔχοντος τοίνυν οὐ μέτριον τοῦ λόγου τὸ ἀσαφὲς, βούλεσθαί τι τοιοῦτον οἶμαι λέγειν αὐτὸν, ὅτι πρὸ τοῦ σωτηρίου πάθους, καίτοι γινώσκων, φησὶν, ὁ Σωτὴρ, ὅτι λοιπὸν ἐπὶ θύραις γέγονεν ὁ καιρὸς τῆς εἰς οὐρανοὺς μετα στάσεως, τελειοτάτην ἐπεδείξατο τὴν ἀγάπησιν τὴν περὶ τοὺς ἰδίους ὄντας ἐν τῷδε τῷ κόσμῳ. καὶ εἰ χρή πως πλατυτέραν τοῖς προκειμένοις ἐπινοῆσαι θεωρίαν, ὅπερ ἔφην ἀρτίως, καὶ εἰσαῦθις ἐρῶ. ἴδιον μὲν γὰρ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὰ πάντα δι' αὐτοῦ γεγονότα, λογικὰ καὶ νοερὰ κτίσματα, δυνάμεις αἱ ἄνω, καὶ θρόνοι, καὶ κυριότητες, καὶ εἴ τι τούτοις ὁμογενὲς, ὅσον εἰς τὸν τοῦ πεποιῆσθαι λόγον· ἴδιον δὲ αὖ πάλιν αὐτοῦ καὶ τὰ ἐπὶ τῆς γῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λογικὰ, καθὸ πάντων ἐστὶ Δεσπότης, καὶ εἰ μή τινες προσκυνοῦσιν ὡς δημιουργόν. ἠγάπησε τοίνυν τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ. "οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται," κατὰ τὴν Παύλου φω νὴν, οὐδὲ διὰ τὴν τῶν ἀγγέλων φύσιν, "ἐν μορφῇ Θεοῦ καὶ "Πατρὸς ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα "Θεῷ," δι' ἡμᾶς δὲ μᾶλλον τοὺς ὄντας ἐν τῷ κόσμῳ, κεκένωκεν 2.343 ἑαυτὸν, καὶ μορφὴν ἀνεδέξατο τὴν οἰκετικὴν ὁ πάντων Κύριος, ἀγάπῃ τῇ περὶ ἡμᾶς κεκλημένος εἰς τοῦτο. ἀγα πήσας τοίνυν τοὺς ἐν τῷδε τῷ κόσμῳ ἠγάπησεν αὐτοὺς εἰς τέλος, καίτοι καὶ πρὸ τῆς ἑορτῆς καὶ πρὸ τοῦ πάσχα εἰδὼς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν Πατέρα. τοῦ μὲν γὰρ μὴ εἰς τέλος ἀγαπήσαντος ἦν, τὸ γενέσθαι μὲν ἄνθρωπον, μὴ μὴν ἐθελῆσαι καὶ τῆς ἁπάντων προκινδυνεῦσαι ζωῆς, ἀλλ' ἠγάπησεν εἰς τέλος, καὶ τοῦτο παθεῖν οὐ παραιτησάμενος, καίτοι προειδὼς ὅτι πείσεται. οὐ γὰρ ἄποπτον ἦν τῷ Σωτῆρι τὸ πάθος. ἐξὸν οὖν, φησὶ, διαδρᾶναι τῶν Ἰουδαίων τὰς παροινίας καὶ τὴν τῶν σταυ ρούντων ἀνοσιότητα, τελεωτάτην ἐπεδείξατο τὴν ἀγάπησιν τὴν εἰς τοὺς ἰδίους τοὺς ὄντας ἐν τῷ κόσμῳ, παρῃτήσατο γὰρ οὐδαμῶς τὸ καὶ τῆς ἁπάντων ὑπερτεθῆναι ζωῆς. ὅτι γὰρ ἐν τούτῳ μάλιστα τελεώτατόν ἐστι τῆς ἀγάπης τὸ μέτρον ἰδεῖν, αὐτὸν παροίσω μάρτυρα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τοῖς ἁγίοις λέγοντα μαθηταῖς "Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, "ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. μείζονα "γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ "θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ." καὶ καθ' ἕτερον δὲ τρόπον ἀεί πως ἐστὶ διὰ σπουδῆς γεγονὸς τοῖς ἁγίοις εὐαγγελισταῖς, προειδότα δεικνύειν τὸν τοῦ πάθους καιρὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν· ἵνα μή τις τῶν ἑτεροδοξεῖν εἰωθότων τῆς θείας αὐτοῦ δόξης κατεπαίρηται, λέγων, ὡς ἥλω μὲν δι' ἀσθένειαν, βρόχοις δὲ τοῖς Ἰουδαίων ἀνεθελήτως περιπεσὼν, τὸν οὕτω πάνδεινον ὑπέστη θάνατον. οἰκονομικὸς τοιγαροῦν καὶ ὠφέλιμος τῶν ἁγίων ὁ λόγος. 2.344 Καὶ δείπνου γενομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος τοῦ Ἰσκαριώτου, ἵνα παραδῷ αὐτόν· εἰδὼς ὅτι πάντα ἔδωκεν αὐτῷ ὁ Πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε καὶ πρὸς τὸν Θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησι τὰ ἱμάτια, καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν· εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος. Πρόῤῥιζον ὁ Σωτὴρ ἐκ τῶν ἡμετέρων διανοιῶν, ὡς νοση μάτων αἴσχιστον, καὶ τῆς ἁπάντων ἀνωτάτω βδελυρίας ἄξιον, καταστρέφει τὴν ὑπεροψίαν. οἶδε γὰρ οὕτως οὐδὲν ἀδικεῖν εἰωθὸς τὴν ἀνθρώπου ψυχὴν, ὡς τοῦτο μάλιστα τὸ μιαρὸν καὶ ἀπόπτυστον πάθος, ᾧ καὶ αὐτὸς ὁ πάντων Δεσπότης, ὡς ἐν τάξει πολεμίου, δικαίως ἀντανίσταται· "Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται," κατὰ τὴν τοῦ Σολομῶντος φωνήν. ἔδει τοίνυν τοῖς ἁγίοις μάλιστα μαθη ταῖς μετρίου τε καὶ καθυφειμένου φρονήματος, καὶ διακένου τιμῆς οὐ σφόδρα φροντίζοντος λογισμοῦ· οὐ μικρὰς γὰρ ἔχοντες τὰς τοῦ τοιαῦτα νοσεῖν ἀφορμὰς, κατώλισθον ἂν εὐκόλως, εἰ μὴ πολλῆς ἔτυχον τῆς ἐπικουρίας. φιλεῖ γάρ πως ἀεὶ τοῖς ἔχουσι τὸ περιφανὲς τὸ πικρὸν τῆς ἀλαζονείας ἐπιτρέχειν θηρίον. εἶτα τί τῶν ἁγίων ἀποστόλων φαιδρό τερον; ἢ ποῖον τῆς πρὸς Θεὸν φιλίας τὸ ἀξιολογώτερον; τὸν μὲν γὰρ οὐδὲν ὄντα κατὰ τὸν βίον οὐκ ἂν εἰσέλθοι τὸ πάθος. φεύγει γάρ πως ἀεὶ τὸν οὐδὲν ἔχοντα ζηλωτὸν, καὶ τῶν ἐν τῷ μηδενὶ τεταγμένων ἀνεπίβατον· πῶς γὰρ ἂν ἐπέλθοι τῶν τοιούτων τινὶ τὸ κατά τι γοῦν ὅλως ἀλαζο νεύεσθαι; φιλεῖ δέ τις τὴν ὑπεροψίαν ἀξιοζήλωτος ὢν, ἑαυτόν τε διὰ τοῦτο τοῦ πέλας προτιθεὶς, καὶ πολὺ τῶν 2.345 ἄλλων διενεγκεῖν ἀσυνέτως ὑπολαβὼν, ὡς ἐξαίρετόν τινα καὶ ὑπερφυεστάτην ἀρετὴν κατορθώσαντα, καὶ πολιτείας ὁδὸν ἀήθη τε τοῖς ἄλλοις καὶ ἀστιβῆ διανύσαντα. ὅτε τοίνυν παραπέπηγέ πως τοῖς ἔχουσί τι λαμπρὸν, τὸ νοσεῖν ἔσθ' ὅτε τὴν ὑπεροψίαν, πῶς οὐκ ἔδει τοῖς ἁγίοις ἀποστόλοις μετρίου φρονήματος ὑπογραμμὸν γενέσθαι Χριστὸν, ἵνα τύπον ἔχοντες καὶ εἰκόνα τὸν ἁπάντων Κύριον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ αὐτοὶ κατὰ τὸ δοκοῦν τῷ Θεῷ τὸν οἰκεῖον μεταπλάσσοιεν νοῦν; ἣν οὖν ἄρα τὴν νόσον οὐχ ἑτέρως ἐξελεῖν, εἰ μὴ διὰ τοῦ διδάξαι σαφῶς τοσοῦτον οἴεσθαι τῶν ἄλλων ἡττᾶσθαι κατὰ τὴν δόξαν, ὡς καὶ ἐν δούλου τάξει κατατάττεσθαι δεῖν, οὐδὲ αὐτὴν καταφρίττοντα τὴν οἰκέτῃ πρέπουσαν λειτουργίαν ἀποπληροῦν, διὰ τοῦ καὶ ἀπονίζειν τῶν ἀδελφῶν τοὺς πόδας, καὶ λέντιον περιθέσθαι διὰ τὴν χρείαν. ἄθρει γὰρ ὅπως ἀν δραποδῶδες τὸ χρῆμά ἐστιν, ὅσον εἰς ἔθη φημὶ τὰ ἐν κόσμῳ καὶ τὰς ἔξω τριβάς. ὑπογραμμὸς τοιγαροῦν μετρίου τε καὶ συνεσταλμένου φρονήματος ἅπασι τοῖς κατὰ τὸν βίον· οὔτε γὰρ μόνοις τοῖς μαθηταῖς· γέγονεν ὁ Χριστός. διὰ τοῦτο καὶ ὁ θεσπέσιος Παῦλος, αὐτὸν εἰκόνα παραλαβὼν, εἰς τοῦτο προτρέπει λέγων "Τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν ὃ καὶ "ἐν Χριστῷ Ἰησοῦ·" καὶ πάλιν "Τῇ ταπεινοφροσύνῃ "ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν." θεσμὸς γὰρ ἀγάπης καὶ ὁμοψυχίας ἐν φρονήματι γίνεται ταπεινῷ. ἵνα δὲ τὴν τοῦ πράγματος ὑπόληψιν εἰς ὕψος ἐξάρῃ μέγα, καὶ μή τι τῶν τυχόντων δεδρᾶσθαι νομίσωμεν παρὰ Χριστοῦ, πάλιν ἀναγκαίως ὁ θεσπέσιος Εὐαγγελιστὴς προκαταπλήτ τεται τὴν ἐνοῦσαν αὐτῷ δόξαν τε καὶ ἐξουσίαν, καὶ τὸ κατὰ πάντων κράτος, δι' ὧν φησιν Εἰδὼς ὅτι παρέδωκεν αὐτῷ ὁ Πατὴρ εἰς τὰς χεῖρας. καίτοι γὰρ, φησὶν, οὐκ ἠγνοηκὼς, ὅτι πάντων ἔχοι τὴν ἐξουσίαν, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθεν, τουτ έστιν, ἐκ τῆς οὐσίας ἐγεννήθη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ πρὸς Θεὸν ὑπάγει, τουτέστι, πάλιν ἀνίησιν εἰς οὐρανοὺς, 2.346 συνεδρεύων δηλονότι τῷ ἰδίῳ γεννήτορι, τοσαύτην ὑπέστη τὴν ταπείνωσιν, ὡς λεντίῳ μὲν διαζώσασθαι, τῶν δὲ μαθητῶν ἀπονίζειν τοὺς πόδας. ἔχοντες τοίνυν ἐντεῦθεν ἄριστον τῆς εὐλαβείας ὑπογραμμὸν, καὶ τῆς εἰς ἀλλήλους ἀγάπης περι φανεστάτην εἰκόνα, μέτρια μὲν φρονῶμεν, ἀγαπητοὶ, ἡγώ μεθα δὲ τοὺς ἀδελφοὺς τὰ μείζω κεκτῆσθαι τῶν ἐν ἡμῖν πλεονεκτημάτων, κἂν ὑπάρχωμεν ἀγαθοί. τοῦτο γὰρ ἡμᾶς ὁ μέγας οὗτος ὑπογραμμὸς ἀναπείθει φρονεῖν τε καὶ βού λεσθαι. Ἔρχεται οὖν εἰς Σίμωνα Πέτρον· καὶ λέγει αὐτῷ Κύριε, σύ μου νίπτεις τοὺς πόδας; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. λέγει αὐτῷ Πέτρος Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα. Θερμότερόν πως ἀεὶ τοῦ Πέτρου τὸ κίνημα, καὶ πολὺ γοργότερον εἰς εὐλάβειαν, θεωρῆσαι τις ἂν ἐν ὅλοις, ὡς ἔπος εἰπεῖν, τοῖς συγγράμμασι. τοιγάρτοι καὶ νῦν ἔθει τῷ ἰδίῳ κατακολουθήσας καὶ τρόπῳ, τὸ σεσωσμένον δὴ τοῦτο τῆς εἰς ἄκρον ἡκούσης ταπεινοφροσύνης τε καὶ ἀγάπης παρωθεῖται μάθημα, τίς μὲν αὐτὸς εἴη κατὰ φύσιν ἐννοῶν, τίς δ' αὖ πάλιν ὁ τὸν νιπτῆρα παρακομίζων αὐτῷ, καὶ τὴν οἰκέτου χρείαν ἀποπληροῦν οὐ παραιτούμενος. θορυβεῖ γὰρ οὐ μετρίως αὐτὸν ἀπαράδεκτόν πως εἰς πίστιν ὑπάρχον τὸ πρᾶγμα, καὶ εἰ πολλοῖς ὁρῷτο τυχὸν ὀφθαλμοῖς. τίς γὰρ ἂν οὐκ ἔφριξε μαθὼν, ὡς ὁ τῶν ὅλων μετὰ Πατρὸς ὑπάρχων Κύριος, οἰκτροτάτην οὕτω τὴν δουλείαν πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ἐπεδείξατο, ὡς καὶ ὅπερ εἶναι δοκεῖ παρὰ τοῖς οἰκέταις τὴν ἐσχάτην ἐπέχον τάξιν, τοῦτο καὶ μάλα προ θύμως ἐθελῆσαι δρᾶν αὐτὸν, εἰς ὑπογραμμὸν καὶ τύπον μετρίου φρονήματος; δέδιε τοιγαροῦν ὁ θεσπέσιος μαθητὴς 2.347 τὸ ἐκ τοῦ πράγματος ἄχθος, καὶ τῆς συνήθους καὶ τετριμ μένης εὐλαβείας αὐτῷ καρπὸν ποιεῖται τὴν παραίτησιν, συνεὶς δὲ οὔπω τὴν αἰτίαν τοῦ πράγματος, οἴεταί τι δρᾶν εἰκῇ τὸν Κύριον, καὶ ψιλὴν αὐτοῖς τοῦ σώματος ἐπινοῆσαι τὴν ἀνάπαυσιν· τὸ γὰρ ἀπονίζεσθαι τοὺς πόδας συντελεῖ πως εἰς τοῦτο, καὶ μετρίως ἀποχαλᾷ τὴν ἐκ τοῦ βαδίσματος στάσιν· διὰ τοῦτο καὶ σφόδρα θερμῶς ἐνείργει λέγων Κύριε, σύ μου νίπτεις τοὺς πόδας; ἔδει γὰρ ἔδει, φησὶ, τοὺς κατὰ φύσιν οἰκέτας τοῦτο πράττειν ἡμᾶς, οὐχί σε τὸν ἁπάντων Κύριον. ἀλλ' ὑπερτίθεται μὲν τοῦ πράγματος τὴν ἐξήγησιν εἰς καιρὸν ὁ Χριστὸς, ὅτι γεμὴν ἀξιολογωτέραν ἔχοι τὴν αἰτίαν, τὸ παρ' αὐτοῦ γεγονὸς συνήσειν φησὶ μετὰ ταῦτα, ὅταν δηλονότι πλατυτέραν περὶ αὐτοῦ ποιεῖται τὴν ἐξήγησιν. Ὀνήσει δὲ λίαν καὶ τοῦτο πάλιν ἡμᾶς μετὰ τῶν ἄλλων οὐ μικρῶς. θέα γὰρ ὅπως καιροῦ καλοῦντος εἰς ἔργον, ὑπερτίθεται τὸν λόγον, καιροῦ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὖ πάλιν ἐπείγοντος εἰς λόγον ἀναδύεται τὸ δρᾶν· πάντα γὰρ καιροῖς ἀπονέμων τοῖς ἐοικόσι καὶ πρέπουσιν ἦν. ἀνανεύοντος τοίνυν τοῦ Πέτρου, καὶ ἀποφάσκοντος ἐναργῶς οὐκ ἂν αὐτοῦ νίψαι τοὺς πόδας εἰς τὸν αἰῶνα, τὴν ἐσομένην ζημίαν ἐντεῦθεν φανερὰν ὁ Σωτὴρ καθίστησι λέγων· Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Ὅσον μὲν οὖν ἧκεν εἰς τὸν ἐμφανῆ καὶ πρόχειρον τοῦ προκειμένου σκοπόν Εἰ μὴ καταδέξαιο, φησὶ, τὸ ξένον τοῦτο καὶ ἄηθες τῆς ταπεινοφροσύνης μάθημα, μερίδα καὶ κλῆρον οὐκ ἂν εὕροις μετ' ἐμοῦ. ἐπειδὴ δὲ πολλάκις ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, καὶ μικρὰς τῶν λόγων λαβὼν ἀφορμὰς, γενικὴν ποιεῖται τὴν ἐξήγησιν, καὶ εἰς πλάτος ἐξέλκων τὰ ἐφ' ἑνὸς πράγματος, ἤγουν εἴς τι μέρος ἰδίως εἰρημένα, 2.348 πλουσίαν τοῖς ὁρωμένοις εἰσφέρει τὴν ὄνησιν, οἰησόμεθά πως κἀν τούτῳ λέγειν αὐτὸν, ὡς εἰ μή τις ἀπονίψαιτο διὰ τῆς αὐτοῦ χάριτος τὸν ἐκ τῆς ἁμαρτίας καὶ τοῦ πλημμελεῖν μολυσμὸν, ἀμέτοχος ἔσται τῆς παρ' αὐτοῦ ζωῆς, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἄγευστος ἀπομενεῖ. οὐ γὰρ τοῖς ἀκα θάρτοις εἰς τὰς ἄνω μονὰς εἰσιέναι θέμις, ἀλλὰ τοῖς διὰ τῆς εἰς Χριστὸν ἀγάπης καθαρὸν ἔχουσι τὸ συνειδὸς, καὶ ἡγια σμένοις ἐν Πνεύματι διὰ τοῦ ἁγίου βαπτίσματος. Λέγει αὐτῷ Σίμων Πέτρος Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Ὁ τοσαύτην ἡμῖν ἀρτίως ἐπιδείξας τὴν ἔνστασιν, καὶ ἀπαυδήσας ἐναργῶς τοῖν ποδοῖν τὴν ἀπόνιψιν, οὐχ ὅπως αὐτοὺς παρατίθησι μόνους, ἀλλὰ καὶ χεῖρας καὶ κεφαλήν. εἰ γὰρ μέλλοιμι, φησὶν, ἀποπεσεῖσθαι διὰ τοῦτο τῆς πρὸς σὲ κοινωνίας, καὶ μακράν που κεῖσθαι τῶν ἐν ἐλπίσιν ἀγαθῶν, εἰ μή σοι καὶ τοῦτο δρᾶν ἐθέλοντι καὶ προελομένῳ κατανεύ σαιμι καὶ ἀπονίψαιμι τοὺς πόδας, παραθήσω καὶ τὰ λοιπὰ, τὴν οὕτω φρικωδεστάτην ζημίαν παραιτούμενος. εὐλαβείας οὖν ἦν ἄρα καρπὸς ἡ ἐν ἀρχαῖς παραίτησις, καὶ τὸ δυσαχθὲς δεδιότος τοῦ πράγματος, οὐχὶ δὴ πάντως ἀντιπράττοντος τοῖς δεσποτικοῖς ἐπιτάγμασιν. ἐννοῶν τε γὰρ, ὡς ἔφην, τήν τε τοῦ Σωτῆρος ἀξίαν, καὶ τῆς ἑαυτοῦ φύσεως τὸ σμικρο πρεπὲς, ἠρνεῖτο μὲν ἐν ἀρχαῖς· μαθὼν δὲ τὸ βλάβος, εὐθὺς μετατρέχει πρὸς τὸ βούλεσθαι τὸ τῷ κρατοῦντι δοκοῦν. Ἐπιτήρει δὲ πάλιν καὶ δέχου τὸ πεπραγμένον εἰς ὠφελείας ὑπογραμμόν· καίτοι γὰρ εἰρηκώς "Οὐ μὴ νίψῃς μου τοὺς "πόδας εἰς τὸν αἰῶνα," μεθίσταται παραχρῆμα τοῦ πρὸς τοῦτο βλέποντος νοῦ, οὐκ ἐκεῖνο μάλιστα ἐννοήσας, ὅτι προσήκοι τοῖς ἰδίοις αὐτὸν ἐμμένοντα λόγοις ἀληθῆ φαί νεσθαι παρ' ἡμῖν, ἀλλ' ὅτι μείζονα καὶ χαλεπωτέραν εὑρήσει 2.349 ζημίαν, τὴν ἐκ τοῦ τηρῆσαι τὸ εἰρημένον. παραφυλακτέον τοιγαροῦν τὸ προαλῶς τι καὶ προχείρως εἰπεῖν, μήτε μὲν ἀγρίοις ἐπειγέσθω τις τόνοις ...... τὸ ἐκ προπετείας ἀπο πτυσθὲν, ἀλλὰ κἄν τι λέγεσθαι συμβῇ παρά τινων, εἶτά τι τῶν ἀγαθῶν καὶ ἀναγκαιοτέρων ἀφανίζηται διὰ τῆς ἐνστά σεως, ἐπαθρείτω διὰ τῶν προκειμένων, ὅτι πολὺ λίαν ἐν ἀμείνοσι τὸ μὴ λέγειν ἁπλῶς καὶ διατείνεσθαι μάτην, ὅτι δεδωκὼς εἴη λόγον, πράττειν δὲ μᾶλλον ἐπείγεσθαι τὸ λυσι τελές. κρεῖττον γὰρ οἶμαι πᾶς τις ἐρεῖ, ἐν λόγοις ἡμᾶς ὑπομεῖναι γραφὴν, ἢ πραγμάτων ἀναγκαίων ζημίαν ὑφί στασθαι. ἀπέστω δὲ γλώττης τῆς ἡμετέρας τὸ ὀμνύναι παντελῶς, διὰ τὰς προχείρους τε καὶ ἐξ ἀκρίτου διανοίας φωνὰς, καὶ τὰς ἔσθ' ὅτε συμβαινούσας ὡς ἐξ ἀνάγκης μετα βολάς. ἄξιον μὲν γὰρ καὶ ἀξιοζήλωτον ὄντως ἐρεῖ τις τὸ γλῶτταν ἔχειν ἐπιστήμονα, καὶ εἰς ἃ μὴ προσῆκεν ὀλιγάκις διολισθαίνουσαν. ἐπειδὴ δὲ τὸ πρᾶγμα δυσκαταγώνιστον καὶ αὐτὸς ἡμῖν ὁ θεῖος παρέδειξε λόγος· "τὴν γὰρ γλῶτταν "οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι," κατὰ τὸ εἰρημένον· ὅρκων ἐλευθέραν τὴν τῶν λόγων ποιώμεθα προφοράν. τότε γὰρ εἴ τι καὶ παρελθεῖν ἀναγκάσαι καιρὸς, μεῖον ἔσται τὸ κατηγόρημα, καὶ μετριωτέραν ἕξει τὸ πταῖσμα τὴν γραφήν. εὐκόλως δ' ἂν οἶμαι καὶ τῆς παρὰ Θεοῦ τις συγγνώμης τεύξεται, διὰ τὴν ἀεί πως ἡμῖν παρεπομένην τῶν λογισμῶν ἐλαφρίαν. "Παραπτώματα γὰρ τίς συνήσει," κατὰ τό γε γραμμένον, ἢ πῶς οὐκ ἂν διαπταίση γήϊνος ἄνθρωπος, λειοτάτην ἔχοντος τοῦ λόγου τὴν εἰς ὁτιοῦν ἀποδρομήν; γλῶττα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ἡ ἐν ἡμῖν οὐ λίαν εὐκάτοχος. 2.350 Λέγει αὐτῷ ὁ Ἰησοῦς Ὁ λελουμένος οὐ χρείαν ἔχει, εἰ μὴ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες· ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν ὅτι οὐχὶ πάντες καθαροί ἐστε. Δέχεται μὲν ἐκ τῶν καθ' ἡμᾶς ἀπὸ κοινοῦ πράγματος τὸ παράδειγμα, εὐαφόρμως τε διαπράττει τῷ προδότῃ τὸν ἔλεγχον, μεταβούλεσθαί τε διδάσκων καὶ μετατίθεσθαι εἰς ἕξιν τὴν ἀμείνω τὸν ἄνθρωπον. εἰ γὰρ καὶ οὔπω γυμνῶς τῆς ἐνούσης αὐτῷ δυσβουλίας ἀπελέγχει τὰ ἐγκλήματα, ἀλλ' οὖν γε δριμεῖαν ὁ λόγος ἔχει τὴν ἔμφασιν. δι' ὧν γὰρ τοῖς ἄλλοις τὴν εἰς ὁλόκληρον καθαρότητα μαρτυρεῖ, ὕποπτον δηλονότι τὸν μὴ τοιοῦτον καθίστησι, καὶ μεμολυ σμένον ἀποδεικνύει. τοῖς μὲν γὰρ ἑτέροις αὐτοῦ μαθηταῖς, καὶ τὸ τῆς ἀπερισπάστου προσεδρείας καύχημα, καὶ τὸν τῆς ἀκολουθήσεως πόνον, καὶ τὸ βέβαιον ἐν πίστει, καὶ τὸ πλῆρες ἐν ἀγάπῃ τῇ περὶ Χριστὸν, τὴν καθαρότητα προ ξενεῖ· τῷ γεμὴν ἑτέρῳ, καὶ αὐτὸ τῆς ἀπλήστου φιλοχρη ματίας τὸ ἔγκλημα, καὶ τὸ ἀσθενὲς εἰς διάθεσιν τὴν περὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, τὴν ἀνέκπλυτον κηλῖδα προστρίβεται, καὶ τῆς ἀσυγκρίτου δυσβουλίας τὸν μολυσμὸν ἐμποιεῖ. ὅταν τοίνυν λέγῃ Χριστός Ἤδη ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες, κεκρυμμένον μέν ἐστι, πλὴν ἐπωφελῆ τῷ προδότῃ ποιεῖται τὸν ἔλεγχον. εἰ γὰρ καὶ μὴ ἔφη σαφῶς, καθάπερ ἀρτίως εἰρήκαμεν, ἀλλ' ἦν ἐν ἑκάστῳ δικάζον τὸ συνειδὸς, καὶ διακεντοῦν τὸν ἡμαρτηκότα, καὶ τὴν τῶν εἰρημένων δύναμιν καθάπερ ἐξ ἀνάγκης καλοῦν ἐπὶ τὸν ὑπαίτιον. Ἐννόει δὲ ὅπως οἰκονομίας τινὸς καὶ θεοπρεποῦς ἀνεξι κακίας τὸ πρᾶγμα πεπλήρωται· εἰ γὰρ ἔφη σαφῶς, τίς ὁ 2.351 προδώσων αὐτὸν, πολεμίους ἂν αὐτῷ τοὺς ἄλλους ἐξειργά σατο, καὶ τάχα τι τῶν ἀνηκέστων συνέβη παθεῖν, καὶ πρόωρον ἂν ὑπομεῖναι δίκην, ζήλῳ τῷ πρὸς εὐσέβειαν διατεθηγμένου τινὸς, καὶ προανελεῖν τοῦ Δεσπότου τὸν προ δότην ἐπιχειρήσαντος. ὑπαινιξάμενος τοίνυν, καὶ τῷ συνει δότι δριμὺν τὸν ἔλεγχον ἀφεὶς, ἀναμίλλητον ἔδειξε τῆς ἐνούσης αὐτῷ ἀνεξικακίας τὸ μέγεθος. καίτοι γὰρ εἰδὼς οὐκ ἀγαθὸν ὄντα περὶ αὐτὸν οὐδὲ εὐγνώμονα μαθητὴν, ἀλλ' ὠδίνοντα μὲν τὸν ἐκ τῆς διαβολικῆς πικρίας ἰὸν, περισκε πτόμενον δὲ τίνα τρόπον αὐτὸν παραδῷ, τετίμηκεν ἐν ἴσῳ τοῖς ἄλλοις, ἀπονίζοι δὲ αὐτοῦ καὶ τοὺς πόδας, μέχρι παντὸς τὰ ἐκ τῆς ἰδίας ἀγάπης τηρῶν, καὶ πρὶν εἰς τέλος ἐλάσαι τὰ ἐγκλήματα, τὴν ὀργὴν οὐκ ἐπιτιθείς. ἴδοις γὰρ ἂν ἴδιον ὅπως ὑπάρχον καὶ τοῦτο τῆς ἰδίας θείας φύσεως τὸ πλεο νέκτημα. οὐ γὰρ ἐπείπερ οἶδεν ὁ Θεὸς τὰ ἐσόμενα, διὰ τοῦτο πρόωρον ἐπιφέρει τισὶ τὴν κόλασιν· ἀνεξικακήσας δὲ μᾶλλον ὅσον ἔδει καιρὸν, ὅταν ὠφελουμένους ἴδῃ μηδὲν, ἐμμένοντας δὲ μᾶλλον τοῖς αἱρεθεῖσι κακοῖς, κολάζει λοιπὸν, τῆς δυσβουλίας τὸ πρᾶγμα δεικνὺς, καὶ οὐκ ἔργον ὄντως τῆς ἰδίας βουλῆς, ἤτοι θελήσεως. καὶ γοῦν διὰ τοῦτό φησιν Ἰεζεκιήλ "Ζῶ ἐγὼ λέγει Κύριος, ὅτι οὐ θέλω τὸν θάνατον "τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ "αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν." μακροθύμως τοιγαροῦν καὶ ἀνεξικάκως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς συνανα μιγνὺς ἔτι τοῖς ἄλλοις αὐτοῦ μαθηταῖς τὸν προδότην, καίτοι "τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν αὐτοῦ ἵνα "αὐτὸν παραδῷ·" ἀναγκαίως γὰρ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἐπισημήνασθαι τὸν Εὐαγγελιστὴν ἐν ἀρχαῖς· καὶ αὐτοῦ πόδας ἔνιψεν, ἀπροφάσιστον αὐτοῦ τὴν δυσσέβειαν ἀποτελῶν, ἵνα καρπὸς τῆς ἐνούσης αὐτῷ πονηρίας ἡ ἀπό στασις φαίνηται. 2.352 Ὅτε οὖν ἔνιψε τοὺς πόδας τῶν μαθητῶν καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ καὶ ἀνέπεσε πάλιν, εἶπεν αὐτοῖς Γινώσκετε τί πεποίηκα ὑμῖν; ὑμεῖς φωνεῖτέ με Ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν ἵνα καθὼς ἐποίησα ὑμῖν ἐγὼ καὶ ὑμεῖς ποιῆτε. Ἀναφανδὸν ἤδη φησὶ τὴν τοῦ πράγματος αἰτίαν, καὶ τῆς ἀσυγκρίτου ταπεινοφροσύνης τὸ ὑπόδειγμα, τῆς εἰς ἡμᾶς ἕνεκεν ὠφελείας πεποιῆσθαί φησιν· ἀναπολόγητον δὲ τὸ ἐκ τῆς ὑπεροψίας ἔγκλημα τιθεὶς, ἀναγκαίως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσφέρει τοῦ ἰδίου προσώπου τὸ περιφανές. ἐν γὰρ δὴ τῷ τοιούτῳ θεωρήσαι τις ἂν τὸ τῆς ταπεινοφροσύνης ἀσύγκριτον μέγεθος. τὸ μὲν γὰρ ἐξ ἑαυτοῦ χαμαιριφὲς, ἢ καὶ ἐν τῷ μηδενὶ τεταγμένον, κατὰ ποῖον ἂν κατασμικρυνθείη τρόπον, ἢ ὅποι χωρήσει τὸ κάτω κείμενον; θεωρήσαι γὰρ τοῦτο καὶ εἰ μή τι τὸ κατα βιβάζειν ἄνωθεν πεφυκός. τὸ δὲ ἐν ὕψει θεωρούμενον, ἐν ταπεινῷ γεγονὸς θαυμάζεται· κατέβη γὰρ εἰς ὅπερ οὐκ ἦν. ἀναγκαίως τοιγαροῦν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς, μᾶλλον δὲ δι' ἐκείνων τοῖς ἀνὰ πᾶσαν τὴν γῆν, τὸ τῆς ταπεινοφροσύνης μάθημα διδοὺς, οὐχ ἁπλῶς φησιν, ὅτι ὥσπερ ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, οὕτω καὶ ὑμεῖς ὀφείλετε ποιεῖν· προεξηγεῖται δὲ μᾶλλον τὸ ἴδιον ἀξίωμα, καὶ τὴν ἐνυπάρχουσαν αὐτῷ φυσικὴν εὔκλειαν παρατιθεὶς δυσωπεῖ τῷ πράγματι τὸν φιλόδοξον. ὑμεῖς γάρ φησιν αὐτοὶ καλεῖτέ με ὁ Κύριος καὶ ὁ διδάσκαλος καὶ καλῶς λέγετε, εἰμὶ γάρ. ἐπιτήρει δὲ ὅπως καὶ μεταξὺ τοῦ λόγου τῆς τῶν πιστευόντων προενόησεν οἰκοδομῆς, καὶ τὰς τῶν ἀνοσίων αἱρετικῶν οὐκ ἠγνόησε γλωσσαλγίας. ἐπειδὴ γὰρ 2.353 ἔφη πρὸς τοὺς ἑαυτοῦ μαθητάς Ὑμεῖς καλεῖτέ με Ὁ Κύριος καὶ ὁ διδάσκαλος, ἵνα μή τις οἴηται φύσει μὲν αὐτὸν οὐκ εἶναι κύριον, οὐδὲ διδάσκαλον, ἔχειν γεμὴν ὡς ἐν τάξει τιμῆς παρὰ τῶν ἐσομένων αὐτῷ τὴν ἐπωνυμίαν, ἀναγκαίως προσ τέθεικε τὰς ἐκείνων ἀναιρῶν ὑπονοίας Καὶ καλῶς λέγετε, εἰμὶ γάρ. οὐ γὰρ ψιλὸν ὄνομα κέκτηται τιμῆς τό Κύριος, καθάπερ ἡμεῖς οἰκέται μένοντες τὴν φύσιν, λελαμπρυσμένοι γεμὴν κατὰ χάριν τοῖς ὑπὲρ φύσιν τε καὶ ἀξίαν ὀνόμασιν· ἀλλ' ἔστι τῇ φύσει Κύριος, κατεξουσιάζων τῶν ὅλων, ὡς Θεὸς, πρὸς ὃν εἴρηταί που διὰ τῆς τοῦ ψάλλοντος φωνῆς "Ὅτι "τὰ σύμπαντα δοῦλά σου." ἔστι δὲ τῇ φύσει καὶ διδά σκαλος· "Πᾶσα γὰρ σοφία παρὰ Κυρίου," καὶ πᾶσα σύνεσις δι' αὐτοῦ. σοφοῖ γὰρ ὡς σοφία τὰ νοητὰ, καὶ πάσῃ κτίσει τῇ λογικῇ, ἐπουρανίῳ τε καὶ ἐπιγείῳ, τὴν αὐτῇ πρέπουσαν ἐνσπείρει σύνεσιν. ὅνπερ γὰρ τρόπον αὐτὸς ὑπάρχων ἡ κατὰ φύσιν ζωὴ ζωογονεῖ τὰ πάντα τὰ ζωῆς δεκτικὰ, οὕτως ἐπείπερ αὐτός ἐστιν ἡ σοφία τοῦ Πατρὸς, πᾶσιν ἐντίθησι τὰ σοφίας δῶρα, φρόνησιν δηλονότι καὶ πᾶσαν εἴδησιν ἀγαθῶν. φύσει τοιγαροῦν τῶν ὅλων Κύριός ἐστι καὶ διδάσκαλος ὁ Υἱός. ὅτε τοίνυν ὁ μέγας ἐν δόξῃ καὶ τοσοῦτος ἐγὼ πρὸς τὴν οὕτω σμικρο πρεπῆ καθικνεῖσθαι ταπείνωσιν οὐ κατοκνήσας φαίνομαι, ὡς καὶ τοὺς ὑμῶν ἀπονίψαι πόδας· πῶς ἂν ἔτι καὶ ὑμεῖς, φησὶ, παραιτῆσθε ἀλλήλοις ποιεῖν; διδάσκει δὲ διὰ τούτων, τὸ μὴ τῆς ἑτέρων τιμῆς καταλαζονεύεσθαι φιλεῖν, ἀλλ' ὑπερφέρειν αὐτοῦ καὶ προτετάχθαι κατὰ πᾶν ὁτιοῦν οἴεσθαι τὸν ὁμόδουλον. καλόν γε σφόδρα τὸ μάθημα· φρονήματος γὰρ ἀφιλοκομπεῖν εἰωθότος οὐκ ἂν οἶμαί τις ἐπιδείξαι τὸ ἴσον· οὐδέν τε οὕτω διίστησι καὶ ἀδελφοὺς καὶ φίλους, ὡς ἡ τῶν ἀθλίων δοξαρίων ἀκρατὴς ἐπιθυμία. ἀεὶ γάρ πως τὸ 2.354 μεῖζον αἱρούμεθα, καὶ τοῖς λαμπροτέροις ἐπιπηδᾶν αἱ διάκενοι τοῦ βίου τιμαὶ τὸν εὐόλισθον ἡμῶν ἀναπείθουσι νοῦν. ἵνα τοίνυν τῆς τοιαύτης καταλήξωμεν νόσου, καὶ τῆς οὕτω βδελυρᾶς ἀποπαυσώμεθα ἐπιθυμίας· ἀπάτη γὰρ καὶ ἕτερον οὐδὲν τὸ φιλόδοξον πάθος· αὐτὸν εἰς οἰκεῖον δεχώμεθα νοῦν τὸν ἁπάντων βασιλέα Χριστὸν, διὰ τοῦτο νίψαντα τῶν μαθητῶν τοὺς πόδας, ἵνα καὶ ἡμεῖς τοὺς ἀλλήλων. διὰ γὰρ τούτου κολασθήσεται μὲν ἅπας ἀλαζονείας τρόπος, ἅπαν δὲ εἶδος κοσμικῆς φιλοδοξίας ἐκποδὼν οἰχήσεται. εἰ γὰρ ὁ φύσει Κύριος, ὡς οἰκέτης, πῶς τὸ δοῦλον οὐκ ἂν ἕλοιτό τι παθεῖν τῶν αὐτῷ πρεπωδεστάτων, καὶ οὐχὶ λοιπὸν τὴν ἁπασῶν ἐσχάτην ἀποτίσῃ δίκην; Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. Νόμοις ὥσπερ ἀναγκαίοις ὀχυροῦν ἕπεται Χριστὸς τοῦ πεπραγμένου τὴν δύναμιν, καὶ σφαλερωτάτην παντελῶς ἀποφαίνει τὴν παράβασιν τῆς σωτηριώδους ἐντολῆς. τὸ γὰρ ὅρκῳ βεβαιωθὲν, οὐκ ἀνέγκλητον ἔχει τὴν παραδρομήν. κατηγόρημα τοίνυν φησὶν ἀπροφάσιστον τοῖς οἰκέταις, εἰ μὴ τὰ ἴσα φρονεῖν ἐθέλοιεν τοῖς ἰδίοις δεσπόταις· πλεονεξία γὰρ ἤδη, καὶ ἕτερον οὐδὲν, τὸ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μείζονός τε καὶ ὑπὲρ ἀξίαν ἐρᾶν· ἀποστόλοις τε ὁμοίως τὴν αὐτὴν ἂν εἰκότως ἐποίσαι γραφὴν, τὸ ἐν ἀμείνοσιν εἶναι ζητεῖν, ἢ ἐν οἷς ἐστιν ὁ ἀποστείλας αὐτούς. ἀρκέσει γὰρ αὐτοῖς εἰς εὐκλείας ἁπάσης μέτρον, τοῦ πεπομφότος τὸ φρόνημα. τοῦτο δέ ἐστιν οὐδὲν ἕτερον ἢ ἐκεῖνο πάντως εἰπεῖν· ὅτι γελασθή σεσθε δικαίως ἐπὶ τοῦ θείου βήματος, εἰ ταῦτα δρᾷν εἰς ἀλλήλους αὐτοὶ παραιτεῖσθε δι' ὑπεροψίαν, καίτοι τὸ τῆς δουλείας ὄνομα λαχόντες κοινὸν, ἅπερ εἰς ὑμᾶς ἐγὼ, καίτοι 2.355 κατὰ φύσιν ὑπάρχων Θεὸς καὶ Κύριος. ἄτοπον γὰρ ἀληθῶς, μᾶλλον δὲ ἤδη τῆς ἀνωτάτω μανίας οὐκ ἀμοιροῦν, οἰκέτας ὄντας ἐν ἐλάττοσι τοῦ καὶ δεσπότου καὶ ἀποστείλαντος, ἐπερυθριᾷν ἀτόπως τῇ πρὸς ἀλλήλους δουλείᾳ. Εἰ ταῦτα τοίνυν ἴστε, φησὶ, τουτέστιν, εἰ νοεῖν δύνασθε σαφῶς ὅ φημι, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. οὐ γὰρ τὸ εἰδέναι τὴν ἀρετὴν, ἀλλὰ τὸ ἐργάζεσθαι μᾶλλον ἀξιέραστόν τε καὶ ἀξιοζήλωτον φαίη τις ἄν. οἶμαι δὲ ὅτι τάχα πως καὶ ἄμεινον τὸ μηδ' ὅλως μαθεῖν, ἢ μαθόντας ὄκνῳ πεδῆσαι τὸν νοῦν καὶ, ἅπερ ἄν τις ἄριστά τε καὶ ὀρθῶς ἔχειν εἰδείη, μὴ βούλεσθαι κατορθοῦν, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν "Ὁ "μὴ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, "δαρήσεται ὀλίγας, ὁ δὲ εἰδὼς καὶ μὴ ποιήσας, δαρήσεται "πολλάς." τῷ μὲν γὰρ ἠγνοηκότι παντελῶς, εἰ καὶ εὐθύνοιτό πως ἐπὶ τῇ ῥᾳστώνῃ τυχὸν, τὸ γοῦν μετρίαν αἰτῆσαι συγγνώμην οὐ λίαν ἀνάρμοστον· τῷ γεμὴν εἰδότι τὸ χρῆμα γένοιτ' ἂν δυσαχθὲς εἰς κατάκρισιν ἡ γνῶσις. κατεφρόνησε γὰρ, οὐδενὸς αὐτῷ λείποντος εἰς τὸ δύνασθαι δρᾷν τὰ αὐτῷ πρεπωδέστερα. χρὴ τοίνυν εἰδότας ἐργάζεσθαι· τέλειον γὰρ τότε τῆς ἐν Χριστῷ πολιτείας τὸ καύχημα περικείμενοι, πληρεστάτην κατὰ καιροὺς ἀποληψόμεθα τὴν ἀντίδοσιν. καὶ γοῦν ὁ Σωτὴρ τὸν ποιήσαντα καὶ διδάξαντα μέγαν ἔφη κληθήσεσθαι, καὶ μάλα δικαίως, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· τί γὰρ αὐτῷ τὸ λεῖπον εἰς εὐσέβειαν; ᾧ δ' ἂν φαίνοιτο προσὸν τὸ ἐξ ἔργων ἀγαθῶν ἐν ὁλοκλήρῳ καυ χᾶσθαι τῷ μέτρῳ, πῶς οὐκ ἂν γένοιτο παρὰ Θεοῦ τὸ τελειο τάταις ἐπαυχεῖν δωρεαῖς; σύνδρομος οὖν ἄρα τοῖς ἔργοις ὅταν ἡ γνῶσις γένηται, τότε δὴ πάντως ὀνίνησιν οὐ μικρῶς· ἐλλελοιπότος δὲ ὁποτέρου, χωλὸν δὴ πάντως τὸ ἕτερον ἔσται· γέγραπται δὲ, ὅτι "καὶ ἡ πίστις χωρὶς τῶν ἔργων "νεκρά ἐστι." καίτοι τὸ εἰδέναι Θεὸν τὸν ἕνα καὶ φύσει, καὶ ὁμολογεῖν ἀδόλως τε καὶ ἀληθῶς, τοῦτό ἐστιν ἡ πίστις, 2.356 ἀλλὰ καὶ τοῦτο νεκρὸν, μὴ παρεπομένης αὐτῷ τῆς ἐξ ἔργων φαιδρότητος. πῶς οὖν οὐκ ἀνόνητον παντελῶς τὸ εἰδέναι μὲν τυχὸν τί ἂν εἴη τὸ ἀγαθὸν, μὴ μὴν ἐθέλειν ἔτι καὶ ἐπιτηδεύειν αὐτό; διὰ ταύτην τοιγαροῦν τὴν αἰτίαν μακαρίους ἔσεσθαί φησι τοὺς ἑαυτοῦ μαθητὰς, ἤτοι τοὺς πιστεύοντας εἰς αὐτὸν, οὐ μόνον ἑλόντας τῶν παρ' αὐτοῦ λαλουμένων τὴν εἴδησιν, ἀλλ' εἰ καὶ δρῷεν αὐτά. Οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ γὰρ οἶδα τίνας ἐξελεξάμην· ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. Οὐ μικρὰν ὁ λόγος ἔχει τὴν ἀσάφειαν ἐν τούτοις. μακα ρίους γὰρ ἔσεσθαι λέγων τοὺς ἐν γνώσει μὲν ἔχοντας τὸ ἀγαθὸν, ἔργῳ δὲ τοῦτο πληροῦν σπουδάζοντας· ἐπήγαγεν εὐθύς Οὐ περὶ πάντων λέγω, τὸν προδότην αἰνιττόμενος, κατά γε τὸ πολλοῖς τε καὶ ἐμοὶ δοκοῦν· οὐ γὰρ ἐν τοῖς ζηλωτοῖς ὁ θεομισὴς, οὐδ' ἂν ἐν τοῖς μακαρίοις καταταχθείη ποτὲ τῇ τοσαύτῃ δυσσεβείᾳ τὴν τοιαύτην ἔνοχον καταστήσας ψυχήν. καὶ μία μὲν αὕτη τοῦ προκειμένου διάνοια τετριμμένη παρὰ τοῖς πλείοσιν· ἑτέρα δὲ αὖ πάλιν πρὸς ταύτῃ. τοιάδε μέλλων γὰρ ἐρεῖν ὁ Χριστὸς, ὅτι κατὰ τὴν τελείαν τε καὶ ἱερωτάτην γραφήν· ὁ τρώγων μου τὸν ἄρτον ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν, ἤτοι ἐπῆρεν ἐπ' ἐμὲ πτέρναν αὐτοῦ, προαπολο γεῖται τρόπον τινὰ, καὶ τὸν γνήσιον τῶν ἑτέρων μαθητῶν θεραπεύει χορὸν, ἑνὶ καὶ μόνῳ τὴν τοῦ κατηγορήματος δύναμιν ἀναθείς. ἐπειδὴ γὰρ πάντες ἤσθιον τὸν ἄρτον αὐτοῦ, συνεστιώμενοι δηλονότι καὶ συνδαπανῶντες τὰ δι' αὐτοῦ συγκομιζόμενα, διὰ τοῦτο χρησίμως εἰκαίοις συντρί βεσθαι δείμασιν οὐκ ἐᾷ τῶν ἐλευθέρων τὸν νοῦν, καὶ τὸ τῆς ὑποψίας δριμὺ προανακόπτει λέγων Οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ γὰρ οἶδα τίνας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξελεξάμην· ἀλλ' ἵνα φησὶν ἡ 2.357 γραφὴ πληρωθῇ Ὁ ἐσθίων μου τὸν ἄρτον ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ, ἤτοι ἐμεγάλυνε πτερνισμὸν, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν· οἶμαί τι τοιοῦτον ὑποδηλοῦν. ἐκδοθείσης ἡμῖν τοιγαροῦν ἐν τούτοις θεωρίας διπλῆς, δοκιμαζέτω τὴν ἀμείνω καὶ ἀληθῶς ἔχουσαν ὁ φιλομαθὴς, πλὴν εἰς τὸ ῥητὸν ἔτι λέγωμεν, τὸν τῶν ἁπλουστέρων ἀσφαλιζόμενοι νοῦν. Ἐπαπορήσειε γὰρ ἄν τις ἐν τούτοις κατὰ δύο τρόπους. καὶ πρῶτον μὲν ἡμῖν ὑπαντήσει λέγων Εἰ πάντα εἰδέναι Χριστὸν πιστεύομεν, τί τὸν Ἰούδαν ἐξελέξατο, καὶ τί τοῖς ἑτέροις ἀνέμιξε μαθηταῖς, οὐκ ἀγνοήσας, ὅτι καὶ προδοὺς ἁλώσεται, καὶ τῶν τῆς φιλοκερδείας εἴσω πεσεῖται βρόχων; ἐρεῖ δὲ πρὸς τούτοις Εἰ δὲ διὰ τοῦτο τὴν πτέρναν ἐπῆρε κατὰ Χριστοῦ, καθάπερ φησὶν αὐτὸς, ἵνα πληρωθῇ ἡ γραφὴ, οὐκ αὐτὸς ἂν νοοῖτο τοῦ γεγονότος ὑπαίτιος, ἀλλ' ἡ ἀναγκάζουσα δύναμις πληροῦσθαι τὴν γραφήν. Δεῖ δὲ ἡμᾶς πρὸς ἕκαστα τῶν εἰρημένων ἀντανίστασθαι γοργῶς, καὶ τὴν ἑκατέρῳ πρέπουσαν ἀπολογίαν τοῖς κατὰ δύναμιν ἐξυφᾶναι λογισμοῖς, πρὸς οἰκοδομὴν καὶ παρά κλησιν τῶν οὐκ ἐπαρκούντων οἴκοθεν σφίσιν αὐτοῖς εἰς τὸ δύνασθαι νοεῖν τὰ ἐν τῇ θείᾳ γραφῇ. καὶ πρῶτον μὲν ἐκεῖνό φαμεν, ὡς εἰ μέλλοιμεν ἐφ' ἑκάστῳ τῶν γεγονότων παρὰ Θεοῦ τοῖς τοιούτοις ἀποκεχρῆσθαι λόγοις, καταλήξομεν οὐδαμῶς ἐπιτιμῶντες τῷ ποιητῇ, διαλοιδορούμενοί τε τῷ πρὸς τὸ εἶναι τὰ οὐκ ὄντα καλοῦντι Θεῷ, καὶ τὴν ἄμετρον αὐτοῦ φιλανθρωπίαν διασύροντες ἀμαθῶς. τί γὰρ, εἰπέ μοι, καὶ ἑτέρους διακωλύει τυχὸν ἐγκαλέσαι λέγοντας Τί τὸν Σαοὺλ ἀπελέξω, καὶ εἰς βασιλέα κέχρικας ἐπὶ τὸν Ἰσραὴλ, εἰδὼς ὅτι πάντως ἀθετήσει τὴν χάριν; καὶ τί τοῦτο λέγω; ἀναβήσεται γὰρ τῆς αἰτίας ἡ πρόφασις ἐπὶ τὸν τοῦ γένους καθηγητὴν, τουτέστιν, Ἀδάμ. ἐρεῖ δέ τις τυχὸν τῶν ἐκεῖνα 2.358 διεσκεμμένων Τί τὸν πρῶτον ἄνθρωπον ἔπλασας ἀπὸ γῆς ὁ τὰ πάντα εἰδώς; οὐ γὰρ ἠγνόεις ὅτι πεσεῖται τὴν δοθεῖσαν αὐτῷ παρελάσας ἐντολήν. κατὰ τὸν αὐτὸν τοῦτον λόγον καὶ ἐπὶ τοῖς ἀνωτέρω καὶ μείζοσιν ἔτι κατηγορεῖ βοῶν Διατί τὴν ἀγγέλων δεδημιούργηκας φύσιν, οὐκ ἀγνοήσας, ὡς Θεὸς, τὴν ἐσομένην τινῶν ἀπόνοιαν εἰς ἀπόστασιν; τετηρήκασι γὰρ οὐ πάντες τὴν οἰκείαν ἀρχήν. εἶτα τί τὸ ἐντεῦθεν; ἡ τοῦ Θεοῦ πρόγνωσις οὐκ ἂν αὐτὸν συγκεχώρηκεν ὀφθῆναι δημιουργὸν, ἀλλ' οὐδ' ἂν ἡ λογικὴ κτίσις παρῆλθεν ὅλως εἰς γένεσιν, ἵνα μόνης τῆς ἀλόγου καὶ ἀναισθήτου φύσεως βασιλεύῃ Θεὸς, μηδὲ ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ γινωσκό μενος. χρῆναι δὲ οἶμαι μάλιστα δὴ πάντων ἐκεῖνο δια σκεπτομένους ὁρᾶν, ὅτι τοῖς λογικοῖς τῶν κτισμάτων ἰδίας προαιρέσεως ἀπένειμε τὰς ἡνίας ὁ πάντων Δημιουργὸς, καὶ αὐτοκελεύστοις ἀφῆκεν ἰέναι ῥοπαῖς, ἐφ' ὅπερ ἂν ἕκαστος βούλοιτο τυχὸν ἔχειν ἄριστα δοκιμάσας τὸν τρόπον. οἱ μὲν οὖν τοῖς ἀμείνοσι προσνενευκότες ὀρθῶς, τὴν ἰδίαν διασώ ζουσι δόξαν, καὶ ἐν μεθέξει μένουσι τῶν ἀπονεμηθέντων αὐτοῖς ἀγαθῶν, ἀμετάπτωτόν τε τὴν εὐθυμίαν εὑρίσκουσιν· οἱ δὲ τοῖς ἰδίοις καταφθειρόμενοι λογισμοῖς, καὶ ἐφ' ἃ μὴ θέμις ἀκαθέκτοις ὥσπερ ῥεύμασιν ἐπιθυμιῶν κατασυρόμενοι, τὴν αὐτοῖς πρέπουσαν ὑπομένουσι δίκην, καὶ τὴν ἐπὶ ταῖς ἀχαριστίαις εἰκότως ὑπομένοντες γραφὴν, τὴν ἀπηνῆ καὶ ἀπέραντον ὑποστήσονται κόλασιν. ἐπὶ τούτοις τοῖς ὁρισμοῖς γενομένην εὑρήσεις καὶ τὴν τῶν ἀγγέλων φύσιν. οἱ μὲν γὰρ διατηρήσαντες τὴν οἰκείαν ἀρχὴν, ἀναπόβλητον ἔχουσι τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἵδρυσίν τε καὶ στάσιν· οἱ δὲ τοῖς ἐπὶ τὰ χείρω νεύμασι τῆς ἀρχαίας ἐκείνης εὐκλείας διολισθή σαντες, σειραῖς ζόφου τεταρταρωμένοι, κατὰ τὸ γεγραμμένον, εἰς κρίσιν μεγάλης ἡμέρας τετήρηνται. οὕτως πεποίηται κατὰ τὴν ἀρχὴν ὁ πρῶτος ἄνθρωπος, τουτέστιν ὁ Ἀδάμ. 2.359 ἦν μὲν γὰρ ἐν παραδείσῳ, καὶ ἐν ταῖς ἀνωτάτω τρυφαῖς, πνευματικαῖς δηλονότι καὶ δόξῃ τῇ παρὰ Θεῷ. καὶ διέμεινεν ἂν ἐν τοῖς ἀρχαίοις τῆς φύσεως ἀγαθοῖς, εἰ μὴ τέτραπτο πρὸς ἀπόστασιν καὶ παρακοὴν, ἀβουλότατα παρελθὼν τὴν διορισθεῖσαν ἐντολὴν ἄνωθεν. οὕτω κέχρικε τὸν Σαοὺλ εἰς βασιλέα· ἦν μὲν γὰρ ἐν ἀρχαῖς οὐ φαῦλος ἀνὴρ, ὀφθέντα γεμὴν οὐκέτι τοιοῦτον μεθίστη τῆς δόξης καὶ τῆς βασιλίδος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τιμῆς. Οὕτως ἐπελέξατο τὸν Ἰούδαν, καὶ τοῖς ἁγίοις αὐτὸν ἀνέμιξε μαθηταῖς, ἐπιτηδείως ἔχοντα δηλονότι πρὸς ἀκο λούθησιν ἐν ἀρχαῖς. ἐπειδὴ δὲ κατὰ βραχὺ πειράζων ὁ Σατανᾶς ταῖς αἰσχροκερδίαις προσεχειρώσατο, νικηθέντα τῷ πάθει, καὶ προδότην δι' αὐτὸ γεγονότα, λοιπὸν ἀπεώσατο. οὐδὲν οὖν ἄρα πρὸς τὸν ἐπιλεξάμενον. ἦν γὰρ ἐν ἐκείνῳ τὸ δύνασθαι μὴ διαπεσεῖν, ἑλομένῳ δηλονότι τὰ πρεπωδέστερα, ὅλην τε τὴν ἰδίαν μετατιθέντι διάνοιαν εἰς τὸ χρῆναι γνη σίως ἀκολουθῆσαι Χριστῷ. Εἰς δέ γε τῶν προκειμένων τὸ ἕτερον ἐκεῖνό φαμεν Μὴ γάρ τις οἰέσθω, κατὰ τὴν τινῶν ἀβουλίαν, διὰ τοῦτο διεξά γεσθαι πρὸς πέρας τὰ ἔργα τὰ κεχρησμῳδημένα διὰ τῶν ἁγίων προφητῶν, ἵνα πληρωθεῖεν αἱ γραφαί. εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς, οὐδὲν ὅλως διακωλύσει τοὺς τοῖς γεγραμμένοις ἀναγκαίως ὑπηρετήσαντας, οὐκ ἀπροφάσιστον ἔχειν τὴν ἁμαρτίαν, μᾶλλον δὲ οὐδ' ὅλως πεπλημμεληκέναι. εἰ γὰρ ἔδει πληρωθῆναί φησιν, ἐρεῖ τις, ἐπληροῦτο δὲ διὰ τούτων, οἱ δι' ὧν ἄρα πεπλήρωνται πάσης ἂν εἶεν εὐθύνης ἐλεύθεροι. ἄλλως τε καὶ "διάκονος ἁμαρτίας" ἡ θεία δὴ πάντως κατε φαίνετο γραφὴ, καλοῦσα καθάπερ ἐκ βίας εἰς ἐκεῖνά τινας, ἃ ἐλαλεῖτο δι' αὐτῆς, ἵνα καὶ εἰς πέρας ἥκοι τὸ πάλαι πεφωνημένον. ἀλλ' οἶμαι πολὺς ἐπὶ τούτῳ τῆς δυσφημίας 2.360 ὁ λόγος. τίς γὰρ ἂν εἴη τοῦ καθήκοντος λογισμοῦ τοσοῦτον ἐστερημένος, ὡς τὸν τοῦ Ἁγίου Πνεύματος οἴεσθαι λόγον ἁμαρτίας τισὶ γίνεσθαι πρόξενον; οὐκοῦν οὐ διὰ ταύτην πιστεύομεν τὴν αἰτίαν δεδράσθαι τὰ ἔργα παρά τινων, ἵνα πληρωθεῖεν αἱ γραφαί· ὅτι δὲ πάντως ἔσται τὰ συμβησό μενα προειδὸς τὸ Πνεῦμα λελάληκεν, ἵν' ὅταν γίνεσθαι συμβῇ, πίστεως ἐνέχυρον λαβόντες τὴν πρόῤῥησιν, τὴν ἐφ' ᾧ γέγραπται ταῦτα, λοιπὸν ἀραρότως ἐπιγινώσκωμεν. πολλοῦ δὲ ἡμῖν γεγονότος τοῦ λόγου περὶ τῶν τοιούτων ἐν ἑτέρῳ βιβλίῳ, τὸ μακροῖς ἔτι περὶ αὐτῶν ἐνδιατρίψαι διηγήμασι, περιττὸν εἶναί πως δοκεῖ. Ἀπάρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα πιστεύσητε ὅταν γένηται ὅτι ἐγώ εἰμι. Ἀναγκαιοτάτην πεποίημαι, φησὶ, τῶν ὅσον οὐδέπω παρε σομένων καὶ πρὸ καιροῦ τὴν ἐξήγησιν· ᾐσθήσει γὰρ τοὺς ἀκροωμένους, καὶ οὐ μικρὸν οἴσει τὸ κέρδος, εἰ τὸν ἐκ τοῦ πράγματος εἰδεῖεν σκοπόν. εἰκαίοις μὲν γὰρ τὴν τοῦ λόγου χρείαν δαπανᾶν διηγήμασιν, ἀσύνηθές τε καὶ οὐ φίλον ἐμοί· οἷς δ' ἂν φαίνηται προσὸν τὸ λυσιτελὲς οὐ μικρὸν εἶναι πρὸς γνῶσιν ἴοι τὴν ὑμετέραν, ταῦτα δεῖν ὑπολαμβάνω ταῖς ὑμετέραις ἐνηχεῖν ἀκοαῖς. λέγω τοιγαροῦν ἀπάρτι φησὶν ὑμῖν τὰ ἐπὶ θύραις μὲν ἤδη, τετελεσμένων δὲ οὔπω τὴν γνῶσιν ἐντίθημι, ἵν' ὅταν γενέσθαι συμβῇ συναρμόττοντες τοῖς παρ' ἐμοῦ προηγορευμένοις τῶν πραγμάτων τὸ τέλος, ἐκεῖνον αὐτὸν εἶναί με πιστεύσητε, περὶ οὗ τὰ τοιαῦτα κεχρησμῴδηκεν ἡ θεία γραφή. ἐν ταὐτῷ τοιγαροῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, καὶ τὸν προδότην ἐπανορθοῦν εὐπεριστόλως ἐπιχειρεῖ, κεκρυμμένον ἐπὶ μικραῖς ἀσαφείαις 2.361 προκομίζων τὸν ἔλεγχον, καὶ τὴν τῆς προδοσίας ἔκβασιν εἰς σημεῖον ἔσεσθαί φησι καὶ εἰς σαφεστάτην ἀπόδειξιν τοῦ αὐτὸν εἶναι Χριστόν. ὡς γὰρ ἤδη φθάσαντες εἴπομεν, ὁ τὰ διὰ τῶν ἱερῶν γραμμάτων προκεκηρυγμένα τοῖς τοῦ προ δότου συμβαλὼν τολμήμασιν, εὐσυνοπτοτάτην ἂν οἶμαι καὶ ἀταλαίπωρον κομιδῇ τὴν ἐπ' αὐτῷ κατάληψιν ἀληθῆ, καὶ μάλα ῥᾳδίως, ἕλοιτο ἄν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἄν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν ἀποστείλαντά με. Προαποδείξας χρησίμως ἑαυτὸν ὄντα Χριστὸν καὶ δι' ὧν ἔμελλεν ὁ προδότης ἐμπαροινήσειν ἐν αὐτῷ, χρήσιμόν τι πάλιν ἐπινοεῖ πρὸς ἀνατροπὴν τῆς ἐκείνου κακοβουλίας. ὡς ἀμυδρότερός πως αὐτῷ πρόεισι καὶ νῦν ὁ λόγος· συγκρύ πτειν γὰρ ἔτι πειρᾶται τὸ τόλμημα, καὶ ἀναφανδὸν οὔπω φησὶ τίς ὁ προδώσων αὐτόν. ἀπελέγχει τοιγαροῦν, καὶ μάλα χρησίμως μετὰ σαφοῦς παραδείγματος, ὡς ἀνάγκη πᾶσα καὶ εἰς τὸ τοῦ Θεοῦ καὶ Πατρὸς ἀναθεῖν πρόσωπον, τῆς εἰς αὐτὸν γινομένης ἀγάπης τε καὶ τιμῆς τὸ πέρας· καὶ οὐχὶ δήπου τοῦτο κυρίως αὐτῷ δεικνύειν σκοπὸς, τάχα δὲ μᾶλλον τὸ ἐναντίως ἔχον κατὰ τὴν δόξαν. ἀφεὶς γὰρ, ὡς ἔοικε, τὸ φάναι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γυμνότερον, ὅπερ εἴρηκεν ἐν ἑτέροις, τουτ έστιν "Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα τιμᾷ·" κεχώρηκε μᾶλλον ἐπὶ τὸ εὐφημότερον, ἐπιτρέπων τοῖς ἀκρο ωμένοις τὸ νοεῖν ἐκ τούτου τὸ ἐναντίον, ἐπεί τοι καὶ ἀπειλῆς μᾶλλον ἢ προτροπῆς ἦν ὁ καιρὸς, ἐπὶ θύραις ὄντος τοῦ τολμήματος, καὶ ἤδη μελετωμένης τῆς ἐπ' αὐτῷ παροινίας. βεβλήκει γὰρ ἤδη τὴν σκέψιν ὁ Σατανᾶς εἰς τὴν τοῦ προ δότου καρδίαν. ὥσπερ τοίνυν, φησὶν, ἐμὲ δὴ πάντως αὐτὸν καὶ οὐχ ἕτερον ὑποδέξαιτό τις, τὸν παρ' ἐμοῦ ἀπεσταλμένον εἰ λάβοι· οὕτως ὁ τὸν παρὰ Θεοῦ καὶ Πατρὸς ἀποσταλέντα δεξάμενος, αὐτὸν ἂν εἰκότως δέχοιτο τὸν Πατέρα. ἀλλ' ἐν 2.362 τούτοις μὲν αὐτοῦ τοῖς ῥήμασι τὸ διὰ τῆς εὐφημίας δηλού μενον κατίδοι τις ἄν. μετατιθεὶς δὲ τὸ ἐναντίον πρὸς τὴν θεωρίαν, τὴν τοῦ προδότου δυσσέβειαν οὐκ εἰς μόνον ὄψεται διαβαίνουσαν τὸν Υἱὸν, ἀλλὰ καὶ εἰς αὐτὸν τὸν Πατέρα. τρόπος τοιγαροῦν ἀπειλῆς τὸ εἰρημένον ἐστὶν, εὐφημοτέροις δὲ ῥήμασι προκεκομισμένος, παριστάς τε ὥσπερ διὰ τῶν ἀριστερῶν τὸ δηλούμενον. ὅνπερ γὰρ τρόπον τὸν ἀπεσταλ μένον παρὰ Θεοῦ δέξεταί τις τῶν καθ' ἡμᾶς, τοῖς παρ' αὐτοῦ συναινέσας λόγοις, καὶ διὰ τοῦ τηρῆσαι τὸ θεσπισθὲν, τιμήσας τὸν κηρυττόμενον· κατ' αὐτὸν οἶμαι τὸν λόγον ὑποδέξαιτό τις ἂν τὸν Κύριον, καὶ δι' αὐτοῦ τὸν Πατέρα, πιστεύων εἰς Υἱόν. συνειστρέχει γὰρ τῷ γεννήματι τοῦ τεκόντος ἡ δήλωσις. ὁ γὰρ ὅλως Υἱὸν εἶναι πιστεύσας αὐτὸν, ὁμολογήσει δὴ πάντως τὸν φύσαντα. φρικτὸν οὖν ἄρα τοῦ προδότου τὸ κρῖμα, καὶ εἰς αὐτὸν ἐξυβρίσαντος τὸν Θεὸν καὶ Πατέρα διὰ τῆς εἰς τὸν Υἱὸν δυσσεβείας. ἢ γὰρ ἂν παρεδέξατο καὶ τετίμηκε, γνήσιον ὑποθεὶς ὡς Κυρίῳ τὸ φρόνημα, εἰ ἀνενδοιάστῳ τῇ πίστει Θεὸν ὑπάρχειν ἐκ Θεοῦ καθωμολόγησε τὸν Υἱὸν, αἰσχρῶν τε λημμάτων κρείττονα τὴν εἰς αὐτὸν ἀγάπην ὁ δείλαιος ἐποιήσατο, ἀλλ' οὐδ' ἂν οἶμαι προδότης ἁλοὺς, ἄμεινον ἑαυτῷ τὸ μηδόλως γενέσθαι παρεσκεύασεν. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι, καὶ ἐμαρτύρησε καὶ εἶπεν Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παρα δώσει με. Καὶ τίνι τῶν ὄντων οὐκ ἂν γένοιτο σαφὲς, ὡς οὔτε δια νοίας, οὔτε μὴν λόγων ἡ ἡμετέρα φύσις εὐπορεῖ, δι' ὧν ἂν δύναιτο τυχὸν ἀνεγκλήτως τε καὶ ἀδιαπτώτως εἰπεῖν τὰ τῆς θείας τε καὶ ἀῤῥήτου φύσεως ἴδια; διὰ τοῦτο τοῖς καθ' ἑαυτὴν ὑπηρετεῖται λόγοις πρὸς μετρίαν ἐξήγησιν τῶν ὑπὲρ 2.363 νοῦν. πῶς γὰρ ἄν τι καὶ φράσαι σαφῶς, ὃ καὶ αὐτὴν ἡμῶν ὑπερανίσχει τὴν ἔννοιαν; δεῖ τοιγαροῦν ἡμᾶς, καθάπερ τινὰ τύπον τῶν νοημάτων τὴν τῶν ἀνθρωπίνων ῥημάτων παχύ τητα δεχομένους, ἐπ' αὐτὰ πειρᾶσθαι βαδίζειν, κατά γε τὸν ἐγχωροῦντα τρόπον, τὰ τῆς θεότητος ἴδια. δεινὸν τοιγαροῦν εἰς ἐλέγχους τὸ θεῖον, καὶ ἀκράτῳ μισοπονηρίᾳ κινούμενον, καθ' ὧν ἂν τοῦτο γενέσθαι πρέποι ψήφῳ τῇ παρ' αὐτοῦ, εἰ καὶ ὑπὲρ λόγον ἀνεξικακεῖ. ὅταν οὖν ἡ θεία γραφὴ καταση μῆναι βούληται τὸ κατὰ τῶν δυσσεβούντων οἱονεὶ κίνημα, πάλιν ἐκ τῶν καθ' ἡμᾶς λαμβάνουσα, καὶ τοῖς ἀνθρωπίνοις ἀποχρησαμένη ῥήμασιν, ὀργὴν ὀνομάζει καὶ θυμὸν, καίτοι τῆς θείας οὐσίας καὶ καθ' ὁμοιότητα τὴν ἡμῶν τῶν τοιούτων παθῶν ὑπομενούσης οὐδὲν, κινουμένης δὲ μόνον εἰς ἀγανά κτησιν, ὡς οἶδέ τε καὶ πέφυκεν αὐτή· παντελῶς γὰρ ἀπόῤ ῥητα τὰ περὶ Θεοῦ· ἀπὸ δὲ τῶν ἡμετέρων ἐθῶν, καθάπερ ἀρτίως εἰρήκαμεν, τὰ ὑπὲρ ἡμᾶς καταγράφειν ἔθος τῇ θείᾳ γραφῇ. τεταράχθαι τοιγαροῦν κἀνθάδε φησὶν ὁ θεσπέσιος Εὐαγγελιστὴς τὸν Χριστὸν τῷ πνεύματι, τὸ μισόκακον τοῦ Πνεύματος κίνημα ταραχὴν ὀνομάσας· οὐ γὰρ ἦν, ὡς ἔοικεν, ἑτέρως εἰπεῖν. εἰκὸς δὲ δήπου καὶ τὴν τῆς θεότητος κίνησιν οὐκ ἐνεγκοῦσαν τὴν σάρκα, βραχύ τι καὶ ὑποφρίξαι καὶ θορύβου σχῆμα παθεῖν, καὶ σημεῖον ὀργῆς ἐπιδεῖξαι, κα θάπερ οὖν ἀμέλει καὶ ἐπὶ Λαζάρῳ γέγραπται, ὅτι "ἐμβριμώ "μενος ἑαυτῷ ὁ Ἰησοῦς εἰς τὸ μνημεῖον" ἐνεβάδιζεν. ὅνπερ γὰρ τρόπον ἐν ἐκείνοις τὴν κατὰ τοῦ θανάτου δριμεῖαν ἀπειλὴν ἐμβρίμησιν ἔφη, οὕτω κἀνθάδε τὸ κατὰ τοῦ δυσσε βοῦς προδότου κίνημα τῷ τῆς ταραχῆς ὀνόματι κατεσή μαινεν. ἐταράχθη δὲ εἰκότως, ἐπὶ ταῖς Ἰούδα δυστροπίαις ἀγανακτῶν. τί γὰρ ἂν γένοιτο τῆς ἐκείνου δυσσεβείας τὸ ἐπέκεινα, ὅς γε τοῖς ἄλλοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν ἴσῳ μαθηταῖς τετιμημένος τε ὑπερφυῶς, καὶ ἐν τοῖς ἀπολέκτοις κατατεταγμένος, ὀλίγῳ 2.364 ἀργυρίῳ παντελῶς τὴν εἰς Χριστὸν ἀγάπην ἠλλάξατο, καὶ ἐσθίων τὸν ἄρτον αὐτοῦ τὴν πτέρναν ἐπῆρεν, οὐ τιμὴν, οὐ δόξαν, οὐ τῆς ἀγάπης τὸν νόμον, οὐ τὸ χρεωστούμενον ὡς Θεῷ σέβας, οὐχ ἕτερόν τι τῶν εἰς αὐτὸν γενομένων ὑπολογι σάμενος, εἰς μόνα δὲ βλέπων τὰ περὶ τῶν Ἰουδαίων μυσαρὰ δηνάρια, καὶ ὀλίγων ἀργυρίων κομιδῇ τὴν ἑαυτοῦ πωλήσας ψυχὴν, καὶ τὸ ἀθῷόν τε καὶ δίκαιον αἷμα ταῖς τῶν μιαι φονώντων χερσὶν ἐγχειρισάμενος. εὐλογωτάτη τοιγαροῦν ἡ τοῦ τεταράχθαι πρόφασις. ἐπακολουθεῖ δὲ δριμὺς ὁ ἔλεγχος, οὕτω μὲν εἰς πρόσωπον ἰδικῶς τὸ ἑνὸς τῶν δώδεκα, περιι στὰς γεμὴν εἰς μόνους αὐτοὺς τὸ οὕτω φρικωδέστατον κατη γόρημα, καὶ μονονουχὶ παρεγγυώμενος τῶν ἀκροωμένων ἑκάστῳ τὴν ἰδίαν φυλάξαι ψυχὴν, μὴ ἄρα πως ἐκ ῥᾳθυμίας τοῖς οὕτω δεινοῖς ἁλώσηται βρόχοις, καὶ τῆς τοῦ διαβόλου πικρίας γλυκὺ γένοιτο θήραμα. ἐπωφελὴς οὖν ἄρα τῶν ἐλέγχων ἡ δύναμις, ἣν παρ' οὐδὲν ποιησάμενος τοῦ προ δόντος ὁ νοῦς, τῶν οἰκείων εἴχετο σπουδασμάτων. ἐμφαντι κώτατα τοίνυν ὁ Χριστὸς τό Εἷς ἐξ ὑμῶν παραδώσει μέ φησιν. ἢ γὰρ τῆς τοῦ τολμῶντος ἀχαριστίας διὰ τούτου κατηγορεῖ, ἢ τῆς τοῦ διαβόλου κακίας δεικνύει τὸ μέγεθος, ὡς τοσοῦτον δυνηθείσης, ὡς καὶ αὐτῶν ἕνα τῶν ἀποστόλων ἁρπάσαι. Ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ διαπορούμενοι περὶ τίνος λέγει. Ἔκπληξίς τε ὁμοῦ καὶ δέος εἰστρέχει τοὺς μαθητὰς, καὶ ἀλλήλοις ἐνορῶσι, διπλοῦν ἐκ τῶν εἰρημένων ὠδίνοντες θόρυβον. ἕκαστος μὲν γὰρ κατὰ τὸ εἰκὸς τῆς ἰδίας ὑπερ τρέχων ψυχῆς, οὐκ ἐν ὀλίγῳ γέγονε δείματι, ἀλλὰ καὶ τῆς εἰς τὸ κοινὸν ὁρώσης ὑπολήψεως χάριν, οὐκ ἐλάττονα τῆς ἑτέρας τὴν ἀγωνίαν ἐδέχοντο. ὅτι μὲν γὰρ ἀληθὲς ἔσται πάντως τὸ εἰρημένον πιστεύουσιν. ἴσασι γὰρ ὡς οὐκ ἂν 2.365 διαπέσοι κενὸς τοῦ Σωτῆρος ὁ λόγος, τό τε γεμὴν εἰς τοῦτο δυσσεβείας κατωλισθηκέναι τῶν ἐν μαθηταῖς ἀπηριθμη μένων τινὰ, δεινὸν καὶ ἀφόρητον εἶναι λογιζόμενοι, τὸ μὲν ἴδιον ἑκάστου συνειδὸς ἀνακρίνουσι, καὶ περιαθροῦσι δεινῶς ἐπὶ τίνα τῆς ἀπωλείας ὁ κλῆρος πεσεῖται, καὶ πόθεν, ἢ πῶς ἰσχύσει τοσοῦτον ὁ σατανᾶς, ὡς καὶ αὐτῶν ἐκκλέψαι τῶν γνησίων τινά. Ἦν ἀνακείμενος εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς· νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει. ἀναπεσὼν δὲ ἐκεῖνος οὕτως ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ λέγει αὐτῷ Κύριε, τίς ἐστιν; ἀποκρίνεται οὖν ὁ Ἰησοῦς Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψας τὸ ψωμίον δώσω αὐτῷ. Θαυμάσαιμεν ἂν εἰκότως καὶ ἐν τούτῳ δὴ πάλιν τῶν ἁγίων μαθητῶν τὸ γοργὸν εἰς φιλοθεΐαν, καὶ τὸ λίαν ἀκριβὲς εἰς εὐλάβειαν· οὐ γὰρ ἔχοντες ἐξ ἑαυτῶν εἰδέναι ὑπαίτιόν τινα, ἀλλ' οὐδὲ ταῖς ἐκ στοχασμῶν ἀπάταις ἐπι θαρσήσαντες, φιλοπευστοῦσι πάλιν, καὶ μανθάνειν ἐπεί γονται δι' ἑνὸς τοῦ προΰχοντος, Πέτρος δὲ οὗτός ἐστιν, ὃς προσεκόμισε μὲν οὐδαμῶς δι' ἑαυτοῦ τὴν πεῦσιν, τῷ δὲ πλησίον καὶ ἀγαπωμένῳ διὰ τὸ τῆς ἁγνείας λαμπρότερον τὸ διερωτᾶν ἐφίησιν· Ἰωάννης δὲ οὗτός ἐστιν ὁ τοῦ προκει μένου βιβλίου συγγραφεὺς, ὃς, ἐπείπερ ἠγαπῆσθαί φησιν ἑαυτὸν, τὸ οἰκεῖον κατέκρυψεν ὄνομα, σιγῇ παραδοὺς, ἵνα μή τῳ δόξαι φιλοκομπεῖν. ἐλεύθερος γὰρ φιλοδοξίας τῶν ἁγίων ὁ νοῦς. ἠρέμα τοίνυν τῷ διδασκάλῳ προσκε κλιμένος, διαψιθυρίζει λάθρα, καὶ μανθάνειν ἀξιοῖ τὸν τῆς ἀπωλείας υἱόν· ἀλλ' οὐχ ἕτερόν τι σημεῖον αὐτῷ δίδωσιν ὁ Σωτὴρ τοῦ πράγματος, ἢ τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς 2.366 καὶ πάλαι προκεκηρυγμένον "Ὁ ἐσθίων ἄρτους μου, ἐμεγά "λυνεν ἐπ' ἐμὲ πτερνισμόν." βάψας γὰρ ἐπιδίδωσι τὸ ψωμίον, δεικνὺς διὰ τούτου τὸν ἐσθίοντα τὸν ἄρτον αὐτοῦ· καὶ τὸν μὲν τῶν ἁγίων μαθητῶν ἐξίστησι φόβον, ἄγει δέ πως αὐτοὺς εἰς ἀνάμνησιν προφητείας ἑτέρας διαγορευούσης ὡδί "Σὺ δὲ ὦ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ "μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ "τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ." ἰσόψυχος μὲν γὰρ γνωστός τε καὶ ὁμοτράπεζος, καὶ τί γὰρ οὐχὶ τῶν τελούντων εἰς γνησιότητα γέγονέ ποτε τῷ Σωτῆρι καὶ αὐτὸς ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προ δότης, ἅτε δὴ τοῖς ἑτέροις ἐγκατειλεγμένος ἁγίοις μαθηταῖς, οἳ τὸν αὐτὸν ἔχοντες τῷ Σωτῆρι σκοπὸν, καὶ τὴν τῶν Ἰου δαίων συμπεριθέοντες χώραν, ὑπηρέται γοργοὶ τῶν θαυμάτων ἐγίνοντο, καὶ πάντα πράττειν ἠπείγοντο τὰ εἰς τιμὴν καὶ δόξαν αὐτοῦ· ἀλλ' ὁ γνωστὸς καὶ ἰσόψυχος, αἰσχρῶν λημ μάτων ἠλλάξατο τὴν τοῦ τιμήσαντος χάριν. Ἐπιτήρει δὲ πάλιν, ὅπως ἡμᾶς παραθήγει καλῶς ὁ σοφώτατος Εὐαγγελιστὴς εἰς τὸ βιοῦν ἐθέλειν ὅτι μάλιστα λογικώτατα, καὶ τῆς διανοίας ἐπασκεῖν τὴν ὀξύτητα πρὸς τὸ δύνασθαι καὶ λίαν εὐπετῶς τῶν θείων καθικνεῖσθαι θεωρη μάτων, καὶ τῆς θεοπτίας ἐξακριβοῦν ὅσον ἔνι τοὺς λόγους ἐπείγεσθαι. τὰ διαπρεπῆ τετιμῆσθαι καὶ ἠγαπῆσθαί φησιν ἑαυτὸν παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὡς καὶ ἀνακεῖσθαι πλησίον, καὶ αὐτῷ τῷ κόλπῳ τῷ δεσποτικῷ, δεῖγμα τῆς εἰς αὐτὸν ὑπερφυοῦς ἀγαπήσεως τὸ πρᾶγμα ποιούμενος. πλη σίον οὖν ἄρα Θεοῦ καὶ ἐν πρώτοις ὥσπερ ἔσονται τόποις τοῖς παρ' αὐτῷ μάλιστα δὴ πάντων οἱ τὴν καρδίαν ἔχοντες καθαρὰν, οἷς καὶ ἐξαίρετον ἀπονέμει γέρας καὶ αὐτὸς ὁ Σωτὴρ, μακαρίους ἔσεσθαι λέγων τοὺς καθαροὺς "τῇ "καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται." καὶ παροίσομεν εἰς ἀπόδειξιν τοῦ ἀληθῶς εἰρῆσθαι τὸν λόγον, αὐτὸν δὴ τουτονὶ τὸν σοφώτατον Εὐαγγελιστήν. τεθέαται γὰρ τὴν δόξαν 2.367 Χριστοῦ, κατὰ τὴν αὐτοῦ φωνήν "Τεθέαμαι γὰρ τὴν δόξαν "αὐτοῦ, φησὶ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης "χάριτος καὶ ἀληθείας." οὐ γὰρ δὴ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ἐπαθρῆσαι τις ἂν τὴν ὅλῃ κτίσει παντελῶς ἀθέατον φύσιν. οὐ γὰρ "ἑώρακέ τις τὸν Πατέρα," κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, "εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ·" τουτέστιν ὁ Υἱός· "οὗτος ἑώρακε τὸν Πατέρα." τοῖς γεμὴν κηλῖδος τῆς κοσμικῆς καὶ φροντίδος εἰκαίας, τῆς ἐν τῷδε τῷ βίῳ φημὶ, τὸν νοῦν ἔχουσιν ἀπηλλαγμένον, διὰ λεπτῆς ἄρα καὶ τάχα τῆς ὑπὲρ νοῦν θεωρίας τὴν οἰκείαν δόξαν ἀποκαλύπτει Χριστὸς, δεικνὺς ἐν αὐτῇ καὶ τὴν τοῦ Πατρός. διὰ γὰρ τοῦτο ἔφασκεν "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα." Βάψας οὖν τὸ ψωμίον δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ, καὶ μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς. Ἐναργέστατον μὲν τοῖς ἑαυτοῦ μαθηταῖς τὸ τοῦ προ διδόντος σημεῖον ἔδειξεν ὁ Σωτήρ. βάψας γὰρ ἐπιδέδωκε τὸ ψωμίον, τὸν ἐσθίοντα τὸν ἄρτον αὐτοῦ διὰ τούτου καθι στὰς ἐμφανῆ, καὶ τὸν ἐπαίρειν μέλλοντα τὴν πτέρναν αὐτοῦ. τὸν γεμὴν τῆς εἰς Χριστὸν δυσσεβείας τε καὶ μιαιφονίας ἡγεμόνα καὶ πρύτανιν, καὶ τῶν ὅλων κατασκευαστὴν εἰσ πεπηδηκέναι φησὶν ὁ σοφώτατος Εὐαγγελιστὴς εἰς τὴν τοῦ προδότου καρδίαν, καὶ ὅλον ἐν αὐτῷ γενέσθαι τὸν σατανᾶν μετὰ τὴν ἐπίδοσιν τοῦ ψωμίου. καὶ μήτις οἰέσθω πάλιν, τοῦ δεδέχθαι τὸν σατανᾶν τὸ ψωμίον τῷ προδότῃ γενέσθαι παραίτιον. οὐ γὰρ εἰς τοσοῦτον ἀποπληξίας ἥξομεν μέτρον, ἀλλ' οὐδὲ τῆς καθηκούσης ἔρημοι γεγονότες φρενὸς, εἰσόδου πρόφασιν δεδόσθαι τῷ πονηρῷ τὴν εὐλογίαν ὑπονοήσομεν, ἐκεῖνο δὲ μᾶλλον ἐροῦμεν οὐκ ἔξω τῆς ἀληθείας τὸν ἐπ' αὐτῷ καθιστάντες λόγον Ἐπειδὴ γὰρ ἁπάσης ἀγάπης εἰς 2.368 αὐτὸν τετελεσμένης, καὶ οὐδενὸς τὸ παράπαν ἐλλείψαντος τῶν τελούντων εἰς τιμὴν καὶ διάθεσιν, τῶν αὐτῶν εἴχετο σπουδασμάτων, οὐ ταῖς μεταγνώσεσι τὸ κακῶς δόξαν ἐπαν ορθούμενος, οὐ μεθίσταται τὴν καρδίαν ἐκ τῆς ἀθέσμου βουλῆς, οὐ δακρυῤῥοήσας ὅλως ἐφ' οἷς καὶ μόνον ἐνθυμη θῆναι τετόλμηκεν, ἀλλ' ἔτι χειρόνως διψήσας τῆς δυσσε βείας τὸ πέρας, διὰ τολμημάτων ἡττῆσθαι κακῶν, εἰσῆλθε λοιπὸν ὁ σατανᾶς, καθάπερ τινὰ πύλην τῆς τοῦ φυλάτ τοντος ἐρήμην νήψεως ἀναπετασθεῖσαν αὐτοῦ τὴν καρδίαν εὑρὼν, καὶ ἀθύρωτον ὄντα θεωρήσας τὸν νοῦν, θερμόν τε ἤδη πρὸς τὸ βούλεσθαι δρᾶν ἅπερ ἂν ἐθέλῃ καὶ δια σκέψηται. Τετριμμένον δὲ ὥσπερ τοῦτο τῷ πονηρῷ, διὰ πάσης ὥσπερ ἰόντες τῆς θεοπνεύστου γραφῆς εὑρήσομεν. πρόσεισι μὲν γὰρ ἐν ἀρχαῖς τὴν τῶν σεβομένων τὸν Θεὸν δοκιμάζων καρδίαν, καὶ πονηροὺς ἐν πρώτοις κατασπείρει λογισμοὺς, καὶ ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς πρὸς πᾶν εἶδος ἡμᾶς ἐρεθίζει πταισμάτων· μάλιστα δὲ πρὸς ἐκεῖνο πίπτει βαρὺς, πρὸς ὅπερ ἂν βλέπῃ προπεπονθότας ἤδη καὶ προηττωμένους. συνεργάτην γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὥσπερ ταῖς ἑαυτοῦ δυστροπίαις ἀεί πως δέχεται τὴν ἡμετέραν ἀσθένειαν, καὶ τὸ προαδικῆσαν πάθος τὸν ἡμέτερον νοῦν· οἷον φέρε εἰπεῖν, παρενοχλεῖ μὲν τῷ δεῖνι τυχὸν καὶ θερμὴν ἐπάγει τὴν αἴσθησιν τὸ τῆς σαρ κικῆς ἡδονῆς βδελυρώτατον κίνημα· ἑτέρῳ δὲ τὸ κερδῶν ἡττᾶσθαι κακῶν, καὶ ἀνοσίων χρημάτων πορισμὸν ἄριστον εἶναι δοκεῖ πως καὶ τοῦτο τετίμηται. ὅταν οὖν προσίῃ μαχό μενος, σύνοπλον ποιεῖται τὸ προκρατῆσαν ἐν ἡμῖν καὶ προ πολεμῆσαν πάθος, καὶ δι' ἐκείνου πάντως ἡμῖν τὸν τῆς ἀπωλείας μηχανᾶται τρόπον. ὥσπερ γὰρ εἴ τις τῶν ἄριστα πολεμαρχεῖν εἰωθότων, πόλιν τινὰ κύκλῳ περισχὼν, καὶ διὰ πάσης μηχανῆς εἰσελθεῖν ἐπειγόμενος ἐπὶ τὰ τοῦ τείχους 2.369 ἠσθενηκότα μέρη, προσκομίζεσθαι κελεύει τὰς ἑλεπόλεις, εὐκαίρως αἱρήσειν ἐντεῦθεν εἰδώς· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ὁ σατανᾶς, ὅτε τὴν ἀνθρώπου ψυχὴν ἐκπολιορκῆσαι βούλεται, πρὸς τὸ ἀτονῆσαν μέρος ἐν αὐτῇ χωρεῖ, καταστρέ ψειν οὕτως εὐκόλως οἰόμενος, ὅταν ἴδῃ μάλιστα μηδεμίαν ἐπιδεχομένην τὴν ὄνησιν, δι' ὧν ἦν εἰκὸς ἀδικεῖσθαι τὸ πάθος, οἷον εἰσηγήσεις ἀγαθὰς, τοὺς ἐπ' ἀνδρείᾳ παροξυσμοὺς, τὰς εἰς εὐσέβειαν ὑπομνήσεις, καὶ τὴν μυστικὴν εὐλογίαν. κα ταργεῖ γὰρ μάλιστα δὴ τοῦτο τοῦ διαβόλου τὸν ἀνδρο κτόνον ἰόν. Οὐκοῦν ὁ προδότης οὐκ ἐλέγχους ἐδυσωπήθη τοὺς ἔτι λεληθότως καὶ ἐν παραβύστῳ προκεκομισμένους, ἀλλ' οὐδὲ τὴν ἄμαχον τῆς ἀγάπης ἰσχὺν, οὐ τιμὴν καὶ δόξαν καὶ χάριν, οὐ τὴν εὐλογίαν τὴν παρὰ Χριστοῦ· ἀπερισκέπτως δὲ ὥσπερ καὶ ἀπερικλάστῳ τόνῳ πρὸς ἐκεῖνο καὶ μόνον ὁρῶν, εἰς ὅπερ ἤδη προήττητο, τῆς φιλοκερδείας νόσημά φημι, λοιπὸν ὁλοκλήρως ἥλω τε καὶ πέπτωκεν. οὐ γὰρ ἔτι σύμβουλον ἔχει τὸν σατανᾶν, ἀλλ' ὅλης ἤδη τῆς καρδίας δεσπότην καὶ κατεξουσιαστὴν ποιεῖται τῆς ἑαυτοῦ διάνοιας, τὸν ἐν ἀρχαῖς ψιθυρίζοντα. εἰσῆλθε γὰρ εἰς αὐτὸν, κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν. Φυλακτέον οὖν ἄρα, καὶ παντὶ σθένει παραιτητέον τὰς ἐκ τῶν προπαθειῶν ζημίας· χρῆναι δὲ δεῖν διαμεμνῆσθαι τοῦ λέγοντος "Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, "τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας "μεγάλας." ἀνάγκη μὲν γὰρ ἀνακτίζεσθαί πως ἐν δυνάμει λογισμῶν ταῖς ἡμετέραις καρδίαις τὸ τοῦ ἐξουσιάζοντος πνεῦμα. εἰ γὰρ ἐν ἡμῖν τὸ δύνασθαι διακωλύειν, τοῦτό γε πλὴν ἐν ἡμῖν, τὸ κολάζειν παραχρῆμα τὸ ἀνελθὸν, καὶ μὴ ἐπιτρέπειν ῥιζοῦσθαι ταῖς ἐκ ῥᾳθυμίας ἐνδόσεσιν, ἀλλ' ὥσπερ τινὰ πικρίας ἀρχὴν ἀποτέμνειν ἐπείγεσθαι, καὶ 2.370 ἀπαρενόχλητον ἰέναι θελῆσαι τὸν νοῦν· ἤγουν εἰδέναι σαφῶς, ὅτι νικήσει κατὰ βραχὺ κολακεύων ὁ σατανᾶς, καὶ πάθοιμεν ἂν τοιοῦτον, ὁποῖον ὁ ψάλλων φησί "Πρὸ τοῦ με ταπεινω "θῆναι ἐγὼ ἐπλημμέλησα." πρὸ γὰρ τοῦ παθεῖν τελείως τὴν ἁμαρτίαν, προπλημμελοῦμεν ἡμεῖς τῇ συναινέσει τῶν λογισμῶν, τιμῶντές τε αὐτὴν καὶ καταδεχόμενοι καὶ τόπον εἰσόδου διδόντες διὰ τούτου τῷ σατανᾷ. ἔσται δὲ τύπος καὶ εἰκὼν τοῦ πράγματος τοῦ προδότου τὸ πάθος. Λέγει αὐτῷ ὁ Ἰησοῦς Ὃ ποιεῖς ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ. Ἀπᾷδον μὲν ἴσως καὶ οὐ σφόδρα συμβαῖνον τοῖς ἤδη προειρημένοις δόξειεν ἂν εἶναί τῳ τυχὸν τὸ προκείμενον. ἀνθ' ὅτου γὰρ δὴ, φήσειεν ἂν καὶ οὐκ ἀπὸ σκοποῦ, διε λέγχων, κεκρυμμένως δὲ καὶ οὐκ ἐναργῶς ἀποτρέπων ὁ Κύριος τῆς εἰς αὐτὸν μιαιφονίας τὸν προδιδόναι σπουδά ζοντα, νῦν πρὸς αὐτὴν παραθήγων ὁρᾶται, ἀμελλητὶ δὲ βαδίζειν πρὸς τὸ οὕτω μυσαρόν τε καὶ ἀνόσιον διακελεύεται σπούδασμα; καίτοι τί μᾶλλον τὸν οἴκοθεν ἔδει νοσοῦντα παροτρῦναι, φησὶ, πρὸς τοῦτο καὶ τεθηγμένον ἐξ ἑαυτοῦ, καὶ οὐχὶ μᾶλλον ἀνασειράζειν ταῖς νουθεσίαις ἐπὶ τὸ ἄμεινον, καὶ τῆς προτεθείσης αὐτὸν ἀνακόψαι βουλῆς; καὶ δοίη μὲν ἄν τις σφόδρα τοῦ πρέποντος διαμαρτεῖν λογισμοῦ τὴν ἐπὶ τούτῳ καταβοὴν, ὀξυωπέστερον γεμὴν τοῖς ἐν τῷ προκειμένῳ θεωρήματι ἐνείρας τὸν νοῦν, ἀτόπως μὲν οὐδὲν εἰρημένον εὑρήσει, δριμεῖαν δὲ μᾶλλον αὐτοῖς ἐνυπάρχουσαν σύνεσιν, ἣν καὶ ὅπως ἂν δύνωμαι διὰ βραχέων εἰπεῖν πειράσομαι. Προνοητικώτατα τοίνυν ἐν τοῖς προλαβοῦσιν ὁ σοφὸς Εὐαγγελιστὴς προεισπηδῆσαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ εἰσελθεῖν εἰς τὴν τοῦ προδότου καρδίαν αὐτὸν ἔφη τὸν σατανᾶν, ἵνα φαίνηται 2.371 λοιπὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς αὐτῷ μᾶλλον, ἤπερ ὄντως τε καὶ ἀληθῶς τῷ παρ' αὐτοῦ δι' ἀπροσεξίαν κεκρατημένῳ Ὃ ποιεῖς ποίησον τάχιον. ὅμοιον γὰρ, ὡς εἰ λέγοι σαφῶς Τὸ σὸν ἔργον ὅπερ οἶσθα μόνον, καὶ δρᾷν ἀεί σοι φίλον, ὦ σατανᾶ, ποίησον τάχιον· ἀπέκτεινας τοὺς προφήτας· ἐστρατήγεις γὰρ εἰς ἀσέβειαν Ἰουδαίοις· καὶ τότε καταλευσθῆναι παρασκευάσας τοὺς τὸν σωτήριον τοῦ Ἰσραὴλ πρεσβεύοντας λόγον, οὐδενὸς ἐφείσω τῶν ἀπεσταλ μένων παρὰ Θεοῦ· πᾶσαν εἰς αὐτοὺς ἐπεδείξω τὴν ὑπὲρ λόγον ὠμότητα καὶ μανίας ὑπερβολήν. ἥκω τοιγαροῦν μετ' ἐκείνους ἐγὼ, τοῖς μὲν ἔτι πλανωμένοις τὸ μηκέτι πλανᾶσθαι διδοὺς, τοῖς ἐν σκότει κατορθῶν τὸ ἐν φωτὶ γενέσθαι τῷ θείῳ, τοῖς εἰς τὴν σὴν παγίδα κατολισθήσασι καὶ θήραμα τῆς σῆς γενομένοις ὠμότητος, τὸ ἔξω βρόχων γενέσθαι δωρούμενος. ἥκω τῆς διὰ σὲ τυραννούσης ἁμαρτίας κατα λύσων τὸ κράτος, καὶ τίς ὁ φύσει Θεὸς ἐπιδείξων ἀνθρώπῳ παντί· ἀλλ' οἶδα λοιπὸν οὐ μετρίως τὴν σὴν ἀτίθασον φρένα. ὅπερ οὖν ἔθος σοι τολμᾶν ἐπὶ τοῖς τὰ τοιαῦτα κατορθοῦν ἐθέλουσι, πράττε καὶ νῦν. ἀνιάσεις γὰρ οὐδαμῶς ἐπιπίπτων ὀξὺς, καὶ σφόδρα δριμὺς ἐγκείμενος, ὅσον ἂν ἔσται τὸ πάθος δι' ἐμοῦ βαδίσαν ἐν ἀρχῇ. Καὶ ταυτὶ μὲν ἔγωγε τοῦ Σωτῆρος τὰ ῥήματα τὴν τοῦ προκειμένου δύναμιν ὑπαινίττεσθαί πως ὑπολαμβάνω· ἐπι ταχύνεσθαι δὲ διὰ τί προστάττει τὰ τολμήματα, φέρε δὴ πάλιν διασκεπτώμεθα. καίτοι πάνδεινον μὲν τὸ τῶν ἀνοσίων εὑρίσκεται θράσος, ἐμπαροινεῖν ἀκαθέκτως ἑλομένων αὐτῷ· προσδοκᾶν γὰρ ἦν αἰκίσματα, καὶ δυσφημιῶν ὄχλον οὐ φορητὸν, πληγὰς καὶ ἐμπτύσματα, καὶ τὸ τελευταῖον ἐλεεινὸν τὸν ἐπὶ ξύλῳ θάνατον, ἥλους καὶ σταυρὸν, ὄξος καὶ χολὴν καὶ τὰ ἐκ λόγχης τραύματα· τί τοιγαροῦν ἐπισπεύδει, φησὶ, 2.372 καὶ ἀμελλητὶ δρᾶσθαι βούλεται παρὰ τοῦ διαβόλου τὰ ἐπὶ τῷ πάθει τολμήματα; καὶ γὰρ ὑπηρέται γεγόνασιν Ἰουδαῖοι καὶ ὑπουργοὶ τῶν κακῶν, ἀλλ' ἐκείνῳ τὸ πᾶν ἐπιθήσομεν στρατηγοῦντι πρὸς μιαιφονίαν, καὶ ἀπ' ἀρχῶν ἐξάρχοντι τῶν κακῶν· ἀλλ' εἰ καὶ σφόδρα δεινὰ τὰ εἰς Χριστὸν τῶν ἀνοσίων Ἰουδαίων τολμήματα, καὶ ἀφόρητος τῶν σταυρω σάντων ἡ ὕβρις, ἀλλ' ᾔδει τοῦ πάθους τὸ πέρας, καὶ τί τὸ ἐντεῦθεν ἀποβησόμενον. ἔμελλε γὰρ διὰ τοῦ τιμίου σταυροῦ πεσεῖσθαι μὲν εἰς τὸ παντελὲς ἡ τοῦ διαβόλου τυραννὶς, καταργεῖσθαι καὶ θάνατος, καὶ τὸ τῆς φθορᾶς ἀφανίζεσθαι κράτος, ἀπολύεσθαί τε τῆς ἀρχαίας ἐκείνης ἀρᾶς τὸ ἀνθρώ πινον γένος, ἀργήσειν προσεδοκᾶτο λοιπὸν ἐκ φιλανθρωπίας καὶ χάριτος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τό "Γῆ εἶ καὶ εἰς "γῆν ἀπελεύσῃ·" ἔμελλεν "ἀνομία πᾶσα," κατὰ τὴν τοῦ προφήτου φωνὴν, "ἐμφράξειν τὸ στόμα αὐτῆς," καὶ κατη γορεῖν μὲν οὐκέτι τῶν ὑπ' αὐτὴν γεγονότων, ἀφανίζεσθαι δὲ παντελῶς ἔμελλον οἱ κατὰ πᾶσαν τὴν οἰκουμένην τὸν ἀλη θῶς φύσει καὶ μόνον οὐκ εἰδότες Θεὸν, οἳ τῇ εἰς Χριστὸν δεδικαίωνται πίστει, ἀνοιχθήσεσθαι λοιπὸν ἡ τοῦ παρα δείσου προσεδοκᾶτο πύλη· ἔμελλε τοῖς ἀνωτάτω τὰ κάτω συνάπτεσθαι, καὶ ἀνοίγεσθαι μὲν οὐρανοὺς, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· τὰ δὲ τῶν ἁγίων ἀγγέλων τάγματα ἀνα βαίνειν καὶ καταβαίνειν ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. εἶτα τοσούτων εἰπέ μοι προσδοκωμένων ἀγαθῶν, καὶ λαμπρᾶς οὕτως ἐλπίδος ἀνατικτομένης ἡμῖν διὰ τοῦ σωτηρίου σταυ ροῦ· πῶς οὐκ ἔδει τὸν τὴν ἡμετέραν διψήσαντα σωτηρίαν, διά τε τοῦτο καθ' ἡμᾶς γεγονότα χωρὶς ἁμαρτίας, τὸν οὕτω τριπόθητον ἐπείγεσθαι βλέπειν ἤδη παρόντα καιρόν; πῶς δὲ οὐκ ἐχρῆν τὸν οὐδὲν εἰδότα κακὸν καταφρονῆσαι μὲν τῶν ἐκ διαβολικῆς κακουργίας ἐσκευασμένων, ἐπείγεσθαι 2.373 δὲ μᾶλλον ἐλθεῖν εἰς τὸν τριπόθητον καιρὸν τῆς οὕτω λαμπρᾶς ἑορτῆς; Οὐκ εἰδότι τοιγαροῦν τῷ σατανᾷ, ὅτι τῆς ἑαυτοῦ κατα στρατεύεται κεφαλῆς, ἀγνοήσαντί τε παντελῶς, ὅτι κατὰ κρημνοῦ τρέχει, τὸν ἐπὶ τοῦ σταυροῦ διαπήξας θάνατον, ἔφασκεν ὁ Σωτήρ Ὃ ποιεῖς ποίησον τάχιον· ἀπειλοῦντος γὰρ μᾶλλον ἢ προτρέποντος ὁ λόγος ἐστίν. ὥσπερ γὰρ νεανίας πρὸ ἥβης καὶ καλὸς καὶ σφριγῶσαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχων ἐν τῷ σώματι δύναμιν, ὁρᾷ μὲν ἐφ' ἑαυτῷ δρομαῖον ἰόντα τινὰ, ὀξεῖ δὲ πελέκει τὴν δεξιὰν ἐναρμόσας, καὶ εἰδὼς ὅτι τεθνήξεται πάντως ἐλθὼν, ἀναφθέγγοιτο τυχόν Ὃ ποιεῖς ποίει τάχιον· ὄψει γὰρ τῆς ἐμῆς δεξιᾶς τὴν δύναμιν· καὶ οὐ δήπου τεθνάναι σπουδάζοντος ἐρεῖ τις τὸ ῥῆμα, προειδότος δὲ μᾶλλον ὅτι νικήσει καὶ περιέσται τοῦ κακοῦν ἐθέλοντος αὐτόν· οὕτως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὀξυτέρῳ τρόπον τινὰ κεχρῆσθαι κελεύει δρόμῳ τὸν σατανᾶν εἰς τὰ ἐπ' αὐτῷ τολμήματα. δείξει γὰρ ἤδη πεσόντα γελᾶσθαι τὸν ἀλιτήριον, ἐλευθέραν τε τὴν οἰκουμένην ἰδεῖν τοῦ πάλαι κρατήσαντος ἐκ πλεονεξίας καὶ νενικηκότος, ὡς ἐξ ἀπάτης, ὡς καὶ τῆς εἰς Θεὸν ἀποστῆσαι πίστεως. ἀγνοοῦσι γεμὴν οἱ μαθηταὶ τοῦ λόγου τὴν δύναμιν, οἰκονομικῶς, ὡς εἰκὸς, οὐκ ἀποκαλύψαντος αὐτοῖς τοῦ Χριστοῦ, ἐπεὶ καὶ ἐν ἑτέροις φαίνεται προδιδάσκων μὲν, ὅτι παραδοθήσεται εἰς χεῖρας ἁμαρτωλῶν, καὶ ὅτι σταυρωθήσεται, καὶ ἀποκτανθήσεται, καὶ ἀναστήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ· παρεγγυώμενος δὲ μηδενὶ τὸ παράπαν τοιαῦτα λαλεῖν. σκοπὸς γὰρ ἦν αὐτῷ λαθεῖν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, τίς ἀληθῶς κατὰ φύσιν ἐστὶν, ἵνα καὶ ἐλθὼν σταυρωθῇ, καὶ σταυρωθεὶς ἀνέλῃ τὸν θάνατον, καὶ τοῖς εἰς αὐτὸν πιστεύουσι κατορ θώσῃ τὴν σωτηρίαν. κατακρύπτει τοιγαροῦν οἰκονομικῶς τὰ πλεῖστα τῶν λεγομένων· πάντα γὰρ οἶδεν ὡς Θεὸς τὰ συμφέροντα. 2.374 Τινὲς δὲ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι εἶπεν αὐτῷ ὁ Ἰησοῦς Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ. Οὐ συνιέντες οἱ μαθηταὶ τοῦ λόγου τὴν δύναμιν, ἐπὶ τὰς συνήθεις ὑπονοίας εὐπετέστερον τρέχουσι, καὶ ἅπερ ἦν ἔθος τῷ Σωτῆρι προστάττειν, ταῦτα πάλιν αὐτὸν οἴονται δηλοῦν. ἐγγὺς γὰρ οὔσης τῆς ἑορτῆς, προσεδόκησάν τι τῶν εἰς αὐτὴν ἐπιτηδείων ἐκπρίασθαι κελεύειν αὐτῷ τῷ γλωσσόκομον ἔχοντι, ἤγουν μάλιστα τὸ αὐτῷ περισπούδαστον ἐξανῦσαι προσ τάττειν, τουτέστι, τὰ τοῖς δεομένοις ἐπαρκέσαι δυνάμενα, κατά γε τὸ τῶν προσκομιζομένων μέτρον. χρηστὸς γὰρ καὶ ἐλεήμων ὁ Κύριος, κατὰ τὸ γεγραμμένον. ἄριστος δὲ σφόδρα καὶ ἡμῖν αὐτοῖς ὁ τοῦ πράγματος εὑρεθήσεται τύπος. χρῆναι γὰρ οἶμαι τοὺς ἑορτάζειν ἐθέλοντας, κα θαρῶς τε καὶ ἀρεσκόντως Θεῷ, οὐχὶ μόνης τῆς σφῶν αὐτῶν εὐθυμίας ποιεῖσθαι λόγον, οὐδὲ ὅπως ἂν αὐτοὶ καὶ μόνοι διατελοῖεν ἱλαρῶς προνοεῖν, συναναπλέκειν δὲ μᾶλλον τῇ οἰκείᾳ φροντίδι καὶ τὴν ἐπὶ τοῖς δεομένοις φειδώ. τότε γὰρ τότε τὸν τῆς εἰς ἀλλήλους ἀγάπης ἀποπληροῦντες θεσμὸν, ἑορτὴν ὄντως πνευματικὴν ἐπιτελέσομεν τῷ Σωτῆρι Χριστῷ. τοιγάρτοι καὶ ὁ πάλαι τοῖς Ἰουδαίοις διακελευσθεὶς νόμος ἐν τῇ τοῦ μάννα συγκομιδῇ, οὐ μόνοις αὐτοῖς ἐφίησι συλλέγειν τοὺς τοῦτο πράττειν ἰσχύοντας· ""Ἕκαστος γὰρ, φησὶ, καὶ "τοῖς συσκήνοις ὑμῶν συλλέξατε." εἰ γάρ τις ἠτόνησε τῶν ὁμοσκήνων αὐτοῖς, οἱ μὴ τοῦτο πεπονθότες, κιχρῶντες ὥσπερ αὐτῷ τὴν ἰδίαν ἰσχὺν, συνεκόμιζον τῷ οἰκείῳ μέτρῳ καὶ τὸ τοῖς ἑτέροις ἀρκοῦν, ἵνα κατὰ τὸ γεγραμμένον, ὁ μὲν τὸ πολὺ μὴ πλεονάσῃ, ὁ δὲ τὸ ἔλαττον μὴ ἐλαττωθῇ. οὕτω γὰρ ἦν, ἀνακράσεως ὥσπερ τινὸς γενομένης, τὸν τῆς ἰσότητος ἅπασι σώζεσθαι λόγον. ἀδικεῖ τοιγαροῦν τὸν ταῖς ἁγίαις ἑορταῖς 2.375 πρέποντα τύπον, ὁ μὴ τῇ οἰκείᾳ φροντίδι τὴν τῶν δεομένων συναναμιγνύς. εἴη γὰρ ἂν ὄντως ἑορτὴ τελεία τὸ σύναμμα. Λαβὼν δὲ τὸ ψωμίον εὐθὺς ἐξῆλθεν ἐκεῖνος. ἦν δὲ νύξ.

Δρομαῖος ἄπεισιν ἐπὶ τὸ τῷ διαβόλῳ δοκοῦν, καὶ καθάπερ οἰστρῶν καὶ δεδονημένος τῆς μὲν ἑστίας ἐξάλλεται· κρεῖττον δὲ ὅλως οὐδὲν τῆς φιλοκερδείας ὁρᾷ, καὶ τό γε παράδοξον, οὐδὲν ἐκ τῆς εὐλογίας ὠφελημένον εὑρήσομεν, διὰ τὴν ἐνοῦσαν αὐτῷ δηλονότι δυσκάθεκτον εἰς τὸ χρηματίζεσθαι ῥοπήν. προκεκρατημένος γὰρ τῷ πάθει, καὶ ὁλόκληρον ἑαυτῷ τὸν ἁπάσης ἀνομίας ὠδίνων πατέρα, οὐδὲ ὅποι ποτὲ τρέχει λοιπὸν ὁ δείλαιος διασκέπτεται. νύκτα γὰρ οὖν ὥσπερ τινὰ καὶ ζοφώδη διαλογισμῶν ἀνοσίων ἐσμὸν ἐν στέρνοις ἑλὼν, εἰς ᾅδου πυθμένα καὶ εἰς πέταυρον καταντᾷ, καὶ κατὰ τὸν ἐν παροιμίαις λόγον, ὡς ἔλαφος ἐπισπεύδει "πεπληγὼς εἰς τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἧπαρ τοξεύματι," ἢ ὡς κύων ἐπὶ δεσμοὺς "οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει." καί μοι δοκεῖ μὴ μάτην εἰπεῖν ὁ θεσπέσιος Εὐαγγελιστὴς, ὅτι λαβὼν τὸ ψωμίον ἐξῆλθεν εὐθύς. δεινὸς γὰρ ὁ σατανᾶς εἰς τὸ τοῖς ἅπαξ ἁλοῦσι καὶ ὑπ' αὐτὸν γεγονόσι προστάττειν εὐθὺς ἐξανύειν τὰ πονηρὰ, καὶ μελλήσεως ἁπάσης δίχα τὸ δοκοῦν αὐτῷ κατεργάζεσθαι καὶ οὐχ ἑκόντας ἀναγκᾶσαι. δέδιεν ἴσως, πικρόνους τε ὑπάρχων ἀεὶ καὶ δριμὺς εἰς κακουργίαν, μὴ ἄρα τις ἐν ταῖς ὑπερθέσεσι παρεισδραμοῦσα μετάγνωσις μεταβουλεύσασθαί τι τῶν ἀγαθῶν παρασκευάσῃ τὸν ἄνθρωπον, καὶ καθάπερ τινὰ μέθην ἀποθέσθαι τοῦ νοῦ τὴν εἰς ἁμαρτίαν ἡδονὴν, ἔξω τε παγίδος ἑλκύσῃ τῆς παρ' αὐτοῦ τὸν ἤδη κατειλημμένον. διὰ ταύτην οἶμαι τὴν αἰτίαν ἐπικεῖσθαι τὸν ἀλιτήριον τοῖς ὑπ' αὐτὸν γεγονόσιν, εἰς τὸ δρᾶν ἐπείγεσθαι καὶ μάλα γοργῶς τὸ ἀρέσκον αὐτῷ. καὶ γοῦν τὸν Ἰούδαν μετὰ τὸ ψωμίον εὐθὺς ἀναγκάζει λοιπὸν, ὡς ὑπὸ χεῖρα λαβὼν, ἐπὶ 2.376 τὴν οὕτως ἀνόσιον ἰέναι πρᾶξιν, δεδιὼς κατά γε τὸ εἰκὸς ὁμοῦ τῇ μεταγνώσει καὶ τὴν ἐκ τῆς εὐλογίας δύναμιν, μὴ ἄρα πως ἐν τῇ τοῦ ἀνθρώπου καρδίᾳ φωτὸς ἀναλάμψασα δίκην, ἀγαθουργεῖν ἀναπείσῃ προελέσθαι μᾶλλον αὐτὸν, ἤγουν τὸ φρόνημα τὸ γνήσιον ἐντέκῃ, τῷ καὶ προδοῦναι λοιπὸν ἀναπεπεισμένῳ. Ὅτι γὰρ ἔθος τοῦτο πράττειν ἀεὶ καθ' ἡμῶν τῷ δαίμονι, καὶ διὰ τῶν ἐν τύπῳ γεγονότων γνωσόμεθα. ἐποιήσατο μὲν γὰρ ὑπὸ χεῖρα τοὺς Ἰουδαίους ὁ Φαραὼ κατ' Αἰγύπτον ὄντας ἔτι, πηλῷ δὲ καὶ πλινθείᾳ καὶ ταῖς τῶν ἔργων ἀνάγκαις ἐγκατατρύχεσθαι πικρῶς ἐπιτάξας αὐτοὺς, οὐδένα τε ταῖς πρὸς Θεὸν ἱκετείαις ἐδίδου καιρόν. καὶ γοῦν πρὸς τοὺς τῶν ἔργων ἐπιστάτας "Βαρυνέσθω, φησὶ, τὰ ἔργα τῶν ἀνθρώπων "τούτων, καὶ μὴ μεριμνάτωσαν λόγοις κενοῖς·" λόγους κενοὺς ὀνομάζων τὴν εἰς ἐλευθέραν ἕξιν ἀναδρομὴν καὶ τὴν ἐπὶ τούτῳ διάπυρον ἐπιθυμίαν, καὶ τὸν ἐπὶ τῇ δουλείᾳ θρῆνον, καὶ τὴν ἐπὶ τῶν καλλίστων προσευχήν. οὐκ ἠγνόει γὰρ διὰ τῆς ἐν τούτοις σχολῆς οὐ μικρὰν εὑρήσοντας ὄνησιν. ἀπὸ δὴ τῶν τύπων ἐπὶ τὴν τῶν ἀληθεστέρων θεωρημάτων ἰόντες ἐπίγνωσιν, κατεπείγοντα σφόδρα τὸν σατανᾶν εὑρήσομεν πρὸς τὸ χρῆναι πράττειν τὰ πονηρὰ τοὺς εἴσω πεσόντας τῶν παρ' αὐτοῦ δικτύων, καὶ ὁλοκλήρως ἤδη κεκρατημένους εἰς ὑπουργίαν τῶν ἀρεσκόντων αὐτῷ. Ὅτε οὖν ἐξῆλθε, λέγει ὁ Ἰησοῦς Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. καὶ αὐτὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. Ἔξεισι μὲν ὁ προδότης τοῖς τοῦ διαβόλου στρατηγήμασιν ὑπηρετήσων· ἄρχεται δὲ τοῦ λόγου Χριστὸς, οὐκ εἰς τὰς πάντων ἀκοὰς τὰ μόνοις πρέποντα τοῖς γνησίοις λαλεῖσθαι δεῖν ὡς ἐν τύπῳ καὶ διὰ τούτου διδάσκων. οὐ γὰρ διδόναι 2.377 προσήκει τὸ ἅγιον τοῖς κυσὶ, κατὰ τὴν αὐτοῦ φωνὴν, ἀλλ' οὐδὲ τοῖς ὑῶν ἐνυβρίζεσθαι ποσὶ τοὺς μαργαρίτας ἐᾶν. ὅπερ οὖν ἔφη καὶ πρότερον, ὡς ἐν εἴδει παραβολῆς, τοῦτο πειρᾶται διδάσκειν καιροῦ καλοῦντος εἰς ἔργον καὶ σαφε στέραν ἐπίδειξιν. μετὰ τοίνυν τοῦ προδότου τὴν ἀπόστασιν καὶ τῆς ἑστίας τὴν ἀποδρομὴν, ἀνακοινοῦται λοιπὸν, ὡς ἐν καιρῷ τῷ πρέποντι, τοῖς γνησίοις τῶν μαθητῶν τὰ μυστήρια καί φησι Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου· καὶ σημαίνει μὲν διὰ τούτου τὸ σωτήριον πάθος, ὡς ὂν ἐπὶ θύραις τε καὶ ἤδη παρεσόμενον μετὰ βραχύ. δεδοξάσθαι γεμὴν τὸν υἱὸν τοῦ ἀνθρώπου φησὶν, οὐχ ἕτερόν τινα λέγων παρ' ἑαυτὸν, οὐ διῃρημένως, καθάπερ ἔδοξέ τισιν· εἷς γὰρ Υἱὸς ὁ Χριστὸς, καὶ πρὸ σαρκὸς καὶ μετὰ σαρκὸς, καὶ πρὶν ἄνθρωπος γένηται καθ' ἡμᾶς, καὶ ὅτε γέγονεν ἄνθρωπος. τὸ δὲ ὅπως δεδοξά σθαι δισχυρίζεται, ζητητέον· φαῖεν γὰρ ἴσως τινές Ἦ γὰρ οὐχὶ καὶ πρότερον τερατοποιεῖν ἐδοξάζετο; καίτοι θάλασσαν μὲν ἀγριαίνουσαν ἑνὶ δυσωπήσας λόγῳ, καὶ βιαιοτάτων πνευμάτων ἀνακόψας φορὰν, προσεκυνήθη μὲν παρὰ τῶν ἐν τῷ πλοίῳ τότε, ἤκουσε δὲ ὅτι "Ἀληθῶς Θεοῦ υἱὸς εἶ." καὶ μὴν καὶ τὸν ἐν τῇ Βηθανίᾳ Λάζαρον παλινδρομῆσαι προστάξας εἰς ζωὴν, διαβόητον ἔσχε τὸ θαῦμα, ὡς καὶ ἀνα βαίνοντι κατὰ τὸν τῆς ἑορτῆς καιρὸν εἰς Ἱεροσόλυμα πρου παντῆσαι σύμπαντας ὁμοῦ τοῖς νηπίοις, καὶ ἀξιάγαστον αὐτῷ τὴν εὐφημίαν ἀναπλέκειν λέγοντας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"Εὐλογημένος ὁ "ἐρχόμενος ἐν ὀνόματι Κυρίου." ἀλλὰ καὶ πέντε διακλάσας ἄρτους ποτὲ καὶ ὀψάρια δύο, κορεσθῆναι παρεσκεύασε τὴν τῶν ἐπ' αὐτὸν συνδεδραμηκότων πληθὺν, δίχα νηπίων καὶ γυναικῶν, εἰς πέντε συντείνουσαν χιλιάδας ἀνδρῶν. ἐδόκει δὲ οὕτως εὐκλεὲς τὸ τερατουργούμενον εἶναί τισιν, ὡς τὴν τοῦ πράγματος καταπεπληγμένους ὑπεροχὴν, ζητεῖν αὐτὸν ἀναδεῖξαι καὶ βασιλέα· τοῦτο γὰρ αὐτὸς ἡμῖν ὁ Εὐαγγε λιστὴς διεμαρτύρατο. χαλεπὸν δὲ οὐδὲν καὶ δι' ἑτέρων ὅσων 2.378 καὶ σφόδρα πλατὺν ἰέναι τὸν λόγον, τῶν ἀρτίως ἡμῖν ἀπηριθμημένων πραγμάτων κατ' οὐδὲν ἡττωμένην τὴν δόξαν ἐχόντων. πῶς οὖν ἄρα λοιπὸν ὁ καὶ πάλαι δεδοξασμένος, ἑαυτὸν νυνὶ δεδοξάσθαι φησί; δεδόξασται γὰρ καὶ δι' ἑτέρων, καὶ θεοπρεποῦς ἐξουσίας ὑπόληψιν ἔχων ἐφαίνετο· τὸ γεμὴν τῆς δόξης τέλειον καὶ τῆς εὐκλείας τὸ πλῆρες ἐν ἐκείνῳ πάντως ἦν, ἐν τῷ παθεῖν αὐτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, καὶ δι' ἑαυτοῦ τῆς ἁπάντων ἀναστάσεως καινοτομῆσαι τὸν τρόπον. βασανίζοντες γὰρ ὡς ἔνι καλῶς τοῦ κατ' αὐτὸν μυστηρίου τὸν λόγον, οὐχ ἑαυτῷ τυχὸν, οὐδὲ κυρίως δι' ἑαυτὸν τεθνεῶτα κατοψόμεθα, ἀλλ' ὑπὲρ ἁπάσης τῆς ἀνθρω πότητος παθεῖν τε καὶ δρᾶσαι, τό τε πάθος αὐτὸ, καὶ μετ' ἐκεῖνο τὴν ἀνάστασιν. τέθνηκε μὲν γὰρ κατὰ τὴν σάρκα τῆς ἁπάντων ζωῆς ἀντίῤῥοπον τὴν ἰδίαν ἀποδεικνὺς, καὶ τῆς ἀρχαίας ἐκείνης ἀποπληρῶν ἀρᾶς ἐν ἑαυτῷ τὴν δύναμιν ὁ πάντων ἀντάξιος. ἐγήγερται δὲ πάλιν ἐκ νεκρῶν εἰς ἀκή ρατόν τινα καὶ ἀκατάληκτον ζωὴν, ὅλην ἐν ἑαυτῷ διανιστὰς τὴν φύσιν. ἅπαξ γὰρ ἀποθανὼν, κατὰ τὸ γεγραμμένον, "οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. ὃ γὰρ "ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ "Θεῷ." τοῦτο καὶ ἐφ' ἡμῖν αὐτοῖς ἀληθὲς ἔσται διὰ Χριστόν. ἐγερθησόμεθα γὰρ ἔτι εἰς θάνατον οὐχὶ, ἀλλ' εἰς ζωὴν τὴν ἀπέραντον, εἰ καὶ πολλὴ μετὰ τοῦτο τῶν ἀνιστα μένων ἡ διαφορὰ, κατά γε τὸ ἐν δόξῃ φημὶ, καὶ τὴν τοῖς ἑκάστου τρόποις χρεωστουμένην ἀντίδοσιν. γενόμενος τοίνυν "ὑπήκοος τῷ Θεῷ καὶ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ "σταυροῦ," κατὰ τὴν τοῦ Παύλου φωνὴν, ὑπερυψώθη πάλιν λαβὼν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. ὁ γὰρ νομισθεὶς ἄνθρωπος εἶναι ψιλὸς, ὑπερεδοξάσθη λίαν, Θεὸς ὄντως καὶ Υἱὸς τοῦ Θεοῦ κατὰ ἀλήθειαν ἀναδεδειγμένος, οὐκ εἰς καινὸν ἀξίωμα κεκλημένος τὸ εἶναι φύσει Θεὸς, ἀλλ' εἰς ὅπερ ἦν 2.379 καὶ πρὸ σαρκὸς, εἰς τοῦτο δὴ πάντως καὶ μετ' αὐτῆς ἀναδραμὼν τῆς σαρκὸς, κατὰ τοῦτο δεδοξάσθαι νομιοῦμεν αὐτὸν, καίτοι τῆς δόξης ὄντα διὰ παντὸς Κύριον. καινὸν γὰρ οὐδὲν ἐν Χριστῷ τῶν θεοπρεπῶν ἀξιωμάτων εὑρίσκεται, ἔχων δὲ πάντα φυσικῶς, ὡς Θεὸς, καὶ πρὸ τῆς λεγομένης κενώσεως· ἀλλὰ καὶ τῆς ληφθείσης τοῦ δούλου μορφῆς, ἐπειδήπερ ἑαυτὸν ἀνεβίβασεν εἰς ἐκεῖνα πάλιν, καὶ ὅτε γέγονεν ἄνθρωπος, δεδοξάσθαι νοεῖται, καὶ εἰληφέναι λέ γεται. δεδοξασμένῳ τοιγαροῦν τῷ Χριστῷ συνδεδόξασται πάντως καὶ ὁ Θεὸς καὶ Πατήρ. ἐδοξάσθη δὲ ἐν Υἱῷ, οὐ δόξης τινὰ προσθήκην λαβὼν παρὰ τοῦ ἰδίου γεννήματος· ἀνενδεὴς γὰρ τοιούτου παντὸς ἡ θεία τε καὶ ἄῤῥητος φύσις· ἀλλ' ἐπείπερ ἐγνώσθη τίνος ἐστὶ Πατήρ. ὅνπερ γὰρ τρόπον δόξα καὶ καύχημα τῷ Υἱῷ τὸ τοιοῦτον ἔχειν κατὰ φύσιν γεννή τορα, τὸν αὐτὸν οἶμαι τρόπον καὶ αὐτῷ τῷ Πατρὶ δόξα καὶ καύχημα, τὸ τοιοῦτον ἔχειν ἐξ ἑαυτοῦ τὸν ἴδιον Υἱόν. διὰ τοῦτό φησιν Καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ καὶ εὐθὺς δοξάσει αὐτόν· ἅμα γὰρ ἐδοξάσθη Πατὴρ διὰ τὸν Υἱὸν, καὶ ἀντεδόξασεν εὐθὺς τὸν Υἱόν. ἐπ' ἄμφω γὰρ δι' ἀμφοῖν τὸ τῆς δόξης ὄνομα τρέχει. Πλὴν ἵνα καὶ ἐν τοῖς καθ' ἡμᾶς τὴν τοῦ λόγου καταβιβά σωμεν δύναμιν, ὠφελείας τοῖς ἀκροωμένοις τίκτοντες ἀφορ μὴν, ἐκεῖνο τούτοις ἐποίσομεν. εἰ δοξάζομεν ἐν ἑαυτοῖς τὸν Θεὸν, προσδοκήσωμεν ὅτι δοξασθησόμεθα παρ' αὐτοῦ. ζῶ γὰρ ἐγὼ, λέγει Κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω, καὶ οὐκ ἐξουδενωθήσονται. δοξάζεται δὲ δι' ἡμῶν καὶ ἐν ἡμῖν ὁ Θεὸς, ὅταν τὸν ἐκ τῆς ἁμαρτίας παρωσάμενοι ῥύπον, διὰ πάσης ἀγαθοεργίας τὸν οἰκεῖον καταφαιδρύνωμεν βίον. ζῶμεν γὰρ οὕτως εἰς δόξαν αὐτοῦ. 2.380 Τεκνία, ἔτι μικρὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρόνον μεθ' ὑμῶν εἰμι. Ἐν τῇ τῶν τεκνίων τάξει, καὶ ἐν τοῖς ἀρτιτόκοις βρέφεσι κατατάττει τοὺς μαθητὰς, καίτοι πρὸς τοσοῦτον ἀρετῆς ἀναπηδήσαντας μέτρον, καὶ σύνεσιν ἔχοντας τὴν ὀλίγοις κατωρθωμένην· δεικνὺς διὰ τούτου, καὶ μάλα σαφῶς, ὅτι καὶ ὁ σφόδρα τέλειος ἐν ἀνθρώποις ὑποπτευθεὶς, νήπιός ἐστι παρὰ τῷ Θεῷ, καὶ βραχὺς τὰς φρένας. τί γὰρ ἡ ἀνθρώπου σύνεσις ὡς πρὸς τὴν τῶν ὅλων τεχνῖτιν σοφίαν; διὰ τοῦτό τις ψάλλων ἔλεγε πρὸς Θεόν "Κτηνώδης ἐγενή "θην παρὰ σοί." καὶ οὐχὶ πάντως ἐρεῖ τις εἴ γε νοῦν ἔχοι, διὰ τοῦ κεκολλῆσθαι τῷ Θεῷ κτηνώδη λέγεσθαι τὸν ψάλ λοντα· εἴη γὰρ ἂν τοῦτο πικρὸν τῆς θείας φύσεως κατηγό ρημα, καὶ πολλὴν ἂν ἔχον ὁρῷτο τὴν ἀτοπίαν. ὁ μὲν γὰρ ἀνθρώπῳ κολλώμενος σοφῷ καὶ παρ' αὐτῷ γινόμενος· δεῖ γὰρ οἶμαι τὴν λέξιν τοῦ ψαλμοῦ συναρμόσασθαι διὰ τὴν χρείαν· κτηνώδης οὐκ ἂν γένοιτό ποτε, ἀγχίνους δὲ μᾶλλον καὶ συνετὸς καὶ δριμὺς εἰς φρόνησιν. εἰ δὲ δὴ τοῦτο φαίη τις ἂν καὶ μάλα δικαίως ὑπάρχειν ἀληθὲς, πῶς οὐκ ἂν οἴοιτο ληρεῖν, τὸν ᾧ γε πάρεστι φρονεῖν, ὅτι κτηνώδης ἔσται καὶ ἄνους ὁ παρ' αὐτοῦ γενόμενος τῇ σοφίᾳ τοῦ Θεοῦ; τί οὖν ἄρα, φησὶν, ὅτι καὶ ὁ λίαν σοφὸς ἐν ἀνθρώποις, εἰ τῇ τοῦ Θεοῦ σοφίᾳ συγκρίνοιτο, κτηνώδης τε ὢν ὀφθήσεται, καὶ ἐν τοῖς οὐκ ἔχουσι νοῦν λογισθήσεται; ὅνπερ γὰρ τρόπον ὁ μικρότατος τῶν ἀστέρων οὐκ ἂν ταῖς ἡλίου φιλονεικοίη βολαῖς, ἀλλ' οὐδὲ λίθος ὁ βαρὺς ὄρει τῷ πάντων ὑπερφερεῖ, οὕτως ἀνθρώπων σύνεσις οὐκ ἂν δύναιτό ποτε τῇ τοῦ Θεοῦ σοφίᾳ συγκρίνεσθαι, μᾶλλον δὲ οὐδὲν ὅλως ἔσται πρὸς ἐκείνην παντελῶς. τεκνίον οὖν ἄρα καὶ ὁ τέλειος. Μικρὸν γεμὴν ἔτι χρόνον συνέσεσθαι τοῖς ἑαυτοῦ μαθηταῖς 2.381 ἔφη Χριστὸς, οὐχ ὡς ἀφεστήξων παντελῶς, οὐδὲ εἰς ἅπαν καὶ ὁλοκλήρως ἀλλοτριούμενος· μεθ' ἡμῶν γάρ ἐστι "πάσας "τὰς ἡμέρας καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος," κατὰ τὴν αὐτοῦ φωνήν· ἀλλ' ὅτι μετὰ σαρκὸς οὐ συνέσται, καθάπερ ἐχθὲς καὶ τρίτην· ἦν δὲ καὶ ἐπὶ θύραις, μᾶλλον δὲ εἴσω θυρῶν, ὁ καιρὸς τῆς ἐντεῦθεν ἀποδημίας πρὸς τὸν Πατέρα καὶ τῆς ἀνόδου τῆς εἰς οὐρανόν. διακεῖσθαι δὲ δεῖν ἀναγ καῖον εἶναί φημι, τοὺς οἵ γε φρονοῦσιν ὀρθῶς καὶ ἱδρυμένην ἔχουσι τὴν πίστιν, ὡς εἰ καὶ ἄπεστιν ἡμῶν τῇ σαρκὶ, τὴν πρὸς Θεὸν καὶ Πατέρα στειλάμενος ἀποδημίαν, ἀλλ' οὖν τῇ θείᾳ δυνάμει περιέπει τὰ σύμπαντα, καὶ συμπάρεστι τοῖς ἀγαπῶσιν αὐτόν. διὰ γάρ τοι τοῦτο καὶ ἔφασκεν "Ἀμὴν "ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν συναχθῶσι δύο ἢ τρεῖς εἰς τὸ "ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν." ὥσπερ γὰρ ἀνθρώποις ἔτι συνδιαιτώμενος, καὶ ἐπὶ γῆς ὑπάρχων μετὰ σαρκὸς, ἐπλήρου μὲν οὐρανοὺς, συνῆν δὲ τότε τοῖς ἁγίοις ἀγγέλοις, οὐκ ἀπελείπετό τε τῶν ἄνω χώρων· οὕτω καὶ νῦν ὑπάρχων ἐν οὐρανοῖς μετὰ τῆς ἰδίας σαρκὸς, πληροῖ μὲν τὴν γῆν, σύνεστι δὲ τοῖς ἑαυτοῦ γνωρίμοις. ἐπιτήρει δὲ ὅπως, καίτοι κατὰ μόνην τὴν σάρκα χωρίζεσθαι προσδοκῶν· σύνεστι γὰρ ἡμῖν τῇ δυνάμει τῆς θεότητος διὰ παντός· ἔτι μικρὸν χρόνον μεθ' ἡμῶν ἔσεσθαί φησι, τελείως τε καὶ ὁλοκλήρως ἑαυτὸν ἀπὸ τοῦ μέρους σημαίνων, ἵνα μήτις εἰς υἱῶν δυάδα διατέμνειν ἐπιχειρῇ τὸν ἕνα Χριστὸν, ἀλλ' ὡς ἕν τι νοῇ καὶ δέχοιτο, καὶ τὸν ἐκ Θεοῦ Πατρὸς γεννη θέντα Λόγον καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου ληφθέντα ναὸν, οὐχ ὅτι τῆς αὐτῆς οὐσίας εἰσὶν, ἀλλ' ὅτι μετὰ τὴν ἄῤῥητον ἕνωσιν, ὁ τοῦ διακόπτειν λόγος οὐκ εὐσεβής· εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός. 2.382 Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν ἄρτι λέγω. Οὐκ ἀζήμιον παντελῶς ἔσεσθαι τοῖς ἑαυτοῦ μαθηταῖς τὴν ἀποδημίαν φησὶ, τὴν ἑαυτοῦ δηλονότι. πρῶτον μὲν, ὅτι λύπῃ τῇ ἐπὶ τούτῳ κατατακήσονται, καὶ δύσοιστον ἕξουσι τῆς ἐντεῦθεν πικρίας τὸ βάρος. συνεῖναι γὰρ δὴ καὶ πάλιν αὐτῷ διψήσειν, οὐκ ἀμφίβολον, καὶ συνδιαιτᾶσθαι διὰ παντὸς ἐθέλειν αὐτοὺς, καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Παῦλος, καὶ αὐτῆς προτιθεὶς τῆς ἐνθάδε ζωῆς τὸ συνεῖναι Χριστῷ, κρεῖττον ἔφασκεν εἶναι "τὸ ἀναλῦσαι καὶ σὺν "Χριστῷ εἶναι." ταῦτα συνεωρακὼς ὁ Χριστὸς, καὶ τὰς τῶν ἀγαπώντων αὐτὸν οὐκ ἀγνοήσας καρδίας, οὐ δίχα λύπης ἔσεσθαι τοῖς μαθηταῖς ἔφη τὴν ἑαυτοῦ ἄνοδον· ἀλλ' ἦν τις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ τούτῳ καὶ ἑτέρα πρόφασις ἀληθὴς, ζητεῖν ἀναγκάζουσα τὸ συνεῖναι Χριστῷ τοὺς ἁγίους μαθητάς. ὁμιλήσειν μὲν γὰρ ὅσον οὐδέπω κινδύνοις ἔμελλον οὐ μικροῖς, καὶ ταῖς Ἰουδαίων ἀκαθέκτοις ἀπονοίαις κατασφεν δονᾶσθαι συχνῶς, ἀλλὰ καὶ ταῖς ἐξ ἑτέρων τινῶν περιπε σεῖσθαι μανίαις, ὅλην περιθέοντες τὴν οἰκουμένην, καὶ τοῖς ἔτι πλανωμένοις τὸν τοῦ Σωτῆρος διακηρύττοντες λόγον, ὡς δεσμωτηρίων πειρᾶσθαι, ὕβρεώς τε καὶ αἰκίας οὐκ ἀμοιρεῖν, καὶ ἑτέρων οὐδὲν ἧττον στρεβλώσεων εἰς πεῖραν ἐλθεῖν· καίτοι τῶν τοιούτων οὐδενὸς πεπειραμένοι πρότερον ἐν τῷ συνεῖναι Χριστῷ. ζητήσετε, φησὶ, τότε τοίνυν τὴν ἐμὴν μάλιστα συνουσίαν, ὅταν ὑμᾶς τὰ πολύτροπα τῶν πει ρασμῶν ἐκταράττῃ κύματα. τοῦτο δὲ ἦν, οὐ πρὸς δειλίαν ἄγοντος, ἢ προκατακλῶντος τῷ φόβῳ τοὺς μαθητάς· ἐπα λείφοντος δὲ μᾶλλον εἰς εὐτονίας ἀνάληψιν, καὶ οἱονεὶ πρὸς τὴν τῶν ἔσεσθαι προσδοκωμένων ὑπομονὴν προευτρεπι σθῆναι διδάσκοντος. οὐ γὰρ εὑρήσομεν ἀκερδὲς, μᾶλλον δὲ 2.383 πολλὴν ἄν τις ἴδοι τὴν ὄνησιν ἔχον τὸ ἐν ψαλμοῖς ᾀδόμενον "Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην." τὸ μὲν γὰρ ὅλως οὐκ ἐλπισθὲν τῶν ἀδικεῖν εἰωθότων, δεινὸν εἰς θορύβους, καὶ ἀδόκητόν πως ἔχει τὴν ἔφοδον· τὸ δὲ ταῖς προσδοκίαις, καὶ τὸ τῷ προεγνῶσθαί τισι προδαπανῆσαν ἤδη τοῦ φόβου τὸ πλέον, οὐκ ἄκρατον ἔχει καθ' ὧν ἂν ἐπίοι δύναμιν, προμελε τησάσης αὐτὸ τῆς διανοίας, καὶ ὡς ἤδη παρὸν δεξαμένης πολλάκις, ὅσον εἰς ἐννοίας δύναμιν. ὥσπερ γὰρ εἴ τις αἱμοβόρος καὶ ἄγριος θὴρ, ἐκ μέσου ἀναδὺς εὐδένδρου τε καὶ δασείας τῆς λόχμης, ἐφάλλοιτό τινι τῶν οὐχ ὁρώντων αὐτὸν, σπαράττει μὲν λίαν οὐ προσδοκῶντα τὴν ἔφοδον, ἀναιρεῖ δὲ πρὸς μάχην οὐκ εὐτρεπισθέντα λαβών· ὁ δὲ πόῤῥωθεν ὀφθεὶς, καὶ ὅτι παρέσται διεγνωσμένος, ὡπλι σμένῳ συμβαλὼν, ἢ ἔλαττον ἀδικήσει τυχὸν, ἢ καὶ μηδὲν ἰσχύσας οἰχήσεται· τὸν αὐτὸν οἶμαι τρόπον καὶ ἐπὶ τῶν πειρασμῶν, ὁ μηδόλως ἔσεσθαι προσδοκηθεὶς τοῦ προσδοκη θέντος ἤδη θερμότερόν τε καὶ ἀγριώτερον ἡμῖν προσβαλεῖ. χρησίμως τοιγαροῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, διὰ τοῦ φάναι Ζητήσετέ με, τὰ ἐκ τοῦ μηκέτι συνεῖναι τοῖς ἑαυτοῦ συμβησόμενα μαθηταῖς, καὶ θορύβους ὑπαινίττεται, τοὺς ἐκ τῶν πολεμησόντων, αὐτοὺς προετοιμάζων διὰ τοῦ προειπεῖν εἰς ἀνδρείας ἀνάληψιν· ἐπιλέγει δὲ τούτοις χρησίμως καὶ τί παρὰ πόδας κείσεται κωλύον ἀκολουθεῖν εἰς τὸ παρὸν αὐτούς. ὅπερ γὰρ ἔλεγον τοῖς Ἰουδαίοις, φησὶ, τοῦτο καὶ πρὸς ὑμᾶς ἄρτι φημί Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· οὐ γάρ πω παρῆν ὁ καιρὸς τοῦ πρὸς τὰς ἄνω γενέσθαι μονὰς τοὺς ἁγίους ἀποστόλους οὔπω λελειτουργη κότας. ἐτηρεῖτο γὰρ μάλιστα τὸ καὶ εἰς τοῦτο παρελθεῖν αὐτοὺς καιρῷ τῷ καθήκοντι. Ἐπιτηρητέον γεμὴν ἐκεῖνο πάλιν, ὅτι τοῖς μὲν Ἰουδαίοις προσλαλῶν καὶ αὐτὸ δὴ τοῦτο σημαίνων ἔφασκε Ζητήσετέ 2.384 με, καὶ οὐχ εὑρήσετέ με· τοῖς γεμὴν ἑαυτοῦ μαθηταῖς, τό Ζητήσετέ με μόνον φησὶν, ἀποσιωπᾷ δὲ πρεπόντως τό Οὐχ εὑρήσετε· καὶ διὰ ποίαν αἰτίαν; ἁρμόσει μὲν γὰρ ἐκείνοις τὸ μὴ εὑρίσκειν αὐτὸν, διά τε τὴν ἄμετρον ἀπιστίαν καὶ τῆς εἰς αὐτὸν δυσσεβείας τὴν ὑπερβολήν· τοῖς δὲ γνήσιον εἰς αὐτὸν ἔχουσι τὸ φρόνημα καὶ ἀκαπήλευτον ἀποσώσασι τὴν ἀγάπησιν, οὐκέτι πρεπόντως ἂν λέγοιτο τό Οὐχ εὑρήσετέ με. συνῆν γὰρ αὐτοῖς, καὶ συνέσται διὰ παντός. Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Καλῶς τε καὶ ἀληθῶς ὁ θεσπέσιος γράφει Παῦλος " Ωστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρ "ῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά." ἀνακαινίζει γὰρ ἡμᾶς, καὶ ἀναπλάττει τρόπον τινὰ πρὸς καινότητα ζωῆς, ἀστιβῆ δὲ καὶ τοῖς ἄλλοις οὐ τετριμμένην, ὅσοις τὸ ἐν νόμῳ πολιτεύεσθαι φίλον, καὶ ταῖς διὰ Μωυσέως προσεδρεύειν ἐντολαῖς. τελειοῖ μὲν γὰρ ὁ νόμος οὐδὲν, κατὰ τὸ γεγραμ μένον· πληρέστατον δὲ τῆς εἰς Θεὸν εὐσεβείας τὸ μέτρον ἐν τοῖς τοῦ Σωτῆρος ἡμῶν κατίδοι τις ἂν διατάγμασι. διὰ γὰρ τοῦτο καὶ αὐτός που πρὸς ἡμᾶς ὧδέ πη φησίν "Ἀμὴν "ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν "πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε "εἰς τὴν βασιλείαν τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανῶν." οὐ γὰρ τοῖς Ἰουδαίων ἁμιλλώμεθα τρόποις, ἀλλ' εἰ μὴ καὶ σφόδρα παραδράμοιμεν τὴν ἐν νόμῳ δικαιοσύνην, οὐκ ἂν οἶμαί ποτε πρὸς τὴν τῶν οὐρανῶν εἰσελάσειν ἡμᾶς βασιλείαν. καὶ οὐχ ὡς ἄχρηστον παντελῶς ἢ ἀνόνητον τὸν διὰ Μωυσέως εἶναι διοριζόμεθα νόμον· εἰσκεκόμικε γὰρ ἡμῖν, εἰ καὶ μὴ τελείως, τὸ ἀγαθὸν, ἀλλ' οὖν γε παιδαγωγὸς ἐπὶ τὴν τῆς εὐαγγελικῆς πολιτείας εὑρίσκεται μάθησιν, καὶ δι' αἰνιγμάτων καὶ τύπων εἰκόνα τῆς ἀληθοῦς εὐσεβείας εἰσφέρων, ἐνεχάραξέ πως ταῖς ἡμετέ ραις διανοίαις τῆς διὰ Χριστοῦ παιδεύσεως τὴν σκιάν. διὰ 2.385 γάρ τοι τοῦτο καὶ ἔφασκεν αὐτός "Λέγω γὰρ ὑμῖν, ὅτι πᾶς "γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν ὅμοιός "ἐστιν ἀνθρώπῳ πλουσίῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ "αὐτοῦ καινὰ καὶ παλαιά." πλοῦτος μὲν γὰρ ὄντως πνευ ματικός τε καὶ λίαν ἐν τοῖς διὰ Μωυσέως τετρίφθαι λόγοις, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν τεθησαυρισμένην ἔχειν ἐν δια νοίᾳ τὸν ἄνθρωπον, προσειληφότα γεμὴν καὶ τὸ τῆς εὐαγ γελικῆς παιδεύσεως κάλλος, ἐναβρύνεσθαι διπλῶς, τῇ τε τῶν ἀρχαίων καὶ τῶν νέων ἐν εἰδήσει νόμων. δεικνὺς τοιγαροῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὅτι τῆς ἀρχαίας ἀμείνων ἐντολῆς ἡ παρ' αὐτοῦ, καὶ ὅτι τοῖς ἐν νόμῳ πολιτευομένοις ἀτριβές πως ἦν ἔτι τὸ σωτήριον κήρυγμα, μέλλων ἀνα βαίνειν εἰς οὐρανοὺς, θεμέλιόν τινα ὥσπερ καὶ κρηπῖδα παντὸς ἀγαθοῦ τὸν τῆς ἀγάπης προκαταβάλλεται νόμον, ἀγάπης δὲ, οὐ τῆς κατὰ νόμον, ἀλλὰ τῆς ὑπὲρ νόμον. διὰ τοῦτό φησιν Ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλή λους. εἶτα πῶς, εἰπέ μοι, φήσειεν ἄν τις τυχὸν, εἶναι ταύτην τὴν ἐντολὴν καινὴν εἴρηκεν ὁ διὰ Μωυσέως τοῖς ἀρχαιο τέροις εἰπών "Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς "καρδίας σου καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλη "σίον σου ὡς ἑαυτόν;" ἰδοὺ γὰρ ἰδοὺ προτάξας τῶν ἄλλων καὶ προτεθεικὼς, ὡς εἰκὸς, τὴν εἰς Θεὸν ἀγάπησιν, παρεισκε κόμικε γείτονα τὴν εἰς ἀλλήλους, καὶ παρέζευξέ πως τῇ εἰς Θεὸν τὴν εἰς ἡμᾶς αὐτοὺς, ὡς οὐκ ἂν ἑτέρως ἐχούσης ὀρθῶς οὐδὲ τῆς εἰς Θεὸν ἀγάπης, εἰ μὴ παρέποιτο ταύτῃ καὶ ἡ τῷ πέλας χρεωστουμένη. πάντες γάρ ἐσμεν ἀλλήλων ἀδελφοί. καὶ γοῦν ὁ σοφώτατος Ἰωάννης, κάλλιστά τε εἰδὼς καὶ διδάσκων ἑτέρους Ὁ ἀγαπῶν, φησὶ, τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν ἀγαπᾷ. πῶς οὖν ἐντολὴ καινὴ διὰ Χριστοῦ, καίτοι τοῖς παλαιοῖς νόμοις διηγορευμένη; ἀλλ' ὅρα μοι τὴν ἀσφάλειαν, βλέπε τὴν ἐπαγωγήν. οὐ γὰρ ἠρκέσθη τῷ εἰπεῖν Ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους, ἀλλὰ τοῦ 2.386 λόγου τὴν καινότητα δεικνὺς, καὶ τῆς ἀρχαίας ἐκείνης ἀγα πήσεως, τῆς εἰς ἀλλήλους φημὶ, πολύ τι τὸ μεῖζον ἔχουσαν τὴν ἑαυτοῦ, προστέθεικεν εὐθύς Καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐρευνητέον τοιγαροῦν ὑπὲρ τοῦ συνιέναι σαφῶς τῶν εἰρημένων τὴν δύναμιν, πῶς ἠγάπησεν ἡμᾶς ὁ Χριστός. τότε γὰρ τότε, καὶ λίαν εὐκόλως, ἐπαθρήσαιμεν ἂν τὸ καινὸν καὶ παρηλλαγμένον τῆς νυνὶ δοθείσης ἐντολῆς. οὐκοῦν "ἐν "μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα "Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν "ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς "ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι "θανάτου, θανάτου δὲ σταυροῦ." ἀλλὰ καὶ πλούσιος ὢν ἐπτώχευσε, καθὰ πάλιν ὁ Παῦλος ἡμῖν διεμαρτύρατο. ὁρᾷς τὸ καινὸν τῆς εἰς ἡμᾶς ἀγαπήσεως; ὁ μὲν γὰρ νόμος ἀγα πῆσαι δεῖν τὸν ἀδελφὸν ἐκέλευσεν ὡς ἑαυτόν· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς ὑπὲρ ἑαυτόν· οὐ γὰρ ἂν ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων πρὸς τὴν ἡμετέραν κατέβη ταπείνωσιν, οὐδ' ἂν ὑπέστη πικρὸν οὕτως ὑπὲρ ἡμῶν τὸν τῆς σαρκὸς θάνατον, οὐδ' ἂν ἠνέσχετο ῥαπισμάτων Ἰουδαϊκῶν, αἰσχύνης καὶ γέλωτος καὶ τῶν ἄλλων ἁπάντων, ἵνα μὴ ἕκαστα τῶν εἰς αὐτὸν γεγο νότων ἐξαριθμούμενοι, πρὸς ἀπέραντον τὸν λόγον ἐκτείνωμεν· ἀλλ' οὐδ' ἂν ἐπτώχευσε πλούσιος ὢν, εἰ μὴ πολὺ λίαν ἠγάπησεν ἡμᾶς ὑπὲρ ἑαυτόν. ξένον οὖν ἄρα τῆς ἀγάπης τὸ μέτρον. οὕτω καὶ ἡμᾶς διακεῖσθαι κελεύει, οὐδὲν ὅλως τῆς εἰς ἀδελφοὺς προτιθέντας ἀγάπης, οὐ δόξαν, οὐ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλοῦτον, ἀλλ' οὐδὲ ὀκνοῦντας καὶ εἰς αὐτὸν, εἰ δέοι, τὸν τῆς σαρκὸς καταβῆναι θάνατον, ἵνα τὴν τοῦ πέλας σωτηρίαν ἀποκερδά νωμεν· ὃ δὴ καὶ πεπράχασιν οἱ μακάριοι τοῦ Σωτῆρος ἡμῶν μαθηταὶ, καὶ οἱ τοῖς ἐκείνων ἴχνεσιν ἀκολουθήσαντες, ἄμεινον 2.387 τῆς οἰκείας ζωῆς τὸ ἑτέρους σώζεσθαι λογισάμενοι, καὶ πάντα μὲν ἀνατλάντες πόνον, ἐν δὲ τοῖς ἐσχάτοις γεγονότες κακοῖς, ἵνα τὰς τῶν ἀπολλυμένων περισώσειαν ψυχάς. καὶ γοῦν ὁ Παῦλός φησι, ποτὲ μὲν, ὅτι "Καθ' ἡμέραν ἀπο "θνήσκω," ποτὲ δὲ πάλιν "Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; "τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;" ῥίζαν οὖν ἄρα τῆς τελειοτάτης εἰς Θεὸν εὐσεβείας τὴν ὑπὲρ νόμον ἀγά πησιν ἐπιτηδεύειν ἡμᾶς ὁ Σωτὴρ διεκελεύσατο· ταύτῃ τοι, καὶ οὐχ ἑτέρως εἰδὼς δοκιμωτάτους ἔσεσθαι παρὰ τῷ Θεῷ, καὶ τῆς παρ' αὐτοῦ πεφυτευμένης εἰς ἡμᾶς ἀγαπήσεως ἰχνηλατοῦντας τὸ κάλλος, ἐν μεγάλοις ἔσεσθαι καὶ τελείοις ἀγαθοῖς. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Γνώρισμα, φησὶν, ἄμαχόν τε καὶ ἀναμφίλογον ταῖς ἑαυτῶν ἐπιγράψετε κεφαλαῖς τὸ μεμαθητεῦσθαι παρ' ἐμοὶ, εἰ κατ' ἴχνος βαίνειν τῆς ἐμῆς ἐπείγεσθε πολιτείας, κατά γε τὸ ἐγχωροῦν τῇ ὑμετέρᾳ φύσει καὶ τοῖς τῆς ἀνθρωπό τητος μέτροις, ὡς ἀδιάσπαστον ἔχειν τῆς εἰς ἀλλήλους ἀγάπης τὸν σύνδεσμον, καὶ ἐν ἀλλήλοις συνηρμόσθαι καλῶς, κατά γε τὸν τῆς φιλαλληλίας λόγον καὶ τὸ ἐκ τῆς φιλοστοργίας ἀσύγκριτον καύχημα· τοῦτο γὰρ ἡμῖν ἀκριβῶς χαρακτηριεῖ τοῦ διδασκάλου τὴν δόξαν. ἀλλ' οἶμαί τις πρὸς τοῦτο ἐρεῖ, καὶ ἀφίξεται τυχὸν, ἐκεῖνο διερωτῶν Διατί τῆς ὑπὸ Χριστῷ μαθητείας ἡ ἀγάπη τὸ γνώρισμα, καὶ τὸ πασῶν εἶδος ἀρετῶν ἐν αὐτῷ διεφαίνετο, οὐκ ἐξ ἐπιεικείας πεπο ρισμένον, ἀλλ' οὐδὲ πόνῳ καὶ προσοχῇ, καθάπερ ἐν ἀνθρώπῳ συνειλημμένον, ἀλλ' ὡς τῇ αὐτοῦ προσπεφυκὸς φύσει; θείας γὰρ μάλιστα φύσεως ἴδια, καὶ αὐτῇ προσόντα κυρίως τε καὶ ἀληθῶς τὰ παντὸς ἐπέκεινα θαύματος. 2.388 Καὶ μὴν ὀρθότατά γε ὦ τᾶν, ἐροῦμεν ἡμεῖς, τὸν ἐπὶ τούτοις ἐποίσω λόγον. καρπὸς γὰρ οὐσίας τῆς ἀνωτάτω, τὰ ἰδίως τε καὶ κυρίως. προσπεφυκότα αὐτῇ. ἀλλ' ἔστι πως δοκιμάζοντα κατιδεῖν, ὅτι πᾶν εἶδος ἀρετῆς τῆς ἀγάπης ἐστὶ συμπληρωτικὸν, καὶ πᾶν, ὅπερ ἂν δοκοίη τις εἶναι κατορθού μενον ἀγαθὸν, εἰς αὐτὴν ὁρᾷ πως καὶ τέτραπται. διά τοι τοῦτο προὔχουσα μὲν ἐντολὴ καὶ πρώτη κατὰ τὸν νόμον, τὸ ἀγαπᾶν ἐστι Κύριον τὸν Θεὸν ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς διανοίας· δευτέρα δὲ καὶ ἀδελφὴ καὶ γείτων ἐκείνῃ ἡ εἰς τὸν πλησίον ἀγάπη σύμπαν ἔχουσα τοῦ νόμου τὸ πλήρωμα. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, εἰς τοῦτο συγκεφαλαιούμενος ἅπασαν ἐντολὴν ἐπι στέλλει "Τὸ γὰρ οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐκ ἐπιορ "κήσεις, καὶ εἴ τις ἑτέρα ἐστὶν ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ "ἀνακεφαλαιοῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς "ἑαυτόν· πλήρωμα οὖν νόμου ἡ ἀγάπη." ὅτι δὲ καὶ ἁπάσης ἀρετῆς ἰδέαν εἴσω τῶν οἰκείων ὅρων ἐποιήσατο, συνέχει δὲ ὥσπερ ἀγκάλαις ἑλοῦσα τὰ ἀγαθὰ, Παῦλος πάλιν αὐτὸς ὁ σοφώτατος ἐπιμαρτυρήσει βοῶν "Ἡ ἀγάπη οὐ περπερεύεται, "οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς," καὶ τὰ τούτοις συνημμένα· μακρὸν γὰρ εἰπεῖν τῆς ἀγάπης τὸ μέτρον. ἄλλως τέ φημι δὴ μάλιστα πρέπειν τε καὶ ἐνυπάρχειν τοῖς ἀγαπᾶν ἑλομένοις, ὅτι Χριστοῦ γεγόνασι μαθηταὶ τοῖς ἅπαν ταχόσε γνωρίζεσθαι, τὸ τῷ στεφάνῳ τῆς ἀγάπης ἐπισεμνύ νεσθαι, καὶ καθάπερ τι σήμαντρον ἐπιφέρεσθαι τοῦ πράγ ματος τὴν φιλαλληλίαν· τοῦ δὲ δὴ χάριν, καὶ τοῦτό φημι διὰ βραχέων. ἆρα γὰρ εἴ τις τῶν καθ' ἡμᾶς χαλκουργικὴν, ἤγουν τὴν ὑφάντου μετίῃ τέχνην, οὐκ ἂν ὁρῷτο, καὶ μάλιστα σαφῶς, ὡς χαλκοτύπου τινὸς, ἢ ὑφάντου γέγονε μαθητής; τί δὲ ὁ τεκτονικῆς ἐμπειρίας οὐκ ἀμοιρῶν; οὐκ ἆρα βοήσειεν ἂν διὰ τοῦτο δύνασθαι κατορθοῦν τὰ ἐν τῇ τέχνῃ καλῶς, ὅτι 2.389 τέκτονα τῆς ἐμπειρίας ἔσχε τὸν ἡγούμενον; κατὰ τὸν αὐτὸν οἶμαι λόγον οἱ τῆς θεοφιλοῦς ἀγάπης πληρουμένην ἐν ἑαυτοῖς τὴν δύναμιν ἔχοντες, ἀκονιτὶ γνωριοῦσιν, ὅτι τῆς ἀγάπης γεγόνασι μαθηταὶ, ἤτοι τοῦ τὴν εἰς ἄκρον ἀγάπην ἔχοντος Χριστοῦ. ἠγάπησε γὰρ οὕτω τὸν κόσμον, ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ αὐτὴν ὑπὲρ αὐτοῦ καταθεῖναι τὴν ψυχὴν, καὶ τῶν Ἰουδαϊκῶν τολ μημάτων ὑπομεῖναι τὴν ἀγριότητα· καὶ μαρτυρήσει λέγων αὐτὸς πρὸς τοὺς ἑαυτοῦ μαθητὰς, ὅτι "Μείζονα ταύτης τῆς "ἀγάπης οὐδεὶς ἔχει ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν "φίλων αὐτοῦ." ἐπειδὴ γὰρ ὁ Θεὸς ἀγάπη ἐστὶ, κατὰ τὴν Ἰωάννου φωνὴν, ἀγάπης ὢν Υἱὸς, τουτέστι, τοῦ κατὰ φύσιν Θεοῦ καὶ μόνου καὶ ἀληθινοῦ, ἀγάπη καὶ αὐτὸς ἀναπέφανται, οὐ λόγοις ἐξησκημένον καὶ διὰ ῥημάτων κόμπου λελαμ πρυσμένον ἔχων τὸ ἀξίωμα, ἀλλ' ἔργοις αὐτοῖς καὶ πράγ μασι, καρπὸν ὄντα τῆς τοῦ τεκόντος οὐσίας ἑαυτὸν ἐπιδείξας. οἰησόμεθα γὰρ οὐδαμῶς δεκτικὴν εἶναι τῶν ἀγαθῶν τὴν ἀνωτάτω πασῶν οὐσίαν, ἀλλ' οὐδὲ ἐπίκτητον ἐροῦμεν ἐν αὐτῇ τὴν ἁπάντων τῶν ἀγαθῶν ἰδέαν, καθάπερ ἐν ἡμῖν, ἀλλ' οὐδὲ ὥς τι τυχὸν ἕτερον ἐν ἑτέρῳ νοούμενον, ὥσπερ οὖν ἐν ἀνθρώπῳ φαίη τις ἂν τήν τινος ἐπιστήμην· οὐ γὰρ ἐπι στήμη καθ' ἑαυτὸν ὁ ἄνθρωπος, ἐπιστήμης δὲ μᾶλλον δεκτικός· ἀλλ' αὐτὸ τὸ πᾶν ἀγαθὸν, ὅπερ ἂν εἶναι πιστεύη ται, τοῦτο κυρίως αὐτὴν εἶναί φαμεν τὴν θείαν καὶ ἄῤῥητον φύσιν, πηγὴν ὥσπερ τινὰ πᾶν εἶδος ἀρετῆς ἔχουσαν ἐν ἑαυτῇ, καὶ ἐξ ἑαυτῆς ἀναβλύζουσαν. εὐλογώτατα τοίνυν αὐτός περ ἔσται τῆς ἀγάπης ὁ καρπὸς, ἀγάπη καὶ αὐτὸς ὑπάρχων κατὰ τὸν ἐξ οὗπέρ ἐστι Πατρὸς ὁ Υἱὸς, διὰ τῆς ἀγάπης μάλιστα ταῖς ἡμετέραις ψυχαῖς ἐνσημανθήσεται, καὶ τῆς οἰκειότητος τῆς πρὸς αὐτὸν ἐγχαράττει τοῖς ἀγαθοῖς τὰ γνωρίσματα, τὸ ἀπρὶξ ἔχεσθαι τῆς φιλαλληλίας. ἄλλως τε, εἰ κατὰ τὴν Παύλου φωνὴν, ὁ Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν· 2.390 ἐν αὐτῷ γὰρ συνήφθη τὰ πάντα, τὰ κάτω τοῖς ἄνω, καὶ δι' αὐτοῦ κατηλλάγημεν τῷ Θεῷ καὶ Πατρὶ, καίτοι πολλὴν ἐν ἀρχαῖς ἐπιτηδεύσαντες τὴν ἀπόστασιν, διὰ τὴν εἰς τὸ φαῦλον ἀποδρομὴν, καὶ εἰς δύο ποτὲ μεμερισμένοι λαοὺς, εἴς τε τὰ ἔθνη καὶ τὸν Ἰσραὴλ, εἰς ἕνα καινὸν ἄνθρωπον ἐκτίσθημεν ἐν αὐτῷ· λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγ μοῦ, καὶ κατήργηται τῆς ἔχθρας ἡ δύναμις, δόγμασιν εὐαγ γελικοῖς κατασιγασθέντος τοῦ νόμου· πῶς ἂν ἐγνώσθησαν ὅτι τῆς εἰρήνης γεγόνασι μαθηταὶ οἱ τὴν εἰς ἀλλήλους εἰρήνην οὐκ ἔχοντες; τί γὰρ ἕτερον εἴη τυχὸν ὁ τῆς ἀγάπης διασπασμὸς, ἢ πολέμου γένεσις καὶ εἰρήνης ἀνατροπὴ καὶ διψυχίας ἁπάσης εὕρεσις; ὥσπερ γὰρ ἐν ἀῤῥαγεῖ τῆς ἀγάπης συνδέσμῳ τὰ ἐκ τῆς εἰρήνης ἡμῖν ἀγαθὰ διασώζεται· τὸν αὐτὸν οἶμαι τρόπον ἐν τῇ τῆς ἀγάπης διακοπῇ τὸ ἐκ τοῦ πολέμου κακὸν παρεισδύεται. καὶ τί τὸ ἐντεῦθεν; ὕβρεις καὶ φιλονεικίαι καὶ ζῆλοι καὶ ὀργαὶ καὶ θυμοὶ καὶ ψιθυ ρισμοὶ καὶ καταλαλιαὶ καὶ φθόνοι καὶ πᾶν εἶδος φαυλότητος ἀναφαίνεται. Ἁπάσης τοιγαροῦν ἀρετῆς ἐν τῷ τῆς ἀγάπης εἴδει τε καὶ τρόπῳ συγκεφαλαιουμένης τε καὶ πληρουμένης, μὴ μέγα τις φρονείτω τῶν ἐν ἡμῖν ἐπ' ἀσιτίαις καὶ χαμευνίαις, ἤγουν ἐφ' ἑτέροις τισὶ τῶν ἐξ ἀσκήσεως πόνοις, εἰ μὴ διασώζοι καλῶς τὴν εἰς τὸν ἀδελφὸν ἀγάπησιν. ἔξω γὰρ τοῦ καμ πτῆρος τῆς νύσσης φέρεται, κατὰ τοὺς τῶν ἡνιόχων ἀμαθε στέρους, ὑπο[π]λανᾶται δὲ κυβερνήτου δίκην, ὃς ἔχει μὲν τῆς νεὼς τὸ πηδάλιον, τὸν γεμὴν προτεθέντα τῷ διάπλῳ σκοπὸν ἐξ ἀμαθίας οὐ διεσώσατο. διὰ τοῦτο καὶ ὁ θαρσήσας εἰπεῖν "Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;" φημὶ δὲ δὴ τὸν θεσπέσιον Παῦλον, οὐκ ἐπὶ τῷ διώκειν ἁπλῶς, ἀλλ' ἐν τῷ κατὰ σκοπὸν τοῦτο δρᾶν ἐσεμνύνετο· τὸ γὰρ, οἶμαι, σωματικοῖς ἐπαυχῆσαι πόνοις, τῶν κεφαλαιω 2.391 δεστέρων καὶ ἀναγκαιοτέρων ἀγαθῶν ἐκπίπτοντα, τουτέστι, τὸ μὴ διώκειν κατὰ σκοπόν· οἶδε δὲ οὕτω τὴν ἀγάπην καθάπερ τινὰ κορωνίδα πάσαις ἐπικεῖσθαι ταῖς ἀρεταῖς, ὡς καὶ κάλλιστα περὶ αὐτῆς φιλονεικήσαντα λέγειν "Κἂν "ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, κἂν παραδῶ τὸ σῶμά "μου ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι· "ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον "ἀλαλάζον." πρόσωπον οὖν ἄρα καὶ εἰκὼν ἐν ἡμῖν τοῦ Σωτῆρος Χριστοῦ, τῆς ἀγάπης τὸ καύχημα.

Λέγει αὐτῷ Σίμων Πέτρος Κύριε, ποῦ ὑπάγεις; Φιλοπευστεῖ δὴ πάλιν ἐκ φιλομαθείας ὁ Πέτρος, καὶ περιεργάζεται τοῦ λόγου τὴν δύναμιν, συνεὶς μὲν οὔπω,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ τὸ εἰκὸς, ὡς ἔχει τὸ εἰρημένον, θερμοτάτην γεμὴν εἰς τὸ δεῖν ἕπεσθαι τῷ Χριστῷ τὴν προθυμίαν εἰσφέρων. καὶ ἀξιά γαστος μὲν ἐν τούτῳ τῶν μαθητῶν ἡ τάξις. οὐ γὰρ δήπου φαίη τις ἂν, ὅτι τῶν ἑτέρων συνέντων, τυχὸν μόνος ἠγνόησεν ὁ προτεταγμένος, διά τε τοῦτο διερωτᾶν. παραχωροῦσι δὲ μᾶλλον ὡς προὔχοντι τὸ κατάρχεσθαι λόγου, καὶ παῤῥησίας τῆς ἐν τῷ διαπυνθάνεσθαί φημι. τὸ γὰρ εἰς διδασκάλου λαλεῖν ἀκοὰς, οὐδὲ τοῖς εἶναί τι δοκοῦσιν, ἀκίνδυνον. θαυ μαστὸς δὲ οὐδὲν ἧττον ὁ Πέτρος, οὐκ αἰδοῖ τοῦ μὴ δοκεῖν εἶναι νωθὴς τὴν εἴδησιν τῶν ἀγνοηθέντων ζητούμενος, ἀλλ' ὀξὺς ἐπὶ τὸ χρῆναι σοφοῦσθαι τρέχων, καὶ αἰσχύνης ἀκαίρου κρείττονα τὴν ἐκ τῆς φιλομαθείας ὄνησιν ποιησάμενος, ἵνα τύπος τοῖς μεθ' ἑαυτὸν κἀν τούτῳ γένηται. δεῖν γὰρ οἶμαι μὴ παρατρέχειν ἐᾶν τοὺς τῶν διδασκόντων λόγους, εἴπερ ἂν εἶεν οὐ σφόδρα σαφεῖς, ἵνα τινὲς εἶναι δοκῶμεν ἀγχίνοι τε λίαν καὶ δριμεῖς εἰς σύνεσιν· διαπυνθάνεσθαι δὲ μᾶλλον καὶ ἀνασκαλεύειν ἐπιστημόνως τὸ ἐν ἀρχῇ παραδεχθὲν εἰς ὄνησιν. πολὺ γὰρ ἀμείνων ἡ τοῦ συμφέροντος γνῶσις 2.392 δοκησισοφίας κενῆς, καὶ τοῦ δοκεῖν ἐξεπίστασθαί τι, κρεῖττον ἂν εἴη τὸ μαθεῖν ἀληθῶς. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ὅπου ἐγὼ ὑπάγω οὐ δύνασαί μοινῦν ἀκολουθεῖν, ἀκολουθήσεις δὲ ὕστερον. Εἰδὼς ὅτι βαρεῖάν τε καὶ δυσαχθῆ τοῖς ἑαυτοῦ μαθηταῖς ἐνθήσει τὴν λύπην, ἀναφανδὸν εἰπὼν, ὡς ἀναβήσεται μὲν εἰς οὐρανοὺς, ἐρήμους δὲ τῆς ἑαυτοῦ παρουσίας ἐάσει κατὰ τὴν γῆν, εἰ καὶ συνέσται πάλιν ὡς Θεὸς, εὐπεριστόλως πρὸς τὸ παρὸν ἀποχρῆται τῷ λόγῳ, διακλέπτων ἠρέμα τοῦ νοῦ τὴν ἀκρίβειαν. καὶ γοῦν οὐκ εἰδότας ὁρῶν, ἐν αὐτῷ μένειν ἐᾷ. τὰ γάρτοι λυπεῖν εἰωθότα, βαρυτέροις ἔσθ' ὅτε κατασκιάζειν λόγοις οὐκ ἀμελέτητον τοῖς σοφοῖς. εἰ γὰρ καὶ ὅτι μάλιστα τῆς ἀνθρωπότητος ἀπαρχὴν ἑαυτὸν ἀνακομίζων τῷ Θεῷ καὶ Πατρὶ, τὴν εἰς τὸ ἄνω καὶ εἰς οὐρανοὺς ἀποδημίαν ἐστέλ λετο, καὶ ὑπὲρ τῆς ἁπάντων λυσιτελείας τὸ δρώμενον ἦν· ἐνεκαίνισε γὰρ ἡμῖν ὁδὸν, ἣν οὐκ ᾔδει πρότερον ἡ ἀνθρώπου φύσις· ἀλλά γε τοῖς ἁγίοις μαθηταῖς ἀεὶ συνεῖναι σπουδά ζουσιν, οὐ φορητὸν εἶναι διεφαίνετο τὸ χωρίζεσθαι Χριστοῦ, καίτοι συνόντος αὐτοῖς διὰ παντὸς τῇ τοῦ Πνεύματος δυ νάμει τε καὶ συνεργίᾳ. ἀγνοοῦντα τοίνυν τὸν μακάριον Πέτρον τῶν εἰρημένων τὴν δύναμιν, ὁμοῦ τοῖς ἄλλοις μαθηταῖς, ἐν ταὐτῷ μένειν ἐᾷ, καὶ οὐκ εὐθὺς ἐφίστησι τῇ τῶν εἰρημένων ἀκριβείᾳ, χρησίμως, ἄχρις ἂν αὐτοῖς τὸν ἀνακτᾶσθαι δυνάμενον διαπερανεῖ λόγον· τοῦτο καὶ ἐν τοῖς ἐφεξῆς ποιοῦντα θεωρήσομεν. λέγει γὰρ πρὸς αὐτούς "Συμ "φέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ "παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς." φθάνει γεμὴν, ὡς Θεὸς, ἐπαγγείλασθαι θέλοντα τὸν μαθητὴν, ὅτι καὶ ἀκολου θήσει προθύμως καὶ συνέσται γοργῶς, οὐδενὸς αὐτῷ τὴν προθυμίαν ἀνασειράζοντος, καί φησιν Ὅπου ὑπάγω ἐγὼ οὐ 2.393 δύνασαί μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσεις δὲ ὕστερον. καὶ διττὴν ὁ λόγος ὠδίνει τὴν ἔννοιαν· ὧν ἡ μὲν μία προχειρο τάτη καὶ λίαν εὐτριβὴς, ἀφανεστέρα δέ πως ἡ ἑτέρα καὶ ἐν αἰνίγμασι. φάσκει μὲν γὰρ, ὡς οὐκ ἂν δύναιτο νῦν ἀκολουθεῖν πρὸς τὸ ἄνω βαδίζοντι καὶ παλινδρομοῦντι πρὸς οὐρανόν· ἀκολουθήσει γεμὴν μετὰ ταῦτα, ἀποκαθισταμένης δηλονότι τοῖς ἁγίοις παρὰ Χριστοῦ τῆς ἐν ἐλπίσι τιμῆς τε καὶ δόξης, ὅτε εἰς τὴν ἄνω γενήσονται πόλιν, καὶ συμβασι λεύσουσιν αὐτῷ. σημαίνει δέ τι πρὸς τούτῳ καὶ ἕτερον, καὶ ποῖον, ἐρῶ. οὔπω τὴν ἐξ ὕψους ἐνδυσάμενοι δύναμιν, οὐδὲ τὸ ἐνισχύον αὐτοὺς καὶ εἰς ἀνδρείαν ἀναπλάττον τὴν ἀνθρώπου φύσιν κομισάμενοι, Πνεῦμά φημι δὴ τὸ Ἅγιον, οὐχ οἷοί τε ἦσαν θανάτου καταγωνίζεσθαι, καὶ τοῖς οὕτω δυσαντήτοις ἀνταποδύσασθαι δείμασιν. ἦν γὰρ καὶ ἄλλως ἀπίθανον, μόνῳ πρέποντος καὶ τετηρημένου τῷ Σωτῆρι Χριστῷ τοῦ συνθραύειν δύνασθαι τοῦ θανάτου τὸ κράτος, ἑτέρους πρὸ αὐτοῦ τοῦτο δρῶντας ὁρᾶσθαι. τὸ γὰρ μὴ καταδειμαίνεσθαι θάνατον, τί ἂν ἕτερον εἴη τυχὸν, ἢ θανάτου καταφρονεῖν, ὡς οὐδὲν ἀδικεῖν ἰσχύοντος; διά τοι τοῦτο, κατά γε τὸν ἡμέ τερον νοῦν, καὶ αὐτοὶ κατέφριττον οἱ μακάριοι προφῆται προσιόντα τὸν θάνατον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς οὔπω κατηργημένον διὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. ὀρθῶς δὲ τοῦτο συνεὶς καὶ ὁ Παῦλος ἔφη τὸν ἐκ Θεοῦ Πατρὸς καὶ ἐν Θεῷ ὄντα Λόγον σπέρματος Ἁβραὰμ ἐπιδράξασθαι, ἵνα διὰ τοῦ θανάτου τῆς ἁγίας σαρκὸς καταργήσῃ τὸν θάνατον, "καὶ ἀπαλλάξῃ "τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι "ἦσαν δουλείας." πρώτη γὰρ θανάτου λύσις τὸ σωτήριον πάθος, καὶ ἀρχὴ τοῖς ἁγίοις τῆς κατ' αὐτοῦ γέγονεν εὐτολ μίας ἡ ἀνάστασις τοῦ Χριστοῦ. οὔπω τοίνυν καταργη σάσης τὸν θάνατον τῆς κατὰ φύσιν ζωῆς, μήτε μὴν συν θραυσάσης τὸν ἐξ αὐτοῦ ταῖς ἡμετέραις ψυχαῖς ἐμπίπτοντα 2.394 φόβον, ἀσθενέστεροί πως ἔτι πρὸς κινδύνους ἦσαν οἱ μαθη ταί. διὰ τοῦτο χαριέντως ὁ Κύριος, ὅτι σταυρωθήσεται κατὰ καιροὺς ὁ Πέτρος, ἕψεταί τε κατὰ τοῦτο αὐτῷ συνεπινεύει καί φησιν· ὅτι δὲ νυνὶ πρὸς ἀγῶνα τέως τὸν τοσοῦτον οὐκ ἄθραυστον ἔχει τὸν νοῦν, ὑποδηλοῖ λέγων Ὅπου ἐγὼ ὑπάγω οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσεις δὲ ὕστερον. εἰ γὰρ μὴ τὸν τοῦ Πέτρου θάνατον ἐν τούτοις ἡμῖν ὁ Χριστὸς ὑπαινίττεται, τοῦ δὴ χάριν, καίτοι τῶν ἄλλων ἁγίων ἀπο στόλων ἐχόντων ἐν ὑποσχέσει τὸ συνέσεσθαί τε καὶ ἀκο λουθεῖν αὐτῷ κατὰ τὸν τῆς ἀναστάσεως δηλονότι καιρὸν, ἀποκαθισταμένης αὐτοῖς τῆς ἀκηράτου ζωῆς, καὶ τῶν ἐν ἐλπίσιν ἀγαθῶν, εἰς μόνον τὸ τοῦ Πέτρου πρόσωπον τὴν τοῦ λόγου περιίστησι δύναμιν; ἀλλ' ἔστι πρόδηλον, ὅτι τῷ Πέτρῳ προαγγέλλων τὸ ἐν ὑστέροις αὐτῷ συμβησόμενον χρόνοις αἰνιγματωδῶς ὑπεμφαίνει. καὶ γοῦν δι' ἑτέρων σαφέστερον αὐτὸ δεδήλωκεν εἰπών "Ὅτε ᾖς νεώτερος, "ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ "γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλοι ζώσουσί σε "καὶ ἀποίσουσί σε ὅπου οὐ θέλεις. τοῦτο δὲ εἶπε, φησὶ, "σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν." εἰ γὰρ καί ἐστιν ἡδὺ τοῖς ἁγίοις τὸ πάσχειν ὑπὲρ Χριστοῦ, ἀλλ' ὁ κίνδυνος οὐ θελητὸς μὲν, φορητὸς δ' οὖν ὅμως ὅταν ἐξ ἀνάγκης τινῶν ἐπιφέρηται. διὰ τοῦτο καὶ προστάττει προσ εὔχεσθαι, ἵνα μὴ ἐμπέσωμεν εἰς πειρασμόν. Λέγει αὐτῷ ὁ Πέτρος Κύριε, διατί οὐ δύναμαί σοι νῦν ἀκολου θῆσαι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. Τί τὸ κωλύον, φησὶν, ἢ τί τὸ ἐξεῖργον ἀκολουθεῖν, τὸν ᾧ προτεθνάναι τοῦ διδασκάλου σκοπὸς, καὶ ἐν καυχήματος τάξει λελόγισται; τέλος μὲν γὰρ κινδύνου παντὸς, καὶ τὸ ἀκρότατον ὥσπερ τῆς τῶν διωκόντων ἀτιθάσου πλεονεξίας, 2.395 μέχρι μόνης στήσεται τῆς σαρκός· κατ' αὐτῆς γὰρ ὁ θάνατος· ὁ δὲ καὶ πρὸς τοῦτο ἑτοίμως ἔχων ἤδη καὶ διεσκευασμένος, ὑπὸ τίνος ἂν διακωλύοιτο, φησὶν, ἀπολέσῃ δὲ πῶς τὸ σύντονον φρόνημα περὶ τὸ χρῆναι πάντως ἀκολουθεῖν; θερμοτάτη μὲν γὰρ ἡ προθυμία τοῦ Πέτρου, καὶ τὸ τῆς ὑποσχέσεως μέτρον πλεονεκτοῦν, οὐ μικρὰν τὴν ἐνοῦσαν αὐτῷ δύναμιν θεωρῆσαι τις ἂν, μᾶλλον δὲ καὶ αὐτῶν πραγμάτων ἤλεγξε τὸ τέλος· πλὴν ἐκεῖνο διασκεπτέον. τοῦ γὰρ Σωτῆρος ἡμῶν Χριστοῦ τὴν εἰς οὐρανοὺς ἀναφοί τησιν ἄνω καὶ κάτω σημαίνοντος, καὶ ὅτι μὲν νῦν οὐχ ἕψεται λέγοντος, ἀκολουθήσειν γεμὴν μετὰ ταῦτα, πληρω θείσης αὐτοῦ δηλονότι τῆς ἀποστολῆς, καιροῦ τοῦ πρέποντος ἐπὶ τὴν ἄνω πόλιν τὰς τῶν ἁγίων καλοῦντος κεφαλὰς, ἑτοίμως ἔχειν αὐτὸς καὶ προκινδυνεύειν ἐπαγγέλλεται, τὴν ἑτέραν ὥσπερ οἶμον ἰὼν, καὶ μὴ κατ' εὐθὺ τῶν λεγομένων ἐρχόμενος τὴν διάνοιαν. οἶμαι δὲ δεῖν ἐν λόγοις εἰπεῖν, οὔπω τοῖς εἰρημένοις ἀκριβῶς ἐπιστήσας τὸν νοῦν, οἴεται τάχα που τὸν Κύριον, ἢ πρός τινας τῶν κατὰ τὴν Ἰουδαίαν ἀγριω τέρας διαβήσεσθαι κώμας, ἢ καὶ εἰς ἑτέρους οἴχεσθαι λαοὺς, οἳ τοσοῦτον ἐξ ἀκριβοῦς ἀκοῆς ἀποδιακείσονται πρὸς τὰ παρ' αὐτοῦ ῥηθήσεσθαι μέλλοντα, ὡς μικρὰ μὲν κομιδῇ πρὸς τὰ τῶν ἄλλων Ἰουδαίων τολμήματα, πολὺ δὲ λίαν ἡμερωτάτην τὴν ἐνοῦσαν τοῖς Φαρισαίοις ἀποδεῖξαι μανίαν. διάτοι τοῦτο κατακολουθήσειν ἀπαραποδίστως ἐπαγγέλλεται, οὐχὶ οὖν τεθνάναι μόνον, ἀλλ' εἰ καὶ τεθνάναι δεήσει μὴ κατοκνῶν. ἔχει δὲ τούτῳ παραπλησίως καὶ ἐν τοῖς ἀνωτέρω, καὶ ὅποι, πάλιν ἐρῶ. Παραιτούμενος γάρ ποτε τὰς τῶν Ἰουδαίων ἀποπληξίας, καὶ τὸ ἀκρατὲς τοῦ θυμοῦ, καὶ τὸ τῆς γλώττης ἐξήνιον, τοῖς κατὰ τὴν Γαλιλαίαν ἐπεχωριάζεν ὁ Χριστὸς, πολλά


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε παρ' ἐκείνοις τερατουργῶν ἐθαυμάζετο. ἐπειδὴ δὲ ὁ τῆς Μαριὰμ 2.396 καὶ ὁ τῆς Μάρθας τέθνηκεν ἀδελφὸς, φημὶ δὴ τὸν Λάζαρον, ἔγνω πάλιν ὡς Θεὸς, εἶτα λέγει τοῖς μαθηταῖς "Λάζαρος ὁ "φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω "αὐτόν." πρὸς δὲ τοῦτό φασιν ἐξ ἀγάπης οἱ μαθηταί "Νῦν ἐζήτουν σε Ἰουδαῖοι λιθάσαι, καὶ πάλιν ὑπάγεις "ἐκεῖ;" ἀνισταμένου δὲ τοῦ Χριστοῦ, καὶ τὸ χρῆναι πάντως ἐπὶ τὴν τῶν Ἰουδαίων ὑπονοστῆσαι χώραν διακελευομένου τε καὶ λέγοντος· "Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς ἑτέροις ἔφη "συμμαθηταῖς Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' "αὐτοῦ." τοιοῦτον οἶμαί τι καὶ τὸν τῶν Πέτρου ῥημάτων ὠδίνειν σκοπόν. οἴεται γὰρ ἴσως, καθάπερ ἤδη προεῖπον, ἀποδραμεῖσθαί ποι διακηρύξοντα τὸν Ἰησοῦν, καὶ κινδυνεύειν αὐτὸν παρ' ἐκείνοις· διὰ τοῦτο καὶ αὐτὸς, ἐπείπερ ἐστὶν ἐξ ἀγάπης ἀκάθεκτος, ἄμαχόν τινα καὶ δυσανταγώνιστον τὴν εἰς τοῦτο προθυμίαν οἴσειν ἐπαγγέλλεται, οὐδὲν ἔτι παν τελῶς ὑπολελεῖφθαι λέγων τὸ διακωλύειν ἰσχύον, καίτοι ἕπεσθαι δεῖν ἠρημένον, ἐπείπερ αὐτῷ καὶ προτεθνάναι τοῦ διδασκάλου σκοπός. Ἀποκρίνεται ὁ Ἰησοῦς Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει, ἕως οὗ ἀπαρνήσῃ με τρίς. Μείζονα μὲν ἢ καθ' ἑαυτὸν ὁ Πέτρος ἐπαγγέλλεται, κἂν ἀξιάγαστον ἔχῃ τὴν ἐπὶ τούτῳ σπουδήν· τοῦ γεμὴν ἐσο μένου χειμῶνος τὸ ἀμειδὲς, καὶ δύσοιστον τοῦ πειρασμοῦ, καὶ τοῦ διωγμοῦ τὸ μέγεθος ἐννοήσας ὁ Χριστὸς, μονονουχὶ κατασείει τὴν κεφαλὴν, ὅλον δὲ ὥσπερ ἐν ὀφθαλμοῖς ἁπλώ σας τὸ πάθος, καὶ τῆς Ἰουδαίων ἀνοίας θεωρήσας τὴν ὑπερ βολὴν, διασκοπήσας δὲ τὰ ἐσόμενα κατ' ἐκεῖνο καιροῦ, τάχα τι τοιοῦτον ἀναφωνεῖ Τὴν ψυχὴν, ὦ Πέτρε, ὑπὲρ ἐμοῦ τίθης, καὶ τὸ μηδὲν εἶναι φῂς τὸν ἐπὶ τούτῳ φόβον; ὅτι τε 2.397 κρείττων ἔσῃ τῶν ἐσομένων ὑπολαμβάνεις; ἀλλὰ τοῦ πει ρασμοῦ τὸ βάρος οὐκ ἐπίστασαι· οὐ γὰρ ἀραρότως προκεί σεται τὸ παθεῖν, σοὶ δὲ τὸ μικροψυχῆσαι λίαν καὶ οὐχ ἑκόντι συμβήσεται, καὶ ἀρνήσῃ με τρὶς, καὶ ἐν νυκτὶ τοῦτο αὐτὸ μιᾷ. ταυτί πως οἴεσθαι λέγειν ὑποτοπητέον τὸν Ἰησοῦν· θαυμάσαι γεμὴν κἀν τούτῳ δὴ πάλιν τὴν ἐνοῦσαν αὐτῷ φιλανθρωπίαν ἄξιον· προειρηκὼς γὰρ, ὅτι τῷ τόνῳ τῆς ἐνούσης αὐτῷ προθυμίας ἡ τῆς ψυχῆς οὐχ ἕψεται δύναμις, ὀκλάσει γεμὴν καὶ ὑπενδώσει τοσοῦτον, ὥστε καὶ πρὸς μόνον ἀπειπεῖν τὸν τοῦ κινδύνου φόβον, οὐδὲν ἐπηπεί λησε, διὰ τοῦτο τυχὸν, ὡς οὐδ' ὑπὸ θείαν ἔσται κίνησιν λέγει· καὶ διὰ ποίαν αἰτίαν ............................... παθόντι δέ τι τῶν ἀνθρωπίνων οὐκ ἐπανατείνει τὴν κόλασιν. ᾔδει γὰρ ἀσθενοῦσαν ἔτι τὴν φύσιν, καὶ οὐ δυναμένην ἐνεγκεῖν τοῦ θανάτου τὴν ἀπειλήν. οὔπω γὰρ οὔπω κατηρ γημένος διὰ τῆς ἀναστάσεως αὐτοῦ, τῆς ἁπάντων διανοίας κατεθρασύνετο, καὶ ἱκανὸς ἦν ἔτι καὶ μόνῳ συνθραῦσαι τῷ δείματι καὶ τὸν σφόδρα νεανικὸν καὶ δεινὸν εἰς εὐτολμίαν. παθοῦσα γὰρ παρὰ φύσιν ἡ φύσις τὸν θάνατον, ὡς νενικη κότι παραχωρεῖ, μᾶλλον δὲ παρεχώρει τότε· διαῤῥήξαντος δὲ τοῦ Σωτῆρος ἡμῶν τὰ ἐκείνου δεσμὰ, γλυκὺς ἀναπέ φανται τοῖς ἀγαπῶσι Χριστὸν, εἰ καὶ προσίοι πικρῶς· ἀντεισβέβηκε γὰρ ἡ αἰώνιος ζωὴ, τὸ τῆς φθορᾶς παρα λύουσα κράτος. οἰέσθω δὲ πάλιν ἐνταῦθα μηδεὶς ἠρνῆσθαί τε καὶ ἀτονῆσαι τὸν Πέτρον, διὰ τὸ ῥῆμα Χριστοῦ· οὐ γὰρ ἀνάγκην ἐπιτιθεὶς, ἀλλ' οὐδὲ ἐκ βίας ἕλκων εἰς τὸ παθεῖν τὰ τοιαῦτά φησιν· ἀλλ' ὅπερ οἶδεν, ὡς Θεὸς, πάντως καὶ ἀναμ φιλόγως ἐσόμενον προλέγει τῷ μαθητῇ. Ἐπειδὴ δὲ τὰ τοῖς ἀρχαιοτέροις συμβεβηκότα πρὸς νουθεσίαν τῶν μετ' αὐτοὺς ἀναγέγραπται, φέρε δή τι λέ γωμεν τῶν ἀναγκαίων εἰς ὄνησιν ἐκ τοῦ κεφαλαίου κεκινη μένοι. οὐ γὰρ οἶμαι δεῖν ἐπαγγέλλεσθαί τι προχείρως τῷ 2.398 Θεῷ, οὐδὲ κατορθοῦν ὑπισχνεῖσθαι τὸ ὑπὲρ δύναμιν ἔσθ' ὅτε, ὡς κατεξουσιάζοντας τῶν πραγμάτων, καὶ τοῦτό φημι πρὸς τὰ ἐκ τῆς ἀποτυχίας ἐγκλήματα βλέπων· ἄλλως τε καὶ ὑπεροψίας οὐκ ἀπηλλάχθαι νομίζω τὸ προαλέστερον εἰπεῖν, ὅτι κατορθώσω τόδε τι τυχὸν, ἢ τόδε τι. καὶ γὰρ ἐφ' ἅπασιν, οἷς ἄν τις δρᾶσαι προέλοιτο καὶ βούληται κατορθοῦν, ἐκεῖνο μάλιστα δεῖ φωνεῖν, ὅπερ εἴρηκεν ὁ σοφώτατος μαθητής "Ἐὰν ὁ Κύριος θέλῃ καὶ ζήσωμεν."



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προθυμίαν μὲν γὰρ τὴν ἀγαθουργόν φημι δεῖν ταῖς τῶν φιλοθέων ἐνεῖναι ψυχαῖς, καὶ τὸ κατορθοῦν ἐθέλειν τὴν ἀρετὴν ἐξ ὅλης ἰσχύος ἐπείγεσθαι, τὴν δὲ ἐπὶ τούτοις ὁδὸν διὰ τῆς ἄνωθεν ἐξαιτεῖν εὐμενείας, οὐχ ὡς ἔχοντα προαλῶς ἐπαγγέλλεσθαι. ἀψευδῆ γὰρ οὕτω τῷ Θεῷ τὴν ἐφ' ἅπασι τοῖς ἀρίστοις ἐπαγγελίαν τηρήσομεν, ἔξω τε πόδα αἰτίας ἕξομεν, κατὰ τὸν παρ' Ἕλλησι λόγον. ἔστι δὲ καὶ ἑτέρως ἀγαθὸν τὸ μὴ εὔξασθαί τισιν, ἢ εὔξασθαι καὶ μὴ ἀπο δοῦναι. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία. Εἰς τοῦτο μικροψυχίας κατοιχήσεσθαι τὸν Πέτρον εἰπὼν, ὡς ἀρνήσασθαι τρὶς, καὶ ἐν μιᾷ τοῦτο πείσεσθαι νυκτὶ, τῇ τοῦ πράγματος ὑπερβολῇ μονονουχὶ τὸν ἀκμαιότατον τῶν κινδύνων ὑπέδειξε φόβον. ὅθεν ἦν δήπου, καὶ μάλα εἰκότως, τοὺς ἑτέρους παραχρῆμα διαλογίζεσθαι μαθητάς Τίς ἄρα καὶ πόσος, ἢ ποῖον ἕξει τὸ μέγεθος, τῶν ἐσομένων ὁ φόβος, δυσκαταμάχητος δὲ οὕτως ὁ πειρασμὸς, ὡς ἑλεῖν μὲν τὸν προὔχοντα, καταβαλεῖν δὲ οὐχ ἅπαξ, ἀλλ' ἐν ἑνὶ μὲν πολλάκις, καὶ ἐν ὀλίγῳ καιρῷ; τίς οὖν ἄρα ἐν ἡμῖν τὸ ἐν τοῖς ἔτι χείροσι γενέσθαι διαφεύξεται, ἢ πῶς ἀνθέξει τις ἕτερος, τοῦ Πέτρου κινουμένου, καὶ τῷ βάρει τῶν συμβεβη κότων ὡς ἐξ ἀνάγκης ὑπείκοντος; μάτην οὖν ἄρα τοὺς ἐπὶ 2.399 τῷ χρῆναι κατακολουθεῖν αὐτῷ διηντλήκαμεν πόνους, καὶ εἰς ζημίαν ἱδρώτων ἐκτελευτᾷ τὸ ἐπιχείρημα, καίτοι ζωῆς τῆς παρὰ Θεῷ πρόξενον εἶναι δοκοῦν. ταῦτά τοι καθ' ἑαυτοὺς διενθυμεῖσθαι τοὺς μαθητὰς τὸ ἀπεικὸς οὐδέν· ἐπειδὴ δὲ κεκλιμένην αὐτοῖς τὴν διάνοιαν ἐπανορθοῦν ἔδει πάλιν, ἀναγκαῖον ὥσπερ τοῖς ἐντεῦθεν διαλογισμοῖς τε καὶ δεί μασιν ἀντεπάγει τὸ φάρμακον, ὅπλον τε ποιεῖσθαι τὴν ἀτα ραξίαν ἐπιτάττει λέγων Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία. ὅρα γεμὴν, ὅπως ἐπεσκιασμένως αὐτοῖς τῆς ἐσομένης αὐτοῖς μικροψυχίας ὑπισχνεῖται τὴν ἄφεσιν. ἀκατακαλύπτως μὲν γὰρ οὐ φησὶν, ὅτι συγγνώσομαι καὶ ἠσθενηκόσιν, ἢ ὅτι συνέσομαι πάλιν οὐδὲν ἧττον ἀρνησαμένοις, ἢ πεφευγόσιν, ἵνα μὴ τὸν ἐκ τοῦ γελᾶσθαι φόβον ὁλοτελῶς ἀποστήσας, καὶ τὴν ἐκ τοῦ προσκρούειν ὑπόνοιαν ὁλοτελῶς ἀφελὼν, λεῖον αὐτοῖς ἀπεργάσηται τὸ πλημμέλημα, καὶ παρ' οὐδὲν ποιεῖσθαι διδάξῃ τὴν ἐκ τῆς ἀρνήσεως μέμψιν. τὸ δὲ δὴ μὴ χρῆναι ταράττεσθαι λέγων, μέσους αὐτοὺς ἐλπίδος ἐτίθει καὶ δείματος, ἵν' ἠσθενηκόσι μὲν καὶ παθοῦσιν αὐτοῖς τὸ ἀνθρώπινον, ἡ τῆς ἡμερότητος ἐλπὶς πρὸς τὸ ἀνασφῆλαι συμμαχῇ· ὀλιγάκις δὲ πταίειν ὁ τοῦ προσκρούειν αὐτοὺς ἐπιτρέπῃ φόβος, ἐπείπερ αὐτοῖς οὔπω μετῆν τὸ μὴ δύνασθαι διαπίπτειν ὅλως, οὔπω κατημφιεσμένοις τὴν ἄνωθεν καὶ τὴν ἐξ ὕψους δύναμιν, τουτέστι, τὴν διὰ τοῦ Πνεύματος χάριν. ἐπιτάττει τοιγαροῦν μὴ ταράττεσθαι, ὁμοῦ μὲν διδάσκων, ὅτι περ προσήκοι δὴ πάντως ἀμείνους εἶναι δειλίας τοὺς ἀγωνίζεσθαι μέλλοντας καὶ τοὺς ὑπὲρ τῆς εἰς ἄκρον εὐ κλείας εἰσβήσεσθαι πόνους· μέγα γὰρ εἰς εὐτολμίας ἐφόδιον ὁ ἀτάραχος νοῦς· ὁμοῦ δὲ αὖ πάλιν ἀμυδρότερον μὲν καὶ οὐ σφόδρα διαφανῶς, ὑποσπείρων δ' οὖν ὅμως τῆς ἀφέσεως τὴν ἐλπίδα, καὶ εἰ γένοιτό πως αὐτοῖς τὸ ἐξ ἀνθρωπίνης 2.400 μικροψυχίας κατολισθεῖν εἰς δειλίαν. νοῦς γὰρ οὔπω τῇ ἄνωθεν ἱδρυμένος χαρίτι, δειλός τε καὶ εὐανάτρεπτος καὶ εἰς τὸ κλονεῖσθαι ταχύς. διά τοι τοῦτο καὶ ὁ σοφώτατος Παῦλος ἐπευχόμενός τισιν ἐπιστέλλει "Καὶ ἡ εἰρήνη τοῦ "Χριστοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρ "δίας ὑμῶν." τοῦτο γάρ ἐστι τὸ μὴ ταράττεσθαι τὴν καρδίαν. Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. Ὁπλίτην ἐργάζεται τὸν ἄρτι δειλὸν, καὶ διὰ πραγμάτων ἐκ φόβου τραυμάτων ποιεῖσθαι κελεύει τὸ ἐν πίστει γοργόν. σωζόμεθα γὰρ οὕτως, καὶ οὐχ ἑτέρως, κατ' ἐκεῖνο δή που τὸ ἐν ψαλμοῖς μελῳδούμενον "Κύριος φωτισμός μου καὶ "σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς "ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;" ὑπερμαχομένου γὰρ καὶ ὑπερασπίζοντος ἡμῶν τοῦ πάντα ἰσχύοντος Θεοῦ, τίς ἂν ἡμᾶς δύναιτο κακοῦν; τίς δὲ ἰσχύος εἰς τοῦτο δραμεῖται τυχὸν, ὡς ὑπὸ χεῖρα ποιῆσαι τοὺς ἐκλεκτοὺς, καὶ τοῖς τῆς ἑαυτοῦ δυστροπίας ὑποθεῖναι κακοῖς; ἢ τίς ἂν ἕλοιτο καὶ δορυκτήτους ποιήσαιτο τοὺς τὴν θείαν ἔχοντας παντευχίαν; ὅπλον οὖν ἡ πίστις,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄῤῥαγές τε καὶ πλατὺ, καὶ τὴν ἐκ τοῦ παθεῖν οἴεσθαί τι τυχὸν ἀποτρέπον δειλίαν, ἄπρακτά τε παντελῶς καὶ ἀνόνητα παντελῶς τοῖς πειράζουσι τὰ τῆς πονηρίας αὐτῶν ἀποτελοῦν βέλη. ἔχοντος δὲ οὕτω τοῦ τῆς πίστεως λόγου, πάλιν ἐκεῖνο διασκεπτέον· διεκελεύσατο γὰρ πιστεύειν αὐτοὺς, οὐκ εἰς μόνον τὸν Θεὸν, ἀλλὰ καὶ εἰς αὐτὸν, οὐχ ὡς ἕτερόν τι παρὰ τὸν ὄντα φύσει Θεὸν ὑπάρχων αὐτὸς, ὅσον εἰς οὐσίας ταυτότητα λέγω, ἀλλ' ὅτι τὸ εἰς Θεὸν πιστεῦσαι, ἔν τε τούτῳ μόνῳ τῷ ῥήματι τὸν τῆς πίστεως οἴεσθαι δεῖν συμπεπερᾶσθαι λόγον, Ἰουδαϊκῆς πως ἐστὶν ὑπονοίας ἴδιον, τὸ δὲ τῇ εἰς Θεὸν πίστει συνεισάγεσθαι 2.401 τὸ ὄνομα τοῦ Υἱοῦ, κηρυγμάτων εὐαγγελικῶν ἐπίταγμα φαί νεται. δεῖ γὰρ πιστεύειν τοὺς οἵ γε φρονοῦσιν ὀρθῶς, εἴς γε Θεὸν Πατέρα, καὶ οὐχ ἁπλῶς εἰς Υἱὸν, ἀλλὰ καὶ ἐνανθρω πήσαντα, καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον. ἡ μὲν γὰρ ἁγία τε καὶ ὁμοούσιος Τριὰς, καὶ ταῖς τῶν ὀνομάτων διαφοραῖς καὶ τῶν προσώπων ποιότησί τε καὶ ἰδιότησι διαστέλλεται· πατὴρ γάρ ἐστιν ὁ Πατὴρ καὶ οὐχ Υἱὸς, καὶ Υἱὸς πάλιν ὁ Υἱὸς καὶ οὐ Πατὴρ, καὶ Πνεῦμα τὸ Πνεῦμα τὸ Ἅγιον ἴδιον τῆς θεότητος· καὶ εἰς τὸν αὐτὸν τῆς οὐσίας ἀνακεφα λαιοῦται λόγον, οὐ τρεῖς ἡμῖν, ἀλλ' ἕνα Θεὸν ἐπιγράφουσα. πλὴν εὐδιαστόλως φημὶ δεῖν ἡμᾶς ποιεῖσθαι τὴν πίστιν, οὐχ ἁπλῶς λέγοντας Πιστεύομεν εἰς Θεὸν, ἀλλ' ἐξαπλοῦντας τὴν ὁμολογίαν, καὶ ἑκάστῳ προσώπῳ τὸν αὐτὸν τῆς δόξης ἀνατιθέντας λόγον. διαφορὰ γὰρ πίστεως οὐδεμία μὲν ἐν ἡμῖν, οὐ γὰρ μείζων μὲν ἐν ἡμῖν ἡ πίστις ἐν Πατρὶ, ἐλάττων δὲ ἐν Υἱῷ, ἢ καὶ ἐν τῷ Ἁγίῳ Πνεύματι· ἀλλ' εἷς τε καὶ ὁ αὐτὸς τῆς ὁμολογίας ὅρος τε καὶ τρόπος, διὰ τριῶν ἐρχό μενος ὀνομάτων ἐν ἴσῳ τῷ μέτρῳ, ἵνα πρὸς ἑνότητα φύσεως καὶ διὰ τούτων ἰοῦσα φαίνηται πάλιν ἡ ἁγία Τριὰς, ἀκατη γόρητός τε παντελῶς ἡ περὶ αὐτὴν διαλάμπουσα δόξα καὶ ἐν ταῖς ἡμετέραις ὁρῷτο ψυχαῖς εἰς Πατέρα καὶ εἰς Υἱὸν ἡ πίστις, καὶ ὅτε γέγονεν ἄνθρωπος, καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ οὐκ ἂν οἶμαι διέλοιτό τις, εἴ γε σωφρονοίη, τοῦ Θεοῦ Λόγου τὸν ἐκ παρθένου ναὸν, ὅσον ἧκεν εἰς τὸ τῆς υἱότητος χρῆμά φημι· "Εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς," κατὰ τὴν τοῦ Παύλου φωνήν. ὁ δὲ διατέμνων εἰς υἱῶν δυάδα τὸν ἕνα καὶ μόνον, ἴστω δὴ πάντως τὴν πίστιν ἀρνού μενος. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τὸν περὶ τούτων ἄριστά τε καὶ λίαν ὀρθῶς ἐξυφαίνων λόγον, οὐ γυμνὸν εἰς πίστιν εἰσκεκόμικε τὸν Μονογενῆ, ἀλλὰ καὶ ἐν τοῖς καθ' ἡμᾶς γεγονότα, τουτέστιν, ἄνθρωπον ἀποθανόντα τε καὶ 2.402 ἐγηγερμένον ἐκ νεκρῶν. τί γάρ φησιν; "Ἐγγύς σου τὸ "ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· "τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, διότι ἐὰν "εἴπῃς ἐν τῷ στόματί σου ὅτι Κύριος Ἰησοῦς, καὶ "πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν "ἐκ νεκρῶν, σωθήσῃ. καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιο "σύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν." εἰ δὲ πιστεύομεν εἰς Υἱὸν, ὡς ἐγηγερμένον, τίς ὁ τεθνεὼς, ἵνα καὶ ἀναστῇ; ἀλλ' ἔστι δῆλον, ὅτι τεθνάναι νοεῖται κατὰ τὴν σάρκα. κατεκλείσθη γὰρ εἰς θάνατον τὸ ἴδιον αὐτοῦ σῶμα, καὶ ἀνεβίω πάλιν· σῶμα γὰρ ἦν τῆς κατὰ φύσιν ζωῆς, ὅλην τοῦ ἐν αὐτῷ κατοικήσαντος καὶ ἀῤῥήτως ἡνωμένου τὴν ἰδιότητα φοροῦν, τουτέστιν, ἐνέργειαν τὴν ζωοποιόν. ὅταν οὖν τις διέλῃ καὶ, θεὶς ἀνὰ μέρος τήν τε σάρκα καὶ τὸν ἐνοικήσαντα σωματικῶς ἐν αὐτῇ, δύο τολμήσῃ λέγειν υἱοὺς, γινωσκέτω πιστεύειν εἰς μόνην τὴν σάρκα. πιστεύειν γὰρ ἡμᾶς αἱ θεῖαι διδάσκουσι γραφαὶ εἰς τὸν σταυρωθέντα τε καὶ ἀποθανόντα, καὶ ἐγηγερμένον ἐκ νεκρῶν, οὐχ ὡς ἕτερον ὄντα παρὰ τὸν ἐν αὐτῇ Θεὸν Λόγον, οὐχ ὅσον εἰς οὐσίας ταυτότητά φημι· σῶμα γὰρ τὸ σῶμα, καὶ οὐ Λόγος, εἰ καὶ σῶμα τοῦ Λόγου· ἀλλ' ὅσον εἰς τὸ τῆς ἀληθοῦς υἱότητος χρῆμα. εἰ δέ τῳ δοκοίημεν οὐκ ἄριστα λέγειν, ἐπιδεικνύτω παρελθὼν τὸν ἐκ Θεοῦ τεθνεῶτα Λόγον καθὸ νοεῖται Θεὸς, ὅπερ ἐστὶν ἀδύνατον, μᾶλλον δὲ καὶ μόνον ἐννοῆσαι δυσ σεβές. Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μὴ, εἶπον ἂν ὑμῖν ὅτι πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν· καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω τόπον ὑμῖν, πάλιν ἔρχομαι καὶ παρα λήψομαι ὑμᾶς μετ' ἐμαυτοῦ, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε. Ἀναγκαίως αὐτοῖς τὸ μὴ χρῆναι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταράττεσθαι διειπὼν, 2.403 πιστεύειν τε μᾶλλον καὶ εἴς τε Πατέρα τὸν Θεὸν, καὶ ἑαυτὸν ἐπιτάξας, καὶ ἀναφανδὸν ἤδη φησὶ μικροψυχοῦντας παρα μυθούμενος, ὡς οὐκ ἔξω μενοῦσι τῆς ὁσίας αὐλῆς, ἀλλ' ἐνοικισθήσονται μὲν ταῖς ἄνω μοναῖς, ἐν δὲ τῇ τῶν πρωτο τόκων ἐκκλησίᾳ τὸν μακραίωνα τρίψουσι βίον, καὶ ἐν ἀτελευτήτοις ἔσονται τοῖς ἀγαθοῖς. πολλὰς γεμὴν εἶναί φησι τὰς μονὰς ἐν τῇ τοῦ Πατρὸς οἰκίᾳ, πολυχώρητόν τινα διδάσκων εἶναι τὸν οὐρανὸν, καὶ προσθήκης οὐδεμιᾶς δεῖσθαι παντελῶς τὴν παρ' αὐτοῦ γενομένην κτίσιν εἰς τὸ δύνασθαι λαβεῖν τοὺς ἀγαπῶντας αὐτόν· εἰκὸς δὲ, ὅτι καὶ τὸ διάφορον τῆς τιμῆς, τῷ πολλὰς εἶναι λέγειν τὰς μονὰς, ὑποσημῆναι βούλεται, ἑκάστου τοῦ διαζῆν βουλομένου ἐν ἀρετῇ, τόπον ὥσπερ τινὰ τὸν ἴδιον ἀποληψομένου, καὶ τὴν τοῖς αὐτοῦ πρέπουσαν κατορθώμασι δόξαν. εἰ μὴ πολλαὶ τοιγαροῦν ἦσαν αἱ παρὰ τῷ Θεῷ καὶ Πατρὶ μοναὶ, ταύτης ἂν ἕνεκεν τῆς αἰτίας προαποδημήσειν ἔφη, ὡς δηλονότι προετοιμάσαι τὰ τῶν ἁγίων ἐνδιαιτήματα· πολλὰς δὲ οὔσας εἰδὼς προη τοιμασμένας ἤδη, καὶ τῶν ἀγαπώντων Θεὸν περιμενούσας τὴν ἄφιξιν, οὐχὶ ταύτης ἕνεκα τῆς αἰτίας ἀποδημήσων, φησὶν, ἀλλὰ τῆς ἀνόδου τῆς πρὸς τὸ ἄνω, νομὴν ὥσπερ τινὰ καὶ τόπον προευτρεπίσων ὑμῖν, καὶ τὸ πάλαι δύσβατον ἐξομαλιῶν. ἄβατος γὰρ ἦν ἀνθρώποις παντελῶς ὁ οὐρανὸς, καὶ οὐ πεπάτηκε πρότερον πώποτε σὰρξ τὸ καθαρὸν ἐκεῖνο καὶ πάναγνον τῶν ἀγγέλων χωρίον, ἐνεκαίνισε δὲ πρῶτος ἡμῖν τὴν εἰς αὐτὸν ἄνοδον ὁ Χριστὸς, καὶ τόπον ἔδωκεν ἀνόδου τῆς εἰς οὐρανὸν τῇ σαρκὶ, ἀπαρχὴν ὥσπερ τινὰ τῶν κεκοιμημένων, καὶ ἐν γῆς χώματι κειμένων, ἑαυτὸν ἀνακαι νίσας τῷ Θεῷ καὶ Πατρὶ, καὶ πρῶτος ἄνθρωπος ὀφθεὶς τοῖς ἐν οὐρανῷ. τοιγάρτοι καὶ τὸ σεπτὸν καὶ μέγα τῆς ἐπιδημίας τῆς μετὰ σαρκὸς μυστήριον οὐκ εἰδότες οἱ κατ' οὐρανὸν ὄντες ἄγγελοι, ἀνιόντα κατετεθήπεσαν, ἐπὶ δὲ τῷ ξένῳ καὶ 2.404 ἀήθει πράγματι μονονουχὶ τεθορυβημένοι φασί "Τίς οὗτος "ὁ παραγενόμενος ἐξ Ἐδώμ;" τουτέστιν, ἐκ γῆς· ἀλλ' οὐκ ἀδίδακτον τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἀξιαγάστου σοφίας τὴν ἄνω πληθὺν ἀφῆκε τὸ Πνεῦμα, διεκελεύετο δὲ μᾶλλον ὡς βασιλεῖ καὶ τῶν ὅλων Δεσπότῃ τὰς οὐρανίους ἀνοιγνύναι πύλας ἀναφωνοῦν "Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ "ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς "δόξης." ἐνεκαίνισε τοίνυν ἡμῖν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς "ὁδὸν πρόσφατον καὶ ζῶσαν," ὡς ὁ Παῦλός φησιν, οὐκ "εἰς χειροποίητα ἅγια εἰσελθὼν, ἀλλ' εἰς αὐτὸν τὸν "οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ "ἡμῶν." οὐ γὰρ ἑαυτὸν ἐμφανίσων τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς ἀναβέβηκεν ὁ Χριστός· ἦν γὰρ καὶ ἔστι καὶ ἔσται διὰ παντὸς ἐν Πατρὶ, καὶ ἐν ὀφθαλμοῖς τοῦ ἰδίου γεννήτορος, αὐτὸς γάρ ἐστιν, ᾧ προσχαίρει διὰ παντός· ἀνέβη δὲ νῦν ὡς ἄνθρωπος ἀσυνήθως τε καὶ ξένως ἐμφανι σθῆναι ὁ πάλαι γυμνὸς ἀνθρωπότητος Λόγος. δι' ἡμᾶς δὲ τοῦτο καὶ ὑπὲρ ἡμῶν, ἵνα καὶ ὡς ἄνθρωπος εὑρεθεὶς, ὡς Υἱὸς ἐν δυνάμει καὶ μετὰ σαρκὸς ἀκούσας καθόλου "Κάθου "ἐκ δεξιῶν μου," τῆς υἱοθεσίας τὴν δόξαν ὅλῳ δι' ἑαυτοῦ παραπέμψῃ τῷ γένει· εἷς γάρ ἐστιν ἐξ ἡμῶν, καθὸ πέφηνεν ἄνθρωπος, ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς, εἰ καὶ ὑπὲρ πᾶσάν ἐστιν τὴν κτίσιν, καὶ ὁμοούσιος τῷ ἰδίῳ γεννήτορι, καθὸ πέφηνεν ἐξ αὐτοῦ Θεὸς ἐκ Θεοῦ καὶ φῶς ἐκ φωτὸς κατὰ ἀλήθειαν. ἐνεφανίσθη τοίνυν, ὡς ἄνθρωπος ὑπὲρ ἡμῶν τῷ Πατρὶ, ἵνα ἡμᾶς τοὺς ἐκ προσώπου γεγονότας διὰ τὴν ἀρχαίαν παράβασιν, στήσῃ πάλιν ὡς ἐν προσώπῳ τοῦ Πατρός· κεκάθικεν, ὡς Υἱὸς, ἵνα καὶ ἡμεῖς ὡς υἱοὶ δι' αὐτοῦ χρηματίσωμεν καὶ τέκνα Θεοῦ. διάτοι τοῦτο καὶ ὁ Παῦλος, ὁ τὸν Χριστὸν ἔχειν ἐν ἑαυτῷ λαλοῦντα διατεινόμενος, κοινὰ τῇ φύσει τῇ ἀνθρωπείᾳ τὰ εἰς αὐτὸν ἰδικῶς γεγονότα 2.405 διδάσκων φησὶν, ὅτι "καὶ συνήγειρεν ἡμᾶς καὶ συνεκάθισεν 2.405 "ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ." ἴδιον μὲν γὰρ ὡς Υἱῷ κατὰ φύσιν ὑπάρχει Χριστῷ τὸ τῆς συνεδρείας ἀξίωμα, καὶ τὴν τοῦ συγκαθῆσθαι δόξαν αὐτῷ τε πρεπόντως καὶ μόνῳ ἀληθῶς ἀνακεῖσθαι φήσομεν. τὸ δὲ ὅλως καθ' ἡμᾶς ὑπάρ χειν τὸν συνεδρεύοντα καθὸ πέφηνεν ἄνθρωπος μετὰ τοῦ νοεῖσθαι καὶ Θεὸν ἐκ Θεοῦ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραπέμπει πως καὶ εἰς ἡμᾶς τὴν ἐκ τοῦ ἀξιώματος χάριν. εἰ γὰρ καὶ μὴ αὐτῷ συνεδρεύ σομεν τῷ Πατρί· πῶς γὰρ τὸ δοῦλον εἰς τὴν ἴσην τῷ δεσπότῃ τιμὴν ἀνίοι ποτέ; ἀλλ' οὖν γε, τὴν ἐπὶ θρόνων κάθισιν τοῖς ἁγίοις ἐπηγγείλατο μαθηταῖς. "Ὅταν γὰρ, "φησὶν, ὁ υἱὸς τοῦ ἀνθρώπου καθίσῃ ἐπὶ θρόνου δόξης "αὐτοῦ, καὶ ὑμεῖς καθίσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες "τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ." οὐκοῦν ἀνοιχήσομαι, φησὶν, οὐ μονὰς ὑμῖν ἑτοιμάσων· εἰσὶ γὰρ ἤδη πολλαὶ, καὶ τὸ ἐπικαινοτομεῖσθαι τῇ κτίσει περιττόν· προευτρεπίσων δὲ τόπον ὑμῖν τοῦ εἶναι δύνασθαι λοιπὸν ἀναμὶξ τοῖς ἁγίοις ἀγγέλοις τοὺς ὄντας ἐπὶ τῆς γῆς, διὰ τὴν μεσολαβήσασαν ἁμαρτίαν· οὐ γὰρ ἂν ἐμίχθη τοῖς οὕτω βεβήλοις ἡ ἁγία τῶν ἄνω πληθύς· κατορθώσας δὲ τοῦτο, καὶ συνάψας τοῖς ἄνω τὸν κάτω, τόπον δὲ δοὺς ἀνόδου τῆς εἰς τὴν ἄνω πόλιν ὑμῖν, πάλιν ἐπανήξω κατὰ τὸν τῆς παλιγγενεσίας καιρὸν καὶ παρα λήψομαι ὑμᾶς μεθ' ἑαυτοῦ, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε. ὃ καὶ συνεὶς ὁ Παῦλος ἐν οἰκείαις ἐπιστολαῖς οὕτω φησί "Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ "ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου "οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ Κύριος ἐν "κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ "καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀνα "στήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπό "μενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς 2.406 "ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕπω πάντοτε σὺν "Κυρίῳ ἐσόμεθα." Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Προαποδημήσω μὲν ἔγωγε, φησὶν, ἑτοιμάσων ὑμῖν τῆς ἀνόδου τόπον τῆς εἰς οὐρανούς· ἀλλ' εἰ βούλεσθε, καὶ φίλον ὑμῖν τὸ ἐν ἐκείναις καταλῦσαι ταῖς μοναῖς, καὶ περὶ πολλοῦ πεποίησθε τὸ εἰς τὴν ἄνω γενέσθαι πόλιν, καὶ τοῖς ἁγίοις συναυλισθῆναι πνεύμασιν, οἴδατε τὴν ὁδὸν, τουτέστιν, ἐμέ· δι' ἐμοῦ γὰρ πάντως, καὶ οὐ δι' ἑτέρου τινὸς τὴν οὕτως ἀξιάγαστον ἀποκερδανεῖτε χάριν· οὐ γὰρ ἕτερος ὑμῖν ἀνοίξει τοὺς οὐρανοὺς, οὐδὲ βατὸν ἀποδείξει ποτὲ τὸ παντελῶς ἀστιβές τε καὶ ἄηθες τοῖς ἀπὸ τῆς γῆς χωρίον, εἰ μὴ μόνος ἐγώ. καὶ ἀληθὴς ὁ λόγος. διὰ γάρ τοι τοῦτο καὶ ὁ προ φήτης Ἱερεμίας ἐν Πνεύματι, ταύτην ἡμᾶς τὴν ὁδὸν ὅτι μάλιστα ζητεῖν παρεκελεύετο, λέγων "Στῆτε ἐπὶ ταῖς ὁδοῖς "καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίους, καὶ ἴδετε ποία "ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε "ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν." ὁδοὶ μὲν γὰρ Κυρίου καὶ τρίβοι, κατὰ τὸν προφήτην, τὰ σωτήρια τῶν ἁγίων προ φητῶν συγγράμματα· ἀλλ' εἴ τις αὐτοῖς τὸν νοῦν ἐπιστή σειε, τὴν ὁδὸν εὑρήσει τὴν ἀγαθὴν, τουτέστι Χριστὸν, δι' οὗ καὶ ὁ τέλειος ἁγνισμὸς ταῖς ἡμετέραις ψυχαῖς ἐγγίνεται· δικαιούμεθα γὰρ διὰ τῆς πίστεως, καὶ θείας ἀναδεικνύμεθα φύσεως κοινωνοὶ τῇ μεθέξει τοῦ Ἁγίου Πνεύματος. ἀλλὰ καὶ αὐτὸς ὁ μεγαλοφωνότατος προφήτης Ἡσαΐας οὕτως ἡμῖν τὸν Χριστὸν διεκήρυττε λέγων "Ἔσται ἐκεῖ ὁδὸς "καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται·" ἐκεῖ δέ που φησὶν, ἐν τοῖς χρόνοις δηλονότι τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς· ὁδὸς γὰρ ἡμῖν γέγονε καθαρὰ καὶ ἁγία, δι' ἧς 2.407 οἱ βαδίζοντες, τὴν λαμπρὰν τῶν ἁγίων καλλίπολιν καὶ τὴν ἐλευθέραν Ἱερουσαλὴμ ἐν τοῖς ὡρισμένοις ὄψονται χρόνοις. καὶ αὐτὸς δὲ πάλιν ὁ θεσπέσιος ἡμῖν μελῳδὸς, ὡς πρὸς Θεὸν Πατέρα φησί "Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου." ἐπιθυμεῖ γὰρ τοῖς διὰ Χριστοῦ παιδεύεσθαι νόμοις, οὐκ ἀγνόησας τις ὅτι καὶ πρὸς τὴν ἄνω βαδιεῖται πόλιν, διὰ τῆς εὐαγγελικῆς παιδεύσεως, κατευθὺ παντὸς ἐρχόμενος ἀγαθοῦ. καὶ παρενεγκεῖν μὲν οὐ χαλεπὸν καὶ ἑτέρας ἔτι πολλὰς ἐκ προφητῶν μαρτυρίας, δι' ὧν ἂν εἰδείημεν ὁδὸν τὴν ἁγίαν ἀποκεκλημένον τὸν Ἰησοῦν, ἀλλ' οὐδὲν οἶμαι τὸ ἀναγκαῖον τοῖς οὕτω σαφῶς ἐγκειμένοις εἰς ὄνησιν ἐπαγωνί ζεσθαι σφόδρα. ἴστε τοίνυν τὴν ὁδὸν, δι' ἧς ἂν ἴοιτε, φησὶ, καὶ αὐτοὶ πρὸς τὰς ἄνω μονὰς, ἤδη τοῦτο παραδηλῶν, καὶ ἕτερον οὐδὲν, ἢ ὅτι πολλὰ μὲν λίαν καὶ εὐπρεπῆ τὰ παρὰ Θεῷ καὶ Πατρὶ καταλύματα, καὶ τόπον ὑμῖν παῤῥησίας τοῦ καὶ ἐν ἐκείνοις γενέσθαι τοῖς χωρίοις ἑτοιμάσων προαναβή σομαι. πλὴν ἴστε, φησὶν, ὡς οὐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄν τις δι' ἑτέρου τινὸς τὸ ἐκεῖσε γενέσθαι λάβοι, πλὴν δι' ἐμοῦ καὶ μόνου. οὐκοῦν εἴ τις ἐκπέσοι τοῦ ἀγαπᾶσθαι παρὰ Χριστοῦ, ἢ βεβήλοις κενοφω νίαις καὶ ἀλλοκότων ῥημάτων ἀκαθαρσίαις προσέχων συκο φαντεῖν ἑλομένων, τὴν ἄῤῥητον αὐτοῦ καὶ ἀπερινόητον φύσιν ὡς ἐν δούλοις κατατάττει, καὶ τοῖς γενομένοις καταριθμεῖ τὸν ἐλεύθερον καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρός γε γεννηθέντα Λόγον, ἤγουν καθ' ἕτερόν τινα λυπήσειε τρόπον, γινωσκέτω λοιπὸν τῆς πρὸς τὸ ἄνω πορείας τὴν ὁδὸν ἀπολέσας, καὶ πεπλανημένος μὲν τοῦ ἰδίου γεωργίου τοὺς ἄξονας, κατὰ τὸ εἰρημένον ὑπό τινος, ὑφέξων δὲ πάντως τὴν τοῖς κάτω μένουσι πρέπουσαν δίκην. διὰ τοῦτο καὶ ὁ σοφώτατος Παῦλος τοὺς ἀρνησαμένους ἐκ φρενοβλαβείας τὸ ἐν Χριστῷ πολιτεύεσθαι, παλινδρομοῦντας δὲ πρὸς τὰς ἐκ νόμου σκιὰς, 2.408 ἀπηλλοτριῶσθαί φησιν ἀπὸ Χριστοῦ καὶ τῆς χάριτος ἐκ πεσεῖν, διὰ τοῦ δικαιοῦσθαι φιλεῖν ἐκ νόμου. ὅνπερ γὰρ τρόπον ὁ τῆς τετριμμένης τε καὶ εὐθείας ἐκπίπτων ὁδοῦ, τὰ ἐκ τοῦ πλανᾶσθαι πάντως ὑποστήσεται βλάβη· οὕτως, οἶμαι, καὶ οὐχ ἑτέρως οἱ τὴν ἐν Χριστῷ δικαιοσύνην παρω σάμενοι, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὴν παίδευσιν ἐν τῷ μηδενὶ τεθεικότες, τὴν ἄνω πόλιν οὐκ ὄψονται, ἀλλ' οὐδὲ τοῖς ἁγίοις συνδιαιτήσονται. ὁδὸς γὰρ ἡ πρὸς τοῦτο κομί ζουσα, μόνος ἐστὶν ὁ Χριστός. Λέγει αὐτῷ Θωμᾶς Οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς οἴδαμεν τὴν ὁδόν; λέγει αὐτῷ ὁ Ἰησοῦς Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ. Οὔπω διαῤῥήδην εἰπεῖν ἐθελήσαντι τῷ Χριστῷ τοῖς ἑαυτοῦ μαθηταῖς, ὅτι βαδιεῖται πρὸς τὴν ἄνω, καὶ ἀποδη μήσει πρὸς τὸν Πατέρα, αἰνιγματωδῶς γεμὴν ἔτι καὶ διὰ πολλῶν ἐμφάσεων τὸ πρᾶγμα σημαίνοντι, προσεκόμισε τὴν πεῦσιν ὁ μαθητής· Θωμᾶς δὲ ἦν οὗτος· καὶ συναναπλέκει τινὰ λογισμὸν, μονονουχὶ καὶ οὐχ ἑκόντα λέγειν ἐκβιαζό μενος, καὶ ὅποι ποτὲ πορεύσεται, καὶ οὗ τῆς ἀποδημίας ἡ ὁδὸς συντείνεται. οὐ γὰρ ἴσμεν, ἔφη, ποῦ ὑπάγεις, εἶτα πῶς ἂν εἰδείημεν τὴν ὁδόν; καὶ τὸ μὲν σφόδρα περίεργον τοῦ μαθητοῦ παρελαύνει Χριστός· οὐ γὰρ ἀποκρίνεταί τι πρὸς ὅπερ ἤθελεν αὐτὸς ἀλλ', ἐκεῖνο τῇ ἰδίᾳ γνώσει τηρήσας, καὶ καιρῷ μᾶλλον ἀναθεὶς τῷ πρεπωδεστέρῳ, διεκκαλύπτει χρη σίμως, ὅπερ ἦν αὐτοῖς ἀναγκαῖον εἰς μάθησιν. ἐγὼ τοίνυν εἰμί φησιν ἡ ὁδὸς, ἐγὼ ἡ ἀλήθεια, ἐγὼ ἡ ζωή. καὶ ὅτι μὲν ἀληθὴς περὶ ἑαυτοῦ ταῦτα λέγων ὁ Κύριος, οὐδεὶς ἂν οἶμαι τῶν εὖ φρονούντων ἐνδοιάσῃ πώποτε· πλὴν ἐκεῖνο δεῖν ὑπολαμβάνω ζητῆσαι φιλομαθῶς. τοῦ γὰρ δὴ χάριν, καίτοι 2.409 φῶς καὶ σοφία καὶ δύναμις καὶ ἑτέροις δὲ ὅσοις ὀνόμασι 2.409 παρὰ ταῖς θεοπνεύστοις ὠνομασμένος γραφαῖς, ἐξειλεγμένοις ὥσπερ τισὶ καὶ πολὺ λίαν ἔχουσιν ὄντα λόγον χρῆται πρὸς τὸ παρὸν, ὁδὸν ἑαυτὸν καὶ ἀλήθειαν καὶ ζωὴν ἀποκαλῶν; βαθεῖα γὰρ ὡς ἐγῷμαι καὶ οὐ λίαν εὐκάτοπτος ἡ τοῦ λόγου δύναμις· οὐκ ὀκνητέον δ' οὖν ὅμως πρὸς τὴν ἐγχείρησιν. ἐρῶ γὰρ ὅπερ εἰς ἐμὴν ἀναβαίνει διάνοιαν, ἐφιεὶς δηλονότι τὰ ἀμείνω νοεῖν τοῖς θεωρεῖν εἰωθόσιν ὀξυωπέστερον. Διὰ τριῶν τοιγαροῦν πραγμάτων ταῖς ἄνω καὶ θείαις προσβαλοῦμεν αὐλαῖς, καὶ εἰς τὴν τῶν πρωτοτόκων ἀναβη σόμεθα ἐκκλησίαν· διὰ πράξεως δή φημι, τῆς κατὰ ποικίλην ἀρετὴν, καὶ πίστεως τῆς ἐν ὀρθότητι, καὶ ἐλπίδος τῆς ἐν ζωῇ. ἆρ' οὖν ἕτερος ἡμῖν τοῦ δύνασθαι τοιαῦτα δρᾷν γενή σεται χορηγὸς, ἢ πρόξενος, ἢ αἰτία, ἢ πρόφασις παρὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν; οὐμενοῦν· μὴ γάρ τοι νομίσῃς. αὐτὸς γὰρ ἡμῖν νενομοθέτηκε τὰ ὑπὲρ νόμον, αὐτὸς ὑπέδειξε τὴν ὁδὸν, ἣν ἂν οἶμαί τις καλῶς εἰς τὴν κατ' ἐνέργειαν ἀρετὴν ἐκδέξαιτο, καὶ τὸ ἐν πράξεσι ταῖς κατὰ Χριστὸν διαβατικόν τε καὶ πρόθυμον. οὐκοῦν αὐτός ἐστιν ἡ ἀλήθεια, αὐτός ἐστιν ἡ ὁδὸς, τουτέστιν, ὁ ἀληθὴς τῆς πίστεως ὅρος, καὶ ὁ τῆς ἀπλανοῦς περὶ Θεοῦ διαλήψεως κανών τε καὶ στάθμη. πιστεύοντες γὰρ εἰς Υἱὸν ἀληθῶς, τουτέστιν, ἐξ αὐτῆς γεννηθέντα τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, οὐ νόθον, οὐ ψευδώνυμον, ἀλλ' οὐδὲ κτίσμα ἢ ποίημα τὸ τῆς ἀληθοῦς πίστεως περικεισόμεθα καύχημα. ὁ γὰρ εἰς υἱὸν παραδεξά μενος τὸν Υἱὸν, διωμολόγηκε πάντως καὶ τὸν ἐξ οὗπέρ ἐστι, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πατέρα τὸν Θεὸν οἶδέ τε καὶ δέξεται. αὐτὸς τοιγαροῦν ἡ ἀλήθειά ἐστιν, αὐτός ἐστιν ἡ ζωή· οὐ γὰρ ἕτερος ἡμῖν ἀπο καταστήσει τὴν ἐν ἐλπίσι ζωὴν, τὴν ἐν ἀφθαρσίᾳ δηλονότι καὶ μακαριότητι καὶ ἁγιασμῷ· αὐτὸς γὰρ ἡμᾶς ἐγείρει, καὶ 2.410 νεκροὺς γεγονότας διὰ τὴν ἀρχαίαν ἀρὰν ἀνακομίσει πάλιν εἰς ὅπερ ἦμεν ἐν ἀρχαῖς. ἅπαντα τοίνυν ἡμῖν ἐν αὐτῷ καὶ δι' αὐτοῦ τὰ κάλλιστά τε καὶ ἐξαίρετα πέφηνέ τε ἤδη καὶ γενήσεται. καὶ ὅρα μοι πάλιν, ὅτι τῇ τῶν προκειμένων θεωρίᾳ πολὺ δὴ πρέπων ἐστὶν ὁ περὶ τούτων λόγος. ἐνδοιά ζοντός τε γὰρ ἔτι τοῦ μαθητοῦ καὶ φάσκοντος Πῶς οἴδαμεν τὴν ὁδὸν, διὰ βραχέων ἔδειξεν, ὡς ἐπείπερ εἰδεῖεν τῶν εἰς τὸ ἄνω διακομίζειν ἐθελόντων ἀγαθῶν αἴτιόν τε καὶ χορηγὸν καὶ πρύτανιν ὑπάρχειν αὐτὸν, οὐδενὸς αὐτοῖς ἔτι δεήσει πρὸς τὸ εἰδέναι τὴν ὁδόν. Ἐπειδὴ δὲ τούτῳ συνῆπτε τό Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ, φέρε δή τι καὶ πρὸς αὐτὸ λέγωμεν τῶν ῥηθήσεσθαι μελλόντων, ἐκεῖνο προερευνήσαντες, τὸ πῶς ἄν τις ἴοι πρὸς τὸν Πατέρα. ἐρχόμεθα τοίνυν κατὰ δύο τρόπους· ἢ γὰρ ἅγιοι γεγονότες κατά γε τὸ πρέπον τῇ ἀνθρωπότητι μέτρον, ὡς ἁγίῳ Θεῷ κολλώμεθα· "Ἅγιοι "γὰρ ἔσεσθε, φησὶν, ὅτι ἐγὼ ἅγιος·" ἤγουν ἐπὶ τὴν τοῦ Πατρὸς γνῶσιν τὴν ὡς ἐν πίστει καὶ θεωρίᾳ βαδίζομεν, τῇ ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι, καθὰ γέγραπται. ἀλλ' οὐκ ἄν τις ἅγιος εἴη ποτὲ, καὶ διὰ πολιτείας ἥξει τῆς κατ' ἀρετὴν, μὴ οὐχὶ ποδηγοῦντος αὐτὸν εἰς ἅπαντα τοῦ Χριστοῦ, οὐδ' ἂν αὐτῷ συνάπτοιτο τῷ Θεῷ καὶ Πατρὶ, μὴ οὐχὶ πάντως μεσιτεύοντος τοῦ Χριστοῦ. μεσίτης γάρ ἐστι Θεοῦ καὶ ἀνθρώπων, δι' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ συνάπτων τὴν ἀνθρωπό τητα τῷ Θεῷ. ὡς μὲν γὰρ ἐκπεφυκὼς τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, ᾗ Λόγος ἐστὶ καὶ ἀπαύγασμα καὶ χαρακτὴρ, ἕν ἐστι πρὸς τὸν Πατέρα, ὅλος ὢν ἐν αὐτῷ, καὶ ἔχων αὐτὸν ἐν ἑαυτῷ· ᾗ δὲ γέγονεν ἄνθρωπος καθ' ἡμᾶς, δίχα τῆς ἡμῶν ἁμαρτίας συνάπτεται τοῖς ἐπὶ τῆς γῆς, καὶ μεθόριον ὥσπερ τι γέγονε, συνέχων ἐν ἑαυτῷ τὰ πρὸς ἑνότητα καὶ φιλίαν συνδεδραμηκότα. 2.411 Οὐδεὶς οὖν ἥξει πρὸς τὸν Πατέρα, τουτέστι, θείας ἀνα δειχθήσεται φύσεως κοινωνὸς, εἰ μὴ διὰ Χριστοῦ μόνου. εἰ μὴ γὰρ ἐμεσίτευσε γενόμενος ἄνθρωπος, οὐκ ἂν εἰς τοῦτο μακαριότητος προὔβη τὰ καθ' ἡμᾶς, ἀλλὰ καὶ εἴ τις ἴοι πρὸς τὸν Πατέρα διὰ θεωρίας, τῆς ἐν πίστει φημὶ καὶ γνώσει τῇ κατ' εὐσέβειαν, δι' αὐτοῦ πάλιν ἥξει τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. ὅπερ γὰρ ἔφην ἀρτίως, ἐρῶ δὴ πάλιν, οὐχ ἑτέρως ἔχοντος τοῦ λόγου οἶμον. προσδεξάμενος γάρ τις τὸν Υἱὸν εἰς υἱὸν ἀληθῶς, ἐπὶ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἀφίξεται γνῶσιν· οὐδὲ γὰρ υἱὸς ὑπάρχειν νοοῖτο, μὴ οὐχὶ πάντως συνεισδεχθέντος αὐτῷ τοῦ τεκόντος αὐτόν. συνειστρέχει γὰρ Υἱῷ μὲν ἡ περὶ Πατρὸς γνῶσις, Πατρὶ δὲ αὖ πάλιν ἡ περὶ Υἱοῦ. οὐκοῦν ἀληθὴς ὁ Κύριος λέγων Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ, ὅτι φυσικὴ καὶ οὐσιώδης εἰκὼν τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ οὐ καθάπερ ἔδοξέ τισιν, ἐπακτοῖς ἀξιώμασι μεμόρφωται πρὸς αὐτὸν, ἕτερόν τι κατ' οὐσίαν ὑπάρχων καὶ νοούμενος. Εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε. Αὐτὸν δὴ καθ' ἑαυτοῦ φαίη τις ἂν ἴσως καὶ οἰηθείη τυχὸν διαλέγεσθαι τὸν Υἱόν. ἔχει δὲ οὐχ οὕτως. οὐ γὰρ ἄν τι τῶν εἰκαίων ἐφθέγξατο καὶ περιττῶν, εἰ καὶ ὅτι μάλιστα διὰ τὸ μὴ σφόδρα δύνασθαί τινας τοῖς λεγομένοις ἀκο λουθεῖν, χρησιμωτάτην ἔσθ' ὅτε ποιεῖται τὴν ἐπανάληψιν. πλὴν ἔν γε τῷ πάροντι πολὺ δὴ λίαν ὀνίνησιν ἡμᾶς, ταυτὶ τοῖς πρώτοις προσενεγκών. ἐπειδὴ γὰρ διεπυνθάνετο ὁ Θωμᾶς Ποῦ γὰρ ἀπελεύσῃ, λέγων, ἢ πῶς ἂν ἡμεῖς εἰδείημεν τὴν ὁδὸν, τὸ ὅποι ποτὲ βαδιῇ μὴ γινώσκοντες, ἀναγκαίως ἔφασκεν "Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ζωὴ καὶ ἡ ἀλήθεια," καὶ ὅτι "Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ·" δεικνὺς ἐντεῦθεν, ὡς εἴπερ τις βούλοιτο τὴν ὁδὸν εἰδέναι, δι' ἧς ἂν ἴῃ πρὸς ζωὴν τὴν αἰώνιον, φιλονεικήσει δὴ πάντως 2.412 εἰδέναι Χριστόν. ἐπειδὴ δὲ ἦν τινας εἰκὸς Ἰουδαϊκήν τινα μᾶλλον ἤγουν εὐαγγελικὴν ἐπιτηδεύοντας παίδευσιν, ἐξαρ κεῖν οἴεσθαι πρὸς τὸ πιστεύειν ὀρθῶς τὴν εἰς ἕνα τῶν ὅλων Θεὸν ὁμολογίαν τε καὶ γνῶσιν, μὴ μὴν ἐπείγεσθαι μαθεῖν τὸν περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος λόγον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναγκαίως ἀποκλείει τρόπον τινὰ Χριστὸς καὶ τοῖς οὕτω δοξάζουσι τὴν περὶ τοῦ Θεοῦ γνῶσιν, εἰ μὴ καὶ αὐτὸν βούλοιντο παραδέ χεσθαι. διὰ γὰρ Υἱοῦ προσιτέον τῷ Θεῷ καὶ Πατρί. ἀναλόγως γὰρ τῇ τοῦ γεννήματος θεωρίᾳ καὶ ἐπ' αὐτὸν ἥξομεν τὸν γεννήτορα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀμφιβαλεῖν, ὅτι τὸν Υἱόν τις ὑφεστάναι πιστεύων οὕτως ὡς υἱὸν, τὸν ἐκ τῆς οὐσίας φημὶ τοῦ γεννήσαντος, εἴσεται δὴ πάντως καὶ τὸν Πατέρα. Κατὰ μὲν οὖν τὴν ἁπλουστέραν καὶ ἀπερίεργον γνῶσιν, οὕτως ἄν τις οἰηθείη τυχὸν λαλῆσαι· εἰ δέ τῳ δοκοίη καὶ διὰ λεπτῶν ἔρχεσθαι νοημάτων, ὡς καὶ ἐπ' αὐτὴν τῶν πραγ μάτων ἐλάσαι τὴν βάσανον, ἀληθεύοντα πάλιν εὑρήσει τὸν Υἱόν. διανοίᾳ μὲν γὰρ ἁπάσῃ παντελῶς ἀχώρητος ἡ θεία φύσις ἐστὶ, καὶ τί κατ' οὐσίαν ὁ τῶν ὅλων γενεσιουργὸς τολμᾷν ὅλως περιεργάζεσθαι, φρενοβλαβείας ἁπάσης ἀπό δειξιν ἔχει. πλὴν ἔστι πως ἡμᾶς τινα, ὡς ἐν σκιαῖς καὶ αἰνίγμασιν, ἐρανίζεσθαι γνῶσιν, κάτοπτρον ὥσπερ τι παρα τιθέντας τῷ νοῒ τῶν ἐνόντων πλεονεκτημάτων τῇ τοῦ Υἱοῦ φύσει τὸν κατάλογον. ἐξ ὧν γάρ ἐστιν αὐτὸς, καὶ ἐξ ὧν εἴργασται γενόμενος ἄνθρωπος, καὶ πρὸ τῆς ἐνανθρωπήσεως, ἀναλόγως ἄν τις ἐπὶ τὴν τοῦ τεκόντος αὐτὸν θεωρίαν ἀνίοι λοιπόν. ὅρα γάρ μοι τὴν ἐνοῦσαν αὐτῷ δόξαν τε καὶ δύναμιν, βλέπε τὴν ἐφ' ἅπασιν ἀπαραπόδιστον ἐξουσίαν. τί γὰρ εἰπέ μοι καὶ τῶν ὑπὲρ λόγον, οὐκ ἐλευθέροις νεύμασι κατορθώσας ὁρᾶται, καὶ πρὸ σαρκὸς καὶ μετὰ σαρκός; ἀλλ' ὁ τοσοῦτος ἡμῖν δι' αὐτῶν ὀφθεὶς τῶν πραγμάτων "Ἐγὼ, "φησὶ, καὶ ὁ Πατὴρ ἕν ἐσμεν· ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν 2.413 "Πατέρα." ἰτέον οὖν ἄρα κατὰ τὴν τοῦ προκειμένου δύναμιν ἀπὸ τῆς εἰκόνος ἐπὶ τὸ ἀρχέτυπον, καὶ ἀπὸ τοῦ χαρακτῆρος ἐπ' ἐκεῖνον δὴ πάντως οὗ καὶ ἔστι χαρακτὴρ, καὶ οὐ, κατά τινας τῶν ἑτεροδοξεῖν εἰωθότων, ἐπακτοῖς τισι καὶ τοῖς ἔξωθεν ἀξιώμασι σχηματίζεσθαί φαμεν τὸν Υἱὸν πρὸς τὸν Πατέρα οὐδὲ, καθάπερ τοῖς πλανωμένοις δοκεῖ, εἰκὼν εἶναι λέγεται τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἔχων αὐτοῦ τὴν δόξαν, τὴν δύναμιν, τὴν σοφίαν, φύσεως γεμὴν ἑτέρας ὑπάρχων· ταῦτα γὰρ ἐκείνων τὰ ληρήματα, καὶ ἡ κεκομψευμένη φλυ αρία, μᾶλλον δὲ δυσσέβεια, πρὸς ἀνατροπὴν ἐπινοηθεῖσα καὶ καθαίρεσιν τῆς ὁμοουσιότητος τοῦ Υἱοῦ, κατά γε τὸν ἐν αὐτοῖς ἀνόσιόν τε καὶ θεομάχον σκοπόν· ἀλλ' ὡς Υἱὸς ἀληθῶς, ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἀποῤῥήτως καὶ ἀπερινοήτως γεννηθεὶς, χαρακτήρ ἐστιν αὐτοῦ καὶ εἰκὼν καὶ ἀπαύγασμα, φέρων ἐν οἰκείᾳ φύσει τῆς τοῦ τεκόντος αὐτὸν οὐσίας τὸ ἴδιον, καὶ τῶν φυσικῶν πλεονεκτημάτων τὸ κάλλος. οὐ γὰρ ἀπόπληκτοι κατ' ἐκείνους ἐσόμεθα καὶ εἰς τοῦτο δυσβουλίας τὸν οἰκεῖον κατωθήσομεν νοῦν, ὡς τῷ κατὰ φύσιν οὐκ ὄντα λέγειν Θεῷ ὅμοιον, μήτε μὴν ἐκ τῆς οὐσίας γεννηθέντα τοῦ Θεοῦ καὶ Πατρὸς, τὴν τοῦ Θεοῦ χαρίσασθαι δόξαν, ἢ καὶ φάναι δύνασθαί ποτε τὸ πεποιη μένον ὅλως, καὶ τὸ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενεχθὲν, τὴν θείαν ἀπαραλλάκτως φορέσαι δύναμιν καὶ σοφίαν, ἔχειν δὲ οὕτως ὡς ἂν νοοῖτο τυχὸν ἡ θεία τε καὶ ἄῤῥητος τοῦ Θεοῦ Πατρὸς φύσις. τί γὰρ ἂν εἴη τὸ παραλλάττον ἔτι ποιητοῦ καὶ ποιήματος, ἢ τί τὸ μεσολαβοῦν καὶ διακόψαι δυνάμενον τῆς ταυτότητος τῆς ἐν οὐσίᾳ φημὶ τὸ γεγονὸς τοῦ κτί σαντος; εἰ γὰρ ὅλως ἔχει τήν τε δόξαν καὶ τὴν δύναμιν καὶ τὴν σοφίαν αὐτοῦ, κατὰ τὸν ἴσον τρόπον τῷ Θεῷ καὶ Πατρὶ, τί τὸ μεῖζον ἐν αὐτῷ, τί δὲ τὸ πλέον ἕξει παρ' ἡμᾶς, ἤτοι τὴν κτίσιν, ἐγὼ μὲν εἰπεῖν οὐκ ἂν ἔχοιμι παντελῶς, ἀπορήσειν δὲ ὑπολαμβάνω κἀκείνους. οὐκοῦν οὐ 2.414 τοῖς ἔξωθεν ἀξιώμασιν ὁ Υἱὸς ἡμῖν εἰς τὴν τοῦ Πατρὸς ἰσότητα σχηματίζεται, καὶ οὐ καθάπερ τις ἐν πίνακος γραφῇ, μόναις ἡμῖν ταῖς τῶν χρωμάτων ἰδέαις καταποικίλλεται, τὴν τοῦ βασιλέως πλαττόμενός τε καὶ ψευδόμενος μορφὴν, ἀλλὰ χαρακτήρ ἐστι καὶ εἰκὼν ἀληθῶς τοῦ τεκόντος αὐτὸν, ἐν ἰδίοις καὶ φυσικοῖς ἀγαθοῖς τὴν τοῦ Πατρὸς φύσιν ἐμφανῆ καθιστάς. διὰ τοῦτο γὰρ ἀμήχανον εἶναί φησιν ἐπιγνῶναί τισι τὸν Πατέρα, μὴ οὐχὶ πρότερον ἐπεγνωκόσιν αὐτὸν, τουτ έστι τὸν Υἱόν. Καὶ ἀπάρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. Ἄξιον οἶμαι θαυμάσαι, καὶ τούτῳ τὴν ἐνοῦσαν τῷ λόγῳ διασκευὴν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπόῤῥητον οἰκονομίαν. εἰρηκὼς γὰρ ὅτι "Εἰ "ἐγνώκειτέ με καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε," καὶ νομισθεὶς ἐγκαλεῖν τοῖς μαθηταῖς τῶν οὕτως ἀναγκαίων τὴν ἄγνοιαν, τεθεράπευκεν εὐθύς Ἀπάρτι λέγων γινώσκετε αὐτὸν καὶ ἑωρά κατε αὐτόν. ἐπειδὴ γὰρ ἔμελλον τῶν ἁπανταχόσε κειμένων ἐκκλησιῶν ἡγεμόνες ἔσεσθαι, παρ' αὐτοῦ τοῦ Σωτῆρος ἀκού σαντες τό "Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη," διὰ ταύτην ὡς ἐγῷμαι μάλιστα τὴν αἰτίαν, προαποδείξας χρη σίμως καὶ κοινὸν ὥσπερ εἰς ἅπαντας ποιησάμενος λόγον, ὡς εἴ τις εἰδείη τὸν Υἱὸν, εἴσεται δήπου πάντως καὶ τὸν ἐξ οὗπέρ ἐστι Πατέρα καὶ Θεὸν, ἐπιμαρτυρεῖ χρησίμως τοῖς ἑαυτοῦ μαθηταῖς τὴν ἐπίγνωσιν οὐ κεχαρισμένως· οὐ γὰρ ἂν φθέγξαιτό τι τῶν οὐκ ἀληθῶν· ἀλλ' ὄντως εἰδόσι τε καὶ ἐπεγνωκόσιν. ὅτι γὰρ Υἱὸν ἀληθῶς εἶναι τοῦ Θεοῦ τὸν Κύριον ᾔδεσάν τε καὶ πεπιστεύκεισαν, οὐδαμόθεν ἐστὶ τοῖς εὖ φρονοῦσιν ἀμφίβολον. ἐπεὶ κατὰ τίνα τρόπον Ναθαναὴλ ὁ Ἰσραηλίτης ἀκούσας "Πρὸ τοῦ σε Φίλιππον καλέσαι "ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε," παραχρῆμα τῆς πίστεως 2.415 τὴν ὁμολογίαν εἰσκεκόμικε λέγων "Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ "Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ·" καὶ μὴν καὶ θαλάσσης τε παραδόξως καὶ ἀσυνήθως κατηυνασμένης, πως αὐτὸν προσεκύνουν οἱ ἐν τῷ σκάφει "λέγοντες Ἀληθῶς "Θεοῦ υἱὸς εἶ;" ἆρ' οὖν οὐκ εἰδότων ὅτι περ ὑπάρχοι Θεὸς καὶ ἐκ Θεοῦ γεγέννηται Πατρὸς ἐρεῖ τις τὸ ῥῆμα; εἶτα πῶς οὐκ ἀμαθαίνων ὁ τοιοῦτος ἁλώσεται; περὶ τὰ μέρη τῆς Φιλίππου Καισαρείας παρ' αὐτοῦ διερωτώμενοι τοῦ Χριστοῦ "Τίνα με λέγουσιν οἱ ἄνθρωποι τὸν υἱὸν τοῦ ἀνθρώπου," οὐχὶ πρῶτον μὲν ἔφασκον τὰς ἑτέρων ὑπονοίας; οἱ μὲν γὰρ, φησὶν, Ἡλίαν εἶναι νομίζουσιν, οἱ δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. τίνα δὲ λέγουσιν αὐτοὶ, διαῤῥήδην εἰπεῖν οὐ παραιτούμενοι δι' ἑνὸς οἱ πάντες τοῦ προὔχοντος, Πέτρος δὲ αὐτὸς ἦν, οὐκ ἐνδοιαστῶς ἔφασαν "Σὺ εἶ ὁ Χριστὸς ὁ "υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος." οὐκοῦν, ὅταν λέγῃ Χριστός "Εἰ ἐγνώκατέ με, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε," μὴ πάντως αὐτοῖς τοῖς μαθηταῖς ὑπολάβῃς εἰρῆσθαι τὸ ῥῆμα, ἀλλ' ὅρον ὥσπερ τινὰ γενικὸν τοῖς ἁπανταχόσε ποιεῖται, τὸ τῶν ἁγίων ἀποστόλων πρόσωπον παραθείς. Ἐπιτήρει γὰρ ὅπως εὑρήσομεν οὐκ ἠγνοηκότας αὐτοὺς, ὅτι Θεός τε ἐστὶ καὶ Υἱὸς τοῦ Θεοῦ· ἀλλ' ὁδὸν ἑαυτὸν εἶναι φήσαντος τοῦ Θεοῦ, τὸ αἰνιγματωδῶς εἰρῆσθαι δοκοῦν οὐ σφόδρα συνῆκαν, καὶ περὶ τοῦτο μόνον αὐτοῖς τὸ τῆς ἀγνοίας αἰτίαμα στήσεται. διὰ γάρ τοι τοῦτο διελέγξας ἐν ὀλίγοις, ὡς οὐ δυνήσονται συνιέναι τὸ πλαγίως εἰρημένον αὐτοῖς, εἶτα κοινὸν ἅπασι προθεὶς ἐντεῦθεν λόγον, διδάξας τε σαφῶς, ὡς καὶ αὐτὴν ζημιωθήσεται τὴν εἰς τὸν Πατέρα γνῶσιν, ὃς ἂν ἀγνοήσῃ τὸν Υἱὸν, ὡς ἤδη διωμολογηκόσι τὴν πίστιν τοῖς μαθηταῖς, εἰκότως τὴν γνῶσιν ἐπιμαρτυρεῖ λέγων Ἀπάρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. τὸ δέ Ἀπάρτι φησὶν, οὐχὶ δήπου πάντως ἐξ ἐκείνης τῆς ὥρας, 2.416 ἤτοι τῆς ἡμέρας, καθ' ἥνπερ αὐτοῖς τοὺς περὶ τῶν τοιούτων ἐποιεῖτο λόγους· τὸ δέ Ἀπάρτι φησὶν, ἀντιπαρεξάγων τῷ ἀρχαίῳ καὶ πρώτῳ, τὸν ἀρτιφανῆ καὶ νέον τῆς αὐτοῦ παρουσίας καιρὸν, καθ' ὃν λαμπροτέρα γέγονε τοῖς κατὰ πᾶσαν τὴν οἰκουμένην ἡ περὶ Πατρὸς γνῶσις διὰ τοῦ Υἱοῦ. διὰ γάρ τοι τοῦτο καὶ ἐν βίβλῳ ψαλμῶν ὡς πρὸς Θεὸν καὶ Πατέρα φησίν "Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ." ἑωρακότες γὰρ τοῖς ὑπὲρ λόγον θαυματουργήμασι διαπρέ ποντα τὸν Υἱὸν, καὶ μετὰ θεοπρεποῦς ἐξουσίας κατορθοῦντα ῥᾳδίως ὅπερ ἂν βούλοιτο, τεθαυμάκαμεν ἐντεῦθεν τὴν τοῦ Πατρὸς γνῶσιν, οὐχ ἑτέρως ἔχουσαν ἐννοοῦντες αὐτὴν, ἢ ὥσπερ ἐστὶν ἡ τοῦ ἐξ αὐτοῦ προελθόντος Υἱοῦ. Ἀπάρτι τοίνυν γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. ἐγνώκαμεν γὰρ ἐν Υἱῷ, καθάπερ ἔφην ἀρτίως, τίς ὁ Πατὴρ, καὶ οὐ μόνον ἐπεγνώκαμεν, ἀλλὰ καὶ ἐθεασάμεθα, ἤτοι ἑωράκαμεν. ἡ μὲν γὰρ γνῶσις τὴν διὰ τῶν ἐννοιῶν θεωρίαν ὑποδηλοῖ, ἣν ἄν τις λάβοι τυχὸν περὶ τῆς θείας τε καὶ ἀῤῥήτου φύσεως, τῆς ἐπὶ πάντας φημὶ καὶ διὰ πάντων καὶ ἐν πᾶσι. τὸ γεμὴν ἰδεῖν, τὴν διὰ τῶν τερατουργημάτων πληροφορίαν σημαίνει. οὐ γὰρ μόνον ἐγνώκαμεν ὅτι ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Πατήρ· οὐδὲ ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψιλαῖς καὶ μόναις ἐννοίαις τὴν τοῦ πράγματος εἴ δησιν ἐν ἑαυτοῖς ἐσχήκαμεν· ἐν Υἱῷ ζωοποιοῦντι τοὺς νεκροὺς, καὶ εἰς τὸ εἶναι πάλιν ἀνακομίζοντι τοὺς κατεφθαρ μένους· οὐ μόνον ἐγνώκαμεν, ὅτι ζωὴ κατὰ φύσιν ἐστὶ καὶ ὅτι πᾶσαν ὑπὸ πόδας ἔχει τὴν κτίσιν ὁ Θεὸς καὶ Πατὴρ, καὶ τῶν παρ' αὐτοῦ γεγονότων κατεξουσιάζει βασιλικῶς, ὡς "πάντα τὰ ἔργα σείεσθαί τε δι' αὐτὸν καὶ τρέμειν," κατὰ τὸ γεγραμμένον· ἀλλ' εἴδομεν ὄντα τοιοῦτον καὶ ἐν Υἱῷ, ὅτε θαλάττῃ καὶ πνεύμασιν ἐπιτιμῶν, μετὰ πολλῆς ἔφη τῆς ἐξουσίας "Σιώπα, πεφίμωσο." 2.417 Ἐπειδὴ τοίνυν ἔμελλεν ἐρεῖν, ὅτι οὐ μόνον ἐγνώκατε τὸν Πατέρα, ἀλλ' ὅτι καὶ ἑωράκατε, προτάξαι δεῖν ἀναγκαῖον ᾠήθη τό Ἀπάρτι, καὶ διὰ ποίαν αἰτίαν; ὁ μὲν γὰρ νόμος ὁ διὰ Μωυσέως προσεφώνει τοῖς υἱοῖς Ἰσραὴλ "Κύριος ὁ "Θεός σου κύριος εἷς ἐστι," καὶ τὸν μὲν περὶ τοῦ Υἱοῦ λόγον οὐ παρετίθει τοῖς πάλαι, μόνης δὲ τῆς πολυθεΐας ἐξελὼν αὐτοὺς, εἰς τὴν τοῦ ἑνὸς ἐκάλει προσκύνησιν· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὅτε γέγονεν ἄνθρωπος, διὰ πολλῶν σημείων καὶ ἐνεργημάτων ἐγνώρισεν ἡμῖν δι' ἑαυτοῦ τὸν Πατέρα, καὶ τὴν ἐν τῇ ἁγίᾳ Τριάδι νοουμένην τε καὶ ὑφεστῶσαν ἀληθῶς μίαν ἔδειξε θεότητος φύσιν. καλῶς οὖν ἄρα τό Ἀπάρτι φησὶ, διὰ τὸ ἀτελὲς ἐν γνώσει τῶν κατὰ νόμον καὶ τῶν κατ' ἐκείνους πολιτευομένων. σημειωτέον δὲ, ὅτι ἑαυτὸν ἀντὶ τοῦ Πατρὸς ἑωρᾶσθαι λέγων, οὐκ ἀνατρέπει τὸ ὑπάρχειν ἀληθῶς τε καὶ ἰδιοσυστάτως τὸν ἐξ οὗπέρ ἐστι Πατέρα καὶ Θεόν· ἀλλ' οὐδὲ ἑαυτὸν εἶναί φησι τὸν Πατέρα, ὅσον ἧκεν εἰπεῖν εἰς προσώπου δήλωσιν· ἀλλ' ἐπείπερ ἐστὶν ὁμοούσιος τῷ Πατρὶ, ἑωρᾶσθαί φησιν ἐν αὐτῷ τὸν γεννή σαντα, ὥσπερ ἂν εἰ καὶ ἀνθρώπου τινὸς υἱὸς τὴν ἰδίου πατρὸς ἐθελήσας κατασημᾶναι φύσιν, ἑαυτὸν ἐπιδείξας λέγει τῷ τοῦτο μαθεῖν ἐθέλοντι τυχόν Τὸν ἐμὸν ἐν ἐμοὶ τεθέασαι πατέρα. Θεὸς δὲ πάλιν τὴν τοῦ παραδείγματος ὑπεραλεῖται δύναμιν. Λέγει αὐτῷ Φίλιππος Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν. Φιλομαθὴς μὲν ὁ Φίλιππος, πλὴν οὐ λίαν ὀξὺς εἰς σύνεσιν τὴν ταῖς θεοπτίαις πρεπωδεστέραν. οὐ γὰρ ἂν ᾠήθη ποτὲ τοῖς τοῦ σώματος ὀφθαλμοῖς τὴν θείαν ἰσχῦσαι καταθεάσασθαι φύσιν, καίτοι διαῤῥήδην λέγοντος τοῦ Θεοῦ "Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται." εἰ γὰρ καὶ 2.418 ὤφθη ποτὲ τοῖς ἁγίοις, ὡς ἡ θεόπνευστος ἔφη γραφὴ, ἀλλ' οὐκ ἂν οἶμαί τις ὑποτοπῆσαι ποτὲ ἐμφανῆ τὴν θείαν γενέ σθαι φύσιν οὕτως, ὡς ἔχει καθ' ἑαυτὴν, πλάττεσθαι δὲ μᾶλλον εἰς τὸ τῷ καιρῷ πρεπωδέστερον σχῆμα. καὶ γοῦν οἱ προφῆται διαφόρως αὐτὸν τεθέανται, καὶ ποικίλος τε περὶ Θεοῦ παρ' ἐκείνοις ὁ λόγος. ὁ μὲν γὰρ Ἡσαΐας ἑτέρως, Ἰεζεκιὴλ δὲ πάλιν οὐχ ὁμοίως τῷ παρ' ἐκείνῳ θαύματι. ἔδει τοίνυν συνιέναι τὸν Φίλιππον, ὡς ἦν τι τῶν ἀμηχάνων παντελῶς, τὴν θείαν δύνασθαι κατιδεῖν οὐσίαν, καὶ τοῦτο διὰ σαρκὸς, καὶ οὐ μετὰ σαρκὸς, ὅτε καὶ οὐ σφόδρα νουνεχὲς, παρούσης αὐτῷ τῆς εἰκόνος καὶ ἀκριβοῦς χαρακτῆρος τοῦ Θεοῦ καὶ Πατρὸς, ἐπ' αὐτὸ ζητεῖν ἰέναι τὸ ἀρχέτυπον, ὡς οὔπω παρὸν, καὶ καθ' ὃν ἔδει λόγον ἐπιδειχθέν. ἱκανωτάτη γὰρ λίαν εἰς παράστασιν τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ἡ Χριστοῦ θεωρία, καλῶς τε καὶ ἀκριβῶς ἐξυφαίνοντος τὸ ἀξιέραστον κάλλος τῆς ὅθεν ἐξέφυ βασιλικῆς οὐσίας. "ἀπὸ "γὰρ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκεται," κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν. ἐξαρκούσης τοιγαροῦν τῷ γε ἅπαξ συνετῷ τῆς τοῦ Υἱοῦ θεωρίας εἰς παράστασίν τε καὶ ἀκριβῆ πληροφορίαν, τίς ἂν εἴη κατὰ φύσιν καὶ ὁ γεννήσας αὐτόν· περιττὸς μὲν ἴσως ὁ τοῦ μαθητοῦ φαίνεται λόγος, πλὴν οὐκ ἔξω κείσεται τῶν εἰς ἄκρον ἐπαίνων ἡκόντων. αὐτὸν γὰρ οἶμαι δεῖν οὐ μετρίως ἀποθαυμάσαι λέγοντα Δεῖξον ἡμῖν τὸν Πατέρα καὶ ἀρκεῖ ἡμῖν. ὅμοιον γὰρ ὡς εἰ ἔφη τυχόν Πάσης ἂν εἴσω γενέσθαι τῆς θυμηδίας ὁμολο γήσαιμεν, καὶ πρὸς τὸ εἶναι μακαρίως οὐδέν ἐστι τὸ λεῖπον ζητήσαιμεν, εἰ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἀξιωθείημεν πολυ εύκτου θέας καὶ αὐτοί. ὁ δὲ παντὸς προθεὶς ἀγαθοῦ καὶ τοῦ δοκοῦντος εἰς εὐθυμίαν συντελεῖν τὴν τοῦ Πατρὸς θέαν, πῶς οὐκ ἂν ὁμολογοῖτο παντὸς ὑπάρχειν ἄξιος θαύματος; οὕτω μὲν οὖν τὰ ἐν τῷ προκειμένῳ διαληψόμεθα, καθάπερ οἶμαι, 2.419 κατὰ τὴν εὐστιβῆ τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁπλουστέραν τοῖς πολλοῖς θεωρίαν. εἰ δὲ χρή τι καὶ περιεργότερον ἰδεῖν, καὶ τάχα τι τῶν κεκρυμμένων εἰπεῖν, οἰησόμεθά τι τὸν Φίλιππον φράσαι τε ὁμοῦ καὶ νοῆσαι τοιοῦτον. κατεδάκνοντο γὰρ ἐπὶ τοῖς τοῦ Σωτῆρος θαύμασιν οἱ τῶν Ἰουδαίων προεστηκότες καὶ πρὸς τούτοις ἔτι γραμματεῖς τε καὶ Φαρισαῖοι, καὶ ταῖς ἀμετρήτοις θεοσημίαις καθάπερ τισὶ λίθοις εἰς καρδίαν βαλλόμενοι, καὶ ἐῤῥήγνυντο τῷ φθόνῳ, καὶ δρᾶσαι μέν τι πρὸς ταῦτα καὶ τερατουργοῦντα διακωλύειν δι' οὐδενὸς ἰσχύειν ᾔδεσαν τρό που· διασύροντες δὲ οὕτω τὰ παραδόξως γεγενημένα, καὶ τοῖς ἐξ ἀπάτης κατασμικρύνοντες λόγοις τὴν δόξαν αὐτοῦ, ἄνω τε καὶ κάτω τὴν τῶν Ἰουδαίων διαθέοντες χώραν, αὐτήν τε τὴν Ἱερουσαλὴμ, ποτὲ μὲν ἔφασκον ἐν Βεελζεβοὺλ αὐτὸν ἐργάζεσθαι τὰ σημεῖα· ποτὲ δὲ πάλιν εἰς ἀκάθεκτον μανίαν ἐξοιστρούμενοι, δαιμονᾶν μὲν ἔφασκον, οὐκ εἰδέναι δὲ ἅ φησιν. ἐπετίμων γὰρ τοῖς ὄχλοις λέγοντες "Δαιμόνιον ἔχει "καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε," ἀλλ..................... ...................... εὐκλείαις ἀφορήτως ἀντεγειρόμενος, τίς δὲ οὗτος ἦν, ἀναγκαίως ἐρῶ. Ἀνέπειθον γὰρ τοὺς δήμους, καθάπερ ἀρτίως ἐδείξαμεν, τὸν μὲν παρὰ τοῦ Σωτῆρος ἡμῶν μὴ προσίεσθαι λόγον, ἀποφοιτᾶν δὲ ὡς διδάσκοντος παρὰ τὸν νόμον καὶ ὡς ποῤῥωτάτω φεύγειν ἐπείγεσθαι, προσκεῖσθαι δὲ μᾶλλον τοῖς διὰ Μωυσέως τεθεσπισμένοις. καὶ διὰ ποίαν αἰτίαν; ἔφα σκον γὰρ ὅτι Μωυσῆς μὲν ὁ μέγας τοὺς πάλαι λαοὺς ἐξήνεγκεν "εἰς συνάντησιν τοῦ Θεοῦ," κατὰ τὸ γεγραμ μένον, καὶ παρέστησεν ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ἔδειξέ τε αὐτοῖς ἐν τῷ ὄρει τὸν Θεὸν, καὶ ἀκοῦσαι παρεσκεύασε τῶν λόγων αὐτοῦ, πεπληροφόρηκέ τε καὶ μάλα σαφῶς, ὅτι Θεὸς ἐλάλει τοὺς νόμους· ὁ δὲ τούτων οὐδὲν ἔδειξε παντελῶς. ὅτι δὲ οὗτος ἦν πολὺς παρ' ἐκείνοις ὁ λόγος, ἐντεῦθεν μαθήσῃ. θεωρήσεις γὰρ λέγοντας πρὸς τὸν ἐκ γενετῆς τυφλὸν, ὃν 2.420 ἀῤῥήτῳ δυνάμει τεθεράπευκεν ὁ Σωτήρ "Συμμαθητὴς εἶ "ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωυσέως ἐσμὲν μαθηταί. ἡμεῖς γὰρ "οἴδαμεν ὅτι Μωυσῇ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ "οἴδαμεν πόθεν ἐστίν." ἐνόμιζον τοίνυν οἱ τοῖς Ἰουδαϊκοῖς συναγορεύοντες δόγμασι, δυσανταγώνιστόν τινα τὸν ἐπὶ τούτοις ποιεῖσθαι λόγον, καὶ οὐκ εὐανάτρεπτον τοῖς πολλοῖς, ἐθορύβουν δὲ ὡς εἰκὸς καὶ ὑπεσκέλιζον διὰ τούτου πολλούς. τοῦτο καθ' ἑαυτὸν ἐννοήσας ὁ Φίλιππος, ὡς λυθησομένης ἁπάσης τῆς τῶν Ἰουδαίων ἀντιλογίας, εἰ καὶ αὐτὸς δείξειεν ὁ Χριστὸς τοῖς εἰς αὐτὸν πιστεύουσι τὸν Πατέρα, πρόσεισι λέγων Κύριε δεῖξον ἡμῖν τὸν Πατέρα καὶ ἀρκεῖ ἡμῖν. ἐννόει γὰρ λέγοντα Πάντα, φησὶν, ὦ Δέσποτα, εἰς πίστιν ἐπαγωγὰ διὰ τῆς σῆς ἐξουσίας τελεῖται, διὰ μυρίων θαυμάτων δυσωπή σειεν ἄν τις τῆς τῶν Ἰουδαίων γλωσσαλγίας τὸ ἀκρατές. ἐπιλείψῃ δ' ἂν ἡμῖν εἰς τὸ παράπαν οὐδὲν, εἰ καὶ αὐτὸς ἡμῖν ἐπιδείξεις τὸν Πατέρα καὶ Θεόν· ἀρκέσει γὰρ τοῦτο τοῖς σοῖς μαθηταῖς, εἰς τὸ δύνασθαι λοιπὸν καὶ μάλα καλῶς τοῖς τῶν ἐκεῖνα προτεινόντων καθοπλίζεσθαι λόγοις. τοιαύτην τινὰ θεωρίαν τοῖς προκειμένοις ἐποίσαντες, οὐκ ἂν οἶμαι τοῦ πρέποντος λόγου διαμαρτήσαιμεν. καλεῖ γὰρ ἡμᾶς πρὸς τὸ οὕτω νοεῖν καὶ αὐτὸς ὁ Φίλιππος λέγων Ἀρκεῖ ἡμῖν τὸ ἰδεῖν τὸν Πατέρα καὶ Θεὸν, ὡσανεὶ τούτου καὶ μόνου τοῖς πεπι στευκόσιν ἐλλελοιπότος, ὑποτιθεῖ δέ πως καὶ αὐτὸς ὁ Σωτὴρ, ἐν τοῖς ἐφεξῆς εἰπών "Τὰ ῥήματα ἃ ἐγὼ λέγω ὑμῖν ἀπ' "ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ Πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ "ἔργα αὐτός." τὸ δὲ ὅπως προσήκει καὶ τοῦτο νοεῖν, οὐκ ἐν τῷ παρόντι μᾶλλον, ἀλλ' ἐν τῷ πρεπωδεστέρῳ καὶ γείτονι λελέξεται τόπῳ. 2.421 Λέγει αὐτῷ ὁ Ἰησοῦς Τοσούτῳ χρόνῳ μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. Ἀπροφάσιστον τῷ μαθητῇ τὴν ἀμαθίαν ἐπιδεικνύει. τὰ μὲν γὰρ δυσεφικτότερα τῶν θεωρημάτων, καὶ πρὸς κατά ληψιν τὴν ἐν νοήσει φημὶ λεπτοτέραν ἐν ἑαυτοῖς ἐξαιτοῦντα τὴν βάσανον, εἰ καὶ μὴ ἐν ὀλίγῳ χρόνῳ τυχὸν, ἀλλ' οὖν ἐν μακραῖς παρατάσεσι τῶν καιρῶν ἔσται δὴ πάντως ἁλώσιμα τοῖς φιλομαθέσι καὶ καταφανῆ γενήσεται· οἷς δὲ οὐκ ἔνεστι τὸ περισκελὲς, ἀλλ' εὐθεῖαν ἔχει τὴν εἴδησιν, τούτοις ἄν τις προσβάλοι, καὶ λίαν ἀκονιτί. τί τοίνυν, φησὶν, ὦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Φίλιππε, πρὸς τὴν ἐπ' ἐμοὶ σύνεσιν ἀκριβῆ τὸ παραποδίσαν, εἰπέ. καίτοι γὰρ οὕτω μακροῦ διελάσαντος χρόνου, καθ' ὅν εἰμι μεθ' ὑμῶν, καὶ ἀρκοῦντος εἰς πληροφορίαν ὧν ἔδει σε μαθεῖν, ἐνδοιάζεις ἔτι, μᾶλλον δὲ ἥλως ἠγνοηκὼς, τίς μὲν ἐγὼ κατὰ φύσιν εἰμὶ καὶ πόθεν, καίτοι τῶν ὅτι μάλιστα παρὰ σοὶ θαυμαζομένων εὑρίσκων ὄντα δημιουργόν. πῶς δὲ οὐκ ἔγνως, φησὶν, ὅτι ὁ θεωρήσας ἐμὲ τεθέαται τὸν Πατέρα; ἀλλ' Ἰουδαίους μὲν οἴει τοὺς πάλαι τὴν θείαν ἐν τῷ ὄρει Σινᾶ τεθεᾶσθαι φύσιν, ἀκηκοέναι τε λαλούσης αὐτῆς, ὅτε τοὺς ἐπὶ τοῖς πρακτέοις ἐτίθει νόμους· σὺ δὲ οὔπω διετέθης, ὅτι τὸν Πατέρα τεθέασαι δι' ἐμοῦ τε καὶ ἐν ἐμοί· ὁ γὰρ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. καὶ ὅτι μὲν οὐ σωματικήν τινα θεωρίαν ἡμῖν κατασημαίνει Χριστὸς, οὐ μακρῶν οἶμαι δεδεῆσθαι λόγων τοὺς ἀκροωμένους. οὐ γὰρ ἄν τις εἴποι τῶν νοῦν ἐχόντων, τὴν τοῦ Θεοῦ φύσιν θεωρίαις ὑποκεῖσθαι σωματικαῖς, ἀλλ' οὐδὲ τοῖς τῆς σαρκὸς ὀφθαλμοῖς κατίδοι τις ἂν τὸ ὡς καὶ μόλις ἐν ἐσόπτρῳ καταληπτόν· βλέπομεν γὰρ ὡς ἐν αἰνίγματι· καὶ μικρὰ φρονεῖν οἶμαι περὶ Θεοῦ καὶ τὸν λίαν μεγάλῃ ἐπαυχοῦντα γνώσει. 2.422 Πλὴν ἐκεῖνο δὴ πάλιν τοῖς τῆς ἀληθείας ἐροῦμεν ἐχθροῖς, οἳ πλατεῖαν ἔχουσι καθ' ἡμῶν τὴν γλῶτταν, μᾶλλον δὲ κατ' αὐτῆς τῆς οὐσίας τοῦ Μονογενοῦς. εἰ γὰρ μὴ ἐξ αὐτῆς τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς, γεννητῶς ὑπάρ χων τοῦθ' ὅπερ ἐστὶ, Θεὸς δηλονότι καὶ κατὰ φύσιν καὶ ἀληθῶς, μόνοις δὲ τοῖς ἔξωθεν ἀγλαϊζόμενος σχήμασι, καὶ ταῖς ἐπεισάκτοις λελαμπρυσμένος εὐκλείαις, οὐ φυσικοῖς διαπρέπων ἀξιώμασιν, ἐν ἑαυτῷ δὲ μορφοῖ τὸν Πατέρα, καὶ εἰκών ἐστιν ἀπαράλλακτος τοῦ Θεοῦ, πρῶτον μὲν οὐκ ἂν εἴη κατὰ φύσιν Υἱὸς, ἀλλ' οὐδὲ γέννημα κατὰ ἀλήθειαν, ποίημα δὲ καθ' ἡμᾶς, ἤ τι τῶν τοιούτων ἕτερον· οὗ παρα δεχθέντος, οὕτω τε ἔχειν πεπιστευμένου, παντελῶς δήπου κἀκεῖνο φήσομεν ἀληθῶς, ὡς οὐκ ἂν εἴη πατὴρ ὁ Πατὴρ ἐνεργείᾳ καὶ φύσει, θελήσει δὲ μᾶλλον καὶ δοκήσει τυχὸν, καθάπερ οὖν καὶ ἡμῶν ὠνόμασται πατήρ. εἶτα τί τὸ ἐντεῦθεν; συνομολογηθήσεται καὶ ὡς ἐξ ἀνάγκης ἀνατελεῖ Τριάς· οὐκ ἔτι γὰρ ἡμῖν ἡ ἁγία πιστεύεται κατά τινα δὴ τρόπον, τρεῖς δὲ μᾶλλον, ὡς ἐν ἀλλήλοις οὐκ ἐνυπάρχοντος οὐσιωδῶς, ἑκάστου τε ὥσπερ τῶν ὀνομάτων εἰς τὸν οἰκεῖον τῆς ἰδίας φύσεως ἀναχωροῦντος λόγον, διακεκομμένου τε τοῦ ἑτέρου παντελῶς. ἐκβιάζεται γάρ πως ἡμᾶς ἡ τοῦ θεωρή ματος δύναμις καὶ παχύτερον περὶ τούτων εἰπεῖν. καὶ εἰ τοῦτο δώσομεν ὑπάρχειν ἀληθὲς, οὕτως τε ἔχειν ἐροῦμεν, καὶ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ἀλλότριον παντελῶς παρα δεξόμεθα τὸν Υἱὸν, πῶς οὐ διαψεύσεται λέγων Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα; Θεοῦ γὰρ ὑπάρχοντος κατὰ φύσιν τοῦ Πατρὸς, πῶς ἂν ἡμῖν ὁ Υἱὸς, καίτοι μὴ ὑπάρχων Θεὸς κατὰ φύσιν κατὰ τὸν ἐκείνων λόγον, δείξει ἐν ἑαυτῷ τὸν Πατέρα; πῶς γὰρ ἐν τῷ γεγονότι τὸ μὴ γεγονὸς θεωρή σομεν· ἐν δὲ τῷ μὴ ὄντι ποτὲ, κατά γε τὸν τοῦ πεποιῆσθαι λόγον, πῶς ἄν τις ἴδοι τὸν ὄντα διὰ παντός; μὴ γάρ μοι 2.423 λεγέτω τις τῶν ἐκεῖνα δεδυσφημηκότων, τὴν τῆς ἀληθείας κατασοφιζόμενος δύναμιν, ὡς ἐπείπερ ἔχει τὴν δόξαν τοῦ Θεοῦ καὶ Πατρὸς, τήν τε δύναμιν καὶ τὴν σοφίαν αὐτοῦ καὶ τὴν ἀγαθότητα καὶ τὸ παντουργικὸν καὶ τὸ δύνασθαι παρά γειν τὰ οὐκ ὄντα ποτὲ, διὰ τοῦτο καὶ εἰκών ἐστιν αὐτοῦ· ἀλλὰ δεικνύτω πρότερον, εἰ Θεὸς κατὰ φύσιν φαίνεται, καὶ οὕτως ἀπαραλλάκτως, ὡς μηδὲν εἶναι τὸ ἀδικοῦν τὴν εἰ σάπαν καὶ ὁλοτελῶς ἐμφέρειαν τῆς εἰκόνος πρὸς τὸ ἀρχέ τυπον· ἀπορήσαντα δὲ καὶ τοῦτο δεικνύειν οὐχ ἑκόντα, δεύτερον αἰτήσομεν εἰπεῖν, ποῖος ἂν ἐπιτρέψῃ λόγος, καίτοι κατὰ φύσιν οὐκ ὄντα Θεὸν, κατά γε τὴν ἐνοῦσαν αὐτοῖς βδελυρίαν, τὰ τῆς θεότητος ἔργα δύνασθαι πληροῦν. τοῦτο γάρ ἐστι τὸ φέρειν τὴν εἰκόνα τοῦ Πατρός. εἰ μὲν γὰρ οἴκοθεν οὐκ ἔχων τὴν ἀρκοῦσαν εἰς τοῦτο δύναμιν ὁ Υἱὸς δανείζεται τὴν παρὰ Πατρὸς, καὶ χορηγεῖται παρ' αὐτοῦ καὶ σοφίαν καὶ ἰσχὺν, ἵνα δύνηται κατορθοῦν ἃ καὶ μόνῃ πρέπειν ἐροῦμεν τῇ τοῦ Πατρὸς φύσει, διαψεύσεται οὕτω καὶ τὴν εἰκόνα καὶ τὴν ὁμοίωσιν. εἰ δὲ ψεύδεσθαι μὲν οὐ δώσομεν αὐτὸν, οὕτως ἔχοντα καθάπερ εἰρήκαμεν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς δὲ ἀληθεύοντι συναινέσομεν, αὐτὴν ἁλωσόμεθα τὴν δόξαν ἀδικοῦντες τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ὅπως, ἐρῶ. ἢ γὰρ ἀνάγκη λέγειν, ὅτι ψεύδεται τὴν εἰκόνα τοῦ Θεοῦ καὶ Πατρὸς, οἴκοθεν μὲν οὐκ ἔχων τὴν τοῖς ἔργοις ἐξαρκοῦσαν ἰσχὺν, παρ' ἑτέρου δὲ ταύτην χορηγούμενος· οὐ γὰρ οὕτω τὸ ἀρχέτυπον· ἢ εἴπερ ἐστὶν ἀληθὴς ἐν ἑαυτῷ λέγων ὁρᾶσθαι τὸν Πατέρα, καὶ οὐδὲν ὅλως εἶναι τὸ διαλλάττον ἢ τὸ μεταξὺ ἢ παρα χαράττον τὴν εἰς ἅπαν ἐμφέρειαν, ἀνάγκη λοιπὸν καὶ οὐχ ἑκόντα εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ Πατὴρ ἐπακτὴν ἔχει καὶ παρ' ἑτέρου τὴν δύναμιν. οὕτω γὰρ ἡμῖν ἑαυτὸν ἐν τῇ εἰκόνι τῆς ἰδίας φύσεως, ἤτοι τῆς δόξης, ἠβουλήθη δεικνύειν. Ἆρ' οὖν οὐχ ὁρᾶτε, φήσειεν ἄν τις πρὸς ἐκείνους λοιπὸν, 2.424 ὅποι ποτὲ βαδιεῖται τῆς εὐθείας ὁδοῦ διεκπίπτων ὁ λόγος, καὶ εἰς οἷον ἀποκομίζει βάραθρον τοὺς ἐκεῖνα πεφρονηκότας; ἀλλὰ ναὶ, δύναται, φησὶ, καίτοι γενητὸς ὑπάρχων ὁ Υἱὸς τὰ τῆς φύσεως ἔργα πληροῦν, δόξαν οὕτω τῷ Θεῷ καὶ Πατρί. εἶτα τί τούτου φανεῖται τὸ δυσσεβέστερον; οὐδὲν γὰρ ἔτι τὸ μεῖζον ἤτοι τὸ πλέον ἐν Θεῷ παρὰ τὴν κτίσιν, εἰ καὶ τὴν τῆς θεότητος δόξαν τε καὶ δύναμιν αὐτῇ περιθήσομεν. μὴ γάρ τις ἐκ φρενοβλαβείας οἰέσθω πολλῆς ἀξιάγαστόν τι καὶ μέγα περὶ Υἱοῦ φρονεῖν τε καὶ λέγειν, ὅτι κτίσμα μέν ἐστιν, οὐχ ὡς ἓν δὲ τῶν κτισμάτων· ἴστω δὲ οὐ μικρῶς ἀδικῶν τὴν δόξαν αὐτοῦ. οὐ γὰρ εἰ ἐξαίρετον ἔχει τὴν φύσιν παρὰ τὰ ἄλλα κτίσματα ζητητέον, ἀλλ' εἰ γέγονεν ὅλως. τὸ γὰρ εἶναι κτίσμα πῶς ἂν διαφύγοι, εἰ καὶ πάντων ἐστὶ τῶν κτισμάτων τὸ κάλλιστον; ἀδικουμένης δὲ τῆς δόξης τοῦ Υἱοῦ ἐν τῷ γενέσθαι λέγειν αὐτὸν, τί μάτην ἐπάγουσι, καθάπερ τι φάρμακον αὐτῷ, τὸ ἐν τῷ καλλίστῳ τῶν ἄλλων ὑπάρχειν τόπῳ; ὑβριοῦμεν τοιγαροῦν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίαν, εἰ ταῦτα δύνασθαι κατορθοῦν περιθήσομεν τῷ Υἱῷ, γενητῷ καὶ αὐτῷ τυγχάνοντι, κατὰ τὸν ἐκείνων ἀμαθῆ καὶ ἀσύνετον λογισμόν. οὐκ ἀνεξόμεθα δὲ λεγόντων αὐτῶν, ὅτι τὰ τῆς θεότητος ἔργα κατορθοῖ, κτίσμα κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, οὕτω δόξαν τῷ Θεῷ καὶ Πατρί. εἰ μὲν γὰρ ἔχουσι δεικνύειν τοῦτο ἀπὸ τῆς θείας γραφῆς, παρακομιζόντων ἃ βούλονται, καὶ ἀκαπηλεύτους ἡμῖν τὰς τῶν ἁγίων τηρούντων φωνάς· εἰ δὲ γνώμης ἰδίας εὑρήματα, καὶ τοὺς ἐπὶ τούτῳ πεποίηνται λογισμοὺς, χαριέντως ἐροῦμεν "Οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν·" ἐκεῖνα γὰρ δώσομεν ἐθέλειν ἀεὶ τὸν Πατέρα, ἃ τὴν θείαν αὐτοῦ δόξαν ἀπαραχάρακτον οἶδε τηρεῖν, καὶ τῶν περὶ αὐτοῦ δογμάτων διασώζει τὴν ὀρθότητα. οὐκοῦν ταῖς ἐκείνων ἀσυνεσίαις τὸ ἐῤῥῶσθαι φράσαντες, ἐπὶ τὸν ἀληθῆ περὶ αὐτοῦ χωρήσομεν 2.425 λόγον, ἐκ τῆς οὐσίας γεννηθῆναι πιστεύοντες τοῦ Θεοῦ καὶ Πατρὸς Υἱὸν ἀληθῶς, καὶ Θεὸν ἐκ Θεοῦ κατὰ φύσιν. ἀληθεύει γὰρ οὕτως ὑπάρχων καὶ χαρακτὴρ καὶ ὁμοίωσις τοῦ Θεοῦ καὶ Πατρὸς λέγων Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα· πῶς οὖν λέγεις Δεῖξον ἡμῖν τὸν Πατέρα; ἐξὸν γὰρ δή σοι, φησὶν, ὦ Φίλιππε, τὴν τοῦ Πατρὸς ἐν ἐμοὶ κατα θεάσασθαι φύσιν, καὶ ἐξ ὧν αὐτός εἰμι διασκέπτεσθαι τὸν γεννήτορα· πέφηνά τε γὰρ καὶ εἰμὶ κατὰ ἀλήθειαν καὶ τῆς οὐσίας αὐτοῦ χαρακτὴρ ἀπαράλλακτος καὶ εἰκὼν ἐμφερὴς, ὅλην ἐν ἐμαυτῷ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἐγχαράττων φύσιν· ποῖον ἔτι τῆς θεοπτίας ἐπιζητήσαις ἂν τρόπον ἕτερον, εἴ γε σοι προσὸν ὁρῷτο τὸ τὰ εἰκότα δύνασθαι φρονεῖν, ἢ ποίαν εἰπέ μοι θεωρίαν αἰτεῖς; ἆρα μὴ κρείττονα καὶ ἀκριβεστέραν οἴει δεδόσθαι τοῖς ἀρχαιοτέροις, ὅτε κατέ βην ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ; πολὺ γὰρ αὐχεῖν ἐπὶ τούτῳ δὴ μάλιστα τοῖς Ἰουδαίοις ἐν ἔθει. Ταυτὶ μὲν ἴσως ὑπονοήσαιμεν ἂν τυχὸν διειλέχθαι Χρι στόν· ὅτι δ' οὖν ἀμείνων εἰς γνῶσιν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ τῶν παραδόξων ἐπίδειξις τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τῆς ἐν τῷ ὄρει Σινᾷ, χρῆναι δεῖν ὑπολαμβάνω καὶ νῦν ἡμᾶς ἀοκνότατα λέγειν. ὄψει γὰρ οὕτω τὸν Φίλιππον, παρακειμένης αὐτῷ τῆς ἀληθοῦς εἰκόνος, οὐκ ἀναγκαίως αἰτήσαντα τὴν ἑτερότροπον θεωρίαν τοῦ Θεοῦ καὶ Πατρὸς, ἣ καὶ τοῖς ἀρχαιοτέροις ἐδόθη κατὰ τὸ ὄρος Σινᾶ· κατέβη μὲν γὰρ ἐκεῖ Κύριος ἐν εἴδει πυρὸς, καθὰ γέγραπται, θεω ρούντων δηλονότι τῶν ἐξ Ἰσραήλ. ἀλλ' οὐκ ἂν οἶμαί τις διὰ τούτου εἰς ἐννοίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀληθεῖς ἐλάσαι ποτὲ τὰς περὶ Θεοῦ, ἤγουν εἰς τὴν τῇ θεότητι πρέπουσαν ἀναπηδῆσαι διάληψιν· πῶς γὰρ ὅλως διὰ πυρὸς, καθάπερ ἀπό τινος εἰκόνος, ἴοιμεν ἂν ἐπὶ τὸ ἀρχέτυπον, τουτέστι, τὸν Πατέρα καὶ Θεόν; ἀγαθὸς μὲν γὰρ ὁ Θεὸς τῇ φύσει, καὶ πρός γε τούτῳ 2.426 δημιουργὸς, τὰ οὐκ ὄντα ποτὲ καλῶν εἰς γένεσιν, καὶ συνέχων εἰς τὸ εἶναι τὰ πάντα, καὶ ζωογονῶν, αὐτὸς σοφία καὶ δύναμις, χρηστὸς καὶ οἰκτίρμων καὶ ἐλεήμων. τούτων δὲ τὸ παράπαν οὐδὲν ἐν πυρί. οὐ γὰρ ἂν οἴοιτό τις, εἴ γε νοῦν ἔχοι, χρηστὸν καὶ φιλάνθρωπον εἶναι τὸ πῦρ, οὐδὲ ἐρεῖ τις σωφρονῶν, ὡς εἴη μὲν δημιουργικὸν, σοφόν τε καὶ ζωογόνον. εἶτα πῶς ἄν τις, εἰπέ μοι, διὰ πυρὸς τὰς περὶ τῆς ἀληθοῦς θεότητος ἐννοίας συλλέξειεν; ἢ πῶς ἂν ἐν ἐσόπτρῳ καὶ αἰνίγματι θεωρήσειέ τι τῶν ἐμπεφυκότων αὐτῇ; τίς οὖν ἄρα, φησὶν, ὁ λόγος, ἢ ποία γέγονε πρόφασις εἰς πῦρ ἀνα πείθουσα χρηματίζεσθαι τὸν Θεὸν ἐν τῷ ὄρει Σινᾷ; ἐροῦμεν ὅτι ἀρχομένων τῶν ἐξ Ἰσραὴλ κατ' ἐκεῖνο δὴ μάλιστα καιροῦ τῆς εἰς εὐσέβειαν παιδαγωγίας, καὶ ὥσπερ τινὰ κανόνα ποιεῖσθαι μελλόντων τῆς οἰκείας ζωῆς τὸν διορθώ σασθαι μέλλοντα νόμον, ἔδει τότε δὴ μάλιστα κολαστήν τινα καὶ φοβερὸν αὐτοῖς φαίνεσθαι τὸν Θεὸν, ἵν' εἰδέναι ἔχοιεν οἱ παραβαίνοντες, ὅτι πρὸς πῦρ ὁ λόγος αὐτοῖς. διὰ γάρ τοι τοῦτο καὶ ὁ μέγας Μωυσῆς τοῖς ἐξ Ἰσραὴλ προσε φώνει λέγων "Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστί." καὶ οὐ δήπου φαίημεν ἂν ὅτι τὴν τοῦ Θεοῦ φύσιν ἐξηγούμενος, πυρὶ παρείκαζεν αὐτὴν ὁ οὕτω σοφώτατος, ὠνόμαζε δὲ οὕτω τὸν Θεὸν, ὡς ἐκ πολλῆς ἄγαν μισοπονηρίας, πυρὸς δίκην τοῦ παμφάγου δαπανᾶν τε καὶ ἀναλίσκειν οὐ παραιτουμένου τοὺς καταφρονοῦντας αὐτοῦ. οὐκοῦν οὐκ ἐξ ὧν ἔστι κατὰ φύσιν, Θεὸς διὰ πυρὸς γνωρίζεται· τὸ δὲ οὕτως ὠνομάσθαι καὶ ὦφθαι τότε πρὸς τὸ τοῖς ἀκροωμένοις ἐλήφθη λυσιτελές. ἴωμεν δὴ λοιπὸν ἐπὶ τὴν ἀληθῆ καὶ ἀκριβεστάτην τοῦ Πατρὸς θεωρίαν, τουτέστι τὸν Υἱόν. εἰκόνα γὰρ αὐτὸν ὀψόμεθα τοῦ γεννήσαντος, τοῖς ἐνοῦσιν αὐτῷ πλεονεκτή μασι τὸν τῆς διανοίας ἐνερείσαντες ὀφθαλμόν. ἀγαθὸς τοιγαροῦν ὁ Θεὸς καὶ Πατὴρ κατὰ φύσιν, τοιοῦτον ὄντα 2.427 καὶ τὸν Υἱὸν εὑρήσομεν. πῶς γὰρ οὐκ ἀγαθὸς, ὁ τοσαύτην δι' ἡμᾶς ὑπομείνας ταπείνωσιν, καὶ ἐλθὼν "εἰς τὸν κόσμον "ἁμαρτωλοὺς σῶσαι," καὶ θεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ αὐτῶν; δυνατὸς ὁμοίως ὁ Πατὴρ, οὕτως ἔχει καὶ ὁ Υἱός· τί γὰρ ἂν εἴη τὸ δυνατώτερον τοῦ καὶ αὐτοῖς ἐπιτάττοντος τοῖς στοιχείοις, καὶ θαλάττῃ μὲν ἐπιτιμῶντος καὶ πνεύμασιν, ἀναστοιχειοῦντος δὲ πρὸς ὅπερ ἂν βούλοιτο τῶν πραγμάτων τὰς φύσεις, καὶ καθαρισθῆναι μὲν ἐπιτάττοντος τῷ λεπρῷ, τὸ δὲ βλέπειν διδόντος τοῖς τυφλοῖς, ἐν ἐξουσίᾳ θεοπρεπεῖ. ζωὴ κατὰ φύσιν ὁ Πατήρ· ζωὴ πάλιν ἐστὶ καὶ ὁ Υἱὸς, ζωοποιῶν τοὺς κατεφθαρμένους, καὶ τὸ τοῦ θανάτου κατα στρέφων κράτος, διά τε τοῦτο τοὺς νεκροὺς ἀνιστάς. εἰκότως οὖν ἄρα φησὶ πρὸς Φίλιππον Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. ἐξὸν γάρ σοι, φησὶν, εὖ μάλα περιαθρεῖν ἐν ἐμοί τε καὶ ἐξ ἐμοῦ τὸν γεννήσαντα, τίνα τρόπον ἕτερον τῆς θεοπτίας αἰτεῖς, καίτοι τῆς δοθείσης ἀρχαιοτέροις τὴν ἀμείνω λαχὼν, καὶ ἀληθεστάτῃ περιτυχὼν εἰκόνι, τουτέστιν ἐμοί; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; Ἐγὼ μὲν, φησὶν, ὦ Φίλιππε, τὴν τοῦ γεννήσαντος φύσιν ἐν ἐμαυτῷ καταγράφων, εἰκών εἰμι τῆς οὐσίας αὐτοῦ, μεμορ φωμένος δηλονότι κατ' ἐκεῖνον, οὐχ ὡς ἂν οἴοιτό τις ταῖς ἔξωθεν δόξαις, ἀλλ' οὐδὲ ξένοις ἢ ἐπακτοῖς λελαμπρυσμένος πλεονεκτήμασιν· ἀλλ' ἐν ἰδίᾳ φύσει φορῶν τὰ τοῦ γεννή σαντος ἴδια, καὶ τοῦτο ὑπάρχων ἀληθῶς, ὅπερ ἂν εἴη κἀκεῖνος, κατά γε τὸν ἐν ταυτότητι λόγον, τῇ κατ' οὐσίαν φημί. σὺ γὰρ δὴ πάλιν πρὸς ταῦτα ἐρεῖς· οὐ γὰρ διετέθης ἄρα λοιπὸν, ὡς ἐγὼ μὲν ἐν τῷ πατρὶ, ὁ πατὴρ δὲ αὖ πάλιν ἐστὶν ἐν ἐμοί. καίτοι καὶ οὐχ ἑκόντα, φησὶν, ἐκβιάσεταί σε λοιπὸν ἡ τῶν εἰρημένων δύναμις εἰς τὴν ἐπὶ τούτῳ συναί 2.428 νεσιν. οὐκοῦν, ἅπερ ἂν φαίην ἐγὼ, ταῦτα δὴ πάντως ἐστὶ τοῦ Πατρὸς, καὶ ἅπερ ἂν ἐργασαίμην ἐγὼ, ὁ Πατὴρ ἐργά ζεται. φησὶ δὲ ταῦτα ὁ Χριστὸς, οὐχ ὡς τοῖς ἑτέρου τυχὸν ἀποκεχρημένος ῥήμασιν, οὔτε μὴν ὡς ἐν προφήτου τάξει καὶ μέτρῳ τὰς ἄνωθεν καὶ παρὰ Πατρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαπορθμεύων φωνάς· ἐλάλουν γὰρ οὐ τὰ ἑαυτῶν ἐκεῖνοι πάντως, ἀλλὰ τοῦ διδόντος τε καὶ ἐμπνέοντος αὐτοῖς Θεοῦ· ἀπονέμει δὲ πάλιν τῷ ἰδίῳ Πατρὶ τῶν παραδόξων τὴν ἔκβασιν, οὐχ ὡς ἐπακτῷ δυνάμει θαυματουργῶν, κατ' ἐκείνους δηλονότι τοὺς λέγοντας, ὅτι ἡμῖν μὴ προσέχετε "ὡς ἰδίᾳ δυνάμει ἢ εὐσε "βείᾳ" τεθεραπευκόσι, δηλονότι τὸν κάμνοντα. κεχρῆσθαι γὰρ τοῖς ἁγίοις ἔθος οὐκ ἰδίᾳ πάντως ἰσχύϊ πρὸς τὰ παρά δοξα, μᾶλλον δὲ τῇ τοῦ Θεοῦ· διάκονοι γὰρ καὶ ὑπουργοὶ λόγων τε ὁμοῦ τῶν θείων καὶ ἐνεργημάτων εὑρίσκονται. ἐπειδὴ δὲ ὁμοούσιός ἐστι τῷ Πατρὶ ὁ Υἱὸς, κατ' οὐδένα τρόπον διαλλάττων, ἤγουν ὡς ἑτεροίως ἔχων ὡς πρὸς αὐτὸν, λόγους εἶναί φησι τοὺς ἰδίους τοῦ Πατρὸς, ὡς οὐχ ἑτέροις ἂν τοῦ Πατρὸς χρησαμένου λόγοις ἢ οἷσπερ ἂν ὁ Υἱός. ἀλλὰ καὶ ἐν τῇ τῶν ἔργων μεγαλειότητι νοήσεις ὡσαύτως. ὡς γὰρ οὐδὲν ἕτερον ἐνεργεῖν πεφυκότος τε καὶ ἰσχύοντος τοῦ Πατρὸς ἢ ὅπερ ἂν εἰδείη τε καὶ ἐνεργοίη τυχὸν ὁ Υἱὸς, αὐτοῦ τὰ ἔργα φησίν. ἐννόει γὰρ λέγοντα φανότερον οὕτως Εἰμὶ τῷ γεγεννηκότι κατὰ πᾶν ὁτιοῦν ἐμφερὴς, καὶ εἰκὼν τῆς οὐσίας αὐτοῦ, οὐ μόνοις ὡραϊζόμενος σχήμασι καὶ ταῖς ἔξωθεν δόξαις, ἀλλ' ὅλον ἔχων ἐν ἑαυτῷ τὸν φύσαντα διὰ τὴν τῆς οὐσίας ταυτότητα. Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλὰ ὁ Πατὴρ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. Εἰ γὰρ πρὸς ὑμᾶς τι, φησὶν, ἐλάλησεν ὁ Πατὴρ, τούτοις αὐτοῖς οἷσπερ ἐγὼ νυνὶ, οὐκ ἂν ἑτέροις ἐχρήσατο λόγοις. 2.429 τοσαύτην γὰρ ἔχω πρὸς αὐτὸν οὐσιώδη τὴν ἐμφέρειαν, ὡς αὐτοῦ τὰς ἐμὰς εἶναι φωνὰς, καὶ ἅπερ ἂν δρῴην ἐγὼ, ταῦτα αὐτοῦ πιστεύεσθαι κατορθώματα· ἐν ἐμοὶ γὰρ μένων διὰ τὸ ἀπαράλλακτον ἐν οὐσίᾳ ποιεῖ τὰ ἔργα αὐτός. ἐπεὶ καὶ μιᾶς οὔσης τῆς θεότητος, ἔν τε Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι νοουμένης, ἅπας μὲν λόγος ὁ παρὰ Πατρὸς, πάντως ἐστὶ δι' Υἱοῦ ἐν Πνεύματι· καὶ πᾶν ἔργον, ἤτοι παράδοξον, δι' Υἱοῦ ἐν Πνεύματι· πράττεται γεμὴν, ὡς παρὰ Πατρός. οὐ γὰρ ἔξω τῆς τοῦ γεννήσαντος οὐσίας ἐστὶν ὁ Υἱὸς, οὔτε μὴν τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν αὐτῷ δὲ ὢν ὁ Μονογενὴς, ἔχων δὲ αὖ πάλιν ἐν ἑαυτῷ τὸν τεκόντα, αὐτόν φησιν ἐνεργεῖν. ἐνεργὴς γάρ ἐστιν ἡ τοῦ Πατρὸς φύσις, καλῶς ἐν Υἱῷ διαλάμπουσα. Φαίη δ' ἄν τις ἐπὶ τούτοις ἑτέραν διάνοιαν, τῆς μετὰ σαρκὸς οἰκονομίας καλῶς αὐτῷ χορηγούσης τὰς ἀφορμάς. ἀπ' ἐμαυτοῦ γάρ φησιν οὐ λαλῶ, ἀντὶ τοῦ, οὐ μεμερισμένως, οὐδὲ ἀπᾳδόντως τῷ Θεῷ καὶ Πατρί. ἐπειδὴ γὰρ ἐν ἀνθρω πείᾳ μορφῇ τοῖς ὁρῶσιν ἐφαίνετο, ἀνατίθησι τῇ τῆς θεότητος φύσει τοὺς ἑαυτοῦ λόγους, ὡς ἐν προσώπῳ τοῦ Πατρὸς, καὶ μὴν καὶ τὰ ἔργα· μόνον δὲ οὐχί φησι Μὴ τὸ σχῆμα τουτὶ τὸ ἀνθρώπινον, τὴν ἐμοὶ πρέπουσαν καὶ χρεωστουμένην παραι ρείσθω διάληψιν, μηδὲ ἀνθρώπου ψιλοῦ καὶ ἑνὸς τῶν καθ' ὑμᾶς εἶναι τοὺς ἐμοὺς λόγους ὑπολάβητε, ἀλλὰ θείους ἀλη θῶς καὶ αὐτῷ πρέποντας τῷ Πατρὶ, οὕτως ὡς ἐμοί. ἐνεργεῖ δὲ ἐν ἐμοὶ μένων· εἰμὶ γὰρ ἐν αὐτῷ καὶ αὐτὸς ἐν ἐμοί. μὴ τοίνυν, φησὶν, ὡς μέγα τι καὶ ὑπερφυὲς τοῖς ἀρχαιοτέροις δεδόσθαι πιστεύετε, τὸ ἰδεῖν μὲν ὡς ἐν εἴδει πυρὸς τὸν Θεὸν, ἀκοῦσαι δὲ καὶ φωνῆς λαλούσης αὐτοῖς. ὑμεῖς γὰρ ὄντως τεθέασθε δι' ἐμοῦ καὶ ἐν ἐμοὶ τὸν Πατέρα, εἰ καὶ πέφηνα καθ' ὑμᾶς, Θεὸς ὢν κατὰ φύσιν, ἦλθον ἐμφανῶς, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν. ἴστε δὲ ὅτι τῶν ἡμετέρων ἀκού σαντες λόγων, τῶν ὑπὸ Πατρὸς ἠκούσατε· θεωροὶ δὲ γεγόνατε καὶ τῶν ἔργων, καὶ τῆς ἐνούσης ἰσχύος αὐτῷ. δι' 2.430 ἐμοῦ γὰρ λαλεῖ μὲν, ὡς διὰ Λόγου τοῦ ἰδίου, κατορθοῖ δὲ καὶ ἐνεργεῖ τὰ θαύματος ἄξια, ὡς διὰ δυνάμεως πάλιν τῆς ἑαυτοῦ. Ὅτι δὲ τῆς τοῦ Πατρὸς οὐσίας οὐδεὶς ἂν οἶμαι λόγος ἀποτέμοι ποτὲ τόν τε Λόγον καὶ τὴν δύναμιν αὐτῆς· ἐνυ πάρχειν δὲ καὶ ἐμπεφυκέναι κατὰ φύσιν αὐτῇ παστισοῦν ὁμολογήσειεν, οὐκ ἀμφίβολον, εἰ μή τις ἄρα εἴη παραπλὴξ τὴν διάνοιαν. 2.431 ΚΕΦΑΛΗ Α. Ὅτι διὰ τὴν ταυτότητα τῆς φύσεως, ὁ Υἱὸς μὲν ἐν τῷ Πατρί ἐστιν, ὁ Πατὴρ δ' αὖ πάλιν ἐν τῷ Υἱῷ ἐστιν. Πιστεύετε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν. ἈΝΑΦΑΝΔΟΝ ἤδη φησὶν, μᾶλλον δὲ καὶ ἐπιτάττει λοιπὸν ὅτι προσήκοι φρονεῖν οὐχ ἑτέρως ἡμᾶς, ἢ ὥσπερ αὐτὸς ὁ τῆς ἀληθείας βούλοιτο λόγος. ὁμοούσιος γάρ ἐστι τῷ ἰδίῳ γεννήτορι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεσολαβοῦντος παντελῶς οὐδενὸς, ἢ κατά τι γοῦν διακόπτοντος εἰς ἑτερότητα φυσικὴν θατέρου τὸν ἕτερον. εἷς γάρ ἐστι πρὸς αὐτὸν, ὡς ἐν τῇ τοῦ τεκόντος οὐσίᾳ τὴν τοῦ Υἱοῦ διαφαίνεσθαι φύσιν, καὶ ἐν τῇ τοῦ γεννήματος οὐσίᾳ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ὁρᾶσθαί τε καὶ διαπρέπειν, ὥσπερ ἀμέλει καὶ ἐν τοῖς καθ' ἡμᾶς θεωρήσαι τις ἄν. οὐ γὰρ ἕτεροι κατὰ φύσιν ἐσμὲν πρὸς τὰ ἐξ αὐτῶν γεννήματα, οὔτε μὴν εἰς ἀλλοτριότητα μεριζόμεθα φυσικὴν, εἰ καὶ τῇ τῶν σωμάτων ἑτερότητι διεστήκαμεν· διόπερ ἴδοι τις ἂν τὸν μακάριον Ἀβραὰμ ὁ τὸν ἐξ αὐτοῦ γεννηθέντα υἱὸν ἑωρακώς. ἀλλ' ἐπὶ μὲν ἀνθρώπων τυχὸν πολλή τις ἐστὶν ἡ διακοπὴ, συστελλομένου τρόπον τινὰ καὶ ἀναχω ροῦντος μεμορφωμένως ἑκάστου πρὸς τὸ ἰδίως ἔχειν καὶ φαίνεσθαι, καὶ οὐκ ἐμπεφυκότος τῷ ἑτέρῳ σωματικῶς, εἰ καὶ κοινὸς ἅπασιν ὁ τῆς οὐσίας ὁρῷτο λόγος· ἐπὶ δὲ Θεοῦ τοῦ κατὰ φύσιν ἐννοήσεις οὐχ οὕτως· ἰδιαζόντως μὲν γὰρ 2.432 πατήρ ἐστιν ὁ Πατὴρ, καὶ οὐχ Υἱός· καὶ πάλιν ὁμοίως Υἱὸς ὁ ἐξ αὐτοῦ καὶ οὐ πατὴρ, καὶ πνεῦμα τὸ Πνεῦμα ἰδίως· ἀλλ' εἰς μίαν θεότητος φύσιν συνιούσης τε καὶ συνειλεγ μένης τῆς ἁγίας Τριάδος, εἷς Θεὸς ἐν ἡμῖν, καὶ οὐχ ὁλό κληρον ἑκάστῳ τῶν σημαινομένων δοίη τις ἂν τὴν ἐκ τοῦ ἑτέρου τυχὸν ἀποφοίτησιν, οὐδ' ἀναχωρήσει παντελῶς εἰς τὸ εἶναι μεμερισμένως· ἀλλ' εἶναι μὲν ἕκαστον τοῦθ' ὅπερ ἐστὶ καὶ κατωνόμασται παρ' ἡμῖν ἰδιοσυστάτως πιστεύομεν. ἐκ δὲ τοῦ Πατρὸς ὄντα τὸν Υἱὸν, τουτέστιν, ἐκ τῆς οὐσίας αὐτοῦ, ἐξ αὐτοῦ τε προελθεῖν ἀῤῥήτως, ἐν αὐτῷ τε μένειν ἐννοοῦμεν. τὸν δὲ αὐτὸν τρόπον καὶ περὶ τοῦ Ἁγίου Πνεύματος. ἔστι μὲν γὰρ ἐκ Θεοῦ τοῦ κατὰ φύσιν ἀλη θῶς, ἀλλ' οὐδαμόθεν μεμερισμένον τῆς οὐσίας αὐτοῦ, προϊὸν δὲ μᾶλλον ἐξ αὐτοῦ, καὶ ἐν αὐτῷ μένον ἀεί· χορηγούμενον δὲ τοῖς ἁγίοις διὰ Χριστοῦ· πάντα γὰρ δι' Υἱοῦ ἐν Πνεύματι Ἁγίῳ. ταύτην ἡμᾶς τὴν τῶν δογμάτων ὀρθότητα καὶ ἀλή θειαν ἐδίδαξεν ἡ τῶν ἁγίων πατέρων σύνεσις· οὕτω πεπαι δεύμεθα λαλεῖν τε καὶ φρονεῖν καὶ δι' αὐτῶν τῶν ἱερῶν γραμμάτων· ὅτι δὲ λίαν ὀρθῶς ἐπὶ ταύτην ἴμεν τὴν ἀλοιδό ρητον πίστιν, παραθαρσύνει λέγων ὁ Κύριος Πιστεύετε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ δὲ ἐν ἐμοί. Εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε. Διαῤῥήδην γὰρ ἐν τούτοις φησὶν, ὡς οὐδ' ἂν ἐργάσαιτο, οὐδ' ἂν ἐξανύσαι πώποτε τὰ μόνῃ τῇ θείᾳ πρέποντα φύσει, μὴ οὐχὶ κατὰ φύσιν ὑπάρχων καὶ ἐξ αὐτῆς. καὶ ὅρα μεθ' ὅσης ἀσφαλείας τε ὁμοῦ καὶ ἀληθείας τὰ τοιαῦτά φησιν. οὐ γὰρ ἐξ ὧν ἂν λέγοι, τοσοῦτον ἀξιοῖ πιστεύεσθαι, καίτοι ψεύδεσθαι μὴ εἰδὼς, ὅσον ἐξ ὧν ἐνεργῇ. καὶ διὰ ποίαν αἰτίαν, ἐρῶ. λόγοις μὲν γὰρ καὶ ῥήμασι τοῖς θεοπρεπέσιν ἀποκεχρῆσθαι τυχὸν, καί τι τῶν ῥιψοκινδύνων εἰπεῖν, ἀνδρὶ 2.433 μαινομένῳ καὶ παραπαίοντι, χαλεπὸν οὐδέν· ἔργῳ γεμὴν καὶ δυνάμει τῇ θεοπρεπεῖ τίς ἂν χρήσαιτό ποτε; χαριεῖται δὲ τίνι τῶν γενητῶν τὴν ἰδίαν δόξαν ὁ Πατήρ; ἢ γὰρ οὐχὶ Θεοῦ δόξαν εἶναί φαμεν τὸ πάντα δύνασθαι δρᾶν, καὶ παντουργικὴν ἔχειν ἰσχύν· οὐδενὶ γεμὴν ἑτέρῳ προσεῖναι, τῷ γε ὅλως ἐναριθμουμένῳ τοῖς κτίσμασιν; οὐκοῦν ἐξ ἀναγ καίων τε ὁμοῦ καὶ ἀναντιῤῥήτων ἀποδείξεων τὰ καθ' ἑαυτὸν δοκιμάζεσθαι βουλόμενος ὁ Χριστὸς, ἐξ αὐτῶν κελεύει πιστεύεσθαι τῶν ἔργων, ὡς εἴη μὲν αὐτὸς ἐν Πατρὶ, ἔχει δὲ αὖ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα, τουτέστι, τὴν τοῦ Πατρὸς φύσιν ἐν ὑπάρξει τῇ ἰδίᾳ φορεῖ, ὡς γνήσιον γέννημα, ὡς καρπὸς ἀληθῶς, ὡς Υἱὸς ἐκ Πατρὸς πεφηνὼς φυσικῶς. Ἀλλ' ἡ μὲν Ἐκκλησία τοῦ Χριστοῦ, καίτοι λίαν ἐπαυ χοῦσα τῇ τῶν δογμάτων ὀρθότητι, τοιαύτην ἔχει τὴν δόξαν περὶ τοῦ Μονογενοῦς· τοῖς γεμὴν θεομάχοις αἱρετικοῖς ἑτε ροῖα παρέστη φρονεῖν ἀναπείθειν τοὺς τοῖς ὀλεθρίοις αὐτῶν προσιόντας τε καὶ προσέχοντας λόγοις. ἐπιλυττῶντες γὰρ ταῖς κατὰ Χριστοῦ λοιδορίαις, φιλονεικοῦσιν οἱ δείλαιοι, καὶ κατανοοῦσιν ἀλλήλους, οὐκ εἰς παροξυσμὸν εὐσεβείας, ἀλλ' ἵν' ἀσεβέστερος ἑτέρου ὁρῷτο δεῖν ἕτερος, καὶ φθέγξαιτό τι τῶν ἀπηχεστέρων. ἐπειδὴ γὰρ τὸν ἐκ Σοδόμων πίνουσιν οἶνον, καὶ πικρὰν ἐκ Γομόῤῥας τρυγῶσι σταφυλήν· οὐ γὰρ ἐκ θείου δέχονται Πνεύματος τὰ ἐπ' αὐτῷ θεωρήματα, οὐδὲ ἐξ ἀποκαλύψεως τῆς τοῦ Πατρὸς, ἀλλ' ἐκ τῆς τοῦ δρά κοντος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κεφαλῆς· οὐδὲν μὲν φρονοῦσι τῶν ἐχόντων ὑγιῶς, ἐκεῖνα δὲ λέγουσιν, ἃ τὰς τῶν ἀκροωμένων ταλαιπώρους ἀποφαίνει ψυχὰς, πρὸς ᾅδην αὐτὰς κατακομίζοντα καὶ εἰς τὸ κάτω βάραθρον. ταῦτα καὶ βιβλίοις ἐνθεῖναι τολμήσαντες, ἀθάνατον ὥσπερ τὴν ἐνοῦσαν αὐτοῖς ἀνεστήλωσαν πονηρίαν. ἔδει μὲν οὖν ἡμᾶς διαρκῶς εἰρηκότας εἰς τὸ προκείμενον, ἅπερ ἦν εἰκὸς ὠφελεῖν δύνασθαι τοὺς ἐντευξομένους, ὀρθο
2.434 τάτην ἔχοντα τὴν ἐπὶ τῷ Υἱῷ διάληψιν, μηδεμίαν τῶν παρ' ἐκείνοις ποιήσασθαι μνήμην. ἐπειδὴ δὲ ἀπεικὸς οὐδὲν τοῖς ἀθλίοις ἐκείνων περιτυχόντας ῥήμασι συναρπαγῆναι τῶν ἁπλουστέρων εἰς σύνεσίν τινας, ἀναγκαῖον ᾠήθην τοῖς ἐξ ἀληθείας δόγμασι τὰ ἐκ τῆς ἐκείνων φλυαρίας διακρού σασθαι βλάβη, εὐανάτρεπτόν τε παντελῶς ἐπιδεῖξαι τὴν συκοφαντίαν, ἣν ἐπιτειχίζειν βούλονται τῷ Υἱῷ, μᾶλλον δὲ ὅλῃ τῇ θείᾳ φύσει· τοῦτο γὰρ εἰπεῖν ἀληθέστερον. Τοιγαροῦν ἐνέτυχον βιβλιδίῳ τῶν δι' ἐναντίας· εἶτα τὰ ἐν τῷ προκειμένῳ ῥητῷ διερευνώμενος, εὕρισκον ἐπὶ λέξεως αὐτῆς οὕτω λέγοντα μεθ' ἕτερά τινα Ὁ τοίνυν Υἱὸς οὐσιωδῶς περιεχόμενος ὑπὸ τοῦ Πατρὸς, τὸν Πατέρα ἐν ἑαυτῷ ἔχει τὰ ῥήματα φθεγγόμενον καὶ τὰ σημεῖα ἐπιτε λοῦντα· ὅπερ ἑρμηνεύει λέγων Ἃ ἐγὼ λαλῶ ὑμῖν ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ Πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός. Ταυτὶ τῆς ἐκείνου τερθρείας τὰ ῥήματα· ἐπειδὴ δὲ χρὴ καὶ ἡμᾶς εἰπεῖν τὸ τοῖς εἰρημένοις ἀντιστατοῦν καὶ ἀδόκιμον ὄντα τὸν νοῦν διελέγχειν δυνάμενον, ἐκεῖνό φημι Τὸ μὲν οὖν οὐσιωδῶς περιέχεσθαι λέγειν τὸν Υἱὸν ὑπὸ τοῦ Πατρὸς, ὅ τι ποτὲ ἄρα ἐστὶν, ἢ τί ἄρα δηλοῖ, οὐ σφόδρα συνίημι· χρῆναι γὰρ οἶμαι τὸ ἀληθὲς εἰπεῖν· τοσαύτην ἔχει τὴν ἀσάφειαν. ἐρυθριᾷ γὰρ ὥσπερ καὶ συστέλλεταί πως πρὸς τὸ ἀφανέ στερον παῤῥησίαν οὐκ ἔχον τὸ θεώρημα. ὥσπερ γὰρ "ὁ τὰ "φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ "φῶς, ἵνα μὴ ἐλεγχθῇ," κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· οὕτω πᾶς λόγος ὁ τὰ φαῦλα δηλῶν, διὰ σκοτεινῶν ἐννοιῶν ἔρχεσθαι φιλεῖ, καὶ πρὸς τὸ σαφηνείας οὐχ ἥξει φῶς, ἵνα μὴ ἐλεγχθῇ τῆς ἐνούσης αὐτῷ σαθρότητος ἡ εὐτέλεια. τί οὖν ἄρα ἐστὶ τὸ οὐσιωδῶς περιέχεσθαι τὸν Υἱὸν ὑπὸ τοῦ Πατρός; ἴημι γὰρ δὴ δι' ἐννοίας ἁπάσης, οἷσπερ ἂν
2.435 δύνωμαι διαπτύσσων λόγοις τὸ ἀμυδρῶς εἰρημένον, καὶ δυσωπούμενον τάχα μὴ καὶ ἄρα νοηθὲν ἀποκαλύψῃ τὴν τοῦ τεκόντος αὐτὸ δυσβουλίαν. εἰ μὲν οὖν τοῦτο βούλεται δηλοῦν, ὡς ἐν τῇ τοῦ Πατρὸς οὐσίᾳ φαινόμενος ὁ Υἱὸς, ὡς ὁμοούσιος αὐτῷ, ἔχει καὶ αὐτὸς ἐν ἑαυτῷ τὸν Πατέρα ἐν τῇ τοῦ γεννήματος φύσει καλῶς διαλάμποντα, συναινέσομεν καὶ ἡμεῖς εἰς τὴν τοῦ θεωρήματος δύναμιν· οὐ μετρίως δ' ἂν ἀδικήσαι τυχὸν τὸ τῆς περιοχῆς ὄνομα κείμενον ἐφ' Υἱῷ. εἰ δὲ τοῦτο μὲν οὐ φησίν· οὐ γὰρ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γεγεννῆσθαί ποτε παραδέξεται τὸν Υἱὸν ὁ τοιαύτην ἐμέσας κατ' αὐτοῦ δυσφημίαν, ὥσπερ δέ τι σῶμα πεπερασμένον τὴν τοῦ Υἱοῦ φύσιν ἐμπεριειλῆφθαι τῇ τοῦ Πατρὸς δισχυ ρίζεται· πῶς οὐκ ἂν ἀναφανδὸν δυσφημήσας ἁλώσεται, καὶ τῆς εἰς ἄκρον ἡκούσης φρενοβλαβείας ἀνάπλεως ὤν; καὶ αὐτοὶ γὰρ Θεὸν εἶναι λέγοντες τὸν Υἱὸν, τὰ σωμάτων ἴδια προσάπτειν αὐτῷ παραλόγως ἐπιχειροῦσι· τὸ γὰρ ὅλως περιορισμῷ τινι καὶ μέτρῳ περισχοινίζεσθαι τῷ νοουμένῳ κατὰ διάστασιν, ὡς καὶ ἀπό τινος ἀρχῆς καταλήγειν εἰς πέρας, πάντως ἐπιδέξαιτο καὶ τὸ εἶναι τυχὸν ἐν τόπῳ καὶ ποσῷ καὶ εἴδει καὶ σχήματι. εἶτα πῶς οὐ σωμάτων ἴδια ταυτί; πῶς δὲ οὐ μεθ' ἡμῶν, ὡς καθ' ἡμᾶς, ὁ ὑπὲρ ἡμᾶς νοηθήσεται; ἢ πῶς οὐκ ἀδελφὸς τῇ ἑτέρᾳ κτίσει, λοιπὸν οὐδὲν ἔχων παρ' αὐτὴν τὸ πλέον, ὅσον ἧκεν εἰπεῖν εἰς τὸ εἶναι πεπερασμένως; ἔχων δὲ οὕτω κατά γε τὴν ἀμαθῆ τῶν δι' ἐναντίας ὑπόνοιαν, τί μάτην ἡμᾶς προσεκτύπει λέγων "Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί·" καὶ πάλιν "Ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστὲ, ἐγὼ οὐκ εἰμὶ ἐκ "τοῦ κόσμου τούτου;" ἄνωθεν γὰρ ἑαυτὸν εἶναι λέγων, οὐχ ἁπλῶς ἐδήλου τὸ ἐξ οὐρανῶν· τί γὰρ ἂν ἔχοι τὸ πλεῖον παρὰ τοὺς ἁγίους ἀγγέλους, εἴπερ ἄνωθεν κἀκείνους ὄντας εὑρήσομεν, τοπικῶς ἐκληφθέντος τοῦ σημαινομένου; ση 2.436 μαίνει δὲ ὅτι τῆς ἄνωθεν οὔσης καὶ τῆς τοῖς ὅλοις ἐποχου μένης οὐσίας ἐξέφυ. πῶς οὖν ἀληθὴς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναφαίνεται λοιπὸν, εἰ κοινὰ πρὸς τὴν ἑτέραν ἔχει κτίσιν τὰ σωμάτων ἴδια, καὶ ὁμοῦ τοῖς ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενεχθεῖσι περιεχό μενός ἐστιν ὑπὸ τοῦ Πατρός; εἴπερ οὐδὲν ἔξω κεῖσθαι δώσομεν αὐτοῦ. καὶ ὁ μὲν θεσπέσιος μελῳδὸς, ἀληθῆ που πάντως καὶ κεκρυμμένα μυστήρια λαλῶν ἐν Πνεύματι, οὐδενὸς μὲν παντελῶς ἀπολιμπάνεσθαι τόπου φησὶ τὸν Υἱὸν, τὸ ἀσώματόν τε καὶ ἀπεριόριστον αὐτῷ διὰ τούτου προσμαρτυρῶν, καὶ ὅτι μὴ τόπῳ περιληπτὸς, ὡς Θεός· "Ποῦ γὰρ πορευθῶ, φησὶν, ἀπὸ τοῦ πνεύματός σου, καὶ "ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν "οὐρανὸν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν "ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον καὶ πορευθῶ εἰς "τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδη "γήσει με, καὶ καθέξει με ἡ δεξιά σου." ῥιψοκινδύνως δὲ οὗτοι, καὶ ταῖς τοῦ Πνεύματος φωναῖς τὴν ἑαυτῶν ἀντεξά γοντες γνώμην, ὁρισμῷ καὶ περιγραφαῖς ὑποβάλλουσι τὸν Μονογενῆ, καίτοι λογισμὸν ὀφείλοντες ἐπὶ τούτῳ λαβεῖν ἀναγκαῖόν τε καὶ χρήσιμον. εἰ γὰρ πεπλήρωκε μὲν οὐρανοὺς, καὶ τὰ ἔσχατα τῆς γῆς, τουτέστι, τὰ εἰς τὸν ᾅδην· πῶς οὐ σφόδρα παραλογώτατον τὸ περιοχῆς ὄνομα προσάπτειν αὐτῷ, μηδὲ ἐκεῖνο λογισαμένους, ὅτι εἰ τὸ πρόσωπον αὐτοῦ, τουτέστι, τὸ Πνεῦμα· πρόσωπον γὰρ τοῦ Υἱοῦ καλεῖ τὸ Πνεῦμα· τὰ πάντα πληροῖ, πῶς ἂν αὐτὸς εἴσω γένοιτο περιοχῆς, κἂν λέγῃ ὅτι περιοχῆς τοῦ Θεοῦ καὶ Πατρός; ἀλλ' οὐδὲν ἧττον ὑβριεῖ περιγράψας τὸ ἀσώματον, καὶ μέτρῳ περιτιθεὶς τὸ οὐκ ὂν πεπερασμένως. τὸ γὰρ οὐσιωδῶς αὐτὸν περιέχεσθαι λέγειν ὑπὸ τοῦ Θεοῦ καὶ Πατρὸς, τί ἕτερόν ἐστι δηλοῦν, ἢ ὅτι πεπερασμένην ἔχει τὴν οὐσίαν, ὥσπερ οὖν ἀμέλει καὶ ἓν ἕκαστον τῶν παρ' αὐτοῦ γεγονότων, 2.437 ἃ καὶ ἀκινδύνως τε καὶ ἀληθῶς περιέχεσθαι δώσομεν· σώματα γὰρ, εἰ καὶ μὴ τοιαῦτα τυχὸν ὁποῖα τὰ ἡμέτερα. Ἔπεισι δέ μοι κἀκεῖνο πρὸς τούτοις ἐννοεῖν. εἰ γὰρ ἀναγ καῖον εἶναί φαμεν τὸ ὑπό του περιειλημμένον εἴσω δὴ κεῖσθαι πάντως τοῦ περιέχειν αὐτὸ λεγομένου, πῶς οὐκ ἀναμ φιλόγως ἕψεται τὸ ἐν ἐλάττοσιν εἶναι νοεῖν τοῦ περιέχοντος τὸ περιεχόμενον, καὶ πεπερατῶσθαι λέγειν αὐτὸ, κατακλειό μενον ὥσπερ τῇ τοῦ μείζονος περιοχῇ; τί οὖν ὦ βέλτιστε πάλιν ἐρεῖς; ἰδοὺ γὰρ εἰκόνα τοῦ Θεοῦ καὶ Πατρὸς ἑαυτὸν παραθεὶς καὶ διαῤῥήδην εἰπών "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν "Πατέρα," καὶ πάλιν ἐπήνεγκεν εὐθύς "Ἐγὼ ἐν τῷ Πατρὶ "καὶ ὁ Πατὴρ δὲ ἐν ἐμοί ἐστιν·" εἰ γὰρ τοῦτό φησι καθ' ὑμᾶς, ὅτι καίτοι χαρακτὴρ καὶ εἰκὼν ὑπάρχων τοῦ γεγεννη κότος, οὐσιωδῶς ὑπ' αὐτοῦ περιέχομαι, πῶς οὐχ ἅπασιν ἀναμφίλογον, ὅτι τοιαύτας ἡμᾶς ἐννοίας ἔχειν περὶ τοῦ Πατρὸς βούλεται, ὁποίαν περ ἂν λάβοιμεν καὶ ἐπ' αὐτῷ; πεπερατῶσθαι τοιγαροῦν ἀνάγκη καὶ τὸν Πατέρα, ἔστι γὰρ ἐν Υἱῷ· καὶ ζητείτω λοιπὸν ὁ αἱρετικὸς, τίς ὁ μείζων αὐτοῦ· ἐμοὶ γὰρ οὐ θέμις εἰπεῖν ἢ νοεῖν. οὐ γὰρ ἀνὰ μέρος μὲν εἰκὼν ἔσται τοῦ Πατρὸς ὁ Υἱὸς, ἀνὰ μέρος δὲ οὐκέτι. εἰ γὰρ ὅλως ἔχει τι τὸ παραλλάττον καὶ μεσολαβοῦν τὴν εἰσάπαν ὁμοίωσιν, μέρος ἂν εἴη λοιπὸν, οὐχ ὁλόκληρος εἰκών. ἀλλὰ ποῦ τοῦτο δείξαις ἂν τὴν ἁγίαν λέγουσαν γραφήν; οὐ γὰρ δήπου τοῖς σοῖς ἀναπεπεισμένοι λόγοις, τὴν τῶν ἱερῶν δογμάτων ὀρθότητα παρωσόμεθα. θαυμάζω δὲ ὅπως οὐ κατέδεισαν ἐπὶ τούτοις εἰπεῖν Καθάπερ ὁ Παῦλος τὸν Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα καὶ ἐνεργοῦντα τὰς δυνάμεις, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Υἱὸς τὸν Πατέρα λαλοῦντα καὶ τὰ σημεῖα ποιοῦντα εἶχεν ἐν ἑαυτῷ· διό φησι Πιστεύετε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ δὲ ἐν ἐμοί· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε. εἶτα τίς ἔτι 2.438 Χριστιανὸν προσερεῖ τὸν οὕτω διεσκεμμένον καὶ πεφρονη κότα περὶ Χριστοῦ; ἰδοὺ γὰρ ἰδοὺ, καὶ μάλα σαφῶς, Θεὸν μὲν αὐτὸν οὐκέτι φησὶν ἀληθῶς· ῥιψοκινδύνως δὲ περιθεὶς τὸ πρέπον τοῖς κτίσμασι μέτρον αὐτῷ, θεοφόρον τινὰ καὶ Θεοῦ μέτοχον, ἤγουν ἐκ Θεοῦ γεννηθέντα Θεὸν κηρύττει. σκοπὸς γὰρ αὐτῷ διὰ παντὸς, ὡς ἔπος εἰπεῖν, τρόπου καὶ λόγου τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς παντελῶς ἀπείργειν αὐτὸν, καὶ εἰσάπαν ἀποτεμεῖν τῆς φυσικῆς καὶ οὐσιώδους οἰκειότητος, ἧς ἔχει πρὸς τὸν ἑαυτοῦ Πατέρα καὶ Θεόν. Εἶτα τί ἂν γένοιτο τῶν τοιούτων τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπερτεροῦν εἰς ἀπο πληξίαν; ἢ πῶς οὐκ ἄν τις, ὡσεὶ νεκροῖς ἤδη καὶ ἀπολω λόσι, τὸ ἐκ τῆς ἀγάπης ἐπιστάξαι δάκρυον ἀχαλίνως οὕτω τετραμμένοις εἰς ἀσέβειαν· ἐρεῖ δὲ καὶ λίαν εὐκαίρως "Τίς "δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν "δακρύων, καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας καὶ "νυκτός;" ἐπὶ γὰρ τοῖς τὰ τοιαῦτα φρονεῖν ἑλομένοις, ἀκρατὲς ἄν τις εἰκότως ἐπιστάξαι δάκρυον. ἐπειδὴ δὲ τοῖς ἐξ ἀληθείας δόγμασιν ἀποκρούεσθαι δεῖν τὰς παρ' ἐκείνων συκοφαντίας προσήκειν ὑπολαμβάνω, διὰ τὸ τοῖς ἁπλου στέροις λυσιτελὲς, φέρε πάλιν αὐτοῖς ἐκεῖνο λέγωμεν, ὅτι ζηλοῦντες ἐζηλώκαμεν τῷ Κυρίῳ. ὁ γάρ τοι θεσπέσιος Παῦλος, ὦ οὗτοι, ἢ καί τις ἕτερος τῶν ἁγίων, τὸν Χριστὸν ἔχοντες ταῖς ἑαυτῶν διανοίαις ἐνοικισθέντα διὰ τοῦ Πνεύ ματος, ἔδρων εὖ μάλα τὰ δοκοῦντα Θεῷ, καὶ δημιουργοὶ τῶν παραδόξων ἐφαίνοντο. οὐκοῦν ἄραρεν, ὅ τι δοίης δ' ἂν καὶ αὐτὸς ὑπάρχειν ἀληθὲς, ὡς ἄνθρωποί τε τὴν φύσιν ὑπάρ χοντες, καὶ ἕτερόν τι κατὰ τὴν οὐσίαν παρὰ τὸ ἐνοικοῦν αὐτοῖς Ἅγιον Πνεῦμα Χριστοῦ, θεόφοβοί τινες ἦσαν καὶ λαμπροὶ διὰ τῆς δοθείσης αὐτοῖς παρὰ Χριστοῦ χάριτος· συνερεῖς δὲ πάντως ἡμῖν, ὡς ἔρημοι μὲν τοῦ χαρίσματος ἦσάν ποτε, κέκληνται γεμὴν εἰς αὐτὸ, δόξαν οὕτω καλῶς 2.439 ἔχειν τῷ ποτε καλῶς διιθύνοντι Θεῷ· ἦν οὖν ἄρα τῶν ἐνδεχομένων, καὶ διά τινος τῶν ἀτόπων ἢ καὶ ὀρθῶς οὐκ εἰργασμένων, προσκεκρουκότα τῷ Θεῷ τὸν μακάριον Παῦλον, ἤγουν τινὰ τῶν κατ' ἐκεῖνον ἕτερον, ἔρημον μὲν τῆς δοθείσης αὐτῷ χάριτος ὀφθῆναι δύνασθαι, κατωθεῖσθαι δὲ αὖθις καὶ ὑπονοστεῖν εἰς τὴν ὅθεν ἀνέβη ταπείνωσιν. τὸ γὰρ ὅλως ἔξωθεν καὶ ἐπακτὸν ῥᾳδίως ἂν ἀποπτύοιτο καὶ ἀναφαίρετόν ἐστιν, ὡς δοτόν. ἆρ' οὖν ὦ βέλτιστε· τετράψεται γὰρ πρὸς σὲ ὁ λόγος πάλιν· εἰ κατὰ τὴν πρὸς σὲ ἀπαιδευσίαν καὶ ἀσεβεστάτην ὑπόληψιν, καθάπερ ἦν ἐν τῷ Παύλῳ Χριστὸς λαλῶν καὶ τερατουργῶν, οὕτως εἶναι δοίη τις ἂν ἐν τῷ Υἱῷ τὸν Πατέρα, πῶς οὐκ ἀμφίλογον ὡς Θεὸς μὲν ἔσται κατὰ φύσιν οὐδαμῶς, ἀλλ' ἕτερόν τι παρὰ τὸν ἐνοικοῦντα Πατέρα, Θεὸν ὄντα κατὰ ἀλήθειαν; οὕτω γὰρ ἦν ἐν τῷ Παύλῳ Χριστός. ὄργανον οὖν ἄρα καὶ ὥσπερ τι σκεῦός ἐστιν εἰς δόξαν κατηρτισμένον ὁ Μονογενὴς, καὶ διοίσει μὲν οὐδὲν αὐλοῦ καὶ λύρας, ἐκεῖνο φωνῶν, ὅπερ ἂν ἐμπνέηται τυχὸν, ἤγουν εὐρύθμως ἀναμελῳδεῖν τῷ πλήκτρῳ κελεύηται· ἔσται δὲ οὕτω παραδεκτὸς εἰς θαυματουργίαν τῷ Πατρὶ, ὡς ἂν νοοῖτο τυχὸν πρίων ἢ σκέπαρνον τοῖς εἰδόσι τὸ ξυλουργεῖν. εἶτα τί τούτου παραλογώτερον; οὕτω γὰρ ἔχων φύσεως, καθάπερ ἐκεῖνοί φασιν, ἀλλότριος ἔσται παντελῶς τοῦ Θεοῦ καὶ Πατρὸς, ὅσον εἰς τὸ εἶναι φύσει Θεὸς ἐν ἡμῖν, καὶ ἕτερος παρ' αὐτὸν οὐδείς. εἰ δὲ τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱὸς ἀποσχοινίζεται, κατά γε τὸ εἶναι φύσει Θεὸς, πῶς οὐκ ἀληθῶς ἤδη φαμὲν, ὅτι τῇ κτίσει συντέτακται, καὶ συνηρίθ μηται τοῖς ποιήμασι, καὶ ἐν ὀργάνου παρελήφθη χρείᾳ, καὶ ὑπουργὸς ἡμῖν ἀντὶ δεσπότου πέφηνεν ἤδη λοιπὸν ὁ τῷ Θεῷ καὶ Πατρὶ συνεδρεύων Υἱός· μᾶλλον δὲ οὐδὲ υἱός ἐστι κατὰ ἀλήθειαν; οὐ γὰρ τὸ ἐν ὀργάνου τάξει τεθὲν, εἰς υἱόν τις νοήσαι καὶ παραδέξαιτο. ἐργαλεῖον οὖν ἄρα τῆς ἐνούσης 2.440 αὐτῷ τέχνης, ἤτοι σοφίας, ἔτεκεν ὁ Πατὴρ, καὶ ἕτερόν τι παρ' ὅπερ ἐστὶν αὐτὸς ἀποκυήσας ὁρᾶται. καὶ πῶς ἂν ἐνδέχοιτο; πῶς δὲ οὐκ εὔηθες παντελῶς τὸ νοεῖν τι τοι οῦτον; οὐκ ἀπαλλάξας τοίνυν ὀργανικῆς τε καὶ οἰκετικῆς ὑπολήψεως τὸν Υἱὸν, γέννημα δὲ κατὰ ἀλήθειαν ὁμολογῶν αὐτὸν οὐδαμῶς, ἀρνούμενος δὲ τὴν ἄῤῥητον γέννησιν, τὴν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός φημι, αὐτὴν ἀδικήσεις τοῦ τεκόντος τὴν δόξαν· οὐκ ἔτι γὰρ ἔσται πατὴρ κατ' ἀλήθειαν ὁ Πατήρ· ὁ γὰρ μὴ γεννήσας ὅλως ἐξ ἑαυτοῦ, τίνος ἂν εἴη κατὰ φύσιν πατήρ; ψευδώνυμος οὖν ἄρα παντελῶς ἡ ἁγία Τριὰς, μήτε τοῦ Πατρὸς ὄντος κατὰ ἀλήθειαν πατρὸς, μήτε μὴν υἱοῦ κατὰ φύσιν τοῦ Υἱοῦ. ἀκολουθήσει δὲ ἀναλόγως τῷ θεωρήματι καὶ ἡ κατὰ τοῦ Πνεύματος δυσφημία. Οὐκοῦν ἠπατήμεθα, καὶ διέψευσται μὲν ἡ πίστις· ψευδο μυθεῖ δὲ ἡ ἁγία γραφὴ, πατέρα καλοῦσα τὸν Θεόν· καὶ εἰ μή ἐστι κατὰ φύσιν Θεὸς ὁ Υἱὸς, ὡς ἐκ Θεοῦ καὶ Πατρὸς γεννηθεὶς, πεπλανήμεθα μὲν ἡμεῖς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμπεπλάνηται δὲ τοῖς ἐπὶ τῆς γῆς καὶ ἡ ἄνω πόλις καὶ ἡ τῶν ἁγίων ἀγγέλων καθαρωτάτη πληθὺς, τῷ κατὰ φύσιν Θεῷ συνδοξάζουσά τε καὶ συμπροσκυνοῦσα, καὶ οὐκ οἶδ' ὅπως δοξολογεῖν ἀναπε πεισμένη θεοφόρον τι σκεῦος καὶ τῶν ποιημάτων ἓν, κατά γε τὴν ἐκείνων ἀβελτηρίαν φημί. εἰ δὲ βούλοιτό ποτε τῆς εἰς τὸν Υἱὸν σχέσεως καὶ τῆς ἐνοικήσεως ἀναχωρεῖν ὁ Πατὴρ, οὐδὲν διοίσει τάχα τῶν διωλισθηκότων τῆς ἰδίας ἀρχῆς, ἴδιον μὲν ἔχων οὐδὲν, οὔτε μὴν ἐν ἰδίᾳ φύσει τὸν γεννήσαντα φέρων, πάντα δὲ μᾶλλον ὑπάρχων τὰ καθ' ἡμᾶς, καὶ μόνῃ τῇ θείᾳ νευρούμενος χάριτι, ἀλλὰ καὶ τῷ τῆς υἱότητος ὀνόματι μεθ' ἡμῶν τετιμημένος. τί οὖν, εἰπέ μοι, μὴ καὶ αὐτὸς σὺν ἡμῖν τὴν οἰκείαν ὁμολογεῖ φύσιν; διατί δὲ "Ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα, καὶ αὐτὸς καθή "μενος τὸν αἰῶνα;" τοῦ δὲ δὴ χάριν ἡμεῖς μὲν οἰκέται, 2.441 Κύριος δὲ αὐτός; εἰ γὰρ καὶ υἱοὶ κεκλήμεθα Θεοῦ, τὴν ἰδίαν φύσιν οὐδὲν ἧττον ἐπιγινώσκοντες, οὐκ αἰσχυνόμεθα τὴν δόξαν· αὐτὸς δὲ εἰπέ μοι, διὰ ποίαν αἰτίαν, εἴπερ ἐστὶ καθ' ἡμᾶς, καὶ κατ' οὐδὲν τῶν κτισμάτων ἐν ἀμείνοσι, κατά γε τὸ μὴ εἶναι κατὰ φύσιν Θεός· τοῦτο γὰρ τοῖς ἀπαιδεύτοις δοκεῖ· τί μὴ μεθ' ἡμῶν ὁμολογεῖ τὴν δουλείαν; τὴν δὲ πρέπουσαν καὶ ἀνακειμένην ἰδικῶς τῇ θείᾳ φύσει τιμήν τε καὶ δόξαν ἑαυτῷ περιθεὶς, τοῖς ἁγίοις μαθηταῖς εὑρίσκεται λέγων "Ὑμεῖς καλεῖτέ με Ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ "καλῶς λέγετε· εἰμὶ γάρ." καὶ ταῦτα μὲν ὁ Σωτήρ· οἱ δὲ καλοί τε καὶ ἀγαθοὶ τῶν κατ' αὐτοῦ δογμάτων εἰσηγηταὶ, ἐπαινοῦσι μὲν λέγοντα καὶ διατεινόμενον, ὡς εἴη παναληθῶς καλούμενος Κύριος, τῆς δὲ κατὰ φύσιν κυριότητος ἔξω θοῦντες αὐτὸν διὰ τοῦ μὴ βούλεσθαι Θεὸν ἐκ Θεοῦ κατὰ φύσιν ὁμολογεῖν, καὶ τῆς ἑαυτῶν βδελυρίας τὰ πάντων αἴσχιστα κατηγορεῖν οὐ πιστεύουσιν. Ὅτι γὰρ οὐκ ἐν τοῖς τὴν δουλικὴν ἔχουσι τάξιν, οὐδὲ τοῖς τῶν γεγονότων καταλόγοις ἐναρίθμιος εἶναι βούλεται, βλέπει δὲ μᾶλλον εἰς τὴν ἐνοῦσαν αὐτῷ κατὰ φύσιν ἐλευθερίαν, καὶ ὅτε γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ, καὶ διὰ τούτου συνή σεις. ἀφίκετο μὲν γὰρ ἐν Καφαρναοὺμ, καθάπερ ἐν τοῖς εὐαγγελίοις ἀνέγνωμεν· οἱ δὲ τοῦ κατὰ νόμον διδράχμου πράκτορες, Πέτρῳ προσιόντες ἔφασκον "Ὁ διδάσκαλος "ὑμῶν οὐ τελεῖ τὸ δίδραχμον;" καὶ ἐπειδὴ τοῦτο Χριστὸς διεπύθετο, τί πρὸς τὸν Πέτρον ἀπεκρίνατο, δίκαιον οὖν ἰδεῖν "Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι κῆν "σον ἢ τέλη; ἀπὸ τῶν υἱῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;" τοῦ δὲ Πέτρου σοφῶς τε καὶ νουνεχῶς τὸν τῆς βασιλείας ἀλλό τριον, ὅσον εἰς γένος καὶ τὴν καθ' ἡμᾶς νοουμένην ἀγχι στείαν, ὑποκεῖσθαι δεῖν τοῖς θεσμοῖς ἢ τοῖς τέλεσιν ὁμολογή σαντος, εὐθὺς ἐπήγαγεν ὁ Χριστὸς ἑαυτῷ τὴν θεοπρεπῆ μαρτυρίαν ὡς ἀληθῶς ἐνοῦσαν προσνέμων "Ἄρα γε ἐλεύ 2.442 "θεροί εἰσιν οἱ υἱοί." εἰ δὲ ἦν ὁμόδουλος, καὶ οὐχ Υἱὸς ἀληθῶς ἐκ τῆς τοῦ Πατρὸς οὐσίας γεγεννημένος, οὐδὲ φυσικὴν ἔχων πρὸς τὸν τεκόντα τὴν οἰκειότητα, τί τοὺς ἄλλους ἅπαντας τοῖς τέλεσιν ὑποθεὶς, ὡς ἀλλοτρίους ὄντας κατὰ τὴν φύσιν τοῦ δασμολογεῖν ὀφείλοντος, καὶ ἐν οἰκετῶν τάξει κειμένους, μόνῳ τὴν ἐλευθερίαν μεμαρτύρηκεν ἑαυτῷ; καταχρηστικῶς μὲν γὰρ ἐφ' ἡμῖν τὰ κυρίως τε καὶ ἀληθῶς μόνῃ πρέποντα τῇ θεότητι φέρεται, ἐνυπάρχει δὲ αὐτῷ κατὰ ἀλήθειαν, ὥστε τὴν τῶν γενητῶν εἴ τις ἀκριβῶς διασκέ πτοιτο φύσιν, θεωρῆσαι πάντως αὐτῇ τὸ τῆς δουλείας ὄνομά τε καὶ πρᾶγμα πρεπωδέστατον. εἰ δέ τινες τῶν ἐν ἡμῖν τῇ τῆς ἐλευθερίας τετίμηνται δόξῃ, καταχρηστικῶς ἔχουσι τὸ μόνῳ Θεῷ χρεωστούμενον.

Ἡδέως δ' ἂν σφόδρα κἀκεῖνο πρὸς τούτοις ἐροίμην αὐτούς Ἆρα θεοφόρον ἐροῦσι τὸν Παῦλον, Χριστοῦ κατοι κοῦντος διὰ τοῦ ἰδίου Πνεύματος· ἢ καὶ τοῦτο ληροῦντες ἀρνήσονται. εἰ μὲν γὰρ ἐροῦσι θεοφόρον οὐκ εἶναι κατ' ἀλήθειαν, ἀρκέσει δὴ τοῦτο πρὸς τὸ πάντας ἀναπεῖσαι λοιπὸν τὰς παρ' αὐτῶν ἀποσείεσθαι φλυαρίας καὶ μισεῖν εἰς ἄκρον, ὡς οὐδὲν εἰπεῖν τῶν ἀτόπων παραιτουμένους. εἰ δέ γε τοῦτο φεύγοντες πρός γε τὸ χρῆναι λέγειν τραπή σονται τἀληθὲς, καὶ θεοφόρον ἀληθῶς ὁμολογήσουσιν αὐτὸν, διὰ τὸ τὸν Χριστὸν ἐν αὐτῷ κατοικεῖν, πῶς οὐ σφόδρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυσσεβῶς ἁλώσονται τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἀλλότριον εἶναι λέγοντες τὸν Υἱόν; οὐκέτι γὰρ θεοφόρος ὁ Παῦλος, εἰ μὴ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱός. ἀλλ' ἐρυ θριῶντες ἔσθ' ὅτε· πρόσεστι γὰρ καὶ τὸ πανοῦργον αὐτοῖς καὶ κακόηθες εἰς λόγους· Θεὸν μὲν ἐροῦσιν ἀληθῶς τὸν Υἱὸν, μὴ μὴν ἐκ Θεοῦ γεγεννῆσθαι κατὰ φύσιν. καὶ ὅτι μὲν ἀπαστισοῦν αὐτῶν κἀν τούτῳ καταβοήσειεν, οὐκ ἀμφίλογον· 2.443 πῶς γὰρ ἂν εἴη Θεὸς, ὁ μὴ ἐκ Θεοῦ κατὰ φύσιν γεγεννη μένος; πλὴν ἐκεῖνο λέγομεν Θεὸν εἶναι φῄς κατὰ φύσιν τὸν Υἱόν· πῶς οὖν ἂν εἴη θεοφόρος ἤγουν Θεοῦ μέτοχος ὁ κατὰ φύσιν Θεός; οὐδὲ γὰρ ἂν ἑαυτοῦ μετάσχοι ποτέ· εἰς τί γὰρ οἰκήσει Θεὸς ἐν Θεῷ, ὡς ἕτερος ἐν ἑτέρῳ; εἰ γὰρ τουτέστι κατὰ φύσιν τὸ δεχόμενον, ὅπερ ἂν νοοῖτο καὶ τὸ ἐνοικοῦν, ποία οὖν λοιπὸν ἡ τῆς μετοχῆς γένοιτο χρεία; εἰ δὲ ὥσπερ αὐτὸς ἐνῴκησε τῷ Παύλῳ, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Πατὴρ ἐν αὐτῷ, πῶς οὐ θεοφόρος ἔσται κατὰ τὸν Παῦλον, τὸ εἶναι Θεὸς κατὰ φύσιν οὐδαμόθεν ἔχων ἔτι, διὰ τὸ κρείττονος δεηθῆναι τοῦ ἐνοικοῦντος Θεοῦ; εἶτα πάλιν ἐπὶ τούτοις ὁ γεννάδας ἡμῖν οὑτοσὶ προσεπινοεῖ, καὶ διὰ πολλῶν ἀποδείξεων, ὡς ὑπείληφεν αὐτὸς, τὸν οἰκεῖον θρυ λοῦν πειρᾶται λόγον. ἄξιον γὰρ οἶμαι διὰ πάντων αὐτοῦ τῶν ῥημάτων ἐλθεῖν, καὶ τῆς ἐνούσης αὐτῷ θεομάχου βουλῆς ἁπλῶσαι τὴν πεῦσιν, ἵνα διελέγχηται σαφῶς, ὅτι τοῖς ποιή μασιν ἐναρίθμιον τίθεται τὸν Μονογενῆ, καὶ κεκομψευμέναις ἀπάταις τὴν εἰς αὐτὸν ἀσέβειαν καταχώσας ὁ δείλαιος, Θεὸν μὲν εἶναι συνομολογεῖ, τῆς γεμὴν ἀληθῶς καὶ κατὰ φύσιν θεότητος ἐκπέμπων αὐτὸν οἴεταί πως δύνασθαι λαθεῖν τοὺς εἰς αὐτὴν βλέποντας τὴν ἀλήθειαν. Γράφει τοίνυν ὡδί Ἀλλ' ὥσπερ ἡμεῖς ἐν αὐτῷ εἶναι λεγόμενοι, φησὶν, ἀμιγῆ πρὸς αὐτὸν ἔχομεν τὴν ὑπό στασιν· τὸν αὐτὸν τρόπον καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ τυγχάνων διακεκριμένην τοῦ ἀγενήτου ἔχει τὴν οὐσίαν. Φεῦ γε τοῦ τολμήματος· ὡς δεινὸς ὁ λόγος, καὶ μεστὸς ἀπονοίας, μᾶλλον δὲ δυσβουλίας ἁπάσης καὶ ἀποπληξίας. ἐμωράνθησαν ὄντως φάσκοντες εἶναι σοφοὶ, καὶ φρονοῦντες οὕτω περὶ τοῦ Μονογενοῦς τὸν ἀγοράσαντα αὐτοὺς Δεσπό την ἠρνήσαντο, κατὰ τὸ γεγραμμένον. εἰ μὲν γὰρ ἄνθρωπον εἶναί φασι καὶ ἕνα τῶν καθ' ἡμᾶς τὸν τοῦ Θεοῦ Λόγον, οὐδὲν ἔτι τὸ κωλύον εἰπεῖν οὕτως ὑπάρχειν αὐτὸν ἐν Θεῷ, 2.444 καθάπερ ἡμεῖς· εἰ δὲ Θεὸν εἶναι πιστεύουσι, καὶ ὡς τοῦτο κατὰ φύσιν ὑπάρχοντι προσκυνεῖν ἐγνώκασι, τί μὴ μᾶλλον ἀπονέμουσιν αὐτῷ τὸ θεοπρεπῶς ἐνυπάρχειν τῷ ἰδίῳ γεννή τορι, ἔχειν τε αὐτὸν ἐν ἑαυτῷ; τοῦτο γὰρ οἶμαι φρονεῖν τε καὶ λέγειν τοῖς ὄντως θεοφιλέσι πρεπωδέστερον. εἰ δὲ ἄθραυστον ἡμῖν ἐπιτηδεύοντες τὴν ἀναισχυντίαν ἐμμένουσιν οἷς εἰρήκασιν, οὕτω τέ φασιν ἐν Πατρὶ τὸν Υἱὸν, ὥσπερ ἂν εἴη τυχὸν καὶ ἡμῶν ἕκαστος, τῶν ἐξ οὐκ ὄντων καὶ ἀπὸ γῆς δι' αὐτοῦ γεγονότων, τί μὴ τοῖς ἐθέλουσιν ἐφεῖται λοιπὸν ἀκινδύνως εἰπεῖν "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα, "κἀγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν;" ἀλλ' οἶμαι μωρίας τῆς ἁπασῶν ἐσχάτης ἁλοίη τις ἂν ἐπὶ τούτῳ γραφῇ, καὶ μάλα εἰκότως. ἀπηχές τε γὰρ καὶ οὐδενὸς τῶν ἁγίων ἠνέχθη ποτὲ τοιαύτη φωνὴ παρὰ τῇ θεοπνεύστῳ γραφῇ· παραχωροῦσι δὲ πάντες τῷ κατὰ φύσιν Κυρίῳ καὶ Θεῷ τῷ Μονογενεῖ τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἀσυγκρίτως ὑπερ οχὴν, καὶ δὴ καὶ κεκράγασι λέγοντες "Τίς ὁμοιωθήσεται τῷ "Κυρίῳ ἐν υἱοῖς Θεοῦ;" πῶς οὖν ἔτι καθ' ἡμᾶς ὁ Μονο γενὴς, εἴπερ οὐδεὶς ἴσος τε καὶ ὅμοιος αὐτῷ κατὰ τὴν τῶν ἁγίων φωνήν; εἰ δὲ οὕτως ἐστὶν ἐν Θεῷ, καθάπερ ἡμεῖς, πῶς ἂν οὐκ ἀνάγκη λοιπὸν ψευδομυθῆσαι μὲν λέγειν τὸν τῶν ἁγίων χορὸν, οὐδὲν δὲ τὸ πλεῖον ἀπονεῖμαι τῷ κατὰ φύσιν Υἱῷ, δι' οὗπερ ἂν φαίνοιτο τοῖς κατὰ θέσιν οὐκ ἰσοστατῶν; ἄπαγε τῆς βδελυρίας, ἄνθρωπε· φρονήσομεν γὰρ οὐχ οὕτως ἡμεῖς, μὴ γένοιτο, ταῖς δὲ τῶν ἁγίων πατέρων ἑπόμενοι δόξαις, εὐδοκιμήσειν παρὰ Θεῷ πιστεύομεν. Ἐπειδὴ δὲ εἰς ἀπόδειξιν ὧν φρονοῦσι καὶ λέγουσιν ἐκεῖνο παρήγαγον τὸ εἰρημένον διὰ τοῦ Παύλου, ὅτι ἐν Θεῷ "ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν," τὸ ἐν Πατρὶ λέγεσθαι τὸν Υἱὸν δεικνύντες εἰκαῖον ἐκ τῶν καθ' ἡμᾶς, φέρε ταῖς καθηκούσαις ἐρεύναις τὸ ῥηθὲν ὑποβάλλοντες διελέγχωμεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

2.445 αὐτοὺς καὶ τὸν τῶν ἁγίων ἀποστόλων συκοφαντεῖν ἐθέ λοντας νοῦν, καὶ εἰς τὸ δοκοῦν αὐτοῖς ἀβουλότατα παρα τρέποντας τὰ λίαν ὀρθῶς εἰρημένα· Ἀθήνῃσι μὲν γὰρ γεγονὼς ὁ μακάριος Παῦλος, εἶτα πολὺ λίαν εἰς πολύθεον πλάνην ἀνεπτοημένους ὁρῶν, καίτοι σοφοὺς εἶναι πεπιστευ μένους τοὺς ἐκεῖσε λαοὺς, παρακομίζειν αὐτοὺς ἐπειρᾶτο τῆς ἀρχαίας ἀπάτης τοῖς εἰς εὐσέβειαν λογισμοῖς μεταθεὶς εὐ φυῶς εἰς τὸ χρῆναι λοιπὸν ἕνα τε καὶ μόνον εἰδέναι Θεὸν, τοῖς παρ' αὐτοῦ γεγονόσι καὶ τὸ κινεῖσθαι καὶ ζῆν καὶ εἶναι δωρούμενον. ζωογονεῖ γὰρ τὰ πάντα, ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ πάντων Δημιουργὸς, τῆς ἰδίας ἰδιότητος ἐντιθεὶς ἀῤῥήτως αὐτοῖς τὴν δύναμιν. οὐ γὰρ ἦν ἑτέρως διασώζεσθαι πρὸς τὸ εἶναι διακρατούμενα τὰ ἐκ τοῦ μὴ ὄντος λαχόντα τὴν γένεσιν· ἢ γὰρ ἂν εὐθὺς εἰς τὴν οἰκείαν ὑπενόστησε φύσιν· φημὶ δὲ πρὸς τὸ μὴ εἶναι πάλιν· εἰ μὴ τῇ πρὸς τὸν ὄντα σχέσει τῆς οἰκείας γενέσεως ἐνίκησε τὴν ἀσθένειαν. ἔφη τοιγαροῦν ὁ θεσπέσιος Παῦλος ὀρθῶς τε καὶ μάλα καλῶς, ζωὴν τῶν ὅλων ἐπιδεικνὺς τὸν Θεὸν, ὡς ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· οὐκ ἐκεῖνο πάντως δηλῶν ὅπερ αὐτοὶ, τὴν τῶν ἱερῶν γραμμάτων ὀρθότητα παραφθεί ροντες, διεπλάσαντο κατ' οἰκεῖον σκοπὸν, ἀλλ' ὅπερ ἦν ἀληθὲς, καὶ τοῖς ἄρτι παιδαγωγουμένοις εἰς θεογνωσίαν ὠφελιμώτατον· καὶ εἰ δεῖ σαφέστερον εἰπεῖν, οὐκέτι σημῆναι βεβούληται, ὅτι ἄνθρωποι τὴν φύσιν τυγχάνοντες, ἐν τῇ οὐσίᾳ τοῦ Πατρὸς κείμεθά τε καὶ ὡς ὄντες ἐν αὐτῷ φαινό μεθα, ἀλλ' ὅτι καὶ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν ἐν Θεῷ, ἤτοι συνεστήκαμεν.

Σύνες γὰρ ὡς οὐχ ἁπλῶς τε καὶ ἀνειμένως ἔφη τὸ, ὅτι μόνον ἐσμὲν ἐν Θεῷ, διὰ τὴν σὴν ὡς εἰκὸς ἀμαθίαν, ὦ τᾶν, ἀλλὰ διαφόρως, ὅπερ ἠθέλησεν εἰπεῖν ἑρμηνεύων, καὶ τό Ζῶμεν προτάξας, ἐπαγαγὼν δὲ τούτῳ καὶ τὸ Κινούμεθα, 2.446 τρίτον ἐπήγαγε τό Ἐσμὲν, τῇ τῶν προλαβόντων διανοίᾳ καὶ αὐτὸ χαριζόμενος. καὶ οἶμαι μὲν ὅτι δυσωπήσει τάχα που τὸν θεομάχον ὀρθῶς ἔχων ἡμῖν ὁ περὶ τούτου λόγος· ἐνιστα μένῳ δὲ πάλιν, καὶ τό Ἐν τῷ Θεῷ περιέλκοντι πρὸς τὸ αὐτῷ καὶ μόνῳ δοκοῦν, τῆς θεοπνεύστου γραφῆς τὴν συνή θειαν ἐπιδείξομεν. ἔθος γὰρ αὐτῇ λέγειν ἔσθ' ὅτε ἀντὶ τοῦ διὰ Θεοῦ, τό Ἐν Θεῷ. ἐπεὶ λεγέτω γὰρ ἐκεῖνος ἡμῖν, πῶς ἐν ψαλμοῖς ἀνακέκραγε λέγων τις "Ἐν τῷ Θεῷ ποιήσωμεν "δύναμιν·" καὶ πάλιν ὡς πρὸς αὐτόν "Ἐν σοὶ τοὺς ἐχθροὺς "ἡμῶν κερατιοῦμεν." οὐ γὰρ δή τις οἰήσεται τοῦτο λέγειν αὐτὸν, ὡς ἐν τῇ οὐσίᾳ τοῦ Θεοῦ δύναμίν τινα δημιουργήσειν ἐπαγγέλλεται, ἀλλ' οὐδὲ ἐν αὐτῇ τοὺς ἰδίους ἐχθροὺς εὑρί σκοντας κερατιεῖν αὐτοὺς ὁ ψάλλων φησίν· ἀλλ' ἐν Θεῷ, φησὶν, ἀντὶ τοῦ Διὰ Θεοῦ, καὶ τό Ἐν σοὶ πάλιν, ἀντὶ τοῦ Διὰ σοῦ. τί δὲ καὶ ὁ μακάριος Παῦλος Κορινθίοις ἐπι στέλλων ἔλεγεν; "Εὐχαριστῶ τῷ Θεῷ μου περὶ πάντων "ὑμῶν ἐπὶ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ χάριτι," καὶ πάλιν "Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς "ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς "καὶ ἀπολύτρωσις." ἆρα γὰρ ἐρεῖ τις νουνεχῶς, ὅτι τὴν ἀπονεμηθεῖσαν ἄνωθεν τοῖς Κορινθίοις χάριν ἐν αὐτῇ τῇ οὐσίᾳ τοῦ Χριστοῦ δεδόσθαι φησὶν ὁ πνευματοφόρος, ἤγουν ἀκολούθως τούτῳ τὸ ἕτερον ἐκλήψεται; καὶ πῶς οὐκ ἂν ὁρῷτο ληρῶν; τί τοίνυν καὶ αὐτὸ τὸ τῶν ἱερῶν γραμμάτων παραλύων ἔθος, καὶ τὴν τοῦ μακαρίου Παύλου βουλὴν συκοφαντήσας, ὑπάρχειν ἡμᾶς ἐν Θεῷ, τουτέστιν, ἐν τῇ οὐσίᾳ τοῦ Πατρὸς λέγεις, ὅταν ἀκούσῃς τοῖς ἐν Ἀθήνῃσι διειπόντος, ὅτι ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν; Ἀλλὰ ναὶ, φησὶν ὁ τῶν ὀλεθρίων δογμάτων προε 2.447 στηκώς· ἐπεί σοι δοκεῖ καὶ ὀρθῶς ἔχειν φαίνεται τό Ἐν Θεῷ εἶναι καὶ νοεῖσθαι Διὰ Θεοῦ, τί μάτην καταφλυαρεῖς; τί δὲ τοῖς δυσφημίας ἐγκλήμασιν ὑποτίθῃς, ὅταν πεποιῇ σθαι διὰ τοῦ Πατρὸς διατεινώμεθα τὸν Υἱόν; ἰδοὺ γὰρ αὐτός φησιν, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, ἀντὶ τοῦ Διὰ τοῦ Πατρὸς, κατά γε τὸν σὸν ὦ οὗτος λόγον, καὶ τὴν ἀρτίως ἡμῖν ἐκ τῶν ἱερῶν γραμμάτων παρενεχθεῖσαν συνήθειαν. Ἐγὼ δὲ πρὸς τοῦτό φημι δεῖν ἀπολογήσασθαι πάλιν, καὶ τὰς ἐκείνων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακουργίας ἀπογυμνῶσαι καὶ βλάβη. θαυμάζω γὰρ ὅπως ἀσμένως ἀκούσαντες ὅτι ἐν Θεῷ, διὰ Θεοῦ λέγειν ἔθος τῇ θείᾳ γραφῇ, καὶ διὰ μόνον τὸ δύνασθαι κατειπεῖν τι τῆς δόξης τοῦ Μονογενοῦς, συναινέσαντές τε καὶ τὴν λέξιν παραδεξάμενοι, ληροῦντες ὅτι πάλιν οὐδὲν ἧττον ἁλώσονται διεγνώκασιν οὐδαμῶς, καίτοι φάσκοντες εἶναι σοφοί τε καὶ δριμεῖς. εἰ μὲν γὰρ μόνοις ἐφεῖται τοῖς δι' ἐναντίας τὸ τῆς θεοπνεύστου γραφῆς ἀεὶ τειχίζειν ἔθος τῇ οὐσίᾳ τοῦ Μονο γενοῦς, καὶ διὰ τοῦτο πεποιῆσθαι λέγειν αὐτὸν παρὰ τοῦ Πατρὸς, ἐπείπερ εἶναι μὲν ἐν Θεῷ φησιν· τὸ δέ Ἐν Θεῷ, διὰ Θεοῦ νοεῖσθαι δεδώκαμεν, ἔδοξεν ἂν κατά γε τὸ εἰκὸς λόγον ἔχειν αὐτοῖς οὐχὶ λίαν ἀμαθῆ τὸ κακούργημα. εἰ δὲ δὴ τὸ κωλύον οὐδὲν καὶ ἡμᾶς αὐτοὺς, διὰ τῆς μείζονος ἀτοπίας ἀνατρέπειν ἐθέλοντας τὴν τῶν παρ' αὐτοῖς δογ μάτων σαθρότητα, καὶ ἐπ' αὐτὸν ἀναφέρειν τὸν Πατέρα τοῦ σημαινομένου τὴν δύναμιν, εἰπεῖν τε σαφῶς, ὡς ἐπείπερ καὶ τοῦτό φησιν, ὅτι ὁ Πατὴρ ἐν ἐμοί ἐστι, προσήκει νοεῖν, ἀντὶ τοῦ δι' ἐμοῦ, ἵνα λοιπὸν γενητὸς γένηται καὶ αὐτὸς ὁ Πατὴρ, πῶς οὐ λίαν ἀσυνέτοις ἐπιθαρσήσαντες λογισμοῖς, τὴν ἐπ' ἀκράτῳ μωρίᾳ ψῆφον ἀποίσονται; ὥσπερ γὰρ ὁ Υἱὸς ἑαυτὸν εἶναί φησιν ἐν τῷ Πατρὶ, οὕτως ἔφη καὶ τὸν Πατέρα εἶναι ἐν ἑαυτῷ· εἰ δὲ τὸ ἐν Πατρὶ, διὰ τοῦ Πατρὸς νοεῖσθαι βούλονται, τί τὸ ἀπεῖργον εἰπεῖν ὅτι καὶ τό Ἐν Υἱῷ, δι' Υἱοῦ 2.448 νοηθήσεται; ἀλλ' οὐκ εἰς τοῦτο μωρίας σὺν ἐκείνοις κατο λισθεῖν ἀνεξόμεθα πάλιν· οὔτε γὰρ διὰ τοῦ Πατρὸς ἐροῦμεν πεποιῆσθαι τὸν Υἱὸν, οὔτε μὴν δι' Υἱοῦ γενέσθαι τὸν ἐξ οὗ τὰ πάντα, Πατέρα καὶ Θεόν· ἔθος δὲ μᾶλλον τὸ τῆς θεο πνεύστου γραφῆς ἑκάστῳ πρεπόντως ἐπιῤῥιπτοῦντες καιρῷ καὶ προσώπῳ καὶ πράγματι, καθαρόν τε καὶ ἀνυπαίτιον τὸν ἐφ' ἅπασι τοῖς ἀναγκαίοις ἐξυφανοῦμεν λόγον. τοῖς μὲν γὰρ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενεχθεῖσι καὶ γεγονόσι διὰ Θεοῦ, πῶς οὐκ ἂν μάλιστα πρέποι τὸ νοεῖσθαί τε καὶ λέγεσθαι παρ' ἡμῶν, ὡς εἰσὶν ἐν Θεῷ, τουτέστι διὰ Θεοῦ; τῷ γεμὴν κατὰ φύσιν Υἱῷ καὶ Κυρίῳ καὶ Θεῷ καὶ δημι ουργῷ τῶν ὅλων, οὐκ ἂν οἶμαι τοῦτο κυρίως τε καὶ ἀληθῶς ἁρμόσειεν, εἶναι δὲ φυσικῶς ἐν Πατρὶ καὶ ἐνυπάρχειν αὐτῷ ἔχειν τε αὐτὸν ἐν ἑαυτῷ, διὰ τὸ ἐν οὐσίας ταυτότητι φαί νεσθαι, καὶ μηδὲν ἔχειν παντελῶς τὸ μεσολαβοῦν καὶ δια τέμνον εἰς ἑτερότητα φυσικήν. Καὶ ὅτι μὲν ἴσως τοῖς εὐμαθεστέροις, ὥς γε μοι φαίνεται, καλῶς διείρηται δόξειεν ἂν, συναινέσει γεμὴν ὁ δι' ἐναντίας οὐδαμῶς· ἐρεῖ δὲ δὴ πάλιν, τὸν ἐν ἀρχαῖς εἰσκεκομισμένον ἀναμασώμενος λόγον, ὅτι οὕτως ἐστὶν ὁ Πατὴρ ἐν τῷ Υἱῷ, ὥσπερ ἡμεῖς ἐν αὐτῷ. Τί οὖν ἄρα· φήσαιμεν ἂν οὐκ ἀσυνέτως ἐλέγχοντες σαθρά τε καὶ μειρακιώδη φρονοῦντά τε καὶ λέγοντα· οὕτως εἶναι φῂς τὸν Υἱὸν ἐν Πατρὶ, καθάπερ ἡμᾶς ἐν αὐτῷ; καλῶς. εἶτα τί δὴ, πρὸς τοῦτο ἐροῦμεν, μὴ τοῖς ἴσοις ἡμᾶς ἐπισεμνύνεσθαι λόγοις τὸ τῆς ἡμετέρας φύσεως ἐφίησι μέτρον, οἷσπερ ἂν ὁρῷτο καὶ αὐτὸς ὁ Χριστός; αὐτὸς μὲν γὰρ ἐπείπερ ἐστὶν ἐν Πατρὶ, ἔχει δὲ ἐν ἑαυτῷ τὸν Πατέρα, ἅτε δὴ καὶ εἰκὼν αὐτοῦ καὶ χαρακτὴρ ἀπαράλλακτος διὰ τοῦτο ὑπάρχων "Ὁ ἑωρακὼς ἐμὲ, φησὶν, ἑώρακε τὸν Πατέρα, "ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν," ἡμεῖς δὲ εἰπέ μοι, εἰ οὕτως ἐσμὲν ἐν αὐτῷ, ἔχομέν τε αὐτὸν ἐν ἑαυτοῖς, ὥσπερ οὖν 2.449 ἀμέλει καὶ αὐτὸς ἐν Πατρὶ καὶ ὁ Πατὴρ ἐν αὐτῷ· διὰ τί μὴ μακρὸν ἀνατείνοντες τὸν αὐχένα, καὶ ὑψηλὸν τοῖς ὑπαντῶσι δεικνύντες τὸ πρόσωπον, μετὰ παῤῥησίας φαμέν Ἐγὼ ἐν τῷ Χριστῷ καὶ ὁ Χριστὸς ἐν ἐμοί· ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Χριστόν· ἐγὼ καὶ ὁ Χριστὸς ἕν ἐσμεν; εἶτα τί τὸ ἐντεῦθεν; οὐκ ἂν οἶμαί τις καταδείσειεν ὀρθῶς, οὐδ' ἂν κατοκνήσαι πρεπόντως ἔτι τοῦτο αὐτὸ φάναι τολμήσας καὶ περὶ αὐτοῦ λοιπὸν εἰπεῖν τοῦ Πατρός Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. εἰ γὰρ ἕν ἐστιν ὁ Πατὴρ πρὸς τὸν Υἱὸν, πῶς οὐκ αὐτῷ λοιπὸν ἰσομοιρήσει τῷ Πατρὶ, εἰκὼν ἀπαράλλακτος ἀπαραλλάκτου γεγονὼς εἰκόνος, τουτέστι τοῦ Υἱοῦ; τίς οὖν ἄρα πρὸς τοῦτο μανίας κατοιχήσεταί ποτε, ὡς τολμῆσαι λέγειν Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Χριστόν· ἐγὼ καὶ ὁ Χριστὸς ἕν ἐσμεν; εἰ γὰρ σχετικῶς καὶ οὐ κατὰ φύσιν ἀπονέμεις τῷ Υἱῷ τὸ εἶναι ἐν τῷ Πατρὶ, ἔχειν τε ἐν ἑαυτῷ τὸν Πατέρα, οὕτω δὲ καὶ ἡμεῖς ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστῷ καὶ Χριστὸς ἐν ἡμῖν· πρῶτον μὲν ἐν τάξει τῇ καθ' ἡμᾶς ὁ Υἱὸς, εἶτα τὸ κωλύον οὐδὲν παρελάσαντας καὶ αὐτὸν, εἰ βουλοίμεθα, τὸν Υἱὸν, ὡς διὰ μέσου κείμενον, ἐπ' αὐτὸν ὥσπερ εὐθυδρομεῖν τὸν Πατέρα, καὶ αὐτῷ προσω μοιῶσθαι λέγειν ἡμᾶς οὕτως ἀκριβῶς, ὡς μηδὲν ὁρᾶσθαι τὸ διαλλάττον. τὸ γὰρ ἓν εἶναι πρός τι λέγεσθαι τοιαύτην ἂν ἔχοι τὴν δύναμιν. ἆρ' οὖν οὐχ ὁρᾶτε εἰς ὅσην αὐτοῖς ἀσυνε σίαν τε ὁμοῦ καὶ ἀσέβειαν κατώλισθε τὰ φρονήματα, καὶ ὅσων ἡμῖν λογισμῶν ἀτόπων εἰσπεπήδηκε θόρυβος; Τίς οὖν ἡ πρόφασις τοῦ ταῦτα λέγειν καὶ διατείνεσθαι, καὶ τοῖς οὕτως ἑώλοις ἐπινήχεσθαι λόγοις αὐτοὺς, ἐρῶ δὴ πάλιν. σκοπὸς εἷς αὐτοῖς, ἀλλότριόν τε καὶ ἔκφυλον παν τελῶς τῆς τοῦ Πατρὸς οὐσίας ἀποφῆναι τὸν Υἱόν. ὅτι γὰρ ἀληθεύοντες τὰ τοιαῦτά φαμεν, ἐκ τῶν ἐφεξῆς καὶ παρε ζευγμένων ταῖς προτέραις αὐτοῦ δυσφημίαις εἰσόμεθα. ἐπάγει γὰρ οὕτως Ἀλλ' ὥσπερ ἡμεῖς, φησὶν, ἐν αὐτῷ 2.450 ὄντες, ἀμιγῆ πρὸς αὐτὸν ἔχομεν τὴν ὑπόστασιν· τὸν αὐτὸν τρόπον καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ τυγχάνων, διακε κριμένην τοῦ ἀγεννήτου Θεοῦ ἔχει τὴν οὐσίαν. τί φῂς, ἐμβρόντητε; γυμνὴν οὕτω τὴν εἰς τὸν Υἱὸν πεποίησαι δυσφημίαν; ἆρ' οὖν μὴ διάκενον ἐρεῖ τις συκοφαντίαν καταχεῖν ἡμᾶς ἐπείγεσθαι τῆς τῶν θεομάχων κεφαλῆς; ἰδοὺ γὰρ σαφῶς, οὐδὲν ὅλως τὸ πλεῖον ἀπονέμουσιν αὐτῷ τῶν ἀπὸ γῆς γεγονότων καὶ δι' αὐτοῦ πρὸς τὸ εἶναι παρενηνεγμένων. ἐγὼ δὲ καίτοι λίαν ἀφορήτως ἔχων ἐφ' οἷς εἰπεῖν οἱ δείλαιοι τετολμήκασιν, ἐκεῖνο δεῖξαι πειράσομαι τῷ σκοπῷ πάλιν ἑπόμενον τῆς θείας γραφῆς, ὡς ἐπείπερ ἀρνοῦνται τὸν Υἱὸν, συνηρνήσαντο τὸν Πατέρα, καὶ λοιπόν εἰσιν ἄθεοι, καὶ ἐλπίδα μὴ ἔχοντες ἐν τῷδε τῷ κόσμῳ, κατὰ τὸ γεγραμμένον. καὶ ὅτι φαμὲν καλῶς, ἀληθὴς μάρτυς ἡμῖν εἰσβήσεται ὁ θεοφιλὴς Ἰωάννης γεγραφὼς ὡδί "Ὁ ἀρνούμενος" τὸν Πατέρα καὶ τὸν Υἱόν· πᾶς ὁ ἀρνούμενος τὸν "Υἱὸν οὐδὲ τὸν Πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν Υἱὸν καὶ τὸν "Πατέρα ἔχει." ὀρθῶς δέ τοι λίαν ὁ πνευματοφόρος, καὶ τῆς τῷ λόγῳ πρεπούσης ἁρμονίας οὐκ ἔξω τιθεὶς τὸ θεῶ ρημα. ἐπειδὴ γὰρ οἶδεν οὐκ ὀνόματι μόνον, ἐνεργείᾳ δὲ μᾶλλον, ὅπερ εἶναι καὶ λέγεται, τουτέστι, Πατὴρ, κατὰ φύσιν ὑπάρχοντα, ἀναγκαίως συνεξαρνεῖσθαί φησιν ἑτέρῳ τὸν ἕτερον. συνειστρέχει γάρ πως ἀεὶ τῷ γε ὄντι κατὰ φύσιν καὶ νοουμένῳ Πατρὶ τοῦ προελθόντος ἐξ αὐτοῦ γεννήματος ἡ γνῶσίς τε καὶ δήλωσις, καὶ τῷ γεννηθέντι κατὰ ἀλήθειαν τὸ τοῦ τίκτειν πεφυκότος συνεπινοεῖται πρόσωπον. ἅμα γάρ τις ἔγνω Πατέρα, συνῆκεν ὅτι γεγέννηκε, καὶ εἰ μάθοι τὸ γέννημα, διακείσεται πάντως ὅτι πατρὸς ἐξέφυ τινός. οὐκοῦν δι' ἀμφοῖν τοῖς ἀκροωμένοις ἡ ἑκατέρου γνῶσις ἐντίκτεται· καὶ ἀρνησάμενος μέν τις, ὅτι Πατήρ ἐστιν ἀληθῶς ὁ Θεὸς, συναναιρήσει πάντως τὴν τοῦ Υἱοῦ γέννησιν· γέννημα δὲ 2.451 πάλιν οὐχ ὁμολογήσας εἶναι τὸν Υἱὸν, τὴν περὶ τοῦ Πατρὸς γνῶσιν συνεξελεῖ δὴ πάντως αὐτῷ. ὅτε τοίνυν τοῖς ἀνοσίοις ἡμᾶς κατασφενδονήσας λόγοις, διακεκριμένην τοῦ ἀγεννήτου Θεοῦ τὴν οὐσίαν διατείνεται ἔχειν τὸν Υἱὸν, πῶς οὐ διαῤ ῥήδην οὐδὲ Υἱὸν ὑπάρχειν αὐτὸν ὁμολογεῖ; Υἱοῦ δὲ οὐκ ὄντος, οὐδ' ἂν αὐτὸς ὁ Πατὴρ ἀληθῶς ἔτι νοοῖτο πατήρ. τίνος γὰρ ἔσται πατὴρ, εἰ μὴ τέτοκε; διακεκρίσθαι μὲν γὰρ οὐχὶ τῆς οὐσίας, ἀλλὰ τοῦ προσώπου τοῦ Πατρὸς καὶ αὐτοί φαμεν τὸν Υἱὸν, οὐχ ὡς ἀλλότριον ὄντα κατὰ φύσιν αὐτοῦ, καθάπερ ἀμέλει τοῖς θεομάχοις δοκεῖ, ἀλλ' ὡς ὄντα τε καὶ νοούμενον ἐν ἰδίῳ προσώπῳ, καὶ κατ' ἰδίαν ὕπαρξιν ἑτερό τητι· Υἱὸς γάρ ἐστι, καὶ οὐ Πατήρ· διακεκρίσθαι γεμὴν κατ' οὐσίαν οὔτ' ἂν αὐτοὶ φαίημεν, εἴ γε φρονοῦμεν ὀρθῶς, οὔτε τινὶ τῶν ἀδελφῶν συμβουλεύσαιμεν. πῶς γὰρ ἂν καὶ διακέκριται μόνον, καθ' ὅπερ ἐστὶν ἰδιαζόντως ἕκαστον; ὁ Πέτρος γὰρ Πέτρος ἐστὶ καὶ οὐ Παῦλος, καὶ ὁ Παῦλος οὐ Πέτρος, μένουσι γεμὴν ἀδιάκριτοι κατὰ φύσιν. εἷς γὰρ ἐπ' ἀμφοῖν τῆς οὐσίας ὁ λόγος, καὶ τὸν αὐτὸν ἀπαραλλάκτως ἕξει τὰ πρὸς ἑνότητα φυσικὴν συνδούμενα. Τοῦ δὲ δὴ χάριν τὰ τοιαῦτά φαμεν; ἐπιδεῖξαι γὰρ ἡμῖν σκοπὸς, ὅτι φρονοῦντες ἐκεῖνοι δυσσεβῶς, τῆς κατὰ φύσιν θεότητος ἐξέλκουσι τὸν Υἱὸν, οὐδὲν αὐτῷ πλέον, καθάπερ ἤδη προείπομεν, σχετικῆς ἀπονέμοντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰκειότητος τῆς ὡς πρὸς Πατέρα καὶ Θεόν. ἐπεὶ διὰ ποίαν αἰτίαν ἡμᾶς παρα δείγματα παραθέντες τοῦ λόγου Καθάπερ ἡμεῖς, φασὶν, ἀμιγῆ πρὸς αὐτὸν ἔχομεν τὴν ὑπόστασιν, ὄντες ἐν αὐτῷ, οὕτως καὶ αὐτὸς διακεκριμένην ἔχει τοῦ Θεοῦ τὴν οὐσίαν, κἂν εἶναι λέγηται, φησὶν, ἐν αὐτῷ; ἆρ' οὐ πᾶσιν εὐκάτοπτος ἡ πανουργία; ἆρ' οὐκ ἐρεῖ τις εὐλόγως τὸν οὕτω δυσωδέ στατον ἐξεμέσαντα λόγον ἐκείνων ὑπάρχειν ἕνα τῶν διὰ τοῦ 2.452 Πνεύματος προκεκηρυγμένων ἐμπαικτῶν; τί γὰρ Ἰούδας ἡμῖν ἐπιστέλλει τοῦ Σωτῆρος ὁ μαθητής; "Ὑμεῖς δὲ, ἀγα "πητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν "ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔλεγον "ὑμῖν ὅτι ἐπ' ἐσχάτου τοῦ χρόνου ἐλεύσονται ἐμπαῖκται "κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. "οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοὶ, Πνεῦμα μὴ ἔχοντες." οὐδεὶς μὲν γὰρ τὸ παράπαν Ἁγίῳ Πνεύματι λαλῶν, κατερεῖ τι τῆς δόξης τοῦ Μονογενοῦς. τοῦτο γὰρ εἶναί φημι τὸ λέγειν "Ἀνάθεμα Ἰησοῦς." ἄνδρες δὲ ψυχικοὶ καὶ δείλαιοι καὶ τοῦ Ἁγίου Πνεύματος ἐρήμην ἔχοντες τὴν καρδίαν, ἀποδιορίζουσι τοῦ Πατρὸς τὸν Υἱὸν, οὐσιώδη φάσκοντες ἔχειν αὐτὸν τὴν διακοπὴν, καθάπερ ἀμέλει τὰ γενητὰ καὶ τῶν παρ' αὐτοῦ πεποιημένων ἕκαστον, εἶναί τε οὕτω φρο νοῦντες αὐτὸν ἐν Πατρὶ, καθάπερ ἡμεῖς ἐν αὐτῷ. Ὅτι δὲ τῆς εἰς ἄκρον ἀμαθίας εἴσω βεβήκασι τοιαῦτα γράφειν τολμήσαντες, φέρε παρὰ τῆς θείας γραφῆς δια σκεπτώμεθα πάλιν, ὡς ἔστιν ἐφικτὸν, ἐπιδεῖξαί τε τοῖς ἀκροωμένοις σπουδάσωμεν, ὡς ἑτέρως μὲν ἡμεῖς ἐσμεν ἐν τῷ Υἱῷ, ἑτεροίως γεμὴν ὁ Υἱὸς ἐν τῷ ἰδίῳ Πατρί. οὐ γὰρ ταῖς κατὰ θέλησιν ἀρεταῖς πρὸς αὐτὸν μορφούμενος, εἰκών ἐστι τῆς ὑποστάσεως αὐτοῦ, διά τε τοῦτό ἐστιν ἐν αὐτῷ· ἀλλ' ὡς ἐν ταυτότητι φυσικῇ καὶ ὡς μίαν ἔχων πρὸς αὐτὸν τὴν οὐσίαν· εἰσκεκλήσθω δὲ μάρτυς ἡμῖν ἐπὶ τούτοις ὁ σοφώ τατος Ἰωάννης, λέγων "Καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ "τοῦ Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ·" πῶς οὖν ἄρα φασὶν, ἢ κατὰ τίνα διισχυρίζονται χρῆναι τρόπον, τὴν κοινωνίαν ἡμᾶς μετὰ τοῦ Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ; εἰ μὲν γὰρ τὴν οὐσίαν ὥσπερ τὴν ἑαυτῶν ἀναμιγνύοντες τῇ θείᾳ φύσει, ἤτοι τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ἐν αὐτοῖς εἶναι νοούμεθα, καὶ οὐχὶ μᾶλλον τῆς 2.453 κοινωνίας ὁ λόγος εἰς τὴν τῶν θελημάτων ὁμοιότητα βλέπει, πῶς ἂν ἔχοιμεν αὐτὴν μετὰ τοῦ Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ, καίτοι κατ' ἐκείνους οὐκ ὄντων ὁμοουσίων; ἢ γὰρ ἀνάγκη λοιπὸν καὶ ἡμᾶς τὰ γέλωτος ἄξια φρονοῦντας εἰπεῖν ὅτι, τὴν οἰκείαν διακόπτοντες φύσιν, τὸ μὲν ἥμισυ τῷ Πατρὶ, τὸ δὲ ἕτερον ἡμῖν καὶ τῷ Υἱῷ δεδώκαμεν, οὕτω τε ἐν αὐτοῖς εἶναι νοούμεθα· ἢ παραιτούμενοι τὴν ἀποπληξίαν τοῦ λόγου, φαμὲν ὅτι ταῖς κατὰ θέλησιν ἀρεταῖς καὶ τῇ συμμορφίᾳ τῇ πρὸς τὸ θεῖόν τε καὶ ἀπόῤῥητον κάλλος καταφαιδρύνειν τὸν οἰκεῖον σπουδάζοντες νοῦν, τὴν τῆς κοινωνίας ἑαυτοῖς περι ποιούμεθα χάριν. ἆρ' οὖν οὕτως ἐροῦμεν ὑπάρχειν ἐν Πατρὶ τὸν Υἱὸν, ἤγουν σχετικὴν καὶ ἐπιτετηδευμένην κοινωνίαν ἔχειν πρὸς τὸν γεννήσαντα; καίτοι τί δήποτε διὰ τῆς τῶν ἔργων ἰσότητός τε καὶ ὁμοιότητος ποδηγεῖσθαι βούλεται τὸν ἡμέτερον νοῦν ἐπὶ τὸ χρῆναι πιστεύειν ἀνενδοιάστως, ὡς εἴη μὲν αὐτὸς ἐν Πατρὶ, ἔχει δὲ αὖ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα; ἢ γὰρ οὐχὶ πᾶσι προδηλότατον καὶ ἀληθὲς ὑπάρχον ὁρᾶται, ὅτι τὴν τῶν ἔργων λαμπρότητα παρ' ἡμῶν ἐξετάζεσθαι θέλων, ἰσοσθενῆ δείκνυσιν ἑαυτὸν τῷ ἰδίῳ Πατρὶ, ὡς οὐδένα λόγον ἐχούσης ἔτι τῆς κατ' οὐσίαν διακοπῆς καὶ φυσικῆς ἑτερότητος, εἰ τοῖς ἴσοις ἐπαυχοῖεν κατορθώμασιν αὐτός τε καὶ ὁ Πατήρ. Ἐννόει γὰρ ὅπως οὐκ ἐν τούτοις εἰπεῖν ἡμεῖς, ἀλλ' ἐν ἑτέ ροις τισὶ τὴν πρὸς τὸν Θεὸν συμμορφίαν ἐπιτηδεύοντες τῆς πρὸς αὐτὸν κοινωνίας ἀξιούμεθα. ἐποικτείροντες γὰρ ἀλλή λους, καὶ τῶν τῆς ἀγάπης ἔργων ἀπρὶξ ἐξημμένοι, καὶ πᾶσαν ἐπιτηδεύοντες τὴν ἐν τῷ καθ' ἡμᾶς βίῳ σεμνότητα, τότε δὴ μόλις ἐν Θεῷ εἶναι λεγόμεθα. καὶ μάρτυς ὁ Ἰωάννης λέγων "Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμέν· ὁ λέγων ἐν "αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησε καὶ αὐτὸς "περιπατεῖν,"



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πάλιν "Ὑμεῖς, φησὶν, ὃ ἀπ' ἀρχῆς 2.454 "ἠκούσατε ἐν ὑμῖν μενέτω· ἐὰν γὰρ ἐν ὑμῖν μείνῃ ὃ ἀπ' "ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ "μενεῖτε." καὶ τί τὸ ἀπ' ἀρχῆς, ὅπερ ἡμῖν διακελεύεται μένειν, ἵνα ἡμεῖς ὦμεν ἐν Θεῷ, αὐτὸς ἡμῖν οὐδὲν ἧττον σαφηνιεῖ λέγων "Ὅτι αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν ἠκούσατε "ἀπ' ἀρχῆς, ἵνα ἀγαπᾶτε ἀλλήλους." ἀκούεις ὅπως ἐσμὲν ἐν Θεῷ, τὴν ἀγάπην δηλονότι τὴν εἰς ἀλλήλους ἐπιτηδεύοντες, καὶ τὴν τοῦ Σωτῆρος ἰχνηλατεῖν ἀρετὴν καθ' ὅσον ἔνι σπουδάζοντες· ἀρετὴν δὲ φημὶ, οὐ τὴν ἐν τῷ δύνασθαι κτίζειν οὐρανοὺς, ἢ ποιεῖν ἀγγέλους, ἢ καθιδρῦσαι γῆν, ἢ θάλασσαν ἐξαπλοῦν, οὔτε μὴν τὴν ἐν ἐκείνῳ, καθ' ὃ ἀῤῥήτῳ καὶ ἀπεριεργάστῳ δυνάμει, λόγῳ μὲν πνευμάτων ἐκοίμισε βίας, διανίστη δὲ τοὺς τεθνηκότας, ἤγουν τοῖς τυφλοῖς ἐχαρίζετο τὸ βλέπειν, ἢ τῷ λεπρῷ καθαρίζεσθαι μετὰ πολλῆς τινος τῆς ἐξουσίας ἐπέταττεν· ἐκείνην δὲ μᾶλλον, ἥπερ ἂν ἁρμόττοι τοῖς τῆς ἀνθρωπότητος μέτροις. εὑρήσομεν αὐτὸν, ὥσπερ οὖν ὁ Παῦλός φησι, λοιδορηθέντα μὲν παρὰ τῶν ἀνοσίων Ἰουδαίων, οὐκ ἀντιλοιδορήσαντα δὲ, ἀλλὰ πάσχοντα μὲν, οὐκ ἀπειλήσαντα δὲ, παραδόντα δὲ μᾶλλον τῷ κρίνοντι δικαίως· εὑρήσομεν αὐτὸν λέγοντα πάλιν "Μάθετε ἀπ' "ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε "ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν." Οὐκοῦν διὰ μὲν τῶν τοσούτων κατορθωμάτων μιμεῖσθαι σπουδάζοντες τὸν ἁπάσης ἡμῖν ἀρετῆς ἡγεμόνα Χριστὸν, ἔν τε τῷ Πατρὶ καὶ ἐν αὐτῷ μένειν λεγόμεθα, γέρας ὥσπερ καὶ ἀντιμισθίαν τῆς ἐν βίῳ σεμνότητος τὸ πρᾶγμα κερδαίνοντες. ὁ δὲ Υἱὸς οὐκ ἐκ τούτων ἡμᾶς τὴν ἐνοῦσαν αὐτῷ λαμπρό τητα δοκιμάζειν βούλεται, τῇ δὲ τῶν παραδόξων μεγαλειό τητι μετὰ τῆς ἐνούσης ἀγχινοίας προσεσχηκότας διασκέ πτεσθαι δεῖν ἐπιτάττει τὴν ἀπαράλλακτον ἐμφέρειαν, ἣν ἔχει πρὸς τὸν Πατέρα τὸν ἑαυτοῦ, πιστεύειν τε οὕτω λοιπὸν, 2.455 ὡς ἐπείπερ ἐστὶν ὁμοούσιος, ἔχει μὲν ἐν ἑαυτῷ τὸν γεννή σαντα, ἐνυπάρχει δὲ καὶ αὐτὸς αὐτῷ· ἢ διδασκέτωσαν παρελθόντες οἱ δι' ἐναντίας, ὅτι γέρας ἔχει, καθάπερ ἡμεῖς, τὸ ἐν τῷ Πατρὶ νοεῖσθαι καὶ αὐτὸς, καὶ πολιτείας τῆς κατὰ νόμον εὐαγγελικὸν, ἀντίῤῥοπον ἀμοιβήν. ἀλλ' οὐδὲν οἶμαι δεινὸν ἐκείνοις φαίνεται καὶ τοῦτο· οἷς γὰρ εἶδος οὐδὲν γλωσσαλγίας ἀνεπιτήδευτον, τί τῶν λίαν ἀπηχεστάτων οὐχ ἱππήλατον; εἰκὸς οὖν ὅτι κἀκεῖνο ἐροῦσιν, ὡς εἴη μὲν ὁ Υἱὸς ἐν Πατρὶ διὰ τοῦτο, ἔχοι δὲ αὖ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα, ἐπείπερ ταῖς καὶ ἡμῖν ἐφικταῖς ἀρεταῖς ὡς πρὸς αὐτὸν σχηματίζεται. καὶ τί δὴ πάλιν, ὦ βέλτιστοι, φαμὲν, Φιλίππου λέγοντος "Κύριε δεῖξον ἡμῖν τὸν Πατέρα," μὴ πάντας τοὺς ἁγίους ἀποστόλους εἰς εἰκόνα καὶ ὁμοίωσιν ἀκριβῆ τοῦ νοουμένου παραθεὶς ἔφασκεν ὁ Χριστός Τοσούτῳ χρόνῳ μετὰ ἀλλήλων ἐσμὲν, καὶ οὐκ ἔγνωκας τὸν Πατέρα; ἀλλ' οὐδένα τῶν ἄλλων ἑαυτῷ συνεισδέχεται, μόνον δὲ μόνῳ παραθεὶς τῷ Πατρὶ, ὡς μικρὰ μὲν κομιδῇ παρατρέχει τὰ ἡμέτερα, οὐκ ἐν τούτοις δὲ ἀκριβῶς τὴν θείαν οὐσίαν ἐξεῖ κονίζεσθαι θέλων, ἑαυτῷ τετήρηκε μόνῳ τὴν εἰς ἄκρον ἐμφέρειαν. ὁ γὰρ ἑωρακὼς ἐμὲ, φησὶ, τὸν Πατέρα ἑώρακεν. εἶτα τούτοις ἐπήνεγκεν εὐθύς "Πιστεύετε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ "καὶ ὁ Πατὴρ δὲ ἐν ἐμοὶ ἐστίν." ὅπου γὰρ ἀπαραλλάκτως ἔχει κατά γε τὴν εἰσάπαν ἐμφέρειαν, πῶς οὐκ ἂν ἔχοι λοιπὸν αὐτὸς μὲν ἐν ἑαυτῷ τὸν Πατέρα, ἔχεται δὲ ὥσπερ ὑπὸ τοῦ Πατρός; ἐννόει γάρ τι τοιοῦτον, καὶ πρὸς ἀπόδειξιν δέχου τῶν εἰρημένων. ἆρα γὰρ, εἴ τις τὸ Ἀβραὰμ, ἤγουν ἑτέρου τινὸς ἀνθρώπου τυχὸν εἰς μέσον ἀγάγοι παιδίον, εἶτα τὴν τοῦ τεκόντος αὐτὸ διερωτοίη φύσιν, τίς τε ὅλως εἴη καὶ ποδαπὸς ὁ τεκὼν βούλοιτο μαθεῖν, οὐκ ἂν εὐλόγως ἐφώνησε, μᾶλλον δὲ τὴν οἰκείαν ἐπέδειξε φύσιν, λέγων Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ δὲ 2.456 ἐν ἐμοί ἐστιν; εἶτα πρὸς ἀπόδειξιν τοῦ τὴν ἀλήθειαν εἰπεῖν, οὐκ ἂν παροίσαι πρέποντως τὴν ἐν τοῖς ἀνθρωπίνοις ἔργοις ἤτοι φυσικοῖς πλεονεκτήμασι ταυτότητα λέγων Διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι, ἔχω γὰρ πάντα καὶ ἐνεργεῖν ἰσχύω τὰ τῇ ἀνθρωπείᾳ προσόντα φύσει. ἀλλ' οἶμαι πᾶς τις ἐρεῖ καὶ συναινέσαι δικαίως, ὅτι λέγοι μὲν ἀληθῆ, δριμεῖαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ τῶν ἐν τοῖς ἰδίοις ἔργοις ἀπόδειξιν τὴν ταυτότητα παρα κομίσαι. τί τοιγαροῦν οἱ τὰ ὀρθῶς ἔχοντα διαστρέφοντες, μὴ τὴν εὐθεῖαν τῶν θεωρημάτων ἰέναι τρίβον τοὺς ἰδίους ἀναπείθουσι φοιτητὰς ἀλλὰ, τῆς βασιλικῆς τε καὶ τετριμ μένης ἐξώσαντες, τὴν ἀστιβῆ καὶ τραχεῖαν ἐρχόμενοι διαλε λήθασι μὲν ἑαυτοὺς, συντρίβουσι δὲ καὶ τοὺς ἕπεσθαι δεῖν οἰομένους αὐτοῖς; ἀλλ' ἡμεῖς, οὐ ταύτην ἐρχόμενοι τὴν ὁδὸν, τὴν εὐθυτενῆ βαδιούμεθα καὶ, τοῖς ἱεροῖς πειθόμενοι γράμ μασιν, ἰσοσθενῆ καὶ ὁμοούσιον τῷ Θεῷ καὶ Πατρὶ πιστεύο μεν εἶναι τὸν ἐξ αὐτοῦ γεννηθέντα κατὰ φύσιν Υἱὸν, εἰκόνα τε ὑπάρχειν αὐτοῦ, διά τε τοῦτο αὐτὸν μὲν εἶναι ἐν Πατρὶ, ἐν ἑαυτῷ δὲ τὸν Πατέρα. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι, καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Εἴη μὲν ἂν, εἴπερ τῷ δοκεῖ τῷ τῶν προκειμένων θεωρη μάτων συνεκτείνεσθαι πλάτει, μακρὸς καὶ βαθὺς ὁ λόγος· τὸ δὲ τοῖς ἀκροωμένοις ἐννοοῦντες λυσιτελέστερον, περιδράξα σθαι τῶν σημαινομένων οἰησόμεθα πρέπειν, τὸ πολὺ τοῦ λόγου περιστείλαντες μῆκος· εἴη γὰρ ἂν οὕτω μάλιστα τοῖς πολλοῖς εὐπαράδεκτον τὸ θεώρημα. ἐπιδεῖξαι τοιγαροῦν ἐθε λήσας, ὡς εἴη μὲν ὁμοούσιος τῷ ἰδίῳ γεννήτορι, καὶ ὅτι 2.457 χαρακτήρ ἐστιν αὐτοῦ, φορούμενος μὲν ὡς ἐν ἀρχετύπῳ τῷ Πατρὶ, ἔχων γεμὴν ἐν ἑαυτῷ τὸ ἀρχέτυπον, ὡς χαρακτὴρ φυσικῶς τε καὶ οὐσιωδῶς, καὶ οὐ κατά τινα σχηματισμὸν τὸν ἐν διαπλάσει νοούμενον· ἄνω γὰρ σχημάτων τὸ θεῖον, ἐπεὶ καὶ ἀσώματον· "ἐγὼ, φησὶν, ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ "δὲ ἐν ἐμοὶ ἐστίν." ἀλλ' ἵνα τῆς ἐμφερείας τὴν ἰσότητα καὶ τὸ σύμμορφον ἀπαραλλάκτως μὴ καθ' ἕτερόν τινα ζητῶμεν τρόπον ἢ ἐκ μόνων τῶν τῇ φύσει προσόντων πλεονεκτη μάτων· ἐντεῦθεν γὰρ ἦν οὐσιώδη καὶ φυσικὴν ὁρᾶν τὴν ὁμοίωσιν· Εἰ δὲ μὴ, φησὶν, ἀπὸ τῶν ἔργων πιστεύετε. ᾤετο γὰρ δὴ λίαν ὀρθῶς, ὡς εἴπερ ὅλως θεάσαιτό τις αὐτὸν τοῖς ἴσοις ἐκλάμποντα κατορθώμασι τῷ Θεῷ καὶ Πατρὶ, εἰς φυσικὸν ὄντως παραδέξαιτο χαρακτῆρα καὶ εἰκόνα τῆς οὐσίας αὐτοῦ· οὐ γὰρ ἄν ποτε δράσαι τὰ ἴσα τῷ Θεῷ τὸ μὴ ἐκ Θεοῦ κατὰ φύσιν, ἀλλ' οὐδ' ἂν προσγένοιτό τινι τῶν γενητῶν τὸ ἐν ἴσῳ μέτρῳ τῇ θείᾳ φύσει τερατουργεῖν δύνασθαί ποτε. ἄβατα γὰρ καὶ ἀνέπαφα παντελῶς τοῖς ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι κεκλημένοις τὰ τοῦ ἀεὶ ὄντος ἰδίως ἀγαθά. καὶ ὅτι μὲν ἀλοιδόρητος παντελῶς παρά γε τοῖς εὖ φρονοῦσιν ὁ τοῦ Σωτῆρος ἔσται λόγος, οὐδαμόθεν ἐνδοιάσειν εἰκὸς ἦν τινας· ἔσεσθαι γεμὴν τοῖς τἀναντία δοξάζουσιν, ἑτεροδιδασκαλίας ἀφορμὴ καὶ πρόφασις καὶ τὸ καλῶς εἰρη μένον, οὐκ ἠγνόησεν, ὡς Θεός. ἵνα τοίνυν μὴ τοῖς τὰ ὀρθὰ διαστρέφουσιν ἀθυρογλωττίας ἐν τούτοις παραλίπηται τόπος, μηδὲ λέγοιεν ὅτι δημιουργὸς τῶν θαυμάτων γέγονεν ὁ Υἱὸς, οὐκ ἐκ τῆς ἐνούσης ἰσχύος αὐτῷ, οὐδὲ ἐξ ἰδίας δυνάμεως, ἀλλ' ἐπείπερ εἶχεν ἐν ἑαυτῷ τὸν Πατέρα ποιοῦντα τὰ ἔργα, καθάπερ οὖν αὐτὸς ἔφη καὶ διισχυρίσατο, τεθεράπευκεν ἀναγκαίως ὁ Κύριος ταῖς τῶν νοημάτων ἐπαγωγαῖς· ἑαυτὸν μὲν γὰρ ἐν τούτοις ἔσεσθαι χορηγὸν ἐπαγγέλλεται τοῖς πιστεύουσιν εἰς αὐτὸν, ὧνπερ ἂν ἐθέλουσιν αἰτεῖν, καὶ οὐχὶ μόνην αὐτοῖς ἐπαγγέλλεται τοσαύτην χορηγήσειν δύναμιν 2.458 καὶ ἐξουσίαν, ἀλλὰ τὴν ἐπὶ πολύ· μείζονα γὰρ, φησὶν, ὧν ἐγὼ πεποίηκα ποιήσει. ὁρᾷς οὖν ὅπως ἀνακόπτει χρησίμως τῶν δι' ἐναντίας τὸ θράσος, καὶ ἀνασειράζει τρόπον τινὰ τοῖς ἐλέγχοις ἐρχομένους κατὰ πετρῶν; ἐρεῖ γάρ τις αὐτοῖς Ὦ ἀνόητοι καὶ τυφλοὶ, μηδὲν ἐξ ἑαυτοῦ δεδυνῆσθαι κατορθοῦν ὑπειληφότες τὸν Υἱὸν, κεχορηγῆσθαι δὲ μᾶλλον τὴν ἐφ' ἅπασι τοῖς παραδόξως τετελεσμένοις δύναμίν τε καὶ ἐξου σίαν ὑπὸ τοῦ Πατρός· πῶς καὶ μείζονα κατορθοῦν ἐπαγγέλ λεται δώσειν τοῖς πιστεύουσιν εἰς αὐτόν; πῶς ὃ μὴ δέδρακεν αὐτὸς, ἕτερος κατορθώσει, τὴν παρ' αὐτοῦ δανεισάμενος δύναμιν; θέα γὰρ ὅπως οὐκ εἴρηκεν ἐν τούτοις ὅτι χορη γήσει τοῖς πιστεύουσι δύναμιν ὁ Πατὴρ, ἀλλ' Ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου ποιήσω. ὁ δὲ τοῖς ἄλλοις καὶ τὰ μείζω δύνασθαι κατορθοῦν ὡς Θεὸς ἐπιδιδοὺς,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πῶς ἂν αὐτὸς ἐχορηγήθη παρ' ἑτέρου τὸ δύνασθαι; οὐκοῦν λῆρος μὲν τὰ ἐκείνων παντελῶς καὶ ὕθλος εἰκαῖος καὶ δαιμονιώδους δυ στροπίας εὑρήματα. πεπερασμένην δὲ οὐδαμῶς τὴν τοῦ Υἱοῦ δύναμιν θεωρήσαι τις ἂν, οὐδὲ διήκουσαν μὲν ἐπί τι τῶν ὄντων, οὐκ ἀρκοῦσαν δὲ τοῖς ἔτι μείζοσιν, ἀλλ' ὅσαπερ ἂν βούλοιτο ταῦτά τε δρῶσαν εὐκόλως, καὶ τοῖς ἀξίοις χαρι ζομένην τὸ τοῖς ἴσοις τυχὸν, ἤγουν καὶ ὑπερκειμένοις ἐνα βρύνεσθαι θώκοις. καὶ μή τις οἰέσθω λέγειν ἡμᾶς ὅτι περιέσται ποτὲ τὸ δύνασθαί τινι τῶν τὴν εἰς αὐτὸν πίστιν τετιμηκότων δημιουργῆσαι μὲν οὐρανὸν, ἥλιον δὲ καὶ σε λήνην, ἤγουν τὸν περιφανῆ τῶν ἀστέρων χορὸν ἀναδεῖξαι, καὶ κτίσαι τυχὸν ἀγγέλους ἢ γῆν ἢ τὰ ἐν αὐτῇ. τέτραπται γὰρ οὐκ ἐν τούτοις ὁ τοῦ λόγου σκοπὸς, ἀλλ' ἐφ' οἷς ἦν εἰκὸς συντείνεται, καὶ τῆς ἀνθρωποπρεποῦς λαμπρότητος ἐν δόξῃ φημὶ καὶ ἁγιασμῷ τὸ μέτρον οὐχ ὑπερτρέχει. διὰ γάρ τοι τοῦτο περιστέλλων ὥσπερ τοῦ λόγου τὸν ἐφ' ὅπερ ἄν τις βούλοιτο δρόμον, καὶ μόνοις τοῖς παρ' αὐτοῦ παραδόξως τετελεσμένοις ἐπὶ τῆς γῆς, ὅτε γέγονεν ἄνθρωπος, τῶν ἔτι 2.459 μειζόνων ἀντιπαρεξάγων τὸ μέγεθος Ἃ ἐγὼ πεποίηκά φησι ποιήσει καὶ μείζονα τούτων· οὐ γὰρ ἀτονήσας περὶ τὰ μείζω, μέχρι τῶν τετελεσμένων τὴν οἰκείαν ἐπέστησε δύναμιν, ἐπι τελέσας δὲ ἅπερ ἐχρῆν καὶ ὅσα περ τυχὸν εἰς μέσον παρε κόμισεν ὁ καιρὸς, ὅτι μὴ μέχρις ἐκείνων ἀφικνεῖσθαι δύναται τῆς ἐνούσης ἐξουσίας αὐτῷ τὸ ἀπερινόητον μέγεθος, ἐκδιδά σκει χρησίμως διὰ τῶν εἰρημένων. ἀλλ' ἵνα τὴν τάξιν τῶν προκειμένων τηρήσαντες τῇ τῆς λέξεως θεωρίᾳ τῶν ἀκροω μένων τὸν νοῦν ἐπιστήσωμεν Ἀμήν φησι λέγω ὑμῖν Ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι.

Εἶτα τί τοῦτο, φήσειεν ἄν τις τῶν ἀκροωμένων ἐπιεικέ στερον, τὸ πορεύεσθαί φημι πρὸς τὸν Πατέρα τὸν Υἱὸν, πρὸς τὸ δύνασθαι κατορθοῦν καὶ τὰ ἔτι μείζω τῶν παρ' αὐτοῦ δεδειγμένων τοὺς πιστεύοντας εἰς αὐτόν; οὐκοῦν κεκρυμμένην τινὰ θεωρίαν εἰσφέρει τὸ εἰρημένον. τί οὖν ἐστιν, ὅ φησι, δέχου λέγοντα τυχόν Ὦ τῶν ἐμῶν ὑπηρέται λόγων καὶ γνήσιοι φοιτηταὶ, ἕως μὲν σὺν ὑμῖν τὰς διατριβὰς ἐποιούμην ἐπὶ τῆς γῆς, ἐπολιτευσάμην ὡς ἄνθρωπος, οὐκ ἄκρατον ὑμῖν τῆς θεότητος τὴν ἐξουσίαν ἐπεδειξάμην· εἶπόν τε καὶ πέπραχα πρεπόντως πως καὶ τῷ τῆς ταπεινώσεως μέτρῳ καὶ τῷ σχήματι τῷ δουλοπρεπεῖ. ἐπειδὴ δὲ λοιπὸν ἐκεῖνα καθηκόντως τετέλεσται, καὶ πεπλήρωταί μοι τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον· πείσομαι γὰρ ὅσον οὐδέπω τὸν θάνατον, καὶ ἐγερθήσομαι· χαριεῖσθαι δὲ ὑμῖν ἐπαγγέλ λομαι καὶ τὰ ἔτι μείζονα τῶν δι' ἐμοῦ θαυμάτων δύνασθαι πληροῦν, παρόντος ἔτι τοῦ καιροῦ καὶ τῆς ἐπὶ τούτοις φιλο τιμίας. πορεύομαι γὰρ πρὸς τὸν Πατέρα συνεδρεύσων αὐτῷ δηλονότι καὶ συμβασιλεύσων, ὡς Θεὸς ἐκ Θεοῦ, ἀκατακα λύπτῳ δυνάμει καὶ ἐξουσίᾳ ...... τῆς ἐμαυτοῦ φύσεως τὸ 2.460 διδόναι τοῖς γνησίοις τὰ ἀγαθά· ὅπερ ἂν αἰτήσητέ φησιν ἐπὶ τῷ ὀνόματί μου, τοῦτο ποιήσω, τετελεσμένου τοῦ καιροῦ καθ' ὃν ἔδει, φησὶν, ἐν τῷ τῆς ταπεινώσεως φαίνεσθαι σχήματι. τετήρηκα τὸ πρέπον διὰ τὴν οἰκονομίαν· νυνὶ δὲ λοιπὸν ἀκατακαλύπτως ὡς Θεὸς ἐνεργήσειν ἐπαγγέλλομαι τὰ Θεοῦ, οὐ τὸν Πατέρα τῆς οὕτω θεοπρεποῦς δόξης ἐξωθούμενος, ἀλλ' ἵνα δοξασθῇ ἐν τῷ Υἱῷ. δοξαζομένου γὰρ τοῦ γεννή ματος, δοξασθήσεται πάντως ἐν αὐτῷ καὶ ὁ γεννήσας αὐτόν. Θεὸς γὰρ ἂν κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς καὶ διὰ πολλῶν μὲν ἑτέρων καταπέφανται· οὐδὲν δὲ ἧττον καὶ διὰ τοῦ δέχεσθαι μὲν τὰς τῶν ἁγίων εὐχὰς, χορηγεῖν δὲ αὐτοῖς ἅπερ ἂν αἰτοῖεν καὶ βούλοιντο. πῶς οὖν οὐκ ἂν ὁ Πατὴρ ἐν αὐτῷ δοξάζοιτο; ὥσπερ γὰρ καὶ εἰκότως ἂν κατεψέχθη, Θεοῦ κατὰ φύσιν οὐκ ὄντος τοῦ προελθόντος ἐξ αὐτοῦ γεννήματος· οὕτως ἔσται πολὺ λίαν εὐκλεὴς, Θεὸν ἔχων ἀληθινὸν, καὶ τὰ πάντα ἰσχύοντα δρᾶν τε ὁμοῦ καὶ ἑτέροις χαρίζεσθαι, τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα καρπόν. Εἰ δὲ εἰς δόξαν συντείνει τοῦ Πατρὸς τὸ ἐν τοῖς θεοπρε πέσιν ἀξιώμασιν ὁρᾶσθαι τὸν Υἱὸν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποῖος τοῦ κολάζεσθαι λόγος ἐξελεῖται τὸν αἱρετικὸν, ἀναισχύντοις δυσφημίαις κατασμικρύνειν αὐτὸν πολυτρόπως οὐ καταδείσαντα; ἐρῶ δὲ πρὸς τούτοις ἕτερον, ταῖς ἐκείνων ἀπαιδευσίαις οὐ μετρίως, ὡς ἐγῷμαι, μαχόμενον. εἰ γὰρ εὐχόμεθα τῷ Υἱῷ καὶ παρ' αὐτοῦ ζητοῦμεν τὰ αἰτήματα, καὶ αὐτὸς διδόναι κατεπαγγέλ λεται, πῶς οὐκ ἂν εἴη φύσει Θεὸς καὶ ἐκ Θεοῦ τοῦ κατὰ φύσιν γεγεννημένος; εἰ γὰρ μὴ οὕτως ἔχειν ὑπολαμβά νουσιν αὐτὸν, γενητὸν δὲ εἶναι λέγουσι, κατὰ τί διοίσομεν ἔτι τῶν ἐπικαλουμένων τὸν ἥλιον ἢ τὸν οὐρανὸν ἤγουν ἕτερόν τι τῶν κτισμάτων; εἰ γὰρ καὶ σφόδρα κακούργως τῆς ἑαυτῶν ἀλογίας τὸ ἀκαλλὲς δυσωπούμενοι, κτίσμα μὲν λέγουσιν αὐτὸν ἐν ἴσῳ τοῖς ἄλλοις κτίσμασιν, ἀσύγκριτον 2.461 δέ τινα τὴν κατὰ πάντων ἔχειν ὑπεροχήν· ἀλλ' ἴστωσαν ὅτι οὐδὲν ἧττον ὑβριοῦσι τὴν τοῦ Πατρὸς δόξαν, τουτέστι, τὸν Υἱὸν, ἕστ' ἂν αὐτὸν ἐναρίθμιον λέγωσιν εἶναι τοῖς πεποιη μένοις. τὸ γὰρ ζητούμενόν ἐστιν, οὐκ εἰ μέγα τυχόν ἐστιν ἢ μικρὸν ποίημα, ἀλλ' εἰ ὅλως γενητὸς, καὶ μᾶλλον οὐχὶ Θεὸς κατὰ φύσιν, ὅπερ ἐστὶ καὶ ἀληθές. Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω. Ἀπημφιεσμένως ἤδη φησὶν ὅτι, Θεὸς ὑπάρχων ἀληθινὸς, προσδέξεται μὲν καὶ λίαν εὐπετῶς τὰς παρὰ τῶν ἰδίων εὐχὰς, χορηγήσει δὲ καὶ σφόδρα προθύμως ἅπερ ἂν βούλωνται λαβεῖν, χαρίσματα δὲ δηλονότι πνευματικὰ καὶ τῆς ἄνωθεν φιλοτιμίας ἄξια. καὶ οὐχ ὡς τῆς ἑτέρου φιλανθρωπίας διάκονος, οὔτε μὴν ὡς ἀλλοτρίας ἡμερότητος ὑπουργὸς τὰ τοιαῦτά φησιν, ἀλλ' ὡς ἔχων ἐν ἐξουσίᾳ τὰ πάντα μετὰ Πατρὸς, καὶ αὐτὸς ὑπάρχων ὁ δι' οὗ τὰ πάντα, παρά τε ἡμῶν εἰς Θεὸν, καὶ εἰς ἡμᾶς παρ' αὐτοῦ. διὰ τοῦτο καὶ Παῦλος ἀεὶ συνεζευγμένας τὰς τῶν ἀγαθῶν χορηγίας τοῖς ἀξίοις ἐπεύχεται λέγων "Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ "Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ." καὶ οὐ δή τις νοῦν ἔχων οἰήσεται πάλιν, ὡς ἰδίᾳ μέν τινα χάριν δίδωσιν ὁ Πατὴρ, ἰδίᾳ δὲ ὥσπερ καὶ ἀνὰ μέρος αὖ πάλιν ὁ Υἱός· ἀλλ' ἔστι μὲν ἡ αὐτὴ καὶ μία, εἰ καὶ δι' ἀμφοῖν λέγεται. ποιεῖται γοῦν ὅμως τὰ πάντα παρὰ Πατρὸς δι' Υἱοῦ τοῖς ἀξίοις τὰ ἀγαθὰ, καὶ ἡ τῶν θείων χαρισμάτων διανομὴ, οὐκ ἐν ὑπουρ γίας τάξει παραληφθέντος, καθάπερ εἰρήκαμεν, ἀλλ' ὡς συνδοτῆρός τε καὶ συγχορηγοῦ νοουμένου τε καὶ ὑπάρχοντος ἀληθῶς. μία γὰρ ἡ τῆς θεότητος φύσις ἐστί τε καὶ οὕτω πιστεύεται. κἂν γὰρ εἰς Πατέρα πλατύνηται καὶ Υἱὸν καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλ' οὐκ ἔχει τὸν εἰσάπαν καὶ 2.462 ὁλοκλήρως διασπασμὸν, τὸν εἰς ἕκαστον τῶν σημαινομένων φημί. διακεισόμεθα γὰρ φρονοῦντες ὀρθῶς, ὡς ἐκ Πατρός τε ἐστὶ καὶ ἐν Πατρὶ φυσικῶς ὁ Υἱὸς, ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ, καὶ τὸ ἴδιον αὐτοῦ τε καὶ τοῦ Υἱοῦ Πνεῦμα, τουτέστι, τὸ Ἅγιον. μιᾶς τοιγαροῦν οὔσης τε καὶ νοουμένης τῆς κατὰ φύσιν θεότητος, δι' Υἱοῦ παρὰ Πατρὸς ἐν Πνεύματι τοῖς ἀξίοις τὰ παρ' αὐτοῖς χορηγηθήσεται, καὶ τὰ παρ' ἡμῶν εἰς Θεὸν ἀπενεχθήσεται, μεσιτεύοντος δηλονότι τοῦ Υἱοῦ· "Οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι'" αὐτοῦ, καθάπερ ἀμέλει διωμολόγησε καὶ αὐτός· θύρα τοι γαροῦν καὶ ὁδὸς τῆς πρὸς Θεὸν καὶ Πατέρα φιλίας τε ὁμοῦ καὶ προόδου, γέγονέ τε καὶ ἔστιν ὁ Υἱὸς, καὶ τῆς παρ' αὐτοῦ δωρεᾶς συνδοτήρ τε ὁμοῦ καὶ διανομεὺς, ὡς ἐκ μιᾶς τε ἅμα καὶ κοινῆς φιλοτιμίας. μία γὰρ ἡ τῆς θεότητος φύσις, ἐν προσώπῳ τε καὶ ὑποστάσει Πατρός τε καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος. ἐπειδὴ δὲ ἀσύνηθές πως τοῖς ἀρχαιο τέροις καὶ ἀνεπιτήδευτον ἦν ἔτι τὸ δι' Υἱοῦ προσέρχεσθαι τῷ Πατρὶ, διδάσκει καὶ τοῦτο χρησίμως, καὶ ὥσπερ τινὰ κρηπῖδα τοῦ πράγματος ἐν τοῖς ἰδίοις μαθηταῖς προ καταβάλλων καὶ τὴν ἐπὶ τούτῳ πίστιν τε καὶ μάθησιν, καὶ εἰς ἡμᾶς αὐτοὺς παραπέμπει καὶ τῆς προσευχῆς τὸν τρόπον καὶ τῆς ἐλπίδος τὴν δήλωσιν. ἐπιδώσειν γὰρ αὐτὸς τὰ ἐν εὐχαῖς ἡμῖν ἐπαγγέλλεται, δεῖγμα τῆς κατὰ φύσιν θεότητος καὶ τῆς ἐνούσης αὐτῷ βασιλικῆς ἐξουσίας, καὶ τοῦτο τοῖς ἄλλοις προστιθείς. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε. Χρῆναι μὲν αἰτεῖν εὐχομένους ἐπὶ τῷ ὀνόματι αὐτοῦ διατεταχὼς, χορηγήσειν δὲ τοῖς αἰτοῦσιν αὐτὸς ὅπερ ἂν βούλωνται λαβεῖν ὑπισχνούμενος, φροντίδα ποιεῖται πολλὴν τοῦ μὴ διαψεύδεσθαι δοκεῖν διὰ τὰς τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰωθότων φιλο 2.463 ψογεῖν καταλαλιὰς ἀνοσίους. ἔστι γὰρ ἰδεῖν καὶ ἐξ αὐτῶν μάλιστα τῶν ἱερῶν γραμμάτων, ὡς προσίασι μὲν καὶ ἐξαι τοῦνταί τινες ἐπὶ τῷ ὀνόματι αὐτοῦ, δέχονται γεμὴν οὐδαμῶς, τὸ ἑκάστῳ πρέπον καὶ τοῖς αἰτοῦσι λυσιτελὲς οὐκ ἠγνοη κότος Θεοῦ. ἵνα τοίνυν ἐπιδείξῃ σαφῶς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, πρὸς τίνας αὐτῷ γέγονέ τε καὶ ἔστιν ὁ λόγος, καὶ τίσιν ἡ τῆς ὑποσχέσεως ὀφείλεται χάρις, ἐφ' ᾧ ἔσται καὶ ἀληθῶς, παρεκόμισεν εὐθὺς τῶν ἀγαπώντων τὸ πρόσωπον, καὶ τὸν ἀκριβῆ νομοφύλακα παραζεύγνυσι τῷ λόγῳ, δεικνὺς ὅτι πρὸς αὐτοὺς καὶ οὐχ ἑτέρους ἡ τῆς ἡμε ρότητος ἐπαγγελία καὶ ἡ τῶν πνευματικῶν ἀγαθῶν ἐπίδοσις δι' αὐτοῦ κρατήσει καὶ γενήσεται. ὅτι γὰρ ὄκνῳ πολλάκις ἡ χορηγὸς συστέλλεται χεὶρ τοῦ Θεοῦ, τοῖς οὐκ ὀρθῶς ἐθέ λουσιν αἰτεῖν τὸ τῶν ἐλπισθέντων ἀποκλείουσα πέρας, συνήσεις εὐκόλως ἐξ ὧν ὁ Χριστοῦ μαθητὴς ἀποτείνεται γράφων ὡδί "Αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε, "ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσετε." διὸ καὶ πάλιν περὶ τῶν διψυχεῖν εἰωθότων φησί "Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος "ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου· ἀνὴρ γὰρ "δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ." τοῖς μὲν γὰρ ἐρωτῶσιν οὐκ εἰς κατόρθωσιν ἀρετῆς τὴν ἄνωθεν χάριν, ἀλλ' εἰς ἀπόλαυσιν σαρκικῆς ἡδονῆς καὶ κοσμικῶν ἐπιθυμιῶν, μονονουχὶ καὶ ἀποφράττει τὸ οὖς ὁ Θεὸς, χορηγεῖ δὲ παντελῶς οὐδέν· ἃ γὰρ ἂν ἀποφάσκῃ καὶ ἀπόβλητα ποιῆται διὰ τὴν ἐνοῦσαν αὐτοῖς βδελυρίαν, πῶς ἂν χορη γήσαι τισίν; ἡ δὲ ἁπάσης γλυκύτητος πηγὴ πῶς ἂν αὐτὴ πικρὸν ἀναβλύσαι νᾶμα; ὅτι δὲ τοῖς τῶν πνευματικῶν χαρισμάτων ἐρασταῖς πλουσίᾳ τε καὶ προθυμοτάτῃ χειρὶ διανέμει τὰ ἀγαθὰ, κατόψει ῥᾳδίως, ὅταν ἀκούσῃς λέγοντος
διὰ μὲν Ἡσαΐου τοῦ προφήτου πρὸς αὐτούς "Ἔτι σοῦ "λαλοῦντος ἐρῶ Τί ἐστί;" διὰ δὲ τῆς τοῦ ψάλλοντος φωνῆς 2.464 ὅτι "ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς "δέησιν αὐτῶν." Ὁρισάμενος τοίνυν καὶ διαῤῥήδην εἰπὼν ὅτι τοῖς ἀγα πῶσιν αὐτὸν ὀφείλεταί τε καὶ ὑπάρξει δὴ πάντως τὸ τοῖς ἄνωθεν ἐντρυφᾶν ἀγαθοῖς, δι' αὐτοῦ δηλονότι χορηγουμένοις παρὰ Πατρὸς, καταγράφει παραχρῆμα καὶ τῆς ἀγάπης τὴν δύναμιν καὶ, ὅπως ἂν αὐτὴν ἐπιτηδεύσαιμεν, ἄριστά τε καὶ ἀνεγκλήτως διδάσκει διὰ τὸ χρήσιμον. οὐ γὰρ εἴ τις λέγοι τὸν Θεὸν ἀγαπᾶν, πάντως δὴ καὶ τὴν τοῦ ἀληθῶς ἀγαπᾶν ἀποίσεται δόξαν, ἐπεὶ μὴ ἐν λόγῳ ψιλῷ τῆς ἀρετῆς ἡ δύναμις, μήτε μὴν ἐν γυμνοῖς μορφοῦται ῥήμασι τῆς εἰς Θεὸν εὐσεβείας τὸ κάλλος, ἀλλ' ἢ ἐξ ἀγαθῶν ἀποτελεσμάτων καὶ φιληκόου γνώμης εὖ μάλα διαγινώσκεται, καὶ τῶν θείων ἐντολῶν ἡ τήρησις τὴν εἰς τὸ θεῖον ἀγάπην ἄριστα ζωγραφεῖ, καὶ ζῶσαν ὅλως καὶ ἀληθῆ παρίστησιν ἀρετὴν, οὐκ ἐν μόναις σκιαγραφουμένην ταῖς ἀπὸ γλώττης φωναῖς, καθάπερ εἰρή καμεν, φαιδροῖς δὲ ὥσπερ διαπρέπουσαν χρώμασι ταῖς τῶν ἔργων ἰδέαις καὶ ὁλοκλήρως ἐκλάμπουσαν. καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς σαφῶς ἡμῖν τοῦτο παραδεικνύς "Οὐ πᾶς ὁ λέγων μοι Κύριε Κύριε, φησὶν, εἰσελεύ "σεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ "θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς." οὐ γὰρ ἐν ἀργαῖς ῥημάτων κολακείαις ἡ πίστις, ἀλλ' ἐν ταῖς τῶν δρωμένων ποιότησι δοκιμάζεται· καὶ γοῦν νεκρὰν εἶναι ταύτην οὐ παρεπομένων τῶν ἔργων ἡ θεία λέγει γραφή. τὸ μὲν γὰρ εἰδέναι, φησὶν, ὅτι ὁ Θεὸς εἷς ἐστιν, οὐκ ἐν διανοίαις ἀνθρωπίναις εὑρήσομεν μόνον, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς ἀκαθάρτοις δαίμοσιν, ἃ καὶ φρίττει καὶ οὐχ ἑκόντα τὴν τοῦ ποιήσαντος δύναμιν. τὸ γεμὴν σύνδρομον ποιεῖσθαι τῇ πίστει τὴν ἀπὸ τῶν δρωμένων φαιδρότητα, μόνοις ἂν πρέπον καὶ ἐλλάμπον ὁρῷτο τοῖς ἀληθῶς ἀγαπῶσι τὸν Θεόν. οὐκοῦν 2.465 ἀπόδειξις τῆς ἀγάπης καὶ τελεώτατος τῆς πίστεως ὅρος, τῶν εὐαγγελικῶν δογμάτων ἡ τήρησις καὶ τῶν θείων ἐν τολῶν ἡ φυλακή. καὶ χαλεπὸν μὲν ἴσως οὐδὲν ἕτερα πρὸς τούτοις εἰπεῖν συγγενῆ πως ἔχοντα τὴν διάνοιαν, πλὴν οὐ τοῦ παρόντος οἶμαι καιροῦ. διὸ δὴ πάλιν ἰτέον ἐπὶ τὰ τοῖς προ κειμένοις ἡμῖν πρεπωδέστερα Ἐὰν ἀγαπᾶτέ με φησὶ, τὰς ἐντολάς μου τηρήσετε. σύνες γὰρ δὴ πάλιν καὶ διαμέμνησο καλῶς ὅτι πολλάκις τοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑαυτοῦ μαθηταῖς προσδιαλεγόμενος, ἢ καὶ αὐτοῖς τοῖς Ἰουδαίοις, ἔφασκε "Τὰ ῥήματα ἃ ἐγὼ "λαλῶ οὐκ ἔστιν ἐμὰ ἀλλὰ τοῦ πέμψαντός με·" καὶ πάλιν "Απ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πέμψας με Πατὴρ αὐτός "μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω·" καὶ πάλιν " Α οὖν ἐγὼ λαλῶ οὐκ ἔστιν ἐμὰ, ἀλλὰ τοῦ πέμψαντός με." νυνὶ δὲ δὴ πάλιν καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς ἄνω τε καὶ κάτω τοὺς λόγους εἶναι διωμολογηκὼς, οὓς ἐποιήσατο πρὸς ἡμᾶς, ἰδίας ἐντολὰς εἶναί φησιν, ἅπερ ἡμῖν λελάληκε. καὶ οὐ δή τις αὐτὸν νοῦν ἔχων οἰήσεται ψευδομυθεῖν· μὴ γὰρ εἰσέλθοι τοῦτο Χριστιανόν· ἀληθεύσει δὲ πάλιν, ἅτε δὴ καὶ αὐτὸς ὑπάρχων ἡ ἀλήθεια. οὐ γὰρ καθ' ἕνα τῶν προφητῶν, ὡς ἐν διακόνου τάξει καὶ ὑπηρέτου, τὸν παρὰ Πατρὸς ἡμῖν διεπόρθμευσε λόγον, ἀλλ' ὡς ἔχων πρὸς αὐτὸν τὴν ἐμφέ ρειαν, ὡς μηδὲ λόγῳ τυχὸν ὁρᾶσθαι διάφορον, ἀλλ' οὕτω πεφυκέναι λαλεῖν, ὥσπερ ἂν καὶ αὐτὸς ὁ Πατὴρ τυχὸν διαλέγοιτο. τὸ γὰρ ἀπαράλλακτον τῆς οὐσίας καὶ ταυ τολογεῖν ἀναπείθει τῷ γεννήσαντι τὸν Υἱόν· ὡς δὲ Λόγος ὢν αὐτὸς καὶ σοφία καὶ βούλησις τοῦ Θεοῦ καὶ Πατρὸς, δεδέχθαι φησὶν ἐντολὴν τί εἴπῃ καὶ τί λαλήσει. ἐπεὶ καὶ ἡμεῖς αὐτοὶ τὸν οἰκεῖον ἕκαστοι νοῦν, τῷ κατὰ προφορὰν τὴν διὰ ῥημάτων λόγῳ μονονουχὶ καὶ ἐντελλόμενον βλέπομεν πρὸς τὸ ἔξω βαδίζοντι διερμηνεῦσαι τὰ ἐν αὐτῷ. καὶ μικρὰ μὲν ὡς πρὸς Θεὸν ἡ τοῦ παραδείγματος δύναμις, εἰκόνα δὲ 2.466 ὅμως τὴν ἐν τοῖς καθ' ἡμᾶς, εἰς τὴν τῶν ὑπὲρ ταῦτα πληρο φορίαν δεχόμενοι, καθάπερ ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι τὰ θεῖα νοοῦμεν μυστήρια. Κἀγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα ᾖ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό· ὑμεῖς γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται.

Ἀναμίσγει πάλιν τῷ θεοπρεπεῖ τὸ ἀνθρώπινον, καὶ οὔτε πρὸς ἄκρατον ἀναφοιτᾷ τῆς θεότητος δόξαν, οὔτε μὴν ὁλο κλήρως τοῖς τῆς ἀνθρωπότητος μέτροις ἐμφιλοχωρεῖ, ἔρχεται δὲ δι' ἀμφοῖν παραδόξως τε ἅμα καὶ κεκραμένως, ἐπείπερ ἐστὶν ἐν ταὐτῷ Θεός τε καὶ ἄνθρωπος. Θεὸς μὲν γὰρ ἦν τῇ φύσει, καθόπερ ἐκ Πατρὸς καρπὸς καὶ ἀπαύγασμα τῆς οὐσίας αὐτοῦ· ἄνθρωπος δὲ πάλιν, καθὸ γέγονε σάρξ. λαλεῖ τοιγαροῦν ὡς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος, οὕτω γὰρ ἦν τηρῆσαι καλῶς τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοὺς πρέποντας λόγους. πλὴν ἐκεῖνό φαμεν τὴν τοῦ προκειμένου διερευ νῶντες δύναμιν· ὅτι καὶ νῦν ὁ Κύριος ἡμῶν ἀναγκαίως τὴν περὶ τοῦ Θεοῦ καὶ Πατρὸς εἰσκεκόμικε μνήμην, εἰς οἰκοδομὴν τῆς πίστεως καὶ εἰς τὸ σφόδρα λυσιτελὲς τοῖς ἀκροωμένοις, καθάπερ οὖν ἀποδείξει προϊὼν ὁ λόγος. ἐπειδὴ γὰρ αἰτεῖν ἡμᾶς ἐκέλευσεν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, καὶ τὸν τοῖς ἀρχαίοις ἀσυνήθη τρόπον τῆς προσευχῆς μετὰ τῶν ἄλλων ἐθέσπισε, δώσειν κατεπαγγειλάμενος καὶ μάλα προθύμως, ἅπερ ἂν ἐθέλωμεν λαβεῖν· ἵνα μὴ δοκοίη διὰ τούτων τὸ τοῦ Θεοῦ καὶ Πατρὸς παρωθεῖσθαι πρόσωπον, ἤγουν παραιρεῖσθαι τὴν τοῦ τεκόντος αὐτὸν ἐξουσίαν, τὴν ἐπὶ ταῖς τῶν ἁγίων φιλο τιμίαις φημὶ, χρήσιμον αὐτὸν συγχορηγὸν ἔσεσθαι καὶ 2.467 συνεπιδώσειν ἡμῖν τὸν παράκλητον ἔφη· τό Ἐρωτήσω πάλιν ἐπιὼν, ὡς ἄνθρωπος, ἰδικῶς τε ἀνατιθεὶς ὅλῃ τῇ θείᾳ τε καὶ ἀῤῥήτῳ φύσει τὸ αὐτῇ μάλιστα πρέπον, ὡς ἐν προσώπῳ τοῦ Θεοῦ καὶ Πατρός. τοῦτο γὰρ ἔθος αὐτῷ, καθὰ καὶ πολλάκις ἤδη προλαβόντες εἰρήκαμεν. Ἄλλον γεμὴν Παράκλητον τὸ Πνεῦμα καλεῖ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας, ἤτοι τῆς ἑαυτοῦ. εἷς γὰρ ἐπ' ἀμφοῖν τῆς οὐσίας ὁ λόγος, οὐκ ἔξω τιθεὶς αὐτὸ, τὸν δὲ τῆς ἑτερότητος λόγον ἐν μόνῳ νοεῖσθαι διδοὺς τῷ εἶναι καὶ ὑπάρχειν ἰδιο συστάτως αὐτό. οὐ γὰρ Υἱὸς τὸ Πνεῦμά ἐστιν, ἀλλ' ὄντως, ἰδίως τε ὂν καὶ ὑπάρχον τοῦθ' ὅπερ ἐστὶν ἐν πίστει παρα δεξόμεθα· Πνεῦμα γάρ ἐστι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. εἰδὼς δὲ ὅτι καὶ αὐτὸς παράκλητός ἐστί τε κατὰ ἀλήθειαν, καὶ ἐν τοῖς ἱεροῖς ὠνόμασται γράμμασι, παράκλητον ἄλλον τὸ Πνεῦμα καλεῖ, οὐχ ὡς ἕτερόν τι τυχὸν ἐνεργεῖν ἐν τοῖς ἁγίοις εἰδὸς ἢ ὅπερ ἂν καὶ αὐτὸς, οὗ καὶ ἔστι καὶ λέγεται Πνεῦμα. ὅτι δὲ καὶ αὐτὸς παράκλητος ὠνομάσθη τε καὶ ἔστιν ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Υἱὸς, μαρτυρήσει λέγων ὁ Ἰωάννης ἐν ἰδίαις συγγραφαῖς "Ταῦτα "λέγω, φησὶν, ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε. καὶ ἐάν τις δὲ "ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν "Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρ "τιῶν ἡμῶν." ἄλλον τοίνυν παράκλητον τὸ Πνεῦμα καλεῖ, ἐν ἰδίαις μὲν ὑποστάσεσι νοεῖσθαι θέλων αὐτὸ, τοσαύτην γεμὴν ἔχον τὴν ἐμφέρειαν ὡς πρὸς αὐτὸν, καὶ ἀπαραλλάκτως οὕτως ἐνεργεῖν ἰσχύον ἅπερ ἂν καὶ αὐτὸς ἐνεργοίη τυχὸν, ὡς αὐτὸν εἶναι δοκεῖν τὸν Υἱὸν, καὶ ἕτερον οὐδέν· Πνεῦμα γάρ ἐστιν αὐτοῦ. καὶ γοῦν τῆς ἀληθείας αὐτὸ κατωνόμασε Πνεῦμα, καὶ διὰ τῶν προκειμένων ἑαυτὸν εἶναι τὴν ἀλήθειαν λέγων. 2.468 Ἀλλ' ἐρεῖ τις εἰκότως τοῖς ἀλλότριον εἶναι νομίζουσι τὸν Υἱὸν τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας Καὶ πῶς, εἰπέ μοι, τὸ τῆς ἀληθείας Πνεῦμα, τουτέστι τὸ τοῦ Υἱοῦ, δίδωσιν ὁ Πατὴρ, οὐχ ὡς ξένον ἢ ἀλλότριον, ἀλλ' ὡς ἴδιον Πνεῦμα, καίτοι καθ' ὑμᾶς διωρισμένον ἔχων τῆς οὐσίας τὸν λόγον πρὸς τὸν Υἱὸν, καὶ Υἱοῦ τὸ Πνεῦμά ἐστιν, οὐ γὰρ ὅτι ἀμφί λογον· πῶς δὲ αὖ πάλιν, εἴπερ ἐστὶν ἑτεροούσιος ὁ Υἱὸς, τὸ τοῦ Πατρὸς Πνεῦμα δίδωσιν, ὡς ἑαυτοῦ; γέγραπται γὰρ ὅτι "ἐνεφύσησε τοῖς μαθηταῖς λέγων Λάβετε Πνεῦμα " Αγιον." ἆρ' οὖν οὐκ οἰήσεταί τις, καὶ μάλα δικαίως, μᾶλλον δὲ καὶ ἀραρότως διακείσεται, ὅτι τῶν τοῦ Θεοῦ καὶ Πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὑπάρχων κοινωνὸς ὁ Υἱὸς, ἔχει τὸ Πνεῦμα κατὰ τοῦτον τὸν τρόπον καθ' ὅν περ ἂν νοοῖτο καὶ ὁ Πατὴρ, οὐκ ἐπακτὸν οὐδὲ ἔξωθεν· εὔηθες γὰρ, μᾶλλον δὲ μανικὸν τὸ οὕτω φρονεῖν· ἀλλ' ὥσπερ ἡμῶν ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδο τάτων σπλάγχνων εἰς τὸ ἔξω προχέει. διὰ γάρ τοι τοῦτο καὶ σωματικῶς ἐνεφύσησεν ὁ Χριστὸς, δεικνὺς ὅτι καθάπερ ἐκ στόματος τοῦ ἀνθρωπίνου πρόεισι τὸ πνεῦμα σωματικῶς, οὕτω καὶ ἐκ τῆς θείας οὐσίας θεοπρεπῶς προχεῖται τὸ ἐξ αὐτοῦ. ὅτε τοίνυν αὐτὸ τὸ Πνεῦμα τοῦ τε Θεοῦ καὶ Πατρός ἐστι καὶ τοῦ Υἱοῦ, πῶς οὐχὶ πάντως μίαν ἕξουσι τὴν ἐξου σίαν διῃρημένως τε ἅμα καὶ συνημμένως; Πατὴρ γὰρ ὁ Πατὴρ καὶ οὐχ Υἱὸς, καὶ Υἱὸς ὁ Υἱὸς καὶ οὐχὶ Πατήρ· πλὴν ὁ Πατὴρ ἐν Υἱῷ καὶ ὁ Υἱὸς ἐν Πατρί· δίδωσι γεμὴν τὸν παράκλητον, ἤτοι τὸ Πνεῦμα τὸ Ἅγιον, οὐκ ἰδίᾳ μὲν ὁ Πατὴρ, ἰδίᾳ δὲ ὁ Υἱὸς, χορηγεῖται δὲ μᾶλλον τοῖς ἁγίοις παρὰ Πατρὸς δι' Υἱοῦ. διὰ γάρ τοι τοῦτο διδόναι λεγομένου 2.469 τοῦ Πατρὸς, ὁ δι' οὗ τὰ πάντα δίδωσιν ὁ Υἱός· καὶ διδόναι λεγομένου τοῦ Υἱοῦ, ὁ ἐξ οὗ τὰ πάντα δίδωσιν ὁ Πατήρ. Ὅτι δὲ θεῖόν τε τὸ Πνεῦμα, καὶ οὐχ ἑτεροούσιον, ὡς πρὸς αὐτόν τε φημὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν, οὐδενὶ μὲν οἶμαι τῶν εὖ φρονούντων ὑπάρχειν ἀμφίβολον, καὶ ἀναγκαῖος δὲ ἡμᾶς ἀναπείσει λόγος. εἰ γὰρ οὐκ εἶναί τις αὐτό φησιν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, πῶς ἂν εἴη Θεοῦ μέτοχος ἡ κτίσις ἔτι λαβοῦσα τὸ Πνεῦμα; κατὰ τίνα δὲ τρόπον ναοὶ Θεοῦ χρη ματιοῦμεν καὶ ἐσόμεθα, κτιστὸν ἢ ἀλλογενὲς κομιζόμενοι πνεῦμα, καὶ οὐχὶ μᾶλλον τὸ ἐκ Θεοῦ; πῶς δὲ θείας φύσεως κοινωνοὶ, κατὰ τὰς τῶν ἁγίων φωνὰς, οἱ Πνεύματος μέτοχοι, εἰ τοῖς γενητοῖς ἐναρίθμιόν ἐστι, καὶ οὐχὶ μᾶλλον ἐξ αὐτῆς ἡμῖν τῆς θείας φύσεως πρόεισιν, οὐ διικνούμενον δι' αὐτῆς εἰς ἡμᾶς ὡς ἀλλότριον ἀλλ', ἵν' οὕτως εἴπω, ποιότης ὥσπερ τις τῆς θεότητος ἐν ἡμῖν γινόμενον, καὶ ἐν τοῖς ἁγίοις κατοι κοῦν, καὶ ἀπομένον διὰ παντὸς, εἰ τῆς ἑαυτῶν διανοίας τὸν ὀφθαλμὸν διὰ πάσης ἐπιεικείας ἀποκαθαίροντες καὶ διὰ τῆς εἰς πᾶσαν ἀρετὴν ἀνενδότου σπουδῆς, συντηροῖεν ἑαυτοῖς τὴν χάριν. ἀχώρητον μὲν γὰρ καὶ ἀθεώρητον αὐτὸ τοῖς ἐν κόσμῳ φησὶν ὁ Χριστὸς, τουτέστι, τοῖς τὰ ἐν κόσμῳ φρονοῦσι καὶ ἀγαπᾶν ἑλομένοις τὰ ἐπίγεια, χωρητὸν γεμὴν καὶ εὐκάτοπτον τοῖς ἁγίοις. διὰ ποίαν αἰτίαν; οἱ μὲν γὰρ δυσέκπλυτον ἔχοντες τὴν ἀκαθαρσίαν, καὶ λήμης ὥσπερ τινὸς τὸν οἰκεῖον ἀναπλήσαντες νοῦν, τὸ τῆς θείας φύσεως οὐ περιαθροῦσι κάλλος, οὔτε μὴν τὸν τοῦ Πνεύματος καταδέχονται νόμον, ὁλοτρόπως τοῖς τῆς σαρκὸς τυραννούμενοι πάθεσιν· οἱ δὲ ἀγαθοὶ καὶ νηφαλέοι, σχολάζουσαν τῶν ἐν κόσμῳ κακῶν ἔχοντες τὴν καρδίαν, εἰσοικίζουσι μὲν ἐν ἑαυτοῖς ἐθελοντὶ τὸν Παράκλητον, διασώζουσι δὲ λαβόντες, καὶ καθόσον ἀνθρώ ποις ἐφικτὸν, νοητῶς θεωροῦσι, πολύ τι καὶ μέγα καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

2.470 ἀξιοζήλωτον ἐντεῦθεν ἀποκομιζόμενοι τὸ γέρας. ἁγιάσει γὰρ αὐτοὺς, καὶ πάντων ὁμοῦ τῶν ἀγαθῶν ἀποτελεστὰς ἀπο δείξει, καὶ τὸ μὲν τῆς ἀνθρωποπρεποῦς δουλείας αἶσχος ἀφιεῖ, τῷ δὲ τῆς υἱοθεσίας ἀξιώματι περιβαλεῖ. καὶ μαρτυ ρήσει λέγων ὁ Παῦλος "Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν "ὁ Θεὸς τὸ πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, "κράζον Ἀββᾶ ὁ πατήρ." Οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς, ἔρχομαι πρὸς ὑμᾶς. Ἀναγκαίως καὶ νῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸν περὶ τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος ἐξυφαίνει λόγον. δέδειχε μὲν γὰρ ἤδη πρότερον, παραθεὶς εἰς πληρο φορίαν λόγους τε καὶ πράγματα τοῖς ἀγαπῶσιν αὐτὸν, ὅτι τε καὶ ὑπάρχοι κατὰ φύσιν Θεὸς, καὶ ἐκ Θεοῦ γεγέννηται Πατρὸς, ἰσοσθενής τε ἐστὶ καὶ ἰσογνώμων αὐτῷ. διὰ γὰρ τοῦτο καὶ ἔφασκέ ποτε μὲν, ὅτι "ἐγὼ ὃ λαλῶ, ἀπ' ἐμαυτοῦ οὐ "λαλῶ," ποτὲ δὲ πάλιν "Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός "μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, "τοῖς ἔργοις μου πιστεύετε." ἀλλ' ἦν ἐπὶ τούτοις οὐ μετρίως ἀναγκαῖον τὸ καὶ ἐπ' αὐτῷ τῷ Ἁγίῳ Πνεύματι τὴν ὀρθῶς τε καὶ ἀνεγκλήτως ἔχουσαν δέχεσθαι δόξαν. οὕτω γὰρ ἦν ὁλοκλήρως εἰς ὀρθότητα πίστεως τὸν τῶν ἀκροωμένων ἄπευ θύνεσθαι νοῦν. τί τοίνυν ἡμᾶς διὰ τῶν προκειμένων διδά σκει Χριστὸς, ὡς ἐν ὀλίγοις ἐκθήσομαι. ἕτερον ἡμῖν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς πεμφθήσεσθαι λέγων, ἀσφαλίζεται πάλιν οἰκονομικῶς τὸν ἐπὶ τῇ πίστει λόγον. ἦν γὰρ δή τινας εἰκὸς οὐκ ὀρθῶς νοοῦντας τὸ εἰρημένον, οἰήσεσθαι λέγειν αὐτὸν οὐκ ἐκ τῆς οὐσίας εἶναι τοῦ Θεοῦ τὸ Πνεῦμα τὸ Ἅγιον, καθάπερ οὖν ἔδοξε τῶν ἀσυνέτων τισὶν, ἀλλ' ἕτερόν τι κατὰ φύσιν ὑπάρχειν αὐτό· τὸ γάρ Ἄλλον εἰπεῖν, παρά γε τοῖς ἀμαθεστέροις, τοιαύτης τινὸς αἰτίας ἔμφασιν 2.471 εἰσκομίσειεν ἄν. ἵνα τοίνυν ἐπιδείξῃ σαφῶς, ὅτι τὸν τῆς ἑτερότητος λόγον οὐ καθ' ἕτερόν τινα νοεῖσθαι βούλεται τρόπον, ἀλλὰ κατὰ μόνον τὸ ἰδίως ὑπάρχειν αὐτό· Πνεῦμα γὰρ τὸ Πνεῦμα καὶ οὐχ Υἱός, ὥσπερ οὖν Υἱὸς ὁ Υἱὸς καὶ οὐ Πατήρ· ἀποσταλήσεσθαι τὸν Παράκλητον εἰπὼν, αὐτὸς ἥξειν ἐπαγγέλλεται, οὐχ ἕτερόν τι τὸ Πνεῦμα δεικνὺς ἢ ὅπερ ἐστὶν αὐτὸς, ἐπείπερ ἐστὶν ἐκ τοῦ Πατρὸς ἴδιον Πνεῦμα καὶ αὐτοῦ νοεῖται· καὶ νοῦς αὐτοῦ διὰ τοῦτο καὶ ὠνόμασται· καὶ γοῦν ὁ Παῦλός φησιν αὐτὸ δὴ τοῦτο σημαίνων "Ἡμεῖς δὲ "νοῦν Χριστοῦ ἔχομεν." συνιέντες τοίνυν ὀρθῶς τε καὶ ἀπλανῶς, καὶ τὸ ἐκτρέπεσθαί ποι παρὰ τὸ εἰκὸς ὡς ἀκαλλὲς διωθούμενοι, καὶ τοῖς τῆς θεοπνεύστου γραφῆς ἑπόμενοι λόγοις, φαμὲν ὅτι οὐχ ἕτερόν τι παρ' αὐτὸν, ὅσον ἧκεν εἰπεῖν εἰς ταυτότητα φυσικὴν, διῃρημένως τε καὶ ἰδιοσυστάτως· τοῦτο γὰρ οἶμαι συνεὶς καὶ ὁ θεσπέσιος Παῦλος παραμίσγει πολλάκις, καὶ ὡς ταὐτὸν ὂν ἑκάτερον εἰσφέρει, τὸν Παρά κλητόν φημι καὶ τὸν Υἱόν. εὑρήσεις γὰρ λέγοντα "Εἰ δέ "τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ," καὶ πάλιν εὐθύς "Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα "νεκρὸν διὰ τὴν ἁμαρτίαν, τὸ δὲ Πνεῦμα ζωὴ διὰ δικαιο "σύνην." ἀκούεις πῶς Χριστὸν ἔχειν διαῤῥήδην ὁμολογεῖ τοὺς τὸ Πνεῦμα λαβόντας αὐτοῦ; φησὶ δὲ καὶ ἐν ἑτέροις "Δοκῶ γὰρ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν." ὁ δὲ τοῦτο πρὸς ἡμᾶς εἰπών "Εἰ δοκιμὴν ζητεῖτε, φησὶ, τοῦ ἐν ἐμοὶ λα "λοῦντος Χριστοῦ," καὶ ἡμῖν δὲ τοῖς πεπιστευκόσιν ἐνοικῆ σαι Χριστὸν διὰ τῆς πίστεως πολλάκις ἐπεύχεται, καίτοι τὸ Πνεῦμα δεχόμενος τὸ Ἅγιον. καὶ μή τις οἰέσθω λέγειν ἡμᾶς, ὅτι τῶν ὀνομάτων, ἤτοι τῶν προσώπων ἀναιρεῖ τὴν εἰς ἑκάτερον στάσιν, ἢ ὅτι τὸν Υἱὸν οὐχ Υἱὸν εἶναί φησιν ἀλλὰ Πνεῦμα, ἤγουν τὸ Πνεῦμα Πνεῦμα μὲν οὐκ οἶδεν, Υἱὸν δὲ 2.472 εἶναί φησιν· οὐ γὰρ οὗτος ἦν ἐν ἐκείνῳ σκοπὸς, ἀλλ' οὐδὲ οὕτως πιστεύομεν. οἶδε γὰρ τῆς ἁγίας καὶ ὁμοουσίου Τρι άδος τὴν ἀπαρίθμησιν, καὶ ἰδίᾳ μὲν ἕκαστον τῶν σημαινο μένων ὑφεστάναι διδάσκει· τὸ γεμὴν ἐν ἀπαραλλάκτῳ κεῖσθαι ταυτότητι τὴν ἁγίαν Τριάδα διακηρύττει σαφῶς. ἐπεὶ πῶς τὸ Πνεῦμα Θεός ἐστι καὶ ὀνομάζεται; "Οὐκ οἴ "δατε γὰρ, φησὶν, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ "Θεοῦ ἐν ὑμῖν οἰκεῖ;" εἰ δὲ ἐπείπερ ἐν ἡμῖν οἰκεῖ τὸ Πνεῦμα, ναοὶ γεγόναμεν τοῦ Θεοῦ, πῶς οὐκ ἐκ Θεοῦ τὸ Πνεῦμα, τουτ έστιν, ἐκ τῆς οὐσίας αὐτοῦ, Θεὸν ἐν ἡμῖν οἰκίζον δι' ἑαυτοῦ; οὐκοῦν οὐκ ἀλλότριον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς ἰδίας φύσεως δεικνὺς τὸ Πνεῦμα ὁ Μονογενὴς, παρὰ τοῦ Πατρὸς ἐκπέμπεσθαι τοῖς ἁγίοις εἰπὼν τὸν Παράκλητον, αὐτὸς ἥξειν ἐπαγγέλλεται καὶ τὴν Πατρὸς τάξιν αὐτοῖς ἀποπληροῦν, ἵνα μὴ καθάπερ τινὲς ὀρφανοὶ τῆς τοῦ προεστηκότος ἐπικουρίας ἔρημοι, διά τε τοῦτο λοιπὸν ταῖς τοῦ διαβόλου παγίσιν εὐάλωτοι καὶ τοῖς ἐν κόσμῳ σκανδάλοις εὐεπιχείρητοι λίαν εὑρίσκωνται, καίτοι πολλοῖς οὖσι καὶ ὡς ἐξ ἀνάγκης ἐρχομένοις διὰ τὴν ἀκάθεκτον τῶν ἐπαγόντων μανίαν. ὅπλον οὖν ἄρα καὶ ἀσφάλειαν ἀῤῥαγῆ ταῖς ἡμετέραις ψυχαῖς δέδωκεν ὁ Πατὴρ τὸ Πνεῦμα Χριστοῦ, τὴν αὐτοῦ χάριν τε καὶ παρουσίαν καὶ δύναμιν ἐν ἡμῖν ἀπο πληροῦν. ἀμήχανον γὰρ ἀνθρώπου ψυχὴν κατορθῶσαί τι τῶν ἀγαθῶν ἤγουν τῶν οἰκείων κρατῆσαι παθῶν, ἢ τῆς τοῦ διαβόλου παγίδος ὀξείας διαδρᾶναι τὸ μέγεθος, μὴ τῇ τοῦ Ἁγίου Πνεύματος τετειχισμένην χάριτι, καὶ αὐτὸν ἔχουσαν ἐν ἑαυτῇ διὰ τοῦτο Χριστόν. καὶ γοῦν ὁ θεσπέσιος ἡμῖν μελῳδὸς τὰ ὑπὲρ τούτου χαριστήρια διὰ τῆς ἐνούσης αὐτῷ σοφίας συντιθεὶς ἀνεφώνει πρὸς τὸν Θεόν "Κύριε, ὡς ὅπλῳ "εὐδοκίας ἐστεφάνωσας ἡμᾶς·" ὅπλον εὐδοκίας οὐδὲν ἕτερον εἶναι λέγων, ἢ τὸ προασπίζον ἡμῶν Ἅγιον Πνεῦμα, καὶ ἀδοκήτῳ συνέχον ἰσχΰϊ πρὸς τὸ δοκοῦν τῷ Θεῷ. οὐκοῦν ὅτι 2.473 παρέσται καὶ βοηθήσει διὰ τοῦ Πνεύματος τοῖς πιστεύουσιν εἰς αὐτὸν, οὐδὲν ἧττον ἐπαγγέλλεται, κἂν εἰς αὐτοὺς ἀνα βαίνῃ τοὺς οὐρανοὺς, μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, "νῦν "ἐμφανισθήσεσθαι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν," κατὰ τὴν τοῦ Παύλου φωνήν. Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐπὶ θύραις ὄντος τοῦ πάθους, καὶ τὸν τῆς ἀναλήψεως καιρὸν συνεισάγοντος, ἄποπτος ἔσεσθαι τῷ κόσμῳ φησὶ, τουτέστι, τοῖς τῶν θείων προτιμήσασιν ἀγαθῶν τὴν τῶν προσκαίρων ἀπόλαυσιν, καὶ τῶν οὐρανίων τὰ ἐπίγεια ποιου μένοις ἐν ἀμείνοσι. καὶ τοῖς μὲν ἤδη προειρημένοις ἀδελφήν τε καὶ σύνδρομον τὴν διάνοιαν ἐξυφαίνοντες, ἐροῦμεν εὐ λόγως, ὅτι τὸν μὲν παράκλητον, τουτέστι, τὸ Πνεῦμα τὸ Ἅγιον, δέδωκεν ὁ Θεὸς καὶ Πατὴρ, δι' Υἱοῦ δηλονότι· πάντα γὰρ δι' αὐτοῦ παρὰ Πατρός. ἐλήλυθε γεμὴν, οὐκ ἐπὶ πάντας ἀδιακρίτως, πονηρούς τε καὶ ἀγαθοὺς, ἀλλ' ἐφ' οὓς ἦν αὐτῷ βαδιεῖσθαι πρέπον. ὅσον μὲν γὰρ ἧκεν εἰς τὴν τοῦ διδόντος πλουσιωτάτην τε καὶ ἄφθονον χάριν, οὐδεὶς ἔμεινεν ἀμέτοχος τῶν ἐπὶ τῆς γῆς· "Ἐκχεῶ γὰρ, φησὶν ἐν προφήταις, ἀπὸ "τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα·" ἕκαστος γεμὴν ἑαυτῷ παραίτιος γίνεται τοῦ κεκτῆσθαι τὸ θεόσδοτον ἀγα θὸν, ἢ καὶ μηδόλως ἑλεῖν. οἱ μὲν γὰρ διὰ πάσης ἐπιεικείας τὸν οἰκεῖον ἀποκαθαίροντες νοῦν οὐδαμῶς, ἐμφιλοχωροῦντες δὲ λίαν τοῖς ἐν κόσμῳ κακοῖς, ἀμέτοχοι τῆς θείας ἀπομενοῦσι χάριτος, οὐκ ὄψονται Χριστὸν ἐν ἑαυτοῖς, ἐρήμην τοῦ Πνεύ ματος ἔχοντες τὴν καρδίαν. διά τοι τοῦτο καὶ ἐν τάξει γεγο νότες τῷ προστάτῃ τῶν ὀρφανῶν, ὑπὸ παντὸς, ὡς ἔπος εἰπεῖν, διαρπάζονται τοῦ πλεονεκτεῖν ἰσχύοντος, ἢ πάθους, ἢ δαίμονος, ἤγουν ἑτέρας τινὸς ἐπιθυμίας κοσμικῆς, καὶ παντὸς 2.474 πράγματος καθέλκοντος ὥσπερ καὶ βιαζομένου πρὸς ἁμαρ τίαν. τοῖς γεμὴν ὁσίοις καὶ ἐπιτηδείως ἔχουσιν εἰς τὸ λαβεῖν αὐτὸν εἰκότως ἔφασκεν, ἐπειδὴ τούτων ἔμελλον ὑπομένειν οὐδέν "Οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς, ἔρχομαι πρὸς ὑμᾶς." οὐκοῦν ἄποπτος μὲν καὶ ἀθέατος κομιδῇ τοῖς τὰ ἐν κόσμῳ φρονοῦσι χρηματίσαι φησὶ, μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, φημὶ δὴ τὴν εἰς οὐρανοὺς ἀναφοίτησιν· ὁρατὸς δὲ τοῖς ἁγίοις εὑρεθήσεσθαι λέγει, θείαν τε τινὰ καὶ νοητὴν ἐντι θέντος μαρμαρυγὴν τοῖς τῆς καρδίας αὐτῶν ὀφθαλμοῖς τοῦ Ἁγίου Πνεύματος, καὶ πᾶσαν εἴδησιν ἐνσπείροντος ἀγαθήν. Ἢ γὰρ οὕτως αὐτὸν οἰησόμεθα λέγειν τό Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με, ἤγουν ἐφ' ἑτέραν τινὰ παρακλίνοντες θεωρίαν, μάλισθ' ὅτι προσπλέκεται τοῖς εἰρημένοις παρ' αὐτοῦ τό Ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε, λογιζόμεθά τι τοιοῦτον. μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, κατορθώσας τῇ ἡμετέρᾳ φύσει τὴν εἰς ὅπερ ἦν ἐξ ἀρχῆς ἐπαναδρομὴν, καὶ ἀποδείξας τὸν ἄνθρωπον ἄφθαρτον, ὡς ἐν ἀπαρχῇ καὶ πρώτῳ τῷ ἰδίῳ ναῷ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνέβη πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· ἀλλ' ὀλίγον μεταξὺ διατελέσας χρόνον, καταβήσεται πάλιν, καθάπερ πιστεύομεν, καὶ ἐπα νήξει πάλιν πρὸς ἡμᾶς "ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ "τῶν ἁγίων ἀγγέλων," καὶ προθήσει μὲν ἅπασι τὸ φρικω δέστατον βῆμα πονηροῖς τε καὶ ἀγαθοῖς. σύμπαν γὰρ ἥξει τὸ ποιηθὲν εἰς κρίσιν· ἀναλόγως δὲ τοῖς ἑκάστῳ βεβιωμένοις ἀποδιδοὺς τὰ πρέποντα, τοῖς μὲν ἐξ εὐωνύμων ἐρεῖ, τουτέστι, τοῖς τὰ ἐν κόσμῳ πεφρονηκόσι ποτέ "Πορεύεσθε ἀπ' ἐμοῦ "κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ "διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ·" τοῖς γεμὴν ἐκ δεξιῶν, τουτέστι, τοῖς ὁσίοις καὶ ἀγαθοῖς "Δεῦτε οἱ εὐλογημένοι τοῦ "Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασι 2.475 "λείαν ἀπὸ καταβολῆς κόσμου." συνέσονται γὰρ καὶ συμ βασιλεύσουσι τῷ Χριστῷ, καὶ τοῖς οὐρανίοις ἐντρυφήσουσιν ἀγαθοῖς, σύμμορφοι γεγονότες τῆς ἀναστάσεως αὐτοῦ, καὶ τῆς μὲν ἀρχαίας φθορᾶς διαδράντες τοὺς βρόχους, μακρᾷ δὲ καὶ ἀμυθήτῳ περιβληθέντες ζωῇ, καὶ ἀτελευτήτως τῷ ἀεὶ ζῶντι συζῶντες Δεσπότῃ. ὅτι γὰρ οἱ θεοφιλῆ καὶ ἐξαίρετον ἀσκήσαντες βίον, ἀδιαλείπτως συνέσονται τῷ Χριστῷ, θεω ροῦντες δηλονότι τὸ θεῖον αὐτοῦ καὶ ἄῤῥητον κάλλος, σαφη νιεῖ λέγων ὁ Παῦλος "Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, "ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται "ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται "πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι σὺν "αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ "Κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα·" καὶ πάλιν πρὸς τοὺς νεκροῦν ἑλομένους τὰ ἐν κόσμῳ πάθη "Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ "Χριστῷ ἐν τῷ Θεῷ, ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ "ὑμῶν, τότε καὶ ὑμεῖς φανερωθήσεσθε σὺν αὐτῷ ἐν δόξῃ." οὐκοῦν· ἀνακεφαλαιώσομαι γὰρ τοῦ λόγου τὴν δύναμιν· οἱ μὲν τῶν ἐν κόσμῳ κακῶν ἐρασταὶ κατοιχήσονται πρὸς τὸν ᾅδην, καὶ ἐκ προσώπου γενήσονται Χριστοῦ· συνέσονται γεμὴν αὐτῷ καὶ συνδιαιτήσονται διὰ παντὸς οἱ τῆς ἀρετῆς ἐρασταὶ, καὶ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἀσινῆ τηρή σαντες, συνόντες δὲ δηλονότι, καὶ τὸ θεοπρεπὲς αὐτοῦ κατό ψονται κάλλος ἀδιακωλύτως· "Ἔσται γάρ σοι, φησὶ, "Κύριος φῶς αἰώνιον, καὶ ὁ Θεὸς δόξα σου·" καὶ εἰκὸς δὲ τοῦτο βούλεσθαι δηλοῦν τὸν Κύριον, ὅταν ἀκούωμεν λέ γοντος Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε. διαψεύσεται γεμὴν οὐδαμῶς, μικρὸν εἶναι λέγων τὸν μεταξὺ χρόνον τῆς οἱονεὶ ἀποκαλύψεως αὐτοῦ. Θεῷ γὰρ τῷ ἀεὶ ὄντι καὶ ὁ μακρὸς 2.476 καθ' ἡμᾶς χρόνος ἐν τῷ μηδενὶ τέθειται παντελῶς· καὶ μαρτυρήσει λέγων ὁ μελῳδός "Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς "σου, Κύριε, ὡς ἡμέρα ἡ χθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν "νυκτί." Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑμεῖς γνώσεσθε ὅτι ἐγὼ ἐν τῷ Πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. Δυσέφικτον μέν πως ἐστὶ τὸ ἐν τοῖς προκειμένοις θεώ ρημα, καὶ δριμεῖαν ὥσπερ ἐξαιτοῦν ἐφ' ἑαυτῷ τὴν βάσανον, ὄκνον τε τῷ λόγῳ περιποιοῦν ἱκανώτατον, κατευθύνῃ γεμὴν ὅτι πάλιν ἡμᾶς εἰς ἀλήθειαν ὁ Χριστὸς, πιστεύομεν. τινὲς μὲν οὖν, καίτοι τῶν προΰχειν ὑποληφθέντων ποτὲ παρὰ τοῖς ἀνοσίοις αἱρετικοῖς, παραιτούμενοι πονηρῶς τὸ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ὁμολογεῖν τὸν Υἱὸν, διά τε τοῦτο ὑπάρχειν ἐν αὐτῷ σχετικήν τινα καὶ οὐ φυσικὴν ὑπονοοῦσι τὴν ἕνωσιν, καὶ δὴ καὶ γεγραφήκασι, τὰ ἐκ τῆς οἰκείας ἐρευγόμενοι γνώμης, οὐ τὰ ἐξ Ἁγίου Πνεύματος, ὡς ἐπείπερ ἀγαπᾶται μὲν ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, ἀγαπᾷ δὲ αὖ πάλιν αὐτὸς τὸν Πατέρα, κατὰ τοῦτόν ἐστι τὸν τρόπον ἐν αὐτῷ. καὶ ἀπόδειξιν ὥσπερ τινὰ δυσανάτρεπτον εἰσκομίζουσιν οἱ παράφρονες τό τε τῷ προκειμένῳ παρεζευγμένον ῥητῷ, περί τε ἡμῶν καὶ αὐτοῦ· καὶ δὴ καί φασι καλαμίνην ὥσπερ τινὰ ῥάβδον ταῖς ἑαυτῶν ὑποστήσαντες δυσφημίαις, ὅτι ὥσπερ ἡμεῖς ἐν αὐτῷ εἶναι λεγόμεθα, ἔχομέν τε αὐτὸν ἐν ἑαυτοῖς, καὶ οὐ κατὰ τὸν τῆς οὐσίας λόγον ἑνούμεθα, τρόπος δὲ τῆς ἑνώσεως, καθὰ πεφύκαμεν ἀγαπᾶν τε καὶ ἀνταγαπᾶσθαι· οὕτω, φησὶ, καὶ ὁ Υἱὸς, οὐκ ἐν τῇ οὐσίᾳ πάντως ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, διακεκριμένος δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παντελῶς κατά γε τὸν τῆς φύσεως λόγον, καὶ ἑτεροίως ἔχων κομιδῇ, κατὰ μόνον τὸν τῆς ἀγάπης θεσμὸν νοεῖται, φησὶν, ἐν τῷ Πατρί. σκοπὸς γὰρ αὐτοῖς, καθάπερ ἔφαμεν ἀρτίως, ποίημα καὶ κτίσμα καὶ 2.477 γενητὸν καὶ μόναις μὲν ταῖς κατὰ τῶν ἄλλων κτισμάτων ὑπεροχαῖς τιμώμενον, ἔξω γεμὴν τῆς οὐσίας ὑπάρχοντα τοῦ Θεοῦ καὶ Πατρὸς ἀποφῆναι τὸν Μονογενῆ. Μακροῦ δὲ ἡμῖν ἤδη περὶ τούτου γεγονότος λόγου, δι' οὗ κατά γε τὴν ἐνοῦσαν ἡμῖν ἐδεικνύομεν δύναμιν, ὅτι κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ οὐσιώδη πρὸς αὐτὸν ἔχει τὴν ἕνωσιν, παρήσομεν ἔτι τὸ περὶ τούτου τέως εἰς τὸ παρὸν διατείνεσθαι. πλὴν οὐχ ὁλοκλήρως ἐπιτρέψομεν ἐρή μην ὥσπερ καταδραμεῖν τοῦ λόγου τοὺς δι' ἐναντίας, ἀντι παραταξόμεθα δὲ δι' ὀλίγων, ὡς οἷόν τε κεκακουργημένον ἅμα καὶ ἀμαθὲς ἀποφαίνοντες τῆς πονηρίας αὐτῶν τὸ μυσαρὸν φιλοτέχνημα, καὶ δὴ καὶ ἐροῦμεν Εἰ διὰ μόνον τὸ ἀγαπᾶσθαι καὶ ἀγαπᾶν ὁ Υἱὸς ἔνεστι τῷ Πατρὶ, κατὰ τὸν αὐτὸν τοῦτον λόγον ἡμεῖς τε ἐν αὐτῷ καὶ αὐτὸς ἐν ἡμῖν, καὶ δεσμὸς μὲν οὐδεὶς συνάπτων ὁρᾶται ἕτερος, ἢ τῷ Πατρὶ τὸν Υἱὸν, ἤγουν ἡμᾶς αὐτῷ καὶ αὐτὸν ἡμῖν· πῶς ἢ διὰ τίνα τρόπον, εἰπέ μοι, φησὶν, ὡς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνωσόμεθα τὸ περὶ τούτου μυστήριον; οὔπω γὰρ κατὰ τὸ εἰκὸς ἐγνώκαμεν, ὅτι ὁ Πατὴρ μὲν τὸν Υἱὸν ἀγαπᾷ, ἀγαπᾷ δὲ καὶ αὐτὸς τὸν Πατέρα· ἀλλ' οὐδ' ἴσμεν πω τάχα τὰ καθ' ἑαυτοὺς, λο γισμὸς δὲ ἡμᾶς διαπαίζει κενὸς οἰομένους ὅτι ἠγάπησε μὲν ἡμᾶς ὁ Υἱὸς, καὶ διὰ τοῦτο τῷ Πατρὶ κατεκτήσατο, ἠγαπή σαμεν δὲ καὶ ἡμεῖς αὐτόν. λέγων γὰρ τό Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε, οὔπω παρόντα δεικνύει τὸν τῆς εἰδήσεως χρόνον· εἶτα τί μάτην ἡμᾶς κατεκτύπει λέγων ὁ Κύριος "Ὁ Πατὴρ "ἀγαπᾷ τὸν Υἱόν;" ὅτι γὰρ καὶ αὐτὸς ἀγαπᾷ τὸν Πατέρα, τίς οὐκ ἐρεῖ; πῶς δὲ εἰπέ μοι καὶ τῆς εἰς ἡμᾶς ἀγαπήσεως ἀπόδειξιν ἐποιεῖτο σαφῆ τὸ ἑλέσθαι παθεῖν ὑπὲρ ἡμῶν; "Μείζω γὰρ, φησὶ, ταύτης τῆς ἀγαπῆς οὐδεὶς ἔχει, ἵνα τις "τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ." τί δὲ παρ' ἡμῶν τὴν εἰς ἑαυτὸν ἀγάπην ἐζήτει σαφῶς, διά τε τοῦτο πληροῦν ἐπείγεσθαι τὰ δοκοῦντα αὐτῷ; ὁ γὰρ ἀγαπῶν με, 2.478 φησὶ, τὰς ἐντολάς μου τηρήσει. πότε γὰρ τὴν θείαν ἐντολὴν τηρήσομεν, εἰς τὸ παρὸν ἀλογήσαντες; ὅτε τοίνυν πιστεῦσαι μὲν ἄξιον, ὅτι φιλεῖ ὁ Υἱὸς τὸν Πατέρα, ἀγαπᾷ δὲ ἡμᾶς καὶ παρ' ἡμῶν ἀγαπᾶται, πῶς οὐκ ἀκόλουθον ἐννοεῖν, ἕτερόν τι βεβουλεῦσθαι κατασημῆναι τὸν Υἱὸν, καὶ τὸν τῆς ἑνώσεως τρόπον οὐ τῷ τῆς ἀγάπης ὁρίζεσθαι νόμῳ, μᾶλλον δὲ καθ' ἕτερόν τινα τρόπον εἰσκεκομικέναι σαφῶς, ὅταν λέγῃ πρὸς ἡμᾶς Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὅτι ἐγὼ ἐν τῷ Πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν; Ἀλλ' ἐρεῖ πρὸς τοῦτο τυχὸν ὁ δι' ἐναντίας, ὅτι πρὸ μὲν τοῦ πάθους τὰ τοιαῦτα πρὸς ἡμᾶς λελάληκεν ὁ Χριστὸς, ὡς ἀγαπᾷ μὲν αὐτὸς τὸν Πατέρα καὶ ἀνταγαπᾶται παρὰ τοῦ Πατρὸς, ἀγαπᾷ δὲ καὶ ἡμᾶς καὶ ἡμεῖς αὐτόν· μετὰ δέ γε τὸ πάθος καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἐπείπερ εἴδομεν διαῤῥή ξαντα τὰ τοῦ θανάτου δεσμὰ, ἐγνώκαμεν ὅτι ἐν Πατρί ἐστιν, ἅτε δὴ καὶ ἀγαπώμενος, διά τε τοῦτο καὶ ἀναστὰς ἐκ νεκρῶν. διὰ τοῦτο καὶ αὐτὸς ἐν ἡμῖν καὶ ἡμεῖς ἐν αὐτῷ, κατὰ τὸν αὐτὸν τῆς ἀγάπης λόγον. Ἡμεῖς δὲ πρὸς τοῦτό φαμεν Μάλιστα μὲν ληρώδης ὑμῖν καὶ ἀσύνετος παντελῶς καὶ διὰ σαθρῶν εἶσι λόγων ἡ ἀντί θεσις. πλὴν, ὦ γενναῖοι, διασκέψασθε πάλιν ὅτι πρὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως ὅπερ ἔγνωμεν ἀληθῶς, οὐκ ἔδει μαθεῖν μετὰ τὴν ἀνάστασιν. εἰ μὲν γὰρ ἀτελῶς ἐπιστεύομεν τὸν Υἱὸν ἀγαπᾶσθαι μὲν παρὰ τοῦ ἰδίου Πατρὸς, ἀγαπᾶν δὲ καὶ αὐτὸν τὸν Πατέρα, περιμένειν ὄντως ἐχρῆν τὴν ἀνάστασιν, ἵνα τῆς γνώσεως ἔχωμεν ἐκεῖθεν τὴν τελειότητα. εἰ δὲ ἀξιό πιστος ὁ Πατὴρ καὶ πρὸ τῆς ἀναστάσεως λέγων "Αὐτός "ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς," ἀληθεύει δὲ καὶ αὐτὸς ὁ Σωτὴρ λέγων "Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν·" ὁ δὲ τῆς ἀγάπης λόγος ἐν τῇ κατὰ πᾶν τελειότητι νοεῖται πρεπόντως, τί φληνάφως ἡμᾶς κατακροτεῖτε λόγοις; τί δὲ τὸ τῆς ἀλη θείας παρωθούμενοι κάλλος, τὸ δυσειδὲς ἡμῖν ἀναπλάττετε 2.479 ψεῦδος, ἐξέλκοντες μὲν τῆς τοῦ Πατρὸς οὐσίας τὸν ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ Υἱὸν, σαθροὺς δὲ λίαν ἐπινοούμενοι λόγους, καὶ στροφὰς ἀτόπων ἐπινοοῦντες συλλογισμῶν; ὅτι γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἠγάπησεν ἡμᾶς μὲν ὁ Μονογενὴς, ἠγαπήσαμεν δὲ καὶ ἡμεῖς αὐτὸν, παντί τῳ προκείσεται καὶ λίαν ἑτοίμως ἰδεῖν, αὐτὴν ἐπαθρεῖν ἐθέλοντι τῆς ἀληθείας τὴν φύσιν. ἐν μορφῇ γὰρ ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς, "οὐχ ἁρπαγμὸν ἡγήσατο "τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου "λαβών." εἶτα τίς, εἰπέ μοι, τῶν τοιούτων ἡ πρόφασις; ἆρ' οὐ τῆς εἰς ἡμᾶς ἀγάπης ὁ λόγος; καὶ πῶς ἐστιν ἀμφι βαλεῖν; τὸ δὲ καὶ ἡμᾶς ἐθέλειν ὑπὲρ Χριστοῦ καὶ αὐτὴν ἑτοίμως ἔχειν καταπροέσθαι τοῖς διώκουσι τὴν ψυχὴν, ἵνα μὴ τὸν ἑαυτῶν ἀρνησώμεθα Κύριον, ἆρ' οὐκ ἂν εἰσκομίσαι σαφῆ τὴν ἀπόδειξιν τῆς εἰς αὐτὸν ἀγάπης; ἀλλ' ἢ πάντως ἀληθὲς ἐρεῖ τις καὶ τοῦτο, ἢ τῶν ἁγίων καταψηφιεῖται μαρτύρων, ὡς ἐπ' οὐδενὶ τῶν χρησίμων διηθληκότων διὰ Χριστὸν, καὶ ἀμισθὶ τοσοῦτον ἀνατλησάντων κίνδυνον. ἀποδεδειγμένου τοιγαροῦν, καὶ μάλα σαφῶς, ὡς τελείαν μὲν ὁ Πατὴρ εἰς τὸν Υἱὸν ἔχει τὴν ἀγάπην, ἰσοτρόπως δὲ καὶ αὐτὸς ἀγαπᾷ τὸν Πατέρα, καὶ ἡμεῖς μὲν αὐτὸν, αὐτὸς δὲ ἡμᾶς, ποῖον ἂν ἔχοι λόγον τὸ εἰς ἑτέρους οἴεσθαι χρόνους ἀνάπτεσθαι τυχὸν τὴν ἐπὶ τῷδε διάγνωσιν, ὅταν λέγῃ ὁ Κύριος Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν; Ἀλλὰ γὰρ ἐῤῥέτω μὲν τὰ ἐκείνων ληρήματα καὶ τῶν μισοθέων λογισμῶν ἡ παρεύρεσις· ἡμεῖς δὲ τῇ τοῦ Πνεύ ματος δᾳδουχίᾳ θαρσήσαντες, εἰπεῖν οὐκ ὀκνήσομεν ἅπερ ἔδοξεν ἔχειν ὀρθῶς ὑπὲρ σαφηνείας τῶν ζητουμένων. προει ρηκὼς τοιγαροῦν "Ὅτι ἐγὼ καὶ ὑμεῖς ζήσεσθε," παραχρῆμα τούτοις ἐπενεγκὼν εὑρίσκεται Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὅτι ἐγὼ ἐν τῷ Πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. εἶτα τίνι 2.480 τῶν ὄντων καὶ φρονεῖν εἰωθότων ὀρθῶς οὐκ ἂν γένοιτο καὶ μάλα σαφὲς, ὡς ἡμέραν ὁρίζει τῆς ἐπὶ τούτῳ γνώσεως τὸν καιρὸν, καθ' ὃν ἂν καὶ ἡμεῖς αὐτοὶ πρὸς αὐτὸν ἀναμορφού μενοι, πρὸς ζωὴν ἀναβησόμεθα τὴν αἰώνιον, τὴν τοῦ θανάτου διαδράντες ἀράν; καί μοι δοκεῖ τοιοῦτόν τι σημαίνειν ὁ Χριστός φησι· φημὶ δὲ τὸν Παῦλον· ὅταν τὸ θεῖον ἡμῖν ἀποκαλύπτων μυστήριον ἐπιστέλλῃ πρός τινας "Ἀπεθάνετε "γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ "Θεῷ· ὅταν οὖν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε "καὶ ὑμεῖς φανερωθήσεσθε σὺν αὐτῷ ἐν δόξῃ." μετασχημα τίσει γὰρ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, τοῦτο δὴ πάντως, καὶ οὐχ ἕτερον, σύμμορφον τῆς δόξης αὐτοῦ, καὶ μεταπλάσει πρὸς τὸ ἀρχαῖον ἀῤῥήτῳ δυνάμει τὴν ἀνθρώπου φύσιν, πάντα μετατιθεὶς εὐκόλως πρὸς ὅπερ ἂν βούλοιτο, διακω λύοντος οὐδενός· Θεὸς γάρ ἐστιν ἀληθινὸς, "ποιῶν πάντα "καὶ μετασκευάζων," κατὰ τὸ γεγραμμένον. κατ' ἐκείνην οὖν ἄρα τὴν ἡμέραν, ἤτοι τὸν καιρὸν, καθ' ὃν καὶ ὑμεῖς αὐτοὶ ζήσεσθε· ζῶ γὰρ ἐγὼ, καίτοι καθ' ὑμᾶς ἄνθρωπος γεγονὼς, καὶ τὸ ὑποπίπτον τῇ φθορᾷ κατά γε τὴν ἰδίαν φύσιν ἐνδυ σάμενος σῶμα· σαφῶς ἐπιγνώσεσθε, φησὶν, ὅτι ἐγὼ μὲν ἐν τῷ Πατρὶ, ὑμεῖς δὲ ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. διακεισόμεθα δὲ ταυτὶ πρὸς ἡμᾶς τὸν Κύριον εἰπεῖν, οὐχ ἵνα νομίζωμεν ὑπάρ χειν αὐτὸν ἐν Πατρὶ, κατά γε τὸν τῆς ἀγάπης λόγον, ὥσπερ οὖν ἐδόκει τοῖς δι' ἐναντίας φρονεῖν, ἀλλὰ κατὰ δύναμιν μυστηρίου βαθέος, ὃ καὶ νοῆσαι μὲν ἐκεῖνο χαλεπὸν, φράσαι δὲ οὐ ῥᾴδιον· πλὴν ὅπως ἂν οἷός τε ὦ διηγεῖσθαι πειρά σομαι. Τῆς μὲν οὖν ἀκριβοῦς ἐκθέσεως πολὺ λίαν ἡττῆσθαι πάντα νοῦν ὑπολαμβάνω τῶν ἐπὶ γῆς, τῷ γεμὴν θερμῷ τῆς ἀγάπης, κἂν γοῦν μετρίως ἰδεῖν τε καὶ φράσαι παραθηγό 2.481 μενος, νῦν ἴδωμεν τῆς τοῦ Μονογενοῦς ἐνανθρωπήσεως τὸν σκοπόν· φέρε δοκιμάσωμεν τὴν αἰτίαν, δι' ἣν ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων ὡς Θεὸς, "οὐχ ἁρπαγμὸν ἡγήσατο "τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου "λαβὼν, καὶ ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας." ἔσται γὰρ οὕτω καὶ μόλις εὐσύνοπτον, κατά γε τὸ ἐγχωροῦν, τῶν προκειμένων τὸ βάθος. γνωσόμεθα δὲ πῶς μέν ἐστιν ὁ Υἱὸς ἐν Πατρὶ, φυσικῶς δηλονότι καὶ οὐ κατά γε τὴν ἐκ τοῦ ἀγαπᾶσθαι καὶ ἀγαπᾶν ἐπινοηθεῖσαν σχέσιν παρὰ τῶν δι' ἐναντίας· ἡμεῖς δὲ αὖ πάλιν ἐν αὐτῷ κατὰ τὸν ἴσον τρόπον καὶ αὐτὸς ἐν ἡμῖν. οὐκοῦν μίαν μὲν ὥσπερ ἀληθῆ τε καὶ γενικωτάτην αἰτίαν τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς ὁ σοφὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμῖν ἐξηγούμενος Παῦλος ἔφασκεν· εὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ "ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ "Χριστῷ," καὶ ὅτι τὸ τῆς ἀνακεφαλαιώσεως ὄνομά τε καὶ πρᾶγμα δηλοῖ τὸ ἀνακομίσαι πάλιν καὶ ἀναλαβεῖν εἰς ὅπερ ἦν ἐν ἀρχῇ τὰ πρὸς ἀνόμοιον ἐκπεπτωκότα τέλος· εἶτα τοὺς τῆς ἀνακεφαλαιώσεως τρόπους ἀνὰ μέρος ἡμῖν ἀπολευκαίνειν ἐθέλων, ποτὲ μὲν ἔφασκε "Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν "ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας "ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε "τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου "πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ "κατὰ πνεῦμα·" ποτὲ δὲ πάλιν "Ἐπειδὴ γὰρ τὰ παιδία "κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, διὰ τοῦτο καὶ αὐτὸς "παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου "καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι "τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου "διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας." καὶ δύο μὲν τούτους ἡμῖν τῆς ἀνακεφαλαιώσεως τρόπους ἀναγκαίως ἔχοντα τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς τὸν λόγον, ὁ 2.482 Παῦλος ἐξηγήσατο· τρόπον δὲ ἐπὶ τούτοις τῶν ἑτέρων περιεκτικὸν, ὁ σοφὸς εὐαγγελιστὴς Ἰωάννης. γράφει γὰρ οὕτω περὶ Χριστοῦ "Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ "παρέλαβον· ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν "τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, "οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ "θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν." πρόδηλον οὖν ἄρα καὶ πᾶσιν οἶμαι διαφανὲς, ὅτι τούτων ἕνεκα δὴ μάλιστα τῶν αἰτιῶν Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὑπάρχων, ἄνθρωπος γέγονεν ὁ Μονογενὴς, ἵνα δηλονότι κατακρίνῃ μὲν τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, νεκρώσῃ δὲ τῷ ἰδίῳ θανάτῳ τὸν θάνατον, καὶ υἱοὺς ἡμᾶς ἀποδείξῃ Θεοῦ, πρὸς τὸ ὑπὲρ φύσιν ἀξίωμα τοὺς ὄντας ἐπὶ τῆς γῆς ἀναγεννήσας ἐν Πνεύματι. ἦν γὰρ δήπου καὶ μάλα καλῶς, κατὰ τουτονὶ τὸν τρόπον ἀνακεφαλαιώσασθαι πάλιν καὶ εἰς τὸ ἀρχαῖον ἀναλαβεῖν τὸ διολισθῆσαν γένος, τουτέστι, τὸ ἀνθρώπινον. Πάλιν ἑκάστην τῷ λόγῳ παραθέντες τῶν ἀρτίως ἡμῖν εἰρημένων αἰτιῶν, ἐπ' αὐτῇ τὰ εἰκότα λέγωμεν. πῶς γὰρ ἂν καὶ πρέποι νοεῖν ζητητέον, ὅτι κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, πέμψας τὸν ἴδιον Υἱὸν ὁ Θεὸς καὶ Πατὴρ ἐν ὁμοιώ ματι σαρκὸς ἁμαρτίας. Θεὸν γὰρ ὄντα κατὰ φύσιν, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα καὶ τὸ ἄτρεπτον ἔχοντα φυσικῶς τῆς ἰδιότητος αὐτοῦ, διά τε τοῦτο μὴ εἰδότα παντελῶς τὸ διολισθεῖν εἰς ἁμαρτίαν, ἤγουν παρατρέπεσθαί ποι πρὸς τὸ μὴ ἔχον ὀρθῶς, εἰς τὴν ὑποπίπτουσαν τῇ σαρκὶ ἁμαρτίαν καταβῆναι παρεσκεύασεν ἐθελοντὶ, ἵνα ἰδίαν αὐτὴν ποιησά μενος σάρκα, πρὸς τὸ ἴδιον αὐτοῦ καὶ φυσικὸν μεταστήσῃ, τουτέστι, τὸ μὴ ἁμαρτάνειν. οὐ γὰρ δήπου διακεισόμεθα φρονοῦντες ὀρθῶς, ὅτι δὴ μόνῳ τῷ οἰκείῳ ναῷ τοῦτο κατορ θώσων γέγονεν ἄνθρωπος ὁ Μονογενής· ποῦ γὰρ ἂν ὅλως ὁρῷτο τῆς ὡς ἡμᾶς ἀφίξεως τὸ μεγαλοπρεπὲς καὶ ὠφέλιμον, 2.483 εἰ μόνον τὸ ἑαυτοῦ διεσώσατο σῶμα; πιστεύσομεν δὲ μᾶλλον, ὡς ὅλῃ τῇ φύσει δι' ἑαυτοῦ καὶ ἐν αὐτῷ πρώτῳ καθάπερ ἐν ἀπαρχῇ τῆς ἀνθρωπότητος περιποιήσων τὰ ἀγαθὰ, γέγονε καθ' ἡμᾶς ὁ Μονογενής. ὥσπερ γὰρ οὐχὶ τῷ θανάτῳ μόνον, ἀλλ' ὅλοις ἠκολουθήσαμεν τοῖς πάθεσι τῆς σαρκὸς, ἐν τῷ πρώτῳ τοῦτο παθόντες ἀνθρώπῳ, διά τε τὴν παράβασιν καὶ τὴν θείαν ἀράν· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἑψόμεθα σύμπαντες τῷ Χριστῷ διασώζοντι πολυτρόπως, καὶ ἁγιάζοντι τὴν τῆς σαρκὸς φύσιν ἐν ἑαυτῷ. διὸ καὶ ὁ Παῦλος ἔφασκε "Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ "χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου." εἰκὼν γὰρ τοῦ χοϊκοῦ, τουτέστιν Ἀδὰμ, τὸ ἐν πάθεσι γενέσθαι καὶ φθορᾷ· εἰκὼν δὲ τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ, τὸ ἐν ἀπαθείᾳ γενέσθαι καὶ ἀφθαρσίᾳ. κατέκρινε τοίνυν τὴν ἁμαρ τίαν ἐν τῇ ἰδίᾳ σαρκὶ Θεὸς ὑπάρχων κατὰ φύσιν ὁ Λόγος, ἀργεῖν ἐπιτάξας αὐτῇ, καὶ μεταῤῥυθμίσας μᾶλλον εἰς τὸ κινεῖσθαι πρὸς τὸ δοκοῦν τῷ Θεῷ, καὶ μὴ πρὸς τὸ ἴδιον ἔτι θέλημα· οὕτω τε ψυχικὸν ὑπάρχον τὸ σῶμα κατεσκεύασε πνευματικόν. εἷς μὲν οὖν τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνακεφαλαιώσεως οὑτοσὶ τρόπος, ὁ δὲ καὶ μάλιστα πρέπων καὶ τῇ τῶν προκειμένων θεωρίᾳ χρεωστούμενος μετ' ἐκεῖνον εἰσβήσεται· προκείσεται δὲ εἰπεῖν περὶ τῆς αἰωνίου ζωῆς, καὶ τῆς τοῦ θανάτου νεκρώ σεως, ὅπως τε τῆς ἀνθρωπείας φύσεως τὴν ἐκ τῆς παραβά σεως φθορὰν ἀπέστησεν ὁ Μονογενής. οὐκοῦν "ἐπείπερ τὰ "παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παρα "πλησίως μετέσχε τῶν αὐτῶν," ἵνα νεκρώσῃ τὸν θάνατον, καὶ ὁ κτίσας εἰς ἀφθαρσίαν τὰ πάντα, καὶ σωτηρίους ἀπο δείξας τὰς γενέσεις τοῦ κόσμου, κατὰ τὸ γεγραμμένον, μεταπλάσῃ πάλιν τῶν πραγμάτων τὸ σχῆμα πρὸς τὸ ἀρχαῖον. Καί μοι πάλιν ὁ λόγος περιεργότερον μὲν ἤπερ ἐχρῆν, 2.484 ἀναγκαίως δ' οὖν ὅμως προβλήσεται, τὴν τῶν καθ' ἡμᾶς ἀρχαιότητα παραδεικνύς. τὸ γὰρ οἶμαι περιδράττεσθαι τῶν θεωρημάτων ἐθέλειν ὀρθῶς, τῶν ἐξ ὄκνου πταισμάτων ἀμοι ρήσει παντελῶς. πεποίηται τοίνυν τουτὶ τὸ λογικὸν ἐπὶ τῆς γῆς ζῷον, φημὶ δὴ τὸν ἄνθρωπον, ἐξ ἀρχῆς "κατ' εἰκόνα "τοῦ κτίσαντος" κατὰ τὰς γραφάς· καὶ διάφορος μὲν τῆς εἰκόνος ὁ λόγος. εἰκὼν γὰρ οὐ καθ' ἕνα τρόπον, ἀλλὰ κατὰ πολλούς· μέρος γεμὴν τὸ τῶν ἄλλων μάλιστα διαφανέ στατον τῆς πρὸς τὸν ποιήσαντα Θεὸν ἐμφερείας, τὸ ἄφθαρ τον καὶ ἀνώλεθρον. ἀλλ' οὐκ ἂν οἶμαί ποτε πρὸς τὸ οὕτως ἔχειν δύνασθαι τὸ ζῷον ἐξήρκεσεν ἑαυτῷ, κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον· πῶς γὰρ ἂν ὁ ἀπὸ γῆς ἐν ἰδίᾳ φύσει τὸ τῆς ἀφθαρσίας ἐδείχθη ἔχων καύχημα, μὴ οὐχὶ παρὰ τοῦ κατὰ φύσιν ἀφθάρτου τε καὶ ἀνωλέθρου Θεοῦ καὶ ὡσαύτως ὄντως ἀεὶ, καθ' ὁμοιότητα τῶν ἄλλων ἀγαθῶν καὶ τοῦτο πεπλουτηκώς; "Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;" εἰκότως γε σφόδρα καὶ ἀληθῶς πρὸς ἡμᾶς που φησὶν ὁ θεσπέσιος Παῦλος. ἵνα τοίνυν τὸ ἐκ τοῦ μὴ ὄντος παροισθὲν εἰς γένεσιν μὴ πρὸς τὴν οἰκείαν ὑπονοστῆσαν ἀρχὴν, πάλιν οἴχηται πρὸς τὸ μηδὲν, σώζηται δὲ μᾶλλον διηνεκῶς· οὗτος γὰρ ἦν ὁ τοῦ κτίσαντος σκοπός· μέτοχον αὐτὸν τῆς ἰδίας φύσεως ἀποτελεῖ Θεός. "ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον "αὐτοῦ πνοὴν ζωῆς," τουτέστι, τὸ Πνεῦμα τοῦ Υἱοῦ, καὶ γάρ ἐστιν αὐτὸς ἡ ζωὴ μετὰ Πατρὸς, συνέχων εἰς τὸ εἶναι τὰ πάντα. κινεῖται γὰρ ἐν αὐτῷ τε καὶ ζῇ τὰ ζωῆς δεκτικὰ, κατὰ τὴν τοῦ Παύλου φωνήν. Καὶ μή τις ἡμῶν ἐπὶ τούτῳ ψευδῆ κατηχείτω λόγον, οἰηθεὶς εἰπεῖν τὸ θεῖον ἐμφύσημα γεγονέναι τῷ ζῴῳ ψυχήν· τοῦτο γὰρ οὐ φαμὲν, λογισμῷ τοσῷδε πρὸς τὴν τοῦ πράγ ματος ἀλήθειαν διακυβερνώμενοι. εἰ γὰρ οἴονταί τινες τὸ θεῖον ἐμφύσημα γενέσθαι ψυχὴν, λεγέτωσαν ἡμῖν, πότερόν 2.485 ποτε παρετράπη τῆς ἰδίας φύσεως καὶ γέγονεν εἰς ψυχὴν, ἢ μεμένηκεν ἐν ταυτότητι τῇ ἑαυτοῦ. εἰ μὲν γὰρ ἐροῦσι μετατετράφθαι ποι καὶ τὸν τῆς ἰδίας φύσεως παρε λάσαι θεσμὸν, δυσφημοῦντες ἁλώσονται· τρεπτὴν γὰρ εἶναι πάντως ἐροῦσι τὴν ἄτρεπτον καὶ ὡσαύτως ἔχουσαν ἀεὶ φύσιν· εἰ δὲ παρετράπη οὐδαμῶς, διαμεμένηκε δὲ τοῦθ' ὅπερ ἦν ἀεὶ προελθὸν ἐκ Θεοῦ τὸ ἐμφύσημα αὐτοῦ, πῶς ἐξέστη πρὸς ἁμαρτίαν, καὶ τοσαύτης παθῶν διαφορᾶς γέγονε δεκτι κόν; οὐ γὰρ δήπου φαῖεν ἂν, ὡς ἔνεστιν ὅλως τῇ θείᾳ φύσει τὸ δύνασθαι πλημμελεῖν. ἀλλ' ἵνα μὴ μακραῖς ἀποδείξεσιν ἐπὶ τούτῳ χρώμενοι τὸν τοῖς προκειμένοις χρεωστούμενον παρελάσωμεν λόγον, φημὶ δεῖν ἐκεῖνο πάλιν ἀναλαβόντας εἰπεῖν, ὡς οὐκ ἂν οἶμαί τις εὖ φρονῶν τὸ ἐκ τῆς θείας οὐσίας προελθὸν ἐμφύσημα, ψυχὴν οἴοιτο γενέσθαι τῷ ζῴῳ, ψυχωθέντι δὲ, μᾶλλον δὲ καὶ πρὸς ἰδιότητα τῆς τελείας φύσεως δι' ἀμφοῖν ἀφιγμένῳ, ψυχῆς δὴ λέγω καὶ σώματος, καθάπερ τινὰ σφραγῖδα τῆς ἑαυτοῦ φύσεως ἐνέ πηξεν ὁ Δημιουργὸς τὸ Πνεῦμα τὸ Ἅγιον, τουτέστι, τὴν πνοὴν τῆς ζωῆς, δι' ἧς πρὸς τὸ ἀρχέτυπον διεπλάττετο κάλλος, ἀπετελεῖτο δὲ κατ' εἰκόνα τοῦ κτίσαντος, πρὸς πᾶσαν ἰδέαν ἀρετῆς δυνάμει τοῦ ἐνοικισθέντος αὐτῷ δια κρατούμενος Πνεύματος. ἐπειδὴ δὲ αὐτοπροαίρετος ὢν, καὶ τὰς τῶν ἰδίων θελημάτων πεπιστευμένος ἡνίας· μοῖρα γὰρ τῆς εἰκόνος καὶ αὐτὴ, κατεξουσιάζει γὰρ τῶν οἰκείων θελη μάτων Θεός· ἐτράπη, καὶ πέπτωκε· τὸ δὲ ὅπως, ἡ θεία γραφὴ διδασκέτω, σαφὴς γὰρ ὁ περὶ τούτου παρ' αὐτῇ λόγος·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνακεφαλαιώσασθαι πάλιν τὴν ἀνθρώπου φύσιν εἰς τὸ ἀρχαῖον ἐβουλεύσατό τε καὶ ἐπικεχείρηκεν ὁ Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ, καὶ θελήσας ἐξήνυσε. πῶς οὖν ἄρα γέγονεν, ἀκόλουθον κατιδεῖν· οὐκ ἦν ἑτέρως διαδρᾶναι τὸν 2.486 θάνατον φύσεως ὄντα τῆς φθειρομένης τὸν ἄνθρωπον, εἰ μὴ τὴν ἀρχαίαν ἐκείνην ἀνεκομίσατο χάριν, καὶ μετέσχε πάλιν τοῦ τὰ πάντα πρὸς τὸ εἶναι συνέχοντος Θεοῦ καὶ ζωογο νοῦντος δι' Υἱοῦ ἐν Πνεύματι. κεκοινώνηκε τοίνυν αἵματος καὶ σαρκὸς, τουτέστι, γέγονεν ἄνθρωπος, ζωὴ κατὰ φύσιν ὑπάρχων, καὶ ἐκ ζωῆς τῆς κατὰ φύσιν γεγεννημένος, τουτ έστι τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ Μονογενὴς αὐτοῦ Λόγος, ἵνα τῇ φθειρομένῃ σαρκὶ κατά γε τὸν λόγον τῆς ἰδίας φύσεως, ἀῤῥήτως τε καὶ ἀφράστως καὶ ὡς αὐτὸς ἔγνωκε μόνος, ἑαυτὸν ἑνώσας πρὸς τὴν ἰδίαν αὐτοῦ ἀνακομίσῃ ζωὴν, καὶ μέτοχον ἀποδείξῃ δι' ἑαυτοῦ τοῦ Θεοῦ καὶ Πατρός. μεσίτης γάρ ἐστι Θεοῦ καὶ ἀνθρώπων, κατὰ τὸ γεγραμμένον, τῷ μὲν Θεῷ καὶ Πατρὶ φυσικῶς ὡς Θεὸς καὶ ἐξ αὐτοῦ συναπτό μενος, ἀνθρώποις δὲ πάλιν ὡς ἄνθρωπος, καὶ ἔχων μὲν ἐν ἑαυτῷ τὸν Πατέρα καὶ ὢν αὐτὸς ἐν τῷ Πατρί· χαρακτὴρ γάρ ἐστι καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ, οὐ διω ρισμένος τῆς οὐσίας, ἧς ἐστι χαρακτὴρ καὶ ἐξ ἧς πρόεισιν, ὡς ἀπαύγασμα, ἀλλ' ἐν αὐτῇ τε ὢν αὐτὸς, καὶ ἔχων αὐτὴν ἐν ἑαυτῷ· ἡμᾶς δὲ πάλιν ἔχων ἐν ἑαυτῷ, καθὸ τὴν ἡμετέραν πεφόρηκε φύσιν, καὶ σῶμα τοῦ Λόγου κεχρημάτικε τὸ ἡμέτερον σῶμα. σὰρξ γὰρ ὁ Λόγος ἐγένετο, κατὰ τὴν Ἰωάννου φωνήν. πεφόρηκε δὲ τὴν ἡμετέραν φύσιν, πρὸς τὴν ἰδίαν αὐτὴν ἀναπλάττων ζωήν. ἔστι δὲ καὶ αὐτὸς ἐν ἡμῖν· μέτοχοι γὰρ αὐτοῦ πάντες γεγόναμεν, καὶ αὐτὸν ἔχομεν ἐν ἑαυτοῖς διὰ τοῦ Πνεύματος· διὰ γὰρ τοῦτο καὶ θείας φύσεως γεγόναμεν κοινωνοὶ καὶ υἱοὶ χρηματίζομεν, οὕτω καὶ αὐτὸν ἔχοντες ἐν ἑαυτοῖς τὸν Πατέρα διὰ τοῦ Υἱοῦ. καὶ μαρτυρήσει λέγων ὁ Παῦλος "Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέ "στειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρ "δίας ὑμῶν κράζον Ἀββᾶ ὁ πατήρ." οὐ γὰρ ἕτερόν τι 2.487 παρὰ τὸν Υἱὸν τὸ Πνεῦμα αὐτοῦ, κατά γε τὸν ἐν ταυτότητι λόγον, φημὶ δὴ τῇ φυσικῇ.

Οὕτω δὲ ἡμῖν τοῦ περὶ τούτων προκεχωρηκότος λόγου, φέρε τὴν τῶν προκειμένων παραθέντες διάνοιαν, ταῖς τοῦ Σωτῆρος φωναῖς αὐτὴν ἐφαρμόσωμεν Ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ γνώσεσθέ φησιν, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. ἐγὼ μὲν γὰρ ζῶ, φησὶ, ζωὴ γάρ εἰμι κατὰ φύσιν, καὶ ζῶντα τὸν ἐμαυτοῦ δέδειχα ναόν· ἀλλ' ὅταν καὶ ὑμεῖς αὐτοὶ καίτοι φθαρτῆς ὄντες φύσεως, ζῶντας ἑαυτοὺς θεωρή σητε καθ' ὁμοιότητα τὴν πρὸς μέ· τότε δὴ γνώσεσθε, καὶ μάλα σαφῶς, ὅτι ζωὴ κατὰ φύσιν ὑπάρχων, ὑπάρχοντι καὶ αὐτῷ ζωῇ κατὰ φύσιν τῷ Θεῷ καὶ Πατρὶ συνῆψα δι' ἐμαυτοῦ, κοινωνοὺς ὥσπερ καὶ μετόχους ἀποτελῶν τῆς ἀφθαρσίας αὐτοῦ. ἐγὼ μὲν γὰρ φυσικῶς ἐν Πατρὶ, καρπὸς γάρ εἰμι τῆς οὐσίας αὐτοῦ καὶ γνήσιον γέννημα, ἐνυπάρχων τε καὶ ἐξ αὐτῆς πεφηνὼς ζωὴ ἐκ ζωῆς, ὑμεῖς δὲ ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν, καθὸ πέφηνα μὲν ἄνθρωπος ἐγὼ, κοινωνοὺς δὲ θείας φύσεως ἀπέδειξα τὸ Πνεῦμα τὸ ἐμὸν ἐνοικίσας ὑμῖν. ἐν ἡμῖν γάρ ἐστιν ὁ Χριστὸς διὰ τοῦ Πνεύματος, μετατρέπων εἰς ἀφθαρσίαν τὸ φθείρεσθαι πεφυκὸς, καὶ μετατιθεὶς ἐκ τοῦ καταθνήσκειν πρὸς τὸ μὴ οὕτως ἔχον. διὸ καὶ ὁ Παῦλός φησιν, ὅτι "ὁ ἐγείρας Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν ζωοποι "ήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος "αὐτοῦ Πνεύματος ἐν ὑμῖν." εἰ γὰρ καὶ πρόεισιν ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλ' ἔρχεται δι' Υἱοῦ, καὶ ἴδιόν ἐστιν αὐτοῦ· πάντα γὰρ δι' Υἱοῦ παρὰ Πατρός. ὅτι γὰρ διὰ τοῦ Πνεύματος εἰς ζωὴν ἀνεπλάσθημεν τὴν αἰώνιον, ὁ θεῖος ἡμῖν μελῳδὸς ἐπιμαρτυρήσει, βοῶν ὡς πρὸς τὸν τῶν ὅλων Θεόν "Ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσεται "χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταρα "χθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι, 2.488 "καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ἐξαποστελεῖς τὸ "Πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον "τῆς γῆς." ἀκούεις ὅπως συνέταξεν ἡμῖν τὴν ἀνθρώπου φύσιν ἡ παράβασις ἡ ἐν Ἀδὰμ καὶ οἱονεὶ τῶν θείων ἐνταλ μάτων ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποστροφὴ, καὶ εἰς τὴν ἰδίαν γῆν ὑπονοστῆσαι παρεσκεύασεν; ὅτε δὲ ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα αὐτοῦ, καὶ μετόχους ἡμᾶς ἀπέδειξε τῆς ἰδίας φύσεως, καὶ δι' αὐτοῦ ἀνεκαινίσθη τὸ πρόσωπον τῆς γῆς, μετεμορφώ θημεν εἰς καινότητα ζωῆς, τὴν ἐκ τῆς ἁμαρτίας ἀποβαλόντες φθορὰν, καὶ τῆς αἰωνίου ζωῆς εἰσαῦθις ἐπιδραξάμενοι, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας, Ἀμήν. ΤΕΛΟΣ ΤΟΥ ΕΝΑΤΟΥ ΒΙΒΛΙΟΥ.

2.489 ΚΕΦΑΛΑΙΑ ΤΑ ΕΝ ΤΩι ΔΕΚΑΤΩι ΒΙΒΛΙΩι.

α. Ὅτι κατ' οὐδὲν ἐλάττων ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς, ἴσος δὲ μᾶλλον καὶ ὅμοιος κατὰ φύσιν αὐτῷ, προκειμένου ῥητοῦ Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν, ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι, ὅτι ὁ Πατὴρ μείζων μου ἐστίν. β. Ὅτι τῷ Θεῷ καὶ Πατρὶ ὁμοούσιός ἐστιν ὁ Υἱὸς, καὶ οὐχ ἑτεροφυὴς οὐδὲ ἔκφυλος κατά τινας τῶν διεστραμμένων, προκειμένου ῥητοῦ Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστιν.

2.491 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. ΦΑΝΕΡΩΤΕΡΑΝ ἔσεσθαι τοῦ μυστηρίου τὴν ἀποκά λυψιν τότε δὴ μάλιστα λέγων ἐν ἡμῖν, ὅταν ἑαυτοὺς ἀπαθρήσωμεν ζῶντας καθ' ὁμοιότητα τὴν αὐτοῦ· ζῶ γὰρ κἀγὼ, φησὶ, ζήσεσθε δὲ καὶ ὑμεῖς· πληροφορουμένης ὥσπερ τῆς ἑκάστου διανοίας, οὐκ ἐξ ὧν ἠκροάσατο καὶ πεπίστευκε μόνον, ἀλλ' ἐξ ὧν ἂν ἔχοι μᾶλλον, κομισάμενος ἤδη τῆς ἐπαγγελίας τὸ πέρας. πεῖρα γὰρ λόγων εὐσθενεστέρα πρὸς τὸ ἀναπείθειν δύνασθαι καὶ πληροφορεῖν. ἵνα μὴ πᾶσιν ἁπλῶς προκεῖσθαι νομίζωμεν τὸ ἐξεῖναι τυχὸν τῆς οὕτω σεπτῆς ἀπολαῦσαι δωρεᾶς, καὶ εἰ μή τινες εἶεν ἀγαθοὶ καὶ τῷ θείῳ λελαμπρυσμένοι φόβῳ, τὸ τῶν ἀγαπώντων αὐτὸν πρόσωπον παραζεύξας εὐθὺς τῷ λόγῳ, δέδειχεν ἐναργῶς ὡς 2.492 οὐχ ἑτέροις ἑλεῖν τὴν οὕτως ἀσύγκριτον ἐξέσται χάριν, εἰ μὴ τοῖς ἄριστα διαζῆν ἑλομένοις· οὗτοι γὰρ ἂν εἶεν οἱ ἀγαπῶντες αὐτόν. εἰ γὰρ καὶ τὰ πάντων τυχὸν διεγείρῃ σώματα Χριστὸς, ἀναστήσονται γὰρ πονηροὶ καὶ ἀγαθοὶ, ἀλλ' οὐχ ἅπασιν ἀδιακρίτως πρὸς δόξαν ἢ τρυφὴν τὸ ἀναβιῶναι δοθήσεται. πρόδηλον γὰρ ὅτι οἱ μὲν ἐπὶ τῷ κολάζεσθαι μόνον λαβόντες τὴν ἀνάστασιν, θανάτου παντὸς ἀπηνεστέραν ἕξουσι τὴν ζωὴν, οἱ δὲ μακροὺς ἐν μακαριότητι τρίβοντες χρόνους, ζήσουσιν ὄντως τὴν ἐν Χριστῷ πολύ ευκτόν τε καὶ ἁγίαν ζωήν. ὅτι γὰρ οἱ τὴν ἐπὶ τῷ κολά ζεσθαι ψῆφον ἀποκομίζεσθαι μέλλοντες παρὰ Χριστοῦ κατὰ τὸν καιρὸν τῆς κρίσεως, ἄγευστοι μενοῦσι τῆς μακα ρίας ζωῆς, καίτοι κοινὸν τοῖς ἁγίοις τὸ ἀναβιῶναι λαχόντες, παραδηλοῖ λέγων "Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν "αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' "ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν." σύνες γὰρ ὅπως, καίτοι πάντων πονηρῶν τε καὶ ἀγαθῶν ἀναστήσεσθαι προσδοκω μένων, τοὺς ἐνόχους τοῖς τῆς ἀπειθείας ἐγκλήμασιν οὐδὲ ὅσον ἀπαθρῆσαι μόνον φησὶ τὴν ζωὴν, ζωὴν εἶναι λέγων οὐχὶ πάντως τὸ ἀναστῆναι μόνον, ἀλλ' ἐκείνην οἶμαι καὶ μάλα εἰκότως τὴν ἐν ἀναπαύσει καὶ δόξῃ καὶ τρυφαῖς, πνευματικαῖς δὲ δηλονότι καὶ οὐχ ἑτέραις. τρυφῆς δὲ τρόπος πνευματικὸς, ἡ τελεία περὶ Θεοῦ γνῶσις καὶ τῶν ἐπὶ Χριστῷ μυστηρίων ἡ ἀκριβὴς ἀποκάλυψις, οὐκ ἐν ἐσόπτρῳ πάλιν καὶ ἐν αἰνίγμασι, καθάπερ καὶ νῦν ἀμυδροὺς ἡμῖν τῶν ζητουμένων τοὺς χαρακτῆρας ἐμφαίνουσα, ἀλλ' ὅλη καθαρῶς ἐν ἡμῖν διαφαινομένη τε καὶ λάμπουσα, καὶ τελειοτάτην ἐμποιοῦσα τὴν εἴδησιν· "τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ἐκ μέρους "καταργηθήσεται," κατὰ τὴν τοῦ Παύλου φωνήν. Διδάσκων τοιγαροῦν ἡμᾶς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὅτι τοῖς ἀγαπᾶν ἑλομένοις αὐτὸν καὶ τοῖς τῶν θείων αὐτοῦ κηρυγμάτων ἐργάταις ἡ τῆς ἀποκαλύψεως ὑπόσχεσις, πρε 2.493 πωδεστέρα τέ ἐστι καὶ οἰκείως ἔχουσα μᾶλλον, οὐ μὴν τοῖς τἀναντία πεφρονηκόσι τε καὶ δεδρακόσι, χρησιμώτατα τοῖς εἰρημένοις ἐπήνεγκε λέγων Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, οὗτός ἐστιν ὁ ἀγαπῶν με· ἔχει δέ τις τὰς ἐντολὰς, τὴν πίστιν παραδεξάμενος καὶ διὰ μνήμης ἀγαθῆς εἰς τὸν οἰκεῖον εἰσοικισάμενος νοῦν τὴν ἀθόλωτόν τε καὶ διειδῆ τῶν εὐαγγελικῶν ἐνταλμάτων παίδευσιν· πληροῖ δὲ αὐτὰς πρα κτικῶς ἐνεργῶν, καὶ τῇ τῶν δρωμένων λαμπρότητι διαπρεπὴς ὁρᾶσθαι σπουδάζων. τέλειος οὖν ἄρα καὶ ὁλοκλήρως ἀπηρ τισμένος εἰς εὐσέβειαν, ὁ πίστει τε καὶ πράξει διαφανὴς, ὥσπερ ἐπὶ ὁσιότητι τῇ κατὰ Χριστὸν μαρτυρούμενος· "Ἐπὶ "στόματος γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν "ῥῆμα," κατὰ τὸ γεγραμμένον. τὸν δὲ δὴ τοιοῦτον, εἰκότως ἀγαπήσει μὲν ὁ Θεὸς καὶ Πατὴρ, ἀγαπήσει δὲ οὐδὲν ἧττον καὶ ὁ Υἱός. ὥσπερ γάρ ἐστιν ὁμοούσιος, οὕτω καὶ συνεθε λητὴς τῷ ἰδίῳ γεννήτορι. μιᾶς γὰρ οὐσίας, ἓν δήπου τὸ θέλημα, καὶ σκοπὸς ἐφ' ἅπασιν εἷς, καὶ τὸ διαφωνοῦν οὐδὲν, ἤγουν εἰς ἑτέραν καὶ ἑτέραν κατασχίζον θέλησιν. τοῖς γεμὴν τῆς θείας ἀγάπης ἠξιωμένοις, λαμπρὸν ἐπιδώσειν τὸ γέρας ἐπαγγέλλεται, καὶ ὅτι ταῖς ὑπὲρ λόγον αὐτοὺς καταστέψει δωρεαῖς. ἐμφανίσω γάρ φησιν αὐτῷ ἐμαυτόν. καθαροὶ γὰρ παρὰ τοῖς καθαροῖς οἱ περὶ τῆς θεοπτίας ἔσονται λόγοι· διαλάμπει δὲ ὁ Χριστὸς ἐν αὐτοῖς, διὰ τοῦ ἰδίου δηλονότι Πνεύματος εἰς ἕκαστα τῶν δεόντων φωταγωγῶν, καὶ ἀῤῥή τοις τισὶ δᾳδουχίαις ταῖς κατὰ τὸν νοῦν ἑαυτὸν ἐκκαλύπτων καὶ ἐμφανῆ καθιστάς· οἱ δὲ ἅπαξ ἑλόντες, μακάριοί τε καὶ ζηλωτοί. καί μοι δοκεῖ τοιοῦτός τις εἶναι λέγων ὁ προφήτης Δαυείδ "Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός·" καὶ μὴν καὶ αὐτὸς ἡμῖν ὁ θεῖος ἐπιστέλλων ἀπόστολος "Εἰ "δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;" λαλεῖ γὰρ ἐν τοῖς ἁγίοις διὰ τοῦ Πνεύματος τὰ καθ' ἑαυτὸν, καὶ 2.494 ἕτερα δὲ πρὸς τούτοις ἀποκαλύπτων μυστήρια. διὰ γάρ τοι τοῦτο καὶ συνέντες ἀκριβῶς αὐτὰ, ποτὲ μὲν λέγουσιν, ὅτι "ἡμῖν μὲν ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος," ποτὲ δὲ πάλιν "Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν," νοῦν εἶναι λέγοντες τὸ Πνεῦμα αὐτοῦ. Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης Κύριε, τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; Ἐξ ἀγάπης μὲν πρόεισι φιλοπευστήσων ὁ μαθητὴς, πλὴν οὐκ ἀκριβῶς ὁρᾶται συνεὶς τοῦ Σωτῆρος τὸν λόγον. ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐξαίρετόν τινα τοῖς ἁγίοις ὑπισχνεῖτο τὴν γνῶσιν, καὶ οὐχὶ τῇ τῶν ἄλλων παρεικασμένην. ἰσχνότεροι γὰρ καὶ κατὰ πολὺ διειδέστεροι τῶν θείων μυστηρίων οἱ χαρακτῆρες ἐν τοῖς ἀνθρώποις τοῖς θείοις ἐκλάμπουσιν· ἐν δὲ τοῖς οὔπω πρὸς τοῦτο φρενῶν καθαρότητος ἀφιγμένοις, ὡς ἑλεῖν δύνασθαι λαμπρῶς τῶν ὑπὲρ λόγον τὴν εἴδησιν διὰ τῆς τοῦ Πνεύματος δωρεᾶς, ἐν ἁπλοῖς ἡ γνῶσις ὁρᾶται λογισμοῖς, καὶ κατὰ μόνον ἐστὶ τὸ εἰδέναι τυχὸν, ὅτι Θεός ἐστιν ὁ Χριστὸς καὶ Υἱὸς ἀληθῶς τοῦ κατὰ φύσιν Θεοῦ. τοσαύτης τοιγαροῦν μεταξὺ χωρού σης τῆς διαφορᾶς, καὶ κατὰ πολὺ διειργούσης τῶν ἀγε λαίων τὴν γνῶσιν τῆς ἐν τοῖς ἁγίοις θεωρουμένης, ἀδιαφο ρήσας ὁ μαθητὴς πρόσεισιν ἐρωτῶν Ἀνθ' ὅτου μὴ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην ἀποκαλύψειν ἑαυτὸν, μόνοις δὲ τοῖς ἁγίοις ἐπαγγέλλεται. τὸ δέ Τί γέγονεν ἀναβοῶν, ἔοικέ τι τοιοῦτον ὑπαινίττεσθαι θέλειν· σκοπός σοι, φησὶ, τῆς εἰς ἡμᾶς ἀφίξεως, ὦ Δέσποτα, τὸ μὴ τισὶ μὲν ἀνὰ μέρος γινώ σκεσθαι, τισὶ δὲ οὐκέτι· ἠκούομεν γὰρ ἐν προφήταις ὅτι "ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ," ἀλλὰ καὶ αὐτὸς ἐφώνεις βοῶν "Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, "ὅτι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, "λέγει Κύριος, καὶ καταφεύξονται ἔθνη πολλὰ πρὸς τὸν 2.495 "Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν·" συνόντες δὲ καὶ συνδιατρίβοντες, αὐτήκοοι τῆς σῆς γεγενή μεθα φωνῆς, ὅταν πρὸς ἡμᾶς ἔφης "Ὅταν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑψωθῶ ἐκ τῆς "γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν·" ἀλλὰ καὶ πρὸς αὐτοὺς εἴρηκας Ἰουδαίους ὅτι "καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν "ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενή "σονται μία ποίμνη, εἷς ποιμήν." οὐκοῦν ἐπὶ πάντας ἔσεσθαι προσδοκωμένης τῆς διὰ σοῦ χάριτος, καὶ πάντας σαγηνευθήσεσθαι πρὸς θεογνωσίαν, σοῦ τε ἡμῖν ἐπαγγειλα μένου σαφῶς, καὶ τῆς τῶν ἁγίων προφητῶν διαμαρτυρου μένης φωνῆς, τί γέγονε; ποῖ δὴ μετέστη, φησὶ, καὶ μετατέ θειται τῆς ἐπαγγελίας ὁ σκοπός; τί δὲ οὐχ ἅπασι τοῖς κατὰ τὸν κόσμον ἐμφανίζεις σεαυτὸν, ἀλλὰ μόνοις ἡμῖν; οὗτος μὲν οὖν καὶ οὐχ ἕτερος οἶμαι τῶν τοῦ μαθητοῦ ῥημάτων ὁ νοῦς· τί δὲ ἄρα τὸ ἀποκομίσαν αὐτὸν τῆς ἀληθοῦς διαλήψεως παραδεῖξαι καλόν. Ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἔφασκε "Μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ "με·" ἀλλ' ἦν δήπου καὶ μάλα σαφῶς, ὅτι κόσμον ἐν τούτοις, οὐχὶ πάντως τοὺς ὄντας ἐν τῷδε τῷ βίῳ φησὶν, ἤτοι διαζῶντας ἐπὶ τῆς γῆς· πάντες γάρ εἰσιν ἐν τῷδε τῷ κόσμῳ πονηροί τε καὶ ἀγαθοί· κόσμον δὲ ὠνόμασε μᾶλλον τοὺς τὰ ἐπίγεια φρονεῖν ἀναπεπεισμένους, καὶ τῇ ματαιότητι τοῦ κόσμου τὸ οἰκεῖον ὑποζεύξαντας φρόνημα. τοῦτο τοι γαροῦν οὐ σφόδρα συνεὶς ὁ μαθητὴς, ᾠήθη λέγειν αὐτὸν, ὅτι τῶν μὲν ἄλλων ἁπάντων ἀνθρώπων, οἳ καὶ τόνδε τὸν περίγειον οἰκοῦσι χῶρον, τὸν ὀφθαλμὸν διαλήσεται, φημὶ δὲ τὸν ἔσω καὶ κεκρυμμένον, καὶ ἄποπτος ἔσται παντελῶς, οὐδενὶ τῶν ὄντων γινωσκόμενος πλὴν μόνοις τοῖς ἑαυτοῦ μαθηταῖς· τοῦτο τῆς ἀγνοίας αὐτῷ γέγονεν αἴτιον. εἰ γὰρ 2.496 συνῆκεν ἐν ἀρχαῖς, οὐκ ἂν ὅλως προσῆλθεν ἐρωτῶν Τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; ὑπηνέχθη μὲν οὖν τὸ τῇδε νοεῖν, κοινῶς τε καὶ εἰθισμένως τοῖς ἄλλοις τὴν ἐκ τοῦ ὀνόματος σημασίαν ἐκλαβών· κόσμον γὰρ ἔθος ἐστὶν ἡμῖν ὀνομάζειν, κατά γε τὸν εὐτριβῆ καὶ τοῖς ἄλλοις ἅπασι προκείμενον λόγον, τοὺς ἐν παντὶ τῷ κόσμῳ τυχὸν, ὥσπερ εἴ τις καὶ πόλιν λέγοι, τοὺς ὅλην οἰκοῦντας τὴν πόλιν. πλὴν ἀξιοζήλωτος καὶ ταῦτα λέγων ὁ μαθητής. ἄθρει γὰρ ὅπως ἡλίου δίκην τοῖς ἀνὰ πᾶσαν τὴν γῆν τὴν τοῦ Σωτῆρος διαφαίνεσθαι δόξαν ἐπιθυμεῖ, καίτοι τῶν καθ' ἑαυτὸν εἰ μόνον ἐποιεῖτο πρόνοιαν, ἐξῆν ἔχοντα τῆς γνώσεως τὴν ὑπόσχεσιν ἐπὶ μόνοις τοῖς ἰδίοις ἥδεσθαι καλοῖς. ἀλλ' οὐκ ἐξήρκει πρὸς θυμηδίαν τὸ ἰδιαζόντως ὥσπερ αὐτῷ δοθησόμενον ἀγαθόν· ἐπειδὴ δὲ ἦν φιλόθεός τε ὁμοῦ καὶ φιλάδελφος, ἐκπλατύνεσθαι τοῦ Σωτῆρος τὴν δόξαν ἐπιθυμεῖ, κοινὴν δὲ τοῖς ἀδελφοῖς προ κεῖσθαι τὴν χάριν. τὸ γὰρ εἰς γνῶσιν ἀκριβῆ καλεῖσθαι Θεοῦ, τί ἂν ἔχοι τὸ ἰσοστατοῦν; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. Οὐ σφόδρα συνέντα θεωρήσας τὸν μαθητὴν, ἐπάνεισι πάλιν ἐπὶ τὸ ἐν ἀρχαῖς εἰρημένον, καὶ διδάσκει σαφῶς, ὡς οὐ κατὰ μόνην τὴν ἐν εἰδήσει νοουμένην ἐπίγνωσιν, ἑαυτὸν ἐμφανίσει τοῖς γνησίοις, ἀλλ' ἐξαίρετός τις αὐτοῖς καὶ οὐχὶ τοῖς ἄλλοις ἐντριβὴς ὁ τῆς ἐλλάμψεως ὑπάρξει τρόπος. οἱ μὲν γὰρ ἀγελαῖοι τυχὸν, καὶ ἄρτι τυχὸν τῆς τῶν εἰδώλων ἀπάτης ἀποφοιτήσαντες, κεκλημένοι τε πρὸς ἐπίγνωσιν τοῦ κατὰ φύσιν ὄντος Θεοῦ, ἐν ψιλοῖς καὶ ἀζητήτοις ἔχουσι λογισμοῖς τὴν πίστιν, αὐτὸ δὴ τοῦτο μαθόντες φρονεῖν, ὡς "οὐδὲν εἴδωλον ἐν κόσμῳ" τυχὸν, εἷς δὲ μόνος ὁ φύσει 2.497 Θεός· οἱ δὲ διὰ πάσης ἀρετῆς τὸν οἰκεῖον καταλαμπρύνοντες νοῦν, ἔχοντές τε ἤδη πρὸς τὸ μανθάνειν ἐπιτηδείως τὰ θεῖά τε καὶ κεκρυμμένα μυστήρια, τὴν διὰ τοῦ Πνεύματος λή ψονται δᾳδουχίαν, καὶ αὐτὸν ἐν ἑαυτοῖς ἐναυλισθέντα τὸν Κύριον τοῖς τῆς διανοίας ἐπαθρήσουσιν ὀφθαλμοῖς. οὐκοῦν οὐ κοινὴ τοῖς ἄλλοις τῶν ἁγίων ἡ γνῶσις, ἀλλ' ἐξαίρετός τις καὶ διωρισμένη καὶ πολλὴν ἔχουσα τὴν διαφοράν. ὠφελεῖ τοιγαροῦν διὰ παντὸς ἡμᾶς λόγου τε καὶ τρόπου Χριστός. πρῶτον μὲν γὰρ, τίς ὁ αὐτὸν ἀγαπῶν εὖ μάλα διορίζεται, δεικνὺς ὥς γε μοι φαίνεται καὶ νοεῖν ἔπεισιν ὀρθῶς, ὡς οὐχ ἅπασιν ἐφεῖται λαβεῖν τὴν τοῦ χαρίσματος δύναμιν, ἀλλ' οἷσπερ ἂν ἐνυπάρχον ὁρῷτο τὸ τῆς εἰς αὐτὸν γνησιότητος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καύχημα διὰ τοῦ τηρῆσαι τὰς ἐντολάς. Εἶτα τίνα τρόπον αὐτοῖς ἐπιλάμψει, πῶς δὲ αὐτοῖς ἐγκα τοικισθήσεται, λέγει· Ἀγαπήσει γὰρ αὐτὸν ὁ Πατήρ μου, φησί. τετιμηκὼς γάρ τις δι' εὐπειθείας τῆς εἰς τὸν Υἱὸν τὸν ἐξ οὗπέρ ἐστι γεννήτορα, καρπὸν ἕξει τοῦ πράγματος τὴν ἀγάπησιν. εἶτα τί τὸ ἐντεῦθεν ἀνατελεῖ, ποῖον δὲ αὐτῷ περιέσται τὸ κέρδος σαφὲς καθιστάς Ἐλευσόμεθά φησι πρὸς αὐτὸν ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. κατοικήσαντος γὰρ ἐν ἡμῖν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ διὰ τοῦ Ἁγίου Πνεύματος, συνέσται δήπου πάντως καὶ ὁ γεν νήσας αὐτόν· Πνεῦμα γὰρ καὶ αὐτοῦ τοῦ Πατρὸς τὸ Πνεῦμα Χριστοῦ· καὶ γοῦν ὁ θεσπέσιος Παῦλος πῇ μὲν ἴδιον τοῦ Πατρὸς, πῇ δὲ τοῦ Υἱοῦ τὸ Πνεῦμά φησιν, οὐ τοῖς ἰδίοις ἀντιτάττων λόγοις, ἀληθεύων δὲ μᾶλλον καθ' ἑκάτερον· ἔχει γὰρ οὕτω τῇ φύσει. λέγει τοίνυν πρός τινας, ὅτι "ὁ "ἐγείρας Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ "θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύ "ματος ἐν ὑμῖν," εἶτα πάλιν "Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέ "στειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας 2.498 "ὑμῶν, κράζον Ἀββᾶ ὁ πατήρ." ὁρᾷς ὅπως τὸ αὐτὸ Πνεῦμα τοῦ τε Πατρός ἐστι καὶ τοῦ Υἱοῦ; κατοικοῦντος οὖν ἄρα τοῦ Μονογενοῦς ἐν ταῖς καρδίαις ἡμῶν, οὐκ ἄπεστιν ὁ Πατήρ· ἔχει γὰρ ὁ Υἱὸς ἐν ἑαυτῷ τὸν γεννήτορα, μιᾶς πρὸς αὐτὸν ὑπάρχων οὐσίας, ἔστι δὲ καὶ αὐτὸς ἐν Πατρὶ φυσικῶς. Ὁ μὲν οὖν τῆς πίστεως ὅρος τε καὶ ἀνυπαίτιος οὗτος ἂν εἴη λόγος· ἐροίμην δ' ἂν ἐπὶ τούτῳ καὶ λίαν ἡδέως τοὺς ἐκ πολλῆς ἀμαθίας ἑτεροδοξεῖν ἑλομένους, καὶ τῇ τοῦ Πνεύ ματος δόξῃ τὴν οἰκείαν ἐξοπλίζοντας γλῶτταν. τί γὰρ δὴ καὶ φαῖεν, ὅταν λέγωμεν αὐτοῖς Εἰ κτιστὸν τὸ Πνεῦμά ἐστι καὶ ἀλλότριον τῆς οὐσίας τοῦ Θεοῦ καθ' ὑμᾶς, πῶς ἂν ἐν ἡμῖν δι' αὐτοῦ κατοικήσαι Θεός; πῶς δὲ Θεοῦ μέτοχος ὁ τὸ Πνεῦμα λαβών; εἰ μὲν γάρ ἐστι τῶν ἐνδεχομένων διά τινος ὅλως γενητῆς οὐσίας, τῆς θείας τε καὶ ἀῤῥήτου φύσεως ἡμᾶς μεταλαχεῖν, τί ἂν ἔτι τὸ κωλύον ὁρῷτο τὸν Θεὸν καὶ Πατέρα τὸ Πνεῦμα παρωσάμενον, καὶ δι' ἑτέρου τινὸς οὗπερ ἂν βούλοιτο κτίσματος ἐν ἡμῖν γίνεσθαι καὶ ἁγιάζειν ἡμᾶς; ἀλλὰ τοῦτο ἀδύνατον· οὐ γὰρ ἂν γένοιτό τις Θεοῦ δὴ τοῦ κατὰ φύσιν μέτοχος δι' ἑτέρου, εἰ μὴ διὰ τοῦ Πνεύματος· Θεὸς ἄρα καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα, καὶ οὐ τοῖς γεγονόσιν ἐναρίθμιον, καθάπερ ἔδοξέ τισιν. Ἄλλως τε κἀκεῖνο πρὸς τούτῳ διασκεπτέον. τὸ μέτοχόν τινος, ὡς κρείττονος κατ' οὐσίαν καὶ ἑτεροφυοῦς ἢ ὅπερ ἐστὶν αὐτὸ, ἕτερον εἶναι κατὰ φύσιν ἀνάγκη τοῦ μετεχο μένου. εἰ τοίνυν κτιστὸν ἢ ποιητὸν τὸ Πνεῦμά ἐστι, τίνος ἔσται λοιπὸν ἡ κτίσις μέτοχος; ἆρ' οὐχὶ πάντως ἑαυτῆς; κοινὸν γὰρ ὁρᾶται, ὃ ἔκτισται λοιπὸν ἐπ' ἀμφοῖν· ἀλλὰ καὶ κτιστοὶ καὶ γενητοὶ κατὰ φύσιν ὄντες ἡμεῖς, ὡς ἑτέρου κατὰ φύσιν ὑπάρχοντος ἢ ὅπερ ἡμεῖς, τοῦ Πνεύματος μετεσχή καμεν· οὐκ ἄρα κτιστὸν τὸ Πνεῦμά ἐστιν. εἰ δὲ τοῦτο 2.499 ἀληθὲς, ὥσπερ οὖν ἀληθὲς, Θεὸς καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα, καθάπερ εἰρήκαμεν. διαφεύξεται γὰρ τῶν ὄντων οὐδὲν τὴν τοῦ πεποιῆσθαι δόξαν, εἰ μὴ μόνος ὁ φύσει Θεὸς, ἐξ οὗ δηλονότι προϊὸν ἀῤῥήτως τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς αὐτὸς ἐξ οὗπέρ ἐστιν, ἐν ἡμῖν κατοικεῖ. ἴδιον γάρ ἐστι τῆς οὐσίας αὐτοῦ, καὶ ποιότης ὥσπερ τῆς ἁγιότητος αὐτοῦ. Καὶ ταῦτα μὲν ἤδη πρὸς τούτους· πρὸς δέ γε τοὺς Ἀνομοίους, καὶ πολεμεῖν ἐγνωκότας τῷ Υἱῷ, οἳ καὶ ἀδελφὴν καὶ γείτονα τοῖς ἀρτίως ἡμῖν εἰρημένοις νοσοῦσι μανίαν, ἐρῶ τι τῶν ἀναγκαίων. Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. τί οὖν, ὦ γενναῖοι, φατὲ, διαπυθέσθαι τινὸς θέλοντος καὶ μαθεῖν ἀξιοῦντος παρ' ὑμῶν, πότερόν ποτε δύο θεοὺς ἕξομεν ἐνοικοῦντας, τὸν Πατέρα καὶ τὸν Υἱόν· ἢ Θεὸς εἷς ἐν ἡμῖν νοεῖταί τε καὶ ἔστιν ἀληθῶς; εἰ μὲν γὰρ ἕτερός ἐστι κατὰ φύσιν ὁ Υἱὸς παντελῶς καὶ ἐν ἰδίᾳ τινὶ φύσει νοούμενος, πῶς οὐκ ἀνάγκη δυάδα θεῶν ἐν ἡμῖν γενέσθαι πιστεύειν, ὅταν τηρῶμεν τὰς ἐντολάς; εἰ δὲ ναοὶ χρηματίζομεν, ἑνὸς δηλονότι καὶ οὐ δύο θεῶν, ὅταν ἡμῖν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐναυλίζωνται, ποῖος ἐν ἡμῖν ἔτι λόγος συστέλλει πρὸς ἑνότητα τοὺς δύο, τῆς κατ' οὐσίας ταυτό τητος οὐκ ἐχούσης τόπον,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατά γε τὴν ὑμετέραν φρενοβλά βειαν; ἢ γὰρ ἀνάγκη λέγειν, ὅτι ψευδῆ πρὸς ἡμᾶς λελά ληκεν ὁ Χριστὸς, ἐνοικίζεται δὲ μόνος ἡμῖν ὁ Πατὴρ διὰ τοῦ Πνεύματος· ἤγουν ἐνοικεῖ μὲν αὐτὸς, ἄπεστι δὲ ὁ Πατήρ. ἀλλὰ τοῦτο ἄτοπον· εἷς δὲ Θεὸς ἐν ἡμῖν, ὅταν ἄμφω λάβωμεν. οὐχ ἑτεροούσιος ἄρα πρὸς τὸν ἑαυτοῦ Πατέρα φανεῖται λοιπὸν ὁ Μονογενὴς, ἀλλ' ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ, καθάπερ ἐν τῷ φωτὶ τὸ ἀπαύγασμα τὸ ἐξ αὐτοῦ. εἴη γὰρ ἂν οὕτω καὶ οὐχ ἑτέρως ἡ τοῦ μυστηρίου δύναμις ἀληθής. 2.500 καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, οὐχὶ δύο θεῶν ὠνόμασεν ἡμᾶς ναοὺς, ἀλλ' ἑνὸς δηλονότι καὶ αὐτοῦ· "Οὐκ οἴδατε, φησὶν, "ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν "ὑμῖν;" ὁρᾷς ὅτι συνεισενεγκὼν εἰς οὐσίας ταυτότητα τὸν Πατέρα καὶ τὸν Υἱὸν, ναοὺς ἡμᾶς ἀποδεδεῖχθαί φησιν, οὐ θεῶν μᾶλλον, ἀλλὰ Θεοῦ. τί τοίνυν εἰκαίοις παρακρούεσθε λογισμοῖς τῆς ἀληθείας τὴν δύναμιν, καὶ τῆς ἑαυτῶν δυσσε βείας τὸν ἰὸν ἐπισπείρετε τοῖς ἀλογώτερον εἰωθόσι προσ βάλλειν τοῖς ἱεροῖς τε καὶ θείοις γράμμασιν; Ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ. Προαποδείξας εὖ μάλα καὶ διορισάμενος ὀρθῶς, τίνες ἂν εἶεν οἱ ἀγαπῶντες αὐτὸν, μεθέξωσι δὲ καὶ ποίων ἀγαθῶν, μέτεισιν εὐθὺς ἐφ' ἑτέρους τοὺς οὔπω φιλεῖν ἑλομένους. οὐ γὰρ ἔσονται φύλακες, φησὶ, ῥημάτων τῶν ἐμῶν· τοῦτο γάρ ἐστι τό Οὐ τηρήσει τὸν λόγον μου, ὡς καθ' ἑνὸς ἢ περὶ ἑνὸς λεγόμενον, εἰ καὶ πλατεῖάν πως ἔχει καὶ γενικὴν τὴν δήλω σιν. ἀκολούθως δὲ σφόδρα καὶ τοῦτό φησιν. εἰ γὰρ τῆς εἰς αὐτὸν ἀγάπης ἀπόδειξις ἔσται σαφὴς τὸ τηρῆσαι τὰς ἐντολὰς, ἤτοι τὸν παρ' αὐτοῦ λόγον, εἴη δήπου πάντως ὂν ἀληθὲς καὶ τὸ ἐναντίον. δεῖγμα γὰρ ἔσται τοῦ μὴ ἑλέσθαι φιλεῖν, τὸ δι' οὐδενὸς ποιεῖσθαι λόγου τὴν ἐντολὴν, παρω θεῖσθαι δὲ τὸ κεκελευσμένον, καθάπερ τι τῶν ἀδικεῖν εἰω θότων. ἀλλ' ὥσπερ τοῖς νομοφύλαξιν ἐνοικίσειν ἑαυτὸν ὁμοῦ τῷ Θεῷ καὶ Πατρὶ κατεπηγγέλλετο· κατὰ τὸν αὐτὸν οἶμαι λόγον τῶν μὴ τοιούτων ἀπαναστήσεται καὶ ἀποφοι τήσει παντελῶς. ἀληθεύσει γὰρ λέγων ὁ Σολομών "Ὅτι "εἰς κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύσεται, οὐδὲ κα "τοικεῖ ἐν σώματι κατάχρεῳ ἁμαρτίας." καὶ γάρ τοι καὶ ἐφ' ἡμῶν οὕτως ἔχουσαν εὑρήσεις τοῦ πράγματος τὴν φύσιν· ἢ γὰρ οὐχὶ τοῖς ὁμόφροσι καὶ ὁμοτροπεῖν ἑλομένοις τὸ 2.501 συνδιαιτᾶσθαι μᾶλλον ἤγουν τοῖς ἑτέροις παντί τῳ τετί μηται; καίτοι "πᾶν ζῷον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ," κατὰ τὸ γεγραμμένον, "καὶ τῷ ὁμοίῳ αὐτῷ προσκολληθήσεται "ἀνήρ·" εἰ δὲ καὶ ἐν ἡμῖν αὐτοῖς ὁμοήθεσι συνεῖναι κατὰ ταὐτὸν τῶν ὅτι μάλιστα διὰ σπουδῆς εἶναι δοκεῖ, πῶς οὐχὶ μᾶλλον οὕτως ἔχειν ἐπὶ Θεοῦ λογιούμεθα; ἀγαθὸς γὰρ ὑπάρχων τῇ φύσει, καὶ ἀρετῆς ἁπάσης ἀρχὴ καὶ γένεσις, οὐχὶ τοῖς φαυλότητος ἐρασταῖς, ἀλλὰ τῆς ἀρετῆς ἐργάταις ἐναυλίζεται, παραιτεῖται δὲ τὸν ἀκάθαρτον, καὶ λίαν ὀρθῶς. καθάπερ οὖν ἀμέλει καὶ ἡμεῖς αὐτοὶ βορβόρου καὶ δυσωδίας ἀπηλλάχθαι τὰς ἑαυτῶν οἰκίας σπουδάζομεν, εἴπερ τι τῶν τοιούτων ὅλως ἔχοι, τὸ ἐν αὐταῖς αὐλίζεσθαι παραιτούμενοι· ἆρ' οὖν οὐ μειζόνως ὁ καθαρός τε καὶ πανάγιος ἡμῶν Θεὸς τὴν μεμολυσμένην ψυχὴν παραιτήσεται, καὶ καταμυσάττεται καρδίαν τῷ τῆς ἁμαρτίας βορβόρῳ κατηφανισμένην; ἀλλ' ἔστιν οὐκ ἀμφίβολον. ὅτι γὰρ ἐν τούτοις ἔσται καὶ οὐχ ἑτέροις ὁ μὴ τηρήσας τὴν ἐντολήν· ἀκάθαρτος γὰρ καὶ φιλοβόρβορος· αὐτή σε πάλιν ἡ τοῦ θεωρήματος διδάξει δύναμις. ἐν γὰρ τῷ μὴ τηρῆσαι τὰς θείας ἐντολὰς ἡ τῆς ἁμαρτίας εὑρίσκεται γένεσις. Ὅνπερ γὰρ τρόπον ἡ τοῦ φωτὸς στέρησις παρεισάγει τὸ ἐναντίον, φημὶ δὲ τὸν σκότον, οὕτω τὸ μὴ δρᾶν ἐθέλειν τὴν ἀρετὴν, τὴν τῆς φαυλότητος παρεισάγει γένεσιν· καθ' ἓν γάρ τι τὸ ὑποκεῖσθαι νοούμενον, οὐκ ἂν οἶμαι κατὰ ταὐτὸν συμβαίη ποτὲ τὰ τῆς ἀλλήλων διωρισμένα ποιότητος, κατά γε τὸν λόγον τοῦ ἐναντίως ἔχειν· κακία καὶ ἀρετὴ διώρισταί τε καὶ πολὺ διέστηκε πρὸς τὸ ἐναντίον τῆς ἀλλήλων ποιό τητος, ἢ ὅπως ἄν τις εἰπὼν οὐκ ἂν ἁμάρτοι τυχὸν, ἀλλ' οὐκ ἄν τινι τῶν ὄντων καθ' ἡμᾶς προσόντα φανείη κατὰ ταὐτὸν ἀμφότερα καὶ δι' ἐνεργείας πληρούμενα. ἢ γὰρ πονηρός τις 2.502 ἐστιν ἢ ἀγαθὸς, εἰ καὶ οὐκ εἰς ἄκρον πονηρίας τυχὸν, ἤτοι τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγαθότητος. οὐκοῦν ἰσχύοντος ἐν ἡμῖν τοῦ ἑνὸς, ἀτο νήσει πάντως τὸ ἕτερον, τουτέστι, τὸ ἐναντίως ἔχον. εἰ δὲ ἐν τῷ τηρῆσαι τὰς ἐντολὰς τὸ τῆς ἀρετῆς εἶδός ἐστι, πῶς οὐχὶ προδηλότατον, ὡς ἐν τῷ μὴ τηρῆσαι τῆς κακίας ἡ γένεσις; ἀπόκειται δὲ ὥσπερ τῷ τετηρηκότι τὸ ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα καὶ τὸν Υἱὸν, ὅπερ ἐστὶν ἁπάσης θυμη δίας τε καὶ δόξης ἀρχὴ καὶ ὑπόθεσις· οὕτω καὶ τῷ μὴ τηρήσαντι τὸ ἥκιστα μετασχεῖν τῆς θείας τε καὶ ἀῤῥήτου φύσεως, ὅπερ ἐστὶν οὐδενὸς τὸ σύμπαν ἀπόλαυσις ἀγαθοῦ. οὐκοῦν εἴ τῳ καλὸν καὶ ἀξιέραστον εἶναι δοκεῖ τὸ τῆς θείας φύσεως μεταλαχεῖν, ἐνδιαιτώμενόν τε καὶ ἐνοικοῦντα τοῖς τῆς καρδίας ταμιείοις τὸν τῶν ὅλων ἔχειν Πατέρα καὶ Θεὸν δι' Υἱοῦ ἐν Πνεύματι, διανιζέτω τὴν ἑαυτοῦ ψυχὴν, καὶ τὴν ἐκ τῆς φαυλότητος, δι' ὧν ἂν δύναιτο τρόπων, μᾶλλον δὲ διὰ πάσης ἀγαθουργίας ἀποτριβέτω κηλῖδα. χρηματιεῖ γὰρ τότε ναὸς ὄντως Θεοῦ· ἀναπαύσεται δὲ ἐν αὐτῷ καὶ κατα λύσει, κατὰ τὸ γεγραμμένον. οὐ γὰρ ἔσται κατ' ἐκεῖνον τὸν ἐν τοῖς εὐαγγελίοις νομικὸν ὠνομασμένον, ὃς τὴν παρὰ τοῦ Σωτῆρος οὐ περιμείνας χάριν, αὐτόκλητος εἶναι πρὸς ἀκο λούθησιν ἔφη, καὶ τὴν οὕτως ἀξιάγαστον ἁρπάζων τιμήν φησι "Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ·" ἀλλὰ τί πρὸς αὐτὸν ὁ Κύριος, ὡς ἐν παραβολῇ καὶ αἰνίγ ματι; "Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ "οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει "ποῦ τὴν κεφαλὴν κλίνῃ." ἀλώπεκας δὲ καὶ οὐρανοῦ πετεινὰ, τοὺς πανούργους καὶ ἀκαθάρτους ὠνόμασε δαίμονας, καὶ τὰ ἐγκόσμια ταυτὶ καὶ ἀέρια πνεύματα, ἃ ταῖς τῶν φιληδόνων καρδίαις ἐμφιλοχωρεῖ τε καὶ ἐναυλίζεται, τὴν τῶν ἰδίων θελημάτων ἔχοντα πλήρωσιν, στενοχωροῦντά τε οὕτω τὰς ἀθλίας τῶν δεχομένων ψυχὰς, ὡς τόπον οὐδένα 2.503 παντελῶς ἀναπαύσεως ἐν αὐταῖς εὑρίσκειν τὸν Θεόν· τοῦτο γάρ ἐστι τὸ κλῖναι τὴν κεφαλήν. Καθαρίσωμεν τοίνυν ἀπὸ παντὸς μολυσμοῦ τὰς ἑαυτῶν καρδίας· οὕτω γὰρ οὕτω καὶ ἐν ἡμῖν οἰκήσει Θεὸς, καὶ ἀμείνους ἡμᾶς ἁπάσης ἐπηρείας ἀποφανεῖ διαβολικῆς, μακα ρίους τε καὶ ζηλωτοὺς ἐργάσεται, καὶ κοινωνοὺς ἀποδείξει τῆς θείας αὐτοῦ καὶ ἀῤῥήτου φύσεως. Καὶ ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός. Οἰκονομεῖ τι πάλιν τῶν ἀναγκαίων, καὶ καλούντων εἰς ὀρθότητα λογισμῶν, καὶ δι' ὧν ἔμελλον εὐμαθεστέραν ἔχειν διάνοιαν εἰς τὸ συνιέναι καλῶς τοῦ μυστηρίου τὸ βάθος, παρακομίζει πάλιν εἰς μέσον. στηρίζει δὲ τῶν ἀκροωμένων τὸν νοῦν, ἵνα μὴ ταῖς Ἰουδαίων ἀμαθίαις συγκαθελκόμενοι, καὶ ταῖς ἐκείνων ὑπονοίαις τὰ ἴσα νοεῖν ἀγαπήσαντες, τὴν ἁγίαν καὶ εὐαγγελικήν τινες ἀτιμάζοιεν παίδευσιν· ὃ δὲ εἰ πεῖν βούλομαι, σαφῶς ἐστι τοιοῦτον. ὁ νόμος μὲν γὰρ σκιὰν ἔχων καὶ τύπον "μέχρι καιροῦ διορθώσεως" ἐπικείμενον, κατὰ τὴν τοῦ Παύλου φωνὴν, "παιδαγωγὸς ἡμῶν γέγονεν "εἰς Χριστὸν," καὶ προμελέτησιν ὥσπερ τινὰ τῆς κατ' εὐσέβειαν ἀρετῆς εἰσεκόμιζε. προγύμνασμα τοίνυν τῆς ἀλη θοῦς καὶ ἐν πνεύματι λατρείας τὰ διὰ Μωυσέως εἰπών τις, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. διὰ γάρ τοι τοῦτο τετε λείωκεν ὁ νόμος οὐδέν· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὐκέτι πραγμάτων εἰκόνας, ἀλλ' αὐτὴν ἡμῖν ἀναφανδὸν ὑπέ δειξε τὴν ἀλήθειαν, οὐκ ἐν τύποις ἔτι καὶ σχήματι τὸ τῆς ἀρετῆς καταγράφων εἶδος, ὅπερ ἐποίει Μωυσῆς, ἀλλὰ γυμνὴν ὥσπερ καὶ ἐμφανῆ καθιστὰς, καὶ πλήρη πρὸς εὐ σέβειαν τὸν ἄνθρωπον ἀποτελῶν. ἦν οὖν ἄρα τῶν τύπων εἰς ἀλήθειαν μεταχώρησις καὶ μετάπλασις, τῶν διὰ Χριστοῦ 2.504 ῥημάτων ἡ παίδευσις. ἐπειδὴ δὲ τῆς ἀληθείας ἤδη διαλαμ πούσης, περιττὸν ἦν ἔτι κρατύνεσθαι τὴν σκιὰν, οὐκέτι τοῖς νομικοῖς τύποις πολιτεύεσθαι ἐνομοθέτει Χριστὸς τοὺς προσ ιόντας αὐτῷ διὰ τῆς πίστεως. τοῦτο λίαν ἐλύπει τοὺς Ἰου δαίους, ᾤοντό τε ὅτι τὸν ἀρχαῖον καταλύσων νόμον ἐπιδεδή μηκεν ὁ Χριστὸς, καίτοι διαῤῥήδην βοῶντος ἀκούοντες "Οὐκ "ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι· λέγω γὰρ "ὑμῖν, ὅτι ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ "νόμου, ἕως ἂν πάντα γένηται." πλήρωμα γὰρ ἔχει τῆς τοῦ νόμου σκιᾶς ἡ κατὰ ἀλήθειαν ἀρετὴ διὰ τῶν Χριστοῦ νόμων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσκεκομισμένη, καθάπερ ἀρτίως ἐλέγομεν. ἐπειδὴ γὰρ ἀκρίτῳ θυμῷ διωλισθηκότες εἰς ἀπείθειαν, καὶ εἰς ζῆλον ἰόντες τοῦ νόμου οὐ κατ' ἐπίγνωσιν, συνηγορεῖν ἐδόκουν τῷ νόμῳ τὰ διὰ Χριστοῦ παρωθούμενοι, διὰ τοῦτο χρησίμως, ἵνα μὴ δοκοίη τισὶ καινούς τινας ἢ ἰδίους παρὰ τὴν ἐνοῦσαν βούλησιν τῷ Θεῷ καὶ Πατρὶ διορίζειν νόμους, ἀναγκαίως ἐπήνεγκεν ὅτι ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ πέμψαντός με. Μὴ γὰρ δή τις οἰέσθω φησὶ τῶν προσιόντων ἐμοὶ διὰ τῆς πίστεως, ὡς ἀπῳδόν τινα λόγον ἐποιησάμην τῷ Θεῷ καὶ Πατρί· αὐτοῦ πάλιν καὶ οὐχ ἑτέρου τὸ εὐαγγελικόν ἐστι κήρυγμα, οὐκ ἐρυθριάσαντος ὥσπερ ἐπὶ τοῖς ἀρχαιοτέροις θεσμοῖς, ἀλλ' οὐδὲ ὡς νῦν ηὑρημένης τῆς ἀμείνονος ἐντολῆς, ἀλλ' ὡς ἐν καιρῷ τῷ δέοντι μεταπεπλασμένου τοῦ τύπου πρὸς ἀλήθειαν. ὁ γὰρ ἐκεῖνα λαλήσας δι' ἐμοῦ τοῖς ἀρχαιο τέροις τότε, καὶ ταῦτα νυνὶ πρὸς ὑμᾶς· Λόγος γάρ εἰμι ζῶν τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἀῤῥήτου θελήσεως ἑρμηνευτικὸς, διὸ καὶ κέκλημαι "Μεγάλης βουλῆς ἄγγελος." Ἢ γὰρ κατὰ τοῦτον τὸν τρόπον ἐκδεξόμεθα τὸ εἰρημένον, φημὶ δὲ τό Ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ πέμψαντός με Πατρὸς, ἤγουν καὶ ἑτέρως νοήσομεν. τοῦ γὰρ Θεοῦ καὶ Πατρὸς τὸν ἑαυτοῦ λόγον φησὶν, ἵνα οἱ μὲν τηροῦντες 2.505 εἰδεῖεν ὅτι Θεὸν τετιμήκασι, τοῖς παρ' αὐτοῦ γεγονόσι κατα πειθόμενοι λόγοις· οἱ δέ γε πρὸς τὸ τούτῳ πεσόντες ἐναν τίον, καὶ ταῖς ἀπειθείαις τὴν δοθεῖσαν ἐντολὴν ἐξυβρίζειν οὐ παραιτούμενοι, εἰς αὐτὴν ἁμαρτάνουσι τὴν πάντων βασιλίδα φύσιν. ἦν δὲ δὴ πάλιν κατὰ δύο τρόπους τὸν τῶν ἀκροω μένων ἀσφαλίσασθαι νοῦν· ἢ γὰρ τὸ θέλειν τιμῆσαι τὸν Θεὸν προτρέψαι πάντως εἰς εὐπείθειαν, ἤγουν τὸ δεδιέναι προσκρούειν αὐτῷ τοῦτο δὴ πάλιν ἐργάσεται. εἶσι γὰρ δι' ἀμφοῖν ὁ τοῦ χρησίμου τε καὶ συμφέροντος λογισμός. λέγων δὲ ὅτι οὐκ ἔστιν ἐμὸς ὁ λόγος, οὐχὶ δὴ πάντως ἡμᾶς ἐξίστησι τοῦ ἰδίου προσώπου, καθόπερ ἐστὶ Λόγος καὶ Θεός· ἐπειδὴ δὲ τὴν οἰκετικὴν ἔχων μορφὴν ἔτι καὶ ἐν ἀνθρωπίνῳ φαινόμενος σχήματι καὶ ὑπάρχων ἀληθῶς καθ' ἡμᾶς τὰ τοιαῦτά φησιν, οὐκ ἀνθρώπινον τὸν ἑαυτοῦ νοεῖσθαι βού λεται λόγον, ἀλλὰ θεῖον ὄντως καὶ βασιλικὸν, περιενεγκὼν ἀναγκαίως εἰς τὸ τοῦ Πατρὸς πρόσωπον, ἵνα μὴ διελὼν ἑαυτὸν, δύο λοιπὸν υἱοὺς νοεῖσθαι παρασκευάσῃ, εἷς ὢν Υἱὸς καὶ πρὸ τῆς σαρκώσεως καὶ μετὰ τὴν σάρκωσιν· εἷς γὰρ ὁ Χριστὸς, καὶ οὐ δύο κατά τινας. Θεὸς γὰρ ὢν ὁ Λόγος ἐκ Πατρὸς γέγονε σὰρξ, κατὰ τὴν Ἰωάννου φωνὴν, οὐκ εἰς σάρκα μεταβεβλημένος, ἀλλ' ἰδίαν ποιησάμενος σάρκα τὸν ἐκ τῆς ἁγίας παρθένου ναόν. ἵνα τοίνυν μὴ ἀνθρώπινον εἶναι νομίζωμεν τὸν λόγον αὐτοῦ, μηδὲ τῆς θείας ἐκστήσωμεν φύσεως τὸ μάθημα τὸ εὐαγγελικὸν, ἀλλὰ Θεοῦ τοῦ ἐπὶ πάντας εἶναι πιστεύωμεν, οἰκονομικῶς καὶ σφόδρα καλῶς, ἅτε δὴ καὶ ἐν ἀνθρωπίνῳ φαινόμενος σχήματι, τῇ θείᾳ φύσει ἀπονέμει πάλιν τὸν λόγον, ὡς ἐν προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς, ἐξ οὗ καὶ ἐν ᾧ κατὰ φύσιν ἐστὶν, ὡς ἀπαύγασμα καὶ Λόγος αὐτοῦ καὶ τῆς ὑποστάσεως αὐτοῦ χαρακτήρ. 2.506 Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὑμῖν ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ἐγώ. Ἔχει πάλιν ὁ λόγος τὸ ἀνθρώπινον, καὶ τῶν καθ' ἡμᾶς οὐ λίαν ἀπήλλακται μέτρων, ὅσον ἧκεν εἰς νοῦν τοῖς προκει μένοις τὸν πρέποντα. πότε γὰρ, εὐλόγως ἐρεῖ τις, ὡς οὐ παρ' ἡμῖν ἐστιν ὁ Χριστὸς κατά γε τὴν τῆς θεότητος δύναμιν, καίτοι πληροῖ μὲν τὰ πάντα, καὶ οὐδενὸς τὸ σύμπαν ἀπο δημεῖ, περιέπει δὲ μᾶλλον ἀῤῥήτῳ δυνάμει γῆν τε καὶ οὐρανὸν, καὶ τῶν ἀβύσσου δὲ μυχῶν οὐκ ἀπολιμπάνεται; ποῦ γὰρ οὐκ ἔστι Θεός; ὅταν οὖν λέγῃ Ταῦτα πρὸς ὑμᾶς εἶπον παρ' ὑμῖν μένων, κατὰ τὸ ἀνθρώπινον ἐκληψόμεθα· καὶ ἐπείπερ ἔμελλεν ἐξ ὀφθαλμῶν γενέσθαι τῶν ἡμετέρων, κατά γε τὴν σάρκα φημὶ, τὴν ἐν τοῖς οὐρανοῖς ἀποδημίαν στειλά μενος τὰ τοιαῦτά φησι· τὴν δὲ τοῦ μυστηρίου τελειοτάτην καὶ ἀκριβεστάτην ἡμῖν ἀποκάλυψιν διὰ τοῦ παρακλήτου γενέσθαι λέγει, τουτέστι, τοῦ Ἁγίου Πνεύματος ἀποστα λέντος παρὰ τοῦ Πατρὸς ἐπὶ τῷ ὀνόματι αὐτοῦ, λέγω δὴ τοῦ Υἱοῦ. ὡς γὰρ Χριστὸς ἐν ἡμῖν τὸ Πνεῦμα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ· διὰ τοῦτό φησιν ὅτι ἐκεῖνος διδάξει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν ἐγώ. ἐπειδὴ γάρ ἐστι Πνεῦμα Χριστοῦ καὶ νοῦς αὐτοῦ, κατὰ τὸ γεγραμμένον, οὐχ ἕτερόν τι παρ' αὐτὸν ὂν, κατά γε τὸν ἐν ταυτότητι φυσικῇ λόγον, καίτοι νοούμενόν τε καὶ ὑπάρχον ἰδίως, οἶδε πάντα τὰ ἐν αὐτῷ. καὶ μαρτυρήσει λέγων ὁ Παῦλος "Τίς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα "τοῦ ἀνθρώπου τὸ ὂν ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ "οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ." οὐκοῦν, ὡς εἰδὸς τὰ ἐν τῇ βουλήσει τοῦ Μονογενοῦς, πάντα ἡμῖν ἀναγγέλλει, οὐκ ἐκ μαθήσεως ἔχον τὴν εἴδησιν, ἵνα μὴ φαίνηται διακόνου τάξιν ἀποπληροῦν, καὶ τοὺς ἑτέρου τυχὸν 2.507 διαπορθμεύων λόγους, ἀλλ' ὡς Πνεῦμα αὐτοῦ, καθάπερ ἀρτίως εἰρήκαμεν, καὶ εἰδὸς ἀδιδάκτως πάντα τὰ ἐξ οὗ καὶ ἐν ᾧπέρ ἐστι, τὰ θεῖα τοῖς ἁγίοις ἀποκαλύπτει μυστήρια, καθάπερ ἀμέλει καὶ ὁ ἀνθρώπινος νοῦς πάντα γινώσκων τὰ ἐν αὐτῷ, διακονεῖ πρὸς τὸ ἔξω, λόγῳ τυχὸν τῷ προφορικῷ, τὰ θελήματα τῆς ψυχῆς, ἧς ἐστι καὶ νοῦς, ἕτερον μέν τι παρ' αὐτὴν ταῖς ἐπινοίας ὁρώμενός τε καὶ ὀνομαζόμενος, ἕτερος δὲ κατὰ φύσιν οὐκ ὢν, ἀλλ' ὡς μόριον τοῦ παντὸς συμπληρω τικὸν, ἐν αὐτῇ τε ὑπάρχον, καὶ ἐξ αὐτῆς ἀναφύεσθαι πιστευ όμενον. ὑπὲρ δὲ τοῦτο πάλιν ἡ θεία τε καὶ ἄῤῥητος φύσις· μικρὰ γὰρ πᾶσα παραδειγμάτων ἰσχὺς, κἂν διὰ λεπτῶν ἔρχηται λόγων. οὐκοῦν ἡ τελεία μάθησις διὰ τοῦ Πνεύματος τοῖς ἁγίοις ἐντίκτεται. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος ἐπι στέλλει πρός τινας "Κἀγὼ ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν "ἐν τῷ Κυρίῳ Ἰησοῦ καὶ τὴν εἰς πάντας τοὺς ἁγίους "ἀγάπην, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν μνείαν ποιού "μενος ἐπὶ τῶν προσευχῶν μου, ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν "Ιησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, δῴη ὑμῖν Πνεῦμα "σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμέ "νους τοὺς ὀφθαλμοὺς τῆς καρδίας, εἰς τὸ εἰδέναι ὑμᾶς τίς "ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, τίς ὁ πλοῦτος τῆς δόξης "τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερ "βάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύ "οντας κατὰ τὴν ἐνέργειαν ἣν ἐνήργηκεν ἐν τῷ Χριστῷ, "ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς "ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνά "μεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ "μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι." ἐν γὰρ τῇ τῶν τοιούτων ἀποκαλύψει διὰ τοῦ Πνεύματος ἐν ἡμῖν ἀποῤῥήτως ἐνεργουμένῃ, τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ βάθος καὶ τοῦ κεκρυμμένου μυστηρίου τὴν δύναμιν θεω 2.508 ροῦμεν. ὅτι δὲ τὴν αὐτοῦ τοῦ Χριστοῦ παρουσίαν τε καὶ δύναμιν ἀναπληροῖ τὸ Πνεῦμα αὐτοῦ τοῖς ἁγίοις ἐνοικοῦν, καὶ πάντα διδάσκει ἅπερ αὐτὸς λελάληκε πρὸς ἡμᾶς, πάλιν ἡμῖν οὐδὲν ἧττον ὁ Παῦλος σαφηνιεῖ λέγων "Τούτου χάριν "κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα "πατριὰ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῴη ὑμῖν "κατὰ τὸν πλοῦτον τῆς δόξης δυνάμει κραταιωθῆναι διὰ τοῦ "Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν "Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ "ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλα "βέσθαι σὺν πᾶσι τοῖς ἁγίοις τί τὸ πλάτος καὶ μῆκος καὶ "βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώ "σεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ "πλήρωμα τοῦ Θεοῦ."

Σημειωτέον δὲ πάλιν, ὅτι πάντα διὰ τοῦ Πνεύματος ἀπο καλυφθήσεσθαι τοῖς ἁγίοις εἰπὼν, οὐχ ἑτέρῳ δίδωσιν αὐτοὺς διδασκάλῳ· μὴ τοῦτο νομίσῃς· ἑαυτῷ δὲ παρίστησι διὰ τοῦ Πνεύματος, σαρκικοῖς μὲν οὐκέτι φαινόμενος ὀφθαλμοῖς, τοῖς γεμὴν νοητοῖς τῆς καρδίας ὄμμασι θεοπρεπῶς θεωρούμενος. Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν· μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω. Εἰς ἀνάμνησιν ἐνεγκὼν τοὺς ἁγίους ἀποστόλους τῆς εἰς οὐρανοὺς ἀναβάσεως, καὶ ὅτι περιλειφθήσονται κατὰ τοῦτο μόνοι παρασκευάσας ἐννοεῖν διὰ τοῦ φάναι "Ταῦτα λελά "ληκα ὑμῖν παρ' ὑμῖν μένων," συνίησιν εὖ μάλα γοργῶς, ἅτε δὴ καὶ ὑπάρχων κατὰ φύσιν Θεὸς, ὡς οὐ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετρίαν αὐτοῖς ἐντέθεικε τὴν πτοίαν ὁ λόγος, τεθορύβηκε δὲ δεινῶς, καὶ τῷ βάρει τῆς λύπης καταφορτίσας τὸν ἑκάστου κατεθόλωσε νοῦν. τί γὰρ ἂν γένοιτο τῆς λύπης τὸ δυσαχθέστερον; τί δὲ οὕτω φορτικὸν, ὡς τῶν ἡδίστων ἡ παραίρεσις, καὶ τὸ τῶν 2.509 ἔτι μάλιστα φιλαιτάτων ἀδόκητον ὑπομένειν ζημίαν; καθί στησι τοίνυν αὐτοὺς λύπῃ καὶ φόβῳ τεταραγμένους. πρό φασις μὲν γὰρ καὶ ῥίζα λύπης, τὸ μέλλειν αὐτῶν ἀποφοιτᾶν καὶ ἀνακομίζεσθαι πρὸς τὸν Πατέρα, δικαιοτάτη πως ἦν, ἐποιεῖτο δὲ μητέρα τὴν ὑποψίαν τοῦ πάντα πείσεσθαι, καὶ λίαν ἑτοίμως, οὐ συμπαρόντος ἔτι, κατά γε τὴν ἐμφανῆ τοῦ σώματος ὄψιν, τοῦ διασώζειν ἰσχύοντος. πῶς δὲ καθί στησιν, ἢ τίνα τρόπον αὐτοῖς τὸ ἐκ τῆς εὐθυμίας φαιδρὸν εἰσοικίζεται, καὶ πρὸς θείαν αὖθις γαλήνην ὁ νοῦς κατευνά ζεται; δίδωμι, φησὶν, ὑμῖν εἰρήνην καὶ ἀφίημι ὑμῖν εἰρήνην τὴν ἐμήν. εἴρηκα, φησὶ, πλειστάκις, ὡς "οὐκ ἀφήσω ὑμᾶς "ὀρφανούς·" ἀλλ' οὐδὲ μόνοι τὴν γῆν οἰκήσετε τοῦ βοη θοῦντος ἔρημοι καὶ γυμνοί· συνέσομαι γὰρ πάλιν ὑμῖν, καὶ ἀπὼν τῷ σώματι ἀνατειχιῶ πάλιν ταῖς εὐμενείαις, ὡς Θεὸς, ἄνω θήσομαι θορύβου παντὸς, περιέσται δὲ τῆς ὑμετέρας εὐτολμίας οὐδείς· πᾶς γὰρ ἀτονήσει φόβος, καὶ δειλία μὲν ἐκποδὼν οἰχήσεται, θεία δέ τις ἐν ὑμῖν ἀνατελεῖ δύναμις, σχολάζοντι νῷ καὶ γαληνιώσῃ καρδίᾳ ξεναγοῦσα πρὸς ἀποκάλυψιν τῶν ὑπὲρ ἀνθρώπινον νοῦν. νῦν δὲ δίδωμι ὑμῖν εἰρήνην, οὐχ ἁπλῶς, ἀλλ' εἰρήνην τὴν ἐμήν. τοῦτο δὲ ἦν ἐναρ γῶς οὐδὲν ἕτερον εἰπεῖν, ἢ ὅτι χορηγήσω τὸ Πνεῦμα, καὶ συνέσομαι δι' ἐμαυτοῦ τοῖς δεχομένοις αὐτό. Ὅτι γὰρ ἡ εἰρήνη Χριστοῦ τὸ Πνεῦμά ἐστιν αὐτοῦ, μακροῦ μὲν οἶμαι μὴ δεῖσθαι λόγου πρὸς πληροφορίαν καὶ ἀπόδειξιν. πλὴν ἐκεῖνο φάναι δεῖν ὑπολαμβάνω Εἰ γὰρ αὐτός ἐστιν ἡ ἐν τοῖς οὐρανοῖς εἰρήνη καὶ ἐπὶ τῆς γῆς, πῶς οὐκ ἂν εἴη λοιπὸν παντί τῳ σαφὲς ὅτι, καθάπερ εἰρήκαμεν, ἡ εἰρήνη δὴ πάντως ἐστὶ τὸ Πνεῦμα αὐτοῦ; καὶ γοῦν ὁ θεσπέσιος Παῦλος πρός τινας ἔφη "Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα "νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν." καίτοι πῶς οὐ δίκαιον ἐννοεῖν, ὡς οὐ περὶ ταυτησὶ τῆς εἰρήνης τῆς ἐν τῷ κοινῷ νοουμένης λόγῳ τε καὶ πράγματι 2.510 τὰ τοιαῦτά φησιν; ἡ μὲν γὰρ ἀφιλόμαχος καὶ ἀφιλοπόλεμος ἕξις, ὅσον ἐν οἰκείαις ῥοπαῖς καὶ ἐν θελήσει τῇ καθ' ἑαυτὴν, εἰρήνην ἔχει καὶ ἐργάζεται· καὶ οὐκ ἐνυπόστατόν τι καὶ ὑπάρχον ἰδίως οἰησόμεθά ποτε τὴν οὕτω νοουμένην εἰρήνην, ἀλλ' ἐν ἕξει τῇ τῶν ἀγαπώντων αὐτὴν συμβαίνειν ὑπονοή σομεν· πῶς οὖν ἄρα νοήσαι τις ἂν πάντα νοῦν ὑπερέχειν τὴν τοιαύτην εἰρήνην; τὸ γὰρ μηδαμῇ μηδαμῶς ὂν κατ' ἰδίαν ὕπαρξιν, πῶς ἂν νοοῖτο κρεῖττον τε καὶ ἄμεινον ἀνθρώπων τυχὸν, ἢ ἀγγέλων, ἢ καὶ τῶν ἔτι προσάνω νοουμένων; νοῦν γὰρ εἶναι καὶ ταῦτά φαμεν. οὐκοῦν ἡ ὑπὲρ ἀρχὰς, ἡ ὑπὲρ ἐξουσίας, ἡ ὑπὲρ θρόνους ἢ κυριότητας καὶ ὑπὲρ πάντα νοῦν εἰρήνη, τὸ Πνεῦμα Χριστοῦ ἐστι, δι' οὗ τὰ πάντα τῷ Θεῷ καὶ Πατρὶ κατήλλαξεν ὁ Υἱὸς, τῷ τὰ αὐτοῦ θέλειν, καὶ βούλεσθαι νοεῖν τε καὶ πράττειν, καὶ μὴ ἑτέρωσέ ποι χωρεῖν εἰς ἀπόστασιν διὰ τῆς εἰς τὰ φαῦλα παρατροπῆς. λυπεῖ δὲ οὐδὲν καὶ λογισμὸν ἐπὶ τούτῳ λαβεῖν οὐκ ἀσύνετον. ὅνπερ γὰρ τρόπον ἐπείπερ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς καὶ σοφία καὶ δύναμις, καλεῖται δὲ καὶ ἔστι τὸ Πνεῦμα αὐτοῦ, πνεῦμά ἐστι ζωῆς καὶ σοφίας καὶ δυνάμεως· οὕτως ἐπείπερ ἐστὶν αὐτός τε καὶ οὐχ ἕτερος ἡ ἀληθῶς τε καὶ κυρίως εἰρήνη, λέγοιτ' ἂν εἰκότως καὶ νοοῖτο πάλιν κατ' αὐτὸν εἰρήνη τὸ Πνεῦμα αὐτοῦ. διά τοι τοῦτο καὶ ἰδικῶς ἀναθεὶς τῇ ἑαυτοῦ φύσει τὴν ἰδίαν εἰρήνην, τουτέστι, τὸ Πνεῦμα, λέγει περὶ αὐτοῦ Εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. ὅτι δὲ καὶ παρὰ τοῖς ἁγίοις προφήταις οὕτω κατωνόμασται τὸ Πνεῦμα Χριστοῦ, συνήσεις εὖ μάλα τὸ διὰ φωνῆς Ἡσαΐου μαθών "Κύριε γὰρ, φησὶν, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· "πάντα γὰρ ἀπέδωκας ἡμῖν." ὡς γὰρ οὐδὲν τοῦ νόμου τετε λειωκότος, οὔτε μὴν ἐξαρκούσης τῆς κατ' αὐτὸν δικαιοσύνης 2.511 εἰς πληρεστάτην εὐσέβειαν ἀνακομίσαι τὸν ἄνθρωπον, τὸ Πνεῦμα τὸ θεῖον δοθῆναι παρακαλεῖ, δι' οὗ κατηλλαγμένοι τῷ Θεῷ καὶ Πατρὶ, πρὸς φιλίαν ἀνακεκλήμεθα, δραπέται τὸ πρὶν ἀναδεδειγμένοι διὰ τὴν ἐφ' ἡμᾶς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλεύουσαν ἁμαρ τίαν. δὸς τοιγαροῦν τὴν εἰρήνην ἡμῖν, φησὶν, ὦ δέσποτα, πάντα γὰρ ἀπέδωκας ἡμῖν. καὶ ὃ βούλεται δηλοῦν εἶναί φημι τοιοῦτον Ἐπίδος, φησὶν, ὦ Δέσποτα τὴν εἰρήνην· πάντα γὰρ ἔχειν ὁμολογήσομεν τότε, ἐλλελοιπὸς δὲ φανεῖται τῶν ἀγαθῶν οὐδὲν τῷ γε ἅπαξ κομισαμένῳ τὸ πλήρωμα Χριστοῦ· παντὸς γὰρ πλήρωσις ἀγαθοῦ, κατοικῆσαι Θεὸν ἐν ἡμῖν διὰ τοῦ Πνεύματος. ἐπειδὴ τοίνυν ἱκανώτατον σφόδρα τὸ Πνεῦμά ἐστι, πάντα τῆς διανοίας καταραΐσαι θόρυβον, καὶ πᾶσαν τὴν ἐν ἡμῖν καταργῆσαι δειλίαν, ἐφόδιον ὥσπερ εἰς ἀνδρείαν καὶ ἀταραξίαν τὸ ἐπιτήδειον ἐπιδώσειν ἐπαγγέλλεται λέγων Εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν· μὴ ταρασ σέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω. Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. Οὐχ ἑτέρου, φησὶ, διεπύθεσθε λέγοντος τὴν ἐμὴν ἐντεῦθεν ἀποδημίαν· αὐτήκοοι γὰρ τῶν ἐμῶν ῥημάτων γεγόνατε. τί δὲ ὑμῖν ἐπηγγειλάμην ὁ ψεύδεσθαι μὴ εἰδώς; ἐγὼ ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ μὲν οὖν ἀπαράκλητον ὑμῖν ὁ λόγος ἠπείλησε τὴν ἀποδημίαν καὶ διηνεκῆ τὴν ἀπόλειψιν, ἦν δήπου καὶ μάλα εἰκὸς ἐπὶ τούτῳ λίαν ἀσχάλλοντας ἀφορήτως δὴ ἔχειν καὶ εἰς ἀκράτους δυσθυμίας κατολισθεῖν· ἐπειδὴ δὲ πρὸς ὑμᾶς ἔφην, ὡς οὐκ ἀπελεύσομαι μόνον, ἀλλ' ὅτι καὶ ἐπανήξω κατὰ καιρὸν, τί δή, φησὶ, μόνον τὸ λυποῦν ταῖς ἑαυτῶν διανοίαις εἰσοικίζοντες, τὸ πεφυκὸς εὐφραίνειν ταῖς ἀμνηστίαις ὑβρίζετε; ἀντεγειρέσθω τῷ πλήττοντι τὸ θεραπεύειν εἰδὸς, ἀντιπαλαιέτω τοῖς ἀνιᾶν πεφυκόσιν ἡ τοῦ 2.512 κατευφραίνοντος δύναμις. συντέταγμαι μὲν γὰρ ὡς ἀναβη σόμενος πρὸς τὸν Πατέρα καὶ Θεὸν, ἀλλ' ὅτι καὶ ἐπανήξω πάλιν ἐπήγγελμαι. καταραΐζει τοίνυν ἀκμαιοτάτην ἐν τοῖς μαθηταῖς τὴν λύπην εὑρών· καὶ ὥσπερ ἂν εἴ τις φιλόπαις ὄντως ἀνὴρ καὶ ἀγαθώτατος, τῆς ἐνεγκούσης ἀπαίρειν ἐπί τισι τῶν ἀναγκαίων ἐκβιαζόμενος, εἶτα πολὺ τῶν ἰδίων τέκνων τὸ δάκρυον βλέπων, τὴν τρυφερωτάτην αὐτῶν καὶ φίλην καταβρέχον παρειὰν, διὰ παντὸς εἶσι λόγου, καὶ τὸ ἐκ τῆς ἀποδημίας ἐσόμενον ἀγαθὸν ἀεὶ παρακομίζων εἰς μέσον, ἀνθοπλίζει τρόπον τινὰ ταῖς λύπαις τὴν ἐπὶ τοῖς ἡδίστοις ἐλπίδα· οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῆς τῶν ἁγίων ψυχῆς περιστέλλει τὴν λύπην. ᾔδει γὰρ ᾔδει, Θεὸς ὑπάρχων ἀληθινὸς, φορτικωτάτην αὐτοῖς ἔσεσθαι τὴν ἀπόλειψιν αὐτοῦ, καίτοι συνόντος ἀεὶ διὰ τοῦ Πνεύματος· ἀγάπης δὲ τοῦτο καὶ ὁσιότητος τῆς εἰς ἄκρον ἀπόδειξις. τὸ γὰρ συνεῖναι βούλεσθαι τῷ Χριστῷ, πῶς οὐκ ἀληθῶς τοῖς ἁγίοις πρεπωδέστατον; καὶ γοῦν ὁ θαυμάσιος Παῦλος τοῦτον ἔχων ἐν ἑαυτῷ τὸν σκοπόν Κρεῖσσον γάρ φησι, "τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι."

**2.513 ΚΕΦΑΛΗ Α.** Ὅτι κατ' οὐδὲν ἐλάττων ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς, ἴσος δὲ μᾶλλον καὶ ὅμοιος κατὰ φύσιν αὐτῷ. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι πορεύομαι πρὸς τὸν Πατέρα, ὅτι ὁ Πατήρ μου μείζων μου ἐστίν. ἈΝΤΙΠΕΡΙΤΡΕΠΕΙ τῆς λύπης τὴν ἀφορμὴν εἰς θυμη δίας ὑπόθεσιν, καὶ ὅτι μὴ χαίρουσι μᾶλλον ἐφ' ᾧ νῦν ἀσχάλλουσι, καταιτιᾶται σαφῶς· ἐν ταὐτῷ δὲ πειρᾶται διδάσκειν, ὅτι τοὺς ἀκαπήλευτόν τε καὶ ἀληθῆ τὴν εἰς ἑτέρους ἀγάπην ἐπιτηδεύοντας ζητεῖν ἀναγκαῖον οὐχὶ δὴ πάντως μόνον τὸ σφίσιν αὐτοῖς ἡδύ τε καὶ φίλον, ἀλλὰ καὶ τοῖς ἀγαπωμένοις λυσιτελὲς, καιροῦ καὶ τοῦτο δρᾶν ἀναπείθοντος. διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπιστέλλων φησίν "Η ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, "οὐ ζητεῖ τὰ ἑαυτῆς·" λέγει δὲ πρός τινας μὴ τὰ ἑαυτῶν ζητοῦντες, ἀλλὰ καὶ τὰ ἑτέρων. ἀγάπης γὰρ ἔργον τῆς ἀκριβοῦς, οὐχὶ δήπου πάντως τὸ μόνον ἡμᾶς προνοεῖν τῶν ἰδίων ἀγαθῶν, ἀλλὰ καὶ τῷ πλησίον περισκέπτεσθαι τὸ χρήσιμον· τοῦτο γὰρ φρονεῖν ἀναπείθει τοὺς ἑαυτοῦ μαθη τὰς διὰ τῶν προκειμένων ὁ Σωτήρ. καὶ φέρε δὴ πάλιν ἐφ' ἡμῖν αὐτοῖς καθάπερ ἐπὶ πίνακι, λεπτοτέροις γραφείοις τὴν τοῦ θεωρήματος ἀνατυποῦντες δύναμιν, ἀναβαίνωμεν ἐν τεῦθεν ἐπὶ τὸ Χριστοῦ μυστήριον. προξενεῖ γὰρ πολλάκις ὁ ἐν τοῖς ἐλάττοσι τύπος τὸ ἐφικέσθαι δύνασθαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τῶν ἀσυγκρίτως ἔχειν πεπιστευμένων. οὐκοῦν ἡδὺ μὲν, φέρε 2.514 εἰπεῖν, τοῖς Παύλου μαθηταῖς τὸ αὐτῷ συνεῖναι διὰ παντός· ἀλλὰ κρεῖττον τῷ Παύλῳ "τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ "εἶναι," καθάπερ αὐτὸς διεβεβαιώσατο γράφων. ἦν οὖν ἔργον τοῖς ἀγαπᾶν ἑλομένοις αὐτὸν, τὸ πληροῦν ἐπείγεσθαι τὴν εἰς αὐτὸν ἀγάπησιν, καὶ μὴ δύσοιστον ἀεὶ ποιεῖσθαι τὸ αὐτοῖς καὶ μόνον ἡδὺ, περιαθροῦντας δὲ μᾶλλον καὶ τὸ τῷ διδασκάλῳ χρήσιμον ἀποδημοῦντι συμφέρειν· ἠπείγετο γὰρ συνεῖναι Χριστῷ. Ἔχεις τοῦ θεωρήματος ἐν τοῖς καθ' ἡμᾶς τὴν σκιάν. φέρε δὴ τοίνυν, τῶν ἐπὶ Χριστῷ μυστηρίων τὴν δύναμιν, καθάπερ τι χρῶμα πολυειδὲς ταῖς σκιαῖς ἐπαλείφοντες, αὐτὴν ἤδη σαφῶς ἐπιδείξωμεν τὴν ἀλήθειαν. ἐν μορφῇ γὰρ ὑπάρ χων τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Μονογενὴς, καὶ ἐν ἰσότητι τῇ κατὰ Πνεῦμα, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, διά τε τὴν εἰς ἡμᾶς ἀγάπησιν, κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν, καὶ ὑπέστη γε τοῦτο παθὼν, ἵνα πάντας ἡμᾶς ἀπευθύνῃ πρὸς πᾶσαν εἴδησιν ἀρετῆς, ἵνα διὰ τῆς τῶν θαυμάτων ἀσυγκρίτου φαιδρότητος θεωροὺς γενέσθαι παρα σκευάσῃ τῆς ἐνούσης τῇ θείᾳ φύσει δυνάμεώς τε καὶ δόξης καὶ ὑπερφυοῦς ἐξουσίας· οὕτω γὰρ ἦν ἀναπεῖσαι τοὺς εἰς ἐσχάτην ἀμαθίαν ὠλισθηκότας ἀνασφῆλαι πάλιν εἰς σύν εσιν, καὶ προσκυνεῖν μὲν οὐκέτι τῇ κτίσει παρὰ τὸν κτί σαντα, τὸν δὲ ἀληθῶς ἕνα καὶ φύσει Θεὸν ἐπιγράφεσθαι. ὠφέλησε δὲ καὶ καθ' ἑτέρους τρόπους ἡμᾶς ὁ Μονογενὴς ἐνανθρωπήσας· κατέστρεψε γὰρ τοῦ θανάτου τὸ κράτος, κατέλυσε τῆς ἁμαρτίας τὴν δύναμιν, δέδωκεν ἡμῖν "πατεῖν "ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν "τοῦ ἐχθροῦ." ἦν οὖν ἄρα καὶ λίαν εἰκότως ἡμῖν μὲν αὐτοῖς ἢ καὶ τοῖς ἁγίοις μαθηταῖς ἡδύ τε καὶ φίλον, καὶ παντὸς ἄξιον λόγου, τὸ συνεῖναι διὰ παντὸς τῷ τοσούτων ἡμῖν ἀγαθῶν δοτῆρι Χριστῷ, συμπαρόντα τε ἀεὶ καὶ συνδιαιτώ 2.515 μενον ἔχειν· ἀλλ' οὐ σφόδρα χρήσιμον αὐτῷ διεφαίνετο, ἐν μακροῖς οὕτω χρόνοις ἐμφιλοχωρεῖν τῷ τῆς ταπεινώσεως σχήματι παραδεχθέντι χρησίμως διὰ τὴν εἰς ἡμᾶς ἀγά πησιν, καθάπερ ἤδη προείπομεν. ἔδει γὰρ μᾶλλον, τῆς καθ' ἡμᾶς οἰκονομίας ἀκολούθως ἤδη πεπερασμένης, εἰς τὴν ἰδίαν ἀναφοιτῆσαι δόξαν αὐτὸν, καὶ μετὰ τῆς δι' ἡμᾶς ληφθείσης σαρκὸς παλινδρομεῖν εἰς ἰσότητα τὴν πρὸς Θεὸν καὶ Πατέρα, ἣν οὐχ ἁρπαγμὸν ἡγησάμενος· ἐξῆν γὰρ ἔχειν ὡς ἴδιον ἀγαθόν· εἰς ἀνθρωπίνην καταβέβηκεν ἀδοξίαν. ἕως μὲν γὰρ ἦν ἐπὶ τῆς γῆς ἔτι, καίτοι Θεὸς ὑπάρχων ἀληθινὸς καὶ τῶν ὅλων Κύριος, οὐδενὸς ἀμείνων τῶν καθ' ἡμᾶς ἐλογίζετο παρά γε τοῖς οὐκ εἰδόσι τὴν δόξαν αὐτοῦ. καὶ γοῦν ἐῤῥά πίσθη, καὶ ἐνεπτύσθη, καὶ ἐσταυρώθη, καὶ τῆς Ἰουδαίων ἀνοσιότητος ὑπέστη τὸν γέλωτα τολμησάντων εἰπεῖν "Εἰ "υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ "πιστεύσομέν σοι." ἐπειδὴ δὲ τὸ καθ' ἡμᾶς ἀποπληρώσας μυστήριον, πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀνεκομίζετο Πατέρα καὶ Θεὸν, ἅτε δὴ παρελάσαντος ἤδη τοῦ τῆς ταπεινώσεως χρόνου, καὶ πεπερασμένων τῶν καιρῶν τῆς ἑκουσίου κενώ σεως, Θεὸς ἤδη ταῖς ἄνω δυνάμεσι διεφαίνετο. οὐ γὰρ ἠγνόησεν ἀναβαίνοντα τὸν τῶν ὅλων Δεσπότην ὁ οὐρανὸς, ἀλλ' ἐκελεύοντο μὲν οἱ ταῖς ἄνω πύλαις ἐφεστηκότες, ὡς τὸν τῶν δυνάμεων προσίεσθαι Κύριον, καίτοι μετὰ σαρκὸς ἀνι πτάμενον, αἴρειν τε τὰς πύλας αὐτῷ διετύπου τὸ Πνεῦμα λέγον "Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι "αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· Κύριος "κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ, Κύριος "τῶν δυνάμεων, αὐτός ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης." ἐγνώσθη γὰρ "ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἡ πολυποί "κιλος σοφία τοῦ Θεοῦ, ἣν ἐποίησεν ἐν τῷ Χριστῷ," καθάπερ ὁ Παῦλός φησιν. ἀνακομισθεὶς γὰρ πρὸς τὸν Πατέρα, καίτοι μείζονα ἢ κατ' αὐτὸν κατ' ἐκεῖνο νοούμενον, 2.516 καθόπερ ὁ μὲν ἔμεινεν ἐν οἷς ἦν ἀεὶ, ὁ δὲ τὴν ἑκούσιον ὑπομείνας κένωσιν ἐν τῇ τοῦ δούλου κατέβη μορφῇ, πρὸς τὴν οἰκείαν αὖθις ἀνεβιβάσθη δόξαν, ἀκούσας "Κάθου ἐκ "δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν "ποδῶν σου." ἵνα δὲ μὴ δοκοίη πλεονεκτήσας καὶ οὐχ ἑκόντα τυχὸν τὸν ἐν τοῖς οὐρανοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατέρα καὶ Θεὸν, καθῖσαι πρὸς τοῖς δεξιοῖς τὸν Υἱὸν αὐτὸς τοῦτο λέγων ὁ Πατὴρ εἰσενήνεκται, τὸ Ἐκ δεξιῶν μου κάθου, φησί. καὶ οὐ δή τις ἐρεῖ νοῦν ἔχων, ὡς τοῖς δευτέροις ὁ Πατὴρ τετίμηται τὸν Υἱὸν ἔχων ἐκ δεξιῶν, λογιεῖται δὲ μᾶλλον ἐκεῖνο καὶ διασκέψεται. ἔδει γὰρ ὄντως ἐκ δεξιῶν νοεῖσθαι, καὶ τὸν ἀνύποπτον εἰς ἐλάττωσιν ἔχειν τόπον, οὐχὶ δήπου πάντως τὸν Πατέρα, μᾶλλον δὲ τὸν Υἱὸν, διὰ τὴν ἑκούσιον κένωσιν καὶ ὑποταγὴν, ὡς ἐπ' ἐλάττοσι κατηγορούμενον παρὰ τῶν συνιέναι μὴ δυναμένων τὸ ἐπ' αὐτῷ μυστήριον. διὰ τοῦτο ἐκ δεξιῶν τοῦ μηδαμόθεν κατηγορεῖσθαι δυναμένου Πατρὸς, ἵνα τὸ ἰσότιμον σώζηται τῷ Υἱῷ. Καὶ ταυτὶ μὲν ἡμῖν εἰσεκομίσθη τὰ διηγήματα χρησίμως εἰς τὸ παρὸν, οὐκ ἀσυντελῆ τοῖς προκειμένοις ἔχοντα λόγον. ἀναλαβὼν δὲ ἐσαῦθις, καὶ ὅλον, ὡς ἔπος εἰπεῖν, ἐξ ἀρχῆς ἀναμηρυσάμενος τῆς ἐξηγήσεως τὸν σκοπὸν, ἐρῶ δὴ λοιπὸν, ὡς ἡδὺ μὲν ἡμῖν καὶ δι' εὐχῆς καὶ φίλον τὸ συνεῖναι διὰ παντὸς τῷ Σωτῆρι Χριστῷ, καίτοι δι' ἡμᾶς κεκενωκότι ἑαυτὸν, καθὰ γέγραπται, καὶ εἰς τὸ σχῆμα γενομένῳ τὸ οἰκετικὸν, καὶ εἰς τὴν τῆς ἀνθρωπίνης φύσεως ἀδοξίαν. τί γὰρ ἡ ἀνθρώπου φύσις, ὡς πρὸς Θεόν; ἀλλ' οὐκ αὐτῷ τῷ Υἱῷ τοῦτο χρήσιμον, λυσιτελὲς δὲ μᾶλλον τὸ ἀναβῆναι πρὸς τὸν Πατέρα, καὶ τὴν οἰκείαν ἀνακομίσασθαι δόξαν τε καὶ ἐξουσίαν καὶ ἀξίωμα τὸ θεοπρεπὲς ἀναφανδὸν ἤδη, καὶ οὐκέτι κατεσκιασμένως. κεκάθικε γὰρ ἐκ δεξιῶν, ἐθέλοντος τοῦτο καὶ αὐτοῦ τοῦ Πατρός. φιλεῖ γὰρ ὡς ἴδιον γέννημα 2.517 καὶ ὡς καρπὸν τῆς οὐσίας αὐτοῦ· οὐκοῦν διὰ τοῦτό φησιν Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι πορεύομαι πρὸς τὸν Πατέρα, ὅτι ὁ Πατὴρ μείζων μου ἐστίν. ὄντως τῆς εἰς αὐτὸν ἀγάπης ἀπό δειξις ἦν τὸ μὴ λυπεῖσθαι τοσοῦτον διὰ τὴν δοκοῦσαν ἀπόλειψιν καὶ ἀναγκαίως παραληφθεῖσαν ἀποδημίαν· διεν θυμεῖσθαι δὲ μᾶλλον, ὅτι πρὸς τὴν αὐτῷ πρέπουσάν τε καὶ ὀφειλομένην πεφοίτηκε δόξαν, καὶ εἰς τὸ ἀρχαῖον ἀξίωμα, τουτέστι, τὸ θεοπρεπὲς ἐναργῶς. καὶ γοῦν ὁ μελῳδὸς, καίτοι διὰ τοῦ Πνεύματος λαλῶν μυστήρια "Πάντα τὰ ἔθνη, φησὶ, "κροτήσατε χεῖρας·" εἶτα τῆς ἑορτῆς τὴν αἰτίαν ἐκδιηγού μενος, τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Σωτῆρος παρεκόμιζε λέγων "Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ "σάλπιγγος," ἀλαλαγμὸν ὀνομάζων καὶ σάλπιγγα, τὴν ὑψηλὴν καὶ ἐξάκουστον τοῦ Πνεύματος φωνήν· ὅτε ταῖς ἄνω δυνάμεσι τὰς πύλας αἴρειν διεκελεύετο, καὶ Κύριον αὐτὸν ὠνόμαζε τῶν δυνάμεων, καθάπερ ἐλέγομεν ἀρτίως. ἐπ' αὐτῷ δὲ δὴ τούτῳ καὶ αὐτὸν εὑρήσομεν τὸν τῶν ἁγίων χορὸν ἐν πολλαῖς γεγονότα ταῖς θυμηδίαις. τοιγάρτοι καὶ ἔφασκε, ποτὲ μὲν ὅτι "Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω "ἡ γῆ," ποτὲ δὲ αὖ πάλιν "Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέ "πειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώ "σατο." ὁ γὰρ μεθ' ἡμῶν ἄνθρωπος πρὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ὅτε πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀνέβη Πατέρα, τότε τὴν ἰδίαν εὐπρέπειαν ἐνεδύσατο, καὶ τὴν ἐξ ἀρχῆς ὑπάρχουσαν αὐτῷ περιεζώσατο δύναμιν· κεκάθικε γὰρ βασι λεύων μετὰ Πατρός. χαίρειν οὖν ἄρα δίκαιόν τε καὶ πρέπον τοὺς ἀγαπῶντας αὐτὸν, ὅτι πεπόρευται πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα τὴν ἰδίαν δόξαν ἀναληψόμενος, καὶ πάλιν αὐτῷ συμβασιλεύσων, καθάπερ ἦν ἐν ἀρχῇ. μείζονα δέ φησιν αὐτὸν, οὐχ ὅτι κεκάθικεν ἐκ δεξιῶν, ὡς Θεὸς, ἀλλ' ὡς 2.518 ἦν ἔτι μεθ' ἡμῶν, τουτέστιν, ἐν τοῖς καθ' ἡμᾶς. ὡς γὰρ ἔτι τὸ δουλοπρεπὲς ἔχων σχῆμα, καὶ παρόντος αὐτῷ οὔπω τοῦ καιροῦ καθ' ὃν ἔδει ἀναλαβεῖν, τὰ τοιαῦτά φησι. καὶ γοῦν ὅτε τὸν τίμιον ὑπὲρ ἡμῶν ὑπέστη σταυρὸν, ὄξος αὐτῷ καὶ χολὴν Ἰουδαῖοι προσήγαγον διψήσαντι, καὶ πιὼν, ἔφη Τετέλεσται. πεπλήρωτο γὰρ ἤδη ὁ τῆς ταπεινώσεως καιρὸς, καὶ ἐσταυρώθη μὲν, ὡς ἄνθρωπος· νενίκηκε δὲ τοῦ θανάτου τὸ κράτος, οὐχ ὡς ἄνθρωπος, ἔτι μᾶλλον δὲ ὡς Θεὸς, φημὶ δὴ κατὰ τὴν ἐνέργειαν καὶ τὴν ἐπὶ τῷ νικῆσαι δόξαν τε καὶ δύναμιν, οὐ κατὰ τὴν σάρκα. μείζων οὖν ὁ Πατὴρ, ὡς ἔτι δούλου καὶ ἐν τοῖς καθ' ἡμᾶς ὄντος τοῦ Υἱοῦ· ἐπεὶ καὶ Θεὸν ἑαυτοῦ φησιν αὐτὸν, καὶ τοῦτο τῷ ἀνθρωπίνῳ προσνέμων σχήματι. εἰ γὰρ πιστεύομεν ὅτι κεκένωκέ τε καὶ τεταπεί νωκεν ἑαυτὸν, πῶς οὐχ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἅπασιν ἔσται καταφανὲς, ὅτι κατα βέβηκεν ἐξ ὑπεροχῆς τινος εἰς ἐλάττωσιν, μᾶλλον δὲ ἐξ ἰσότητος τῆς πρὸς τὸν Πατέρα πρὸς τὸ μὴ οὕτως ἔχον; οὐδὲν δὲ τούτων ὑπομεμένηκεν ὁ Πατήρ· μεμένηκε δὲ καὶ ἔστιν ἐν οἷς ἦν ἐξ ἀρχῆς. μείζων οὖν ἄρα τοῦ τὴν ἐλάττωσιν οἰκονομικῶς ἑλομένου, καὶ τέως ὄντος ἐν αὐτῇ, ἄχρις ἂν εἰς ἐκεῖνο πάλιν ἀνακομισθῇ, τὸ ἴδιον δή φημι καὶ φυσικὸν ἀγαθὸν, ἐν ᾧπερ ἦν ἐν ἀρχῇ. τόπος δὲ ὥσπερ οἰκεῖός τε καὶ φυσικὸς αὐτῷ νοηθείη ἂν εἰκότως ἡ ἰσότης ἡ πρὸς τὸν Πατέρα, ἣν ἔχειν ἐξὸν ἀδιακωλύτως, οὐχ ἁρπαγμὸν ἡγή σατο δι' ἡμᾶς. Καὶ πολλοῦ ἡμῖν γεγονότος λόγου περὶ τῆς ἰσότητος τοῦ Υἱοῦ τῆς πρὸς τὸν Θεὸν καὶ Πατέρα καὶ ἐν τοῖς ὀπίσω βιβλίοις, τάχα πως ἦν ἤδη πρέπον ἐπὶ τὴν τῶν ἑξῆς σαφή νειαν ἐλθεῖν, τὸ περὶ τούτων ἔτι μακρηγορεῖν ἀφέντας εἰς τὸ παρόν. ἐπειδὴ δέ τις τῶν ἀσυνέτων αἱρετικῶν, οὐ λίαν ἀθαύμαστον παρὰ τοῖς Ἰουδαίοις λαχὼν τῶν ἱερῶν γραμ μάτων τὴν εἴδησιν, τὰ ἐν τῷ προκειμένῳ ἑρμηνεύειν ἐπι 2.519 χειρῶν, γραφῇ παραδέδωκεν οὐ φορητὰς δυσφημίας κατὰ τοῦ Μονογενοῦς, ἀδρανὲς ᾠήθην καὶ λίαν ἀνάρμοστον ἐμαυτῷ πρᾶγμα θέλειν ὑφίστασθαι, τὸ σιωπῇ παραδραμεῖν τὴν οὕτω δεινὴν τοῦ μνημονευθέντος ἀπόνοιαν. οὐκοῦν οἰήσομαι δεῖν ὑπαντῆσαι μὲν κατὰ λόγον αὐτῷ, δεῖξαί τε σαφῶς ὅτι σαθρά τε καὶ γραώδη τὰ παρ' αὐτοῦ μυθάρια, καὶ φρονήσεως μὲν τῆς ἀγαθῆς ἀμοιροῦντα παντελῶς, στροφὰς δὲ εἰκαίων ἔχοντα λογισμῶν. ἐπ' αὐτῆς δὲ ὑμῖν ἀναγνώσομαι λέξεως, ἃ συνθεῖναι τετόλμηκε, τὴν τοῦ προκειμένου, καθάπερ αὐτὸς ᾠήθη, θεωρίαν ἐξηγούμενος Μείζονα δὲ ἑαυτοῦ τὸν Πατέρα κηρύσσων σαφῶς, οὐ μόνον τὴν ἑαυτῷ πρέπουσαν παρέ στησεν εὐγνωμοσύνην, ἀλλὰ γὰρ καὶ τῶν ἐν ἀμφοτέροις εἶναι νομιζόντων τὸ ψεῦδος διήλεγξε. καὶ τὴν Σαβελλίου διὰ τούτων περικροτήσας δόξαν, δεινὸς, ὡς οἴεται, καὶ δριμὺς ἐπιπηδᾷ τοῖς ἐν ἰσότητι πρὸς τὸν Πατέρα τιθεῖσι τὸν Υἱὸν, οὕτω πάλιν εἰπών Εἰς τοσοῦτον πάλιν ἀπονοίας προῆλθόν τινες, ὡς μηδὲ ὅλως ἀνέχεσθαι μείζονα εἶναι τὸν Πατέρα τῆς τοῦ Μονογενοῦς θεότητος λέγειν, ἀλλὰ μόνον αὐτὸν συγκρίσει τῇ περὶ τὴν σάρκα ὑπερέχειν δοκεῖν, μηδὲ κἂν τοῦτο συνιδεῖν δυνηθέντες, ὡς τὰ ἑτερογενῆ οὐδαμῶς συγ κρίνεσθαι δύναται. οὐδεὶς γὰρ ἂν εἴποι ποτὲ ὅτι ἄνθρωπος σοφώτερός ἐστι κτήνους, οὔτε μὴν ἵππος ὀξυτέρως τρέχει χελώνης, ἀλλ' ἄνθρωπον ἀνθρώπου ἐλλογιμώτερον, ἵππον δὲ ἵππου ὀξύτερον φέρεσθαι. μόνων τοίνυν τῶν ὁμογενῶν τὴν πρὸς ἄλληλα σύγκρισιν ἐπιδεχομένων, ἀνάγκη αὐτοὺς ὁμολογῆσαι, ὅτι ὁ Πατὴρ μείζων αὐτῆς τῆς τοῦ Μονο γενοῦς θεότητος ὑπάρχει. οἱ γὰρ ἐναντίως σφαλλόμενοι τῷ πρὸς τὴν σάρκα συγκρίνειν, ὅσον τὸ ἐπ' αὐτοῖς, τὸ πατρικὸν ἀξίωμα καθαιροῦσι. Ταυτὶ μὲν ἐκείνου τὰ ὑθλώδη ληρήματα· διασκεπτέον δὲ ὅπως οὐδὲ εἰδότα δείξωμεν ὅτι τοῖς ἰδίοις αὐτὸς μάχεται 2.520 λόγοις. ἀποδέχεται μὲν γὰρ τὸν Υἱὸν, ὡς τὴν αὐτῷ πρέ πουσαν εὐγνωμοσύνην διατηρήσαντα, τῷ εἰπεῖν Ὁ Πατὴρ μείζων μου ἐστί· θαυμάζω δὲ ὅπως οὐδὲ ἐκεῖνο κατὰ νοῦν εἰσεδέξατο. τί γὰρ ἦν ὅλως τὸ ἀναπεῖθον αὐτὸν θεολογίας ἅψασθαι νυνὶ, καίτοι τὸ καιρὸν εἰδέναι τὸν πρέποντα καὶ λόγου καὶ πράγματος οὐκ ἐν τῷ μηδενὶ θείη τίς ἂν, εἴ γε σωφρονοίη. τί οὖν ἔδει τῆς οὕτως ἀκαίρου θεολογίας ἀνιω μένοις τοῖς μαθηταῖς, ἐπείπερ ἔμελλεν ἀποδημεῖν ἀπὸ κόσμου πρὸς τὸν Πατέρα καὶ Θεόν; ποῖον γὰρ ἂν ἐποίσειε παρα μυθίας τρόπον αὐτοῖς τὸ πρᾶγμα τυχόν; ἀνθ' ὅτου δ' ὅλως μονονουχὶ καὶ καταιτιᾶται λέγων Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι πορεύομαι πρὸς τὸν Πατέρα, ὅτι ὁ Πατὴρ μείζων μου ἐστίν; ἆρα γὰρ, εἰπέ μοι, διακεῖσθαι τοῦτο πρὸς θυμηδίαν ἐποίει τοὺς μαθητὰς, ἢ τῆς οὕτω φιλοθέου λύπης ἀπήλλαττεν, ὅτι πρὸς τὸν μείζονα Πατέρα πορεύεται; εἶτα ποῖον κατίδοι τις ἂν τὸν τῆς παραμυθίας ἐν τούτῳ τρόπον; καίτοι Φιλίππου μὲν ἐρομένου καὶ λέγοντος "Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, "καὶ ἀρκεῖ ἡμῖν," τότε δὴ τότε καὶ λίαν εὐκαίρως, ἅτε δὴ καὶ τοῦ τῆς θεολογίας ἐνεστηκότος καιροῦ, τὸν Πατέρα μὲν ἐν ἑαυτῷ δεικνὺς, ἑαυτὸν δὲ αὖ πάλιν ἐν τῷ Πατρὶ, καὶ ὅτι κατ' οὐδὲν ἐλάττων ἐστὶν αὐτοῦ, τῇ δὲ κατὰ πᾶν ἰσότητι διαπρεπὴς, ἔφασκε "Τοσούτῳ χρόνῳ μεθ' ὑμῶν εἰμι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ "οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν "Πατέρα· οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ "ἐν ἐμοί ἐστιν; ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν." ἀλλὰ τότε μὲν εὐκαίρως τὸν ἐπὶ τούτοις ἡμῖν ἐξυφαίνων λόγον, εἰκότως ἐθαυμάζετο· νυνὶ δὲ ποῖον ἔχει τὸ πρᾶγμα καιρὸν, ἢ ποῖον ὅλως ἐπιδέξεται λογισμὸν, ἢ βούλεσθαι μὲν τὴν ἐν τοῖς μα θηταῖς καταραῖσαι λύπην, φάρμακα δὲ ὥσπερ παραμυθίας αὐτοῖς ἐπινοεῖν, τὸ ἐπιτάξαι χαίρειν, ὅτι πορεύεται πρὸς τὸν Πατέρα; ἆρ' οὖν οὐκ ἂν γένοιτο καὶ τοῖς λίαν ἀνοήτοις 2.521 συμφανὲς δι' αὐτοῦ τοῦ πράγματος, ὡς ἐπείπερ εἰς τὴν ἰδίαν αὖθις παλινδρομῆσαι δόξαν μετὰ Πατρὸς ἠπείγετο, χαίρειν ἐπὶ τούτῳ τοῖς αὐτὸν ἀγαπῶσι διεκελεύετο, ἀξιά γαστον αὐτὸν αὐτοῖς παρακλήσεως καὶ τοῦτον μετὰ τῶν ἄλλων ἐπινοήσας τὸν τρόπον; Ἀλλὰ παρήσω μὲν τοῦτο νυνὶ, καὶ ταῖς ἐκείνου φρενο βλαβείαις οὐ πολὺς ἐγκείσομαι· φημὶ δὲ δεῖν ἐπ' ἐκεῖνα μᾶλλον ἐλθεῖν· ᾠήθη γὰρ ἴσως τῇ τῆς θεότητος φύσει τὴν σάρκα συγκρίνοντας, ἀνόνητον κομιδῇ ποιεῖσθαι τὴν ἀντεξέ τασιν, ὅτε κεκενῶσθαι λέγομεν τὸν Υἱὸν, ἐπειδὴ γέγονεν ἄνθρωπος· ἔχει δὲ οὐχ οὕτω, πόθεν; οἰκετικοῦ δὲ μέτρου καὶ δουλοπρεποῦς ἀξιώματος τὴν θείαν λέγοντες δόξαν, ἠλαττῶ σθαί φαμεν τοῦ Πατρὸς τὸν Υἱὸν, καθὸ γέγονεν ἄνθρωπος, ἀποκαταστῆναι γεμὴν εἰς τὸ εἶναι πάλιν ἐν ἴσῳ τῷ φύσαντι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, οὐ καινὴν ἢ ἐπίκτητον οὐδὲ ἀήθη δόξαν ἠμφιεσμένον, ἀλλ' ἐν ἐκείνῃ γεγονότα πάλιν, ἐν ᾗπερ ἦν ἐν ἀρχῇ μετὰ τοῦ Πατρός. καὶ γοῦν ὁ θεσπέσιος ἡμῖν μυσταγωγὸς, φημὶ δὲ τὸν Παῦλον, τὴν πρέπουσαν τοῖς ἀνθρώποις ταπείνωσιν οὐκέτι περιτιθεὶς αὐτῷ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν καὶ τὴν ἄνοδον τὴν εἰς οὐρανοὺς, ἐπι στέλλει λέγων "Εἰ γὰρ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χρισ "τὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν·" περὶ δὲ ἑαυτοῦ πάλιν "Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, οὐκ ἀπ' ἀνθρώπων "οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ." καίτοι τί δήποτε πάλιν αὐτὸν πρὸς ἡμᾶς ἀφίξεσθαι λέγων μετασχη ματιοῦντα "τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ "σώματι τῆς δόξης αὐτοῦ," νῦν ἐξαρνεῖται λέγων "οὐκ ἀπ' "ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου," καίτοι προκεχειρισμένος εἰς ἀποστολὴν διὰ Ἰησοῦ Χριστοῦ; τί δὲ ὅλως αὐτὸν οὐκ εἰδέναι κατὰ σάρκα φησίν; ἆρ' οὖν, εἰπέ μοι, τὸν ἀγορά σαντα αὐτὸν δεσπότην ἠρνήσατο; μὴ γένοιτο, φρονεῖ γὰρ 2.522 ὀρθῶς. τετελειωμένου γὰρ ἤδη καὶ εἰς πέρας ἥκοντος τοῦ καιροῦ ἐπὶ τῆς νοουμένης τῷ Μονογενεῖ κενώσεως, ἤτοι ταπεινώσεως, οὐκ ἐξ ὧν ὁρᾶται κεκενωμένος, μᾶλλον δὲ ἐξ ὧν ἐστι κατὰ φύσιν Θεὸς, διακηρύττειν τε αὐτὸν καὶ ἐπι γινώσκειν ἐπείγεται. γνωσθέντος γὰρ ἅπαξ καὶ παρα δεχθέντος τοῦ ὅτι γέγονεν ἄνθρωπος, ἔδει λοιπὸν ἐκεῖνο διδάσκεσθαι τοὺς πεπιστευκότας, ὅτι καὶ Θεὸς κατὰ φύσιν ἐστὶ, διὰ τοῦτο μᾶλλον τοῖς θεοπρεπέσι περὶ αὐτοῦ λόγοις ἢ τοῖς ἑτέροις ἐφήδεται. Θαυμάζω δὲ ὅπως οὐκ ἐρυθριᾷ, λέγων, ὡς ἐπείπερ μόνα τὰ ὁμογενῆ τὴν πρὸς ἄλληλα σύγκρισιν ἐπιδέχεται, ἀνάγκη αὐτοὺς ὁμολογῆσαι, ὅτι ὁ Πατὴρ μείζων τῆς τοῦ Μονογενοῦς θεότητος ὑπάρχει. οὐκ αἰσθάνεται γὰρ, ὡς εἰκὸς, τὸν οἰκεῖον ἑαυτῷ ἐξοπλίσας λόγον· λεγέτω γὰρ ἡμῖν ἐκεῖνο χρησίμως ἐρέσθαι βουλομένοις Αἱ πρὸς ἄλληλα τῶν ὁμοειδῶν συγ κρίσεις, ἀπὸ ποίων μᾶλλον ἐπιτελοῖντο πρεπωδέστερον; ἆρ' ἐξ ὧν εἰσι, κατά γε τὸν κοινὸν τῆς φύσεως λόγον, ἢ ἐξ ὧν ἕκαστον ἔχει τῶν ὅσα προσγίνεταί τε καὶ ἀπογίνεται, ἐνυ πάρχει τε καὶ οὐκ ἐνυπάρχει, δι' αἰτίας εὐλόγους; οἷον δὲ δή τι φημί· παραθήσω γὰρ ἐκεῖνο λαβὼν ὅπερ αὐτὸς ἡμῖν εἰσκεκόμικεν εἰς παραδείγματος λόγον· Εἴ τις ἀνθρώπῳ τὸν ἄνθρωπον ἐθελήσαι συγκρίνειν, εἰς μὲν τὸν ἕνα καὶ κοινὸν τῆς οὐσίας ἀποβλέψας λόγον, οὐδεμίαν ἐπ' ἀμφοῖν εὕροι διαφο ράν· οὐδὲ γὰρ ἄνθρωπος ἀνθρώπου διοίσει ποτὲ, κατά γε τὸ εἶναι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· οὗτος γὰρ ἐν ἅπασιν, εἷς τε τῆς οὐσίας αὐτῆς ὅρος· ἀλλ' οὐδ' ἵππος ἵππου κατ' αὐτό γε τοῦτο τὸ ἵππος εἶναί φημι, διαφέρειν δὲ ἄνθρωπον ἀνθρώπου, καθ' ἥντινα οὖν ἐπιστήμην, οἷον γραμματικὴν, ἢ καὶ καθ' ἑτέρους τινὰς τοιουτουσὶ τρόπους. ἀλλὰ ταῦτα μὲν οὐχ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἅψεται τῆς οὐσίας, αἰτίαν δὲ μᾶλλον ἑτέραν λαχόντα φαίνεται. ἀλλὰ καὶ ἵππος μὲν ἵππου δρο μικώτερος, ἢ κατὰ σῶμα μείων ἢ περιπληθέστερος, πλὴν 2.523 τὴν ἐν τούτοις πλεονεξίαν, ἤτοι τὴν ἐλάττωσιν, οὐκ ἐν ὅρῳ κειμένην τῷ τῆς οὐσίας εὑρήσομεν. ἢ γὰρ ἂν κατ' οὐδὲν ἀλλήλων διήνεγκε τὰ εἰς σύγκρισιν ἀναβαίνοντα τὴν πρὸς ἄλληλα. μείων γὰρ ἄνθρωπος ἀνθρώπου τυχὸν, ἤγουν τὸ μεῖζον ἔχων, καθόπερ εἰσὶν ἄνθρωποι, πῶς ἂν ὅλως νοοῖτο καὶ λέγοιτο; οὐκοῦν, ἐν ἴσῳ μὲν μέτρῳ πᾶσι τοῖς ὁμοειδέσι τὰ φυσικά· διάφορα δὲ τὰ ἐνόντα φαίνεται, καὶ κατὰ τὸν τοῦ συμβεβηκότος ἔξωθεν ἐγκείμενα λόγον. οὐκοῦν ἐπει δήπερ κατὰ τὴν ἐκείνου πρότασιν, ἤτοι φωνήν· ἀνθέξομαι γὰρ αὐτῆς· μόνα τὰ ὁμογενῆ τὴν πρὸς ἄλληλα σύγκρισιν οἰκειότερον ἐπιδέξεται, ὁμολογείτω πρῶτον, ὡς ὁμογενής ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, τουτέστιν, ὁμοούσιος· οὕτω γὰρ νοήσεις τὸ ὁμογενὲς, ἄνθρωπον γὰρ ἀνθρώπῳ συγκρίνεσθαι δεῖν ἐδοκίμασεν, ἀλλὰ καὶ ἵππον ἵππῳ· καὶ διδασκέτω λοιπὸν τὴν αἰτίαν δι' ἣν ὁ τῷ Θεῷ καὶ Πατρὶ συγκρινό μενος Υἱὸς, ὡς ὁμογενὴς αὐτῷ, τὴν κατά τι γοῦν ἐλάττωσιν ἔχει, ποῦ δὲ τὸ μεῖον εὑρήσομεν, ὅτε τοῖς ὁμογενέσιν εἷς ἂν ἁρμόττοι τῆς οὐσίας ὅρος; ἑκάστης γὰρ οὐσίας, ὁ περὶ αὐτῆς λόγος, οὐ τέλειος μὲν ἔν τισιν, ἀτελὴς δὲ ἐν ἑτέρῳ φαίνεται, ἀλλ' εἷς καὶ ἴσος ἐπὶ πάντων φαίνεται. αἰτίας γεμὴν ἑτέρας ἔχειν φαμὲν τῶν συμβεβηκότων ἕκαστον ἤτοι προσγεγονότων καθ' ὁνδηποτοῦν τρόπον. αὐτὸ δὲ δὴ πάλιν ὑπὲρ σαφηνείας τῶν εἰρημένων τὸ ἐξ ἀρχῆς παροίσω παρά δειγμα. ἄνθρωπος μὲν ἀνθρώπου διοίσει μὲν ὅλως οὐδὲν, καθόπερ εἰσὶν ἄνθρωποι τυχόν· ἀλλ' ὁ μέν τις ἐστὶν εὐ σεβὴς, ὁ δὲ κακόνους, καὶ ὁ μὲν ἀσθενὴς καὶ λελωβημένος τὸ σῶμα, σῶος δὲ καὶ εὔρωστος ἕτερος, καὶ ὁ μέν τις βάσκανος, ὁ δὲ ἀγαθός· ἀλλ' ὅταν τις τούτων τὰς αἰτίας ἀκριβῶς κατασκέπτηται, τὸν μὲν τῆς αἰτίας ὅρον οὐκ αἰτιά σεται, πάθεσι δὲ μᾶλλον σωματικοῖς ἤγουν ψυχικοῖς ἀνατί θησι τὰς αἰτίας. ἑνὸς τοιγαροῦν νοουμένου τε καὶ ὄντος ἐπί 2.524 τε Πατρὸς καὶ Υἱοῦ τῆς θεότητος ὅρου, ἢ ὅπως ἄν τις εἰπὼν οὐκ ἂν τοῦ πρέποντος ἐξοίχοιτο· συγκρίνονται γὰρ ὡς ὁμογενεῖς, κεχρήσομαι δὲ διὰ τὴν ἀνάγκην τοῦ θεωρήματος καὶ τοῖς αὐτοῦ λόγοις· διδασκόντων οἱ τάλανες τί ἄρα νομίζουσι παρασκευᾶσαι τὸν Υἱὸν ἐν ἐλάττοσιν εἶναι τοῦ Θεοῦ καὶ Πατρός; ἆρα πάθος, ἢ ῥᾳθυμία καὶ ὅσα συμ βαίνειν οἶδε τοῖς γενητὴν ἔχουσι τὴν φύσιν; εἶτα τίς οὕτω ληρήσει καὶ διακείσεται παραλόγως, ὡς καὶ μόνον ἀνασχέ σθαι κἂν γοῦν εἰς οὖς ἑλέσθαι τὴν βλασφημίαν; ὅτε τοίνυν, ὡς ὁμογενὴς ὑπάρχων τῷ κατὰ φύσιν Θεῷ, Θεός ἐστι δηλονότι κατὰ φύσιν καὶ αὐτός· συγκρίνεται γὰρ τῷ Πατρί· διακωλύσει δὲ οὐδὲν τὸ ὡσαύτως ἔχειν τῷ φύσαντι· πῶς ἐλάττων ἐστίν; Ἐπειδὴ δὲ καὶ ἀμαθέστατά τε καὶ ἀλογώτατα ἐν τοῖς προκειμένοις διεξιὼν, οὐ κατέδεισεν εἰπεῖν ὁ τῆς ἀληθείας ἐχθρὸς, ὅτι μείζων ὁ Πατὴρ τῆς θεότητος τοῦ Υἱοῦ· φέρε τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν λόγον βραχύ τι περιστεί λαντες, καὶ τῆς τῶν προκειμένων ἐννοίας ἀποδιελόντες διὰ τὸν ἔλεγχον, τὴν θεότητα τοῦ Υἱοῦ τῇ τοῦ Πατρὸς συγκρί νωμεν κατά γε τὸν ἐκείνων λόγον, ἐκεῖνο δὴ πρῶτον εἰπεῖν ἀπαιτήσαντες τὸν τοῦτο φάναι τολμήσαντα, πότερόν ποτε Θεὸν ὄντα κατὰ φύσιν ὑπάρχειν οἴεται τὸν Θεὸν, ἢ ἕτερον μέν τι παρὰ τοῦτο, τετιμῆσθαι γεμὴν τῇ τῆς θεότητος κλήσει, καθάπερ οὖν ἀμέλει πολλοὶ μὲν ἐν οὐρανῷ θεοὶ καὶ κύριοι, πολλοὶ δὲ καὶ ἐπὶ τῆς γῆς εἶναι λέγονται. δια βεβαιουμένου μὲν γὰρ ψιλῇ δεδοξάσθαι προσηγορίᾳ τῇ τῆς θεότητός φημι τὸν Υἱὸν, μὴ μὴν καὶ ὑπάρχειν κατὰ φύσιν αὐτὸν ἀληθῶς τοῦθ' ὅπερ εἶναι καὶ λέγεται, τὰ εἰκότα φρο νοῦντες ὑπαντήσομεν, διαῤῥήδην ἀνακεκραγότες Ὦ τᾶν, ὡς εἰ μὴ φύσει Θεός ἐστι, κτίσματι προσκυνοῦμεν ἔτι παρὰ τὸν κτίσαντα, καὶ οὐχὶ μόνον ἡμεῖς οἱ τόνδε τὸν περίγειον 2.525 ἔχοντες χῶρον, ἀλλὰ καὶ αὐτὴ τῶν ἁγίων ἀγγέλων ἡ πληθύς· κατηγορήσομεν δὲ καὶ παντὸς ἁγίου λοιπὸν, Θεὸν αὐτὸν κατὰ φύσιν εἰρηκότος καὶ ἀληθινὸν, μάλιστα δὲ πάντων αἰτιασόμεθα τὸν μακάριον Ἰωάννην εἰρηκότα περὶ αὐτοῦ "Οἴδαμεν ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διά "νοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεὸν, καὶ ἐσμὲν ἐν τῷ "ἀληθινῷ αὐτοῦ Υἱῷ Ἰησοῦ Χριστῷ, οὗτός ἐστιν ὁ ἀληθινὸς "Θεὸς καὶ ζωὴ ἡ αἰώνιος." εἰ δὲ πᾶσαν ὁμοῦ δυσωπούμενος τὸν θεόπνευστον γραφὴν, Θεὸν ὄντως αὐτὸν προσερεῖ καὶ ὑπάρχειν οὕτω διακείσεται, πιστεύειν τε οὕτω μειονεκτεῖσθαι τοῦ Πατρὸς κατά τι γοῦν ὅλως ὑπολαμβάνει· ἆρ' οὐχ ἕτερον ἡμῖν εἰσκεκόμικε Θεὸν, τῆς πρὸς τὸν Πατέρα σχέσεως φυ σικῆς ὁλοκλήρως διακεκομμένον, καὶ ἐν ἰδίᾳ μέν τινι νοού μενον ὑποστάσει, μὴ μὴν ἐνυπάρχειν τῇ τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίᾳ; ἀλλ' οἶμαι δῆλον ἅπασι τὸ πρᾶγμά ἐστιν. εἰ γὰρ οὐδὲν ἑαυτοῦ μεῖζον ἢ ἔλαττον, ἀλλ' ἐλάττονος μέν τινος μεῖζόν τι νοεῖται, μείζονος δέ τινος ἔλαττον, πότερόν πως οὐκ ἀνάγκη δύο δὴ πάντως ὁμολογῆσαι θεοὺς κατὰ φύσιν καὶ ἀληθινοὺς, ἵν' ὁ μὲν νοῆται μείζων, ὁ δὲ ἐλάττων αὐτοῦ; οὐκοῦν οἴχεται μὲν ἤδη καὶ ἀνατέτραπται κατ' ἐκεί νους τῆς Ἐκκλησίας ἡ πίστις· Θεὸς δὲ οὐχ εἷς ἐφ' ἡμᾶς, ἀλλὰ δύο λοιπόν. τίνος οὖν ἄρα ναοὶ κεχρηματίκαμεν, κατὰ τὰς γραφάς; ἢ δῆλον ὅτι τοῦ τὸ ἴδιον Πνεῦμα ταῖς ἡμετέ ραις ἐγκατοικίσαντος ψυχαῖς; ὅταν οὖν εὑρίσκωμεν ἐκ τῶν ἱερῶν γραμμάτων, οὐχὶ τοῦ Πατρὸς μόνον, ἀλλὰ καὶ τοῦ Υἱοῦ Πνεῦμα λεγόμενον, τί λογισόμεθα; τί δὲ προσῆκε φρονεῖν; τίνα τῶν δύο παρωσάμενοι, τὸν ἕτερον εἶναι Θεὸν λέγομεν; εἰ μὲν οὖν δύο θεοὺς, τὸν ἐλάττω τε καὶ τὸν μείζω, παραδεξώμεθα, ἄμφω τε ταῖς ἡμετέραις ψυχαῖς ἐναυλίζεσθαι φήσομεν διὰ τῶν ἰδίων πνευμάτων, ναοὶ θεῶν ἤδη γεγονότες ἁλωσόμεθα· δύο δὲ ἡμῖν ἐνοικεῖ πνεύματα, μεῖζόν τε καὶ 2.526 ἔλαττον, ἀνολόγως τῇ φύσει τῶν δεδωκότων αὐτά. τίς οὖν ἄρα τῶν τοιούτων ἐμέτων ἀνέξεται; τίς δὲ τὸν παρ' ἐκείνοις ἀμαθῆ τε καὶ γελοιότατον οὐ κατόψεται λόγον, τὴν τῶν εἰρημένων ἀρτίως ἡμῖν διασκεψάμενος ἔννοιαν; ἀλλ' ἴσως ἀναγκαζόμενος δύο κατὰ φύσιν ὁμολογῆσαι θεοὺς, εἴπερ ὁ μέν ἐστι μείζων, ὁ δὲ ἐλάττων, ἐπ' ἐκεῖνο βαδιεῖται τὸ σύν ηθές τε καὶ τετριμμένον αὐτῷ, φημὶ δὴ τὸ φύσιν ἰδίαν τινὰ λέγειν ἔχειν τὸν Υἱὸν, εἰ μήτε τῆς γενητῆς ἀπήλλακται παντελῶς, μήτε μὴν ὁλοκλήρως ἀποπίπτει τῆς τοῦ Θεοῦ καὶ Πατρός. οἱ γὰρ κτίσμα καὶ ποίημα λέγειν ἐναργῶς οὐ παραιτούμενοι, ἐπὶ τὰς τῶν τοιούτων ῥημάτων καταφεύγουσι κομψείας, ἀστειοτέραν ὥσπερ ἐπινοοῦντες τὴν δυσφημίαν. ὅταν τοίνυν οὕτως ἔχειν λέγωμεν τὸν Υἱὸν, ὡς μήτε Θεὸν κατὰ φύσιν ὁλοκλήρως ὑπάρχειν αὐτὸν, μήτε μὴν ἐν κτί σμασιν ὁλοκλήρως τελεῖν, εἶναι δέ τινα μέσον, ὡς καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἀξίας ἀπολιμπάνεσθαι, καὶ τὴν τῶν κτισμάτων ὑπεράλλεσθαι δόξαν· πρῶτον μὲν ἐροῦμεν, ὡς οὐδεὶς αὐτοῖς ἐπέτρεψε λόγος νομοθετεῖν ἃ βούλονται καὶ λαλεῖν. ἢ γὰρ ἡμᾶς ἐκ τῶν ἱερῶν τε καὶ θείων πληρο φορούντων γραμμάτων, ἢ μηδαμόθεν μεμαρτυρημένον τὸν ἴδιον ἔχοντες λόγον, αἰσχυνέσθωσαν τὰ ἀπὸ γνώμης ἰδίας ἐπὶ πίστει διοριζόμενοι. Πλὴν ἐπείπερ αὐτοῖς καὶ τοῦτο παρέστη ἐξ ἀκρίτου λέγειν φρενοβλαβείας, ἐπὶ τὴν αὐτῶν βαδιοῦμαι πρότασιν, ἐρῶ δὲ δὴ λοιπὸν πάλιν Εἰ γὰρ μόνα τὰ ὁμοειδῆ τὴν πρὸς ἄλληλα σύγκρισιν κυρίως ἂν ἐπιδέξαιτο, συγκρίνεσθαι δὲ δεῖν ἑαυ τὸν κυρίως τῷ Θεῷ καὶ Πατρὶ δεδοκίμακεν ὁ Υἱὸς, σαφέστατα λέγων Ὁ Πατὴρ μείζων μου ἐστί· πῶς οὐκ ἀνάγκη τοιοῦτον νοεῖσθαι καὶ τὸν Πατέρα, ὁποῖος ἂν λέγοιτο παρ' ὑμῶν ὁ Υἱός; καὶ τί τὸ ἐντεῦθεν; ὅλον ὑμῖν εἰς τὸ μηδὲν κατα στρέφει τὸ θεώρημα. ἕως μὲν γὰρ μείζων λέγεται τοῦ Υἱοῦ 2.527 παρ' ὑμῶν ὁ Πατὴρ, ἡ δὲ κτίσις ἐλάττων, μέση τις ἦν καθ' ὑμᾶς ἡ τοῦ Μονογενοῦς φύσις. καταβιβασθείσης δὲ τῆς τοῦ Πατρὸς οὐσίας εἰς τὴν Υἱοῦ, τίνος ἔσται μέσος λοιπὸν, οὐκ ὄντος ἔτι τοῦ ὑπερκειμένου καὶ ὑπερέχοντος; εἰ δὲ καθά φησιν, ὡς ὁμογενὴς ὁμογενεῖ τῷ Πατρὶ συγκρίνεται, πῶς οὐχ εἷς ἐπ' ἀμφοῖν ὁ τῆς οὐσίας ἔσται λόγος; παραιτούμενοι δὲ τὸν Υἱὸν ὁμοούσιον ὑπάρχειν ὁμολογεῖν τῷ Πατρὶ, τιθεῖν δὲ μᾶλλον αὐτὸν ἐν ἐλάττοσι, καὶ τὴν τοῦ Πατρὸς κατεσπά σατε δόξαν εἰς τὴν τοῦ καθ' ὑμᾶς ἐλάττονός τε καὶ μειο νεκτουμένου, ἆρ' οὐχ ὁρᾶτε λοιπὸν ἀκάνθης δίκην ἀνατέλλου σαν τὴν δυσφημίαν; ἆρ' οὐχὶ "ῥίζα πικρίας ἄνω φύουσα" τὴν τῶν οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διακειμένων καρδίαν παρενοχλεῖ; τί τοίνυν ἀφέντες τὸν εὐθῆ τῆς ἀληθείας λόγον εἰς τοσαύτην ἀτοπίαν παρελαύνετε λογισμῶν; δότε δὴ δότε τῷ ὁμογενεῖ καθ' ὑμᾶς τὸ ἐν ἰσότητι κεῖσθαι τοῦ Θεοῦ καὶ Πατρός. οὕτω γὰρ εἷς ἔσται Θεὸς, ἐν ἁγίᾳ τε καὶ ὁμοουσίῳ Τριάδι προσκυνού μενός τε καὶ δοξολογούμενος πρός τε ἤδη ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων. Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε. Ἀσφαλὲς ἐνέχυρον τῶν ἔσεσθαι προσδοκωμένων ἡ περὶ αὐτῶν ὁρᾶται πρόῤῥησις· βεβαιοῖ τοιγαροῦν τῶν μαθητῶν τὴν καρδίαν, καὶ ἀραρότως φρονεῖν ἀναπείθει Χριστὸς, ὅτι περ ἄνεισιν ἀληθῶς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεὸν, συμβασιλεύσων τε αὐτῷ καὶ συνεδρεύσων ὡς Θεὸς, καὶ ἐξ αὐτοῦ κατὰ φύσιν ὡς Θεὸς γεγεννημένος. μὴ γὰρ δὴ, φησὶ, τὴν ἐμὴν ἀπόλειψιν, τὴν κατὰ σαρκὰ καὶ ἐμφανῆ· συνέσομαι γὰρ ὑμῖν ὡς Θεὸς διὰ παντός· ἐν ἴσῳ λογίσησθε τῆς τῶν ἁγίων προφητῶν. οἱ μὲν γὰρ, ἅτε δὴ καὶ ἀπὸ γῆς γεγονότες καὶ τῇ ἰδίᾳ φύσει τὸ χρεὼν ἀποτί σαντες, συνεστάλησάν τε καὶ κεχωρήκασιν εἰς τὸν ἀνθρώποις 2.528 πρέποντα νόμον· Θεὸς δὲ κατὰ φύσιν ὑπάρχων ἐγὼ, οὐκ ἐν ἴσῳ μέτρῳ τοῖς δι' ἐμαυτοῦ γεγονόσι κείσομαι, τὸν τῆς ἀνα στάσεως περιμένων καιρόν· ζῶ γὰρ ἀεὶ, ζωὴ κατὰ φύσιν ὑπάρχων· καὶ ἀποστελῶ τὸν Παράκλητον, ἐπιδώσω δὲ ὑμῖν καὶ εἰρήνην τὴν ἐμὴν, καὶ οὐ διαψεύσομαι, ἀλλ' ἵνα τυχόντες τῆς ἐπαγγελίας καὶ τῇ τοῦ Ἁγίου Πνεύματος λελαμπρυ σμένοι χάριτι, τοῖς ἐμοῖς λόγοις ἐπιψηφισθήσεσθε τὴν ἀλήθειαν, εἰς ἀνάμνησιν, ὡς ἔφην, μετὰ τὴν πεῖραν ἐρχό μενοι, καὶ ἵνα πιστεύσητε πεπηγότως ὅτι σύνειμι καὶ συμ βασιλεύω τῷ Πατρὶ, προδιείλεγμαι ταυτὶ καὶ λελάληκα πρὸς ὑμᾶς· ἐξεγγυήσεται τὴν ἐν τοῖς εἰρημένοις ἀλήθειαν τοίνυν τῆς ἐπαγγελίας τὸ πέρας. εἰ γὰρ μὴ ζωὴ, φησὶν, εἰ μὴ συνεδρεύω τῷ Θεῷ καὶ Πατρὶ, πῶς ἂν αὐτὸς ἐπιδοίην τὰ θεῖα καὶ πνευματικὰ χαρίσματα; διανεμῶ δὲ, καθάπερ ἐπήγ γελμαι, χορηγήσω δὲ καὶ τὸ Πνεῦμα καὶ τὴν εἰρήνην. εἶτα πῶς οὐκ ἀναμφίλογον, ὅτι ζωή εἰμι καὶ συμβασιλεύω μετὰ Πατρός; οὐ γὰρ τοῦ μὴ ὄντος ἢ μηδὲν ἰσχύοντος ἔργον ἐστὶ, τὸ τοῖς θείοις καταλαμπρύνειν χαρίσμασι τοὺς ἀγα πῶντας αὐτὸν, ἀλλὰ τοῦ ὄντος τε καὶ δυναμένου καὶ εἰσαεὶ βασιλεύοντος. ὅτι τοίνυν οὐκ εἰκαίαν τὴν πρόῤῥησιν τὴν ἐπὶ τοῖς ἐσομένοις ἐποιήσατο, διὰ τούτων ἐδίδαξεν ὁ Χρισ τός. ἵνα γὰρ ἀσφαλεστέραν ἔχοιεν τὴν ἐπ' αὐτῷ πίστιν, μετὰ τὴν τῶν χαρισμάτων πεῖραν εἰς ἔννοιάν τε καὶ μνήμην τῶν προεπηγγελμένων ἐρχόμενοι, πεποιῆσθαί φησι τὴν διά λεξιν. Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδὲν, ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν Πατέρα, καθὼς ἐντολὴν μοι δέδωκεν ὁ Πατὴρ, οὕτω ποιῶ. Ὡς τῶν ἀνοσίων Ἰουδαίων παρεσομένων τε ἤδη, μεθ' ἧς 2.529 ἐπήγοντο σπείρας καὶ τοῦ ταύτης ἄρχοντος, ὃς καὶ παρα δώσειν αὐτὸν ἐπηγγείλατο, συλληψομένων τε ἤδη καὶ μελ λόντων ἀποίσειν οὐκ εἰς μακρὰν εἰς τὰ ἐπὶ τῷ σταυρῷ καὶ πρὸ τοῦ σταυροῦ πάθη, καταλήξειν ἤδη τοῦ πρὸς αὐτοὺς ἔφη λόγου. συνεστάλθαι γὰρ καὶ εἰς τὸ μηδέν φησιν ἐλάσαι τὸν καιρόν· τῆς γὰρ Ἰουδαίων μιαιφονίας ἡβώσης τε λίαν ἐπ' ἐμοὶ, καὶ θυρῶν εἴσω λοιπὸν ὁρωμένης, οὐ ῥημάτων ἔτι τῶν πρὸς ὑμᾶς, ἀλλ' αὐτοῦ τοῦ παθεῖν ἐνέ στηκεν ὁ καιρός· πλὴν ἥκει, φησὶν, ὁ τοῦ κόσμου ἄρχων καὶ ἐν ἐμοὶ ἔχει οὐδέν. τεθνήξομαι δὲ καὶ λίαν ἀσμένως καὶ τὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς ὑποστήσομαι θάνατον, αἰδοῖ τῇ πρὸς τὸν γεννήτορα καὶ ἀγάπῃ τῇ πρὸς αὐτὸν ἐθελοντὴς ὁμιλήσας καὶ τοῖς παρὰ γνώμην, ἵνα τὴν αὐτῆς πληρώσω βούλησιν. ὁ μὲν οὖν τοῦ προκειμένου σκοπὸς γένοιτ' ἂν εὖ μάλα ἐν τούτοις διαφανής· ἰσχνότερον δὲ τὰ ἐν αὐτῷ δια πτύσσοντες, ἐκεῖνό φαμεν Ὁ μὲν γὰρ τοῦ γένους ἡμῶν ἀρχηγέτης Ἀδὰμ τὸν ἐκ τῆς θείας ἀρᾶς ὑπέδυ θάνατον, διὰ τοῦ παραλῦσαι τὴν δοθεῖσαν ἐντολὴν, αὐτός τε ὑφ' ἑαυτοῦ καὶ τοῦ διαβόλου κατηγορούμενος. φαίνεται γεμὴν ἐπ' εὐλόγοις τοῦτο παθὼν αἰτίαις· ἕψεται γὰρ οὐκ ἀδίκως τοῖς ἐκ ῥαθυμίας ἡμαρτηκόσι τὸ κολάζεσθαι δεῖν· ὁ δὲ δεύτερος Ἀδὰμ, τουτέστιν, ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐπ' οὐδενὶ τὸ σύμπαν κατηγορεῖσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυνάμενος· οὐ γὰρ "ἐποί "ησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ·" τὸ ὑπὲρ ἡμῶν ὑπέστη πάθος, ἀνυπαίτιος μὲν ὑπάρχων δι' ἑαυτὸν παντελῶς, ἀντίλυτρον δὲ τῆς ἁπάντων ζωῆς ἑαυτὸν τῷ παθεῖν προσκεκομικώς· ἐπειδήπερ ἀγαπᾷ τὸν Πατέρα τὴν τοῦ κόσμου διψήσαντα σωτηρίαν. τοῦ δὲ ἀγαπῶντος τὸν Πατέρα, πάντως δήπου καὶ ἔργον ἦν τὸ δοκοῦν αὐτῷ καὶ ἐν τοῖς ἀναγκαίοις λελογισμένον, μὴ παρ' οὐδὲν ἡγεῖσθαι μᾶλλον, ἀλλ' εἰς πέρας ἄγειν ἐπείγεσθαι. τί δὲ τοῦτο ἦν; 2.530 ἠθέλησε τὸν ἴδιον Υἱὸν, καίτοι σύμμορφόν τε ἔχων αὐτὸν καὶ τῇ κατὰ πᾶν ἰσότητι διαπρεπῆ, εἰς τοσαύτην καταβῆναι ταπείνωσιν, ὡς καὶ ἄνθρωπον γενέσθαι δι' ἡμᾶς, καὶ τὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς μὴ ἐρυθριᾶσαι θάνατον· τοῦτο πέπραχεν ὁ Υἱὸς, ἀγαπῶν τὸν γεννήτορα, τὸν ἐντετάλθαι λεγόμενον, ὡς ἰδίᾳ δυνάμει νεκρῶσαι μὲν τῷ τῆς σαρκὸς πάθει τὸν θάνατον, τὸ δὲ τῆς φθορᾶς καταλῦσαι κράτος, ζωοποιῆσαί τε τοὺς κατεφθαρμένους, καὶ τὴν ἀρχαίαν αὐτοῖς αὖθις ἀνανεῶσαι δόξαν. διὰ τοῦτό φησιν, ὅτι στενὸς μὲν ὁ τῶν λόγων καιρός· εἰσελαύνει γὰρ ἤδη τὸ πάθος, καὶ τὸ τῶν Ἰουδαίων ἐπ' ἐμοὶ λογισθὲν ἀνεκαύθη τόλμημα· πείσομαι γὰρ ἐθελοντὴς, ἐπείπερ ἀφῖγμαι διὰ τοῦτο. Πλὴν ἔρχεται ὁ τοῦ κόσμου ἄρχων καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· τουτέστιν, οὐχ ἁλώσομαι πεπλημμεληκὼς, ἀλλ' οὐδὲ πρόφασις ἔσται τοῖς Ἰουδαίοις τῆς εἰς ἐμὲ παροινίας εὔλογος· οὐδὲν ἐν ἐμοὶ τῶν ἰδίων ὁ διάβολος ἔχει· ἴδια γὰρ ὥσπερ ἐκείνου τὰ φαῦλα, καὶ τῆς ἁμαρτίας ἡ γένεσις ἐκεῖνον οἶδεν ἀρχήν. ὅτι δὲ ἀληθὴς τοῦ Σωτῆρος ὁ λόγος μάλιστα μὲν καὶ ἐξ αὐτῆς κατίδοι τις ἂν τῆς ἀκολουθίας. πῶς γὰρ ἐξή μαρτεν ὁ μὴ εἰδὼς ἁμαρτίαν, ὁ φύσει καὶ ἀληθείᾳ Θεὸς, ὁ τροπῆς τῆς ἐπί τι τῶν οὐκ ἐχόντων ὀρθῶς ἀνεπίδεκτος παν τελῶς; οὐχ ἥκιστα δὲ καὶ δι' αὐτῶν ὀψόμεθα τοῦτο τῶν ἀναγεγραμμένων ἐν τοῖς ἁγίοις εὐαγγελισταῖς. ὁ μὲν γὰρ σοφώτατος Ἰωάννης τὸν Πιλάτον εἰσκεκόμικε λέγοντα "Ἐγὼ "οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ," καὶ πάλιν μετὰ τὸ ἐπιθεῖναι στέφανον τὸν ἐξ ἀκανθῶν, προσφωνοῦντα καὶ λέγοντα "Ἴδε ἄγω αὐτὸν ὑμῖν ἔξω, ἵνα γνῶτε ὅτι οὐδεμίαν "αἰτίαν εὑρίσκω ἐν αὐτῷ·" ὁ δέ γε Ματθαῖος εἰς τοσαύτην αὐτὸν μισοπονηρίαν ἀφῖχθαί φησιν, ὡς καὶ ἀπονίψασθαι αὐτὸν τοῖς Ἰουδαίοις τὰς χεῖρας καὶ εἰπεῖν "Ἀθῷός εἰμι "ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου·" ἐπ' αὐτῶν δὲ τῶν 2.531 ἀρχιερέων εἰσκεκομισμένον ἡμῖν ἐπιδείξας, οὕτω φησίν "Οἱ "δὲ ἀρχιερεῖς καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρ "τυρίαν κατὰ τοῦ Χριστοῦ, ὅπως αὐτὸν θανατώσωσι, καὶ "οὐχ εὗρον, πολλῶν προσελθόντων ψευδομαρτύρων." εἰ γὰρ καὶ δι' ἀνθρώπων ἐζητεῖτο τὰ κατ' αὐτὸν, ἀλλ' ὡς ὀργάνοις καὶ ὑπουργοῖς τῆς ἐνούσης αὐτῷ δυστροπίας ἐχρῆτο ὁ διάβολος, καὶ αὐτὸς ἦν μᾶλλον ἤπερ ἕτερός τις, ὁ εὑρεῖν ἐν αὐτῷ ζητῶν πλημμέλημα. οὐκοῦν ἀληθὲς, ὅτι τῶν ἰδίων οὐδὲν εἶχεν ὁ διάβολος ἐν αὐτῷ, ὃν καὶ ἄρχοντα τοῦ κόσμου πρὸς τὸ παρὸν ὠνόμασεν, οὐχ ὡς ἀληθῶς ὄντα δεσπότην, ἀλλ' ὥσπερ τινὰ τῶν ἀλιτηρίων βαρβάρων, πλεο νεξίας νόμῳ κρατήσαντα τῶν κατ' οὐδένα τρόπον προση κόντων αὐτῷ. ὑφ' ἑαυτῷ γὰρ ἐποιήσατο διὰ τῆς ἁμαρτίας τὸν ἄνθρωπον, καὶ ὥσπερ τινὰ ποίμνην ἀνεπιστάτητον ἀπο βουκολήσας Θεοῦ τῶν ἀλλοτρίων ἐκράτει. τοιγάρτοι καὶ τῆς οὕτω πορισθείσης ἀρχῆς δικαίως ἐκβέβληται. βεβασίλευκε γὰρ ἐφ' ἡμᾶς ὁ Χριστὸς, διό φησι "Νῦν ὁ ἄρχων τοῦ "κόσμου τούτου ἐκβληθήσεται ἔξω, κἀγὼ ἐὰν ὑψωθῶ ἐκ "τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν." Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. Ὁ μὲν κοινὸς τοῖς πολλοῖς καὶ τετριμμένος τοῦ προκει μένου λόγος ἐκεῖνο δίδωσι νοεῖν, ὡς ἐπείπερ ὁ τῆς Ἰουδαίων ἀπονοίας εἰσελάσας ἤδη καιρὸς, μονονουχὶ πεπηγότα λοιπὸν τὸν τίμιον τοῦ Σωτῆρος ἐπιδεικνύει σταυρὸν, εἰς ἐκείνους ἀποτρέχειν τοὺς τόπους ὁμοῦ τοῖς ἁγίοις μαθηταῖς ἠπείγετο, ἐν οἷσπερ αὐτὸν ἡ τῶν ὑπηρετῶν συνελάβετο εὑροῦσα σπεῖρα. καὶ πιθανὸς μὲν ὁ νοῦς· πλὴν εἰκός τε καὶ ἕτερον ἐθέλειν ὑποδηλοῦν, πνευματικὸν δηλονότι καὶ κεκρυμμένον. τὴν γὰρ ἐξ ἑτέρου τινὸς πρὸς ἕτερόν τι μετάστασιν καὶ τὴν ἐκ τῶν χειρόνων εἰς τὸ ἄμεινον ἀποδρομὴν, δι' αὐτοῦ τε καὶ 2.532 σὺν αὐτῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πᾶσιν ἡμῖν ἐσομένην κατασημῆναι θέλων, τό Ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν ἐπιφωνεῖ· ἵνα τι τοιοῦτον ὡς ἐν ἀληθείᾳ νοῆσαι μέλλωμεν, ἀπὸ μὲν θανάτου πρὸς ζωὴν, ἀπὸ δὲ φθορᾶς εἰς ἀφθαρσίαν, δι' αὐτοῦ τε καὶ σὺν αὐτῷ, καθάπερ ἔφην ἀρτίως, ὡς ἀπό τινος τόπου μεταχωρεῖν εἰς ἕτερον. καλῶς οὖν ἄρα τό Ἐγείρεσθε ἄγωμεν ἐντεῦθέν φησιν· ἢ καὶ καθ' ἕτερόν τινα τρόπον ἐφ' ἡμῶν αὐτῶν ἐκλήψῃ τὸ εἰρη μένον. ἐμέλλομεν ἤδη μεθίστασθαι ἐκ τοῦ φιλεῖν τὰ ἐν κόσμῳ φρονεῖν εἰς τὸ ἑλέσθαι δρᾶν ἐθέλειν τὸ δοκοῦν τῷ Θεῷ καὶ ἔτι πρὸς τούτῳ, ἐκ δουλείας ἀναφοιτᾶν εἰς τὸ τῆς υἱοθεσίας ἀξίωμα, ἀπὸ γῆς εἰς τὴν ἄνω πόλιν, ἐξ ἁμαρτίας εἰς δικαιοσύνην, τὴν διὰ πίστεως δὲ δηλονότι τῆς ἐν Χριστῷ, ἐξ ἀκαθαρσίας τῆς ἀνθρωπίνης εἰς τὸν διὰ τοῦ Πνεύματος ἁγιασμὸν, ἐξ ἀτιμίας εἰς δόξαν, ἐξ ἀμαθίας εἰς σύνεσιν, ἀπὸ δὲ δειλίας καὶ ἀνανδρίας εἰς εὐτολμίαν τὴν ἐπ' ἀγαθοῖς. Τόπον οὖν ὥσπερ τοῖς ἐπὶ γῆς ἡμῶν πλημμελήμασι τὸ ἐνθάδε τιθείς Ἐγείρεσθέ φησιν ἄγωμεν ἐντεῦθεν· εἰ γὰρ καὶ ὅσον ἧκεν εἰς τὸ τοῦ λόγου σχῆμα, καὶ ἑαυτὸν ἡμῖν συν δήσας φαίνεται, ἀλλ' οὐδὲν ἡμᾶς ἀδικήσει τοῦτο παντελῶς, ἐπείπερ αὐτῷ τοῦτο σύνηθες δρᾶν. καὶ γοῦν ἐν ἑτέροις ἁλώσεται λέγων πρὸς τοὺς ἑαυτοῦ μαθητάς "Ἡμᾶς δεῖ "ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντος ἡμᾶς ἕως ἡμέρα ἐστίν· "ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάσασθαι." ἀκούεις ὅπως ἑαυτὸν ἡμῖν εἰς τὸ ἐργάζεσθαι πρέπειν συναναπλέκει, καίτοι τῷ ἐργάζεσθαι δεῖν καθ' ἡμᾶς οὐ συνυποκείμενος; ἀλλ' εὐτριβὲς ἡμῖν τοῦτο τοῦ λόγου τὸ σχῆμα καὶ παρ' ἡμῖν αὐτοῖς οὐδὲν ἧττον εὑρήσομεν· καὶ γοῦν ὁ θεσπέσιος Παῦλος ἐπιπλήξας Κορινθίοις τοῦτο τετόλμηκεν, ἐπιστέλλει δὲ ὡδί "Ταῦτα δὲ, ἀδελφοί μου, μετεσχημάτισα εἰς ἐμαυτὸν "καὶ Ἀπολλῶ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται "φρονεῖν." ὅτι δὲ εἰ καὶ μὴ συνυπαίτιον ταῖς αὐτῶν ἀσθε 2.533 νείαις, ἀλλ' οὖν ἡγεμόνα τῆς ὁδοῦ τῆς ἐφ' ἅπασιν ἀγαθοῖς καὶ τῆς ἐκ παθῶν τῶν ἀρχαίων ἐπὶ τὸ κρεῖττον ἐπιστροφῆς, οὐ πρέσβυν, οὐκ ἄγγελον, ἀλλ' αὐτὸν ἐσχήκαμεν τὸν ἁπάν των Κύριον, οὐδαμόθεν ἀμφίβολον. λελυτρώμεθα γὰρ, οὐ δι' ἑαυτῶν, ἀλλ' οὐδὲ δι' ἑτέρου τινὸς τῶν γενητῶν, δι' αὐτοῦ δὲ μᾶλλον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. οὐκοῦν ὅταν ὡς σὺν ἡμῖν καὶ μεθ' ἡμῶν τὴν ἐν κόσμῳ παραδραμὼν φαυλότητα λέγῃ τό Ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν, οὐχ ὡς συνυπαίτιος, ἤγουν ἐνεχόμενος τοῖς ἀνθρωπίνοις πάθεσιν, ἀλλ' ὡς ἀρχηγὸς καὶ προστάτης καὶ καθηγητὴς τῆς εἰσόδου εἰς ἀφθαρσίαν καὶ ζωὴν τὴν ἐν ἁγιασμῷ καὶ φιλοθεΐᾳ, τὸ τοιοῦτον ἐρεῖ.

2.534 ΚΕΦΑΛΗ Β. Ὅτι τῷ Θεῷ καὶ Πατρὶ ὁμοούσιός ἐστιν ὁ Υἱὸς, καὶ οὐχ ἑτεροφυὴς, οὐδὲ ἔκφυλος, κατά τινας τῶν διεστραμμένων. Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστιν. ὍΤΙ προσήκοι τῆς εἰς αὐτὸν ἀγάπης ἐξηρτῆσθαι φιλεῖν, καὶ πόσον ἐκ τοῦ κολλᾶσθαι αὐτῷ κερδανοῦμεν ἐπιδεῖξαι θελήσας τὸ ὠφελοῦν, ἄμπελον μὲν ἑαυτὸν εἶναί φησιν, ὡς ἐν παραδείγματος λόγῳ, κλήματα γεμὴν τοὺς ἑνωθέντας αὐτῷ καὶ ἐνηρμοσμένους τρόπον τινὰ καὶ ἐμπεπηγότας, γεγονότας τε ἤδη τῆς ἑαυτοῦ φύσεως κοινωνοὺς, διὰ τοῦ μεταλαχεῖν Ἁγίου Πνεύματος· τὸ γὰρ συνενῶσαν ἡμᾶς τῷ Σωτῆρι Χριστῷ τὸ Ἅγιον Πνεῦμα αὐτοῦ ἐστιν. προαιρετικὴ μὲν γὰρ ἡ πρὸς τὴν ἄμπελον κόλλησις τῶν προσιόντων αὐτῇ, σχετικὴ δὲ παρ' αὐτῆς ἡ πρὸς ἡμᾶς. ἐκ μὲν γὰρ προαιρέσεως ἀγαθῆς προσεληλύθαμεν ἡμεῖς διὰ τῆς πίστεως, γένος δὲ γεγόναμεν αὐτοῦ τὸ τῆς υἱοθεσίας ἀξίωμα παρ' αὐτοῦ κομισάμενοι. καὶ γὰρ δὴ κατὰ τὸν ἅγιον Παῦλον "Ο κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν." ὥσπερ οὖν ἐν ἑτέροις κρηπὶς καὶ θεμέλιος διὰ τῆς τοῦ προφήτου κατω νόμασται φωνῆς· ἐπ' αὐτῷ γὰρ ἐποικοδομούμεθα, λίθοι καὶ ἡμεῖς χρηματίσαντες, ζῶντες καὶ πνευματικοὶ, "εἰς ἱεράτευμα 2.535 "ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι," καθ' ἕτερον δέ τινα τρόπον οἰκοδομεῖσθαι πρὸς τοῦτο μὴ δυνά μενοι, εἰ μὴ γέγονεν ἡμῖν θεμέλιος ὁ Χριστός· οὕτω κἀνθάδε κατὰ τὴν ἴσην τοῦ νοήματος ἀναλογίαν, ἄμπελον ἑαυτὸν εἶναί φησι τῶν ἐξ αὐτῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κλημάτων ὡς μητέρα καὶ τροφόν. ἀνεγεννήθημεν γὰρ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ ἐν Πνεύματι πρὸς καρποφορίαν ζωῆς, οὐχὶ τῆς ἀρχαίας καὶ παλαιᾶς, ἀλλὰ τῆς ἐν καινότητι πίστεώς τε καὶ ἀγάπης τῆς εἰς αὐτόν. διατηρούμεθα δὲ πρὸς τὸ ἔχειν τὸ εἶναι, προσπεφυκότες ὥσπερ αὐτῷ καὶ ἀπρὶξ ἐχόμενοι τῆς παραδοθείσης ἡμῖν ἁγίας ἐντολῆς καὶ διὰ τοῦ σώζειν ἐπείγεσθαι τὸ ἐκ τῆς εὐγενείας ἀγαθὸν, τουτέστι, διὰ τοῦ μὴ ἀνέχεσθαι λυπεῖν κατά τι γοῦν ὅλως τὸ ἐνοικισθὲν ἡμῖν Ἅγιον Πνεῦμα, δι' οὗ κατοικεῖν ἐν ἡμῖν νοεῖται Θεός. κατὰ τίνα γὰρ τρόπον ἐσμὲν ἐν Χριστῷ καὶ αὐτὸς ἐν ἡμῖν, αὐτὸς ἡμῖν ὁ σοφὸς Ἰωάννης ἐπιδείξει λέγων "Ἐν τούτῳ γινώσκομεν ὅτι ἐσμὲν "ἐν αὐτῷ καὶ αὐτὸς ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν "ἡμῖν," καὶ πάλιν "Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ "ἐσμεν· ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος "περιεπάτησε καὶ αὐτὸς περιπατεῖν·" ὃ καὶ τοῖς ἀκροω μένοις σαφέστερον καθιστὰς οὕτω φησὶ πάλιν "Ὁ τηρῶν "τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ." εἰ γὰρ ἡ τήρησις τῶν ἐντολῶν τὴν εἰς αὐτὸν ἀγάπην ἐργά ζεται, κολλώμεθα δὲ διὰ τῆς ἀγάπης αὐτῷ, πῶς οὐκ ἀληθὲς ἐν τούτοις φαίνεται τὸ εἰρημένον; ὅνπερ γὰρ τρόπον τῆς ἀμπέλου τὸ πρέμνον τῆς ἰδίας καὶ ἐνούσης αὐτῷ ποιότητος φυσικῆς διακονεῖ τε καὶ διανέμει τοῖς κλήμασι τὴν ἀπό λαυσιν, οὕτως ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, τῆς τε τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τῆς ἑαυτοῦ φύσεως τὴν οἱονεὶ συγγέ νειαν τοῖς ἁγίοις ἐντίθησι τὸ Πνεῦμα διδοὺς, ἅτε δὴ καὶ συνενωθεῖσιν αὐτῷ διά τε τῆς πίστεως καὶ τῆς εἰσάπαν 2.536 ὁσιότητος· τρέφει δὲ πρὸς εὐσέβειαν, καὶ ἁπάσης αὐτοῖς ἀρετῆς καὶ ἀγαθουργίας εἴδησιν ἐνεργάζεται. Γεωργὸν δέ φησι τὸν Πατέρα, διὰ ποίαν ἄρα καὶ τοῦτο αἰτίαν; οὐδὲ γὰρ ἄπρακτος ἢ ἄεργος εἰς ἡμᾶς ὁ Πατὴρ, τρέφοντός τε καὶ συνέχοντος εἰς τὸ εἶναι καλῶς τοῦ Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι, ὅλης δὲ ὥσπερ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἔργον ἐστὶν ἡ τῶν καθ' ἡμᾶς ἐπανόρθωσις, καὶ διὰ πάσης ἔρχεται τῆς θείας φύσεως ἡ ἐφ' ἅπασι τοῖς παρ' αὐτῆς δρωμένοις θέλησίς τε καὶ δύναμις. διὰ τοῦτο καὶ ὁλοκλήρως καὶ ἐν ἑνὶ προσώπῳ παρ' ἡμῶν δοξάζεται. σωτῆρα γὰρ καλοῦμεν τὸν Θεὸν, οὐκ ἀνὰ μέρος μὲν τῷ Πατρὶ, ἀνὰ μέρος δὲ αὐτῷ τῷ Υἱῷ, ἤτοι τῷ Ἁγίῳ Πνεύματι τὰ ἐφ' οἷς ἠλεή μεθα ἀποκομίζοντες χαριστήρια, ἀλλ' ὄντως τῆς μιᾶς θεότητος κατόρθωμα λέγοντες τὴν ἑαυτῶν σωτηρίαν. κἂν γοῦν ἑκάστῳ προσώπῳ διανέμεσθαί τι δοκῇ τῶν εἰς ἡμᾶς γεγονότων, ἤτοι τῶν ἐνεργουμένων περὶ τὴν κτίσιν, ἀλλ' οὐδὲν ἧττον πιστεύ ομεν ὅτι πάντα ἐστὶ παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι. νοήσεις οὖν ἄρα καὶ λίαν ὀρθῶς, ὅτι τρέφει μὲν ἡμᾶς εἰς εὐσέβειαν ὁ Πατὴρ δι' Υἱοῦ ἐν Πνεύματι· γεωργεῖ δὲ αὖ πάλιν, τουτέστιν, ἐφορᾷ τε καὶ ἐπισκέπτεται καὶ φροντίδος τῆς ἐπανορθούσης ἀξιοῖ δι' Υἱοῦ ἐν Πνεύματι. λογιούμεθα γὰρ μᾶλλον οὕτως ὀρθῶς ἤπερ οὖν ἑτέρως, κατά γε τὸν ἡμέτερον νοῦν· εἰ γὰρ ἑκάστῳ δωσόμεν ἀνὰ μέρος ἐργά σασθαί τι τῶν καθ' ἡμᾶς, ὃ μήτε τοῦ ἑτέρου τυχὸν εἶναί φαμεν, πῶς οὐκ ἀναμφίλογον, ὡς ἐπείπερ ἄμπελος μὲν ὁ Υἱὸς ὠνόμασται νῦν, γεωργὸς δὲ ὁ Πατὴρ, τρεφόμεθα μὲν ἰδικῶς, συνεχόμεθά τε πρὸς τὸ εὖ εἶναι παρὰ μόνου τοῦ Υἱοῦ· παρὰ δέ γε τοῦ Πατρὸς ψιλὴν ἔχομεν τὴν ἐπίσκεψιν; ἀμπέλῳ μὲν γὰρ τὸ τρέφειν οἰκεῖον τὰ ἴδια κλήματα, τῷ δὲ γηπονοῦντι τὸ ἐπισκέπτεσθαι. ἀλλ' εἴ γε φρονοῦμεν ὀρθῶς, ἡγησόμεθα δὴ πάντως, ὅτι οὔτε ἐκεῖνο χωρὶς τοῦ Πατρὸς, 2.537 οὔτε μὴν τὸ ἕτερον δίχα τοῦ Υἱοῦ ἤγουν τοῦ Ἁγίου Πνεύ ματος κατορθώσειε τὸ πᾶν· πάντα γὰρ παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι, καθάπερ εἰρήκαμεν. οἰκονομικῶς δὲ λίαν καὶ νῦν ὁ Σωτὴρ γεωργὸν ὠνόμασε τὸν Πατέρα, καὶ τίς ἄρα τούτου γέγονε πρόφασις, οὐδὲν ὅλως εἰπεῖν χαλεπόν· ἵνα γὰρ μήτις οἴηται μόνου τοῦ Μονογενοῦς τὴν ἐφ' ἡμῖν γενέ σθαι φροντίδα, συνεργάτην ὥσπερ εἰσκεκόμικε τὸν Πατέρα καὶ Θεὸν, ἑαυτὸν μὲν ἄμπελον εἰπὼν τοῖς ἰδίοις κλήμασι χορηγοῦσαν τὴν ζωὴν καὶ τὸ δύνασθαι καρποφορεῖν, γεωργὸν δὲ τὸν γεννήσαντα· καὶ διὰ τούτου πάλιν, ἕτεραν ὥσπερ τινὰ τῆς θείας οὐσίας ἐνέργειαν τὴν κατ' ἐπίσκεψιν νοου μένην εἰς ἡμᾶς ἐπιτελεῖσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διδάσκων. ἔδει γὰρ ἔδει μαν θάνειν ἡμᾶς, ὡς οὐ μόνον κοινωνοὺς τῆς ἑαυτοῦ φύσεως ἐξειργάσατο Θεὸς, ἐν ἁγίᾳ τε καὶ ὁμοουσίῳ Τριάδι νοού μενος· ἀλλὰ καὶ τῶν καθ' ἡμᾶς ἀκριβεστάτην εὖ μάλα ποιεῖται τὴν ἐπίσκεψιν, ὡς ἐν τρόπῳ γεωργίας παραλη φθεῖσαν εἰς τὸ παρὸν ἀκολούθως τε καὶ σφόδρα καλῶς. προωνομασμένης γὰρ ἀμπέλου καὶ τῶν ἐξ αὐτῆς κλημάτων, πῶς οὐ λίαν ἐν τούτοις πρεπωδεστάτη τοῦ γεωργοῦντος ἡ δήλωσις, τὸν ἐπόπτην τῶν ὅλων καὶ ἐπιμελητὴν εἰσφέρουσα, τουτέστι Θεόν; εἰ δὲ πεπιστεύκαμεν, ὅτι φυσικῶς μὲν καὶ ἀληθῶς ἐστιν ὁ Υἱὸς ἐν τῷ ἰδίῳ Πατρὶ, ἔχει δὲ ἐν ἰδίᾳ φύσει τὸν γεννήσαντα, καὶ πάντα δι' ἀμφοῖν ἐν Πνεύματι ὡς ἐκ μιᾶς θεότητος ἐπιτελεσθήσεται, καὶ οὔτε τοῦ τρέφειν ἡμᾶς ὁ Πατὴρ ἔξω κείσεται, καὶ τῆς ἐφ' ἡμῖν γεωργίας οὐκ ἀλλό τριος ὁ Υἱὸς νοοῖτο, καὶ εἰκότως· ὅπου γὰρ φύσεως ταυτότης ἐν ἀπαραλλάκτοις ὁρᾶται λόγοις, ἐκεῖ τὸ τῆς ἐνεργείας οὐ μεμερισμένον, κἂν ποικίλως τε καὶ διαφόρως ἐνεργεῖσθαι τυχὸν νοοῖτό τινι. μιᾶς δὲ οὐσίας, τουτέστι, τῆς ἀληθοῦς καὶ κατὰ φύσιν θεότητος ἐν τρισὶν ὑποστάσεσι νοουμένης, ἔν τε τῷ Πατρί φημι καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, πῶς οὐ 2.538 σφόδρα τρανὲς ἀνενδοιάστως ἔχον, ὡς ὅπερ ἂν ἑνός τι τυχὸν ἐνέργημα λέγηται, τοῦτο τῆς ὅλης ἐστὶ καὶ μιᾶς θεότητος ἀποτέλεσμα, κατά γε τὸν ἐν δυνάμει τῇ φυσικῇ λόγον; Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, συνεργάτην ἐφ' ἅπασι τὸν Πατέρα παραδεχόμενος, τοῖς ἀνοσίοις Ἰου δαίοις ποτὲ προσέμιξε λέγων "Πολλὰ καλὰ ἔργα ἔδειξα "ὑμῖν ἐκ τοῦ Πατρός μου, διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ "με;" καὶ πάλιν περὶ τῆς κατὰ τὸ σάββατον ἐργασίας "Ὁ Πατήρ μου, φησὶν, ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργά "ζομαι." καὶ οὐκ ἂν οἶμαί τις οἰηθείη λέγειν αὐτὸν, ὡς ἀνὰ μέρος μὲν ὁ Πατὴρ ἐργᾶταί τι τῶν περὶ τὴν κτίσιν, ἀνὰ μέρος δὲ πάλιν ὁ Υἱός· ἐπειδὴ δὲ δι' Υἱοῦ τὰ πάντα ὁ Πατὴρ, καὶ οὐκ ἂν ἑτέρως ἐργάσαιτό τι τῶν πώποτε, οὗτος γάρ ἐστιν ἡ σοφία καὶ ἡ δύναμις αὐτοῦ· διὰ τοῦτο τῶν ἰδίων ἔργων ἐργάτην πάλιν ὠνόμασε τὸν Πατέρα εἰπών "Ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλ' ὁ Πατὴρ ἐν ἐμοὶ μένων "ποιεῖ τὰ ἔργα αὐτός." οἶμαι μὲν οὖν προσήκειν ἡμᾶς οὐχ ἑτέρως ἢ τῇδε νοεῖν, ὡς ἐν ἀμπέλου μὲν τάξει κεῖσθαι Χριστὸν, ἡμᾶς δὲ κλημάτων ἠρτῆσθαι δίκην, πιαινομένους ὥσπερ τῇ χάριτι καὶ τὴν διὰ τοῦ Πνεύματος ἐκπίνοντας δύναμιν εἰς καρποφορίαν πνευματικήν. Ἐπειδὴ δὲ πάλιν ἡμᾶς ὀρθοποδεῖν ἑλομένους ὁ πικρὸς τῶν δι' ἐναντίας περικροτεῖ λόγος, καὶ ἀναπείθειν πειρᾶται ἃ μὴ θέμις ἐννοεῖν, φανερὰ τοῖς ἀκροωμένοις καταστήσομεν συνελόντες λόγοις, ἅπερ τις ἐκείνων ἐν μακροῖς συντέθεικε στίχοις Εὖ γὰρ δή τοι, φησὶν, ὁ Μονογενὴς διήλεγξέ τε καὶ καταγελάστους ἀπέφηνε τοὺς οἰομένους αὐτὸν ὁμοού σιον εἶναι τῷ Θεῷ καὶ Πατρί. ἰδοὺ γὰρ ἄμπελον ἑαυτὸν ὀνομάζει σαφῶς, γεωργὸν δὲ τὸν Πατέρα. ὥσπερ οὖν οὐ ταὐτὸν εἰς οὐσίαν ἄμπελός τε, φησὶ, καὶ γεωργός· τὸ μὲν γὰρ ξύλον, ὁ δέ ἐστιν ἄνθρωπος· ἀλλογενῆ δὲ ταῦτα καὶ 2.539 ἑτερόφυλα παντελῶς· οὕτως οὐχ ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, διέστηκε δὲ κατὰ πολὺ καὶ οὐσιώδης αὐτοὺς διείργει λόγος, εἴ γε ὁ μέν ἐστι γεωργὸς, ὁ δὲ ἄμπελος. ὅτι γὰρ οὐκ εὐλόγως τινὲς εἰς τὸν τῆς μετὰ σαρκὸς οἰκονο μίας λόγον τὰ τοιαῦτα περιενεγκεῖν ἐπιχειρήσουσιν, οὐκ ἔστιν ἀμφίβολον. οὐ γὰρ τὴν σάρκα τὴν ἑαυτοῦ φησιν εἶναι τὴν ἄμπελον, μᾶλλον δὲ τὴν θεότητα. τινὶ γὰρ οὐ σαφὲς ἔσται, φησὶν, ὡς τὸ ἡμέτερον σῶμα οὐχὶ τῆς τοῦ Σωτῆρος ἐκκρεμᾶται σαρκὸς, καθάπερ ἀμπέλου τὰ κλή ματα, οὔτε μὴν ὁ τῶν ἁγίων καρπὸς σαρκικὸς, ἀλλὰ πνευματικός; οὐκοῦν ἐν μέρει, φησὶ, τεθείσης εἰς τὸ παρὸν τῆς σαρκὸς, αὐτῇ τῇ θεότητι τοῦ Υἱοῦ τὴν τοῦ λόγου περιθήσομεν δύναμιν, καὶ αὐτὴν ἐροῦμεν εἶναι τὴν ἄμπελον, ἧς ἐξήμμεθα διὰ τῆς πίστεως. Ταυτὶ μὲν ἐκείνῳ καταφλυαρῆσαι παρέστη παρωθουμένῳ ποικίλως κατά γε τὸ αὐτῷ καλῶς ἔχειν δοκοῦν, τὴν τῶν θείων δογμάτων ὀρθότητα, καὶ σὺν πολλῇ κακουργίᾳ πρὸς τὸν αὐτῷ προτεθέντα παρατρέποντι σκοπόν. ἡμεῖς δὲ τῆς ἀληθείας ἐχόμενοι, πανταχῇ διακεισόμεθα μὲν οὐχ οὕτως, πολλοῦ γε καὶ δεῖ, τὴν διὰ τῶν ἁγίων ἡμῶν πατέρων ἴχνη λατοῦντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σύνεσιν, τοῖς τῆς ἀληθείας ἑψόμεθα δόγμασιν. ὅπως μὲν ἂν νοῆσαι προσήκοι τοῦ προκειμένου τὴν δύναμιν, οὐκ ἀκόμψως ἤδη διερευνήσαιμεν, κατά γε τὸ ἐν ἡμῖν ἐφικτόν· σκεπτέον δὲ πάλιν ὅπως τε ἡμᾶς καὶ τίνα δὴ τρόπον ἐξοπλίζεσθαι χρὴ, καὶ τοῖς παρ' ἐκείνων ἀνταποδύ σασθαι λόγοις. εἰ μὲν γὰρ σιωπῇ παρελάσαντες, οὐδὲν ἦν ἐντεῦθεν ἰδεῖν τὸ βλάβος ταῖς τῶν ἁπλουστέρων διανοίαις εἰστρέχον, εἰκότως τὸ ματαίοις ἐντρίβεσθαι λόγοις παρ' οὐδὲν ἡγησάμενοι ταῖς τῶν ἐφεξῆς κειμένων θεωρίαις ἐπενη χόμεθα· ἐπειδὴ δὲ οὐ μικρὰν τὴν ζημίαν ἐποίσειεν ἂν εἰ παραδεχθεῖεν ὑπό του τὰ οὕτω δογματιζόμενα, πῶς οὐκ 2.540 ἀκόλουθον ζήλῳ τῷ φιλοθέῳ κεκινημένους καθεῖναι τὴν μάχην τὴν ἐν λογισμοῖς τε καὶ λόγοις; εἴη γὰρ ἂν οὕτως εὐκάτοπτός τε κομιδῇ τῶν δι' ἐναντίας ἡ πανουργία. καὶ φέρε δὴ πρῶτον ἐκεῖνο λέγωμεν, ὅτι τὸ ἐν παραδείγματος τάξει ληφθὲν καὶ εἰς ὁμοίωσιν τὴν τοῦ πράγματος εἰσκεκο μισμένον, εἰς φυσιολογίας τρόπον, ἤτοι οὐσίας δήλωσιν, ἐκλαβεῖν οὐκ εὐκαίρως ἀνόητον παντελῶς· οἶμαι γὰρ ἔγωγε τοὺς εἰς ἕκαστα τῶν λεγομένων συνιέναι θέλοντας ὀρθῶς εἰς τὸν τοῦ θεωρήματος ἀποβλέπειν σκοπὸν, καὶ τί μετὰ χεῖρας ἔχων ὁ τοῦ λόγου δημιουργὸς ποιεῖται τὴν διάλεξιν σὺν πολλῇ τῇ φρονήσει κατασκέπτεσθαι δεῖν. σκόπει δὲ δὴ πάλιν ἐξ αὐτῶν ἡμῖν τῶν προκειμένων, εἰ μή σοι δοκοῦμεν ἄριστα λέγειν. οὐκ ἦν μετὰ χεῖρας τῷ Σωτῆρι Χριστῷ διδάξαι τοὺς μαθητὰς, ὡς εἴη μὲν αὐτὸς κατὰ φύσιν ἕτερος, ἑτεροῖος δὲ ὁ Πατὴρ, οὐδὲ διὰ τοῦτο γεωργὸν μὲν τὸν φύσαντα καλεῖν ᾤετο δεῖν, ἄμπελον δὲ ἑαυτόν. εἰ γὰρ οὗτος ἦν ὁ σκοπὸς ἐν αὐτῷ, τί μὴ μέχρι τούτων ἵστη τὸν λόγον, οὐδὲν ὅλως ἕτερον προσεπενεγκών; ἀσύγχυτον γὰρ ἂν ἐποιήσατο τὴν δήλωσιν τοῦ οἰκείου σκοποῦ, κατά γε τὸ ὑμῖν δοκοῦν, εἰ μόνον ὠνόμασεν ἑαυτόν τε καὶ τὸν Πατέρα. νυνὶ δὲ προκαταθεὶς ἄμπελον μὲν ἑαυτὸν, κλημάτων δὲ δίκην ἠρτῆσθαι λέγων ἡμᾶς, εἶτα τῆς γεωργίας τὸ ἐπιτήδευμα περιθεὶς τῷ Πατρὶ, δῆλος ἂν εἴη καὶ πᾶσιν οἶμαι καταφανὴς, ὡς οὐδὲν μὲν τοιοῦτον ὁποῖον ὑμεῖς ὑπειλήφατε δηλοῖ, διὰ παχέων δὲ ὥσπερ καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὑπο πιπτόντων παραδειγμάτων ἀναπεῖσαι βούλεται τοὺς ἀκροω μένους, ὅτι πάσης ἡμῖν καρποφορίας πνευματικῆς ἡ δύναμις παρ' αὐτοῦ, καθάπερ οὖν ἀμέλει καὶ τοῖς τῆς ῥίζης προσπε φυκόσι κλήμασι ποιότης παρ' αὐτῆς. δοτὸν μὲν γὰρ ἐν ἡμῖν πᾶν ὅπερ ἔχομεν ἀγαθὸν, Θεῷ δὲ οὐκέτι· ἔστι γὰρ αὐτὸς ἐν ἑαυτῷ τῶν ἰδίων πλεονεκτημάτων, δόξης τε καὶ ἐξουσίας 2.541 τῆς αὐτῷ καὶ μόνῳ πρεπούσης ἔναρχος ἀρχή· διὰ τοῦτο μὲν ῥίζα ὥσπερ ἄμπελος ὁ Χριστὸς, κλήματα δὲ ἡμεῖς. εἰ δὲ γεωργὸν ὠνόμασε τὸν Πατέρα, μὴ εἴπῃς ὡς ἑτεροούσιον. οὐ γὰρ τοῦτο σημῆναι βούλεται, καθάπερ εἰρήκαμεν, ἀλλ' ἐπι δεῖξαι θελήσας, ὅτι καὶ ῥίζα καὶ ἀρχὴ τῆς ἐν ἡμῖν καρπο φορίας πνευματικῆς καὶ ζωῆς ἡ θεία γέγονε φύσις, πρὸς τοῖς εἰρημένοις ἀγαθοῖς, ὡς ἐν γεωργοῦ τινος τάξει χαριζομένη, καὶ ἐπιφέρουσα τοῖς διὰ πίστεως κεκλημένοις εἰς κοινωνίαν αὐτῆς τὴν ἐπίσκεψιν τῆς ἀγάπης. οὐδὲν οὖν ἄρα παντελῶς ἡ τῶν παραδειγμάτων ἀνομοιότης πρὸς τὸν τῆς οὐσίας ἕξει λόγον· οὐ γὰρ πρόκειται νυνὶ τῷ Σωτῆρι Χριστῷ περὶ τούτου τι λέγειν, ἀλλ' ἕτερον ἔχει σκοπὸν τῆς διδασκαλίας ὁ τρόπος. Ἐπειδὴ δὲ λέγειν ὁ παράφρων ἐκ τῆς ἐνούσης αὐτῷ δυσβουλίας τὰ οὐκ ὀρθῶς ἔχοντα βούλεται, καί φησιν, ὅτι λόγος οὐδεὶς ἐπιτρέψει τῆς εὐθείας ὥσπερ ἐξέλκοντας τὸν τοῦ προκειμένου σκοπὸν περιτρέπειν εἰς τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ· οὐ γὰρ συνήφθημεν αὐτῷ κατὰ τὸ σῶμα, ἀλλ' οὐδὲ ἔμενον οἱ ἀπόστολοι ὡς κλήματα τυχὸν ἐν τῷ σώματι τοῦ Χριστοῦ, οὔτε μὴν αὐτῷ κατὰ τοῦτον συνή πτοντο τὸν λόγον, ἀλλὰ διαθέσει καὶ πίστει εἰλικρινεῖ, φέρε τι βραχὺ καὶ πρὸς ταῦτα λέγωμεν, πανταχῇ δεικνύντες ἀφραίνοντα καὶ τῶν ἱερῶν γραμμάτων οὐκ ἰόντα κατ' εὐθύ. ὅτι μὲν γὰρ διαθέσει τῇ νοουμένῃ κατὰ τὴν τελείαν ἀγάπην, ὀρθῇ τε καὶ ἀδιαστρόφῳ πίστει, φιλαρέτῳ τε καὶ εἰλικρινεῖ λογισμῷ συνενούμεθα πνευματικῶς τῷ Χριστῷ, οὐδαμῶς ἐξαρνήσεται τῶν παρ' ἡμῖν δογμάτων ὁ λόγος· συνεροῦμεν γὰρ ὅτι δὴ μάλα τοῦτό φασιν ὀρθῶς·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ δέ γε καταθαρ σῆσαι λέγειν ὡς οὐδεὶς ἡμῖν συναφείας τῆς κατὰ σάρκα πρὸς αὐτὸν ὁ λόγος, ὁλοκλήρως ἀπᾷδον ταῖς θεοπνεύστοις γραφαῖς ἐπιδείξομεν. πῶς γὰρ ἂν ἀμφίλογον, ἢ τίς ἂν ὅλως ἐνδοιάσαι ποτὲ τῶν εὖ φρονεῖν εἰωθότων, ὡς ἄμπελος 2.542 μέν ἐστι κατὰ τοῦτο Χριστός· ἡμεῖς δὲ κλημάτων ἀποτε λοῦντες σχῆμα τὴν ἐξ αὐτοῦ καὶ παρ' αὐτοῦ ζωὴν εἰς αὐτοὺς κομιζόμεθα, καίτοι τοῦ Παύλου λέγοντος Οἱ γὰρ πάντες "ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὅτι εἷς ἄρτος οἱ πολλοί "ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν." λεγέτω γάρ τις ἡμῖν τὴν αἰτίαν, καὶ διδασκέτω παρελθὼν τῆς μυστικῆς εὐλογίας τὴν δύναμιν. γίνεται γὰρ ἐν ἡμῖν διατί; ἆρ' οὐχὶ καὶ σωματικῶς ἡμῖν ἐνοικίζουσα τὸν Χριστὸν τῇ μεθέξει καὶ κοινωνίᾳ τῆς ἁγίας αὐτοῦ σαρκός; ἀλλ' οἶμαι λέγειν ὀρθῶς· γράφει γὰρ ὁ Παῦλος γεγενῆσθαι "τὰ ἔθνη "σύσσωμα καὶ συμμέτοχα καὶ συγκληρονόμα" Χριστοῦ. σύσσωμα τοιγαροῦν κατὰ ποῖον ἀπεφάνθη τρόπον; ἀξιω θέντα γὰρ μετασχεῖν τῆς εὐλογίας τῆς μυστικῆς, ἓν πρὸς αὐτὸν γέγονε σῶμα, καθάπερ ἀμέλει καὶ τῶν ἁγίων ἕκαστος ἀποστόλων. ἐπεὶ διὰ ποίαν αἰτίαν μέλη τοῦ Χριστοῦ τὰ οἰκεῖα, μᾶλλον δὲ τὰ πάντων, ὡς αὐτοῦ κατωνόμασε μέλη; γράφει γὰρ οὕτως "Οὐκ οἴδατε ὅτι τὰ μέλη ὑμῶν μέλη "Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω "πόρνης μέλη; μὴ γένοιτο·" ἀλλὰ καὶ αὐτὸς ὁ Σωτήρ "Ὁ "τρώγων μου τὴν σάρκα, φησὶ, καὶ πίνων μου τὸ αἷμα ἐν "ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ." ἐν γὰρ δὴ τούτῳ μάλιστα κατιδεῖν ἄξιον, ὡς οὐ κατὰ σχέσιν τινὰ μόνην, τὴν ἐν διαθέσει νοουμένην, ἐν ἡμῖν ἔσεσθαί φησιν ὁ Χριστὸς, ἀλλὰ καὶ κατὰ μέθεξιν [φυσικὴν] ἤτοι φυσικήν. ὥσπερ γὰρ εἴ τις κηρὸν ἑτέρῳ συναναπλέξας κηρῷ, καὶ πυρὶ συγκατατήξας, ἕν τι τὸ ἐξ ἀμφοῖν ἐργάζεται, οὕτω διὰ τῆς μεταλήψεως τοῦ σώματος τοῦ Χριστοῦ καὶ τοῦ τιμίου αἵματος, αὐτὸς μὲν ἐν ἡμῖν, ἡμεῖς δὲ αὖ πάλιν ἐν αὐτῷ συνενούμεθα. οὐ γὰρ ἦν ἑτέρως ζωοποιηθῆναι δύνασθαι τὸ φθείρεσθαι πεφυκὸς, εἰ μὴ συνεπλάκη σωματικῶς τῷ σώματι τῆς κατὰ φύσιν ζωῆς, τουτέστι, τοῦ Μονογενοῦς. καὶ εἰ μὴ τοῖς ἐμοῖς 2.543 καταπείθῃ λόγοις, ἐπίδος τὴν πίστιν αὐτῷ βοῶντι Χριστῷ "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ "υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε "ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου "τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ "ἐσχάτῃ ἡμέρᾳ." ἀκούεις ἤδη λοιπὸν ἐναργῶς διειπόντος αὐτοῦ, ὡς ἂν μὴ φάγωμεν τὴν σάρκα αὐτοῦ καὶ πίωμεν τὸ αἷμα, οὐκ ἔχομεν ἐν ἑαυτοῖς, τουτέστιν, ἐν τῇ ἰδίᾳ σαρκὶ, ζωὴν αἰώνιον; νοηθείη δ' ἂν ἡ αἰώνιος ζωὴ, καὶ μάλα δικαίως, ἡ σὰρξ τῆς ζωῆς, τουτέστι τοῦ Μονογενοῦς. αὕτη δὲ ἡμᾶς ἀνίστησιν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, πῶς ἢ τίνα τρόπον, ἀκούσῃ μὲν δήπου πάντως, ἐγὼ δὲ εἰπεῖν οὐκ ὀκνήσω. ἐπειδὴ γὰρ σὰρξ ἐγένετο τῆς ζωῆς, τουτέστι, τοῦ ἐκ Θεοῦ καὶ Πατρὸς ἀναλάμψαντος Λόγου, πρὸς τὴν τῆς ζωῆς μετε χώρησε δύναμιν, καὶ ἔστι τῶν ἀμηχάνων, θανάτῳ νικᾶσθαι τὴν ζωήν. οὐκοῦν ἐπείπερ ἐν ἡμῖν γέγονεν ἡ ζωὴ, τῶν τοῦ θανάτου δεσμῶν οὐκ ἀνέξεται, νικήσει δὲ πάντως τὴν φθο ρὰν, ἐπείπερ οὐκ οἶδε τὰ ἐξ αὐτῆς ὑπομένειν. οὐ γὰρ "ἡ "φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ," κατὰ τὴν τοῦ Παύλου φωνήν. εἰ γὰρ καὶ ὅτι μάλιστα Χριστός Ἐγὼ, φησὶν, ἀναστήσω αὐτὸν, οὐχὶ μόνῃ τῇ ἰδίᾳ περιτέθεικε σαρκὶ τὸ δύνασθαι διανιστᾶν τοὺς κεκοιμημένους, ἀλλ' ἓν ὑπάρχων μετὰ τῆς ἰδίας σαρκὸς ὁ ἐν αὐτῇ Θεὸς Λόγος, τό Ἐγώ φησι, καὶ λίαν ὀρθῶς. οὐ γὰρ εἰς υἱῶν δυάδα τέμνεται Χριστὸς, οὔτε μὴν ἀλλότριον τοῦ Μονογενοῦς ὑπονοήσαι τις ἂν τὸ σῶμα αὐτοῦ, ὥσπερ οὖν ἀμέλει καὶ τῆς ἡμετέρας ψυχῆς οὐκ ἂν οἶμαί τις ἀλλότριον προσερεῖ τὸ σῶμα αὐτῆς. Ὅτε τοίνυν καὶ διὰ τούτων ἡμῖν ἀναπέφανται τῶν θεωρη μάτων, ἄμπελος μὲν ὑπάρχων κατὰ τοῦτο Χριστὸς, κλήματα δὲ ἡμεῖς, ἅτε δὴ καὶ τῆς πρὸς αὐτὸν ἐχόμενοι κοινωνίας, οὐχὶ μόνον πνευματικῆς, ἀλλὰ καὶ σωματικῆς· τί μάτην ἡμῶν 2.544 καταφλυαρεῖ, λέγων ὡς ἐπείπερ οὐ σωματικῶς τῆς πρὸς αὐτὸν κοινωνίας ἐξήμμεθα, πίστει δὲ μᾶλλον καὶ διαθέσει τῆς κατὰ τὸν νόμον ἀγάπης, οὐ τὴν σάρκα, φησὶ, τὴν ἰδίαν ἄμπελον ὠνόμασε, μᾶλλον δὲ τὴν θεότητα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καίτοι τί δή ποτε, φαίη τίς ἂν, τὸν πρεπωδέστερόν τε καὶ οἰκειότερον τοῖς θεωρήμασι τρόπον ἀφεὶς, ἐπὶ τὸ πολὺ διωρισμένον ἐπείγῃ; ἢ γὰρ οὐχὶ πρεπωδέστερον καὶ κατὰ τὴν τῆς σαρκὸς κοινωνίαν, ἄμπελον μὲν εἶναι δώσομεν τὸν Ἰησοῦν, ἑαυτοὺς δὲ κλήματα διὰ τὸ ὁμοφυές; ὁμοφυῆ γὰρ τῇ ἀμπέλῳ τὰ ἐξ αὐτῆς. καὶ ταῦτά φαμεν, οὐκ ἐπιχειροῦντες ἀναιρεῖν τὸ συνενοῦσθαι δύνασθαι τῷ Χριστῷ, διά τε πίστεως ὀρθῆς καὶ ἀγάπης εἰλικρινοῦς, ἀποδεικνύντες δὲ μᾶλλον ὅτι καὶ πνευματικῶς καὶ σωματικῶς, ἄμπελος μὲν ὁ Χριστὸς, κλήματα δὲ ἡμεῖς. Ἀλλὰ γὰρ ὁ μὲν τῆς ἀληθείας λόγος ἁπλοῦς καὶ δια φανὴς, πανούργως δὲ ὁ δι' ἐναντίας παραιτεῖται μὲν ὁμολο γεῖν, ὅτι καὶ σωματικῶς ἄμπελος ἦν ὁ Χριστὸς, ἅτε δὴ καὶ τὴν ἰδίαν τοῖς κλήμασι, τουτέστιν ἡμῖν, χαριζόμενος ζωήν· καθάπερ οὖν τοῖς ἐμπεφυκόσιν αὐτῇ κλήμασιν ἡ αἰσθητή τε καὶ ἐπὶ γῆς ἄμπελος, περιτρέπει δὲ καὶ βιάζεται τὴν τοῦ νοήματος δύναμιν ἐπὶ μόνην αὐτοῦ τὴν θεότητα. δύνασθαι γὰρ οὕτω συκοφαντεῖν αὐτὴν ᾠήθη δὴ πάλιν, ἐκεῖνο προ τείνων ἀμαθῶς Εἰ γὰρ ἄμπελος μέν ἐστιν ὁ Υἱὸς, φησὶ, γεωργὸς δὲ ὁ Πατὴρ, ἑτεροφυὴς δὲ πάλιν ὁ Υἱὸς ὡς πρὸς τὴν ἄμπελον, οὐχ ὁμοούσιος ἔσται τῷ Πατρὶ ὁ Υἱὸς, φησί. Καὶ βαθὺ μέν τι καὶ πικρὸν καὶ θεώρημα δυσανάτρεπτον ἐπιτειχῖσαι νομίζει τοῖς τῆς Ἐκκλησίας δόγμασιν, ἁλώσεται δὲ οὐδὲν ἧττον κἀντεῦθεν ληρῶν. πρῶτον μὲν γὰρ ἀλλογενῆ κατὰ φύσιν διαβεβαιούμενος εἶναι τὸν Υἱὸν, καὶ τῆς τοῦ τεκόντος οὐσίας ἔξω τιθεὶς, πῶς ἂν ἔτι πατέρα καλοίη τὸν Θεὸν, υἱὸν δὲ ὅλως τὸν Υἱόν; εἰ γὰρ μὴ γεγεννῆσθαί φησιν αὐτὸν, τουτέστι, προελθεῖν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, 2.545 καθάπερ καὶ ἐξ ἀνθρώπων τὰ ἐξ αὐτῶν γεννήματα, πῶς ἂν εἴη κατὰ ἀλήθειαν Υἱός; εἶτα πῶς τὸν μακάριον Ἰωάννην ἀποστήσει λέγοντα "Ὁ ἀρνούμενος τὸν Υἱὸν καὶ τὸν "Πατέρα ἀρνήσεται· ὁ ὁμολογῶν τὸν Υἱὸν ὁμολογεῖ καὶ "τὸν Πατέρα;" καὶ ἀληθὴς ὁ λόγος· ἐν γὰρ τῷ ἑτέρῳ συναναιρεῖται πάντως καὶ συνυφίσταται τὸ ἕτερον. οὐ γὰρ ἂν εἴη πατὴρ οὐκ ὄντος υἱοῦ, οὐδ' ἂν υἱὸς νοοῖτό ποτε μὴ οὐχὶ πάντως αὐτῷ συνεπινοουμένου τοῦ φύσαντος. εἰ τοίνυν ἀρνεῖται τὸν Υἱόν· ἑτερογενῆ γὰρ εἶναί φησι· καὶ αὐτὸν ἠρνήσατο τὸν Πατέρα. τί οὖν ὦ βέλτιστε πρὸς ταῦτα ἐρεῖς; εἰς τίνα λοιπὸν ἡ πίστις; ποῦ τῆς ἁγίας Τριάδος ἡ δόξα; λέλυται γὰρ καὶ φρούδη λοιπὸν ἡ τῶν ὅλων κρατοῦσα φύσις, ἐν ψιλαῖς ἡμῖν σημανθεῖσα λέξεσι παρὰ τῆς ἁγίας γραφῆς· ἀναγκάζει γὰρ ἡμᾶς καὶ διὰ τῶν οὕτως ἀπηχεστάτων ἰέναι λόγων ἡ ἐκείνων ἀποπληξία καὶ ψευδο μυθία. ἀλλ' ἴσως τὸ τῆς δυσφημίας καταδείσας μέγεθος, ἀλλογενῆ μὲν εἶναί φησι, γεγεννῆσθαι γεμὴν παρὰ τοῦ Θεοῦ καὶ Πατρός. ἡμεῖς δὲ αὖ πάλιν εἰπεῖν ἀπαιτήσομεν Πῶς ἄρα γεγεννῆσθαι δίδωσί τε καὶ ὁμολογεῖ; εἰ μὲν γὰρ ὡς ἓν τῶν κτισμάτων, κατὰ σχέσιν τὴν ὡς ἐν ἀγάπῃ καὶ κατὰ θέλησιν· πάντα γὰρ ἐκ Θεοῦ λέγεται· διὰ τῶν αὐτῶν οὐδὲν ἧττον ἥξει βλασφημιῶν. ἀληθῆ δὲ τὸν τόκον εἰπὼν, ἔκ φυλόν τε εἶναι διαβεβαιούμενος, καὶ ἀλλογενῆ λέγων ἔτι καὶ μετὰ τοῦτο, δυσσεβήσει πάντως εἰς αὐτὸν τὸν γεννήσαντα· ὃ γὰρ καὶ αὐτὴ παρῃτήσατο παθεῖν τῶν γενητῶν ἡ φύσις, τοῦτο δὴ πάντως ὑποδείξειεν ὑπομείναντα τὸν Θεόν. ἢ γὰρ οὐχὶ τὸ ἔκ τινος κατὰ φύσιν γεγεννημένον ἀληθῶς, ὁμοού σιον τῷ τεκόντι φαίνεται; καὶ πῶς οὐχ ἅπασι συμφανές; οὐκοῦν ἡ μὲν κτίσις κατὰ λόγον πρόεισι τὸν πρέποντα· τίκτει γὰρ οὐκ ἀλλογενῆ· μόνον δὲ παθόντα τὸν Θεὸν τὸ ἐναντίον εὑρήσομεν, εἴπερ ἀλλογενῆ γεγέννηκε καὶ οὐκ ἐξ ἰδίας φύσεως τὸν Υἱόν. 2.546 Ἦν μὲν οὖν εἰκὸς οὐδὲν ἔτι πρὸς ταῦτα θέλειν εἰπεῖν τὸν δι' ἐναντίας, οὐκ ἐξισταμένῳ δὲ τῆς ἐνούσης αὐτῷ δυσβου λίας, οἰομένῳ τε ἀλλογενῆ τὸν ἐκ Θεοῦ καὶ Πατρὸς ὑπάρχειν Υἱὸν, οὐκ ἐνδώσομεν τοῖς τῆς ἀληθείας συνηγοροῦντες δόγ μασιν· ἐπιδείξομεν γὰρ ὁμογενῆ λέγοντα τῇ κτίσει τὸν Θεὸν καὶ Πατέρα· καὶ πῶς ἢ πόθεν, ἀκούοιτ' ἂν ἤδη πάλιν. ἄμπελον ἐναργῶς διατείνεται καί φησιν, οὐ τὴν σάρκα μᾶλλον, ἀλλ' αὐτὴν ὠνομάσθαι τὴν θεότητα τοῦ Μονο γενοῦς. ἐχέτω τῇδε τυχόν· οὐκοῦν, ἐρήσομαι γὰρ, ἀπολο γείσθω δὲ πάλιν, πότερόν ποτε Θεὸν ἀληθινὸν ὑπάρχειν οἴεται τὸν Υἱὸν, ἢ οὐχὶ, προσερεῖ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νόθον καὶ ἐν ψιλαῖς ἔχοντα φωναῖς τὸ ἀξίωμα. εἰ μὲν γὰρ οὐκ εἶναι κατὰ φύσιν Θεὸν, αὐτὸν ἐφ' ἑαυτῷ δεχέσθω μάρτυρα τὸν Μονογενῆ λέγοντα "Ἐγώ εἰμι ἡ ἀλήθεια." ἀλήθεια γὰρ καθ' ἕνα τρόπον, οὐ τὸ νόθον ἔχει καὶ ψευδώνυμον. παραδεχέσθω δὲ καὶ αὐτὸν ἐπὶ τούτῳ τὸν σοφώτατον Ἰωάννην, ἀνακεκραγότα σαφῶς καὶ λέγοντα "Καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ Θεῷ Ἰησοῦ "Χριστῷ· οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώ "νιος." ἀλλ' εἰ καὶ πρὸς τοῦτο τυχὸν ὑπερυθρίασας, καὶ τὸ διατείνεσθαι μεθεὶς ἀληθινὸν ὁμολογήσει Θεὸν τὸν Υἱὸν, οὐχ ἑτέρωσέ ποι χωρήσομεν, λόγοις δὲ τοῖς παρ' αὐτοῦ χρησό μεθα πρὸς ἀνατροπὴν τῶν παρ' αὐτοῦ λεγομένων Ἆρ' οὐχ ὥσπερ γεωργὸς ἀλλογενής ἐστι τῇ ἀμπέλῳ; ὁ μὲν γὰρ ἄνθρωπος, ἡ δὲ ξύλον· οὕτως ἡ ἄμπελος ὀρθῶς τε καὶ ἀληθῶς ὁμοφυὴς ἂν νοοῖτο πρὸς τὰ ἴδια κλήματα; ἀλλ' οἶμαι γεμὴν μηδένα πρὸς τοῦτο μωρίας ἐθελῆσαι κατελθεῖν, ὡς ἀρνεῖσθαι τολμᾶν τὸ οὕτω καταφανές. ὅτε τοίνυν Θεὸς ὑπάρχων ἀληθινὸς, ὁμοούσιός ἐστι τῷ κατὰ φύσιν ἀληθινῷ Θεῷ, τουτέστι, τῷ Πατρὶ, καὶ ἄμπελος μέν ἐστι, κλήματα δὲ ἡμεῖς, ὁμοφυῆ δηλονότι διὰ τοῦτο τῇ ἀμπέλῳ, πῶς οὐχὶ θεοὶ κατὰ φύσιν ἐσόμεθα καὶ ἡμεῖς, τὴν ἰδίαν ὥσπερ ἀφέντες 2.547 φύσιν; ἀλλ' ἔστι τὸ οὕτω φρονεῖν τῶν εἰς ἄκρον δυσσε βείας ἡκόντων κακῶν· πεποιήμεθα γὰρ ἡμεῖς, Θεὸς δὲ κατὰ φύσιν ἐστὶν ὁ Υἱός. εἶτα πῶς ἔσται τοῦτο; πῶς δὲ ἀληθὲς ἐπ' αὐτῷ τὸ λεγόμενον, εἴπερ εἰσὶν ὁμοφυῆ τῇ ἀμπέλῳ τὰ κλήματα; ἀνάγκη γὰρ, ἢ καὶ ἡμᾶς αὐτοὺς εἰς τὴν τῆς θεό τητος τῆς ἀληθοῦς ἀνακομίζεσθαι φύσιν, ἤγουν ἐκείνην καταβιβάζεσθαι πρὸς ἡμᾶς· ὁμοφυῆ γὰρ τῇ ἀμπέλῳ τὰ κλήματα. καὶ ἐπείπερ φαίνεται λέγων ὁ Υἱός "Ἐγὼ καὶ ὁ "Πατὴρ ἕν ἐσμεν," καὶ ἡμεῖς αὐτῷ συναναβησόμεθα πρὸς ὁμοιότητα τὴν κατὰ πᾶν ὁτιοῦν πρὸς τὸν Πατέρα, ἢ καὶ αὐτὸς ὁ Πατὴρ εἰς ἡμετέραν ὁμοίωσιν συγκαθελκυσθήσεται τῷ Υἱῷ, τῷ πρὸς ἡμᾶς ὁμοφυεῖ. ὁρᾶτε δὴ οὖν ὅσος ἡμῖν ἐντεῦθεν δυσφημιῶν ἀνατέλλει θόρυβος· διὰ δὴ τοῦτο, τοῖς ἐξ ἀληθείας μᾶλλον ἑψόμεθα λογισμοῖς, ἐν ὑποδείγματος τρόπῳ πιστεύοντες τὸν Υἱὸν εἰπεῖν Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, ὁ Πατήρ μου ὁ γεωργός ἐστιν. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ ἵνα καρπὸν πλείονα φέρῃ. Ἑκτικὴ μέν ἐστιν ἡμῶν ἡ κόλλησις πρὸς Χριστὸν καὶ προαιρετικὴν ἔχουσα τῆς συναφείας τὴν δύναμιν, τελειοῦσα δὲ ἀγάπῃ καὶ πίστει. καὶ ἡ μὲν πίστις ταῖς ἡμετέραις εἰσοι κίζεται ψυχαῖς, ἀκραιφνῆ τῆς θεογνωσίας παρέχουσα τὴν δήλωσιν· ὁ δὲ τῆς ἀγάπης τρόπος, τῆς παρ' αὐτοῦ διορι σθείσης ἡμῖν ἐντολῆς ἀπαιτεῖ τὴν τήρησιν· οὕτω γάρ που καὶ αὐτὸς τὸν ἀγαπῶντα δεικνὺς ἔφασκεν Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει. ἰστέον οὖν ὅτι συνενούμενοι μὲν διὰ πίστεως αὐτῷ, καὶ ἐν ψιλαῖς καὶ μόναις ὁμολογίαις τὸ τῆς κολλήσεως εἶδος ἐπιτηδεύοντες, οὐ μὴν καὶ τοῖς ἐξ ἀγάπης ἀνδραγαθήμασι τὸν τῆς συναφείας δεσμὸν ἐπισφίγγοντες, 2.548 κλήματα μὲν ἐσόμεθα, νεκρὰ δὲ ὅμως καὶ ἄκαρπα. δίχα γὰρ ἔργων ἡ πίστις νεκρά ἐστι, κατὰ τὴν τοῦ ἁγίου φωνήν. εἰ τοίνυν ἄρα κατὰ τοῦτον τὸν τρόπον ὁρῷτό τε καὶ ὑπάρχοι κλῆμα, μάτην, ὡς ἔπος εἰπεῖν, τῶν τῆς ἀμπέλου στελέχων ἐκκεκρεμασμένον, ἴστω δὴ πάντως τῇ τοῦ γεωργοῦ δρεπάνῃ περιτευξόμενος. ἀποτεμεῖ γὰρ πάντως αὐτὸ, καὶ καθάπερ εἰκαῖον συρφετὸν πυρὶ νέμεσθαι δώσει· τοῦτο γὰρ τῶν ἀκάρπων τὸ κρῖμα· καθάπερ οἶμαι καὶ ἐπὶ τῆς ὡς ἐν εἴδει παραβολῆς παραληφθείσης συκῆς, τῷ γηπονοῦντί φησιν ὁ τοῦ χωρίου δεσπότης "Ἔκκοψον αὐτὴν, ἱνατί καὶ τὴν γῆν "καταργεῖ;" οὕτω κἀνθάδε νομίζω τὸν ἁπάντων Θεὸν καὶ Πατέρα, τὸν στεγνόν τε καὶ ἄγονον τῶν κλημάτων ἀποθερί ζειν ὄχλον, ἐπ' οὐδενὶ τῶν χρησίμων τῆς νοητῆς ἀμπέλου παρηρτημένον. οἶμαι δὲ ἐγὼ, τὸν τῶν ἡμετέρων ψυχῶν ἐπι μελητὴν, τουτέστι Θεὸν, ἐπιδεῖξαι θέλειν διὰ τῆς ἐν τούτοις παραβολῆς, ὁποῖόν τε καὶ ὅσον ὑπομένει τὸ βλάβος ἡ τῆς πρὸς αὐτὸν κοινωνίας ἀποτμηθεῖσα ψυχή. πρὸς τὸ μηδὲν γὰρ οἰχήσεται καὶ ἄχρηστος ἔσται πρὸς πᾶσαν ἀγαθουργίαν, ἀναμφιβόλως γεμὴν κολάσει παραδοθήσεται, καὶ πυρὸς ἔσται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ παμφάγου τροφή. καὶ γοῦν διὰ τοῦ προφήτου πάλιν Ἰεζεκιὴλ αὐτὸ δὴ τοῦτο καὶ μάλα σαφῶς διερμηνεύων ἔλεγεν "Υἱὲ ἀνθρώπου, τί ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλου "ἐκ πάντων τῶν ξύλων τῶν ὄντων ἐν τοῖς ξύλοις τοῦ "δρυμοῦ; μὴ λήψονται ἐξ αὐτοῦ ξύλον τοῦ ποιῆσαι εἰς "ἐργασίαν; ἢ τοῦ κρεμάσαι ἐν αὐτῷ πᾶν σκεῦος, τὴν κατ' "ἐνιαυτὸν κάθαρσιν αὐτῆς ἀναλίσκει τὸ πῦρ, καὶ ἐκλείπει "εἰς τέλος, μὴ χρήσιμον ἔσται εἰς ἐργασίαν;" σύνες δὴ οὖν τὸ ἅπαξ ἀποτμηθὲν, καὶ ὁλοκλήρως ἀπεσπασμένον, ἄχρη στον μὲν παντελῶς καὶ εἰς οὐδὲν ἔτι τῶν ἀναγκαίων παρα ληφθῆναι δυνάμενον, μόνῳ δὲ τάχα χρησιμεῦον πυρί. ἆρ' οὖν οὐ πρόδηλον, ὡς εἰ καὶ κλῆμα γενοίμεθα, τῆς μὲν 2.549 πολυθέου πλάνης ἐξεσπασμένοι, ὁμολογήσαντες δὲ τὴν πίστιν τὴν εἰς Χριστὸν, ἔρημοι δὲ διὰ τῆς τῶν ἔργων κολλήσεως γενοίμεθα, πάντως δήπου τὰ τῶν εἰκαίων κλη μάτων ὑποστησόμεθα; καὶ τί τὸ λοιπόν; ἀποτεμνόμεθα γὰρ ὁλοκλήρως, δοθησόμεθα γὰρ καὶ πυρὶ, καὶ ἣν ἔσχομέν ποτε παρὰ τῆς ἀμπέλου ζωοποιὸν ἰκμάδα, τουτέστι τὸ Πνεῦμα, προσαποβαλόντες· ὃ γὰρ ἔφη Χριστὸς ἐπὶ τοῦ τὸ τάλαντον καταχώσαντος, τοῦτο δὴ θεωρήσαι τις ἂν πληρού μενον καὶ ἐπὶ τοῖς ὁλοκλήρως ὑπομείνασι τὴν ἀποτομήν. ἀφαιρεῖται γὰρ ὥσπερ ἐκείνου τὸ τάλαντον ἅμα, οὕτως οἶμαι καὶ ἐκ τοῦ κλήματος, ὡς ἐν ἰκμάδος τινὸς ἤτοι ποιότητος λόγῳ, τὸ Πνεῦμα. ἀφαιρεῖται δὲ διὰ ποίαν αἰτίαν; ἵνα μὴ τοῖς εἰς τὸ πῦρ κατοιχήσεσθαι μέλλουσι παρὰ τοῦ Κριτοῦ συγκαταδικάζεσθαι τὸ Πνεῦμα δοκῇ τὸ δεσποτικόν. εἰ γὰρ οἱ τῶν ἐπιγείων κρατοῦντες πραγμάτων τῶν ἅπαξ τετιμη μένων καὶ βασιλικοῖς δεδοξασμένων νεύμασιν, οὐ καθορί ζουσί τι προχείρως, ἀλλὰ καὶ εἴ τις ἁλοίη τυχὸν, ἐφ' οἷς ἂν εὐλόγως ἀποτιννύοι δίκας, οὐκ ἂν τοῦτο πάθοι πρὸ τῆς τῶν ἀξιωμάτων ἀποβολῆς· πῶς οὐκ ἀναγκαῖον, τὴν ἐπὶ τῷ χρῆναι κολάζεσθαι καταδικασθεῖσαν ψυχὴν διὰ ψήφου τῆς ἄνωθεν, προαποθέσθαι τρόπον τινὰ καὶ προαποδύσασθαι τῆς τῶν κακῶν πείρας τὴν τοῦ Πνεύματος χάριν; πείσεσθαι μὲν οὖν φησι τὰ τοιαῦτα τὸ ἄκαρπον κλῆμα, καλῶς γε δὴ σφόδρα τὰς ἡμετέρας διανοίας ἀσφαλιζόμενος εἰς τὸ ἔχεσθαι φιλεῖν τῆς εἰς αὐτὸν ἀγάπης, διά τε τῆς κατ' ἐνέργειαν ἀρετῆς καὶ τῆς ἀσινοῦς δηλονότι πίστεως· τῆς δὲ τοῦ γηπονοῦντος φροντίδος οὐκ ἀπείρατον ἔσεσθαι παντελῶς τὸ καρποφόρον κλῆμά φησι, διακαθαρθήσεσθαι γὰρ πρὸς τὸ καὶ μειζόνως δύνασθαι καρποφορεῖν. τοῖς γὰρ ὅλως ἄριστα μὲν καὶ ὡς ἂν ἔχοι καλῶς διαζῆν ἑλομένοις, ἀγαθουργεῖν δὲ ὅτι μάλιστα καὶ διὰ πάσης ἰέναι πολιτείας θεοφιλοῦς ᾑρημένοις, 2.550 συνεργάζεται Θεὸς, καθάπερ τινὶ δρεπάνῃ τῇ τοῦ Πνεύματος ἐνεργείᾳ χρώμενος, καὶ περιτέμνων ἐν αὐτοῖς, ποτὲ μὲν τὰς ἡδονὰς, αἳ ἀεὶ καλοῦσιν εἰς φιλοσαρκίαν καὶ πάθη σωμα τικὰ, ποτὲ δὲ αὖ πάλιν τὰ ὅσα περ οἶδε ταῖς τῶν ἀνθρώπων συμβαίνειν ψυχαῖς, διὰ ποικίλης κακῶν ἰδέας κατασπιλοῦντα τὸν νοῦν. ταύτην γὰρ εἶναί φαμεν τὴν ἀχειροποίητόν τε καὶ ἐν Πνεύματι νοουμένην περιτομὴν, περὶ ἧς ὁ Παῦλός φησί ποτε μέν "Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ "ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ "Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι οὐ γράμματι· "οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων ἀλλ' ἐκ τοῦ Θεοῦ·" ποτὲ δὲ πάλιν "Ἐν ᾧ καὶ πιστεύσαντες περιετμήθητε περιτομῇ "ἀχειροποιήτῳ." φάσκουσί τε πρὸς ταῦτά τισιν, ὡς εἴπερ τις γένοιτο διακάθαρσις τοῖς τῆς νοητῆς ἀμπέλου κλήμασιν, οὐκ ἂν οἶμαι δίχα πόνου συμβήσεται, ἀλγεῖ γὰρ τοσοῦτον, ὅσον τε καὶ ὅπως οἶδεν ἀλγεῖν τὸ ξύλον· ἀναλόγως οὖν ἄρα καὶ ἐπὶ τῶν ἁγίων ἡμᾶς νοῆσαι προσήκοι, συναινέσομέν τε καὶ συνεροῦμεν εὖ μάλα διεσκεμμένοι. παιδεύει γὰρ ἡμᾶς διὰ πόνου καὶ θλίψεως ὁ φιλάρετος ἡμῶν Θεός. καὶ γοῦν ὁ προφήτης ἡμῖν Ἡσαΐας φησίν "Ὅτι ἐκπλυνεῖ Κύριος τὸν "ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα "ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ πνεύ "ματι καύσεως·" καὶ αὐτὸς δὲ πρὸς τούτῳ ὁ θεσπέσιος Παῦλος "Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται "ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παιδεύει πατήρ·" καὶ μὴν καὶ αὐτὸς ὁ παντὸς ἐπέκεινα θαύματος τῶν ἁγίων χορὸς, τὴν διὰ τῶν ἁγίων πεφυκότων οὐκ ἀποσείεται παίδευσιν, ἀσμενέστατα δὲ μᾶλλον προσίεται λέγων "Παίδευσον ἡμᾶς "Κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους "ἡμᾶς ποιήσης." ἐν θυμῷ μὲν γὰρ ἡ ὁλόκληρος ἔσται τῶν ἀκάρπων κλημάτων ἀπότμησις, πέμπει γὰρ εἰς κόλασιν· ἐν 2.551 κρίσει δὲ μᾶλλον, τουτέστιν ἐν διασκέψει καὶ μέτρῳ, τῶν καρποφόρων ἡ διακάθαρσις, ὀλίγον ἔχουσα κομιδῇ τὸν πόνον εἰς καρποφορίας παροξυσμὸν καὶ εὐανθεστέρας ἀναδρομῆς τὴν ἐντεῦθεν πρόφασιν. καὶ γοῦν ἀποδεχόμενοι τοῦτο βοῶσί τινες "Κύριε, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν." σμικρο τάτη μὲν γὰρ ἡ τοῦ διακαθαίρεσθαι θλίψις, ἀλλὰ παιδείαν ἡμῖν παρέχουσα τὴν ἄνωθεν, μακαρίους ἀποφαίνει. καὶ παραληφθήσεται μάρτυς ὁ μακάριος Δαυεὶδ οὕτω βοῶν "Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε, καὶ ἐκ τοῦ "νόμου σου διδάξῃς αὐτὸν, τοῦ πραΰναι αὐτὸν ἀφ' ἡμερῶν "πονηρῶν." ἡμέραι γὰρ ὄντως ἀποφράδες καὶ πονηραὶ τοῖς ἀποτμηθεῖσιν ὁλοτελῶς καὶ εἰς κόλασιν τὴν διὰ πυρὸς κατοιχήσεσθαι μέλλουσιν, αἱ τῆς ἀδεκάστου κρίσεως, ἀλλὰ τότε τοῖς παιδευομένοις καταπραΰνει Θεός. τελοίη γὰρ ἂν ὁ τοιοῦτος οὐδαμῶς ἐν τοῖς ὑπὸ κρίσιν καὶ κόλασιν, ἐπείπερ οὐκ ἄκαρπον γέγονε κλῆμα. συμπαραζευγνύσθω τοιγαροῦν τῇ τῆς πίστεως ὁμολογίᾳ καὶ ἡ διὰ τῶν ἔργων θερμότης, καὶ συνθείτω τοῖς περὶ Θεοῦ λόγοις τὰ πράγματα. τότε γὰρ τότε συνεσόμεθα τῷ Χριστῷ, καὶ τῆς πρὸς αὐτὸν κοινωνίας τὴν δύναμιν ἀσφαλῆ τε καὶ βεβαίαν εὕροιμεν, τὸν ἐκ τῆς ἀποτομῆς διαφεύγοντες κίνδυνον. Εἴρηται δὲ ταῦτα νυνὶ παρ' ἡμῶν, ἐπείπερ ἐδόκει πνευμα τικῶς τῇ τῶν προκειμένων θεωρίᾳ προσβάλλειν· εἰκὸς δὲ δή τι καὶ ἕτερον ἐθέλειν ὑποδηλοῦν τὸν Κύριον διὰ τοῦ φάναι σαφῶς Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτὸ, καὶ πᾶν τὸ καρποφοροῦν καθαίρει αὐτὸ, ἵνα καρπὸν πλείονα φέρῃ. κλῆμα γὰρ οἶμαι τὸ τῇ τοῦ Πατρὸς ἀποτομίᾳ τῆς εἰς Χριστὸν κοινωνίας ἀπεσπασμένον, τὸν εἰς εὐκαρπίαν οὐκ ἐπιτήδειον τῶν Ἰουδαίων σημαίνει λαὸν, οἷς καὶ ἀξίνην ἐπενεχθήσεσθαί φησιν ὁ τρισμακάριος Ἰωάννης, πυρὶ παρα δοθήσεσθαι λέγων τὸ ἀποτεμνόμενον δένδρον· τὰ δὲ τελείας 2.552 μὲν οὐ δεδεημένα τομῆς, ἀπομένοντα δὲ ἐν τῇ ἀμπέλῳ, καὶ τῇ θείᾳ φροντίδι διακαθαίρεσθαι μέλλοντα, τούς τε ἐξ αὐτῶν πεπιστευκότας τῶν Ἰουδαίων, καὶ τοὺς ἐπ' ἐκείνοις ἐπιστρέφοντας ἐξ ἐθνῶν, οἷς μία μὲν ἡ κάθαρσις· ἐν Πνεύ ματι γὰρ τελεῖται τῷ Ἁγίῳ, κατὰ τὰς γραφάς· ἑτεροῖος γεμὴν καὶ παρηλλαγμένος ὁ τοῦ καθαίρεσθαι τρόπος. ἀποτέμνεται γὰρ τῶν ἐξ Ἰσραὴλ τὸ κατὰ νόμον ἔτι τὸν Μωυσαϊκὸν διαζῆν ἐθέλειν καὶ πολιτεύεσθαι, τῆς δὲ τῶν εἰδωλολατρούντων καρδίας παραιρεῖται τῆς ἀρχαίας ἀπάτης ὁ σκοπὸς, καὶ τῆς τῶν ἀσυνέτων ἐθῶν ἀκαθαρσίας ὁ συρφετὸς, ἵνα δύνωνται φέρειν τῆς θείας τε καὶ εὐαγγελικῆς παιδεύ σεως τὸν ἐδώδιμον ὥσπερ τῷ Θεῷ καὶ φίλον ὄντως καρπόν. ὅτι δὲ πάλιν ἡμῖν ἀληθὲς φαίνεται τὸ εἰρημένον, χαλεπὸν οὐδὲν πληροφορῆσαι ἐξ αὐτῶν τῶν θείων γραμμάτων. ἐπιστέλλει γὰρ ὁ θεσπέσιος Παῦλος τοῖς μὲν ἐξ Ἰουδαίων πεπιστευκόσιν, ὅτε τῶν εὐαγγελικῶν δογμάτων ὀλιγωρή σαντες, ὀπίσω πάλιν ᾤχοντο τὰς τοῦ νόμου τετιμηκότες σκιάς "Ἀπηλλοτριώθητε ἀπὸ Χριστοῦ οἵ τινες ἐν νόμῳ "δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε," καὶ πάλιν "Λέγω "γὰρ ὑμῖν ὅτι ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν "ὠφελήσει." εἰ δὲ τὸ βούλεσθαι δικαιοῦσθαι κατὰ τὸν νόμον ἀλλοτρίους αὐτοὺς ἀποφαίνει τοῦ Χριστοῦ, πῶς οὐχὶ πάντως ἀναμφίλογον, ὅτι τῆς κατὰ νόμον πολιτείας ἡ ἀπόθεσις τῆς εἰς Χριστὸν συναφείας προξενεῖ τὴν δύναμιν; περιτέμνεται τοίνυν οὕτω μὲν ὁ Ἰσραὴλ, διακαθαίρεται δὲ μᾶλλον καὶ ὁ ποτὲ τῇ κτίσει λατρεύσας παρὰ τὸν κτίσαντα, τὴν ἀρχαίαν νόσον ἀποβαλών. τί γὰρ πρὸς αὐτοὺς ὁ Παῦλός φησιν; "Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ "Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον "καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ·" αἰτιᾶται δὲ καί φησιν ἐν ἑτέροις "Νυνὶ δὲ γνόντες Θεὸν, μᾶλλον δὲ 2.553 "γνωσθέντες ὑπὸ Θεοῦ, πῶς πάλιν ἐπιστρέφετε ἐπὶ τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα τοῦ κόσμου, οἷς πάλιν ἄνωθεν "δουλεύειν θέλετε;" ὅτε τοίνυν οἱ τοῖς ἀσθενέσι στοιχείοις δουλεύειν θέλοντες ἀλλοτριοῦνται Χριστοῦ, συνενοῦνται γε μὴν οἱ δουλεύειν οὐκ ἀνεχόμενοι τῇ κτίσει παρὰ τὸν κτί σαντα, πῶς οὐκ ἔσται τῶν ὁμολογουμένων ὅτι τρόπος τοῖς ἐξ ἐθνῶν ὁ τῆς διακαθάρσεως ἔσται τῆς ἀρχαίας ἀπάτης διὰ τοῦ Πνεύματος ἐπωφελεστάτη τομὴ πᾶν εἶδος ἡμῖν ἀγαθῶν πολυτρόπως ἀντεισκομίζουσα. ἐν γὰρ τῇ τῶν φαύλων ἀπο θέσει καὶ ἀποβολῇ τὸ τῆς ἀρετῆς ἀντεισκρίνεται κάλλος. ὅπου γὰρ αἰσχρότης ἐκποδὼν, ἐκεῖ τὸ σεμνὸν ἀνίσχει καὶ φαίνεται. Σημειωτέον δὲ, ὅτι διὰ μὲν τοῦ Πνεύματος ἡ περιτομὴ, τὴν τῆς διακαθάρσεως ἀποπληροῦσα χρείαν ἐν ἡμῖν, χορη γὸς δὲ τοῦ Πνεύματος ὁ Υἱός "Ἀπὸ γὰρ τοῦ πληρώματος "αὐτοῦ πάντες ἡμεῖς ἐλάβομεν," κατὰ τὴν Ἰωάννου φωνὴν, καὶ αὐτός ἐστιν ὁ πρὸς ἡμᾶς εἰπών "Λάβετε Πνεῦμα " Αγιον." ἐνεργεῖ τοιγαροῦν τὴν εἰς ἡμᾶς ἀνακάθαρσιν, ὡς ἐν τρόπῳ τῆς διὰ τοῦ Πνεύματος νοουμένης περιτομῆς, ὁ Πατὴρ δι' Υἱοῦ. κεκένωται τοίνυν τὸ πικρὸν καὶ ἀνόσιον τῶν δι' ἐναντίας τόλμημα, μὴ καταδεισάντων εἰπεῖν, ὡς ἐπείπερ ἄμπελον μὲν ἑαυτὸν εἴρηκεν ὁ Υἱὸς, γεωργὸν δὲ τὸν Πατέρα καὶ Θεὸν, ὁ αὐτὸς οὐκ ἔσται κατὰ φύσιν αὐτῷ. λόγος γὰρ οὐδεὶς ἐπιτρέψει, φησὶ, ταὐτὸν εἰς οὐσίαν γεωργόν τε καὶ ἄμπελον νοεῖσθαί ποτε. ὅταν οὖν εὑρίσκηται γεωργὸς ὁ Υἱὸς διὰ τῆς ἐν Πνεύματι περιτομῆς, διακείσθωσαν ἤδη λοιπὸν, ὡς ἐπείπερ ἀλλήλοις ὁμοειδεῖς οἱ γεωργοὶ, καθὸ πεφύκασιν ἄνθρωποι, πρόδηλον ὅτι τῆς πρὸς τὸν Πατέρα καὶ Θεὸν ὁμοουσιότητος οὐκ ἀλλότριος ὁ Υἱός. 2.554 Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. Ἀπόδειξιν ὥσπερ διαφανῆ τε καὶ ἀναμφίλογον τῆς τοῦ διακαθαίροντος αὐτοὺς τέχνης ποιεῖται τοὺς μαθητάς. ἤδη γὰρ αὐτοὺς διακεκαθάρθαι φησὶν, οὐχ ἑτέρου τινὸς ἀπολαύ σαντας, μόνον δὲ διὰ τὸν πρὸς αὐτοὺς λαληθέντα λόγον, τουτέστι, τὴν θείαν τε καὶ εὐαγγελικὴν ὑφήγησιν. λόγος δὲ οὗτός ἐστι παρὰ Χριστοῦ. εἶτα τίς ἄρα ἐστὶ τῶν εὖ φρονούντων, ὃς ἐνδοιάσει λοιπὸν, ὅτι δρεπάνη τις ὥσπερ καὶ χεὶρ τοῦ Πατρὸς, ὁ δι' οὗ τὰ πάντα ἐστὶ, τουτέστιν ὁ Υἱὸς, τὴν τῆς εἰς ἡμᾶς γεωργίας ἐνέργειαν ἀποπληρῶν, ἣν τῷ τοῦ Πατρὸς προσάπτει προσώπῳ, διδάσκων ὅτι πάντα μὲν παρὰ Πατρὸς, πλὴν ὡς διὰ δυνάμεως τοῦ Υἱοῦ; καὶ γὰρ ὁ τοῦ Σωτῆρος ἡμᾶς διακαθαίρει λόγος, καίτοι τῆς καθ' ἡμᾶς γεωργίας ἀνατεθειμένης τῷ Θεῷ καὶ Πατρί. αὐτὸς γάρ ἐστιν ὁ ζῶν καὶ τομώτατος αὐτοῦ λόγος, ὁ "διικνούμενος ἄχρι "μερισμοῦ ψυχῆς καὶ πνεύματος ἁρμῶν τε καὶ μυελῶν, καὶ "κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας." καθικνούμενος γὰρ εἰς τὰ βάθη τῆς ἑκάστου ψυχῆς, καὶ τὸν ἐν ἑκάστῳ κεκρυμμένον σκοπὸν ἀκατακάλυπτον ἔχων ὡς Θεὸς, τοῖς μὲν εἰκαίοις ἡμῶν σπουδάσμασι τὴν ὀξεῖαν ἐπάγει τομὴν διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας· τοῦτο γὰρ οἶμαι νομιοῦμεν τὴν ἀποκάθαρσιν· τὰ δὲ ὅσα πέφυκεν ὠφελεῖν ἡμᾶς εἰς ἔφεσιν ἀρετῆς, ταῦτα πολυπλασιάζεσθαι ποιεῖ πρὸς καρποφορίαν, ᾗ νοεῖται κατ' εὐσέβειαν. Ὅτε τοίνυν δι' Υἱοῦ παρὰ Πατρὸς ἐνεργεῖται καλῶς τῆς εἰς ἡμᾶς γεωργίας ὁ τρόπος, μεματαίωται· πῶς γὰρ οὐχί; τὸ περιττὸν καὶ κακουργότατον τῶν δι' ἐναντίας ἐπιχείρημα, ἑτεροφυᾶ τὸν Υἱὸν διὰ τοῦτο λεγόντων ὑπάρχειν, ὡς πρὸς Πατέρα καὶ Θεὸν, ἐπειδήπερ ἄμπελος μὲν αὐτὸς, κατωνό μασται δὲ γεωργὸς ὁ Πατήρ. διασκεπτέσθω δὲ πάλιν, καὶ περιαθρείτω σαφῶς, ὅτι καθαροὺς εἶναι διορίζεται τοὺς αὐτοῦ 2.555 μαθητὰς, οὐχὶ ἰδικῶς τε καὶ ἀφωρισμένως, τουτέστι, δίχα τοῦ Μονογενοῦς, ἐνεργήσαντός τι περὶ αὐτοὺς τοῦ Θεοῦ καὶ Πατρός· ἀλλ' ἐπείπερ ἐπείθοντο τῷ παρ' αὐτοῦ λόγῳ. ὥσπερ οὖν ζωοποιός ἐστι δι' Υἱοῦ καὶ ἐν Υἱῷ, τὸν αὐτὸν οἶμαι τρόπον καὶ γεωργὸς, ἤτοι τῶν ἡμετέρων ψυχῶν ἐπι μελητὴς, εἰκότως ἂν νοοῖτο πάλιν οὐχ ἑτέρως ἢ δι' Υἱοῦ. εἰ δὲ τοῖς ἅπαξ οὐκ ὀρθῶς εἰρημένοις οἴονται δεῖν ἐπιμένειν οἱ τὸν ἐναντίον ἡμῖν πρεσβεύοντες λόγον, καὶ ἐπείπερ ἄμπελον ἑαυτὸν ἔφη Χριστὸς, διὰ τοῦτο, καθάπερ ἐξ ἀνάγκης, εἰς ἔκφυλον ἑτερότητα παρωθεῖν ἐκβιάζονται, τί τὸ κωλύον ἔτι καὶ ἡμᾶς αὐτοὺς διὰ τῆς ἴσης ἀναισχυντίας ἰέναι λοιπὸν, καὶ περιτρέπειν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔτι καὶ οὐχ ἑκόντας αὐτοὺς διὰ τῆς ἰσοτρόπου φλυαρίας, τῆς μειρακιώδους ταυτησὶ καὶ ἀνοήτου παντελῶς διαλήψεως ἀπανίστασθαι φιλεῖν; εἰ γὰρ ἐπείπερ ἄμπελος εἴρηται, διὰ ταύτην αὐτὸν οἴονται τὴν αἰτίαν τῆς πρὸς Θεὸν καὶ Πατέρα διαπίπτειν οἰκειότητος φυσικῆς, καὶ ἑτεροούσιον εἶναι παντελῶς, ἐπείπερ οὐ ταὐτὸν εἰς ταυτότητα φύσεως ἄμπελός τε καὶ γεωργὸς, τί μὴ καὶ ἡμεῖς, τὸν αὐτὸν ἐκείνοις ἀνθυποφέροντες ἀμαθῆ τε καὶ ἀκομψότατον λογισμὸν, ἐκεῖνό φαμεν Ἆρα μόνοις τοῖς κλήμασιν ἡ τῶν γηπονεῖν εἰωθότων ἐπιείκεια λυσιτελὴς ἂν γένοιτο, καὶ περὶ μόνα τυχὸν τὰ ἐκ τῶν στελέχων ἐξηρτη μένα τὸ ἐκ τῆς τέχνης προβήσεται χρήσιμον, ἢ δεήσεταί τινος ἐπιμελείας καὶ αὐτὴ τῶν κλημάτων ἡ τροφὸς, τουτ έστιν ἡ ἄμπελος, ᾗ προσπέφυκέ τε τὰ ἐξ αὐτῆς καὶ ἐνήρ μοσται φυσικῶς; ἀλλ' οὐδὲν οἶμαι δεήσει πρὸς ἀπόδειξιν πόνου· συνερεῖ γὰρ εὐθὺς ἡμῖν καὶ αὐτὸς ὁ δι' ἐναντίας, ὡς εἰ μή τις γένοιτο τῶν στελέχων ἡ φροντὶς, οὐδ' ἂν αὐτοῖς ἐνυπάρξαι τοῖς κλήμασι τὸ εἶναι καλῶς. ἐπειδὴ τοίνυν ἄμπελον μὲν ἑαυτὸν κατωνόμακεν ὁ Χριστὸς, δεῖται γεμὴν καὶ αὐτὸ τῆς ἀμπέλου τὸ στέλεχος τῆς τοῦ γηπονοῦντος ἐπιεικείας, ἢ πάντη τε καὶ πάντως ἀδικηθήσεται· λογισό 2.556 μεθα λοιπὸν ἐν τάξει μὲν εἶναι τῇ καθ' ἡμᾶς τὸν Υἱὸν, δεῖσθαι δὲ μεθ' ἡμῶν τῆς παρὰ Πατρὸς ἐπιμελείας, ἵνα μὴ καὶ αὐτὸς εἰς ἕτερόν τι παρ' ὅπερ ἐστὶ περιτρέπηται, καὶ διαπίπτῃ τῆς οἰκείας τάξεως, ἤτοι τῆς ἑνούσης ἑδραιότητος αὐτῷ. συνάγει γὰρ εἰς τοῦτο λοιπὸν τῶν θεομαχεῖν εἰω θότων ἡ μειρακιώδης ἔνστασις. Ἀλλ' οἰχέσθω μὲν ταῦτα, πολλὴν νοσοῦντα τὴν ἀβουλίαν, εἰσίτω γεμὴν περὶ τῶν ἁγίων ἀποστόλων ἡμῖν ὁ λόγος. ἤδη γάρ φησιν ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. ὅμοιον ὡσεὶ λέγοι Πέπρακται παρὰ Πατρὸς διὰ τὸν ἐμὸν λόγον ἐπὶ πρώτους ὑμᾶς ὁ τῆς νοητῆς καὶ διὰ Πνεύματος καὶ ἐν Πνεύματι νοουμένης διακαθάρσεως τρόπος· ἰδοὺ τῶν εἰκαίων ἐθῶν καὶ νεκρότητος κοσμικῆς ἀποβαλόντες τὴν ὄχλησιν, ἕτοιμοι πρὸς καρποφορίαν ἐστὲ τὴν θεοφιλῆ· ἰδοὺ νομικῆς ἀπηλλάχθητε καὶ ἀνονήτου καὶ εἰκαιοτάτης τῶν Ἰουδαίων ἐπιτηρήσεως. ἐξεκάθαρε λόγος ὑμᾶς ὁ ἐμός· οὐ γὰρ ἔτι πολιτεύεσθε Μωυσαϊκῶς, ἤτοι κατὰ τὸν τοῦ νομικοῦ γράμματος τρόπον· οὔτε γὰρ ἐν βρώμασι καὶ πόμασιν, οὔτε μὴν ἐν διδαχαῖς βαπτισμῶν, ἀλλ' οὐδὲ ταῖς δι' αἱμάτων προσαγωγαῖς ἐκζητήσετε τὸν ἁγιασμὸν, ἀλλ' ἐν πίστει βεβαίᾳ πληροῦσθαι πιστεύετε, καὶ διὰ πάσης ἀγαθουργίας εὐαρεστεῖν τῷ Θεῷ σπουδάζετε. θεωρεῖται γὰρ ἐν τούτοις τῆς πνευματικῆς λατρείας ἡ δύναμις. οἱ τοίνυν ἀποκαθαρ θήσεσθαι μέλλοντες ἔσονται, φησὶ, καθ' ὑμᾶς· παιδευθή σονται γὰρ οἱ μὲν ἄρτι τῆς τοῦ διαβόλου σαγήνης ἐκδιδρά σκοντες, καὶ τοὺς τῆς εἰδωλολατρείας διαδράντες βρόχους, οὐκέτι μὲν τοῖς ἐκείνου πολιτεύεσθαι νόμοις, ἀποτιναξάμενοι δὲ καθάπερ εἰκαῖον συρφετὸν, τὴν τῶν ἀρχαίων ἐθῶν ἀκα θαρσίαν, οὕτω τε λοιπὸν ἐπιτήδειοι πρὸς τὸ δύνασθαι καρποφορεῖν τὰ τῆς θεοφιλοῦς ἀρετῆς ἔργα διὰ τῆς θείας ἀποδειχθέντες χάριτος, κλημάτων δίκην ἐμοὶ προσαφθή 2.557 σονται, καὶ ἀγάπης τῆς εἰς ἐμὲ ἐξηρτημένοι πιανθήσονται τὴν καρδίαν ταῖς τοῦ Πνεύματος ἐπιῤῥοίαις, καὶ τὴν τῆς ἐμῆς ἀγαθότητος ἐκπίνοντες χάριν διαζήσονται, καὶ τραφή σονται πρὸς εὐσέβειαν· οἱ δὲ μὴν ἐξ Ἰσραὴλ, ὅταν τῇ πίστει προσηλωθεῖεν ἐμοὶ, κλημάτων δὲ καὶ αὐτοὶ παραρτη θεῖεν δίκην, τότε δὴ τότε τὴν διὰ τὸν ἐμὸν λόγον διακάθαρσιν εἰς νοῦν δεξάμενοι, οὐκέτι μὲν τῇ τοῦ γράμματος προσεδρείᾳ σχολάζουσιν, οὐδὲ τοῖς ἐν σκιᾷ προσπήξαντες τύποις, καθά περ νυνὶ, τὴν καρδίαν, τὴν ἀληθῆ καὶ ἐν πνεύματι λατρείαν καρποφοροῦσι τῷ Θεῷ· "Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τοὺς "προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσ "κυνεῖν." ὁμοῦ τοιγαροῦν καὶ τῶν μελλόντων διακαθαρθή σεσθαι σαφῶς δεικνύει τὸ ἐσόμενον κάλλος ὡς ἐν ὑπο δείγματι τοῖς ἑαυτοῦ μαθηταῖς, καὶ αὐτοὺς δὲ μειζόνως παραθαρσύνει πρὸς ἀνάληψιν τῆς ἔτι πλουσιωτέρας ἀρετῆς, οὐκ εἰκαίαν αὐτοῖς γεγενῆσθαι τὴν προσεδρείαν καὶ τὴν ἐκ τῆς γεγενημένης διδασκαλίας ἀποδείξας παίδευσιν, εὐαγγε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λικῆς δὲ δηλονότι φαμὲν, δι' ἧς ἔμελλον αὐτοὶ τοὺς κατὰ πᾶσαν ὄντας ὀνήσειν τὴν οἰκουμένην, ἑαυτοὺς εἰς ὑποτύπωσιν τοῖς εἰς Χριστὸν πιστεύουσι παρεχόμενοι. γέγραπται γὰρ περὶ τῶν ἁγίων, ὡς προσήκει μὲν αὐτῶν ἀναθεωρεῖν "τὴν "ἔκβασιν τῆς ἀναστροφῆς," καὶ αὐτὴν δὲ μιμεῖσθαι τὴν πίστιν. ἑαυτοῦ δὲ γίνεσθαι μιμητὰς τοὺς τῷ Θεῷ λατρεύ οντας προτρέπει καὶ ὁ Παῦλος. Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆμα οὐ δύναται φέρειν καρπὸν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Εἰσόμεθα πάλιν καὶ διὰ τῆς ἐν τοῖς προκειμένοις ἀκρι βοῦς θεωρίας, ὡς ἄρα ἐστὶ πρῶτον μὲν ἔργον σπουδῆς ἀναγκαίας καὶ θεοφιλοῦς, τὸ εἰσδεχθῆναι διὰ τῆς πίστεως 2.558 τῆς εἰλικρινοῦς τε καὶ ἀληθοῦς παρὰ Χριστοῦ. τουτὶ γὰρ ἂν εἴη τὸ ἀριθμεῖσθαι λοιπὸν ἐν κλήμασι τοῖς τῇ ἀμπέλῳ προσπεφυκόσι τῇ ἀληθινῇ, φημὶ δὴ Χριστῷ. δευτέρας δὲ οἶμαι φροντίδος καρπὸς, κατ' οὐδένα τρόπον τῆς πρώτης μειονεκτούμενος, μᾶλλον δὲ καὶ συντονωτέραν ἔχων ἐφ' ἑαυτῷ τὴν μέριμναν, τὸ ἐνηρμόσθαι φιλεῖν καὶ ἀπρὶξ ἔχεσθαι τοῦ Θεοῦ, διὰ τῆς ἐν ἔργοις νοουμένης ἀγάπης, ἣ καὶ τῆς ἁγίας τε καὶ θείας ἐντολῆς τὴν πλήρωσιν ἔχει. τοῦτο γὰρ ἡμᾶς ἀδιασπάστως ἐνυπάρχειν αὐτῷ καὶ ἐμπε πῆχθαι ποιεῖ, κατὰ τὸν λέγοντα ψαλμῳδόν "Ἐκολλήθη ἡ "ψυχή μου ὀπίσω σου." οὐκ ἀρκέσει τοιγαροῦν πρὸς ὁλό κληρον ἡμῖν θυμηδίαν, ἤτοι πρὸς ἁγιασμὸν, τὸν ὡς ἐπὶ ἐκθέσει τοῦ ἁγιάζοντος ἡμᾶς Χριστοῦ, τὸ εἰσδεχθῆναι μὲν ὡς ἐν τάξει κλημάτων· χρῆναι δὲ πρὸς τούτῳ φημὶ, καὶ τὸ διὰ τῆς τελείας τε καὶ ἀνελλιποῦς ἀγάπης γνησίως ἀκολου θεῖν. ἐν γὰρ δὴ τούτῳ μάλιστα καλῶς ἂν ἔχοι καὶ σώζοιτο τῆς ἐν Πνεύματι κολλήσεως νοουμένης ἤτοι συναφείας ἡ δύναμις. ἐπειδὴ τοίνυν ἔφη Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς " Ηδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα "ὑμῖν·" ἵνα μή τις οἰηθείη ποτὲ τῶν ἅπαξ κεκαθαρμένων ἀδιαπτώτως ἔχειν δύνασθαι, καὶ εἰ μή τινα τυχὸν εἰς τὸ εὖ εἶναι ποιοῖτο σπουδὴν, προσεπιτάττει χρησίμως, ὅτι προσ ήκοι μένειν ἐν αὐτῷ. καὶ τί τοῦτο ἔσται; ἕτερον οὐδὲν, ὥς γε μοι φαίνεται, μᾶλλον δὲ ἐναργῶς τὸ διὰ τοῦ Παύλου καλῶς εἰρημένον "Ὥστε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ "πέσῃ·" μυρία γὰρ ἂν καὶ τοῖς ἤδη βεβαίως δοκοῦσιν ἑστάναι συναντῆσαι τὰ ὀλισθήματα, μὴ οὐχὶ διεδράσθαι καλῶς ἐν οἷσπερ ἂν εἶεν διὰ πολλῆς ἄγαν ποιουμένοις σπουδῆς. δεῖ δὲ οἶμαι καὶ πάσης ἡμᾶς ἀξιοῦν ἐπιεικείας καὶ νήψεως τὰ καθ' ἑαυτοὺς, κἂν ἐρηρεῖσθαί πως δοκῇ τις, δι' ἐπίδοσιν τὴν ἤδη προηνυσμένην εἰς κατόρθωσιν ἀγαθῶν. 2.559 ὁποίαν γάρ τις καὶ ὅσην ὑπομένει τὴν ζημίαν, τῆς πρὸς Θεὸν συμφυΐας ἀποκεκομμένος ὥσπερ διὰ τοῦ ἐφ' ἃ μὴ προσῆκεν ἐκ ῥαθυμίας παρολισθεῖν, παρέδειξεν ἀναγκαίως ἐπειπών Καθὼς τὸ κλῆμα οὐ δύναται φέρειν καρπὸν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε· εἰ γὰρ μὴ ἔχοι τὸ κλῆμα καθάπερ ἀπὸ μητρὸς τῆς ἀμπέλου τὴν ζωοποιὸν αὐτῷ χορηγουμένην ἰκμάδα, πῶς ἂν ἀποτέκοι τὸν βότρυν, ἢ τίνα καὶ πόθεν ἐξοίσει καρπόν; ἀναλόγως οὖν ἄρα καὶ ἐφ' ἡμῶν αὐτῶν νοήσεις τὸ εἰρη μένον. καρπὸς γὰρ οὐδεὶς ἐν ἡμῖν ἀρετῆς ἀναβλαστήσει ποτὲ τῆς εἰς Χριστὸν συναφείας ἐκπεπτωκόσιν. ἐξηρτη μένοις γεμὴν τοῦ καταπιαίνειν ἰσχύοντος καὶ ἀποτρέφοντος εἰς εὐσέβειαν, καθάπερ ὕδατι ζωοποιῷ, τῇ τοῦ Πνεύματος χορηγίᾳ καὶ χάριτι, καὶ τὸ δύνασθαι καρποφορεῖν προσέσται ῥᾳδίως. καὶ τοῦτο εἰδὼς ὁ Μονογενὴς, ἐν εὐαγγελίοις ἔλεγεν "Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω·" ὃ καὶ σφόδρα καλῶς διερμηνεύων ἡμῖν ὁ πνευματοφόρος Εὐαγγελιστὴς, διεμαρτύρατο λέγων "Τοῦτο δὲ εἶπε, φησὶ, περὶ τοῦ Πνεύ "ματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν." καὶ αὐτὸς δὲ πρὸς τούτῳ προσηύχετο λέγων ὁ μακάριος Δαυεὶδ ὡς πρὸς Θεὸν καὶ Πατέρα "Ὅτι παρὰ σοὶ πηγὴ "ζωῆς, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς ποτιεῖς αὐτούς." πηγὴ γὰρ ζωῆς θείας καὶ πνευματικῆς, χείμαῤῥός τε τρυφῆς, τίς ἂν ἕτερος νοοῖτο παρὰ τὸν Υἱὸν, ὃς καταπιαίνει τε καὶ καταρδεύει τῇ ζωοποιῷ καὶ ἱλαρᾷ τοῦ Πνεύματος χάριτι, καθάπερ ἐν τάξει κλημάτων προσπεφυκότων αὐτῷ δι' ἀγά πης καὶ πίστεως, τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμετέρας ψυχάς. 2.560 Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. Ἀναφανδὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ταύτης τοι καὶ μόνης ἕνεκα τῆς αἰτίας, ἄμπελον μὲν ἑαυτὸν κατωνο μάσθαι φησὶν, ὑπὲρ τοῦ συνιέναι σαφῶς, μόνον δὲ οὐχὶ καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς κατιδεῖν, ὡς ἐν παχεῖ τε καὶ αἰσθητῷ καὶ φανοτάτῳ λίαν παραδείγματι, ὡς τοῖς μὲν αὐτῷ προσηλῶσθαι σπουδάζουσι καὶ ἀπρὶξ ἑλομένοις προσπεφυ κέναι, περιέσται καλῶς τὸ δύνασθαί τε καὶ ἐπιτηδείως ἔχειν πρὸς τὴν τῆς ἀρετῆς ἀποκύησιν καὶ καρποφορίας πνευμα τικῆς, χορηγουμένους δηλονότι, καθάπερ ἐκ μητρὸς τῆς ἀμπέλου, τὴν ἐξ αὐτῆς δύναμιν εἰς τὸ δύνασθαι καὶ ἐνεργεῖν· τοῖς γεμὴν ἀποσπωμένοις ὥσπερ, ἤτοι διακεκομμένοις, τῆς εἰς αὐτὸν σχέσεως διὰ τοῦ .... τραπῆναι .... πρὸς ἃ μὴ δεῖν καὶ εἰς ἀπῳδὸν τῷ Θεῷ πολιτείαν, οὐδεμία μὲν δύναμις ἐποφθήσεται τῆς εἰς ἀρετὴν ἐπιτηδειότητος, ἀλλ' οὐδὲ τοῦ δύνασθαι τοῖς ἐκ τῆς ἀγαθουργίας διαπρέπειν καρποῖς, ἔσται δὲ μᾶλλον, ὡς ἐξ ἀνάγκης ἀπαραιτήτου λοιπὸν, τὸ χρῆναι παμφάγῳ δαπανᾶσθαι πυρί. τὸ γὰρ ἄχρηστον εἰς εὐσέβειαν, ἐπιτήδειόν πως εἰς τὸ δίκας ἀποτιννύειν δοκεῖ, ὥσπερ οὖν ἀμέλει καὶ τὸ αὐανθὲν ἐν κλήμασι μόνῳ χρήσιμον ἔσται πυρί. Λάβοις δ' ἂν τῶν εἰρημένων ἀναμφίλογόν τε καὶ ἀληθῆ τὴν ἀπόδειξιν, οὐ τὰς τῶν ἀρχαίων ἁγίων περισκοπούμενος κεφαλὰς, ἀλλ' αὐτοῖς ἐπαφεὶς τὴν διάνοιαν τοῖς ἁγίοις ἀπο στόλοις. οἱ μὲν γὰρ τῆς εἰς Χριστὸν ἀγάπης κατ' οὐδένα 2.561 τρόπον ὀλιγωρήσαντες, διαμεμενηκότες δὲ ἐν αὐτῷ, καὶ μηδὲν ὅλως προτάττεσθαι τῆς εἰς αὐτὸν εὐσεβείας οἰόμενοι δεῖν, γεγόνασι παναοίδιμοι· καρπὸν δὲ τῆς ἑαυτῶν ἀρετῆς ἔδειξαν τὴν οἰκουμένην, καὶ φιλοθέου πολιτείας ὑπογραμμὸν τὰ καθ' ἑαυτοὺς ἀναθέντες, καθάπερ εἰκόνα τῇ ὑφηλίῳ λαμ πρὰν, τὸν ἀμάραντον τῆς παρὰ Θεῷ δόξης ἀνεδήσαντο στέφανον· ὁ δὲ μικροῖς ἀργυρίοις σαγηνευθεὶς εἰς ἀπώλειαν, φημὶ δὲ τὸν εὐχερῆ τε καὶ εὐωνότατον Ἰούδαν, ἀποτμηθεὶς τῆς ἀμπέλου τῆς νοητῆς, τουτέστι Χριστοῦ, κατεξηράνθη τρόπον τινὰ, τῷ τῆς μαθητείας ἀξιώματι καὶ τὴν ζωοποιὸν τοῦ Πνεύματος ποιότητα συναποβαλών. βέβληται γὰρ ἔξω, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· ἀπηλλοτρίωται γὰρ καὶ πυρὶ τῷ κολάζοντι συρφετοῦ παρεδόθη δίκην. χρησίμως οὖν ἄρα τοῖς ἀκροωμένοις ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, τήν τε ἐκ τοῦ προσηλῶσθαι σπουδάζειν αὐτῷ παρέδειξεν εὐθυμίαν καὶ τὴν ἐκ τοῦ παρακοπῆναι ζημίαν ἀντιπαρίστησι, διπλοῦν ἐπινοήσας τῆς σωτηρίας τὸν τρόπον· ἢ γὰρ ἐφέσει τῇ πρὸς δόξαν ὁρώσῃ καὶ ζωὴν, ἤγουν τὸ πυρὶ κολάζεσθαι παραιτού μενοι, τῆς πρὸς αὐτὸν συναφείας ὁλοκλήρῳ τῷ τῆς διανοίας τόνῳ σπουδαιότερον ἀνεξόμεθα. Γεωργὸν δέ φησι τὸν Πατέρα, τῇ θείᾳ φύσει διδοὺς τῶν καθ' ἡμᾶς τὴν ἐπίσκεψιν, καθὰ καὶ ἐν τοῖς ἀνωτέρω διὰ πολλῶν ἡμῖν ἀπεδείχθη λόγων. εὑρεθήσεται γὰρ ὑπάρχων αὐτὸς τοῦ γεωργοῦντος ἡ χεὶρ οὐχ ἑτέρα παρ' αὐτὸν νοου μένη, κατά γε τὸ ὁμοούσιον καὶ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ, καθάπερ οὖν ἐστι καὶ ἐφ' ἡμῶν οὕτως ἔχον ἰδεῖν. ὅτι γὰρ δι' Υἱοῦ τὰ πάντα, καθάπερ διὰ χειρὸς τοῦ Πατρὸς, αὐτοῦ λέγοντος ἄκουσον περὶ τῶν κτισμάτων "Ἡ χείρ μου ἐποίησε "ταῦτα πάντα," καίτοι τῶν πάντων γεγονότων δι' Υἱοῦ, κατὰ τὰς ἁγίας γραφάς. Σημειωτέον δὲ, ὅτι καὶ ὁ θεσπέσιος Παῦλος τὴν ἐνθάδε 2.562 νοουμένην ἡμῖν ὑπαινίττεται τομὴν, εἰ καὶ μὴ ὡς ἀμπέλου τυχὸν, οὕτω λέγων "Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν "Θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομὴν, ἐπὶ δὲ σὲ χρηστό "τητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκο "πήσῃ." Ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. Ῥίζαν ἔσεσθαί φησιν εὐμενείας αὐτοῖς τῆς ἀνωτάτω, τὸ προσκολλᾶσθαι φιλεῖν ἀδιατμήτως αὐτῷ, καὶ φυλάττειν ἐν νῷ, καθάπερ τινὰ παρακαταθήκην θείαν τε καὶ πνευματικὴν, τὴν ἀκραιφνεστάτην τῶν εὐαγγελικῶν παιδευμάτων, καὶ τῶν ἐπὶ τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πίστει δογμάτων τὴν ἀληθῆ τε ὄντως παίδευσιν, καὶ εἰλικρινέσιν ἐννοίαις κατωχυρωμένην. ἐν γὰρ δὴ τούτοις ἡμῖν σύμπας ἂν εἴη τοῦ Σωτῆρος ὁ λόγος, εἰ τὸν ἐν τοῖς εὐαγγελίοις περιαθρῆσαι σκοπὸν θελήσομεν. τὸ γὰρ τοῖς αἰτοῦσιν ἀμελλητὶ διανέμειν τὰ ἀγαθὰ κατεπαγγέλλεσθαι τὸν Χριστὸν, πῶς οὐχὶ τοῦτο καὶ μάλα σαφῶς ἐγγυᾶσθαι φήσομεν; τί δὲ δὴ βούλεται πρὸς τούτοις ἡμῖν καὶ τοῦ λόγου τὸ ἀκριβὲς, ἐρευνῆσαι δεῖν ὑπολαμβάνω. ἐὰν μείνητέ φησιν ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλετε αἰτήσετε καὶ γενήσεται ὑμῖν. ἐφικτὸν γὰρ ὅλως δοίη τις ἂν τὸ μένειν ἐν Χριστῷ δύνασθαι, μὴ μὴν ἔχειν ἐν ἑαυτῷ καὶ τοὺς αὐτοῦ λόγους; ναὶ δὴ, φαῖεν γὰρ ἂν εἰκότως οἱ φρονήσει διαπρεπέστεροι. διαμεμνήσθω γὰρ ὁ φιλήκοος, ὅτι τὸν τῆς εἰς Χριστὸν ἀγάπης διερευνώμενοι τρόπον, τίς τε εἴη καὶ ὅπως ἂν γένοιτο καλῶς δοκιμάζοντες, διττὴν ἐλέγομεν ἔχειν ὁδὸν, φημὶ δὲ τὴν διὰ πίστεως, τῆς κατά τι γοῦν ἀνυπαιτίου παντελῶς, καὶ τῆς κατ' ἐνέργειαν πρακτικῆς, ἣ καὶ διὰ τῆς εἰλικρινοῦς ἀγάπης παρεισκρίνεται. ἔχειν δὲ οὕτως ἡμῖν 2.563 πεπιστευμένων τῶν λόγων, οἱ μὲν οὐ λίαν ἀσφαλῆ καὶ εὐκάθεκτον τὸν τῆς συναφείας ἤτοι τῆς οἰκειότητος ἐπιτη δεύοντες τρόπον, ψιλὴν τὴν ἐν λόγοις ὁμολογήσαντες πίστιν, τὴν γεμὴν διὰ τῶν κατορθωμάτων εἰς τελειότητα μορφου μένην ἀγάπην οὐκ ἐπιδεξάμενοι, μένουσι μὲν ἐν Χριστῷ, κατά γε τὴν ἐκ τοῦ πιστεῦσαι τυχὸν οἰκειότητα, καὶ διὰ τοῦ μὴ πρὸς ἑτέραν ἐξοίχεσθαι λατρείαν· οὐκέτι δὲ καὶ τοὺς λόγους ἔχοντες ἐν ἑαυτοῖς καταληφθήσονται τοῦ Χριστοῦ. καὶ οὐχὶ δὴ τοῦτο πάντως φαμὲν, ὅτι λήθῃ καταχώσαντες τῶν εὐαγγελίων τὸ κήρυγμα, παντελῶς εἰσι τῶν τοῦ Σω τῆρος λόγων ἀμνήμονες, ἀλλ' ὅτι μηδενὸς ἀξιοῦσι λόγου τὴν ἐν Χριστῷ πολιτείαν, ταῖς ἰδίαις τὸ πᾶν ἐπιτρέποντες ἡδο ναῖς, καὶ πρὸς τὸ μόνα φρονεῖν τὰ ἐπὶ τῆς γῆς ἀχάλινον ἔχοντες τὴν ῥοπὴν, διά τε τοῦτο τῆς νοητῆς καὶ ἁγίας ἀμπέλου κατασπώμενοι, καὶ αὐτοὶ ταῖς σφῶν αὐτῶν φιλο παθείαις τὴν τῆς οἰκειότητος ἀπολακτίζοντες χάριν. παντὸς δὲ τοιούτου πέρι καὶ αὐτὸς ἔφη Χριστός "Οὐ πᾶς ὁ λέγων "μοι Κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν "οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν "τοῖς οὐρανοῖς·" ὅτι δὲ μόνη καὶ καθ' ἑαυτὴν ἡ πίστις τῆς ἐκ τῶν ἔργων φαιδρότητος οὐ λαχοῦσα τὴν συνδρομὴν, ἀπο χρώντως οὐχ ἕξει εἰς τὸ δύνασθαι προξενεῖν τὴν εἰς Θεὸν οἰκειότητα, σημαίνει λέγων καὶ ὁ Χριστοῦ μαθητής "Σὺ "πιστεύεις ὅτι εἷς ὁ Θεός· καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ "φρίττουσιν." εἶτα προσερεῖ τις ἤδη τοῖς ἀρκέσειν αὐτοῖς γυμνήν τε καὶ μόνην οἰομένοις τὴν πίστιν εἰς τὸ δύνασθαι τὴν ἄνωθεν οἰκειότητα περιποιεῖν Ἆρα καὶ αὐτὸ τῶν δαι μόνων τὸ στῖφος ἀναδραμεῖται πρὸς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν, ἐπείπερ οἶδεν ἕνα τε καὶ ὄντα πεπίστευκε; καὶ πῶς ἂν εἴη τοῦτό γε; τὸ γὰρ εἰδέναι μόνον ἀχρεῖον, ὅτι Θεός ἐστιν εἷς ὁ πάντων ποιητής τε καὶ γενεσιουργός· δεῖν δὲ οἶμαι τῇ πίστει συμπαρομαρτεῖν καὶ τῆς εἰς αὐτὸν εὐλαβείας τὸ 2.564 καύχημα. ὁ γὰρ τοιοῦτος καὶ ἐν Χριστῷ μένει, καὶ ἔχων ὀφθήσεται τοὺς λόγους αὐτοῦ, κατὰ τὸ ἐν βίβλῳ ψαλμῶν εἰρημένον ὡς πρὸς Θεόν "Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ "λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι." ὥσπερ γὰρ εἴ τις ἐν ἄγγει χαλκῷ πυρὸς ἀπόθοιτο σπέρμα, πάντως δήπου καὶ τῆς παρ' αὐτοῦ θερμότητος ἀποτελέσει μέτοχον, οὕτως ὁ ἐν ψυχῇ τε καὶ καρδίᾳ τὸν θεῖόν τε καὶ οὐράνιον λόγον δια κατέχων νοῦς, δι' ἐφέσεως τῆς εἰς ἅπασαν ἀρετὴν, ἀεὶ πρὸς τοῦτο δι' αὐτοῦ θερμαίνεται. γέγραπται γάρ "Πεπυρωμένον "τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν "αὐτό." Ὁ τοίνυν, φησὶ, καταστήσας ἐν τούτοις τὰ καθ' ἑαυτὸν, καὶ εἰς τοῦτο λοιπὸν καυχήματος ἀναβεβηκὼς, ὡς ἐν ἐμοί τε μένειν αὐτὸν, ἔχειν τε παρ' ἑαυτῷ τοὺς ἐμοὺς λόγους, ἀνυπο στόλως προσίτω, καὶ ὅπερ ἂν ἔχῃ πρὸς ἡδονὴν ἐξαιτείτω τότε σὺν παῤῥησίᾳ πολλῇ, καὶ μελλησμοῦ δίχα δοθήσεται αὐτῷ· κατανεύσω γάρ φησιν. ἆρ' οὖν εἴ τις κἄν τι τῶν φαύλων αἰτῇ, προαλέστερον λήψεται, καὶ τούτων ἔσται διανομεὺς ὁ φιλάρετος; ἄπαγε τῆς δυσβουλίας ἄνθρωπε. ἀπηχὲς γὰρ οὐδὲν ἢ τῶν ὅλως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατηγορουμένων ἐπ' αἰσχρό τητι χορηγήσει Θεός· ἐκεῖνο δὲ μᾶλλον ἐννοῆσαι πρεπωδέ στερον· ἢ γὰρ οὐκ ἔσται δίκαιόν τε καὶ ὀρθῶς ἔχον; ὡς ὁ μένων ἐν Χριστῷ, καὶ ἔχων ἐν ἑαυτῷ τοὺς λόγους αὐτοῦ, πρόδηλον ὅτι ἅτε καὶ ἀγαθὸς ὢν καὶ ἐπιεικὴς μόνα φρο νεῖν ἔγνωκε τὰ Θεῷ θυμηρέστατα. τοῖς γὰρ ἐν καρδίᾳ τὸν θεῖον ἔχουσι λόγον, ἅπερ ἂν βούλοιντο καθηκόντως ἐπέ τρεψεν αἰτεῖν, οὐκ ἀγνοήσας πνευματικῶν δηλονότι καὶ θείων ἀγαθῶν ὀρεκτιᾶν τῆς μεθέξεως· ὁρισαμένου δὲ διὰ τούτων εὖ μάλα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τίς τε εἴη καὶ 2.565 ποδαπὸς τὸν τρόπον ὁ προσευχόμενος καὶ λαμβάνειν ἀξιῶν ἅπερ ἂν βούληται παρὰ Θεοῦ, τὴν ἑαυτῶν εἰς τοῦτο διαπλάτ τωμεν πολιτείαν, εἰ τυχεῖν εὐχόμεθα τῆς ἄνωθεν εὐμενείας. εἰ δὲ μὴ σαυτὸν οἶσθα γεγονότα τοιοῦτον, ὁποῖον ἡμῖν ἀρτίως ὑπέδειξεν ὁ Χριστὸς, μὴ δυσφόρει παρακρουόμενος. εἰ δέ σοι δοκεῖ τὸ πρᾶγμα φορτικὸν, συμπαραζεύξας τῇ πίστει τὰ ἐκ τῆς ἀγαθουργίας καυχήματα· τοῦτο γάρ ἐστι τὸ μένειν ἐν Χριστῷ καὶ ἔχειν ἐν ἑαυτῷ τοὺς λόγους αὐτοῦ· πρόσιθι πεποιθὼς, καὶ λήψῃ καὶ αὐτὸς μελλησμοῦ δίχα παντὸς, ὅπερ ἂν αἰτήσῃς παρὰ Θεοῦ. Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γενήσεσθε ἐμοὶ μαθηταί. Δεδοξάσθαι φησὶ τὸν ἑαυτοῦ Πατέρα καὶ Θεὸν, ἐπ' ἀσυγ κρίτῳ δικαίως θαυμαζόμενον ἀγαθότητι, καὶ τῆς εἰς ἄκρον ἰούσης ἡμερότητος καθάπερ τινὰ στέφανον ἀναδησάμενον τὴν ἀπόδειξιν· "Ἠγάπησε γὰρ οὕτω τὸν κόσμον," κατὰ τὸ γεγραμμένον, "ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ ἔδωκεν, "ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ' ἔχῃ ζωὴν "αἰώνιον." καρπὸς οὖν ἄρα τῆς ἡμερότητος τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ πάντων ζωὴ, πληρουμένη δηλονότι διὰ Χριστοῦ. διὰ τοῦτο καὶ αὐτὸς ἔφη που, διαλεγόμενος ὡς πρὸς Θεὸν καὶ Πατέρα "Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς τὸ ἔργον τελει "ώσας ὃ δέδωκάς μοι ἵνα πληρώσω αὐτό." ἐγχειρισάμενος γὰρ παρὰ τοῦ Πατρὸς ὥσπερ τὴν ἁπάντων ἡμῶν σωτηρίαν ὁ Μονογενὴς, εὖ μάλα κατώρθωκεν, οὐκ ἐν ὑπουργίας τάξει παραληφθεὶς, ἀλλ' αὐτοσοφία καὶ δύναμις τοῦ φύσαντος ὑπάρχων, ἧς καὶ δίχα γένοιτο τὸ παράπαν οὐδέν. πάντα γὰρ δι' αὐτοῦ, κατὰ τὸν ἅγιον Εὐαγγελιστὴν, ἐξαιρέτως δὲ τὰ καθ' ἡμᾶς. καὶ γοῦν ὁ μακάριος Δαυεὶδ τῶν καθ' ἡμᾶς πραγμάτων τὴν οἰκονομίαν, καὶ τῆς ἁπάντων ζωῆς τὴν 2.566 κατόρθωσιν ἐπιτρέπεσθαι τῷ Υἱῷ παρὰ Πατρὸς, ἅτε δὴ καὶ ὑπάρχοντι δυνάμει καὶ σοφίᾳ αὐτοῦ, παρακαλεῖ λέγων, ποτὲ μέν "Ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σου, δυνάμωσον ὁ Θεὸς "τοῦτο ὃ κατηρτίσω ἡμῖν," ποτὲ δὲ πάλιν "Ὁ Θεὸς τὸ "κρῖμα σου τῷ βασιλεῖ δός." ἔργον γὰρ ἦν μόνου τοῦ συμβασιλεύοντος τῷ Θεῷ καὶ Πατρὶ, τὸ πᾶσαν κατεφθαρ μένην ἐπανορθῶσαι τὴν γῆν, καὶ ἀναμορφῶσαι δύνασθαι πρὸς ὅπερ ἦν ἐν ἀρχαῖς. ἐδοξάσθη τοιγαροῦν ὁ Πατήρ μου ἐπιδοὺς ἀντίλυτρον τῆς τοῦ κόσμου ζωῆς τὸν ἴδιον ἑαυτοῦ Υἱὸν, εὐδοκήσας ἰδεῖν ἐν τοῖς καθ' ἡμᾶς τὸν ὑπὲρ πᾶσαν τὴν κτίσιν, οὐχ ἵνα τι τῶν ἀγαθῶν τῇ ἰδίᾳ κατορθώσῃ φύσει· παντέλειος γὰρ καὶ ἀπροσδεὴς, ἁπάντων ἔχων τὸ κρά τος· ἀλλ' ἵνα ὑμεῖς πλείονα καρπὸν φέρητε, καὶ γένησθε ἐμοὶ μαθηταί. εἰ μὴ γὰρ γέγονεν ἄνθρωπος, οὐδ' ἂν ὅλως ἡμεῖς, τῆς πρὸς αὐτὸν συμφυΐας ἠξιωμένοι καὶ κλημάτων δίκην ἐμπεφυκότες καὶ δύναμιν εἰς καρποφορίαν ποριζόμενοι παρ' αὐτοῦ διὰ μετουσίας τοῦ Πνεύματος, ἀπετέκομεν ἂν τὸν τῆς θεοφιλοῦς πολιτείας καρπὸν, ὃν καὶ πολὺν ὀνομάζει, τὸν ἐκ τῆς νομικῆς λατρείας ὀπίσω τιθεὶς καὶ ἐν ἐλάττοσιν εἶναι δη λῶν. "τετελείωκε γὰρ ὁ νόμος οὐδὲν," κατὰ τὴν τοῦ Παύλου φωνήν· διὰ τοῦτο πρὸς τοὺς ἁγίους ἔφασκε μαθητὰς, μᾶλ λον δὲ πρὸς ἅπαντας ἡμᾶς, οἳ διὰ πίστεως καὶ τῆς εἰσάπαν ἀγάπης αὐτῷ κεκολλήμεθα "Ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ "περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων "καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν "οὐρανῶν," καὶ πάλιν "Πᾶς γραμματεὺς μαθητευθεὶς τῇ "βασιλείᾳ τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ, "ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά·" καθάπερ ἐκ θησαυροῦ τῆς καρδίας τὰ Μωυσαϊκὰ διηγή 2.567 ματα, καὶ τῶν ἀρχαίων συγγραμμάτων τὴν μνήμην. ὁ γεμὴν κατήκοός τε καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐμαθὴς καὶ τῆς εὐαγγελικῆς δᾳδουχίας ἀνάπλεως, πολὺς καὶ διπλοῦς εἰς πλοῦτον, τὸν ἐν Πνεύματι δὲ δηλονότι φημί. νέα γὰρ ἐκβάλλει καὶ παλαιὰ, τὴν τοῦ νόμου σκιὰν καὶ τῆς ἐν νόμῳ λατρείας τὴν δύναμιν μετα πλάττων εἰς σχῆμα πολιτείας εὐαγγελικῆς. ὃ γὰρ ἐδήλου διὰ τῶν τύπων ὁ νόμος, τοῦτο Χριστὸς ἀπημφιεσμένως ἐν ἀληθείᾳ. διὸ καὶ ἔλεγεν "Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, "ἀλλὰ πληρῶσαι," καὶ πάλιν "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, "ἰώτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθη ἀπὸ τοῦ νόμου, ἕως "ἂν πάντα γένηται." καρπὸς οὖν ἄρα πολὺς ὁ ἐν πνεύματι καὶ ἀληθείᾳ, τῆς εὐαγγελικῆς λατρείας ἡ δύναμις, ἐπείπερ εἰς δόξαν τοῦ Θεοῦ καὶ Πατρὸς ἄνθρωπος γέγονεν ὁ Μονο γενής. συμβέβηκε δὲ διὰ τοῦτο καὶ αὐτοῦ γενέσθαι μαθητὰς τοὺς ὄντας ἐπὶ τῆς γῆς· προσελάλει γὰρ τοῖς ἀρχαιοτέροις καὶ πάλαι διὰ τῶν προφητῶν ὡς Θεὸς, ἀλλ' εἰς ἡμᾶς καὶ περὶ ἡμῶν ἐλέγετο "Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ." ἡμῖν γὰρ τοῖς εἰς αὐτὸν πιστεύσασιν, οὐχ ἕτερός τις μεσολα βήσας τὸν παρ' αὐτοῦ διεπόρθμευσε λόγον, ἀλλ' οὐδὲ μεσί της γέγονε τῶν θελημάτων αὐτοῦ πρὸς ἡμᾶς, καθάπερ ἀμέλει Μωυσῆς τοῖς ἐξ Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ, ἤγουν οἱ μετὰ Μωυσέα προφῆται τοῖς κατ' αὐτοὺς, ἀλλ' αὐτὸς ἡμᾶς ἐδί δαξεν ὁ Χριστός. διδακτοὶ δὲ Θεοῦ διὰ τοῦτο πάντες ἡμεῖς. οὐκ ἂν οὖν ὅλως αὐτοῦ γεγόναμεν μαθηταὶ, οὐκ ἂν ἐτεκομεν τὸν τῆς φιλοθεΐας καρπὸν καὶ τοῦτον πολὺν, εἰ μὴ ἐδοξάσθη δι' ἡμερότητος ὁ Πατὴρ, εὐδοκήσας ἐν ἡμῖν, ὡς καὶ ἄνθρωπον γενέσθαι τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα Λόγον. νοή σομεν γὰρ οὕτως, ὅτε λεγούσης ἀκούομεν τῆς θείας γραφῆς ὅτι δέδωκε τὸν ἴδιον Υἱόν. συνευδόκησε γὰρ τοῦτο τῷ παθεῖν ὑπὲρ ἡμῶν ἑλομένῳ, καὶ διὰ τοῦτο καὶ δεδωκέναι λέγεται, καὶ μάλα εἰκότως. 2.568 Καθὼς ἠγάπησέ με ὁ Πατὴρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μένετε ἐν τῇ ἀγάπῃ μου· καθὼς κἀγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ἰσχνοτέρῳ πάλιν τῷ τῆς διανοίας ὀφθαλμῷ τὰ ἐν τοῖς προκειμένοις ἀθρητέον μυστήρια. βαθὺς γὰρ ὁ λόγος, καὶ ὅλην ἡμῖν, ὡς ἔπος εἰπεῖν, τῆς μετὰ σαρκὸς οἰκονομίας παραθεὶς τὴν δήλωσιν. ἠγαπῆσθαι μὲν γὰρ ἑαυτὸν διισχυ ρίζεται παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀνταγαπῆσαι δὲ οὕτως ἡμᾶς, κατὰ τὸν αὐτὸν δηλονότι τρόπον, καθ' ὅνπερ ἂν ἠγα πῆσθαι νοοῖτο καὶ αὐτὸς παρὰ τοῦ ἰδίου γεννήτορος. εἶτα τί τούτοις ἐπήνεγκεν; ὅτι προσήκει μένειν ἡμᾶς ἐν τῇ ἀγάπῃ αὐτοῦ. ἀλλὰ καὶ πρόφασιν ὥσπερ τινὰ καὶ ἀναγκαιοτά την αἰτίαν ἀποδίδωσι, τοῦ καὶ σφόδρα δικαίως ἠγαπῆσθαι παρὰ τοῦ Πατρὸς, τὸ τηρῆσαι τὰς ἐντολὰς αὐτοῦ, καὶ ἡμῖν δὲ αὐτοῖς πληροῦν ἐπείγεσθαι τοῦτο διακελεύεται, διαμένειν τε οὕτω φησὶν ἐν τῇ ἀγάπῃ αὐτοῦ. συλλήβδην ὅσον μὲν οὖν ἔστιν εἰπεῖν καὶ τὰ ἐν τῷ προκειμένῳ συνενεγκεῖν ἀθρόως, ἐν τούτοις εὖ μάλα δεδηλώκαμεν. ἐπειδὴ δὲ οἶμαι δεῖν τὸ δοκοῦν ἔσθ' ὅτε θορυβήσειν οὐ μικρῶς τῶν ἀκεραίων τὸν νοῦν κατεξευμαρῖσαι, πάλιν φέρε δὴ λέγωμεν, ὅπως τε καὶ τίνα τρόπον τὸν ἐν τοῖς προκειμένοις ἐκληψόμεθα νοῦν. φαίνεται τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, τύπον ὥσπερ τινὰ καὶ τῆς εὐαγοῦς πολιτείας ὑπογραμμὸν ἑαυτὸν ἡμῖν παραθεὶς, ἅτε δὴ καὶ διὰ τοῦτο γεγονὼς ὑπὸ νόμον, καὶ τῆς ἡμετέρας πτωχείας οὐκ ἀπαξιώσας τὸ μέτρον ἑλεῖν, ἵνα τοῖς ἡμετέ ροις ἔθεσιν οἰκονομικῶς συναναπλαττόμενος, ὁδηγὸς εὑρεθῇ, καθάπερ ἐν παραδείγμασι τοῖς καθ' ἑαυτὸν, πρὸς ἀνά ληψιν πολιτείας καὶ ζωῆς τῆς ἀήθους ἡμῖν καὶ ἀστιβοῦς παντελῶς. 2.569 Ποῦ τοιγαροῦν, ἢ ποίαν τοῦ Πατρὸς τετήρηκεν ἐντολὴν, ἢ καὶ τίνα τρόπον ἠγαπῆσθαι λέγεσθαι παρ' αὐτοῦ, ζητητέον. παρέστω τοιγαροῦν Παῦλος ὁ σοφώτατος, καὶ μυσταγωγείτω λέγων περὶ αὐτοῦ, ὡς ἐν μορφῇ μὲν ὑπῆρχε Θεοῦ, "ἀλλ' "ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀν "θρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος "τεταπείνωκεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, "θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε "καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα." ἀκήκοας, ὅπως καίτοι Θεὸς ὑπάρχων ἀληθινὸς, ἅτε δὴ καὶ σύμμορφος τῷ τεκόντι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατρὶ, τεταπείνωκεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου; ἐπειδὴ γὰρ διασῶσαι τὸ κατεφθαρμένον ἐπὶ γῆς γένος ἐβουλεύσατο ὁ Θεὸς καὶ Πατὴρ, οὐκ ἦν δὲ τοῦτο διανῦσαι θέμις τῶν ἐν γενέσει τινὶ, πᾶσαν ὥσπερ τὴν ἐνοῦ σαν τῇ κτίσει δύναμιν ἀναπηδῶντος τοῦ κατορθώματος, αὐτὸς ὑπέδυ τὴν οἰκονομίαν, ὁ γινώσκων τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸς Μονογενής. κατέβη δὲ οὕτως εἰς ἑκούσιον ὑποταγὴν, ὡς καὶ μέχρι θανάτου καθικέσθαι καὶ τούτου ἀτιμοτάτου. τὸ γὰρ ἐξηρτῆσθαι σταυροῦ, πῶς ἂν εἴη τίμιον, μᾶλλον δὲ πῶς οὐχ ἁπάσης ἀδοξίας ἐπέκεινα; ἐπειδὴ δὴ δὲ ταῦτα ὑπέστη, φησὶν, ὁ Θεὸς αὐτὸν ὑπερύψω σεν· οὐκοῦν ἔχεις, ἐν μὲν τῇ κατὰ θέλησιν ὑπακοῇ τῶν τοῦ Πατρὸς βουλευμάτων τὴν πλήρωσιν· ἃ καὶ ἐν τάξει ἐντολῶν φησι γενέσθαι πρὸς αὐτὸν ὁ Υἱός. συνεὶς γὰρ ὡς Λόγος τὰ ἐν Πατρὶ σκέμματα, καὶ τοῦ τεκόντος αὐτὸν τὰ βάθη διερευ νώμενος, μᾶλλον δὲ αὐτὸς ὑπάρχων ἡ σοφία καὶ ἡ δύναμις τοῦ Πατρὸς, εἰς ἔργον ἄγει τὸ δόξαν, εἰς τόπον αὐτὸ τιθεὶς ἐντολῆς, καὶ ὀνομάζων οὕτως ἀνθρωπινώτερον· βλέπε δὲ κἀν τούτῳ τῆς ἀγάπης τὸ μέτρον. ὑπερύψωσε γὰρ αὐτὸν ὁ Θεὸς, φησί· τὸν ὑψηλὸν ἤδη καὶ δεδοξασμένον ὑπερυψοῖ καὶ δοξάζει, καίτοι Θεὸς κατὰ φύσιν ἐστὶ καὶ ἀληθινὸς, ἅτε δὴ 2.570 καὶ ὑπάρχων οὐχ εἷς τῶν κτισμάτων, κατά γε τὴν ταυτότητα τὴν ἐκ τῆς οὐσίας αὐτοῦ, διὰ τοῦτο νοούμενός τε καὶ ὢν ἀληθῶς παντὸς ὑψώματος ἐπέκεινα νοητοῦ, ἀλλὰ καὶ τῆς δόξης Κύριος κατὰ τὰς ἁγίας γραφάς. ἀλλὰ ναὶ, φησὶν, ὑψοῦται καὶ δοξάζεται, πῶς δὲ ἢ πότε καὶ τίνα τρόπον; ὅτε δηλονότι γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ, καὶ ἐν τῷ τῆς ταπεινώσεως σχήματι, τουτέστιν, ἄνθρωπος καθ' ἡμᾶς. ἀνα τρέχει γὰρ καὶ μετὰ σαρκὸς εἰς τὸ συνυψοῦσθαι πάλιν καὶ συνδοξάζεσθαι τῷ Πατρί· ἠγαπήθη τε παρ' αὐτοῦ, καὶ οὐχὶ τότε πρῶτον, ὅτε τὴν ἑκούσιον ὑποταγὴν πεπλήρωκε, νοή σεις δὲ μᾶλλον ἐκείνως. ὅνπερ γὰρ τρόπον ὑψηλὸς ὑπάρχων ἀεὶ καὶ δεδοξασμένος, ὅσον εἰς ἰδίαν φύσιν, δεδοξάσθαι τε καὶ ὑψῶσθαι λέγεται, ὅτε γέγονεν ἄνθρωπος, ὁ τῆς θεοπρε ποῦς δόξης ἔρημος ὢν, ὅσον εἰς ἀνθρωπότητος λόγον· οὕτω καὶ ἐξ ἀρχῆς, ἀεί τε καὶ διὰ παντὸς ἀγαπώμενος, ἠγαπῆσθαι λέγεται καὶ μετὰ σαρκός. πέφηνε γὰρ διὰ τοῦτο καθ' ἡμᾶς, τουτέστι, κεχρημάτικε καὶ γέγονεν ἄνθρωπος, ἵνα τὸν πάλαι μεμισημένον διὰ τὴν ἐν ἀρχῇ παράβασιν καὶ τὴν ἐν τῷ μεταξὺ παρεισφρήσασαν ἁμαρτίαν, ἀγαπητὸν ἀποτελέσῃ τῷ Θεῷ. θύρα γὰρ διὰ τοῦτο καὶ ἀρχὴ καὶ ὁδὸς ἁπάντων ἡμῖν τῶν ἀγαθῶν πεφηνέναι λέγεται Χριστός. ἆρα δή σοι λοιπὸν ἀνεγκλήτως ἑαυτὸν ἠγαπῆσθαί φησι διὰ τὸ τετη ρῆσθαι παρ' αὐτοῦ τὰς τοῦ Πατρὸς ἐντολάς; ἆρα μή σοι τραχὺς ὁ τοῦ μυστηρίου κατεφάνη λόγος, καὶ τῆς δι' ἡμᾶς τετελεσμένης οἰκονομίας τὸ βάθος μὴ δυσέφικτόν πως τῷ σῷ γέγονε νῷ; ἀλλ' ἔστιν "ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ "πάντα τοῖς ἔχουσι γνῶσιν," κατὰ τὸ γεγραμμένον. Μείνατε τοίνυν φησὶν ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ, τουτέστι, διὰ σπουδῆς ἁπάσης καὶ προθυμίας ἐρχόμενοι, διαπραγματεύ σασθέ τε καὶ ἐπιτηδεύσασθε τὸ τοιαύτης ἀξιοῦσθαι παρ' ἐμοῦ τῆς ἀγάπης, ὁποίαν ἔχω κἀγὼ παρὰ τῷ Θεῷ καὶ Πατρί. γέγονα μὲν γὰρ ὑπήκοος ἐγὼ καὶ τῶν τοῦ Πατρὸς θελημά 2.571 των ἀποτελεστὴς, μένω τε διὰ τοῦτο καὶ ἀραρότως ἠγαπη μένος. ἀλλ' ὅταν γένησθε καὶ αὐτοὶ τῶν ἐμῶν φύλακες ἐν τολῶν, κατὰ τὸν ἴσον τρόπον μενεῖτε πάντως ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. ἀπροφάσιστον δὲ τὴν εἰς τοῦτο, φησὶν, ἕξετε ῥαθυ μίαν· οὐ γὰρ ἀμισθὶ τὸν ἐπὶ τούτοις ἱδρῶτα διατλήσετε. φανήσομαι γὰρ τοσαύτην ὑμῖν ἐπιδοὺς τὴν ἀγάπην, ὅσην αὐτὸς ἔχω παρὰ Πατρὸς, καὶ μονονουχὶ ταῖς ἰσοῤῥόποις τιμαῖς τὸν τῶν ἐμῶν λόγων φύλακα στεφανῶν. ἐμὲ γὰρ ὑπερύψωσεν ὁ Πατὴρ, ἐχαρίσατό τε "τὸ ὄνομα τὸ ὑπὲρ "πᾶν ὄνομα." ἀναδέδειγμαι γὰρ τῶν ὅλων Θεὸς, ἀλλ' οὐχ ἁλώσομαι βάσκανος οὐδὲ τῶν τοιούτων ὑμῖν διαφθονήσας ἀγαθῶν· ἀνθρώπους γὰρ ὄντας, δούλην τε διὰ τοῦτο λαχόν τας τὴν φύσιν, θεοὺς καὶ υἱοὺς ἀπέδειξα Θεοῦ, τοῖς ὑπὲρ φύσιν ἀξιώμασι καταφαιδρύνας διὰ τῆς χάριτος, κοινωνοὺς τῆς ἐμῆς βασιλείας εἰσεδεξάμην, συμμόρφους ἀπέδειξα "τῷ "σώματι τῆς δόξης" τῆς ἐμῆς, ἀφθαρσίᾳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τετίμηκα καὶ ζωῇ. ἀλλὰ ταῦτα μὲν ἐν ἐλπίσι, καὶ εἰς αἰῶνα τηρεῖται τὸν μέλ λοντα. τί δὲ δὴ καὶ εἰς τὸ παρόν; ἆρ' οὐχὶ λαμπροὺς καὶ δεδοξασμένους ἀπέφηνα, σεπτοὺς δὲ οὐχὶ παρὰ πᾶσι τοῖς φιλοθέοις κατέστησα; καίτοι τοῖς ἀνοσίοις ἐπετιμήσατε δαίμοσι, "πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν" ἐπέτρεψα θεραπεύειν, ἐπηγγειλάμην λέγων "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, "ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, "καὶ μείζονα τούτων ποιήσει." ταῦτά πως τοῖς ἁγίοις μαθη ταῖς οἰησόμεθα λέγειν αὐτὸν τὸν τῶν προκειμένων ἀναματ τόμενοι νοῦν. πανταχοῦ δὲ τοῖς τῆς ἀληθείας δόγμασι τὴν διάνοιαν ὑποζεύξαντες, καὶ τὰ παρεμπίπτοντα τῶν θεωρη μάτων, ὡς ἔνι, καλῶς ταῖς εἰς εὐσέβειαν τέχναις εἰς τὸ τοῖς ἀκροωμένοις λυσιτελὲς περιτρέποντες, τὸ γοῦν σκανδάλῳ τινὶ περιπεσεῖν ἀνοήτως διαφευξόμεθα. γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν "Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον "σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον." 2.572 Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Τὸν περὶ τῆς ἀμπέλου λόγον ἡμῖν εἰσκεκομικὼς, εἶτα τὸ ἀποσπώμενον κλῆμα, καὶ οἱονεὶ τῆς τρεφούσης αὐτὸ μητρὸς διακεκομμένον, ἀχρεῖον μὲν ἔσεσθαι παντελῶς, πυρὶ δὲ χρῆναι δαπανᾶσθαι διδάξας, οὐ μικρὰν ἐνεποίησε τοῖς μαθη ταῖς τὴν ἐπὶ τούτῳ πτοίαν. αἱ γὰρ τῶν ἀπευκτῶν ἀκροά σεις, καὶ εἰ μήπω φαίνοιντο παρόντα τυχὸν, οὐ μετρίως εἰσὶν ἐκταράττειν ἱκαναὶ, μάλισθ' ὅταν ἐντίκτοι τισὶ τοῦ συμβαίνειν αὐτὰ δύνασθαι τὴν ὑποψίαν τῶν ἐσομένων τὸ ἄδηλον. καθάπερ ἀμέλει καὶ ὁ τήνδε μέλλων διαπλεῖν τὴν θάλασσαν, ὡς ἐνδεχομένου καὶ χειμῶνος εἰς πεῖραν ἐλθεῖν, καὶ μὴν καὶ ἀγρίου κύματος καὶ ἀτιθάσων κυμάτων καταδρομῆς, καὶ εἰ μήπω παρόντα καταθεῷτο τυχὸν, ἐν μόναις φροντίσιν ἔτι καὶ τοῦτο ἀδήλοις, ὡς ἤδη παρόντα δέδιεν. ὑποφρίττοντας τοίνυν τοὺς ἀποστόλους, καὶ τῇ τῶν δεινῶν ἀκοῇ τάχα πως καὶ γεγονότας περιδεεῖς, καὶ πρὸς τὴν τῶν ἐσομένων ἀποναρκήσαντας πεῖραν, ἀνανεοῖ χρησίμως εἰς εὔτονον φρόνημα, καὶ στυγνῶν ἀφέμενος λόγων, περὶ τῆς κατὰ Θεὸν αὐτοῖς διαλέγεται θυμηδίας. οὐ γάρ τοι, φησὶν, ὦ ἡμέτεροι μαθηταὶ, τούτου γε ἕνεκα νυνὶ τὸν πρὸς ὑμᾶς πεποίημαι λόγον, ὡς ἄνανδρον μὲν ὑμῖν ἐμποιῆ σαι φρόνημα, ἤγουν ἐπ' ἀδήλῳ δείματι, καὶ οὐχὶ πάντως ἐσομένῳ κακῷ προκατακλωμένους ὑμᾶς, καὶ ἀτολμοτάτους ὁρᾶσθαι πρὸς κατόρθωσιν ἀγαθῶν, ἀλλ' ἵνα τούτοις συμ βαίνῃ τὰ ἐναντία, καὶ θυμηδίαν ἔχητε τὴν ἐμὴν, ἤτοι ἡ ἐμὴ χαρὰ ἐν ὑμῖν μείνῃ. Καὶ τί τοῦτό ἐστι, τί δὲ διὰ τούτου νοεῖν ἡμᾶς ἐθέλει Χριστὸς, πικρότερον οἶμαι διασκέψασθαι δεῖν. διχῶς τοι γαροῦν νοητέον. ἢ γὰρ ὥσπερ ἐν λογισμῷ μηδὲν ἔχοντι παντελῶς περιεργότερον ἐρεῖ τις τυχὸν, ἵνα τὴν περὶ ἐμὲ 2.573 χαρὰν ἔχητε, ἤτοι τὴν εἰς ἐμέ· οὕτω γὰρ ἂν καὶ αὐτοὶ τὴν ἰδίαν ἀναπληρώσητε δύναμιν, τῶν ὑπερκοσμίων ἀγαθῶν ἐννοοῦντες τὴν ἀμοιβὴν, καὶ τὴν ἐσομένην τοῖς παρ' ὑμῶν ἱδρῶσιν ἀντίδοσιν, καὶ τῆς παρὰ Θεῷ δόξης τὸ μέγεθος· ἤγουν ἕτερόν τι σκοποῦντες καὶ λογιζόμενοι, πρὸς βαθυτέραν ἰέναι θεωρίαν οὐκ ἀποκνήσομεν. χρῆναι γὰρ οἶμαι καὶ λίαν εὖ μάλα φιλοθηρεῖν εὐσεβῶς ἁπάσης θεωρίας τὸν σκοπόν. τί οὖν ἄρα δηλοῖ τό Ἵνα ἡ χαρὰ ἡ ἐμὴ ᾖ ἐκ ὑμῖν; ἢ τὸ ὅτι γέγονε καθ' ἡμᾶς ὁ Μονογενὴς, τουτέστιν, ἄνθρωπος δίχα μόνης ἁμαρτίας, πάντα κεκρικὼς ὑπομεῖναι καὶ παθεῖν ὅσων ἤγαγεν εἰς πεῖραν αὐτὸν ἡ ἐπάρατος τῶν Ἰουδαίων ἀπόνοια; εὑρήσομεν γὰρ ὑβρισθέντα τε καὶ διωκόμενον καὶ πικροῖς ὀνείδεσι διακεκρουσμένον, ἐμπτυσθέντα τε καὶ ῥαπισθέντα καὶ τῆς διὰ μαστίγων αἰκίας οὐκ ἀμοιρήσαντα, καὶ τελευ ταῖον ἐπὶ τούτοις τῷ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν προσηλωθέντα σταυρῷ. ἐπὶ δὲ τούτοις ἅπασι τοῖς οὕτω δεινοῖς, οὐ κατε σπάσθη πρὸς λύπην, πλὴν ὅσον τοῦ παθεῖν οἰκονομικῶς οὐκ ἀπέφριξε τὴν ἀδοξίαν, ἀλλὰ τῆς πρεπούσης θυμηδίας αὐτῷ καὶ χαρᾶς ἀνάπλεως ἦν, ἐπείπερ ἐθεάσατο τὴν τῶν σωζο μένων πληθὺν, πληρούμενόν τε τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρός. διὰ τοῦτο χαρὰν ἐποιεῖτο τὴν ἀτιμίαν, τρυφὴν ἐλογίζετο τοὺς πόνους. καίτοι γὰρ πολλῶν καὶ ἀπηχεστά των κατ' αὐτοῦ τολμωμένων, γεγραμμένον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὑρήσομεν ὅτι τότε ὁ Ἰησοῦς "ἠγαλλιάσατο τῷ πνεύματι καὶ εἶπεν "Ἐξομολογοῦμαί σοι Πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι "ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυ "ψας αὐτὰ νηπίοις· ναὶ ὁ Πατὴρ, ὅτι οὕτως εὐδοκία ἐγένετο "ἔμπροσθέν σου." ἀκούεις, ὅτι ἐπείπερ ἐθεᾶτο σοφουμένους τοὺς νηπίους τε ὄντας καὶ ἀνοήτους ποτὲ, χαίρει μὲν καὶ ἀγαλλιᾶται διὰ τοῦ Πνεύματος, χάριν δὲ ὥσπερ ὑπὲρ ἡμῶν ἀνατιθεῖ τῷ διασώζοντι Πατρί· ἀλλὰ καὶ ὅτε τὴν τῶν 2.574 Σαμαρειτῶν διέθει χώραν, κέκμηκε δὲ "ἐκ τῆς ὁδοιπορίας," καθὰ γέγραπται, "ἐκαθέζετο ἐπὶ τῇ πηγῇ" τοῦ Ἰακώβ; ἐπειδὴ δὲ τὸ γύναιον αὐτῷ προσεκόμιζε τὴν τοῦ ἀρύσασθαι χρείαν, προσελάλησέ τε αὐτῷ τὰ εἰκότα καὶ Σαμαρειτῶν ὄχλον ἥξοντα προσεδόκησε, καὶ τροφῆς ἀναγκαίας ἀλογήσας φαί νεται. τί γὰρ ἔφη πρὸς τοὺς μαθητὰς, ἐδεσμάτων αὐτῷ μεταλαβεῖν συμβουλεύοντας; "ἐμὸν βρῶμά ἐστιν ἵνα ποιήσω "τὸ θέλημα τοῦ Πατρός μου καὶ τελειώσω αὐτοῦ τὸ ἔργον." ἆρ' οὖν κἀντεῦθεν οὐκ ἂν γένοιτο συμφανὲς, ὅτι τρυφὴν ἐποιεῖτο καὶ χαρὰν τῶν πατρῴων θελημάτων τὴν πλήρωσιν, τουτέστι, τὴν εἰς σωτηρίαν ἀναδρομὴν τῶν εἰς ἀπώλειαν διωλισθηκότων; ἀλλ' ἔστιν οὐκ ἀμφίλογον. Ταῦτα τοίνυν πάντα, φησὶ, διείλεγμαι πρὸς ὑμᾶς ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν ᾖ, τουτέστιν, ἵν' ἐπ' ἐκείνοις ἐθέλητε διευθυμεῖσθαι μόνοις ἐφ' οἷσπερ κἀγὼ, ἵνα πρὸς ἀγῶνας ἀνδρίσησθε, καὶ τὴν ἐπὶ τοῖς σωζομένοις ἐλπίδα περιζωσά μενοι, κἄν τι διὰ τοῦτο συμβαίνῃ παθεῖν, μὴ πρὸς ἀκηδίας ἀδρανεῖς καταφέρησθε μᾶλλον, χαίρητε δὲ τότε πλουσιώ τερον, ἐπείπερ καὶ δι' ὑμῶν ἀναπληροῦται τὸ θέλημα τοῦ "πάντας ἀνθρώπους θέλοντος σώζεσθαι καὶ εἰς ἐπίγνωσιν "ἀληθείας ἐλθεῖν." ἔχαιρον γὰρ ἐπὶ τούτοις κἀγὼ καὶ λίαν ἡδίστους ἐλογιζόμην τοὺς πόνους. ὅταν τοίνυν, φησὶ, τοιαύτην ἕλησθε ἔχειν χαρὰν, ἣν ἐμαυτῷ πρέπειν ἐλογισά μην, τότε τελείαν αὐτὴν ἕξετε καὶ ὁλόκληρον. Πληρεστάτην γὰρ ὄντως καὶ τελείαν εἶναι χαρὰν λογιζό μεθα, τὴν ἐν Θεῷ καὶ διὰ Θεὸν καὶ ἐπ' ἔργοις ἀγαθοῖς, διὰ τὸ πεπηγὸς καὶ ἀκλόνητον τῆς ἐλπίδος· καὶ ὅτι γέγονεν, ἐφ' οἷς ἦν εἰκὸς, οὐχὶ μόνους ἡμᾶς, ἀλλὰ καὶ αὐτὸν ἡσθῆναι τὸν Ἰησοῦν· ἀτελῆ δὲ χαρὰν τὴν ἐν κόσμῳ φαμὲν, διά τε τὸ εὐπαράφορον καὶ τὸ ἐφ' οἷς ἥκιστα χρῆν τελουμένην ὁρᾶσθαι, τουτέστι, πράγμασι κοσμικοῖς, ἃ φαντασμάτων 2.575 καὶ σκιᾶς ἐξίπταται δίκην. ὥσπερ τέλειον μῖσος εἶναί φαμεν, τὸ δικαίως τε καὶ ὀρθῶς ἐπί τισι παρ' ἡμῶν γινόμενον· ὥσπερ οὖν ἀμέλει καὶ ὁ μακάριος Δαυεὶδ περὶ τῶν ἀνθεστη κότων τῇ δόξῃ τοῦ Θεοῦ φησι "Τέλειον μῖσος ἐμίσουν "αὐτούς·" τελείαν δὲ ἀγάπην, τὴν ὁλοκλήρως ἀνακεῖσθαι Θεῷ παρασκευάζουσαν τοὺς ἑλόντας αὐτὴν ἐν Θεῷ καὶ διὰ Θεὸν, οὐ τὴν ἐπί τισιν ἐπιγείοις καὶ λόγου μηδενὸς ἀξίοις πράγμασιν. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς κἀγὼ ἠγάπησα ὑμᾶς· μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ἐμφανεστέραν ἤδη καθίστησι διὰ τῆς τούτων ἐπαγωγῆς, τῶν ἤδη προειρημένων τὴν δύναμιν, τουτέστι, τὸ χρῆναι τοὺς μαθητὰς τὴν αὐτοῦ χαρὰν ἔχειν ἐν ἑαυτοῖς· ἀναφανδὸν δέ φησιν, ὅτι τοῦτο ἐντέλλομαι, καὶ τοῦτο διδάσκω δρᾶν τε καὶ φρονεῖν τοῦς ἕπεσθαι δεῖν οἰομένους ἐμοὶ, τοιουτότροπον εἰς ἀλλήλους ἐκμελετᾶν τὴν ἀγάπην, ὁποίαν ἐγὼ φθάσας ἐπεδειξάμην καὶ πεπλήρωκα. ποῖον οὖν ἄρα τὸ μέτρον θεω ρῆσαι τις ἂν τῆς ἀγάπης τοῦ Χριστοῦ, πάλιν αὐτὸς ὑπέ φηνεν, εἰπὼν, τὸ μεῖζον εἶναι μηδὲν τῆς τοιαύτης ἀγάπης, ἢ καὶ αὐτὴν προέσθαι τὴν ψυχὴν ὑπὲρ τῶν ἀγαπωμένων διακελεύεται. ἐκ δὴ τούτων ἁπάντων μονονουχὶ τοῖς ἰδίοις διακελεύεται μαθηταῖς, ὅτι προσήκει τοσοῦτον ἀφεστάναι τοῦ δεδιέναι φιλεῖν τοὺς ὑπὲρ τῶν σωζομένων ἀγῶνας, καὶ αὐτὸν ἀοκνότατα καὶ λίαν ἑτοίμως ἔχειν ὑποστῆναι τὸν τῆς σαρκὸς θάνατον· καθίκετο γὰρ καὶ μέχρι τοῦδε τοῦ μέτρου, τῆς τοῦ Σωτῆρος ἡμῶν ἀγάπης ἡ δύναμις. τὸ δὲ ταῦτα λέγειν ἕτερον ἦν δρῶντος οὐδὲν, ἢ παραθήγοντος μὲν εἰς ὑπερφυᾶ τε καὶ ἐξαίρετον ἀνδρείαν τοὺς μαθητὰς, διανιστά νοντος δὲ λίαν εἰς ἀκμαιοτάτην φιλαδελφίαν, καὶ φρόνημα 2.576 τὸ νεανικὸν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φιλόθεον ἐγχαλκεύοντος, καὶ εἰς ἄμαχόν τινα καὶ ἀκαταγώνιστον ἐγείροντος προθυμίαν εἰς τὸ πάντα κατορθοῦν ἐπείγεσθαι γοργῶς τὰ αὐτῷ θυμηρέστατα. τοιοῦ τον ἡμῖν ἑαυτὸν ἐπεδείκνυ λέγων ὁ Παῦλος "Ἐμοὶ γὰρ τὸ "ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος," καὶ πάλιν "Ἡ "γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, "ὅτι εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον," καὶ πρὸς τούτοις ἔτι "Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ "Χριστοῦ; θλίψις ἢ στενοχωρία ἢ λιμὸς ἢ γυμνότης ἢ "κίνδυνος ἢ μάχαιρα;" ἀκούεις, ὅπως οὐδὲν ὅλως ἕξειν τὸ ἀντιστατοῦν ἐπαγγέλλεται, ἤγουν διακόπτειν ἰσχύον τῆς εἰς Χριστὸν ἀγάπης αὐτούς; εἰ δὲ τὸ ποιμαίνειν τὰ ποίμνια καὶ τὸ βόσκειν τὰ ἀρνία τοῦ Χριστοῦ, τοῦτο ἂν εἴη τὸ ἀγαπᾶν αὐτόν· πῶς οὐκ ἔσται προδηλότατον, ὅτι καὶ θανάτου κρείτ των ἔσεται, φησὶ, διωγμῶν τε καὶ μαχαίρας ἀμείνων, ἀλο γήσει δὲ παντελῶς καὶ στενοχωρίας ὁ τὸν σωτήριον τοῖς οὐκ εἰδόσι Θεὸν διακηρύττων λόγον; εἰ δὲ δὴ προσήκοι διὰ τὴν τοῦ νοήματος συστροφὴν τὸν τοῦ Σωτῆρος συνενεγκόντας λόγον, κεφαλαιωδέστερον εἰπεῖν ὃ βούλεται δρᾶν τοὺς ἑαυτοῦ μαθητάς· ἀοκνότατόν τε καὶ παντὸς ἔξω δείματος τὸν οἰκεῖον διασώζοντας νοῦν, τὸν τῆς εἰς αὐτὸν πίστεως ἱερουργῆσαι κελεύει λόγον, καὶ τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐμφανὲς καταστῆσαι τὸ εὐαγγέλιον. αὐτὸ δὲ τοῦτο καὶ διὰ φωνῆς Ἡσαΐου φησίν· "Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιὼν", ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελι "ζόμενος Ἱερουσαλήμ· ἰσχύσατε, μὴ φοβεῖσθε." ὃ καὶ δύνασθαι ἐξαιτοῦντας παρὰ Θεοῦ κατορθοῦν δι' ἐκτενεστά της προσευχῆς καὶ αὐτοὺς εὑρήσομεν τοὺς ἁγίους μαθητὰς, ὅτε τῆς Ἰουδαίων κατηγοροῦντες ἀπονοίας ἔφασκον "Καὶ "τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς "δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου." ὁμολογουμένως μὲν γὰρ τοῖς ἱερουργοῦσι τὸ εὐαγγέλιον τοῦ 2.577 Χριστοῦ, πολλοὶ λίαν οἱ ἀνθιστάμενοι καὶ δυσσεβῶς ἐπι τρίζοντες· ἀλλ' εἰ καὶ δριμὺς ὁ φόβος, καὶ δεινότατα τὰ ἐκ τῆς ἐπιβουλῆς διανίσταται κύματα, λόγος τοῦ παθεῖν οὐδεὶς παρά γε τοῖς ἀληθῶς μαθηταῖς, ἔστ' ἂν ἴοι πρὸς ἔργον αὐ τοῖς τὰ ἐκ τῆς ἀγάπης κατορθώματα, ἀγάπης δέ φημι τῆς τοιαύτης, ὁποίαν πρὸς ἡμᾶς ὑπέδειξεν ὁ Σωτὴρ, "ὃς ἀντὶ "τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης "καταφρονήσας," ἵνα τοῖς ἡμαρτηκόσι κατορθώσῃ τὴν σωτηρίαν. εἰ δὲ μὴ παθεῖν ἠθέλησεν ὑπὲρ ἡμῶν, ἦμεν ἂν ἔτι νεκροὶ, οἰκέται διαβόλου, "μωροὶ καὶ τυφλοὶ" καὶ παντὸς μένοντες ἐπιδεεῖς ἀγαθοῦ, ἡδονῆς δὲ δοῦλοι καὶ ἁμαρτίας, "Ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ." νυνὶ δὲ καὶ αὐτὴν ὑπὲρ ἡμῶν τέθεικε τὴν ψυχὴν ἐξ ἀγάπης τῆς εἰς ἡμᾶς ὁ Σωτὴρ, καὶ ἀσύγκριτόν τινα τὴν φιλανθρωπίαν ἐπιδει ξάμενος, ζηλωτοὺς ἀπέφηνε καὶ τρισμακαρίους, οὐδενὸς τὸ παράπαν τῶν ἀγαθῶν ἐπιδεεῖς. Ἁρμόσει μὲν οὖν τῶν προκειμένων ἡ δύναμις κατὰ τοῦτον οἶμαι τὸν σκοπὸν ταῖς θεοπνεύστοις τῶν μαθητῶν κεφαλαῖς· εἰ δὲ δὴ καὶ εἰς ἅπαντας ἐξίοι τὸ εἰρήμενον, τουτέστιν Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς· πολύ τι τοῖς ὅλοις λυσιτελὲς διὰ τῆς ἐρεύνης εἰσβή σεται. εἰ γὰρ ἁπάσης τῆς τοῦ Σωτῆρος ἡμῶν ἐντολῆς τὴν πλήρωσιν ἡ εἰς ἀδελφοὺς ἀγάπη τηρεῖ καὶ ἐργάζεται, πῶς οὐ λίαν ἀξιοθαύμαστος ὁ ταύτην ὅτι μάλιστα κατορθοῦν ἐπιχειρῶν ἀλοιδορήτως τε καὶ ἀνυπαιτίως, ὅτε πασῶν, ὡς ἔπος εἰπεῖν, τῶν ἀρετῶν ἐναπόκειται τὸ κεφάλαιον; δευτέρα γὰρ τῆς εἰς Θεὸν ἀγάπης ἡ εἰς ἀλλήλους ἐστὶ, καὶ πᾶσα τῆς εἰς Θεὸν εὐσεβείας ἡ δύναμις ὡς ἐν ἑνὶ τούτῳ συμπεραιοῦται "λόγῳ, ἐν τῷ Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν." 2.578 Ὑμεῖς φίλοι μου ἐστὲ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. οὐκέτι λέγω ὑμᾶς δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου ἐγνώρισα ὑμῖν. Ἀντέταξε πάλιν τοῖς ἐκ τῆς ὑπακοῆς καὶ φιλαρέτου γνώ μης ἐσομένοις ἔσθ' ὅτε δείμασι, τῆς εἰς αὐτὸν φιλίας τὸ κέρδος, ἵνα ταῖς ἐντεῦθεν εὐθυμίαις καὶ τῇ πρὸς τὸ μεῖζον ἐφέσει τὸ ἐν ἐκείνοις ἀφανίζηται φορτικὸν, καὶ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λυπεῖν ἔσθ' ὅτε δοκοῦν οἰχήσεται πρὸς τὸ μηδέν. γλυκὺς γὰρ τότε τοῖς φιλοθέοις ὁ πόνος, ὅτε γείτων ἄρα καὶ πλούσιος ὁ μι σθός. εἶτα τίς ἂν οἰηθείη τι μεῖζον, τί δὲ εἶναι λαμπρότερον ἐρεῖ τοῦ φίλον εἶναι καὶ λέγεσθαι Χριστοῦ; θέα γὰρ ὅπως καὶ ὑπὲρ αὐτοὺς τοὺς τῆς ἀνθρωπείας φύσεως ὅρους ἐστὶ τὸ ἀξίωμα. δοῦλα μὲν γὰρ πάντα τοῦ πεποιηκότος αὐτὰ, κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, καὶ οὐδὲν οἶμαι τῶν γεγονότων ἐστὶν, ὃ μὴ τῷ τῆς δουλείας ὑπηνέχθη ζυγῷ, κατά γε τὸν πρέποντα λόγον καὶ δημιουργῷ καὶ ποιήματι. οὐ γὰρ ἐν ἴσῳ τὸ ποιηθὲν τῷ τεκτηναμένῳ, πόθεν; κατάρ ξει δὲ μᾶλλον καὶ καθηγήσεται τῶν ἰδίων ἔργων ὁ ἐπὶ πάντας Θεός. ὑπεζευγμένων οὖν ἄρα τῶν ὅλων, καὶ δοῦ λον ὑπεστρωκότων τῷ Θεῷ τὸν αὐχένα, πρὸς τὴν ὑπὲρ φύσιν ἀνακομίζει δόξαν τοὺς ἁγίους ὁ Κύριος, εἰ δρᾶν ἐθέ λοντες φαίνοιντο τὰ δοκοῦντα αὐτῷ, καὶ καθάπερ ἐν τάξει δωροφορίας, ἀκατηγόρητον αὐτῷ προσκομίζει τὴν ὑποταγήν· λαμπρὸς οὖν ἄρα καὶ ἀξιοζήλωτος ὁ μισθός. Πλὴν ἐκεῖνο κατασκεπτέον ἐν τούτοις εὖ μάλα· λυσιτε λήσει γὰρ οὐ μικρῶς· εἰ γὰρ ἐξαρκέσει τισὶν εἰς ἐλεύθερον ἀξίωμα καὶ πρὸς τὸ μηκέτι καλεῖσθαι δούλους ἡ πρὸς τὸν Υἱὸν φιλία, πῶς ἂν εἴη δοῦλος ἢ ὡς ποίημα καὶ γενητὸς, κατὰ τὴν τινῶν ἀβουλίαν; οὐ γὰρ δὴ τοῖς ἑτέροις τὴν μὲν τῆς ἐλευθερίας τιμὴν διανέμειν ἐστὶν ἱκανὸς, ἔρημον δὲ ταύτης 2.579 τὴν ἰδίαν ἕξει φύσιν· χρῆναι γὰρ οἶμαι πρὸ τῶν ἄλλων αὐτὸν τοιοῦτον εἶναι φαίνεσθαι, δώσει γὰρ τότε πρεπωδέ στερον τοῖς οὐκ ἔχουσι τὸ ἴδιον ἀγαθόν. ἀλλὰ τοῖς ἁγίοις ἀποστόλοις ἢ καὶ τοῖς ἄλλοις ἅπασι τυχὸν τοῖς διὰ πίστεως εἰς φιλίαν ἀναβαίνουσι τὴν πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐπακτὸν ἂν εἴη καὶ δοτὸν, ὡς ἐν τάξει τιμῆς τὸ ἀξίωμα, ἔχον δὲ οὐκέτι κατὰ τὸν ἴσον τρόπον· οἱ γὰρ τῇ πρὸς αὐτὸν ὁμοιώσει πρὸς τὴν τῆς ἐλευθερίας ἀνατρέχοντες δόξαν, αὐτῷ δὴ τούτῳ καὶ μόνῳ προσὸν φυσικῶς ἀποδεί ξειαν. τῷ γὰρ κατὰ φύσιν ἀεὶ τὸ κατὰ θέσιν παρεικάζεται. Σημειωτέον γεμήν· δεῖν γὰρ οἶμαι διὰ παντὸς ἰέναι θεω ρήματος χρησίμου τε καὶ λίαν ἀναγκαίαν ἔχοντος τὴν ἐξή γησιν· ὅτι τῆς κατὰ νόμον δικαιοσύνης ἡ ἐκ πίστεως τῆς εἰς Χριστὸν ἀρχαιοτέραν ἔχει τὴν ἀνάδειξιν, καὶ πρὸς τού τοις, ὅτι τοῖς πιστεύουσι καὶ ὑπακούουσι τῷ Χριστῷ, ἡ τῶν θείων μυστηρίων ἀποκαλύπτεται γνῶσις, καὶ ἡ τοῦ Θεοῦ καὶ Πατρὸς ἑρμηνεύεται βουλὴ παρὰ τοῦ ταύτην εἰδότος Υἱοῦ· τοῖς δὲ ἀπειθήσασιν οὐκέτι. Καὶ φέρε πάλιν αὐτὸ διὰ τῆς θεοπνεύστου δεικνύωμεν γραφῆς, ὀλίγα χρησίμως ἀδολεσχήσαντες. γέγραπται τοίνυν ἐν βίβλῳ Μωυσέως, ὅτι πεπίστευκε μὲν "Ἀβραὰμ τῷ "Θεῷ," πλὴν ἡ πίστις αὐτῷ λελόγισται "εἰς δικαιοσύνην, "καὶ φίλος Θεοῦ ἐκλήθη." καὶ τίς ὁ τῆς πίστεως τρόπος, ἢ πῶς ἄρα φίλος ἐκλήθη Θεοῦ; ἤκουσεν "Ἔξελθε ἐκ τῆς "γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν "ἣν ἄν σοι δείξω." ἀλλὰ καὶ ὅτε τὸν μονογενῆ προσετάτ τετο θύειν εἰς τύπον Χριστοῦ, τὸν ἐν τῷ Θεῷ κεκρυμμένον ἐδιδάσκετο σκοπόν· καὶ γοῦν ὁ Σωτὴρ ἔφη περὶ αὐτοῦ τοῖς ἀνοσίοις Ἰουδαίοις προσλαλῶν "Ἀβραὰμ ὁ πατὴρ ὑμῶν "ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε καὶ "ἐχάρη." οὐκοῦν δι' ὑπακοῆς καὶ θυσίας ὁ θεσπέσιος Ἀβραὰμ φίλος ἐκλήθη Θεοῦ, καὶ τὸ τῆς δικαιοσύνης ἀνε 2.580 δύσατο καύχημα· καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ θείων ἠξιώθη λόγων, καὶ βουλὴν ἔγνω Θεοῦ, τὴν ἐπ' ἐσχάτοις γενομένην καιροῖς. ἐπὶ συντελείᾳ γὰρ τῶν αἰώνων ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ Χριστὸς, τὸ ἱερὸν ὄντως καὶ ἅγιον θῦμα τὸ αἶρον τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἀλλ' ὅρα μοι πάλιν τὰ ἴσα πληρούμενα καὶ ἐπὶ τῶν διὰ πίστεως εἰς φιλίαν ἀναβαινόντων τοῦ Σωτῆρος ἡμῶν Χρι στοῦ· ἤκουσαν καὶ αὐτοὶ "Ἔξελθε ἐκ τῆς γῆς σου." καὶ ὅτι δεδράκασι προθύμως, ἄκουε τί φασιν "Οὐ γὰρ ἔχομεν "ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν· "ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός." μέτοικοι γάρ εἰσι καὶ παρεπίδημοι ἐπὶ τῆς γῆς, τοῖς ἄνω πολιτευόμενοι, καὶ τὴν μὲν ἐνεγκοῦσαν ἀφέντες, ὅσον ἧκεν εἰπεῖν εἰς φρόνημα τὸ φιλόθεον, γλιχόμενοι δὲ τῆς ἄνω μονῆς. ταύτην γὰρ αὐτοῖς ὁ Σωτὴρ ὑπέδειξε λέγων "Πορεύομαι καὶ ἑτοιμάσω τόπον "ὑμῖν· ὅτε δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔλθω, παραλήψομαι ὑμᾶς μετ' ἐμαυτοῦ, ἵνα "ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε." ἤκουσαν ἐξελθεῖν ἀπὸ τῆς συγγενείας αὐτῶν. καὶ πῶς τοῦτο δείξομεν; αὐτόν σοι παροίσομεν λέγοντα τὸν Χριστόν "Ὁ φιλῶν πατέρα ἢ "μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος." ὅτι δὲ συγγενείας τῆς ἐπιγείου καὶ σαρκικῆς προτετίμηται τὰ παρὰ Θεοῦ, καὶ πολὺ δὴ κρείττων ἡ εἰς Χριστὸν ἀγάπη τέθειται, παρά γε τοῖς σεβομένοις αὐτὸν ἀληθῶς οὐκ ἀμφίλογον. καὶ ὁ μὲν μακάριος Ἀβραὰμ τὸν ἴδιον υἱὸν εἰς ὀσμὴν εὐωδίας προσ αγαγεῖν τῷ Θεῷ διεκελεύετο· οἱ δὲ τὴν ἐν πίστει δικαιοσύνην περιζωσάμενοι, οὐχ ἑτέρους προσαγαγεῖν, ἀλλ' ἑαυτοὺς ἐκ ελεύσθησαν· παραστήσατε γάρ φησι "τὰ σώματα ὑμῶν "θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν "λατρείαν ὑμῶν·" ὅτε καὶ γέγραπται περὶ αὐτῶν "Οἱ γὰρ "τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς πα "θήμασι καὶ ταῖς ἐπιθυμίαις." ἔγνωσαν δὲ καὶ αὐτοὶ τὸ ἐν Χριστῷ μυστήριον. ἴσασι γὰρ "δυνάμεις μέλλοντος 2.581 "αἰῶνος," καὶ τὰ ἐν ἐσχάτοις ἐσόμενα καιροῖς, ὅτι τῶν ἰδίων ἀπολήψονται πόνων τοὺς μισθοὺς, καὶ τῆς εἰς Χριστὸν εὐσεβείας ἀντικομιοῦνται τὴν ἀμοιβήν. οὐκοῦν δίκαιοί τε καὶ φίλοι Θεοῦ χρηματιοῦμεν, καθάπερ Ἀβραάμ. ἀρχαιο τέρα δὲ σφόδρα τῆς νομικῆς πολιτείας ἡ εὐαγγελικὴ, τουτ έστιν, ἡ διὰ πίστεως καὶ φιλίας Θεοῦ, ἐν πρώτῳ μὲν τότε διαπεπλασμένη τῷ Ἀβραὰμ, ὡς ἐν ἀρχῇ τοῦ κατὰ σάρκα γένους, τουτέστι τοῦ Ἰσραήλ· ἐρχομένη δὲ νυνὶ, καθάπερ ἐκ τύπου πρὸς ἀλήθειαν, πληρουμένη τε καλῶς ἐν αὐτοῖς τοῖς ἁγίοις μαθηταῖς, ὡς ἐν ἀπαρχῇ τοῦ κατὰ πνεῦμα γένους, τοῦ καὶ περιποιουμένου εἰς περιποίησιν λαοῦ, ὃς καὶ ἔθνος ἅγιον καὶ βασίλειον ἱεράτευμα προσαγορεύεται· διὸ καὶ πρὸς τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Συναγωγὴν, διὰ τῆς τοῦ ψάλλοντος εἴρηται φωνῆς "Ἀντὶ τῶν πατέρων "σου ἐγενήθησαν οἱ υἱοί σου." καίτοι γὰρ ὄντες υἱοὶ τῆς Ἰουδαίων συναγωγῆς οἱ θεσπέσιοι μαθηταί· ἔθεσι γὰρ ἀνε τράφησαν τοῖς Μωυσαϊκοῖς· γεγόνασιν εἰς πατέρας, τὴν τοῦ Ἀβραὰμ ἐπέχοντες τάξιν, καὶ γένους ἀρχὴ κατέστησαν τοῦ πνευματικοῦ, ἄρχοντές τε διὰ τοῦτο κεχειροτόνηνται κατὰ πᾶσαν τὴν οἰκουμένην ἱερουργοῦντες τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καθάπερ ἐκεῖνος ἐν τύπῳ Χριστοῦ τὸν Ἰσαάκ. ταῦτά φαμεν, οὐχὶ τῆς ὀφειλομένης αὐτῷ καὶ πρεπούσης δόξης ἔξω τιθέντες τὸν μακάριον Ἀβραὰμ, ἀλλ' ὡς ἐν τύπῳ δει κνύοντες ἐν αὐτῷ τὰ ἐν ἐσχάτοις καιροῖς οἰκονομηθέντα διὰ Χριστοῦ. παρέπεται τοίνυν καὶ συνέζευκταί πως τῇ διὰ πίστεως ἐλευθερίᾳ, τὸ τῆς πρὸς Θεὸν φιλίας ἀξίωμα, ὅπερ ὤφθη μὲν ἐν πρώτῳ τότε τῷ Ἀβραάμ· νυνὶ δὲ πάλιν, ὡς ἐν ἀπαρχῇ τοῖς ἁγίοις μαθηταῖς. παρακομίσαι δέ πως ἐπὶ τὸ ταῦτα χρῆναι λέγειν ἡμᾶς ὁ θεσπέσιος Παῦλος, οὐ μετρίως τοῖς Ἰουδαίοις φιλονεικῶν, ὅτι· τῆς κατὰ νόμον δικαιοσύνης πρεσβυτέρα λίαν ἐστὶν ἡ ἐκ πίστεως. ὅτε γὰρ 2.582 τὸν τῆς κατὰ σάρκα περιτομῆς ἐποιεῖτο λόγον, οὐχ ἑτέρου τινὸς χάριν δεδόσθαι ταύτην διισχυρίσατο τῇ τοῦ γένους ἀπαρχῇ, τουτέστι τῷ Ἀβραὰμ, ἢ τοῦ γενέσθαι "σημεῖον καὶ "σφραγῖδα τῆς ἐν ἀκροβυστίᾳ πίστεως." εἰ δὲ πρὸ νόμου ἡ ἀκροβυστία μεθ' ἧς καὶ ἡ πίστις, μετὰ δὲ τὸν νόμον ἡ περιτομὴ τὸ ἐκ πίστεως οὐκ ἔχουσα καύχημα, πεπίστευκε δὲ Ἀβραὰμ ἐν ἀκροβυστίᾳ· πῶς οὐ πρεσβυτέρα τῆς ἐν νόμῳ πολιτείας ἡ διὰ πίστεως ἔσται δικαιοσύνη, δικαιουμένων τε καὶ ἐλευθερουμένων διὰ τῆς εἰς Θεὸν φιλίας, καθάπερ Ἀ βραάμ; οὕτω γὰρ ἔσται καὶ "πατὴρ πολλῶν ἐθνῶν," ἐξ ἐπαγγελίας, οὐ κατὰ σάρκα. καὶ ταῦτα νυνὶ χρησίμως εἰρή καμεν, διὰ τὸ φάναι τὸν Κύριον Οὐκέτι λέγω ὑμᾶς δούλους· ὑμεῖς φίλοι μου ἐστὲ, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς ἀνήγγειλα ὑμῖν. Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ τέθεικα ὑμᾶς ἵνα ὑπάγητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα ὅ τι ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου δώσει ὑμῖν. Οὔτε τοῖς ἄγαν δυσαχθεστέροις καταφορτίζεσθαι λόγοις τοὺς ἁγίους ἐφίησι μαθητὰς, τὸ πολὺ νενευκὸς εἰς ἀσθένειαν τῶν ἀνθρωπίνων λογισμῶν οὐκ ἀγνοήσας, ὡς Θεὸς, οὔτε μὴν ταῖς ὑπερμέτροις θυμηδίαις ἐᾷ διακεῖσθαι πρὸς τὸ εὐόλι σθον· νόσημα γάρ πως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τοῦτο πικρόν· μίαν δὲ ὥσπερ ἐξ ἀμφοῖν διακεράσας μεσότητα, ποδηγεῖ καθηκόντως εἰς ἀσφαλῆ τρίβον, καὶ πολιτείας αὐτοῖς τῆς ἑδραιοτέρας, καὶ σφαλερότητος ἁπάσης ἀπηλλαγμένης ἐνεργάζεται γνῶσιν. διαρκέστατα τοίνυν αὐτοὺς τοῖς εἰς παράκλησιν ἐπαλείψας λόγοις, καὶ ἐφ' οἷς ἦν εἰκὸς καταστυγνάσαι πρέπειν, χαίρειν ἀναπείσας ἐξ ἀντιστροφῆς, ταῖς εἰς φιλεργίαν ἐντολαῖς 2.583 παραθήγει πάλιν εἰς εὔτολμον φρόνημα, καὶ διὰ πάσης ἰόν τας σπουδῆς καὶ τὸν ἐξαίρετον εἰς φιλαλληλίαν ἐπιτηδεύον τας τρόπον, ὠφελεῖν κελεύει τοὺς ἀπίστους ἔτι, καὶ τοῖς εἰς εὐσέβειαν λόγοις τε καὶ πράγμασι σαγηνεύειν ἐπείγεσθαι τοὺς πεπλανημένους, εἰς τὸ θέλειν διὰ πίστεως κολλᾶσθαι Θεῷ. Ἑαυτὸν τοιγαροῦν εἰκόνα καὶ τύπον τοῦ πράγματος παραθεὶς, καὶ παρενεγκὼν εἰς μέσον τὸ εἰς αὐτοὺς ἤδη τετε λεσμένον αὐτῷ, μιμεῖσθαί τε πείθει τὸν διδάσκαλον, καὶ τοῖς ἴσοις διαλάμπειν αὐτοὺς κατορθώμασι, λέγων Οὐχ ὑμεῖς με ἐξελέξασθε ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην, καὶ τὰ τούτοις ἐφεξῆς. ἐννόει γὰρ λέγοντα τυχόν Περιζώσασθε τὴν εἰς ἀλλήλους ἀγάπην, ὦ μαθηταί· ταῦτα γὰρ δήτοι φρονεῖν τε καὶ δρᾶν εἰς ἑτέρους ὀφείλετε καὶ ὑμεῖς αὐτοὶ, καὶ διὰ συντόνου σπου δῆς ἐργάζεσθαι φιλεῖν, ἅπερ εἰς ὑμᾶς ἐγὼ τετέλεκα φθάσας. ἐγὼ γὰρ ἐξελεξάμην ὑμᾶς· οὐκ ἐμὲ μᾶλλον ὑμεῖς. ἐγὼ προσηγαγόμην καὶ γνώριμον μὲν οὐκ εἰδόσι κατέστησα δι' ὑπερφυᾶ γαληνότητα, εἰς ἑδραίαν δὲ οὕτως ἀνεκόμισα γνώ μην, ὥστε ὑμᾶς ἀνάγειν, τουτέστιν, ἀεὶ πρὸς τὸ μεῖζον ἐκ τείνεσθαι καὶ καρποφορεῖν δύνασθαι τῷ Θεῷ. διά τε τούτου πρὸς τοσαύτην ἴοιτε παῤῥησίαν, ὥστε καὶ ὅ τι ἂν αἰτῆτε λοιπὸν ἐπὶ τῷ ὀνόματί μου, τοῦτο καὶ λαβεῖν. οὐκοῦν ἐπείπερ τῶν ἐμῶν κατ' ἴχνος βαίνετε λόγων τε καὶ διοικήσεων, καὶ τὴν τοῖς γνησίοις πρέπουσαν μαθηταῖς περιζώσασθαι γνώ μην, οὐκ ἀνακόπτειν ἀκόλουθον περιμένοντας ἁπλῶς τὸν εἰς πίστιν αὐτόμολον, καὶ αὐτόκλητον εἰς εὐσέβειαν· ἑαυτοὺς δὲ μᾶλλον τοῖς ἀγνοοῦσιν ἔτι καὶ πλανωμένοις προσάγειν χειραγωγοὺς, καὶ προσκομίζειν καὶ τοῖς οὔπω μαθεῖν ἑλο μένοις τὸ σωτήριον κήρυγμα, παρακαλεῖν τε προθύμως πρὸς τὴν τῆς ἀληθοῦς θεογνωσίας ἰέναι κατάληψιν, κἂν ἄποτρα χύνηταί πως εἰς ἀπείθειαν τῶν ἀκουόντων ὁ νοῦς. εἶεν γὰρ 2.584 ἂν οὕτω καὶ αὐτοὶ καθ' ὑμᾶς, τουτέστι, προκόψουσι καὶ ἀπελεύσονται ταῖς εἰς τὸ ἄμεινον ἐπιδόσεσιν εἰς καρποφο ρίαν τὴν ἐν Θεῷ, ὡς καρπὸν μὲν ἔχειν τὸν ἀεὶ μένοντα καὶ σωζόμενον, προσευχὴν δὲ οὕτω δεκτὴν, ὡς ὅπερ ἂν βούλων ται λαβεῖν, εἰ μόνον αἰτοῖεν ἐπὶ τῷ ὀνοματί μου. Οὐκοῦν· χρῆναι γὰρ πάλιν, ὡς ἐν ὀλίγοις συνελόντα τὸν τοῦ προκειμένου σκοπὸν, σαφῆ καταστῆσαι τοῖς ἀκροωμέ νοις· τοιαύτην ἔχειν εἰς ἑτέρους ἀναπείθει τοὺς μαθητὰς τὴν ἀγάπην, καὶ τοιαύτην αὐτοὺς ἐπιτηδεύειν θέλει τὴν προθυ μίαν εἰς τὸ μηδαμόθεν κατοκνεῖν τὰς τῶν οὔπω πεπιστευκότων ψυχὰς φιλοθηρεῖν εἰς εὐσέβειαν, ὁποίαν περ φθάσας αὐτὸς εἰς ἡμᾶς ἤτοι πρὸς αὐτοὺς ἐνεδείξατο. ὅτι γὰρ αὐτὸς ἐπελέ ξατο τοὺς μαθητὰς οὐκ ἀμφίβολον, καὶ περιττὸν οἶμαι λέγειν, ὅπως τε καὶ τίνα τρόπον ἡ ἑκάστου γέγονε κλῆσις· πλὴν ὅτι τοιοῦτον ὠδίνει τὸν σκοπὸν τοῦ Σωτῆρος ὁ λόγος, ὁποῖον ἔφην ἀρτίως, οὐδὲν ἧττον ἡμᾶς ἀναπείσει τὰ ἐφεξῆς· ταῦτα γάρ φησι λελάληκα ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλή λους. ἢ γὰρ οὐχὶ τῆς ἀνωτάτω πασῶν ἀγάπης ἔργον εἶναι δώσομεν τὸ ἐπιλέξασθαί τε καὶ καλέσαι πρὸς ὑπακοὴν τῷ Θεῷ τοὺς ἀπίστους ἔτι καὶ πλανωμένους; ἀλλ' ἔστιν οὐκ ἀμφίβολον. ὃ καὶ δρᾶν ἠπείγετο λέγων ὁ Παῦλος "Ὑπὲρ "Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος "δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ·" καὶ μὴν ὁ Πέτρος τοῖς Ἰουδαίοις δήμοις ἐν παῤῥησίᾳ λαλῶν "Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ "καὶ οἱ ἄρχοντες ὑμῶν· μετανοήσατε οὖν καὶ βαπτισθήτω "ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι "στοῦ." ὁρᾷς ὅπως μὲν καὶ τοῖς οὔπω πεπιστευκόσιν ὑπαν τῶσι μὲν προθυμότατα, τὸν δὲ οὔπω ζητηθέντα προκομίζουσι λόγον, οὐ τοῖς ἀγνοοῦσιν αὐτοῖς ἐπιτρέποντες τὸ χρῆναι 2.585 πρώτους αὐτοὺς ἐπιλέγεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διδασκάλους, ἀλλὰ φθάνοντες εἰς τοῦτο καὶ τὸν οὔπω μαθεῖν τι τῶν ἀναγκαίων ἐθέλοντα. Ἐπειδὴ δὲ τοῖς τοῦ Σωτῆρος ἡμῶν πρόσκειται λόγοις τό Ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ· τί ποτε ἄρα καὶ τοῦτο δηλοῖ ζητῆσαι προσήκει. τί γὰρ ἂν νοοῖτο καὶ πῶς τὸ λέγειν, ὅτι μένει τῶν μαθητῶν ὁ καρπός; οἶμαι τοίνυν, ὅτι καρπὸν μένοντά φησιν ὁ Σωτὴρ, τὸν διὰ τῆς εὐαγγελικῆς παιδεύσεως, καὶ οὐχὶ τῆς ἐν νόμῳ δικαιοσύνης. πεπαλαίωται γὰρ ἐκείνη διὰ τὸ μηδὲν δύνα σθαι πληροῦν. τετελείωκε γὰρ ὁ νόμος οὐδὲν, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἀντανέθαλε δὲ ὥσπερ καὶ ἀντανέκυψεν ἡ καινὴ, παλαιοῦσά τε τὴν πρώτην καὶ ἀφανίζουσα, καὶ τὸν ἀληθῶς μένοντά τε καὶ σωζόμενον εἰσφέρουσα καρπόν. τοι γάρτοι καὶ Παῦλος ἡμῖν ὁ θεσπέσιος προσλαλῶν, ἥδιστά τε καὶ εὐμενῶς τὴν ἐν νόμῳ δικαιοσύνην ἐζημιῶσθαί φησιν, ἵνα κερδάνῃ Χριστὸν, τουτέστι, διὰ πίστεως τῆς εἰς αὐτὸν, δικαιοσύνην καὶ καρποφορίαν εὐαγγελικήν· διαμενεῖ γὰρ ὁ τοιοῦτος καὶ διηνεκὴς ἔσται καρπὸς, πληρεστάτην εἰς εὐσέ βειαν τὴν τοῦ ἀνθρώπου ψυχὴν ἀποτελεῖν δυνάμενος. οὐ γὰρ τοῖς εὐαγγελικοῖς κηρύγμασι καινή τις ἑτέρα παρεισδρα μεῖται παίδευσις παλαιοῦσα τὴν πρώτην· καθάπερ ἀμέλει γέγονεν ἐπὶ τῆς διὰ Μωυσέως ἐντολῆς, ἀλλ' εἰς αἰῶνα στήσεται τοῦ Σωτῆρος ὁ λόγος, καθά που καὶ αὐτός φησιν "Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ "μὴ παρέλθωσιν." Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκε. Τῆς τῶν ἰατρῶν ἐμπειρίας καὶ ἐξαιρέτου τέχνης, οὐδὲν οἶμαι παντελῶς ἀποδέουσαν τὴν τοῦ Σωτῆρος εὑρήσομεν μέθοδον, ἣν ἐφ' ἑκάστῳ ποιεῖται πράγματι, πανταχόθεν τὸ 2.586 λυσιτελὲς τοῖς ἀκροωμένοις ἀεὶ μηχανώμενος. οἱ μὲν γὰρ τὴν ἐσομένην ἔσθ' ὅτε ἐν τοῖς σώμασι τῶν παθῶν δυστρο πίαν ἀνασειράζουσι ταῖς ἀπὸ τῆς τέχνης ἐπαγωγαῖς· ὁ δὲ τὴν εἰς τὸ πρόσω πάροδον ἀποφράττει τοῖς κακοῖς, προφυ λακτικαῖς ὥσπερ τισὶ προανατειχίζων ἐντολαῖς τὴν ἑκάστου ψυχήν. ἐπειδὴ τοίνυν ἔμελλον οὐκ ἐφ' ἑνὸς ἔθνους τυχὸν, ἀλλ' οὐδὲ ἐπὶ χώρας μιᾶς προεδρεύειν οἱ μαθηταὶ, καθη γήσασθαι δὲ μᾶλλον ἁπάσης τῆς ὑφ' ἡλίῳ, καὶ τοῖς κατὰ πᾶσαν τὴν οἰκουμένην τὸν εὐαγγελικὸν καὶ θεῖον διακηρῦξαι λόγον, παρατρέπειν τε τοὺς ἀκροωμένους ἐπὶ τὸ μόνῳ τῷ Θεῷ δοκοῦν, καὶ μεταθήσειν ἐξ ἁμαρτίας ἐπὶ τὸ βούλεσθαι δρᾶν τὰ αὐτοῖς πρέποντα, καὶ κανόνα τῆς ἑαυτῶν ζωῆς ποιεῖσθαι τὸν νόμον, φημὶ δὲ τὸν εὐαγγελικὸν, ἀναγκαίως αὐτοῖς παρ' οὐδὲν ποιεῖσθαι κελεύει τὸ παρὰ τοῦ κόσμου μισεῖσθαι, τουτέστι, παρὰ τῶν φρονούντων τὰ ἐν κόσμῳ, καὶ φιληδόνως τε καὶ ἀσεβῶς ζῆν ἑλομένων. καὶ τίς ἂν εἴη πάλιν ὁ τούτου λόγος; ἆρα γὰρ, εἰπέ μοι, φήσειεν ἄν τις τυχὸν, τὰ τοιαῦτα τοῖς ἑαυτοῦ μαθηταῖς διακελεύεσθαι δεῖν ἐδοκίμασεν ὁ Χριστὸς, ἐπωφελές τι χρῆμα τὸ μισεῖσθαι δεικνὺς, ἀδιακρίτως τε καὶ ἐπ' οὐδενὶ τυχὸν τῶν ἀναγκαίων εἰς ὄνησιν; ἄπαγε τῆς ἀμαθίας· οὐ γὰρ ἂν εἰς τοῦτο διώ λισθεν ὁ λόγος αὐτῷ· τὸ μισεῖσθαι δὲ οὐχ ἁπλῶς οὐ σφόδρα φυλάττεσθαι παρὰ παντὸς συμβουλεύει, διωρι σμένως φησὶν ἄριστά τε καὶ διακεκριμένως Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, τουτέστιν, εἰ καὶ μέλλοιεν ὑμᾶς διὰ μίσους ἔχειν οἱ τὰ ἐν κόσμῳ τετιμηκότες, καὶ μόνα φρονοῦντες τὰ ἐπὶ τῆς γῆς, ἴστε δὴ τότε, φησὶ, προπεπονθότα τοῦτο τὸν Διδάσκαλον. ὅτι δὲ τοῖς τῶν καλλίστων εἰσηγηταῖς οὐ μετρίαν οἴσει τὴν ὄνησιν τοῦ Σωτῆρος ἡ ἐντολὴ, κατίδοι τις ἂν εὖ μάλα ῥᾳδίως, εἰ τῇ τῶν πραγμάτων ἐνορῴη φύσει. φίλον μὲν γάρ πως ἀεὶ, μᾶλλον δὲ ὡς ἐπίπαν ἐσπουδα 2.587 σμένον τοῖς τῶν αἰσχίστων ἐρασταῖς, καὶ τοῖς εἰς ἄκρον ἥκουσι βδελυρίας κοσμικῆς, παρακρούεσθαι μὲν ὡς δυσαχθῆ καὶ ἀλλόκοτον τὸν σωφρονίζοντα λόγον, ἐπιφύεσθαι δὲ τοῖς εἰσηγεῖσθαι σπουδάζουσι τὰ τῶν μαθημάτων ἄριστα καὶ τὰ δι' ὧν ἀμείνους ἔσονται ἢ πρότερον ἦσαν, μόναις ταῖς ἰδίαις ἡδοναῖς τὸ κρατεῖν ἐπιτρέψαντες. ἀλλὰ γὰρ μικροῦ μέ τι τῶν ἀναγκαίων παρελάσαν ᾤχετο, καίτοι ταῖς τῶν προκειμένων θεωρίαις ὅτι μάλιστα πρέπον τε καὶ χρεωστού μενον. Ἰουδαῖοι μὲν γὰρ μόνῳ τῷ Μωυσαϊκῷ προσεδρεύοντες γράμματι, καὶ τοῖς ἐν τύπῳ τετελεσμένοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"μέχρι καιροῦ "διορθώσεως" τὸν οἰκεῖον ἐνιδρύσαντες νοῦν, τῆς εὐαγγε λικῆς παιδεύσεως οὐδένα μὲν τὸ παράπαν ἐποιοῦντο λόγον, τοὺς δέ γε πρεσβευτὰς, φορτικοὺς ἡγεῖσθαι μᾶλλον τῶν σφόδρα πολεμιωτάτων ᾤοντο δεῖν· οἱ δὲ τὴν ἑτέραν μετι όντες πλάνησιν, καὶ τὴν ἄῤῥητον τοῦ Θεοῦ δόξαν περιτι θέντες τῇ κτίσει, φημὶ δὲ τοὺς ἐξ ἐθνῶν, οὐ λίαν ἀσμένως τὸν καταλαμπρύνειν αὐτοὺς εἰδότα παρεδέχοντο λόγον. ἐντετηκότες γὰρ ὥσπερ τοῖς ἀρχαίοις κακοῖς, φιλαιτάτην ἐποιοῦντο τὴν ἀμαθίαν, καὶ συντρόφου νοσήματος ἀποφοιτᾶν ἦσαν ὅτι μάλιστα δυσοκνότατοι. οὕτω τοιγαροῦν τῆς τῶν πραγμάτων ἐχούσης φύσεως, τίς ἂν ἐνδοιάσαι λοιπὸν ὡς ἔμελλον ἔσεσθαι τοῦ Σωτῆρος οἱ μαθηταὶ, στυγητοὶ μὲν τοῖς Ἰουδαίοις, διεπτυσμένοι δὲ παρὰ τοῖς τὴν Ἑλλήνων νοσοῦσι πλάνησιν· ἥκιστα δὲ ἡδεῖς, μᾶλλον δὲ δυσαχθέστατοι τοῖς φιληδονεῖν ἑλομένοις, καὶ τὸν ἐξίτηλον ἐν τρυφαῖς τετιμη κόσι βίον; ἀλλ' εἴπερ ἔμελλον τοῦ Σωτῆρος οἱ μαθηταὶ, τὸ μὲν ὑπό του μισεῖσθαι τυχὸν τῶν ἤδη κατειλεγμένων ποιεῖ σθαι φορτικὸν, ζηλοῦν δὲ μᾶλλον ἐπείγεσθαι καὶ φιλοθηρεῖν ἐκτόπως καὶ τὴν παρὰ τῶν τὰ τοιαῦτα νοσούντων ἀγάπησιν, πῶς οὐ πᾶσι προδηλότατον, ὡς οὐκ ἂν ἐγένοντο περιφανεῖς, 2.588 οὐδενὶ τὸ παράπαν τὸν ὠφελεῖν ἰσχύοντα προϊσχόμενοι λόγον, κομψείαις δὲ μᾶλλον ἐπιδιδόντες τὰ φρονήματα, καὶ τὸν μὲν ἐκ παῤῥησίας τῆς κατὰ Θεὸν συστείλαντες ἔλεγχον, τὸ γεμὴν ἑκάστῳ μᾶλλον ἡδὺ λαλοῦντές τε καὶ εἰση γούμενοι; Ἀναγκαία τοιγαροῦν ἡ παραίνεσις τοῦ μὴ σφόδρα φιλεῖ σθαι ζητεῖν, ποιεῖσθαι δὲ παρ' οὐδὲν τὸ καὶ διὰ μίσους ἰέναι τισὶν, ἔστ' ἂν αὐτοῖς τὸ ἐκ τῆς νουθεσίας ὑπάρχοι χρήσιμον. τοῦτό τοι καὶ Παῦλον δεδρακότα θεωρήσομεν καὶ εἰρηκότα σαφῶς "Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν Θεόν; ἢ ζητῶ "ἀνθρώποις ἀρέσκειν; εἰ ἔτι ἀρέσκειν ἀνθρώποις ἤθελον, "Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην." ἐπιτιμήσας δὲ πάλιν τῶν ἐν Κορίνθῳ τινὶ, ἀφορήτως τε λίαν ἀπηλγηκότα τοῦτον μαθὼν, φησίν "Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ "εὐφραίνων με εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; ἡ γὰρ κατὰ "Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατερ "γάζεται." ἔσται τοιγαροῦν οὐδαμόθεν ἀμφίλογον, ὡς κολα κεύσει μὲν τὸν κόσμον ἤπερ ὀνήσει μᾶλλον ὁ καθ' ἡδονὴν τοῖς ἀκροωμένοις ἐσόμενος λόγος, καὶ οὐχὶ τὴν τοῦ συμφέ ροντος γνώμην παρατιθείς· ὁ δὲ τοῖς τοῦ Σωτῆρος πειθό μενος λόγοις, οὐχὶ τοῦτο πρεσβεύσει· πόθεν; προελεῖται γὰρ μᾶλλον τὸ ἀρέσκειν αὐτῷ, καὶ πνευματικὸν ἡγήσεται πλοῦ τον καὶ τὸ μισεῖσθαι λοιπὸν παρὰ τῶν ἡγεῖσθαι πολεμιω τάτην τὴν ἀρετὴν ἑλομένων. Ὅταν τοίνυν, φησὶ, ταῖς ὑμετέραις εὐδοκιμήσεσιν ἀντι πράττειν ἔσθ' ὅτε ὁρῷτο κεκινημένον τὸ μισεῖσθαι παρὰ τοῦ κόσμου· νικάσθω, καὶ τοῦτο διαῤῥίπτεσθαι τὸ παραπόδισμα, διὰ τοῦ μὴ λίαν ἐφήδεσθαι ταῖς τῶν ἀγαπώντων αὐτὸν τιμαῖς, εἰ μὴ τοῦ πεφυκότος ὠφελεῖν ἀνέχοιντο λόγου· ὁράσθω δὲ μηδαμῶς τὸ μισεῖσθαι φορτικὸν, ἐμοῦ τοῦτο προπεπονθότος. εἰμὶ δὲ δηλονότι Κύριος καὶ διδάσκαλος. 2.589 ὅτι δὲ ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν κεφαλῆς καὶ αὐτὸν μεμισή κασι τὸν Χριστὸν, οἱ τὰ ἐν κόσμῳ φρονεῖν ᾑρημένοι, καὶ τῶν οὐρανίων ὑπερφρονήσαντες ἀγαθῶν, οὐκ ἔργον οἶμαι δεικνύειν. ἔφη γὰρ αὐτὸς ἐν τοῖς εὐαγγελίοις πρός τινας "Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ "μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστι." τύπον οὖν ἄρα τοῖς ἁγίοις ἀποστόλοις τὰ καθ' ἑαυτὸν κἀν τούτῳ δὴ πάλιν παραθεὶς, ἰχνηλατεῖν κελεύει καὶ τὴν ἐπὶ τούτοις ὁδὸν, ὅτε καὶ διαῤῥήδην ἔλεγεν ἑτέρωθί ποι πάλιν "Μακάριοί ἐστε ὅταν διώξωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ "εἴπωσι πᾶν πονηρὸν καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· "χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν "τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς "πρὸ ὑμῶν." Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Ἐλαφρὸν ἐκ τέχνης καὶ τὸ πάντων ὅτι μάλιστα δυσαχθέ στατον, καὶ ἐφ' ᾧπερ ἦν εἰκὸς οὐ μετρίως δυσχεραίνειν, παραδόξως ἥδεσθαι ποιεῖ. φορτικὸν μὲν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ὄντως τὸ μισεῖσθαι πρός τινων, διὰ τὰ ἐντεῦθεν ἔσθ' ὅτε διεκκύπτοντα βλάβη καὶ ἀδοκήτους ἐπιβουλὰς, ἀλλ' ἡδὺ καὶ τοῦτο διὰ Θεὸν, καὶ ὅταν συμβαίνῃ δι' εὐσέβειαν, ἀπόδειξιν ἐναργε στάτην εἰσφέρει τοῦ μὴ εἶναι κοσμικὸν, τὸν ἐφ' ᾧπερ ἂν πράττοιτο παρά τινων. ὥσπερ γὰρ σωμάτων, οὕτως οἶμαι καὶ τρόπων συγγενείας εὑρήσομεν, καὶ τῶν ἐθῶν ἡ ταυτότης, καὶ ἡ κατὰ πᾶν ὁτιοῦν ὁμοιότης, τὴν ἐξ αἵματος ἀγχιστείαν ὑποδραμεῖν ἱκανή· "Πᾶν γὰρ ζῷον ἀγαπῶν τὸ ὅμοιον αὐτῷ," κατὰ τὸ γεγραμμένον, "καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθή "σεται ἀνήρ·" τῆς δὲ ὁμοηθείας δηλονότι τὸν τῆς εἰς ἀλλήλους ἀγάπης ἀνανεούσης νόμον, ἅγιος μὲν ἁγίῳ συν 2.590 διαιτήσεται, καὶ λίαν ἡδέως ἔσεται κατὰ ταὐτὸν καὶ συνέ σται φιλοφρόνως· βεβήλῳ δὲ πάλιν ὁ τοιοῦτος τὸν τρόπον. ταύτῃτοι καὶ νόμος ὁ διὰ Μωυσέως διαστολὴν ἐποιεῖτο τὴν ἀνὰ μέσον ἁγίου τε καὶ βεβήλου φημὶ, ἄμικτά πως ἀλλήλοις καὶ ἀσύγχυτα τὰ τοιαῦτα τηρῶν, κατά γε τὸν ἐν ἀγάπῃ λόγον· "Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαὶ," καὶ πολεμεῖ πως ἀλλήλοις τὰ ἑτεροτροπεῖν ᾑρημένα, καὶ τὰ τοῖς εἰς τὸ ἐναντίον βλέπουσι διῳκισμένα θελήμασι μονονουχὶ καὶ ἀλλήλων κατηγορεῖ, ἑκατέρου τὸ οἰκεῖον θαυμάζοντος ἐπιτήδευμα. οὐκοῦν ἀνάγκη μισεῖσθαι τὸν φιλάρετον, δι' ὧν αὐτὸς θαυμάζοιτο τὴν φαυλότητα διελέγχοντα, καὶ τὸ ἐν τοῖς πονηροῖς αἶσχος ἀπολευκαίνοντα, τῇ τῶν οἰκείων ἀντι παραθέσει τρόπων· παραδειχθέντος γὰρ τοῦ ἀγαθοῦ, πολλή πως ἀνάγκη τὸ φαῦλον ἀσχημονεῖν. διὰ ταύτην οἶμαι τὴν αἰτίαν τοῖς φιλαρέτοις ἐπιμεμήνασιν οἱ μὴ τὸν ἴσον αὐτοῖς ἐζηλωκότες τρόπον. οὐκ ἐᾷ τοιγαροῦν λυπεῖσθαι τοὺς μαθη τὰς, κἂν ἀπηχθημένους ἑαυτοὺς ὁρῶσι τῷ κόσμῳ διὰ τὸ φιλάρετον καὶ τὴν εἰς αὐτὸν εὐσέβειαν, χαίρειν δὲ μᾶλλον ἐκ τῶν ἐναντίων εἰσηγεῖται δεῖν, δεχομένους εἰς ἀπόδειξιν τοῦ παρὰ Θεῷ λαμπροὺς ἔσεσθαι καὶ λόγου παντὸς ἀξίους, τὸ μισεῖσθαι παρὰ τοῦ κόσμου. βλέπε γὰρ ὅπως σφαλερὸν ἀπέδειξεν, ὅπερ ἦν εἰκὸς ἑλέσθαι τυχὸν, τληπαθεῖν οὐκ ἀνεχομένους. τὸ μὲν γὰρ μισεῖσθαι παρά τινων, ἦν δήπου πάντως οὐχ ὁλοκλήρως ἀζήμιον· ἀλλ' οὐκ ἔχει τὴν παραί τησιν ἐλευθέραν παρὰ Θεῷ, πολὺ δὲ δή τι τὸ κέρδος ἐν τῷ μᾶλλον ἐθελῆσαι παθεῖν αὐτό. εἰ γὰρ ὁ μισούμενος παρὰ τῶν τὰ ἐν κόσμῳ πεφρονηκότων, ὡς ἔξω κόσμου λελόγισται, τὸν ἄρα μὴ μισηθέντα, τοῖς τοῦ κόσμου κακοῖς συνδεῖσθαι λοιπὸν ἀνάγκη νοεῖν. Τί οὖν ἄρα διὰ τούτων ᾠκονόμησεν ὁ Χριστός; τὸ ἐν παῤῥησίᾳ ποιεῖσθαι τὸν λόγον αὐτοὺς, καὶ μὴ αἰδοῖ τῇ περί τινας τῶν ἡμαρτηκότων, ἤγουν ἀπειθεῖν ἑλομένων τῷ θείῳ 2.591 κηρύγματι, τὸν σωφρονεῖν ἀναπείθοντα διακωλύοντας λόγον, ἀνωφελήτους ἐᾶν τοὺς ἀκροωμένους, παριππεύοντας δὲ καὶ τὰ ἐκ τοῦ μισεῖσθαι πολλάκις ἐσόμενα βλάβη γοργῇ καὶ ἀνυποστόλῳ κεχρῆσθαι τῇ συμβουλῇ, μηδὲν τὸ παράπαν ὑφορωμένους, ἤγουν προὐργιαίτερόν τι λογιζομένους τοῦ δεῖν ἀρέσαι Θεῷ. ὃ δὴ καὶ Παῦλος ἄριστα κατορθῶν, οὕτω γράφει "Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν Θεόν; ἢ ζητῶ "ἀνθρώποις ἀρέσκειν; εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ "δοῦλος οὐκ ἂν ἤμην." οὐ γάρ ἐστιν οὐκ ἔστι πονηροῖς ἀρέσκειν καὶ Θεῷ· πῶς γὰρ ἂν ἴοι κατὰ ταὐτὸν ἀμφότερα, πολύ τι εἰς ἀνομοιότητα διῳκισμένης τῆς ἐν ἑκατέρῳ θελή σεως; ἡ μὲν γὰρ εἰς ἀρετὴν, ἡ δὲ εἰς φαυλότητα βλέπει. τὸν ἄρα μονοτρόπως ἐθέλοντα δουλεύειν τῷ Θεῷ, καὶ τῆς εἰς αὐτὸν εὐσεβείας οὐδὲν τιθέντα τὸ ἄμεινον, προσκρούειν ἀνάγκη τοῖς ἀγαπῶσι τὸν κόσμον, ὅταν ἀναπείθῃ φρονεῖν τὰ τῆς τοῦ κόσμου βδελυρίας ἐκφέροντα. δυσφορώτατοι γὰρ τοῖς φιληδόνοις αἱ πρὸς ἕτερόν τι καλοῦσαι συμβουλαὶ, καθάπερ ἀμέλει καὶ τοῖς ὑπὸ τούτων τῶν παθῶν τὸ σῶμα διεφθαρμένοις τὰ ἐπωφελῆ καὶ δάκνοντα τῶν βοηθημάτων. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσι. Προαποδείξας εὖ μάλα καὶ τὸ μισεῖσθαι καλὸν, εἴπερ εἴη καὶ τούτου καιρός· φορητὸν γὰρ ἄγαν, μᾶλλον δὲ τριπό θητον, ὅπερ ἂν συμβαίνῃ διὰ Θεὸν, παραποδισμάτων ἀμεί νους ἐργάζεσθαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυνάμενον· προσαναιρεῖ δὴ χρησίμως ὅπερ οἶδεν ὡς Θεὸς κατοκνήσειν ἀναπεῖθον αὐτοὺς πρὸς τὸ σφόδρα συντείνεσθαι θέλειν περὶ τὸ χρῆναι κηρύττειν τὸν οὐράνιον λόγον. ἑπόμενον γὰρ ἐπὶ πολὺ τοῖς εἰς τὸ διδά σκειν προκεχειρισμένοις τὸ ἀτιμάζεσθαι καὶ κινδυνεύειν, 2.592 ὅταν οὐχ ἡδεῖς τοῖς νουθετουμένοις οἱ παρ' αὐτοῖς εὑρί σκωνται λόγοι, συμβαίνοντός τε πρὸς τούτῳ καὶ τοῦ διώ κεσθαι, μὴ παραδεχθέντος ἔσθ' ὅτε τοῦ λόγου, εὐτρεπεῖς εἶναι καὶ πρὸς ταῦτα λίαν εὐχερεῖς καὶ προθύμως καὶ νεανικῶς διακελεύεται. προμηνύει δὲ ὥσπερ πάντη τε καὶ πάντως ἐσομένων διὰ τὴν τῶν μελλόντων παιδαγωγηθήσεσθαι μοχθηρίαν. τοῦτο δὲ καὶ ἐν ἑτέροις ἐδήλου λέγων "Οὐαὶ "τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γὰρ ἐλθεῖν τὰ "σκάνδαλα." οἰκονομεῖ δὲ πανταχῇ, τὰ καθ' ἑαυτὸν ἐν τούτῳ παραδεικνὺς, ἵνα μὴ μειζόνων ἐφιέμενοι, καθ' ἕτερον τρόπον ἀσχημονοῦντες ἁλίσκωνται, ἀλλ' ὥσπερ ἐξ ἀνάγκης κατόπιν τῆς τοῦ Κυρίου βαίνοντες δόξης τὸ μὴ ὑπὲρ αὐτὸν γενέσθαι σπουδάζωσι· τὸ μὲν οὖν ἀτιμασθήσεσθαι πάντως αὐτοὺς ὑποσημαίνει λέγων Οὐκ ἔστι δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἐμὲ γὰρ, φησὶν, ἀχαλίνῳ μὲν κατεκρότησαν γλώττῃ, λοιδορίας τρόπον ἀνεπιτήδευτον οὐκ ἀφέντες οἱ δείλαιοι, δαιμονῶντα καὶ μέθυσον καὶ πορνείας ἐκάλουν καρπόν. ἀλλ' οὐκ ἐζήτουν παραχρῆμα τὰς δίκας, ἀλλ' οὐδὲ ταῖς παρ' αὐτῶν λοιδορίαις καταδηχθεὶς, τὸν τοῖς ἀκροωμένοις σωτήριον ἀνέκαμψα λόγον. οὐκοῦν μὴ ζητείσθω παρ' ὑμῶν τὸ μεῖζον ἀκαίρως, μηδὲ τῶν τοῦ Κυρίου κατασοβαρεύεσθε μέτρων, πρὸς τοσαύτην ἑαυτὸν δι' ἡμᾶς καταβιβάσαντος τὴν ταπείνωσιν, διὰ τὸ πᾶσι λυσιτελές. οὐκοῦν ἀμείνους ἐργά ζεται καὶ τῆς ἐν λόγοις σκληρότητος καὶ τῆς τῶν φιλο ψογεῖν εἰωθότων ἀνοσιότητος, καθάπερ ἀμέλει καὶ ὁ μακά ριος προφήτης Ἱερεμίας πρὸς αὐτὸ δὴ τοῦτο γεγυμνασμένος ἔλεγεν "Ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με." μειζόνως γεμὴν ὁ θεσπέσιος Παῦλος διαλάμψας ἐν αὐτῷ, καὶ πολὺ καταθλήσας τῆς τῶν ὑβριζόντων ἀνοσιότητος "Λοιδορούμενοι, φησὶν, εὐλογοῦμεν, δυσφημούμενοι παρα "καλοῦμεν." τὸ μὲν γὰρ τῶν τοιούτων καταneανιεύεσθαι 2.593 φιλεῖν, ἔργον ἂν γένοιτο διανοίας πτωχευούσης τῷ πνεύματι, κατὰ τὸ γεγραμμένον, καὶ μετρίῳ κομιδῇ κεκοσμημένης φρονήματι. φύεται γάρ πως καὶ καθάπερ ἐκ ῥίζης ἀνίσχει καλῆς, ἐν τούτῳ δὴ μάλιστα, τὸ μακρόθυμόν τε καὶ ἀνεξί κακον. τὸ δὲ ἀφορήτως ἔχειν εἰς λόγους τοὺς παροτρύνον τας, εἰς πᾶν ἢ καὶ ὁτιοῦν ἀτιμίας εἶδος τῆς παρά τινων, ἔνδειξιν ἂν ἔχοι σαφῆ λογισμοῦ φιλοκόμπου, καὶ τῆς ἐν κόσμῳ φιλοδοξίας οὐ λίαν ἀπηλλαγμένου φρονήματος. τί γὰρ ἂν δράσῃ τυχὸν, ἢ τί ὕβρις ἀδικήσῃ τὸν τῆς ἀτυφίας ἐραστήν; τῷ δὲ μὴ δόξης ἐφιεμένῳ κοσμικῆς, πῶς ἀνιαρὸν ἔσται τὸ λοιδορεῖσθαι πρός τινος; Δόξης οὖν ἄρα ταυτησὶ τῆς εἰκαιοτάτης φημὶ καὶ τῆς ἐν κόσμῳ τετιμημένης ἄνω βεβηκότα τὸν νοῦν, καὶ τῶν τοιούτων ὑπεριπτάμενον ἔχειν, εἰκότως διακελεύεται· προε πινοεῖ δὲ ὥσπερ ἀναγκαίαν ἀσφάλειαν πρὸς τὸ δεῖν ἐθέλειν ἐν τούτοις ὁρᾶσθαι, καὶ καθάπερ αἰκίαν τὴν εἰς τοῦτο κατω θοῦντα τίθησι λογισμὸν, ὅπερ ἐλέγομεν ἐξ ἀρχῆς, τὸ κατόπιν ἰέναι τῆς τοῦ Κυρίου τιμῆς, ἥδιστα δὲ λίαν προσίεσθαι πᾶν ὅπερ ἂν ἴοι κατὰ καιρὸν, ἔστ' ἂν αὐτοῖς τὸ εὐδοκιμεῖν ὑπάρχῃ διὰ Θεὸν, οὐ ταῖς ἀτιμίαις ὑπτιουμένους ὡς ὄκνον ἀνωφελῆ, οὐδὲ ὑπό του τυχὸν ἐπείπερ διαλελοιδόρηνται πικρῶς, τὴν ἐν τῷ διδάσκειν παῤῥησίαν ἀνασειράζοντας, καὶ τῶν θείων ἐνταλμάτων ὀλιγωρήσαντας, ἀντέχεσθαι δὲ μᾶλλον τῆς εἰς ἀδελφοὺς ἀγάπης, καὶ διὰ παντὸς ἐπείγεσθαι τρόπου τοὺς πλανωμένους ὠφελεῖν. Ἀναπείσας τοίνυν ὑπὸ πόδας τῆς προσκαίρου δόξης φεί δεσθαι τῆς κοσμικῆς, ἕτερόν τι προσεπαγωνίζεται, χρήσιμόν τε καὶ ἀναγκαῖον. εἰ γὰρ ἐμέ φησιν ἐδίωξαν, καὶ ὑμᾶς διώ ξουσι. καὶ συγγενῆ μὲν τοῖς πρώτοις ἔχει καὶ τοῦτο τὴν θεωρίαν. τληπαθεῖν δ' οὖν ὅμως ἀναπείθει, καὶ τῶν ἔσεσθαι ἐν ἡμῖν προσδοκηθέντων διαλογισμῶν προαναιρεῖ τὴν ἀσθέ 2.594 νειαν. ἦν μὲν γὰρ οὐκ ἀμφίβολον, ὅτι ταῖς τῶν διωκόντων τὴν ἀλήθειαν περιπταίοντες ὀργαῖς τοῦ Σωτῆρος οἱ μαθηταὶ, τοῖς ἐκ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διώκεσθαι περιπεσοῦνται δεινοῖς· ἀλλ' ἦν δή που καὶ μάλα εἰκὸς λογίζεσθαι, ὅτι τὸν ὑπὲρ τῆς δόξης Χριστοῦ ποιούμενοι λόγον, πάντως που πλουσίας τῆς παρ' αὐτῆς μεθέξουσι φειδοῦς, ὡς μηδὲν ὅλως τὸ παραποδίζον ὁρᾶσθαι πρὸς τὴν οὕτως ἀξιάγαστον προθυμίαν αὐτῶν, θορύβου δὲ παντὸς καὶ κινδύνου ὁρᾶσθαι κρείττονας, ὑπομέ νοντας δὲ τὸ παράπαν οὐδὲν τῶν ὅσα πέφυκε λυπεῖν, ἐντρυ φῶντας δὲ μᾶλλον ταῖς παρὰ πάντων τιμαῖς, ἅτε δὴ καὶ τὸν σωτήριον αὐτοῖς πρεσβεύοντας λόγον. καὶ ἦν μὲν οὐκ ἀπὸ σκοποῦ τοῦ πρέποντος, τὸ τὰ τοιαῦτα προσδοκᾶν καὶ ἐν τούτοις εἶναι ζητεῖν τοὺς οἵ γε καλεῖν σπουδάζουσιν εἰς αἰώνιον ζωὴν, πρόξενοί τε τῶν παρὰ Θεοῦ χαρισμάτων τοῖς ἀκροωμένοις ηὑρίσκοντο. ἀλλ' ἑκάστου τῆς ἰδίας προαιρέ σεως τὴν ῥοπὴν ἐφ' ὅπερ ἂν βούλοιτο διιθύνοντος, παρατρέ ποντός τε πρὸς τὸ αὐτῷ θελητὸν καὶ ἡδέως πως ἔχον, ἀναδειχθήσεσθαι μᾶλλον ἔδει, καὶ τοὺς τῇ ἀληθείᾳ φρονοῦν τας τὰ ἐναντία, καὶ νενικημένους ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς, μάχεσθαι δεῖν ἐγνωκότας τοῖς οἵ γε καλοῦσιν ἔξω τῶν ἡδί στων αὐτούς. οὐ γὰρ θυμήρη τοῖς φιληδόνοις τὰ πρὸς τοῦτο βλέποντα μαθήματα. ἦν οὖν ἄρα λοιπὸν καθάπερ ἐξ ἀνάγκης ἀναδειχθήσεσθαι προσδοκᾶν, τοὺς οἵ γε ἐν τάξει πολεμίων γεγονότες, διώξουσί τε καὶ καταικίσονται καὶ πᾶν εἶδος ἐπινοήσουσι πειρασμῶν. Ἀνδρείως οὖν ἄρα καὶ πρὸς τοῦτο ἔχειν αὐτοὺς διακε λεύεται Χριστὸς, οὐκ ἀποφήσας ὅτι συμβήσεται· διὰ δὲ τοῦ χρῆναι μᾶλλον ὁρᾶσθαι νεανικοὺς ἐπιτάττειν, προκηρύτ των ὅτι παρέσονται. εἰ γὰρ ἐμέ φησιν ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν. ἴσον ὡς εἰ ἔλεγεν Ἐγὼ τῶν ὅλων ὁ ποιητὴς, ὁ πάντα ὑπὸ χεῖρα ἔχων, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, οὐ χαλινὸν ἐπέθηκα τοῖς θυμοῖς, οὐδὲ καθεῖρξα καθάπερ 2.595 αἰκίαις τὸ ἑκάστου κίνημα τῶν ἀκροωμένων· ἐφῆκα δὲ μᾶλ λον τῇ ἑκάστου προαιρέσει τὸ ἑλέσθαι τὸ δοκοῦν, δρᾶσαι δὲ ὅτι περ ἂν βούλοιντο· καὶ γοῦν διωκόμενος ἐκαρτέρουν, καίτοι τοῦ διακωλῦσαι ἔχων τὴν ἐξουσίαν. ὅταν οὖν ἄρα διώκησθε καὶ αὐτοὶ, διακαρτεροῦντες παραχρῆμα τὴν τῶν μισούντων ἀποτροπὴν, μηδὲ δυσφοροῦντες ἄγαν ἐπὶ ταῖς ἀχαριστίαις τῶν ὠφελουμένων, κατόπιν τῆς ἐμῆς ἰόντες οἰκονομίας, διὰ τῶν αὐτῶν ἔρχεσθε θελημάτων, ἵνα καὶ τῆς ὁμοίας μετάσχητε δόξης. οἱ γὰρ συμπάσχοντες καὶ συμβα σιλεύσουσι. Προσθεὶς δὲ καὶ τρίτον Εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν, ἀθύμως ἔχειν οὐκ ἐᾷ μὴ παραδεχθείσης αὐτῶν τῆς διδασκαλίας ἔσθ' ὅτε. ποιεῖ δὲ σφόδρα καὶ τοῦτο καλῶς. οἴεται μὲν γὰρ ὁ πρὸς τοῦτο προκεχειρισμέ νος, ὅτι πόνων ὑπέστη ζημίαν εἰ μὴ βούλοιντό τινες τοῖς παρ' αὐτοῦ πείθεσθαι λόγοις· τὸ δὲ οὐχ οὕτως ἔχει· μὴ γὰρ δή τις οἰέσθω, πόθεν; εἰρηκὼς γὰρ ἅπαξ καὶ τὴν τοῦ συμφέροντος γνώσιν ὁ σύμβουλος παραθεὶς, ὅπερ ἦν ἐν αὐτῷ τοῦτο καὶ δέδρακε· κείσεται τὸ λοιπὸν ἐν ταῖς τῶν ἀκροωμένων γνώμαις· τραπέσθαι γὰρ αὐτοὺς ἐφ' ὅπερ ἕκαστος ἐθέλει ῥᾴδιον, ἢ πρὸς εὐπείθειαν ἢ τὸ ἐναντίον. οὐκ ἀποκνητέον οὖν ἄρα τοῖς τῶν ἀρίστων εἰσηγηταῖς, τὸ καὶ τοῖς ἀπεγνωκόσι τὸν ὠφελεῖν δυνάμενον ἐνσπείρειν λόγον τῇ θείᾳ δυνάμει, καὶ τὰ ἡμῖν οὐκ ἐφικτὰ δύνασθαι κατορθοῦν μετὰ πίστεως ἀπονέμουσιν, ὃ δὴ καὶ γεγονὸς ἤτοι καλῶς ἐσχηματισμένον καὶ ἐν ταῖς τῶν ταλάντων διανομαῖς εὑρή σομεν. ὁ μὲν γὰρ εὑρίσκεται δέκα λαβὼν, ὁ δὲ πέντε, ὁ δὲ δύο, καὶ πρὸς τούτοις ἔτι τὸ ἓν, ὃς δὴ καὶ ἐμπορεύσασθαι παραιτούμενος, κατέχωσε μὲν τὸ τάλαντον εἰς τὴν γῆν· ἤκουσε δὲ διὰ τοῦτο "Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ἔδει σε "βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν 2.596 "ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ." ὅνπερ γὰρ τρόπον οἱ πρὸς τὰ τῆς γηπονίας ἔργα γεγυμνασμένοι, καὶ τοῦτον ἔχοντες τὸν σκοπὸν, ἀνατέμνοντες τοῖς ἀρότροις τὴν γῆν, εἶτα τῷ βώλῳ τὸν σπόρον ἐγχώσαντες, οὐκέτι ταῖς ἑαυτῶν ἐμπειρίαις ἀπονέμουσι τὰ λοιπὰ, τῇ δὲ θείᾳ μᾶλλον ἐπιτρέ πουσι δυνάμει καὶ χάριτι, τὸ ῥιζῶσαί φημι τὸ καταβληθὲν καὶ εἰς καρπὸν ἀναθρέψαι τὸν τέλειον· οὕτως οἶμαι δεῖν τὸν τῶν βελτίστων εἰσηγητὴν διανέμειν μόνως τὸν λόγον, ἐφεῖναι γεμὴν τὰ λοιπὰ τῷ Θεῷ. Φάρμακον οὖν ἄρα μικροψυχίας τε καὶ ἀκηδίας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λυτικὸν ἐπάγει τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Σωτὴρ, καὶ τὴν ἐπὶ τούτῳ παραίνεσιν. μὴ γὰρ δὴ κατοκνεῖν, φησὶν, ἕλεσθέ ποτε διδάσκειν ἔτι, καὶ εἰ τῶν ἅπαξ νενουθετημένων τινὲς οὐδένα ποιοῖντο τῆς δοθείσης αὐτοῖς διδασκαλίας τὸν λόγον· ἄπαρα δέκτους δὲ παρὰ πολλοῖς καὶ τὰς ἐμὰς ἔσθ' ὅτε φωνὰς εὑρίσκοντες, μὴ τῆς ἐμῆς ὑπερτείνεσθε δόξης, κἀν τούτῳ δὲ πάλιν κατόπιν μένοντες, τὸ δυσθυμεῖν ἀποπέμπεσθε. ἀναγ καιοτάτη δὲ τούτων ἡ μάθησις ἦν τοῖς ἁγίοις ἀποστόλοις, ἐπείπερ ἔμελλον διακηρύξειν τοῖς ἁπανταχῇ τὸν θεῖόν τε καὶ σωτήριον λόγον. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, ἅτε δὴ πρὸς ἀποστολὴν διὰ Χριστοῦ προκεχειρισμένος, τοιοῦτός τις ἡμῖν γεγονὼς κατεφαίνετο, καὶ διὰ τῆς ἐν τούτοις ἀν δρείας ἐρχόμενος ὁρᾶται πολλάκις· ὅτι γὰρ καὶ φιλοδοξίας καταφρονεῖν ᾤετο δεῖν, ἀλογεῖν δὲ σφόδρα καὶ διωγμῶν, ἐποιεῖτο δὲ περὶ πολλοῦ καὶ τὸ μὴ λίαν ἐκκακεῖν καὶ, εἴ που τινὲς ὅλως τὸν ἅπαξ αὐτοῖς ἐγκατεσπαρμένον οὐ παρε δέξαντο λόγον, ῥᾴδιον ἐπιδεῖξαι. γράφει γὰρ πρός τινας "Ὑμεῖς φρόνιμοι ἐν Χριστῷ, ἡμεῖς δὲ μωροὶ διὰ Χριστόν· "ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροὶ, ἡμεῖς ἄτιμοι, ὑμεῖς δὲ "ἔνδοξοι· ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν," καὶ ἔτι πάλιν ἐπὶ τούτοις "Ὡς περικαθάρματα, φησὶν, 2.597 "ἐγενήθημεν τοῦ κόσμου, πάντων περίψημα ἕως ἄρτι." ὁρᾷς ὅπως ἦν εὐκλείας ἀμείνων κοσμικῆς, διὰ τὴν τοῦ Σωτῆρος ἐντολήν; τὸ δὲ γενναῖον ἐν διωγμοῖς ἐμφανίζων ἔλεγε "Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; "θλίψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ "κίνδυνος ἢ μάχαιρα;" γράφει δὲ καὶ ἑτέροις ὅτι "τὰ αὐτὰ "λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές·" ἀλλὰ καὶ Γαλάταις ἔτι "Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορ "φωθῇ Χριστὸς ἐν ὑμῖν." ἀκούεις ὅπως ἀοκνότατα μὲν τὸν αὐτὸν ἀνακυκλεῖ λόγον, οὐ παραδεχθέντος ἄρα τοῦ πρώτου καὶ ἐν ἀρχαῖς γεγονότος, καὶ αὖ ὠδῖναί τινας εὖ μάλα φησὶν, ἄχρις ἂν ἐν αὐτοῖς ἡ μόρφωσις ἀναλάμψῃ Χριστοῦ. λόγος δὲ πάντως ὁ τούτου δημιουργὸς, ἀναπλάττων εἰς φιλοθεΐαν καὶ εἰς εἰκόνα Χριστοῦ διὰ τῆς πίστεως τοὺς ἀκροωμένους. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν εἰς ὑμᾶς διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Οὐχ ἑτέραν ἔσεσθαι τοῖς δυσσεβεῖν ἑλομένοις κατὰ τῶν ἁγίων ἀποστόλων διισχυρίζεται πρόφασιν, ἢ τὸ οἰκεῖον ὄνομα μόνον. ἔγκλημα γὰρ τοῦτο τοῖς σεβομένοις Θεὸν, καὶ τοῦ πολεμεῖσθαι πρόφασις παρὰ τῶν οὐκ εἰδότων αὐτόν. προδήλου δὲ ὄντος ἅπασιν, ὡς οὐκ ἄν τις ἀμισθὶ πάθοι τι διὰ Θεόν· λαμπρὸς γὰρ ἐπὶ τούτοις προκείσεται στέφανος· ἐπιτρέπει πάλιν εἰς εὐτολμίαν, καὶ καρτερικὸν ἐργάζεται φρόνημα, τῇ τῆς ἀμοιβῆς ἐλπίδι τὴν ἐκ τῶν ἔσεσθαι προσ δοκωμένων μοχθηρίαν ἀποκρουόμενος. κέρδος οὖν ἔδειξε καὶ τέλος εὐχῆς καὶ αὐτὸ τὸ δεινὸν, καὶ ὅπερ ἦν ἴσως καταναρκῆσαί τινας καὶ μόνον ἥξειν προσδοκηθὲν, τοῦτο δείματος μὲν ἀπαλλάττει παντὸς, προσίεσθαί τε καὶ λίαν ἀσμένως ἀναπείθει τοὺς μαθητάς. καὶ γοῦν εἰσκεκλημένοι ποτὲ πρὸς τὸ τῶν Ἰουδαίων ἀνόσιον βουλευτήριον, καὶ πλη 2.598 γαῖς τὸ σῶμα κατῃκισμένοι διὰ Χριστὸν, ἐξῄεσαν "ἀπὸ "προσώπου τοῦ συνεδρίου χαίροντες, κατὰ τὸ γεγραμμένον, "ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἄτιμα "σθῆναι." καὶ μὴν καὶ ἡμῖν αὐτοῖς τληπαθεῖν ἐπὶ τούτῳ διακελεύονται σφόδρα, καταστυγνάζειν δὲ μηδαμῶς, κἂν εἴπερ ὅλως τῶν ἀνιαρῶν τι προσίοι διὰ Χριστόν "Μὴ γάρ "τις ὑμῶν πασχέτω, φησὶν, ὡς φονεὺς ἢ κλέπτης ἢ κακο "ποιός· εἰ δὲ ὡς Χριστιανὸς, μὴ αἰσχυνέσθω, δοξαζέτω "δὲ τὸν Θεὸν ἐπὶ τῷ ὀνόματι τούτῳ." ἥδιστον οὖν ἄρα τὸ πάσχειν διὰ Χριστὸν, καὶ γλυκὺς ὁ κίνδυνος, ὅταν ἔχῃ τῆς ἐφόδου τὴν πρόφασιν ἐξ ἀγάπης τῆς εἰς Θεόν. Ἄθρει δὲ ὅπως κἀν τούτῳ δὴ πάλιν ἀναδεικνὺς ἑαυτὸν ἓν πρὸς τὸν ἑαυτοῦ Πατέρα, μὴ εἰδέναι φησὶ τοὺς Ἰουδαίους, ἤτοι τοὺς διώξειν μέλλοντας τοὺς οἵπερ ἂν εἶεν τὸ Χριστοῦ πρεσβεύοντες ὄνομα, μήτε τὸν Πατέρα, μήτε τὸν Υἱόν. μισοπάτωρ γὰρ ὁμολογουμένως ὁ χρῆναι δεῖν ἀτιμάζειν οἰόμενος τὸν Υἱὸν, οὐχ ὡς εἰς ἕτεραν δὲ δηλονότι πλημμε λήσας φύσιν, ἀλλ' εἰς αὐτὸ τὸ τῆς κατὰ φύσιν θεότητος ἐμπαροινῶν ἀξίωμα. οὐδὲ γὰρ ἂν ἤλω τις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξυβρίζων εἰς τὸν Υἱὸν, εἰ τὴν τοῦ Πατρὸς ἐδυσωπήθη φύσιν· ἐγνωκὼς δὲ ὅλως τί κατ' ἐνέργειάν ἐστιν ὁ Πατὴρ, πῶς ἠγνόησεν ὅτι γεγέννηκεν ἐξ ἑαυτοῦ; εἶτα τίς οὐχ ὑβρίσει τὸ φυτὸν, τὸν ἐξ αὐτοῦ γεννηθέντα κακύνων καρπόν; ἀγνοίας οὖν ἄρα τῆς εἰς τὸν Πατέρα καὶ Θεὸν ἀπόδειξις οὐκ ἀμφίλογος ἡ εἰς τὸν Υἱὸν ἁμαρτία. Ἐπειδὴ δὲ οὐκ ἔφη νυνί Ὅτι οὐκ οἴδασι τὸν Πατέρα μου, ἀλλὰ τὸν πέμψαντά με, δοκῶ τι τοιοῦτον αὐτὸν ὑπαινίττε σθαι θέλειν· σκοπὸς, ὡς ἔοικεν, αὐτῷ, τοὺς τὸ διώκειν ἐπιτη δεύοντας τοὺς ἀνακειμένους αὐτῷ, διπλοῦν ὥσπερ ἐντεῦθεν τὸ παρανόμημα ταῖς ἑαυτῶν ἐπαρτῶντας κεφαλαῖς ἐμπλέξαι σαφῶς· μόνον γὰρ οὐχὶ, φησὶν, ἀγνοοῦντες ἁλώσονται τὸν 2.599 ἐξ οὗπέρ εἰμι, οὐδὲ μόνην τὴν ἐπ' ἀθεότητι ψῆφον ἀποκο μιοῦνται δικαίως, ἀλλὰ γὰρ καὶ αὐτῇ λοιπὸν ἐπιτιμῶντες εὑρεθήσονται τῇ σοφίᾳ τοῦ Θεοῦ καὶ Πατρός. εἰ γὰρ ἔπεμψε μὲν τὸν ἴδιον Υἱὸν ἐγεροῦντα τὸ ὠλισθηκὸς, ἀνακαι νοῦντα τὸ συντετριμμένον, κατορθώσοντά τε τοῖς ἐν κόσμῳ τὴν ζωὴν, ἀντεξάγουσι μὲν ἐκεῖνοι καὶ ἀντιπράττουσι δυσ σεβῶς τοῖς διακηρύττειν ἐθέλουσι τὸν τούτου κατορθωτὴν, πῶς οὐ λίαν ἐναργῶς ἠγνοηκότες ἁλώσονται καὶ αὐτῷ μαχό μενοι τῷ πέμψαντί με; διὰ γὰρ τοῦ πέμπεσθαι λέγειν, ὅλην ἡμῖν τῆς μετὰ σαρκὸς οἰκονομίας εἰσκομίζει τὴν δήλωσιν· ὁ δὲ ἠγνοηκὼς τὸν πέμψαντα, καὶ Θεὸν ἠγνόηκεν ἐν ταὐτῷ καὶ τὸ τῆς ἀποστολῆς ἀτιμάζει μυστήριον. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Διχῇ νοητέον τὸ ἐκ τῶν προκειμένων ὑποδηλούμενον. εἰ γὰρ οἷοιτό τις τυχὸν πρὸς Ἕλληνάς τε καὶ Ἰουδαίους τὸν ἐπὶ τούτῳ γενέσθαι λόγον, ἐκεῖνό φαμεν, ὡς εἰ μὴ ἐγεγόνει πρὸς ἅπαντας τοὺς ὄντας ἐπὶ τῆς γῆς τὸ θεῖόν τε καὶ οὐράνιον κήρυγμα, φημὶ δὴ τὸ εὐαγγελικὸν, παραδεικνύον ἑκάστῳ τῆς σωτηρίας τὴν ὁδὸν, καὶ τὰ τῆς δικαιοσύνης ἔργα καταλευκαῖνον, ἦν ἂν ἴσως ἑκάστῳ λόγος οὐκ ἀσθενὴς εἰς παραίτησιν τῶν οὐ σφόδρα φιλεργούντων εἰς ἀρετὴν, ἡ τῶν ἀρεσκόντων Θεῷ παντελὴς ἀμαθία· ταύτη τοι συγ γνώμης ἀξιοῦσθαι παρακαλεῖν. ἐπειδὴ δὲ πρὸς ἅπαντας ὁ τῆς εἰσηγήσεως λόγος πεποίηται, τίς ἂν εἴη λοιπὸν ὁ τῆς παραιτήσεως λόγος, ἢ ποίοις ἂν χρήσαιτό τις πρὸς τὸν Κρίνοντα λόγοις, ἐπὶ τοῖς αἰσχίστοις μετὰ τὴν γνώσιν κατη γορούμενος; εἰ δὲ περὶ μόνων λέγοι τουτὶ τῶν Ἰουδαίων ὁ Κύριος, ἅτε δὴ καὶ πολλάκις ἀκροασαμένων διδάσκοντος, 2.600 καὶ οὐδὲν ἠγνοηκότων τῶν ὅσα διεκελεύσατο φρονεῖν τε καὶ δρᾶν, ἐκδέξῃ τοιῶσδε Τῆς μὲν ὑμετέρας οὐκ ἀνέξονται διδασκαλίας, φησὶν, ἐποίσουσι δὲ πειρασμούς τε καὶ διω γμοὺς, καὶ πᾶν εἶδος ὑμῖν ἐννοήσουσι θορύβων, καὶ εἰς μῖσος ἄδικον ἐκ πικρίας ἀνακαυθήσονται, πλημμέλημα μὲν οὐδὲν ἔχοντες εἰπεῖν, ἐγκαλοῦντες δὲ μόνην ἀγάπην τὴν εἰς ἐμέ. κατασοφιζόμενοι δὲ ὥσπερ τῆς ἑαυτῶν ἀπονοίας τὴν ὠμό τητα, καὶ τὸ ἐκ τῆς ἡδυπαθείας αἶσχος ἀποτριβόμενοι, Μωυσέα δὴ πάντως προβαλοῦνται καὶ τὰ Μωυσέως, συνα σπίζειν δὲ ὥσπερ τοῖς πατρῴοις ὑποκρινοῦνται νόμοις· ἀλλ' εἰ μὲν μὴ ἐλθὼν τῆς διὰ Μωυσέως ἐντολῆς οὐ παρέδειξα τὰ βελτίονα, εἰ μὴ διὰ πολλῶν πεπληροφόρηκα λόγων, ὡς εἴη μὲν ἤδη καιρὸς τὰ ἐν τύπῳ παρελάσαι λοιπὸν, καὶ ὅτι σχη μάτων μὲν ἅλις καὶ σκιᾶς, ὥρα δὲ αὐτὴν ἀναλάμψαι τὴν ἀλήθειαν· εἰ μὴ τοῦτο καὶ ἐξ αὐτοῦ δέδειχα νόμου, σαφέ στατα λέγων "Εἰ ἐπιστεύετε Μωυσεῖ, ἐπιστεύετε ἂν ἐμοί· "περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν·" εἰ μὴ ταῖς τῶν προφητῶν μαρτυρίαις συνῳδὸν ἔδειξα τὸν ἐμαυτοῦ λόγον, καὶ τῆς ἐμῆς παρουσίας τὴν δύναμιν προῤῥηθεῖσάν τε ἤδη καὶ κεκη ρυγμένην, ἔσχον ἂν ἀφορμὰς εὐλόγους τῆς κατ' ἐμοῦ καὶ ὑμῶν ἀπονοίας. ἐπειδὴ δὲ παραλέλειπται μὲν οὐδὲν, εἴρηται δὲ ἅπαν, ὅσον ἧκεν εἰπεῖν ἀναγκαῖον, εἰκαῖος, ὃς αὐτοῖς εἰς πρόφασιν ἐπινοηθήσεται λόγος τῆς οὕτω γυμνῆς ἁμαρτίας. Ταύτην οἶμαι δεῖν τοῖς τοῦ Σωτῆρος λόγοις ἐφαρμόσαι νυνὶ τὴν διάνοιαν, ἀσύγγνωστα δὲ τοῖς εἰς αὐτοὺς πλημμε λοῦσιν ἐπιδεικνὺς τὰ ἐγκλήματα, καὶ κολασθήσεσθαί ποτε τοὺς τὰ τοιαῦτα τολμῶντας εἰπὼν, παραιρεῖται τῆς λύπης τὸ πλέον καὶ ὑποκλέπτει σοφῶς, ὅπερ ἦν εἰκὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνιάσειν οὐ μετρίως αὐτούς. φορητὴν γὰρ ἔσθ' ὅτε τοῖς ἀδικουμένοις τὴν πλεονεξίαν ἐργάζεται, τὸ ἀραρότως οἴεσθαι δίκας τῶν πλημμεληθέντων ἀποτίσειν τοὺς τῆς πλεονεξίας ἐργάτας. 2.601 καὶ τοῦτο εἰδὼς καὶ αὐτὸς ὁ πάντων Δεσπότης "Ἐμοὶ," φησὶν, "ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος," ἀλλὰ καὶ αὐτὸς ἡμῖν ὁ μακάριος Παῦλος, ὑπό τινος τῶν ἀρχιερέων τυπτόμενος, τῆς ἐπὶ τῷ πάσχειν πικρίας οὐχ ἑτέραν ἔσχε παραψυχὴν, ἢ ταύτην αὐτήν· τί γὰρ ἔφη; "Τύπτειν σε "μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε." ἀσθενείας οὖν ἄρα φάρμακον ἀνθρωπίνης καὶ τοῦτο, τὸ κολάζεσθαί φημι προσδοκᾶν τοὺς ἀδικεῖν ἑλομένους. κρείττων γεμὴν καὶ ἐν πλείονι μέτρῳ τῆς ἀνθρωπίνης μικροψυχίας ὁ Κύριος· "λοι "δορούμενος γὰρ οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει," κατὰ τὸ γεγραμμένον· ῥαπιζόμενος δὲ, φορτικὸν εἶπεν οὐδὲν, οὔτε μὴν ἠπείλησε τῷ παῖσαι τετολμηκότι, πραότατα δὲ καὶ ἀνεξικάκως κομιδῇ "Εἰ κακῶς, φησὶν, ἐλάλησα, μαρτύρησον "περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;" ἀληθὴς οὖν ἄρα τοῖς προφήταις ὁ λόγος "Ὅτι τίς ἐν νεφέλαις ἰσωθή "σεται τῷ Κυρίῳ, ἢ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς "Θεοῦ;" Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Ἀθεότητος ἔγκλημα καθορίζει σαφῶς τῶν ἐξ ἀνοσίου γνώμης καὶ φρενὸς ἐκκεκρουσμένης μισεῖν αὐτὸν ἑλομένων. καὶ γάρ ἐστιν ἀληθές· οὐ γὰρ ἀφέξονται τῆς εἰς τὸν Πατέρα πλημμελείας οἱ τὸν Υἱὸν ἀτιμάζοντες, ἤγουν ὅτι πρέπει μισεῖν ἐγνωκότες. ὅνπερ γὰρ τρόπον οἱ τὴν τοῦ ἡλίου μαρ μαρυγὴν, ὡς ἐπ' οὐδενὶ τῶν ἀναγκαίων φαίνοι τε καὶ ὑπάρχοι, διασύροντες, τὰς τῆς ἀχρειότητος αἰτίας καὶ τὴν ἐπ' αὐτῇ ψῆφον εἰς αὐτὸν ἀνατείνουσι τὸν ἐξ οὗπέρ ἐστι· καὶ ὅτῳπερ ἂν κακῦναι δοκῇ τὴν ἐξ ἀνθέων τυχὸν εὐωδίαν, ἐπ' ἐκεῖνο δὴ πάντως ἀνοίσει τὸ ἔγκλημα τὸ ἐξ οὗπερ ἂν τίκτοιτο· τὸν αὐτὸν οἶμαι τρόπον ἐπί τε τοῦ Μονογενοῦς καὶ τοῦ τεκόντος αὐτὸν συμβήσεται. οὐ γὰρ ἔστιν οὐκ ἔστι καταψέγοντάς τινας 2.602 τὸ τινὸς ἐκπεφυκὸς, ἐπαινέσαι τὸ ἐξ οὗπέρ ἐστι. διά τοι τοῦτο τοῖς Ἰουδαίοις ἔφη Χριστός "Οὐ δύναται δένδρον ἀγα "θὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς "ἀγαθοὺς ποιεῖν·" ὅτε καὶ τὴν ἐπὶ τούτῳ διάκρισιν ἀκριβῆ τε καὶ ἀνεπίληπτον διεκελεύετο ποιεῖσθαι "Ἢ ποιήσατε τὸ "δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν." ὅπερ γὰρ ἂν καθ' ἑνὸς τῶν τοιούτων ἀληθεύοιτο τυχὸν, τοῦτο δὴ πάντως διήκειν ἐπ' ἀμφοῖν ἀναγκαῖός τις οἶμαι παρατρέψει. μιᾶς γὰρ φύσεως, πῶς οὐχὶ δὴ πάντως κοινὰ ἔσται τὰ ἡττώμενα, ἤγουν καὶ ἑτέρως καταλαμπρύνειν εἰδότα; καὶ ὅπερ ἂν δράσειέ τις εἰς τὸ ἔκ τινος πηγῆς, τοῦτο δὴ πάντως δεδρακὼς ἂν εἴη καὶ εἰς αὐτὴν τὴν πηγήν. διὰ τοῦτό φησιν ὁ Χριστὸς ὅτι ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. φέρει δὲ χρησίμως καὶ εἰς τὸ τοῦ Πατρὸς πρόσωπον, ἅπερ ἂν εἰς αὐτὸν ἐπιχειροῖτο παρά τινων. πληροφορήσει μὲν γὰρ οὐδὲν ἧττον ἡμᾶς διὰ τούτων τῶν λόγων, ὡς οὐχ ἕτερός τις ἐστὶν ὡς πρὸς αὐτὸν, κατά γε τὸν ἐν ταυτότητι τῇ κατὰ πᾶν νοουμένῃ λόγον. καταπτοεῖ δὲ πρὸς τούτῳ τοὺς ἀκροω μένους, σφαλερὸν ἔτι δεικνὺς τὸ ἐπὶ τῷ μισεῖν αὐτὸν ἑλέσθαι πλημμέλημα, εὐσύλητόν τε καὶ ἀνεπικούρητον ἔσεσθαι παν τελῶς τὸν αὐτῷ μὴ προσκυνεῖν ἐπιχειροῦντα διισχυρίζεται, ἅτε δὴ καὶ εἰς αὐτὸ τὸ τοῦ Πατρὸς ἐμπαροινοῦντα πρόσωπον. συναγανακτήσει γὰρ πάντως, ὡς συνυβριζόμενος, τῷ ἰδίῳ γεννήματι. Ὅτι δὲ τοὺς ἁγίους ἀποστόλους εὐτολμοτάτους ἐτίθει καὶ τοῦτο παραδεχθὲν εἰς πίστιν, πῶς οὐ σφόδρα διαφανές; ὁμοῦ δὲ πρὸς τούτοις ἕτερον ἀναγκαῖον οἶμαι καὶ σοφὸν ἀπετέλει Χριστός· καὶ τοῦτο πάλιν ἐρῶ· ἐξ ἀσυγκρίτου φρενοβλαβείας καὶ μανίας ὑπερφυοῦς ᾤοντό τινες, ὅτι πλημμελοῦντες εἰς τὸν Υἱὸν καὶ τοῖς τοῦ Σωτῆρος ἀντι πράττοντες λόγοις, τὸν τοῦ νόμου δοτῆρα Θεὸν εὐφραίνουσι, 2.603 καὶ τοῖς διὰ Μωυσέως τεθεσπισμένοις τὸ χρῆναι νικᾶν ἀεὶ χαριζόμενοι, γνήσιοί τινες τῆς εἰς Θεὸν ἀγάπης εὑρίσκονται φύλακες. ἔδει τοιγαροῦν τὸ μὲν ἐν ἐκείνοις εἰκαῖον ἀποφαί νεσθαι φύσημα, μαθεῖν δὲ τὴν οἰκουμένην, ὅτι τοῖς τοῦ Σωτῆρος ἀντεξάγοντες νόμοις, πρὸς ὁλόκληρον ὥσπερ τὴν θείαν ἔχουσι φύσιν ὑβρισμένην ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Υἱῷ, διὰ τῆς παρακοῆς καὶ τῆς οὕτω μακρᾶς καὶ ἀπροφασίστου λοιπὸν ἀπειθείας, ἣν οὐ μόνον ἰδικῶς εἰς τὸ οἰκεῖον ἐπιτελεῖσθαι πρόσωπον εὖ μάλα διισχυρίζεται, ἀλλὰ καὶ ἐν τοῖς τὸν ὑπὲρ αὐτοῦ καὶ δι' αὐτὸν πρεσβεύουσι λόγον. θεομάχος οὖν ἄρα καὶ ὑβρι στὴς, καὶ πρὸς ὅλην ἔχων τὴν ἄῤῥητόν τε καὶ ἄφραστον φύσιν, ὁ καὶ αὐτοῖς τοῖς ἁγίοις ἀποστόλοις ἀντιπράττειν ἐπιχειρῶν. κηρύττουσι γὰρ οὐχ ἑαυτοὺς, ἀλλὰ τὸν τῶν ὅλων Θεὸν καὶ Κύριον, τουτέστι Χριστόν. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ μηδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἴχοσαν· νυνὶ δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Οὐδένα τοῖς Ἰουδαίοις περιλελεῖφθαι λόγον εἰς τὸ μὴ χρῆναι κολάζεσθαι καὶ τοῖς ἀνηκέστοις περιπεσεῖν, καὶ διὰ τούτων οὐδὲν ἧττον ἀπέφηνεν ὁ Χριστός. φαίνεται γὰρ τῶν εἰς ὠφέλειαν τελούντων ἐλλελοιπὼς οὐδὲν, λόγου μὲν αὐτοῖς παρατεθέντος μακροῦ, δι' οὗπερ ἦν καὶ μάλα ῥᾳδίως ἰέναι πρὸς σωτηρίαν, παραδειχθέντων δὲ καὶ θαυμάτων, ἃ μήπως τις τῶν ἐν κόσμῳ τεθέαται. τίς γὰρ τῶν ἁγίων τοῖς τοῦ Σωτῆρος ἡμιλλήθη θαύμασιν; εἶτα τοσοῦτον ἀφεστηκότων τοῦ θαυμάζειν αὐτὸν ἐθελῆσαι τῶν Ἰουδαίων ὡς καὶ μισεῖν ἑλέσθαι μᾶλλον ἐξ ἀνοσίου γνώμης, πῶς οὐ δυσαχθὲς τὸ τῶν ἐγκλημάτων φορτίον αὐτοῖς ἐπικείσεται; ἦν γὰρ δήπου τὸ πολύ τι κρεῖττον καὶ ἄμεινον, μήτε λόγων αὐτοὺς ἐπακ ροᾶσθαι σοφῶν, μήτε μὴν τῆς οὕτως ἀῤῥήτου τερατουργίας 2.604 εἰς ὄψιν ἐλθεῖν· ἴσως γὰρ ἂν ἐξεμηχανήσαντο τὸν ἐπὶ τῷ συγγινώσκεσθαι δεῖν οὐκ ἄκομψον λόγον Οὐκ ἀκηκόαμέν τι τῶν ἀναγκαίων οὔτε μὴν τεθεάμεθά τι, λέγοντες, τῶν εἰς πίστιν ἐπαγωγῶν. ἐπειδὴ δὲ οὐχ ἑνὸς τῶν ἁγίων προφητῶν, ἀλλ' αὐτοῦ τοῦ ἄνωθεν ἥκοντός τε καὶ ὡς ἡμᾶς ἐσταλμένου διεπυνθάνοντο Χριστοῦ, ἀλλὰ καὶ ξένων θαυμάτων γεγόνασι θεωροί· τυφλοῦ γὰρ ὀφθαλμοὺς ἀνέῳξεν ὁ Χριστὸς, καίτοι μηδενὸς ἑτέρου πώποτε δυνηθέντος τοιοῦτόν τι ἐργάσασθαι· τί τὴν τῶν Ἰουδαίων ἀπόνοιαν ἐξαιρήσεται; ἢ ποῖος ἐξοίσει τοῦ κολάζεσθαι λόγος; ἀκούσαντες γὰρ καὶ τεθεαμένοι, μεμισήκασι καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα. μεμισήκασι δὲ πῶς; οὔτε γὰρ τὸν παρὰ Πατρὸς δι' Υἱοῦ τετιμήκασι λόγον, οὔτε μὴν τοῖς τῆς θείας φύσεως ἔργοις, τὸ αὐτοῖς πρέπον ἀτιμάσαντες θαῦμα, δυσσεβοῦντες ἐναργῶς εἰς ὅλην ἁλώ σονται τὴν τούτων ἐργάτην τοῦ Θεοῦ φύσιν. θαυματουρ γοῦντι γὰρ τῷ Υἱῷ, συνῆν δήπου πάντως καὶ αὐτὸς ὁ Πατὴρ, οὐχ ὡς ἕτερος δι' ἑτέρου τυχὸν ἐνεργῶν τὰ θαύματος ἄξια, ἀλλ' ὡς ὢν ἐν Υἱῷ διὰ τὴν ταυτότητα τῆς φύσεως καὶ τῆς οὐσίας τὸ ἀπαράλλακτον. ἀχάριστοι τοιγαροῦν οἱ τάλανες Ἰουδαῖοι, καὶ ἐπὶ πολλῇ τῇ ἀγνωμοσύνῃ λίαν κατηγορού μενοι, δι' οὐδενὸς μὲν ἔχοντες λόγου τὴν ἀσύγκριτον τοῦ Σωτῆρος διδασκαλίαν, ἀτιμάζοντες δὲ πρὸς τούτῳ δι' Υἱοῦ καὶ ἐν Υἱῷ τὴν τοῦ Πατρὸς φύσιν, καίτοι τῶν ὑπὲρ λόγον αὐτοῖς θαυμάτων ἀναδειχθεῖσαν δημιουργὸν, ἐφ' οἷς ἦν εἰκὸς καὶ τὸν σφόδρα σκληρὸν καὶ δυσήνιον ἄγεσθαί τε καὶ καλεῖσθαι λοιπὸν εἰς τὸ φρονεῖν δύνασθαι τὰ εἰκότα καὶ τὰ δι' ὧν ἔδει τιμᾶσθαι Θεόν. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ ἐν τῷ νόμῳ αὐτῶν γεγραμμένος, ὅτι ἐμίσησάν με δωρεάν. Οὐδὲ τοῦτο μὲν ἀγνοηθὲν τῷ τὰ πάντα προανακηρύξαντι 2.605 νόμῳ δείκνυσιν ἐναργῶς· πλὴν οὐ διὰ τοῦτό φαμεν προειπεῖν ἐκεῖνα τὸν νόμον, ἵνα τὸ τῶν Ἰουδαίων ἐξάπτοιτο μῖσος ἀδίκως κατά τε τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς, ἀλλ' ἐπείπερ ἔμελλεν ἔσεσθαι παρ' αὐτῶν, προαναπεφώνηκεν ὁ θεῖος καὶ ἱερὸς νόμος, οὐδὲν τῶν ἐσομένων ἠγνοηκὸς τὸ Πνεῦμα δεικνύς. γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν ἐκ προσώπου Χριστοῦ τὴν τῶν Ἰουδαίων ἀπόνοιαν ἐπαιτιωμένου καὶ λέγοντος, ὅτι "μῖσος ἄδικον ἐμίσησάν με." πῶς γὰρ οὐκ ἄδικον μῖσος; πῶς δὲ οὐκ ἐξεπικράνθησαν δωρεὰν, οἵ γε τοσοῦτον ἀφεστηκότες τοῦ χρῆναι μισεῖν, ὅσον ἧκεν εἰπεῖν εἰς τὴν τῶν εἰς αὐτοὺς γεγονότων φύσιν, ὡς φιλεῖν μᾶλλον τὴν ἁπασῶν ἀνωτάτω σπουδὴν, καὶ ἀγαπᾶν εἰς τὸ βούλεσθαι κατακολου θεῖν αὐτῷ. ποίαν γὰρ ἄν τις ἔχοι τοῦ μίσους τὴν ἀφορμὴν, λεγέτω παρελθὼν ὁ ταῖς Ἰουδαϊκαῖς ἀπειθείαις συνηγορῶν· τί τῶν γεγονότων διὰ Χριστοῦ, μίσους ἤγουν ἀπεχθείας ἄξιον; ὅτι θανάτου καὶ φθορᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξείλετο; ὅτι πλεονεξίας ἀπήλλαξε διαβολικῆς, καὶ τὴν τῆς ἁμαρτίας κατέλυσε τυραν νίδα, καὶ τὸ δοῦλον ὡς πρὸς υἱότητα τὴν ὡς πρὸς Θεὸν ἀνεκόμισεν; ὅτι ἐκ φιλανθρωπίας καὶ ἀμνησικακίας δικαίους ἀπέφηνε τοὺς ταῖς ἁμαρτίαις νενεκρωμένους; ὅτι Πνεύματος Ἁγίου καὶ θείας φύσεως ἀπέδειξε κοινωνοὺς, καὶ αὐτὸ δὲ ἡμῖν τὸ τῶν ἁγίων ἀγγέλων προὐξένησεν οἰκητήριον, καὶ βάσιμον ἀνθρώποις ἔδειξε τὸν οὐρανόν; πῶς οὖν ἔτι δίκαιον μισεῖσθαι τὸν τούτων ἡμῖν γεγονότα χορηγὸν καὶ πρύτανιν, καὶ οὐχὶ μᾶλλον ἀσιγήτοις εὐφημεῖσθαι δοξολογίαις καὶ ἀκαταλήκτοις εὐχαριστίαις ἀντιγεραίρεσθαι παρ' ἡμῶν; ἀλλ' οὐδὲν οἶμαι τὸν ἄτεγκτον μεθίστησιν Ἰουδαῖον εἰς τὸ βούλεσθαι φρονεῖν ἅπερ ἔδει φρονεῖν. μεμίσηκε γὰρ δωρεὰν, ὃν ἐξ ὅλης διανοίας ἀγαπᾶν ἔδει μᾶλλον καὶ ταῖς ἐκ τῆς εὐπειθείας καταστέφειν τιμαῖς. πλὴν κἀν τούτῳ χρησίμως ὁ Κύριος ἑαυτὸν οὐκ ἠγνοηκέναι δέδειχε τὴν τῶν Ἰουδαίων 2.606 κακόνοιαν, προειρηκότα δὲ μᾶλλον καὶ ὅτι μὲν ἔσται προ εγνωκότα, κεχρημένον γεμὴν ἡμερότητί τε καὶ ἀμνησικακίᾳ θεοπρεπεῖ. παρατέθεικε γὰρ καὶ ἀκαθηκόντως οὕτως διακει μένοις τὸν εἰς σωτηρίαν καλοῦντα λόγον, πρὸς τὸ καὶ θαύ μασι βεβαιοῦν τῆς εἰς αὐτὸν πίστεως τὴν ὁμολογίαν, εἴπερ τινὲς ἦσαν ἀγαθοὶ καὶ εὐγνώμονες. ὠφελεῖ δὲ σφόδρα κἀν τούτῳ τοὺς μαθητὰς, ἵν' ἀμνησικάκως καὶ τοῖς ὑβρίζειν αὐτοὺς ἐπιχειροῦσι τὸν τῆς σωτηρίας προτείνωσι λόγον, καὶ κατ' αὐτὸ δὴ τοῦτο κατ' ἴχνος ἰόντες φαίνοιντο τῆς ἐν αὐτῷ καὶ πρώτῳ διαλαμψάσης ἀρετῆς. εἴ τι γὰρ ἀγαθὸν, ἐν πρώτῳ Χριστῷ καὶ ἐφ' ἡμᾶς, καὶ ἐξ αὐτοῦ διέρπει πάντα τὰ κάλλιστα. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκ πορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρ τυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Μεμισῆσθαι λέγων ἑαυτόν τε καὶ τὸν Πατέρα παρὰ τῶν ἀσυνέτων Ἰουδαίων, καὶ τοῦτο δωρεὰν καὶ ἐπ' οὐδενὶ τῶν εἰκότων, συμπαρεισάγει τὸ Πνεῦμα χρησίμως, ὁμοῦ καὶ τῆς ἁγίας Τριάδος τὴν ἀναπλήρωσιν ἐμποιῶν τῷ Λόγῳ, καὶ αὐτὸ δὲ δεικνὺς συνητιμασμένον, ἵνα ὁλοκλήρως ἐν Υἱῷ πεπαρῳνηκότες ἐλέγχωνται τῶν παραδόξων οἱ θεωροὶ καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας τὴν οὕτως ὑπερφυᾶ καθυβρίσαντες δύναμιν, δι' ὧν οὐχ ὅπως παραδέχεσθαι δεῖν ᾤοντο τὸν Χριστὸν, καίτοι τερατουργοῦντα ξένως εἰς πληροφορίαν αὐτῶν, ἀλλ' ὧν ἤδη δεδράκασι· δεδυσσεβήκασι γὰρ εἰς αὐτὸν, ἃ καὶ μόνον ἐστὶν ἐννοῆσαι φρικτόν. καίτοι, φαίη γὰρ ἄν τις τυχὸν, ὦ παράφρον Ἰουδαῖε, θαυμάτων σοι 2.607 γέγονε δημιουργὸς ὁ Χριστὸς, ἃ καὶ τὴν Μωυσέως ὑπεραίρει δόξαν καὶ παντὸς ἁγίου λαμπρότητα· τὸ γὰρ φάναι τὸν Κύριον "Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ μηδεὶς ἄλλος "ἐποίησε," τοιαύτην ἡμῖν τὴν διάνοιαν εἰσφέρει. εἶτα τὸν τῶν ἐλαττόνων ὑπηρέτην καὶ διάκονον, φημὶ δὲ Μωυσέα, ταῖς οὕτω λαμπραῖς καταστέφεις τιμαῖς, τὸν δὲ ἀσυγκρίτως ὑπερφερῆ καὶ πολὺ τῶν ἀμεινόνων ἐργάτην, ἀσυνέτως οὕτω παρωθούμενος οὐκ ἐρυθριᾷς, καίτοι τοῖς διὰ Μωυσέως χρησ μῳδήμασι τὸ πάλαι διηγγελμένον ἐπάγοντα πέρας, καὶ κατακλείοντα λοιπὸν εἰς ἀλήθειαν τὴν σκιάν. ὁμοῦ τοιγα ροῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς συνεισκεκόμικε μὲν ἀναγκαίως ἑαυτῷ τε καὶ τῷ Πατρὶ τὴν τοῦ Πνεύματος μνή μην· ἀπελέγχει δὲ ἅμα τὸ εἰρημένον ἀληθὲς, τουτέστιν, ὡς εἴπερ τις ἕλοιτο διὰ μίσους ἔχειν τὸν Υἱὸν, συναποστυγήσει δὴ πάντως καὶ τὸν ἐξ οὗπέρ ἐστι Πατέρα· καὶ πῶς ἢ τίνα δὴ τρόπον, θέα πάλιν. Ἰδοὺ γὰρ ἰδοὺ πνεύμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ, τὸν Παράκλητον εἰπὼν, παρὰ τοῦ Πατρὸς αὐτὸν ἐκπορεύε σθαί φησιν. ὥσπερ γάρ ἐστιν ἴδιον Πνεῦμα τοῦ Υἱοῦ φυσικῶς, ἐν αὐτῷ τε ὑπάρχον καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ Πατρός· οἷς δὲ τὸ Πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα. μὴ γὰρ δή τινες ἡμᾶς τῶν δυσσεβεῖν εἰωθότων τοῖς ἐκ ἀμαθίας ἀποκο μιζόντων λόγοις εἰς ἃ μὴ θέμις ἐννοεῖν, ὡς ὑπουργικήν τινα χρείαν ἀποπληρῶν ὁ Υἱὸς τὸ παρὰ τοῦ Πατρὸς Πνεῦμα τῇ κτίσει διακονεῖ· καὶ τοῦτο γὰρ ἀσυνέτως τινὲς οὐ κατέδεισαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰπεῖν. πιστεύειν δὲ μᾶλλον ἀκόλουθον, ὡς ἐπείπερ ἴδιόν ἐστιν αὐτοῦ, καθάπερ ἀμέλει καὶ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀποστέλλει τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς πρὸς ἁγιασμόν. εἰ δὲ δὴ νομίζουσι τρόπον τινὰ καὶ δριμὺ νοεῖν τε καὶ λέγειν, διάκονον ἡμῖν καὶ ὑπουργὸν κἀν τούτῳ δὴ πάλιν τὸν Υἱὸν 2.608 εἰσκομίζοντες, πῶς οὐκ ἀκόλουθον εἰπεῖν "Μωροὶ καὶ "τυφλοὶ," πῇ δὴ πάλιν ἰόντες ὑμεῖς οὐκ αἰσθάνεσθε, καὶ τῆς τοῦ Μονογενοῦς κατεπαίρεσθε δόξης, ἐκ τῆς ἐνούσης ὑμῖν ἀμαθίας ἀθλίους συνείροντες λογισμούς; εἰ γὰρ ὅλως χορηγεῖ τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς, ἐν ὑπηρέτου τινὸς τάξει λελογισμένος, πῶς οὐκ ἀναγκαῖον ὁμολογεῖν, ὡς ἀλλότριον μέν ἐστι παντελῶς τῆς οὐσίας αὐτοῦ, τάχα δὲ καὶ ἄμεινον αὐτοῦ καὶ κατὰ πολὺ κρεῖττον, ἄνπερ οὕτως ἔχῃ κατά γε τὴν παρ' ὑμῖν ἀμαθίαν; εἰ γὰρ οὐκ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, τουτέστιν, ἐκ τῆς οὐσίας αὐτοῦ, ὁ Υἱὸς καθ' ὑμᾶς, πῶς οὐκ ἐν ἀμείνοσι νοοῖτ' ἂν τὸ Πνεῦμα παρὰ τὸν Υἱόν; εἶτα τί φαμεν, ὅταν ἀκούσωμεν λέγοντος περὶ αὐτοῦ ὅτι "Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ "ἀναγγελεῖ ὑμῖν." Πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνο λοιπὸν ὡς ἐξ ἀνάγκης εἰσβήσεται. εἰ γὰρ ὑπουργίαν διακονικὴν ἀποπληροῦν οἴεσθε τὸν Υἱὸν, τὸ ἀλλότριον ἡμῖν, τουτέστι, τὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς κεχορηγηκότα Ἅγιον ὂν κατὰ φύσιν Πνεῦμα, οὐ κατὰ φύσιν ἅγιος ὁ Υἱὸς, κατὰ μέθεξιν δὲ ὥσπερ ἡμεῖς. λέγεται γὰρ κατὰ τὴν τῶν δυσσεβῶν ἀμαθίαν, ἀλλότριος εἶναι τῆς οὐσίας τοῦ Πατρὸς, ἐξ ἧς καὶ πρόεισι τὸ Πνεῦμα τὸ δι' αὐτοῦ χορηγούμενον. ἔσται τοίνυν τῶν ἐνδεχομένων, εἴπερ οὐκ ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστιν, ἀλλ' εἰσποιητὸν ἔχει καὶ αὐτὸς τὸν ἁγιασμὸν, καθάπερ ἡ κτίσις, καὶ ἀποπεσεῖν δύνασθαί ποτε τῆς ἐνούσης ἁγιότητος αὐτῷ. τὸ γὰρ ὡς ἐν τάξει προσθήκης ἐπικτηθὲν, πῶς οὐκ ἂν ἀπογένοιτο, κατά γε τὸν τοῦ ἐγχωροῦντος λόγον; εἶτα τίς τῶν τοιούτων οὐκ ἀποδραμεῖται δογμάτων; πρεπωδέστερον δὲ οἶμαι τὸ οὕτως εἰπεῖν. Φίλη τοιγαροῦν ἡμῖν ἡ ἀλήθεια, καὶ τὰ ἐκ τῆς ἀληθείας δόγματα, καὶ αὐτοῖς ἐκείνοις ἡμεῖς οὐχ ἑψόμεθα, τὴν δὲ τῶν 2.609 ἁγίων πατέρων ἰχνηλατοῦντες πίστιν, ἴδιον εἶναί φαμεν τοῦ Υἱοῦ τὸν Παράκλητον, τουτέστι, τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ οὐκ ἐπεισκρινόμενον ἔξωθεν, οὐδὲ ἐπίκτητον ἐν αὐτῷ, καθάπερ ἐστὶν ἐν τοῖς ἁγιότητος δεκτικοῖς, οἷς καὶ ἐκ μὴ ὄντων ἡ γένεσις, ἀλλ' ὁμοούσιον αὐτοῦ, καθάπερ ἀμέλει καὶ τοῦ Πατρός. οὕτω γὰρ ἂν οὐκ εἰς πολύθεον ἡμῖν μυθολογίαν ἡ τῶν ἐκκλησιαστικῶν δογμάτων οἰχήσεται δύναμις, ἀλλ' εἰς ἕνα θεότητος λόγον ἡ ἁγία Τριὰς ἀνασφίγγεται. ἐν ταὐτῷ τοιγαροῦν καὶ τῆς οὐσίας τὴν ἑνότητα παραδεικνὺς, ἑαυτοῦ τέ φημι καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς, πνεῦμα τῆς ἀληθείας τὸν Παράκλητον εἶναι λέγων, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαί φησιν, ἀπελέγχει τε σαφῶς καὶ ἀναμφιλόγως θεομάχον ὁλοκλήρως τὸν χριστομάχον. ὁ γὰρ ὅλως ἐμπαροινεῖν ἐθελήσας τῷ Υἱῷ, πεπλημμεληκὼς ἂν εἰκότως καὶ εἰς αὐτὸν νοοῖτο τὸν ἐξ οὗπέρ ἐστιν. Ὅταν τοίνυν ἔλθῃ ὁ Παράκλητός φησι τὸ πνεῦμα τῆς ἀλη θείας, τουτέστι τὸ ἐμὸν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. μαρτυρήσει δὲ πῶς; ἐνεργῆσαν γὰρ ἐν ὑμῖν τε καὶ δι' ὑμῶν τὰ παράδοξα, μάρτυς ἔσεται δίκαιός τε καὶ ἀληθὴς τῆς ἐμῆς θεοπρεποῦς ἐξουσίας, καὶ τῆς ἐν δυνάμει μεγαλειότητος. ἐμὸν γὰρ Πνεῦμα, τὸ ἐνεργοῦν ἐν ὑμῖν· ὥσπερ δὲ ἐμὸν, οὕτω καὶ τοῦ Θεοῦ καὶ Πατρός. συγκαθυβρίσθαι τοιγαροῦν ἀνάγκη νοεῖν τοὺς δι' ἑνὸς τοῦ ἀγαθοῦ Πνεύματος τὰ παράδοξα πρὸς πληροφορίαν τῆς πίστεως ἐνεργήσαντας ὡς ἐν προσώπῳ Χριστοῦ, ἐν ᾧ κατῴκησε κατὰ τὸν Παῦλον, οὐχὶ μέρος τι τῆς ἀφράστου θεότητος, ἀλλ' "ὅλον τὸ πλήρωμα σωματικῶς." Μαρτυροῦντος δὲ τοῦ Πνεύματος, συνεπιμαρτυρήσετέ φησι καὶ ὑμεῖς αὐτοί. γεγόνατε γὰρ αὐτόπται καὶ θεωροὶ τῶν παρὰ τοῖς ἰδίοις τετελεσμένων, ἀεὶ συνόντες ὡς μαθηταί. 2.610 Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Τὴν τῶν Ἰουδαίων ἀπόνοιαν φανοτάτην τοῖς ἑαυτοῦ μαθη ταῖς καθιστὰς ὁ Σωτὴρ, τάχα καὶ ἐπενεγκεῖν τοῖς περὶ τούτων ἔμελλε λόγοις, ὅτι δὴ πρὸς τοσαύτην ἥξουσι δυση κοΐαν οἱ τάλανες, ἀποφράξουσι δὲ οὕτω τὴν ἀκοὴν, καὶ εἰς τοῦτο βαδιοῦνται μισοθεΐας οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δείλαιοι, καθυβρίσουσι δὲ οὕτω τοὺς ὑπὲρ τῆς ἀληθείας λόγους, ὡς εἴπερ καὶ δύο γένοιντο τυχὸν τῆς αὐτοῦ δόξης οἱ μάρτυρες, μηδὲ οὕτω παραδέξασθαι θέλειν αὐτὴν, καίτοι διαῤῥήδην ἀνακεκραγότος τοῦ νόμου, πιστεύεσθαι δεῖν, καὶ ἀνενδοιάστως εἶναι παρα δεκτὸν, πᾶν ὅπερ ἂν διὰ τῆς δύο τυχὸν ἢ τριῶν ἐπιμαρτυ ροῖτο φωνῆς. ἀλλὰ τοῦτο μὲν οὔ φησι χρησίμως εἰς τὸ παρόν. καὶ γὰρ ἂν οὐ μετρίαν αὐτοῖς ἐνεποίησε τὴν ἀκηδίαν, καὶ διακλάσας ὥσπερ εἰς ἀπόγνωσιν τοὺς μαθητὰς, ὄκνου καὶ δειλίας ἀπαραπόδιστον ἐν αὐτοῖς ἐτίθει τὴν πάροδον. εἰκὸς γὰρ δήπου καθ' ἑαυτοὺς ἐννοεῖν, ὡς εἰ μηδενὶ πεισθή σονται παντελῶς τῶν Ἰουδαίων οἱ δῆμοι, ἀλλὰ καὶ αὐτὸν ἡγήσονται παρ' οὐδὲν τὸν Παράκλητον, καίτοι τοῖς ὑπὲρ λόγον τερατουργήμασι καταπλήττοντα, οὐδὲν δὲ ἧττον ἁλώ σονται καὶ μετὰ τοῦτο μισοῦντες Χριστὸν, καὶ σὺν αὐτῷ τὸν Πατέρα, τί καὶ πόνον ἀνατλῆσαι δεήσει κενόν; τί μὴ καὶ πραγμάτων ἀπαλλάττεσθαι δεῖ, τὴν εἰς ἀνηκόους σιωπὴν τοῦ διδάσκειν προτιμήσαντας; ταῦτά τοι κατὰ τὸ εἰκὸς οὐκ ἀγνοήσας λογιεῖσθαι τοὺς μαθητὰς, περιστέλλει μὲν ἐν τέχνως τὰ ὅσαπερ ἦν μοχθηρότερα πρὸς ἐξήγησιν καὶ δειλίας καὶ ὄκνου τοῦ πρὸς τὸ χρῆναι διδάσκειν ἐμποιητικά· παρατρέπει δὲ χρησίμως τοῦ λόγου τὴν δύναμιν ἐπὶ τὸ προευτρεπίζεσθαι δεῖν, καὶ προεσκευάσθαι νεανικῶς πρὸς τὰ ἐξ ἐκείνων ἐσόμενα, ἤτοι προσδοκώμενα. τὸ γὰρ αἰφνιδίως καὶ ἀδοκήτως τισὶν ἐπελθὸν, ἱκανὸν ταράξαι καὶ τὴν λίαν 2.611 ἔχουσαν ἑδραίως ψυχήν· τὸ δὲ ὡς ἥξοι καὶ ἔσται προϋ ποπτευθὲν, λειοτέραν ἔχει τὴν πρόοδον, καὶ τὸ ἄχθος εὐφο ρητότερον, ὡς προεγνωσμένον ἤδη καὶ προτετριμμένον ταῖς τοῦ παθεῖν ἀνενδοιάστως ἐλπίσιν. οἶμαι δέ τι καὶ τοιοῦτον ὑποσημῆναι βούλεσθαι τὸν Χριστόν. εἰ γὰρ ἐγὼ, φησὶ, τοσαῦτα μὲν ἤδη τεθαυματούργηκα, καὶ τοῦτο ἐπὶ μάρτυσιν ὑμῖν, θαυματουργήσει δὲ καὶ ἐφ' ὑμῶν ὁ Παράκλητος· καὶ τῆς Ἰουδαίων ἀπονοίας οὐκ ἀτονήσει τὸ θράσος, ἀλλ' ἔσονται πάλιν ἐν τούτοις, καὶ ἐν τοῖς ἔτι χείροσι, μὴ σκανδα λισθῆτε, φησὶν, ὅταν καὶ αὐτοὶ τοῦτο παθόντες εὑρίσκησθε, διαμέμνησθε δὲ πανταχοῦ τῶν ἐμῶν λόγων· "Οὐ γάρ ἐστι "μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν "κύριον αὐτοῦ." Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. Ἀνεκόμισε πρὸς αὐτὸ τὸ πάντων, ὡς ἔπος εἰπεῖν, ἀκρό τατον τῶν δεινῶν, τοῦ κινδύνου τὴν πρόῤῥησιν, οὐχ ἵνα τὴν ἄνανδρον τοῖς ἑαυτοῦ μαθηταῖς ἐνεργάσηται πτοίαν· οὐ γὰρ ἂν ἥρμοσε δρᾶν τῷ γε ὅλως παροτρύνειν ἐθέλοντι πρὸς τὸ εὐτολμότατα λίαν τὸν εὐαγγελικὸν κηρῦξαι λόγον· ἀλλ' ἵνα τὸν ἀνωτάτω φόβον, ὡς ἤδη προεγνωσμένον, εὐτριβῆ ὄντα διὰ τοῦτο παρωθούμενοι, παντὸς μὲν ἤδη καταneανιεύωνται κακοῦ, μηδένα δὲ ὅλως ποιοῖντο λόγον, μηδὲ εἴπερ τι προσίοι τῶν ἀφορητοτέρων κακῶν εἶναι δοκούντων. τοῖς γὰρ τὸ μεῖζον οὐ δεδοικόσι, ποίαν ἂν ζημίαν ἐποίσει τὸ ἔλαττον; οἱ δὲ καὶ τῶν εἰς ἄκρον ἡκόντων δειμάτων κατευμεγεθεῖν ἐγνωκότες, διὰ τίνος ἔτι τῶν ἄλλων ταραχθεῖεν ἄν; ἵνα τοίνυν εὐτρεπῆ τὴν διάνοιαν ἔχοιεν εἰς τὸ πάντα λίαν ἀσμένως ὑπενεγκεῖν, καὶ πρὸς τὸ χρῆναι τοσοῦτον τῆς ἐκ τῶν Ἰουδαίων κατεξανίστασθαι βλάβης, ὡς μηδὲ αὐτὸν εἰ τύχοι παρόντα τὸν ὠμὸν δεδιέναι θάνατον· οὐχὶ τὰ ἐν ἔθει μόνον συμβήσεσθαι λέγει, οὐδὲ μέχρι τούτων στήσεσθαι 2.612 τὴν ἐπιβουλὴν, ἤτοι τὴν τῶν Ἰουδαίων ἐπανάστασιν, ὡς ἀποσυναγώγους γενέσθαι μόνον, ἀλλ' εἰς τοῦτο κατολισθεῖν ὠμότητος τὴν ἐκείνων ἀνοσιότητα προμεμήνυκεν, ὡς οἰηθῆναί ποτε καὶ τὴν τῆς εἰς Θεὸν εὐσεβείας ἰέναι τρίβον τὴν κατ' αὐτῶν εἰς ἄκρον ἀπανθρωπίαν. ὅτι δὲ καὶ ἀποσυνάγωγοι παρὰ τοῖς Ἰουδαίοις ἐγίνοντο, καὶ ταύτην ὡς ἐν ἀρχαῖς τοῦ πράγματος ὑπέμενον δίκην οἱ τῆς ἀγάπης τῆς εἰς Χριστὸν ἐξημμένοι, σαφὲς ἂν γένοιτο, λέγοντος τοῦ Εὐαγγελιστοῦ, ὅτι "πολλοὶ μέντοι καὶ ἐκ τῶν ἀρχόντων ἐπίστευσαν εἰς "αὐτὸν, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ "ἀποσυνάγωγοι γένωνται," καὶ πάλιν "Ἤδη γὰρ συνετέ "θειντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἵνα ἐάν τις αὐτὸν "ὁμολογήσῃ τὸν Χριστὸν εἶναι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποσυνάγωγος γένηται·" ἀλλ' εἰ καὶ πρὸς ταύτην, φησὶ, τὴν τῶν Ἰουδαίων ἐπιβουλὴν ἀφορήτως ἔχουσί τινες, ἰστέον ἐντεῦθεν, ὡς οὐ μέχρι τούτων τὰ καθ' ὑμᾶς στήσεται. μὴ γὰρ ὅλως, φησὶν, εἰ καὶ συμ βαίη τοῦτο παθεῖν ἀσχάλλετε. κατοιχήσεται δὴ πρὸς τοῦτο φαυλότητος τὰ ἐκείνων τολμήματα, ὡς εἰς λατρείας δύναμιν τῆς θεοφιλοῦς τὸν καθ' ὑμῶν οἰηθῆναι θάνατον· ὃ δὴ καὶ γεγονὸς εὑρήσομεν ἐπί τε τῷ ἁγίῳ Στεφάνῳ, τῇ τῶν μαρτύρων ἀπαρχῇ, καὶ ἐπὶ τῷ θεσπεσίῳ Παύλῳ. Στεφάνῳ μὲν γὰρ τὸ τῆς δυσφημίας ἔγκλημα περιπλέκοντες, καὶ ζῆλον ἐντεῦθεν τὸν φιλόθεον πλαττόμενοι, τὸν διὰ λίθων ἐπήγαγον θάνατον· τῷ γεμὴν ἱερῷ τε καὶ σοφωτάτῳ Παύλῳ τοσοῦτον ἐπέτριζον τῶν Ἰουδαίων τινὲς, ὡς "ἀναθεματίσαι "ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν ἄχρις οὗ ἀνέλωσιν αὐτόν·" οὕτω γὰρ ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων γεγραμ μένον εὑρήσομεν. καλὴ τοιγαροῦν καὶ λυσιτελὴς λίαν ἡ πρόῤῥησις, προεξευμαρίζουσα μὲν τὸν ἐπὶ τοῖς δεινοῖς φόβον, ὡς δὲ ἤδη πεπονθότας ἀναχαλκεύουσα πρὸς ἀνδρείαν τοὺς μαθητάς. προαποψυχθήσεται γάρ πως ἡ τοῦ κινδύνου 2.613 θερμότης προεγνωσμένη τοῖς πάσχουσι, καὶ ἀσθενεστέραν τὴν ἔφοδον ἐργάζεται. Καὶ ταῦτα ποιήσουσιν, ὅτι οὐκ ἔγνωσαν τὸν Πατέρα οὐδὲ ἐμέ. Ἔδειξε τῶν Ἰουδαίων τὸν "ζῆλον, οὐ κατ' ἐπίγνωσιν·" καθάπερ ἀμέλει καὶ ὁ Παῦλός φησι· πεπλανημένον δὲ σφόδρα καὶ ἔξω που βαίνοντα τῆς εὐθείας ὁδοῦ, καίτοι δοκοῦντα κατά γε τὸν ἐν αὐτοῖς ὄντα σκοπὸν τελεῖσθαι διὰ Θεόν. ᾤοντο μὲν γὰρ τῆς διὰ Μωυσέως ὑπερασπίζοντες ἐντολῆς τὸν τοῦ νόμου δοτῆρα κατευφραίνειν Θεὸν, καὶ μαχόμενοι τοῖς διὰ Χριστοῦ θεσπίσμασιν εὐδοκιμεῖν οἱ τάλανες οὐ μικρῶς ὑπελάμβανον. διὰ γάρ τοι τοῦτο καὶ τοῖς τὸν εὐαγγελικὸν διακηρύττουσι λόγον ἐπέκειντο σφο δρῶς, ἀλλ' ἠγνόουν ἁπάσης εἴσω πεσόντες μωρίας, καὶ διὰ τῆς εἰς τὸν Υἱὸν ἀτιμίας εἰς αὐτὸν πλημμελοῦντες τὸν Θεὸν καὶ Πατέρα, μᾶλλον δὲ οὐκ εἰδότες ἡλίσκοντο παντελῶς, τί μέν ἐστι Πατὴρ, τί δὲ πάλιν ὁ ἐξ αὐτοῦ πεφηνὼς Υἱός. καὶ τό γε παράδοξον, Μωυσέα μὲν γὰρ τὸν σοφώτατον ταῖς ἀνωτάτω τιμαῖς καταστεφανοῦν ἠπείγοντο, νόμου τοῦ δι' ἀγγέλων γεγονότα διάκονον· τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, τὴν ἀπόῤῥητον τοῦ Πατρὸς ἐξηγούμενον βού λησιν, λέγοντά τε σαφῶς "Ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλ' ὁ "πέμψας με Πατὴρ αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ "τί λαλήσω," ταῖς ἐσχάταις ἀτιμίαις περιβαλεῖν οὐκ ὤκ νησαν, καίτοι συνθαυματουργοῦντος αὐτῷ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ δι' αἰσθητῆς ἄνωθεν μαρτυροῦντος φωνῆς, ἀνακεκραγότος δὲ διαῤῥήδην καὶ λέγοντος "Οὗτός ἐστιν ὁ "Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα." ἔστι τοίνυν οὐκ ἀμφίβολον, ὡς εἴπερ τις ἕλοιτο τοῖς τὸν θεῖον διαπορθμεύουσι λόγον ἐπιφύεσθαι πικρῶς, ἐν ἀγνοίᾳ κείσεται πάσης ὁμοῦ τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος. οὐδὲ γὰρ οἶδε τὸν 2.614 Πατέρα, ὁ τὸν ἐξ αὐτοῦ πεφηνότα Λόγον τῆς πρεπούσης δόξης ἔξω τιθεὶς, κατά γε τὸν ἴδιον σκοπόν. πῶς γὰρ οὐκ ἀνενδοιάστως παραδεκτὸν παρά γε τοῖς νουνεχέστερον τῇ τῶν πραγμάτων φύσει προσβαλεῖν δυναμένοις, ὡς ἐπείπερ ἐστὶν ὁμοούσιος τῷ Πατρὶ, λαλήσει μὲν πάντως τὰ κατὰ βούλησιν τοῦ Πατρὸς, ὡς δὲ κοινωνὸν τῆς δόξης ἔχων αὐτὸν, ἕξει δὴ πάντως καὶ συλλυπούμενον, ἐφ' οἷς ἂν πταίωσιν εἰς αὐτόν τινες. ἀπολογεῖται τοίνυν ἐν τούτοις ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, καὶ μονονουχὶ τῶν Ἰουδαϊκῶν τολμημάτων κατηγορεῖ, πικρὰν καὶ ὀλέθριον ἐντεῦθεν ἐπιθεὶς τὴν ψῆφον τοῖς αὐτὸν ἀτιμάζουσι διὰ τῆς εἰς αὐτοὺς τοὺς ἁγίους ἀποστόλους ὠμότητος. οὐ γὰρ εἰς αὐτοὺς κυρίως ὁ τῆς πλημμελείας περιτραπήσεται λόγος, ἀλλ' εἰς αὐτὸν ἀναβήσεται τὸν τῆς θείας ἀποστολῆς αὐτοῖς ἐπιτι θέντα τὴν λειτουργίαν, καθάπερ ἀμέλει καὶ πρὸς Σαμουὴλ ποτε τὸν ἅγιον ἔλεγε περὶ τῶν υἱῶν Ἰσραὴλ "Ὅτι οὐ σὲ "ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμὲ ἐξουθενήκασι." Πρᾶγμα τοιγαροῦν σφαλερώτατον, τὸ μὴ τοῖς ἁγίοις ἐθέλειν τὴν αὐτοῖς ἁρμοδιωτάτην ἀπονεῖμαι τιμήν· ἀναδρα μεῖται γὰρ τῆς εἰς αὐτοὺς πλημμελείας ὁ λόγος εἰς τὸν ἀποστείλαντα αὐτούς.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα αὐτῶν, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν. Οὐχ ἑτέρου τοῦ χάριν περὶ τούτων αὐτοῖς πεποιῆσθαι τὸν λόγον διισχυρίζεται, ἢ ἵνα γινώσκοιεν, ὅτι δὴ πάντως τοῖς δι' αὐτὸν ὁμιλήσαντες πειρασμοῖς τῆς ἁμαρτίας, τὴν ἐντεῦθεν ἀποκερδανοῦσι δόξαν. οὐ γὰρ δὴ προείρηκα, φησὶ, τοὺς τόνους τῆς ὑμετέρας διανοίας προαπονευρῶν, ἀλλ' οὐδὲ πρόωρον ὑμῖν ἐκ τοῦ πείθεσθαί τι προσδοκᾶν ἐπινοήσας τὸ δεῖμα, προγινώσκειν δὲ μᾶλλον διδοὺς, ἵνα διττὴν ἐντεῦθεν 2.615 τὴν ὠφέλειαν κερδάνητε. πρῶτον μὲν γὰρ ἀναμνησθέντες, ὅτι προεῖπον ἐγὼ, τὸν προεγνωκότα θαυμάσετε, καὶ αὐτὸς ὑμῖν ὁ τοῦ κινδύνου καιρὸς εἰς πληροφορίαν ἀσφαλοῦς συμβήσεται πίστεως· ὁ γὰρ εἰδὼς τὰ ἐσόμενα, πῶς οὐκ ἂν εἴη κατὰ φύσιν Θεός; καὶ πρός γε τούτῳ τὸ ἕτερον· ὁ γὰρ δὴ προηυτρεπισμένος καὶ προεγνωκὼς ὅτι πείσεται, μαλθακωτέρῳ μὲν περιτεύξεται τῷ φόβῳ, κατευμεγεθήσει γὰρ ῥᾳδίως παντὸς τοῦ δοκοῦντος εἶναι δεινοῦ, ἀκλόνητόν τε τὸν νοῦν ἐν αὐτοῖς κτήσεται τοῖς πόνοις· τὸ γὰρ ἀδοκήτως οἶμαι παρ' ἐλπίδα παθεῖν πικροτέραν ἔχει τὴν προσβολήν. καὶ γοῦν ὁ ψάλλων φησίν "Ἡτοιμάσθην "καὶ οὐκ ἐταράχθην." διαμεμνῆσθαι τοίνυν κελεύει τοὺς μαθητὰς τοῦ προειρηκότος αὐτοῖς τὰ ἐσόμενα χρησίμως καὶ ἀναγκαίως. ἦν γὰρ οὐκ ἀμφίβολον, ὅτι Θεὸν ἀληθινὸν ὑπάρχειν αὐτὸν καὶ διὰ τοῦτο πιστεύοντες· ἴδιον γὰρ τὸ πάντα εἰδέναι τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ· καὶ ὅτι τῶν δεινῶν ἐξελεῖται ῥᾳδίως πιστεύσουσιν. Ταῦτα δὲ ἐξ ἀρχῆς οὐκ εἶπον ὑμῖν, ὅτι μεθ' ὑμῶν ἤμην. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με Ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἑτέρου τινὸς χρησίμου καὶ ἀναγκαιοτάτου λίαν προε νόησεν ὁ Χριστός. ἦν γὰρ οὐκ ἀμφίβολον, ὅτι κεκλημένοι πρὸς μαθητείαν ἐν ἀρχαῖς παρ' αὐτοῦ, συνόντες τε ἀεὶ καὶ συνδιαιτώμενοι, καὶ πολλὴν τῶν παραδόξων ἐσχηκότες τὴν πεῖραν, συσκεψάμενοί τε τὴν ἀσύγκριτον αὐτοῦ δύναμιν καὶ ἐξουσίαν, ὅτι πάντα νικήσουσι πειρασμὸν, καὶ πάντων ἁπαξαπλῶς περιέσεσθαι τῶν δεινῶν ὑπελάμβανον. πῶς γὰρ ἦν ἐνδοιάζειν ἔτι καὶ πρὸς τοῦτο μικροψυχεῖν τὴν τοῦ τοσαῦτα ἰσχύοντος λαχόντας εὐμένειαν; ἐπειδὴ δὲ τοῖς παρ' 2.616 ἐλπίδα περιπεσεῖσθαι κινδύνοις προμεμήνυκεν ὁ Χριστὸς, ἵνα μὴ σφόδρα πρὸς τοῦτο ταράττοιντο, διενθυμούμενοί τε καὶ λέγοντες Ἆρα τῶν ἐν ἀρχαῖς ἐλπίδων ἐσφάλημεν καὶ διημαρ τήκαμεν τοῦ σκοποῦ, κεκλῆσθαι μὲν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς οἰηθέντες, ἐκτελευτῶντες δὲ οὕτως εἰς ἀδοκήτους συμφοράς; ἀναγκαίως ὁ Κύριος τοῦ μὴ ἐν ἀρχαῖς προμηνῦσαι ταυτὶ τὴν αἰτίαν ἐξηγεῖται καί φησι Ταῦτα ἐξ ἀρχῆς οὐκ εἶπον ὑμῖν ὅτι μεθ' ὑμῶν ἤμην. ἐξήρκει μὲν γὰρ συμπαρὼν αὐτοῖς ἔτι πρὸς τὸ ἀνασώζειν εὐκόλως, καὶ ἐκ παντὸς ῥύεσθαι πειρασμοῦ, καὶ τὴν ἐφ' ἅπασι τοῖς συμβαίνουσι καθηκόντως ποιεῖσθαι διδα σκαλίαν τε καὶ ἐπανόρθωσιν. ἐπειδὴ δὲ ἀποδημεῖ πρὸς τὸν Πατέρα, τὴν τῶν ἔσεσθαι προσδοκωμένων ἀπαραίτητον ἄφιξιν ἐξηγεῖται χρησίμως καὶ ἐν καιρῷ τῷ πρέποντι. εἰ γὰρ καὶ ἡμῖν αὐτοῖς τὸ τοῦ καιροῦ τοῦ πρέποντος μὴ ἁμαρτάνειν ἐσπούδασται, πῶς οὐκ ἂν μᾶλλον ἀρέσαι Θεῷ; καιρὸς οὖν ἄρα σιωπῆς ἦν ἐν ἀρχαῖς, οὔπω τοῦ χρῆναι μαθεῖν ὡς ἐξ ἀνάγκης εἰσβαίνοντος· ἐπειδὴ δὲ ἀπεδήμει πρὸς τὸν Πατέρα, ὁ τῆς φράσεως παρεισέδυ καιρός. ἆρ' οὖν ἀπενοσφίζετο τῶν μαθητῶν ὁ Σωτὴρ ἀναφοιτήσας πρὸς τὸν Πατέρα, καὶ συνῆν αὐτοῖς τῇ τοῦ Πνεύματος ἐνεργείᾳ τε καὶ δυνάμει καὶ χάριτι; πῶς, ἢ κατὰ τίνα τρόπον; οὐ γὰρ ψεύδεται λέγων "Ἰδοὺ "ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας καὶ ἕως τῆς συντε "λείας τοῦ αἰῶνος," πλὴν ὅσον εἰς σάρκα καὶ τὴν μετὰ σώματος παρουσίαν, οὐδαμόθεν ἀμφίβολον. ἀλλ' οἶδε μὲν ὁ Σωτὴρ ἀναγκαιοτάτην ἔσεσθαι τῇ ἀνθρωπείᾳ φύσει τὴν εἰς οὐρανοὺς ἀνάβασιν τῆς ἰδίας σαρκὸς, πλὴν οὐκ ἠγνόησεν, ὡς Θεὸς, ὅτι τῇ πικρίᾳ τῆς λύπης μεμέθυστο τῶν μαθητῶν ἡ καρδία. ἐλύπει γὰρ λίαν αὐτοὺς ἀποδημῶν ὁ Χριστὸς, ἐπεί περ ἤθελον αὐτῷ συνεῖναι διὰ παντός. ὡς δὲ ἤδη κεκρικότα τοῦτο δρᾶν, οὐδὲ διερωτῶσιν, ὅ τι ποτὲ ἄρα, καὶ διὰ ποίαν αἰτίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποιχήσεται, ἢ τί τὸ ἐπεῖγον ἤγουν ἀναπεῖθον εἰς τὸ ἄνω βαδίζειν αὐτόν. συγγινώσκει τοίνυν ὡς ἐξ ἀγάπης αὐτοῖς παθοῦσι καὶ τοῦτο, καὶ σιωπὴν οὐκ εὐκαίρως ἑλο 2.617 μένοις ἀγαπᾶν τῆς ἀποδημίας οὐκ ἐῶσαν τὸ αἴτιον ἐκμαθεῖν, καίτοι πολλὴν ἔχοντος τοῦ εἰδέναι τὴν ὄνησιν. Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν ὑμῖν λέγω, συμφέρει ὑμῖν ἵνα ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς. Θερμὴ μὲν γὰρ ὑμᾶς κατεδήδοκε λύπη, φησὶ, καὶ δριμὺς ἐτάραξε πόνος. οὐ γὰρ ἀταλαίπωρον ἑαυτοῖς τὸν ἐμὸν ἔσεσθαι χωρισμὸν ὑπειλήφατε, σφόδρα φρονοῦντες ὀρθῶς. περιπεσεῖσθε γὰρ πάντως οἷς ἤδη προείρηκα πειρασμοῖς, καὶ τῆς τῶν διωκόντων ἀνοσιότητος ὑπομενεῖτε τὴν ἀγριότητα. χρῆναι δὴ οὖν ἀεὶ τῶν ἡδίστων τὸ συμφέρον προτάττεσθαι λογιζόμενος, ἐρῶ πρὸς ὑμᾶς τὴν ἀλήθειαν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. καὶ πάντα μὲν τὰ νοήματα τῷ ὑπὲρ ἡμᾶς παραχωρήσομεν Σωτῆρι Χριστῷ, πλὴν οὐ μετρίως ἂν οἶμαι θορυβήσειν δύνασθαί τινα τῶν ἁπλουστέρων τὸ εἰρημένον. λογιεῖται γὰρ πάντως ἐκεῖνο καθ' ἑαυτὸν καὶ διασκέψεται, ὡς εἴπερ ἦν ἄμεινον τὸ ἀποδημῆσαι Χριστὸν, τὸ ἄρα παρεῖ ναι τῆς κατά τι γοῦν ζημίας οὐ λίαν ἀπήλλακτο· καὶ εἰ τὸ συμφέρον ἡμῖν ἐν τῷ ἀνελθεῖν αὐτὸν, πῶς οὐχὶ τὸ ἐναντίον ἐκ τοῦ μὴ ἀπελθεῖν συμβήσεται; καὶ θορυβήσει μὲν ἴσως τινὰς τῶν ἀκεραίων τὸ ζήτημα· πλὴν ὁ συνέσει τῇ θείᾳ διακυβερνώμενος πρὸς ἀκριβῆ τῶν εἰρημένων κατάληψιν, οὐκ ἂν ὅλως οἶμαι σκανδαλισθείη ποτὲ, διασκέψηται δὲ μᾶλλον τὸν τοῖς εἰρημένοις πρέποντα νοῦν. Χρῆναι τοιγαροῦν πρὸ τῶν ἄλλων ἁπάντων ἐκεῖνό φημι διαλογίζεσθαί τε καὶ εἰδέναι σαφῶς, ὅτι κατὰ τὸ γεγραμ μένον "Καιρὸς τῷ παντὶ πράγματι," καὶ πάντα καλὰ ἐν καιρῷ αὐτῶν. παρῆν οὖν ἄρα κατὰ καιροὺς χρησίμως ὁ Κύριος ἐν τῷδε τῷ κόσμῳ μετὰ σαρκός· ἐν καιρῷ δ' αὖ πάλιν τῷ καθήκοντί τε καὶ ἡρμοσμένῳ ταῖς ἐφ' ἑκάστῳ τῶν 2.618 πραγμάτων τελουμέναις οἰκονομίαις χρησίμως ἀνῄει πρὸς τὸν Πατέρα. καὶ οὐ διαβεβλήσεται μὲν παντελῶς, ὡς οὐ σφόδρα λυσιτελὲς τὸ συμπαρεῖναι τοῖς μαθηταῖς, διὰ τὴν εἰς ὕστερον ἀναγκαίως γενομένην ἀποδημίαν, οὔτε μὴν λοι δορηθήσεται κατά τι γοῦν ὅλως τὸ ἐκ τῆς ἀποδημίας χρή σιμον, διὰ τὸ ἐκ τοῦ παρεῖναι συμφέρον· ἑκάτερον γὰρ ἐν καιρῷ πρέποντι χρησίμως ἐπράττετο. ἵνα δὲ τὸν τοῦ θεωρή ματος νοῦν βραχὺ παραπλώσαντες, εὐσυνοπτότερον τοῖς ἀδελφοῖς καταστήσωμεν, φέρε δὴ λέγωμεν ἀναμηρυσάμενοι τῷ λόγῳ κατ' ἐπιδρομὴν τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς τὴν πρόφασιν, καὶ πρὸς τούτοις ἔτι τὸ τῆς ἀποδημίας ὠφέλιμον. Ἵνα τοίνυν καὶ φθορᾶς καὶ θανάτου ἀπαλλάξῃ τὸν διὰ τῆς ἀρχαίας ἐκείνης κατακεκριμένον ἀρᾶς, γέγονεν ἄνθρωπος, ἑαυτὸν ὥσπερ ἐγκαθιεὶς τῇ ἡμετέρᾳ φύσει, ζωὴν κατὰ φύσιν ὑπάρχοντα. νενίκηται γὰρ οὕτω τοῦ θανάτου τὸ κράτος, καὶ λέλυται τῆς ἐν ἡμῖν ἐπεισάκτου φθορᾶς ἡ δύναμις. καὶ ἐπείπερ τῆς εἰς ἁμαρτίαν ῥοπῆς ἐλευθέρα παντελῶς ἡ θεία φύσις ἐστὶ, πεφόρεκεν ἡμᾶς διὰ τῆς ἰδίας σαρκός· ἐν αὐτῷ γὰρ ἦμεν οἱ πάντες, καθὸ πέφηνεν ἄνθρωπος· ἵνα νεκρώσῃ "τὰ μέλη τὰ ἐπὶ τῆς γῆς," τουτέστι, τὰ τῆς σαρκὸς πάθη, καὶ καταργήσῃ τῆς ἁμαρτίας νόμον τὸν ἐν τοῖς ἡμετέροις μέλεσι τυραννήσαντα, καὶ πρὸς τούτῳ πάλιν ἵνα τὴν φύσιν ἡμῶν ἁγιάσῃ, καὶ τύπος ἡμῶν καὶ καθηγητὴς εὑρεθῇ τῆς εἰς εὐσέβειαν ὁδοῦ, καθαρά τε ἐπίγνωσις τῆς κατ' ἐπίγνωσιν ἀληθείας καὶ ἀπλανοῦς πολιτείας· ταῦτα δὴ οὖν ἅπαντα γεγονὼς ἄνθρωπος κατώρθωκεν ὁ Χριστός. ἔδει τοίνυν εἰς ἀκρότητα παντὸς ἀγαθοῦ τὴν ἀνθρώπου φύσιν ἀναγαγεῖν, καὶ οὐχὶ μόνον ἀπαλλάξαι θανάτου καὶ ἁμαρτίας, ἀλλ' ἤδη καὶ εἰς αὐτοὺς ἀναβιβάσαι τοὺς οὐρανοὺς, ὁμοδίαιτόν τε καὶ συγχορευτὴν ἐπιδεῖξαι τοῖς ἀγγέλοις τὸν ἄνθρωπον· καὶ 2.619 ὥσπερ κεκαινοτόμηκεν ἡμῖν διὰ τῆς ἰδίας ἀναστάσεως τὸ διαδρᾶναι δύνασθαι τὴν φθορὰν, οὕτως ἡμῖν ἀνοῖξαι καὶ τὴν εἰς τὸ ἄνω πάροδον, καὶ ἐν ὄψει στῆσαι τοῦ Πατρὸς τὸν ἐκ προσώπου τεθέντα διὰ τὴν ἐν Ἀδὰμ παράβασιν. οὕτω τὰ τοιαῦτα συνεὶς καὶ ὁ θεσπέσιος Παῦλος ἔλεγεν "Οὐ γὰρ "εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, οὐδὲ εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀντί "τυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν "ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν." ἀκούεις ὅτι διὰ παντὸς ἐν ὄψει καὶ ἐν τῇ φύσει τοῦ ἰδίου Γεννήτορος ὢν, διὰ τὴν ταυτότητα τῆς οὐσίας, νῦν οὐ δι' ἑαυτὸν, ἀλλ' ὑπὲρ ἡμῶν ἐμφανίζεται; ὃ γὰρ εἶπον ἤδη, τοῦτο πάλιν ἐρῶ· ἡμᾶς ἵστησιν ἐν ὄψει τοῦ Πατρὸς, ἀπαρχὴ ὢν τῆς ἀνθρωπό τητος, ἀποδημήσας εἰς οὐρανούς. ὥσπερ γὰρ ζωὴ κατὰ φύσιν ὑπάρχων, ἀποθανεῖν τε καὶ ἀναστῆναι λέγεται δι' ἡμᾶς, οὕτως καὶ ἀεὶ βλέπων τὸν ἑαυτοῦ Πατέρα, ὁρώμενός τε αὖ πάλιν καὶ παρὰ τοῦ ἰδίου Πατρὸς, νῦν ἐμφανισθῆναι λέγεται, τουτέστιν, ὅτε γέγονεν ἄνθρωπος, οὐ δι' ἑαυτὸν, ἀλλ' ὑπὲρ ἡμῶν, ὡς ἄνθρωπος, καὶ ὡς ἐλλελοιπὸς οὖν ἄρα τῇ καθ' ἡμᾶς οἰκονομίᾳ κατεφαίνετο, τὸ καὶ εἰς αὐτοὺς ἡμᾶς ἀνα βῆναι τοὺς οὐρανοὺς, ὡς ἐν ἀπαρχῇ καὶ πρώτῳ Χριστῷ. πρόδρομος γὰρ καὶ εἰς αὐτοὺς ἀνελήλυθεν ὑπὲρ ἡμῶν, ὥς που καὶ αὐτός φησιν ὁ θεσπέσιος Παῦλος· καὶ ᾗ μὲν ἄν θρωπος, νοεῖται τυχὸν ἀρχιερεὺς ἔτι τῶν ἡμετέρων ψυχῶν καὶ παράκλητος καὶ ἱλασμὸς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν· ᾗ δὲ Θεὸς καὶ Κύριος κατὰ φύσιν, σύνεδρος τῷ ἰδίῳ Γεννή τορι, ἀλλὰ καὶ εἰς ἡμᾶς αὐτοὺς οὐδὲν ἧττον πάλιν καὶ ἡ ἐκ τούτου διαβήσεται δόξα. διὸ καὶ Παῦλος ἔλεγε περὶ τοῦ Πατρὸς, ὅτι "καὶ συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς "ἐπουρανίοις ἐν Χριστῷ." τετελεσμένων οὖν ἄρα τῶν ἐπὶ τῆς γῆς, τὸ ἐλλελοιπὸς ἔδει πληροῦν, τουτέστι, τὸ ἀναβῆναι πρὸς τὸν Πατέρα. διὰ τοῦτό φησι Συμφέρει ὑμῖν ἵνα ἐγὼ 2.620 ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς. Φέρε δή τι καὶ πρὸς τούτοις ἕτερον ἐπινοῶμεν τοῖς θεωρή μασι χρήσιμόν τε καὶ ἀληθές. κατώρθωτο μὲν γὰρ ἅπαντα λοιπὸν τὰ ἐπὶ τῆς γῆς, καθάπερ ἀμέλει διεβεβαιούμεθα νυνί· χρῆν δὲ δὴ πάντως κοινωνοὺς ἡμᾶς καὶ μετόχους γενέσθαι τῆς θείας τοῦ Λόγου φύσεως, ἤπερ τὴν οἰκείαν ἀφέντας ζωὴν εἰς ἑτέραν μετασκευάζεσθαι, καὶ πρὸς καινότητα πολι τείας μεταστοιχειοῦσθαι τῆς θεοφιλοῦς· ἀλλ' ἦν οὐχ ἑτέρως δύνασθαι τούτου τυχεῖν, εἰ μὴ διὰ τῆς τοῦ Ἁγίου Πνεύ ματος κοινωνίας τε καὶ μετουσίας. ὁ γεμὴν πρεπωδέστατός τε καὶ οἰκειότατος καιρὸς τῇ τοῦ Πνεύματος ἀποστολῇ καὶ καθόδῳ τῇ πρὸς ἡμᾶς, ἐκεῖνος ἦν ἄρα λοιπὸν εἰστρέχων εὐκαίρως, ὁ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. συνὼν μὲν γὰρ ἔτι μετὰ σαρκὸς καὶ τοῖς πιστεύουσιν εἰς αὐτὸν, παντὸς οἶμαι χορηγὸς ἀγαθοῦ ἀν εδείκνυτο· ἀλλ' ἐπείπερ αὐτὸν ἀνακομίζεσθαι δεῖν πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καιρὸς ἐκάλει καὶ χρεία, πῶς οὐκ ἔδει συνεῖναι διὰ τοῦ Πνεύματος τοῖς σεβομένοις αὐτὸν, καὶ ἐνοικεῖν ἐν ταῖς καρδίαις ἡμῶν διὰ τῆς πίστεως, ἵν' αὐτὸν ἔχοντες ἐν ἑαυτοῖς, μετὰ παῤῥησίας κράζωμεν "Ἀββᾶ ὁ "πατὴρ," καὶ πρὸς πᾶσαν εὐκόλως ἴοιμεν ἀρετὴν, καὶ προσέτι τούτῳ, δυνατοί τε καὶ ἄμαχοι πρὸς τὰς τοῦ διαβό λου μεθοδείας εὑρισκώμεθα, καὶ τὰς ἐξ ἀνθρώπων ἐπανα στάσεις, ἅτε δὴ καὶ τὸ πάντα ἰσχύον ἔχοντες Πνεῦμα. Ὅτι γὰρ εἰς ἑτέραν τινὰ μεθίστησιν ἕξιν τοὺς ἐν οἷς ἂν γένοιτο καὶ κατοικήσῃ τὸ Πνεῦμα, καὶ εἰς καινότητα δὲ μεταπλάττει ζωῆς, πῶς οὐ ῥᾳδίως ἐπιδείξῃ τις ἂν, ἀπό τε τῆς ἀρχαίας καὶ νέας γραφῆς; ὁ μὲν γὰρ θεσπέσιος Σα μουὴλ, ὅτε τοὺς πρὸς τὸν Σαοὺλ ἐποιεῖτο λόγους "Καὶ "ἐφαλεῖται, φησὶν, ἐπὶ σὲ Πνεῦμα Κυρίου, καὶ στραφήσῃ "εἰς ἄνδρα ἄλλον" ὁ δὲ μακάριος Παῦλος "Ἡμεῖς δὲ 2.621 "πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου "κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ "δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος· ὁ δὲ "Κύριος τὸ Πνεῦμά ἐστιν." ὁρᾷς ὅτι μεταπλάττει τὸ Πνεῦμα πρὸς ἑτέραν ὥσπερ εἰκόνα τοὺς ἐν οἷς ἂν φαίνοιτο καταυλισθέν; μεθίστησι γὰρ εὐκόλως ἀπὸ τοῦ φρονεῖν ἐθέλειν τὰ ἐπὶ τῆς γῆς εἰς τὸ μόνα βλέπειν τὰ ἐν οὐρανοῖς, καὶ ἐξ ἀνάνδρου δειλίας εἰς εὐτολμοτάτην διάνοιαν. ὅτι δὲ καὶ τοὺς μαθητὰς τοῦτο παθόντας εὑρήσομεν, καὶ κεχαλκευ μένους διὰ τοῦ Πνεύματος εἰς τὸ μήτε τὰς τῶν διωκόντων ἐπαναστάσεις καταναρκᾶν, ἀλλὰ καὶ τῆς εἰς Χριστὸν ἀγά πης ἀπρὶξ ἐχομένους, οὐδαμόθεν ἀμφίβολον. οὐκοῦν ἀληθὴς τοῦ Σωτῆρος ὁ λόγος Συμφέρει ὑμῖν λέγοντος τὸ ἀποδημῆσαί με εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανούς· ἐκεῖνος γὰρ ἦν ὁ καιρὸς τῆς καθόδου τοῦ Πνεύματος. Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως· περὶ ἁμαρτίας μὲν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν Πατέρα ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· περὶ κρίσεως δὲ, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. Καιρὸν ἐπιδείξας τὸν δέοντα τῆς τοῦ Πνεύματος καθόδου καὶ ἀποστολῆς, τὸ ἀποδημῆσαι πρὸς τὸν Πατέρα, καὶ τὴν ἐν τοῖς ἁγίοις μαθηταῖς ἀγριαίνουσαν λύπην ἀποχρώντως διὰ τούτου τεθεραπευκὼς, καὶ τίνων ἔσται δημιουργὸς ὁ Παράκλητος χρησίμως προσεπιδείκνυσιν. ἐλθὼν γάρ φησιν ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως. καὶ τίνα μὲν τρόπον ὁ ἐφ' ἑκάστῳ τῶν εἰρη μένων ἔλεγχος ἔσται, διαμεμήνυκεν ἀκριβῶς· πλὴν ἐπείπερ οὐ λίαν εὐκόλως προσβάλλειν εἰκὸς τῷ θεωρήματί τινας, 2.622 διερμηνεῦσαι δεῖν ἀνὰ μέρος ὑπολαμβάνω, καὶ λευκότερον εἰπεῖν τοῦ σημαινομένου τὴν δύναμιν. Τέθειται τοίνυν ἐν πρώτοις ὁ περὶ τῆς ἁμαρτίας ἔλεγχος. πῶς οὖν ἐλέγξει τὸν κόσμον; ὅταν γὰρ τοῖς ἀγαπῶσι Χρι στὸν, ὡς ἀξίοις ἤδη καὶ πεπιστευκόσι γένηται, τότε δὴ τότε τὸν κόσμον, τουτέστι, τοὺς ἀπαιδεύτους τε καὶ ἀπίστους ἔτι καὶ ταῖς ἐν κόσμῳ φιληδονίαις κεκρατημένους δι' αὐτοῦ κατακρίνη τοῦ πράγματος, ὡς ἐνόχους ἐπὶ ταῖς ἰδίαις ἁμαρ τίαις, καὶ τοῖς ἑαυτῶν ἐντεθνηξομένους ἁμαρτήμασι. προσ ωποληπτήσει γὰρ οὐδαμῶς ὁ Θεὸς, ἀλλ' οὐδέ τισι μὲν τῶν ἐπὶ τῆς γῆς αἰτίας εὐλόγου δίχα χαριεῖται τὸ Πνεῦμα, τισὶ δὲ οὐκέτι, μόνοις δὲ τοῖς ἀξίοις ἐγκατοικιεῖ τὸν Παράκλητον, οἳ διὰ πίστεως εἰλικρινοῦς ὡς Θεὸν ὄντως τετιμήκασι, καὶ τῶν ὅλων ὡμολόγησαν δημιουργὸν καὶ Κύριον. ὅπερ οὖν εἴρηκε φθάσας τοῖς Ἰουδαίοις αὐτὸς ὁ Σωτὴρ, ὅτι "ἐὰν μὴ "πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθα "νεῖσθε," ἀληθὲς ὂν ἐπιδείξει διὰ πραγμάτων ὁ Παράκλητος ἐλθών. Ἐλέγξει δὲ πάλιν τὸν κόσμον φησὶ περὶ δικαιοσύνης, ὅτι πρὸς τὸν Πατέρα ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· συνερεῖ γὰρ δικαίως τοῖς πεπιστευκόσιν εἰς Χριστὸν μετὰ τὴν εἰς οὐ ρανοὺς ἀνάβασιν, ὡς δικαίως δεδικαιωμένοις. παρεδέξαντο γὰρ ὡς Θεὸν ἀληθινὸν, ὃν τεθέανται μὲν οὐδαμῶς, συνε δρεύειν γεμὴν τῷ ἰδίῳ Πατρὶ πεπιστεύκασιν. ὅτι γὰρ μακα ρίους ἀπεκάλει τοὺς οὕτω πιστεύοντας ὁ Χριστὸς, ἐκμάθοι τις ἂν καὶ λίαν εὐκόλως ἐκείνων ἐπιμνησθεὶς ὧν εἴρηκέ τε καὶ δέδρακεν ὁ Θωμᾶς. ἐνδοιάζων γὰρ ἔτι πρὸς τὸ ἀναβιῶναι τὸν Υἱόν "Ἐὰν μὴ βάλω, φησὶ, τὴν χεῖρά μου εἰς τὴν πλευ "ρὰν αὐτοῦ, καὶ ἴδω τοὺς τύπους τῶν ἥλων, οὐ μὴ πιστεύσω." ἐπειδὴ δὲ πεπίστευκεν, ὅπερ ἠθέλησε δρᾶν ἐφέντος αὐτῷ τοῦ Χριστοῦ, ποίων ἤκουσε λόγων; "Ὅτι ἑώρακάς με, 2.623 "πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες." δικαίως οὖν ἄρα δεδικαίωνται καὶ δίχα τῆς θέας οἱ πιστεύ σαντες, τοῦ δὲ τῶν ἴσων τυχεῖν ὁ κόσμος ἐξώλισθε, τὴν ἐκ πίστεως δικαιοσύνην οὐ προσηκάμενος, ἀλλ' ἐθελοντὴς τοῖς ἰδίοις ἐμφιλοχωρήσας κακοῖς. Εἰδέναι γεμὴν ἀναγκαῖον, ὡς οὐ κατὰ μόνων Ἰουδαίων ἡ τῶν ἀρτίως ἡμῖν εἰρημένων ἐλέγχων δυὰς διὰ τοῦ Παρακλή του γενήσεται, κατὰ παντὸς δὲ μᾶλλον ἀνθρώπου σκληροῦ τε καὶ ἀπειθοῦς· σημαίνει μὲν γὰρ ἡ τοῦ κόσμου προση γορία, καὶ τὸν ταῖς φιληδονίαις ἀκαταλήκτως ἐγκαλινδού μενον καὶ τῆς διαβολικῆς βδελυρίας οὐκ ἐξιστάμενον, σημαίνει δὲ οὐδὲν ἧττον καὶ τοὺς ἐν παντὶ τῷ κόσμῳ διε σπαρμένους τε καὶ κατῳκηκότας. γενικὸς οὖν ἄρα καὶ κατὰ πάντων ὁ διπλοῦς οὑτοσὶ κεχώρηκεν ἔλεγχος. σεσαγήνευκε γὰρ ὁ Χριστὸς οὐχὶ μόνην τὴν Ἰουδαίαν, καθὰ καὶ ἐν ἀρχαῖς, ἢ μόνον τὸ σπέρμα τὸ ἐξ Ἰσραὴλ, ἀλλὰ σύμπαν τὸ ἐξ Ἀδὰμ διολισθῆσαν γένος. οὐ γὰρ ἐπὶ μέρος ἡ χάρις, ἀλλ' ἐφ' ὅλην γέγονε τὴν οἰκουμένην τὸ ἐκ τῆς πίστεως ἀγαθόν. Τρίτος ἔλεγχος διὰ τοῦ Παρακλήτου γενήσεται, καθά φησιν ὁ Σωτὴρ, ἡ δικαιοτάτη κατάκρισις τοῦ ἄρχοντος τοῦ κόσμου τούτου. πῶς δὲ ἤδη πάλιν ἢ τίνα τρόπον, ἐξηγή σομαι. προσμαρτυρήσει γὰρ τῇ δόξῃ τοῦ Χριστοῦ, καὶ αὐτὸν ὄντως ἀποδείξας ὄντα τὸν τῶν ὅλων Κύριον, ἐλέγξει τὸν κόσμον, ὡς πεπλανημένον, καὶ τὸν μὲν ἀληθῶς τε καὶ φύσει ἀφέντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεὸν, προσκυνήσαντα δὲ καὶ λελατρευκότα τῷ μὴ κατὰ φύσιν, τουτέστι, τῷ σατανᾷ. ἱκανὴ γὰρ οἶμαι πρὸς τὸ οὕτως ἔχουσαν ἐπιδεῖξαι τὴν τοῦ πράγματος φύσιν, ἡ κατ' αὐτοῦ γενομένη κρίσις. οὐ γὰρ ἂν κατεκρίθη καὶ ἠσθένησεν, οὐδ' ἂν τῆς θεομαχίας εἰσεπράχθη δίκας, σειραῖς ζόφου τεταρταρωμένος, εἴπερ ἦν φύσει Θεὸς τὸ ἀκλόνητον ἔχων ἐν τε ἰσχύϊ καὶ δόξῃ· νυνὶ δὲ τοσοῦτον ἐλλελοιπὸς 2.624 ὁρῶμεν αὐτῷ, τὸ τὴν οἰκείαν δύνασθαι διασῶσαι τιμὴν, ὥστε καὶ ὑπὸ πόδας τεθεῖσθαι τῶν πνευματοφόρων, ἤτοι πιστῶν, οἳ καὶ Θεὸν ὑπάρχειν ὡμολογήκασι τὸν Χριστόν. πατοῦσι γὰρ αὐτὸν καὶ πειράζοντα καὶ μαχόμενον. ὅταν δὲ δή τις καὶ τὸν τῶν ἀκαθάρτων δαιμονίων ἐσμὸν καταπεφρικότα καὶ ἐκπεμπόμενον βλέπῃ διὰ τῆς αὐτῶν προσευχῆς, καὶ ἐνερ γείας καὶ δυνάμεως τοῦ Ἁγίου Πνεύματος, πῶς οὐκ εὐλόγως ἐρεῖ κατακεκρίσθαι τὸν σατανᾶν; κατακέκριται γὰρ τῷ μηκέτι δύνασθαι πλεονεκτεῖν τοὺς τῷ Πνεύματι τῷ Ἁγίῳ κατεσφραγισμένους εἰς δικαιοσύνην καὶ ἁγιασμὸν, διὰ πίστεως τῆς εἰς Χριστόν. ἐπεὶ πῶς ἂν, εἰπέ μοι, κατεπατήσαμεν πᾶσαν αὐτοῦ τὴν δύναμιν, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον πρὸς πάντα ἄνθρωπον τὸν κατοικοῦντα "ἐν βοηθείᾳ τοῦ "ὑψίστου, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ κατα "πατήσεις λέοντα καὶ δράκοντα;" ὅταν τοίνυν ὁ ἐξ οὐρανοῦ Παράκλητος ἐν ἁγίαις γένηται ψυχαῖς, καὶ δικαίως αὐτοῖς ἀπεσταλμένος διὰ τὴν ἀδέκαστον φαίνηται πίστιν, τότε ταῖς οἰκείαις ἁμαρτίαις ἔνοχον ἀποδείξει γεγονότα τὸν κόσ μον, καὶ τῆς ἄνωθεν ἀμοιρήσαντα χάριτος, ἐπείπερ ἀποτρέ πονται τὸν λυτρωτήν· ἐλέγξει δὲ πάλιν αὐτὸν, ὡς οὐκ εὐλόγως ἐγκαλοῦντα τὴν ἁμαρτίαν τοῖς ἤδη πεπιστευκόσι. δεδικαίωνται γὰρ εἰκότως, καίτοι πρὸς Θεὸν ἀποδημήσαντα τὸν Χριστὸν καὶ θαυματουργοῦντα μὴ θεασάμενοι, τῇ πίστει τιμήσαντες. οἶμαι δὲ δή τι τοιοῦτον ἐννοήσαντα καὶ τὸν Παῦλον εἰπεῖν "Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; "Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;" ἐνέφραξε γὰρ ἀνομία πᾶσα τὸ στόμα αὐτῆς, κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, οὐδὲν ἐγκαλεῖν ἔχουσα τοῖς διὰ πίστεως ἐξειλεγμένοις, καὶ τῆς ἐντεῦθεν δικαιοσύνης κατημφιεσμένοις τὸ καύχημα. ἀπελέγξει δὲ τὸν κόσμον, ὡς πεπλανημένον, καὶ εἰς τὸν οὕτω κατάκριτον ἔχοντα τὰς ἐλπίδας, ὡς ἁπάσης μὲν δόξης τῆς 2.625 ἀρχαίας ἀποπεσεῖν, ἐκφαυλίζεσθαι δὲ δεῖν, καὶ ἐν τῷ μηδενὶ τετάχθαι λόγῳ παρὰ τῶν σεβομένων Θεόν. Ἄρχοντα γεμὴν τοῦ αἰῶνος τούτου κέκληκεν ὁ Θεὸς, οὐχ ὡς ὄντα τοῦτο κατὰ ἀλήθειαν, οὐχ ὡς οὐσιῶδες ἔχοντα ἀξίωμα, φημὶ δὴ τὸ δύνασθαι κρατεῖν, ἀλλ' ὡς ἐξ ἀπάτης καὶ πλεον εξίας τὴν ἐπὶ τούτῳ δόξαν ἀποκερδαίνοντα, καὶ ὡς ἐν τοῖς πλανωμένοις ἔτι κρατοῦντά τε καὶ ἄρχοντα, διὰ τὴν ἐνοῦσαν αὐτοῖς μοχθηροτάτην προαίρεσιν, καθ' ἣν τῇ πλάνῃ τὸν οἰκεῖον προσδήσαντες νοῦν, ἀδιάφυκτον ἔχουσι τῆς αἰχμα λωσίας τὸν βρόχον, καίτοι διαδρᾶναι παρὸν ἐπ' ἐξουσίας αὐτοῖς, διὰ πίστεως τῆς εἰς Χριστὸν μετατεθειμένοις εἰς ἐπίγνωσιν τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ. νόθον οὖν ἄρα τὸ τῆς ἀρχῆς ὄνομα τῷ σατανᾷ, φυσικῶς μὲν οὐ πρὸς τὸν Θεὸν, ἐν δὲ τῇ τῶν πλανωμένων βδελυρίᾳ διασωζόμενον. Ἔτι πολλὰ ὑμῖν ἔχω λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Πλεονεκτουμένους ἤδη ταῖς ἐκ τοῦ μαθεῖν τὰ ἐσόμενα δυσθυμίαις εὑρὼν, καὶ ἀφορήτως ἔχοντας πρὸς τὰ ἔσεσθαι προσδοκώμενα· πεπλήρωκε γὰρ, φησὶν, ἡ λύπη τὴν καρδίαν ὑμῶν· καὶ ταῖς τῶν ἑτέρων προσθήκαις καταφορτίζειν αὐ τοὺς οὐκ ᾤετο δεῖν, καταχωννύει δὲ ὥσπερ εἰς εὔκαιρον σιωπὴν, πλήττειν οὐ μετρίως αὐτοὺς κατά γε τὸ εἰκὸς ὃ καὶ τὰ ἐφεξῆς ἰσχύοντα, καὶ τῇ διὰ τοῦ Πνεύματος ἀποκαλύψει τε καὶ φωταγωγίᾳ τῇ κατὰ καιρὸν ἐσομένῃ τὸν δέοντα, τὸ λεῖπον αὐτοῖς εἰς γνῶσιν τετήρηκε. τάχα δὲ καὶ ἀτονοῦντας ἔτι περὶ τὴν τοῦ μυστηρίου κατάληψιν θεωρήσας, διὰ τὸ μήπω 2.626 πεφωτίσθαι διὰ τοῦ Πνεύματος, μήτε μὴν γενέσθαι θείας φύσεως κοινωνούς· "Οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον," κατὰ τὸν ἅγιον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εὐαγγελιστὴν, "ὅτι Χριστὸς οὐδέπω ἐδοξάσθη·" τὰ τοιαῦτά φησιν, ἐκεῖνο δὴ πάντως ἐθελήσας ὑποδηλοῦν, ὡς ἔτι μὲν ἔχοι καὶ σφόδρα βαθέα καὶ νοῦν ὑπερβαίνοντα τὸν ἀνθρώπινον ἀποκαλύπτειν μυστήρια, παραιτοῖτο δὲ νυνὶ καὶ μάλα εἰκότως, οὔπω πρὸς τοῦτο λίαν ἐπιτηδείως ἔχοντας ὁρῶν. ὅταν γὰρ ὑμᾶς ἐξ ἑτέρων εἰς ἑτέρους, φησὶ, τὸ ἐμὸν ἀπεργάσηται Πνεῦμα, καὶ τὸν ὑμέτερον μεταστοιχειώσῃ νοῦν, εἰς τὸ θελῆσαί τε λοιπὸν καὶ δύνασθαι τῶν νομικῶν ὑπερφρονῆσαι τύπων, ἑλέσθαι δὲ μᾶλλον τῆς ἐν Πνεύματι λατρείας τὸ κάλλος, καὶ τῶν ἐν σκιαῖς προτιμῆσαι τὴν ἀλή θειαν· τότε δὴ τότε, φησὶ, συνιέναι ῥᾳδίως εὖ μάλα δυνή σεσθε τὰ περὶ ἐμοῦ. χωρήσει γὰρ ἐν ὑμῖν εὐπαράδεκτός τε ἤδη καὶ πλατὺς ὁ λόγος. Ταυτὶ μὲν οὖν δεῖν οἴεσθαι λέγειν τὸν Κύριον τοῖς ἑαυτοῦ μαθηταῖς ἐννοήσαι τις ἄν. ἥξει γεμὴν εἰς ταὐτὸν, καὶ εἰς τὴν ἴσην τοῖς εἰρημένοις ἀρτίως συνδραμεῖται διάνοιαν, ὅπερ ἔφη πάλιν, ὡς ἐν τύπῳ παραδειγμάτων "Οὐδεὶς ἐπίβλημα "ἀπὸ ἱματίου καινοῦ σχίσας ἐπιβάλλει ἐπὶ ἱματίῳ παλαιῷ·" ἀλλ' οὐδὲ "οἶνον νέον εἰς ἀσκοὺς βάλλουσι παλαιούς· εἰ δὲ "μὴ, ῥήγνυνται οἱ ἀσκοὶ καὶ ὁ οἶνος ἐκχεῖται, ἀλλ' οἶνον "νέον εἰς ἀσκοὺς νέους βλητέον." τοῖς γὰρ οὔπω πρὸς καινότητα ζωῆς καὶ γνώσεως ὁμοῦ ἀναπεπλασμένοις διὰ τοῦ Πνεύματος, οὐκ ἔστι τὰ νέα τῶν εὐαγγελικῶν κηρυγμάτων παιδεύματα, καὶ ἀχώρητά πως ἐστὶ τὰ περὶ τῆς ἁγίας Τριάδος μυστήρια. τῇ τοίνυν ἀνακαινώσει τῇ διὰ τοῦ Πνεύ ματος ἐσομένῃ πνευματικῶς, ἀποταμιεύεται χρησίμως ἡ τῶν ἔτι βαθυτέρων ἐξήγησις, τὸ μὲν ἔτι προσεδρεύειν τῇ τοῦ νομικοῦ γράμματος παλαιότητι, τῇ τῶν πιστευόντων εἰς Χριστὸν οὐκ ἐώσῃ διανοίᾳ, μεταμορφοῦσθαι δὲ μᾶλλον εἰς καινότητα λογισμῶν, καὶ τὰ δι' ὧν ἔνεστι τὸ τῆς ἀληθείας 2.627 καταθεᾶσθαι κάλλος ἐντιθείσῃ θεωρήματα. ὅτι δὲ πρὸ μὲν τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ πρὶν ἐν μεθέξει γενέσθαι τοῦ Πνεύματος, Ἰουδαϊκώτερόν πως διέζων οἱ μαθηταὶ, καὶ τῆς κατὰ νόμον πολιτείας ἀντεί χοντο, εἰ καὶ μεῖζον ἀκριβῶς τὸ ἐπὶ Χριστῷ μυστήριον, θεωρήσαι τις ἂν, καὶ λίαν εὐκόλως. καὶ γοῦν ὁ μακάριος Πέτρος, καίτοι τῶν ἁγίων προεκκείμενος μαθητῶν, διηγου μένῳ ποτὲ τῷ Σωτῆρι τὸ ἐπὶ τῷ σταυρῷ πάθος, καὶ ὅτι δέοι τοῖς Ἰουδαϊκοῖς ἐμπαροινεῖσθαι τολμήμασιν ἐξηγουμένῳ χρησίμως, ἀντανεφώνει λέγων "Ἵλεώς σοι Κύριε, οὐ μὴ "ἔσται σοι τοῦτο·" καίτοι διαῤῥήδην ἀνακεκραγότων τῶν ἁγίων προφητῶν, οὐχ ὅτι πείσεται μόνον, ἀλλὰ τίνα καὶ ὁπόσα ὑπομενεῖ. καὶ μὴν κἀκεῖνο πρὸς τούτῳ διασκεπτέον. ὡς γὰρ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπταί τε καὶ ἀνεγνώκαμεν, πρόσπεινος ἦν ποτε καὶ ἠθέλησε γεύσασθαι ὁ Πέτρος, εἶτα τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐξ οὐρανοῦ τὴν ὀθόνην ἰδὼν, ἐν ᾗ πάντα ἐγέγραπτο ζῷά τε χερσαῖα καὶ νηκτὰ καὶ ἀέρια, καὶ φωνῆς ἐνεχθείσης ἄνωθεν "Ἀναστὰς "Πέτρε θῦσον καὶ φάγε," ἀνταπεκρίνατο λέγων "Μηδαμῶς "Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον." διά τοι τοῦτο δικαίως ἠλέγχετο πάλιν ἀκούων "Ἃ ὁ Θεὸς "ἐκαθάρισε σὺ μὴ κοίνου." καίτοι χρῆν δήπου διαμεμνῆσθαι πολλάκις τοῦ Σωτῆρος ἡμῶν εἰρηκότος πρὸς Ἰουδαίους "Οὐ "τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον." ὅρα γοῦν ὅπως αὐτῷ τῆς διὰ τοῦ Πνεύματος ἔδει φωταγωγίας. ὁρᾷς ὅπως ἐχρῆν εἰς ἑτέραν ἕξιν μεταχαλκεύεσθαι τῆς ἐνού σης Ἰουδαίοις τὴν ἀμείνω καὶ σοφωτέραν; καὶ γοῦν ὅτε τὴν ἄνωθεν καὶ ἐξ οὐρανοῦ πλουτήσαντες χάριν ἤλλαξαν, κατὰ τὸ γεγραμμένον, ἰσχὺν, καὶ ἀμείνους ἢ πρότερον κατὰ τὴν γνῶσιν γεγόνασι, τότε δὴ μετὰ παῤῥησίας λεγόντων ἠκού 2.628 σαμεν "Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν." οὐχ ἕτερον δέ τι σημαίνουσι τοῦ Σωτῆρος τὸν νοῦν, ἢ τὸ εἰς αὐτοὺς ἐρχό μενον Ἅγιον Πνεῦμα, κατὰ λόγον αὐτοῖς τὸν πρέποντα διεκκαλύπτον ἅπαντα τὰ ὅσαπερ εἰδέναι καὶ μανθάνειν ἐχρῆν. Ὅταν οὖν ἔλθῃ ἐκεῖνος, τουτέστιν ὁ Παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς τὴν ἀλήθειαν πᾶσαν. βλέπε δὲ ὡς ἐγρήγορεν ἡ φωνή· ὅρα τοῦ λόγου τὴν νῆψιν. προει ρηκὼς γὰρ ἥξειν ἐπ' αὐτοὺς τὸν Παράκλητον, τὸ πνεῦμα τῆς ἀληθείας ὠνόμασεν αὐτὸν, τουτέστιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑαυτοῦ· αὐτὸς γάρ ἐστιν ἡ ἀλήθεια. ἵνα γὰρ εἰδεῖεν οἱ μαθηταὶ ὡς οὐκ ἄλλο τρίας καὶ ξένης αὐτοῖς δυνάμεως ἐπιφοίτησιν, ἀλλ' ἑαυτὸν ἑτέρως ἐπιδώσειν ἐπαγγέλλεται, πνεῦμα τῆς ἀληθείας, τουτ έστιν ἑαυτοῦ, τὸν Παράκλητον ἀποκαλεῖ. οὐ γὰρ ἀλλότριον τῆς οὐσίας τοῦ Μονογενοῦς τὸ Ἅγιον νοεῖται Πνεῦμα, πρόεισι δὲ φυσικῶς ἐξ αὐτῆς, οὐδὲν ἕτερον παρ' αὐτὸν ὑπάρχον, ὅσον εἰς ταυτότητα φύσεως, εἰ καὶ νοοῖτο τυχὸν ἰδιοσυστάτως. τὸ τοίνυν φησὶ τῆς ἀληθείας Πνεῦμα πρὸς ὅλην ὑμῖν καθηγήσεται τῆς ἀληθείας τὴν γνῶσιν. ὡς γὰρ εἰδὸς ἀκριβῶς τὴν ἀλήθειαν, ἧς καὶ Πνεῦμά ἐστιν, οὐκ ἐκ μέρους αὐτὴν ἀποκαλύψει τοῖς σεβομένοις αὐτὸν, ἐνθήσει δὲ μᾶλλον ὁλοκλήρως τὸ περὶ αὐτῆς μυστήριον. εἰ γὰρ καὶ νῦν ἐκ μέρους γινώσκομεν, ὡς ὁ Παῦλός φησιν, ἀλλ' ὡς ἐν γνώσει μικρᾷ σῶόν τε καὶ ἀσινὲς ἡμῖν τὸ τῆς ἀλη θείας ἐνήστραψε κάλλος. ὥσπερ οὖν οὐδεὶς "οἶδε τὰ τοῦ "ἀνθρώπου, κατὰ τὸ γεγραμμένον, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀν "θρώπου τὸ ἐν αὐτῷ·" κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, μᾶλλον δὲ κατὰ τὴν τοῦ Παύλου φωνὴν, οὐδεὶς οἶδε "τὰ τοῦ Θεοῦ, "εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ." Ὅταν οὖν ἔλθῃ, φησὶν, οὐ λαλήσει ἀφ' ἑαυτοῦ οὐδὲν, ἀντὶ 2.629 τοῦ, συνετιεῖ μὲν ὑμᾶς, καὶ τὸ περὶ τῆς ἀληθείας ἀποκαλύ ψει μυστήριον· λαλήσει γεμὴν παντελῶς οὐδὲν τῶν ἀπᾳδόν των ἐμοὶ, ἀλλ' οὐδὲ ξένον ὑμῖν εἰσηγήσεται μάθημα· οὐ γὰρ ἰδίους τυχὸν εἰσοίσει νόμους· ἐπειδὴ δὲ Πνεῦμα καὶ οἱονεὶ νοῦς ἐστιν ἐμὸς, λαλήσει δὴ πάντως τὰ ἐν ἐμοί. καὶ τοῦτό φησιν ὁ Σωτὴρ, οὐχ ἵνα νοῶμεν ὑπουργικὸν τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ τὴν τινῶν ἀμαθίαν· πληροφορῆσαι δὲ μᾶλλον ἐθελήσας τοὺς μαθητὰς, ὡς οὐχ ἕτερον ὂν παρ' αὐτὸν τὸ Πνεῦμα αὐτοῦ, κατά γε τὸν ἐν ὁμοουσιότητι λόγον, ταῦτα δὴ πάντως λαλήσει καὶ ἐνεργήσει καὶ βουλήσεται. Διὰ γάρ τοι τοῦτο προστέθεικεν ὅτι καὶ τὰ ἐρχόμενα ἀναγ γελεῖ ὑμῖν, μονονουχὶ λέγων Σημεῖον τοῦτο ἔσται ὑμῖν, ὅτι δὴ πάντως ἐκ τῆς ἐμῆς οὐσίας τὸ Πνεῦμά ἐστι, καὶ οἷον ἐμός ἐστι νοῦς, τὸ ἐρεῖν αὐτὸν τὰ ἐσόμενα, καθάπερ ἐγώ. προείρηκα γὰρ, εἰ καὶ μὴ δεδύνησθε πάντα μαθεῖν. οὐκ ἂν οὖν ἄρα καθάπερ ἐγὼ προερεῖ τὰ ἐσόμενα, μὴ οὐχὶ πάντως ἐν ἐμοί τε ὑπάρχον καὶ δι' ἐμοῦ προϊὸν, καὶ τῆς αὐτῆς οὐσίας ὑπάρχον ἐμοί. ΤΕΛΟΣ ΤΟΥ ΔΕΚΑΤΟΥ ΒΙΒΛΙΟΥ.

## 2.631 ΚΕΦΑΛΑΙΑ ΤΑ ΕΝ ΤΩι ΕΝΔΕΚΑΤΩι ΒΙΒΛΙΩι.

α. Ὅτι φυσικῶς ἐκ Θεοῦ τε καὶ ἐν τῷ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον καὶ δι' αὐτοῦ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ. β. Ὅτι φυσικῶς ἐν τῷ Υἱῷ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ Πνεῦμα αὐτοῦ, τουτέστι τὸ Ἅγιον, καθὰ καὶ ἐν τῇ οὐσίᾳ τοῦ Πατρός. γ. Ὅτι τῆς θεοπρεποῦς δόξης οὐκ ἐπιδεᾶ θεωρῆσαι τις ἂν τὸν Υἱὸν, κἂν εὑρίσκηται λέγειν Πάτερ δόξασον τὸν Υἱόν σου. δ. Ὅτι κατ' οὐδένα τρόπον ἀδικήσει τοῦ Υἱοῦ τὴν δόξαν τὸ εἰληφέναι τι λέγεσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἔχοντος εὐσεβῆ τοῦ πράγματος λόγον. ε. Ὅτι τοῦ εἶναι Θεὸς ἀληθινὸς ὁ Υἱὸς οὐκ ἔξω κείσεται, κἂν μόνον καὶ ἀληθινὸν ὀνομάζῃ Θεὸν τὸν Πατέρα. . Ὅτι δόξης τῆς θεοπρεποῦς οὐ γυμνὸς ἦν ὁ Υἱὸς, κἂν εὑρίσκηται λέγων πρὸς τὸν Πατέρα Καὶ νῦν δόξασόν με τῇ δόξῃ ᾗ εἶχον, καὶ τὰ ἑξῆς. ζ. Ὅτι τὸ λέγεσθαί τι δεδόσθαι τῷ Υἱῷ παρὰ τοῦ Πατρὸς, οὐκ ἐξοικιεῖ τῆς θεοπρεποῦς ἀξίας αὐτὸν, ἀλλ' ὧν ὁμοούσιός τε καὶ ἐξ αὐτοῦ διαφαίνεται καὶ εἰ λέγεταί τι λαβεῖν. η. Ὅτι οὐκ ἔξω κείσεται τῆς Χριστοῦ βασιλείας, κἂν εἴ τι λέγοιτο τοῦ Πατρός· ἅμα γὰρ αὐτῷ ἡ κατὰ πάντων ἀρχή. θ. Ὅτι φυσικὸν ἐν τῷ Υἱῷ τὸ τῆς θεότητος ἀξίωμα, κἂν εἰληφέναι λέγηται τοῦτο παρὰ Πατρὸς διὰ τὸ ἀνθρώπινον καὶ τὸ τῆς ταπεινώσεως σχῆμα. 2.632 ι. Ὅτι οὐκ ἐκ μετοχῆς τῆς πρὸς ἕτερον ἅγιός ἐστιν ὁ Χριστὸς, οὐδὲ ξένος τῆς οὐσίας αὐτοῦ ὁ διὰ Πνεύματος ἁγιασμός. ια. Ὅτι φυσικῶς ὁ Υἱὸς ἕν ἐστι πρὸς τὸν ἑαυτοῦ Πατέρα Θεὸν, καὶ αὐτὸς μὲν ἐν Πατρὶ, ὁ Πατὴρ δὲ ἐν αὐτῷ, κατά γε τὸν οὐσιώδη τῆς ἑνότητος σύνδεσμόν τε καὶ τρόπον· ὁμοίως δὲ καὶ ἡμεῖς αὐτοὶ τὴν εἰς αὐτὸν παραδεξάμενοι πίστιν, ἓν πρός τε ἀλλήλους καὶ Θεὸν ἀναδεικνύμεθα,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωματικῶς τε καὶ πνευματικῶς. ιβ. Ὅτι κατὰ φύσιν ἕν ἐστιν ὁ Υἱὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα Θεὸν, κἂν ὡς ἐν χάριτος μέρει δέξασθαι λέγῃ τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα.

2.633 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ. ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

ΚΕΦΑΛΗ Α. Ὅτι φυσικῶς ἐκ Θεοῦ τε καὶ ἐν τῷ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτοῦ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ. Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. ὩΣ ἀποκαλύπτειν μέλλοντος τοῖς τούτου τυχεῖν ἀξίοις τοῦ Ἁγίου Πνεύματος τὸ ἐπὶ Χριστῷ μυστήριον, καὶ παρα δεικνύειν ἀκριβῶς τίς μέν ἐστι κατὰ φύσιν, πόση δὲ αὐτῷ δύναμίς τε καὶ ἐξουσία, καὶ ὅτι πάντων βασιλεύει μετὰ Πατρὸς, ἀναγκαίως φησὶν ὅτι ἐκεῖνος ἐμὲ δοξάσει. ἀνωτέρω μὲν γὰρ ἵστησι φρονημάτων Ἰουδαϊκῶν τὸν ἡμέτερον νοῦν, μικρὰν δὲ οὕτω καὶ χαμαιριφῆ τὴν διάληψιν ἔχειν ἡμᾶς οὐκ ἐφίησιν, ὡς ἄνθρωπον οἴεσθαι ψιλὸν ὑπάρχειν αὐτὸν, ἢ ὀλίγον κομιδῆ τὸ τῶν προφητῶν ὑπερθέοντα μέτρον, ἢ καὶ 2.634 τῆς ἐκείνων εὐκλείας μειονεκτούμενον. τοιαῦτα γὰρ ἐπ' αὐτῷ πεφρονηκότας εὑρήσομεν τοὺς τῶν Ἰουδαίων καθηγητὰς, οἳ τῆς εὐσεβείας οὐκ εἰδότες τὸ μυστήριον, συχνὰς ἐποιοῦντο τὰς κατὰ τοῦ Χριστοῦ δυσφημίας, καὶ τοῖς παρ' αὐτοῦ λεγομένοις τὴν ἰδίαν ἀπόνοιαν ἀντεξάγοντες, ποτὲ μὲν ἔφα σκον "Σὺ τίς εἶ; Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται "ἀπέθανον, καὶ σὺ λέγεις Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, "θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα· τίνα σεαυτὸν ποιεῖς;" ποτὲ δὲ πάλιν τὴν τοῦ κατὰ σάρκα γένους εὐτέλειαν, καὶ τὸ λίαν ἄσημον ἐν τούτῳ κατονειδίζοντες "Οὐχ υἱός ἐστιν "Ἰωσὴφ οὗτος, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν "μητέρα; πῶς οὖν λέγει ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;" ὁρᾷς ἐν τούτοις Ἰουδαϊκῶν ἀθλιότητα λογισμῶν; διακει μένων οὖν ἄρα τῶν πολλῶν, οἰηθέντων τε κατὰ ἀλήθειαν οὐκ εἶναι Θεὸν τὸν Κύριον, διὰ τὸ ἐπίκηρον τουτὶ τοῦ σώματος σχῆμα, καὶ χθαμαλωτάτην περὶ αὐτοῦ τὴν ὑπόλη ψιν οὐ καταδεισάντων ἑλεῖν, φανοτάτην τοῖς ἁγίοις τὸ Πνεῦμα τὴν δόξαν αὐτοῦ καταφοιτῆσαν ἐτίθει· καὶ οὐχὶ πάντως φαμὲν, ὡς δὴ μόνον λόγοις αὐτοὺς ἀναπεῖσαν σοφοῖς, ἀλλὰ καὶ ἐν ἀποδείξει πραγμάτων τὴν ἑκάστου πληροφορῆσαν διάνοιαν, ὅτι καὶ Θεὸς ἀληθῶς, καὶ καρπός ἐστι τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός. τίς οὖν ἡ ἀπόδειξις, ἢ πῶς εὐκλεᾶ καὶ περίοπτον ἐποίει Χριστόν; παράδοξον γὰρ καὶ θεο πρεπῆ τὴν ἐφ' ἅπασιν ἐνέργειαν ἔχον, καὶ τὴν τῶν ὅλων εἴδησιν ἀκριβῆ τοῖς ἁγίοις ἐμφυτεῦον, αὐτῷ τὴν δόξαν ἐπραγματεύετο. ἀναθετέον γὰρ μόνῃ τῇ τῶν ὅλων βασιλίδι φύσει, τὸ πάντα εἰδέναι, διδάσκοντος οὐδενὸς, καὶ ἔχειν ἐν ὀφθαλμοῖς, γυμνά τε καὶ τετραχηλισμένα, κατορθοῦν τε δύνασθαι, καὶ λίαν εὐπετῶς, πᾶν ὅπερ ἂν βούλοιτο. Δοξάζει τοιγαροῦν τὸν Υἱὸν ὁ Παράκλητος, τουτέστι, τὸ ἴδιον αὐτοῦ Πνεῦμα, πάντα ἰσχύον καὶ πάντα εἰδός. δοξάζει 2.635 δὲ πῶς; ἃ γὰρ οἶδε καὶ δύναται τὸ Πνεῦμα αὐτοῦ, πῶς ἂν αὐτὸς οὐκ εἰδείη τυχὸν, ἢ πῶς οὐκ ἂν δύναιτο; καὶ εἰ καθάπερ αὐτός φησιν, ἐξ αὐτοῦ λαμβάνει τὸ Πνεῦμα, καίτοι πάντα ἰσχύον καὶ κατορθοῦν, πῶς ἂν αὐτὸς οὐκ ἔχῃ τὸ ἐφ' ἅπασιν ἰσχυρόν; ὑποτοπητέον δὲ οὐδαμῶς ἰσχύος ἐπιδεᾶ τῆς ἐμφύτου καὶ φυσικῆς καθεστάναι τὸν Παράκλητον, τουτ έστι τὸ Πνεῦμα, ὡς εἰ μὴ λάβοι τυχὸν μηδ' ἂν ἐξαρκέσειν αὐτὸν ἑαυτῷ δύνασθαι πρὸς τὴν τῶν θείων κατορθωμάτων ἐνέργειαν ἀποτελεστικήν· δυσσεβείας γὰρ ἂν τῆς ἁπασῶν ἐσχάτης ὑπομεῖναι γραφὴν, καὶ σφόδρα εἰκότως, ὁ καὶ μόνον οἰηθεὶς ἀληθές τι τῶν τοιούτων εἶναι περὶ αὐτοῦ. ἐπειδὴ δὲ ὁμοούσιόν τε ἐστι τῷ Υἱῷ, καὶ πρόεισι θεοπρεπῶς δι' αὐτοῦ, πᾶσαν αὐτοῦ τὴν ἐφ' ἅπασι τελεωτάτην ἔχον ἐνέργειάν τε καὶ δύναμιν, διὰ τοῦτό φησιν Ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται. ὑφε στάναι γὰρ αὐτὸ καθ' ἑαυτὸ τὸ Πνεῦμα πιστεύομεν, εἶναί τε κατὰ ἀλήθειαν τοῦθ' ὅπερ ἐστὶ καὶ λέγεται, ἐνυπάρχον γεμὴν τῇ οὐσίᾳ τοῦ Θεοῦ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προκύπτει τε καὶ πρόεισιν ἐξ αὐτῆς, πάντα τὰ αὐτῆς ἔχον ἐν ἑαυτῷ φυσικῶς· οὐ γὰρ κατὰ μέθεξιν, ἀλλ' οὐδὲ κατὰ τρόπον σχετικὸν, ἀλλ' οὐχ ὡς ἕτερον ὂν παρ' αὐτὴν, ἐπείπερ ἐστὶν ἴδιον αὐτῆς. ὅνπερ γὰρ τρόπον ἡ ἐκ τῶν εὐοσμοτάτων ἀνθέων εὐωδία λαβοῦσα τρόπον τινὰ τῶν προϊέντων αὐτὴν τὴν οὐσιώδη καὶ φυσικὴν ἐνέργειαν, ἤτοι ποιότητα, διακομίζει τοῖς ἔξω τὴν γνῶσιν, τοῖς ὀσφραντικοῖς τοῦ σώματος μορίοις ἐμπίπτουσα, καὶ δοκεῖ μέν πως, ὅσον ἧκεν εἰς ἐπινοίας λόγον, ἑτέρα τις εἶναι παρὰ τὴν πέμπουσαν αὐτὴν φύσιν, νοουμένη γεμὴν οὐκέτι καθ' ἑαυτὴν οὐχ ἑτέραν ἔχει φύσιν, ἢ τὴν ἐξ ὧν καὶ ἐν οἷς ἐστιν· οὕτω νοήσεις ἐπί τε Θεοῦ καὶ Ἁγίου Πνεύματος τὸν τοῦ παραδείγματος ἀναβαίνων λόγον. ἀκατηγόρητον οὖν ἄρα 2.636 παντελῶς καὶ λοιδορίας ἁπάσης ἔξω κείσεται, τὸ λαβεῖν λέγεσθαί τι παρὰ τοῦ Μονογενοῦς τὸ Πνεῦμα αὐτοῦ. προϊὸν γὰρ δι' αὐτοῦ φυσικῶς, ὡς ἴδιον αὐτοῦ, μετὰ πάντων ὧν ἔχει τελείως, λαμβάνειν λέγεται τὰ αὐτοῦ. εἰ δὲ παχυ τέραις τὸ τοιοῦτον ἐσημάνθη φωναῖς, ἀφέντες τὸ σκανδαλί ζεσθαι, δικαίως ἂν μᾶλλον τῆς ἑαυτῶν γλώττης αἰτιασαί μεθα τὴν πτωχείαν, οὐκ ἀντεχούσης εἰπεῖν τὰ θεοπρεπῆ, καθ' ὃν ἔδει τρόπον. ποῖος γὰρ λόγος οὐκ ἐλάττων ἐστὶ τῆς ἀῤῥήτου φύσεώς τε καὶ δόξης; ἀναγγελεῖ τοιγαροῦν φησιν ὑμῖν ἐκ τοῦ ἐμοῦ λαβὼν ὁ Παράκλητος, τουτέστιν, οὐχ ἕτερόν τι λαλήσει παρὰ τὸν ἐν ἐμοὶ σκοπὸν, καὶ ἐπείπερ ἐστὶ Πνεῦμα ἐμὸν, ταυτολογήσει δὴ πάντως, καὶ τὰ ἐκ τῶν ἐμῶν ἀναγγελεῖ θελημάτων.

2.637 ΚΕΦΑΛΗ Β. Ὅτι φυσικῶς ἐν τῷ Υἱῷ καὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ Πνεῦμα αὐτοῦ, τουτέστι τὸ Ἅγιον, καθὰ καὶ ἐν τῇ οὐσίᾳ τοῦ Πατρός. Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· καὶ διὰ τοῦτο εἶπον ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν. ΧΑΡΑΚΤΗΡΑ πάλιν τὸν εἰλικρινῆ τε καὶ ἀκριβέστατον τῆς ὑποστάσεως τοῦ Πατρὸς ἑαυτὸν ἡμῖν κἀν τούτοις εὖ μάλα δέδειχεν ὁ Υἱὸς, δίδωσί τε δι' ὧν ἔφη νοεῖν, ὅτι καρπὸς ὑπάρχων τῆς οὐσίας αὐτοῦ, πάντα τὰ αὐτῆς κατὰ φύσιν ἐπάγεται, ἴδιά τε εἶναί φησι, καὶ μάλα εἰκότως· δια τέμνοντος γὰρ, ἤτοι διιστάντος οὐδενὸς εἰς ἀλλοτριότητα τοῦ Πατρὸς τὸν Υἱὸν, ὅσον ἧκεν εἰς τὸ κατὰ πᾶν ὁτιοῦν ὅμοιόν τε καὶ ἴσον, δίχα μόνου τοῦ εἶναι Πατέρα, διαλαμπούσης τε τῆς οὐσίας ἐν ἀμφοῖν οὐχ ἑτεροτρόπως, πῶς οὐκ ἂν εἶεν ἤδη κοινὰ, μᾶλλον δὲ ταὐτὰ ἐν ἀμφοῖν, ὡς εἶναι μὲν ἐν Υἱῷ τὰ τοῦ Πατρὸς, ἐν δὲ τῷ τεκόντι τὰ τοῦ γεννήματος; διὰ γὰρ τοῦτο, καθάπερ ἐγῷμαι, μετὰ δριμείας τινὸς τῆς ἐπιτη ρήσεως, τοὺς περὶ τούτων ἡμῖν ἐποιήσατο λόγους. ἔφη γὰρ οὐχ ὅτι πάντα ὅσα ἔχει ὁ Πατὴρ ἔχω κἀγώ· ἵνα μὴ ψιλή τις εἰκὼν ἡ κατὰ μόνην νοουμένη τὴν ἰσοτυπίαν, καὶ τοῖς ἔξωθεν ὡραϊσμοῖς μεμορφωμένη νοῆται πρὸς τὸ ἀρχέτυπον, καθάπερ οὖν καὶ ἡμεῖς αὐτοί· γεγόναμεν γὰρ κατ' εἰκόνα Θεοῦ· ἀλλ' 2.638 ἐμά φησίν ἐστι, τὴν εἰς ἄκρον ἕνωσιν, ἣν ἔχει πρὸς τὸν γεννήσαντα, καὶ τὴν τῆς ὁμοουσιότητος δύναμιν, ἐν ἀπαραλ λάκτοις οὖσαν τοῖς ἰδιώμασιν, ἐν ἀμφοῖν διὰ τούτου παρα δεικνύς. τοῦτο δ' ἂν ἴδοις καὶ μάλα σαφῶς ἐν ἑτέροις λέγοντα πρὸς τὸν Πατέρα "Πάντα γὰρ τὰ ἐμὰ σά ἐστι, "καὶ τὰ σὰ ἐμά·" οἷς γὰρ ὅλως ἔνεστι τὸ διαλλάττον οὐδὲν, καὶ ἡ κατὰ πᾶν ὁτιοῦν οὐσιώδης ἰσότης τε καὶ ἐμφέρεια, πῶς οὐκ ἂν εἶεν ταὐτὰ τῇ φύσει; ἔχει τοίνυν ὁ Θεὸς καὶ Πατὴρ ἐξ ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ τὸ ἴδιον Πνεῦμα, τουτέστι τὸ Ἅγιον, δι' οὗ τοῖς ἁγίοις ἐναυλίζεταί τε καὶ ἀποκαλύπτει μυστήρια, οὐκ ἐν τάξει τῇ ὑπουργικῇ παραλαμβανομένου πρὸς τοῦτο· μὴ γὰρ οἰηθῇς τι τοιοῦτον· ἀλλ' ἐν αὐτῷ τε ὄντος οὐσιωδῶς, καὶ ἐξ αὐτοῦ προϊόντος ἀμερίστως τε καὶ ἀδιαστάτως, ὡς ἴδιά τε διερμηνεύοντος τὰ ἐν ᾧ καὶ ἐξ οὗπέρ ἐστιν. ὁμιλεῖ γὰρ οὐχ ἑτέρως τῇ κτίσει Θεὸς, εἰ μὴ δι' Υἱοῦ ἐν Πνεύματι. ἀλλ' ἴδιον γὰρ Πνεῦμα τοῦτό ἐστι καὶ τοῦ Μονογενοῦς, ὁμοούσιος γάρ ἐστι τῷ Πατρί. Ἐπειδὴ τοίνυν, φησὶν, ἐνυπάρχον φαίνεται τῷ Θεῷ καὶ Πατρὶ τὸ ἐν Πνεύματι τῷ ἰδίῳ τοῖς ἀξίοις ἀποκαλύπτεσθαι, ἐνεργεῖν τε καὶ δι' αὐτοῦ τὰ ὅσαπερ ἂν βούληται, κἀμοὶ δὲ τοῦτο πρόσεστι φυσικῶς, διὰ ταύτην εἴρηκα τὴν αἰτίαν Ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀναγγελεῖ ὑμῖν. ταραττέσθω δὲ μηδεὶς, ὅταν ἐν τούτοις ἀκούῃ τὸ τῆς λήψεως ὄνομα, διενθυ μείσθω δὲ μᾶλλον ἐκεῖνο· δράσειε γὰρ ἂν ὀρθῶς· ὅτι πάντα τὰ περὶ Θεοῦ λαλεῖται μὲν καθ' ἡμᾶς, νοεῖται γεμὴν οὐχ οὕτως, ἀλλ' ὑπὲρ ἡμᾶς· λαμβάνειν τε οὕτω τὸ Πνεῦμά φαμεν, ἔκ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὰ αὐτῶν, οὐχ ὡς ποτὲ μὲν οὐκ ἔχον τὴν ἐνοῦσαν αὐτοῖς γνῶσίν τε καὶ δύναμιν, ἔχον δὲ τότε μόλις ὅταν νοῆται λαμβάνον· ἀεὶ γὰρ σοφὸν καὶ δυνατὸν τὸ Πνεῦμά ἐστι, μᾶλλον δὲ αὐτό χρημα σοφία καὶ δύναμις, οὐκ ἐκ μετοχῆς τῆς τινὸς, ἀλλὰ 2.639 φυσικῶς. ὥσπερ δ' ἂν φῶμεν τὴν ἐκ τῶν ἀρωμάτων ταῖς ἡμετέραις ὀσφρήσεσι προσβάλλουσαν εὐωδίαν, ἑτέραν μὲν ὥσπερ ὡς πρὸς αὐτὰ, εἰ ταῖς ἐπινοίαις δοίη τις ἂν, προεκ κύπτειν γεμὴν οὐχ ἑτέρως οἴοιτο τυχὸν ἢ τῶν ἐξ ὧνπέρ ἐστι δεχομένην τὴν δύναμιν εἰς ἔνδειξιν ἑαυτῆς, οὐκ οὖσαν γεμὴν ἑτέραν διὰ τὸ ἐξ αὐτῶν τε καὶ ἐν αὐτοῖς πεφυκέναι· τοιοῦτόν τι, μᾶλλον δὲ καὶ ὑπὲρ τοῦτο, νοήσεις ἐπί τε Θεοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. οἱονεὶ γὰρ ὀσμή τις ἐστὶ τῆς οὐσίας αὐτοῦ, ζῶσά τε καὶ ἐναργὴς, διακομίζουσα τῇ κτίσει τὰ παρὰ τοῦ Θεοῦ, καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας ἐντι θεῖσα δι' ἑαυτῆς τὴν μέθεξιν. εἰ γὰρ ἡ τῶν ἀρωμάτων εὐοσμία τὴν ἰδίαν ἰσχὺν ἐναπομάττεται τοῖς ἐσθήμασι, καὶ μετασκευάζει τρόπον τινὰ πρὸς ἑαυτὴν τὰ ἐν οἷς ἂν γένοιτο, πῶς οὐκ ἂν ἰσχύσαι τὸ Πνεῦμα τὸ Ἅγιον ἐπείπερ ἐστὶν ἐκ Θεοῦ φυσικῶς, κοινωνοὺς τῆς θείας ἀποτελέσαι φύσεως δι' ἑαυτοῦ τοὺς ἐν οἷς ἂν γένοιτο; καρπὸς οὖν ἄρα καὶ χαρακ τὴρ τῆς ὑποστάσεως τοῦ γεννήσαντος ὑπάρχων ὁ Υἱὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται. διὰ τοῦτό φησι Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν, τὸ Πνεῦμα δηλονότι τὸ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ, δι' οὗ τοῖς ἁγίοις ὡς αὐτὸς ἐνοικεῖ. οὐ γὰρ ἕτερον παρ' αὐτὸν τὸ Πνεῦμα αὐτοῦ, κἂν ὑπάρχειν νοῆται καθ' ἑαυτὸ καὶ ἰδίως· Πνεῦμα γὰρ τὸ Πνεῦμα καὶ οὐχ Υἱός. Μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ὑπάγω πρὸς τὸν Πατέρα. Ἀποκαλύψειν αὐτοῖς διὰ τοῦ ἰδίου Πνεύματος τὰ πάντα προειπὼν ὅσα περ ἦν ἀναγκαῖα καὶ χρειωδέστατα, ἐξηγεῖται 2.640 καὶ τὸ πάθος, μεθ' ὃ δὴ γείτων εὐθὺς ἡ ἀνάληψις διὰ τῆς πρὸς τὸ ἄνω πορείας, ἀναγκαιοτάτην εἰσφέρουσα τὴν διὰ τοῦ Πνεύματος ἐπιφοίτησιν· οὐ γὰρ ἦν ἔτι συνδιαιτᾶσθαι μετὰ σαρκὸς τοῖς ἁγίοις ἀποστόλοις ἄνω γεγονότα πρὸς τὸν Πατέρα. περιεσταλμένως δὲ σφόδρα ποιεῖται τὸν λόγον, τὸ δριμὺ τῆς λύπης διὰ τοῦτο παραιρούμενος· ᾔδει γὰρ ᾔδει τοὺς μαθητὰς οὐ μετρίῳ πάλιν ὁμιλήσοντας φόβῳ· καὶ δριμείᾳ μὲν καταδηχθήσεσθαι λύπῃ, δεινοῖς δὲ καὶ ἀφορή τοις περιπεσεῖσθαι κακοῖς προσδοκήσαντας, ὅταν αὐτοὺς συμβαίνῃ καταλείπεσθαι μόνους, ἀναβαίνοντος τοῦ Σωτῆρος πρὸς τὸν Πατέρα. διὰ ταύτην οἶμαι τὴν αἰτίαν ἀπημφιε σμένως μὲν οὐ φησὶν ὅτι τεθνήξεται, τῆς τῶν Ἰουδαίων παροινίας καὶ μέχρι τούτων αὐτὸν ἀφικέσθαι καλούσης· εὐφυέστατα δὲ λίαν πολλὴν ἀναμίσγει τῷ λόγῳ τὴν κομ ψείαν, καὶ τῷ παθεῖν συντρέχουσαν τὴν ἐκ τῆς ἀναστάσεως θυμηδίαν ἐπιδεικνύει λέγων Μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με. εἴσω γὰρ ἤδη θυρῶν ὁ τοῦ θανάτου γέγονε καιρὸς, ἄποπτον τοῖς μαθηταῖς τιθεὶς τὸν Κύριον εἰς ὀλίγον κομιδῇ τὸν καιρὸν, ἄχρις ἂν σκυλεύσας τὸν ᾅδην, καὶ ἀναπετάσας τοῖς ἐκεῖσε τὰς τοῦ σκότους πύλας, τὸν ἴδιον πάλιν ἀναστήσῃ ναόν· οὗ καὶ γεγονότος ἐπέλαμψε πάλιν τοῖς ἑαυτοῦ μαθηταῖς, συνεῖναί τε αὐτοῖς καθυπέσχετο "πάσας τὰς ἡμέρας τοῦ αἰῶνος," κατὰ τὸ γεγραμμένον. εἰ γὰρ καὶ ἀποδημεῖ σαρκὶ παραστήσας ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ Πατρὶ, καὶ καθίσας ἐκ δεξιῶν τοῦ γεννήσαντος, ἀλλ' ἐναυλίζεται τοῖς ἀξίοις διὰ τοῦ Πνεύ ματος, καὶ σύνεστι τοῖς ἁγίοις διὰ παντός· ἐπηγγείλατο γὰρ οὐκ ἀφήσειν ἡμᾶς ὀρφανούς. οὐκοῦν μικροῦ κομιδῇ διείρ γοντος χρόνου τὴν τοῦ πάθους ἀρχήν Μικρόν φησι καὶ οὐ θεωρεῖτέ με· ἔμελλε γὰρ κατακαλύπτεσθαί πως τῷ θανάτῳ 2.641 βραχύ· καὶ πάλιν φησὶ μικρὸν καὶ ὄψεσθέ με. τριήμερος γὰρ ἀνεβίω, κηρύξας "καὶ τοῖς ἐν φυλακῇ πνεύμασι." πληρεστάτη γὰρ οὕτως ἡ τῆς φιλανθρωπίας ἐπίδειξις ἦν, τῷ μὴ μόνον ἀνασῶσαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φημι τοὺς ἔτι ζῶντας ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ τοῖς ἤδη κατοιχομένοις καὶ ἐν τοῖς τῆς ἀβύσσου μυχοῖς καθημένοις ἐν σκότῳ, κατὰ τὸ γεγραμμένον, διακη ρῦξαι τὴν ἄφεσιν. Ἐπιτήρει δὲ ὅπως ἐπὶ μὲν τοῦ πάθους ἔφη καὶ τῆς ἀναστάσεως Μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με· προσθεὶς δέ Ὅτι πρὸς τὸν Πατέρα πορεύομαι, σιωπᾷ τὸ λειπόμενον. οὐ γὰρ ἐπὶ πόσον ἐκεῖ διαμενεῖ χρόνον, ἢ πότε τυχὸν ἐπανήξει, διαμεμήνυκε, καὶ διὰ ποίαν αἰτίαν; οὐ γὰρ ἡμῶν "ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς "ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ," κατὰ τὰς αὐτοῦ τοῦ Σωτῆρος φωνάς. Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; καὶ ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν Πατέρα; ἔλεγον οὖν Τί ἐστι τοῦτο ὃ λέγει τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. Οὔπω συνέντες τὸ εἰρημένον οἱ θεσπέσιοι μαθηταὶ συλ λαλοῦσι πρὸς ἀλλήλους, καὶ τί ἂν βούλοιτο σημαίνειν αὐτοῖς τό Μικρὸν ἔτι καὶ μικρὸν ἐνδοιάζουσι, καὶ τό Οὐ θεω ρεῖτέ με· φθάνει γεμὴν ὁ Χριστὸς ἀναπυθέσθαι προθυμου μένους, ἐπικαιρότατα πάλιν ἐπιδεικνὺς, ὅτι καρδίας οἶδεν ὡς Θεὸς καὶ τὸ ἐν νῷ στρεφόμενον ἔτι καὶ ἐν τῷ βάθει τῆς καρδίας ἐγκεχωσμένον, ὡς ἤδη καὶ γλώσσῃ διακτυπηθὲν ἐξεπίσταται. τί γὰρ ἂν ὅλως καὶ λάθοι τὸν ᾧπέρ ἐστι τὰ πάντα γυμνά; διὸ καί φησι πρός τινα τῶν ἁγίων "Τίς "οὗτος ὁ κρύπτων με βουλὴν, συνέχων δὲ ῥήματα ἐν 2.642 "καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν;" ὠφελεῖ τοιγαροῦν διὰ πάντων αὐτοὺς, καὶ τὴν παρεμπίπτουσαν ἀφορμὴν ἀσφα λοῦς καὶ ἀνενδοιάστου πίστεως ποιεῖται τροφόν. Ἔγνω ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων, ὅτι εἶπον Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Φιλοπευστοῦσι λίαν αὐτοῖς, καὶ περιεργότερον ἐξετάζουσι τῶν εἰρημένων τὴν δύναμιν, σαφεστέραν ποιεῖται τὴν τοῦ πά θους ἐξήγησιν, καὶ ὅπερ ἔμελλον ὑποστήσεσθαι, τοῦτο πάλιν αὐτοῖς προειδέναι χαρίζεται, καὶ σφόδρα χρησίμως. οὐ γὰρ ἵνα πρόωρον ἐντέκῃ τὸν θόρυβον, τὰ τοιαῦτα προμηνύειν ᾤετο δεῖν, ἀλλ' ἵνα τῇ γνώσει προκεχαλκευμένοι, νεανικώ τεροί πως εὑρίσκοιντο πρὸς τὴν τοῦ θορύβου προσβολήν. τὸ γὰρ ἔσεσθαι προσδοκηθὲν, τοῦ μηδόλως ἐλπισθέντος ἁπαλωτέραν ἔχει τὴν ἔφοδον. ὅταν τοίνυν ὑμεῖς οἱ γνήσιοι καὶ ἀγάπῃ τῇ πρὸς ἐμὲ κατεσφιγμένοι, τὸν ἑαυτῶν θεωρῆτε Καθηγητὴν καὶ Διδάσκαλον τὰ ἐκ τῆς Ἰουδαϊκῆς ὑπομένοντα παροινίας, ὕβρεις τε καὶ αἰκίσματα καὶ τὰ ἐκ τῆς ἀτόπου μανίας τολμήματα, τότε δὴ κλαύσετε καὶ θρηνήσετε, χαρήσεται δὲ ὁ κόσμος, τουτέστιν, οἱ φρονεῖν οὐκ εἰδότες τὰ δοκοῦντα Θεῷ, προσηλωθέντες δὲ ὥσπερ ταῖς κοσμικαῖς ἡδοναῖς. σημαίνει δὲ πάλιν τήν τε ἀγελαίαν καὶ συρφετώδη τῶν Ἰουδαίων πληθὺν, καὶ τῶν καθηγεῖσθαι λαχόντων τὸ θεομισὲς καὶ ἀνόσιον στῖφος, γραμματέας τε καὶ Φαρισαίους, οἳ τοῖς τοῦ Σωτῆρος ἐπιτωθάζοντες πειρασμοῖς, πολλὰ κατὰ τῆς ἑαυτῶν ἐφθέγγοντο κεφαλῆς, ποτὲ μὲν λέγοντες "Εἰ "υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ 2.643 "πιστεύσομέν σοι·" ποτὲ δὲ πάλιν "Ὁ καταλύων τὸν "ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτὸν, σῶσον "σεαυτόν." ταυτὶ γὰρ δὴ τῆς Ἰουδαίων παμμιάρου γλώττης τὰ ἀποβράσματα· ἀλλ' οὕτω πεφρονηκότων τῶν ἐν κόσμῳ, φησὶ, δρώντων τε ἅμα καὶ φθεγγομένων, λυπηθήσεσθε μὲν ὑμεῖς, οὐκ εἰς μακρὸν δὲ τοῦτο παθόντες διαμενεῖτε χρόνον· μεταστήσεται γὰρ ἡ λύπη πρὸς χαράν. ἀναβιώσομαι γὰρ, καὶ ἀφανιῶ παντελῶς τῆς κατηφείας τὴν πρόφασιν· περι στελῶ δὲ τὸ δάκρυον, καὶ πρὸς εὐθυμίαν ἀνακομίσω διηνεκῆ καὶ ἀμήρυτον. ἀκατάληκτος γὰρ ἡ τῶν ἁγίων χαρά. ζῇ γὰρ εἰς ἀεὶ Χριστός· λέλυται δὲ καὶ ὁ πάντων θάνατος δι' αὐτοῦ. ἀλλ' ἔστι πως ἀκόλουθον ἐννοεῖν, ὅτι δὴ πάντως καὶ τοῖς ἐν κόσμῳ παθεῖν ἐξ ἀντιστρόφου συμβήσεται τὸ λυπεῖσθαι διηνεκῶς. εἰ γὰρ ἐπείπερ ἀπέθανε κατὰ σάρκα Χριστὸς, λελύπηνται μὲν οἱ γνήσιοι, χαρὰν δὲ τὸ πάθος ὁ κόσμος ἐποιήσατο· καταργηθέντος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὴ τοῦ θανάτου καὶ τῆς φθορᾶς, καὶ διαναστάντος ἐκ νεκρῶν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, μετεστράφη τοῖς ἁγίοις τὸ πένθος εἰς χαράν· μετοιχήσεται δὲ δηλονότι καὶ τοῖς ἐν κόσμῳ πρὸς πένθος ἡ χαρά. Ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἕξετε, πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. Ἐπιτείνει πάλιν τῆς παραμυθίας τὴν εὕρεσιν, καὶ διὰ ποικίλων ἔρχεται λόγων, πανταχόθεν αὐτοῖς τὸ δριμὺ τῆς λύπης ἀποκρούεσθαι διδούς. θέα γὰρ ὅπως ἀναπείθειν ἐπεί γεται διὰ πράγματος ἐναργοῦς εἰς τὸ χρῆναι τληπαθεῖν, καὶ μὴ σφόδρα καταναρκᾶν ἢ πόνους ἢ λύπας, εἰ πάντη τε καὶ 2.644 ἀπαραιτήτως μέλλοιεν ἐκτελευτᾶν εἰς χαράν. καρπὸς γάρ φησι πικρᾶς ὠδῖνος τὸ βρέφος, καὶ διὰ πόνων ἔρχεται ταῖς μητράσιν ἡ ἐπὶ τέκνοις χαρά. ἀλλ' εἴπερ ὤφθησαν ἐν ἀρχαῖς πρὸς τοὺς ἐπὶ ταῖς ὠδῖσιν ἀπαυδήσασαι πόνους, οὐδ' ἂν ὅλως κυοφορεῖν ἠθέλησαν, τὸν τούτου παραίτιον δια δρᾶσαι γάμον, ἀλλ' οὐδ' ἂν ἐγένοντο μητέρες πώποτε, τριποθήτου τε καὶ πολυεύκτου πράγματος δι' ὄκνον ἐκ πίπτουσαι. κατὰ τοῦτον οὖν ἄρα τὸν τρόπον καὶ ὑμῖν αὐτοῖς οὐκ ἀμισθὶ τὸ ἀλγῆσαι συμβήσεται. χαρήσεσθε γὰρ, ὅταν ἴδητε ξένον τῷ κόσμῳ παιδίον ἀποτεχθὲν, ἄφθαρτόν τε καὶ ἀνώλεθρον. ἑαυτὸν δὲ δηλονότι φησίν. ἀναφαίρετον γεμὴν καὶ ἀναπόβλητον, τὴν ἐφ' ἑαυτῷ θυμηδίαν ἔσεσθαι λέγει. κατὰ γὰρ τὴν τοῦ Παύλου φωνὴν, μᾶλλον δὲ καὶ κατὰ τὴν τῆς ἀληθείας δύναμιν, ἅπαξ ἀποθανὼν, "οὐκέτι "ἀποθνήσκει." ἐρηρεισμένη τοιγαροῦν ἡ ἐπ' αὐτῷ θυμηδία καὶ μάλα εἰκότως. εἰ γὰρ ἐπὶ τῷ θανάτῳ λελυπήμεθα, τίς ἡμῶν ἀποστήσει τὴν χαρὰν εἰδότων ὅτι καὶ ζῇ καὶ μένει διηνεκῶς, τῶν πνευματικῶν ἡμῖν ἀγαθῶν δοτήρ τε καὶ πρύτανις; ἀπὸ μὲν οὖν τῶν ἁγίων οὐδεὶς αἴρει τὴν χαρὰν, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· ἀφηρέθη δὲ παραχρῆμα τῶν προσηλωσάντων αὐτὸν τῷ σταυρῷ. λελυμένου γὰρ τοῦ πάθους, ἐφ' ᾧ δὴ καὶ χαίρειν ᾤοντο δεῖν, ὡς ἐξ ἀφύκτου λοιπὸν ἀνάγκης αὐτοῖς τὸ λυπεῖσθαι συμβήσεται. Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τι. αἰτήσητε τὸν Πατέρα, δώσει ὑμῖν ἐν τῷ ὀνόματί μου· ἕως ἄρτι οὐκ ᾐτήσασθε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπλη ρωμένη. Ἀμείνους ἔσεσθαι καὶ συνετωτέρους τοὺς ἁγίους φησὶ μαθητὰς, ὅταν ἐνδύσωνται τὴν ἐξ ὕψους δύναμιν, κατὰ τὸ 2.645 γεγραμμένον, καὶ τῇ τοῦ Πνεύματος δᾳδουχίᾳ λελαμπρυσμέ νοι τὸν νοῦν, πάντα λοιπὸν δύνωνται νοεῖν, καὶ εἰ μὴ παρόντα τυχὸν διερωτῷεν αὐτόν. οὐ γὰρ ὅτι δεήσονται μὲν οὐκέτι φω ταγωγίας τῆς παρ' αὐτοῦ τὰ τοιαῦτά φησιν ὁ Σωτὴρ, ἀλλ' ὅτι τὸ ἴδιον αὐτοῦ δεξάμενοι Πνεῦμα καὶ ἐνοικοῦν ἔχοντες ἐν καρδίαις, ἀπροσδεᾶ παντὸς ἀγαθοῦ καὶ γνώσεως τῆς τελεω τάτης ἀνάπλεων τὴν διάνοιαν ἕξουσι. τελείαν δὲ γνῶσιν εἶναί φαμεν, τὴν ὀρθήν τε καὶ ἀδιάστροφον, καὶ ἀπηχὲς μὲν οὐδὲν ἢ φρονεῖν ἢ λέγειν ἀνεχομένην, ὀρθῶς δὲ δοξάζουσαν περὶ τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος. εἰ γὰρ καὶ βλέ πομεν ἄρτι δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, καὶ γινώσκομεν ἐκ μέρους, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἀλλά γε τῆς ἐν τοῖς δόγμασιν ἀκριβείας οὐκ ἔξω βαίνοντες, κατακολου θοῦντες δὲ τῷ σκοπῷ τῆς ἁγίας καὶ θεοπνεύστου γραφῆς, γνῶσιν ἔχομεν οὐκ ἀτελῆ, ἣν οὐκ ἂν ἕλοι τις ἑτέρως, οὐκ ἐπιλάμψαντος αὐτῷ τοῦ Ἁγίου Πνεύματος. διά τοι τοῦτο παροτρύνων τοὺς μαθητὰς εἰς αἴτησιν τῶν πνευματικῶν χαρισμάτων, ὁμοῦ δὲ διδοὺς τὸ θαῤῥεῖν, ὡς αἰτοῦντες οὐκ ἀποτεύξονται, τῇ τοῦ Ἀμὴν προσθήκῃ βεβαιοῖ πρὸς πίστιν, ὡς εἴ τι περ ἂν ἐθέλοιεν προσιόντες αἰτεῖν, λήψονται παρὰ τοῦ Πατρὸς, αὐτοῦ δηλονότι καὶ μεσιτεύοντος καὶ συγχορη γοῦντος τῷ Πατρί. τοῦτο γάρ ἐστι τό Ἐν τῷ ὀνόματί μου· πρόσιμεν γὰρ οὐχ ἑτέρως τῷ Θεῷ καὶ Πατρὶ, εἰ μὴ δι' Υἱοῦ. δι' αὐτοῦ γὰρ "τὴν προσαγωγὴν ἐσχήκαμεν ἐν ἑνὶ Πνεύματι "πρὸς τὸν Πατέρα," κατὰ τὸ γεγραμμένον. διὰ τοῦτο καί φησιν "Ἐγώ εἰμι ἡ θύρα· ἐγώ εἰμι ἡ ὁδός· οὐδεὶς ἔρχεται "πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ." ᾗ μὲν γάρ ἐστιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Υἱὸς καὶ Θεὸς, ὁμοῦ τῷ Πατρὶ χορηγεῖ τοῖς ἁγίοις τὰ ἀγαθὰ, καὶ συνδοτὴρ τῆς εἰς ἡμᾶς εὐλογίας εὑρίσκεται· καὶ γοῦν ὁ θεσπέσιος Παῦλος φανοτάτην ἡμῖν ἐτίθει τὴν ἐπὶ τούτῳ πίστιν οὕτω γράφων "Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ 2.646 "Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ·" ᾗ δὲ μεσίτης καὶ ἀρχιερεὺς καὶ παράκλητος ὀνομάζεται, προσκομίζει τῷ Πατρὶ τὰς ὑπὲρ ἡμῶν ἱκετείας· αὐτὸς γάρ ἐστιν ἡ πάντων ἡμῶν παῤῥησία πρὸς τὸν Πατέρα. ἐν ὀνόματι τοίνυν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὰς δεήσεις ποιητέον· προχειρότατα γὰρ οὕτω κατανεύσειεν ἂν ὁ Πατὴρ, ἐπιδώσει δὲ τοῖς αἰ τοῦσιν αὐτὸν τὰ ἀγαθὰ, ἵνα λαβόντες χαίρωμεν. ἀναπιμ πλάμενοι γὰρ χαρισμάτων πνευματικῶν, καὶ τῆς παρ' αὐτοῦ συνέσεως πλουσίαν λαχόντες τὴν χορηγίαν, διὰ τοῦ κατοι κοῦντος ἐν ἡμῖν Ἁγίου Πνεύματος, καταστρατευσόμεθα μὲν καὶ λίαν εὐκόλως ἁπάσης ἐκτόπου τε καὶ βδελυρᾶς ἡδονῆς· ἀγαθουργοῦντες δὲ οὕτω καὶ εἰς ἔφεσιν ἁπάσης ἰόντες ἀρετῆς σὺν ἐξαιρέτῳ τῇ προθυμίᾳ, καὶ νευρούμενοι πρὸς πᾶν ὁτιοῦν τῶν ὅσα τελοῦντα φαίνεται πρὸς ἁγιασμὸν, τῇ τῆς ἀμοιβῆς ἐλπίδι χαίρομέν τε λίαν, καὶ τὴν ἐκ τοῦ πονηροῦ συνειδότος κατήφειαν ἀποπεμψάμενοι, ταῖς ἐπὶ Χριστῷ θυμηδίαις τὸν οἰκεῖον καταπιαίνομεν νοῦν. καὶ ἦν μὲν τοῖς ἀρχαιοτέροις ἀνεπιτήδευτον· οὐ γὰρ μεμελέτητό πως προσευχῆς τις τοιοῦτος τρόπος διὰ τὴν ἄγνοιαν· ὁρί ζεται δὲ νυνὶ διὰ Χριστοῦ, καὶ μάλα εἰκότως, ὅτε τῆς διορθώσεως ἀνέλαμψεν ὁ καιρὸς, καὶ ἡ παντὸς ἀγαθοῦ τελειότης εἰσκεκόμισται δι' αὐτοῦ. ὥσπερ γὰρ οὐδὲν τετε λείωκεν ὁ νόμος, ἀλλ' ἦν ἀτελὴς ἡ κατ' αὐτὸν μελετωμένη δικαιοσύνη, οὕτω καὶ τῆς προσευχῆς ὁ τρόπος. Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ Πατρὸς ἀπαγγελῶ ὑμῖν. Παροιμίαν εἶναί φησι τὸν ἀμυδρόν τε καὶ οὐ λίαν ἐμφανῆ λόγον, ἐπεσκιασμένον δέ πως ἀσαφείαις οὕτω λεπταῖς, ὡς μὴ λίαν ἑτοίμως συνιέναι φησὶ δύνασθαι τοὺς ἀκροωμένους· 2.647 πέπλασται γὰρ οὕτω τῶν ἐν παροιμίαις λεγομένων τὸ σχῆμα. ἅπερ οὖν εἶπον, φησὶν, ὡς ἐν παροιμίαις ἔτι καὶ αἰνίγμασι λελάληκα πρὸς ὑμᾶς καιρῷ τηρήσας τῷ δέοντι καὶ ὅσον οὐδέπω παρεσομένῳ τὴν ἀναμφίλογον ἀποκάλυψιν. ἥξει γὰρ ἥξει, φησὶν, ὥρα, τουτέστι καιρὸς, καθ' ὃν ὑμῖν διαῤῥήδην τὰ περὶ τῆς τοῦ Πατρὸς ἐξηγήσομαι δόξης, καὶ τὴν ὑπὲρ νοῦν τὸν ἀνθρώπινον ἐνθήσω σύνεσιν. καὶ τίς ὁ τούτου καιρὸς, οὐ σφόδρα μὲν ἔφη σαφῶς· οἰησόμεθα δὲ δηλοῦν ἐκεῖνον αὐτὸν, ἢ καθ' ὃν τὴν διὰ τοῦ Πνεύματος πεπλουτήκαμεν γνῶσιν μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, χορηγήσαντος ἡμῖν αὐτὸ τοῦ Χριστοῦ· ἢ τάχα τὸν μέλ λοντα καὶ ἐσόμενον μετὰ τὴν τοῦ κόσμου συστολὴν, καθ' ὃν ἀκατακαλύπτως τε καὶ ἐναργῶς τὴν τοῦ Θεοῦ δόξαν ὀψόμεθα, φανοτάτην ἡμῖν ἐμβάλλοντος τὴν περὶ ἑαυτοῦ γνῶσιν. διὸ καὶ ὁ Παῦλος προφητείας μὲν καταργηθήσε σθαι λέγει, παύσεσθαι δὲ γνῶσιν, οὐχ ἑτέραν λέγων παρὰ ταύτην, ἣν εἰς τὸ παρὸν κεκτήμεθα. βλέπομεν γὰρ δι' ἐσόπτρου, καὶ γινώσκομεν ἐκ μέρους, καθὰ καὶ ἀρτίως ἐλέγομεν· "Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταρ "γηθήσεται·" πῶς ἢ τίνα τρόπον εἰ βούλει μαθεῖν ἐρῶ πάλιν. Ὥσπερ γὰρ ἀφεγγοῦς μὲν οὔσης νυκτὸς τὸ φαιδρὸν τῶν ἀστέρων διαφαίνεται κάλλος, ἑκάστου τὸ οἰκεῖον ἀπαστρά πτοντος φῶς· ἀνισχούσης γεμὴν τῆς ἡλίου μαρμαρυγῆς, καταργεῖταί πως ἤδη τὸ ἐκ μέρους λαμπρὸν, καὶ τῆς ἐκείνου βολῆς ἡττώμενον ἀδρανῆ καὶ ἄπρακτον ἔχει τὴν οἰκείαν αὐγήν· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ ἡ νῦν ἡμῖν ὑπάρ χουσα γνῶσις κατ' ἐκεῖνο πεπαύσεται τοῦ καιροῦ, καὶ καταλήξει τὸ ἐκ μέρους, τοῦ τελείου φωτὸς εἰσελάσαντος καὶ πληρεστάτην ἡμῖν τὴν τῆς θεογνωσίας ἐπεισχέοντος αὐγήν. τότε μετὰ παῤῥησίας δυναμένοις ἤδη χωρεῖν, τὰ 2.648 περὶ τοῦ ἰδίου Πατρὸς ὁ Χριστὸς ἀπαγγελεῖ. νυνὶ μὲν γὰρ διὰ σκιᾶς καὶ ὑποδειγμάτων καὶ ποικίλης ἔσθ' ὅτε παραλαμ βανομένης τῆς διὰ πραγμάτων εἰκόνος καὶ τύπων τῶν καθ' ἡμᾶς, μόλις ἐπί τινα γνῶσιν ἀμυδρὰν ποδηγούμεθα, διὰ τὴν ἐνοῦσαν ἡμῖν κατὰ νοῦν ἀσθένειαν· τότε γεμὴν τύπου τὸ παράπαν δεηθέντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδενὸς, ἀλλ' οὐδὲ αἰνιγμάτων ἢ παρα βολῆς, γυμνῷ τρόπον τινὰ τῷ προσώπῳ καὶ ἀπαραποδίστῳ διανοίᾳ τὸ τῆς θείας φύσεως τοῦ Θεοῦ καὶ Πατρὸς ἐννοή σομεν κάλλος, τὴν τοῦ πεφηνότος ἐξ αὐτοῦ θεωρήσαντες δόξαν. "ὀψόμεθα γὰρ αὐτὸν καθώς ἐστι," κατὰ τὴν Ἰω άννου φωνήν. νῦν μὲν γὰρ εἴδομεν οὐκ ἐν ὁλοκλήρῳ δόξῃ τῇ θεοπρεπεῖ, διὰ τὸ ἀνθρώπινον· παρελάσαντος δὲ τοῦ καιροῦ τῆς μετὰ σαρκὸς οἰκονομίας, καὶ τετελεσμένου τοῦ μυστηρίου τοῦ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν, ἐν ἰδίᾳ δόξῃ λοιπὸν καὶ τῇ τοῦ Πατρὸς ὀφθήσεται. Θεὸς γὰρ ὢν κατὰ φύσιν, ὁμοούσιός τε διὰ τοῦτο τῷ φύσαντι, πάντως δήπου καὶ ἐν ἴσοις ἔσται τοῖς ἀξιώμασι, καὶ ἐν δόξῃ τῇ οἰκείᾳ καὶ θεο πρεπεῖ διαλάμψει λοιπόν. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε, καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν Πατέρα περὶ ὑμῶν· αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Πατρὸς ἐξῆλθον. Ἐξαιτεῖν μὲν ὅλως διὰ προσευχῆς καὶ ἐντεύξεως ἐφίησι τὸ παράπαν οὐδὲν, εἰ μὴ ἐν τῷ ὀνόματι αὐτοῦ. προχειρότατα γεμὴν ἐπιδώσειν αὐτοῖς τὸν Πατέρα τὰ ἐν εὐχαῖς ἐπαγγέλ λεται, καὶ οὐχὶ πάντως ταῖς τοῦ Υἱοῦ προτροπαῖς ἀνα πειθόμενον, ἅτε δὴ παρακλήτου καὶ μεσιτεύοντος, αὐτόμολον δέ πως εἰς φιλοτιμίας ἰόντα τὰς ἐπ' αὐτοῖς, καὶ ὥσπερ τι χρέος κατατιθέναι σπουδάζοντα τοῖς ἀγαπῶσι Χριστὸν, τὴν ἀνωτάτω τε καὶ εἰς ἄκρον εὐμένειαν. καὶ οὐχί τις νοῦν ἔχων 2.649 οἰήσαιτο πάλιν, ἢ καὶ ἀμαθαίνων ἐρεῖ, ὡς κατ' οὐδένα τρόπον δεήσονται μὲν ἐν τοῖς καθ' ἑαυτοὺς τῆς τοῦ Υἱοῦ μεσιτείας οἱ μαθηταὶ, ἤγουν τῶν ἁγίων ἕτεροι τυχόν. πάντα γὰρ δι' αὐτοῦ παρὰ Πατρὸς ἐν Πνεύματι, ἐπείπερ ἐστὶ παράκλητος, κατὰ τὴν Ἰωάννου φωνὴν, οὐχ ὑπὲρ μόνων τῶν ἡμετέρων ἁμαρτιῶν, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. ἐπιδεικνὺς δὲ χρησίμως κἀν τούτῳ δὴ πάλιν, ὅτι τριπόθητος λίαν ἐστὶ τῷ Θεῷ καὶ Πατρὶ ἡ εἰς τὸν ἐξ αὐτοῦ πεφήνοτα τιμὴ καὶ ἀγά πησις, τὰ τοιαῦτά φησιν· ὅπερ οὐ συνέντες οἱ δείλαιοι τῶν Ἰουδαίων δῆμοι, λοιδορίαις τε οὐ φορηταῖς κατακοντίζειν οὐκ ἔφριττον, καὶ "ἐζήτουν ἀποκτεῖναι" κατὰ τὸ γεγραμμένον, διὰ τὸ μεταῤῥυθμίζειν τῶν πιστευόντων τὸν νοῦν ἐκ νομικῆς καὶ παχείας ἐντολῆς εἰς τὴν τῆς εὐαγγελικῆς πολιτείας ἰσχνότητα. ἔφασκον γὰρ οὐδὲν εἰδότες οἱ τάλανες, μᾶλλον δὲ γλῶτταν ἐπ' αὐτῷ τὴν ἀνόσιον ἀκονήσαντες Εἰ ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ σάββατον. προχει ρότατα τοίνυν τὴν παρὰ Θεοῦ Πατρὸς εὐμένειαν δοθήσεσθαί φησιν αὐτοῖς ἀνενδοιάστως πεπιστευκόσι, καὶ εὖ μάλα δια τεθειμένοις, ὅτι περ ἐξῆλθε παρὰ τοῦ Θεοῦ καὶ Πατρός. προ αλεῖται γὰρ ὥσπερ, φησὶ, καὶ φθάσει μὲν τάχα τὴν τοῦ μεσιτεύοντος αἴτησιν, εὐλογίαις δὲ ταῖς πνευματικαῖς ἐπι κλύσει τὸν νοῦν τῶν ὀρθὴν ἐχόντων ἐπ' ἐμοὶ τὴν διά ληψιν καὶ οὐ καθάπερ ἐδόκει φρονεῖν τοῖς τοῦ γράμματος ἐρασταῖς. Τὸ δέ Ἐξῆλθον παρὰ Θεοῦ, ἐνταῦθα δὴ πάλιν οἰησόμεθα δηλοῦν, ἢ ὅτι γεγέννημαι καὶ ἐξέλαμψα τῆς οὐσίας αὐτοῦ, κατὰ πρόοδον μὲν τὴν πρὸς τὸ εἶναί τε καὶ νοεῖσθαι τυχὸν ἰδιοσυστάτως, οὐ μὴν εἰς ἅπαν διῃρημένως· ἔστι γὰρ ἐν Υἱῷ μὲν ὁ Πατὴρ, ἐν Πατρὶ δὲ αὖ πάλιν κατὰ φύσιν ὁ Υἱός· ἢ τό Ἐξῆλθον, ἀντὶ τοῦ, γέγονα καθ' ὑμᾶς, ἄνθρωπος δηλονότι, τὴν ὑμετέραν μορφήν τε καὶ φύσιν ὑποδύς. τόπος 2.650 γὰρ ὥσπερ ἑκάστου τῶν ὄντων ἡ ἰδία φύσις, ἀφ' ἧς ἂν ἐξίοι πρὸς ἕτερόν τι μεταχωροῦν, καὶ ὅπερ οὐκ ἦν γενόμενον. καὶ οὐ δήπου φαμὲν, ὡς ἐπείπερ ἄνθρωπος καθ' ἡμᾶς ὤφθη τε καὶ γέγονεν ὄντως ὁ Μονογενὴς, ἐξέστη τοῦ εἶναι Θεός· "ἐχθὲς γὰρ καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας·" προσειληφὼς δὲ μᾶλλον ὅπερ οὐκ ἦν μετὰ τοῦ σῶσαι τὸ ἴδιον ἐκβεβηκέναι πως νοεῖται κατά γε τὸν ἐν θεωρίαις εἰσβαίνοντα λόγον. ἐκλήψῃ δὲ τό Ἐξῆλθον παρὰ τοῦ Πατρὸς καὶ καθ' ἕτερον, εἰ βούλει, τρόπον· ᾤοντο μὲν γὰρ οἱ πρὸς μόνας ἀμαθίας εὐπετέστατοι Φαρισαῖοι, καθάπερ ἤδη προ εἶπον, καθ' ἕνα τῶν ψευδοπροφητῶν εἰς μέσον ἥκειν τὸν Κύριον παρὰ Θεοῦ μὲν οὐκ ἀπεσταλμένον, ἀπὸ δὲ γνώμης τῆς οἰκείας, καθάπερ ἦν ἔθος ἐκείνοις τὰ τῷ νόμῳ μαχόμενα τοῖς ὡς αὐτὸν ἰοῦσι προσλαλεῖν. διὰ γάρ τοι τοῦτο καὶ ἀπειθεῖν ἐσκέπτοντο, τὴν τοῦ νόμου τήρησιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φιλαιτάτην μὲν εἶναι λέγοντες τῷ Θεῷ καὶ Πατρὶ, παραλύεσθαι γεμὴν διὰ τῶν αὐτοῦ διδαγμάτων. οὐκοῦν ὡς Θεῷ μαχόμενον καὶ ὡς τοῖς παρ' αὐτοῦ διὰ Μωυσέως τεθεσπισμένοις ἀντιστατεῖν ᾑρημένον ἀπεσείοντο τὸν Χριστὸν, ἀλλότριον εἶναι καὶ Θεοῦ διὰ τοῦτο λογιζόμενοι. ἀλλ' οὐχ οὕτως οἱ μακάριοι μαθηταί. πεφιλήκασι γὰρ αὐτὸν τῆς τῶν Ἰουδαίων δυσβουλίας τὰ ἀμείνω φρονήσαντες, καὶ πεπιστεύκασιν ἀληθῶς, ὅτι ἐξῆλθεν ἀπὸ Θεοῦ, κατὰ τοὺς ἀρτίως ἡμῖν εἰρημένους τρόπους. ταύτης τοι τῆς αἰτίας ἕνεκα καὶ πεφίληνται παρὰ Πατρὸς, τὴν ἴσην ὥσπερ ἐξ ἀμοιβῆς δεχόμενοι χάριν. εἰ δὲ φίλτατοι μὲν τῷ Θεῷ καὶ Πατρὶ, καὶ λίαν ἡδεῖς οἱ ἐκ Θεοῦ τὸν Υἱὸν ἐξελθεῖν πιστεύοντες, κατεστύγηνται δηλονότι καὶ θεομισεῖς ἀληθῶς οἱ τὴν τούτοις ἐναντίαν νοσήσαντες δόξαν. καὶ εἰ τοῖς ἀγα πῶσι τὸν Υἱὸν ἑτοιμότατος λίαν εἰς τὸ ὑπακοῦσαι Θεὸς, οὐ προσδέξεται δηλονότι τῶν μὴ τοιούτων τὰς προσευχάς· καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς Ἡσαΐου πρὸς αὐτοὺς εἰρημένον 2.651 "Ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς "ὀφθαλμούς μου ἀφ' ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, "οὐκ εἰσακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν αἵματος "πλήρεις." Ἐξῆλθον ἐκ τοῦ Πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν Πατέρα. Ἀπόδειξις αὕτη σαφής τε καὶ ἀναμφίλογος τοῦ μὴ ἕνα τῶν ψευδοπροφητῶν ὑπάρχειν τὸν Κύριον, μήτε μὴν τὰ ἀπὸ γνώμης οἰκείας ἐροῦντα, καὶ διαλεξόμενον παρὰ τὸ δοκοῦν τῷ Πατρὶ πρὸς ἡμᾶς ἀφῖχθαι, κατά γε τὴν ἀμαθῆ καὶ ἀπόπτυστον τῶν Ἰουδαίων ὑπόνοιαν, τὸ παλινδρομῆσαι πρὸς τὸν Πατέρα καὶ ὑπονοστῆσαι μετ' ἐξουσίας ὅθεν οἶδεν ἐκ βεβηκώς. Ναὶ γὰρ, ἐρεῖ τις τυχὸν ταῖς τῶν Ἰουδαίων ἁμα θίαις ἀντικαθιστάμενος, οὐκ ἀληθὴς ἦν ἴσως ὁ Χριστὸς καθ' ὑμᾶς ὦ Ἰουδαῖοι, ἀλλ' οὐδὲ συνευδοκοῦντος αὐτῷ τοῦ Θεοῦ καὶ Πατρὸς τὴν τῆς εὐαγγελικῆς πολιτείας εἰσκεκόμικε παί δευσιν, ἄπρακτον ἤδη δεικνὺς καὶ ἀνόνητον εἰς τελειότητα τὴν κατ' εὐσέβειαν τὴν νομικὴν ἐντολήν. ἐγκαλεῖτε γάρ πως ὡς λελυκότι τὸ σάββατον, καὶ εἴπερ τι τῶν θαυμάτων ἐργά σαιτο παρ' ὑμῖν, "ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων" καὶ τοῦτο ποιεῖν εἰωθότα δυσσεβοῦντες εἰρήκατε. πῶς δὴ οὖν ἄρα καὶ εἰς αὐτὸν ἀνέβη τὸν οὐρανόν; πῶς ἐδέξατο σύνθρονον ὁ Πατὴρ, ἐπαιρόντων ἀγγέλων αὐτῷ τὰς ἄνω πύλας, τὸν τοῖς αὐτοῦ δόγμασιν ἀντιπράττοντα καθ' ὑμᾶς, καὶ ἀνεθέλητον τῷ παμβασιλεῖ τῶν ὅλων τὴν ὑφήγησιν ποιησάμενον; μὴ γὰρ λεληθότως ἀνελήφθη; μὴ γὰρ οὐ πολὺς ἦν ὄχλος, πρὸς οὓς ἔφη ὁ θεῖός τε καὶ οὐράνιος ἄγγελος "Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς "τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς 2.652 "τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν "πορευόμενον εἰς τὸν οὐρανόν." εἶτα τί φῂς Ἰουδαῖε πάλιν; ἆρ' οὐ τιμήσεις ταῖς εὐπειθείαις κἂν τὴν ἀγγέλου φωνήν; ἆρ' οὐ παραδέξῃ μάρτυρας, καίτοι πολλοὺς ὄντας τοὺς τεθεα μένους; καίτοι σαφῶς ὁ νόμος "Ἐπὶ στόματος δύο ἢ τριῶν "μαρτύρων σταθήσεται πᾶν ῥῆμα," φησί. τῷ τοίνυν ἐπ' ἐξουσίας πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ὑπονοστοῦντι Πατέρα, πῶς ἂν ἔτι πρεπόντως ὁ τῆς ψευδοπροφητείας ἐπιφέροιτο μῶμος, καὶ οὐχὶ μᾶλλον ἕψεται λοιπὸν, ὡς δι' ἀποδείξεως ἐναργοῦς τοῦ πράγματος, τὸ ἀνενδοιάστως πιστεύεσθαι παρ' ἡμῶν, ὡς εἴη μὲν ἐκ Θεοῦ, δῆλον δὲ ὅτι τοῦ Πατρὸς, οὐχ ἕτερος γεμὴν παρ' ἐκεῖνον, ὃν αὐτός τε ἡμῖν ὁ νόμος καὶ οἱ προφῆται διήγγελλον; Ἐληλυθέναι γεμὴν εἰς τόνδε τὸν κόσμον φησὶ, μεταχωρεῖν δὲ αὖ πάλιν ἐκ τοῦ κόσμου πρὸς τὸν Πατέρα, οὔτε τοῦ Πατρὸς ἀπολειφθεὶς ὅτε γέγονεν ἄνθρωπος, οὔτε μὴν τῶν ἐπὶ τῆς γῆς ὅτε μετὰ σαρκὸς ἀπεδήμει πρὸς τὸν Πατέρα· Θεὸς γάρ ἐστιν ἀληθινὸς ἀῤῥήτῳ δυνάμει τὰ πάντα πληρῶν, καὶ οὐδενὸς τῶν ὄντων ἀπολιμπανόμενος. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ Ἴδε νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις· νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τις σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. Θαυμάζουσι τὴν ἀπόδειξιν ὡς ἐναργεστάτην, καταπλήτ τονται τοῦ λόγου τὸ διαφανές· περιστολῆς γὰρ ἁπάσης δίχα τὸν πρὸς αὐτοὺς εὖ μάλα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεποίηται λόγον. χαίρουσι δὴ οὖν δυσχερείας ἁπάσης ἀπηλλαγμένην λαβόντες ἀπόδει ξιν, καὶ περισκελὲς μὲν σχεῖν οὐδὲν τὸ εἰρημένον φασὶν, εὐκάτοπτον δὲ οὕτως ὑπάρχειν τὴν ἐπ' αὐτῷ δὴ τούτῳ 2.653 φωνὴν, ὡς μηδὲ βραχὺ παροιμίας ἔναυσμα προσεῖναι δοκεῖν. ἀποκερδαίνουσι δὲ πρὸς τούτῳ κἀκεῖνο· ἐπειδὴ γὰρ ἔγνως, φησὶ, τὸ λαθραίως ψιθυρισθὲν, ἔφθασάς τε τὴν πεῦσιν, ἥνπερ ἂν ἴσως προσηγάγομεν ἡμεῖς ἐξαιτοῦντες τὸ μαθεῖν, ἅπερ ἔλεγες ἀρτίως, πεπιστεύκαμεν ὅτι καὶ ἐξῆλθες ἀπὸ Θεοῦ. τὸ γὰρ εἰδέναι, φησὶ, τὰ ἐν τῷ παραβύστῳ καὶ λεληθότα, τοῦ πάντων ἂν εἴη Θεοῦ, καὶ οὐχ ἑτέρου τινός. ἐπειδὴ δὲ οἶσθα τὰ πάντα αὐτὸς, πῶς οὐκ ἀναμφίλογον ὡς ἐκ τοῦ τὰ πάντα εἰδότος ἐξέλαμψας Θεοῦ; πίστεως οὖν ἄρα τῆς ἀνεν δοιάστου τροφὴ κατέστη τοῖς μαθηταῖς μετὰ τῶν ἄλλων, καὶ τοῦτο τὸ θεοπρεπὲς ὄντως καὶ παράδοξον σημεῖον, ὡς ἔστι μέν πως ἰδεῖν ἐπ' αὐτῶν ἀληθὲς, τό "Δίδου σοφῷ "ἀφορμὴν, καὶ σοφώτερος ἔσται, γνώριζε δικαίῳ, καὶ προσ "θήσει τοῦ δέχεσθαι." φασὶ δὲ τό Νῦν πιστεύομεν, οὐ τότε δὴ πάντως τὴν τοῦ πιστεύειν ἀρχὴν ἐν ἑαυτοῖς εἰσφρήσαντες, ὅτε τῶν τοιούτων ἠκροάσαντο λόγων, ἤγουν τεθέανται τὸ σημεῖον, τὸ εἰδέναι φημὶ τὰ πάντα τὸν Κύριον, ἀλλ' ὡς τότε λοιπὸν τὴν ἐν ἀρχαῖς εἰσδεχθεῖσαν πίστιν ῥιζοῦν ἐν οἰκείαις ψυχαῖς ἀρχόμενοι, καὶ διακεῖσθαι λοιπὸν ἀραρότως ἀναπε πεισμένοι, ὡς Θεός τε εἴη καὶ ἐκ Θεοῦ τοῦ κατὰ φύσιν καὶ ἀληθινοῦ. παραδεξόμεθα τοίνυν τό Νῦν πιστεύομεν, οὐκ εἰς τὴν τοῦ πιστεύειν ἀρχὴν, ἀλλ' εἰς τὴν τοῦ βεβαιοῦσθαι παγίως εἰς τὴν ἤδη τετιμημένην τῇ συναινέσει διάληψιν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς Ἄρτι πιστεύετε; ἰδοὺ ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια κἀμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατὴρ μετ' ἐμοῦ ἐστιν. Ἀστειότατα πάλιν ἐπέδειξεν ὁ Σωτὴρ τὸν τῆς ἐφ' ἅπασι τοῖς ἀγαθοῖς βεβαιότητος οὔπω παρόντα καιρόν· οὗτος δὲ ἦν ὁ τὴν τοῦ Ἁγίου Πνεύματος ἐξ οὐρανοῦ καταφοίτησιν εἰσκο μίζων αὐτοῖς, καὶ τὴν ἐξ ὕψους δύναμιν, καθὰ γέγραπται. καθαρῶς γὰρ τότε ταῖς ἀνθρωπίναις μικροψυχίαις ἐῤῥῶσθαι 2.654 φράσαντες, ἀκαταγωνίστοις διέπρεψαν εὐτολμίαις, οὐ τὰς τῶν Ἰουδαίων ἐπαναστάσεις, οὐ τὸν ἄκριτον τῶν Φαρισαίων θυμὸν, οὐχ ἕτερόν τι τῶν δεινῶν δεδιότες, ἀλλ' ἐν παῤῥησίᾳ προεστηκότες τοῦ θείου κηρύγματος, καὶ διαῤῥήδην λέγοντες "Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις· οὐ δυνάμεθα "γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν." ἐν ταὐτῷ τοιγαροῦν καθιδρύσθαι μὲν οὔπω πρὸς πίστιν τὴν τελείαν ἀπέδειξε, διὰ τὸ μήπω γεγεῦσθαι τῆς κοινωνίας τοῦ Πνεύ ματος, παραθεὶς εἰς ἔλεγχον τὴν ὅσον οὐδέπω παρεσομένην δειλίαν, καὶ ὅτι δὴ μέλλοι συμβήσεσθαι προειπὼν, οὐ μετρίως αὐτοὺς ὀνήσας ὁρᾶται. διακείσονται γὰρ μειζόνως τε καὶ ἐρηρεισμένως, ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν, οὐδὲν τῶν μελλόντων ἠγνοηκότα καταλαμβάνοντες. ἰδοὺ τοιγαροῦν παρ έσται, φησὶν, οὐκ εἰς μακρὰν ὁ καιρὸς, μᾶλλον δὲ εἴσω βέβηκε θυρῶν, ὅτε μόνον ἀφέντες ἐμὲ, ἀπελεύσεσθε πρὸς τὰ ἴδια. τοῦτο δέ ἐστιν εὐπεριστόλως εἰπεῖν, ὅτε δειλίαις ἀνάνδροις κεκρατημένοι, μόνης τῆς ἑαυτῶν ψυχῆς προνοή σετε, καὶ τὴν τῷ διδασκάλῳ χρεωστουμένην ἀγάπησιν κατόπιν τῆς ἑαυτῶν σωτηρίας ποιησάμενοι, πρὸς οὕσπερ ἂν εὕρητε διοιχήσεσθε τόπους. πῶς οὖν ἄρτι πιστεύετε, τῶν εἰς ἀνδρείαν ἐλέγχων οὔπω τὸν ψόγον διακρουσάμενοι, διὰ τὸ μήπω μεταλαχεῖν τῆς διὰ Πνεύματος εὐτολμίας; ὅτι δὲ ἐτράποντο πρὸς φυγὴν οἱ μακάριοι μαθηταὶ, τὴν τῶν Ἰου δαίων οὐκ ἐνεγκόντες ἔφοδον, ὅτε παρῆν ὁ προδότης, τὴν ἀνόσιον τῶν στρατιωτῶν ἐπαγόμενος σπεῖραν καὶ τοὺς τῶν ἡγουμένων ὑπηρέτας, οὐδαμόθεν ἀμφίλογον. μόνον δὲ τότε καταλελοίπασι τὸν Χριστόν· μόνον δὲ φαμὲν, ὅσον ἧκεν εἰπεῖν εἰς τὸ παρεῖναι μηδένα τῶν ἕπεσθαί τε καὶ προσε δρεύειν εἰωθότων αὐτῷ· μόνος γὰρ οὐκ ἦν, καθὸ Θεὸς ἐκ Θεοῦ καὶ ἐν Θεῷ φυσικῶς τε καὶ ἀδιαστάτως· ἀνθρωπινώ τερον δέ πως καὶ τοῦτο δι' ἡμᾶς ἐφθέγξατο Χριστὸς, ἐκεῖνο 2.655 διδάσκων, ὅτι πειρασμὸν ἢ διωγμὸν ἤγουν ἕτερόν τι τῶν τοιούτων ἐπιφέροντος ἡμῖν ἔσθ' ὅτε καιροῦ, καὶ εἰς εὐκλεᾶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλοῦντος κίνδυνον, φημὶ δὲ τὸν δι' εὐσέβειαν, οὐκ ἀπο πίπτειν ἐλπίδος τῆς ἐπὶ τῷ δύνασθαι διαφεύγειν ἀκόλουθον, καὶ εἰ μή τινες τυχὸν τῶν ὁμοψύχων ἡμῖν συμπαρατρέχοιεν ἀδελφῶν, ἐπαμύνοντές τε κατὰ τὸ ἐγχωροῦν καὶ ταῖς ὁμονοίαις μονονουχὶ τὸν ἐπηρτημένον ἡμῖν μεριζόμενοι κίν δυνον. εἰ γὰρ καὶ τράποιντο πρὸς φυγὴν δυσαχθῆ, καὶ ἀφόρητον τὴν ἐκ τῆς δειλίας πλεονεξίαν ἐν ἑαυτοῖς ποιη σάμενοι, διακεῖσθαι προσῆκεν, ὡς οὐ διὰ ταύτην ἀτονήσει τὴν αἰτίαν Θεός. ἀρκέσει γὰρ μόνος εἰς τὸ διασῶσαι δύνα σθαι τὸν αὐτῷ προσκείμενον. μόνοι δὲ ἡμεῖς οὐκ ἐσμὲν, καὶ εἰ μή τις ὁρῷτο παρὼν, καθάπερ εἶπον ἀρτίως, συμπαραστά την καὶ ἐπαρηγὸν καὶ σύνοπλον ἔχοντες τὸν πάντα ἰσχύοντα Θεὸν, ἀπλεονεκτήτοις τισὶν ἐπικουρίαις ἡμᾶς περιφράττοντα, κατὰ τὸν λέγοντα ψαλμῳδόν "Κύριε, ὡς ὅπλῳ εὐδοκίας "ἐστεφάνωσας ἡμᾶς." καὶ ταῦτα νῦν περὶ τούτου φαμὲν, οὐχ ὡς χρῆμα καλὸν θαυμάζοντες τὴν φιλοψυχίαν, ὅταν ἐξῇ καταλύειν ἡμᾶς εὐκλεῶς τὸν μετὰ σώματος βίον συστρα τευομένους τε καὶ συναθλοῦντας τοῖς διὰ Θεὸν κινδυνεύουσιν· ἀλλ' ἵνα μᾶλλον ἐκεῖνο πιστεύσωμεν, ὡς εἰ καὶ μή τινες εἶεν οἱ τοῦτο δρᾷν σὺν ἡμῖν ἐθέλοντες καὶ προθυμούμενοι, ἀπο γινώσκειν οὐ χρή· μόνοι γὰρ οὐκ ἐσόμεθα συμπαρόντος ἡμῖν τοῦ Θεοῦ.

Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε· ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. Ὅλην ὡς ἔπος εἰπεῖν ἐν τούτοις εὖ μάλα Χριστὸς ἀνα κεφαλαιοῦται χρησίμως τὴν πρὸς αὐτοὺς γενομένην διά λεξιν, καὶ τῶν εἰρημένων τὴν δύναμιν ἐν ὀλίγοις συλλαβὼν, συντομωτάτην αὐτοῖς τῆς οἰκείας βουλήσεως παρατέθεικε 2.656 γνῶσιν. πεποίημαι γὰρ, φησὶ, νυνὶ πρὸς ὑμᾶς τοὺς τοιούτους λόγους, εἰρήνην ἔχειν ἐν ἐμοὶ παραινῶν, καὶ ἵν' εἰδείητε πρὸς τούτῳ σαφῶς ὅτι μοχθηρὰ μὲν ὑμῖν τὰ ἐν τῷ κόσμῳ συμβή σεται, καὶ θλίψεσιν ὁμιλήσετε δι' ἐμὲ πολλαῖς. πλὴν οὐχ ἁλώσεσθε τοῖς δεινοῖς· ἐγὼ γὰρ νενίκηκα τὸν κόσμον. Ἀλλ' ἵνα σοι σαφὲς ὅτι μάλιστα ποιήσω τὸ εἰρημένον, φέρε δὴ πρῶτον λέγωμεν τί τὸ ἔχειν ἐστὶν εἰρήνην ἐν Χριστῷ. ὁ μὲν γὰρ κόσμος, ἤτοι τῶν ἐν κόσμῳ πραγμάτων οἱ ἐρα σταὶ, τὴν μὲν πρὸς ἀλλήλους εἰρήνην ἐπιτηδεύουσιν ἔσθ' ὅτε, πλὴν οὐ πάντως ἐν Χριστῷ. οἷον φέρε εἰπεῖν, οἱ πρὸς τὰς ἐκ τῶν σωμάτων φιληδονίας ἔκλυτοι, τοῖς ὁμοτρόποις εἰσὶ διὰ τοῦτο φίλτατοι καὶ λίαν ἡδεῖς· ὁ χρημάτων τῶν οὐδὲν αὐτῷ προσηκόντων ἐπιθυμῶν, ὑπάρχων τε διὰ τοῦτο πλεονέκτης ἢ κλεπτίστατος, καθ' ἡδονὴν ἔσται πάντως τῷ τὴν ἴσην αὐτῷ κακίαν ἐπιτηδεύοντι. "Ἕκαστον γὰρ ζῶον "ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, κατὰ τὸ γεγραμμένον, καὶ τῷ ὁμοίῳ "αὐτοῦ προσκολληθήσεται ἀνήρ." ἀλλ' ἐν τούτοις ἅπασι, τὸ σεμνὸν τῆς εἰρήνης ὄνομα καπηλεύεται· καὶ ἀληθὴς ὁ λόγος· ἐπὶ δὲ τῶν ἁγίων οὐχ οὕτως. οὐ γὰρ ἁμαρτία τῆς εἰρήνης ὁ σύνδεσμος, ἀλλὰ πίστις, ἐλπὶς, ἀγάπη καὶ τῆς εἰς Θεὸν εὐσεβείας ἡ δύναμις. καὶ τοῦτό ἐστιν ἐν Χριστῷ. κεφάλαιον οὖν ἡμῖν πάντων τῶν ἀγαθῶν ἡ ἐν Χριστῷ πέφηνεν εἰρήνη, τὴν εἰς ἀλλήλους ἀγάπην ἀδελφὴν ὥσπερ τινὰ συνεισάγουσα. παντὸς δὲ τοῦ θείου νόμου τὴν πλήρω σιν ἔχειν ὁ Παῦλος τὴν ἀγάπην φησίν. ὅτι δὲ τοῖς ἀγαπῶ σιν ἀλλήλους ἕψεται δὴ πάντως τὸ καὶ αὐτὸν πρὸ πάντων ἀγαπῆσαι τὸν Θεὸν, οὐκ ἀμφίλογον, Ἰωάννου λέγοντος ὡς εἴ τις ἀγαπήσαι τὸν ἀδελφὸν, αὐτὸν δήπου πάντως ἀγαπήσει τὸν Θεόν. Δηλοῖ δὲ δή τι καὶ τὸ ἕτερον, φημὶ δὴ πάλιν τό Θλίψιν ἔχετε ἐν τῷ κόσμῳ· ἀλλὰ θαρσεῖτε ἐγὼ νενίκηκα τὸν κόσμον. 2.657 ἁπλούστερον μὲν γὰρ εἴ τις ἕλοιτο νοεῖν, ἐρεῖ δὴ πάντως Πάσης ἁμαρτίας καὶ περιστάσεως κοσμικῆς κρείττων τε ἅμα καὶ δυνατώτερος ἀπεφάνθη Χριστός· ἐπειδὴ δὲ νενί κηκε, καὶ τοῖς δι' αὐτὸν πειραζομένοις ἐπιδώσει τὸ νικᾶν. εἰ δέ τις τῶν εἰρημένων ἐννοεῖν ἐθέλοι τι πικρότερον, ἐκεῖνο δὴ πάντως διενθυμηθήσεται. ὅνπερ γὰρ τρόπον φθορᾶς καὶ θανάτου διὰ τοῦτο κεκρατήκαμεν, ἐπείπερ ὡς ἄνθρωπος δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἀνεβίω Χριστὸς, τῆς κατὰ τοῦ θανάτου πλεονεξίας ἀρχὴν τὴν ἰδίαν ἀνάστασιν ποιησά μενος, διήκοι ἂν πάντως καὶ εἰς ἡμᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡ τοῦ πράγματος δύναμις, ἐπείπερ ἦν ὁ νικήσας ἐξ ἡμῶν καθὸ πέφηνεν ἄν θρωπος, καὶ ὥσπερ τῆς ἁμαρτίας περιγιγνόμεθα νεκρωθείσης πάντως ἐν πρώτῳ Χριστῷ, παραπέμποντος δηλονότι καὶ εἰς ἡμᾶς, ὡς ἴδιον γένος, τὸ ἀγαθόν· οὕτω καὶ θαρσεῖν ὀφείλομεν ὅτι καὶ ἡμεῖς περιεσόμεθα τοῦ κόσμου· νενίκηκε γὰρ ὁ Χρι στὸς ὡς ἄνθρωπος δι' ἡμᾶς, ἀρχὴ καὶ θύρα καὶ ὁδὸς τῇ ἀνθρωπείᾳ φύσει κἀν τούτῳ γιγνόμενος. οἱ γὰρ πάλαι πίπτοντές τε καὶ νικώμενοι κεκρατήκαμέν τε καὶ νενικήκαμεν διὰ τὸν ἐξ ἡμῶν καὶ δι' ἡμᾶς νικήσαντα. εἰ μὲν γὰρ ἐνίκη σεν ὡς Θεὸς, πρὸς ἡμᾶς οὐδὲν, εἰ δὲ ὡς ἄνθρωπος, ἡμεῖς ἐν αὐτῷ νενικήκαμεν. δεύτερος γὰρ ἡμῖν ἐξ οὐρανοῦ πέφηνεν Ἀδὰμ, κατὰ τὰς γραφάς. ὥσπερ οὖν πεφορέκαμεν "τὴν "εἰκόνα τοῦ χοϊκοῦ," καθ' ὁμοιότητα τὴν ἐκείνου τῷ τῆς ἁμαρτίας ὑποπεσόντες ζυγῷ, οὕτω δὴ πάντως φορέσομεν καὶ τὴν τοῦ ἐπουρανίου μόρφωσιν, τουτέστι Χριστοῦ, νικῶντες τῆς ἁμαρτίας τὴν τυραννίδα, καὶ ἁπάσης θλίψεως κατευμε γεθοῦντες κοσμικῆς· νενίκηκε γὰρ ὁ Χριστός.

**2.658 ΚΕΦΑΛΗ Γ.** Ὅτι τῆς θεοπρεποῦς δόξης οὐκ ἐπιδεᾶ θεωρῆσαι τις ἂν τὸν Υἱὸν, κἂν εὑρίσκηται λέγειν Πάτερ δόξασον τὸν Υἱόν σου. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπάρας τοῦς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπε Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. ἈΠΟΧΡΩΝΤΩΣ τοῖς μαθηταῖς τὰ εἰς σωτηρίαν ἐφόδια δωρησάμενος, καὶ τοῖς καθήκουσι λογισμοῖς τε καὶ λόγοις εἰς ἀκριβεστέραν τῶν δογμάτων ἀκονήσας διάληψιν, καὶ καταστήσας ὅτι μάλιστα μαχιμωτάτους εἰς πειρασμοὺς, φρόνημά τε τὸ νεανικὸν εὖ μάλα ῥιζώσας ἐν ἑκάστῳ, χρη σίμως μεθίστησιν εὐθὺς τοῦ λόγου τὸ σχῆμα, καὶ εἰς προσ ευχῆς διαπλάττει τρόπον· οὐδένα καιρὸν διὰ μέσου χωρεῖν ἐπιτρέψας τῆς τε πρὸς αὐτοὺς διαλέξεως καὶ τῆς πρὸς Θεὸν καὶ Πατέρα· τύπον ἡμῖν πολιτείας ἐξόχου κἀν τούτῳ δὴ πάλιν τὰ καθ' ἑαυτὸν ὑποφαίνων. χρῆναι γὰρ οἶμαι μὴ ἀγνοεῖν τὸν ᾧπέρ ἐστι πρὸς εὐσέβειαν ὁ σκοπὸς, ὅτι προσ ήκοι δὴ πάντως ἢ πρὸς ἀδελφοὺς τὰ λυσιτελῆ τε καὶ ἀναγ καῖα διαλέγεσθαι φιλεῖν, ἤγουν εἰ μὴ τοῦτο δρῴη τυχὸν, ταῖς εἰς Θεὸν ἱκετείαις τὴν τοῦ λόγου χρείαν ἐπείγεσθαι δαπανᾶν, ὡς μηδεμίαν ἐκ τούτου περισσολογίας ὁρᾶσθαι παρείσδυσιν· οὕτω γὰρ ἂν ἴοι κατὰ λόγον τὸν πρέποντα 2.659 τῆς γλώττης ἡ εὐκοσμία. τίνι γὰρ οὐ σφόδρα καταφανὲς, ὡς εὔκολος λίαν ἐν ταῖς εἰκαιολογίαις μάλιστα τῶν οὐκ ἔξω ψόγων ἡ ἐπεισφορά; καὶ γοῦν ἔφη τις σοφός "Ἐκ πολυ "λογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν, φειδόμενος δὲ χειλέων "νοήμων ἔσῃ." Ἀποθαυμάσεις δέ τι πρὸς τούτῳ καὶ ἕτερον οὐ μετρίαν ἡμῖν ἐμποιοῦν τὴν ὄνησιν. ποιεῖται γὰρ τὴν τῆς προσευχῆς ἀπαρχὴν ὑπὲρ δόξης τῆς ἑαυτοῦ καὶ τῆς τοῦ Πατρός· συν αναπλέκει δὲ μετὰ τοῦτο καὶ παρεισκομίζει παραχρῆμα τὴν ὑπὲρ ἡμῶν. καὶ τίς ἡ πρόφασις; ἀναπείθει δὴ πάλιν τὸν ἐπιεικῆ καὶ θεοφιλέστατον, καὶ τεχνίτην ἀληθῶς εἰς προσευ χὴν ἐργάζεται. ὥσπερ γὰρ ἀγαθουργεῖν ἡμᾶς καὶ πάντα δρᾶν ἀναγκαῖον, οὐκ εἰς δόξαν τὴν ἡμετέραν τὴν εἰς τοῦτο σπουδὴν παρατρέποντας, ἀλλ' εἰς τὴν τοῦ Πατρὸς τῶν ὅλων, φημὶ δὴ τοῦ Θεοῦ· "λαμψάτω γάρ φησι τὸ φῶς ὑμῶν "ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, "καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς·" οὕτω καὶ εἰς εὐχὴν διανιστάντος ἡμᾶς τοῦ καιροῦ πρὸ τῶν ἡμετέρων τὰ εἰς Θεοῦ δόξαν αἰτεῖν πρεπωδέστατον, ὥσπερ οὖν ἀμέλει καὶ αὐτὸς ὁ Χριστός "Οὕτω, φησὶν, ὑμεῖς "προσεύχεσθε Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω "τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά "σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν "ἐπιούσιον δὸς ἡμῖν σήμερον." τύπος οὖν ἄρα προσευχῆς εἰς ἡμᾶς τὸ πραττόμενον. ἔδει γὰρ ἔδει παντὸς ἡμῖν ἀγαθοῦ, καὶ τοῦ πρὸς Θεὸν ἀνακομίζοντος τρόπου ἡγεμόνα καὶ καθη γητὴν, οὐ πρέσβυν, οὐκ ἄγγελον, ἀλλ' αὐτὸν ἀναφαίνεσθαι τὸν Χριστόν. κεκλήμεθα γὰρ καί ἐσμεν ὄντως κατὰ τὴν τοῦ προφήτου φωνὴν Διδακτοὶ Θεοῦ. Τί δὲ δὴ καί φησι πρὸς τὸν ἑαυτοῦ Πατέρα,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρέπον ἂν εἴη νουνεχέστατα κατιδεῖν. δεῖν γὰρ οἶμαι μετὰ δριμείας τινὸς τῆς ἐπιτηρήσεως τῇ τῶν λεγομένων θεωρίᾳ προσβάλ 2.660 λοντας φιλοθηρεῖν εὖ μάλα τὴν τῶν δογμάτων ἀκρίβειαν. Πάτερ τοίνυν φησὶν ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱὸν ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. καὶ ὅσον μὲν ἧκεν εἰς τὴν τῶν εἰρημένων διασκευὴν, οἰηθείη μὲν ἄν τις εὐκλείας ἐπιδεᾶ καθεστάναι τυχὸν τὸν τοιαῦτα λέγοντα· ἐννοήσας γεμὴν τὸ τοῦ Μονογενοῦς ἀξίωμα, ῥᾳδίως ἂν οἶμαι τῶν οὕτως ἀθλίων ἀποπηδήσαι λογισμῶν. ἠλίθιον γὰρ κομιδῇ τὸ δόξης τινὸς οἴεσθαι ἐπιδεᾶ καὶ τῆς αὐτῷ πρεπούσης ἀμοιρῆσαι τιμῆς τὸν Υἱὸν, καίτοι τῆς δόξης ὄντα Κύριον· οὕτω γὰρ αὐτὸν αἱ θεόπνευστοι καλοῦσι γραφαί. ἄλλως τε καὶ ἑτέρωθί που θεωρήσαι τις ἂν λέγοντα πρὸς τὸν Πατέρα "Πάτερ δόξασόν "με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί." εἶτα τίνι λοιπὸν ἀμφίλογον, τίς δὲ οὕτω τὸν νοῦν ἀπό πληκτος καὶ πάσης ἀληθείας ἐχθρὸς, ὡς μὴ συνιέναι τε καὶ ὁμολογεῖν ὅτι δόξης μὲν οὐκ ἐστέρηται τῆς θεοπρεποῦς ὅσον εἰς οἰκείαν φύσιν ὁ Μονογενής· ἐπειδὴ δὲ ὑπάρχων ἐν μορφῇ καὶ τῇ κατὰ πᾶν ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς, οὐχ ἁρπα γμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, καταβέβηκε μὲν εἰς τὴν καθ' ἡμᾶς ταπείνωσιν, ἑαυτὸν δὲ κεκένωκε, τὸ ἀδοξότατον τουτὶ πεφορεκὼς σῶμα καὶ τῆς ἀνθρωπίνης σμικρότητος τὴν ὁμοίωσιν ἐξ ἀγάπης ὑποδὺς, ὡς ἤδη παρόντος τε καὶ ἐνεστη κότος τοῦ καθήκοντος χρόνου, καθ' ὃν ἔδει πάλιν αὐτὸν τὴν τοῦ μυστηρίου χρείαν ἀποπληρώσαντα, τὴν ἀρχαίαν τε καὶ οὐσιώδη μεταμφιέσασθαι δόξαν, ὅλην ἀνασώσαντα τὴν οἰκου μένην, ἀνασώσαντά τε πρὸς ζωὴν καὶ θεογνωσίαν τοὺς ἐν αὐτῇ, συνευδοκητὴν καὶ συνεθελητὴν πάλιν κἀν τούτῳ δεικ νὺς τὸν Πατέρα· τὴν πρὸς αὐτὸν ποιεῖται διάλεξιν, χρῆναι δὴ πάντως ἑαυτὸν ἀνακομίζεσθαι λέγων εἰς τὸ τῆς ἰδίας φύσεως ἀξίωμα; Ἄνεισι δὲ πῶς; ἢ δηλονότι τῶν τῆς θεότητος ἔργων ἀποτελεστὴς καὶ μετὰ σαρκὸς ἀναδεικνύμενος, οὐχ ὡς ὑπουρ 2.661 γὸς τῆς ἑτέρου τυχὸν ἐνεργείας, ἀλλ' ὡς σοφία καὶ δύναμις ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρός. οἰησόμεθα γὰρ οὕτω καὶ οὐχ ἑτέρως αὐτὸν τὰ τῆς θεότητος ἔργα μετ' ἐξουσίας ἀπο πληροῦν. πάντα μὲν γὰρ παρὰ τοῦ Πατρὸς, πλὴν οὐ δίχα τοῦ Υἱοῦ. πῶς γὰρ ἂν ἐργάσαιτό τι τῶν αὐτῷ πρεπόντων ὁ Θεὸς καὶ Πατὴρ, οὐχὶ δὴ συνούσης τε αὐτῷ καὶ συναποτε λούσης τὰ ἐφ' οἷς ἂν νοοῖτο τυχὸν ἡ κατ' ἐνέργειαν κίνησις, τῆς τε σοφίας καὶ τῆς δυνάμεως αὐτοῦ, φημὶ δὴ τοῦ Υἱοῦ; διὰ τοῦτο καὶ ὁ σοφὸς Εὐαγγελιστὴς, ὁ τὴν τοῦδε τοῦ βιβ λίου συγγραφὴν πηξάμενος, ἐν ἀρχαῖς τοῦ λόγου φησὶν ὅτι "Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν." ἐπειδὴ τοίνυν ὁ τῆς ὁμοουσιότητος ἀναπείθει λόγος ἀκολούθως ἡμᾶς ἐννοεῖν ὅτι πάντα μὲν ἐκ Πατρὸς, δι' Υἱοῦ δὲ πάντως ἐν Πνεύματι· νεκρώσας δὲ θάνατον καὶ φθορὰν, καὶ τὴν τοῦ διαβόλου τυραννίδα περιελὼν, ὅλην ἔμελλε τὴν ὑφ' ἡλίῳ ταῖς διὰ τοῦ Πνεύματος καταφαιδρύνειν φωταγωγίαις, ἀνα δείκνυσθαί τε διὰ τούτου λοιπὸν Θεὸς κατὰ φύσιν ὄντως καὶ ἀληθινὸς, ἀναγκαίως φησί Πάτερ δόξασόν σου τὸν Υἱὸν ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. καὶ οὐ δή τις νοῦν ἔχων ἐρεῖ, δόξαν μὲν αἰτεῖν παρὰ Πατρὸς τὸν Υἱὸν, καθάπερ ἄνθρωπον ἐξ ἀνθρώπου τυχὸν, διδόναι δὲ καὶ αὐτὸν ὡς ἐξ ἀμοιβῆς ἐπαγ γέλλεσθαι· σμικροπρεπὲς γὰρ λίαν, μᾶλλον δὲ ἀσύνετον παντελῶς, τὸ τοιαύτην ἔχειν ἐπὶ Θεοῦ τὴν διάληψιν· ἀναγ καιοτάτην δὲ τῷ Πατρὶ τὴν ἑαυτοῦ δόξαν ἐπιδεικνὺς, ἵνα γινώσκηται καὶ ὁμοούσιος, ταυτὶ λελάληκεν ὁ Σωτήρ. ὥσπερ γὰρ ἀδοξίας ἔσται παραίτιον τῷ Θεῷ καὶ Πατρὶ τὸ μὴ τοιοῦτον ἔχειν τὸν ἐξ αὐτοῦ φύντα τε καὶ γεγεννημένον Υἱὸν, ὁποῖον ἂν εἶναι πρέποι τὸν ἐκ Θεοῦ Θεὸν κατὰ φύσιν, οὕτως οἶμαι καὶ δόξαν αὐτῷ περιποιήσει καὶ καύχημα, τὸ ἐν τού τοις ὄντα τὸν ἴδιον ἔχειν Υἱὸν, ἐν οἷσπερ ἂν ὑπάρχειν αὐτὸς καὶ νοοῖτο καὶ λέγοιτο. δοξάζεται τοίνυν ὁ Πατὴρ ἐν τῇ τοῦ 2.662 γεννήματος δόξῃ, καθάπερ ἔλεγον ἀρτίως, διδοὺς μὲν τὴν δόξαν ἐν τῷ νοεῖσθαι διὰ πραγμάτων ποίου τε καὶ τίνος ἐξέφυ Πατρὸς ὁ Μονογενὴς, ἀντικομιζόμενος δὲ ὥσπερ ἐν τῷ νοεῖσθαι πάλιν τίνος τε καὶ οἵου Πατὴρ ὑπάρχει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ ἀλήθειαν. οὐσιῶδες οὖν ἄρα καὶ φυσικὸν παρὰ μὲν τοῦ Πατρὸς εἰς Υἱὸν, παρὰ δὲ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα δια βήσεται τῆς δόξης τὸ καύχημα. Εἰ δέ τις δοίη τυχὸν καὶ διὰ τὸ τῆς ἐνανθρωπήσεως τα πεινὸν, ἐλάττονά πως ἢ καθ' ἑαυτὸν κἀνθάδε λαλεῖν τὸν Κύριον· κατείθισται γὰρ καὶ τοῦτο αὐτῷ· λογισμοῦ τοῦ πρέποντος ἀμοιρήσει μὲν οὐδαμῶς, τῶν γεμὴν ἐξ ἀκριβείας θεωρημάτων οὐ λίαν ἐφάψεται. εἰ μὲν γὰρ ἐζήτει μόνον αὐτὸς τὴν παρὰ τοῦ Πατρὸς δόξαν, οὐδὲν ἀπεικὸς τοῖς τῆς ἀνθρωπότητος μέτροις τὴν αἴτησιν ἐγκαλεῖν· ἐπειδὴ δὲ καὶ ἀντιδοξάζειν ἐπαγγέλλεται τὸν Πατέρα, πῶς οὐκ ἀναγκαῖον ἤδη φαίνεται τοῖς ἀρτίως ἡμῖν προαποδοθεῖσι θεωρήμασι προθυμότερον ἐπιπηδᾶν;

2.663 **ΚΕΦΑΛΗ Δ.** Ὅτι κατ' οὐδένα τρόπον ἀδικήσει τοῦ Υἱοῦ τὴν δόξαν τὸ εἰληφέναι τι λέγεσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἔχοντος εὐσεβῆ τοῦ πράγματος λόγον. Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσει αὐτοῖς ζωὴν αἰώνιον. ἘΞΗΓΕΙΤΑΙ πάλιν καὶ διὰ τούτων ἡμῖν ὁ Χριστὸς τὸν τῆς δόξης τρόπον, δι' οὗπερ ἂν ὁ μὲν Θεὸς καὶ Πατὴρ εὐκλεᾶ καὶ ἐπιδοξότατον ἀποφανεῖ τὸν ἴδιον Υἱὸν, ἀντιδο ξασθήσεται δὲ καὶ αὐτὸς παρὰ τοῦ ἰδίου γεννήματος. ἐκ πλατύνει δὲ τὸν λόγον καὶ διαφανὲς ἐργάζεται τὸ θεώρημα πρὸς ἡμετέραν οἰκοδομήν τε καὶ ὄνησιν. πάντα γὰρ εἰδότι τῷ Θεῷ καὶ Πατρὶ τίς ἡ τοῦ διδάσκεσθαι χρεία τὸν τῆς αἰτήσεως τρόπον; καλεῖ τοιγαροῦν τὴν παρὰ Πατρὸς εἰς ἡμᾶς εὐμένειαν. ἐπειδὴ γάρ ἐστιν ἀρχιερεὺς τῶν ἡμετέρων ψυχῶν, καθὸ πέφηνεν ἄνθρωπος, καίτοι Θεὸς ὑπάρχων φύσει μετὰ Πατρὸς, τὰς ὑπὲρ ἡμῶν διαλέξεις ποιεῖται πρεπωδέ στατα, πιστεύειν ἡμᾶς ἀναπείθων ὅτι καὶ νῦν ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ παράκλητος δίκαιος, κατὰ τὴν Ἰωάννου φωνήν. διὸ καὶ ὁ Παῦλος τοῦτον ἡμᾶς διακεῖσθαι τὸν τρόπον ἐθελήσας, ἐπιστέλλει "Οὐ γὰρ ἔχομεν ἀρχιερέα "μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρα "μένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας." 2.664 οὐκοῦν ἐπείπερ ἐστὶν ἀρχιερεὺς, καθὸ πέφηνεν ἄνθρωπος, ἐν ταὐτῷ δὲ καὶ ἄμωμον θῦμα προσκεκόμικεν ἑαυτὸν ἀντίλυτρον τῆς ἁπάντων ζωῆς τῷ Θεῷ καὶ Πατρὶ, καθάπερ ἀπαρχήν τινα τῆς ἀνθρωπότητος, "ἵν' ἐν πᾶσι γένηται πρωτεύων," ὡς ὁ Παῦλός φησι· προσκομίζει δὲ πάλιν τὸ ἀποσκιρτῆσαν γένος ἐπὶ τῆς γῆς, αἵματι μὲν τῷ ἰδίῳ καθαρὸν ἀποδείξας, ἀνα μορφώσας δὲ πρὸς καινότητα ζωῆς διὰ τοῦ Ἁγίου Πνεύ ματος. ἐπειδὴ δὲ, καθὰ πολλάκις εἰρήκαμεν, πάντα τελεῖται παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι, πλάττεται τῶν ἀγαθῶν εἰς ἡμᾶς τὴν αἴτησιν, ὡς μεσίτης καὶ ἀρχιερεὺς, καίτοι συν δοτὴρ καὶ συγχορηγὸς ὑπάρχων τῷ ἰδίῳ γεννήτορι τῶν θείων τε καὶ πνευματικῶν χαρισμάτων. διαιρεῖ γὰρ κατ' ἰδίαν βούλησίν τε καὶ ἐξουσίαν οἷσπερ ἂν ἐθέλοι τὸ Πνεῦμα Χριστός. Καὶ ταυτὶ μὲν ἐν τούτοις· τί δὲ δὴ βούλεται δηλοῦν τὸ τῆς αἰτήσεως σχῆμα, δοκιμαζέτω πάλιν ὁ λόγος. "Πάτερ" τοίνυν, φησὶ, "δόξασόν σου τὸν Υἱὸν ἵνα καὶ ὁ Υἱός σου "δοξάσῃ σε." πῶς οὖν ἢ τίνα τρόπον ὅπερ ἔφην διανυ σθήσεται; βούλομαι, φησὶν, ἵνα ὥσπερ δέδωκάς μοι τὴν ἐξουσίαν πάσης σαρκὸς, οὕτω καὶ πᾶν ὃ δέδωκάς μοι ἔχῃ ζωὴν αἰώνιον. ἐδόξασε μὲν γὰρ ὁ Πατὴρ τὸν ἴδιον Υἱὸν, πᾶσαν ὑποθεὶς τὴν ὑφ' ἡλίῳ τοῖς σκήπτροις αὐτοῦ, ἀντεδοξάσθη δὲ καὶ αὐτὸς δι' αὐτοῦ. ὁ μὲν γὰρ Υἱὸς ἐδοξάσθη παρὰ τοῦ Πατρὸς, πιστευθεὶς παρὰ πάντων ὅτι γέννημα καὶ καρπός ἐστι τοῦ πάντα ἰσχύοντος καὶ ἀμογητὶ τὰ πάντα τοῖς τῆς αὐτοῦ βασιλείας ὑποτιθέντος ζυγοῖς, ἀντεδοξάσθη δὲ ὥσπερ παρὰ τοῦ ἰδίου γεννήματος ὁ Πατήρ. ἐπειδὴ γὰρ πάντα ἰσχύον ἐπιτελεῖν εὐκόλως ἐγνώσθη τὸ γέννημα, δια βέβηκε τῆς εὐκλείας ἡ χάρις εἰς τὸν τεκόντα αὐτό. ὥσπερ οὖν, φησὶ, ἐδόξασάς τε καὶ ἐδοξάσθης, δοὺς αὐτῷ τὴν κατὰ πάντων ἐξουσίαν καὶ κυριότητα, κατὰ τὸν εἰρημένον δηλονότι 2.665 τρόπον· οὕτω θέλω ἵνα μηδὲν τῶν δοθέντων ἀπόληται· δόξα γὰρ καὶ αὕτη παρὰ μὲν τοῦ Πατρὸς εἰς τὸν Υἱὸν, παρὰ δὲ τοῦ Υἱοῦ εἰς τὸν Πατέρα διαδραμεῖται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλιν. ἔδει γὰρ ἔδει τὸ ὑπεξούσιον ὅλως καὶ ὑπὸ χεῖρα γεγενημένον τοῦ πάντα ἰσχύοντος Θεοῦ Λόγου, διασεσωσμένον ἅπαξ, καὶ ἐν ἀτελευτήτοις μεῖναι τοῖς ἀγαθοῖς, ὡς μηκέτι μὲν τυραν νεῖσθαι θανάτῳ, μὴ φθορᾷ κρατεῖσθαι καὶ ἁμαρτίαις, ἤγουν ἔτι τοῖς ἀρχαίοις ὑποκεῖσθαι κακοῖς. Ἐπειδὴ δὲ τό Δέδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς θορυ βήσειν εἰκὸς τῶν ἁπλουστέρων τινὰς, φέρε δὴ πάλιν ὀλίγα ἄττα χρησίμως εἰς τοῦτο λέγωμεν, οὐκ ὀκνοῦντες διὰ τὴν χρείαν, εἰ καὶ ἀσθενεῖ πᾶς λόγος εἰς τὴν περὶ τῶν τοιούτων ἐξήγησιν. μάλιστα μὲν γὰρ ἐρεῖ καὶ τοῦτο πρεπόντως ὁ Κύριος τῷ ληφθέντι σχήματι, τῷ τῆς ταπεινώσεως λέγω καὶ τοῖς τῆς ἀνθρωπότητος μέτροις. καὶ δέχου τὸν λογισμόν. εἰ μὲν γὰρ ἐρυθριῶμεν ἀκούοντες ὅτι δοῦλος κεχρημάτικε δι' ἡμᾶς, καίτοι τῶν ὅλων Κύριος ὢν μετὰ τοῦ Πατρὸς, καὶ ὅτι κεχειροτόνηται "βασιλεὺς ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ," καίτοι τὸ κατάρχειν δύνασθαι τῶν ὅλων ἐν ἰδίᾳ φύσει καὶ οὐκ ἐπίκτητον ἔχων, ἐρυθριᾶν ἀκόλουθον κἂν εἴ τι λέγῃ δέχεσθαι πάλιν ὡς ἄνθρωπος. εἰ δὲ θαυμάζομεν ἐν ἐκείνοις τὴν ἑκούσιον ὑποταγὴν, τὸ οὐσιωδῶς ἐμπεφυκὸς οὐκ ἀγνο οῦντες ἀξίωμα, τί μὴ πρὸς ἐκείνοις καὶ τοῦτο τεθαύμασται; πάντα γὰρ ἔχων, ὡς Θεὸς, δέχεσθαί φησιν ὡς ἄνθρωπος, ᾧ τὸ βασιλεύειν, οὐκ οὐσιῶδες, ἀλλὰ δοτόν· "τί γὰρ ἔχεις ὃ "οὐκ ἔλαβες," τοῖς τῶν γενητῶν ἁρμόσει μέτροις· γενητὸς δὲ καὶ ὁ Χριστὸς, καθὸ γέγονεν ἄνθρωπος, καίτοι τὴν φύσιν ἀγένητος ὢν, καθὸ πέφηνεν ἐκ Θεοῦ. πάντα μὲν γὰρ ἐν Θεῷ φυσικῶς τε καὶ ἰδίως τὰ ἀγαθὰ νοεῖταί τε καὶ ἔστι κατὰ ἀλήθειαν, εἰσποιητὰ δὲ ἐν ἡμῖν καὶ διὰ θείας χορηγού μενα χάριτος. ὅταν τοίνυν ὡς ἄνθρωπος εἰς τὴν καθ' ἡμῶν τεθειμένος ἀρχὴν δεδόσθαι λέγῃ παρὰ Πατρὸς τὴν κατὰ 2.666 πάσης σαρκὸς ἐξουσίαν αὐτῷ, σκανδαλιστέον οὐδαμῶς· χρὴ γὰρ ἐννοῆσαι τὴν οἰκονομίαν. εἰ δέ σοι δοκεῖ καὶ θεοπρεπέ στερον ἐπαΐειν τῶν λεγομένων, σύνες δὴ πάλιν ὅπερ ἔφη που πρὸς Ἰουδαίους ὁ Κύριος "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐδεὶς "δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με "ἑλκύσῃ αὐτόν." οὓς γὰρ ἐὰν θέλῃ ζωοποιεῖν ὁ Πατὴρ, τούτους ὡς ἰδίᾳ δυνάμει τῇ ζωοποιῷ προσάγει τῷ ἰδίῳ γεν νήματι, δυναμοῖ δὲ πάλιν καὶ σοφοῖ δι' αὐτοῦ· ἀλλὰ καὶ εἴ τινας ὑπὸ ζεύγλην τῆς ἰδίας ἀρχῆς ποιῆσαι βούλεται πάλιν, αὐτοὺς οὐχ ἑτέρως εἰς τοῦτο καλεῖ, ὡς δὲ διὰ ζώσης ἰσχύος καὶ παντουργοῦ, δι' ἧς κατάρχει τῶν ὅλων, φημὶ δὴ τοῦ ἰδίου γεννήματος. ἄνθρωποι μὲν γὰρ οὐδὲν ἐξ ἑαυτῶν τῶν ὑπὲρ ἑαυτοὺς κατορθοῦν ἰσχύοντες δανείζονται παρὰ Θεοῦ τὸ τῶν ἄλλων δύνασθαι κρατεῖν· δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι, κατὰ τὸ γεγραμμένον, καὶ τύραννοι δι' αὐτοῦ κρατοῦσι γῆς· ὁ δὲ τῶν ὅλων Θεὸς τὸ ἀποσκιρτῆσαν γένος τῆς εἰς αὐτὸν ἀγάπης, καὶ τῆς ὑπ' αὐτῷ βασιλείας τὸν ζυγὸν ἀποτινάξαν, οὐ παρ' ἑτέρου τὸ δύνασθαι λαβὼν, ὑποτίθησιν ἑαυτῷ τὰ πάντα, τῇ ἰδίᾳ δυνάμει τὴν κατ' αὐτῶν ἐξουσίαν οἱονεὶ δωρούμενος, καὶ δι' αὐτῆς χειρούμενος, ὅπερ ἂν ἐθελήσῃ λαβεῖν. ὑπάγει γὰρ ὁ Θεὸς καὶ Πατὴρ ὡς ἰδίᾳ δυνάμει τῷ Υἱῷ· δι' αὐτοῦ δὲ πάντως καὶ οὐχ ἑτέρως πᾶν ὅπερ ἐστὶν ὑποπίπτειν ἐθέλον αὐτῷ διὰ τῆς ὑποταγῆς. ὥσπερ γὰρ τὰ πάντα σοφοῖ καὶ ζωοποιεῖ δι' αὐτοῦ, οὕτω καὶ τῶν ὅλων κατάρχει δι' αὐτοῦ. Σημειωτέον γεμὴν, ὡς οὐκ εἰς μόνον ἔτι τὸν Ἰσραὴλ ἡ τῆς ἄνωθεν φιλανθρωπίας συνεστέλλετο χάρις, ἀλλ' ἐπὶ πᾶσαν ἐξετείνετο σάρκα. τὸ γὰρ ὅλως ὑποτρέχον τοῦ Σωτῆρος τὴν ἐξουσίαν, μεθέξει δὴ πάντως καὶ τῆς παρ' αὐτοῦ ζωῆς τε καὶ χάριτος.

**2.667 ΚΕΦΑΛΗ Ε.** Ὅτι τοῦ εἶναι Θεὸς ἀληθινὸς ὁ Υἱὸς οὐκ ἔξω κείσεται, κἂν μόνον καὶ ἀληθινὸν ὀνομάζῃ Θεὸν τὸν Πατέρα. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. ΜΗΤΕΡΑ τῆς αἰωνίου ζωῆς τὴν πίστιν ὡρίσατο, καὶ τῆς ἀληθοῦς θεογνωσίας τὴν δύναμιν παραίτιον ἔσεσθαί φησι τῆς εἰς αἰῶνα διαμονῆς τῆς ἐν ἀφθαρσίᾳ δηλονότι καὶ μακα ριότητι καὶ ἁγιασμῷ. ἀληθῆ δὲ θεογνωσίαν εἶναί φαμεν, ἣ τῶν ἐγκλημάτων ἀπήλλακται τῆς πρὸς ἕτερόν τι παρατροπῆς καὶ ἐφ' ἃ μὴ προσῆκεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποδρομῆς. λελατρεύκασι γάρ τινες "τῇ κτίσει παρὰ τὸν κτίσαντα," καὶ τῷ ξύλῳ τετολμήκασιν εἰπεῖν "Πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ Σύ με ἐγέννησας." πρὸς γὰρ δὴ τοσοῦτον οἱ δείλαιοι κατώλισθον ἀμαθίας μέτρον, ὡς καὶ ταῖς αἰσθήσεως ἀμοιρούσαις ὕλαις, τὴν θείαν ἁπλῶς ἐπωνυμίαν χαρίσασθαι, καὶ τῆς τὰ πάντα ὑπερκει μένης οὐσίας τὴν ἄῤῥητον περιθεῖναι δόξαν. μόνον οὖν καὶ ἀληθινὸν ὀνομάζει Θεὸν τὸν Πατέρα, τοῖς ψευδωνύμοις ἀντι τιθεὶς, καὶ τοῖς πεπλανημένως ὠνομασμένοις θεοῖς ἀντι παρεξάγων ὥσπερ τὸν ἀληθῆ· σκοπὸς γὰρ οὗτος τῷ λόγῳ. χρησίμως δὲ λίαν ἕνα καὶ μόνον εἰπὼν τὸν Πατέρα, καὶ τῆς ἑαυτοῦ διαμέμνηται δόξης λέγων Καὶ ὃν ἀπέστειλας Ἰησοῦν 2.668 Χριστόν. οὐ γὰρ ἂν ἑτέρως τις ἕλοι τὴν τελείαν τοῦ Πατρὸς γνῶσιν, εἰ μὴ συνειστρέχοι προσεχῶς τε καὶ συνημμένως καὶ ἡ περὶ τοῦ γεννήματος, τουτέστι, τοῦ Υἱοῦ. ἅμα γάρ τις ἔγνω τί ἐστι Πατὴρ, ἔγνω δὴ πάντως καὶ τὸν Υἱόν. ἕνα τοιγαροῦν καὶ ἀληθινὸν εἰπὼν τὸν Πατέρα καὶ Θεὸν, οὐκ ἔξω τέθεικεν ἑαυτόν. ὢν γὰρ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ κατὰ φύσιν, ἀληθινὸς ἔσται καὶ αὐτὸς, καὶ μόνος ἐν μόνῳ· παρ' αὐτὸν γὰρ ἕτερος οὐδεὶς Θεὸς ἀληθινὸς ἔσται καὶ μόνος. "Οἱ γὰρ "θεοὶ τῶν ἐθνῶν δαιμόνια·" δούλη δὲ καὶ ἡ κτίσις, ἣν οὐκ οἶδ' ὅπως προσκυνοῦσί τινες, εἰς ἀδόκιμόν τε καὶ λίαν ἐμ παθῆ κατασυρόμενοι γνώμην. πολλοῖς οὖσιν ἄρα τοῖς ἐν τῷδε τῷ κόσμῳ νομισθεῖσιν ἐξ ἀπάτης εἶναι θεοῖς, καὶ νόθην λαχοῦσι τὴν ἐπωνυμίαν, ὁ μόνος καὶ ἀληθινὸς ἀντανίσταται Θεὸς, ὁ ἐν αὐτῷ τε καὶ ἐξ αὐτοῦ κατὰ φύσιν Υἱὸς, διῃρη μένως τε ἅμα καὶ συμφυῶς καθ' ἑνότητα φυσικήν. διῃρη μένως μὲν γάρ· διὰ τὸ ἐν ὑπάρξει νοεῖσθαι τῇ καθ' ἑαυτόν· υἱὸς γάρ ἐστιν ὁ Υἱὸς καὶ οὐχὶ Πατήρ· συμφυῶς δὲ πάλιν, ὅτι τῇ τοῦ τεκόντος ὑπάρξει συμπαρομαρτήσει δὴ πάντως ὁ ἐξ αὐτοῦ κατὰ φύσιν. ἅμα γὰρ Πατὴρ καὶ Υἱὸς, εἴπερ ἐστί τε καὶ λέγεται διὰ τοῦτο Πατὴρ, ἐπειδὴ νοεῖται γεγεννηκώς. Αὕτη τοίνυν ἐστί φησιν ἡ αἰώνιος ζωὴ ἵνα γινωσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. ἆρ' οὖν· ἐρεῖ τις τῶν φιλακροαμόνων, οἷς τὸ μὴ παρέργως τοῖς θείοις δόγμασιν ὁμιλεῖν ἐσπούδασται· τὴν γνῶσιν εἶναί φαμεν τὴν αἰώνιον ζωὴν, ἐξαρκέσει δέ τισι τὸ εἰδέναι τὸν ὄντως τε καὶ φύσει ἀληθῶς ὄντα Θεὸν εἰς τὸ πᾶσαν ἔχειν τῆς ἐλπίδος τὴν ἀσφάλειαν, δεήσεται δὲ τῶν ἄλλων οὐδενός; εἶτα πῶς ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι; πίστιν δὲ ὅταν λέγω μεν, τὴν ἀληθῆ περὶ τοῦ Θεοῦ γνῶσιν καὶ οὐχ ἕτερόν τι σημαίνομεν· διὰ γὰρ τοῦ πιστεύειν ἡ γνῶσις· καὶ μαρτυ ρήσει λέγων ὁ προφήτης Ἡσαΐας πρός τινας "Ἐὰν γὰρ μὴ 2.669 "πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε." ὅτι δὲ τὴν ἐν ψιλοῖς θεωρήμασι γνῶσιν, χρῆμα παντελῶς ἀνόνητον αἱ τῶν ἁγίων ἡμῖν ἀποφαίνουσι συγγραφαὶ, συνήσειν οἶμαι κἀντεῦθεν. ἔφη γάρ που τις τῶν ἁγίων μαθητῶν "Σὺ πιστεύεις ὅτι εἷς "ἐστιν ὁ Θεὸς, καλῶς ποιεῖς, καὶ δαιμόνια πιστεύουσι, καὶ "φρίσσουσι." τί οὖν ἐροῦμεν πρὸς ταῦτα; πῶς ἀληθεύσει Χριστὸς, ζωὴν αἰώνιον εἶναι λέγων τὸ γνῶναι τὸν ἕνα καὶ ἀληθῆ Πατέρα καὶ Θεὸν, καὶ σὺν αὐτῷ τὸν Υἱόν; ἀλλ' οἶμαι δὴ δεῖν πρὸς τοῦτο εἰπεῖν, ὅτι δὴ πάντως ἀληθὴς ἔσται τοῦ Σωτῆρος ὁ λόγος· ζωὴ γὰρ ἡ γνῶσις, ὡς ὅλην ὠδίνουσα τοῦ μυστηρίου τὴν δύναμιν, καὶ εἰσκομίζουσα μὲν τῆς μυ στικῆς εὐλογίας τὴν μέθεξιν, δι' ἧς τῷ ζῶντι καὶ ζωοποιῷ προσοικειούμεθα Λόγῳ. σύσσωμα γὰρ καὶ συμμέτοχα τοῦ Χριστοῦ διὰ ταύτην οἶμαι τὴν αἰτίαν καὶ ὁ Παῦλος τὰ ἔθνη γενέσθαι φησὶν, ἅτε δὴ καὶ μετεσχηκότα τῆς ἁγίας αὐτοῦ σαρκός τε καὶ αἵματος. νοηθείη δ' ἂν οὕτω καὶ μέλη Χρι στοῦ τὰ ἡμέτερα μέλη. ζωὴ τοιγαροῦν ἡ γνῶσις εἰσκομί ζουσα πρὸς τούτῳ τὴν διὰ τοῦ Πνεύματος εὐλογίαν. κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν, ἀναμορφοῦν εἰς υἱοθεσίαν τοὺς δεχομένους αὐτὸ, καὶ ἀναπλάττον εἰς ἀφθαρσίαν καὶ εὐσέ βειαν διὰ πολιτείας εὐαγγελικῆς. πρόξενον τοίνυν καὶ οἱονεὶ προμνήστριαν τῶν εἰρημένων ἀγαθῶν, τὴν εἰς Θεὸν τὸν ἕνα καὶ ἀληθινὸν ἐπιστάμενος γνῶσιν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ζωὴν εἶναί φησιν αὐτὴν τὴν αἰώνιον ἅτε δὴ καὶ μητέρα καὶ τροφὸν τῆς αἰωνίου ζωῆς, ὠδίνουσαν ὥσπερ ἐν ἰδίᾳ δυνάμει καὶ φύσει τὰ τῆς ζωῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἴτια καὶ εἰς αὐτὴν ἀποφέροντα. Οἶμαι δὲ δεῖν ἐπιτηρῆσαι φιλομαθῶς, κατὰ τίνα τρόπον ἐν ἡμῖν εἴρηκεν ὁ Χριστὸς τὴν τελειοτάτην ἀποπληροῦσθαι γνῶσιν τοῦ μόνου καὶ κατὰ ἀλήθειαν ὄντος Θεοῦ. θέα γὰρ ὅπως οὐ δίχα τῆς ἐφ' Υἱῷ θεωρίας γίγνεται, δῆλον δὲ ὅτι 2.670 καὶ τοῦ Ἁγίου Πνεύματος· ἡ μονὰς γὰρ οὕτως ἐν Τριάδι νοεῖται καὶ πιστεύεται κατὰ τὰς γραφάς. Ἰουδαῖοι μὲν γὰρ ταῖς διὰ Μωυσέως ἐντολαῖς πρὸς ἀπόστασιν ποδηγούμενοι τῶν πολλῶν τε καὶ ψευδωνύμων, προσήεσάν τε καὶ λατρεύειν ἀνεπείθοντο τῷ μόνῳ καὶ ἀληθινῷ. "Κύριον γὰρ τὸν Θεόν "σου προσκυνήσεις, ὁ νόμος φησὶ, καὶ αὐτῷ μόνῳ λατρεύ "σεις." ἀλλ' οἱ τῷ μόνῳ καὶ ἀληθινῷ λελατρευκότες τε ἤδη καὶ προσκείμενοι, ὡς οὔπω τελείαν ἔχοντες τοῦ προσκυ νουμένου τὴν γνῶσιν, διὰ τῶν τοῦ Σωτῆρος ἡμῶν ῥημάτων καλοῦνται νυνὶ πρὸς αὐτὴν, οὐχ ὅτι μόνος, εἷς τε καὶ ἀληθὴς ὁ πάντων δημιουργὸς μανθάνοντες, ἀλλ' ὅτι καὶ Πατὴρ καὶ τίνα γεγέννηκε, μᾶλλον δὲ ἤδη καὶ ἀκριβῶς αὐτὸν ἐν ἀπαρ αλλάκτῳ θεωρήσαντες εἰκόνι, τουτέστι, τῷ Υἱῷ. διὰ γὰρ τοῦ χαρακτῆρος ἴοι τις ἂν καὶ μάλα ῥᾳδίως ἐπὶ τὴν τῶν ἀρχετύ πων ἀκραιφνῆ θεωρίαν. ἀναγκαιότατα τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοὺς διὰ πίστεως κεκλημένους εἰς υἱοθε σίαν καὶ ζωὴν αἰώνιον, οὐ μόνον ἔφη χρῆναι μαθεῖν, ὅτι μόνος ἐστὶ καὶ ἀληθινὸς ὁ Θεὸς, ἀλλ' ὅτι καὶ Πατὴρ, καὶ τίνος ἐστὶ Πατὴρ, τοῦ δι' ἡμᾶς δηλονότι σαρκὸς γεγονότος, ἀπεσταλμένου τε πρὸς ἐπανόρθωσιν τῆς κατεφθαρμένης φύσεως λογικῆς, τουτέστι τῆς ἀνθρωπότητος.

2.671 **ΚΕΦΑΛΗ ς.** Ὅτι δόξης τῆς θεοπρεποῦς οὐ γυμνὸς ἦν ὁ Υἱὸς κἂν εὑρίσκηται λέγων πρὸς τὸν Πατέρα Καὶ νῦν δόξασόν με τῇ δόξῃ ᾗ εἶχον, καὶ τὰ ἑξῆς. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω αὐτό. καὶ νῦν δόξασόν με σὺ Πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. ἈΝΑΠΛΕΚΕΙ πάλιν τῷ θεοπρεπεῖ τὸ ἀνθρώπινον, καὶ μέμικταί πως ὁ λόγος, ἐπ' ἄμφω βλέπων, οὔτε λίαν ἐξαίρων εἰς ὁλόκληρον ἐξουσίαν τε καὶ δόξαν τὴν θεοπρεπῆ τὸ τοῦ λέγοντος πρόσωπον, οὔτε μὴν εἰσάπαν τοῖς τῆς ἀνθρωπό τητος μέτροις ἐνιζάνειν ἐῶν, ἀλλ' ἕν τι τὸ ἐξ ἀμφοῖν ἀνακε ραννὺς, οὐδενὸς τῶν εἰρημένων ἀπηλλαγμένον. ᾤετο γὰρ δεῖν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὐχ ὅτι μόνον ἐστὶ Θεὸς Μονογενὴς ἐκπαιδεύειν τοὺς πεπιστευκότας, ἀλλ' ὅτι καὶ δι' ἡμᾶς γέγονεν ἄνθρωπος, ἵνα πάντας κατακτήσηται τῷ Θεῷ καὶ Πατρὶ, καὶ ἀναμορφώσῃ πρὸς καινότητα ζωῆς ἐκπριάμενος αἵματι τῷ ἰδίῳ τὴν ἀνθρωπότητα, καὶ τῆς ἁπάντων προκινδυνεύσας ζωῆς, εἷς ὁ πάντων ἀξιώτερος· δοξάσαι τοίνυν φησὶν ἐπὶ τῆς γῆς τὸν Πατέρα, τελειώσας τὸ ἔργον ὃ δέδωκεν αὐτῷ. Καὶ φέρε δὴ πάλιν, διπλῆν ὥσπερ τινὰ τοῖς περὶ τούτων 2.672 θεωρήμασιν ἐπινοοῦντες τρίβον, ἀνθρωπίνως τε λέγωμεν καὶ θεοπρεπῶς εἰρῆσθαι καὶ τοῦτο. εἰ μὲν οὖν ὡς ἄνθρωπος τὰ τοιαῦτα λέγοι, παραδέξῃ τοιῶσδε Τύπος ἡμῖν καὶ ἀρχὴ καὶ εἰκὼν τῆς ἐνθέου πολιτείας κατέστη Χριστὸς, ὅπως τε καὶ τίνα τρόπον ἡμᾶς διαζῆν ἀκόλουθον, παρέδειξε σαφῶς· διὰ γάρ τοι τοῦτο λεπτοτάτην ἐπ' αὐτῷ ποιοῦνται τὴν ἐξήγησιν οἱ τῶν θείων συγγραμμάτων δημιουργοί. παιδεύει τοίνυν ἡμᾶς καὶ δι' ὧν ἐνθάδε φησὶν, ὅτι τὴν τεταγμένην αὐτῷ λειτουργίαν ἕκαστος ἡμῶν ἀποπληρῶν, καὶ διεξάγων εἰς τέλος τὰ κεκελευσμένα παρὰ Θεοῦ, τότε δὴ πάντως αὐτὸν διὰ τῶν ἰδίων δοξάζει κατορθωμάτων, οὐχ ὡς μὴ ἔχοντι προστιθείς· πλήρης γὰρ δόξης ἡ θεία τε καὶ ἄῤῥητος φύσις· ἀλλ' ὅτι πρὸς τῶν ὁρώντων τε καὶ ὠφελουμένων δοξολο γεῖσθαι ποιεῖ· καὶ γοῦν ὁ Σωτήρ "Λαμψάτω, φησὶ, τὸ φῶς "ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ "ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς "οὐρανοῖς." ἀνδριζόμενοι γὰρ καὶ ἀγαθουργεῖν ἐθέλοντες διὰ Θεὸν, τὴν ἐντεῦθεν εὔκλειαν οὐχὶ ταῖς οἰκείαις μνηστευ όμεθα κεφαλαῖς, ἀλλὰ τῇ τοῦ πάντων κρατοῦντος τιμῇ τε καὶ δόξῃ τὴν εὐφημίαν πραγματευόμεθα. ὥσπερ γὰρ ὅτε τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπᾴδουσαν τῷ Θεῷ καὶ βδελυρωτάτην ζωὴν ἐπιτηδεύ οντες, ὡς τὴν ἄῤῥητον αὐτοῦ παραλύοντες δόξαν, εὐθυνόμεθά τε δικαίως καὶ τιμωρίαις ἔνοχον τὴν οἰκείαν ἀποτελοῦμεν ψυχὴν, διὰ τῆς τοῦ προφήτου φωνῆς ἀκούοντες "Δι' ὑμᾶς "διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι·" κατὰ τὸν αὐτὸν οἶμαι λόγον, ὅτε περιφανεστάτην ἐξανύομεν ἀρετὴν, τότε δὴ πάντως καὶ δοξολογεῖσθαι παρασκευάζομεν. ἀποπληρώσαντες τοίνυν τὸ δοθὲν ἡμῖν ἔργον παρὰ Θεοῦ, τότε καὶ μάλα δικαίως εἰς τὴν τοῖς γνησίοις πρεπωδεστάτην ἀναβαίνοντες παῤῥησίαν, τὴν ἴσην ὥσπερ ἀνταπαιτήσομεν δόξαν παρὰ τοῦ πρὸς ἡμῶν δοξασθέντος Θεοῦ "Ζῶ γὰρ 2.673 "ἐγὼ λέγει Κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω, καὶ "ὁ ἐξουθενῶν με ἐξουθενηθήσεται." ἵνα τοίνυν ἀποδείξῃ Χριστὸς, ὅτι πρεπόντως δὴ τότε τὴν παρὰ τοῦ μόνου δόξαν ἀπαιτήσομεν, τὴν εἰς αἰῶνά φημι τὸν μέλλοντα, ὅταν αὐτῷ τὴν εἰς ἅπαν ὑποταγὴν ἀνυπαίτιον ἐπιδείξωμεν, καὶ τῶν παρ' αὐτοῦ προστεταγμένων ἀκμαιότατοι φύλακες εὑρισκώμεθα, δοξάσαι μὲν αὐτὸς τὸν Πατέρα φησὶ, τὸ ἔργον τελειώσας ἐπὶ τῆς γῆς, ὃ δέδωκεν αὐτῷ· ζητεῖ γεμὴν ἀντικομίζεσθαι καὶ αὐτὸς οὐκ ἀλλοτρίαν οὐδὲ ἐπακτὴν, καθάπερ ἡμεῖς, τὴν ἰδίαν δὲ μᾶλλον εὔκλειάν τε καὶ δόξαν. ἔδει γὰρ ἐκεῖνο ἡμᾶς μὲν αἰτεῖν, αὐτὸν δὲ οὐκέτι. θέα δὲ ὅπως τὴν ἐπ' ἄμφω παῤῥη σίαν ἐν ἑαυτῷ πάλιν καὶ δι' ἑαυτοῦ τῇ ἡμετέρᾳ φύσει καινοτομεῖ. ἐν αὐτῷ γὰρ πρώτῳ καὶ δι' αὐτοῦ πεπλουτή καμεν καὶ τὸ δύνασθαι πληροῦν τὰ πρὸς κατόρθωσιν ἡμῖν ἐγκεχειρισμένα παρὰ Θεοῦ, καὶ τὸ χρῆναι λοιπὸν ἐκ παῤῥη σίας τὴν τοῖς εὐδοκιμοῦσι χρεωστουμένην αἰτῆσαι τιμήν. πάλαι μὲν γὰρ διὰ τὴν ἐφ' ἡμᾶς βασιλεύσασαν ἁμαρτίαν, καὶ τὴν γενομένην ἀπόστασιν ἐν Ἀδάμ, οὔτε τὸ δύνασθαί τι κατορθοῦν τῶν τελούντων εἰς ἀρετὴν ἐκεκτήμεθα, ἀλλὰ καὶ παῤῥησίας τῆς πρὸς Θεὸν ὡς πορρωτάτω ἦμεν. καὶ γοῦν εἰς ταύτην ἡμᾶς ἀνακομίζων Θεὸς ἐκ πολλῆς ἄγαν τῆς ἡμερότητος διὰ τῆς τοῦ προφήτου φωνῆς παρεμυθεῖτο λέγων "Μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς ὅτι ὠνει "δίσθης." ὥσπερ οὖν ἐν τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς καὶ ἀπαρχὴ καὶ θύρα καὶ ὁδὸς γέγονεν ἡμῖν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὕτω κἀνθάδε. Εἰ δὲ τὴν ἰδίαν τε καὶ προκόσμιον δόξαν ὁ Σωτὴρ ἐπι ζητεῖ, καὶ εἰς τύπον τὸν καθ' ἡμᾶς τὴν τοῦ θεωρήματος περιενεγκόντες δύναμιν, σὺν πολλῇ τῇ προθυμίᾳ κατεργά ζεσθαι δεῖν καὶ ἡμᾶς αὐτοὺς διαβεβαιούμεθα τὸ δοκοῦν τῷ Θεῷ, δόξαν δὲ οὕτω τὴν ἄνωθεν ἐκ παῤῥησίας αἰτεῖν· οἰέσθω 2.674 μηδεὶς ἐκεῖνο λέγειν ἡμᾶς, ὅτι προσήκοι τὸν ἄνθρωπον κατὰ μίμησιν τοῦ Χριστοῦ, προκόσμιόν τινα καὶ ἀρχαίαν ὡς ὀφειλομένην καὶ αὐτῷ δόξαν ἐπιζητεῖν· ἐννοείτω δὲ μᾶλλον ὅτι τὸ ἑκάστῳ πρέπον, αὐτῷ καὶ λέγειν ἁρμοδιώτατον. εἰ μὲν γὰρ μόνον ἐν Χριστῷ νοεῖται τὸ ἀνθρώπινον καθ' ἡμᾶς, λαλείτω δὴ μόνα καὶ τὰ τοῖς γηγενέσι πρέποντα, καὶ τὸ ἀνθρώπινον μὴ παρεξίτω μέτρον· εἰ δὲ Θεὸς ὢν ὁ Λόγος γέγονε σὰρξ, ὅταν τι λέγῃ καὶ θεοπρεπῶς, αὐτῷ μὲν ἁρμόσει μόνῳ, τοῖς δὲ μὴ κατ' αὐτὸν, οὐκέτι. Οὐκοῦν νοοῦντες ἀνθρωπινώτερον κατὰ τὴν ἀρτίως ἡμῖν ἀποδοθεῖσαν διάνοιαν, τὴν τῶν προκειμένων ἐκληψόμεθα δύναμιν· ἀναλογιζόμενοι δὲ πάλιν τὸ θεοπρεπὲς ἀξίωμα τοῦ Χριστοῦ, μεῖζόν τι λοιπὸν ἢ κατὰ ἀνθρώπου φύσιν ἐννο οῦμεν εἰκότως. δοξάσαι τοίνυν φαμὲν τὸν ἑαυτοῦ Πατέρα Θεὸν, πεπληρωκότα τὸ ἔργον ὅπερ ἔλαβε παρ' αὐτοῦ, οὐχ ὡς ὑπηρέτην ἢ ὡς ἐν τάξει γεγονότα τῇ ὑπουργικῇ, καὶ τοῦτο ὡς ἐξ ἀνάγκης, ἵνα μὴ φαίνηται καὶ ὁ πάντων Κύριος ἐν μέτρῳ τῷ καθ' ἡμᾶς καὶ τῆς δουλευούσης κτίσεως· ἀν θρώπων γὰρ ἢ ἀγγέλων τὸ οἰκετικῶς ὑποτάττεσθαι καὶ τοῖς θείους νεύμασι δουλοπρεπῶς ὑπουργεῖν· ἀλλ' ὅτι δύ ναμις ὑπάρχων καὶ σοφία τοῦ γεννήσαντος αὐτὸν, εὖ μάλα πεπλήρωκεν ἐγχειρισθεῖσαν ὥσπερ αὐτῷ τὴν τῶν καθ' ἡμᾶς ἐπανόρθωσιν, καθάπερ ἀμέλει καὶ ὁ θεῖος ἡμῖν μελῳδὸς ἐν Πνεύματι τὴν τοῦ μυστηρίου δύναμιν ἐξηγούμενος ἔφασκεν " Εντειλαι ὁ Θεὸς τῇ δυνάμει σου, δυνάμωσον ὁ Θεὸς "τοῦτο ὃ κατηρτίσω ἡμῖν·" ἵνα γὰρ ἀπελέγξῃ σαφῶς δύναμιν μὲν οὖσαν τοῦ Πατρὸς τὸν Υἱὸν, οὐχ ἕτερον γε μὴν ὄντα παρ' αὐτὸν, ὅσον εἰς ταυτότητά



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φημι τὴν ἐν οὐσίᾳ καὶ φύσει, πρότερον εἰρηκὼς τό Ἔντειλαι τῇ δυνάμει σου, καὶ προσώπων δυάδα παρενεγκὼν, τοῦ τε ἐντελλομένου φημὶ 2.675 καὶ πρὸς ὃν ἡ ἐντολὴ, παραχρῆμα πρὸς ἑνότητα συνάπτει τὴν φυσικὴν, ὁλοκλήρως τῇ θείᾳ τε καὶ ἀῤῥήτῳ φύσει τὴν τοῦ πράγματος ἔκβασιν ἀνατιθεὶς, διὰ τοῦ πανσόφως εἰπεῖν Δυνάμωσον ὁ Θεὸς τοῦτο ὃ κατηρτίσω ἡμῖν. ἐγχειρίζεται τοίνυν ἤτοι δέχεται παρὰ τοῦ ἰδίου Πατρὸς τὸ καθ' ἡμᾶς ἔργον ὁ Υἱός. κατὰ τίνα δὲ τρόπον ἢ πῶς ἐντέλλεται τῇ ἰδίᾳ δυνάμει Θεὸς, περιαθρῆσαί τε καὶ εἰπεῖν ἀναγκαῖον, ὡς ἂν ἐνδέχηται κατά γε τὸ ἀνθρωπίνως διερμηνεῦσαι τὰ ὑπὲρ νοῦν. ὑποκείσθω τοιγαροῦν ἀνήρ τις τῶν καθ' ἡμᾶς, καὶ τοῦτον εἶναι πιστεύωμεν τέχνης ἐπιστήμονα τῆς χαλκευ τικῆς· εἶτα πρὸς ἀνδριάντος ἐκτύπωσιν, ἤγουν ἤδη παθόντος καὶ λελωβημένου, τετράφθαι πρὸς ἐπανόρθωσιν. πῶς οὖν ἐργάσεται, κατορθώσει δὲ ὅπως τὸ δοκοῦν; ἐπιτρέψας δη λονότι τῇ δυνάμει τῶν ἰδίων χειρῶν καὶ σοφίᾳ τῇ κατὰ τὴν τέχνην, τὴν ἐφ' οἷς ἂν ἕλοιτο δρᾶν ἀποπλήρωσιν. ἀλλ' εἰ καὶ ταῖς ἐπινοίαις ὥσπερ ἕτερόν τι παρ' αὐτὸν διαφαίνεσθαι δοκεῖ πως ἥ τε σοφία καὶ ἡ δύναμις αὐτοῦ, ἀλλ' οὐχ ἕτεραι παρ' αὐτὸν ἂν εἶεν. ἐν γὰρ τῷ τῆς οὐσίας λόγῳ καὶ ταῦτα κεκτήσεται. καὶ νοήσεις μέν τι τοιοῦτον ἐπὶ Θεοῦ, δέξῃ γεμὴν οὐκ εἰσάπαν ἐμφερῆ τὴν τοῦ παραδείγματος δύναμιν. Θεὸς γὰρ ὁ ὑπὲρ πάντα, καὶ ὑπὲρ τοῦτο νοηθήσεται. ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος, ἐν εἴδει καὶ τρόπῳ ληφθεὶς παρα δείγματος ἐπί τε ἡλίου καὶ πυρός. ἐντέλλεται μὲν γὰρ οἱονεὶ καὶ ὁ ἥλιος τῷ ἐξ αὐτοῦ προχεομένῳ φωτὶ καταλαμπρῦναι τὰ σύμπαντα· ἔργον δὲ ὥσπερ τῇ τῶν ἀκτίνων ἐνεργείᾳ δίδωσι τὴν τῆς θερμότητος δύναμιν τοῖς αὐτὴν δεχομένοις ἐμβαλεῖν· ὁμοίως δὲ καὶ τὸ πῦρ ἐντέλλεταί τε καὶ ἐπιτρέπει τρόπον τινὰ τῇ τῆς οἰκείας φύσεως ἰδιότητι τὰ αὐτῇ πρέ ποντα πληροῦν· ἀλλ' οὐ παρὰ τοῦτό φαμεν ἐν ὑπουργίας τάξει τῆς δουλοπρεποῦς τὴν ἀκτῖνα μὲν καὶ τὸ φῶς τῷ ἡλίῳ, 2.676 τὴν δὲ καυστικὴν ἐνέργειαν γενέσθαι τῷ πυρί. ἐνεργεῖ μὲν γὰρ ἑκάτερον δι' ὧν ἔχει φυσικῶς τὰ οἰκεῖα. ἀλλ' εἰ καὶ φαίνεταί πως οὐκ αὐτουργὰ, πλὴν οὐχ ἕτερα παρὰ τὰ ἐξ αὐτῶν φυσικῶς. τοιοῦτόν τι νοήσεις ἐπί τε Θεοῦ καὶ Πατρὸς καὶ τοῦ κατὰ φύσιν ἐξ αὐτοῦ γεννηθέντος Λόγου, ὅταν τι τῶν καθ' ἡμᾶς ἐγχειρίζεσθαι λέγηται. Ἐδόξασε τοίνυν ἐπὶ τῆς γῆς τὸν Πατέρα καὶ Θεὸν ἡ σοφία καὶ ἡ δύναμις αὐτοῦ, τουτέστιν ὁ Χριστὸς, τελειώσας τὸ ἔργον ὃ δέδωκεν αὐτῷ. ἐπειδὴ δὲ εἰς πέρας ἤδη τὸ αὐτῷ πρέπον τὸ ἔργον ἐκτελευτᾷ, τὴν αὐτῷ προσοῦσαν ἀεὶ δόξαν αἰτεῖ, καὶ τῆς ἀρχαιοτάτης εὐκλείας τὴν ἐπανάληψιν καιροῦ καλοῦντος ἤδη ζητεῖ. καὶ ποῖον ἄρα πεπλήρωκεν ἔργον, δι' οὗ δοξάσαι φησὶ τὸν Πατέρα; Θεὸς γὰρ ὑπάρχων ἀληθινὸς, εὐδοκίᾳ καὶ θελήσει τοῦ Πατρὸς γέγονεν ἄνθρωπος, ὅλην ἀνασῶσαι τὴν οἰκουμένην, ἀνακαινίσαι τε πρὸς ζωὴν τὴν ἀπέραντον καὶ θεογνωσίαν τὴν ἀληθῆ τὸ διολισθῆσαν γένος ἐπὶ τῆς γῆς προθυμούμενος· ὃ δὴ καὶ πεπέρασται δυνάμει καὶ ἐξουσίᾳ θεοπρεπεῖ τοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, ἀνατρέψαντος δὲ τὴν τοῦ διαβόλου πλεονεξίαν, καὶ καθελόντος μὲν τὴν ἁμαρτίαν, καὶ ἀγάπην τὴν εἰς ἡμᾶς ἀσύγκριτον ἐπιδείξαντος, διὰ τοῦ πᾶσιν ἀνεῖναι τὰ ἐγκλή ματα καὶ φωτίσαι τοὺς πεπλανημένους, συνέντας ἤδη Θεὸν τὸν ἕνα καὶ ἀληθινόν. κατορθώσαντος τοίνυν ἰδίᾳ δυνάμει τὰ τοιαῦτα Χριστοῦ, δεδόξασται παρὰ πάντων ὁ Πατὴρ, συνέντων δηλονότι τῶν ἐν κόσμῳ πάντων τήν τε σοφίαν καὶ τὴν δύναμιν καὶ τὴν ἐνυπάρχουσαν αὐτῷ γαληνότητα καὶ φιλανθρωπίαν. διέλαμψε γὰρ καὶ πεφανέρωται λοιπὸν ὡς ἐν εἰκόνι καὶ χαρακτῆρι τῆς ἰδίας φύσεως τῷ Υἱῷ, καὶ ἀπὸ τοῦ καρποῦ τὸ δένδρον ἐγνώσθη, κατὰ τὸ γεγραμμένον. τετελεσμένων δὲ ἤδη τῶν ἔργων, καὶ εἰς πέρας ἥκοντος τὸ πρέπον αὐτῷ τοῦ καθ' ἡμᾶς οἰκονομηθέντος καλῶς, εἰς τὴν οἰκείαν ἐπάνεισι δόξαν καὶ τῆς ἀρχαίας εὐκλείας ἐπιλαμβά 2.677 νεται. πλὴν ὡς ἔτι τὴν ἀνθρώπου μορφὴν περικείμενος, τὸ τῆς αἰτήσεως πλάττεται σχῆμα, καὶ ὡς οὐκ ἔχων αἰτεῖ· πάντα γὰρ ἀνθρώπῳ παρὰ Θεοῦ. εἰ γὰρ καὶ ὅτι μάλιστα, καθὸ Θεὸς ἐκ Θεοῦ γεγέννηται Πατρὸς, δόξης τῆς θεοπρε ποῦς οὐκ ἔρημος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἦν, ἀλλ' ἐπείπερ ἐν καιρῷ τῆς καθ' ἡμᾶς οἰκονομίας συνέστειλέ πως αὐτὴν, τὸ ἀδοξότατον τουτὶ σῶμα λαβὼν, ὡς ἀποῦσαν ἀληθῶς εὐλόγως ἐπιζητεῖ, καὶ τοῦτο λέγων ὡς ἄνθρωπος. τοιοῦτον δέ τι συνεὶς καὶ αὐτὸς ἡμῖν ὁ σοφὸς ἐπιστέλλει Παῦλος περὶ αὐτοῦ "Τοῦτο γὰρ "φρονείτω, φησὶν, ἕκαστος ὑμῶν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, "ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ "εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λα "βὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι "εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπή "κοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς "αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ "πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ "κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ "πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χρι "στὸς εἰς δόξαν Θεοῦ Πατρός." ὑψηλὸν γὰρ ὄντα τὸν Υἱὸν, καθὸ πέφηνεν ἐξ αὐτοῦ Θεὸς δηλονότι καὶ Κύριος, οὐδὲν ἧττον ὡς ἄνθρωπον ὑψῶν ἀναγέγραπται, ᾧ τὸ τῆς ἰδίας φύσεως ταπεινὸν τὸ δεῖσθαι πάντως ὑψοῦσθαι περι ποιεῖται. δόξης οὖν ἄρα τῆς ἰδίας τὴν ἐπανάληψιν καὶ μετὰ σαρκὸς ἀπαιτεῖ· καὶ οὐχὶ πάντως τῆς ἑαυτοῦ δόξης ἔρημος ὢν, εἰ καὶ μὴ λάβοι τυχὸν τὰ τοιαῦτά φησιν· οὐ γὰρ ἔξω τῶν ἰδίων ἀξιωμάτων ὁ Λόγος ἦν πώποτε Θεὸς ὑπάρχων ἀληθινός· ἀλλ' ὡς εἰς δόξαν τὴν αὐτῷ προσοῦσαν ἀεὶ καὶ αὐτὸν τὸν ἴδιον ἀναφέρων ναὸν, μᾶλλον δὲ μετὰ τῆς ἰδίας ἑαυτὸν ἀνακομίζων σαρκὸς, δι' ἣν ἡ μεταξὺ παρηκολούθησεν ἀδοξία. ἵνα γὰρ μὴ δοκοίη τισὶ τὴν ἀτριβῆ τε καὶ ξένην καὶ οὐ πάλαι κατειθισμένην αὐτῷ δόξαν αἰτεῖν, προκόσμιον 2.678 οὖσαν αὐτὴν ἀποφαίνει καὶ παρ' αὐτῷ τῷ Πατρί. οὐ γὰρ ἔξω ποτὲ τῆς τοῦ Πατρὸς εὐκλείας γέγονεν ὁ Υἱὸς, ἀεὶ συμβασιλεύων καὶ συνυμνούμενος καὶ συμπροσκυνούμενος πρός τε ἡμῶν καὶ τῶν ἁγίων ἀγγέλων, ὡς Θεὸς ἐκ Θεοῦ καὶ ἐν Θεῷ καὶ μετὰ Θεοῦ. τοῦτο γὰρ οἶμαι διδάσκων καὶ ὁ θεσπέσιος Εὐαγγελιστὴς Ἰωάννης ἐπιλέγει "Ἐν ἀρχῇ ἦν ὁ "Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ "Λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν."

**2.679 ΚΕΦΑΛΗ Ζ.** Ὅτι τὸ λέγεσθαί τι δεδόσθαι τῷ Υἱῷ παρὰ τοῦ Πατρὸς, οὐκ ἐξοικιεῖ τῆς θεοπρεποῦς ἀξίας αὐτὸν, ἀλλ' ὢν ὁμοούσιός τε καὶ ἐξ αὐτοῦ διαφαίνεται καὶ εἰ λέγεταί τι λαβεῖν. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι· νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοί εἰσιν, ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. ΦΘΑΣΑΣ ἤδη προεῖπον ἐν τοῖς ἔναγχος ἡμῖν οὐκ ἀβα σανίστως, ὥς γε μοι φαίνεται, προεξητασμένοις, ὅτι θεοπρε πῶς τε ἅμα καὶ ἀνθρωπίνως τὴν πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα διάλεξιν ἐποιεῖτο Χριστός. διακυβερνᾷ γὰρ ἐπ' ἄμφω τὸν λόγον, οὔτε τῶν τῆς ἀνθρωπότητος ὅρων εἰσάπαν εἴσω τιθεὶς, οὔτε μὴν ὁλοτρόπως τῆς θεοπρεποῦς ἁπτόμενον δόξης· ἀλλ' οὐδὲν ἧττον κἀνθάδε πάλιν ἡμῖν ὁ αὐτὸς τετή ρηται χαρακτήρ. ὡς μὲν γὰρ Θεὸς κατὰ φύσιν, καὶ τῆς ἀῤῥήτου φύσεως χαρακτὴρ πρὸς τὸν ἑαυτοῦ Πατέρα φησίν Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, ἀντὶ τοῦ τὴν δόξαν εἰπεῖν τὸ ὄνομα θείς. μεμελέτηκε γάρ πως ὡδὶ καὶ ἡ καθ' 2.680 ἡμᾶς συνήθεια λέγειν. καὶ γοῦν ὁ σοφώτατος ἔγραψε Σολο μών "Αἱρετὸν ὄνομα καλὸν ἢ πλοῦτος πολὺς," τουτέστιν, ἀμείνων ὑπόληψις ἀγαθὴ καὶ δόξα τῆς ἐν πλούτῳ φαιδρό τητος καὶ περιφανείας ἐστί. καὶ αὐτὸς δέ που φησὶν ὁ Θεὸς διὰ φωνῆς Ἡσαΐου τοῖς εὐνουχίσασιν "ἑαυτοὺς διὰ τὴν "βασιλείαν τῶν οὐρανῶν" "Μὴ λεγέτω ὁ εὐνοῦχος ὅτι ἐγὼ "εἰμι ξύλον ξηρόν· τάδε λέγει Κύριος τοῖς εὐνούχοις Ὅσοι "ἂν φυλάξωνται τὰ προστάγματά μου καὶ ποιήσωσιν ἃ "ἐγὼ θέλω, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει "μου τόπον ὀνομαστὸν, κρεῖσσον υἱῶν καὶ θυγατέρων ὄνομα "αἰώνιον δώσω αὐτοῖς." καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ δή τις οἰήσεται, κατά γε τὸ εἰκὸς, εἴ γε σωφρονοίη, τῆς ἐκ Θεοῦ φιλοτιμίας τὴν ἀντί δοσιν ἐν ψιλαῖς ὀνομάτων ἀπονεμηθήσεσθαι κλήσεσι τοῖς ἐξ ἀγαθοῦ καὶ φιλαρέτου φρονήματος, ἁπάσης μὲν τῆς ἐν κόσμῳ καταθλήσασιν ἡδονῆς, νεκρώσασι δὲ "τὰ μέλη τὰ "ἐπὶ τῆς γῆς," καὶ μόνα τετιμηκόσι τὰ τοῖς θείοις οὐκ ἀπᾴδοντα νόμοις. ἀλλ' ὄνομα πάλιν ἀντὶ τῆς δόξης φησίν· ζηλωτοὶ γὰρ ἔσονται καὶ ἀπόβλεπτοι συμβασιλεύοντες τῷ Χριστῷ. Πεφανερωκέναι τοιγαροῦν τὸ ὄνομα τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Σωτὴρ εὖ μάλα διισχυρίζεται, τουτέστι, διαφανεστάτην τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην καταστῆσαι τὴν δόξαν αὐτοῦ. πῶς ἢ τίνα τρόπον; ἑαυτὸν δὲ δηλονότι διὰ τῶν ὑπὲρ λόγον κατορθωμάτων παραθεὶς εἰς ἀπόδειξιν. δοξά ζεται γὰρ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καθάπερ ἐν εἰκόνι καὶ τύπῳ τῆς ἰδίας μορφῆς· ἀπὸ γὰρ τοῦ χαρακτῆρος τὸ τῶν ἀρχε τύπων ἀεὶ διαφαίνεται κάλλος. πεφανέρωται τοίνυν ὁ Μονο γενὴς, οὐσιωδῶς ὑπάρχων σοφία καὶ ζωὴ, τεχνίτης τῶν ὅλων καὶ δημιουργὸς, θανάτου κρείττων καὶ φθορᾶς, ὅσιος ἄκακος οἰκτίρμων ἅγιος ἀγαθός. ἐγνώσθη ταῦτα ὑπάρχων καὶ ὁ γεννήσας αὐτόν· οὐ γὰρ ἂν ἑτέρως ἔχοι κατὰ τὴν φύσιν παρὰ τὸν ἐξ αὐτοῦ φυσικῶς. διέλαμψε τοίνυν, ὡς ἐν εἰκόνι 2.681 καὶ τύπῳ τῆς ἰδίας μορφῆς ἐν τῇ τοῦ γεννήματος δόξῃ. λόγος μὲν γὰρ παρὰ τοῖς ἀρχαιοτέροις τοιοῦτός τις ἦν περὶ αὐτοῦ· νυνὶ δὲ καὶ δι' αὐτῆς ἡμῖν ὄψεως πεφανέρωται· μεῖζον δὲ εἰς πίστιν ἀεί πως ἐστὶ τῶν ἐν λόγοις τὸ θεωρού μενον. Οἶμαι μὲν οὖν οὐκ ἀπὸ σκοποῦ τὸν ἐπὶ τούτοις ἡμῖν γε γενῆσθαι λόγον· ἰτέον γεμὴν καὶ δι' ἑτέρας οἴμου, τουτέστιν, ὁδοῦ θεωρημάτων. πεφανέρωκε γὰρ τὸ ὄνομα τοῦ Πατρὸς ὁ Υἱὸς, εἰς ἔννοιαν δηλονότι καὶ εἰς ἀκραιφνῆ θεωρίαν καταστή σας ἡμᾶς, οὐχ ὅτι μόνον εἴη Θεός· ἐκηρύττετο γὰρ τοῦτο καὶ πρὸ τῆς ἐπιδημίας διὰ τῆς θεοπνεύστου γραφῆς· ἀλλ' ὅτι πρὸς τῷ Θεὸς εἶναι κατὰ ἀλήθειαν, καὶ Πατήρ ἐστιν οὐ ψευδωνύμως, ἔχων ἐν ἑαυτῷ καὶ ἐξ ἑαυτοῦ τὸ ἴδιον γέννημα, σύνδρομόν τε καὶ συναΐδιον τῇ ἰδίᾳ φύσει· γεγέννηκε γὰρ οὐκ ἐν χρόνῳ τὸν τῶν αἰώνων δημιουργόν. κυριώτερον δέ πως ὄνομα τῷ Θεῷ τό Πατὴρ ἢ Θεός· τὸ μὲν γάρ ἐστι τῆς ἀξίας σημαντικὸν, τὸ δὲ τῆς οὐσιώδους ἰδιότητος ἔχει τὴν δήλωσιν. Θεὸν μὲν γάρ τις εἰπὼν, τὸν τῶν ὅλων ἔδειξε Κύριον· Πατέρα γεμὴν ὀνομάσας, τῶν τῆς ἰδιότητος ἅπτεται λόγων, πεφανέρωκε γὰρ ὅτι γεγέννηκεν. οἰκειότερον δέ πως καὶ ἀληθέστερον ὄνομα τῷ Θεῷ τό Πατὴρ καὶ αὐτὸς ἀπο νέμων ὁ Υἱὸς, ποτὲ μὲν ἔλεγεν, οὐκ Ἐγὼ καὶ ὁ Θεὸς ἀλλ' "Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν," ποτὲ δὲ πάλιν περὶ ἑαυτοῦ "Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός·" ἀλλὰ καὶ βαπτίζειν πάντα τὰ ἔθνη τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιτάξας, οὐκ εἰς ὄνομα τοῦ Θεοῦ τοῦτο δρᾶν, ἀλλ' "εἰς τὸ ὄνομα τοῦ "Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος," διαῤ ῥήδην ἐνομοθέτει. Μωυσῆς μὲν γὰρ ὁ θεσπέσιος, τὴν τοῦδε τοῦ κόσμου ποίησιν ἐξηγούμενος, οὐχ ἑνὶ προσώπῳ τὴν δημιουργίαν ἀνετίθει γράφων "Καὶ εἶπεν ὁ Θεός Ποιήσωμεν "ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν·" καὶ 2.682 διὰ μὲν τοῦ Ποιήσωμεν καί Καθ' ὁμοίωσιν ἡμετέραν εἰπεῖν, ἡ ἁγία Τριὰς σημαίνεται· δεδημιούργηκε γὰρ καὶ πρὸς τὸ εἶναι τὰ πάντα κέκληκεν ὁ Πατὴρ δι' Υἱοῦ ἐν Πνεύματι. ἀλλ' οὐκ εὐσύνοπτά πως τοῖς ἀρχαιοτέροις ἦν τὰ τοιαῦτα, μᾶλλον δὲ ἀσυμφανὴς ὁ λόγος· οὐ γὰρ ἰδικῶς ὠνόμασται Πατὴρ, ἀλλ' οὐδὲ τὸ τοῦ Υἱοῦ παρεκομίσθη πρόσωπον ἐναργῶς· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, περιστολῆς τινος δίχα καὶ ἐν πολλῇ παῤῥησίᾳ Πατέρα μὲν ἴδιον ἐκάλει τὸν Θεὸν, ἑαυτὸν γεμὴν ὀνομάζων Υἱὸν καὶ καρπὸν ὄντως ἀληθῆ τῆς τῶν ὅλων κρατούσης ἐπιδείξας φύσεως, πεφανέ ρωκε τὸ ὄνομα τοῦ Πατρὸς, καὶ εἰς τελείαν ἡμᾶς ἀνεκόμισε γνῶσιν. πληρεστάτη γὰρ γνῶσις ἡ περὶ Θεοῦ καὶ τῆς τῶν ὅλων ἀρχῆς, οὐκ ἐν τῷ εἰδέναι μόνον ὅτι Θεός ἐστιν, ἀλλ' ὅτι καὶ Πατὴρ καὶ τίνος ἐστὶ Πατὴρ, συνεισβαίνοντος δηλονότι καὶ τοῦ Ἁγίου Πνεύματος. τὸ μὲν γὰρ εἰδέναι μόνον Θεὸν ὄντα τὸν Θεὸν, οὐχ ἡμῖν ἂν πρέποι μᾶλλον ἢ τοῖς ὑπὸ νόμον· φρονήσεως γὰρ Ἰουδαϊκῆς οὐχ ὑπερίσχει τὸ μέτρον. καὶ ὥσπερ οὐδὲν τετελείωκεν ὁ νόμος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παιδαγωγικὸν εἰσφέρων τὸ μάθημα καὶ οὐκ ἀρκοῦν εἰς κατόρθωσιν τῆς κατ' εὐσέβειαν ἀρετῆς; οὕτως ἀτελῆ καὶ τὴν περὶ Θεοῦ γνῶσιν ἐνετίθει, μόνης ἀφιστὰς τῆς εἰς θεοὺς τοὺς ψευδω νύμους ἀγάπης, καὶ τὸν ἕνα καὶ ἀληθινὸν προσκυνεῖν ἀνα πείθων "Οὐκ ἔσονται γάρ σοι, φησὶ, θεοὶ ἕτεροι πλὴν ἐμοῦ· "Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λα "τρεύσεις." ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῖς διὰ Μωυσέως προστεταγμένοις τὰ ἀμείνω προστιθεὶς, καὶ λαμ προτέραν τῆς νομικῆς ἐντολῆς παρατιθεὶς τὴν παίδευσιν, τῆς ἀρχαίας ἐκείνης γνώσεως τὴν ἀμείνω καὶ λαμπροτέραν προσ εχαρίζετο. φανερὸν γὰρ ἡμῖν κατέστησεν, οὐχ ὅτι μόνον ἐστὶ Θεὸς ὁ τῶν ὅλων γενεσιουργὸς καὶ κύριος, ἀλλ' ὅτι καὶ Πατήρ· καὶ ἡ δεῖξις ἐν πράγμασιν· ἑαυτὸν γὰρ εἰς εἰκόνα 2.683 παρακατέθεικε λέγων "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα, "ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν." Καὶ ταυτὶ μὲν εἰκότως, ἅτε δὴ καὶ Θεὸς ὑπάρχων ἐκ Θεοῦ κατὰ φύσιν, ἀνηγμένως τε καὶ θεοπρεπῶς πρὸς τὸν ἑαυτοῦ Πατέρα φησίν· ἐπισυνάπτει δὲ παραχρῆμα, λέγων ἀνθρω πινώτερον Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς δέδωκας. οἰησόμεθα γεμὴν ταυτὶ δὴ φάναι τὸν Κύριον, οὐχ ὡς ἰδίᾳ καὶ μεμερισμένως ἀπονεμηθέντος τινὸς ἤγουν διαφέροντος τῇ δεσποτείᾳ τοῦ Θεοῦ καὶ Πατρὸς, ὃ μὴ καὶ αὐτοῦ τυχόν ἐστι τοῦ Υἱοῦ· βασιλεὺς γάρ ἐστι προαιώνιος κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, καὶ τῆς τοῦ Πατρὸς δεσπο τείας ἀΐδιος κοινωνός· καὶ γοῦν ὁ σοφώτατος Εὐαγγελιστὴς Ἰωάννης αὐτῷ διαφέρειν καὶ ὑπεζεῦχθαι τὰ πάντα, δῆλον δὲ ὅτι βασιλεύοντος σὺν αὐτῷ τοῦ Πατρὸς, ἀναδιδάσκων ἔγρα φεν "Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον·" ἴδια λέγων αὐτοῦ καὶ τοὺς μήπω συνέντας αὐτὸν, ἀποσειο μένους δὲ ὥσπερ τῆς ὑπ' αὐτῷ βασιλείας τὸν ζυγόν. ἔφη δὲ τὰ τοιαῦτα νυνὶ, φανερὸν ἐκεῖνο καθιστὰς τοῖς ἀκροωμένοις, ὡς ἦσαν μέν τινες ἐν τῷδε τῷ κόσμῳ, Θεὸν μὲν τὸν ἕνα καὶ ἀληθινὸν οὐδ' ὅσον εἰς νοῦν δεξάμενοι, λατρεύοντες δὲ τῇ κτίσει καὶ τοῖς δαιμονίοις καὶ τοῖς διαβολικοῖς εὑρήμασιν. ἀλλ' εἰ καὶ τὸν τῶν ὅλων οὐκ ᾔδεσαν δημιουργὸν, ἔξω που τῆς ἀληθείας πλανώμενοι, Θεοῦ πάλιν ἦσαν, καθὸ πάντων ἐστὶ δεσπότης, ὡς δημιουργός. ἴδια γὰρ τὰ πάντα Θεοῦ, καὶ οὐδὲν τὸ παράπαν ἐν τοῖς γεγονόσιν ἐστὶν, ὃ μὴ δεσπότην ἔχει τὸν ἕνα, καὶ εἰ μὴ τοῦτο τυχὸν εἰδείη τὸ ποιηθέν. οὐ γὰρ δήπου φαίη τις ἂν, ὡς τῆς κατὰ πάντων ἀρχῆς τὸν τῶν ὅλων δημιουργὸν παραιρήσεται τὸ πεπλανῆ σθαί τινας, ὑποζεύξει δὲ μᾶλλον καὶ ὑποθήσει τὰ πάντα αὐτῷ τὸ δι' αὐτοῦ πεποιῆσθαι καὶ παρῆχθαι πρὸς γένεσιν. οὕτω τοιγαροῦν τῆς ἀληθείας ἐχούσης, Θεοῦ μὲν ἦσαν τοῦ 2.684 κατὰ φύσιν, καὶ οἱ ταῖς τοῦ διαβόλου συνεχόμενοι πλάναις καὶ ταῖς κοσμικαῖς ἀτοπίαις ἐγκατειλημμένοι. δέδονται δὲ τῷ Υἱῷ, πῶς ἢ τίνα τρόπον; βασιλεύειν γὰρ ἐπ' αὐτοὺς τὸν Ἐμμανουὴλ ηὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ, οὐχ ὡς ἄρτι τῆς κατ' αὐτῶν βασιλείας ἀρχόμενον· ἦν γὰρ ἀεὶ Κύριός τε καὶ βασιλεὺς, καθὸ φύσει Θεός· ἀλλ' ὅτι γενόμενος ἄνθρωπος, καὶ τῆς ἁπάντων προκινδυνεύσας ζωῆς, ἑαυτῷ πάντας ἐξε πρίατο, καὶ δι' ἑαυτοῦ προσκεκόμικε τῷ Θεῷ καὶ Πατρί. ὁ τοίνυν πάλαι καὶ ἀπ' ἀρχῆς βασιλεύων ὡς Θεὸς ὁμοῦ τῷ ἰδίῳ γεννήτορι, κεχειροτόνηται βασιλεὺς ὡς ἄνθρωπος ᾧ μετὰ τῶν ἄλλων ἐστὶ καὶ τὸ βασιλεύειν δοτὸν, κατά γε τὸ μέτρον τῆς ἀνθρωπείας φύσεως. οὐ γὰρ ὥσπερ ζῷόν ἐστι λογικὸν ὁ ἄνθρωπος, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἐν φυσι κοῖς ἔχων τὰ τοιαῦτα πλεονεκτήμασιν, οὕτως ἂν εἴη καὶ βασιλεύς· ἐκεῖνα μὲν γὰρ ἐν τῷ τῆς οὐσίας ὅρῳ παραλαμ βάνεται, τὸ δὲ ἔξωθέν τε ἐστὶ καὶ προστεθειμένον καὶ οὐχὶ τῶν ἀχωρίστως προσπεφυκότων φαίνεται· προσγίγνεται γὰρ καὶ ἀπογίγνεται, μηδὲν τὸ παράπαν, ὅσον ἧκεν εἰς οὐσίας λόγον, τὸ ὑποκείμενον ἀδικοῦν. δοτὸν οὖν ἄρα καὶ θύραθεν ἐπεισκρίνεται τὸ τῆς βασιλείας ἀξίωμα τῷ ἀνθρώπῳ παρὰ Θεοῦ· "Δι' ἐμοῦ γὰρ, φησὶ, βασιλεῖς βασιλεύουσι, καὶ "τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς." ὁ τοίνυν τῶν πάντων βασιλεύων μετὰ Πατρὸς, καθόπερ ἦν τε καὶ ἔστι καὶ ἔσται φύσει Θεὸς, δέχεται τῶν ἐν κόσμῳ τὸ κράτος, κατά γε τὸ πρέπον ἀνθρώπῳ σχῆμά τε καὶ μέτρον. Διὰ γὰρ τοῦτό


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησιν Ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοί εἰσι. κυρίως μὲν γάρ τε καὶ ἰδικῶς τὰ πάντα ἐστὶ τοῦ Θεοῦ· δοτὰ δὲ ἡμῖν τοῖς δι' αὐτοῦ γεγονόσι. καὶ τὸ μὲν πάντα κεκτῆσθαι καὶ κατάρχειν τῶν ὅλων τῇ θείᾳ φύσει πρεπωδέστατον· ἡμῖν δὲ αὖ πάλιν τὸ λαβεῖν οἰκειότατον. ἐπεμαρτύρησε γεμὴν τὸ γνήσιον εἰς δουλείαν καὶ τὸ πρό 2.685 θυμον εἰς ὑπακοὴν τοῖς ἀνενδοιάστως πιστεύουσιν εἰς αὐτόν. φησὶ γάρ Ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι δέδωκα αὐτοῖς καὶ αὐτοὶ ἔλαβον καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας· ῥήματα τοῦ Θεοῦ καὶ Πατρὸς, τὰς ἑαυτοῦ διαῤῥήδην ὀνομάζων φωνὰς, διὰ τὸ ἐν οὐσίᾳ ταὐτὸν, καὶ ἐπείπερ ἐστὶ Θεὸς Λόγος τῶν τοῦ Πατρὸς θελημάτων ἐκφαντικὸς καθάπερ ἀμέλει καὶ ὁ ἐκ τῶν ἡμε τέρων προκύπτων στομάτων, καὶ τῇ πρὸς τὸ ἔξω προφορᾷ τὴν τοῦ πέλας προσαράσσων ἀκοὴν, καὶ τὸ ἐν τῷ βάθει τῆς καρδίας διερμηνεύων μυστήριον. τοιγάρτοι καὶ προφητικός τε περὶ αὐτοῦ λόγος ἔφη, ὅτι "καλεῖται τὸ ὄνομα αὐτοῦ "Μεγάλης βουλῆς ἄγγελος." τὴν γὰρ ὄντως ἐξαίσιόν τε καὶ ὑπερφυᾶ καὶ μεγάλην τοῦ τεκόντος βουλὴν, ὁ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ διαπορθμεύει Λόγος, διὰ μὲν γὰρ ῥημάτων προφορᾶς, ὡς ἄνθρωπος, ὅτε γέγονε καθ' ἡμᾶς, διὰ δὲ γνώσεως καὶ φωταγωγίας πνευματικῆς μετὰ τὴν εἰς οὐ ρανοὺς ἀνάβασιν· ἀποκαλύπτει γὰρ τοῖς ἀξίοις τὰ ἑαυτοῦ μυστήρια, καὶ μαρτυρήσει λέγων ὁ Παῦλος "Εἰ δοκιμὴν "ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;" Μεμαρτύρηκε τοίνυν τοῖς ἀγαπῶσιν αὐτὸν, ὡς προσή καντο καὶ τετηρήκασι τοὺς δοθέντας αὐτῷ παρὰ τοῦ Πατρὸς λόγους· πεπληροφόρηνται δὲ πρὸς τούτοις, ὅτι παρ' αὐτοῦ ἐξῆλθε καὶ ἀπέσταλται, διακειμένων οὐχ οὕτω τῶν τὴν ἐναντίαν νοσούντων ὑπόνοιαν. οἱ γὰρ μήτε προσηκάμενοι τοὺς παρ' αὐτοῦ λόγους, μήτε μὴν ἐλευθέραν τηρήσαντες τὴν πίστιν, οὔτε διετέθησαν οὔτε πεπιστεύκασιν, ὡς ἐξῆλθέ τε παρὰ Θεοῦ καὶ ἀπέσταλται. καὶ γοῦν ἔφασκον Ἰουδαῖοι, ποτὲ μέν "Εἰ ἦν οὗτος παρὰ "Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ σάββατον," καὶ πάλιν "Ἡμεῖς τοῦ Μωυσέως ἐσμὲν μαθηταί· ἡμεῖς οἴδαμεν ὅτι "Μωυσῇ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν 2.686 "ἐστίν." ὁρᾷς ὅπως ἠρνήσαντο τὴν ἀποστολὴν, ὡς μηδὲ εἰδέναι πόθεν ἐστὶν ἀναισχύντως ἀναφωνεῖν; ὅτι δὲ καὶ τὴν ἄῤῥητον αὐτοῦ καὶ προαιώνιον γέννησιν, φημὶ δὲ τὴν ἐκ Θεοῦ Πατρὸς οὐκ ἐδέχοντο πολλὴν νοσοῦντες ἀθλιότητα λογισμῶν, καὶ ὥσπερ τινὶ λίθῳ περιπταίοντες διὰ μόνην τὴν ἐνανθρώπησιν, πληροφορηθήσῃ ῥᾳδίως, ὅταν ἀκούσῃ λέ γοντος τοῦ Εὐαγγελιστοῦ "Καὶ διὰ τοῦτο οὖν ἐζήτουν αὐτὸν "οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, "ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν "τῷ Θεῷ·" ἀναγέγραπται δὲ καὶ τῶν ἀνοσίων Ἰουδαίων φωνὴ πρὸς αὐτόν "Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ "περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν "Θεόν." συνιεῖς οὖν ἄρα καὶ μάλα σαφῶς, ὡς οἱ μὲν τῶν λόγων τῶν παρ' αὐτοῦ γεγονότων γνήσιοι φύλακες συνωμο λόγησάν τε καὶ πεπιστεύκασιν, ὡς ἀνέλαμψε μὲν ἐκ Πατρός· τοῦτο γὰρ οἶμαι τό Ἐξῆλθον δηλοῦν· καὶ ἀπέσταλται πρὸς ἡμᾶς "διαγγέλλων τὸ πρόσταγμα Κυρίου," κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον· οἱ δὲ τὸν οὕτω θεῖόν τε καὶ ἐκ Πατρὸς διαγελάσαντες λόγον, συνηρνήσαντο τὴν πίστιν, καὶ ἀπειρή κασιν ἐναργῶς, ὅτι Θεός τε εἴη καὶ ἐκ Πατρὸς, καὶ τῆς ἡμετέρας ἕνεκα σωτηρίας ὡς ἡμᾶς ἀφιγμένος, μετὰ τοῦ γενέσθαι καθ' ἡμᾶς χωρὶς ἁμαρτίας. δικαίως οὖν ἄρα τοὺς ἀγαθοὺς καὶ γνησίους καὶ τὴν τῆς ψυχῆς ἀκοὴν εὐπειθε στέραν ὑποθέντας αὐτῷ παρατίθεται τῷ Θεῷ καὶ Πατρὶ, τῶν μὴ τοιούτων ἀμνημονήσας παντελῶς, ἵν' ὅπερ ἔφη φαίνηται σαφὲς, ἐκ τῶν καθ' ἡμᾶς ἀρξάμενον χρόνων. καὶ τί δὴ τοῦτό ἐστι; "Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ "ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ "ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· ὅστις δ' "ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι "κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς 2.687 "οὐρανοῖς·" ὃ δὴ καὶ δράσειν ἐπηγγέλλετο καὶ πάλαι βοῶν διὰ φωνῆς Ἡσαΐου καὶ αὐτὸς ὁ Θεὸς καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατὴρ "Γένεσθε "γάρ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεὸς, "καὶ ὁ παῖς ὃν ἐξελεξάμην." διαλέγεται τοιγαροῦν ὁ Σωτὴρ θεοπρεπῶς τε ἅμα καὶ ἀνθρωπίνως. Θεὸς γὰρ ἦν ἐν ταὐτῷ καὶ ἄνθρωπος, ἀνυπαίτιον ἔχων τὸν ἐπ' ἄμφω λόγον, καὶ ταῖς τῶν καιρῶν συναρμόττων χρείαις τὸ ἑκάστῳ πρέπον οἰκονομικῶς.

2.688 ΚΕΦΑΛΗ Η. Ὅτι οὐκ ἔξω κείσεται τῆς Χριστοῦ βασιλείας, κἂν εἴ τι λέγοιτο τοῦ Πατρός· ἅμα γὰρ αὐτῶν ἡ κατὰ πάντων ἀρχή. Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι, καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ δεδόξασμαι ἐν αὐτοῖς, καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, κἀγὼ πρός σε ἔρχομαι. ΜΕΣΙΤΕΥΕΙ πάλιν ὡς ἄνθρωπος, ὁ Θεοῦ τε καὶ ἀν θρώπων διαλλακτὴς καὶ μεσίτης, καὶ ὁ μέγας ὄντως καὶ πανάγιος ἡμῶν ἀρχιερεὺς, ταῖς παρ' ἑαυτοῦ λιταῖς τὴν τοῦ ἰδίου γεννήτορος ἐκμειλίσσεται γνώμην, ἑαυτὸν ὑπὲρ ἡμῶν ἱερουργῶν. αὐτὸς γὰρ τὸ θῦμα καὶ αὐτὸς ἱερεὺς, αὐτὸς ὁ μεσίτης, αὐτὸς τὸ πανάμωμον ἱερεῖον, ὁ ἀμνὸς ὁ ἀληθινὸς "ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου." ἦν οὖν ἄρα τύπος ὥσπερ τις καὶ σκιὰ διαφανὴς τῆς ἐν ἐσχάτοις καιροῖς ἀναδεδειγμένης τοῦ Χριστοῦ μεσιτείας, ἡ πάλαι διὰ Μωυ σέως, καὶ ὁ κατὰ νόμον ἀρχιερεὺς τὸν ὑπὲρ νόμον ἱερουργὸν ἐν ἰδίῳ γέγραφε σχήματι· σκιαὶ γὰρ τῆς ἀληθείας εἰσὶ τὰ νομικά. Μωυσῆς γὰρ ὁ θεσπέσιος καὶ μὴν σὺν ἐκείνῳ καὶ ὁ περίβλεπτος Ἀαρὼν μέσον διὰ παντὸς ἐχώρουν Θεοῦ τε καὶ τῆς συναγωγῆς, ἄρτι μὲν τὴν ἐπὶ τοῖς πλημμελήμασι τῶν ἐξ Ἰσραὴλ δυσωποῦντες ὀργὴν, καὶ τὴν ἄνωθεν καλοῦντες ἐπὶ τοῖς ἀτονοῦσιν εὐμένειαν· ἄρτι δὲ πάλιν ἐπευχόμενοί τε 2.689 καὶ εὐλογοῦντες αὐτοὺς, καὶ τὰς κατὰ νόμον θυσίας, καὶ πρὸς τούτοις ἔτι δωροφορίας, κατὰ τὴν τῶν διατεταγμένων προσ άγοντες τάξιν, ποτὲ μὲν ὑπὲρ ἁμαρτιῶν, ποτὲ δὲ καὶ χαρι στήρια τὰ ἐφ' οἷς εὖ παθόντες ᾔδεσαν παρὰ Θεοῦ. ὁ γε μὴν ὑπὲρ τύπους καὶ σχήματα νομικὰ πεφηνὼς ἐν ἐσχάτοις καιροῖς ἀρχιερεύς τε ἅμα καὶ μεσίτης Χριστὸς, ἐρωτᾷ μὲν ὑπὲρ ἡμῶν ὡς ἄνθρωπος, συμφιλοτιμεῖται δὲ ὡς Θεὸς τῷ Θεῷ καὶ Πατρὶ, διανέμοντι τοῖς ἀξίοις τὰ ἀγαθά. ἐμφανέ στατα δὲ τοῦτο παρέδειξεν ἡμῖν ὁ Παῦλος εἰπών "Χάρις "ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ "Χριστοῦ." ὁ τοίνυν ἐρωτῶν, ὡς ἄνθρωπος, συνδιανέμει πάλιν ὡς Θεός. ὅσιος γὰρ ὑπάρχων ἀρχιερεὺς, ἄμωμός τε καὶ ἄκακος, οὐχ ὑπὲρ ἀσθενείας τῆς ἑαυτοῦ, καθάπερ ἦν ἔθος τοῖς ἱερᾶσθαι λαχοῦσι κατὰ τὸν νόμον, μᾶλλον δὲ ὑπὲρ σωτηρίας τῶν ἡμετέρων ψυχῶν ἑαυτὸν προσενεγκὼν, καὶ τοῦτο εἰσάπαξ διὰ τὴν ἡμῶν ἁμαρτίαν, παράκλητος γέγονεν ὑπὲρ ἡμῶν, "καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν "ἡμῶν, κατὰ τὴν Ἰωάννου φωνήν· οὐ περὶ τῶν ἡμετέρων δὲ "μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου." Ἀλλ' ἴσως ἐρεῖ δὴ πάντως τοῖς παρ' ἡμῶν τις ἀντιτιθεὶς λόγοις Οὐ γὰρ ἐναντίως ἕξει, βοῶν, ταῖς τοῦ Σωτῆρος φωναῖς τὸ διὰ τοῦ μαθητοῦ λελεγμένον; ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, διαῤῥήδην ἐν τούτοις ἀπαυδήσας φαίνεται τὸ ὑπὲρ παντὸς τοῦ κόσμου χρῆναι παρακαλεῖν· ὁ δέ γε σοφὸς Ἰωάννης, φησὶ, πολὺ δὴ τούτοις τὸ ἐναντίον ἐφθέγξατο. οὐ γὰρ περὶ μόνων ἔσεσθαι παράκλητόν τε καὶ ἱλασμὸν τῶν ἡμετέρων ἁμαρτιῶν τὸν Σωτῆρα διισχυρίζεται, ἀλλ' ἤδη καὶ περὶ παντὸς τοῦ κόσμου. τίς οὖν ἄρα τούτοις ἕψεται λύσις, ἢ πῶς ἂν φαίνοιτο ταῖς τοῦ Δεσπότου φωναῖς συμπαρομαρτήσας ὁ μαθητὴς, ἀταλαίπωρον εἰπεῖν· ὁ μὲν γὰρ μακάριος Ἰωάννης, ἐπείπερ ἦν Ἰουδαῖος καὶ ἐξ Ἰουδαίων, 2.690 ἵνα μή τινες οἰηθεῖεν τυχὸν ὑπὲρ μόνων τῶν ἐξ Ἰσραὴλ παράκλητον εἶναι παρὰ τῷ Πατρὶ τὸν Κύριον, ὑπὲρ δὲ τῶν ἄλλων ἐθνῶν τῶν ἀνὰ πᾶσαν κατεσπαρμένων τὴν οἰκου μένην οὐκέτι, καίτοι μελλόντων τῇ εἰς αὐτὸν διαπρέψαι πίστει, καὶ ὅσον οὐδέπω κληθήσεσθαι πρὸς ἐπίγνωσιν τῆς διὰ Χριστοῦ σωτηρίας, ἀναγκαιότατά φησι λίαν οὐ περὶ μόνων ἔσεσθαι τῶν ἐκ γένους Ἰσραὴλ ἱλασμὸν τὸν Κύριον, ἀλλὰ περὶ ὅλου τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κόσμου, τουτέστι, τῶν ἐκ παντὸς ἔθνους τε καὶ γένους κληθησομένων διὰ τῆς πίστεως εἰς δικαιο σύνην καὶ ἁγιασμόν. ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀποδιελὼν τῶν γνησίων τοὺς μὴ τοιοῦτον ἔχοντας νοῦν, καὶ τῶν ἐξυβρίζειν ταῖς οὕτω σκληραῖς ἀπειθείαις ἑλομένων αὐτὸν, τοὺς ἐπιεικέστερον τῶν θείων αὐτοῦ κατακροωμένους λόγων, ὑποθέντας τε ἤδη τὸν τῆς καρδίας αὐχένα, καὶ μονονουχὶ περιδήσαντας ἑαυτοῖς τῆς ὑπὸ Θεῷ δουλείας τὸν ζυγὸν, περὶ αὐτῶν ἔφη μόνων πρεπωδέστερον ἐρωτᾶν. ὧν γὰρ ὑπάρχει μεσίτης καὶ ἀρχιερεὺς, αὐτοῖς δὴ καὶ μόνοις ᾤετο δεῖν τὰ ἐκ τῆς μεσιτείας προξενεῖν ἀγαθὰ, οὓς καὶ δεδόσθαι μὲν ἑαυτῷ φησιν, εἶναι γεμὴν τοῦ Πατρὸς, οὐχ ἑτέραν ἐχούσης ὁδὸν τῆς πρὸς Θεὸν οἰκειότητος, εἰ μὴ δι' Υἱοῦ. καί σε τοῦτο διδάξει λέγων αὐτὸς "Οὐδεὶς ἔρχεται "πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ." θέα γὰρ ὅπως τῷ ἰδίῳ γεννήματι δοὺς ὁ Πατὴρ τοὺς ἐφ' οἷς ὁ λόγος, ἑαυτῷ κατεκτήσατο· καὶ τοῦτο συνεὶς εὖ μάλα φησὶν ὁ τῶν ἱερῶν γραμμάτων ἐπιστημονικώτατος "Ὅτι Θεὸς ἦν ἐν Χριστῷ "κόσμον καταλλάσσων ἑαυτῷ." μεσιτεύοντος γὰρ τοῦ Χριστοῦ, δεχομένου τε τοὺς προσιόντας διὰ τῆς πίστεως καὶ προσάγοντος δι' ἑαυτοῦ τῷ Πατρὶ, κόσμος Θεῷ κατηλ λάττετο. διὰ τοῦτο καὶ ὁ προφήτης Ἡσαΐας, εἰρήνην ἡμᾶς ἑλέσθαι τὴν πρὸς Θεὸν ἐν Χριστῷ προεδίδασκε λέγων "Ποιήσωμεν εἰρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην οἱ ἐρχό "μενοι." ἀποστήσαντες γὰρ τῆς ἰδίας ψυχῆς τὰ τῆς εἰς Χριστὸν ἀγάπης ἀλλοτριοῦντα ἡμᾶς, τὸ αἰσχρουργόν φημι 2.691 δὴ καὶ φιλήδονον εἰς ἁμαρτίαν καὶ τὸ λίαν εὐπετὲς εἰς κοσμικὴν ἡδονὴν, καὶ πρὸς τούτοις ἔτι τὴν ἁπάσης φαυλό τητος μητέρα καὶ τροφὸν, ἀλλόκοτον πλάνην, οἰκεῖοί τε καὶ φίλοι γενησόμεθα τοῦ Χριστοῦ, καὶ τὴν πρὸς Θεὸν εἰρήνην συνθήσομεν, αὐτῷ τῷ Πατρὶ δι' Υἱοῦ κολλώ μενοι, ἅτε δὴ καὶ λαβόντες ἐν ἑαυτοῖς τὸν ἐξ αὐτοῦ γεν νηθέντα Λόγον καὶ ἐν τῷ Πνεύματι κράζοντες "Ἀββᾶ ὁ "πατήρ." Οἱ δοθέντες οὖν ἄρα Χριστῷ, γεγόνασι μὲν τοῦ Πατρὸς, πλὴν οὐκ ἔξω διὰ τοῦτο Χριστοῦ. βασιλεύει γὰρ σὺν αὐτῷ καὶ κατάρχει δι' αὐτοῦ τῶν ἰδίων ὁ Θεὸς καὶ Πατήρ. βασι λεία γὰρ ἡ αὐτὴ κράτος τε τὸ κατὰ πάντων ἓν τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος, καὶ ὅπερ ἂν γένοιτο τοῦ Υἱοῦ, τῇ τοῦ Υἱοῦ καὶ Πατρὸς ὑποκείσεται δόξῃ, καὶ πάλιν, ὅπερ ἂν ὑποπίπτειν λέγεται τῷ Πατρὶ, τούτου δὴ πάντως κατάρξει καὶ ὁ Υἱός. διὰ γάρ τοι τοῦτό φησι Καὶ τὰ ἐμὰ πάντα σά ἐστι καὶ τὰ σὰ ἐμά· ὅπου γὰρ φύσεως ἡ εἰσάπαν ταυτότης διαλάμπει καὶ φαίνεται, ἐκεῖ τῆς ἀξίας ἀπαράλλακτος ἡ δόξα, οὐ μεμερισμένως ἑνί τι τῶν ὄντων ἀνατιθεῖσα τυχὸν καὶ παρωθουμένη τὸν ἕτερον, ἀλλ' ἴσην μίαν τε καὶ τὴν αὐτὴν τὴν εἰς ἅπαν ὁτιοῦν ἐκτείνουσα δόξαν. ὁ γὰρ τῶν τοῦ ἰδίου Πατρὸς θεϊκῶν ἀξιωμάτων οὐσιωδῶς κληρονόμος, ἔχων μὲν αὐτὸς πάντα φανεῖται τὰ τοῦ γεννήτορος, ἔχοντα δὲ δείξει πάντα τὰ αὐτοῦ τὸν γεννήτορα. θάτερος γὰρ ἐν θατέρῳ φυσικῶς διαφαίνεται, καὶ διαλάμπει μὲν ὁ Υἱὸς ἐν Πατρὶ, Πατὴρ δὲ αὖ πάλιν ἐν τῷ Υἱῷ. τοῦτον γὰρ ἡμᾶς τὸν τρόπον αἱ θεόπνευστοι μεμυσταγωγήκασι γραφαί· ὅτε τοίνυν ἕν ἐστι καὶ τῶν ἀξιωμάτων τοῦ Πατρὸς, τὸ τὴν κατὰ πάντων ἔχειν ἀρχὴν, προσέσται τοῦτο καὶ τῷ Υἱῷ· χαρακτὴρ γάρ ἐστι τῆς οὐσίας αὐτοῦ, ἀνομοιότητα καὶ παραλλαγὴν εἰς οὐδέν τι τὸ παράπαν ἔχειν ἀνεχόμενος. δεδοξάσθαι γεμὴν ἐν τοῖς ἅπαξ δοθεῖσι διισχυρίσατο, 2.692 δικαιοτάτην ὥσπερ ἀντίδοσιν τὸ ὑπὲρ αὐτῶν ἐρωτᾶν ἀπο φαίνων. Τίς οὖν ἡ αἴτησις, καὶ διὰ ποίαν αἰτίαν τὴν παρὰ τοῦ Πατρὸς εὐμένειαν τοῖς ἑαυτοῦ γνωρίμοις ὑπάρξαι ζητεῖ; οὐκ εἰμὶ ἐν τῷ κόσμῳ φησὶ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, κἀγὼ πρός σε ἔρχομαι. συνδιαιτώμενος γὰρ καὶ συμπαρὼν ἔτι τοῖς ἁγίοις ἀποστόλοις μετὰ σαρκὸς ἐπὶ γῆς, παράκλησις ἦν ἐμφανής τε καὶ ὁρωμένη, καὶ οἱονεὶ συνδιατρίβουσα καὶ παρακειμένη τοῖς κινδυνεύουσιν ἐξ ἑτοίμου λαβεῖν· εὐθαρ σέστεροι δὲ κατὰ τοῦτο ὑπῆρχον. φιλεῖ γάρ πως ὁ ἀνθρώ πινος νοῦς, οὐ τοῖς ἀφανέσι μᾶλλον, ἀλλὰ τοῖς ἐμφανε στέροις ἐπιθαρσεῖν καὶ ἐφήδεσθαι. καὶ τοῦτό φαμεν, οὐκ ἀσθενῆ λέγοντες τὸν Κύριον εἰς τὸ διασώζειν δύνασθαί τινας, καὶ εἰ μὴ ὁρῷτο παρών· ληροίη γὰρ ἄν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τις οὕτω φρονῶν, καὶ λίαν εἰκότως· "Ἰησοῦς γὰρ Χριστὸς ἐχθὲς καὶ "σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας·" ἀλλ' ᾔδει μικρο ψυχήσοντας οὐ μετρίως τοὺς μαθητὰς, μόνους ὥσπερ ἀπο λειφθέντας ἐπὶ τῆς γῆς, κυμάτων δίκην ἀγρίων τοῦ κόσμου περιπαφλάζοντος, καὶ ἀφορήτοις δείμασι καὶ τοῖς εἰς ἄκρον κινδύνοις ἐκπολιορκεῖν εἰωθότος τοὺς τὸν θεῖον τοῖς ἀμυήτοις ἔτι διαπρεσβεύοντας λόγον. Ἐπειδὴ τοίνυν ἐγὼ μὲν ἔρχομαί φησι πρός σε· ἀναβή σομαι γὰρ ὅσον οὐδέπω συγκαθεδούμενός τε καὶ συμβασι λεύων ὡς Θεὸς Θεῷ καὶ Πατρὶ, μενοῦσί τε οὗτοι τέως ἐν κόσμῳ· περὶ αὐτῶν ἐρωτῶ· γεγόνασι γὰρ σοὶ δοθέντες ἐμοὶ, καὶ ὡς σῶν τε ἤδη καὶ ἐμῶν εὐλόγως κήδομαι, καὶ δεδόξα σμαι ἐν αὐτοῖς, ὅτι πάντα ἃ δέδωκάς μοι σά ἐστι καὶ τὰ σὰ ἐμά. καὶ ἀληθὴς ὁ λόγος. οὐ γὰρ ἐπείπερ δέδονταί τινες τῶν ἐν κόσμῳ τῷ Χριστῷ, γεγόνασί τε καὶ διὰ τοῦτο τοῦ Πατρὸς, ἀπειρήκασι τὸ δοξολογεῖν τὸν δι' οὗ συνήφθησαν τῷ Θεῷ καὶ Πατρὶ, προσαχθέντες δὲ δι' αὐτοῦ, διαμενοῦσιν 2.693 οὐδὲν ἧττον ὄντες αὐτοῦ. κοινὰ γὰρ αὐτῷ πάντα πρὸς τὸν Πατέρα, μετὰ τῆς κατὰ φύσιν θεότητός τε καὶ ἐξουσίας. εἷς γὰρ Θεὸς ἐν ἡμῖν, ἐν ἁγίᾳ τε καὶ ὁμοουσίῳ Τριάδι προσ κυνούμενος. Θεοῦ δὲ οἱ πάντες ἐσμὲν, τοῦ ἑνὸς καὶ μόνου καὶ ἀληθινοῦ, τῇ ἁγίᾳ καὶ ὁμοουσίᾳ Τριάδι κατὰ τὸν τῆς δουλείας τρόπον ὑπεζευγμένοι. 2.694 ΚΕΦΑΛΗ Θ. Ὅτι φυσικὸν ἐν τῷ Υἱῷ τὸ τῆς θεότητος ἀξίωμα, κἂν εἰληφέναι λέγηται τοῦτο παρὰ Πατρὸς διὰ τὸ ἀνθρώπινον καὶ τὸ τῆς ταπεινώσεως σχῆμα. Πάτερ ἅγιε τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. ἘΠΙΤΗΡΕΙ πανταχῆ τοῖν δυοῖν πραγμάτοιν τὴν εἰς ἓν ἀναπλοκὴν, τοῦ τε ἀνθρωπίνου φημὶ τὸ καθ' ἡμᾶς ἔχοντος σμικροπρεπὲς, καὶ τοῦ θεϊκοῦ τὴν ἀνωτάτω πασῶν ὠδίνοντος δόξαν. κεκέρασται γὰρ ἐξ ἀμφοῖν ὁ λόγος, καὶ καθάπερ τὰ ἐν τοῖς ἀνωτέρω διειληφότες ἐλέγομεν, οὔτε πρὸς ὕψος τελείως ἀναπηδᾷ τὸ θεοπρεπὲς, οὔτε μὴν εἰς ἅπαν τῶν καθ' ἡμᾶς ἀπανίσταται μέτρων· Θεὸς γάρ ἐστι γενόμενος ἄν θρωπος, ἀῤῥήτῳ τινὶ καὶ ἀφράστῳ συνόδῳ μέσην ὥσπερ τινὰ χώραν ἐπέχων, ὡς μήτε τοὺς τῆς ἀληθοῦς θεότητος ὅρους ἐκδραμεῖν, μήτε μὴν ὁλοτρόπως τοὺς τῆς ἀνθρωπό τητος ἀπολιπεῖν. ἀνωθεῖ μὲν γὰρ αὐτὸν ἡ ἐκ Θεοῦ καὶ Πατρὸς ἀπόῤῥητος γέννησις, καθὸ Λόγος ἐστὶ καὶ Μονογενὴς, εἰς οὐσίαν τὴν θεϊκὴν καὶ εἰς δόξαν τὴν τούτῳ παρεπομένην εἰκότως· ὑποβιβάζει δέ πως ἡ κένωσις εἰς τὸ καθ' ἡμᾶς οὐχ ὥσπερ ἐκ βίας πλεονεκτεῖν ἰσχύσασα τὸν τῶν ὅλων βασιλέα μετὰ Πατρός· οὐ γὰρ ἂν ἐβιάσθη ποτὲ τὸ παρὰ γνώμην ὁ Μονογενής· αὐτόκλητος δὲ μᾶλλον, ἐξ ἀγάπης τῆς εἰς ἡμᾶς 2.695 εἰσδεχθεῖσά τε καὶ τετηρημένη. τεταπείνωκε γὰρ ἑαυτὸν, τουτέστιν ἑκὼν καὶ οὐκ ἐξ ἀνάγκης τῆς τινος. ἁλοίη γὰρ ἂν οὐχ ἑκὼν ἔτι τὸ τῆς ταπεινώσεως ὑπομείνας πάθος, εἴπερ ἦν τις ὅλως ὁ πλεονεκτεῖν ἰσχύων, καὶ ἀνεθελήτως ἰέναι πρὸς τοῦτο κελεύων. τεταπείνωκε τοίνυν ἑαυτὸν ἑκὼν δι' ἡμᾶς· οὐ γὰρ ἂν ὠνομάσθημέν ποτε καὶ ἡμεῖς υἱοὶ κατὰ χάριν καὶ θεοὶ, μὴ οὐχὶ τὴν ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς εἰσβε βηκότος ταπείνωσιν τοῦ Μονογενοῦς, πρὸς ὃν καὶ αὐτοὶ μορφούμενοι διὰ μετουσίας τοῦ Πνεύματος, καὶ τέκνα Θεοῦ καὶ θεοὶ χρηματίζομεν. ὅταν οὖν τι λέγῃ συμπαραζεύξας τρόπον τινὰ τῷ θεϊκῷ καὶ τὸ ἀνθρώπινον, μὴ διὰ τοῦτο σκανδαλισθῇς, ἀσυνέτως ἀφεὶς τὸ θαυμάσαι καθηκόντως τὴν ἐπινοηθεῖσαν τοῖς λόγοις ἀσύγκριτον τέχνην, διὰ παντὸς ἡμῖν ἀνασώζουσαν τρόπου τὸ διπλοῦν ἀστείως, ὡς ὁρᾶν ἐν ταὐτῷ τὸν λέγοντα Θεόν τε τῇ φύσει καὶ ἄνθρωπον ἀληθῶς, τῇ τῆς ἀῤῥήτου φύσεως δόξῃ τὸ τῆς ἀνθρωπότητος ταπεινὸν εὖ μάλα συναναπλέκοντα, ἀνυπαίτιόν τε καὶ ψόγου παντὸς ἐλευθέραν τηρήσαντα παντελῶς τὴν ἐπ' ἄμφω σύμμετρον ἐκδρομήν. Καὶ ταῦτά φαμεν, οὐκ εἰς τὸ μεῖον ἤπερ ἦν ἐν ἀρχαῖς τὴν τοῦ Λόγου φύσιν κατεσπάσθαι διαβεβαιούμενοι, πόθεν; ἀμαθίας γὰρ ἐσχάτης οὐκ ἀμοιρήσειεν ἂν τὸ οὕτω φρονεῖν, ἐπεὶ πάντη τε καὶ πάντως ἀπαθὲς τὸ θεῖον, τῆς εἰς πᾶν ὁτιοῦν παρατροπῆς οὐκ ἀνεχόμενον, ἑδραιοτάτην δὲ μᾶλλον τὴν οἰκείαν ἀποσῶζον στάσιν· ἀλλ' ὅτι τῆς ἑκουσίου κενώ σεως ὁ τρόπος ὡς ἐξ ἀναγκαίου λόγου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ τῆς ταπεινώσεως περικείμενος σχῆμα, διὰ τὸ ἀνθρώπινον ἐν ἐλάττοσί πως ἢ ἐν οἷς ἐστιν ὁ Πατὴρ φαίνεσθαι ποιεῖ, τὸν ἴσον αὐτῷ σύμ μορφόν τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ πεφηνότα Θεὸν Μονο γενῆ. καὶ μὴ θαυμάσῃς ἀκούων, εἰ τῆς τοῦ Πατρὸς μεγαλο πρεπείας ἐν ἐλάττοσιν εἶναι δοκεῖ διὰ τὸ ἀνθρώπινον ὁ Υἱὸς, ὅτε διὰ τοῦτο καὶ αὐτῶν ἡττῆσθαι τῶν ἀγγέλων ὁ Παῦλος ἡμῖν αὐτὸν διισχυρίσατο γράφων ὧδε "Τὸν δὲ βραχύ τι 2.696 "παρ' ἀγγέλους ἠλαττωμένον Ἰησοῦν διὰ τὸ πάθημα τοῦ "θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον," καίτοι τῶν ἁγίων ἀγγέλων προσκυνεῖν αὐτὸν ἐπιτεταγμένων· "ὅταν γὰρ, φησὶν, "εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει Καὶ "προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ," ἀλλὰ καὶ τῶν ἁγίων Σεραφὶμ κύκλῳ περιεστηκότων καὶ τάξιν ἀποπληρούντων τὴν οἰκετικὴν, ὅτε καθήμενος "ἐπὶ θρόνου "ὑψηλοῦ καὶ ἐπηρμένου" τοῖς προφήταις ἐφαίνετο. οὐκοῦν ὅσον ἧκεν εἰπεῖν εἰς τὴν ἐκ Θεοῦ Πατρὸς γνησίαν τε ὠδῖνα καὶ γέννησιν, οὐκ ἴδιον τοῦ Υἱοῦ τὸ ἀνθρώπινον· ἴδιον δὲ πάλιν αὐτοῦ, καθὸ πέφηνεν ἄνθρωπος, διαμεμενηκὼς μὲν ὅπερ ἦν ἀεὶ καὶ ἔστι καὶ ἔσται διὰ παντὸς, ἑαυτὸν δὲ καθεὶς εἰς ὅπερ οὐκ ἦν δι' ἡμᾶς. Πάτερ τοίνυν φησὶν ἅγιε τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. διατηρεῖσθαι τοὺς μαθητὰς τῇ τῆς ἀῤῥήτου φύσεως δυνάμει καὶ ἐξουσίᾳ βού λεται, καλῶς καὶ πρεπόντως ἀνατιθεὶς τὸ τοὺς οὕσπερ ἂν βούληται διασώζειν δύνασθαι, καὶ μάλα ῥαδίως, τῷ γε ἀλη θῶς καὶ κατὰ φύσιν ὄντι Θεῷ· δοξάζει δὲ διὰ τούτων οὐχ ἑτέραν τινὰ πάλιν, ἀλλὰ τὴν ἑαυτοῦ φύσιν, ὡς ἐν προσώπῳ τοῦ Πατρὸς, ἐξ οὗ γεγέννηται ὡς Θεός. τοιγαροῦν ὦ Πάτερ, τήρησον αὐτούς φησιν ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, τουτέστι τῷ θείῳ. δεδόσθαι δὲ πάλιν τὸ τῆς θεότητος ὄνομά φησιν ἑαυτῷ, οὐχ ὡς ἐκ τοῦ μὴ εἶναι κατὰ φύσιν Θεὸς εἰς ἐπί κτητον θεότητος κεκλημένος ἀξίωμα· θετὸς γὰρ ἂν εἴη, καθάπερ ἡμεῖς, νόθην ἔχων καὶ κεκληρωμένην τὴν δόξαν καὶ τὴν φύσιν κεκαπηλευμένην, ἅπερ οὐ θέμις ἡμᾶς ἐννοεῖν· ζημιωθείη γὰρ διὰ τοῦτο καὶ τὸ εἶναι κατὰ φύσιν Υἱός. ἐπειδὴ δὲ, καθάπερ αἱ θεῖαι χρησμῳδοῦσι γραφαὶ, γέγονε σὰρξ ὁ Λόγος, τουτέστιν ἄνθρωπος, δεδέχθαι φησὶν ἅπερ εἶχεν, ὡς Θεός· οὐ γὰρ ἂν φαίνοιτο προσὸν φυσικῶς ἀν 2.697 θρώπῳ τὸ τῆς θείας δόξης ὄνομά τε καὶ πρᾶγμα. νόει δὲ πάλιν, καὶ σύνες ἀκριβῶς, ὅπως ἑαυτὸν τὴν ζῶσάν τε καὶ ἐνυπόστατον δύναμιν ἔδειξε τοῦ Θεοῦ καὶ Πατρὸς, δι' ἧς τὰ πάντα ἐργάζεται. προσφωνῶν γὰρ καὶ λέγων Τήρησον αὐτοὺς, οὐχὶ δὴ τούτοις ἠρκέσθη μόνον, ἑαυτὸν δὲ πάλιν παρακεκό μικεν εὐφυῶς, ὡς ἐνεργὸν εἰς τήρησιν καὶ δύναμιν οὖσαν τὴν καὶ εἰς τοῦτο δραστήριον τοῦ γεγεννηκότος αὐτόν· τήρησον γὰρ αὐτούς φησιν ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι. ὁρᾷς τοῦ λόγου τὴν ἀσφάλειαν. ἀπονέμων γὰρ ὥσπερ καὶ ἀνα θεὶς διαπρέπον μόνῃ τῇ τῆς θεότητος φύσει τὴν τῶν καθ' ἡμᾶς ἐπισκοπὴν καὶ οἰκονομίαν, ἑαυτῷ δεδόσθαι τὴν τῆς θεότητος δόξαν παραχρῆμα διισχυρίζεται, διὰ τὸ τῆς ἀνθρω πότητος σχῆμα, δοτὸν εἶναι λέγων τὸ φύσει προσὸν αὐτῷ, τουτέστι "τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα·" ὅθεν καὶ προσεῖ ναί φαμεν τῷ Υἱῷ φυσικῶς μὲν ὡς ἐκ Πατρὸς, ἀνθρωπίνως δὲ κατὰ δόσιν, ἅπερ ὡς ἄνθρωπος δέχεται, ὅσον εἰς ἀνθρώ που λόγον τοῦ καθ' ἡμᾶς· οὐ γὰρ φύσει Θεὸς ὁ ἄνθρωπος, Θεὸς δὲ φύσει Χριστὸς εἰ καὶ νοοῖτο καθ' ἡμᾶς διὰ τὸ ἐξ ἡμῶν. Τηρεῖσθαι γεμὴν ἐν τῇ καθ' ὁμόνοιάν τε καὶ ταυτοβου λίαν ἑνώσει βούλεται τοὺς μαθητὰς ἀνακιρναμένους ὥσπερ ἀλλήλοις ψυχῇ καὶ πνεύματι καὶ τῷ τῆς εἰρήνης καὶ φιλαλ ληλίας θεσμῷ, πρὸς ἀῤῥαγῆ τινα τῆς ἀγάπης δεσμὸν κατα σφίγγεσθαι, ὡς μέχρι τοσούτου προελθεῖν τὴν ἕνωσιν, ὥστε καὶ εἰκόνα τῆς φυσικῆς ἑνότητος, τῆς ἐν Πατρὶ καὶ Υἱῷ νοουμένης, τὴν προαιρετικὴν γενέσθαι συνάφειαν, ἀδιάσπα στον δηλονότι καὶ ἀκατάσχετον, ὑπὸ μηδενὸς τὸ σύμπαν τῶν ἐν τῷ κόσμῳ πραγμάτων, ἤτοι φιληδονιῶν, εἰς ἀνομοιό τητα θελημάτων ἐξελκομένην, διασώζουσαν δὲ μᾶλλον ἐν ἑνότητι τῇ κατ' εὐσέβειαν καὶ ἁγιασμὸν, ἀσινῆ τῆς ἀγάπης τὴν δύναμιν, ὃ καὶ γενέσθαι συμβέβηκεν. ὡς γὰρ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἀνέγνωμεν "Τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλήθους τῶν 2.698 "πιστευόντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία," ἐν ἑνώσει δη λονότι τῇ τοῦ Πνεύματος. τοῦτο γάρ ἐστι καὶ τὸ δι' αὐτοῦ πάλιν εἰρημένον τοῦ Παύλου "Ἓν σῶμα καὶ ἓν πνεῦμα·" "ἓν γὰρ σῶμα οἱ πολλοί ἐσμεν ἐν Χριστῷ, οἱ γὰρ πάντες "ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν," καὶ πάντες ἐν ἑνὶ διακεχρί σμεθα Πνεύματι τῷ τοῦ Χριστοῦ. ὡς οὖν ἐσομένους συσ σώμους, ἑνός τε καὶ τοῦ αὐτοῦ συμμεθέξοντας Πνεύματος, εἰς ἑνότητα πνεύματος τὴν οὐδαμόθεν διασπωμένην καὶ εἰς ὁμόνοιαν ἀῤῥαγῆ διατηρεῖσθαι βούλεται τοὺς ἑαυτοῦ μαθητάς. εἰ δέ τις δοίη καὶ κατ' ἐκεῖνον τὴν τρόπον ἑνοῦσθαι τοὺς μαθητὰς, ὥσπερ οὖν ἕν εἰσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, οὐχὶ μόνον κατὰ τὴν οὐσίαν, ἀλλὰ καὶ κατὰ τὴν βούλησιν· μία γὰρ θέλησις ἐν τῇ ἁγίᾳ φύσει, καὶ τὸ εἰς πᾶν ὁτιοῦν βούλημα ταὐτόν· νοείτω καὶ οὕτως. οὐ γὰρ ἔξω βαδιεῖται λογισμοῦ τοῦ καθήκοντος, ἐπείτοι καὶ τὸ ἐν θελήσει ταὐτὸν θεωρήσαι τις ἂν παρά γε τοῖς ὄντως Χριστιανοῖς, εἰ καὶ μὴ ἐν ἴσῳ τύπῳ τὸ ὁμοούσιον ἐφ' ἡμῖν, καθάπερ ἐπὶ Πατρὸς καὶ τοῦ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ Θεοῦ Λόγου. Ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, καὶ ἐφύλαξα αὐτοὺς, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ· νῦν δὲ πρός σε ἔρχομαι. Πρόεισί πως κατὰ βραχὺ πρὸς ἐμφανεστέραν δήλωσιν τοῦ Σωτῆρος ὁ λόγος, διεσκιασμένως δὲ ὡς ἐν ἀρχαῖς, διαγ γέλλεται ἤδη καὶ ἐκκαλύπτεται, καθάπερ ἐκ χειμῶνος εἰς εὐδίαν μεταβαλών· ᾤοντο μὲν γὰρ οἱ μακάριοι μαθηταὶ πρὸς πολλῆς αὐτοῖς ἔσεσθαι ζημίας τοῦ Σωτῆρος ἡμῶν τὴν ἀπό λειψιν, δῆλον δὲ ὅτι τὴν μετὰ σαρκὸς νοουμένην· συνεῖναι γὰρ ὡς Θεὸς οἷσπερ ἂν βούληται τὸ κωλύον οὐδέν· προσε δόκων δὲ ὅτι διασώσει μὲν αὐτοὺς οὐδεὶς, ἀναληφθέντος εἰς οὐρανὸν τοῦ Χριστοῦ, προκείσονται δὲ τοῖς ἐθέλουσι κακοῦν, 2.699 οὐδενὸς τὸ παράπαν τὴν τῶν πλεονεκτούντων ἐξείργοντος χεῖρα, κειμένου δὲ μᾶλλον τοῖς ἐθέλουσιν ἐπ' ἐξουσίας τοῦ πάντα δρᾶν εἰς αὐτοὺς ἀδιακωλύτως, καὶ παντὸς εἴσω κινδύνου καλεῖν. ἀλλ' εἰ καὶ σοφοὶ καὶ πατέρες καὶ τῆς οἰκουμένης φωστῆρες γεγόνασιν, οὐκ ὀκνητέον εἰπεῖν, ὡς ἔδει μὴ μόνον εἰς τὴν ἔνσαρκον παρούσιαν ἀποβλέπειν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, εἰδέναι δὲ δὴ ὅτι καὶ εἰ τῆς πρὸς αὐτοὺς συνουσίας ἀπονοσφίζοιτο κατὰ σάρκα, καὶ εἰ μὴ τοῖς τοῦ σώματος ὁρῷτο τυχὸν ὀφθαλμοῖς, ἀλλά γε παρόντα καὶ συνόντα διὰ παντὸς τῇ τῆς θεότητος ἐξουσίᾳ χρῆν δήπου πάντως ἐννοεῖν. πότε γὰρ τῶν ἰδίων ἰδιωμάτων καταλήξει Θεὸς, ἢ τί τὸ ἀντιστατοῦν τῇ τῶν ὅλων κρατούσῃ φύσει, καὶ παραποδί ζειν αὐτὴν καθάπερ ἐξ ἀνάγκης δυνάμενον πρὸς τὸ ἐνεργῆσαι τὰ ἑαυτῆς; ἐνέργεια δὲ καὶ δύναμις θεοπρεπὴς, τὸ εἶναι παν ταχῇ, καὶ πληροῦν μὲν ἀῤῥήτως τὸν οὐρανὸν, πληροῦν δὲ αὖ πάλιν τὴν γῆν, καὶ χωρεῖν μὲν ἐν πᾶσι, χωρεῖσθαι δὲ ὑπὸ μηδενός. οὐ γὰρ τόπῳ περιληπτὸς ὁ Θεὸς, ἢ διαστήμασι περιωρισμένος, ἀλλ' οὐδὲ περιγραφῆς εἴσω τινός· παθεῖν γάρ τι τοιοῦτον ἡ ἄποσός τε καὶ ἀμεγέθης καὶ ἀσώματος οὐκ ἀνέχεται φύσις. οὐκοῦν ἐπείπερ ἦν ἅμα Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ Χριστὸς, χρῆν δήπου πάντως μὴ ἀγνοῆσαι τοὺς μαθητὰς, ὡς εἰ καὶ ἀπεῖναι γένοιτο σωματικῶς, οὐκ ἀπολειφθήσεται παντελῶς, συνέσται δὲ πάντως, κατὰ τὸν ἄῤῥητον τῆς θεοπρεποῦς ἐξουσίας λόγον. διὰ γάρ τοι τοῦτο καὶ αὐτὸς ὁ Σωτὴρ ἐν μὲν τοῖς παρῳχηκόσιν ἔλεγε "Πάτερ "ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι·" νυνὶ δὲ πάλιν Ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, μονονουχὶ τοῦτο δηλῶν τοῖς ἑαυτοῦ μαθηταῖς, ὅτι τῇ τῆς θεότητος ἐνεργείᾳ μᾶλλον ἂν πρέποι, καὶ οὐ τῇ τῆς σαρκὸς παρουσίᾳ, τὸ διασώζειν δύνασθαί τινας· καὶ αὐτὴ γὰρ ἡ σὰρξ οὐκ ἐξ ἑαυτῆς ἡγιάζετο, τῇ δὲ 2.700 συνουσίᾳ τοῦ ἑνωθέντος αὐτῇ Λόγου, πρὸς τὴν αὐτοῦ τρόπον τινὰ φυσικὴν μεθισταμένη δύναμιν, σωτηρίας πρόξενος καὶ ἁγιασμοῦ τοῖς αὐτῆς μετέχουσι γίγνεται. τὸ σύμπαν οὖν ἄρα τῆς ἐνεργείας τῆς θεοπρεποῦς οὐχὶ δὴ πάντως αὐτῇ καθ' ἑαυτὴν ἀναθήσομεν τῇ σαρκὶ, πρεπωδέστερον δέ τι φρονοῦν τες τῇ θείᾳ τοῦ Λόγου δυνάμει προσγράψομεν. τὸ γὰρ ἐν τῷ ὀνόματι τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατρὸς τηρεῖσθαι τοὺς μαθητὰς, ἆρ' οὐχὶ τοῦτό ἐστι καὶ ἕτερον οὐδέν; Θεοῦ γὰρ δόξῃ τετήρηνται. ἀφιστὰς τοιγαροῦν τῆς τῶν μαθητῶν διανοίας τὸν ἐκ τοῦ δοκεῖν ἀπολιμπάνεσθαι φόβον, αὐτὸ διὰ τῶν αὐτῶν ἀνακυκ λήσας πολλάκις πᾶσαν αὐτοῖς ἔσεσθαι τὴν ἀσφάλειαν, οὐκ ἐκ τοῦ συνδιαιτᾶσθαι σωματικῶς τῷ διδασκάλῳ φησὶν, ἀλλ' ἐπείπερ μᾶλλόν ἐστι κατὰ φύσιν Θεός. ἀκατάληκτον δὲ δῆλον ὅτι τὴν ἐφ' ἅπασιν ἔχων ἐξουσίαν καὶ δύναμιν· οὐ γὰρ ἂν ἀλλοιωθείη καὶ μετάστασίν τινα λάβοι πρὸς ὅπερ οὐκ ἦν τὸ ὡσαύτως ἔχον ἀεὶ, διασώσῃ δὲ πάλιν αὐτοὺς οὐδὲν ἧττον ἀκονιτὶ, καὶ παντὸς τοῦ προσπίπτοντος ἐξελεῖ ται κακοῦ. κατανόει δὲ πάλιν τὴν ἐγκεκρυμμένην τῷ λόγῳ πρόνοιαν, εἰς ὄνησιν ἡμετέραν καὶ οἰκοδομήν. ἐξαιτήσας γὰρ ὥσπερ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς γενέσθαι τὴν τήρη σιν, τὴν εἰς τοὺς ἁγίους δὲ δηλόνοτι φημὶ μαθητὰς, αὐτὸς ἤδη πεπραχέναι τὸ τοιοῦτό φησιν, ἰσοσθενῆ τε καὶ ἰσουργὸν τῷ ἰδίῳ γεννήτορι δεικνὺς ἑαυτὸν, μᾶλλον δὲ ἑαυτὸν ὄντα τὴν ἐνυπόστατον τοῦ γεννήσαντος δύναμιν. ᾧ γὰρ ἂν φαίνοιτο προσὸν τὸ ταὐτὰ δύνασθαι τῷ γε ὄντι καὶ ὁμολογουμένῳ κατὰ φύσιν Θεῷ, πῶς οὐκ ἂν πάντη τε καὶ πάντως ἐνυπάρχον νοοῖτο, καὶ τὸ ἴσον ἐν ἐξουσίᾳ καὶ ἡ κατὰ φύσιν ταυτότης; καὶ ὁ τηρήσας ὡς Θεὸς ἐν ὀνόματι Θεοῦ, πρέπουσάν τε τῇ κλήσει τὴν ἐκ τῶν κατωρθωμένων θεοπρεπῶς ἀναδησάμενος δόξαν, κατὰ τίνα τρόπον ἔκφυλος, ἤγουν ἑτεροφυὴς, μᾶλλον δὲ οὐκ αὐτόχρημα δειχθήσεται τοῦθ' ὅπερ ἐστὶ κατὰ φύσιν 2.701 Θεός; οὐ γὰρ ἄν τι δράσαι τῶν ὄντων τὰ ἰδικῶς ἐνεργήματα Θεοῦ, μὴ οὐχὶ τοῦτο ὑπάρχον οὐσιωδῶς, ὅπερ ἂν εἶναι τυχὸν οἰησαίμεθα τὸν Θεόν. ἀποσώζει δὲ πάλιν ἐν τῇ καθ' ἑαυτὸν θεωρίᾳ τὸ ἐν νοήσει διπλοῦν διὰ τὴν μετὰ σαρκὸς οἰκο νομίαν. ἀποφέρει μὲν γάρ πως τῆς γενητῆς φύσεως τὸ διασώζειν δύνασθαι καὶ τηρεῖν τὰ οἷσπερ ἂν τοῦτο τυχὸν ὀφείληται δι' εὐσέβειαν, ἀνατίθησι δὲ τῷ ὀνόματι τοῦ Πατρὸς, μόνῃ τῇ θείᾳ προσνέμων φύσει τὰ θεοπρεπῆ. διὰ γὰρ τοῦτο πάλιν, καίτοι τετηρηκέναι λέγων τοὺς μαθητὰς, οὐ τοῖς ἀν θρωπότητος μέτροις τὴν τοῦ κατορθώματος ὑπόληψιν ἐχαρί σατο, πεπληρῶσθαι δὲ μᾶλλον ἐν ὀνόματι λέγει τῷ τοῦ Θεοῦ, ἔξω μέν πως τιθεὶς ἑαυτὸν τοῦ πράγματος, καθὸ γέγονέ τε καὶ νοεῖται σὰρξ, εἴσω δὲ πάλιν τοῦ τηρῆσαι τιθεὶς καὶ ἐνεργεῖν δύνασθαι τὰ θεοπρεπῆ, καθόπερ ἐστὶ Θεὸς ἐκ Θεοῦ, δύναμις ἡ παντουργικὴ τοῦ Πατρὸς, ἰσχὺς οὐκ ἐνεργουμένη, ἀλλ' ἐξ ὧν ἐστιν αὐτὴ τὴν ὅθεν ἀῤῥήτως προέκυψεν ἐμφανί ζουσα φύσιν. εἰ δὲ δεδόσθαι φησὶν αὐτῷ κἀν τούτῳ δὴ πάλιν τὸ τῆς θεότητος ὄνομα, καίτοι Θεὸς κατὰ φύσιν ὑπάρ χων καθὸ πέφηνεν ἐκ Θεοῦ Μονογενὴς, οὐδὲν τοῦτο διαλυ μαίνεται τῇ ἀληθείᾳ τοῦ πράγματος, οὐδὲ τῆς αὐτῷ πρε πούσης ἐξώσειεν ἂν αὐτὸν τιμῆς τε καὶ δόξης· πολλοῦ γε καὶ δεῖ. εἴη γὰρ ἂν τὸ λαβεῖν τῆς ἀνθρωπότητος ἴδιον, καὶ αὐτῇ πρεπόντως ἀνακείσεται μᾶλλον· ἔχει γὰρ οὐδὲν ἐξ ἑαυτῆς. Τηρῆσαι δὲ οὕτω φησὶ τοὺς ἑαυτοῦ μαθητὰς, καὶ τοσαύ την ἐπ' αὐτοῖς ποιῆσαι τὴν πρόνοιαν, ὡς ἀπολέσθαι μηδένα, πλὴν ἑνὸς, ὃν καὶ τῆς ἀπωλείας ὠνόμασεν υἱὸν, ὡς ἐξ οἰκείας βουλῆς, μᾶλλον δὲ μοχθηρίας τε καὶ ἀνοσιότητος, τῇ ἀπωλείᾳ χρεωστούμενον. οὐδὲ γὰρ οἰησόμεθά ποτε, κατὰ θεῖόν τε καὶ ἄμαχον κρῖμα τὸν προδότην ἐν μαθηταῖς τῇ τοῦ θηρεύοντος ἐναλῶναι παγίδι, καὶ βρόχων εἴσω γενέσθαι 2.702 διαβολικῶν· ἦ γὰρ ἂν ὑπάρχοι καὶ ἀνυπαίτιος, ψήφῳ τὸ νικᾶν παραχωρήσας τῇ ἄνωθεν. κρίματι γὰρ τῷ παρὰ Θεοῦ τίς ἀντιστήσεται; νυνὶ δὲ κατάκριτος βδελυρός τε καὶ ἐν ἀμείνοσιν, εἰ μηδόλως ἐγεννήθη. διὰ ποίαν αἰτίαν; ἐξ οἰκείων γὰρ τοῦτο παθὼν θελημάτων, καὶ οὐκ ἐξ ἀνάγκης τῆς παρά τινος ὁ δείλαιος ἐξελέγχεται· ὁ δὲ τὸν οὕτω δεινὸν ἀγαπήσας ὄλεθρον, τέκνον ἀπωλείας εὐλόγως ἂν ὀνομάζοιτο, ἅτε δὴ καὶ χρεωστούμενος μὲν ὀλέθρῳ καὶ φθορᾷ, περιμένων δὲ ὥσπερ ὠδῖνα καὶ οἶμον τὴν τῆς ἀπωλείας ἡμέραν. Ἐπειδὴ δὲ προστέθεικε τοῖς περὶ τούτου λόγοις τό Ἵνα πληρωθῇ ἡ γραφὴ, πάλιν ἐκεῖνο χρησίμως τοῖς ἐντευξομένοις φαμέν. οὐ γὰρ ἐπειδήπερ εἴρηκεν ἡ γραφὴ, διόλωλεν ὁ προδότης, καὶ εἰς τοῦτο παρῆλθε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φαυλότητος, ὡς ὀλίγων ἀργυρίων τὸ τίμιον αἷμα προέσθαι τοῦ Χριστοῦ· ἐπειδὴ δὲ ἀπολέσθαι πάντη τε καὶ πάντως ἔμελλε, διὰ τὴν ἐνοῦσαν αὐτῷ δυστροπίαν παραδοὺς τὸν Κύριον, ὅτι πάντως ἔσται προμεμήνυκεν ἡ γραφὴ, ἣν οὐκ ἦν διαψεύσασθαι. Θεοῦ γὰρ λόγος ἐστὶ τοῦ πάντα εἰδότος, καὶ ἐν ἰδίᾳ νοήσει τὸν ἑκάστου φέροντος τρόπον τε καὶ βίον, καὶ τὴν ἀπ' ἀρχῆς εἰς τέλος διεξαγωγήν. καὶ γοῦν ὁ ψάλλων τὴν τῶν ὅλων εἴδησιν τήν τε τῶν παρῳχηκότων ἤδη καὶ τὴν τῶν ἔσεσθαι προσδοκωμένων ἀπονέμων αὐτῷ, πρὸς αὐτόν που φησί "Σὺ "συνῆκας πάντας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν, "τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ "πάσας τὰς ὁδούς μου προεῖδες·" πάντα τοίνυν προεγνω κὼς, καὶ ὡς ἤδη παρόντα περιαθρήσας τὰ μέλλοντα, πρὸς τοῖς ἄλλοις ἅπασιν οἷς ἔφη περὶ Χριστοῦ, ὁ θεῖος ἡμῖν προ μεμήνυκε λόγος, ὅτι καὶ ἀπολεῖται προδοὺς ὁ τεταγμένος ἐν μαθηταῖς· ἦν δὲ οὐχὶ πάντως θέλησίς τε καὶ πρόσταγμα Θεοῦ, τὸ προειδέναι τε καὶ εἰπεῖν τὰ ἐσόμενα, ἀλλ' οὐδὲ ἡ πρόῤῥησις ἀναγκαστικὴ πρὸς ἐνέργειαν τοῦ προσημανθέντος κακοῦ, καὶ τῆς κατὰ τοῦ Σωτῆρος ἐπιβουλῆς, ἀποτρεπτικὴ 2.703 δὲ μᾶλλον. τῷ γὰρ τοῦτο μαθόντι μετῆν δήπου πάντως, εἴπερ ἠβουλήθη, καὶ παραιτήσασθαι καὶ φυλάξασθαι τὸ παθεῖν, προαιρετικὴν ἔχοντι τὴν ἐφ' ὅπερ ἂν βούλοιτο ῥοπήν. Ἀλλ' ἴσως ἐρεῖς Πῶς οὖν ἔτι τετήρηκεν ὁ Χριστὸς, εἰ ταῖς τῶν ἰδίων θελημάτων ῥοπαῖς καὶ προαιρετικοῖς κινή μασιν, οἱ μὲν ἔξω δικτύων διαβολικῶν εὑρίσκονται γεγο νότες, ἥλω δὲ μόνος Ἰούδας παρὰ πάντας ὁ δείλαιος; ποῖον οὖν ἄρα γέγονε τὸ ἐκ τῆς ἐνθάδε λεγομένης τηρήσεως ὄφελος; Ἀλλ' ὦ γενναῖε, πάλιν ἐροῦμεν ἡμεῖς, καλὴ μὲν ἡ νῆψις, ἐπωφελεστάτη δὲ σφόδρα τῆς ἡμετέρας διανοίας ἡ ἀσφάλεια, καὶ τὸ σύντονον θέλημα πρὸς ἀγαθουργίαν καὶ εἰς κατόρ θωσιν ἀρετῆς· κατεργασόμεθα γὰρ οὕτω "τὴν ἑαυτῶν σωτη "ρίαν·" πλὴν οὐκ ἀρκέσει τοῦτο καὶ μόνον τῇ ἀνθρώπου ψυχῇ· δεῖται γὰρ ἀναγκαίως τῆς ἄνωθεν συνεργίας καὶ χάριτος, ἐξευμαριζούσης αὐτῇ τὰ δυσήνυτα, εὐστιβῆ δὲ λίαν ἀποτελούσης τὴν ἀνάντη καὶ τετραχυμένην τῆς δικαιοσύνης ὁδόν. ὅτι γὰρ οὐδὲν ὅλως τὰ παρ' ἡμῶν, εἰ μὴ τὰ ἐκ τῆς θείας προσγένοιτο χάριτος, ἄκουε βοῶντος τοῦ ψάλλοντος "Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν "οἱ οἰκοδομοῦντες αὐτόν· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, "εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων." Χρῆναι δὴ οὖν ἀναγκαίως φημὶ ἡμᾶς μὲν τὴν οἴκοθεν εἰσκομίζειν ἐγκράτειαν καὶ τὴν φιλόθεον ἕξιν ἐπιτηδεύοντας, νεανικοὺς ὁρᾶσθαι πρὸς τὸ ἐξανῦσαι φιλεῖν τὴν ἑαυτῶν σωτηρίαν, ἐξαιτεῖν δὲ οὕτω τὰ παρὰ Θεοῦ, καὶ τὴν ἄνωθεν ἐπικουρίαν καθάπερ ἄμαχόν τινα καὶ ἀῤῥαγῆ παντευχίαν ἑλόντας ἀνδρίζεσθαι. δεδωκότος δὲ ἅπαξ καὶ ἐπινεύσαντος ἡμῖν πρὸς τοῦτο τοῦ Θεοῦ, ἐξὸν ἡμῖν ἤδη τὴν τῶν πολε μούντων καταγωνίζεσθαι δύναμιν καὶ τὴν τοῦ διαβόλου χεῖρα πλεονεκτεῖν, εἰ μὴ βουλοίμεθα πείθεσθαι καλοῦντι 2.704 πρὸς ἡδονὰς, ἤγουν εἰς ἕτερον ἁμαρτίας τρόπον· εἰ τὴν οἰκείαν ἡμεῖς αὐτῷ χαρισαίμεθα βούλησιν, καὶ ταῖς εἰς φαυ λότητα ῥοπαῖς ἑαυτοὺς καθέντες εἰς τὸν ἐκείνου βρόχον διε λεγχοίμεθα, πῶς ἂν ἕτερον ἔτι πρεπόντως αἰτιασαίμεθα καὶ οὐχὶ μᾶλλον ταῖς ἑαυτῶν ἀβουλίαις τὸ παθεῖν ἐπιγράψωμεν; ἢ γὰρ οὐ τοῦτό ἐστιν, ὅπερ εἴρηκε φθάσας ὁ Σολομών "Ἀφροσύνη ἀνδρὸς λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ, τὸν δὲ "Θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ·" ἀλλ' ἔστιν οὐκ ἀμφί λογον. εἰ μὲν οὖν οὐ μετῆν τῷ προδότῃ τῆς παρὰ τοῦ Σωτῆρος ἐπικουρίας ἐν ἴσῳ τοῖς ἄλλοις ἀπολαύειν μαθηταῖς, ἐπιδεικνύτω τις, καὶ ἡττήμεθα· εἰ δὲ τοῖς ἄλλοις ἐν ἴσῳ τὴν ἐκ τῆς θείας χάριτος ἔχων περιβολὴν, ἐξ ἰδίων θελημάτων εἰς τὸ τῆς ἀπωλείας κατώλισθε βάραθρον, πῶς οὐ τετήρηκεν ὁ Χριστὸς τὰ ἐκ τῆς οἰκείας ἡμερότητος ἐπιδοὺς, καὶ ὅσον ἧκεν εἰς τὴν τῆς ἀσφαλείας ἐπίδοσιν διασῶσαι τὸν ἄνθρω πον, εἰ μὴ τὸ παθεῖν ἠθέλησεν ἐξ ἰδίων θελημάτων αὐτός. διέπρεψε γοῦν ἐν τοῖς ἑτέροις ἡ χάρις, μέχρι παντὸς διασώ σασα τοὺς τὴν ἰδίαν προαίρεσιν συνεργάτην ὥσπερ ποιησα μένους αὐτῇ. διοικεῖται γὰρ οὕτω τῆς ἑκάστου σωτηρίας ὁ τρόπος. Καὶ ταῦτα λαλῶ ἐν τῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. Διαμέμνησο πάλιν ὧν ἐλέγομεν ἀρτίως, καὶ συνήσεις εὖ μάλα τοῦ προκειμένου τὸν νοῦν. διττὴν γὰρ ἡμῖν πανταχῆ τοῦ ἰδίου προσώπου διεσώσατο τὴν παράστασιν, καὶ τὸ θεῖον ἐν ἑαυτῷ διαπρέπον ἀξίωμα δεικνὺς, καὶ τὸ πρέπον τῇ ἀν θρωπότητι μέτρον οὐκ ἀπόβλητον ποιησάμενος διὰ τὴν οἰκονομίαν. καὶ γὰρ ἦν πως ἄτοπον ἐξαρνεῖσθαι θέλειν αὐτὸν τὸ δι' ἡμᾶς ἑκουσίως προσληφθέν. οὐδενὸς γὰρ ὢν ἐπιδεὴς, τέλειος δὲ κατὰ πάντα ἐκ τελείου Πατρὸς, κεκένωκεν ἑαυτὸν, οὐχ ἑαυτῷ τι τῶν χρησίμων πραγματευόμενος, ἀλλ' ἡμῖν αὐτοῖς τὸ ἐκ τῆς κενώσεως προξενῶν ἀγαθόν. Θεὸν 2.705 οὖν ἄρα καὶ ἄνθρωπον ἐν ταὐτῷ παριστὰς ἑαυτὸν, ἐννοεῖν ὥσπερ ἀναπείθει τοὺς μαθητὰς, ὡς ἀπών τε καὶ παρὼν οὐδὲν ἧττον ἐνεργήσει τὰ πρὸς σωτηρίαν αὐτοῖς τελοῦντα τὴν κατὰ Θεὸν, καὶ ὥσπερ τετήρηκεν ἔτι συνὼν ἐπὶ γῆς διὰ τὸ ἀνθρώπινον, οὕτω τηρήσει καὶ ἀπὼν θεϊκῶς διὰ τὸ τῆς ἰδίας οὐσίας ἐξαίρετον. οὐ γὰρ ἐν τόπῳ τὸ θεῖον, ἄπεστι δὲ παν τελῶς τῶν ὄντων οὐδενός· πληροῖ γὰρ τὰ πάντα καὶ διὰ πάντων ἐρχόμενον, ἔξω τε πάντων καὶ ἐν πᾶσίν ἐστι. δια λεγόμενος δὲ πρὸς τὸν ἑαυτοῦ Πατέρα καὶ λέγων "Πάτερ "ἅγιε, τήρησον αὐτοὺς," εὐθὺς εἰσκεκόμικεν, ἅτε δὴ καὶ ὑπάρχουσαν, τὴν ἐφ' ἅπασιν ἐνεργὸν δύναμιν τοῦ Πατρός· ἐν ταὐτῷ δὲ δείκνυσιν ὡς οὐκ ἔξω τῆς αὐτοῦ φύσεώς ἐστιν, ἀλλ' ἐν αὐτῇ τε καὶ ἐξ αὐτῆς ὑπάρχων ἀδιάσπαστον ἔχει τὴν ἕνωσιν, κἂν ἐν ὑπάρξει νοῆται τῇ καθ' ἑαυτόν. "Τήρη "σον γὰρ αὐτοὺς, φησὶν, ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι·" καὶ πάλιν "Ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν "τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι." ἀναγκαῖον τοιγαροῦν ἐννοεῖν, ὡς εἴπερ ἤδη τετήρηκε μὲν αὐτὸς ἐν ὀνόματι τῷ δοθέντι παρὰ τοῦ Πατρὸς, τουτέστιν, ἐν δόξῃ θεότητος· "ἐχαρίσατο γὰρ αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα·" τηρῆσαι δὲ καὶ αὐτὸν βούλεται τὸν Πατέρα πάλιν ἐν ὀνό ματι τῷ δοθέντι αὐτῷ, ὡς οὐκ ἔξω τῆς ἐνεργείας τῆς ἐν τῷ πράγματι κείσεται· διατηρήσει γὰρ ὁ Πατὴρ τοὺς ἐν πίστει τῇ εἰς αὐτὸν γνησίους, ὡς διὰ τῆς ἰδίας ἰσχύος τοῦ Μονο γενοῦς. ἐνεργὸς γὰρ οὐκ ἔσται περί τι τῶν ὄντων, εἰ μὴ δι' αὐτοῦ. οὐκοῦν εἰ τετήρηκε καὶ μετὰ σαρκὸς τῇ τῆς θεότητος ἐξουσίᾳ καὶ δόξῃ, κατὰ τίνα τρόπον ἐλλελοιπὼς ὀφθήσεται τὸ τῆς δεούσης φειδοῦς ἀξιοῦσθαι τοὺς μαθητὰς, πῶς δὲ δια πίπτειν ἀσφαλείας τῆς παρ' αὐτοῦ συμβήσεται, καίτοι διαμε νούσης ἀεὶ τῆς θεοπρεποῦς ἐξουσίας τοῦ Μονογενοῦς, καὶ ἐν ταυτότητι πεπηγμένης τῆς κατὰ φύσιν ἑνούσης ἰσχύος αὐτῷ; παρατροπῆς γὰρ ὅλως καὶ μεταστάσεως τῆς ἐφ' ἕτερόν τι 2.706 τῶν ἀδικεῖν εἰωθότων τὸ θεῖον ἀσύνηθες, ἀεὶ διαλάμπον ἐν ἀκαταλήκτοις τοῖς ἐνοῦσιν αὐτῷ πλεονεκτήμασι. Λελάληκα τοίνυν ἐν τῷ κόσμῳ τὰ τοιαῦτα, φησὶν, ἵνα οἱ ἡμέτεροι μαθηταὶ τὴν ἐμὴν ἔχωσι χαρὰν πεπληρωμένην ἐν αὐτοῖς· πῶς δὲ ἢ τίνα τρόπον, ἐροῦμεν εἰσαῦθις, ταῖς τῶν λόγων ἀσαφείαις φιλονεικεῖν οὐκ ὀκνήσαντες· ᾤοντο μὲν γὰρ οἱ μακάριοι μαθηταὶ, συνόντος αὐτοῖς καὶ συνδιατρί βοντος τοῦ Χριστοῦ, δῆλον δὲ ὅτι κατὰ σάρκα φαμὲν, πάσης μὲν εὐκόλως ἀπαλλαχθήσεσθαι συμφορᾶς, καὶ κιν δύνους τοὺς ἐξ Ἰουδαίων παραδραμεῖσθαι ῥᾳδίως, ἀνάλωτοί τε διαμένειν τοῖς ἐθέλουσι κακοῦν· κεχωρισμένου γεμὴν καὶ πρὸς τὸ ἄνω χωρήσαντος, παντὶ μὲν ἑτοίμως περιπεσεῖσθαι κινδύνῳ, τὸν δὲ ἐπὶ τοῖς ἐσχάτοις ὑπομεῖναι κίνδυνον, ὡς οὐδενὸς ὄντος ἔτι τοῦ διαρκῶς ἐπαμύνοντος καὶ τὴν τῶν πειρασμῶν διαπτοοῦντος ἔφοδον. διὰ ταύτην οὖν τὴν αἰτίαν ἄρα ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὔτε τὴν ἅπαξ ληφ θεῖσαν ἀρνούμενος ἀνθρωπότητα, οὔτε μὴν τῆς θεοπρεποῦς ἐξουσίας ἐν ἐνδείᾳ γεγονότα δεικνὺς ἑαυτὸν, τοῦτο κἀκεῖνο διὰ τῶν λόγων ἐφαίνετο, δεδόσθαι μὲν ὡς ἀνθρώπῳ λέγων τὸ τῆς θεότητος ὄνομα, ἀποτελεῖσθαι γεμὴν ἐν αὐτῷ καὶ δι' αὐτοῦ παρὰ Πατρὸς τὴν ἐπὶ τοῖς σεβομένοις αὐτὸν φειδώ τε καὶ τήρησιν. τί δὲ ἄρα τὸ σοφῶς ἦν ἐν τούτοις ἐξηρτυμένον; ἵνα δὴ μάθοιεν οἱ μακάριοι μαθηταὶ καὶ συνεῖεν εὖ μάλα, λεπτὸν ἐπιστήσαντες τῷ λεγομένῳ τὸν νοῦν, ὅτι καὶ συνὼν μετὰ σαρκὸς, οὐ διὰ ταύτης αὐτοῖς τὰ εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωτηρίαν εἰργά ζετο, ἀλλ' ἐν τῇ τῆς θεότητος δόξῃ καὶ δυνάμει τῇ παντ ουργῷ. οὐδὲν οὖν ἄρα, φησὶν, ἀδικήσει τοὺς μαθητὰς τὸ μὴ παρεῖναι μετὰ σαρκὸς, τῆς θεϊκῆς ἐξουσίας τοῦ Μονο γενοῦς διασώζειν εὐκόλως δυναμένης αὐτοὺς, κἂν εἰ μὴ φαίνοιτο παροῦσα τυχὸν ἡ σάρξ. Καὶ ταῦτά φαμεν, οὐκ ἐν τῷ μηδενὶ τιθέντες τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ, μὴ γένοιτο, ἀλλ' ὅτι τὴν ἐπὶ τοῖς τελου 2.707 μένοις ἐνέργειαν μᾶλλον ἂν πρέποι τῇ τῆς θεότητος ἀπονε μεῖσθαι δόξῃ. ἡγιάζετο γὰρ καὶ αὐτὸ τὸ τοῦ Κυρίου σῶμα τῇ τοῦ ἑνωθέντος Λόγου δυνάμει, ἐνεργὸν δὲ οὕτω πρὸς εὐλογίαν ἡμῖν ἀποτελεῖται τὴν μυστικὴν, ὡς καὶ δύνασθαι τὸν ἴδιον ἡμῖν ἐμφυτεύειν ἁγιασμόν. τοιγάρτοι καὶ αὐτὸς ὁ Σωτὴρ τὰς πρὸς Ἰουδαίους ποτὲ διαλέξεις ποιούμενος, καὶ πολλὰ περὶ τῆς ἰδίας λέγων σαρκὸς, ἄρτον τε αὐτὴν ἀπο καλῶν ζωοποιὸν ὄντως καὶ ἀληθινόν "Ὁ γὰρ ἄρτος, φησὶν, "ὃν ἐγὼ δώσω ὑμῖν ἡ σάρξ μου ἐστὶν ἣν ἐγὼ δώσω ὑπὲρ "τῆς τοῦ κόσμου ζωῆς." καταπεπληγμένων τε λίαν ἐκείνων, καὶ πῶς ἂν αὐτοῖς ἡ τῆς γηγενοῦς σαρκὸς φύσις πρόξενος γένοιτο τῆς αἰωνίου ζωῆς, οὐ μετρίως διηπορηκότων, ἀπολο γούμενος ἔφασκεν "Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδὲν, τὸ πνεῦμά "ἐστι τὸ ζωοποιοῦν· τὰ ῥήματα ἃ ἐγὼ ἐλάλησα ὑμῖν, "πνεῦμά ἐστι καὶ ζωή ἐστι·" κἀνταῦθα γὰρ πάλιν, οὐδὲν ὠφελεῖν δύνασθαι τὴν σάρκα φησὶν, πρὸς ἁγιασμὸν δηλο νότι καὶ ζωοποίησιν τῶν δεχομένων αὐτὴν, ὅσον ἧκεν εἰς σαρκὸς ἀνθρωπίνης φύσιν· ὅταν δὲ νοῆται καὶ πιστεύηται τοῦ Λόγου ναὸς, τότε δὴ πάντως ἔσται καὶ ἁγιασμοῦ καὶ ζωῆς πρόξενος, πλὴν οὐ πάντως δι' ἑαυτὴν, ἀλλὰ διὰ τὸν ἑνωθέντα Θεὸν, ὅς ἐστιν ἅγιος καὶ ζωή. τῇ τῆς θεότητος τοιγαροῦν ἐνεργείᾳ τὸ σύμπαν ἀποδιδοὺς, ἀζήμιον ἔσεσθαί φησι τοῖς ἑαυτοῦ μαθηταῖς, ὅσον ἧκεν εἰς τὸ τηρεῖσθαι ζητεῖν τὴν μετὰ σαρκὸς ἀποφοίτησιν. εἰ γὰρ καὶ συστέλ λοιτο τυχὸν εἰς οὐράνους, ἀλλ' οὐκ ἀπέσται τῶν ἀγαπώντων αὐτὸν ὁ Σωτὴρ, συνέσται δὲ πάλιν τῇ τῆς θεότητος ἐξουσίᾳ. Ἵνα τοίνυν ἔχοιεν τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν ἑαυτοῖς, ταῦτα λελάληκα ἐν τῷ κόσμῳ φησί. τίς οὖν ἡ πεπληρωμένη καὶ τελεία χαρά; τὸ εἰδέναι καὶ πιστεύειν, οὐχ ὅτι μόνον καθ' ἡμᾶς ἦν ἄνθρωπος ὁ Χριστὸς, ἀλλ' ὅτι μετὰ τοῦ εἶναι καθ' ἡμᾶς, δίχα μόνης ἁμαρτίας, καὶ Θεός ἐστιν ἀληθινός. πρόδηλον οὖν ἄρα καὶ οὐδαμόθεν ἀμφίβολον, ὅτι παρέσται 2.708 πάντως αὐτῷ τὸ διασώζειν δύνασθαι τοὺς σεβομένους αὐτὸν, καθ' ὃν ἂν βούλοιτο χρόνον, καὶ εἰ μὴ παρὼν ὁρῷτο μετὰ σαρκός. κείσεται γὰρ ἐν τούτῳ, τὸ τελείαν ἔχειν δύνασθαι καὶ ἡμᾶς τὴν χαρὰν, ἅτε δὴ καὶ ἐγγὺς ἀεὶ καὶ συμπαραστάτην ἔχοντας τὸν ἐξαιρεῖσθαι παντὸς ἐξισχύοντα κακοῦ. Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου· οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. Τῆς ἄνωθεν καὶ παρὰ Πατρὸς εὐμενείας χρειωδεστάτην ἡμῖν ἀποφαίνει τὴν ἐπίδοσιν, ἣν καὶ ἐν τάξει δικαίας τε καὶ πρεπωδεστάτης ἀμοιβῆς μονονουχὶ καὶ ὠφειλῆσθαί φησι πρὸς αὐτοῦ τοῖς δι' αὐτὸν κινδυνεύουσι. μισεῖ γὰρ ὁ κόσμος διὰ Θεὸν τοὺς Θεῷ προσεδρεύοντας, καὶ τοῖς παρ' αὐτοῦ διωρισμένοις εἴκοντας νόμοις, καὶ λόγον οὐδένα τῆς ἐν κόσμῳ ποιουμένους ἡδονῆς, οἳ καὶ πρεπόντως ἂν τύχοιεν συνεργίας τῆς παρ' αὐτοῦ καὶ χάριτος, καὶ τῆς εἰς τὸ εὖ εἶναι διαμονῆς. ἐπ' αὐτῷ γὰρ ἀνακεκλιμένοι τρόπον τινὰ καὶ θαρσήσαντες, καὶ τὸν δι' αὐτὸν ἀράμενοι πόλεμον, καὶ τοῖς ὑπὲρ δύναμιν ὁμιλῆσαι κινδύνοις οὐ καταδείσαντες, πῶς οὐκ ἂν ἤδη λοιπὸν ἀναλόγως τῷ προτεθέντι σκοπῷ κομίσαιντο τὴν ἀντίδοσιν; διὰ τοῦτό φησιν ὁ Σωτὴρ ὅτι ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου καὶ ὁ κόσμος ἐμίσησεν αὐτοὺς ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. παρεδέξαντο γὰρ, φησὶ, καὶ λίαν ἀσμένως τὸν σὸν, ὦ Πάτερ, δι' ἐμοῦ πρὸς αὐτοὺς γεγονότα λόγον, τουτέστι τὸ κήρυγμα τὸ εὐαγγελικὸν, ἔξω που ζωῆς κοσμικῆς καὶ φρονημάτων γεωδεστέρων ἀποκομίζον εὐκόλως τοὺς προσιεμένους αὐτό. διά τοι τοῦτο καὶ παρὰ τοῦ κόσμου μεμίσηνται, τουτέστι, τῶν τὰ ἐν τῷδε τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κόσμῳ φρονεῖν ἑλομένων, καὶ τὴν φιλήδονον ταύτην καὶ μυσαρω 2.709 τάτην ἀγαπώντων ζωήν. οὐ γὰρ ἡδεῖς τοῖς ἐν κόσμῳ τῶν ἁγίων οἱ λόγοι, διασύροντες ἀεὶ τὰ ἐν τῷδε τῷ βίῳ κακὰ, καὶ βδελυρὰν ἀποφαίνοντες τὴν ἐν κόσμῳ ζωὴν, κατηγο ροῦντές τε τῆς ἁμαρτίας τῆς ἐν αὐτῷ, καὶ πικροῖς ἐλέγχοις κατατοξεύοντες τοὺς οἷσπερ ἂν φαίνοιτο τὸ πταίειν ἡδὺ καὶ τοῖς ἐπιγείοις ἐγκαλινδεῖσθαι κακοῖς, καὶ πλεονεξίας μὲν ἁπάσης καταστρατευόμενοι, φιλοδοξίαν δὲ διαπτύοντες, καὶ τὴν ἁπασῶν μητέρα τῶν κακῶν φιλοχρηματίαν παραιτεῖσθαί τε καὶ ὡς πορῥωτάτω ποιεῖσθαι διδάσκοντες, ἀλλὰ καὶ τῆς ἀρχαίας ἀπάτης ἔξω φέρεσθαι δεῖν ἐπιτάττοντες, καὶ πρὸς τὸν τῶν ὅλων ἰέναι Θεὸν τοῖς ἀρκύων εἴσω διαβολικῶν εἰλημμένοις. Μεμίσηνται τοίνυν διὰ ταῦτά φησιν, ὦ Πάτερ. οὐ γὰρ ἐπί τισι τῶν αἰσχρῶν ἤγουν ἀνοσίων κατεγνωσμένοι, δυσ αχθέστεροί πως τοῖς ἐν κόσμῳ γεγόνασιν, ἀλλ' ἐπείπερ αὐτοῖς τὸν παρὰ σοῦ δέδωκα λόγον, ὡς διὰ τοῦτο λοιπὸν ἔξω καὶ αὐτοὺς γενέσθαι τοῦ κόσμου, καθάπερ ἐγώ. φρονήματος γὰρ τοῦ γεωδεστέρου καὶ καταστάσεως κοσμικῆς διῴκισται παν τελῶς ἡ ἐν Χριστῷ πολιτεία καὶ ζωὴ, ἧς καὶ κατόπιν ἐρχό μενοι κατά γε τὸ ἐφικτὸν παρελάσαιμεν ἂν καὶ αὐτοὶ τὸ ἐν τοῖς ἐν κόσμῳ καταλογίζεσθαι. διὰ τοῦτο τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθεῖν ὁ θεσπέσιος ἡμῖν διέταξε Παῦλος· ἑψόμεθα δὲ τότε μάλιστα καλῶς, ὅτε μόνα φρονεῖν ἀγαπῶμεν τὰ ὑπερκόσμια, καὶ ἄνω φρονήματος σαρκικοῦ τὸν οἰκεῖον στή σαντες νοῦν, εἰς μόνα βλέπομεν τὰ ἐν τοῖς οὐρανοῖς. ἑαυτὸν δὲ πάλιν συγκατατάττει τοῖς μαθηταῖς διὰ τὸ ἀνθρώπινον, οὗ καὶ κατὰ μίμησιν ὅταν νοοῖτο τυχὸν ὡς ἄνθρωπος πρὸς πᾶν εἶδος ἄνιμεν ἀρετῆς, καθάπερ ἀρτίως ἐλέγομεν, ἅπασαν μὲν τὴν ἐν κόσμῳ διαθέοντες ἁμαρτίαν, ἀλλότριοί τε καὶ ξένοι τῶν ἐν αὐτῷ κακῶν ἀναδεδειγμένοι. καθάπερ οὖν ἀμέλει καὶ ὁ θεῖος ἡμῖν ἐπιστέλλει Παῦλος περί τε ἑαυτοῦ 2.710 καὶ Χριστοῦ "Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ "κόσμῳ," προσεπιτάττει γεμὴν καὶ ἑτέρωθί που λέγων "Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ." ἐμιμεῖτο δὲ ὁ Παῦλος τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, οὐ καθόπερ ἐστὶ δημιουργὸς καὶ τῶν ὅλων Κύριος· οὐ γὰρ πρὸς τοῖς ἤδη γεγονόσιν ἑτέρους ἡμῖν ἔστησεν οὐρανοὺς, ἀλλ' οὐδὲ θαλάσσας ἢ γῆν ἀνέδειξέ ποτε· ἐμιμεῖτο δὲ πῶς; ἢ δῆλον ὅτι τῆς ἐπιδειχθείσης ἡμῖν παρ' αὐτοῦ πολιτείας τὸν ἀξιάγαστον τύπον ἐν ἰδίοις διαπλάττων ἤθεσί τε καὶ τρό ποις, καθόσον ἦν ἐφικέσθαι θέμις· τίς γὰρ ἂν ἐν ἴσῳ γένοιτο τῷ Χριστῷ; Ἡμῖν τοιγαροῦν ἑαυτὸν παραζεύξας διὰ τὸ ἀνθρώπινον, μᾶλλον δὲ ὅπερ ἐστὶν ἀληθὲς, ὡς καὶ εἰς τοῦτο κατάρξας ἡμῖν τὸ ἀγαθὸν, τὸ ἐκβῆναί φημι τὸν κόσμον, διὰ τῆς ὑπερ κοσμίου ζωῆς· ἄνω γὰρ κόσμου ἡ εὐαγγελικὴ πολιτεία καὶ παίδευσις· οὐκ εἶναί φησιν ἑαυτὸν ἐκ τοῦ κόσμου καὶ ἡμᾶς δὲ τούτου τυχεῖν, ἐπείπερ ὁ θεῖος αὐτοῦ κατῴκηκε λόγος ἐν ταῖς ἡμετέραις ψυχαῖς· ἀλλ' ὥσπερ ὁ κόσμος ἐμὲ μισεῖ, φησὶν, οὕτω καὶ αὐτούς. μισεῖ δὲ ὁ κόσμος τὸν Χριστὸν, καθὸ τοῖς παρ' αὐτοῦ διαμάχεται λόγοις, καὶ ἀνεπίδεκτον ποιεῖται τὴν παραίνεσιν, ταῖς εἰς φαυλότητα ῥοπαῖς ὅλον ἐπιδοὺς τὸ ἴδιον φρόνημα· κατὰ μίμησιν δὲ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ αὐτοὺς δηλονότι μεμίσηκε τοὺς μαθητὰς, τὸν παρ' αὐτοῦ δι' αὐτὸν πρεσβεύοντας λόγον, ὅπερ ἐποίει καὶ Παῦλος λέγων "Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς "τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, "καταλλάγητε τῷ Θεῷ." Τίς οὖν ἡ αἴτησις μετὰ τὴν ἀπόδειξιν τοῦ μεμισῆσθαι τοὺς μαθητὰς παρὰ τῶν τοῖς κοσμικοῖς προσηλωθέντων κακοῖς; οὐκ ἐρωτῶ φησιν ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. οὐ γὰρ τῶν ἀνθρωπίνων ἀπαλλάττεσθαι πραγμάτων, οὐδὲ τῆς ἐν σώματι ζωῆς ἀπαλ λάττεσθαι τοὺς ἁγίους ἐθέλει Χριστὸς, οὔπω τῆς οἰκείας 2.711 ἀποστολῆς τὸν δρόμον τελέσαντας, ἢ ταῖς κατ' εὐσέβειαν διαπρέψαντας ἀρεταῖς, ἀλλὰ τοῖς ἐν κόσμῳ συμβιοτεύσαντας καὶ εἰς εὐάρεστον τῷ Θεῷ πολιτείαν τοὺς ἐν αὐτῷ ποδηγήσαν τας, μετὰ λαμπρῶν τότε τῶν κατορθωμάτων πρὸς τὴν ἄνω φέρεσθαι πόλιν, καὶ τοῖς τῶν ἁγίων ἀγγέλων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συναυλίζεσθαι χοροῖς. εὑρήσομεν γοῦν τῶν ἁγίων τινὰ προσιόντα τῷ φιλα ρέτῳ Θεῷ καὶ ψάλλοντα "Μὴ ἀναγάγῃς με ἐν ἡμίσει "ἡμερῶν μου," οὐ γὰρ ἀζήμιον ταῖς φιλοθέοις ψυχαῖς πρὸ τελειώσεως ὥσπερ τῆς κατ' ἐξαίρετον πολιτείαν ζωῆς ἀπο πίπτειν τῆς μετὰ σαρκός. διὰ τοῦτο καὶ ὁ νόμος ὁ διὰ Μωυσέως ὡς ἐν ὀργῆς τινος τάξει καὶ τιμωρίας τοῖς φιλα μαρτήμοσιν ἐπιῤῥιπτεῖσθαι διδάσκων τὸν οὐκ ἐν καιρῷ τῷ καθήκοντι θάνατον, ἐπεφώνει πολλάκις, ἔξω δεῖν ἑστάναι κακῶν, "ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου." ἄλλως τε τὸ τῶν καθ' ἡμᾶς ἀποδημῆσαι πραγμάτων τοὺς ἁγίους ἐθέλειν, οὐ μετρίαν ἔμελλε περιποιήσειν ζημίαν τοῖς ἀσθενοῦσι περὶ τὴν πίστιν· μᾶλλον δὲ οὐδ' ἂν ὅλως παιδαγωγηθεῖεν εἰς εὐσέβειαν, τοὺς τοῦτο δρᾶν δυναμένους οὐκ ἔχοντες. καὶ τοῦτο εἰδὼς ὁ Παῦλός φησι "Κρεῖττον γὰρ τὸ ἀναλῦσαι "καὶ σὺν Χριστῷ εἶναι, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιό "τερον δι' ὑμᾶς." προνοήσας οὖν ἄρα τῆς τῶν ἀμυήτων σωτηρίας ὁ Κύριος, οὐ δίχα φωστήρων καὶ ἁλῶν τοὺς ἐν τῷ κόσμῳ δεῖν καταλιμπάνεσθαι λέγει, διατηρεῖσθαι δὲ μᾶλλον τοὺς ἁγίους ἐρωτᾷ, τῆς τοῦ πονηροῦ δυστροπίας ἔξω μένοντας ἀεὶ, καὶ τῶν πειρασμῶν τὴν ἔφοδον ὑπεκνεύοντας, δυνάμει τοῦ πάντα ἰσχύοντος Πατρός. Σημειωτέον δὲ πάλιν, ὅτι τὸν ἴδιον καὶ παρ' αὐτοῦ γεγο νότα λόγον, φαμὲν δὲ τὸν εὐαγγελικόν, τοῦ Θεοῦ καὶ Πατρὸς εἶναί φησιν, οὐχ ἕτερον ἑαυτὸν παρὰ τὸν Πατέρα δεικνὺς διὰ τὸ ὁμοούσιον. εὑρήσομεν γὰρ ἐν τοῖς εὐαγγελικοῖς συγ γράμμασιν ἀποτεθηπότας αὐτὸν τοὺς τῶν Ἰουδαίων λαοὺς, 2.712 ἐπείπερ αὐτοὺς ἐδίδασκεν, "ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ "γραμματεῖς αὐτῶν·" οἱ μὲν γὰρ ἄνω τε καὶ κάτω τὸ τῷ νόμῳ δοκοῦν προϊσχόμενοι, τὰς πρὸς αὐτοὺς διαλέξεις ποιοῦν τες ἐφαίνοντο· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὐχὶ δὴ πάντως τοῖς ἐν σκιᾷ καὶ γράμμασι κατακολουθήσας τύποις, ἀλλ' ἐν ἐξουσίᾳ θεοπρεπεῖ τὸν οἰκεῖον καταλαμπρύνων λόγον "Ἐῤῥέθη τοῖς ἀρχαίοις Οὐ μοιχεύσεις, φησίν· ἐγὼ δὲ λέγω "ὑμῖν," οὐκ ἐπιθυμήσεις, καίτοι τοῦ νόμου διαγορεύοντος περὶ τῶν θείων λογίων, ὡς ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν· ἀλλ' ὑφεῖλέ τε καὶ προσ τέθεικεν ὁ Χριστὸς μετατιθεὶς τὰ ἐν τύποις εἰς ἀλήθειαν. οὐκοῦν οὐκ ἐν τοῖς ὑπὸ νόμον, τουτέστιν, οὐκ ἐν ποιήμασι λογισθήσεται· ᾧ γὰρ ἂν ἐπίοι τὸ ἐν δούλοις τετάχθαι φυσι κῶς, τούτῳ δὴ προσείη που πάντως ἂν καὶ τὸ δεῖν ὑποκεῖ σθαι νόμῳ. ἴδιον οὖν ἄρα λόγον τὸν τοῦ Πατρὸς ἐποιήσατο Χριστός. αὐτὸς γάρ ἐστιν ὁ ἐν Πατρί τε καὶ ἐξ αὐτοῦ Λόγος, τῶν τῆς θεότητος θελημάτων ἐξαγγελτικός· θεότητος δέ φημι τῆς ἀληθοῦς καὶ μόνης, ἣ ἐν Πατρί τε καὶ Υἱῷ νοεῖται καὶ Ἁγίῳ Πνεύματι. Ἐκ τοῦ κόσμου οὐκ εἰσὶ, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. Πάτερ ἅγιε τήρησον αὐτοὺς ἐν ἀληθείᾳ· ὁ λόγος ὁ σὸς ἀλή θειά ἐστιν. Ὑπέδειξε πάλιν ἐν τούτοις καὶ κατέστησεν ἐναργὲς ὑπὲρ τίνων ἀνιέναι πρὸς Θεὸν καὶ Πατέρα δεῖται, καὶ ὑπὲρ ὧν ἂν γένοιτο πρεπωδέστερον, ὅταν ἔτι νοῆται καθ' ἡμᾶς μεσίτης τε καὶ ἀρχιερεὺς καὶ παράκλητος κατὰ τὴν ἁγίαν γραφὴν, ἵν' εἴ που τι καὶ διαπταῖσαι συμβαίνοι καὶ ἁμαρτεῖν τοῦ καθήκοντος λογισμοῦ τε καὶ πράγματος, ἢ καὶ ἀδοκήτοις ἔσθ' ὅτε κατακρούεσθαι πειρασμοῖς, ἤγουν διαβολικαῖς κα 2.713 κουργίαις ὑποχειμάζεσθαι, προσίοι τε ὑπὲρ ἡμῶν, κατά γε τὸ πρέπον τῇ μεσιτείᾳ σχῆμα, καὶ συγχορηγῇ τῷ ἰδίῳ γεννή τορι τοῖς ἀξίοις τὰ ἀγαθά· πρέποι γὰρ ἂν καὶ τοῦτο αὐτῷ, Θεῷ κατὰ φύσιν ὑπάρχοντι. ἔχουσι τοίνυν, φησὶν, οἱ τὸν σὸν ὦ Πάτερ δι' ἐμοῦ δεξάμενοι λόγον τὴν ἐμὴν ἐν ἑαυτοῖς διαλάμπουσαν εἰκόνα, σύμμορφοί τε τῷ σῷ γνησίῳ γεγό νασιν Υἱῷ, κατὰ μίμησιν τὴν αὐτοῦ τῆς κοσμικῆς φαυλό τητος τὸν κλύδωνα παραθέοντες, ἀλλότριοί τε καὶ ξένοι τῆς ἐν τῷδε τῷ βίῳ φιληδονίας τε καὶ ἁπάσης αἰσχρότητος ἀναδεδειγμένοι. διὰ τοῦτο τήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ τῇ σῇ· φυσικὴ μὲν γὰρ ἐν Χριστῷ καὶ ὑπὲρ λόγον ἡ καθαρό της. Θεὸς γάρ ἐστιν ἀληθινὸς, ἁμαρτίᾳ μὲν ὑποπίπτειν οὐκ εἰδὼς ἢ καὶ ἀνεχόμενος, πηγὴ δὲ μᾶλλον ὑπάρχων ἀρετῆς ἁπάσης καὶ τῆς ἐν ἁγιασμῷ νοουμένης λαμπρότητος. δρῴη γὰρ ἂν ἕτερον οὐδὲν ἡ θεία τε καὶ τῶν ὅλων κρατοῦσα φύσις, εἰ μὴ ὅπερ ἂν αὐτῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρέποι τε κατὰ ἀλήθειαν καὶ νοοῖτο προσόν. ἐν δὲ τοῖς ἁγίοις μαθηταῖς, ἤγουν ἅπασι τοῖς πιστεύουσιν εἰς αὐτὸν, οὐχ ἑτέρως ἐνυπάρξαι τὸ καθαρὸν, ἤγουν τὸ μηκέτι τοῖς κοσμικοῖς ἀναφύρεσθαι κακοῖς, εἰ μὴ διὰ τῆς ἄνωθεν ἀμνησικακίας τε καὶ χάριτος, ἐκποδὼν μὲν τιθείσης τῶν ἤδη προεπταισμένων τὸν μολυσμὸν, καὶ τοῦ παρελάσαντος βίου τὰ ἐγκλήματα, εἰσκομιζούσης δὲ μᾶλλον τῆς ἐν ἁγιασμῷ ζωῆς τὴν λαμπρότητα, πλὴν οὐκ ἀταλαί πωρον ἐχούσης τὴν ἐν ταυτότητι διαμονήν· σοφώτατα γάρ μοι φαίνεται καὶ ὁ Παῦλος εἰπών "Ὥστε ὁ δοκῶν ἑστάναι "βλεπέτω μὴ πέσῃ." ἀεὶ γὰρ ἐν σάλῳ τὰ ἡμέτερα καὶ ποικίλως δονεῖται τὰ καθ' ἡμᾶς, ἀκαταλήκτως τοῦ πονηροῦ πειράζοντος, προσεδρεύοντός τε διὰ παντὸς καὶ δυσκατόπτοις κακουργιῶν εὑρήμασι κατασπιλοῦν ἐθέλοντος, εἴπερ ἂν δύν αιτο, καὶ τοὺς ἤδη κεκαθαρμένους· τὰ γὰρ "βρώματα αὐτοῦ "ἐκλεκτὰ," κατὰ τὴν τοῦ προφήτου φωνήν. ἐπιμαρτυρήσας τοίνυν τοῖς ἑαυτοῦ μαθηταῖς τὴν ἔξω κόσμου ζωὴν, καὶ τῆς οὐσιώδους ἑαυτοῦ καθαρότητος τὴν κατὰ μίμησιν συμμορφίαν, 2.714 τηρηθῆναι λοιπὸν καὶ παρὰ Πατρὸς ἐρωτᾷ, μονονουχὶ λέ γων Ὦ πανάγιε Πάτερ, εἰ μὲν ἦσαν ἐν κόσμῳ, τουτέστιν, εἰ τὸν ἐν τῷδε τῷ κόσμῳ τετιμημένον διέζων βίον, εἰ ταῖς ἐπιγείοις καὶ προσκαίροις ἡδοναῖς τὸν οἰκεῖον ἐγκατασπεί ροντες νοῦν, τὴν ἀκαλλεστάτην τοῦ πονηροῦ κατέγραφον ὥσπερ ἰδέαν ἐν ἑαυτοῖς, οὐκ ἂν ἐπεφύη πειράζων ἐκεῖνος, ἀλλ' οὐδ' ἂν τοῖς ἰδίοις αὐτὸς ἐξωπλίσθη τέκνοις, τῆς ἐνού σης αὐτῷ φαυλότητος ἐν αὐτοῖς ἔχων τὴν μίμησιν· ἐπειδὴ δὲ καθ' ὁμοιότητα καὶ αὐτοὶ τὴν ἐμὴν, τὴν ἐν τῷδε τῷ κόσμῳ διαγελῶντες ἀπάτην, ἔξω τε κόσμου γεγόνασι, καὶ τὸ τῆς ἐμῆς ἀσυγκρίτου φαιδρότητος διαφανέστατον σχῆμα λοιπὸν ἐν οἰκείοις ἀναμάττονται τρόποις, ἔφεδρόν τε διὰ τοῦτο καὶ πολεμιώτατον ἔχουσι τὸν ἀεὶ τοῖς ἁγίοις ἐπιτρί ζοντα σατανᾶν, διατηρεῖσθαι λοιπὸν ἀναγκαίως βούλομαι· διατηρεῖσθαι δέ πως οὐκ ἔστι δίχα τῆς ἀληθείας τῆς σῆς, τουτέστιν ἐμοῦ. εἰμὶ γὰρ ἐγὼ κατὰ φύσιν ἀλήθεια σὴ, ὦ Πάτερ, ὁ οὐσιώδης τε καὶ ζῶν καὶ ἐνυπόστατος Λόγος. Καὶ ταυτὶ μὲν λέγειν οἴεσθαι δεῖν ὑποτοπητέον αὐτόν· βλέπε δὲ ὅπως διὰ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν αὐτοῦ λόγων τῇ τοῦ Πατρὸς ἐνεργείᾳ, τῇ κατά τι γοῦν νοουμένῃ, τὸ οἰκεῖον παρεισδύσας πρόσωπον, συνεισάγει πάντως, ἐκεῖνό που τάχα παραδεικνὺς ἀληθὲς ὅτι "πάντα δι' αὐτοῦ "ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν." ἐν μὲν οὖν τοῖς ὀπίσω βραχὺ τηρεῖσθαι τοὺς μαθητὰς παρὰ τοῦ ἰδίου γεννή τορος ἐν ὀνόματι παρεκάλει τῷ δοθέντι αὐτῷ· ἐν δέ γε τούτοις, ἐν τῇ ἀληθείᾳ τοῦ Πατρὸς τὴν ὑπὲρ αὐτῶν αἴτησιν πληροῦσθαι βούλεται. τί οὖν ἄρα καὶ τοῦτό ἐστιν, ἢ τί τὸ ποικίλον τῶν λόγων βούλεται; οὐ μίαν οὖσαν ἐπιδεικνύειν τὴν παρὰ Πατρὸς ἐνέργειαν δι' αὐτοῦ τελουμένην ἐπὶ τῇ τῶν ἁγίων φειδοῖ; ἐν μὲν γὰρ ἐκείνοις, ἐν ὀνόματι τοῦ Πατρὸς χρῆναι λέγων τηρεῖσθαι τοὺς μαθητὰς, οἱονεὶ τὸ ἐν δόξῃ καὶ δυνάμει θεότητος, τῆς τοῦ κακοῦν ἐθέλοντος ἔξω γενέσθαι 2.715 χειρὸς, τοῖς διὰ Θεὸν κινδυνεύουσιν ὑπάρξαι φησὶν, ὁποῖόν τι καὶ γέγονεν ἐπ' αὐτοῖς, κατὰ τὸ σιωπώμενον, ὃ καὶ τοῖς ἑαυτοῦ μαθηταῖς ἐκκαλύπτων κατὰ καιροὺς εἴρηκεν ὁ Χρι στός "Σίμων Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ "σινιάσαι ὡς τὸν σίτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ "ἐκλίπῃ ἡ πίστις σου." λεληθότως γὰρ οἰκονομεῖται τῶν καθ' ἡμᾶς τὰ πολλὰ, προνοοῦντος δηλονότι καὶ ὑπερασπί ζοντος τοῦ Χριστοῦ τῆς ἑκάστου ζωῆς. ἐνταῦθα δὲ λέγων Τήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ, κατασημαίνει σαφῶς τὸ δι' ἐλλάμψεως τῆς ἀληθείας εἰς τὴν τῆς ἀληθείας χειραγωγεῖ σθαι κατάληψιν. οὐδὲ γὰρ ἂν δίχα τοῦ διὰ Πνεύματος φωτισμοῦ πρὸς ἐπίγνωσιν τῆς ἀληθείας ἴοι τις ἂν, οὐδ' ἂν ὅλως ἀκριβῆ τῶν θείων δογμάτων ἐκπορίσαιτ' ἂν ἑαυτῷ τὴν κατάληψιν, κατά γε τὸ ἀνθρώποις φαμὲν ἐφικτόν. ὑπὲρ γὰρ νοῦν τὸν ἡμέτερον τὰ ἐν τῇ θεοπνεύστῳ γραφῇ μυστήρια, πλὴν οὐκ ἀκλεὲς τὸ δῶρον, τὸ κἂν γοῦν ἐν μετρίᾳ φημὶ γενέσθαι τῇ γνώσει τῇ περὶ Χριστοῦ. Πέτρος γοῦν ὁ μακάριος, Υἱὸν ἀληθῶς τοῦ Θεοῦ τοῦ ζῶντος ὁμολογήσας τὸν Κύριον, ἤκουεν εἰκότως "Μακάριος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ "σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς." ἀποκαλύπτει γὰρ τοῖς ἁγίοις τὸν ἴδιον Υἱὸν, ὅς ἐστιν ἀλήθεια, παρατρέ πειν οὐκ ἐῶντα τὸν σατανᾶν πρὸς κίβδηλον γνῶσιν τῶν πιστευόντων τὸν νοῦν, ᾧ προσκεκλιμένοι κατὰ καιροὺς Ὑμέναιος καὶ Ἀλέξανδρος, "ἐναυάγησαν περὶ τὴν πίστιν," τὸν ὀρθὸν τῆς ἀληθείας παρωσάμενοι λόγον. μέγα τοίνυν εἰς τὸ διαμεῖναι καλῶς καὶ ἐν ὀρθότητι λογισμῶν καὶ πράξεων, τὸ ἐν ὀνόματι Θεοῦ καὶ ἐν ἀληθείᾳ τηρεῖσθαι παρὰ Πατρὸς, ἵνα μήτε περὶ τὴν τῆς πρακτικῆς φαιδρότητα διαπταίωμεν, μήτε μὴν ταῖς εἰς ἀμαθίαν παρατροπαῖς, τῶν τῆς ἐν ἀληθείᾳ θεοσεβείας δογμάτων ἐξοιχώμεθά ποι μακράν. τοῦτο δ' ἂν καὶ αὐτοῖς ἡμῖν ὑπάρξαι ῥᾳδίως, ὅταν ἔξω τοῦ κόσμου γεγονότες 2.716 φαινώμεθα, οὐκ ἀρνούμενοι τὴν ἐν κόσμῳ γένεσιν· ἐκ πηλοῦ γὰρ οἱ πάντες καὶ ἐκ γῆς διηρτίσμεθα, κατὰ τὸ γεγραμ μένον· τῇ δὲ τῶν ἔργων ποιότητι, τῆς τῶν ἐν κόσμῳ ζωῆς παραλλάττοντες. περιπατοῦντες γὰρ ἐπὶ γῆς ἐν οὐρανῷ πολιτεύονται τῆς ἐν Χριστῷ συμμορφίας οἱ ἐρασταί. Σημειωτέον δὲ πάλιν, ὅτι δὴ σφόδρα χρησίμως ἅγιον ἐν τούτοις ἀποκαλεῖ τὸν Πατέρα, μονονουχὶ καὶ ὑπομιμνήσκων αὐτὸν, ὅτι περ ἅγιος ὢν τοῖς ἁγίοις ἐφήδεται. ἅγιον δὲ πᾶν ὅπερ ἂν φαίνοιτο τῆς ἐν κόσμῳ κηλῖδος ἀπηλλαγμένον, ὅπερ ἐστὶ φυσικῶς μὲν ἐν Χριστῷ καθ' ὁμοιότητα τοῦ Πατρὸς, εἰσποιητὸν δὲ καὶ εἰσκεκριμένον ἐν τοῖς ἁγίοις μαθηταῖς, διά τε τοῦ κατὰ χάριν ἁγιασμοῦ καὶ τῆς ἐν βίῳ φαιδρότητος καὶ ἐπιεικείας· πλάττοιτο γὰρ ἂν πρὸς εἰκόνα τις οὕτω τὴν θείαν καὶ ὑπερκόσμιον. 2.717 ΚΕΦΑΛΗ Ι. Ὅτι οὐκ ἐκ μετοχῆς τῆς πρὸς ἕτερον ἅγιός ἐστιν ὁ Χριστὸς οὐδὲ ξένος τῆς οὐσίας αὐτοῦ ὁ διὰ Πνεύματος ἁγιασμός. Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον, καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ. ῞ΑΓΙΟΝ ὀνομάσας μάλιστα νυνὶ τὸν Πατέρα, διατηρεῖ σθαί τε τοὺς μαθητὰς ἐρωτήσας ἐν ἀληθείᾳ, τουτέστιν, ἐν τῷ ἰδίῳ Πνεύματι· τὸ γὰρ Πνεῦμά ἐστιν ἡ ἀλήθεια, κατὰ τὴν Ἰωάννου φωνὴν, ἐπεὶ καὶ Πνεῦμα τῆς ἀληθείας ἐστὶν, αὐτοῦ δηλονότι τοῦ Μονογενοῦς· ἀπεσταλκέναι φησὶν αὐτοὺς ἐν τῷ κόσμῳ κατὰ μίμησιν τῆς οἰκείας ἀποστολῆς· ἀπό στολος γὰρ καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν γέγονεν Ἰησοῦς, κατὰ τὴν τοῦ Παύλου φωνὴν, κατά γε τὸ πρέπον τῇ ἀνθρωπότητι σχῆμα καὶ τῷ τῆς κενώσεως τρόπῳ· προ κεχειρισμένους δὲ ἅπαξ εἰς τοῦτο τοὺς μαθητὰς, δεῖσθαι δὴ πάντως τοῦ ἁγιάζεσθαί φησι παρὰ τοῦ ἁγίου Πατρὸς, ἐνοι κίζοντος αὐτοῖς δηλονότι δι' Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον· καὶ γάρ τοι κατὰ ἀλήθειαν οὐκ ἂν εἰς τοῦτο φαιδρότητος ἀφί κοντό ποτε τοῦ Σωτῆρος οἱ μαθηταὶ, ὡς ὅλης γενέσθαι τῆς οἰκουμένης φωστῆρες, ἀλλ' οὐδ' ἂν ἀντέσχον πρὸς τὰ ἐκ τῶν πειραζόντων, ἤτοι τοῦ διαβόλου δυσάντητα βλάβη, τῇ τοῦ Πνεύματος μετουσίᾳ μὴ διαπεφραγμένοι τὸν νοῦν, καὶ 2.718 εἰς ἀσυνήθη τινὰ καὶ τὴν ὑπεράνθρωπον ἐντολὴν δι' αὐτοῦ δυναμούμενοι, καὶ εἰς γνῶσιν ἀκραιφνῆ τῆς θεοπνεύστου γρα φῆς καὶ τῶν ἱερῶν τῆς Ἐκκλησίας δογμάτων, διὰ τῆς τοῦ Πνεύματος δᾳδουχίας ἀνιδρωτὶ ποδηγούμενοι. καὶ γοῦν ὁ Σωτὴρ συναλιζόμενός τε αὐτοῖς, μετὰ τὴν ἐκ νεκρῶν ἀνα βίωσιν, καθὰ γέγραπται, καὶ τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὴν διὰ πίστεως χάριν κηρῦξαι προστάξας "παρήγγειλεν "ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, περιμένειν δὲ τὴν ἐπαγ "γελίαν τοῦ Πατρὸς, ἣν" αὐτοῦ τε λέγοντος ἤκουσαν καὶ διὰ φωνῆς τῶν ἁγίων προφητῶν. ἔσται γὰρ ἐν ταῖς ἡμέραις ἐκείναις λέγει Κύριος, "ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ "πᾶσαν σάρκα." καὶ αὐτὸς δὲ σαφῶς ὁ Σωτὴρ τὴν τοῦ Πνεύματος πρόχυσιν ἥξειν ἐπ' αὐτοὺς κατεπηγγέλλετο, λέγων "Ἔτι πολλὰ ὑμῖν ἔχω λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν "ἄρτι, ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδη "γήσει ὑμᾶς εἰς τὴν ἀλήθειαν πᾶσαν," καὶ πάλιν "Κἀγὼ "ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει "ὑμῖν." ἴδιον γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμά ἐστιν, ἀλλ' οὐδὲν ἧττον ἴδιόν ἐστι καὶ αὐτοῦ τοῦ Υἱοῦ, οὐχ ὡς ἕτερον καὶ ἕτερον, ἢ μεριστῶς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑκατέρῳ νοούμενόν τε καὶ ἐνυπάρχον, ἀλλ' ἐπείπερ ἐκ Πατρὸς καὶ ἐν Πατρὶ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, καρπὸς ὑπάρχων ἀληθινὸς τῆς οὐσίας αὐτοῦ, τὸ τοῦ Πατρὸς ἴδιον Πνεῦμα κατὰ φύσιν ἐπάγεται, χεόμενον μὲν ἐκ Πατρὸς, δι' αὐτοῦ δὲ τοῦ Υἱοῦ τῇ κτίσει χορηγού μενον, οὐ κατά τινα τρόπον διακονικὸν, ἤγουν τὸν ἐν ὑπουρ γίᾳ νοούμενον, ἀλλ' ὥσπερ ἔφην ἀρτίως, ἐξ αὐτῆς μὲν προ κύπτον τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, χεόμενον δὲ τοῖς ἑλεῖν ἀξίοις διὰ Λόγου τοῦ ὁμοουσίου καὶ ἐξ αὐτοῦ πεφη νότος, κατ' ἔκφανσιν δηλονότι τὴν εἰς τὸ εἶναι καθ' ἑαυτὸν, καὶ ἐν αὐτῷ μένοντός τε καὶ ὄντος ἀεὶ, προσεχῶς τε ἅμα καὶ 2.719 οἷον μεμερισμένως. ἰδιοσυστάτως μὲν γὰρ εἶναί φαμεν τὸν Υἱὸν, ἐνυπάρχειν δὲ αὖ τῷ ἰδίῳ γεννήτορι, καὶ ἔχειν ἐν ἑαυτῷ τὸν γεννήσαντα. ὅτι δὲ τὸ τοῦ Πατρὸς Πνεῦμα, Πνεῦμα φαίνεται τοῦ Υἱοῦ, καὶ τοῦ Πατρὸς πέμποντος ἤτοι διανέμειν ἐπαγγελλομένου τοῖς ἁγίοις αὐτὸ, διαδίδωσι πάλιν ὡς ἴδιον ὁ Υἱὸς, διὰ τὴν ταυτότητα τῆς οὐσίας ἧς ἔχει πρὸς τὸν Πατέρα, καὶ ὅτι πρὸς πᾶν ὁτιοῦν ἐνεργὸς ὁ Πατὴρ δι' αὐ τοῦ, σαφέστατα πάλιν αὐτὸς διαμεμήνυκεν εἰπών "Συμφέρει "ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παράκλητος "οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς· ὅταν δὲ ἀπέλθω, πέμψω αὐτὸν "πρὸς ὑμᾶς," ἐν ἑτέροις εἰπών "Κἀγὼ ἐρωτήσω τὸν "Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν·" ἀναφανδὸν ἐν τούτοις αὐτὸς ἡμῖν τὸν παράκλητον καταπέμψειν ἐπαγ γέλλεται. Ἐπειδὴ τοίνυν προβέβληνται, φησὶν, εἰς ἀποστολὴν τὴν ἐν κόσμῳ καθ' ὁμοιότητα τὴν ἐμὴν, οἱ τοῖς ἐμοῖς λόγοις προσεδρεύοντες μαθηταί Τήρησον αὐτοὺς, ἅγιε Πάτερ, ἐν τῇ ἀληθείᾳ σου, τουτέστιν ἐν τῷ σῷ Λόγῳ, ἐν ᾧ καὶ δι' οὗ τὸ ἁγιάζον ἐστί τε καὶ πρόεισι Πνεῦμα. καὶ τίς ταῦτα λέγοντι τῷ Σωτῆρι σκοπός; ἐφ' ἡμᾶς αὐτοὺς τὸν ἐν Πνεύματι καὶ διὰ Πνεύματος ἁγιασμὸν ἐκάλει παρὰ Πατρὸς, καὶ ὅπερ ἦν ἐν ἡμῖν ἀπὸ πρώτων τῆς γενέσεως χρόνων καὶ ἐν ἀρχαῖς τοῦ πεποιῆσθαι παρὰ Θεοῦ, τοῦτο πάλιν ἐν ἡμῖν ἀναζωπυρεῖσθαι βούλεται. καὶ ταῦτά φαμεν, ἅτε δὴ μεσιτεύοντος καὶ τὸ τοῦ παρακλήτου πρόσωπον ἀποπληροῦντος ὑπὲρ ἡμῶν πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα τοῦ Μονογενοῦς. ἀλλ' ἵνα τῆς ἀσαφείας καὶ τὸν ἐπὶ τούτῳ λόγον ἀπαλλάττοντες, εὐκά τοπτον τοῖς ἀκροωμένοις τὴν τῶν εἰρημένων καταστήσωμεν δύναμιν, φέρε τι βραχὺ περὶ τοῦ πρωτοπλάστου λέγωμεν. Ἔφη τοίνυν Μωυσῆς ὁ θεσπέσιος περὶ αὐτοῦ, ὅτι δὴ χοῦν ἀπὸ γῆς λαβὼν ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον. εἶτα τὸ ζῷον εἰς τὸν τέλειον ἄγων ἀπαρτισμὸν, ὅπως τε καὶ τίνα τρόπον ἐψυχώθη διδάσκων "ἐνεφύσησε, φησὶν, εἰς τὸ 2.720 "πρόσωπον αὐτοῦ πνοὴν ζωῆς," οὐ δίχα τοῦ διὰ Πνεύματος ἁγιασμοῦ τὴν ψυχὴν τῷ ἀνθρώπῳ δεδόσθαι σημαίνων, ἀλλ' οὐδὲ γυμνὴν ἢ ἐρήμην παντελῶς τῆς θείας καθεστάναι φύσεως. οὐδὲ γὰρ ἂν ὤφθη ποτὲ κατ' εἰκόνα τὴν ἀνωτάτω τὸ χθαμαλωτάτην οὕτως ἔχον τὴν γένεσιν, εἰ μὴ τὴν διὰ τοῦ Πνεύματος μόρφωσιν, προσωπεῖον ὥσπερ τι περικαλλὲς ἔλαχέ τε καὶ ἐκληρώσατο, βουλήσει δὲ δηλονότι τοῦ Θεοῦ. ἐπειδὴ γάρ ἐστι τῆς τοῦ Μονογενοῦς οὐσίας εἰκὼν ἀκραιφνὴς τὸ Πνεῦμα αὐτοῦ, κατὰ τὸ γεγραμμένον διὰ τοῦ Παύλου "Οὓς γὰρ προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος "τοῦ Υἱοῦ αὐτοῦ·" τοὺς οἷσπερ ἂν ἐνυπάρξαι συμμόρφους ἀποτελεῖ τῇ τοῦ Πατρὸς εἰκόνι, τουτέστι τῷ Υἱῷ, οὕτω τε τὰ πάντα δι' Υἱοῦ πρὸς τὸν ἐξ οὗπέρ ἐστι Πατέρα διὰ Πνεύ ματος ἐπανάγεται. ἀνανεοῦσθαι τοιγαροῦν καὶ ἀναπλάτ τεσθαί πως εἰς εἰκόνα τὴν πρώτην τὴν ἀνθρώπου φύσιν ἐρωτᾷ διὰ μετουσίας τοῦ Πνεύματος, ἵνα τὴν πρώτην ἐκείνην ἀμφιεσάμενοι χάριν, καὶ τὴν πρὸς αὐτὸν ἀνακομισάμενοι μόρφωσιν, ἀμείνους τε ἤδη καὶ δυνατώτεροι τῆς ἐν τῷδε τῷ κόσμῳ βασιλευούσης ἁμαρτίας εὑρισκώμεθα, μόνῃ τε τῇ εἰς Θεὸν ἀγαπήσει προσεδρεύωμεν, ἐφέσει τῇ πρὸς πᾶν ὁτιοῦν ἀγαθὸν ὁλοσχερῶς ἀνακείμενοι, καὶ φιλοσαρκίας κρείττονα τὴν διάνοιαν ἔχοντες, ἀπαραποίητον ἐν ἑαυτοῖς τῆς ἐντεθείσης εἰκόνος τὸ κάλλος τηρήσωμεν. οὗτος γὰρ ὁ βίος ὁ πνευματικὸς, αὕτη τῆς ἐν πνεύματι λατρείας ἡ δύναμις. Ἀλλ' εἰ χρή τι πάλιν τὸ τοῦ λόγου μῆκος συνελόντας ἐν ὀλίγοις εἰπεῖν, τὸ ἀρχαῖον τῆς ἀνθρωπότητος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δῶρον, τουτέστι, τὸν διὰ Πνεύματος ἁγιασμὸν, καὶ τὴν τῆς θείας φύσεως κοινωνίαν ἐφ' ἡμᾶς ἐκάλει Χριστὸς, ὡς ἐν ἀπαρχῇ τῶν δεχομένων ἐν τοῖς αὐτοῦ μαθηταῖς, ἐπεί τοι καὶ ἀληθὴς ὁ λόγος ὅτι "τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρ "πῶν μεταλαμβάνειν." ἀλλ' ἵνα κἀν τούτῳ φαίνηται πρω τεύων αὐτός· ἔδει γὰρ ὄντα πρωτότοκον, ὡς ἐν πολλοῖς 2.721 ἀδελφοῖς καὶ ἐν τοῖς καθ' ἡμᾶς ἔτι νοούμενον, διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν αὐτὸν ὁρᾶσθαι γεγονότα τε καὶ ὑπάρχοντα παντὸς ἡμῖν ἀγαθοῦ καὶ ἀρχὴν καὶ θύραν καὶ ὁδόν· ἀναγ καίως ἐπήνεγκε τὸ ἐφεξῆς, τουτέστιν Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν. Καὶ δυσεξήγητον μέν πως ἐστὶ καὶ δυσχερὲς εἰς νόησιν τὸ εἰρημένον. πλὴν ὁ πάντα φωτίζων Λόγος καὶ "ἀποκα "λύπτων βαθέα ἐκ σκότους," σαφηνιεῖ καὶ τοῦτο ἡμῖν τὸ μυστήριον. ἁγιάζεσθαι μὲν οὖν λέγεται κατὰ συνήθειαν νομικὴν, τὸ ἐν τάξει τινὸς ἀναθέματος ἢ δωροφορίας ὡς ἱερὸν τῷ Θεῷ παρά του προσαγόμενον, καθάπερ ἀμέλει καὶ πᾶν πρωτότοκον διανοῖγον μήτραν ἐν υἱοῖς Ἰσραήλ. "ἁγία "σον γάρ μοι πᾶν πρωτότοκον διανοῖγον μήτραν," πρὸς τὸν ἄριστον ἔφη Μωυσέα, τουτέστιν Ἀνάθες καὶ ἀπόνειμε καὶ κατάγραψον, ὡς ἱερόν· οὐ γὰρ δήπου φαμὲν, ἀλλ' οὐδ' ἂν ἑτέρου τυχὸν εἰπόντος δεξαίμεθα, ὅτι Μωυσεῖ κεκέλευκεν ὁ Θεὸς τὸν διὰ τοῦ Πνεύματος ἁγιασμὸν ἐπιθεῖναί τισι· γενητῆς γὰρ φύσεως οὐκ ἐφικνεῖται τὸ μέτρον εἰς τὸ δύνα σθαί τι τοιοῦτον κατορθοῦν, ἁρμόσει δὲ μόνῳ καὶ ἰδιαζόντως ἀνακείσεται Θεῷ. καὶ γοῦν ὅτε σὺν αὐτῷ τοὺς πρεσβυτέ ρους ἀναδεικνύειν ἤθελεν, οὐκ αὐτὸν ἐπιθεῖναι Μωυσέα τὸν ἁγιασμὸν τοῖς ἐξειλεγμένοις προσέταττεν, ἔφη δὲ μᾶλλον ἐναργῶς, ὡς ἀφελεῖ μὲν ἀπὸ τοῦ Πνεύματος τοῦ ὄντος ἐπ' αὐτῷ, δώσει δὲ τῶν ἀναῤῥηθέντων ἑκάστῳ. τὸ γὰρ ἁγιάζειν δύνασθαι διὰ μετουσίας τοῦ Πνεύματος, μόνῃ τῇ τῶν ὅλων κρατούσῃ μέτεστι φύσει· τὴν δὲ τοῦ ἁγιάζεσθαι δύναμιν, ὡς ἐν νομικῇ δὲ δῆλον ὅτι συνηθείᾳ φημὶ, φανοτάτην ἡμῖν καὶ αὐτὸς ὁ Σολομῶν καταστήσει λέγων "Παγὶς ἀνδρὶ ταχύ "τι τῶν ἰδίων ἁγιάσαι, μετὰ γὰρ τὸ εὔξασθαι μετανοεῖν "γίνεται." Νοουμένου τοιγαροῦν τοῦ Ἁγιάσαι, κατὰ συνήθειαν τὴν 2.722 εἰς τὸν τοῦ ἀναθεῖναί τε καὶ ἀφορίσαι λόγον, ὑπὲρ ἡμῶν ἑαυτὸν ἁγιάσαι φαμὲν τὸν Υἱόν. προσεκόμισε γὰρ ἑαυτὸν ὥσπερ ἱερεῖόν τε καὶ ἅγιον θῦμα τῷ Θεῷ καὶ Πατρὶ, "κόσμον αὐτῷ καταλλάσσων," καὶ συνάγων εἰς φιλίαν τὸ ταύτης ὠλισθηκὸς, τουτέστι, τὸ γένος τὸ ἀνθρώπινον· "αὐ "τὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν" κατὰ τὸ γεγραμμένον. ἡ γεμὴν ἐπανάληψις ἡμῶν ἡ πρὸς Θεὸν οὐχ ἑτέρως ἂν νοοῖτο τετελεσμένη διὰ Χριστοῦ τοῦ σώζοντος, εἰ μὴ διὰ τῆς ἐν Πνεύματι κοινωνίας καὶ ἁγιασμοῦ. τὸ γὰρ συνεῖρον ἡμᾶς καὶ οἱονεὶ συνενοῦν τῷ Θεῷ τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστιν, ὃ δὴ καὶ λαβόντες, μέτοχοι καὶ κοινωνοὶ τῆς θείας ἀναδεικνύ μεθα φύσεως, καὶ αὐτὸν εἰσδεχόμεθα δι' Υἱοῦ καὶ ἐν Υἱῷ τὸν Πατέρα. γράφει γοῦν ἡμῖν ὁ σοφὸς Ἰωάννης περὶ αὐτοῦ "Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν "ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν." τί δὲ δὴ πρὸς τούτῳ καὶ Παῦλος; "Ὅτι δὲ, φησὶν, ἐστὲ υἱοὶ, "ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς "καρδίας ὑμῶν, κράζον Ἀββᾶ ὁ πατὴρ," ὡς εἴπερ ἡμᾶς ἀμετόχους ἀπομεῖναι συνέβη τοῦ Πνεύματος, οὐδ' ἂν ὅλως ἐν ἡμῖν ὑπάρχων ἐγνώσθη Θεὸς, καὶ εἰ μὴ τὸ εἰς υἱοὺς κατατάττον πεπλουτήκαμεν Πνεῦμα, οὐδ' ἂν ὅλως ἦμεν υἱοὶ Θεοῦ. ποία τοίνυν ἡ πρόσληψις, ἢ πῶς ἂν ἔτι θείας φύ σεως κοινωνοὶ καὶ ἡμεῖς ἀπεφάνθημεν, εἰ μήτε Θεὸς ἐν ἡμῖν, μήτε ἡμεῖς αὐτῷ προσκείμενοι, διὰ τοῦ κεκλῆσθαι πρὸς μετουσίαν τοῦ Πνεύματος; νυνὶ δὲ καὶ μέτοχοι καὶ κοινωνοὶ τῆς τὰ πάντα ὑπερκειμένης οὐσίας, καὶ ναοὶ Θεοῦ χρηματί ζομεν. ὑπὲρ γὰρ τῶν ἡμετέρων ἁμαρτιῶν ἑαυτὸν ἡγίασε, τουτέστιν ἀνέθηκεν, ὁ Μονογενὴς, καὶ ὡς θῦμα προσκεκό μικεν ἱερὸν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρὶ, ἵν' ἐκ μέσου γεγονότος τοῦ διείργοντός τε καὶ ἀποτειχίζοντος ὥσπερ Θεοῦ τὴν ἀνθρώπου φύσιν, τουτέστι τῆς ἁμαρτίας, 2.723 μηδὲν ἔτι παραποδίζον φαίνηται πρὸς τὸ δύνασθαι πρὸς ἐγγύτητα γενέσθαι Θεῷ, καὶ τῆς πρὸς αὐτὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κοινωνίας ἐξέχεσθαι, διὰ μετουσίας δηλονότι τοῦ Ἁγίου Πνεύματος, ἀναμορφοῦντος ἡμᾶς εἰς δικαιοσύνην καὶ ἁγιασμὸν καὶ εἰς εἰκόνα τὴν πρώτην. εἰ γὰρ διίστησιν ἁμαρτία καὶ ἀπομε ρίζει Θεοῦ τὸν ἄνθρωπον, συνάψει δὴ πάντως ἡ δικαιοσύνη, καὶ μεσολαβοῦντος οὐδενὸς παρ' αὐτῷ τρόπον τινὰ παρα στήσει τῷ Θεῷ. δεδικαιώμεθα δὲ διὰ πίστεως τῆς εἰς Χρι στὸν "ὃς παρεδόθη μὲν διὰ τὰ παραπτώματα ἡμῶν," κατὰ τὸ γεγραμμένον, "ἠγέρθη δὲ διὰ τὴν δικαίωσιν ἡμῶν." ὅλη γὰρ ἐν αὐτῷ, καθάπερ ἐν ἀπαρχῇ τοῦ γένους, πρὸς καινότητα ζωῆς ἡ ἀνθρώπου φύσις ἀνεσκευάζετο, καὶ εἰς τὴν οἰκείαν ὥσπερ ἀρχὴν ἀναβαίνουσα πρὸς ἁγιασμὸν ἀνεπλάττετο. "Ἁγίασον τοίνυν αὐτοὺς, ὦ πάτερ, φησὶν, ἐν τῇ ἀληθείᾳ "σου, τουτέστιν ἐν ἐμοί· ὁ γὰρ λόγος ὁ σὸς ἀλήθειά ἐστι," τουτέστιν, πάλιν ἐγώ. ἡγίασα γὰρ ὑπὲρ αὐτῶν ἐμαυτὸν, τουτέστιν ἀνατέθεικα καὶ προσήγαγον, εἷς ὑπὲρ πάντων ἀποθανὼν, ἵν' αὐτοὺς εἰς καινότητα μεταμορφώσω ζωῆς καὶ ἡγιασμένοι ὦσιν ἐν ἀληθείᾳ, τουτέστιν ἐν ἐμοί. Σεσαφηνισμένου δὲ καὶ παραδεχθέντος εἰς νόησιν, κατὰ τὸν ἀρτίως ἡμῖν ἐκδοθέντα νοῦν, τοῦ προκειμένου ῥητοῦ, καὶ δι' ἑτέρων ἰέναι θεωρημάτων οὐ κατοκνήσομεν. τὸ γὰρ ὅτι μάλιστα φιλοθηρεῖν ἐπείγεσθαι τὰ τῶν νοημάτων οὐκ εὐχερῆ, γένοιτ' ἂν οἶμαι τιμαλφέστατον, αὐτοῖς τε τοῖς τοῦτο δρᾶν ἐθέλουσι, καὶ τοῖς τῶν ἀκροωμένων φιλομαθεστέροις. ἔφη τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἑαυτὸν ἁγιάζειν, ἵνα καὶ ἡμεῖς ὦμεν ἡγιασμένοι ἐν ἀληθείᾳ. πῶς οὖν ἁγιάζεται καίτοι κατὰ φύσιν ἅγιος ὢν, ἵνα καὶ ἡμεῖς ὦμεν ἡγιασμένοι, φέρε δὴ πάλιν τῶν τῆς Ἐκκλησίας δογμάτων ἐχόμενοι, καὶ τὸν ὀρθὸν τῆς πίστεως κανόνα μὴ παρατρέχοντες, ὡς ἔνι καλῶς ἐπαθρήσωμεν. φαμὲν οὖν ὅτι Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Μονογενὴς καὶ ἐν μορφῇ καὶ 2.724 ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς, κεκένωκεν ἑαυτὸν κατὰ τὰς γραφὰς, καὶ γέγονεν ἄνθρωπος ἐκ γυναικὸς, πάντα τὰ ἀνθρώπῳ πρέποντα καταδεξάμενος, δίχα μόνης ἁμαρ τίας, καὶ ἀῤῥήτως ἑαυτὸν ἑνώσας τῇ ἡμετέρᾳ φύσει, καθ' ἑκούσιον βούλησιν, ὅπως ἂν αὐτὴν ἐν ἑαυτῷ τε πρώτῳ καὶ δι' ἑαυτοῦ πρὸς ἐκεῖνο πάλιν ἀναστοιχειώσας τὸ κάλλος, φημὶ δὴ τὸ ἐν ἀρχαῖς, καὶ δεύτερος ἡμῖν Ἀδὰμ εὑρεθεὶς, τουτέστιν, οὐράνιος ἄνθρωπος, πρῶτός τε ἁπάντων καὶ ἀπαρχὴ τῶν ἀνακτιζομένων εἰς καινότητα ζωῆς εὑρεθεὶς, ἐν ἀφθαρσίᾳ δηλονότι καὶ δικαιοσύνῃ καὶ ἁγιασμῷ τῷ διὰ Πνεύματος νοουμένῳ παραπέμψῃ λοιπὸν δι' ἑαυτοῦ πρὸς ἅπαν τὸ γένος τὰ ἀγαθά. διὰ τοῦτο καίτοι ζωὴ κατὰ φύσιν ὑπάρχων, γέγονεν ἐν νεκροῖς, ἵνα τὸν ἡμῶν ἐν ἡμῖν καταρ γήσας θάνατον, εἰς τὴν ἰδίαν ἡμᾶς ἀναπλάσῃ ζωήν· καὶ αὐτὸς ὑπάρχων ἡ δικαιοσύνη τοῦ Θεοῦ καὶ Πατρὸς, γέγονεν ὑπὲρ ἡμῶν ἁμαρτία. κατὰ γὰρ τὴν τοῦ προφήτου φωνήν "Αὐτὸς τὰς ἁμαρτίας ἡμῶν αἴρει," καὶ ἐλογίσθη μεθ' ἡμῶν ἐν ἀνόμοις, ἵν' ἡμᾶς δικαιώσῃ δι' ἑαυτὸν, διαῤῥήξας "τὸ "καθ' ἡμῶν χειρόγραφον, καὶ προσηλώσας αὐτὸ τῷ ἰδίῳ "σταυρῷ," κατὰ τὸ γεγραμμένον. ἅγιος δὲ πάλιν ὑπάρχων κατὰ φύσιν ὡς Θεὸς, καὶ τοῦ Ἁγίου Πνεύματος ὅλῃ τῇ κτίσει πρὸς διαμονὴν καὶ σύστασιν καὶ ἁγιασμὸν τὸ ἐν μεθέ ξει γενέσθαι διδοὺς, ἁγιάζεται δι' ἡμᾶς ἐν Ἁγίῳ Πνεύματι, οὐχ ἑτέρου τινὸς αὐτὸν ἁγιάζοντος, αὐτουργοῦντος δὲ μᾶλλον ἑαυτῷ πρὸς ἁγιασμὸν τῆς ἰδίας σαρκός. δέχεται γὰρ τὸ Πνεῦμα τὸ ἑαυτοῦ, καὶ λαμβάνει μὲν, καθόπερ ἦν ἄνθρωπος, ἑαυτῷ γεμὴν τοῦτο δίδωσιν, ὡς Θεός. ἔδρα δὲ τοῦτο δι' ἡμᾶς, οὐ δι' ἑαυτόν· ἵνα ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ δὴ πρώτῳ δεξαμένου τοῦ πράγματος τὴν ἀρχὴν, εἰς ἅπαν οὕτω τὸ γένος ἡ τοῦ ἁγιάζεσθαι λοιπὸν διαβαίνοι χάρις. ὥσπερ γὰρ διὰ τῆς ἐν Ἀδὰμ παραβάσεως καὶ παρακοῆς, ὡς ἐν ἀπαρχῇ 2.725 τοῦ γένους ἡ φύσις θανάτῳ κατεδικάζετο, δι' ἑνὸς ἀκούουσα τοῦ πρώτου "Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ·" τὸν αὐτὸν οἶμαι τρόπον, διὰ τῆς ὑπακοῆς καὶ δικαιοσύνης τοῦ Χριστοῦ, καθὸ γέγονεν ὑπὸ νόμον, καίτοι νομοθέτης ὑπάρχων ὡς Θεὸς, εἰς ὅλην ἂν διήκοι τὴν φύσιν ἡ εὐλογία, καὶ ἡ διὰ τοῦ Πνεύματος ζωοποίησις. ἀναμορφοῖ γὰρ τὸ Πνεῦμα πρὸς ἀφθαρσίαν τὸ ἐξ ἁμαρτίας κατεφθαρμένον, καὶ εἰς καινότητα μετα πλάττει ζωῆς τὸ ἐκ ῥαθυμίας πεπαλαιωμένον καὶ χωρῆσαν εἰς ἀφανισμόν. Ἀλλ' ἴσως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐρεῖς Πῶς οὖν ὁ ἅγιος κατὰ φύσιν ἡγιάζετο, καὶ τοῦτο μεθεκτῶς; κατὰ τίνα δὲ τρόπον ὁ καὶ πᾶσι τοῖς ἑλεῖν ἀξίοις, τοῖς τε ἄνω φημὶ καὶ τοῖς ἐπὶ γῆς τὸ ἴδιον Πνεῦμα διδοὺς, ἑαυτῷ τοῦτο χαρίζεται; δυσέφικτα μὲν οὖν καὶ δυσδιανόητα κομιδῆ καὶ οὐκ ἀταλαίπωρον ἔχοντα τὴν ἐξήγησιν τὰ τοιαῦτά ἐστιν, ὅταν ἐννοήσῃς γυμνὸν ἔτι καὶ ὥσπερ ἀνὰ μέρος ἑστῶτα τῆς ἁγιαζομένης ἀνθρωπότητος τὸν ἐκ Θεοῦ πεφηνότα Λόγον· ἐπὰν μέντοι θαυμάσῃς τὴν ἀπερινόητον ἕνωσιν καὶ τὴν εἰς σάρκα σύνοδον, καὶ ὑποπέσῃ τῷ νῷ καθ' ἡμᾶς γενόμενος ἄνθρωπος ὁ φύσει Θεὸς, ξενι σθήσῃ μὲν οὐκέτι, πάντα δὲ θόρυβον τῆς σῆς διανοίας ἐξε λὼν, ὑποθείς τε τοῖς θεωρήμασι, Θεὸν ἐν ταὐτῷ καὶ ἄνθρωπον ὄντα τὸν Υἱὸν, οὐκ ἀπόβλητα λογιῇ τὰ τῇ ἀνθρωπότητι πρέποντα, κἂν εἰς τὸ ἑνὸς τοῦ κατὰ φύσιν Υἱοῦ φέρηται πρόσωπον, φημὶ δὴ Χριστοῦ. ἢ γὰρ οὐκ ἀλλότριον οἰησό μεθα παντελῶς τοῦ τὰ πάντα ζωογονοῦντος Λόγου τὸ ἀπο θανεῖν; Ἀλλ' ἐρεῖς, ὅτι πέπονθε τοῦτο κατὰ τὴν σάρκα, θανάτου γὰρ δεκτικὸν τὸ σῶμα, τεθνάναι δὲ διὰ τοῦτο λέγεται· τὸ γὰρ ἴδιον αὐτοῦ τέθνηκε σῶμα. Παγκάλως ἔχει σοι τὸ θεώρημα, λέγεις γὰρ ὀρθῶς· καὶ γάρ τοι κατὰ ἀλήθειαν δι' ἡμᾶς οἰκονομικῶς τὸ ἴδιον ἐφεὶς 2.726 τεθνάναι σῶμα, πάλιν αὐτῷ τὴν ἰδίαν ἐνεφύτευσε ζωὴν, οὐχ ἑαυτὸν δηλονότι τῶν τοῦ θανάτου δεσμῶν ἐξαιρούμενος, καθὸ νοεῖται Θεός. ἐπεδήμησε γὰρ καὶ γέγονεν ἄνθρωπος, οὐ δι' ἑαυτόν· ὁδοποιῶν δὲ μᾶλλον τῇ ἀνθρωπείᾳ φύσει δι' ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ τὴν ἐκ θανάτου διαφυγὴν, καὶ τὴν εἰς τὴν ἀπ' ἀρχῆς ἀφθαρσίαν ἐπάνοδον. ἴθι δὴ οὖν κατὰ τὴν ἴσην τῶν εἰρημένων ἀναλογίαν εἰς τὸν περὶ τοῦ ἁγιά ζεσθαι τρόπον. ἆρα γὰρ ὅλως φαμὲν ἅγιον ὑπάρχειν, κατά γε τὸν λόγον τῆς ἰδίας φύσεως, τὸ ἀπὸ γῆς σῶμα, καὶ εἰ μὴ δέχοιτο τὸν ἁγιασμὸν παρὰ τοῦ κατὰ φύσιν ἁγίου Θεοῦ; καὶ πῶς ἂν εἴη τοῦτό γε; ποία γὰρ ἂν ἔτι νοοῖτο διαφορὰ σαρκός τε τῆς γηγενοῦς καὶ τῆς κατὰ φύσιν ἁγίας τε καὶ ἁγιαστικῆς οὐσίας; εἰ δέ ἐστιν εἰπεῖν ἀληθὲς, ὅτι πᾶσα κτίσις λογικὴ καὶ ἁπαξαπλῶς τὸ κεκλημένον εἰς γένεσιν καὶ τελοῦν ἐν γενητοῖς, φύσεως μὲν ἰδίας οὐκ ἔχει καρπὸν τὸν ἁγιασμὸν, δανείζεται δὲ ὥσπερ παρὰ τοῦ κατὰ φύσιν ἁγίου τὴν χάριν, πῶς οὐκ ἂν γένοιτο τῶν ἀτοπωτάτων ἀπροσδεᾶ τὴν σάρκα νοεῖν τοῦ ἁγιάζειν τὰ πάντα πεφυκότος Θεοῦ; ἐπειδὴ τοίνυν οὐχ ἁγία καθ' ἑαυτὴν ἡ σὰρξ, ἡγιάσθη διὰ τοῦτο καὶ ἐν Χριστῷ, τοῦ ἐν αὐτῇ κατοικήσαντος Λόγου διὰ τοῦ Ἁγίου Πνεύματος τὸν οἰκεῖον ναὸν ἁγιάζοντος, καὶ εἰς ἐνέργειαν αὐτὸν τῆς ἰδίας μεταποιοῦντος φύσεως. ἅγιον γὰρ διὰ τοῦτο νοεῖται καὶ ἁγιαστικὸν τὸ σῶμα Χριστοῦ, ἅτε δὴ, καθάπερ ἔλεγον ἀρτίως, ναὸς γεγονὸς τοῦ ἑνωθέντος αὐτῷ Λόγου σωματικῶς, ὡς ὁ Παῦλός φησιν. διὰ τοῦτο κάτεισι μὲν ἐπ' αὐτὸν ἐξ οὐρανοῦ τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς· μεμαρτύρηκε δὲ τοῦτο λέγων ὁ σοφὸς Ἰωάννης· ἵνα γνῶμεν πάλιν, ὅτι καθάπερ ἐν ἀπαρχῇ τῆς ἀνανεουμένης φύσεως, ἐν πρώτῳ Χριστῷ τὸ Πνεῦμα κατέβη, καθὸ πέφηνεν ἄνθρωπος ὁ τοῦ ἁγιάζεσθαι δεκτικός. καὶ οὐ δήπου πάλιν ἐκεῖνό φαμεν, ὅτι τότε γέγονεν ἅγιος τὸ κατὰ σάρκα Χριστὸς, ὅτε "τὸ Πνεῦμα τεθέαται καταβαῖνον" ὁ 2.727 βαπτιστής· ἅγιος γὰρ ἦν καὶ ἐν ἐμβρύῳ καὶ μήτρᾳ. καὶ γοῦν ἐλέγετο πρὸς τὴν μακαρίαν παρθένον "Πνεῦμα ἅγιον "ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι·" ἀλλὰ δέδοται μὲν εἰς σημεῖον τῷ βαπτιστῇ τὸ θέαμα. λογι ζόμεθα δ' οὖν ὅμως ἡγιάσθαι τε τὴν σάρκα διὰ τοῦ Πνεύ ματος, καθ' ὁμοιότητα τῆς ἄλλης κτίσεως τὸν ἴδιον ἐν αὐτῷ καταχρίοντος ναὸν τοῦ κατὰ φύσιν ἁγίου καὶ ἐκ Πατρὸς ὄντος Λόγου· καὶ τοῦτο εἰδὼς ὁ μελῳδὸς ἀνεφώνει, τὸ ἐν ἀνθρωπότητι πρόσωπον ἀναθεωρήσας τοῦ Μονογενοῦς "Διὰ "τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως "παρὰ τοὺς μετόχους σου." καταχρίοντος γὰρ τοῦ Υἱοῦ τὸν ἴδιον ναὸν, ὁ Πατὴρ λέγεται τοῦτο δρᾶν. ἐνεργεῖ γὰρ οὐχ ἑτέρως ἢ δι' Υἱοῦ. ἀναφέρεται δὲ πᾶν ὅπερ ἂν δράσειεν ὁ Υἱὸς εἰς τὸν ἐξ οὗπέρ ἐστι Πατέρα· ῥίζα γὰρ ὥσπερ τις ἐστὶ καὶ πηγὴ τοῦ ἰδίου γεννήματος ὁ Πατήρ. Θαυμαστὸν δὲ οὐδὲν, εἰ καὶ ἁγιάζεσθαί φησιν ἑαυτὸν, καίτοι κατὰ φύσιν ἅγιος ὢν, ὅτε καὶ Θεὸν αὐτοῦ τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πατέρα καλοῦσιν αἱ γραφαὶ, καίτοι κατὰ φύσιν ὄντος Θεοῦ. ἀλλ' οἶμαι ταυτὶ ταῖς τῆς ἀνθρωπότητος χρείαις καὶ τῷ καθ' ἡμᾶς πρέποντι σχήματι καλῶς καὶ δικαίως ἀναθείη τις ἂν, καὶ οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. ὥσπερ οὖν ἀπέθανε κατὰ σάρκα ὑπὲρ ἡμῶν, ὡς ἄνθρωπος, καίτοι κατὰ φύσιν ὑπάρχων ὡς Θεός· καὶ ὥσπερ ἐν τοῖς γεγονόσι καὶ ὑπὸ ζυγὸν κατα τεταγμένος διὰ τὴν ἀνθρωπότητα, καίτοι τῶν ὅλων κύριος ὢν, Θεὸν ἑαυτοῦ τὸν Πατέρα φησίν· οὕτω δι' ἡμᾶς ἑαυτὸν ἁγιάζειν διισχυρίζεται, ἵνα καὶ εἰς ἡμᾶς δραμόντος τοῦ πρά γματος, ὡς ἐν ἀπαρχῇ τῆς ἀνανεουμένης φύσεως, ἐν αὐτῷ καὶ ἡμεῖς ὦμεν ἡγιασμένοι ἐν ἀληθείᾳ, τουτέστιν, ἐν Ἁγίῳ Πνεύματι. τὸ γὰρ Πνεῦμά ἐστιν ἡ ἀλήθεια, κατὰ τὴν Ἰωάννου φωνήν· οὐ γὰρ ἕτερον παρὰ τὸν Υἱὸν τὸ Πνεῦμα αὐτοῦ, κατά γε τὸν ἐν οὐσίᾳ λόγον, ἅτε δὴ καὶ ἐν αὐτῷ τε ὑπάρχον καὶ δι' αὐτοῦ προϊόν. 2.728 Ἀπεστάλθαι δέ φησιν εἰς τὸν κόσμον, καίτοι πρὸ τῆς ἐναν θρωπήσεως ὢν ἐν αὐτῷ. ἦν γὰρ ἐν τῷ κόσμῳ, εἰ καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, κατὰ τὸ γεγραμμένον, τὸν τῆς ἀπο στολῆς τρόπον οὐχ ἑτέρως γενέσθαι σημαίνων, ἢ ὅτι κέχρι σται τῷ Ἁγίῳ Πνεύματι, καθὸ γέγονεν ἄνθρωπος, καὶ τῆς "Μεγάλης βουλῆς πέφηνεν ἄγγελος," καθ' ὁμοιότητα λει τουργίας προφητικῆς. κατὰ μίμησιν δὲ τὴν ἑαυτοῦ προ κεχειρίσθαι λέγων τοὺς μαθητὰς, καὶ ἀπεστάλθαι παρ' αὐτοῦ διαγγελοῦντας τῷ κόσμῳ τὸ εὐαγγελικὸν καὶ οὐράνιον κήρυ γμα, δεῖσθαί φησιν ἀναγκαίως τοῦ ἁγιάζεσθαι ἐν ἀληθείᾳ, ἵνα καὶ δύνωνται τὸν τῆς ἰδίας ἀποστολῆς ἄριστά τε καὶ νεανικῶς διαπερᾶναι δρόμον. 2.729 ΚΕΦΑΛΗ ΙΑ. Ὅτι φυσικῶς ὁ Υἱὸς ἕν ἐστι πρὸς τὸν ἑαυτοῦ Πατέρα Θεὸν, καὶ αὐτὸς μὲν ἐν Πατρὶ, ὁ Πατὴρ δὲ ἐν αὐτῷ, κατά γε τὸν οὐσιώδη τῆς ἑνότητος σύνδεσμόν τε καὶ τρόπον· ὁμοίως δὲ καὶ ἡμεῖς αὐτοὶ τὴν εἰς αὐτὸν παραδεξάμενοι πίστιν, ἓν πρός τε ἀλλήλους καὶ Θεὸν ἀναδεικνύμεθα, σωματικῶς τε καὶ πνευματικῶς. Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμὲ, ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ Πάτερ ἐν ἐμοὶ κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας. ἈΠΑΡΧΗ μὲν ὥσπερ τῶν ἀνακτιζομένων εἰς καινότητα ζωῆς πέφηνεν ὁ Χριστὸς καὶ πρῶτος αὐτὸς οὐράνιος ἄνθρω πος. κατὰ γάρ τοι τὴν τοῦ Παύλου φωνὴν, "ὁ δεύτερος "Ἀδὰμ ὁ Κύριος ἐξ οὐρανοῦ·" διὰ τοῦτο καὶ ἔφασκε "Καὶ "οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ "καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου." προσεχῶς δὲ τῇ ἀπαρχῇ, καὶ πολὺ μᾶλλον τῶν ἑτέρων γείτονες οἱ πρῶτοι πρὸς μαθη τείαν ἐξειλεγμένοι, καὶ τὸ τῆς ἀκολουθήσεως ἑλόντες ἀξίωμα, οἳ καὶ αὐτόπται καὶ θεωροὶ γεγόνασι τῆς δόξης αὐτοῦ, προσ εδρεύοντές τε ἀεὶ καὶ συνδιαιτώμενοι καὶ τὰς τῆς ὠφελείας ἀπαρχὰς ἐν οἰκείαις ψυχαῖς συγκομίζοντες. ἦσαν οὖν ἄρα καί εἰσι μετὰ τὴν τῶν ὅλων καὶ ὑπὲρ πάντας "κεφαλὴν τοῦ "τῆς ἐκκλησίας σώματος," τὰ τίμιά τε καὶ ἀξιολογώτερα 2.730 μέλη. καὶ γοῦν ἐπ' αὐτὰ τὴν διὰ τοῦ Πνεύματος εὐλογίαν καὶ ἁγιασμὸν καταπέμπεσθαι παρὰ τοῦ ἰδίου Πατρὸς ἐρωτᾷ, δι' ἑαυτοῦ δὲ πάντως· οὐ γὰρ ἦν ἑτέρως, ἐπείπερ ἐστὶν αὐτὸς ἡ ζῶσά τε καὶ ἀληθὴς καὶ παντουργικὴ καὶ δραστήριος σοφία καὶ δύναμις τοῦ γεννήσαντος αὐτόν. ἀλλ' ἵνα μή τινες τῶν οὐ λίαν ἐπιεικέστερον ἐπαΐειν μεμελετηκότων τῆς θεοπνεύστου γραφῆς οἰηθεῖεν ἐξ ἐλαφρίας ἐπὶ μόνους κεκλῆ σθαι τοὺς μαθητὰς τὴν τοῦ θείου Πνεύματος καταφοίτησιν, οὐδὲν δὲ περὶ ἡμῶν τῶν μετ' ἐκείνους δηλαδὴ καὶ ἐν πρώτοις γεγονότων καιροῖς, ὁ Θεοῦ καὶ ἀνθρώπων μεσίτης ὁ παρά κλητος καὶ ἀρχιερεὺς τῶν ἡμετέρων ψυχῶν, ἀναγκαίως καὶ τὰς τῶν τοιούτων προανασειράζων ἀσυνέτους ὑπονοίας, τοῖς εἰρημένοις ἐπήνεγκε τὸ προκείμενον, τουτέστιν Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. καὶ γὰρ ἦν πως ἄτοπον, δι' ἑνὸς μὲν τοῦ πρώτου, φημὶ δὴ τοῦ Ἀδὰμ, διήκειν ἐπὶ πάντας τὴν κατά κρισιν, καὶ φορέσαι μὲν τοῦ χοϊκοῦ τὴν ἀδοξοτάτην εἰκόνα καὶ τοὺς μὴ ἁμαρτήσαντας, κατ' ἐκεῖνο δὲ δηλονότι καιροῦ, καθ' ὃν ὁ προπάτωρ τῆς αὐτῷ δοθείσης παρώλισθεν ἐν τολῆς· ἐπιδημήσαντος δὲ τοῦ Χριστοῦ, ὃς δὴ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέφηνεν οὐράνιος ἄνθρωπος, μὴ καὶ τὴν αὐτοῦ πάλιν εἰκόνα σύμ παντας ἀναμάττεσθαι τοὺς δι' αὐτοῦ κεκλημένους εἰς δικαιο σύνην, πρόδηλον δὲ ὅτι τὴν διὰ πίστεως. ὥσπερ δὲ τοῦ χοϊκοῦ τὴν ἀκαλλεστάτην εἰκόνα, διὰ τύπων ὁρᾶσθαί φαμεν καὶ ἰδέας τοιαύτης, ἣ καὶ τῆς ἁμαρτίας ἔχει τὸν ῥύπον, καὶ θανάτου καὶ φθορᾶς τὴν ἀσθένειαν καὶ φιληδονίας σαρκικῆς καὶ φρονήματος ἐπιγείου τὴν ἀκαθαρσίαν· οὕτως αὖ πάλιν διαπρέπειν οἰόμεθα τὴν εἰκόνα τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ, καθαρότητι καὶ εἰλικρινείᾳ, τῇ κατὰ πᾶν ὁτιοῦν ἀφθαρσίᾳ καὶ ζωῇ καὶ ἁγιασμῷ. ἀλλ' ἦν ἑτέρως ἀμήχανον εἰς τὸ ἀπ' ἀρχῆς ἡμᾶς ἀνακομίζεσθαι κάλλος τοὺς ἅπαξ ἐκπεπτωκότας διὰ τὴν ἐν τῷ πρώτῳ παράβασιν, εἰ μὴ τῆς 2.731 ἀῤῥήτου κοινωνίας ἐτύχομεν καὶ τῆς ἑνώσεως τῆς πρὸς Θεόν· οὕτω γὰρ καὶ ἐν ἀρχαῖς ἡ τῶν ἐπὶ γῆς διεκοσμήθη φύσις· ἕνωσις δὲ ἡ πρὸς Θεὸν οὐχ ἑτέρως ἂν ὑπάρξαι τισὶν, ἢ διὰ τῆς μετουσίας τοῦ Ἁγίου Πνεύματος τῆς ἰδίας ἰδιότητος ἐντιθέντος ἡμῖν τὸν ἁγιασμὸν, καὶ εἰς τὴν ἰδίαν ἀναπλάτ τοντος ζωὴν τὴν ὑποπεσοῦσαν τῇ φθορᾷ φύσιν, οὕτω τε πρὸς τὸν Θεὸν καὶ πρὸς τὴν ἐκείνου μόρφωσιν ἐπανάγοντος τὸ τῆς ἐπὶ τούτῳ δόξης ἐστερημένον. εἰκὼν μὲν γὰρ ἀκραιφνὴς τοῦ Πατρὸς ὁ Υἱὸς, ὁμοίωσις δὲ φυσικὴ τοῦ Υἱοῦ τὸ Πνεῦμα αὐτοῦ. διάτοι τοῦτο μεταπλάττον ὥσπερ εἰς ἑαυτὸ τὰς τῶν ἀνθρώπων ψυχὰς, τὴν θείαν αὐταῖς ἐγχαράττει μόρφωσιν, καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας ἀπο σημαίνεται τὸν εἰκονισμόν. Ἐρωτᾷ τοιγαροῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὐχ ὑπὲρ μόνων τῶν δυοκαίδεκα μαθητῶν, μᾶλλον δὲ περὶ πάν των, οἳ δὴ καὶ ἐν ἑκάστοις ἔμελλον καιροῖς, τοῖς παρ' αὐτῶν γεγονόσιν, εἴκειν τε καὶ ὑποπείθεσθαι λόγοις παραθήγουσι τοὺς ἀκροωμένους πρὸς ἀνάληψιν ἁγιασμοῦ τοῦ διὰ πίστεως καὶ πρὸς ἀποκάθαρσιν τὴν ἐνεργουμένην διὰ τῆς τοῦ Πνεύ ματος μετοχῆς. τὰ δέ γε τῆς αἰτήσεως, οὐδὲ ἡμῖν αὐτοῖς ἀσυμφανῆ καταλιπεῖν ᾤετο δεῖν· ἵνα δὴ διὰ τούτου μάθωμεν, ὁποίους τινὰς ὁρᾶσθαι προσήκει, καὶ τίνα δικαιοσύνης ἰέναι τρίβον πρὸς ἀποπλήρωσιν τῶν ἀρεσκόντων αὐτῷ. τίς οὖν ἢ ποῖος ὁ τῆς αἰτήσεως τρόπος; ἵνα φησὶν ἓν ὦσι καθὼς σὺ Πάτερ ἐν ἐμοὶ κἀγὼ ἐν σοὶ ἵνα ἐν ἡμῖν ἓν ὦσιν· ἀγάπης οὖν ἄρα καὶ ὁμονοίας καὶ εἰρήνης σύνδεσμον ἀπαιτεῖ, συγκομίζοντα πρὸς ἑνότητα τὴν πνευματικὴν τοὺς πιστεύοντας, ὡς τῆς φυσικῆς τε καὶ οὐσιώδους ἑνότητος, πρόδηλον δὲ ὅτι τῆς ἐν Πατρί τε καὶ Υἱῷ νοουμένης, ἀπομιμεῖσθαι τοὺς χαρακτῆρας, τὴν ἐν συναινέσει τῇ κατὰ πάντα καὶ ἀδιατμήτοις ὁμοψυ 2.732 χίαις εἰς ἑνότητα συνδρομήν. καὶ οὐ δήπου πάντως φιλονει κήσει τῆς ἐν ἡμῖν ἀγάπης ὁ σύνδεσμος καὶ τῆς ὁμονοίας ἡ δύναμις εἰς τὸ οὕτως ἔχειν ἀπαραλλάκτως, ὡς ἂν εἶεν ὁ Πατήρ τε καὶ ὁ Υἱὸς, ἐν τῇ τῆς οὐσίας ταυτότητι τὸν τῆς ἑνότητος ἀποσώζοντες τρόπον. ἡ μὲν γὰρ νοεῖται φυσική τε καὶ ἀληθὴς καὶ ἐν τῷ τῆς ὑπάρξεως λόγῳ θεωρουμένη· ἡ δὲ τὸ τῆς ἀληθοῦς ἑνότητος ὑποκρίνεται σχῆμα. πῶς γὰρ ἂν εἶεν ἐν ἴσῳ παντελῶς τοῖς ἀρχετύποις τὰ ἀντίτυπα; ἐπεὶ μὴ ταὐτὸν εἰς νόησιν πρὸς ἀλήθειαν αὐτὴν τὴς ἀληθείας ἡ μόρφωσις· ἀλλ' ἐν ἴσοις μὲν ὁρᾶται σχήμασι, διεστήξει δ' οὖν ὅμως οὐκ ἐντυχούσαις διαφοραῖς. Ὅταν οὖν οἴηταί τις τῶν ἑτεροδόξων ἀνατρέπειν δύνασθαι τὴν πρὸς Θεὸν καὶ Πατέρα ταυτότητα φυσικὴν, καὶ τὴν ἐντεῦθεν ἑνότητα τοῦ Υἱοῦ, εἶτα πρὸς ἀπόδειξιν καὶ ὀχυρό τητα τῆς ἑαυτοῦ δυσβουλίας τὰ καθ' ἡμᾶς προσκομίζῃ λέγων Ὥσπερ ἡμεῖς οὐ τῇ τῶν σωμάτων εἰς ἓν νοουμένῃ ταυτότητι, ἀλλ' οὐδὲ διὰ τῆς εἰς ἀλλήλας ἀντανακράσεως τῶν ψυχῶν, ἕν ἐσμεν οἱ πάντες, ἀλλὰ σχέσει καὶ διαθέσει τῇ κατὰ ἀγάπην, ταυτοβουλίᾳ καὶ συναινέσει τῇ εἰς τὸ θέλημα τοῦ Θεοῦ, οὕτω καὶ ὁ Υἱὸς ἕν ἐστι πρὸς τὸν Πατέρα· παρωσόμεθα δὴ πάντως ἀμαθῆ τε ὄντα καὶ ἀσύνετον κομιδῆ. καὶ διὰ ποίαν αἰτίαν; ἐπείπερ οὐ πάντως ἀκολουθήσει τοῖς καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς, ἀλλ' οὐδὲ τὴν τῶν σωμάτων ἀνάγκην ὑπομεῖναι τὸ ἀσώματον, οὔτε μὴν τοῖς ἀνθρωπίνοις ἕψεται τὰ τοῦ Θεοῦ. εἰ μὲν γὰρ τὸ διεῖργον οὐδὲν ἢ ἀπο μερίζον ὅλως εἰς διαφορὰν ἡμᾶς τε καὶ Θεὸν, νοείσθω καὶ καθ' ἡμᾶς τὰ περὶ Θεοῦ· εἰ δὲ ἀκατάληπτόν τι τὸ μεσο λαβοῦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὑρίσκεται, τί τὰ τῆς ἡμετέρας φύσεως ἡττήματα κανόνα καὶ σταθμὸν ὁρίζουσι τῷ Θεῷ, ἐκ τῶν καθ' ἡμᾶς ἀδυνάτων ἀνάγκαις ὑποτιθέντες τὴν ἁπάσης ἀνάγκης κρείτ τονα φύσιν, ἁλοῖεν δ' ἂν ἔτι πρᾶγμα δρῶντες ἄτοπόν τε καὶ 2.733 ἀλογώτατον; ἀπὸ γὰρ τῶν ἰσοτύπων τὰ ἀρχέτυπα, καὶ ἐκ τῆς κατὰ μίμησιν ὁμοιότητος τὴν ἀλήθειαν σχηματίζουσι· τιμῶντες μὲν τοῖς δευτέροις τὰ τὴν πρώτην ἐπέχοντα τάξιν, τὴν δὲ τῶν πρώτων ὑπόληψιν τοῖς μετὰ ταῦτα δευτέροις ἐπάγοντες. Ἀλλ' ἵνα μὴ λίαν τοῖς περὶ τούτων ἐμφιλοχωροῦντες λόγοις ἔξω που τῶν προκειμένων ἰέναι δοκῶμεν, ἐκεῖνο δὴ πάλιν ἀναγκαίως ἐροῦμεν, ὡς εἰς εἰκόνα καὶ τύπον τῆς ἀδια σπάστου φιλίας τε καὶ ὁμονοίας καὶ ἑνότητος, τῆς ἐν ὁμο ψυχίᾳ νοουμένης, τὴν οὐσιώδη παραλαβὼν ἑνότητα Χριστὸς, ἣν ἔχει μὲν ὁ Πατὴρ πρὸς αὐτὸν, αὐτὸς δὲ αὖ πάλιν πρὸς τὸν Πατέρα· συνανακιρνᾶσθαι τρόπον τινὰ καὶ ἡμᾶς ἀλλή λοις βούλεται, ἐν δυνάμει δῆλον ὅτι τῆς ἁγίας τε καὶ ὁμοου σίου Τριάδος, ὡς ἓν νοεῖσθαι τὸ σύμπαν τῆς Ἐκκλησίας σῶμα, διὰ συνόδου καὶ συνδρομῆς τῶν δύο λαῶν εἰς ἑνὸς τελείου σύστασιν ἀναβαῖνον ἐν Χριστῷ. ὡς γὰρ ὁ Παῦλός φησιν "Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ "ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν "ἔχθραν, ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν "δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα "καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς "ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, "ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ·" ὃ δὴ καὶ τετέλεσται, τῶν πιστευσάντων εἰς Χριστὸν ὁμοψυχησάντων ἀλλήλοις καὶ καρδίαν ἀναλαβόντων οἱονεὶ μίαν, διὰ τῆς εἰς ἅπαν ἐμφερείας τῆς κατ' εὐσέβειαν, καὶ τῆς ἐν τῷ πιστεύειν ὑπακοῆς καὶ φιλαρέτου φρονήματος. Καὶ ταυτὶ μὲν ἔγωγε σκοποῦ τοῦ πρέποντος οὐκ ἄπο, δεόντως δὲ μᾶλλον νῦν εἰρῆσθαι νομίζω. ἐπειδὴ δὲ τῶν προ κειμένων ἡ δύναμις ἐκβιάζεταί πως ἡμᾶς βαθυτέρων μὲν εἴσω γενέσθαι θεωρημάτων, παραθήγει δὲ μάλιστα καὶ ὁ Σωτὴρ 2.734 εἰπών Καθὼς σὺ Πάτερ ἐν ἐμοὶ κἀγὼ ἐν σοὶ ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι· περιαθρητέον εὖ μάλα, τίνα δὴ ἄρα προσήκει καὶ τὸν ἐπὶ τούτοις ἡμᾶς ποιήσασθαι λόγον. ἐν μὲν γὰρ τοῖς ἤδη παρῳχηκόσι, τὸν τῆς θείας ἑνότητος τρόπον καὶ τὴν οὐσιώδη τῆς ἁγίας Τριάδος ταυτότητα καὶ τὴν εἰσάπαν ἀναπλοκὴν ἀπομιμεῖσθαι δεῖν οὐκ ἀσυνέτως ἐλέγομεν, τὴν καθ' ὁμόνοιάν τε καὶ ὁμοψυχίαν τῶν πιστευόντων ἕνωσιν· ἐν δὲ τούτοις ἤδη πως καὶ φυσικὴν τὴν ἑνότητα δεικνύναι σπουδάζομεν, καθ' ἣν ἡμεῖς τε ἀλλήλοις καὶ οἱ πάντες Θεῷ συνδούμεθα, οὐδὲ τῆς ἑνότητος τῆς κατὰ σῶμα λειπόμενοι τάχα, φημὶ δὲ τῆς εἰς ἀλλήλους, εἰ καὶ τῇ τῶν σωμάτων διαφορᾷ διεστήκαμεν, ἑκάστου τῶν καθ' ἡμᾶς πρὸς ἰδίαν ὥσπερ ἀναχωροῦντος περιγραφὴν καὶ ὑπόστασιν. οὐ γὰρ ἂν εἴη τε καὶ λέγοιτο τυχὸν Παῦλος μὲν ὁ Πέτρος, Πέτρος δὲ αὖ πάλιν ὁ Παῦλος, εἰ καὶ τῷ τρόπῳ τῆς διὰ Χριστὸν ἑνώσεως ἓν ἄμφω νοοῖντο. οὐκοῦν ὁμολογουμένης τῆς φυ σικῆς ἑνότητος, ἐπί τε Πατρὸς καὶ Υἱοῦ, δῆλον δὲ ὅτι καὶ Ἁγίου Πνεύματος· μία γὰρ θεότης ἐν ἁγίᾳ Τριάδι πιστεύ εται καὶ δοξάζεται· φέρε δὴ πάλιν διασκεπτώμεθα, κατὰ τίνα τρόπον καὶ ἡμεῖς αὐτοὶ καὶ πρὸς ἀλλήλους ἓν σωμα τικῶς τε καὶ πνευματικῶς καὶ πρὸς Θεὸν εὑρισκόμεθα. οὐκοῦν ἐξ αὐτῆς ἀναλάμψας ἡμῖν τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὁ Μονογενὴς, καὶ ὅλον ἔχων ἐν ἰδίᾳ φύσει τὸν γεν νήσαντα, γέγονε σὰρξ, κατὰ τὰς γραφὰς, ἀναμιγνὺς ὥσπερ ἑαυτὸν τῇ ἡμετέρᾳ φύσει, διὰ τῆς ἀφράστου συνόδου τε καὶ ἑνώσεως τῆς πρὸς τὸ σῶμα τουτὶ τὸ ἀπὸ τῆς γῆς, οὕτω τε ὁ φύσει Θεὸς κεχρημάτικέ τε καὶ γέγονεν ἀληθῶς οὐράνιος ἄνθρωπος, οὐ θεοφόρος κατά τινας τῶν ἀκριβῶς οὐ συνέν των τοῦ μυστηρίου τὸ βάθος· ἀλλ' ἐν ταὐτῷ Θεός τε καὶ ἄνθρωπος ὢν, ἵνα τὰ πολὺ διωρισμένα κατὰ τὴν φύσιν καὶ τῆς ἀλλήλων ὁμοφυΐας ἐξεστηκότα συνενώσας ὥσπερ ἐν ἑαυτῷ, θείας δὴ φύσεως κοινωνόν τε καὶ μέτοχον ἀποδείξῃ 2.735 τὸν ἄνθρωπον. διαβέβηκε γὰρ καὶ εἰς ἡμᾶς αὐτοὺς ἡ τοῦ Πνεύματος κοινωνία καὶ διαμονὴ τὴν ἀρχὴν λαβοῦσα διὰ Χριστοῦ καὶ ἐν πρώτῳ Χριστῷ, ὅτε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθ' ἡμᾶς νοεῖται, τουτέστιν ἄνθρωπος, χριόμενός τε καὶ ἁγιαζόμενος, εἰ καὶ ἔστι φύσει Θεὸς, καθὸ πέφηνεν ἐκ Πατρὸς, αὐτὸς τῷ ἰδίῳ Πνεύματι τὸν οἰκεῖον ἁγιάζων ναὸν, καὶ τὴν δι' αὐτοῦ γενο μένην ἅπασαν κτίσιν, ᾗπερ ἂν πρέποι τὸ ἁγιάζεσθαι. οὐκ οὖν ὥσπερ τις ἀρχὴ καὶ ὁδὸς τοῦ καὶ ἡμᾶς Πνεύματός τε Ἁγίου μεταλαχεῖν καὶ τῆς πρὸς Θεὸν ἑνώσεως τὸ ἐπὶ Χριστῷ κατέστη μυστήριον· ἁγιαζόμεθα γὰρ οἱ πάντες ἐν αὐτῷ, κατά γε τὸν ἤδη προειρημένον τρόπον. Ἵνα τοίνυν εἰς ἑνότητα τὴν ὡς πρὸς Θεὸν καὶ ἀλλήλους συνίωμέν τε καὶ συναναμισγώμεθα καὶ ἡμεῖς αὐτοὶ, καίτοι τῇ καθ' ἕκαστον νοουμένῃ διαφορᾷ διεστηκότες εἰς ἰδιότητα καὶ ψυχαῖς καὶ σώμασιν, ἐμηχανήσατό τινα τρόπον ὁ Μονο γενὴς, διὰ τῆς αὐτῷ πρεπούσης ἐξηυρημένον σοφίας καὶ βουλῆς τοῦ Πατρός· ἑνὶ γὰρ σώματι, τῷ ἰδίῳ δηλαδὴ, τοὺς εἰς αὐτὸν πιστεύοντας εὐλογῶν διὰ τῆς μυστικῆς μετα λήψεως, ἑαυτῷ τε συσσώμους καὶ ἀλλήλοις ἀποτελεῖ. τίς γὰρ ἂν καὶ διέλοι καὶ τῆς εἰς ἀλλήλους φυσικῆς ἑνώσεως ἐξοικιεῖ τοὺς δι' ἑνὸς τοῦ ἁγίου σώματος πρὸς ἑνότητα τὴν εἰς Χριστὸν ἀναδεσμουμένους; εἰ γὰρ "οἱ πάντες ἐκ τοῦ "ἑνὸς ἄρτου μετέχομεν," ἓν οἱ πάντες ἀποτελούμεθα σῶμα· μερίζεσθαι γὰρ οὐκ ἐνδέχεται τὸν Χριστόν. διὰ τοῦτο καὶ σῶμα Χριστοῦ κεχρημάτικεν ἡ Ἐκκλησία, μέλη δὲ καὶ ἡμεῖς ἀνὰ μέρος, κατὰ τὴν τοῦ Παύλου σύνεσιν. ἑνὶ γὰρ οἱ πάντες ἑνούμενοι τῷ Χριστῷ διὰ τοῦ ἁγίου σώματος, ἅτε δὴ τὸν ἕνα λαβόντες καὶ ἀδιαίρετον ἐν ἰδίοις σώμασιν, αὐτῷ δὴ μᾶλλον ἤπερ οὖν ἑαυτοῖς τὰ ἴδια χρεωστοῦμεν μέλη. ὅτι δὲ τεταγμένου τοῦ Σωτῆρος εἰς κεφαλὴν, σῶμα τὸ λοιπὸν ἡ Ἐκκλησία καλεῖται, καθάπερ ἐκ μελῶν τῶν καθ' ἕκαστον συνηρμοσμένον, ἀποδείξει λέγων ὁ Παῦλος "Ἵνα μηκέτι 2.736 "ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ "ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν "πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ "ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ "κεφαλὴ, Χριστὸς, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον "καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ' "ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέλους τὴν αὔξησιν τοῦ "σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ." ὅτι δὲ καὶ τὴν κατὰ σῶμα νοουμένην ἕνωσιν, φημὶ δὴ τὴν πρὸς Χριστὸν, οἱ τῆς ἁγίας αὐτοῦ σαρκὸς ἐν μεθέξει γεγονότες ἀποκερδαίνομεν, μαρτυρήσει πάλιν ὁ Παῦλος περὶ τοῦ τῆς εὐσεβείας μυστηρίου λέγων "Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνω "ρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς "ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν Πνεύματι, εἶναι "τὰ ἔθνη συγκληρονόμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν "Χριστῷ." εἰ δὲ σύσσωμοι πάντες ἀλλήλοις ἐσμὲν ἐν Χριστῷ, καὶ οὐχὶ μόνον ἀλλήλοις, ἀλλὰ καὶ αὐτῷ δῆλον ὅτι τῷ ἐν ἡμῖν γινομένῳ διὰ τῆς ἰδίας σαρκός· πῶς οὐκ ἤδη σαφῶς ἕν ἐσμεν οἱ πάντες καὶ ἐν ἀλλήλοις καὶ ἐν Χριστῷ; Χριστὸς γάρ ἐστιν ὁ τῆς ἑνότητος σύνδεσμος, Θεός τε ὑπάρ χων ἐν ταὐτῷ καὶ ἄνθρωπος. περὶ δέ γε τῆς ἑνώσεως τῆς ἐν Πνεύματι, τὴν αὐτὴν ὥσπερ τῶν θεωρημάτων διαθέοντες τρίβον, ἐροῦμεν δὴ πάλιν, ὅτι πάντες ἓν καὶ τὸ αὐτὸ δεξά μενοι Πνεῦμα, φημὶ δὴ τὸ Ἅγιον, συνανακιρνάμεθα τρόπον τινὰ καὶ ἀλλήλοις καὶ Θεῷ. εἰ γὰρ καὶ πολλοῖς οὖσιν ἡμῖν ἀνὰ μέρος, ἑκάστῳ τό τε τοῦ Πατρὸς καὶ τὸ ἴδιον ἐνοικίζει Πνεῦμα Χριστὸς, ἀλλ' ἕν ἐστι καὶ ἀμέριστον, τὰ τῆς ἀλλή λων ἑνότητος διακεκομμένα πνεύματα, κατά γε τὸ εἶναί φαμεν, ἐν τῇ καθ' ὕπαρξιν ἰδιότητι συνέχον εἰς ἑνότητα, δι' ἑαυτοῦ καὶ ὡς ἕν τι τοὺς πάντας ἀναφαίνεσθαι ποιοῦν ἐν 2.737 ἑαυτῷ. ὥσπερ γὰρ τῆς ἁγίας σαρκὸς ἡ δύναμις συσσώμους ἀποτελεῖ τοὺς ἐν οἷς ἂν γένοιτο, τὸν αὐτὸν οἶμαι τρόπον ἓν τὸ ἐν πᾶσιν ἀμέριστον ἐνοικῆσαν Πνεῦμα Θεοῦ πρὸς ἑνότητα τὴν πνευματικὴν συνάγει τοὺς πάντας. διὰ τοῦτο πάλιν ἡμῖν ὁ θεσπέσιος προσεφώνει Παῦλος "Ἀνεχόμενοι ἀλλή "λων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ "Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, ἓν σῶμα καὶ ἓν "πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως "ὑμῶν· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ "πατὴρ πάντων, ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν "πᾶσιν." ἑνὸς γὰρ ἡμῖν ἐναυλιζομένου τοῦ Πνεύματος, εἷς ὁ τῶν ὅλων Πατὴρ ἐν ἡμῖν ἔσται Θεὸς δι' Υἱοῦ πρὸς ἑνότητα συνέχων, τὴν εἰς ἄλληλα καὶ πρὸς ἑαυτὸν, τὰ τοῦ Πνεύματος μέτοχα. ὅτι δὲ τῷ Ἁγίῳ Πνεύματι κατὰ μέθεξιν συνενού μεθα, δῆλόν πως ἔσται καὶ διὰ τούτου. εἰ γὰρ ἀφέντες τὸ πολιτεύεσθαι ψυχικῶς, τοῖς τοῦ Πνεύματος νόμοις τὸ εἰσάπαξ κρατεῖν παρακεχωρήκαμεν, πῶς οὐ παντί τῳ λοιπὸν ἀναμφίλογον, ὅτι τὴν ἰδίαν ὥσπερ ζωὴν ἀρνησάμενοι, καὶ τοῦ συμπλακέντος ἡμῖν Ἁγίου Πνεύματος τὴν ὑπερκόσμιον ἀναλαβόντες μόρφωσιν, μονονουχὶ καὶ εἰς ἑτέραν ὥσπερ μεθιστάμεθα φύσιν, οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ υἱοὶ Θεοῦ καὶ οὐράνιοι χρηματίζοντες ἄνθρωποι, διὰ τὸ τῆς θείας φύσεως ἀποπεφάνθαι κοινωνούς; ἓν τοιγαροῦν οἱ πάντες ἐσμὲν ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, ἓν δέ φημι καὶ τῇ καθ' ἕξιν ταυτότητι· χρῆναι γὰρ οἶμαι διαμεμνῆσθαι τῶν ἐν ἀρχαῖς· καὶ ἐν μορφώσει τῇ κατ' εὐσέβειαν καὶ τῇ κοινωνίᾳ τῆς ἁγίας σαρκὸς τοῦ Χριστοῦ, καὶ τῇ κοινωνίᾳ τοῦ ἑνὸς καὶ ἁγίου Πνεύματος, καθάπερ ἤδη προείρηται. 3.1 ΚΕΦΑΛΗ ΙΒ. Ὅτι κατὰ φύσιν ἕν ἐστιν ὁ Υἱὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα Θεὸν, κἂν ὡς ἐν χάριτος μέρει δέξασθαι λέγῃ τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα. Κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν, ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας. ΟΥΣΙΩΔΗ τε καὶ φυσικὴν τὴν ἕνωσιν ἔχειν εὖ μάλα φρονοῦντές φαμεν πρὸς τὸν ἑαυτοῦ Πατέρα τὸν Μονογενῆ, καθὸ καὶ γεγέννηται κατὰ τὸν ἀληθῆ τῆς γεννήσεως τρόπον, καὶ ἐξ αὐτοῦ νοεῖται καὶ ἐν αὐτῷ, τῇ μὲν κατ' ἰδίαν ὕπαρξιν ἑτερότητι διεστάναι τε καὶ διωρίσθαι δοκῶν, τῇ γεμὴν συμφυεστάτῃ τῆς οὐσίας ταυτότητι καὶ ὡς ἕν τι μετὰ Πατρὸς νοούμενος. ἐπειδὴ δὲ τῆς καθ' ἡμᾶς ἕνεκεν οἰκονομίας, σωτηρίας τε καὶ ζωῆς, τὸν ἐν ἀρχαῖς ὥσπερ ἐκβέβηκε τόπον, τὴν ἰσότητά φημι τὴν πρὸς τὸν Πατέρα καὶ Θεὸν, δοκεῖ δὲ καὶ σεσαλεῦσθαί πως εἰς τὴν τῆς ἀφανεστέρας δόξης ὑπέρβασιν· τοῦτο γὰρ ἦν τό Κεκένωκεν ἑαυτόν· ὁ πάλαι καὶ ἐξ ἀρχῆς ἐνυπάρχων μετὰ Πατρὸς δέχεται τοῦτο μετὰ σαρκὸς, τοῦ γηΐνου τε καὶ ἐπικήρου περιβλήματος καὶ τῆς ἀνθρωπείας μορφῆς, τῆς ὡς ἐν λόγῳ φημὶ τῷ φυσικῷ νοουμένης, ἀπαιτούσης ἀναγκαίως, καθάπερ ἐν χάριτος μέρει, τὸ φύσει 3.2 προσὸν αὐτῷ· ἦν γὰρ καὶ ἔστιν ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρός. οὐκοῦν ἐπειδήπερ οὐχ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ, ἀλλ' οὐδὲ ταὐτὸν εἰς φύσιν ἡ ἐκ γυναικὸς σάρξ ἐστιν, ἤγουν ὁλοκλήρως ὁ ἐκ τῆς παρθένου ναὸς, παραδεχθεὶς δὲ ἅπαξ εἰς σῶμα τοῦ Λόγου, λοιπὸν ὡς ἕν τι λελόγισται σὺν αὐτῷ· εἷς γὰρ ὁ Χριστὸς καὶ εἷς Υἱὸς, καὶ ὅτε γέγονεν ἄνθρωπος. ταύτῃτοι λαβεῖν νοεῖται τὴν ἕνωσιν, παραδεχθεὶς εἰς τοῦτο καὶ μετὰ σαρκὸς, οὐκ ἐχούσης οἴκοθεν τὸ ἓν εἶναι πρὸς Θεόν. καὶ εἰ χρή τι συντομώτερον καὶ σαφέστερον εἰπεῖν, ἑαυτῷ δεδόσθαι φησὶν ὁ Μονογενὴς τὸ δοθὲν τῇ ἰδίᾳ σαρκί· δοθὲν δὲ δὴ πάντως παρὰ Πατρὸς δι' αὐτοῦ ἐν Πνεύματι. ὁ γὰρ τῆς πρὸς Θεὸν ἑνώσεως τρόπος οὐχ ἑτέραν ἔχει τὴν ὁδὸν καὶ εἰ νοοῖτο τυχὸν ἐπὶ Χριστοῦ, καθὸ πέφηνέ τε καὶ κεχρημάτικεν ἄνθρωπος· ἑνώσει τῇ πρὸς τὸ Πνεῦμα, κατὰ τὸν ἄῤῥητον τῆς συνόδου τρόπον, ἁγιαζομένης δῆλον ὅτι τῆς σαρκὸς, οὕτω τε πρὸς ἕνωσιν ἀσυγχύτως ἀναβαινούσης αὐτῆς πρὸς τὸν Θεὸν Λόγον, καὶ δι' αὐτοῦ πρὸς τὸν Πατέρα, σχετικῶς δῆλον ὅτι καὶ οὐ φυσικῶς. ταύτην τοιγαροῦν τὴν δοθεῖσάν μοι, φησὶν, ὦ Πάτερ παρὰ σοῦ χάριν τε καὶ δόξαν, δῆλον δὲ ὅτι τὴν τοῦ ἓν εἶναι πρὸς σὲ, δέδωκα αὐτοῖς ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν. Προσενούμεθα μὲν γὰρ ἀλλήλοις ἡμεῖς, κατὰ τοὺς ἤδη προαποδοθέντας τρόπους· ἑνούμεθα δὲ καὶ Θεῷ. καὶ κατὰ τίνα λόγον ἢ πῶς, σαφεστάτην ἡμῖν ὁ Κύριος ἐποιήσατο τὴν ἐξήγησιν, καὶ τῆς ἑαυτοῦ διδασκαλίας διαφανῆ καθιστὰς τὴν ὄνησιν Ἐγώ φησιν ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. γίνεται μὲν γὰρ ἐν ἡμῖν ὁ Υἱὸς, σωματικῶς μὲν ὡς ἄνθρωπος, συνανακιρνάμενός τε καὶ συνενούμενος δι' εὐλογίας τῆς μυστικῆς· πνευματικῶς δὲ αὖ πάλιν ὡς Θεὸς, τῇ τοῦ ἰδίου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πνεύματος ἐνεργείᾳ καὶ χάριτι τὸ ἐν ἡμῖν ἀνακτίζων πνεῦμα πρὸς καινότητα ζωῆς, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνοὺς καθιστάς. σύνδεσμος οὖν ἄρα τῆς ἑνό 3.3 τητος ἡμῶν τῆς πρὸς Θεὸν καὶ Πατέρα διαφαίνεται Χριστὸς, ἑαυτοῦ μὲν ἡμᾶς ἐξαρτήσας ὡς ἄνθρωπος, Θεῷ δὲ ὡς Θεὸς ἐνυπάρχων φυσικῶς τῷ ἰδίῳ γεννήτορι. ἦν γὰρ οὐχ ἑτέρως ἀναπηδᾶν δύνασθαι πρὸς ἀφθαρσίαν τὴν ὑποκειμένην τῇ φθορᾷ φύσιν, εἰ μὴ καταβέβηκεν ἐπ' αὐτὴν ἡ φθορᾶς ἁπάσης καὶ παραλλαγῆς ἀνωτέρω φύσις, ἀνακουφίζουσα τρόπον τινὰ πρὸς τὸ ἴδιον ἀγαθὸν τὸ κάτω πίπτον ἀεὶ, καὶ τῇ κοινωνίᾳ καὶ ἀναμίξει τῇ πρὸς ἑαυτὴν μονονουχὶ καὶ ὅρων ἐξέλκουσα τῶν τῇ γενητῇ φύσει πρεπωδεστέρων, ἀναπλάττουσά τε πρὸς ἑαυτὴν τὸ οὐχ οὕτως ἔχον ἐξ ἑαυτοῦ. τετελειώμεθα τοιγαροῦν εἰς ἑνότητα τὴν ὡς πρὸς Θεὸν καὶ Πατέρα διὰ μεσίτου Χριστοῦ. τὸν γὰρ φύσει τε καὶ ἀληθῶς Υἱὸν, οὐσιώδη πρὸς αὐτὸν ἔχοντα τὴν ἕνωσιν, λαβόντες ἐν ἑαυτοῖς καὶ σωματικῶς καὶ πνευματικῶς, καθάπερ ἔλεγον ἀρτίως, τῆς ὑπὲρ πάντα φύσεως μέτοχοι καὶ κοινωνοὶ γεγονότες δεδοξάσμεθα. Παραδεχθῆναι γεμὴν εἰς ἕνωσιν ἡμᾶς τὴν ὡς πρὸς Θεὸν καὶ Πατέρα βούλεται Χριστὸς, ὁμοῦ καὶ τὴν ἐκ τοῦ Πατρὸς ὄνησιν δι' ἑαυτοῦ τῇ φύσει προξενῶν, καὶ τὴν ἐκ τῆς χάριτος δύναμιν ἔλεγχον ὥσπερ τινὰ διαφανῆ συμβήσεσθαι λέγων τῶν οἰομένων αὐτὸν οὐκ εἶναι παρὰ Θεοῦ. ποῖον γὰρ ἕξει τόπον ἢ χώραν ἔτι τῆς ἐπὶ τούτῳ συκοφαντίας ὁ λόγος, εἰ δι' ἑαυτοῦ πρὸς ἕνωσιν ἀναφέρει τῷ Πατρὶ τοὺς διὰ πίστεως δηλονότι καὶ ἀγάπης εἰλικρινοῦς προσοικειωθέντας αὐτῷ; ὅταν τοίνυν, ὦ Πάτερ, τὴν ἕνωσιν ἀποκερδάνωσι τὴν πρός σε δι' ἐμοῦ, τότε γνώσεται μὲν ὁ κόσμος ὅτι σύ με ἀπέστειλας, τουτέστιν εὐδοκίᾳ σῇ βοηθήσων ἀφῖγμαι τῇ γῇ καὶ τοῖς ἐν αὐτῇ πλανωμένοις κατορθώσων τὴν σωτηρίαν· γνώσονται δὲ πρὸς τούτοις οὐδὲν ἧττον, φησὶν, οἱ τῆς οὕτω τριποθήτου μετεσχηκότες χάριτος, ὅτι ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας. ὁ γὰρ εἰς ἑνότητα λαβὼν τὸν καθ' 3.4 ἡμᾶς τε καὶ ἐξ ἡμῶν, τουτέστι, Χριστὸν, καὶ τῆς οὕτω μεγάλης ἀξιώσας ἀγάπης· γέγονε δὲ ἡμῖν ὁ λόγος ὡς ἐπ' ἀνθρώπου πάλιν· καὶ ἡμῖν ἐφεὶς τὸ ἐξεῖναι τούτου τυχεῖν, πῶς οὐκ ἐν ἴσῳ μέτρῳ τὸν τῆς ἀγάπης ἐποιήσατο λόγον; καὶ θορυβείτω τοῦτο τῶν νουνεχεστέρων μηδένα. πρόδηλον μὲν γὰρ καὶ ἀναμφιλόγως ἔχον, ὡς κατ' οὐδένα τρόπον φιλονεικήσει ποτὲ τῷ ἰδίῳ Δεσπότῃ τὸ δοῦλον· ἀλλ' οὐδὲ ἐν ἴσῳ μέτρῳ τοῖς ποιήμασι τὸν ἴδιον Υἱὸν ἀγαπήσειεν ἂν ὁ Θεὸς καὶ Πατήρ. πλὴν ἐκεῖνο διασκεπτέον, ὅτι τὸν ἐξ αἰώνων ἀγαπώμενον, ὡς ἀρχὴν ἔχοντα τοῦ ἀγαπᾶσθαι βλέπομεν, ὅτε γέγονεν ἄνθρωπος. οὐκοῦν ὅπερ εἶχε λαβὼν, οὐχ ἑαυτῷ δήπου λαβὼν, ἀλλ' ἡμῖν καὶ τοῦτο ἁλώσεται. ὥσπερ γὰρ ἀνεβίω τὸ τοῦ θανάτου καταλύσας κράτος, οὐχ ἑαυτῷ τὴν ἀνάστασιν κατορθῶν, ᾗ Λόγος ἐστὶ καὶ Θεὸς, ἀλλ' ἡμῖν δι' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ τοῦτο διδούς· ὅλη γὰρ ἦν ἡ ἀνθρώπου φύσις ἐν Χριστῷ, τῶν θανάτου κατορχουμένη δεσμῶν· οὕτως οὐχ ἑαυτῷ τὴν παρὰ Πατρὸς ἀγάπην νοηθήσεται λαβών· ἦν μὲν γὰρ ἀεὶ καὶ διὰ παντὸς ἀγαπητός· ἀλλ' ἵν' ἡμῖν προξενήσῃ τὴν παρὰ Πατρὸς ἀγάπην, δέχεται ταύτην παρ' αὐτοῦ καὶ ὅτε γέγονεν ἄνθρωπος. ὥσπερ οὖν σύμμορφοι τῆς τε ἀναστάσεως αὐτοῦ καὶ τῆς δόξης ἐσόμεθα, γεγόναμέν τε ἤδη, καθάπερ ἐν ἀπαρχῇ τοῦ γένους καὶ ἐν πρώτῳ Χριστῷ, οὕτω καὶ τῆς ἀγάπης οἱονεὶ τὴν συμμορφίαν ἐσχήκαμεν, παραχωροῦντες μὲν τὸ νικᾶν εἰς ἅπαντα τῷ Μονογενεῖ· τὴν δὲ τῆς θείας φύσεως ἐν τοῖς καθ' ἑαυτοὺς ἀσύγκριτον ἡμερότητα δικαίως θαυμάζοντες, ὡς τοῖς παρ' αὐτοῦ γεγονόσι χαριζομένην τὰ ἑαυτῆς καὶ κοινοποιούσης τοῖς κτίσμασιν, ἅπερ αὐτῇ προσήκει καὶ μόνῃ. 3.5 Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ αὐτοὶ ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν δέδω κάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. Ἐπευξάμενος τοῖς ἑαυτοῦ μαθηταῖς, μᾶλλον δὲ ἅπασι τοῖς προσιοῦσιν αὐτῷ διὰ τῆς πίστεως, ἐξαιτήσας τε παρὰ Πατρὸς ὑπάρξαι τὴν ἕνωσιν καὶ ἀγάπην καὶ ἁγιασμὸν, ἐπιφέρει παραχρῆμα καὶ ταῦτα· οὐχ ἑτέρων εἶναι δεικνὺς τὸ συνεῖναί τε αὐτῷ καὶ ἀξιοῦσθαι βλέπειν τὴν δόξαν αὐτοῦ, ἢ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑνωθέντων τε ἤδη δι' αὐτοῦ τῷ Πατρὶ καὶ τῆς ἀγάπης τετυχηκότων, ἧς ἂν καὶ αὐτὸς ἔχειν νοοῖτο παρὰ Πατρί. ἠγαπήμεθα γὰρ ὡς υἱοὶ καθ' ὁμοιότητα τοῦ κατὰ φύσιν καὶ ἀληθῶς Υἱοῦ. εἰ γὰρ καὶ μὴ ἐν ἴσῳ μέτρῳ τυχὸν, ἀλλ' ἥ γε τοῦ πράγματος ἀκριβεστάτη μίμησις, συμπαρατρέχουσά πως τῷ κατὰ ἀλήθειαν, τὴν ἐκείνου πλάττεται δόξαν. θέλω τοιγαροῦν ὦ Πάτερ φησὶν ἵν' οἱ κατὰ πρόσοδον τὴν διὰ τῆς πίστεως καὶ διὰ φωταγωγίας τῆς παρὰ σοῦ γεγονότες ἐμοὶ, μετ' ἐμοῦ τε εἶεν καὶ τὴν ἐμὴν βλέπωσι δόξαν. ὅσον δὲ εἶναι δώσομεν ἀγαθὸν, τὸ καὶ αὐτῷ συνεῖναι τῷ Χριστῷ, ποῖος ἂν ἡμῖν ἐκκαλύψαι λόγος; εἴπερ ἐν ἀῤῥήτοις ἐσόμεθα θυμηδίαις, καὶ ὀφθαλμὸς μὲν οὐκ εἶδεν, οὖς δὲ οὐκ ἤκουσε, καὶ οὐκ ἐνεθυμήθη νοῦς, "ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν "αὐτόν." τίνος γὰρ ἂν καὶ προσδεήσαι τυχὸν τῶν τελούντων εἰς ἀκράτους εὐθυμίας, τοῖς οἵ γε κεκλήρωνται τὸ καὶ αὐτῷ συνεῖναι τῷ πάντων δεσπότῃ Χριστῷ; καίτοι παντὸς ἀξιώσας θαύματος τὸ χρῆμα φαίνεται καὶ αὐτὸς ἡμῖν ὁ σοφός τε καὶ ἱερώτατος Παῦλος· κρεῖττον γὰρ, φησί "τὸ "ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι." ὁ δὲ καὶ τῆς ἐν τῷδε τῷ βίῳ ζωῆς τὸ ἀξίωμα προτιθεὶς τουτὶ τὸ μέγα καὶ ἀξιάγαστον, πῶς οὐκ ἀληθὴς εἰσβήσεται μάρτυς, ὅτι τοῖς ἑαυτοῦ γνησίοις μεγάλην ἀπονέμει τῆς πρὸς αὐτὸν συνουσίας τὴν 3.6 δωρεὰν, ὁ πάντα πᾶσι διδοὺς πλουσίως; ἐπαγωνιεῖται δὲ οὐδὲν ἧττον τῷ λόγῳ τὸ δι' αὐτοῦ πάλιν πρὸς ἡμᾶς εἰρημένον. ἔχων γὰρ ἐν ἑαυτῷ λαλοῦντα Χριστὸν καὶ τὰς τοῦ "μέλλοντος αἰῶνος δυνάμεις" ἀποκαλύπτοντα, ἔφη πάλιν ὡδί· διαναστήσονται μὲν γὰρ οἱ νεκροὶ, φησὶν, ἀλλὰ καὶ "ἡμεῖς "οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα "ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω "πάντοτε σὺν Κυρίῳ ἐσόμεθα." χαριεῖσθαι δὲ καὶ αὐτὸς ἡμῖν αὐτὸ δὴ τοῦτο σαφῶς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐπήγγελται λέγων "Πορεύομαι καὶ ἑτοιμάσω τόπον "ὑμῖν, πάλιν ἥξω καὶ παραλήψομαι ὑμᾶς μετ' ἐμαυτοῦ, ἵνα "ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς μετ' ἐμοῦ ἦτε." Ἢ γὰρ νοοῦντες οὐ σφόδρα πικρῶς, ἀπεριεργότερον ἐκληψόμεθα διὰ τούτου σημαίνεσθαι τὰς ἄνω μονὰς, ἤγουν ἐφ' ἑτέρας ἰόντες ἐννοίας, τόπον ὥσπερ ἀπονεμηθήσεσθαι δώσομεν τὸν αὐτὸν ἡμῖν καὶ Χριστῷ, οἱονεὶ τὰς ἐξ ὁμοιότητος καὶ ἐν ἴσῳ λόγῳ τιμὰς, κατά γε τὸ ἐμφερὲς καὶ τὴν μίμησιν. σύμμορφοι γὰρ ἐσόμεθα τῆς δόξης αὐτοῦ, καὶ συμβασιλεύσομεν αὐτῷ, κατὰ τὰς ἁγίας γραφάς· ὑπισχνεῖται δὲ καθ' ὃν αὐτὸς οἶδε τρόπον καὶ συνανακλιθήσεσθαι μεθ' ἡμῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὅτι μὲν οὖν συνεσόμεθα τῷ Χριστῷ καὶ συμμεθέξομέν τε τῆς δόξης αὐτοῦ καὶ τῆς βασιλείας ἐσόμεθα κοινωνοὶ, παρέντες εἰς τὸ παρὸν διὰ πλειόνων ἔτι δεικνύειν, ὡς οὐδαμόθεν ἀμφίλογον, χωρῶμεν ἐπὶ τὸ ἕτερον, φημὶ δὴ τό Ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν. περιέσται τοιγαροῦν οὐ βεβήλοις καὶ ἁμαρτωλοῖς, ἀλλ' οὐδὲ τοῖς τὸν θεῖον ἀτιμάζουσι νόμον, τὸ ἐν ὁράσει γενέσθαι τῆς δόξης Χριστοῦ, μόνοις δὲ μᾶλλον τοῖς ὁσίοις καὶ ἀγαθοῖς. καὶ τοῦτο πάλιν εἰσόμεθα, προφήτου μὲν λέγοντος "Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν "δόξαν Κυρίου·" ἐν δέ γε τοῖς εὐαγγελικοῖς κηρύγμασι τοῦ Σωτῆρος Χριστοῦ "Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι 3.7 "αὐτοὶ τὸν Θεὸν ὄψονται." εἶτα τίνες ἂν εἶεν οἱ τὴν καρδίαν ἔχοντες καθαρὰν, εἰ μὴ ἐκεῖνοι δὴ πάντως οἱ τῇ πρὸς Θεὸν ἑνώσει τῇ δι' Υἱοῦ ἐν Πνεύματι, φιλοσαρκίας μὲν ἁπάσης ἀναχωρήσαντες, ἡδονὴν δὲ ὡς ποῤῥωτάτω τὴν κοσμικὴν ποιησάμενοι, καὶ τὴν μὲν οἰκείαν ὥσπερ ἀρνησάμενοι ζωὴν, ἀναθέντες δὲ μόνῃ τῇ θελήσει τοῦ Πνεύματος, καθαρῶς τε καὶ ὁλοτρόπως πολιτευσάμενοι τῷ Χριστῷ, ὁποῖός τις ἦν καὶ ὁ Παῦλος, ἐκ πολλῆς ἄγαν τῆς ἐνούσης αὐτῷ καθαρότητος οὐ καταδείσας εἰπεῖν "Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ "οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός." ἀκούω δὲ καὶ ἑτέρου τινὸς τῶν ἁγίων ψάλλοντός τε καὶ λέγοντος "Καρδίαν "καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον" ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ "προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς "ἀπ' ἐμοῦ· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, "καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με."



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγαλλίασιν γὰρ σωτηρίου τὸ Πνεῦμα καλεῖ, ἅτε δὴ καὶ ὑπάρχον πρόξενον χαρᾶς μὲν ἀτελευτήτου καὶ διηνεκοῦς, ἡγεμονίας δὲ τῆς κατὰ παθῶν τῶν ἐν κόσμῳ παρεκτικόν· Πνεῦμα γάρ ἐστι τοῦ κατὰ ἀλήθειαν σωτηρίου, τουτέστι Χριστοῦ. πολυτρόπως γεμὴν ὀνομάζων αὐτὸ, καὶ καρδίαν προσείρηκε καθαρὰν καὶ πνεῦμα ἐκάλεσεν εὐθὲς, ἅτε δὴ οὐκ ἐχόντων εὐθυτενῆ τὴν καρδίαν, σκαμβὴν δὲ μᾶλλον καὶ διεστραμμένην, ὡς ὁ ψάλλων φησὶ, τῶν οὔπω προσενωθέντων τῷ Θεῷ καὶ ἐν μεθέξει γεγονότων τῆς εὐλογίας Χριστοῦ τῆς διὰ Πνεύματος. Ὡς ἐν κεφαλαίῳ τοιγαροῦν εἰπεῖν, ἐξαίρετον τοῖς ἑαυτοῦ γνωρίμοις ἀπονεμηθῆναι τὴν χάριν ἠθέλησεν ὁ Σωτὴρ, τὴν ἐκ τοῦ συνεῖναί τε αὐτῷ καὶ ὁρᾶν τὴν δόξαν αὐτοῦ· ἠγαπῆσθαι δέ φησι καὶ πρὸ καταβολῆς κόσμου, ἀρχαιοτάτην ἐν τούτοις εὖ μάλα δεικνὺς τὴν τοῦ καθ' ἑαυτὸν μυστηρίου 3.8 δύναμιν, καὶ ὅτι προέγνωστο μὲν τῷ Θεῷ καὶ Πατρὶ τῆς ἡμετέρας σωτηρίας ἡ ὁδὸς, ἡ διὰ τῆς τοῦ Χριστοῦ μεσιτείας τετελεσμένη. ἐδόθη μὲν οὖν οὐκ ἐν ἀρχαῖς τοῖς ἐπὶ γῆς ἡ γνῶσις, ἀλλὰ παρεισέδυ νόμος ὁ παιδαγωγὸς τῆς ἐνθέου πολιτείας, διαπλάττων ἡμῖν ἀμυδρὰν ἐν τύποις τὴν εἴδησιν, καιρῷ τῷ πρέποντι τὴν διὰ τοῦ Σωτῆρος τηρήσαντος χάριν τοῦ Θεοῦ καὶ Πατρός. λυσιτελὴς δὲ σφόδρα καὶ ἡ περὶ τούτων ἡμῖν ἀναφαίνεται γνῶσις πρὸς κατάλυσιν ὀφρύος Ἰουδαϊκῆς καὶ φρυάγματος ἀνοσίου τῶν ἐξ Ἰσραὴλ, συνηγορεῖν ἑλομένων εἰσαεὶ τῷ νόμῳ καὶ ὅτε τῆς ἀληθείας παρούσης παρ' οὐδὲν ἔδει λοιπὸν ποιεῖσθαι τοὺς τύπους. χρησιμωτάτη δὲ σφόδρα καὶ πρὸς τὴν τῶν ἑτέρων ἀνατροπὴν, οἰομένων ὅτι πρόσφατος ἡμῖν καὶ νέα βουλὴ τοῦ Πατρὸς τὴν τοῦ μυστηρίου δύναμιν ἐξεμηχανήσατο. διὰ τοῦτο καὶ ὁ Παῦλος τὴν τῶν οὕτω διατιθεμένων ὑπόληψιν ἀναιρῶν, ἔφη που περὶ Χριστοῦ· ὅτι προέγνωστο μὲν "πρὸ καταβολῆς κόσμου," πεφανέρωται γεμὴν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς. Σημειωτέον δὲ ὅτι δεδόσθαι φησὶν ἑαυτῷ παρὰ Πατρὸς, αὐτούς τε τοὺς μαθητὰς καὶ τὴν δόξαν τὴν θεοπρεπῆ καὶ τὸ κατὰ πάντων κράτος, οὐ καθὸ φύσει νοεῖται Θεὸς ὁ τῆς δόξης Κύριος, καὶ οὐσιῶδες ἔχων τὸ βασιλικὸν ἀξίωμα· μᾶλλον δὲ καθὸ πέφηνεν ἄνθρωπος, ᾧ πάντα ἐστὶ θεόσδοτα καὶ οὐκ ἐξ ἰδίας φύσεως. πάντα γὰρ τῇ κτίσει παρὰ Θεοῦ· ἴδιον δὲ ὅλως οὐδὲν ἐν αὐτῇ, κἂν ἔχουσά τι τῶν ἀγαθῶν διαφαίνηται. Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ αὐτοὶ ἔγνωσαν ὅτι σύ με ἀπέστειλας. Δίκαιον ἐν τούτοις ἀποκαλεῖ τὸν Πατέρα, καίτοι ἑτέρως αὐτὸν ὀνομάσαι δυνάμενος. καὶ γάρ ἐστιν ὅσιος, ἅγιος, ἀμίαντος, κτίστης καὶ δημιουργὸς, καὶ ὅσαπερ ἂν πρέπῃ τῇ 3.9 τῶν ὅλων βασιλίδι φύσει. τίς οὖν ἡ αἰτία τοῦ κεκλῆσθαι δίκαιον, καίτοι καὶ ἑτέρως ἐξὸν ὀνομάζεσθαι παρὰ Χριστοῦ, φιλομαθὲς ὄντως ἰδεῖν. τὸ γάρτοι μὴ διιππεύειν ἐᾶν τὰ ἐν τῇ θεοπνεύστῳ γραφῇ θεωρήματα, πολλὴν ἂν ἡμῖν ἐκτέκοι τὴν ὄνησιν. οὐκοῦν ἐκεῖνό φαμεν, τὸν ἐν τῷ προκειμένῳ περιαθρήσαντες νοῦν. ὅτε τοίνυν ἡμᾶς ἁγιάζεσθαι κατ' εὐδοκίαν ἤθελε τοῦ ἰδίου Πατρὸς, τὸ τοῦ παρακλήτου πρόσωπον καὶ τὴν τοῦ μεσίτου χρείαν ἀποπληρῶν ὁ Χριστὸς, τὰς ὑπὲρ πάντων ἡμῶν πρεσβείας ἐποιεῖτο λέγων "Πάτερ ἅγιε, "τήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου," οὐχ ἑτέραν εἶναι λέγων τὴν ἀλήθειαν ἢ τὸ ἴδιον Πνεῦμα, δι' οὗ τὰς ἡμετέρας ἀσφαλίζεται ψυχὰς, κατασφραγίζων εἰς ὁμοιότητα τὴν πρὸς ἑαυτὸν, καὶ ἀνατειχίζων ὥσπερ ἀῤῥήτῳ δυνάμει πρὸς ἄμαχον εὐτολμίαν, παραθήγων δὲ δῆλον ὅτι καὶ εἰς προθυμίαν ἀχάλινον τὴν ἐπ' ἀκράτοις ἀγαθουργίαις, ὡς μηδενὸς τὸ παράπαν παρὰ πόδας κειμένου καὶ ὀπίσω καλεῖν ἰσχύοντος, ὀξυτάτῳ φέρεσθαι δρόμῳ πρὸς τὸ δοκοῦν τῷ Θεῷ, καὶ τῶν διαβολικῶν πολυτρόπων μηχανημάτων ἢ καὶ τῆς ἐν κόσμῳ φιληδονίας οὐδένα ποιεῖσθαι λόγον. οἱ γὰρ ἅπαξ κατασφραγισθέντες τῷ Ἁγίῳ Πνεύματι καὶ τὸν ἀῤῥαβῶνα τῆς χάριτος ἔχοντες εἰς νοῦν, πεπυργωμένην ἔχουσι τὴν καρδίαν, ἅτε δὴ καὶ ἐνδυσάμενοι τὴν ἐξ ὕψους δύναμιν. ἵνα τοίνυν τῶν οὕτως ἀξιεράστων ἀπολαύσωμεν ἀγαθῶν, ἐφ' ἡμᾶς ἐκάλει τὸν παρὰ Πατρὸς ἁγιασμὸν ὁ Χριστός. νυνὶ δέ τι τοιοῦτον, ὡς ἐγῷμαι, πάλιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐννοήσας φαίνεται. πρὸς γὰρ ἐκείνοις, οἷς ἔφη περὶ τοῦ δεῖν ἡμᾶς ἁγιάζεσθαι παρὰ Πατρὸς, καὶ τάδε προστέθεικε περὶ ἡμῶν "Κἀγὼ τὴν δόξαν "ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν· "ἠγάπησας γὰρ αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας," καὶ πάλιν "Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ αὐτοὶ "ὦσι μετ' ἐμοῦ." 3.10 Μετὰ τοίνυν τὸ ταῦτα εἰπεῖν, δίκαιον εὐθὺς ἀποκαλεῖ τὸν Πατέρα καὶ μάλα εἰκότως, οὗ κατ' εὐδοκίαν καὶ θέλησιν γέγονεν ἄνθρωπος ὁ Υἱὸς, ἵνα καὶ τοῦ διὰ Πνεύματος ἁγιασμοῦ καὶ τῆς πρὸς Θεὸν ἑνώσεως καὶ τοῦ ταῖς ἄνω μοναῖς ἐναυλίζεσθαι, συνεῖναί τε καὶ συμβασιλεύειν αὐτῷ τῇ ἀνθρωπείᾳ φύσει γένηται πρόξενος, ἐκτισμένῃ μὲν "ἐπ' ἔργοις ἀγαθοῖς·" ἔκτισε γὰρ οὐκ ἐπὶ κακίᾳ τὸν ἄνθρωπον ὁ Θεὸς ἐν ἀρχαῖς· παρατετραμμένῃ δὲ πρὸς φαυλότητα ταῖς ἀνοσίοις τοῦ διαβόλου μηχαναῖς, καὶ τῆς ἀρχαίας ἐκείνης καὶ θεοφιλοῦς ἀγωγῆς καθάπερ τινὸς ἰδίας ἐκμεμοχλευμένῃ κρηπῖδος. ἦν γὰρ δὴ καὶ ἀληθῶς ὅτι μάλιστα πρέπον τῷ δικαίῳ Πατρὶ τὸ καταῤῥαχθὲν ἐκ πλεονεξίας ὑψῶσαι πάλιν, καὶ τὸ ἐφ' ἃ μὴ προσῆκεν ἐξειλκυσμένον εἰς τὴν ἐν ἀρχαῖς καταστῆσαι θέσιν, καὶ ἀπαλλάξαι μὲν ἁμαρτίας τῆς ἀκαλλεστάτης, μεταπλάσαι δὲ ὥσπερ εἰς εἰκόνα τὴν πρώτην, τὸ καὶ ἐν ἀρχαῖς οὕτω πεποιημένον· τὸν δέ γε συντρίψαντα καὶ ἀνοσίως παραφθεῖραι τετολμηκότα, τουτέστι τὸν σατανᾶν, ταῖς αὐτῷ πρεπούσαις ὑποθεῖναι ποιναῖς, εἰ καὶ μικρὸν οἶμαι γένοιτ' ἂν πᾶν εἶδος ἐκείνῳ κολαστηρίων τοσαύτην ἐνδειξαμένῳ κατὰ Θεοῦ τὴν ἀπόνοιαν. ὦ τοιγαροῦν Πάτερ δίκαιέ φησι "Δίκαιος γὰρ εἶ, καὶ ἀγαθὸς καὶ εὐθὴς ἡ κρίσις σου," καταπέμψαντος τῷ κόσμῳ πρὸς ἐπικουρίαν καὶ ἀνανέωσιν ἐμὲ τὸν σὸν ἀληθῶς καὶ γνήσιον Υἱόν. ἀλλ' ὢ τῆς ἀνοίας, φησίν· ὄντα γάρ σε τοιοῦτον ὁ κόσμος οὐκ ἔγνω. ἢ γὰρ ἂν εὐθὺς τὴν οὕτω φιλάνθρωπον ἐννοήσαντες ψῆφον καὶ νεῦμα τὸ γαληνὸν, προσέδραμόν τε τῷ σώζοντι, καί σοι προσῆγον ἐθελοντὶ τὴν λατρείαν. Ταυτὶ μὲν οὖν ὁ Χριστὸς διελέγετο τῷ Πατρὶ, χάριν ὥσπερ τὴν ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ἀνατιθεὶς, ἐπείπερ δίκαιος ὢν ἐπένευσε μὲν τοῖς ἐκ πλεονεξίας παθοῦσι τὴν σωτηρίαν, κατεδίκασε δὲ τοῦ διαβόλου τὴν ἀπώλειαν. καὶ τὸν μὲν 3.11 κόσμον φησὶ, τουτέστι, τοὺς ἀντιπράττοντας ἐπὶ τῷ θείῳ τε καὶ εὐαγγελικῷ κηρύγματι, διὰ τὸ φρονεῖν τὰ ἐν κόσμῳ, δίκαιον ὄντα μὴ μαθεῖν τὸν Πατέρα· "τετύφλωκε γὰρ ὁ "θεὸς τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν ἀπίστων," ὡς ὁ Παῦλός φησιν, "εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ "εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ·" τοῖς γεμὴν σφετέροις ἐπεμαρτύρησε μαθηταῖς, ὡς εἰδόσι τε καὶ ἐγνωκόσιν αὐτὸν, λαμπρὸν καὶ ἀξιοζήλωτον κἂν τούτῳ πάλιν αὐτοῖς περιτιθεὶς τὸ ἀξίωμα. ἄνω γὰρ πάσης κοσμικῆς ταπεινότητος καὶ σμικροπρεπείας γεγονότας ἀποφαίνει, διὰ τὸ εἰδέναι τὸν Πατέρα, δῆλον δὲ δήπου καὶ ὡμολογημένον, ὅτι καὶ αὐτὸν τὸν Υἱόν. ὅτε τοίνυν κατηγορεῖται μὲν ὁ κόσμος, ὡς μὴ εἰδὼς τὸν Πατέρα, τουτέστι, τὸν ἀληθῆ τε καὶ φύσει Θεόν· μεμαρτύρηνται γεμὴν ὡς εἰδότες οἱ μαθηταί· πῶς οὐ παντί τῳ λοιπὸν ἀναμφίλογον, ὡς οὐκ ἂν εἶεν ἐκ τοῦ κόσμου, γεγονότες ἤδη τοῦ ὑπὲρ κόσμον Χριστοῦ, κατὰ τὸ εἰρημένον παρὰ τοῦ Παύλου "Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ "τῷ κόσμῳ·" καὶ περὶ ἡμῶν δὲ πάλιν "Οἱ δὲ τοῦ Χριστοῦ "Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ "ταῖς ἐπιθυμίαις;" ἔξω δὲ κόσμου φαμὲν γενέσθαι τοὺς μαθητὰς, οὐ θέσει τῇ κατὰ τόπον καὶ σωματικῇ· διαφαίνονται γὰρ "ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες·" ἀλλ' ὅτι περιπατοῦντες ἐπὶ τῆς γῆς ἐν οὐρανῷ πολιτεύονται, καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἀποταξάμενοι, μᾶλλον δὲ ἁπάσης κοσμικῆς ἐπιθυμίας τὸν οἰκεῖον ἀνωτέρω στήσαντες νοῦν, εἰς ὑπερφερῆ τινα καὶ ὑψηλοτάτην ἀνεπήδησαν ἀρετὴν, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον " Οτι τοῦ Θεοῦ οἱ κραταιοὶ "τῆς γῆς σφόδρα ἐπήρθησαν." οἱ γὰρ ἀνδρεῖοι διὰ Θεὸν φρονήματος ἐπιγείου τὸ χαμαιπετὲς παρελάσαντες, τὰ ἄνω φρονεῖν ἐγνώκασι· τοῦτο γὰρ οἶμαι σημαίνειν τό Ἐπήρθησαν. οὐκοῦν ὁ μὲν κόσμος ἠγνόησε δίκαιον ὄντα σε, φησὶν, ὦ Πάτερ. ἐγὼ γὰρ εἰδώς· βουλὴ γάρ εἰμι καὶ σοφία σή· 3.12 τῆς ἐμφύτου μοι δόξης καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοπρεποῦς ἀξίας οὐ σφόδρα φροντίσας, ἐμαυτὸν κεκένωκα καὶ εἰς ἀνθρωπίνην καταβέβηκα πτωχείαν, ἵνα σώσω κατὰ σὴν εὐδοκίαν τὸ τῆς οἰκειότητος τῆς πρὸς ἡμᾶς διολισθῆσαν γένος. ἠγνοηκότος δὲ καὶ τοῦτο τοῦ κόσμου, πεπλουτήκασι τὴν γνῶσιν οἱ μαθηταὶ, συνέντες κατὰ ἀλήθειαν ὅτι σύ με ἀπέστειλας, τουτέστι, τοῖς σοῖς ἀφῖγμαι νεύμασι πέρας ἐπιθήσων τὸ ἀγαθὸν, διὰ τοῦ κινδυνεύουσαν ἀνασῶσαι τὴν γῆν. Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω· ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς. Ἐγνωκέναι φησὶ τὸν Πατέρα καὶ Θεὸν, ἑαυτόν τε ἅμα καὶ τοὺς αὐτῷ προσεδρεύοντας μαθητάς. ἵνα δὲ μή τις εἰς ὑπονοίας ἐκτόπους ἐξ ἀπάτης ὑπενεχθεὶς, ἐν ἴσῳ τῷ τρόπῳ γενέσθαι τὴν γνῶσιν οἰηθείη τυχὸν ἔν τε αὐτῷ τῷ Χριστῷ καὶ τοῖς μαθηταῖς, διαστέλλει παραχρῆμα καὶ φανοτάτην ἐργάζεται τὴν διαφορὰν, ἑαυτὸν μὲν ἀποκαλύπτοντα, τοὺς δὲ τὴν γνῶσιν ἑλόντας δι' αὐτοῦ παραχρῆμα δεικνύς. ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἐπείπερ ἐστὶ καὶ Λόγος καὶ βουλὴ καὶ σοφία τοῦ Πατρὸς, οἶδεν ἀδιδάκτως τὰ ἐν αὐτῷ, καὶ τοῦ τεκόντος αὐτὸν τὰ βάθη περιεργάζεται, καθάπερ ἀμέλει καὶ ὁ νοῦς ὁ ἀνθρώπινος τὰ ἐν αὐτῷ, καὶ ἡ ἐν ἡμῖν τε καὶ καθ' ἡμᾶς νοουμένη σύνεσις οὐδὲν τὸ παράπαν τῶν ἐν ἡμῖν ἀγνοοῦσα φαίνεται· οἱ δέ γε θεσπέσιοι μαθηταὶ τὸ μὲν δύνασθαι νοεῖν τι περὶ Θεοῦ καρπὸν τῆς ἰδίας οὐκ ἔχουσι γνώσεως, φωταγωγούμενοι δὲ διὰ τοῦ Πνεύματος τῇ τῶν μυστηρίων ἀκριβείᾳ προσβάλλουσι τοῦ Υἱοῦ, συνιέναι τε οὕτω δύνανται τὸν Πατέρα. χρησίμως οὖν ἄρα καὶ λίαν εἰκότως ἐπήνεγκεν ὁ Χριστὸς ὅτι καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω. Ἐπιτήρει δὲ ὅπως ἴση δι' ἀμφοῖν ἐνέργεια, φημὶ δὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, πρὸς τὴν τῆς θεοπτίας κατάληψιν 3.13 ἀποτελουμένη φαίνεται. σοφοῖ μὲν γὰρ ὁ Πατὴρ, ἀποκαλύπτων τὸν ἴδιον Υἱόν· σοφοῖ δὲ οὐδὲν ἧττον καὶ ὁ Υἱὸς, ἀποκαλύπτων τὸν Πατέρα. καὶ γοῦν τῷ μακαρίῳ Πέτρῳ φησὶ περὶ τὰ μέρη Καισαρείας τῆς καλουμένης Φιλίππου "Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ "ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς." διωμολογήκει γὰρ ὁ μαθητὴς καὶ πιστεῦσαι διισχυρίσατο, ὅτι αὐτὸς εἴη Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. αὐτὸς δὲ νυνὶ περὶ ἑαυτοῦ φησιν Ὅτι ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω. οὐ γὰρ κατέληξεν ἀποκαλύπτων ἡμῖν ὁ Μονογενὴς τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν δύναμιν ἀποκαλύψας τοῖς πρώτοις ἐν ἀρχαῖς· ἐνεργεῖ δὲ τοῦτο διὰ παντὸς, ἐνσπείρων ἑκάστῳ τὸν διὰ τοῦ Πνεύματος φωτισμὸν, καὶ χειραγωγῶν εἰς ἐπίγνωσιν τῶν ὑπὲρ νοῦν καὶ λόγον τοὺς ἀγαπῶντας αὐτόν. τί δὲ δὴ κατορθῶν καὶ κατὰ τίνα τρόπον ἡμᾶς ὠφελῶν ἀποκαλύψαι μὲν ἤδη τοῖς μαθηταῖς, γνωρίσειν γεμὴν καὶ τοῖς μετὰ ταῦτα διισχυρίζεται τὸν Πατέρα, πάλιν αὐτὸς ὑπέδειξεν εἰπών Ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ κἀγὼ ἐν αὐτοῖς. τοῖς γὰρ διὰ θεωρίας εἰλικρινοῦς ἐπιγνῶναι δυνηθεῖσι τὸν Θεὸν καὶ Πατέρα, πεπαιδευμένοις δὲ κατὰ ἀκρίβειαν τοῦ κατὰ Χριστὸν μυστηρίου τὸν λόγον, ὑπάρξει δὴ πάντως καὶ ἀναμφιλόγως περιέσται τὸ τελείως ἀγαπᾶσθαι παρὰ Πατρὸς, καθ' ὁμοιότητα τοῦ Υἱοῦ. τελειότατα γὰρ ἀγαπᾷ τὸν ἴδιον Υἱὸν ὁ Πατήρ· ἐναυλίζεται δὲ καὶ αὐτὸς ὁ Χριστὸς, διὰ τοῦ Ἁγίου δηλονότι Πνεύματος, συνάπτων εἰς οἰκειότητα τὴν πνευματικὴν δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρὶ τὸν ἐγνωκότα αὐτὸν, ἀπαράφθορόν τε τῆς θεογνωσίας ἐν ἑαυτῷ τὸν λόγον ὠδίνοντα. ἐγνώρισε δὲ ἡμῖν τὸ ὄνομα τοῦ Πατρὸς, Υἱὸν ἡμῖν ἑαυτὸν ἐπιδείξας. παρέψεται γὰρ καὶ ἰσοδρομήσει πάντη τε καὶ πάντως τῇ περὶ τοῦ γεννήματος γνώσει καὶ ἡ περὶ τοῦ γεννήσαντος αὐτὸν, καθάπερ οὖν ἀληθὲς καὶ τὸ ἔμπαλιν. 3.14 Εἰ δὲ ἀληθὴς ὁ λόγος καὶ ἀναμφιλόγως παραδεκτὸν, ὅτι Πατρὶ μὲν ὁ Υἱὸς, Υἱὸς δὲ αὖ πάλιν τῷ Πατρὶ συννοεῖταί τε καὶ συνεισάγεται, καὶ συνειστρέχει δι' ἀμφοῖν ἡ ἑκατέρου γνῶσις· πῶς ἔτι ποίημα κατά τινας τῶν ἀνοσίων ἐστὶν ὁ Υἱός; Υἱὸν μὲν γὰρ εἴ τις λέγοι, τὴν περὶ Πατρὸς ἐνέθηκε γνῶσιν τοῖς ἀκροωμένοις· ποίημα δὲ ὀνομάσας εἰς ἔννοιαν ἀναφέρει τοῦ ποιήσαντος αὐτό. ἐπειδὴ δὲ Πατέρα καλεῖ τὸν Θεὸν ὁ Υἱὸς, οὐ ποιητὴν ἢ δημιουργὸν, οἶδε δηλονότι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέννημα κατὰ ἀλήθειαν ἑαυτὸν ὑπάρχοντα. διὸ νοεῖταί τε καὶ ἔστιν ὁ Υἱὸς υἱὸς, καὶ οὐ ποίημα κατ' ἐκείνους· δι' ὃ ποιητὴς ὁ ποιῶν καὶ οὐκέτι πατήρ. ἀδικήσει δὲ οὐδὲν τὴν τοῦ λόγου δύναμιν, τὸ καὶ ἐφ' ἡμῶν τετάχθαι τυχὸν τὸ τῆς γεννήσεως, ἤτοι τὸ τῆς υἱότητος ὄνομα. τὰ γάρ τοι κυρίως τε καὶ ἰδικῶς ἀνακείμενά τε καὶ προσόντα τῷ κατὰ φύσιν Υἱῷ, ταῦτα καὶ ἐφ' ἡμᾶς κατεκομίσθη, πολλάκις κατακεχρημένης ἔσθ' ὅτε τῆς ἁγίας γραφῆς καὶ τοῖς κατὰ θέσιν υἱοῖς τὰ τοῦ κατὰ φύσιν περιτιθείσης ἔσθ' ὅτε. θαυμαστὸν δὲ οὐδὲν, εἰ καὶ τὴν τοῦ γεννήματος ἐλάχομεν κλῆσιν, ἐκ φιλανθρωπίας Θεοῦ τιμῆσαι θελήσαντος, ἐπεὶ καὶ θεοὺς ὠνόμασε τοὺς ἀπὸ γῆς ὄντας ὁμολογουμένως. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ· ᾔδει δὲ καὶ Ἰούδας ὁ παραδι δοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. Καταφωτίσας τοὺς μαθητὰς καὶ εἰς ἕκαστα τῶν τελούντων εἰς ἀρετὴν τοῖς καθήκουσιν ἀποτορνεύσας λόγοις, ἀστειοτάτην δὲ σφόδρα καὶ θεοφιλῆ πολιτείαν ἑλέσθαι προστάξας, καὶ πρὸς τούτοις ἔτι πνευματικῶν ἀναπλήσειν αὐτοὺς χαρισμάτων ὑποσχόμενός τε αὐτὸς, καὶ τὰς ἄνωθεν καὶ παρὰ 3.15 Πατρὸς εὐλογίας καταπεμφθήσεσθαι σφίσιν εἰπὼν, ἔξεισιν ἤδη προθύμως, τὸν τοῦ πάθους καιρὸν οὐκ ἀποσειόμενος, οὔτε μὴν τὸν ὑπὲρ ἁπάντων καταδείσας θάνατον. πῶς γὰρ ἦν εἰκὸς τοῦτο δρᾶν τὸν ᾧ γε παρέστη παθεῖν, ἵνα τῷ ἰδίῳ πάθει τὴν ἁπάντων ἀπάθειαν ἐκπρίηται, ἀφιγμένον τε διὰ τοῦτο καὶ μόνον, ἵνα τῷ οἰκείῳ αἵματι τὴν σύμπασαν γῆν κατακτήσηται τῷ Θεῷ καὶ Πατρί; πλειστάκις μὲν οὖν ἐμπαροινεῖν ἑλομένων τῶν Ἰουδαίων αὐτῷ, λιθόλευστόν τε ποιεῖν ἐξ ἀπονοίας ἐπιχειρούντων, ἀπέδρα θεοπρεπῶς, ἀφανῆ μὲν ἑαυτὸν καθιστὰς, ὑπεξάγων δὲ καὶ μάλα ῥᾳδίως τῆς τῶν ζητούντων χειρός· οὐ γὰρ ἤθελέ πω παθεῖν, οὔπω καιροῦ καλοῦντος εἰς τοῦτο τοῦ πρέποντος. ἐπειδὴ δὲ ἤδη παρῆν, τὴν ἑστίαν ἀφεὶς ἐν ᾗ τοὺς ἰδίους μεμυσταγώγηκε μαθητὰς, ἀφικνεῖται πρὸς τόπον, ἐν ᾧπερ ἦν ἔθος ἐνδιαιτᾶσθαι συχνῶς, αὐτῷ τε τῷ πάντων Σωτῆρι Χριστῷ καὶ τοῖς ἁγίοις μαθηταῖς. ἔδρα δὲ τοῦτο πάλιν, ἀταλαίπωρον καθιστὰς τῷ προδότῃ τὴν εὕρεσιν. κῆπος δὲ ὁ χῶρος ἦν τὸ τοῦ ἀρχαίου σχῆμα παραδείσου πληρῶν· ἀνακεφαλαίωσις γὰρ ὥσπερ ἐγίγνετο τῶν τόπων καὶ πάντων, ὡς ἔπος εἰπεῖν, ἐπαναδρομὴ πρὸς τὸ ἀρχαῖον. ἐν παραδείσῳ μὲν γὰρ τῶν καθ' ἡμᾶς σκυθρωπῶν συμβέβηκεν ἡ ἀρχὴ, ἐν κήπῳ δὲ καὶ τὸ Χριστοῦ πάθος δέχεται τὴν ἀρχὴν, ἁπάντων ἡμῖν τῶν πάλαι συμβεβηκότων εἰσφέρον τὴν ἐπανόρθωσιν. Ὁ οὖν Ἰούδας παραλαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμ πάδων καὶ ὅπλων. Ἀναγκαιότατα πάλιν ὁ θεσπέσιος Εὐαγγελιστὴς ἐν τῷ κήπῳ γενέσθαι φησὶ τὸν Ἰησοῦν, οὐ πλήθους ἀνδρῶν ἑτέρων, οὐκ ὄχλου συνθέοντος, ἤγουν ἐπαμύνειν αὐτῷ διε 3.16 σκεμμένου, μόνον δὲ μόνοις συνόντα τοῖς ἑαυτοῦ μαθηταῖς, ἵνα τῆς τοῦ προδότου καρδίας καταστήσῃ καταφανὲς τὸ σαθρὸν εἰς σύνεσιν. δεινὸν γὰρ λίαν ἐν ἑκάστῳ τὸ συνειδὸς, καὶ θορύβους ἐντεκεῖν καὶ πικρὰς ἀνασκαλεῦσαι δειλίας, ὅταν τι τῶν ἀνοσίων ἐπιχειρῶμεν ἔσθ' ὅτε. τοιοῦτον οἶμαί τι πεπονθὼς ὁ προδότης, τήν τε σπεῖραν αὐτὴν πολεμικοῖς ὀργάνοις ἐνηρμοσμένην καὶ τοὺς τῶν Ἰουδαίων ὑπηρέτας ἐπικομίζεται, καθάπερ τινὰ τῶν διαβοήτων εἰς κακουργίαν ὑπὸ χεῖρα ληψόμενος. ᾔδει γὰρ, ὡς εἰκὸς, ὡς οὐκ ἂν ἕλοι ποτὲ μὴ οὐχὶ παθεῖν ᾑρημένον, ἰόντα τε πρὸς τοῦτο δι' ἐθελουσίου ῥοπῆς· ἀλλ' ἐκ τῆς τῶν δρωμένων ἀνοσιότητος παρεφθαρμένος τὸν νοῦν, καὶ μεθύων ὥσπερ τοῖς ὑπὲρ λόγον τολμήμασιν, οὐδὲ ὅποι ποτὲ φέρεται βλέπει, καὶ ἀνηνύτοις ἐπιχειρῶν οὐκ αἰσθάνεται. ᾤετο γὰρ ὅτι τῇ τῶν ἑπομένων πληθύϊ καὶ ἀνθρωπίνῃ χειρὶ τῆς θείας αὐτοῦ δυνάμεως περιέσται ποτέ. καὶ μή τοι θαυμάσῃς εἰ νοσεῖ τι τῶν τοιούτων ὁ δείλαιος, καὶ γέλωτος ἄξια πεφρονηκὼς εὑρίσκεται. ἑτέρῳ γὰρ ἤδη τῆς ἑαυτοῦ ψυχῆς ἀναθεὶς τοὺς οἴακας καὶ καταπωλήσας τῷ διαβόλῳ τῶν ἰδίων θελημάτων τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξουσίαν, ὅλος ἦν τῆς ἐκείνου μανίας, εἰσπεπηδηκότος ἅπαξ καὶ πικροῦ τινος ὄφεως δίκην ἐμφωλεύοντος αὐτῷ. ἀποθαυμάσαι δ' ἄν τις, καὶ λίαν εἰκότως, ἀκαταλήκτων τε δακρύων ἀξίαν ἐρεῖ τὴν τοῦ προδότου κατάπτωσιν. ὁ γὰρ ἄρτι συνεστιώμενος τῷ Χριστῷ καὶ ὁμόσιτος ὢν, τραπέζης τε τῆς ἁγίας μέτοχος, καὶ λόγων τῶν εἰς εὐσέβειαν συναπολαύσας τοῖς ἄλλοις, ἀκηκοώς τε λέγοντος ἐναργῶς "Ὅτι εἷς ἐξ ὑμῶν παραδώσει "με," ἐξ αὐτῶν, ὡς ἔπος εἰπεῖν, τῶν περιτραπεζίων ἐξάλλεται δίφρων καὶ τῆς κατακλίσεως ἄρτι τάχα διαναστὰς, δρομαῖος ἄπεισι μισθαρνήσων Ἰουδαίοις, οὐ λόγων τῶν εἰς εὐσέβειαν διαμεμνῆσθαι θελήσας, οὐκ ἐλπίδος τῆς εἰς τὸ μέλλον εἰς ἐπιθυμίαν ἐλθὼν, ὀλίγα δὲ κομιδῇ καὶ τοῦ 3.17 δοθέντος αὐτῷ φροντίσας ἀξιώματος, καὶ ἁπαξαπλῶς εἰπεῖν, ἁπάντων ὁμοῦ τῶν αἰωνίων ἀγαθῶν τὸ μικρὸν οὕτω καὶ εὐτελὲς προθεὶς ἀργύριον, καὶ πάγη καὶ λίνον διαβολικὸν εὑρίσκεται τῷ Χριστῷ, καὶ τῆς Ἰουδαίων ἀθεότητος πρωτοστάτης τε ἅμα καὶ συνεργός. Ἔπεισι δέ μοι κἀκεῖνο πρὸς τούτοις οὐ μετρίως διαγελᾶν. ὄχλοι μὲν γὰρ οἱ τῷ προδότῃ συνθέοντες τὴν κατὰ Χριστοῦ μελετῶσιν ἔφοδον, φανοὺς δὲ καὶ δᾷδας ἁψάμενοι. παρῃτοῦντο γὰρ οἶμαι, κατά γε τὸ εἰκὸς, τὰ ὡς ἐν σκότῳ διαπταίσματα καὶ τὸ βόθροις ἀκουσίως ἐγκαταπηδᾶν· φιλεῖ γάρ πως ἐν σκότῳ τὰ τοιαῦτα συμβαίνειν. ἀλλ' ὢ τῆς ἀνοίας· οὐχ ὁρῶσιν οἱ τάλανες ἐκ πολλῆς ἀμαθίας τῷ λίθῳ προσπταίοντες, περὶ οὗ φησιν ὁ Θεὸς καὶ Πατήρ "Ἰδοὺ τίθημι "ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου." καὶ οἱ μικρὸν ἔσθ' ὅτε καταφρίττοντες βόθρον, εἰς πηγὰς ἀβύσσου καὶ εἰς τὰ κατώτατα τῆς γῆς καταπηδῶντες οὐκ αἰσθάνονται, καὶ οἱ τὴν τῆς ἑσπέρας ἀχλὺν παραιτούμενοι, τῆς διηνεκοῦς καὶ ἀκαταλήκτου νυκτὸς οὐδένα ποιοῦνται λόγον. ἔμελλον γὰρ τῷ θείῳ φωτὶ δυσσεβῶς ἐπιβουλεύσαντες, τουτέστι Χριστῷ, περιπατεῖν ἐν σκότῳ καὶ ἀωρίᾳ, κατὰ τὴν τοῦ προφήτου φωνήν· καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ἐξώτερον κατοιχήσεσθαι σκότος, ἐκεῖ τῆς εἰς Χριστὸν ἀσεβείας ἀποτίσοντες τοὺς λόγους, καὶ πικρᾷ καὶ ἀτελευτήτῳ παραδοθησόμενοι κρίσει. Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξῆλθε καὶ λέγει αὐτοῖς Τίνα ζητεῖτε; ἀπεκρίθησαν αὐτῷ Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς ὁ Ἰησοῦς Ἐγώ εἰμι. εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. ὡς οὖν εἶπεν αὐτοῖς Ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί. Διὰ νυκτὸς ὁ προδότης τοὺς τῶν Ἰουδαίων ὑπηρέτας ὁμοῦ 3.18 τῇ σπείρᾳ διακομίζων ἐφίκετο. καὶ γάρ τοι καθάπερ ἔφαμεν ἀρτίως, ᾤετο μὲν ὅτι καὶ οὐχ ἑκόντα λήψεται, τῇ τῶν ἑπομένων πολυχειρίᾳ καταθαρσήσας· εὑρήσει γεμὴν ἐμφιλοχωροῦντα τοῖς συνήθεσι τόποις, οὔπω τῆς ἡμέρας ἀνείσης τὴν ἑτέρωσέ ποι πρόοδον, ἐνιζανούσης δὲ ὥσπερ τοῖς καταλύμασιν ἔτι τὸν Κύριον τῆς νυκτός. ἵνα τοίνυν αὐτὸν καθ' ἑκάτερον ἀνθρωπίνως διεσκεμμένον ἐλέγξῃ Χριστὸς, ἕωλά τε πεφρονηκότα κἂν τούτῳ πάλιν, φθάνει μὲν αὐτὸς τῆς ἐφόδου τὴν ἀρχὴν, ἔξεισι δὲ καὶ μάλα προθύμως ὑπαντήσων αὐτοῖς, ὅτι μήτε ἠγνόει τὸ τολμώμενον διὰ τούτου δεικνὺς, καὶ ὅτι λαθεῖν τε ἅμα καὶ διαδρᾶναι προεγνωκότι ῥᾷον, αὐτόκλητος ἤεισιν ἐπὶ τὸ πάθος, οὐκ ἐκ τῆς τινῶν πλεονεξίας ἀνεθελήτῳ κινδύνῳ περιπεσὼν, ἵνα μήτε γελῶσιν οἱ παρ' Ἕλλησι σοφοὶ, σκάνδαλόν τε καὶ κατηγόρημα τῆς ἑαυτῶν ἐλαφρίας ποιούμενοι τὸν σταυρὸν, μήτε μὴν ὁ κυριοκτόνος Ἰουδαῖος ὑψηλὴν ἀνασπάσῃ κατὰ Χριστοῦ τὴν ὀφρὺν, κατισχῦσαι νομίζων καὶ οὐχ ἑκόντος αὐτοῦ. διαπυνθάνεται δὲ τῶν ἡκόντων ἐπὶ τὴν σύλληψιν, τίνα δὴ ἄρα διερευνώμενοι πάρεισιν, οὐκ ἀγνοήσας· πόθεν; ἀλλ' ἵνα τοὺς διὰ τοῦτο παρόντας καὶ θεωμένους αὐτὸν καὶ διὰ τούτου πάλιν ἐλέγξας οὐδ' ὅσον ἐπιγιγνώσκειν ἰσχύοντας τὸν ζητούμενον, ἡμᾶς βεβαιώσῃ πρὸς τὸ φρονεῖν ὀρθῶς, ὡς οὐκ ἂν ἥλω ποτὲ, μὴ οὐχὶ τοῖς ζητοῦσιν αὐτὸν ἐθελοντὴς προσιών. ἄθρει γὰρ ὅπως αὐτοῦ διαῤῥήδην τό Τίνα ζητεῖτε λέγοντος, οὐκ ἐπήγαγον εὐθὺς, ὅτι σὲ συλληψόμενοι τὸν λαλοῦντα πάρεσμεν, ἀλλ' ὡς περί τινος τῶν οὔπω παρόντων μήτε μὴν ὁρωμένων, Ἰησοῦν φασι τὸν Ναζωραῖον. Ἀλλ' ἦν τινας ἴσως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰκὸς πρὸς τοῦτο εἰπεῖν Ἠγνόει τυχὸν ὁ στρατιώτης, συνηγνοήκασι δὲ καὶ οἱ τῶν Ἰουδαίων ὑπηρέται τὸν Ἰησοῦν. πρὸς δὴ τοῦτό φαμεν, ὅτι μάλιστα μὲν οὐκ εὐλόγως τις ἡμῖν τὸ τοιοῦτον ἐρεῖ. πῶς γὰρ ἂν ἠγνόησαν οἱ τῶν ἱερᾶσθαι κεκληρωμένων ὑπὸ χεῖρα διὰ παντὸς 3.19 τὸν "ἐν τῷ ἱερῷ καθ' ἡμέραν" διδάσκοντα, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν; πλὴν ἵνα μηδὲ τοῖς τοιούτοις τινὲς ἐπιθαρσήσαντες λόγοις, ἔξω που τοῦ πρέποντος ἔρχωνται λογισμοῦ, προαναβλέψας ὁ θεσπέσιος Εὐαγγελιστὴς προστέθεικεν ἀναγκαίως, ὅτι σὺν τοῖς στρατιώταις καὶ τοῖς ὑπηρέταις εἱστήκει καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτόν. εἶτα πῶς ἠγνόησεν ἂν ὁ προδότης τὸν Κύριον; ἀλλ' ἐρεῖς δὴ πάλιν, ὅτι νὺξ ἦν καὶ σκότος, καὶ οὐκ ἦν ἑτοίμως ἰδεῖν τὸν ζητούμενον. εἶτα πῶς οὐκ ἀξιάγαστος ὁ τοῦ βιβλίου συγγραφεὺς, ἀπρονόητον οὐκ ἀφεὶς οὐδὲ τὸ οὕτω μικρόν; εἴρηκε γὰρ ὅτι φανοὺς καὶ δᾷδας ἁψάμενοι τῷ κήπῳ προσέβαλον. λελυμένης τοιγαροῦν καὶ τῆς ἐπὶ τούτοις εὑρεσιλογίας, τὸ θεοπρεπὲς ἀξίωμα διαφαίνεται τοῦ Χριστοῦ, ἑαυτὸν μὲν τοῖς ζητοῦσι προσάγοντος, μὴ μὴν ἔτι καὶ ἐπιγινωσκομένου. ἵνα γὰρ τοῦτο παθόντας ἐλέγξῃ, τὸ μὴ δύνασθαί φημι διαγινώσκειν αὐτὸν, τό Ἐγώ εἰμί φησιν ἐναργῶς. ἀλλ' ἵνα πρὸς τούτῳ καὶ τὸ τῆς πολυχειρίας ἕωλον ἀποφήνῃ, καὶ τὴν παντὸς ἀνθρώπου δύναμιν οὐδὲν οὖσαν παντελῶς, ὡς πρὸς τὴν ἄῤῥητόν τε καὶ θείαν ἰσχὺν, πράῳ τε καὶ ἡμέρῳ λόγῳ προσδιαλεχθεὶς, καταστρώννυσιν εἰς γῆν τῶν ζητούντων τὸν ὄχλον, ἵν' ἐκεῖνο μάθωμεν, ὅτι τῶν γενητῶν ἡ φύσις ἀφορήτως ἔχουσα καὶ πρὸς ἕνα τοῦ Θεοῦ λόγον, καὶ τοῦτο φιλάνθρωπον, πῶς ἂν διοίσῃ τὴν ἀπειλὴν, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον "Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς "ὀργῆς σου;" σημεῖον δὲ ὥσπερ τῆς καθόλου νοουμένης τοῦ ἔθνους καταπτώσεως, οἰκονομεῖται τὸ μερικὸν καὶ τὸ τοῖς ἐπὶ τὴν σύλληψιν ἐλθοῦσι συμβεβηκός. καὶ γοῦν Ἰουδαίους ὁ προφήτης Ἱερεμίας κατολοφύρεται λέγων "Οἶκος Ἰσραὴλ "ἔπεσεν, οὐκ ἔστιν ὁ ἀναστήσων αὐτόν." εἴη δ' ἂν καὶ εἰκὼν ἀναγκαίου πράγματος τὸ συμβεβηκός. διδάσκει γὰρ ὅτι παντὶ τῷ πονηρεύεσθαι κατὰ Χριστοῦ μελετήσαντι πάντη τε καὶ πάντως ἀποκείσεται τὸ πεσεῖν. 3.20 Πάλιν οὖν ἐπηρώτησεν αὐτούς Τίνα ζητεῖτε; οἱ δὲ εἶπον Ἰησοῦν τὸν Ναζωραῖον. ἀπεκρίθη Ἰησοῦς Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι οὓς δεδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. Ἐρωτᾷ μὲν εἰς δεύτερον οἰκονομικῶς, ἵνα τῆς ἐντεθείσης αὐτοῖς κατὰ νοῦν πωρώσεως ἀποφήνῃ τὸ μέγεθος. παρῃρημένοι γὰρ ὥσπερ τοῦ νοῦ τὴν ἀκρίβειαν, καὶ τὰς φρένας παρακεκομμένοι διὰ τὴν ἀσέβειαν, αὐτῷ προσλαλοῦντες ἠγνόουν τῷ παρ' αὐτῶν ζητουμένῳ. πλὴν ὅπερ ἔφη Χριστὸς ἀληθὲς ὑπάρχον καὶ αὐτοῖς ἡμῖν ἀποφαίνει πράγμασιν· "Ἐγὼ "γάρ εἰμι, φησὶν, ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν "ψυχὴν ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων." προασπίζει τοιγαροῦν τῆς τῶν ἀποστόλων σωτηρίας ὁ Κύριος, καὶ προκινδυνεύων αὐτόμολος εἰς αὐτοὺς πάρεισι τοὺς οἵπερ ἧκον ἀποκομίζειν ἐπὶ τὸ πάθος, ἐσταλμένοι δὲ δηλονότι παρά τε τῶν ἀρχιερέων καὶ Φαρισαίων. ὡς οὖν ἐρωτήσαντι τὸ τίνα παρεῖεν ἂν ἐναποληψόμενοί τε καὶ τοῖς τοῦ θανάτου περιδήσοντες βρόχοις, Ἰησοῦν ἔφασαν τὸν Ναζωραῖον, ἑαυτὸν ἐπιδείξας καὶ μονονουχὶ τῆς νωθείας αἰτιασάμενος, ἀπάγειν ἐκέλευσεν ἀνέντας τοὺς ἄλλους. ἕνα γὰρ ἐχρῆν ὑπὲρ πάντων ἀποθανεῖν, τὸν τῆς ἁπάντων ζωῆς ἀντάξιον, "ἵνα καὶ νεκρῶν "καὶ ζώντων κυριεύσῃ." Ἦν γὰρ καὶ ἑτέρως ἀπίθανον κομιδῇ τὸ νομίζεσθαι παρά τισι καὶ αὐτὸν τῶν ἁγίων ἀποστόλων τὸν θάνατον ἐπὶ καταλύσει πεπράχθαι θανάτου καὶ φθορᾶς, ὅτε καὶ αὐτοὶ τοῖς ἐκ θανάτου καὶ φθορᾶς ἠλευθερωμένοις ἐναριθμηθεῖεν ἂν καὶ μάλα εἰκότως, μίαν ὡς πρὸς ἡμᾶς λαχόντες τὴν φύσιν, καθ' ὧν καὶ τὸ τοῦ θανάτου τετυράννηκε κράτος. μόνον οὖν ἄρα καὶ πρῶτον ἐχρῆν τὸν ἐκ τοῦ ζῶντος ὄντα Πατρὸς, τῆς ἁπάντων ζωῆς ἀντίλυτρον τὸ ἴδιον τῷ 3.21 θανάτῳ παραδοῦναι σῶμα, ἵνα καὶ ἀκολουθῆσαν τῇ τοῦ ἑνωθέντος αὐτῷ Λόγου ζωῇ, τῇ τῶν σωμάτων ὁδοποιήσῃ φύσει τὸ δύνασθαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοιπὸν καὶ τῶν τοῦ θανάτου καταneανιεύεσθαι βρόχων. ἀπαρχὴ γὰρ τῶν κεκοιμημένων ὁ Κύριος καὶ πρωτότοκος ἐκ νεκρῶν, λειοτάτην ὥσπερ τοῖς μεθ' ἑαυτὸν ἀποτελῶν διὰ τῆς ἰδίας ἀναστάσεως τὴν εἰς ἀφθαρσίαν ἀναδρομήν. ὑπεξάγει τοιγαροῦν τοῦ παραυτίκα κινδύνου τοὺς μαθητὰς, αὐτῷ δὴ πρέπειν τότε μάλιστα τὸν ἆθλον εἰδὼς, καὶ οὐχ ἑτέρου τινὸς ἔργον τὴν τῶν καθ' ἡμᾶς ἐπανόρθωσιν ἀποφαίνων, ἀλλ' αὐτῆς καὶ μόνης τῆς τῶν ὅλων βασιλευούσης οὐσίας. Περιτρέπει γεμὴν ὁ σοφὸς Εὐαγγελιστὴς εἰς ἀπόδειξιν ἐναργῆ τῆς οἱονεὶ καθόλου καὶ γενικωτάτης ἐσομένης φειδοῦς εἰς τοὺς προσιόντας αὐτῷ διὰ πίστεως τὸ μερικῶς τε καὶ ἰδικῶς εἰς τοὺς συνόντας αὐτῷ τὸ τηνικαῦτα γεγενημένον. παρηγγύησε γὰρ, φησὶν, ἀφεῖναι τοὺς μαθητὰς, ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι οὓς ἔδωκάς μοι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. ὅτι γὰρ καὶ τῶν μετὰ ταῦτα φείσεται, πῶς ἀμφίβολον; τὸ γὰρ ἐν ὀλίγοις οὐ ῥᾳθυμηθὲν, πῶς ἂν καταφρονηθείη τυχὸν ἐν πλείοσι; καὶ ὁ φειδὼ τοσαύτην πεποιημένος εἰς εὐαριθμήτους κομιδῇ, πῶς ἂν ἀλογήσαι καὶ τῶν ὑπὲρ φύσιν τὴν ἀριθμοῦ; πολλοὶ γὰρ λίαν οἱ πεπιστευκότες. εἰς εἰκόνα τοίνυν τοῦ γενικωτάτου δέχου τὸ μερικὸν, καὶ δι' ὧν οὐ βούλεται κινδυνεύειν ὅλως τοὺς ἑαυτοῦ γνωρίμους, ποία τις ἔσται καὶ πόση κατὰ τῶν αὐτὸν ἀποκτεινάντων ὀργὴ, περιαθρῆσαι ῥᾷον. ὃ γὰρ ἀνεθέλητον ἔχει, πῶς οὐχὶ πάντως μισεῖ; τοὺς δὲ τῶν παρ' αὐτοῦ μισουμένων ἐργάτας ὅτι πικρά τις καὶ ἀτελεύτητος ἐκδέξεται κρίσις, πῶς ἂν εἴη λοιπὸν ἢ πόθεν ἀμφίβολον; 3.22 Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. Εἶτα τί τὸ ἀναγκάζον, ἐρεῖ τις τυχὸν, τὸν θεσπέσιον Εὐαγγελιστὴν μεμνῆσθαι καὶ τούτων, ὡς καὶ μαχαίρᾳ παρά γε τὸ εἰωθὸς κεχρημένον ἐπιδεῖξαι τὸν μαθητὴν κατὰ τῶν ἡκόντων εἰς σύλληψιν τοῦ Χριστοῦ, θερμότερόν τε καὶ ἀπηνέστερον ἤπερ ἔδει κεκινημένον, ἐπί τε τούτοις αὐτῷ καὶ ἐπιτιμῶντα Χριστόν. καὶ περιττὴ μὲν ἴσως φανεῖταί τισιν ἡ τούτων ἐξήγησις, ἔχει δὲ οὐχ οὕτως. οὐ γὰρ τῆς τυχούσης ἡμῖν ὠφελείας εἰσκεκόμικεν ἡμῖν ὑπογραμμόν. εἰσόμεθα γὰρ διὰ τοῦ γεγονότος, μέχρι μὲν τίνος ἀκατηγορήτως πρόεισι τῆς εἰς Χριστὸν εὐσεβείας ὁ ζῆλος, τί δὲ δὴ δρᾶν ἐθέλοντες ἐν τοῖς τοιούτοις ἀγῶσιν, οὐκ ἄν τι προσπταίσαιμεν τῶν ἐφ' οἷς λυπεῖται Θεός. οὐ γὰρ δὴ σίδηρον ἀνατείνειν, ἢ λίθους ἐξαίρειν κατά τινων, ἤγουν ξύλῳ παίοντας τοὺς δι' ἐναντίας, τῇ εἰς Χριστὸν εὐσεβείᾳ συναθλεῖν ὁ τοῦ πράγματος ἡμᾶς ἐφίησι τύπος· τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικὰ, κατὰ τὴν τοῦ Παύλου φωνήν· ἀλλ' ἠπιότητι μᾶλλον καὶ τοῖς φονῶσι προσφέρεσθαι, ὅταν ἡμῖν τὸ διαφεύγειν αὐτοὺς ἀποκλείωσιν οἱ καιροί. πολὺ γὰρ δή τι τὸ ἄμεινον, ὑπὲρ τῶν εἰς ἡμᾶς ἀδικημάτων ἑτέρους εὐθύνεσθαι παρὰ τοῦ τὰ δίκαια κρίνοντος, ἤπερ οὖν ἡμᾶς αὐτοὺς τὸν ἐφ' αἵμασιν ἐξαιτεῖσθαι λόγον, πρόφασιν ποιουμένους τὴν εὐσέβειαν. φαίη δ' ἄν τις καὶ ἑτέρως εἶναι τῶν ἀτοπωτάτων, τῷ τῶν διωκόντων θανάτῳ τιμᾶν τὸν ἐπὶ θανάτου λύσει καὶ αὐτὸν ἡδέως παθόντα τὸν θάνατον. καὶ αὐτῷ δέ πως ἦν ἀναγκαίως ἕπεσθαι κατὰ τοῦτο Χριστῷ. εἰ μὲν γὰρ ἐκαλεῖτο πρὸς θάνατον, ὡς ἐξ ἀνάγκης καὶ βίας, ὡς οὐκ ἔχων ἀνατρέπειν ἐξ ἰδίας ἰσχύος ἀπλεονέκτητον οὖσαν διὰ πληθὺν 3.23 τῶν ὑπηρετῶν τὴν ἔφοδον, ἦν ἂν ἴσως οὐδὲν ἀπεικὸς τοὺς ἀγαπᾶν ἑλομένους αὐτὸν παντὶ λοιπὸν ἐπαμύνειν σθένει καὶ διὰ παντὸς ἰέναι τολμήματος, ἵνα δὴ καὶ ἐκσώσειαν τὸν ἐκ τῆς τινῶν δυσσεβείας ἀβουλήτως κινδυνεύοντα. ἐπειδὴ δὲ Θεὸς ὑπάρχων ἀληθινὸς, ἄρδην τε τοὺς ἐπιόντας ἀπολέσαι δυνάμενος καὶ παρ' αὐτὰς, ὡς ἔπος εἰπεῖν, τοῦ ἀγῶνος τὰς ἀπαρχὰς, τοσαύτης αὐτοὺς καταγεύσας ἰσχύος, ὡς ἑνὶ καὶ πράῳ καταστρῶσαι λόγῳ· ἔπεσον γὰρ πάντες εἰς τὰ ὀπίσω· πῶς ἡμᾶς ἐχρῆν ἀχαλίνοις ὥσπερ καὶ ἀταμιεύτοις ὀργαῖς χωρεῖν ἐπ' ἐκεῖνα βούλεσθαι προαλέστερον, ἅπερ αὐτὸς οὐκ ἔδρα, καίτοι σφόδρα ῥᾳδίως δυνάμενος; ἔχομεν δέ τι τοιοῦτον καὶ ἑτέρωθί που γεγραμμένον παρὰ τοῖς ἁγίοις εὐαγγελισταῖς. ἧκε μὲν γάρ ποτε καταλύσων ὁ Κύριος εἴς τινα τῶν ὁμόρων τῇ Ἰουδαίᾳ κώμην· ἦν δὲ αὕτη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σαμαρειτῶν· οἱ δὲ προσιόντα σκληρῶς ἀπετρέποντο. καὶ δὴ πρὸς τοῦτο δηχθέντες οἱ μαθηταὶ προσῄεσάν τε καὶ ἔφασκον "Κύριε, "θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπ' οὐρανοῦ καὶ ἀναλῶσαι "αὐτούς;" πρὸς αὐτοὺς δὲ πάλιν ὁ Σωτὴρ, ἄφετε αὐτούς· ἢ οὐκ οἴδατε ὅτι "δύναμαι παρακαλέσαι τὸν Πατέρα μου, "καὶ παραστήσει μοι ἄρτι δώδεκα λεγεῶνας ἀγγέλων;" οὐ γὰρ ἧκεν ὡς Θεὸς τῇ ἰδίᾳ καὶ ἐμφύτῳ δυνάμει χρησόμενος κατὰ τῶν ἐμπαροινούντων αὐτῷ, μᾶλλον δὲ τῆς εἰς ἄκρον ἡμῖν ἀνεξικακίας γενέσθαι διδάσκαλος, ἀοργησίας τε τῆς ἁπασῶν ἀνωτάτω καταστῆναι τύπος. διὸ καὶ ἔλεγε "Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ." Ὁ μὲν οὖν τοῦ Πέτρου σκοπὸς τὴν μάχαιραν ἀνατείνοντος κατὰ τῶν δι' ἐναντίας, οὐκ ἔξω φέρεται νομικῆς ἐντολῆς. πόδα γὰρ ἀντὶ ποδὸς καὶ χεῖρα ἀντὶ χειρὸς καὶ τραῦμα ἀντὶ τραύματος καὶ μώλωπα ἀντὶ μωλώπων ἀντεπάγειν ἀνεγκλήτως τοῖς ἀδικοῦσιν ἐκέλευε. τί δὲ δράσοντες ἕτερον ἧκον οἱ μαχαίραις 3.24 ὡπλισμένοι καὶ ξύλοις, καὶ ὅπλοις ἐνηρμοσμένοι, καὶ συνειλεγμένοι κατὰ πληθὺν, ἢ πάντως ἐκεῖνα τὰ δι' ὧν ἦν εἰκὸς περὶ τῶν ἐσχάτων κινδυνεῦσαι τοὺς μαθητάς; ὅτι γὰρ καὶ ξύλα καὶ μαχαίρας ἐπεκομίζοντο, σαφὲς ἡμῖν κατέστησεν ὁ Σωτὴρ, ἑτέρωθί που πρὸς αὐτοὺς εἰρηκώς "Ὡς ἐπὶ λῃστὴν "ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; καθ' "ἡμέραν ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων καὶ οὐκ ἐκρατήσατέ με." νομικὸν οὖν ἄρα τοῦ Πέτρου τὸ κίνημα καὶ τοῖς ἀρχαίοις οὐκ ἀπᾷδον θεσμοῖς· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐπείπερ ἀφῖκτο τὰ ὑπὲρ νόμον εἰσηγησόμενος, καὶ ἀναμορφώσων ἡμᾶς εἰς ἡμερότητα τὴν καθ' ἑαυτὸν, τοῖς κατὰ νόμον ἐπιτιμᾷ κινήμασιν, ὡς οὐκ ἔχουσι τελείαν τοῦ κατὰ ἀλήθειαν ἀγαθοῦ τὴν κατόρθωσιν. οὐ γὰρ ἐν ταῖς τῶν ἴσων ἀντεπαγωγαῖς τὸ τελείως ἐστὶν ἀγαθὸν, ἀνεξικακίαις δὲ μᾶλλον ταῖς ἀνωτάτω διαφαίνεται. Ἐνδοιάσειε δέ τις καὶ μετὰ ταῦτα τυχὸν, ἐρεῖ δὲ καθ' ἑαυτόν Εἶτα πόθεν τῷ Πέτρῳ μάχαιρα; ἐροῦμεν δὲ πάλιν, ὅτι μάλιστα μὲν τὸ ἀμύνεσθαι δεῖν κατὰ νόμον τοὺς ἀδικεῖν ᾐρημένους εἰσκεκόμικέ πως καὶ τὴν τοῦ σιδήρου χρείαν. τί γὰρ εἰ σιδήρῳ τις πλήττειν ἤθελε τοὺς οὐδὲν ἀδικήσαντας, πῶς ἂν τῶν ἴσων ἦλθεν εἰς πεῖραν; πλὴν εἰκὸς, ἅτε δὴ καὶ διὰ μέσης νυκτὸς τῶν καταλυμάτων ἐκθεόντας τοὺς ἁγίους ἀποστόλους, ὕλαις τε καὶ κήποις ἐμβαλεῖν προσδοκήσαντας, καὶ θηρίων ἀγρίων ἔφοδον ὑποβλέπεσθαι· θηρίων δὲ ἦν ὅτι μάλιστα τροφὸς τῶν Ἰουδαίων ἡ χώρα. ὅταν δὲ καὶ πρὸς τοῦτο λέγῃς Εἶτα τί μαχαίρας ἔδει τοῖς μαθηταῖς; οὐ γὰρ ἂν ἐξήρκεσεν κινδυνεύουσιν ὁ Χριστὸς, ὥστε δηλονότι καὶ θῆρας ἀποσοβεῖν, καὶ τὸν ἐντεῦθεν αὐτοῖς ἐξελάσαι φόβον; ναὶ δὴ καὶ τοῦτο, φαμὲν, ἄριστά τις ἐρεῖ, δυνατὸς γὰρ εἰς ἅπαντα Χριστός· πλὴν εὑρήσομεν, ὅτι καὶ ἕτερα κατορθοῦν ἰσχύοντος τοῦ Χριστοῦ, ταῖς καθ' ἡμᾶς συνηθείαις διέζων οἱ 3.25 μαθηταί· ἢ γὰρ οὐχὶ δώσομεν καὶ ἄρτους ἐκ λίθων ἀποτελεῖν δύνασθαι τὸν Χριστὸν, καὶ ἐκ τοῦ μηδενὸς ἀναδεικνύειν ἀργύριον, τὸ πρὸς δαπάνην αὐτοῖς ἀρκέσαι δυνάμενον; ἀλλὰ καὶ ἄρτους ἐπεκομίζοντο, καὶ γλωσσόκομον ἐπεφέροντο, τὰ παρὰ τῶν προσφερόντων συλλέγοντες. διαπλεῦσαι δέ ποτε σὺν αὐτοῖς ἐθελήσαντος τοῦ Χριστοῦ, συνεισέβησαν εἰς πλοῖον, καίτοι καὶ βαδίσαι δι' αὐτῶν ὑδάτων ἐξὸν, εἴπερ ἤθελε καὶ τοῦτο Χριστός. εἰκαῖον οὖν ἄρα τὸ ἐπισκήπτειν ταῖς κατὰ ἄνθρωπον ἀκολουθίαις, εἴ που τις βλέποι κεχρημένους τοὺς μαθητάς. Ἀποκόπτει δὲ ὁ Πέτρος τὸ δεξιὸν τοῦ παιδὸς ὠτάριον, ἀκοῆς ὥσπερ ἐρήμους τῆς δεξιᾶς τοὺς τῶν Ἰουδαίων λαοὺς, ὡς ἐν τύπῳ συμβεβηκότι δεικνύντος τοῦ πράγματος. οὐ γὰρ ἠθέλησαν συνιέναι τὰ διὰ Χριστοῦ. ὑπακοὴν δὲ τετιμήκασι τὴν εὐώνυμον, μόναις ταῖς σφῶν ἀπονοίαις καταπειθόμενοι, "πλανῶντές τε καὶ πλανώμενοι" κατὰ τὸ γεγραμμένον, ἐπεί τοι καὶ τὸν πάλαι διορισθέντα πατοῦντες νόμον ἐτράποντο πρὸς "διδασκαλίας ἐντάλματα ἀνθρώπων." Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην αὐτῆς· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ Πατὴρ οὐ μὴ πίω αὐτό; Πολιτείας μὲν εὐαγγελικῆς ὠδίνει θεσμὸν τὸ παράγγελμα καὶ δύναμιν ἐντολῆς, οὐ τῆς κατὰ νόμον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν διὰ Μωυσέως τοῖς ἀρχαιοτέροις λελαλημένης, ἀλλὰ τῆς διὰ Χριστοῦ τεθειμένης, ἣ καὶ τοσοῦτον ἀπείργει τοῦ χρῆσθαι μαχαίραις, μᾶλλον δὲ καὶ τὸ ἀνταμύνεσθαι δεῖν, ὡς εἰ καί τις βούλοιτο ῥαπίζειν ἡμᾶς εἰς τὴν τῶν σιαγόνων μίαν, καὶ δευτέραν εἰ τύχοι προσαπαιτεῖν στρέφοντας καὶ τὴν ἄλλην, πρόῤῥιζον ὥσπερ τῆς ἑαυτῶν ψυχῆς τὴν ἀνθρωπίνην ἐκτέμνοντας ὀλιγοψυχίαν. πλὴν εἰ καὶ μήπω τις περὶ τοῦ χρῆναί φησιν 3.26 ἀνεξικακεῖν παρ' ἐμοῦ διώρισται νόμος, λογισμοῦ τοῦ πρέποντος ὁ σὸς, ὦ Πέτρε, διέσφαλται νοῦς, καὶ τῇ τῶν πραγμάτων φύσει πολὺ δὴ λίαν ἀπῳδὸν ἐποιήσω τὸ ἐγχείρημα. δεδογμένου τε γὰρ καὶ συναρέσαντος τῷ Θεῷ καὶ Πατρὶ τοῦ πιεῖν τουτὶ τὸ ποτήριον ἐμὲ, τουτέστιν, ἐθελοντὶ ὑπομεῖναι τὸν ὥσπερ εἰς ὕπνον καροῦντα θάνατον, ἐπὶ καταλύσει θανάτου καὶ φθορᾶς, πῶς ὑπεκνεύειν ἀκόλουθον, καίτοι τοσαύτης ἀγαθῶν ἰδέας ἀνίσχειν πεπιστευμένης τῷ τῶν ἀνθρώπων γένει διὰ τοῦ πιεῖν αὐτό; ὁ μὲν οὖν τῶν προκειμένων ἐν τούτοις εὖ μάλα περιορίζεται νοῦς· ἴσον δὲ τούτῳ ἐστὶν ἐκεῖνο πάλιν· ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, βεβαιοτέρους εἰς πίστιν ἀπεργάζεσθαι θέλων τοὺς ἑαυτοῦ μαθητὰς καὶ τὸ ἐπὶ τῷ τιμίῳ σταυρῷ προανατρέπων σκάνδαλον, ἔφη ποτὲ κατὰ μόνας αὐτοῖς προσδιαλεγόμενος "Ἰδοὺ "ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου "παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν καὶ σταυρώσουσιν "αὐτὸν, καὶ ἀποκτενοῦσι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται." Πέτρος δὲ ὁ θεσπέσιος, οὐ τὸ ἐκ τοῦ πάθους ἐννοήσας ἀγαθὸν, ἀποβλέψας δὲ εἰς μόνην τὴν ἐκ τοῦ παθεῖν ἀδοξίαν "Ἱλεώς σοι Κύριε, φησὶν, οὐ μὴ ἔσται σοι τοῦτο." καὶ τί πρὸς τοῦτο Χριστός; "Ὕπαγε ὀπίσω μου, σατανᾶ, σκάνδαλόν μου εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ ἀλλὰ τὰ τῶν "ἀνθρώπων." τοῦ μὲν γὰρ φρονεῖν ἐθέλοντος τὰ δοκοῦντα Θεῷ ἔργον ἂν εἴη καὶ σκοπὸς παρ' οὐδὲν μὲν ποιεῖσθαι τὰς ἐν κόσμῳ τιμὰς, καὶ τῆς ἐν ἀνθρώποις εὐκλείας οὐδενὸς ἀξιῶσαι λόγου τὴν ζημίαν, ἔστ' ἂν διὰ τοῦ καὶ τοῦτο παθεῖν τὸ τοῖς ἑτέροις ἐξανύηται χρήσιμον· ἡ γὰρ ἀγάπη, φησὶν, "οὐ ζητεῖ τὰ ἑαυτῆς·" τοῦ γεμὴν εἰς μόνα τετραμμένου τε καὶ βλέποντος τὰ ἀνθρώπινα, τὸ ἀφόρητον ἡγεῖσθαι τῶν ἐπὶ γῆς δοξαρίων τὴν ἀπώλειαν, καὶ εἰς μόνον ὁρᾶν τὸ ἴδιον ἀγαθὸν, τοῖς δὲ τοῦ πέλας μὴ ἐπαλγύνεσθαι κακοῖς. ὥσπερ τοίνυν ἐν ἐκείνοις σκάνδαλον ἐλέγετο τοῦ Χριστοῦ, καίτοι 3.27 σκανδαλίζεσθαι μὴ εἰδότος, λαλήσας μὲν ἐξ ἀγάπης τῆς οὐκ ἀνεγκλήτως ἔχειν ἰσχυούσης ὁ Πέτρος, διὰ τὸ μόνον ἰδεῖν εἰς τὸ ἀπὸ τοῦ σταυροῦ πάθος, καὶ οὐχὶ τὰ ἐκ τοῦ πάθους ἀγαθά· ἀνατρέπειν γὰρ ἐπειρᾶτο τὸ ὅσον ἐφ' ἑαυτῷ, τὸ δεδογμένον τε καὶ ὁρισθὲν ὑπὲρ τῆς ἁπάντων γενέσθαι ζωῆς· οὕτω κἀνθάδε διὰ ζήλου καὶ μαχαίρας καὶ θερμοῦ λίαν ἐγχειρήματος τοῦτο αὐτὸ πράττων ὁρᾶται· πλὴν ἐπιτιμᾶται πάλιν, οὐ μόνον ἀκούσας Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην αὐτῆς, ἀλλ' ὡς ἕτερός τις ἔφη τῶν εὐαγγελιστῶν προστεθεικότος Χριστοῦ "Πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν "μαχαίρᾳ ἀπολοῦνται." ὃ δὲ δὴ φθάσαντες εἴπομεν, ἀναλαβόντες ἐροῦμεν, οὐκ ἀνεθελήτως τοῦ πάθους εἰσβαίνοντος, οὔτε μὴν ἐκ πλεονεξίας Ἰουδαϊκῆς ἐπενηνεγμένου, κατὰ τίνα δὴ τρόπον ἀμύνεσθαι χρὴ καὶ ἀνείργειν ὅλως καὶ τοῦτο μαχαίρᾳ τὸ κατὰ συγχώρησιν τῶν ἐπιόντων θράσος, καὶ τὰς ἀνοσίους τῶν Ἰουδαίων ἐπιβουλάς; τὸν δὲ Πατέρα καὶ Θεὸν δεδωκέναι φησὶ τὸ ποτήριον αὐτῷ, τουτέστι, τὸν θάνατον, καίτοι διὰ τῆς τῶν Ἰουδαίων ἀφιλοθεΐας ἐξηρτυμένον, ἐπείπερ οὐδ' ἂν ὅλως συνέβη, μὴ οὐχὶ συμβῆναι δι' ἡμᾶς ἐφέντος αὐτοῦ. τοιγάρτοι καὶ πρὸς αὐτὸν ἔφη Πιλάτον μεγαλοῤῥημονοῦντα Χριστός "Οὐκ εἶχες κατ' ἐμοῦ ἐξουσίαν "οὐδεμίαν, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν." ἐν ἐξουσίας γὰρ λόγῳ Πιλάτῳ γενέσθαι φησὶ τὴν εἰς τὸ χρῆναι παθεῖν ἐθελούσιον ὁρμὴν τοῦ Υἱοῦ, καὶ τὴν ἄνωθεν καὶ παρὰ Πατρὸς εἰς τοῦτο συναίνεσιν. Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτὸν, καὶ ἀπήγαγον πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰου δαίοις ὅτι συμφέρει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. Συνεσταλμένων ἤδη τῶν παραποδισμάτων, ἀποτινάξαντός 3.28 τε τῆς ἑαυτοῦ χειρὸς τοῦ Πέτρου τὴν μάχαιραν, ὑποθέντος τε ὥσπερ ταῖς τῶν Ἰουδαίων χερσὶν ἑαυτὸν τοῦ Χριστοῦ, καίτοι μὴ παθεῖν ἐξὸν καὶ διαδρᾶναι ῥᾷον, ἀνημέρως ἤδη φέρονται τοῖς θυμοῖς, καὶ εἰς ἄμαχον ὥσπερ ἀνακαίονται θράσος, οἵ τε στρατιῶται σὺν τῷ καθηγεῖσθαι λαχόντι καὶ οἱ σὺν αὐτοῖς ὑπηρέται. εἴκοντα δὲ ἤδη πρὸς πᾶν ὁτιοῦν αὐτοῖς ἑλόντες τὸν Κύριον, δεσμοῖς μὲν ἐντείνουσι, καίτοι διὰ τοῦτο πρὸς ἡμᾶς ἀφιγμένον, ἵνα δεσμῶν ἡμᾶς ἐξέληται διαβολικῶν, καὶ ἐκ τῶν τῆς ἁμαρτίας ἀπολύσῃ βρόχων. ἀποκομίζουσι δὲ πρὸς Ἄνναν, πενθερὸν ὄντα τοῦ Καϊάφα, ὅθεν πως ἡμῖν ἔπεισιν ἤδη νοεῖν, ὅτι τοῦ κατὰ Χριστὸν ἀνοσιουργήματος αὐτὸς ἦν ἄρα τεχνίτης καὶ διασκευαστὴς, παρ' αὐτοῦ τε κατὰ τὸ εἰκὸς μεμισθαρνηκότα τὸν προδότην τὴν συλληψομένην τὸν Χριστὸν ἐξαιτῆσαι πληθύν. αὐτῷ τοιγαροῦν ἀποκομίζεται πρώτῳ. ἐδόκει γὰρ τοῖς Ἰουδαίοις, καὶ αὐτοῖς ἡμῖν ἀποδεῖξαι πράγμασιν ἀληθὲς ὑπάρχον ἤδη καὶ παρὸν ὅπερ ἐφαίνοντο λέγοντες διὰ τῆς τοῦ προφήτου φωνῆς "Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι." δύσχρηστος γὰρ ὄντως Ἰουδαίοις ἦν ὁ Χριστὸς, οὐχὶ τοιοῦτος ὑπάρχων αὐτὸς, ἀλλ' ἐπείπερ αὐτοῖς ἕξιν ἔχουσι τὴν φιλαμαρτήμονα καὶ φιλήδονον, οὐδὲν ἐδόκει τῶν ἀρίστων εἰσφέρειν, τὴν ὑπὲρ νόμον δικαιοσύνην εἰσηγούμενος, καὶ τὸ δοκοῦν ὄντως τῷ φιλαρέτῳ Θεῷ περιστολῆς τινος δίχα παρατιθεὶς εἰς ἐπίγνωσιν, οὐ τοιαύτην ἔχοντος τοῦ νόμου τὴν ὁδὸν, διὰ σκιᾶς δὲ μᾶλλον καὶ αἰνιγμάτων πλαγίως καὶ μόλις τὸ πεφυκὸς ὠφελεῖν τοῖς ἀκροωμένοις παρασημαίνοντος. ὅνπερ οὖν τρόπον τοῖς μὲν οὖν τὴν ὄψιν λελωβημένοις δύσχρηστόν πως ἐστὶ τοῦ ἡλίου τὸ φῶς, οὐδεμίαν αὐτοῖς ἐμποιοῦν τὴν ὄνησιν, παραποδιζούσης εἰς τοῦτο τῆς νόσου, τοῖς δὲ τὴν ἕξιν κεκακωμένοις τὰ τῶν ἐδεσμάτων ὑγιεινὰ δυσχρηστότερά πως τῶν ἑτέρων εἶναι δοκεῖ, καίτοι προξενεῖν 3.29 εἰδότα τὴν τριπόθητον ὑγίειαν· οὕτω καὶ τοῖς Ἰουδαίοις ὁ Κύριος δύσχρηστός τις ἐδόκει, καίτοι τῆς σωτηρίας ὑπάρχων πρύτανις. οὐ γὰρ ἦν αὐτοῖς τὸ σώζεσθαι φίλον. Ἀπέστειλαν δὲ αὐτὸν δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. τεθήρευται μὲν οὖν διὰ τῆς Ἄννα δυστεχνίας, καὶ τῆς ὑπουργίας τῶν εἰς τοῦτο μεμισθωμένων, τὸ ἱερόν τε καὶ ἅγιον θῦμα, τουτέστι Χριστὸς, ἀρκύων δὲ εἴσω κατειλημμένος, ἐπὶ τὸν τῆς ἀδίκου σφαγῆς ἄγεται πρόξενον, ἤτοι καθηγητήν· Καϊάφας δὲ οὗτος ἦν, καίτοι τῇ τῆς ἱερωσύνης κατεστεμμένος χάριτι. καὶ λόγῳ μὲν φαίνεται κατάρξας αὐτὸς τῆς μιαιφονίας, ἀπαρχὴ δὲ καὶ αὐτοῦ λοιπὸν ἁλοὺς τοῦ τολμήματος. δέχεται γὰρ δεδεμένον τὸν Ἰησοῦν, καὶ καρπὸν ὥσπερ τινὰ τῆς ἑαυτοῦ συμβουλῆς καὶ τῶν ἀνοσίων σκεμμάτων ὁ δείλαιος ἐποιήσατο τὸ πάντων ὅτι μάλιστα τῶν κακῶν ἀνοσιώτατον δρᾶμα. τί γὰρ ἂν γένοιτο τῆς ἐπὶ Χριστῷ δυσσεβείας τὸ δυσαχθέστερον; Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητής. Κατεπτοημένων, ὡς φαίνεται, τῶν ἑτέρων μαθητῶν καὶ τὴν παραυτίκα τῶν φονώντων διαδιδρασκόντων ὀργὴν, τῆς εἰς Χριστὸν ἀγάπης ὁ Πέτρος ἐξέχεται, θερμοτέροις ἀεὶ κινήμασι πρὸς τοῦτο βαδίζων καὶ ῥιψοκινδύνως ἀκολουθεῖ, καὶ τὸ τῶν ἐκβησομένων κατασκέπτεται πέρας, συνθέοντός τε αὐτῷ καὶ διὰ τῆς ἴσης εὐτολμίας εἰς ὁμοίαν ἀναβαίνοντος ἕξιν τοῦ ἑτέρου μαθητοῦ· Ἰωάννης δὲ οὗτος ἦν, ὁ τοῦδε τοῦ θείου συγγράμματος θεοφιλὴς ὄντως δημιουργός. ἑαυτὸν γὰρ εἶναί φησι τὸν ἕτερον μαθητὴν, ὀνομάζει δὲ οὐκ ἐναργῶς, φιλοκομπίας ὑπόληψιν παραιτούμενος, καὶ τὸ δοκεῖν εἶναι τῶν ἄλλων ἐν ἀμείνοσι, τῶν ἰδίων ἐνθυμημάτων ὡς πόῤῥω 3.30 τάτω τιθείς. τὰ γάρ τοι τῶν ἀνδραγαθημάτων ἐξαίρετα, καὶ εἰ φαίνοιτο τυχὸν ἐνόντα τισὶ τῶν οἵ γε φρονοῦσιν ὀρθῶς, ἀλλ' οὐκ ἂν ἴοι ποτὲ διὰ τῆς αὐτῶν γλώττης εἰς ἑτέρων ἀκοάς. ἀκοσμότατον γάρ τι χρῆμα παντελῶς τὸ μὴ διὰ τῆς ἑτέρων φωνῆς ἐγκωμιάζεσθαι μᾶλλόν τινας ἤπερ ἐξ ἰδίου στόματος. καὶ γοῦν ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παροιμιαστής "Ἐγκωμιαζέτω σε," φησὶν, "ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ "τὰ σὰ χείλη." Ὁ δὲ μαθητὴς ἐκεῖνος γνωστὸς ἦν τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως. Προνοητικώτατα πάλιν καὶ μέχρι τῆς τούτων κάτεισι μνήμης, καὶ λεπτολογεῖν οὐ παραιτεῖται λίαν διὰ τὸ πᾶσι λυσιτελές. ἐπειδὴ γὰρ ἔμελλε καὶ τὰ ἐν αὐτῇ γεγονότα τε καὶ εἰρημένα τῇ τοῦ ἀρχιερέως αὐλῇ τοῖς ἰδίοις ἐγκατατάττειν συγγράμμασιν, ἀναγκαιοτάτην ὥσπερ καὶ τὴν τοῦ δεδυνῆσθαι συνεισδραμεῖν ἀπολογίαν ἡμῖν ἐποιήσατο· γνωστὸς γὰρ ἦν φησι τῷ ἀρχιερεῖ. συνεισβάλλει τοιγαροῦν ἀδιακωλύτως, τῆς εἰς τὸν ἡγούμενον γνώσεως· φιλίαν γὰρ οὐκ ἠξίωσεν εἰπεῖν· ἀπαραπόδιστον αὐτῷ προξενούσης τὴν εἰς τὸ εἴσω διέλευσιν. ἵνα τοίνυν πιστεύηται καὶ τὰ ἐν τῇ αὐλῇ πεπραγμένα συντιθεὶς, ὡς οὐ διὰ τῆς ἑτέρων δεδιδαγμένος φωνῆς, ἀλλ' αὐτὸς τῶν πεπραγμένων θεωρός τε ἅμα καὶ αὐτήκοος καταστὰς, χρησιμωτάτην ἡμῖν ἐποιήσατο καὶ τὴν περὶ τῆς γνώσεως ἐξήγησιν. Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μα θητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τοῦ ἀρχιερέως, καὶ εἶπε τῇ θυρωρῷ καὶ εἰσήγαγε τὸν Πέτρον. Οὐκ ἂν ὑστέρησεν, ὅσον ἧκεν εἰς προθυμίαν τῆς ἰδίας ψυχῆς, τοῦ συνεισβαλεῖν ὁ Πέτρος, εἰ μὴ τῆς προθυραίου 3.31 παιδὸς ἡ τήρησις οὐκ ἀκίνδυνον ἐτίθει τοῖς οὐ πρότερον ἐγνωσμένοις τὴν εἰς τὸ εἴσω παραδρομήν. καὶ βιασθῆναι μὲν τὸ γύναιον ὑπ' ἀνδρὸς ἦν δήπου πάντως οὐ χαλεπὸν, τῶν γεμὴν τελούντων εἰς ἀταξίαν ἐγκλημάτων οὐκ ἐλεύθερον. εἴργεται τοίνυν, ὡς ἐξ ἀνάγκης, καίτοι λίαν ἀλύων ὁ μαθητὴς, μέχρις ἂν οὐ μετρίως λελυπῆσθαι διὰ ταύτην αὐτὸν τὴν αἰτίαν ἐννοήσας ὁ ἕτερος, συνεισκεκόμικεν ἑαυτῷ, τῇ τοῖς πυλῶσι προσεδρευούσῃ λαλήσας, καὶ χάριν αἰτήσας τοῦ συζηλοῦντος αὐτῷ τὴν συνεισβολήν. Λέγει οὖν τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος Οὐκ εἰμί. Προηγγελκότος ἤδη τῷ Πέτρῳ τὴν εἰς τρίτον ἐσομένην ἐξάρνησιν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ ὅτι πρὶν ὄρνιθα φωνῆσαι τὸν ᾠδὸν ἀτονήσει πως περὶ τὴν πίστιν, ἐξηγεῖται λοιπὸν ἀνὰ μέρος ὁ θεσπέσιος Εὐαγγελιστὴς, ὅποι τε καὶ ὅπως τὸ πρᾶγμα τετέλεσται. διαπυνθάνεται τοίνυν ἡ τοῖς πυλῶσιν ἐνιδρυνθεῖσα γυνὴ, μὴ ἄρα τις εἴη τῶν τελούντων ἐν μαθηταῖς τοῦ τὴν ἄδικον ὑπομένοντος κρίσιν. ἀποφάσκει δὲ ὁ Πέτρος, καὶ ὥσπερ τι τῶν ἐγκλημάτων ἀποσκευάζεται, λέγων Οὐκ εἰμὶ, καὶ οὐχὶ δὴ πάντως καταδείσας τὸ ἁλῶναι τυχὸν, οὐδὲ τὴν τῆς ἀληθείας ἀνάῤῥησιν παραιτούμενος, ἀλλὰ τὸ πᾶν ὁτιοῦν ὑπομεῖναι καὶ τῶν ἀβουλήτων, εἰ τύχοι, δεύτερον ὥσπερ τι καὶ ὀπίσω τιθεὶς τοῦ συνεῖναι Χριστῷ. ἐξ ἀγάπης οὖν ἄρα τὸ πταῖσμα, καὶ ῥίζαν πως ἔχει τὴν φιλοθεΐαν ἡ ἄρνησις, οὐκ ἐξ ἀκριβοῦς μὲν λίαν συμβαίνουσα λογισμοῦ, μνωμένη δ' οὖν ὅμως τῷ συνεῖναι ποθοῦντι τὸ σπουδαζόμενον. 3.32 Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακίαν πεποιη κότες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ καὶ ὁ Πέτρος ἑστὼς μετ' αὐτῶν καὶ θερμαινόμενος. Εἴσω θυρῶν ἐλάσας ὁ Πέτρος καὶ τοῖς οἰκέταις ἐναποληφθεὶς, τὰ ἐκείνων δρᾶν ὑποκρίνεται, καίτοι τῇ λύπῃ κεκακωμένος, καὶ δύσοιστον ἔχων ἐν καρδίᾳ τὴν ἀθυμίαν, ἵνα μὴ τῷ κατηφεῖ καὶ συμμεμυκότι προσώπῳ κατάφωρος εὑρεθεὶς, ὡσανεὶ τῷ κρινομένῳ συναλγύνεσθαι φιλῶν, τῆς τῶν ποθουμένων ἐκπέμπηται θήρας. ἀπίθανον γὰρ κομιδῆ τὸ φιλοσαρκεῖν οὕτως οἴεσθαι τὸν μαθητὴν, ὡς ἐν τοσαύταις ὄντα βαρυθυμίαις, τῶν ἐκ χειμῶνος καταψυγμάτων ἐκμηχανᾶσθαι τὴν ἄκεσιν· ἀλλ' οὐδ' ἂν εἰ μετῆν καὶ τῶν ἔτι μειζόνων ἀπολαῦσαι χρηστῶν, κάμνοντος οὕτω Χριστοῦ τυχεῖν ἠνέσχετο. οἰκονομικῶς δὲ λίαν τῇ τῶν θεραπόντων ἀκηδίᾳ συμπλάττεται, καὶ ὡς μηδενὸς τὸ παράπαν κατωθοῦντος εἰς ἀθυμίαν τὰ ἐκ τοῦ χειμῶνος ἀποκρούεται βλάβη, ἵν' ὥσπερ τις τῶν τῆς οἰκίας γνωρίμων καὶ διὰ τούτου πιστεύηται, διαδράσαι τε οὕτω λοιπὸν καὶ τὸ εἴπερ τις ἔροιτο πάλιν ἀρνήσασθαι. ἀλλ' οὐκ ἦν διαψεύσασθαι τοῦ Σωτῆρος τὸν λόγον. ὃ γὰρ ἔγνω πάντως ἐσόμενον ὡς Θεὸς, τοῦτο τῷ μαθητῇ προμεμήνυκεν. Ὁ οὖν ἀρχιερεὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. Ὁ νομομαθὴς καὶ διδάσκαλος, ᾧ καὶ τὸ θεῖον διαγορεύει κήρυγμα Κρῖμα δίκαιον κρίνετε, καθάπερ τινὰ τῶν διαβοήτων ἁρπάσας λῃστῶν τὸν Κύριον, διά τε σπείρας στρατιωτῶν ὡπλισμένων καὶ πληθύος ἀνοσίων ὑπηρετῶν, περὶ διδαχῶν καὶ μαθητῶν ἐρωτᾷ, τὴν τῶν ἐγκλημάτων ἀπορίαν διὰ τούτου 3.33 σημαίνων. οὐ γὰρ ᾔδει τὸ ἁμαρτεῖν ὁ κρινόμενος. ἐρωτᾷ δὲ περὶ τῆς διδαχῆς αὐτοῦ, πότερόν ποτε τοῖς διὰ Μωυσέως ἀπῳδός ἐστι νόμοις, ἤγουν τοῖς πάλαι τεθεσπισμένοις ὁμοστιβὴς καὶ σύνδρομος, καὶ τίς ἄρα τοῖς ὑπ' αὐτῷ μεμαθητευμένοις ἐνυπάρχει σκοπὸς, τοῖς ἀρχαίοις ἔθεσι παιδαγωγεῖσθαι φιλεῖν, ἤγουν τινὰ ξένην καὶ καινοπρεπῆ τῆς λατρείας ἐπιτηδεύειν τὴν ἀγωγήν. ἐποίει δὲ τοῦτο δυστρόπως· ᾤετο γὰρ ὅτι κατερεῖ μὲν ἐναργῶς τοῦ νόμου Χριστὸς, ἀπόβλητα δὲ τὰ διὰ Μωυσέως εἰπὼν, αὐτὸς καθ' ἑαυτοῦ τῆς τῶν Ἰουδαίων γλωσσαλγίας ἀνακινήσει θράσος, ἵνα καὶ φαίνηται λοιπὸν δικαίαν ὥσπερ ἀποτιννὺς τοῦ θεομαχεῖν ἑλέσθαι τὴν δίκην. θεομαχεῖν γὰρ ἄντικρυς ἦν τὸ τοῖς θείοις ἀντιτάττεσθαι νόμοις, εἴπερ τις ἄρα τῶν καθ' ἡμᾶς ἥλω τι τοιοῦτον εἰπὼν ἢ δράσας. ὡς ἀνθρώπῳ δὲ ἔτι ψιλῷ προσέχουσι τῷ Χριστῷ, καὶ τὸν τοῦ νόμου Κύριον ἐπὶ τῇ τοῦ νόμου παραβάσει δικαίως εὐθύνειν νομίζουσιν, οὐ μεμνημένοι τοῦ λέγοντος "Ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρανομεῖς." Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ἐγὼ παῤῥησίᾳ λελάληκα τῷ κόσμῳ, ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. Τὸ πᾶσι, φησὶν, ἐγνωσμένον ὡς ἀφανὲς ἐπιζητεῖν, εἰκαῖον ἂν ἔχοι τὸν πόνον, καὶ ᾧπερ ἂν ἕποιτο τὸ μὴ ἀγνοεῖσθαι τυχὸν, πῶς ἂν ἔτι προσείη τοῦ λαθεῖν ἡ ὑπόληψις; καὶ δοκεῖ μέν πως ἡμῖν ταυτὶ δὴ φάναι Χριστὸς, ὑπὲρ τοῦ τὰς αἰτίας ἀποφορτίζεσθαι διὰ τῆς τῶν ἡγουμένων πονηρίας συντεθειμένας τε ἤδη καὶ δυσμηχάνως ἐξηρτυμένας· οἶμαι δέ τι καὶ ἕτερον ὑποδηλοῦν διὰ τούτων αὐτόν. ἐγὼ γάρ φησιν ἐν παῤῥησίᾳ λελάληκα τῷ κόσμῳ, τουτέστι, τὰ διὰ τῆς Μωυσέως ὑμῖν μεσιτείας κεχρησμῳδημένα διὰ 3.34 τύπων ἔρχεται καὶ σκιᾶς, καὶ ἀναφανδὸν οὐ διδάσκει τὸ δοκοῦν τῷ Θεῷ, πλάττεται δὲ μᾶλλον τῆς ἀληθείας ἐφ' ἑαυτοῖς τὴν ὑπόληψιν, καὶ τῇ παχύτητι τοῦ γράμματος κατημφιεσμένα γυμνὴν οὐκ εἰσφέρει τῶν ἀναγκαίων τὴν εἴδησιν· ἐγὼ ἐν παῤῥησίᾳ λελάληκα τῷ κόσμῳ· αἰνιγμάτων γὰρ δίχα καὶ σκιᾶς τῆς τῶν ἀγαθῶν ἰδέας παρέδειξα τὴν κατόρθωσιν, καὶ πλαγίας ἁπάσης ἐξῃρημένης εὐθυτενῆ τῆς εἰς Θεὸν εὐσεβείας ἀπέδειξα τὴν ὁδόν. ἐγὼ λελάληκα τῷ κόσμῳ, οὐχ ἑνί φησι γένει τῶν ἐξ Ἰσραήλ· εἰ γὰρ καὶ μήπω τυχὸν τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔκπυστά πως ἐστὶ τὰ ἡμέτερα, ἀλλ' ἔσται κατὰ καιρούς. ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ. καὶ τί τοῦτό ἐστι, πῶς οὐκ ἀναγκαῖον ἰδεῖν; εἰς ἀνάμνησιν, ὡς ἔοικε, καὶ οὐχ ἑκόντας καλεῖ τοὺς τῶν Ἰουδαίων προεστηκότας προφητείας ἐχούσης ὧδε περὶ αὐτοῦ. τί γὰρ ἔφη πάλιν ἡμῖν ὁ θεῖος Ἡσαΐας, ὡς ἐκ προσώπου Χριστοῦ "Οὐκ ἐν κρυφῇ λελάληκα οὐδὲ ἐν "τόπῳ γῆς σκοτεινῷ," καὶ πάλιν " Ολην τὴν ἡμέραν "ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ "ἀντιλέγοντα." τὸ γὰρ μήτε ἐν κρυφῇ μήτε ἐν τόπῳ λαλεῖν σκοτεινῷ, τί ἂν ἕτερον εἴη λοιπὸν, ἢ τὸ ποιεῖσθαι μὲν ἐν παῤῥησίᾳ τὰς διαλέξεις, λαλεῖν δὲ ἐν τόποις οὐκ ὀλίγην ἔχουσι τῶν ἀκροωμένων τὴν σύνοδον; καλῶς δὲ σφόδρα καὶ ἀναγκαίως τῆς τοῦ προφήτου πρὸς ἀνάμνησιν ἄγει φωνῆς, ἵνα δὴ μάθοιεν, ὅτι κρίνουσι δυσσεβῶς τὸν ἐν ἐλπίσιν αὐτοῖς χρεωστούμενον. Ἰουδαίων γὰρ ἡ ἐπαγγελία, κατὰ τὴν τοῦ Παύλου φωνήν. Τί με ἐρωτᾷς; ἐρώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. Ἐπιπλήττει τοῖς νομομαθέσιν, ὡς καὶ αὐτὸν ἠδικηκόσι τὸν ἐφ' ᾧ σεμνύνονται νόμον. τῷ γὰρ οὔπω κατεγνωσμένῳ 3.35 πρόωρον ὥσπερ ἐπενεγκόντες τὴν κόλασιν, περιττῶς ἔτι ζητοῦσι τὰ πταίσματα. τί τοίνυν φησὶν ἐρωτᾷς καὶ καλεῖς εἰς ἀπολογίαν τὸν ἤδη παθόντα τὴν ἔφοδον, πρεσβυτέραν τε τῶν ἐλέγχων λαχόντα τὴν τιμωρίαν; προσβαλεῖς δὲ καὶ ἑτέρως τοῖς εἰρημένοις. οἱ μεμισηκότες ἤδη, φησὶ, καὶ ταῖς οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δειναῖς ἀτιμίαις περιβεβληκότες, εἴτι περ λέγοιμι τῶν κατ' ἐμαυτὸν, οὐκ ἂν ἴσως ὀκνήσαιεν καὶ τὸ ψεύδη βοᾶν. οὐκοῦν παρὰ τῆς ἑτέρων διδάσκεσθε φωνῆς. ἀταλαίπωρος παντελῶς τῶν μαρτύρων ἡ ζήτησις· οἵδε γὰρ γεγόνασι τῶν ἐμῶν κατήκοοι λόγων. καὶ νομιεῖ μέν τις τυχὸν, ὅτι καρδίας εἰδὼς καὶ νεφροὺς, ὑπέδειξέ τινας τῶν παρεστηκότων ὡς ἐκ τοῦ παρατυχόντος ἀκροασαμένους αὐτοῦ. τὸ δὲ οὐχ οὕτως ἔχει. παρέδειξε γάρ τινας τῶν ὑπηρετῶν, οἳ καὶ πάλαι τὴν παρ' αὐτοῦ διδαχὴν τεθαυμάκασι, καὶ πῶς ἢ πότε, πάλιν εἰπεῖν ἀναγκαῖον ὑπὲρ σαφηνείας τῶν εἰρημένων. οὐκοῦν αὐτὸς ἡμῖν ούτοσὶ πάλιν ὁ θεσπέσιος Εὐαγγελιστὴς λελάληκέ τι τοιοῦτον, ὡς ἐξηγουμένου ποτὲ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ τοῖς συνδεδραμηκόσιν Ἰουδαίοις τὸν περὶ τῆς τῶν οὐρανῶν βασιλείας διαπτύσσοντος λόγον, διεπρίοντο πάλιν οἱ τῶν Ἰουδαϊκῶν ταγμάτων ἡγούμενοι, καὶ θερμὸν ἐπ' αὐτῷ τὸν φθόνον ὠδίνοντες, ἐκ μέσου ποιεῖν ἐσπούδαζον. λέγει δὲ οὕτως ὁ Εὐαγγελιστής "Καὶ ἀπέστειλαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ὑπηρέτας ἵνα πιάσωσιν αὐτόν." ἀλλ' ὡς πολὺς καὶ μακρὸς ὁ παρὰ τοῦ Σωτῆρος ἡμῶν ἐξετείνετο λόγος, οἱ παρὰ τῶν Ἰουδαίων ἀπεσταλμένοι τοῖς ἄλλοις ἅπασι συνεπείθοντο, καὶ τεθαυμάκασι πλέον ἤπερ τις ἕτερος τῶν τελούντων εἰς ὄχλους. λέγει δὲ οὕτω πάλιν ὁ Εὐαγγελιστής " Ηλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ "Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι Διατί οὐκ ἠγάγετε "αὐτόν; ἀπεκρίθησαν οἱ ὑπηρέται Οὐδέποτε ἐλάλησεν "οὕτως ἄνθρωπος. ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι "Μὴ καὶ ὑμεῖς πεπλάνησθε;" ἀκούεις ὅπως ἀναπεπεισμέ 3.36 νους ἤδη τοὺς ὑπηρέτας καὶ τεθαυμακότας εὑρίσκοντες, ἀγωνιῶσιν οἱ Φαρισαῖοι. τοῦτο τοιγαροῦν εἰδὼς ὁ Σωτὴρ Ἐρώτησόν φησι τοὺς ἀκηκοότας· ἴδε οὗτοι ἴσασιν ἃ εἶπον ἐγώ. αὐτοὺς γὰρ ἐκείνους τοὺς τότε παρεστηκότας ὁρῶν, τό Οὗτοι φησὶν, ἢ κἀκεῖνο σημαίνων, ὅτι καὶ αὐτοὶ τεθαυμάκασι τῆς ἐμῆς διδασκαλίας τὸ κάλλος οἱ τῆς ὑμετέρας ἀνοσιότητος ὑπουργοί. Ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς παρεστηκὼς τῶν ὑπηρετῶν ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπὼν αὐτῷ Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; Προκεκήρυκται μὲν διὰ τῆς τοῦ προφήτου φωνῆς ὡς ἐσόμενον ἐπὶ Χριστῷ καὶ τοῦτο· "Τὸν νῶτόν μου δέδωκα," φησὶν, "εἰς μάστιγας καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα." διεξάγεται γεμὴν εἰς τὸ πάλαι προαναφωνούμενον πέρας, εἰς κρῖμα μὲν τῆς Ἰουδαίων ἀλαζονείας, εἰς ἀναίρεσιν δὲ καὶ καταστροφὴν τῆς ὀφειλομένης ἡμῖν ἀτιμίας, ἐπείπερ ἡμάρτομεν ἐν Ἀδὰμ τῷ πρώτῳ τὴν θείαν πατήσαντες ἐντολήν. ἀτιμάζεται γὰρ ὑπὲρ ἡμῶν, ἐπείπερ αὐτὸς τὰς ἁμαρτίας ἡμῶν αἴρει, κατὰ τὴν τοῦ προφήτου φωνὴν, καὶ περὶ ἡμῶν ὀδυνᾶται. ὥσπερ γὰρ θανάτου λύσιν εἰργάζετο, θανάτῳ παραδοὺς τὸ ἴδιον σῶμα· τὸν αὐτὸν οἶμαι τρόπον τῆς ἐπηρτημένης ἡμῖν ἀτιμίας διὰ τὴν παράβασιν καὶ τὴν ἀρχέκακον ἁμαρτίαν, λύσιν ἔχει τὸ ῥάπισμα τὴν ἐπὶ Χριστῷ πληροῦν ἀτιμίαν. εἷς γὰρ ὁ πάντων ἀντάξιος ὑπὲρ πάντων ἠτιμάζετο. πλὴν ὅλην ἂν οἶμαι φρίξαι τὴν κτίσιν, εἴπερ ἐν αἰσθήσει κέκλητο τοῦ τολμήματος· ὁ γὰρ τῆς δόξης Κύριος τῇ τοῦ παιόντος ἀνοσίᾳ χειρὶ κατηκίζετο. Οὐκ ἀμοιρήσαι γεμὴν ἐρεύνης ἂν οἶμαι φιλομαθοῦς τὸ ἐθελῆσαι μαθεῖν, ἄνθ' ὅτου τυχὸν ὁ πάντολμος ούτοσὶ καὶ ἀνοσιουργὸς ὑπηρέτης ῥαπίζει τὸν Ἰησοῦν, σκληρὸν μὲν ὅλως ἢ δύσοργον εἰπόντα μηδὲν, πραοτάτην δὲ λίαν τὴν ἐφ' ἅπασι 3.37 τοῖς ἐπενηνεγμένοις ἀπολογίαν ποιούμενον. ἀλλ' οὐδ' ἂν αὐτὸν ἴδοι τις τῶν Ἰουδαίων τὸν προεδρεύοντα παίειν αὐτῷ διατεταχότα, καὶ τοῖς οὕτω παραλόγοις ἐπιπηδᾶν δυσσεβήμασι. καὶ προβαλοῦνται μὲν ἴσως τινὲς τὴν τοῖς ὑπηρέταις ἐντριβῆ καὶ μελετωμένην συνήθειαν, οἳ τοῖς ἡγουμένοις προσάγοντες τοὺς ἐπί τισι τῶν ἔξω νόμου κατειρημένους, λαλεῖν μὲν ἐπιεικέστερον καὶ οὐχ ἑκόντας ἀναγκάζουσι, παραφθεγξαμένους δέ τι τῶν ἀπηχεστέρων ἔσθ' ὅτε καὶ ἀτιμάζουσιν. ἀλλ' οὐ ταύτην οἶμαι τὴν αἰτίαν τῆς ἐπὶ Χριστῷ μανίας συμβῆναι τότε, πρόφασιν δὲ τοῦ τολμήματος ἑτέραν εὑρήσομεν, τοῖς ἤδη προειρημένοις τὸν νοῦν ἐνερείσαντες. ἐλέγομεν γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρτίως, ὅτι τοῖς ἡγουμένοις προσκεκρούκασι τῶν ὑπηρετούντων τινὲς, οἳ προσετάχθησαν μὲν συλλαβέσθαι τὸν Ἰησοῦν, ἐπανῆκον δὲ οὕτω μεμυσταγωγημένοι καὶ τεθαυμακότες αὐτὸν, ὡς διαῤῥήδην εἰπεῖν "Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος." ἐφ' ᾧ καὶ σφόδρα λελυττηκότες ἔφασκον οἱ Φαρισαῖοι "Μὴ καὶ ὑμεῖς πεπλάνησθε; μή τις "ἐκ τῶν Φαρισαίων ἢ ἐκ τῶν ἡγουμένων ἐπίστευσεν εἰς "αὐτόν; ἀλλ' ὁ ὄχλος οὗτος οἱ μὴ εἰδότες τὸν νόμον "ἐπάρατοί εἰσιν." ἐπειδὴ τοίνυν τοῦ Σωτῆρος ὁ λόγος πρὸς ἀνάμνησιν ἐκάλει τοὺς ἡγουμένους τῆς κατὰ τῶν ὑπηρετῶν κεκινημένης τότε βαρυθυμίας· μάρτυρας γὰρ αὐτοὺς τῆς ἑαυτοῦ διδασκαλίας παρεκόμιζε λέγων " Ιδε οὗτοι ἴσασιν ἃ "εἶπον ἐγώ·" ἀποκρουόμενος τῆς εἰς αὐτὸν εὐνοίας τὴν ὑποψίαν, καὶ τῶν ἡγουμένων τὸν νοῦν ἐφ' ἑτέρας ὥσπερ παρατρέπων ἐννοίας ὁ ἐπὶ τῷ θαυμάσαι Χριστὸν παρ' ἐκείνοις ἐγκαλούμενος, ἐπιστομίζει ῥαπίσματι, τὰ λυποῦντα λέγειν οὐκ ἐφιεὶς τῶν ὑπηρετεῖν τεταγμένων τὸ φιλοκίνδυνον στῖφος. 3.38 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; Ἀδικοῦντα μὲν λίαν ἐλέγχει τὸν ὑπηρέτην, καὶ εἴπερ τις ἦν ὁ κρινόμενος τῶν οὐ σφόδρα λαμπρῶν. πλήττει γὰρ ἀσυνέτως ὃν ἥκιστα χρῆν, οὐκ ἐκθέσμοις ῥήμασιν εἰς τοῦτο κεκινημένος, ἤγουν ἑτέραν τινὰ τοῦ θράσους ἔχων τὴν ἀφορμὴν, ἐκ μόνης δὲ μᾶλλον τῆς ἐμφύτου μανίας εἰς ἠθῶν ἀγριότητα θηριοπρεπῆ κατωθούμενος. κατηγόρησον γὰρ, εἰ δοκεῖ, καὶ τῶν ἡμετέρων καταγωνίζου λόγων, ὡς οὐκ ὀρθῶς εἰρημένων· εἰ δὲ τοῦτο ποιεῖν οὐ δύνασαι, πλήττεις ἄνθ' ὅτου λοιπὸν τὸν ἀνεγκλήτως φθεγξάμενον; Τετριμμένος μὲν οὖν οὑτοσὶ καὶ σφόδρα συνήθης τοῖς θεωρήμασι λόγος· οἶμαι δὲ ἔγωγε τὴν τοῦ προκειμένου δύναμιν ἑτέρωσέ ποι χωρεῖν. διελέγχει γὰρ ἴσως τὸν ὑπηρέτην, ὡς ἀδικοῦντα μειζόνως, οὐχ ὅτι πέπαικεν ἁπλῶς, ἀλλ' ὅτι προτεθαυμακὼς ἤδη τὸν διδάσκαλον, ἐπ' οὐδενὶ δὲ νυνὶ καταγνοὺς, ἀτιμάζειν ἠνέσχετο. εἰ μὲν γὰρ οὐχ ἥλως ποτὲ τοῖς παρ' ἐμοῦ, φησὶ, λόγοις· εἰ μή σοι τὰ κάλλιστα διδάσκειν ἐδόκουν καὶ παράδοξός τις εἶναι πεπίστευμαι τῶν ἱερῶν γραμμάτων ἐξηγητής· εἰ μὴ αὐτὸς ἦσθα τότε βοῶν "Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος·" τάχα τις ἦν λόγος ταῖς σαῖς ἀπειρίαις ἐπιδιδοὺς τὸν ἔλεον, καὶ τῆς ἐπὶ τούτοις αἰτίας ἔξω τιθείς· ἐπειδὴ δὲ ἔγνως τε καὶ τεθαύμακας καὶ οὐκ ἂν ἴσως, φησὶ, τῶν ἐμῶν κατεμαρτύρησας λόγων, εἰ τὸ τῆς ἑαυτοῦ διαμεμνῆσθαι φωνῆς ἔν γε τῷ παρόντι διελογίζου καλὸν, πῶς οὐκ ἀπροφάσιστον ἔχοις τὴν ἁμαρτίαν; καὶ προσβαλεῖς μὲν τοιῶσδε τοῖς θεωρήμασι· πλὴν ἔστιν ἰδεῖν, ὡς ἀσύγκριτόν τινα καὶ ὑπερφυᾶ τῆς εἰς ἄκρον ἀνεξικακίας ἐν τούτοις ἡμῖν ὁ Σωτὴρ καταγράφει τὸν τύπον, καὶ τῆς ἀνωτάτω καὶ ὑπερφεροῦς ἡμερότητος τὴν ἰδέαν, ὡς ἐν εἰκόνος τάξει λαμπρᾶς ἀνατυποῖ τὰ καθ' ἑαυτόν. ὁ γὰρ ἑνὶ καὶ 3.39 μόνῳ νεύματι πάντας ἄρδην Ἰουδαίους ἀπολέσαι δυνάμενος, δουλοπρεπῶς ῥαπίζεται· καὶ δρᾷ μὲν οὐδὲν, ἀντεπάγει δὲ τῶν ἀδικούντων οὐδενὶ τὴν παραχρῆμα κόλασιν, ἐπεὶ μηδέ ἐστι καθ' ἡμᾶς ἀσθενὴς, ἢ ὀργαῖς ἢ λύπαις τυραννούμενος, ἢ τῷ τῆς πλεονεξίας βάρει νικώμενος, δυσωπεῖ δὲ πράως τὸν ἐφεστηκότα, τὸν οὐδὲν ἐκτόπως λαλήσαντα μὴ χρῆναι παίειν εἰπὼν, καὶ αὐτοῖς δὲ τοῖς δοκοῦσιν εἶναι δεινοῖς ἐναποληφθεὶς τῶν οἰκείων ἐπιτηδευμάτων οὐκ ἀλογεῖ. λογισμῷ γὰρ ἀναπείθει τῷ δέοντι τῆς ἐν τούτοις προπετείας ἀποχωρεῖν τῆς τῶν Ἰουδαίων ὑπεροψίας τὸν ὑπουργὸν, κομισάμενος μὲν αὐτὸς "πονηρὰ ἀντὶ ἀγαθῶν," κατὰ τὸ γεγραμμένον, ἀντιδιδοὺς δὲ τοῖς ἀτιμάζουσιν ἀντὶ πονηρῶν ἀγαθά. Ἀλλ' ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς καὶ ῥαπιζόμενος ἀνεξικακεῖ, καίτοι Θεὸς ὑπάρχων ἀληθινὸς, γῆς τε καὶ οὐρανοῦ Κύριος· ἡμεῖς δὲ οἱ τάλανες, οἱ "γῆ καὶ σποδὸς," οἱ σμικροὶ καὶ ἐλάχιστοι, καὶ τῇ τῶν λαχάνων χλόῃ παρεικασμένοι· " Ανθρωπος γὰρ ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, καὶ ὡσεὶ ἄνθος "τοῦ ἀγροῦ οὕτως ἐξανθήσει," κατὰ τὸ γεγραμμένον· τινὸς ἔσθ' ὅτε τῶν ἀδελφῶν διαπεσόντος εἰς λόγον, καὶ βραχύ τι παραφθεγξαμένου τῶν εἰωθότων λυπεῖν, δρακόντων μὲν δίκην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκπικραίνεσθαι δεῖν ἐπ' αὐτῷ λογιζόμεθα, μυρίοις δὲ ἄνθ' ἑνὸς κατασφενδονῶντες λόγοις οὐ κορεννύμεθα, οὐ ταῖς ἀνθρωπίναις μικροψυχίαις κιχρῶντες τὴν ἄφεσιν, οὐ τὴν κοινὴν τῆς φύσεως ἐννοοῦντες ἀσθένειαν, οὐ τῷ φιλαλλήλῳ καταχωννύντες τρόπῳ τὰς ἐντεῦθεν ὀργὰς, οὐκ εἰς αὐτὸν ἀποβλέποντες "τὸν τῆς πίστεως ἡμῶν ἀρχηγὸν καὶ τελειω"τὴν Ἰησοῦν," ἀλλ' ἑαυτοὺς ἐκδικεῖν σπουδάζοντες, καὶ τοῦτο πικρῶς, καίτοι τῆς θείας λεγούσης γραφῆς, ποτὲ μὲν ὅτι "ὁδοὶ μνησικάκων εἰς θάνατον," ποτὲ δὲ πάλιν "Τὴν "κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω ἐν "ταῖς καρδίαις ὑμῶν." ἀλλὰ γὰρ εἰς τύπον ἡμῖν ἡμερότητος 3.40 τῆς εἰς ἀλλήλους καὶ τῆς ὑπὲρ λόγον ἀνεξικακίας αὐτὸς ὁ πάντων Δεσπότης προκείσθω Χριστὸς, ὃς καὶ ταύτης ἕνεκα τῆς αἰτίας πρὸς ἡμᾶς που φησίν "Οὐκ ἔστι μαθητὴς ὑπὲρ "τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ."

3.41 ΚΕΦΑΛΑΙΟΝ ΤΟ ΕΝ ΤΩι ΔΩΔΕΚΑΤΩι ΒΙΒΛΙΩι.

α. Ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, κἂν εὑρίσκηται δι' ἡμᾶς Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλῶν, προκειμένου ῥητοῦ Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

3.43 ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

Ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος· εἶπον οὖν αὐτῷ Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν Οὐκ εἰμί. λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; πάλιν οὖν ἠρνήσατο Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. ἈΝΑΚΟΠΤΕΙ χρησίμως καθάπερ ἵππον ὀξυδρομοῦντα τὸν τῆς ἐξηγήσεως τρόπον ὁ θεσπέσιος Εὐαγγελιστὴς, καὶ ὀπίσω πάλιν ἀνακομίζεται. διὰ ποίαν αἰτίαν; χρῆν γὰρ δήπου προεπιδεῖξαι τῶν ἐφεξῆς τὴν εἰς τρίτον γενομένην ἄρνησιν τοῦ Πέτρου, καὶ τοῦτον ἔχοντος τοῦ πράγματος τρόπον τὸν αὐτῷ μάλιστα πρέποντά τε καὶ ἐπιτήδειον, καθ' ὃν καὶ τετέλεσται. οἰκονομικῶς τοιγαροῦν ἀναλαμβάνει τὰ ἐν ἀρχαῖς, καὶ ἀπεστάλθαι μὲν λέγει τὸν Ἰησοῦν παρὰ τοῦ 3.44 Ἄννα πρὸς Καϊάφαν· διερωτώμενον δὲ δείκνυσι τὸν Πέτρον παρά τε τῶν συνθερμαινομένων οἰκετῶν, καὶ παρά τινος τῶν ἐκ γένους τοῦ πληγέντος ὑπ' αὐτοῦ, καὶ τρίτην ἐν τούτοις ἀποπληροῦντα τὴν ἄρνησιν. εἶτα τῆς τοῦ ἀλεκτρυόνος διαμέμνηται φωνῆς, κατ' οὐδὲν διαπίπτοντα τὸν τοῦ Σωτῆρος ἡμῶν ἀποφαίνων λόγον, προεγνωκότος τε καὶ προηγγελκότος τοῦ ἰδίου μαθητοῦ τὴν ἐν θορύβοις ἀσθένειαν, ἧς οὐδ' ἂν ὅλως ἐπεμνήσθη τάχα, θεοδίδακτος ὢν, ὁ τόδε τὸ σύνταγμα γραφῇ παραδοὺς, εἰ μὴ τὰς τῶν μισοθέων ἐνενόησε φιλοψογίας τε καὶ ἀθυρογλωττίας. εἶπον γὰρ ἄν τινες εὐθὺς τῶν ὅτι μάλιστα πολεμεῖν ἐγνωκότων ταῖς τοῦ Σωτῆρος εὐκλείαις Ἐπιδείξατε τοῦ Πέτρου τὴν ἄρνησιν, πῶς δὲ καὶ ὅποι τετέλεσται τὸ προηγγελμένον διὰ Χριστοῦ, καίτοι τὸ ψευδομυθεῖν καθ' ὑμᾶς οὐκ εἰδότος. ἀλήθειαν γὰρ εἶναί φατε, καὶ ἐξ ἀληθοῦς ἀναλάμψαι Πατρός. ἀναγκαιοτάτην τοιγαροῦν ὁ θεσπέσιος Εὐαγγελιστὴς καὶ τούτων ἡμῖν ἐποιήσατο τὴν ἐξήγησιν, ἀληθεύοντα πανταχῇ δεικνὺς τὸν Κύριον. Ἀλλ' ἴσως τοῦ μὲν ἔτι τοιούτοις ἡμᾶς κατακρούειν λόγοις ἀφέξεταί τις τῶν δι' ἐναντίας, δεινὸς δὲ τοῦ Πέτρου φανεῖται κατήγορος, καὶ δειλίας ἀσυγκρίτου τὸν γνήσιον γράψεται μαθητὴν, εὐχερῆ δὲ οὕτως ἐρεῖ πρὸς τὴν ἐν λόγοις γενέσθαι διάπτωσιν, ὡς ἤδη καὶ τρίτον διολισθεῖν εἰς ἀπάρνησιν, οὐδ' ὅσον τῆς τῶν δεινῶν ἁψάμενον πείρας, ἤγουν πρὸς αὐταῖς γεγονότα ταῖς τοῦ κινδύνου θύραις. ἀλλ' εἰπεῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν ἁρμόσει τὰ τοιαῦτα τυχὸν τοῖς ἀμυήτοις ἔτι· ἐγὼ δὲ ὡς πορρωτάτω τὰ τοιαῦτα μεθεὶς, καὶ ταῖς ἐκείνων τερθρείαις ἐῤῥῶσθαι φράσας, εἰς τὴν ὑπὲρ τοῦ γεγονότος ἀπολογίαν τετράψομαι, τοῖς ἤδη κατειθισμένοις νοεῖν μυστήρια τὰ ἐκ τῆς μυστικῆς οἰκονομίας παρατιθεὶς εἰς ἀπόδειξιν. ἔδει γὰρ ἔδει καὶ τῶν τοιούτων εὖ μάλα διαμεμνῆσθαι πραγμάτων τὸν σοφώτατον Εὐαγγελιστὴν, ὑπὲρ τοῦ συνιέναι τοὺς ἀκροωμένους τίνες μὲν ἦσαν καὶ αὐτοὶ τῆς οἰκουμένης οἱ διδάσκαλοι πρὸ τῆς 3.45 ἀναστάσεως τοῦ Χριστοῦ, καὶ πρὸ τῆς καταφοιτήσεως τῆς ἐπ' αὐτοὺς γενομένης τοῦ Ἁγίου Πνεύματος, καὶ τίνες ἐν τοῖς μετὰ ταῦτα, κομισάμενοι τὴν διὰ τοῦ Πνεύματος χάριν, ἣν καὶ "ἐξ ὕψους δύναμιν" ὠνόμασεν ὁ Χριστός. προθυμοτάτους μὲν γὰρ εἰς ἀνάληψιν ἀρετῆς, εὐζωνοτάτους δὲ λίαν εἰς τὸ θέλειν ἕπεσθαι τῷ Χριστῷ, καὶ παντὸς κινδύνου καταθλεῖν καὶ σφόδρα πλειστάκις ἐπιχειρήσαντας θεωρήσαι τις ἄν. ἀλλ' οὔπω κατηργηκότος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τοῦ θανάτου τὸ κράτος, σκληρός πως ἦν ἔτι καὶ ἀπρόσιτος παντελῶς ὁ ἐξ αὐτοῦ φόβος· οἱ δὲ οὔπω τὸ Πνεῦμα λαβόντες, ἀλλ' οὐδὲ διὰ τῆς ἄνωθεν κεχαλκευμένοι χάριτος, εἰς τὴν ὑπὲρ φύσιν ἀνδρείαν οὔπω παντελῶς ἐλευθέραν τῆς ἀνθρωπίνης μικροψυχίας τὴν διάνοιαν ἔχοντες, οὐκ ἄθραυστοι κομιδῇ τοῖς ἐκ τοῦ παθεῖν ἐφαίνοντο δείμασιν. ὅνπερ γὰρ τρόπον ὁ σίδηρος, καίτοι κατὰ φύσιν ὑπάρχων σκληρὸς, οὐκ ἂν ἀλωβήτως ὁμιλῆσαι τοῖς τῶν λίθων ἀπηνεστέροις, εἰ μὴ τὴν ἐκ τοῦ στομοῦσθαι προσλάβοι δύναμιν· οὕτως ἡ ἀνθρώπου ψυχὴ κἂν σφόδρα νεανιεύηται ταῖς εἰς πᾶν ὁτιοῦν ἀγαθὸν ἀπαρατρέπτοις ἐπιθυμίαις, ἀλλὰ τῆς τῶν ἐντεῦθεν ἀγώνων σκληρότητος οὐ περιέσται ποτὲ, μὴ οὐχὶ πρότερον τῇ διὰ τοῦ θείου Πνεύματος ἁδρυνθεῖσα χάριτι. οὐκοῦν ἀσθενέστεροι μέν πως τὸ ἐν ἀρχαῖς καὶ αὐτοὶ τυχὸν ἦσαν οἱ μαθηταὶ, κομισάμενοι δὲ τὸ Πνεῦμα τοῦ ὑπὲρ πάντας Θεοῦ, τὴν ἑαυτῶν ἤδη παρελάσαντες ἀσθένειαν, εἰς τὴν ἐκείνου στεῤῥότητα μετεπλάττοντο, τῇ κοινωνίᾳ τῇ πρὸς αὐτὸ πρὸς τὴν ὑπὲρ φύσιν ἀνατρέχοντες εὐτολμίαν. Ἀναγέγραπται τοίνυν χρησίμως καὶ ἡ τῶν ἁγίων ἀσθένεια πρὸς ἔπαινόν τε καὶ δόξαν Θεοῦ, μετατιθέντος εἰς δύναμιν τὸ ἠσθενηκὸς, καὶ ὥσπερ τινὰ πύργον ἀνιστάντος ἄμαχον τὸ καὶ ψιλοῖς εὐανάτρεπτον φόβοις, καὶ μόναις ἔσθ' ὅτε ταῖς ἐκ τοῦ τι παθεῖν ὑποψίαις κατεῤῥαγός. εἴη δ' ἂν 3.46 εἰς τύπον τε καὶ παραψυχὴν ἡμετέραν, τὸ ἑνί που τυχὸν ἢ ὀλίγοις τῶν ἁγίων συμβεβηκός. διδασκόμεθα γὰρ ἐντεῦθεν μὴ ταῖς ἑαυτῶν ἀσθενείαις ἐνορῶντας ἔσθ' ὅτε καταναρκᾶν ἀβουλότατα τὸ δουλεύειν τῷ Θεῷ, πεποιθέναι δὲ μᾶλλον ἐπὶ τῷ πάντας νευροῦν ἰσχύοντι, καὶ τοῖς ὑπὲρ φύσιν ἐναβρύνεσθαι κατορθώμασι καὶ παρ' ἐλπίδα χαριζομένῳ. Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. Κρῖμα δίκαιον κρίνετε, καὶ "ἀθῷον καὶ δίκαιον οὐκ ἀπο"κτενεῖς," διαῤῥήδην οὕτως ἀνακεκραγότος τοῦ νόμου καὶ τῆς θείας ἐντολῆς, ἐπερυθριῶσι μέν πως τῇ τῶν αἰτιῶν ἐρημίᾳ καὶ οὐχ ἑκόντες οἱ δείλαιοι· ἀπροφάσιστον δὲ ἤδη τὴν κατὰ Χριστοῦ μανίαν εὑρίσκοντες, εἰργόμενοί τε τῆς αὐτοκτονίας διὰ τὸν ἐπικείμενον ἁγνισμόν· ἔμελλον γὰρ ἤδη θύειν τὸ πάσχα, κατὰ τὸν οὐδὲν παρ' αὐτοῖς ἰσχύοντα νόμον· Πιλάτῳ προσάγουσιν, ἐκ πολλῆς ἄγαν ἀσυνεσίας τοῖς τῆς ἀδίκου μιαιφονίας ἐγκλήμασιν οὐκ ἂν ὅλως ἐνσχεθῆναι πιστεύσαντες, εἰ αὐτόχειρες μὲν οὐκ ἂν εἶεν αὐτοὶ, προσοίσειαν δὲ μᾶλλον ταῖς ἑτέρου χερσὶν ἐκεῖνο πεισόμενον, κἂν τοῖς διὰ Μωυσέως ἀπᾴδῃ νόμοις ὅπερ ἦν αὐτοῖς κατὰ νοῦν. γελοιότατον δὲ σφόδρα κἀκεῖνο πρὸς τούτῳ πεπραχότες ἁλώσονται. εὐθύνοντες γὰρ ὡς ἐπὶ τοῖς ἐσχάτοις κατεγνωσμένον τὸν ἡμαρτηκότα μηδὲν, καὶ τὴν οὕτω φρικωδεστάτην ἀσέβειαν τῆς ἑαυτῶν καταχέοντες κεφαλῆς, τὸν τοῦ πραιτωρίου φεύγουσιν οὐδὸν, ὡς ἐσόμενον αὐτοῖς παραίτιον μολυσμοῦ, καὶ τὸ ἀνδράσιν ἐπιμίσγεσθαι τοῖς ἀνάγνοις ἔτι παραιτοῦνται διὰ σπουδῆς. λίθους γὰρ, οἶμαι, καὶ ἀνθρώπων τῶν ὁμογενῶν σώματα καταμολύνειν δύνασθαι πεπιστεύκασι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἀνθρώπου ψυχήν· τὸ δὲ δὴ πάντων αἴσχιστον τῶν κακῶν, 3.47 τὴν ἀδικωτάτην μιαιφονίαν, οὐδὲν ὅλως αὐτοῖς προστρίβεσθαι νενομίκασι βλάβος. καὶ τό γε παράδοξον, μᾶλλον δὲ τῶν ἄλλων εὐηθέστερόν τε καὶ ἀλογώτερον, ἁγνεύουσι διὰ τὴν τοῦ προβάτου σφαγὴν, ἕτερον ἡμῖν ἀνατυποῦντος οὐδὲν ἢ τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν σκιάν· οἱ δὲ τὸν τύπον τιμῶντες τοῦ πράγματος εἰς αὐτὴν ὑβρίζουσι τὴν ἀλήθειαν. πλαττόμενοι γὰρ ἐπ' αὐτῷ τὴν ἁγνείαν, τῇ κατὰ Χριστοῦ μιαιφονίᾳ μεμόλυνται. καλῶς οὖν ἄρα, ὁτὲ μὲν τάφους κεκονιαμένους αὐτοὺς ὠνόμαζε, τοῖς ἔξωθεν καὶ ἐκ τέχνης αὐτοῖς ἐπῃωρημένοις περιβλήμασιν ἐξωραϊσμένους, ἔσωθεν γεμὴν δύσοσμον καὶ δυσαχθεστάτην ἔχοντας τὴν ἀκαθαρσίαν· ὁτὲ δὲ πάλιν, διυλίζειν μὲν ἔφη τὸν κώνωπα, καταπίνειν δὲ τὸν κάμηλον. ἀκριβολογούμενοι γὰρ πολλάκις ἐπὶ τοῖς ἁπάντων, ὡς ἔπος εἰπεῖν, ἐλαχίστοις τε καὶ μείοσιν, ἢ καὶ ἐπὶ μηδενὶ παντελῶς· τί γὰρ ὅλως ὁ κώνωψ; τὰ τῶν ἐγκλημάτων περιπληθέστερα τίθενται παρ' οὐδὲν, καὶ ποτηρίου μὲν καὶ πίνακος ἀπονίζουσι τὸ ἔξω, λόγος δὲ αὐτοῖς παντελῶς οὐδεὶς τῆς ἔνδον ἀκαθαρσίας. ἰδοὺ γὰρ ἰδοὺ καίτοι τοῦ προφήτου λέγοντος Ἱερεμίου σαφῶς "Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλὴμ, ἵνα "σωθῇς," τὴν μὲν ἔσω καὶ ἐν διανοίαις ἀσέβειαν οὐδὲν εἶναι κομιδῇ διαπεπιστεύκασι· προσάγοντες δὲ Πιλάτῳ Χριστὸν, παραιτοῦνται τόπους ὡς ἐναγεῖς καὶ ἀνδρῶν ἀπεριτμήτων σώματα, καὶ εἰ μὴ δρῷεν αὐτοὶ ταῖς ἰδίαις χερσὶ τὸ παράνομον, ὑπουργὸν δὲ ὥσπερ τῆς ἑαυτῶν ὠμότητος ποιοῖντο Πιλάτον, ἔξω δὴ πάσης αἰτίας διαμένειν ἐξ ἀνοίας ὑπολαμβάνουσι. θαυμάσειε δ' ἄν τις οὐδὲ ταύτην αὐτῶν ἠγνοηκότας τὴν ἀσέβειαν τοὺς ἁγίους εὑρίσκων προφήτας· ἔφη γάρ που περὶ αὐτῶν ὁ μακάριος Ἡσαΐας "Οὐαὶ τῷ ἀνόμῳ· "πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται "αὐτῷ." Ἰεζεκιὴλ δὲ πάλιν "Καθὼς ἐποίησας, οὕτως ἔσται 3.48 "σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου." καὶ μὴν καὶ αὐτὸς ὁ θεῖος ἀναφωνεῖ μελῳδός "Ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς, κατὰ τὰ ἔργα τῶν "χειρῶν αὐτῶν δὸς αὐτοῖς." ὥσπερ γὰρ αὐτοὶ τὸν ἁπάντων Σωτῆρα καὶ Χριστὸν τοῖς Ῥωμαίων προσήγαγον στρατηγοῖς, οὕτω τὸ ἴσον ἐξ ἀντιστροφῆς ὑπομένοντες τῇ τῶν Ῥωμαίων παραδέδονται δυναστείᾳ, καὶ τῇ τῶν τότε κρατούντων χειρὶ δεδαπάνηνται. δεινὸς γὰρ οὕτω κατ' αὐτῶν ἐξεκαύθη πόλεμος, καὶ ἀπηχεστάταις οὕτω κεκοινωνήκασι συμφοραῖς, ὡς εἴπερ ἐξῆν, ὄρεσί τε καὶ πέτραις εἰσδύνοντας ἐντεθνάναι τινὰς πρὸ τῆς τοῦ πολέμου θέας ἥδιον ἂν ἑλέσθαι, καὶ τοῦτο πολλούς· ὃ δὴ αἱρήσεσθαι προαγγέλλων ὁ Κύριος ἔφασκεν "Ὅταν ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε ἐρεῖτε τοῖς ὄρεσι Καλύψατε "ἡμᾶς καὶ τοῖς βουνοῖς Πέσατε ἐφ' ἡμᾶς." Ἐξῆλθεν οὖν ὁ Πιλάτος ἔξω πρὸς αὐτοὺς καί φησι Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Παραιτοῦνται μὲν, ὡς ᾤοντο, τὸν ἐκ λίθων καὶ τοίχων μολυσμὸν, ἔξεισι δὲ ὁ Πιλάτος, καὶ διαπυνθάνεται μὲν τῆς πρὸς αὐτὸν ἀφίξεως τὴν αἰτίαν, ἐξαιτεῖ δὲ εἰπεῖν τὰ τοῦ προσοισθέντος ἐγκλήματα, κατακρίνων καθ' ἕτερον τοὺς τῶν Ἰουδαίων καθηγητάς. ἀνὴρ γὰρ ἀλλογενὴς τὸν τῶν Ἰουδαίων δυσωπεῖται θεσμὸν, καὶ τὸ κρατῆσαν παρ' ἐκείνοις ἔθος ἐξ εὐλαβείας αἰσχύνεται. ἐξέθει γὰρ ἀσυνήθως τοῦ φροντιστηρίου, τὸ ὅσον εἰπεῖν ἐπὶ τῇ δυνάμει τοῦ πράγματος τοῖς Ἰουδαίοις διὰ τούτου φράσας, ὅτι χρὴ τηρεῖσθαι τὸν νόμον· οἱ δὲ τοῖς θείοις ἐντάλμασι φρονοῦντες τὰ ἐναντία, καὶ μικρὰ κομιδῇ τῶν διὰ Μωυσέως τεθεσπισμένων φροντίσαντες, ἄδικον ἐργάζονται φόνον, καὶ ὁ μὲν ἔξω νόμου 3.49 τοῦ παρ' αὐτοῖς φιλοπευστεῖ τὰ ἐγκλήματα καὶ περιεργάζεται τὰς αἰτίας, τοὺς οὐδὲν ἡμαρτηκότας εὐθύνεσθαι δεῖν ἤγουν εἰσπράττεσθαί τινα δίκην, τῶν ἀτόπων εἶναι παραδεικνύς· οἱ δὲ λέγειν ἔχοντες οὐδὲν, ὡς τῶν ἀγρίων ἕνα προσκομίζουσι λῃστῶν. εὐλογώτατα τοίνυν πρὸς τὴν τῶν Ἰουδαίων εἴρηται συναγωγήν "Ἐδικαιώθη Σόδομα ἐκ σοῦ." καὶ αὐτὸς δέ που φησὶν ὁ Χριστὸς τὰς ἐν τούτοις τῶν ἐξ Ἰσραὴλ παροινίας καταιτιώμενος "Ἀλλ' οὐδὲ κατὰ τὰ "δικαιώματα τῶν ἐθνῶν ἐποίησάς μοι." καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀληθὴς ὁ λόγος, εἴπερ Ἕλληνες μὲν τοῖς ἐν ὑπολήψει γεγονόσι θεῶν λίθοις τε καὶ ξύλοις, οὐκ ἂν τὰ συνήθη προσοίσειαν θύματα μεμολυσμέναις τε καὶ ἀνίπτοις χερσὶν, ἀλλ' οὐδ' ἂν ἀνέλοιέν τινα μὴ οὐχὶ τοῖς ἐσχάτοις ἐναλόντα κακοῖς· οἱ δὲ καίτοι θύειν τῷ κατὰ φύσιν Θεῷ τὸ πάσχα μέλλοντες, αἵμασιν ἀθῴοις ἔνοχον τὴν οἰκείαν καθιστῶσι ψυχὴν, καὶ ἀδίκως ἀποκτεῖναι σπουδάζουσι τὸν ἁπάσης ἁμαρτίας ἀλλότριον. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Ἀποροῦσι μὲν αἰτίας εὐλόγου, περιστέλλονται δέ πως τῆς ἀσεβείας τὸ αἶσχος καὶ τὸ δοκεῖν ἀδίκως ἑλέσθαι φονᾶν, σοφιζόμενοι ὡς οὐδόλως ἀποτίσοντα δίκην προσεκόμισαν ἂν τὸν Ἰησοῦν, εἰ μή τι καὶ πταίσας ἥλω, φασίν. ὑποπλάττονται γὰρ ἔτι τοῦ νόμου τὴν τήρησιν, ὁσίαν ἐφ' ἅπασι κρίσιν ποιεῖσθαι προστάττοντος, καὶ τό γε παράδοξον καὶ αὐτὴν ἐξοπλίζουσι τὴν εἰς τὸν νόμον ................ πιστεύεσθαι γὰρ ἀξιοῦσιν ὡς νομοφύλακες, οἱ τοῦ νομοθέτου κατηγορεῖν οὐκ ὀκνήσαντες. κακὸν δὲ δρᾶσαί φασι τὸν ἐπ' ἀναιρέσει φαυλότητος ἀφιγμένον, ἵνα φαίνηται πάλιν ὁ Χριστὸς διὰ τῆς τοῦ προφήτου φωνῆς Ἡσαΐου περὶ αὐτῶν εἰπών "Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ, δείλαιοί εἰσιν 3.50 "ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ "δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ." Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Τὸν ἐπ' οὐδενὶ, φησὶ, τῶν ἀτόπων ἐληλεγμένον, ἀδιάκριτον δὲ παρ' ὑμῶν ὑπομένοντα τὴν κατάῤῥησιν ταῖς ἐκ νόμων ὑποθεῖναι ποιναῖς, ἐμοὶ μὲν οὐ θέμις, κρίνατε δὲ μᾶλλον αὐτοὶ κατὰ τὸν ὑμέτερον νόμον, εἴπερ ἄρα, φησὶ, καὶ τὸν ἀνυπαίτιον παντελῶς κολάζεσθαι δεῖν διετάξατο. γέλως δὲ ὄντως οὐ μικρὸς, μᾶλλον δὲ θρήνου διηνεκοῦς ἄξιον, εἰ οἱ μὲν παρ' Ἕλλησι δικαιοῦσι νόμοι τὸν Κύριον, ὡς καὶ κολάζειν ὀκνῆσαι Πιλάτον αὐτὸν ἐπ' ἀσήμοις οὕτως ἐγκλήμασι προσηγμένον, οἱ δὲ καὶ δεῖν ἀποτεθνάναι φασὶ, καίτοι νόμῳ τῷ θείῳ παιδαγωγεῖσθαι μεγαλαυχούμενοι. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα, ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Κώλυμα γενέσθαι φασὶν αὐτοῖς, καὶ ὥσπερ τι βιαιότατον παραπόδισμα τῆς ἀνοσίου μιαιφονίας, τὸν ἐπὶ τοῦ προβάτου σφαγῇ πληρούμενον ἁγνισμὸν, εἴπερ τις ἦν ὅλως παρὰ τοῖς ἐκεῖνα τετολμηκόσιν. ἦ γὰρ ἂν καὶ λίαν ἑτοίμως εἰς ἀσέβειαν ἦσαν αὐτουργοὶ, τῆς ἑτέρου συμπνοίας δεηθέντες οὐδαμῶς. εὐπετέστατος γὰρ τῶν Ἰουδαίων ὁ νοῦς εἰς τὸ πᾶν ὁτιοῦν ἐργάζεσθαι πονηρὸν, καὶ μηδενὸς φείσασθαι τῶν ἐκτόπων, ἤγουν ἐπερυθριᾶσαί τινι τῶν ἀπᾳδόντων Θεῷ. ἀξιοῦσι τοιγαροῦν δανεῖσαι Πιλάτον αὐτοῖς τὴν οἰκείαν ὠμότητα, καὶ τῆς Ἰουδαϊκῆς ἀπονοίας γενέσθαι μιμητὴν, ὑπηρετῆσαι δὲ σφίσιν ἕν γε τῷ παρόντι τυχὸν οὐκ ἐλευθέραν πως ἔχουσι τὴν εἰς μανίαν ἀποδρομήν. ἀλλὰ καὶ 3.51 τοῦτό φασιν ἀληθεύοντα πάλιν ἀποφῆναι τὸν Χριστὸν, καὶ προεγνωκότα μὲν πῶς ἢ τίνα τεθνήξεται τρόπον, προμηνύσαντα δὲ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς. τί γὰρ ἔφη πρὸς αὐτούς; "Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ "ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν, καὶ σταυρώσουσιν αὐτὸν, καὶ ἀποκτενοῦσι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερ"θήσεται." ἀναγκαία δὲ καὶ τούτων ἡ μνήμη. προεγνωκότα γὰρ ἔδει παθεῖν, ἵνα μήτις οἴηται τοῖς ἀβουλήτοις περιπεσεῖν τὸν ᾧ πάντα ἐστὶ "γυμνὰ καὶ τετραχηλισμένα," πιστεύηται δὲ μᾶλλον ὡς ἐθελοντὴς τὸν ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ὑπέστη σταυρόν. Εἰσῆλθεν οὖν πάλιν εἰς τὸ πραιτώριον ὁ Πιλάτος καὶ ἐφώνησε τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Οὐδὲν ἔχοντες τὸ παράπαν ἐγκαλεῖν, ἤγουν τι παρακομίσαι τῶν ὅσα δικαίαν ἐπισύρεσθαι δοκεῖ τοῖς δεδρακόσι τὴν κόλασιν, ἐγκειμένου δέ πως καὶ τὰς αἰτίας τῆς προσαγωγῆς ἐξαιτοῦντος Πιλάτου, πεπλημμεληκέναι φασὶν εἰς Καίσαρα τὸν Ἰησοῦν, τὴν ἐκείνῳ πεπορισμένην κατὰ τῶν Ἰουδαίων ἀρχὴν εἰς ἑαυτὸν ἁρπάζοντα, καὶ μετατιθέντα τῆς βασιλείας τὴν δόξαν εἰς ἰδίαν ὑπόληψιν. πονηρῶς τε σφόδρα μεμηχάνηται τὸ σκαιώρημα καὶ ὁ τῆς συκοφαντίας ἐξηρτύθη


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρόπος· ᾔδεσαν γὰρ ὅτι καὶ οὐχ ἑκὼν ὁ Πιλάτος προνοήσει μὲν πάντως τῆς καθ' ἑαυτὸν ἀσφαλείας, τιμωρήσεται δὲ τάχα καὶ προαλέστερον τὸν ἐπὶ τούτοις ὅλως καταβοώμενον. σεσαλευμένων γὰρ ἀεὶ πρὸς θορύβους καὶ στάσεις, καὶ μεταχωρούντων εὐκόλως ἐπὶ τὸν τῆς ἀντάρσεως τρόπον τὴν τῶν Ἰουδαίων οἰκούντων χώραν, πικρότεροί πως εἰς τοῦτο λοιπὸν οἱ παρὰ Καίσαρος ἐγίνοντο δικασταὶ, καὶ ἀσφαλέστεροι μὲν τῆς εὐταξίας φύλακες, προπετεστάτας δὲ τοῖς εἰς τοῦτο καὶ μάτην ἔσθ' ὅτε κατειρημένοις τὰς τιμωρίας ἐπῆγον. ἔγκλημα 3.52 τοιγαροῦν Ἰουδαῖοι ποιοῦνται Χριστῷ τὸ βασιλεῦσαι τοῦ Ἰσραήλ. τοιγάρτοι δικαίως ἐξώσθησαν, προσελήφθη δὲ καὶ ὑπεζεύχθη τὰ ἔθνη, καὶ ὑπὸ τὴν βασιλείαν τέθεινται τοῦ Χριστοῦ. "Αἴτησαι γὰρ παρ' ἐμοῦ, φησὶ, καὶ δώσω σοι "ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ "πέρατα τῆς γῆς." παροιστρήσαντος γὰρ ἑνὸς ἔθνους τοῦ ἐξ Ἰσραὴλ, πάντα τὰ ἔθνη δίδοται τῷ Χριστῷ, καὶ ἀντὶ μιᾶς γῆς, φημὶ δὴ τῆς Ἰουδαίων, τὰ τῆς οἰκουμένης πέρατα. ὡς γὰρ ὁ Παῦλός φησι "Τὸ παράπτωμα αὐτῶν πλοῦτος "κόσμου καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν." Ὅπερ οὖν ἀκήκοεν ὁ Πιλάτος διαγογγυζόντων τῶν Ἰουδαίων, ἐναργῶς ἤδη φησὶ, καὶ ἀπολογεῖσθαι κελεύει τὸν Κύριον, εἰ κατὰ ἀλήθειαν αὐτὸς εἴη τῶν Ἰουδαίων ὁ βασιλεύς. ἀγωνιᾷ δὲ, ὡς εἰκὸς, καὶ κινδυνεύειν οἴεται τὴν Καίσαρος ἀρχὴν, φιλοπευστεῖ τε καὶ διὰ τοῦτο λίαν, ὡς ἤδη τὴν δέουσαν ἐπανόρθωσιν ἐπικομίσων τοῖς δεδραμένοις, ἵνα καὶ ἀνέγκλητον ἀποδείξῃ τὴν ἐπιτετραμμένην αὐτῷ παρὰ Ῥωμαίων ἀρχήν. Ἀπεκρίθη Ἰησοῦς Ἀπὸ σεαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι εἶπόν σοι περὶ ἐμοῦ; Κατειρηκότος, φησὶν, ἐναργῶς οὐδενὸς ἐπὶ τούτοις ἐμοῦ, πόθεν ἄρα σοι πρόεισιν ὁ περὶ τούτων λόγος; ἀλλ' οὐδαμόθεν ἀμφίβολον ὅτι τῆς Ἰουδαίων κακονοίας τὸ κακούργημα, καὶ ὁ πικρὸς οὑτοσὶ διεσκεύασται δόλος· οὐ γὰρ δήπου, φησὶν, ἔσῃ μὲν αὐτὸς δικαστὴς, ἔσῃ δὲ καὶ κατήγορος. ἐλάλει δὲ ταυτὶ Χριστὸς, εἰς ἐννοίας ἀνακομίζων Πιλάτον, ὡς οὐκ ἂν αὐτόν τι διαλάθοι καὶ τῶν ἀφανεστέρων καὶ ἐν παραβύστῳ κατεσκευασμένων τε καὶ εἰρημένων, ἵνα λοιπὸν ἐννοήσας τὴν ὑπὲρ ἄνθρωπον φύσιν, ὀκνηρότερόν πως ἴοι πρὸς ὑπουργίαν τῆς τῶν προσαγόντων ὠμότητος, 3.53 ὁμοῦ δὲ κἀκεῖνο διδάσκων, ὅτι λίαν ἀδικεῖ τῆς ἑτέρων φωνῆς ὑπέχειν δίκας ἐκβιαζόμενος τὸν ἐπ' οὐδενὶ τῶν τοιούτων ἐληλεγμένον. Ἀπεκρίθη ὁ Πιλάτος Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; Ἐκφανὲς ἤδη ποιεῖ τὸ τῶν Ἰουδαίων λῃστήριον, καὶ τὴν τῶν κατηγόρων πληθὺν μονονουχὶ παρεκόμισεν εἰς μέσον. ὅμοιον γὰρ ὡσεὶ λέγοι τυχόν Οὐκ ἐμοὶ μᾶλλον ἁρμόσει τὸ εἰδέναι τὰ σὰ, εἰμὶ γὰρ οὐκ Ἰουδαῖος, πρέποι δ' ἂν μάλιστα τοῖς συνέθνοις καὶ συντεθραμμένοις, οἳ καὶ ἴσως ἐγνωκότες τεθνηξόμενον ἄγουσι. κατηγορεῖ τοιγαροῦν τῆς ἑαυτοῦ κεφαλῆς. τὸ γὰρ εἰπεῖν Τί ἐποίησας, οὐδὲν ἕτερον ἢ τοῦτο μᾶλλον ὑποδηλοῖ. σπουδὴ δὲ πολλὴ τῷ ἁγίῳ γέγονεν Εὐαγγελιστῇ, καὶ τὰ ἐπ' αὐτῇ μάλιστα τῇ κρίσει κατὰ λεπτὸν διηγήσασθαι καὶ ὅτι Πιλάτος Τί πεποίηκας ἠρώτα τὸν Ἰησοῦν. ἦν γὰρ διὰ τούτου μάλιστα μαθεῖν τὴν τῶν ἐγκλημάτων ἀπορίαν, καὶ ὅτι παραδειχθέντος οὐδενὸς, ἤγουν ἐλεγχθέντος ἐπί τισι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, δυσσεβὴς καὶ ἀδικωτάτη λοιπὸν ἡ τοῦ θανάτου ψῆφος ἐκβέβηκεν. Ἀπεκρίθη Ἰησοῦς Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίζοντο ἂν ἵνα μὴ παραδοθῶ τοῖς Ἰου δαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. Ἔλυσε τῷ Πιλάτῳ τὸν φόβον, ἅτε δὴ τῆς τοῦ Καίσαρος βασιλείας κεχειροτονημένῳ φύλακι· ᾤετο μὲν γὰρ νόμῳ δὴ πάντως τῷ καθ' ἡμᾶς μελετᾶσθαι παρὰ Χριστοῦ τὴν ἄνταρσιν, πεφλυαρηκότων καὶ τοῦτο τῶν Ἰουδαίων. τοῦτο γὰρ δὴ καὶ ὑπηνίττοντο λέγοντες "Εἰ μὴ ἦν οὗτος "κακοποιῶν, οὐκ ἄν σοι παρεδώκαμεν αὐτὸν," τὴν ἄνταρσιν 3.54 εἶναι λέγοντες τὸ κακόν. ὑπεπλάττοντο γὰρ εὐνοεῖν ἐθέλειν οὕτω Ῥωμαίοις, ὡς μηδόλως ἀνέχεσθαι κἂν γοῦν διὰ γλώττης ἔχειν τὸ τῆς ἀποστάσεως ὄνομα. ταύτης οὖν ἕνεκα τῆς αἰτίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσαγηοχέναι τε φασὶ καὶ δίκας ἀποτίσοντα παρενεγκεῖν. ἀπολογούμενος δὲ πρὸς ταῦτα Χριστὸς, τὸ μὲν εἶναι βασιλεὺς οὐκ ἠρνήσατο· λέγειν γὰρ ἔδει τὸ ἀληθές· ὅτι δὲ τῆς τοῦ Καίσαρος βασιλείας οὐ πολέμιος ἦν ἀπελέγχει σαφῶς, οὐκ ἐπίγειον οὖσαν τὴν ἑαυτοῦ σημαίνων ἀρχὴν, ἀλλ' οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἔτι μειζόνων θεοπρεπῶς ἐξάρχουσαν. Τίς οὖν ἄρα λοιπὸν ἡ ἀπόδειξις, καὶ πόθεν ἡ τῆς ἐπὶ τούτοις ὑποψίας ἀναίρεσις; τὸ μὴ δορυφόροις τισὶ καὶ προασπισταῖς ἀποκεχρῆσθαι πώποτε, ἤγουν ὅλως ἔχειν τοὺς ἀνθοπλίζεσθαι δεῖν ἑλομένους, καὶ οὐχ ὅπως ἂν τῆς βασιλείας μὴ ἀποπέσοι μόνον, ἀλλὰ γὰρ οὐδ' ἵνα διαδρῴη τὸν ἐπαρτηθέντα κίνδυνον αὐτῷ καὶ τοῦτο διὰ τῆς Ἰουδαίων χειρὸς ἐπιῤῥιπτούμενον· μήτι γε καὶ αὐτοῦ τοῦ κρατοῦντος Ἰουδαίων, τουτέστι, τοῦ Καίσαρος. λελυμένης οὖν ἄρα τῆς εἰς τοῦτο καταβοῆς διὰ τῆς οὕτως ἐναργοῦς ἀποδείξεως, ἀπροφάσιστον ἤδη Πιλάτῳ τὸ κατὰ Χριστοῦ φαίνεται θράσος. οὐδενὸς γὰρ ἐπαναγκάζοντος, ἤγουν ἐξ ἀκολουθίας εἰς τοῦτο καθέλκοντος, ταῖς τῶν Ἰουδαίων ἡδοναῖς τῆς ἑαυτοῦ ψυχῆς χαρίζεται τὴν ἀπώλειαν, καὶ μερίζεται σὺν αὐτοῖς τῆς χριστοκτονίας τὰ ἐγκλήματα. εἰρηκὼς γεμὴν ὁ Χριστὸς ὑπερκόσμιόν τινα εἶναι τὴν ἑαυτοῦ βασιλείαν, οὐ μόνον τοῦ φόβου Πιλάτον ἐξίστησι, καὶ ὑπονοίας ἐλευθεροῖ τῆς κατὰ τὴν ἄνταρσιν, ἀλλά τι καὶ μέγα περὶ ἑαυτοῦ νοεῖν ἀναπείθει, καὶ ἀπάρχεταί πως διὰ τῆς ἀπολογίας τῆς ἐπ' αὐτῷ κατηχήσεως. 3.55 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἔγκλημα ποιεῖται κατὰ Χριστοῦ τὴν ἀλήθειαν. ἀκούσας δὲ ὅτι "Η ἐμὴ βασιλεία οὐκ ἔστιν ἐντεῦθεν," φόβου μὲν ἤδη τοῦ κατὰ τὴν ἄνταρσιν ἀπαλλάττεται· ἵστησι δ' οὖν ὅμως εἰς ὁμολογίαν τοῦ πράγματος, καὶ εἰς ἐγκλήματος ὁρίζει δύναμιν τὸ καὶ ὅλως εἰπεῖν, ὅτι βασιλείαν ἔχει, κἂν μὴ ἐπίγειον εἶναι διισχυρίζηται. συνελαύνων οὖν ὥσπερ εἰς τοῦτο τὸν Ἰησοῦν Συνωμολόγηκας ἤδη, φησὶν, ὅτι βασιλεὺς εἶ σύ. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Σὺ λέγεις ὅτι βασιλεύς εἰμι. ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. λέγει αὐτῷ ὁ Πιλάτος Τί ἐστιν ἀλήθεια; Οὐκ ἀρνεῖται τῆς ἑαυτοῦ βασιλείας τὴν δόξαν, οὐδὲ ταῖς τοῦ Πιλάτου φωναῖς ἀπονέμει μόναις τὴν ἐπὶ τούτῳ βεβαίωσιν· βασιλεὺς γάρ ἐστιν, ὡς Θεὸς, καὶ εἰ μή τις βούλοιτο τυχόν· ἀλλ' ἔδειξε πάλιν τῆς ἀληθείας τὴν δύναμιν, καὶ οὐχ ἑκόντα Πιλάτον ἀναπειθούσης εἰπεῖν τοῦ κρινομένου τὴν δόξαν· σὺ γὰρ εἴρηκας, φησὶν, ὅτι βασιλεύς εἰμι ἐγώ. διά γε τοι τοῦτο γεγεννῆσθαί τε καὶ ἀφικέσθαι φησὶν εἰς τόνδε δηλονότι τὸν κόσμον, ὅτε γέγονεν ἄνθρωπος, ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ, τουτέστιν, ἵνα τοῦ κόσμου τὸ ψεῦδος ἐξελὼν, καὶ τὸν ἐξ ἀπάτης τυραννήσαντα καταστρέψας δαίμονα, βασιλεύουσαν τῶν ὅλων ἐπιδείξῃ τὴν ἀλήθειαν, τουτέστι, τὴν ἀληθῶς τε καὶ φυσικῶς βασιλίδα φύσιν, ᾗ καὶ τὸ κατάρχειν δύνασθαι καὶ κρατεῖν οὐρανοῦ τε καὶ γῆς καὶ παντὸς ἁπαξαπλῶς τοῦ παροισθέντος εἰς γένεσιν, οὐκ ἐκ πλεονεξίας πεπόρισται, ἀλλ' οὐδὲ ἐπακτὸν ἢ ἔξωθεν, οὐσιωδῶς δὲ καὶ φυσικῶς ἐνυπάρχον φαίνεται. ἵνα δὲ πάλιν ἀποφήνῃ Χριστὸς ὅτι τῆς Πιλάτου δυσηκοΐας οὐκ ἠγνόησε τὸ σκληρὸν 3.56 καὶ δυσπαρακόμιστον εἰς τὸ φρονεῖν ἐθέλειν ὀρθῶς, ἐπάγει χρησίμως Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. εὐπαράδεκτος γὰρ τῆς ἀληθείας ὁ λόγος τοῖς ἤδη μαθοῦσί τε καὶ ἀγαπῶσιν αὐτὴν, τοῖς δὲ μὴ τοιούτοις, οὐκέτι. καὶ γοῦν ὁ προφήτης ἔλεγεν Ἡσαΐας πρός τινας "Εὰν μὴ "πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε." ὃ καὶ εὐθὺς ἀληθὲς ὑπάρχον ἀποδεικνὺς ὁ Πιλάτος ἔφη Τί ἐστιν ἀλήθεια; ὄνπερ γὰρ τρόπον τοῖς τὴν τοῦ σώματος ὄψιν λελωβημένοις, καὶ ἐκπεπτωκόσι παντελῶς τῆς δι' ὀφθαλμῶν αἰσθήσεως, ἐν οὐδενὶ τέτακται παντελῶς, ὅσον ἧκεν εἰς εὐχροίας δύναμιν, καὶ εἰ χρυσόν τις παρακομίσειε, καὶ εἰ λαμπρὸν καὶ πολύτιμον ἐπιδεῖξαι λίθον· ἀλλὰ καὶ αὐτὸ τῆς ἡλίου μαρμαρυγῆς ἀθαύμαστον ἔσται τὸ φῶς, οὐδεμίαν αἴσθησιν ἐνιέντος αὐτοῖς τοῦ πράγματος, ἤγουν ἀπόνασθαί τινος τῶν τοιούτων ἐξόν· οὕτω τοῖς ἔχουσι πεπηρωμένον τὸν νοῦν ἀκαλλεστάτη τις εἶναι δοκεῖ καὶ δυσειδὴς ἡ ἀλήθεια, καίτοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νοητήν τε καὶ θείαν μαρμαρυγὴν ταῖς τῶν ὁρώντων αὐτὴν ἐνιεῖσα ψυχαῖς. Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς Ἐγὼ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν. ἔστι δὲ συνή θεια ὑμῖν ἵνα ἕνα δέσμιον ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα· βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; Εἰς κατάκριμα τῆς Ἰουδαίων ἀφιλοθεΐας τε ὁμοῦ καὶ ὠμότητος, τὴν τοῦ δικαίου καὶ πρέποντος προΐσχεται γνῶσιν, ὁ μὴ τοῖς θείοις μαθήμασιν ἐπαυχῶν, ἀνθρωπίνων δὲ φύλαξ διορισμάτων, καὶ ὧν δῶρον εἶχε τὴν ἀρχὴν, τούτων ὅτι δὴ μάλιστα τὰ θεσπίσματα δυσωπούμενος. ὃ δρῶντάς τε καὶ φρονεῖν ἑλομένους τοὺς τῶν Ἰουδαϊκῶν ταγμάτων καθηγητὰς, ἣν ἂν δήπου καὶ λίαν εἰκὸς τὴν τοῦ διαβόλου πάγην ὑπεκθέοντας, καὶ τὸ τῶν ἄλλων ἁπάντων μυσαρώ 3.57 τατον ὑπεκκλῖναι κακὸν, τὴν κατὰ Χριστοῦ δὲ δηλονότι μιαιφονίαν φημί. παραιτεῖται τοιγαροῦν ὁ Πιλάτος ἐπ' οὐδενὶ τῶν ἀτόπων ἁλόντος ἢ ἐληλεγμένου καταδικάσαι Χριστοῦ, καὶ τὸν αἰτίας ἁπάσης ὡς πορῤῥωτάτω μὴ δὴ χρῆναι δίκας εἰσπράττεσθαι λέγει, ἀπῳδόν τε εἶναι παντελῶς καὶ τοῖς κατ' αὐτὸν τοῦτο νόμοις εὖ μάλα διισχυρίζεται, τὴν κατὰ τοῦ θείου νόμου φρικωδεστάτην ἀπόνοιαν τῶν Ἰουδαίων ἐκδυσωπῶν. ᾤετο γὰρ δεῖν ἅτε δὴ καὶ τὸν τοῦ δικαίου τε καὶ ἴσου λόγον πρεσβεύειν ἐπαγγελλομένους ἀναπείσειν παραχρῆμα τῇ τοῦ δικαίου καὶ πρέποντος παραθέσει. διενθυμηθεὶς δὲ πάλιν κατά γε τὸ εἰκὸς, ὅτι τῆς τῶν Ἰουδαίων προπετείας οὐ μετρίως κατηγορήσειεν ἂν τὸ πάσης αἰτίας ἀπολελύσθαι τὸν προσηγμένον, ἵνα μὴ διὰ τοῦτο τυχὸν ἰταμώτερον ἐγκέοιντο, καὶ φιλονεικοῖεν ἀτόπως, ὁδὸν ὥσπερ τῷ πράγματι καὶ χρῶμά τι κάλλιστον ἐπινοεῖ, λέγων Ἔστι συνήθεια ὑμῖν ἵνα ἕνα δέσμιον ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα, βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; βασιλέα δὲ τῶν Ἰουδαίων ὀνομάζων τὸν Ἰησοῦν, χαριεντίζεταί τε ὁμοῦ καὶ ὑποχαλᾷ τῷ γελοίῳ τὴν τῶν λελυττηκότων ὀργὴν, ἐν ταὐτῷ τε δεικνύει καὶ μάλα σαφῶς, ὡς ἐπ' αὐτῷ δὴ τούτῳ κατηγορεῖται μάτην· μὴ γὰρ ἂν ἀφέσεως ἀξιῶσαί ποτε τὸν ἐπὶ τυραννίδι καὶ νεωτερισμῷ τῷ κατὰ Ῥωμαίων κατεγνωσμένον, τὸν Ῥωμαίων στρατηγόν. δι' ὧν οὖν ἀνεῖναι προτρέπει, μεμαρτύρηκεν αὐτῷ τὸ παντελῶς ἀνυπαίτιον. Ταυτὶ μὲν οὖν οἶμαι τὸν τῶν προκειμένων δηλῶσαι σκοπόν· διασκεπτομένῳ δέ μοι καὶ σκοποῦντι κατ' ἐμαυτὸν, πόθεν ἄρα τοῖς Ἰουδαίοις ἐν ἔθει γέγονεν ἐξαιτεῖν ἑνὸς ἄφεσιν, ἢ λῃστοῦ τυχὸν ἢ φονευτοῦ, λογισμὸς μὲν ἐπῆλθεν, ὡς οὐκέτι μὲν πάντα κατὰ τὸν θεῖον αὐτοῖς ἐπράττετο νόμον, ἔθεσι δὲ μᾶλλον ἰδίοις ἀποκεχρῆσθαι δοκοῦν, πρὸς ἐξίτηλον 3.58 ἐτράποντο πολιτείαν, καὶ οὐ σφόδρα συνᾴδουσαν τοῖς διὰ Μωυσέως τεθεσπισμένοις. ἀλλά μοι τὴν θείαν διερευνῶντι γραφὴν καὶ φιλοθηροῦντι πανταχόθεν τὴν τοῦ πράγματος αἰτίαν, παρέπιπτέ τι τῶν θείων λογίων, ὃ καὶ καλεῖ πως εἰς ὑποψίαν τὸν ἡμέτερον νοῦν, μὴ ἄρα τι πληροῦντες τῶν κατὰ τὸν νόμον καίτοι δυσάγωγοι λίαν ὄντες Ἰουδαῖοι τὴν τοῦ κακουργοῦντος ἐζήτουν ἄφεσιν. γέγραπται τοίνυν ἐπὶ τέλει τοῦ βιβλίου τοῦ καλουμένου τῶν ἀριθμῶν ὁ περὶ τοῦ φονεύοντος νόμος ἀκουσίως ἤγουν ἑκουσίως· διωρισμένης δὲ τῆς δίκης ἐναργῶς τῆς ἐπὶ τῷ κατὰ βούλησιν φονευτῇ, μέτεισιν εὐθὺς ὁ λόγος εἰς τὸν περὶ τοῦ φονεύοντος ἀκουσίως, εἶτα καὶ οὕτω φησὶ μεθ' ἕτερα "Ἐὰν δὲ ἐξάπινα οὐ δι' ἔχθραν ὡς "αὐτὸν ᾖ, ἐπιῤῥίψῃ δὲ ἐπ' αὐτὸν πᾶν σκεῦος οὐκ ἐξ ἐνέδρου, "ἢ ἐν παντὶ λίθῳ ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ οὐκ εἰδὼς, καὶ "πέσῃ ἐπ' αὐτὸν, καὶ ἀποθάνῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ "ἦν οὐδὲ ζητῶν κακοποιῆσαι αὐτὸν, καὶ κρινεῖ ἡ συναγωγὴ "ἀνὰ μέσον τοῦ πατάξαντος καὶ ἀνὰ μέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα κατὰ τὰ κρίματα ταῦτα, καὶ ἐξελεῖται ἡ "συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ "αἷμα, καὶ ἀποκαταστήσουσιν αὐτὸν ἡ συναγωγὴ εἰς τὴν "πόλιν τοῦ φυγαδευτηρίου οὗ ἔφυγε." τοιαύτης οὖν ἄρα γεγραμμένης ἐντολῆς, εἶτά τινων ὡς εἰκὸς τοῖς τοιούτοις περιπιπτόντων πταίσμασιν, ἵνα πως δοκοῖεν τῶν τῇδε τεθεσπισμένων οὐ παντελῶς ἀλογεῖν, κατὰ πληθὺν συνιόντες Ἰουδαῖοι, τῶν τοιούτων ἐξῄτουν ἕνα. ἔργον γὰρ ὅλης τοῦτο τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Συναγωγῆς ὁ νόμος γενέσθαι προσέταττεν. ἀπολύειν γεμὴν ἐξὸν αὐτοῖς, κατά γε τὸ δοκοῦν τῷ νόμῳ, τοῦτο δρᾶν αἰτοῦσι Πιλάτον. καταδεξάμενοι γὰρ ἅπαξ τὴν Ῥωμαίων 3.59 ἀρχὴν, τὰ πλεῖστα λοιπὸν τῶν καθ' ἑαυτοὺς τοῖς ἐκείνων παρεχώρουν νόμοις. καὶ γοῦν φονεύειν ἐξὸν τὸν ἐπί τισι τῶν ἀτόπων κατεγνωσμένον, ὡς ἕνα τῶν τοιούτων Πιλάτῳ προσῆγον τὸν Ἰησοῦν, λέγοντες "Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι "οὐδένα." εἰ γὰρ καὶ ἐπλάττοντο τυχὸν τὸν ἐπὶ τῷ ἁγνισμῷ τοῦ πάσχα καθαρισμὸν, ἀλλ' οὖν ἐν τούτῳ δὴ μάλιστα κολακεύουσιν, ὡς τοῖς Ῥωμαίων ἐπιτρέποντες νόμοις καὶ ἅπερ αὐτοῖς ἄνωθεν τὸ θεῖον ἐδίδου πρόσταγμα. Ἐκραύγασαν οὖν πάλιν λέγοντες Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής. Ἐξελέγχονται πάλιν κἂν τούτῳ δὴ σφόδρα παρανομήσαντες Ἰουδαῖοι, καὶ ταῖς οἰκείαις μᾶλλον εἴκοντες ἡδοναῖς, ἤγουν τιμῶντες τὰ πάλαι τεθεσπισμένα· τοῦ γὰρ νόμου τοῦ διὰ Μωυσέως, τὸν ἀκουσίως ἁλόντα φονευτὴν ἀνεῖσθαι κελεύοντος, οὐχ ἕνα τῶν τοιούτων· πόθεν; περιβόητον δὲ μᾶλλον ἐξαιτοῦσι λῃστήν. ὅτι δὲ ἀπηνής τε καὶ ἄγριος ὁ μνημονευθεὶς καὶ τῶν τῆς μιαιφονίας ἐγκλημάτων οὐκ ἀμοιρήσας ὁρᾶται, σαφηνιεῖ δὴ λέγων ὁ θεσπέσιος Πέτρος πρὸς τοὺς τῶν Ἰουδαίων λαούς "Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον "ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν." τὸν γὰρ διὰ τοῦτο τῆς ἰσότητος τῆς πρὸς Θεὸν καὶ Πατέρα καταφρονήσαντα καὶ τὴν ἡμετέραν πτωχείαν μετημφιεσμένον, ἵν' ἡμᾶς ἐξέληται τοῦ κατὰ ἀλήθειαν φονευτοῦ, τουτέστι, τοῦ σατανᾶ, τῆς εἰς ἕνα λῃστὴν ἀγάπης ὀπίσω τάττουσιν, οἱ τῇ κατὰ νόμον ἱερωσύνῃ λελαμπρυσμένοι καὶ ὑψηλὴν ἐπὶ τούτοις ἀνατείνοντες τὴν ὀφρὺν, παρελάσαντες δὲ καὶ ὡς οὐδὲν ὅλως παρωσάμενοι τό "Κρῖμα δίκαιον κρίνετε," δικαιοῦσι τὸν φονευτὴν, Χριστὸν κατακρίνοντες, παμψηφεὶ δὲ λέγουσι Μὴ τοῦτον ἀλλὰ τὸν Βαραββᾶν. Ἰουδαῖοι μὲν οὖν τῆς ἐπὶ τούτῳ δυσσεβείας ἀποτίσουσι δίκας· θαυ 3.60 μάσαι γεμὴν ἀναγκαῖον τὴν θεόπνευστον γραφὴν ὡς ἐκ προσώπου Χριστοῦ καὶ τῆς οὕτως ἀπεγνωσμένης ἐπιγνωσθεῖσαν καταβοῆς· λέγει γὰρ οὕτως ὁ προφήτης Ἱερεμίας "Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν "μου, ἔδωκα τὴν ἠγαπημένην μου ψυχὴν εἰς χεῖρας ἐχθρῶν "αὐτῆς· ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, "ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς." τί γὰρ ὁ λέων ἐν δρυμοῖς ἐργάζεται, καλὸν ὡς ἔοικεν εἰπεῖν. φασὶ τοιγαροῦν, ὡς ὅταν τι τῶν ἐν ταῖς ὕλαις κτηνῶν ἀγρεῦσαι βούληται τὸ μέγα τουτὶ καὶ φρικωδέστατον θηρίον, ἐπί τινα πρῶνα τῶν ἐν τοῖς ὄρεσιν ἀρθεὶς, βρυχᾶταί τι μέγα καὶ ἐξαίσιον, καὶ τοσαύτην ἐνεργάζεται τοῖς ἀκροωμένοις τὴν πτοίαν, ὡς οὐκ ἐνεγκόντας τῆς ἀπειλῆς τὸ δυσαχθὲς ἀποκτύπημα, παραχρῆμα πεσεῖν, κἂν ἄνθρωπος εἴη κἂν ζῷον ἕτερον, καὶ φωνῆς ἔργον τῷ θηρὶ γίγνεται τὸ πεσόν. πιστοῦται δέ πως τὸν ἐπὶ τούτῳ λόγον καὶ διὰ τοῦ προφήτου Θεὸς οὕτως εἰπών "Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται;" γέγονε τοίνυν ἡ τῶν Ἰουδαίων Συναγωγὴ, καθάπερ λέων ἐν δρυμῷ τῷ Σωτῆρι Χριστῷ, κατά γε τὸ ἐγχείρημα τῆς ἐπ' αὐτῷ γλωσσαλγίας· πτοίας γὰρ ὅλως ἢ δείματος ἡ θεία φύσις οὐκ ἀνέχεται. καταβοήσασα γὰρ ἀπέκτεινεν αὐτὸν, καίτοι Πιλάτου προτείνοντος ἑλέσθαι τὴν ἄφεσιν, ἵνα καὶ τῶν διὰ νόμου πεπαιδευμένων ἀμείνους εὑρίσκωνται διὰ πραγμάτων αὐτῶν καὶ οἱ τὸν θεῖον οὔπω μαθόντες νόμον. Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσε, καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτὸν, καὶ ἤρχοντο πρὸς αὐτὸν καὶ ἔλεγον Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα. Μαστιγοῖ μὲν ἀδίκως, καὶ τὸν τῶν στρατιωτῶν ἐφίησιν 3.61 ἑσμὸν ἐμπαίζειν αὐτῷ, στεφάνῳ τε τῷ ἐξ ἀκανθῶν περιβαλεῖν, καὶ ἁλουργὲς ἱμάτιον ἐπιῤῥίπτειν, καταικίζεσθαί τε ῥαπίσμασι καὶ ταῖς ἄλλαις ἀτιμίαις. ᾤετο γὰρ δή πως ἐκδυσωπήσειν ἠρέμα τοὺς τῶν Ἰουδαίων λαοὺς, εἰ καὶ μόνην θεάσοιντο καὶ ταύτην ἐκ περιττοῦ παθόντα τὴν κόλασιν τὸν ἁπάσης ἔξω


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κείμενον αἰτίας. ἐμαστίχθη μὲν ἀδίκως, ἵνα δικαίας ἡμᾶς ἀπολύσῃ πληγῆς, ἐνεπαίχθη καὶ ἐῤῥαπίσθη, ἵν' ἡμεῖς ἐμπαίξωμεν τῷ ἐμπαίξαντι σατανᾷ, καὶ τὴν ἐκ τῆς παραβάσεως προστετριμμένην ἡμῖν διαφύγωμεν ἁμαρτίαν. οἰησόμεθα γὰρ φρονοῦντες ὀρθῶς, πάντα δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τὰ Χριστοῦ γενέσθαι παθήματα, λυτικήν τε καὶ ἀποτρεπτικὴν ἔχοντα δύναμιν τῶν ἡμῖν συμβεβηκότων εὐλόγως διὰ τὴν ἀπόστασιν τὴν ἀπὸ Θεοῦ. ὥσπερ γὰρ ἤρκεσεν εἰς τὸ καταργῆσαι τὸν ἁπάντων θάνατον, τὸ ὑπὲρ τῆς ἡμετέρας ζωῆς τὴν ἰδίαν προέσθαι σάρκα τὸν οὐκ εἰδότα θάνατον· εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν· οὕτω συνιέναι δίκαιον, ὡς ἐξαρκέσαι πάλιν εἰς τὸ ἀπολῦσαι πάντας καὶ μαστίγων καὶ ἀτιμίας τὸ ταῦτα παθεῖν ὑπὲρ ἡμῶν τὸν Κύριον. ἐπεὶ κατὰ τίνα τρόπον "τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν," κατὰ τὸ γεγραμμένον; πάντες μὲν γὰρ ἐπλανήθημεν, ἕκαστος "τῇ "ὁδῷ αὐτοῦ," καθά φησιν ὁ μακάριος προφήτης Ἡσαΐας, "καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ "περὶ ἡμῶν ὀδυνᾶται." μεμαλάκισται γὰρ διὰ τὰ παραπτώματα ἡμῶν· καὶ τὰ μὲν ἴδια νῶτα δέδωκεν "εἰς μάστιγας, "τὰς δὲ σιαγόνας αὐτοῦ εἰς ῥαπίσματα," καθὰ καὶ αὐτός που φησίν. οἱ μὲν οὖν στρατιῶται καθάπερ τινὰ τῶν ψευδοτυράννων ἑλόντες τὸν Ἰησοῦν ἐμπαίζουσι στρατιωτικῶς. διὰ γάρ τοι τοῦτο στέφανος μὲν ὁ ἐξ ἀκανθῶν ἐπενήνεκται, τὸ ἐπ' ἄκροις ἠρτημένον μετώποις, τῆς ἐπιγείου βασιλείας σύνθημα δηλῶν. τὸ δὲ πορφυροῦν ἱμάτιον, τῆς ἁλουργίδος εἰκὼν ὥσπερ 3.62 τις καὶ τύπος, ἀλλὰ καὶ ἡ τοῦ γέλωτος αἰτία προστέθειται· προσῄεσαν γὰρ λέγοντες, φησί Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Ἐπυθόμην δὲ τινῶν, μᾶλλον δὲ λίαν ἀρέσκει τισὶ, στέφανον μὲν τὸν ἐξ ἀκανθῶν τὴν τῶν εἰδωλολατρούντων ἔτι κατασημαίνειν πληθὺν, ἀναληφθησομένην ὥσπερ εἰς διάδημα τῷ Χριστῷ διὰ πίστεως τῆς εἰς αὐτὸν, οἳ καὶ ἀκάνθαις ἀγόνοις τε καὶ ἀχρήστοις τὰ ἔθνη παρεικάζουσι διὰ τὸ καρπὸν εὐσεβείας ἔχειν οὐδένα, πεφυκέναι δὲ μᾶλλον ἐπιτηδείαν εἰς πυρὸς τοῦ παμφάγου τροφὴν, καθάπερ ἀμέλει καὶ τὸν ἐν ἀγροῖς συρφετὸν, ἤτοι τὴν ἀγρίαν καὶ γεωργίας τινὸς δίχα φυομένην ἄκανθαν· τὸ δὲ ἀλουργὲς ἄμφιον, ἤτοι τὸ ἱμάτιον τὸ πορφυροῦν, τὴν ἐσομένην κατὰ παντὸς τοῦ κόσμου βασιλείαν φάσκουσι δηλοῦν. παραδεκτὸν δὲ ἅπαν ὃ μὴ τοῦ εὐθέος ἐκπίπτει λόγου, μήτε μὴν ὡς ἀνόνητον ἔσται πεπιστευμένον. οὐκ ἀπόβλητος τοίνυν τῆς θεωρίας ὁ τρόπος, ἀστειοτάτην ἔχων τὴν ἐπιτήρησιν. Καὶ ἐξῆλθε πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς Ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. Ὁμολογεῖ μὲν τὸ πταῖσμα, καὶ οὐκ αἰσχύνεται. μαστιγῶσαι γὰρ ἔφη διακενῆς, ἐπιδείξειν δὲ καὶ αὐτοῖς ἐπαγγέλλεται, κατακορέσειν ὥσπερ αὐτῶν τὴν ἀτίθασον ὀργὴν διὰ τῆς οὕτως ἐλεεινῆς ὑποτοπήσας θέας· μόνον δὲ οὐχὶ καὶ καταιτιᾶται λοιπὸν, ὡς φονῶντας ἀδίκως, καὶ τοῦτο ἐκ παῤῥησίας, καὶ ἀναφανδὸν παρανομεῖν ἀναγκάζοντας, τὸν ᾧπέρ ἐστι τῶν ἰδίων νόμων οὐκ ἀζήμιος ἡ παράβασις. πληροῦται γεμὴν ἐπὶ Χριστῷ, καὶ ἀληθὲς ὑπάρχον ὁρᾶται τὸ εἰρημένον, ὅτι "ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ "εὑρήσει οὐδέν." ἄθρει γὰρ ὅπως ἄνω καὶ κάτω πάντα διακυκήσας ὁ σατανᾶς, οὐδὲν ὅλως ἀνευρίσκει τῶν ἐκβεβλημένων παρὰ Θεοῦ καὶ εἰς δύναμιν ἁμαρτίας κατατεταγμένων, 3.63 ὅπερ ἂν ἴσως, εἰ ἐπενήνεκτο τῷ Σωτῆρι Χριστῷ, κατακρίνεσθαί τε δικαίως ἐποίει καὶ ταῖς παρ' αὐτοῦ κατηγορίαις ἔνοχον. ὅνπερ οὖν τρόπον ἐν Ἀδὰμ ὅλην ἐν ἑνὶ τὴν ἀνθρώπου νενίκηκε φύσιν, κατάφορον ἁμαρτίαις ἀποδείξας αὐτὴν, οὕτω κἀνθάδε νενίκηται παρ' αὐτῆς. ἄνθρωπος γὰρ ἦν εἰ καὶ φύσει Θεὸς ὁ μὴ ἐσχηκὼς ἁμαρτίαν, καὶ ὥσπερ ἡ ἐκ τοῦ παραβῆναι κατάκρισις δι' ἑνὸς εἰς πάντας τοῦ πρώτου τετέλεσται, κατὰ τὸν ἴσον δὴ τρόπον ἡ ἐκ τοῦ δικαιωθῆναι Χριστὸν εὐλογία δι' ἑνὸς τοῦ δευτέρου πρὸς πάντας ἐκτείνεται. καὶ τούτου μάρτυς ὁ Παῦλος λέγων " Ὥσπερ γὰρ δι' "ἑνὸς εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω δι' ἑνὸς "εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς." οὐκοῦν νενοσήκαμεν διὰ μὲν Ἀδὰμ τοῦ πρώτου τὴν παρακοὴν καὶ τὴν ἐκείνης ἀρὰν, πεπλουτήκαμεν δὲ διά γε τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δευτέρου τὴν ὑπακοὴν καὶ τὴν ἐξ αὐτῆς εὐλογίαν. ὁ γὰρ τοῦ νόμου Κύριος ὡς Θεὸς, γέγονε μεθ' ἡμῶν νομοφύλαξ ὡς ἄνθρωπος. καὶ γοῦν εὑρήσομεν λέγοντα πρὸς ἡμᾶς "Ὁ ἀγαπῶν "με τὰς ἐντολάς μου τηρήσει, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ "Πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ." βλέπε γὰρ ὅπως ἐντέταλται μὲν ἡμῖν ὡς νομοθέτης καὶ Θεὸς τὰς αὐτοῦ τηρεῖν ἐντολὰς, ὡς δὲ μεθ' ἡμῶν νομοφύλαξ τηρῆσαι διισχυρίζεται καὶ αὐτὸς τὴν τοῦ ἰδίου Πατρός. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον, καὶ λέγει αὐτοῖς Ἰδοὺ ὁ ἄνθρω πος. ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκ ραύγασαν λέγοντες Σταύρωσον σταύρωσον. Ἐπέδειξε μὲν ἀνοσίως κατῃκισμένον, καὶ τοῖς τῶν στρατιωτῶν ἐμπαίγμασιν ἀφορήτως ἐξυβρισμένον τὸν ἁπάντων Κύριον, κατακορεσθήσεσθαί πως καὶ καταλήξειν ἤδη πιστεύσας τὸν ἄκρατον τῶν Ἰουδαίων θυμὸν καὶ ἀπὸ μόνης τῆς 3.64 οὕτως οἰκτροτάτης τε καὶ ἀτιμοτάτης θέας. οἱ δὲ ἀφεστᾶσι τοσοῦτο τοῦ καὶ εἰπεῖν τι καὶ δρᾶσαι φιλάνθρωπον ἐπ' αὐτῷ καὶ τῶν εἰς χρηστότητα τελούντων ἅψασθαι λογισμῶν, ὡς καὶ ὠμότητος θηριοπρεποῦς πεσόντας ἐπέκεινα πρὸς τὸ μεῖζον αἵρεσθαι τοῦ κακοῦ καὶ θερμοτέραν ποιεῖσθαι τὴν καταβοὴν ἀπηνεστάτῳ θανάτῳ καταδικάζοντας, καὶ τὰ πάντων αἴσχιστα παθεῖν ἀναγκάζοντας. ποῖον γὰρ οὕτω πικρὸν ἂν γένοιτο κολαστήριον, ὡς ὁ ἐπὶ ξύλου σταυρός; μόνοις δὲ, ὡς εἰκὸς, τὴν τῆς τοσαύτης δυσσεβείας ἀρχὴν προσῆψεν ὁ σοφώτατος Εὐαγγελιστὴς τοῖς Ἰουδαίων καθηγηταῖς. ἄθρει γὰρ ὅπως μετὰ δριμείας ὥσπερ τῆς ἐπιτηρήσεως λέγει Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπήρεται, ἐκραύγασαν λέγοντες Σταύρωσον σταύρωσον. τοῦ γὰρ ἀγελαίου πλήθους κἂν γοῦν μετρίως τοῖς κατὰ Χριστοῦ γεγονόσιν ἐπερυθριῶντος κακοῖς· διεμέμνηντο γὰρ ἴσως τῶν παρ' αὐτοῦ παραδόξως τετελεσμένων· αὐτοὶ καὶ πρῶτοι τῆς καταῤῥήσεως ἄρχονται, καὶ εἰς ἐκτόπους ἀγριότητας τὸν τῶν ὑπὸ χεῖρα λαῶν ἀνακαίουσι θυμόν. ἀληθὲς οὖν ἄρα τὸ εἰρημένον παρὰ Θεοῦ περὶ αὐτῶν ἐν προφήταις " Οτι οἱ ποιμένες ἠφρονεύσαντο, καὶ "τὸν Κύριον οὐκ ἐξεζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα "ἡ νομὴ, καὶ διεσκορπίσθησαν." καὶ ἀληθὴς ὁ λόγος. ἐπειδὴ γὰρ τῆς τῶν ἡγουμένων ποδηγίας οὐκ ἔτυχον εἰς τὸ ἐπιγνῶναι Χριστὸν οἱ νομῆς ἐν τάξει κείμενοι, τουτέστιν, ὁ ἀγελαῖος ὄχλος, διόλωλέ τε καὶ κατώλισθον εἰς ὀλέθριον ἀβουλίαν τὴν ἐπὶ Χριστῷ. ἀναμετρείτω γάρ τις εἰ βούλεται τὴν τῆς δυσσεβείας ἀρχὴν, καὶ ταῖς τῶν ἡγουμένων αὐτὴν ἀναθήσει κεφαλαῖς. αὐτῶν γὰρ ἡ ἐν ἀρχαῖς ἀνοσιωτάτη γέγονε σκέψις, αὐτοὶ τὸν προδότην τοῖς ἱεροῖς ἐκπριάμενοι χρήμασι καταπωλῆσαι σφίσιν ἀνέπεισαν, αὐτοὶ τὴν σπεῖραν τοῖς ὑπηρέταις συζεύξαντες, καθάπερ τινὰ τῶν ἀτιμοτάτων ληστῶν καταδεσμεῖν ἐκέλευον αὐτοὶ Πιλάτῳ προσήγαγον, 3.65 καὶ νῦν μεμαστιγωμένον ὁρῶντες καὶ ταῖς παρὰ πάντων ἀτιμίαις μονουχὶ μεθύοντα προσεκτείνουσι τὴν ὀργὴν, καὶ τὰ ἐξ ἀμέτρου φθέγγονται φθόνου. σκοπὸς γὰρ αὐτοῖς τὸν τοῦ ἀμπελῶνος ἀποκτεῖναι δεσπότην· ᾤοντο γὰρ ἕξειν ἀκινδύνως τὴν κληρονομίαν αὐτοῦ, καὶ εἰ γένοιτο τυχὸν ἐκ μέσου Χριστὸς, αὐτοὶ καθηγήσεσθαι πάλιν καὶ ταῖς παρὰ πάντων τιμαῖς ἐντρυφᾶν. ἀλλ' ὡς ὁ ψάλλων φησίν "Ὁ κατοικῶν "ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτη"ριεῖ αὐτούς." οὐ γὰρ ἐκβέβηκέ τι τῶν κατὰ γνώμην αὐτοῖς, ἀλλ' εἰς πᾶν τοὐναντίον ἐξ ἀντιστρόφου μεταβολῆς ἡ τῶν πραγμάτων μετακεχώρηκε φύσις. Λέγει αὐτοῖς ὁ Πιλάτος Λάβετε ὑμεῖς αὐτὸν, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Καταπλήττεται Πιλάτος εἰ ἄρα πως καὶ εἰς τοῦτο κατοιχήσεται τόλμης τῶν Ἰουδαίων ὁ δῆμος, καὶ ἡ τῶν ἀρχιερέων ἀπανθρωποτάτη πληθὺς, ὥστε καὶ τὸν οὕτω φρικτὸν ἐπιθεῖναι θάνατον μὴ παραιτεῖσθαι Χριστῷ, καίτοι τῆς εἰς τοῦτο καλούσης αὐτὸν αἰτίας οὐδαμόθεν ἐξηυρημένης. διὰ γάρ τοι τοῦτό φησι, μονονουχὶ καὶ ὡς ὑβρισμένος ἀγανακτῶν Ἐμὲ ταυτησὶ τῆς ἀδίκου μιαιφονίας ἐποιήσασθε βραβευτήν; ἐγὼ παρὰ πάντας τοὺς Ῥωμαίων νόμους καὶ τῶν ἀνεγκλήτων ἔσομαι φονευτὴς, ταῖς δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑμετέραις ἀναπεπεισμένος φωναῖς τὸ ἐμαυτοῦ προήσομαι χρήσιμον, καὶ ταῖς παρ' ὑμῶν αἰτήσεσι ῥιψοκινδύνως ὑπηρετῶν, οὐκ ἐν ἐλπίσιν ἔσομαι τοῦ παθεῖν τὰ δεινά; εἰ μὴ γὰρ οἴεσθε τῶν ἀνοσίων τι δρᾶν, εἰ μὴ χαλεπὸν εἶναι τὸ πρᾶγμα λογίζεσθε, ὑμεῖς αὐτοὶ, φησὶν, οἱ τοῖς θείοις ἐπαυχοῦντες μαθήμασιν, οἱ ἐπὶ νόμων εἰδήσει τὴν ὀφρὺν ἔχοντες ὑψηλὴν, πήξατε τὸν σταυρὸν, τολμήσατε τὸν φόνον, ἀνοσιουργήσατε δι' ἑαυτῶν, αὐτοὶ τῆς ἑαυτῶν καταχέοντες κεφαλῆς τὰ ἐκ τῆς τοσαύτης δυσσεβείας 3.66 ἐγκλήματα, Ἰουδαϊκὸν ἔστω τὸ θράσος, καὶ τὸ τῆς μιαιφονίας εἰς ὑμᾶς αὐτοὺς τετράφθω κακόν. εἰ νόμος ἐστὶ παρ' ὑμῖν, ὁ ποιναῖς ταῖς οὕτω πανδείνοις ὑποτιθεὶς τὸν ἡμαρτηκότα μηδὲν, ὁ κολάζων τὸν ἀνυπαίτιον, πραττέσθω καὶ τοῦτο δι' ὑμῶν, ἐγὼ τῆς ἐπὶ τούτῳ συμπνοίας οὐκ ἀνέξομαι. καὶ ταυτὶ μὲν ἂν οἴοιτό τις τυχὸν τὸν Πιλάτον εἰπεῖν· ὠδίνει γάρ πως ὁ παρ' αὐτοῦ λόγος τῶν τοιούτων τὴν ἔμφασιν. καταπλαγείη δ' ἄν τις κἂν τούτῳ δὴ πάλιν τὴν τῶν Ἰουδαίων ἀναισχυντίαν, ἐπεὶ μηδὲ ἀνδρὸς ἀλλογενοῦς δικαιοκρισίας αἰσχύνονται, καίτοι τοῦ θείου νόμου περὶ αὐτῶν εἰρηκότος " Οτι χείλη ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον "ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ." Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν. Ἐληλεγμένης ἑώλου τῆς παρ' αὐτῶν ἐν ἀρχαῖς συντεθειμένης συκοφαντίας, καὶ νεωτερισμοῦ μὲν ἤγουν ἀντάρσεως τῆς κατὰ τοῦ Καίσαρος ἀρχῆς οὐδεμιᾶς ἀποδεδειγμένης· ἀπεσκευάζετο γὰρ τὰς ἐπὶ τούτοις αἰτίας ὁ Κύριος λέγων "Η βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ "τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται οἱ "ἐμοὶ ἠγωνίζοντο ἂν ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις·" Πιλάτου τε πρὸς ταῦτα καθηκόντως τε καὶ ἀδεκάστως καὶ οὔπω πρὸς χάριν δικάζοντος, λέγοντός τε διαῤῥήδην μηδεμίαν ηὑρῆσθαι πρόφασιν ἐν αὐτῷ, παντελῶς πρὸς ἕτερόν τι μεταχωροῦσιν οἱ πάντολμοι· νόμον γὰρ ἔχειν διισχυρίζονται καταδικάζοντα τοῦ Σωτῆρος τὸν θάνατον. καὶ τίς ὁ νόμος; ὁ τοῖς βλασφημοῦσιν ἐπαρτήσας, φησὶ, ζημίαν· γέγραπται γὰρ ἐν βιβλίῳ τῷ καλουμένῳ Λευϊτικῷ, ὅτι τινὲς τελοῦντες εἰς Ἰουδαίους ἐμαχέσαντο κατὰ τὸ γεγραμμένον ἐν τῇ παρεμβολῇ, ὧν ὁ ἕτερος τοῦ θείου φησὶν ὀνόματος ἐπιμνησθεὶς, 3.67 ηὐλόγησεν, ἀντὶ τοῦ κατηράσατο καὶ δεδυσφήμηκεν, εἶτα τεθνάναι προστάττεται, καὶ τῆς ἀνοσίου γλώττης πικρὰς ἀποτῖσαι δίκας, Θεοῦ λέγοντος ἐναργῶς " Ανθρωπος ὃς ἂν "καταράσηται Θεὸν ἁμαρτίαν λήψεται, ὀνομάζων δὲ τὸ "ὄνομα Κυρίου θανατούσθω· λίθοις λιθοβολησάτωσαν αὐτὸν πᾶσα συναγωγὴ Ἰσραήλ· ἐάν τε προσήλυτος ἐάν τε "αὐτόχθων, ἐν τῷ ὀνομάσαι αὐτὸν τὸ ὄνομα Κυρίου "τελευτάτω." Ἀλλ' ἴσως τις πρὸς τοῦτο τυχὸν ἐνδοιάσας ἐρεῖ Τί ἄρα φησὶν ὁ νόμος, τί δέ μοι βούλεται διὰ τούτου δηλοῦν; τὸ μὲν γὰρ τεθνάναι, φησὶ, τὸν ταῖς εἰς Θεὸν δυσφημίαις ἔνοχον, οὐκ ἂν ἔξω φέροιτο τοῦ εἰκότος, πάθοι δ' ἂν αὐτὸ καὶ σφόδρα δικαίως. ἀλλὰ τί δήποτε κἂν εἰς ἕνα τις τῶν ψευδωνύμων ἐξυβρίσῃ θεῶν, ἁμαρτίας οὐκ ἀμοιρεῖ; ἐὰν γάρ τις, φησὶ, καταράσηται Θεὸν, ἁμαρτίαν λήψεται. καὶ τί πρὸς τοῦτό φαμεν; ἀσφαλὴς ὁ νομοθέτης· τὸ γὰρ οἶμαι διαλοιδορεῖσθαι φιλεῖν καὶ τοῖς κατὰ φύσιν οὐκ οὖσι θεοῖς, μελέτη τις ὥσπερ ἐστὶ καὶ τρίβος πρὸς τὴν ἐπὶ τῷ κατὰ φύσιν Θεῷ γλωσσαλγίαν ἡμᾶς παροτρύνουσα. διὰ τοῦτο καὶ δι' ἑτέρων αὐτὸ πάλιν ἀπείργει λέγων "Θεοὺς οὐ κακολογήσεις." ᾤετο γὰρ δεῖν τὸ τῆς θεότητος ὄνομα, καὶ εἰ ψευδὲς ἐνυπάρχοι τισὶ, ταῖς αὐτῷ πρεπούσαις καταγεραίρεσθαι δόξαις. καὶ οὐχὶ πάντως ἡμᾶς τοῖς πεπλανημένοις θεοῖς ἀπονέμειν τινὰ τιμὴν ὁ νόμος διεκελεύσατο, σεπτὸν δὲ ἡγεῖσθαι διδάσκει τὸ τῆς θεότητος ὄνομα καὶ εἰ κλέπτοιτο παρά τινων. Νόμου τοιγαροῦν θανάτῳ τιμᾶσθαι προστάττοντος τὸν ὑποπίπτοντά πως τοῖς ἐκ δυσφημίας ἐγκλήμασιν, ὑποκεῖσθαι τῇ δίκῃ φασὶ τὸν Κύριον· υἱὸν γάρ φησι Θεοῦ ἑαυτὸν ἐποίησε. χρὴ δὲ ἡμᾶς διαμεμνῆσθαι πάλιν, ποῖ δὴ καὶ πῶς τὸ τοιοῦτο εἴρηται παρὰ Χριστοῦ. οὐκοῦν ἐπὶ τῇ κολυμβῇ 3.68 θρᾳ ποτὲ τῇ ἐπίκλην προβατικῇ, τοῦ μακροῦ τε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ δυσαχθοῦς ἀῤῥωστήματος ἀπέλυσε τὸν παράλυτον ἐν ἡμέρᾳ σαββάτου. οἱ δὲ θαυμάσαι δέον τὸν οὕτω τερατουργὸν, ἐσκανδαλίζοντο πάλιν τὴν τοῦ νόμου λύσιν ἐπιφημίζοντες διὰ μόνον τὸ σάββατον. ἀλλὰ καὶ τότε Χριστὸς ἀπελογεῖτο λέγων "Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι·" εἶτά φησιν ἐπὶ τούτοις ὁ Εὐαγγελιστής "Διὰ τοῦτο "οὖν ἐδίωκον αὐτὸν Ἰουδαῖοι τὸν Ἰησοῦν, ὅτι οὐ μόνον ἔλυε "τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον "ἑαυτὸν ποιῶν τῷ Θεῷ." ἐσκανδαλίζοντο τοιγαροῦν Ἰουδαῖοι, Πατέρα καλοῦντος ἴδιον Χριστοῦ τὸν ἁπάντων Κύριον, ὅτε πρὸς τοῦτο πραοτάτην ἐποιεῖτο τὴν πρὸς αὐτοὺς διάλεξιν οὕτω λέγων " Εστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν Ἐγὼ "εἶπα θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. εἰ δὲ ἐκείνους "εἶπε, φησὶ, θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ "οὐ δύναται λυθῆναι ἡ γραφή· ὃν ὁ Πατὴρ ἡγίασε καὶ "ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, "ὅτι εἶπον Θεοῦ υἱός εἰμι;" ἀλλ' οὐδενὸς τῶν τοιούτων διαμεμνημένος τῶν Ἰουδαίων ὁ δῆμος, ἔγκλημα ποιοῦνται τῇ ἀληθείᾳ τὴν ἀλήθειαν, καὶ ἐπείπερ ὅπερ ἐστὶ κατὰ φύσιν εἴρηκεν ὁ Χριστὸς, διὰ ταύτην αὐτὸν τὴν αἰτίαν τεθνάναι πρέπειν διισχυρίζονται. ἀλλὰ γὰρ τῇ τοῦ προφήτου κεχρήσομαι διὰ τοῦτο φωνῇ "Πῶς ἐρεῖτε ὅτι σοφοί ἐσμεν ἡμεῖς, "καὶ νόμος Κυρίου μεθ' ἡμῶν ἐστιν;" ἢ γὰρ οὐκ ἔδει δι' ἐρεύνης ἀκριβοῦς ἰέναι πρότερον, τίς καὶ πόθεν ἐστὶν ὁ Χριστός· καὶ εἰ μὲν ἥλω ψευσάμενος, εὐθύνειν δὴ τότε καὶ μάλα δικαίως, ἤγουν τ' ἀληθῆ λέγοντα προσκυνεῖν; τί τοίνυν ἀφέντες τὴν ζήτησιν, καὶ τὴν ἐκ τῶν ἱερῶν γραμμάτων πληροφορίαν, ἐπὶ μόνην οἴχεσθε τὴν κατάῤῥησιν, καὶ κατηγορίας πρόφασιν ἐποιήσασθε τὴν ἀλήθειαν; ἔδει Πιλάτῳ λέγοντας ὅτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν, ἐγκαλεῖν 3.69 αὐτῷ καὶ τὰ τῆς θεότητος ἔργα καὶ τὴν ἐπὶ τοῖς παραδόξοις καταιτιᾶσθαι μεγαλουργίαν· ἔδει μετ' ἐκεῖνο βοᾶν, ὅτι τεθρήμερος μὲν ἀνεβίω νεκρὸς διὰ μιᾶς τοῦ Σωτῆρος φωνῆς παλινδρομήσας εἰς ζωήν· ἔδει παρενεγκεῖν τὸν μονογενῆ τῆς χήρας υἱὸν, καὶ τοῦ ἀρχισυναγώγου τὸ κόριον· ἔδει καὶ τῆς θεοπρεπεστάτης ἐκείνης διαμεμνῆσθαι φωνῆς, ἐπὶ μὲν τῷ τῆς χήρας υἱῷ "Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι," ἐπὶ δὲ τῷ κορίῳ "Ἡ παῖς ἔγειραι·" ἐχρῆν ἐπὶ τούτοις διδάσκειν, ὅτι τυφλοῖς μὲν τὸ βλέπειν, λεπροῖς δὲ τὴν κάθαρσιν ἐχαρίσατο, καὶ πρὸς τούτοις, ὅτι μιᾷ κατεστόρεσεν ἀπειλῇ καὶ θαλάττης ἀγρίας κίνησιν καὶ πνευμάτων ῥαγδαίων καταφορὰν, καὶ εἴ τι πρὸς τούτοις εἴργασται Χριστός. ἀλλ' ἐκεῖνα μὲν ἀχαρίστοις καταχωννύουσι σιωπαῖς, καὶ τὰ δι' ὧν ἦν αὐτὸν ὁρᾶσθαι Θεὸν παρέντες δυστρόπως ἐπὶ μόνους βαδίζουσι παραλογισμούς· ἀνδρὶ δὲ ἀλλογενεῖ καὶ τὴν θείαν ὅλως οὐκ εἰδότι γραφὴν, ἄνθρωπον ὁρῶντι τὸν Ἰησοῦν, ἐπιβοῶσιν οἱ δείλαιοι Υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησε, καίτοι τῆς θεοπνεύστου γραφῆς ἐν ἀνθρωπείῳ σχήματι τὸν τοῦ Θεοῦ Λόγον ἐπιφοιτήσειν ποτὲ τῷ κόσμῳ βοώσης· "Ἰδοὺ γὰρ, φησὶν, ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ "ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον Μεθ' "ἡμῶν ὁ Θεός." τὸ δὲ ἐκ παρθένου τεχθὲν, τί ἂν ἕτερον εἴη λοιπὸν ἢ ἄνθρωπος καθ' ἡμᾶς, ὅσον εἰς τὴν τοῦ σώματος ὄψιν τε καὶ φύσιν; ἦν γὰρ μετὰ τοῦ εἶναι ἄνθρωπος καὶ Θεὸς ἀληθῶς. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ Πόθεν εἶ σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Περιτρέπεται τοῖς Ἰουδαίοις τὸ κακούργημα πρὸς τὸ παρ' ἐλπίδα. οἱ μὲν γὰρ εἰς ὕψος τὴν τοῦ ἐγκλήματος αἴρουσιν 3.70 ἀφορμὴν, εἰς αὐτὸ διεπταῖσθαι λέγοντες τὸ θεῖον τὸ ἐγχείρημα τῷ Χριστῷ· ὁ δὲ τὴν τοῦ πράγματος ὑπεροχὴν, εὐλαβείας ποιεῖται προσθήκην, καὶ φορτικωτέραν δέχεται τὴν ἐκ τοῦ δείματος ἀπειλὴν, ἀκριβής τε γίνεται περὶ αὐτὸν ἢ πρότερον ἦν, καὶ φιλοπευστεῖ λεπτότερον, τίς δὴ ἄρα καὶ πόθεν ἐστὶν, οὐκ ἀπιστήσας, ὥς γε μοι φαίνεται, ὅτι καὶ ἄνθρωπος ὢν, υἱὸς εἶναι δύναται Θεοῦ. δέχεται γεμὴν τὴν ἐπὶ τούτῳ διάληψίν τε καὶ πίστιν, οὐκ ἐκ τῶν ἱερῶν γραμμάτων, ἀλλ' ἐκ πλάνης Ἑλληνικῆς· ἡμιθέους γὰρ καὶ θεῶν καλοῦσι παῖδας οἱ παρ' Ἕλλησι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μῦθοι πολλούς. Ῥωμαῖοι δὲ πάλιν δεισιδαιμονέστερόν πως τὰ τοιαῦτα δρῶντες, ἀεὶ τὴν θείαν ἐπωνυμίαν τοῖς ἐπιφανεστέροις τῶν ἰδίων ἐχαρίζοντο βασιλέων· βωμοὺς δὲ ἱστάντες, καὶ τεμένη δειμάμενοι, πολλοὺς ἀνεστήλωσαν. περιεργάζεται τοιγαροῦν ὁ Πιλάτος πικρότερόν τε καὶ ἀκριβέστερον ἤπερ ἐν ἀρχαῖς, τίς δὴ ἄρα καὶ πόθεν ἐστὶν ὁ Χριστός. ὁ δὲ, φησὶν, οὐκ ἀπεκρίθη αὐτῷ λόγον, τῶν ἰδίων, κατά γε τὸ εἰκὸς, ἐπιμνησθεὶς ῥημάτων. τί γὰρ ἔφη πρὸς αὐτόν; "Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει "μου τῆς φωνῆς." εἰδωλολάτρης δὲ ὢν ὁ Πιλάτος, πῶς ἂν ἐπήκουσε τῆς τοῦ Σωτῆρος φωνῆς, ἀλήθειάν τε καὶ τῆς ἀληθείας τέκνον ἑαυτὸν εἶναι φάσκοντος; ἢ πῶς ἂν ὅλως τὸ τῆς ἀληθείας ὄνομα παρεδέξατο καὶ τετίμηκεν, ὁ καὶ ἐν ἀρχαῖς αὐτὸ διαπτύσας καὶ εἰπὼν "Τί ἐστιν ἀλήθεια," διὰ τὸ τοῖς ψευδωνύμοις ἔτι λατρεύειν θεοῖς καὶ τῷ τῆς ἀπάτης ἐγκεχῶσθαι σκότῳ; Λέγει οὖν αὐτῷ ὁ Πιλάτος Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ὠιήθη ὁ Πιλάτος ἀπονοίας ἔργον εἶναι τὴν σιωπήν. διὰ τοῦτο τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν, καθάπερ τινὰ ῥάβδον 3.71 ἐπανατείνεται, καὶ παρατρέψειν δύνασθαι καὶ οὐχ ἑκόντα τῷ φόβῳ νομίζει πρὸς ἀνόνητον ἀπολογίαν. ῥέψειν γὰρ ἀπαραποδίστως ἐφ' ὅπερ ἂν βούλοιτό φησιν, εἴτ' οὖν κολάζειν, εἴτε καὶ ἐλεεῖν ἕλοιτο τυχόν· παρωθοῦντος δὲ οὐδενὸς εἰς ἀβούλητον κρίσιν, ἐπ' αὐτῷ δὴ κεῖσθαι καὶ μόνῳ τὴν ἐπὶ τῷ κατηγορουμένῳ ῥοπήν. καταιτιᾶται τοίνυν, ὡς ὑβρισμένος διὰ σιωπῆς οὐκ εὐκαίρου, καὶ ὅσον ἧκεν εἰς τοῦτο παρατεθηγμένος ἤδη πρὸς μανίαν τὴν κατ' αὐτοῦ. ἐνενόει γὰρ οὐδαμῶς τῆς σιωπῆς τὸ μυστήριον. ἐπαθρήσεις γεμὴν κἀν τούτῳ καλῶς πληρούμενον τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς προαγγελθέν "Ὡς πρόβατον γὰρ, φησὶν, ἐπὶ σφαγὴν ἤχθη, "καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως "οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ "κρίσις αὐτοῦ ἤρθη." καὶ ταυτὶ μὲν ἡμῖν ὁ μακάριος Ἡσαΐας ἔφη· τὸ δὲ Χριστοῦ πρόσωπον ἀναλαβών φησί που πάλιν ὁ μελῳδὸς ἐν Πνεύματι "Ἐθέμην τῷ στόματί "μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον "μου. ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν." νοήσεις δὲ τὸ ἐξ ἀγαθῶν, ἀντὶ τοῦ κακῶν. εὐφήμως γὰρ ἔθος τῇ θείᾳ γραφῇ τὰ τοιαῦτα λαλεῖν, ὅταν εἰς αὐτὸ τὸ θεῖον φέρηται πρόσωπον. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. διὰ τοῦτο ὁ παρα διδούς με σοι μείζονα ἁμαρτίαν ἔχει. Τίς μὲν ἢ πόθεν ἢ τίνος ἐξέφυ πατρὸς, ἐναργέστερον οὐ φησί. μυστικὸν γὰρ οὕτως ἐπασωτεύεσθαι λόγον εἰς ἀλλογενοῦς ἀκοὰς οὐδὲ ἡμῖν αὐτοῖς ἐφίησι, λέγων "Μὴ δῶτε τὰ "ἅγια τοῖς κυσὶ, μηδὲ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων·" προϊσχομένῳ γεμὴν τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν, καὶ πρὸς πᾶν ὁτιοῦν περιτρέπειν δύνασθαι 3.72 κατὰ τὸ αὐτῷ καὶ μόνῳ δοκοῦν τὴν ἐπ' αὐτῷ κρίσιν ἀσυνέτως ὑπισχνουμένῳ, χρησιμώτατα λίαν ἀντεξάγει τὴν παρ' ἑαυτοῦ δύναμίν τε καὶ ἐξουσίαν, διωκωλύει δὲ ὥσπερ εἰκαίῳ τε καὶ ἀσυνέτῳ φυσήματι καὶ κατ' αὐτῆς τῆς θείας ἐξογκούμενον δόξης. καὶ γάρ τοι κατὰ ἀλήθειαν οὐ μετρίαν ἂν ἐνεποίησέ τισι τὴν ζημίαν, τὸ πρὸς ἀβουλήτους αἰκίας καθειλκύσθαι νομίζειν καὶ οὐχ ἑκόντα Χριστὸν, καὶ τῆς Ἰουδαίων ἡττῆσθαι πλεονεξίας, καίτοι κατὰ φύσιν ὄντα Θεὸν, καὶ τῶν ὅλων βασιλέα κεκηρυγμένον παρὰ τῆς ἁγίας καὶ θεοπνεύστου γραφῆς. ἔλυσε τοίνυν ἡμῖν τοῦ σκανδάλου τὴν ἀφορμὴν, καὶ τὴν ἐπὶ τούτῳ πλάνησιν πρόῤῥιζον ὥσπερ καταστρέφει λέγων Εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. ἄνωθεν δὲ δεδόσθαι τὴν ἐξουσίαν τῷ Πιλάτῳ φησὶν, οὐχ ὡς ἀβούλητον ἐπιφέροντος τοῦ Θεοῦ καὶ Πατρὸς τῷ ἰδίῳ γεννήματι τὸ ἐπὶ τῷ σταυρῷ πάθος, ἀλλ' ὡς αὐτοῦ μὲν τοῦ Μονογενοῦς ἐπιδόντος ἑαυτὸν τῷ παθεῖν ὑπὲρ ἡμῶν, ἀφέντος δὲ τοῦ Πατρὸς τὸ ἐπ' αὐτῷ πληροῦσθαι μυστήριον. δόσις μὲν οὖν ἄρα σαφῶς ἐν τούτοις ἡ παρὰ Πατρὸς συναίνεσίς τε καὶ συγχώρησις, καὶ αὐτὴ δὲ ἡ θέλησις τοῦ Υἱοῦ νοεῖταί τε καὶ λέγεται. ὅτι γὰρ οὐκ ἂν ἐβιάσατο τὴν τοῦ Σωτῆρος δύναμιν ἡ πληθὺς, ἀμφίβολον μὲν οὐδαμῶς· πλὴν εἰδέναι ῥᾴδιον, ἐξ ὧν πολλάκις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιβουλεύσαντες, ὤνησαν μὲν οὐδὲν, ἐλεγχθέντες δὲ μόνον, ὡς ὑβρισταὶ κατεκρίθησαν. καὶ γοῦν ἠθέλησαν αὐτὸν πιάσαι, καθά φησιν ὁ Εὐαγγελιστὴς, ἀλλ' ἐξελθὼν "διὰ μέσου αὐτῶν ἐπορεύετο, καὶ παρῆγεν οὕτως." τὸ δέ Οὕτως φησὶν, ἀντὶ τοῦ, οὐχ ὑπεσταλμένως, οὐ περιδεὴς, οὐ τὸ τῶν διαδιδρασκόντων ἐπιτηδεύσας σχῆμα, ἀνειμένως δὲ μᾶλλον καὶ βαδίσματι τῷ κατὰ συνήθειαν καὶ θορύβου παντὸς ἐλευθέρῳ. θείᾳ γάρ τινι καὶ ἀποῤῥήτῳ δυνάμει κατακρύψας ἑαυτὸν, τοὺς τῶν φονώντων τότε διέλαθεν ὀφθαλμούς· οὐ γὰρ ἤθελέ πω παθεῖν, ἀλλ' οὐδὲ 3.73 ἐφεὶς τὸ δύνασθαι ταῖς τῶν διωκόντων ὀργαῖς ἀνεθέλητον ὥσπερ ἑλέσθαι τὸν κίνδυνον. νεύματι τοιγαροῦν ἰδίῳ, καὶ εὐδοκίᾳ Θεοῦ καὶ Πατρὸς δεδόσθαι φησὶ τῷ Πιλάτῳ τὴν ἐξουσίαν, τοῦ καὶ ὅλως δεδυνῆσθαί τι δρᾷν εἰς αὐτὸν, ὧν ἤδη τετόλμηκεν. ἀχείρωτος γὰρ παντελῶς καὶ οὐκ ἂν ἁλοίη παρά του τῶν ὄντων ἡ θεία τε καὶ ἀνωτάτω φύσις, ᾗ καὶ τὸ πάντων δύνασθαι κρατεῖν ἔνεστι φυσικῶς. μείζονα δὲ καταγράφει τὴν ἁμαρτίαν, δῆλον δὲ ὅτι τὴν εἰς ἑαυτὸν, τῷ Πιλάτῳ προσκεκομικότι, καὶ σφόδρα δικαίως. ὁ μὲν γὰρ ἀρχή τις ὥσπερ καὶ θύρα τῆς εἰς αὐτὸν δυσσεβείας ἐγένετο· τολμημάτων δὲ ἀλλοτρίων ὁ δικαστὴς ὑπουργὸς, καὶ μεριστὴς τῆς Ἰουδαίων ἀνοσιότητος ἐξ ἀκαίρου δειλίας ἀνεδείκνυτο. τίς οὖν ὁ παραδοὺς, βλέπει δὲ εἰς τίνα τῶν ἐγκλημάτων ἡ πρωτουργία; οἶμαι μὲν ὅτι τὸν εὐωνότατον μαθητὴν, μᾶλλον δὲ προδότην ἤδη καὶ τῆς ἰδίας λυμεῶνα ψυχῆς, ἤγουν ἐπ' ἐκείνῳ τῶν ἡγουμένων τὸν ὄχλον, καὶ αὐτὸν δὲ τῶν Ἰουδαίων τὸν δῆμον, ᾧ καὶ τῆς δυσσεβείας ἀναθεὶς τὸ πλέον, οὐκ ἔξω ταύτης παντελῶς τὴν τοῦ Πιλάτου τέθεικε κεφαλήν. Ἐκ τούτου ὁ Πιλάτος ἐζήτει αὐτὸν ἀπολῦσαι· οἱ δὲ Ἰουδαῖοι ἔκραζον λέγοντες Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ Καίσαρι. Ἐπιτείνεται μὲν τῷ Πιλάτῳ τὸ δεῖμα, καὶ γοργοτέραν ἐνεργάζεται τὴν εὐλάβειαν, ὄκνον τε τὸν εἰς τὸ φονεύειν ἐμποιεῖ τὸ διὰ τῶν Ἰουδαίων ἀναφωνούμενον. ἐπεβόων γάρ " Οτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν," ὃν δὴ καὶ μάλιστα κινδύνου μὲν ἀνεῖναι παντὸς, συκοφαντίας δὲ ἁπάσης ἐλευθεροῦν προετεθύμητο, πτοίαν ἔχων εἰς νοῦν τὴν ἐπὶ τούτῳ δεινήν. ὃ δὴ συνέντες οἱ ἐξ Ἰσραὴλ, πρὸς τὴν ἐν ἀρχαῖς 3.74 ὑπονοστοῦσι ψευδομυθίαν, δημαγωγῆσαι λέγοντες τὸν Ἰησοῦν, πλημμελῆσαί τε κατ' αὐτῆς τῆς τοῦ Καίσαρος ἀρχῆς, καὶ τῆς Ῥωμαίων καταστρατεύσασθαι βασιλείας, ὅσον εἰς δύναμιν ἐγχειρήματος· βασιλέα γὰρ, φησὶν, ἑαυτὸν ἐποίησε. καὶ ὅρα τὸ δυσμήχανόν τε καὶ δυσοργότατον τῶν συκοφαντεῖν ἑλομένων κίνημα. πρῶτον μὲν γὰρ, κατὰ τῆς τοῦ Καίσαρος ἀρχῆς δεδρᾶσθαι τὸ τόλμημα διετείνοντο παμψηφεὶ βοῶντες οἱ δείλαιοι. ἀλλ' ὡς οὐ σφόδρα κατηγωνίζοντο, τὴν ἑαυτοῦ βασιλείαν οὐκ ἐπίγειον εἶναι φάσκοντος τοῦ Χριστοῦ, καίτοι τὰς Ῥωμαίων τιμὰς διεκδικοῦντι Πιλάτῳ τὴν εἰς αὐτὸ τὸ θεῖον ἁμαρτίαν εἰσήγαγον λέγοντες "Υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν." ᾤοντο γὰρ οἱ τάλανες ἀκονήσειν διὰ τούτου καὶ οὐχ ἑκόντα Πιλάτον εἰς ἀδιάκριτον ὀργὴν, εὐτολμότατον δὲ καταστήσειν εἰς τὸ καθορίσαι τοῦ Σωτῆρος τὸν θάνατον, τῆς εἰς Θεὸν εὐσεβείας πρόσχημα, τὴν εἰς τοῦτο κίνησιν ποιησάμενον· ἀλλ' ὡς ἀνήνυτον αὐτοῖς τὸ κακουργηθὲν ἀπεδείκνυτο, πάλιν ἐπὶ τὸ ἐξ ἀρχῆς ἀναθέουσι θράσος, κατὰ τῆς τοῦ Καίσαρος ἀρχῆς τετολμῆσθαι λέγοντες τὰ ἐγχειρήματα, καὶ τῆς ἐκείνου καθοπλίζεσθαι δόξης τὸν δικαστὴν ἀνέδην ἐπιβοῶντες, εἰ μὴ βούλοιτο διεκδικεῖν καὶ τῇ πρεπούσῃ καθυποθεῖναι δίκῃ τὸν ἀντειρηκότα Καίσαρι κατ' αὐτοὺς, διὰ τοῦ καὶ ὅλως ἀνέχεσθαι λαβεῖν τοῦ βασιλέως τὴν κλῆσιν, καίτοι τοῦ Καίσαρος οὐ τὴν ἐπουράνιον διεκδικοῦντος ἀρχὴν, ἧς δὴ καὶ μάλιστα Χριστὸς ἦν δεσπότης, ἀλλὰ τὴν κάτω καὶ ἐπίγειον, ἣ καὶ τῆς ἐξουσίας ἤρτητο τοῦ Χριστοῦ. δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι, κατὰ τὸ γεγραμμένον, καὶ τύραννοι δι' αὐτοῦ κρατοῦσι γῆς. ἀθυρογλωττοῦσι τοιγαροῦν οἱ πάντων ἀνθρώπων ἀνοσιώτατοι, καὶ τὴν τοῦ Σωτῆρος διασύρουσι δόξαν ἐκ πολλῆς ἄγαν ἀφιλοθεΐας, οἷς καὶ δικαίως ὁ μακάριος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προφήτης Ἡσαΐας ἐπιπλήττει λέγων "Ὑμεῖς δὲ 3.75 "προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης, "ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν, καὶ ἐπὶ τίνι ἠνοίξατε τὸ στόμα ὑμῶν; οὐχ "ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον;" οὐ γὰρ καθ' ἑνὸς τῶν τυχόντων ἐποιοῦντο τὴν καταβοὴν, καὶ τὴν ἀπύλωτον ἁπλώσαντες γλῶσσαν, πᾶν εἶδος ἁπλῶς ἐπετήδευον συκοφαντίας, ἀλλὰ κατ' αὐτοῦ τοῦ ἰδίου Δεσπότου καὶ τοῦ πάντων κρατοῦντος μετὰ τοῦ Πατρός. τοιγάρτοι δικαίως καὶ τέκνα ἀπωλείας καὶ ἄνομον σπέρμα κεχρηματίκασί τε καὶ γεγόνασιν ἀληθῶς. Ὁ οὖν Πιλάτος ἀκούσας τὸν λόγον τοῦτον ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον Λιθό στρωτον, Ἑβραϊστὶ δὲ Γαββαθά· ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα ἦν ὡσεὶ ἕκτη, καὶ λέγει τοῖς Ἰουδαίοις Ἴδε ὁ βασιλεὺς ὑμῶν. Ὅλον ὥσπερ ἐπιγράφει ταῖς Ἰουδαίων μάλιστα κεφαλαῖς τῆς ἐπὶ Χριστῷ μιαιφονίας τὸ ἔγκλημα ταῦτα λέγων ὁ Εὐαγγελιστής. νενικῆσθαι γὰρ μονονουχὶ καὶ οὐχ ἑκόντα Πιλάτον ταῖς παρ' αὐτῶν ἐνστάσεσιν ἀναφανδὸν ἤδη φησὶ, καὶ τὸν μὲν τοῦ δικαίου παρώσασθαι λόγον, ὀλίγα δὲ σφόδρα τῆς ἀκολουθίας φροντίσαι· διά τε τοῦτο κατεσπάσθαι πρὸς τὸ τοῖς φονῶσι δοκοῦν, καίτοι πολλάκις αὐτοῖς προσλαλήσαντα καὶ διαῤῥήδην προσπεφωνηκότα, μηδενὸς τὸ παράπαν ὑπαίτιον ηὑρῆσθαι τὸν Ἰησοῦν, ὃ δὴ καὶ αὐτὸν ταῖς ἐσχάταις ὑποθήσει δίκαις. κατόπιν γὰρ τοῦ δοκοῦντός τισι τὴν τοῦ δικαίου πέμψας τιμὴν, καὶ τὸν ἐπ' οὐδενὶ τῶν ἀτόπων ἐλληλεγμένον ταῖς Ἰουδαίων μανίαις δωρούμενος, αὐτομάρτυς τῆς ἑαυτοῦ δυσσεβείας ἁλώσεται γεγονώς. ἄνεισι τοίνυν ἐπὶ τοῦ συνήθους βήματος, ὡς ἂν ἤδη φονικὴν ἐξοίσων κατὰ Χριστοῦ τὴν ψῆφον. ἐπισημαίνεται δὲ τήν τε 3.76 ὥραν καὶ τὴν ἡμέραν ὁ θεσπέσιος Εὐαγγελιστὴς χρησίμως καὶ ἀναγκαίως, διά τε αὐτὴν τὴν ἀνάστασιν, καὶ τὸ παρὰ τοῖς ὑποχθονίοις τριήμερον, ἵνα φαίνηται πάλιν ἀληθεύων ὁ Κύριος τοῖς Ἰουδαίοις εἰπών " Ωσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ "κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως "ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς "ἡμέρας καὶ τρεῖς νύκτας." ἐπ' αὐτοῦ δὲ τοῦ βήματος ἐπιδείξας τὸν Ἰησοῦν ὁ Ῥωμαίων στρατηγός Ἴδε φησὶν ὁ βασιλεὺς ὑμῶν. καὶ τί δὴ τοῦτο πάλιν ἐστίν; ἢ γὰρ τοῖς ὄχλοις προσπαίζει λοιπὸν καὶ χαρίζεται μετὰ γέλωτος τὸ ἀθῷον αἷμα τοῖς ἀδίκως αὐτὸ διψήσασιν, ἢ τάχα πως καὶ ὀνειδίζει διασύρων εἰς ὠμότητα τὸν Ἰουδαῖον, ἅτε δὴ καὶ ἀνασχόμενον ὅλως τοσούτοις ἰδεῖν περιπεσόντα κακοῖς, ὃν αὐτοί φασι καὶ ὀνομάζουσιν ὅλως βασιλέα τοῦ Ἰσραήλ. Ἐκραύγασαν οὖν ἐκεῖνοι Ἆρον ἆρον σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλάτος Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἐπιβοῶσι μὲν οὐδὲν ἧττον τὰ ἐν ἀρχαῖς, οὐκ ἐξιστάμενοι τῆς μιαιφονίας, οὐ πρὸς ἡμερότητα μετατιθέμενοι διὰ τὰ ἐμπαίγματα, οὐ ταῖς ἐπενηνεγμέναις αἰκίαις αὐτῷ πρὸς ἠπιότητά πως μεταχωρήσαντες, πρὸς ἀπηνεστέραν δὲ μᾶλλον ἀποταυρούμενοι γνώμην, σταυροῦσθαι παρακαλοῦσι τὸν ἐγείραντα παρ' αὐτοῖς τοὺς νεκροὺς, καὶ τοσούτων αὐτοῖς θαυμάτων ἀναδεδειγμένον ἐργάτην, ἐφ' ᾧ δὴ καὶ λίαν λυπεῖται Πιλάτος, εἰ καὶ τὸν οὕτω λαμπρὰν ἐσχηκότα παρ' αὐτοῖς τὴν ὑπόληψιν, ὡς Υἱόν τε Θεοῦ καὶ βασιλέα νομίζεσθαι, οὐ τεθνάναι δεῖν μόνον, ἀλλὰ καὶ ὠμῶς ἀποθνήσκειν ἐντόνως οὕτω φασί· σταυροῦ γὰρ τὸ χεῖρον οὐδέν. ἔλεγχον τοίνυν ὥσπερ τινὰ καὶ ὀνειδισμὸν ποιεῖται τὴν καταβοὴν ὁ δικάζων, εἰ σταυροῦσθαι βούλονται τὸν ὅλως ἐπὶ τούτοις τεθαυμασμένον, ἃ μεγάλην οὕτως ἔχει τὴν ὑπεροχὴν, ὡς 3.77 ὑπερκεῖσθαι παντὸς ἐπιγείου πράγματος. τί γὰρ ἴσον, τί δὲ οὐκ ἔλαττον Υἱοῦ τε Θεοῦ καὶ βασιλέως; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. Ἀπελάκτισεν ἐν τούτοις ὁ ἠγαπημένος Ἰσραὴλ, καὶ τῆς πρὸς Θεὸν φιλίας ἀναφανδὸν ἐξάλλεται, καὶ κατὰ τὴν Μωυσέως φωνὴν ἐγκαταλέλοιπε Θεὸν τὸν γεννήσαντα αὐτὸν, "καὶ Κυρίου τοῦ βοηθοῦ αὐτοῦ οὐκ ἐμνήσθη." ἄθρει γὰρ ὅπως "ὄψις πόρνης ἐγένετο" αὐτῷ κατὰ τὸ γεγραμμένον, "ἀπηναισχύντησε πρὸς πάντας," ἀπείρηκε τὸ ἴδιον καύχημα, καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν ἑαυτοῦ δεσπότην ἠρνήσατο. ἐπὶ τούτοις αὐτοῖς ᾐτιᾶτο διὰ φωνῆς Ἱερεμίου λέγων καὶ πάλαι Θεός "Ὅτι πορεύθητε εἰς νήσους Χεττιεὶμ, καὶ εἰς Κηδὰρ "ἀποστείλατε, καὶ γνῶτε εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν, "καὶ οὗτοι οὐκ εἰσὶ θεοί· ὁ δὲ λαός μου ἠλλάξατο τὴν "δόξαν αὐτοῦ," καὶ πάλιν "Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ "καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος, ὅτι δύο καὶ "πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν "ὕδατος ζωῆς, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους "οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν." τῶν γὰρ ἑτέρων ἐθνῶν τῶν ἀνὰ πᾶσαν ὄντων τὴν οἰκουμένην τῆς ἰδίας πλάνης ἀπρὶξ ἐξημμένων, ἀραρότως τε ἀγαπώντων οὓς ἐνόμισαν εἶναι θεοὺς, καὶ οὐ λίαν εὐμετάφορον εἰς ἀπόστασιν ἐχόντων διάνοιαν, οὔτε μὴν εὐκόλως εἰς ἑτέρας μεθισταμένων λατρείας, ἀπεπήδησεν ὁ Ἰσραὴλ τῇ τοῦ Καίσαρος ἑαυτὸν προσνέμων ἀρχῇ, καὶ τὴν τοῦ Θεοῦ βασιλείαν ἀπεδύσατο. τοιγάρτοι καὶ σφόδρα δικαίως ταῖς τοῦ Καίσαρος ἐδόθη χερσὶν, οὗ καὶ ἐν ἀρχαῖς τὴν ἐξουσίαν καταδεξάμενος, αὐτός τε διόλωλε κακῶς, ὑπέμεινέ τε τῆς χώρας τὴν ἐξανάστασιν καὶ τὰ ἐκ τοῦ πολέμου πάθη καὶ τὰς ἀνηκέστους ἐκείνας συμφοράς. 3.78 Ἐπιτήρει δὲ πάλιν ἐν τούτοις τοῦ συγγραφέως τὴν ἀκρίβειαν. οὐ γὰρ τὸν δῆμον ἔφη τῆς οὕτω δυσσεβεστάτης κατάρξαι φωνῆς, ἀλλὰ πάλιν αὐτοὺς τοὺς ἡγεῖσθαι λαχόντας. ἐκραύγασαν γὰρ, φησὶν, οἱ ἀρχιερεῖς, πανταχοῦ δεικνὺς, ὅτι τοῖς ἡγουμένοις κατακολουθοῦν τὸ ὑπήκοον ἠνέχθη κατὰ πετρῶν, καὶ εἰς τὸ τῆς ἀπωλείας κατώλισθε βάραθρον. εὐθύνονται τοίνυν οἱ ἀρχιερεῖς, ὡς οὐ μόνον τὰς ἰδίας ἀπολλύντες ψυχὰς, ἀλλὰ καὶ τοῖς ὑπὸ χεῖρα λαοῖς τῆς ὀλεθρίου μιαιφονίας αὐτοὶ γεγονότες ἡγεμόνες καὶ στρατηγοὶ καὶ παραίτιοι, καθάπερ ἀμέλει καὶ ὁ προφήτης αὐτοὺς κατῃτιᾶτο βοῶν "Ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον "ἐκτεταμένον ἐπὶ τὸ ἰταβύριον, ὃ οἱ ἀγρεύοντες τὴν θήραν "κατέπηξαν." σκοπιὰν γὰρ ἐν τούτοις ἀποκαλεῖ τὴν τῶν ὑπὸ χεῖρα πληθὺν, τεταγμένην ὥσπερ τὴν τῶν ἡγουμένων κατασκέπτεσθαι πολιτείαν, διαπλάττειν δὲ οὕτω τὴν ἑαυτῶν. σκοποὶ γὰρ διὰ τοῦτο παρὰ τοῖς ἁγίοις κέκληνται γράμμασιν οἱ λαῶν προτεταγμένοι. παγὶς οὖν ἄρα καὶ δίκτυον τῇ σκοπιᾷ γεγόνασιν οἱ ἀρχιερεῖς αὐτοὶ καὶ τῆς ἀρνήσεως ἀρξάμενοι, καὶ τοὺς ἄλλους ἅπαντας συναναπείσαντες λέγειν Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. τολμῶσι δὲ τοῦτο λέγειν οἱ δείλαιοι, καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς διὰ φωνῆς τοῦ προφήτου τὴν τοῦ Σωτῆρος αὐτοῖς προκαταγγέλλοντος ἄφιξιν, οὕτω τε βοῶντος "Χαῖρε σφόδρα θύγατερ Σιὼν, "κήρυττε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς "ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον." οἱ δὲ καίτοι τῷ πώλῳ τῆς ὄνου τὸν Ἰησοῦν ἐποχούμενον ἀνενεγκόντες εἰς Ἱεροσόλυμα, πανδημί τε νηπίοις ὁμοῦ ταῖς ὑπὲρ ἄνθρωπον καταστέψαντες εὐφημίαις, ἔφασκον γὰρ "Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου," καταβοῶσι νυνὶ, μόνην ἐπιγραφόμενοι τὴν Ῥωμαίων ἀρχὴν, καὶ τῆς ὑπὸ Θεῷ βασιλείας τὸν οἰκεῖον 3.79 ὥσπερ ἀπολύοντες αὐχένα. τοῦτο γὰρ ἦν ἐναργῶς τὸ λέγειν Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. ἀλλ' εὑρήσομεν πάλιν καὶ τότε μὲν ἐπὶ τῷ Σωτῆρι Χριστῷ παρὰ τῶν λαῶν γεγενημένην τὴν εὐφημίαν, παρὰ δὲ τῆς τῶν ἀρχιερέων δυσβουλίας καὶ ταύτην ταῖς ἄλλαις προστετολμῆσθαί φαμεν τὴν καταβοήν. Τότε οὖν παρέδωκεν αὐτοῖς αὐτὸν ἵνα σταυρωθῇ. Ταῖς τῶν Ἰουδαίων ἀκράτοις ὀργαῖς ἀπονέμει λοιπὸν καὶ οὐχ ἑκὼν ὁ Πιλάτος τὴν εἰς πᾶν ὁτιοῦν καὶ τῶν ἔξω νόμων ἀποδρομὴν, καὶ τὴν τοῖς δικάζουσι πρέπουσαν ἐξουσίαν ἀφελὼν, ἀταμιεύτοις ἤδη φέρεσθαι τοῖς θυμοῖς ἀνεγκλήτως ἐφίησι, σταυροῦν ἐπιτρέψας τὸν ἐπ' οὐδενὶ μὲν τῶν φαύλων ἁλόντα παντελῶς, ὅτι δὲ μόνον Υἱὸν ἑαυτὸν ἔφη Θεοῦ παραλόγως κρινόμενον. Ἰουδαίοις μὲν οὖν τὸ πᾶν τοῦ τολμήματος ἐπιγράψαι τις ἂν, καὶ τὴν τῆς πρωτουργίας εἰκότως ἂν οἶμαι καὶ καλῶς ἀναθείη γραφήν· αὐτοὶ γὰρ γεγόνασι τῆς κατὰ Χριστοῦ δυσσεβείας ἀρχή· τὴν δέ γε Πιλάτου κεφαλὴν τῆς ἐκείνων ἀνοσιότητος οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμοιρῆσαί φαμεν, ἀλλ' εἶναι τοῖς δράσασι συνυπαίτιον, ἐπείπερ ἐκρύεσθαί τε καὶ διασώζειν ἐξὸν τῆς τῶν φονώντων μανίας, οὐχ ὅπως ἐξείλετο μόνον, ἀλλὰ καὶ παρέδωκεν οὐχ ἁπλῶς, ἀλλ' ἵνα σταυρώσειαν. Παρέλαβον οὖν τὸν Ἰησοῦν, καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν ἐξῆλθεν εἰς τὸ λεγόμενον κρανίου τόπον, ὃ λέγεται Ἑβραϊστὶ Γολγοθᾶ, ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. Ἀπάγουσι μὲν ὡς τεθνηξόμενον ἤδη τὸν τῆς ζωῆς ἀρχηγὸν, ἐπράττετο δὲ καὶ τοῦτο ὑπὲρ ἡμῶν, δυνάμει τῇ θείᾳ 3.80 καὶ τέχνῃ τῇ ὑπὲρ νοῦν εἰς ἀδόκητόν τινα καὶ ἀντίστροφον θέσιν ἐκτελευτῶντος τοῦ πάθους· παγὶς γὰρ ὥσπερ τῷ τοῦ θανάτου κράτει, τὸ Χριστοῦ πάθος ἐσκευάζετο, καὶ ἀνανεώσεως ἀρχὴ τῆς εἰς ἀφθαρσίαν καὶ καινότητα ζωῆς ὁ τοῦ Κυρίου θάνατος ἦν. τὸ δὲ ἐφ' ᾧπερ ἔμελλε σταυροῦσθαι ξύλον ἐπωμάδιον ἔχων πρόεισι λοιπὸν κατακεκριμένος ἤδη καὶ τὴν ἐφ' αἵματι ψῆφον ἐπ' οὐδενὶ παντελῶς ὑπομείνας κακῷ, καὶ τοῦτο δι' ἡμᾶς. τὰς γὰρ τοῖς ἡμαρτηκόσιν ἐπηρτημένας εὐλόγως ἐκ τοῦ νόμου δίκας εἰς ἑαυτὸν ἐκομίζετο. γέγονε γὰρ "ὑπὲρ ἡμῶν κατάρα," κατὰ τὸ γεγραμμένον, "ἐπικατάρατος γάρ φησι, πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου." ἐπάρατοι δὲ πάντες ἡμεῖς, τὸν θεῖον ἀποπληροῦν οὐκ ἀνεχόμενοι νόμον, "πολλὰ γὰρ πταίομεν ἅπαντες," εὐολισθοτάτη τε πρὸς τοῦτο λίαν ἡ ἀνθρώπου φύσις. ἐπειδὴ δὲ πάλιν ὁ θεῖος ἔφη που νόμος "Ἐπικατάρατος ὃς οὐκ ἐμμένει πᾶσι τοῖς "ἐγγεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι "αὐτά·" ἡμῶν ἄρα, καὶ οὐχ ἑτέρων ἡ ἀρά. οἷς γὰρ ἔγκλημα μὲν ἡ παράβασις, τὸ δὲ τοῦ διορισθέντος ἐξολισθεῖν εὐπετέστατον, αὐτοῖς ἂν εἴη καὶ τὸ εὐθύνεσθαι πρέπον. οὐκοῦν ἐπάρατος δι' ἡμᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν, ἵν' ἡμᾶς ἀπολύσῃ τῆς ἀρχαίας ἀρᾶς. ἐξήρκει γὰρ τοῦτο παθὼν ὑπὲρ πάντων ὁ ὑπὲρ πάντας Θεὸς, καὶ τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς τὴν ἁπάντων λύτρωσιν ἐξωνούμενος. Ἐπικομίζεται τοίνυν, οὐ τὸν αὐτῷ πρέποντα σταυρὸν ὁ Χριστὸς, ἀλλὰ τὸν ἡμῖν ἐπηρτημένον τε καὶ χρεωστούμενον, ὅσον ἧκεν εἰπεῖν εἰς τὴν διὰ νόμου κατάκρισιν. ὥσπερ γὰρ γέγονεν ἐν νεκροῖς, οὐ δι' ἑαυτὸν, ἀλλὰ δι' ἡμᾶς, ἵν' ἡμῖν ἀρχηγὸς τῆς εἰς αἰῶνα ζωῆς εὑρεθῇ, καταλύσας δι' ἑαυτοῦ τοῦ θανάτου τὸ κράτος, οὕτω καὶ τὸν ἡμῖν πρέποντα σταυρὸν εἰς ἑαυτὸν ἀναλαμβάνει, τὴν ἐκ τοῦ νόμου κατάκρισιν ἐν ἑαυτῷ κατακρίνων, ἵνα πᾶσα λοιπὸν ἀνομία ἐμφράξῃ στόμα 3.81 αὐτῆς, κατὰ τὸ ἐν ψαλμοῖς μελῳδούμενον, τοῦ μὴ ἔχοντος ἁμαρτίαν ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας καταδεδικασμένου. ὀνήσει δὲ σφόδρα τὰς ἡμετέρας ψυχὰς τὸ ἐπὶ Χριστῷ τετελεσμένον, εἰς τύπον ἀνδρείας φημὶ δὴ τῆς κατ' εὐσέβειαν. περιέσται γὰρ οἶμαι καθ' ἕτερον ἡμῖν οὐδένα τρόπον τῆς τελειότητος ἐφικέσθαι τῶν ἀγαθῶν, καὶ τῆς πρὸς Θεὸν ὁλοτελοῦς ἑνώσεως, εἰ μὴ τῆς ἐπιγείου ζωῆς ἀμείνω τε ποιησαίμεθα τὴν εἰς αὐτὸν ἀγάπησιν, καὶ προκινδυνεῦσαι τῆς ἀληθείας ἐθέλοιμεν προθυμότατα, καλοῦντος ἡμᾶς εἰς τοῦτο καιροῦ. καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, πᾶς, φησὶν, "ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ "ὀπίσω μου οὐκ ἔστι μου ἄξιος·" τὸ δὲ λαβεῖν τὸν σταυρὸν, οὐδὲν οἶμαι σημαίνειν ἕτερον, ἢ τὸ ἀποτάξασθαι μὲν τῷ κόσμῳ διὰ Θεὸν, δευτέραν δὲ τῶν ἐν ἐλπίσιν ἀγαθῶν καὶ αὐτὴν ποιεῖσθαι τὴν μετὰ σώματος εἰ τύχοι ζωήν. ἀλλ' ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸν ἡμῖν πρέποντα διακομίζων σταυρὸν οὐκ ἐρυθριᾷ, καὶ τοῦτο παθὼν διὰ τὴν εἰς ἡμᾶς ἀγάπησιν· ἡμεῖς δὲ οἱ δείλαιοι, καίτοι μητέρα τὴν ὑπὸ πόδας ταυτηνὶ καὶ ἀναίσθητον ἔχοντες γῆν, καὶ ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι κεκλημένοι, τῶν ὑπὲρ τῆς εὐσεβείας ἱδρώτων οὐδ' ὅσον ἀποθίγειν ἀποτολμῶμεν ἔσθ' ὅτε, ἀλλὰ καὶ εἴ τι γένοιτο παθεῖν διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν, ἀφόρητον εὐθὺς ποιούμεθα τὴν αἰσχύνην, καὶ τὸν τῶν δι' ἐναντίας ἤτοι τῶν εἰωθότων φιλοψογεῖν, ὡς ὀλέθριόν τι χρῆμα παραιτούμενοι γέλωτα, τῆς ὀλίγης ταυτησὶ καὶ προσκαίρου φιλοδοξίας κατόπιν ἐῶντες τὸ δοκοῦν τῷ Θεῷ, τὴν ἁπάντων, ὡς ἔπος εἰπεῖν, μητέρα τῶν κακῶν νοσοῦμεν ὑπεροψίαν, καὶ τοῖς ἐντεῦθεν ἐγκλήμασι περιπίπτομεν. ὑπὲρ γὰρ τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κύριον οἱ δοῦλοι, καὶ ὑπὲρ τὸν διδάσκαλον οἱ μαθηταὶ, φρονοῦμέν τε καὶ πράττομεν. ἀλλ' ὢ τῆς οὕτω δεινῆς ἀσθενείας, παρὰ πόδας ἡμῖν οὐκ οἶδ' ὅπως κειμένης, καὶ τῆς τοῦ πρέποντος θήρας ἀποσφαλλούσης τὸν νοῦν. 3.82 Ἰστέον δὲ ὅτι καὶ ὁ θεσπέσιος Πέτρος οὐ φορητὴν ἐποιήσατό ποτε τὴν πρόῤῥησιν, τὰ ἐπὶ τῷ σταυρῷ προαπαγγείλαντος πάθη τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· ὁ μὲν γὰρ ἔφασκεν "Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ "ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν, καὶ σταυρώσουσιν αὐτὸν, καὶ ἀποκτενοῦσιν·" ὁ δὲ τῆς οἰκονομίας οὔπω συνεὶς τὸ μυστήριον, ἅτε δὴ φιλόθεός τε καὶ φιλοδιδάσκαλος ὢν, ἐξ εὐλαβείας κεκινημένος, ἔφασκεν " Ιλεώς σοι Κύριε, "οὐ μὴ ἔσται σοι τοῦτο·" καὶ τί πρὸς ταῦτα Χριστός; " Ὕπαγε ὀπίσω μου σατανᾶ σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων." ἀλλ' ἔστιν ἐντεῦθεν οὐ μετρίαν ἡμῖν συλλέξαι τὴν ὄνησιν· εἰσόμεθα γὰρ ὅτι καιροῦ καλοῦντος εἰς ἐπίδειξιν ἀνδρείας τῆς κατὰ Θεὸν, καὶ ἀγῶνας τοὺς ὑπὲρ ἀρετῆς εἰσβαίνοντας τληπαθεῖν ἀναγκαῖον, ἀλλὰ κἂν οἱ σφόδρα τιμῶντές τε καὶ ἀγαπῶντες ἀποκωλύωσί τι δρᾶν τῶν ὅσα τελεῖ πρὸς κατόρθωσιν ἀρετῆς, τὴν ἐν ἀνθρώποις τυχὸν ἀδοξίαν προτείνοντες, ἤγουν ἐννοήσαντές τι κοσμικὸν, προσεκτέον οὐδαμῶς. διαφέρουσι γὰρ κατ' οὐδένα τρόπον τοῦ σατανᾶ, ᾧ τὸ σκάνδαλα τιθέναι φίλον, τετριμμένον τε καὶ σύνηθες, ἀπάταις τισὶ καὶ λόγοις ἔσθ' ὅτε μαλακοῖς, τῆς τοῦ συμφέροντος θήρας ἐξέλκειν τὸν ἐκ φιλοθέου γνώμης εἰς τοῦτο παρωρμημένον. καί μοι δοκεῖ τοιοῦτόν τι βούλεσθαι δηλοῦν ὅταν λέγῃ Χριστός "Ἐὰν "οὖν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν "καὶ βάλε ἀπὸ σοῦ." τὸ γὰρ ἀδικοῦν οὐκ οἰκεῖον ἔτι, κἂν τῷ τῆς ἀγάπης θεσμῷ πρὸς ἑνότητα σφίγγηται, κἂν ἡ φύσις αὐτῷ τὸ τῆς πρὸς ἡμᾶς οἰκειότητος χαρίζηται δίκαιον. Ληστῶν δὲ δυὰς συνεσταυρώθη Χριστῷ, τῆς τῶν Ἰουδαίων κακουργίας ἐπινοούσης καὶ τοῦτο. ἀτιμότατον γὰρ ὥσπερ καὶ αὐτὸν τοῦ Σωτῆρος ἐπιδεικνύντες τὸν θάνατον, συγκατακρίνουσι τοῖς ἀνόμοις τὸν δίκαιον. σημεῖον δ' ἂν εἶεν οἱ τῷ Σωτῆρι παρηρτημένοι κατάκριτοι, τῶν ὅσον οὐδέπω 3.83 συναφθήσεσθαι μελλόντων αὐτῷ δύο λαῶν, φημὶ δὴ τοῦ ἐξ Ἰσραὴλ καὶ τοῦ ἐξ ἐθνῶν. κατάκριτος δὲ διὰ τί τῶν τοιούτων ὁ τύπος; Ἰουδαίους μὲν γὰρ ὁ νόμος κατακρίτους ἐδείκνυεν, ἔνοχοι γὰρ ἦσαν ταῖς παραβάσεσιν, Ἕλληνας δὲ ἡ πλάνη· λελατρεύκασι γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα. Καὶ καθ' ἕτερον δὲ τρόπον οἱ Χριστῷ κολλώμενοι καὶ συσταυροῦνται πάντως αὐτῷ· θάνατον γὰρ ὥσπερ τὸν ἐκ τῆς ἀρχαίας ἀναστροφῆς ὑπομένοντες πρὸς νέαν τινὰ καὶ εὐαγγελικὴν ἀναμορφοῦνται ζωήν. καὶ γοῦν ὁ Παῦλος ἔλεγεν "Οἱ δὲ τοῦ Ἰησοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν "σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις," καὶ πάλιν ὡς ἐν τοῖς καθ' ἑαυτὸν περὶ πάντων "Ἐγὼ γὰρ διὰ νόμου νόμῳ "ἀπέθανον, ἵνα Θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ "οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·" ἐπιστέλλει δὲ καὶ πρός τινας "Εἰ οὖν ἀπεθάνετε ἐκ τοῦ κόσμου, τί ὡς ζῶντες "ἐν τῷ κόσμῳ χρηματίζετε;" θάνατος γὰρ κοσμικῆς ἀναστροφῆς εἰς ἀρχὰς ἀναφέρει τῆς ἐν Χριστῷ πολιτείας καὶ ζωῆς. οὐκοῦν ἡ συσταύρωσις τῶν δύο λῃστῶν, σημαίνει πως ἡμῖν διὰ τοῦ συμβεβηκότος, τῶν δύο λαῶν τὴν παράστασιν, συντεθνηξομένων ὥσπερ τῷ Σωτῆρι Χριστῷ, κατά γε τὸ ἀποτάξασθαι κοσμικαῖς ἡδοναῖς, καὶ μηκέτι ζῆν ἑλέσθαι σαρκικῶς, συζησομένων δὲ μᾶλλον τῷ ἰδίῳ Δεσπότῃ, ὅσον ἧκεν εἰς τὸ αὐτῷ πολιτεύεσθαι, καὶ αὐτῷ τὴν ἰδίαν ἀναγράψαι ζωήν. λυμαίνεται δὲ οὐδὲν τῇ τῆς εἰκόνος δυνάμει, τὸ κακούργους εἶναι τοὺς συγκεκρεμαμένους· "ἦμεν γὰρ τέκνα "φύσει ὀργῆς" πρὸ τῆς εἰς Χριστὸν πίστεως, καὶ θανάτῳ πάντες ἔνοχοι, καθάπερ εἴπομεν ἐν ἀρχῇ. Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Τοῦτο δὴ πάντως ἐστὶ τὸ καθ' ἡμῶν χειρόγραφον, ὃ καὶ 3.84 προσηλῶσαί φησιν ὁ θεσπέσιος Παῦλος τῷ ἰδίῳ σταυρῷ τὸν Κύριον, θριαμβεῦσαί τε ἐν αὐτῷ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ὡς νενικημένας δηλονότι καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς ἰδίας ἀποπεσούσας ἀρχῆς. εἰ γὰρ καὶ οὐκ αὐτὸς τὸν τίτλον ἔπηξεν ὁ Σωτὴρ, ἀλλ' ὁ τῆς Ἰουδαίων μανίας συνεργάτης καὶ ὑπουργὸς, ἀλλ' οὖν τῷ ἐφεῖναι γενέσθαι καὶ τοῦτο ὡς αὐτουργὸς ἀναγέγραπται. τεθριάμβευκε δὲ τὰς ἀρχὰς ἐν αὐτῷ. προὔκειτο γὰρ τοῖς ἐθέλουσιν εἰς ἀνάγνωσιν, τὸν ὑπὲρ ἡμῶν παθόντα σημαῖνον, καὶ τὴν ἰδίαν διδόντα ψυχὴν τῆς ἁπάντων ζωῆς ἀντίλυτρον. πάντες μὲν γὰρ οἱ ὄντες ἐπὶ τῆς γῆς, ἐπείπερ ἀρκύων εἴσω τῶν τῆς ἁμαρτίας πεπτώκαμεν· "πάντες γὰρ ἐξέκλιναν, "ἅμα ἠχρειώθησαν" κατά γε τὸ γεγραμμένον· ταῖς τοῦ διαβόλου κατηγορίαις γεγονότες ἔνοχοι, στυγνόν τε καὶ ἀμειδῆ διεζῶμεν βίον. εἶχε δὲ καθ' ἡμῶν χειρόγραφον, τὴν ἐκ τοῦ θείου νόμου τοῖς παραβαίνουσιν ἐπηρτημένην ἀρὰν, καὶ τὴν κατὰ τοῦ τῆς ἀρχαίας ἐκείνης παρολισθήσαντος ἐντολῆς ἐξενεχθεῖσαν ψῆφον, καθ' ὁμοιότητα τὴν ἐκείνου, κατὰ παντὸς ἐρχομένην τοῦ γένους, ἅτε δὴ καὶ παρὰ πάντων παραλυομένου τοῦ δοκοῦντος Θεῷ. οὐ γὰρ δήπου λελύπηται μὲν ἐν Ἀδὰμ διαπταίσαντι Θεὸς, οὐκέτι δὲ ἦν τοιοῦτος ἐν τοῖς μετ' ἐκεῖνον ἀτιμάζουσι τὸ τῷ κτίσαντι δοκοῦν, ἀλλ' ὡς ἐφ' ἑνὸς κατὰ πάντων ὁ τοῖς πλημμελοῦσιν ἐπηρτημένος ἐξετείνετο νόμος. ἦμεν οὖν ἐπάρατοι, καὶ τῇ θείᾳ ψήφῳ κατακεκριμένοι, διά τε τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν ἐκ τοῦ μετ' ἐκεῖνον διορισθέντος νόμου· ἀλλὰ τοῦτο τὸ καθ' ἡμῶν χειρόγραφον ἐξήλειψεν ὁ Σωτὴρ, προσηλώσας τὸν τίτλον τῷ ἰδίῳ σταυρῷ, σαφῶς εὖ μάλα σημαίνοντα τὸν ἐπὶ τῷ ξύλῳ θάνατον, ὃν ὑπὲρ τῆς τῶν καταδεδικασμένων ὑπέστη ζωῆς. ἐξέτισε γὰρ ὑπὲρ ἡμῶν τὰς ὑπὲρ τῶν ἐγκλημάτων 3.85 δίκας. εἰ γὰρ καὶ εἷς ἦν ὁ πάσχων, ἀλλ' ἦν ὑπὲρ πᾶσαν τὴν κτίσιν, ὡς Θεὸς, καὶ τῆς ἁπάντων ζωῆς ἀξιώτερος. διά τοι τοῦτο, καθὰ καὶ ὁ ψάλλων φησὶν, ἐνέφραξε μὲν ἀνομία πᾶσα τὸ στόμα αὐτῆς, κατηργήθη δὲ τρόπον τινὰ τῆς ἁμαρτίας ἡ γλῶττα, καταλέγειν ἔτι τῶν ἡμαρτηκότων οὐκ ἔχουσα. δεδικαιώμεθα γὰρ, ἐκτετικότος ὑπὲρ ἡμῶν τὰ ὀφλήματα τοῦ Χριστοῦ· "τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν," κατὰ τὸ γεγραμμένον. ὥσπερ δὲ διὰ τοῦ ξύλου τὸ ἐκ τῆς ἀποπτώσεως ἡμῖν ἐξεμηχανήθη κακὸν, οὕτω δὴ πάλιν διὰ ξύλου γέγονεν ἡ εἰς ὅπερ ἦμεν ἐν ἀρχαῖς ἀναδρομὴ, καὶ τῶν οὐρανίων ἀγαθῶν ἡ τριπόθητος ἐπανάληψις, καὶ αὐτὴν ὥσπερ τοῦ νοσήματος τὴν ἀρχὴν ἀνακεφαλαιουμένου δι' ἡμᾶς εἰς ἑαυτὸν τοῦ Χριστοῦ. Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστὶ Ῥωμαϊστὶ Ἑλληνιστί. Εὐμηχάνως δὴ λίαν καὶ διὰ θείας τινὸς καὶ ἀῤῥήτου πάλιν οἰκονομίας ἀνατεθεῖσθαι τὸν τίτλον φαίη τις ἂν τριπλῆν ἔχοντα τὴν γραφὴν, Ἑβραϊστὶ, Ῥωμαϊστὶ, Ἑλληνιστί· προὔκειτο γὰρ ἐναργῶς τὴν τοῦ Σωτῆρος ἡμῶν βασιλείαν ὁμολογῶν διὰ τριῶν τέως τῶν ἁπασῶν ἐπιφανεστέρων γλωσσῶν, καὶ ἀπαρχὴν ὥσπερ τινὰ τῷ σταυρωθέντι προσάγων τῆς περὶ αὐτοῦ λαληθείσης προφητείας. ἔφη γάρ που Δανιὴλ ὁ σοφώτατος, ὅτι "αὐτῷ ἐδόθη ἡ τιμὴ καὶ ἡ βασι"λεία καὶ πᾶσαι αἱ φυλαὶ καὶ γλῶσσαι αὐτῷ δουλεύσουσιν," ἀλλὰ καὶ Παῦλος ἡμῖν ὁ ἱερώτατος ἐπιστέλλει βοῶν, ὅτι "πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ "καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι "Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός." ἀπαρχὴ τοιγαροῦν ὥσπερ τις ἀληθὴς τῆς τῶν γλωσσῶν ὁμολογίας ὁ τίτλος ἦν, βασιλέα κηρύσσων τὸν Ἰησοῦν. ἦν δὲ καὶ ἑτέρως τῆς Ἰουδαίων ἀφιλοθεΐας κατήγορος, μονονουχὶ διαῤ 3.86 ῥήδην ἀνακεκραγὼς τοῖς συνθέουσι πρὸς ἀνάγνωσιν, ὅτι τὸν οἰκεῖον ἐσταύρωσαν βασιλέα καὶ Κύριον, τῆς εἰς αὐτὸν ἀγάπης ἀλογήσαντες παντελῶς, καὶ πρὸς τὴν ἁπασῶν ἐσχάτην ἀναισθησίαν πεσόντες οἱ δείλαιοι. Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων Μὴ γράφε Ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε Βασιλεύς εἰμι τῶν Ἰουδαίων. ἀπεκρίθη ὁ Πιλάτος Ὃ γέγραφα γέ γραφα. Ἀφορήτως ἔχουσι πρὸς τὴν ἐπὶ τῷ τίτλῳ γραφὴν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καὶ δριμὺς αὐτοὺς εἰσέδραμε φθόνος. ἀρνοῦνται δὲ πάλιν τὴν Χριστοῦ βασιλείαν, καὶ ἀληθῶς μὲν αὐτὸν οὐ κατάρξαι φασὶν, οὔτε μὴν εἰς βασιλέα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραδεδέχθαι πώποτε, λόγῳ γεμὴν κεχρῆσθαι τοιούτῳ φασὶν, ἐκ πολλῆς ἄγαν τῆς ἐνούσης αὐτοῖς εὐηθείας ἠγνοηκότες καὶ τοῦτο, ὡς οὐκ ἂν ψευδομυθήσαι ποτὲ τῆς ἀληθείας ἡ φύσις· ἀλήθεια δὲ ὁ Χριστός· βασιλεὺς οὖν ἄρα τῶν Ἰουδαίων, εἴπερ οὕτως ἑαυτὸν ἐλέγχεται κεκληκὼς, καθὰ καὶ αὐτοὶ δι' οἰκείας τοῦτο κρατύνουσι φωνῆς. ἀποσείεται δὲ Πιλάτος μεταποιεῖσθαι τὴν γραφὴν ἐξαιτεῖν ἐθέλοντας, οὐ μέχρι παντὸς τὴν τοῦ Σωτῆρος ἡμῶν ἀδικῆσαι δόξαν συγχωρούμενος, θείῳ δηλονότι καὶ ἀῤῥήτῳ νεύματι. πεπηγμένη γὰρ καὶ ἀσυκοφάντητος ἡ Χριστοῦ βασιλεία, κἂν Ἰουδαῖοι μὴ βούλωνται, παραχαράττειν ἐπιχειροῦντες τῆς εἰς αὐτὸν δόξης τὴν ὁμολογίαν. Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. εἶπον οὖν πρὸς ἀλλήλους Μὴ σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα 3.87 ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. Διενείμαντο μὲν οἱ στρατιῶται τὰ τοῦ Σωτῆρος ἱμάτια, θηριοπρεποῦς ἀγριότητος καὶ τῆς ἐνούσης αὐτοῖς ἀπανθρωπίας καὶ τοῦτο δεικνύντες σημεῖον. ἐν ἔθει γάρ πως ἐστὶ τοῖς κολασταῖς ἥκιστα μὲν ἐπαλγεῖν ταῖς τῶν κατακρίτων ταλαιπωρίαις, ἀπηνέστερον δὲ ἢ προσῆκεν ἔσθ' ὅτε τοῖς προστεταγμένοις ὑπηρετεῖν, καὶ ταῖς τῶν πασχόντων ἐπανδρίζεσθαι συμφοραῖς, καὶ ὥσπερ τινὰ κλῆρον καθικόμενον εἰς αὐτοὺς, ἐξ ἀναγκαίου τε καὶ νομίμου λόγου, τὸν τῶν ἱματίων ποιεῖσθαι σφετερισμόν. εἰς τέσσαρα τοίνυν διελόντες μέρη τὰ διηρπασμένα, σῶόν τε καὶ ἀδιάτμητον τηροῦσι τὸν ἕνα. διαῤῥηγνύναι γὰρ οὐ δοκεῖ τὸ μὴ παντελῶς ἀχρειοῦν ἀρέσαν αὐτοῖς· κληρωτὸν τοιγαροῦν ἐποιήσαντο δῶρον. οὐ γὰρ ἐνεχώρει ψεύσασθαι λέγοντα τὸν Χριστὸν διὰ τῆς τοῦ ψάλλοντος φωνῆς "Διεμερίσαντο τὰ "ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον "κλῆρον." ταυτὶ μὲν οὖν ἅπαντα προανεφωνεῖτο χρησίμως, ἵν' εἰδείημεν ἡμεῖς ταῖς τῶν πραγμάτων ἐκβάσεσι τοὺς λόγους συμβάλλοντες, ὅτιπερ αὐτός ἐστιν ὁ προηγγελμένος ἥξειν τε ὑπὲρ ἡμῶν ἐν τῇ καθ' ἡμᾶς εἰκόνι, καὶ ὑπὲρ τῆς ἁπάντων ζωῆς τεθνάναι προσδοκώμενος. οὐ γὰρ δή τις οἰήσεται νοῦν ἔχων, ὡς ἠνέσχετο ἂν καὶ αὐτὸς ὁ Σωτὴρ, κατὰ τὴν τῶν Ἰουδαίων ἀσυνεσίαν, διυλίζειν τὸν κώνωπα, τουτέστι τὰ λεπτά τε καὶ ἰσχνότατα τῶν παθημάτων προαναφωνεῖν, ὡς καὶ τῆς τῶν ἱματίων μεμνῆσθαι διανομῆς, καταπίνειν δὲ ὥσπερ τὴν κάμηλον, τουτέστι τὰ μεγάλα καὶ ὑπερφερῆ τῶν τολμημάτων εἰς ἀσέβειαν οὐ πολλοῦ τινος ἀξιῶσαι λόγου, προκεχρησμῴδηκε δὲ μετ' ἐκείνων καὶ ταῦτα· 3.88 πρῶτον μὲν ἵνα γινώσκωμεν, ὅτι Θεὸς κατὰ φύσιν ὑπάρχων. τῶν ἔσεσθαι μελλόντων ἠγνόησεν οὐδὲν, εἶτα πρὸς τούτοις, ἵνα πιστεύωμεν αὐτὸν ἀληθῶς εἶναι τὸν προκεκηρυγμένον, διὰ πολλῶν ὅσων τῶν ἐπ' αὐτῷ τετελεσμένων ἐπὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν ποδηγούμενοι. Εἰ δὲ δεῖ τι πάλιν καὶ ἐπὶ τῇ τῶν ἱματίων διανομῇ περισκεψαμένους εἰπεῖν, ὃ καὶ βλάβος μὲν οἴσει παντελῶς οὐδὲν, ὀνήσει δὲ τάχα τοὺς ἐντευξομένους, ἐρῶ δὴ καὶ τοῦτο. εἰς τέσσαρα μέρη τὰ τοῦ Σωτῆρος διελόντες ἱμάτια, ἀμέριστον τηροῦσι τὸν ἕνα, τῆς ἀφράστου σοφίας τοῦ Μονογενοῦς διοικουμένης ὥσπερ τι καὶ διὰ τούτου σημεῖον μυστικῆς οἰκονομίας, δι' ἧς ἔμελλε τὰ τέσσαρα τῆς οἰκουμένης ἀνασώζεσθαι μέρη. ἐμερίσαντο γὰρ οἱονεί πως καὶ ἀμερίστως ἔχει τὰ τέσσαρα τῆς οἰκουμένης μέρη τὸ ἅγιον ὄντως τοῦ Λόγου περίβλημα, τουτέστι τὸ σῶμα αὐτοῦ. κατακερματιζόμενος γὰρ ἐν τοῖς καθ' ἕνα, καὶ τὴν ἑκάστου ψυχὴν ἁγιάζων μετὰ τοῦ σώματος διὰ τῆς ἰδίας σαρκὸς ὁ Μονογενὴς, ὁλοκλήρως καὶ ἀμερίστως ἐν ὅλοις ἐστὶν εἷς ὑπάρχων πανταχῇ· μεμέρισται γὰρ οὐδαμῶς κατὰ τὴν τοῦ Παύλου φωνήν. τοιαύτην ἡμῖν τοῦ κατ' αὐτὸν μυστηρίου τὴν δύναμιν καὶ ἡ τοῦ νόμου καταγράφει σκιά. διετύπου γὰρ λαμβάνεσθαι τὸν ἀμνὸν κατὰ τὸν αὐτῷ πρέποντα καιρὸν, λαμβάνεσθαι δέ πως, οὐχ ἑκάστῳ κατὰ κεφαλὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμνὸν ἕνα, κατ' οἶκον δὲ μᾶλλον καὶ κατὰ πληθύν· συλλήψεται γὰρ, φησὶν, ἕκαστος τὸν γείτονα καὶ τὸν πλησίον αὐτοῦ. καὶ μερίζεσθαι μὲν οὕτω κεκέλευκεν εἰς πολλοὺς τὸν ἀμνὸν, ἀλλ' ἵνα μὴ πάλιν ἐξ οἴκου πρὸς οἶκον ἀποκομισθέντων αὐτοῦ τῶν κρεῶν καταμερίζεσθαί πως διὰ 3.8 τοῦτο δοκῇ, προσεπιτάττει λέγων "Ἐν οἰκίᾳ μιᾷ βρωθήσεται· οὐκ ἐξοίσετε ἀπὸ τῶν κρεῶν αὐτοῦ ἔξω." ἄθρει γὰρ ὅπως, καθάπερ ἔφην ἀρτίως, καὶ ἐν τύποις αὐτῷ καὶ σκιαῖς τετήρηκεν ἡ γραφὴ τὸ μερίζεσθαι μὲν εἰς πολλοὺς, οἵπερ ἂν εἶεν ἐν ἑκάστη τυχὸν οἰκίᾳ, προμηθέστατα δὲ πάλιν καὶ τὸ μὴ μερίζεσθαι δοκεῖν, ἀλλὰ τελείως τε καὶ ὁλοκλήρως ὡς ἕνα ἐν πᾶσι μεριστῶς τε ἅμα καὶ ἀμερίστως εὑρίσκεσθαι. τοιοῦτον δή τι νοήσεις καὶ ἐπὶ τοῖς ἱματίοις αὐτοῦ· τὰ μὲν γὰρ εἰς τέσσαρα διενεμήθη μέρη, μεμένηκε γεμὴν ἀδιανέμητος ὁ χιτών. Λυπεῖ δὲ οὐδὲν προσθεῖναι κἀκεῖνο, ὡς εἴπερ τις ἕλοιτο τὸν χιτῶνα τὸν ἄνωθεν ὑφαντόν τε καὶ ἄραφον, ὅσον ἧκεν εἰς θεωρίας δύναμιν, εἰς δήλωσιν περιτρέπειν τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ, διὰ τὸ συνόδου καὶ οἱονεὶ συμβολῆς τινος δίχα τῆς ἀνδρός τε καὶ γυναικὸς γενέσθαι τοῦτο, τῇ δὲ τοῦ Πνεύματος ἐνεργείᾳ καὶ τῇ δυνάμει τῇ ἄνωθεν εἰς τὸ αὐτῷ πρέπον ἐξυφάνθαι σχῆμα, δεδέχθω καὶ τοῦτο. τὰ γὰρ δὴ τῶν θεωρημάτων, οὐδὲν κατὰ τῶν ἀναγκαίων εἰσκομίζοντα βλάβος, ὠδίνοντα δὲ μᾶλλον τὸν ἐφ' ᾧπερ ἄν τις ὠφελοῖτο τυχὸν, πῶς οὐκ ἀμαθὲς οὐκ ἀποσείεσθαι, μᾶλλον δὲ πῶς οὐκ ἀκόλουθον ἐπαινεῖν, τῆς ἀρίστης ὄντα διανοίας εὑρήματα; Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλοπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Διαμέμνηται καὶ τούτου χρησίμως ὁ θεσπέσιος Εὐαγγελιστὴς, οὐδένα τῶν ἱερῶν ἀποπίπτοντα λόγων καὶ κατὰ τοῦτο δεικνύς. τί δὲ δὴ πάλιν εἰς τοῦτό φαμεν; ἐκθήσομαι γάρ. παρισταμένας εἰσφέρει τῷ σταυρῷ, τήν τε μητέρα αὐτοῦ, καὶ σὺν αὐτῇ τὰς ἑτέρας, δῆλον δὲ ὅτι κλαούσας. φιλόδακρυ 3.0 γάρ πως ἀεὶ τὸ θηλειῶν ἐστι γένος, καὶ πολὺ δὴ λίαν εἰς θρήνους εὐπετὲς, ὅταν δὴ μάλιστα καὶ πλουσίας ἔχοι τοῦ δακρυῤῥοεῖν τὰς ἀφορμάς. τί δὴ οὖν ἄρα τὸ λεπτομυθεῖν ἀναπεῖσαν τὸν μακάριον Εὐαγγελιστὴν, ὡς καὶ τῆς τῶν γυναίων διαμεμνῆσθαι παραμονῆς; σκοπὸς γὰρ αὐτῷ γέγονε διδάξαι κἀκεῖνο, ὅτι καὶ αὐτὴν κατὰ τὸ εἰκὸς τὴν τοῦ Κυρίου μητέρα τὸ ἀδοκήτως συμβεβηκὸς ἐσκανδάλισε πάθος, καὶ μικροῦ τοῦ πρέποντος ἐξέστησε λογισμοῦ πικρὸς ὢν λίαν ὁ ἐπὶ τῷ σταυρῷ θάνατος· καὶ πρός γε τούτῳ, τὰ τῶν Ἰουδαίων ἐμπαίγματα, καὶ αὐτοὶ δὲ τάχα προσεδρεύοντες τῷ σταυρῷ καὶ διαγελῶντες οἱ στρατιῶται τὸν ἐξηρτημένον, καὶ αὐτῆς ἐν ὄψει τῆς μητρὸς τὸν τῶν ἱματίων τολμήσαντες μερισμόν. μὴ γὰρ ἐνδοιάσῃς, ὅτι τοιούτους τινὰς εἰσεδέξατο λογισμούς Γεγέννηκα μὲν ἐγὼ τὸν ἐπὶ ξύλου γελώμενον· ἀλλ' Υἱὸν ἑαυτὸν ἀληθινὸν εἶναι λέγων τοῦ πάντων κρατοῦντος Θεοῦ, τάχα που καὶ διεσφάλετο, ἐπλανᾶτο κατὰ τὸ εἰκός "Ἐγώ "εἰμι λέγων ἡ ζωή·" πῶς ἐσταυρώθη; κατὰ τίνα δὲ τρόπον τοῖς τῶν φονώντων ἐνεπνίγη βρόχοις; πῶς οὐ κεκράτηκε τῆς τῶν διωκόντων ἐπιβουλῆς; πῶς δὲ οὐ κάτεισιν ἀπὸ τοῦ σταυροῦ, καίτοι τῷ Λαζάρῳ παλινδρομεῖν ἐπιτάξας εἰς ζωὴν, καὶ ὅλην τοῖς θαύμασι καταπλήξας τὴν Ἰουδαίαν; καὶ εἰκός γε δὴ σφόδρα τὸ μυστήριον οὐκ εἰδὸς ἐν τοιούτοις τισὶ τὸ γύναιον ὀλισθῆσαι διαλογισμοῖς· χρὴ γὰρ ἐννοεῖν ποιοῦντας ὀρθῶς, ὅτι τῶν συμβεβηκότων ἡ φύσις δεινὴ πρὸς τὸ καταστρέψαι καὶ τὸν νήφοντα λογισμόν. θαυμαστὸν δὲ οὐδὲν εἰ παρώλισθέ πως εἰς τοῦτο γυνή· εἰ γὰρ καὶ αὐτὸς ὁ τῶν ἁγίων μαθητῶν πρόκριτος Πέτρος ἐσκανδαλίσθη ποτὲ, λέγοντος τοῦ Χριστοῦ καὶ διδάσκοντος ἐναργῶς, ὅτι μέλλοι παραδοθῆναι "εἰς χεῖρας ἁμαρτωλῶν," καὶ σταυρὸν ὑπομένειν καὶ θάνατον, ὡς ἀναφωνῆσαι προαλέστερον " Ιλεώς "σοι Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο·" τί τὸ παράδοξον, εἰ 3.91 πρὸς ἐννοίας ἀσθενεστέρας ὁ τρυφερὸς τοῦ γυναίου συνηρπάζετο νοῦς; καὶ ταῦτά φαμεν οὐ καταστοχαζόμενοι μάτην, ὡς ἄν τῳ δοκοίη, ἀλλ' ἐκ τῶν γεγραμμένων περὶ τῆς τοῦ Κυρίου μητρὸς ἰόντες εἰς ὑποψίας. μεμνήμεθα γὰρ ὅτι Συμεὼν ὁ δίκαιος, ὅτε βρέφος ὄντα τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κύριον "εἰς τὰς "ἀγκάλας ἐδέξατο," κατὰ τὸ γεγραμμένον, προευχαριστήσας καὶ εἰπών "Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ "τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ "σωτήριόν σου," καὶ πρὸς αὐτὴν ἔφη τὴν ἁγίαν παρθένον "Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν "τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ "αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία· ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί." ῥομφαίαν γὰρ ἔλεγε τὴν ὀξεῖαν τοῦ πάθους προσβολὴν πρὸς λογισμοὺς ἐκτόπους κατατέμνουσαν τοῦ γυναίου τὸν νοῦν. δοκιμάζουσι γὰρ οἱ πειρασμοὶ τὰς τῶν πασχόντων καρδίας, καὶ τοὺς ἐνόντας αὐταῖς ἀπογυμνοῦσι λογισμούς. Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ Γύναι, ἴδε ὁ υἱός σου. εἶτα λέγει τῷ μαθητῇ Ἴδε ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Προενόησε τῆς μητρὸς, ἀλογήσας ὥσπερ τῆς τοῦ πάθους ἀκμῆς· ἦν γὰρ καὶ πάσχων ἀπαθής. παραδίδωσι δὲ τῷ ἠγαπημένῳ μαθητῇ, Ἰωάννης δὲ οὗτος ἦν ὁ τοῦ βιβλίου συγγραφεὺς, ἀπάγειν δὲ οἴκαδε κελεύει, καὶ ἐν τάξει ποιεῖσθαι μητρὸς, αὐτῇ τε αὖ πάλιν παρεγγυᾷ τὸν γνήσιον οἴεσθαι μαθητὴν οὐδὲν ἕτερον ὑπάρχειν ἢ εἰς υἱὸν ἀληθῶς, διὰ φειδοῦς δηλονότι καὶ φιλοστοργίας, τὴν τοῦ κατὰ φύσιν υἱοῦ πληροῦντά τε καὶ ἀπομιμούμενον χρείαν. Ἀλλ' ὥσπερ ᾠήθησαν τῶν ἀσυνέτων τινές Ἆρα μὴ φιλοσαρκήσας ταυτὶ δήπου φησὶν ὁ Χριστός; ἄπαγε τῆς 3.92 δυσβουλίας· ἁρμόσει γὰρ μόνοις τοῖς ἀπόπληκτον ἔχουσι τὴν διανοίαν, τὸ πρὸς τοῦτο μωρίας κατολισθεῖν. τί οὖν ἄρα τῶν χρησίμων εἰργάζετο διὰ τούτου Χριστός; πρῶτον μὲν ἐκεῖνό φαμεν, ὅτι μάθημα κρατύνειν ἤθελε τὸ καὶ νόμῳ τετιμημένον. τί γὰρ ὁ διὰ Μωυσέως ἔφη θεσμός; "Τίμα τὸν "πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται." καὶ οὐ μέχρι τοῦ προτρέπεσθαι δεῖν τὸν ἐπὶ τούτῳ λόγον ἡμῖν ἐποιήσατο, ἀλλ' ἤδη καὶ τὴν ἐσχάτην ἡμῖν προσηπείλησε δίκην τοῖς μὴ τοῦτο δρᾶν ἑλομένοις· ἐν ἴσῳ δὲ ὥσπερ τέθεικε λόγῳ τὸ εἰς Θεὸν ἁμαρτεῖν καὶ τοὺς κατὰ σάρκα φύσαντας. τὸν μὲν γὰρ δύσφημον ὁ νόμος τὴν ἐπὶ θανάτῳ ψῆφον ὑπομένειν κεκέλευκεν· "Ὀνομάζων γὰρ, φησὶ, τὸ ὄνομα Κυρίου "θανάτῳ θανατούσθω·" τὸν δὲ τοῖς γονεῦσιν ἀκρατῆ καὶ ἀχάλινον ἐξοπλίζοντα γλῶσσαν ταῖς ἰσοστάθμοις ὑπετίθει ποιναῖς· "Ὁ κακολογῶν γὰρ, φησὶ, πατέρα ἢ μητέρα θανάτῳ "τελευτάτω." εἶτα τοσαύτην τοῦ νομοθέτου τιμὴν ἀπονέμεσθαι δεῖν διατεταχότος παρ' ἡμῶν τοῖς φύσασι, πῶς οὐκ ἔδει τὴν οὕτω διαβόητον ἐντολὴν καὶ ταῖς τοῦ Σωτῆρος κρατύνεσθαι ψήφοις, καὶ ἐπείπερ ἡ παντὸς ἀγαθοῦ καὶ ἁπάσης ἀρετῆς ἰδέα διὰ πρώτου κεχώρηκεν αὐτοῦ, τί μὴ ταῖς ἄλλαις συνέθει καὶ αὐτή; τρόπος γὰρ ὄντως ἀρετῆς ὁ τιμαλφέστατος ἡ εἰς γονέας τιμή. τὸ δὲ μὴ πάρεργον ποιεῖσθαι τὴν εἰς αὐτοὺς ἀγάπησιν, κἂν ἀφόρητοί τινες ἡμᾶς περικλύζωσι συμφοραὶ, πόθεν ἦν εἰπέ μοι μαθεῖν, εἰ μὴ ἐν πρώτῳ καὶ διὰ πρώτου Χριστοῦ; ἄριστος γὰρ ἀληθῶς ὁ τῶν ἁγίων διαμεμνημένος ἐντολῶν, καὶ τῆς τοῦ πρέποντος θήρας οὐκ ἐξωθούμενος, οὐχ ὁ ἐν γαλήνῃ πραγμάτων, ἀλλ' ὁ ἐν χειμῶνι καὶ κλύδωνι τοῦτο μὴ παθών. Πρὸς δέ γε τοῖς εἰρημένοις κἀκεῖνό φημι, ὅτι τῆς οἰκείας μητρὸς σκανδάλῳ περιπεσούσης καὶ λογισμῶν ἀταξίαις ἐμπεφυρμένης, πῶς οὐκ ἔδει προνοεῖν τὸν Κύριον; Θεὸς γὰρ ὢν ἀληθινὸς, καὶ εἰς τὰ τῆς καρδίας βλέπων κινήματα, καὶ τὰ ἐν τῷ βάθει γινώσκων, πῶς ἂν ἠγνόησε τὰς κατ' 3.93 ἐκεῖνο δὴ μάλιστα καιροῦ συνταραττούσας αὐτὴν ἐννοίας ἐπὶ τῷ τιμίῳ σταυρῷ; εἰδὼς οὖν ἄρα τοὺς ἐν αὐτῇ διαλογισμοὺς, ἀρίστῳ μυσταγωγῷ παρεδίδου τῷ μαθητῇ, τὸ τοῦ μυστηρίου βάθος ἐκδιηγεῖσθαι καλῶς τε καὶ οὐκ ἀνικάνως ἔχοντι. σοφὸς γὰρ ἦν ὄντως καὶ θεολόγος, ὃς καὶ δέχεταί τε καὶ ἀποκομίζει χαίρων, πᾶσαν ἐπ' αὐτῇ πληρώσων τοῦ Σωτῆρος τὴν βούλησιν. Μετὰ τοῦτο Ἰησοῦς ἰδὼν ἤδη ὅτι πάντα τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει Διψῶ. σκεῦος ἔκειτο ὄξους μεστόν· σπόγγον οὖν μεστὸν ὄξους ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. Πεπληρωμένης ἁπάσης ἀσεβείας ἐπὶ Χριστῷ παρὰ τῆς τῶν Ἰουδαίων ἀνοσιότητος,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ λοιπὸν ἐλλείποντος οὐδενὸς εἰς τὸ φαίνεσθαι τελείως ἔχουσαν τὴν ὑπὲρ λόγον ὠμότητα, πάσχει τι πάλιν ἐν τελευταίοις ἡ σὰρξ ἴδιόν τε καὶ φυσικόν· εἰσδέχεται γὰρ τὸ διψῆν ταῖς πολυτρόποις αἰκίαις ξηρανομένη. δεινοὶ γὰρ οἱ πόνοι πρὸς τὸ ἀναγκᾶσαι διψῆν, ἐμφύτῳ τινὶ καὶ ἀφράστῳ θερμότητι τὴν ἐν τῷ βάθει δαπανῶντες ἰκμάδα, καὶ διαπύροις τισὶ προσβολαῖς τὸ τοῦ πάσχοντος διακαίοντες σπλάγχνον. ἦν μὲν γὰρ οὐ χαλεπὸν τῷ πάντα ἰσχύοντι Θεῷ Λόγῳ ἀποστῆσαι καὶ τοῦτο τῆς ἰδίας σαρκὸς, ἀλλ' ὥσπερ ἑκὼν ἐφῆκε παθεῖν τὰ ἕτερα, πάσχει καὶ τοῦτο καθ' ἑκούσιον βούλησιν. οὐκοῦν ἐζήτει πιεῖν. οἱ δὲ ἦσαν οὕτως ἀφιλοικτίρμονες καὶ ἀγάπης τῆς φιλοθέου μακρὰν, ὡς ἀντὶ ποτοῦ πεφυκότος ὠφελεῖν, τὸ ἀδικοῦν ἐπιδοῦναι, καὶ προσθήκην ἀσεβείας καὶ αὐτὸ τῆς ἀγάπης τὸ χρῆμα ποιήσασθαι. τὸ γὰρ ὅλως αἰτοῦντι προσενεγκεῖν, πῶς οὐχὶ τὸ 3.94 τῆς ἀγάπης ἐπλάττετο σχῆμα; ἀλλ' οὐκ ἦν ἐφικτὸν διαψεύσασθαί ποτε τὴν θεόπνευστον γραφὴν, ὡς ἐκ προσώπου λέγουσαν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ περὶ αὐτῶν "Καὶ "ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου "ἐπότισάν με ὄξος." Ἀλλ' ὁ μὲν μακάριος Εὐαγγελιστὴς Ἰωάννης, τὸν σπόγγον τοῦ ὄξους ὑσσώπῳ περιθέντας προσκομίσαι φησί· Λουκᾶς γεμὴν οὐδενὸς τὸ παράπαν ἐπιμνησθεὶς τοιούτου, μόνον ὅτι προσήγαγον ὄξος διισχυρίσατο· Ματθαῖος δὲ καὶ Μάρκος καλάμῳ τὸν σπόγγον περιτεθεῖσθαί φασι. καὶ διαφωνῆσαι μὲν ἴσως οἰήσονταί τινες τοὺς ἁγίους εὐαγγελιστάς· πάθοι δ' ἂν οἶμαι τῶν εὖ φρονούντων οὐδεὶς ἕν γε τοῖς τοιούτοις αὐτό. τὸ γὰρ εἶδος τῆς ἀσεβείας, οὐχὶ δὴ πάντως τε καὶ ἀναγκαίως καὶ τίνα τρόπον ἐπράττετο ζητητέον; τοιγάρτοι καὶ ὁ θεσπέσιος Λουκᾶς οὐδενὸς ἀξιώσας λόγου τῆς προσαγωγῆς τὸν τρόπον, ἀπεριεργότερον ὄξος αὐτῷ διψῶντι προσκεκομίσθαι φησίν. ἔστι δὲ οὐκ ἀμφίβολον, ὡς οὐκ ἂν ἀλλήλοις ἐν τοῖς οὕτω μικροῖς καὶ τοῦ μηδενὸς ἀξίοις ἀντεφώνησαν οἱ εὐαγγελισταὶ, καίτοι συνενεχθέντες καὶ ἐν τοῖς ἀναγκαίοις ὅτι μάλιστα συμβαίνοντές τε καὶ συμφθεγγόμενοι. τίς οὖν ἡ διαφορὰ, θεραπείας δὲ τίνα δέξεται τρόπον; οὐδαμόθεν ἀμφίβολον, ὅτι πολλοί τινες ἦσαν τῆς κατὰ Χριστοῦ δυσσεβείας οἱ ὑπηρέται, φημὶ δὴ στρατιώτας, οἵπερ αὐτὸν ἀπεκόμισαν ἐπὶ τὸν σταυρόν· πλεῖστοι δὲ καὶ τῶν Ἰουδαίων τὸν τῆς ὠμότητος ἐμερίζοντο τρόπον, καὶ οἱ μὲν καλάμῳ περιθέντες τὸν σπόγγον, οἱ δὲ τῷ ξύλῳ τῆς καλουμένης ὑσσώπου, βοτάνης δὲ εἶδος ἡ ὕσσωπος, ἐπότιζον τὸν Ἰησοῦν, ἔπραττον δὲ καὶ τοῦτο κατὰ τῆς οἰκείας οἱ δείλαιοι κεφαλῆς. τὸ γὰρ μηδαμόθεν ἐλεεῖσθαι δεῖν ἑαυτοὺς οὐκ εἰδότες κατεσκεύαζον, ἅπαν μὲν ἡμερότητος καὶ φιλανθρωπίας εἶδος ἀποδυσάμενοι, τοῖς δὲ οὕτω 3.95 παραλόγοις τολμήμασι μόναις ταῖς ἑαυτῶν δυσσεβείαις ἁμιλλώμενοι. τοιγάρτοι διὰ φωνῆς Ἰεζεκιὴλ τοῦ προφήτου πρὸς τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Ἱερουσαλὴμ ἔφασκεν ὁ Θεός "Καθὼς ἐποίησας, οὕτως ἔσται σοι· τὸ "ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου," διὰ δὲ φωνῆς Ἡσαΐου πρὸς τὸν ἀνομώτατον Ἰσραήλ "Οὐαὶ τῷ "ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ." ἐφ' ἅπασι μὲν οὖν τοῖς ἤδη τετελεσμένοις ἀνοσίοις τε καὶ ἐκτοπωτάτοις τολμήμασιν ἐπράχθη καὶ τοῦτο κατὰ Χριστοῦ· ἔσται δ' οὖν ὅμως εἰς ὄνησιν ἡμετέραν ὁ ὑπογραμμός. εἰσόμεθα γὰρ καὶ διὰ τούτου πάλιν, ὅτι τοῖς φιλόθεον ἔχουσι τὴν ἕξιν, καὶ ἀγάπῃ τῇ εἰς Χριστὸν ἐρηρεισμένοις, ἀκατάληκτος ὥσπερ τις ἕψεται πόλεμος παρὰ τῶν φρονούντων τὰ ἐναντία, οἳ καὶ μέχρις ἐσχάτης ἀναπνοῆς τὴν κατ' αὐτῶν μανίαν οὐκ ἀποδύσονται, δριμεῖς πανταχόθεν ἐξαρτύοντες πειρασμοὺς, καὶ πᾶν εἶδος ἐπινοεῖν σπουδάζοντες τοῦ πεφυκότος ἀδικεῖν. ἀλλ' ὥσπερ οὐ κατέληξεν ὁ πόνος, ἀκατάληκτον ἔσται καὶ τῆς εὐθυμίας τὸ μῆκος· καὶ ὥσπερ οὐκ ἐλώφησε τὰ δεινὰ καὶ ἡ ἐκ τοῦ πειράζεσθαι θλίψις, οὕτως οὐ πεπαύσεται τῶν ἁγίων τὰ ἀγαθὰ, διαμενεῖ δὲ πάντως καὶ ἔσται διηνεκὴς ἡ ἐκ τῆς εὐδοκιμήσεως χάρις. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. Προστεθειμένου τοῖς ἄλλοις καὶ τούτου, τετελέσθαι φησὶν ὁ Σωτὴρ τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰουδαίων ἀσεβείας δηλονότι τὸ μέτρον, καὶ τῆς εἰς αὐτὸν παροινίας τὴν ὑπερβολήν. τί γὰρ ἦν ἔτι τοῖς Ἰουδαίοις τὸ ἀνεπιτήδευτον, τί δὲ τῶν εἰς ἄκρον ἡκόντων ἀπανθρωπίας οὐ μεμελέτητο; ποῖος γὰρ αἰκίας παρελείφθη τρόπος, ὕβρεως δὲ τῆς ἐσχάτης τί παρέντες ἐφαίνοντο; τοιγάρτοι δικαίως τὸ τετελέσθαι φησὶν, ἀλλ' ὥρας ἤδη καλούσης τῆς εἰς τὸ καὶ αὐτοῖς ἐθέλειν τοῖς ἐν ᾅδου διακηρύξαι 3.96 πνεύμασιν. ἐπεδήμησε γὰρ, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, καὶ αὐτὸν ὑπὲρ ἡμῶν εἰσέβη τὸν θάνατον, καὶ τὸ κοινὸν δὴ τοῦτο τῆς ἡμέτερας φύσεως ὑπομένει πάθος, δῆλον δὲ ὅτι κατὰ τὴν σάρκα, καίτοι ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεὸς, ἵνα σκυλεύσας τὸν ᾅδην κατορθώσῃ τῇ ἀνθρωπείᾳ φύσει τὴν εἰς ζωὴν ἀναδρομὴν, "ἀπαρχὴ τῶν κεκοιμημένων," καὶ πρωτότοκος ἐκ νεκρῶν ἀναδεδειγμένος, κατὰ τὰς γραφάς. ἔκλινε τοίνυν τὴν κεφαλήν· ὡς γὰρ ἐξ ἔθους καὶ τούτου τοῖς τεθνεῶσι συμβαίνοντος, διὰ τὸ παρεῖσθαι λοιπὸν τοὺς τῆς σαρκὸς τόνους, ἀποφοιτήσαντος ἤδη τοῦ συνέχοντος αὐτὴν καὶ συντείνοντος πνεύματος, ἤτοι τῆς ψυχῆς, κατεχρήσατο ταῖς λέξεσιν ὁ Εὐαγγελιστής. καὶ μὴν καὶ τὸ φάναι δὴ πάλιν ὅτι παρέδωκε τὸ πνεῦμα τῆς καθ' ἡμᾶς συνηθείας οὐκ ἀποκείσεται· οὕτω γὰρ οἱ πολλοὶ τό Ἀπέσβη καὶ τέθνηκε λέγουσιν. εἰκὸς δὲ δὴ πάλιν οἰκονομικῶς τε καὶ ἀναγκαίως, οὐχ ἁπλῶς ὅτι τέθνηκεν εἰπεῖν τὸν ἅγιον Εὐαγγελιστὴν, ἀλλ' ὅτι παρέδωκε τὸ πνεῦμα, εἰς χεῖρας δηλονότι τοῦ Θεοῦ καὶ Πατρὸς, κατὰ τὸ εἰρημένον ὡς παρ' αὐτοῦ "Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου," καὶ ἡμῖν δὲ αὐτοῖς ἀγαθῆς ἐλπίδος ἀρχὴν καὶ θεμέλιον ἡ τοῦ λόγου κατεβάλετο δύναμις. δεῖν γὰρ οἶμαι διακεῖσθαι, καὶ μάλα εἰκότως, ὅτι τῶν ἀπὸ γῆς σωμάτων αἱ τῶν ἁγίων ἀποδημοῦσαι ψυχαὶ, καθάπερ εἰς χεῖρας φιλοστοργοτάτου Πατρὸς, τῇ τοῦ Θεοῦ χρηστότητι καὶ φιλανθρωπίᾳ μονονουχὶ παρατίθενται καὶ οὐ, καθάπερ τινὲς τῶν ἀπίστων ὑπειλήφασι, τὰς ἐπιτυμβίους περιμένουσαι χοὰς ἐμφιλοχωροῦσι τοῖς μνήμασιν, ἀλλ' οὐδὲ καθάπερ αἱ τῶν φιλαμαρτημόνων εἰς τὸν τῆς ἀμέτρου κολάσεως κατακομίζονται τόπον, τουτέστιν, εἰς ᾅδου· τρέχουσι δὲ μᾶλλον εἰς χεῖρας τοῦ πάντων Πατρὸς, καὶ ταύτην ἡμῖν ἐγκαινίσαντος τὴν ὁδὸν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· παρέδωκε γὰρ εἰς χεῖρας τοῦ ἰδίου γεννή 3.97 τορος τὴν ψυχὴν, ἵνα καὶ ἡμεῖς, ἀρχὴν λαβόντες ὡς ἐν ἐκείνῃ καὶ δι' ἐκείνης, λαμπρὰς ἔχωμεν τὰς ἐλπίδας, ἀραρότως διακείμενοι καὶ πεπιστευκότες, ὅτι τὸν τῆς σαρκὸς ὑπομείναντες θάνατον ἐν χερσὶν ἐσόμεθα Θεοῦ, καὶ πολὺ δὴ λίαν ἐν ἀμείνοσιν ἤπερ ἦμεν μετὰ σαρκός. διὸ καὶ ὁ σοφὸς ἡμῖν ἐπιστέλλει Παῦλος ὅτι κρεῖττον τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. Ὡς δὲ ἐξέπνευσεν, ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον ἀπὸ ἄνωθεν ἕως κάτω. Τὸ ἐν τῷ ναῷ καταπέτασμα ὀθόνη τις ἦν καθιεμένη διαμπὰξ εἰς αὐτὸ τοῦ οἴκου τὸ μεσαίτατον, καὶ συσκιάζουσά πως τὰ ἐσωτέρω, καὶ βάσιμον ὥσπερ μόνῳ τιθεῖσα τῷ ἀρχιερεῖ τὴν ἐνδοτέρω σκηνήν. οὐ γὰρ δὴ τοῖς ἐθέλουσιν ἀνίπτοις ἐφεῖτο ποσὶν ἐπὶ τὸ ἔσω διάττοντας τὰ ἅγια τῶν ἁγίων ἀφυλάκτως ὁρᾶν. ἀναγκαιοτάτην δὲ σφόδρα τὴν ἐκ τῶν καταπετασμάτων διατομὴν καὶ ὁ Παῦλος ἡμῖν ἐπιδεικνὺς ἐν τῷ πρὸς Ἑβραίους ἔφη γράμματι "Σκηνὴ γὰρ κατεσκευάζετο "ἡ πρώτη, ἥτις λέγεται ἁγία· μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα "θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος ἡ χρυσῆ ἔχουσα "τὸ μάννα, καὶ αἱ πλάκες τῆς διαθήκης καὶ ἡ ῥάβδος "Ααρὼν ἡ βλαστήσασα." ἀλλ' "εἰς μὲν τὴν πρώτην," φησὶ, "σκηνὴν εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, "εἰς δὲ τὴν δευτέραν μόνος ὁ ἀρχιερεὺς ἅπαξ τοῦ ἐνιαυτοῦ "οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπέρ τε ἑαυτοῦ καὶ τῶν "τοῦ λαοῦ ἀγνοημάτων, τοῦτο δηλοῦντος τοῦ Πνεύματος "τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι "τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν." ἦν μὲν γὰρ οὐκ ἀμφίλογον, ὅτι ταῖς πρώταις τοῦ ναοῦ θύραις περιτετάνυστο 3.98 καταπέτασμα. διὸ καὶ εἰς τὴν πρώτην ἐλογίζετο σκηνὴν, ἐκαλεῖτο δὲ ἁγία· οὐ γὰρ δή τις ὅλως ἀνίερον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶναί τινα τοῦ ναοῦ τόπον ἐρεῖ, διαψεύσεται γὰρ, ἐπείπερ ὅλος ἅγιος ἦν. μετὰ δὲ τὴν πρώτην σκηνὴν τὸ μεταξὺ καταπέτασμα δευτέραν ὥσπερ εἰργάζετο, τὴν ἐσωτέρω φημὶ, τὰ ἅγια τῶν ἁγίων. ἀλλ' ὥσπερ ὁ μακάριος ἔφη Παῦλος, διὰ τῶν ἐν τύποις ἡμῖν σχημάτων ἐδήλου τὸ Πνεῦμα τὴν τοῖς ἁγίοις πρεπωδεστέραν οὔπω πεφανερῶσθαι τρίβον, εἰργομένων ἔτι τῶν λαῶν, καὶ στάσιν ἐχούσης τῆς πρώτης αὐλῆς. οὔπω γὰρ ὄντως ὁ τῆς πολιτείας διεφαίνετο τρόπος τῆς δοθείσης διὰ Χριστοῦ τοῖς διὰ τοῦ Πνεύματος κεκλημένοις πρὸς ἁγιασμὸν, οὔπω τὸ περὶ αὐτοῦ πεφανέρωτο μυστήριον, ἔτι τῆς ἐν γράμμασιν ἰσχυούσης ἐντολῆς. διὸ καὶ εἰς τὴν πρώτην αὐλὴν ὁ νόμος ἵστη τοὺς Ἰουδαίους. προεισβολὴ γὰρ ὥσπερ τις καὶ ἵν' οὕτως εἴπω προαύλιόν ἐστι τῆς εὐαγγελικῆς παιδεύσεώς τε καὶ πολιτείας ἡ νομική. ἡ μὲν γάρ ἐστιν ἐν τύποις, ἡ δὲ βλέπει πρὸς ἀλήθειαν. καὶ ἁγία μὲν ἡ πρώτη σκηνὴ, ἅγιος γὰρ ὁ νόμος καὶ ἡ ἐντολὴ δικαία καὶ ἀγαθή· ἁγία δὲ ἁγίων ἡ ἐσωτέρα· ἅγιοι γὰρ ὄντες οἱ τῆς κατὰ νόμον δικαιοσύνης μετειληφότες, γεγόνασιν ἁγιώτεροι τὴν πίστιν παραδεξάμενοι, δῆλον δὲ ὅτι τὴν εἰς Χριστὸν, καὶ τῷ θείῳ τε καὶ Ἁγίῳ διακεχρισμένοι Πνεύματι. μείζων οὖν ἄρα τῆς νομικῆς δικαιοσύνης ἡ διὰ πίστεως, καὶ πολὺ δὴ λίαν πλουσιώτερος ὁ ἁγιασμός. τοιγάρτοι καὶ ὁ σοφώτατος Παῦλος ἥδιστά τε καὶ λίαν ἑτοίμως τὴν ἐν νόμῳ δικαιοσύνην ἐζημιῶσθαί φησιν, ἵνα Χριστὸν κερδάνῃ, καὶ εὑρεθῇ "ἐν αὐτῷ μὴ ἔχων ἰδίαν "δικαιοσύνην τὴν ἐν νόμῳ, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ "Χριστοῦ." καὶ ὀπίσω δέ τινες ἔπιπτον, καὶ καλῶς τρέχοντες ἐβασκαίνοντο, γαλάται δὲ οὗτοι, μετὰ τὴν ἐν πίστει δικαιοσύνην, εἰς τὴν τοῦ νόμου παλινδρομήσαντες ἐντολὴν, καὶ εἰς πολιτείαν ὑπονοστήσαντες τὴν ἐν τύποις καὶ γράμμασιν, οἷς δὴ καὶ σφόδρα δικαίως ὁ Παῦλος διεμαρτύρατο 3.99 λέγων " Οτι ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. κατηργήθητε ἀπὸ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε." ἀλλ' ἵνα τὸν τοῦ προκειμένου χρησίμως καὶ ἀναγκαίως ἀναμηρυσώμεθα λόγον, σχίζεται τοῦ ναοῦ τὸ καταπέτασμα ἀπὸ ἄνωθεν ἕως κάτω, τὰ ἅγια τῶν ἁγίων ἀνακαλύπτοντος ὥσπερ ἤδη τοῦ Θεοῦ, καὶ βατὴν τοῖς πιστεύουσιν εἰς Χριστὸν τὴν ἔσω λοιπὸν τιθέντος σκηνήν. πρόκειται γὰρ ἤδη τῶν θείων ἡμῖν μυστηρίων ἡ γνῶσις, οὐκέτι τῇ παχύτητι τοῦ νομικοῦ γράμματος καθάπερ τινὶ καταπετάσματι κατημφιεσμένη, οὐδὲ τὸ ἐκ τῆς ἱστορίας ἔχουσα κατακάλυμμα, ἤγουν τὸ ἐν τύποις ἀφανὲς τοῖς τῆς διανοίας ἡμῶν ὄμμασιν ἀνατειχίζουσα, ἀλλ' ἐν ἁπλότητι πίστεως καὶ ἐν ὀλίγοις κομιδῇ τοῖς ῥήμασιν· "Ἐγγὺς γάρ "σου, φησὶ, τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ "καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, "ὅτι ἐὰν εἴπῃς ἐν τῷ στόματι σου Κύριος Ἰησοῦς, καὶ "πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ "νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, "στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν." ὅλον γὰρ ἡμῖν ἐν τούτοις ὁρᾶται τὸ τῆς εὐσεβείας μυστήριον. ἀλλ' ἕως μὲν οὔπω τῆς ἡμετέρας ὑπεραθλήσας ζωῆς τὸν τῆς σαρκὸς θάνατον ὑπέμεινεν ὁ Χριστὸς, ἥπλωτό πως ἔτι τὸ καταπέτασμα· ἐκράτει γὰρ ἔτι τῆς κατὰ νόμον ἐντολῆς ἡ δύναμις. ἐπειδὴ δὲ πάντα τετέλεστο τὰ ἐπὶ Χριστῷ τολμήματα παρὰ τῆς Ἰουδαίων ἀνοσιότητος, καὶ λοιπὸν ἐξέπνευσε δι' ἡμᾶς, καὶ τοῦτο παθὼν ὁ Ἐμμανουὴλ, καιρὸς ἦν ἤδη περιῤῥήγνυσθαι λοιπὸν τὸ ἀρχαῖον ἐκεῖνο καὶ πλατὺ καταπέτασμα, τουτέστι, τὴν τοῦ νομικοῦ γράμματος ἀσφάλειαν, καὶ ἀπογυμνοῦσθαι τοῖς διὰ πίστεως ἡγιασμένοις ἐν Χριστῷ τῆς ἀληθείας τὸ κάλλος. σχίζεται δὲ διόλου τὸ καταπέτασμα, τὸ γάρ Ἄνωθεν ἕως κάτω τί ἂν ἕτερον ἡμῖν ἢ τοῦτο σημαίνει; καὶ διὰ ποίαν 3.100 αἰτίαν; οὐ γὰρ μερικὴν ἔχει τὴν ἀποκάλυψιν τὸ σωτήριον κήρυγμα, τελεώτατον δὲ ἡμῖν τῶν θείων ἡμῖν μυστηρίων ἐνίησι φωτισμόν. διὸ καὶ ὁ ψάλλων ἔφη που πρὸς τὸν Θεὸν, ὡς ἐκ προσώπου τοῦ νέου λαοῦ "Τὰ ἄδηλα καὶ τὰ "κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι," καὶ μὴν καὶ ὁ θεσπέσιος ἐπιστέλλει Παῦλος τοῖς πιστεύσασιν εἰς Χριστόν "Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι "τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ σοφίᾳ καὶ πάσῃ "γνώσει." ὅτι τοίνυν ἐν πάσῃ σοφίᾳ καὶ ἐν πάσῃ γνώσει καὶ ἐν παντὶ λόγῳ καταπλουτήσειν ἔμελλον οἱ τοῦ Σωτῆρος προσκυνηταὶ, ἀθόλωτον δηλαδὴ καὶ παντὸς ἐλευθέραν συσκιάσματος τὴν τοῦ κατ' αὐτὸν μυστηρίου δεχόμενοι γνῶσιν, ἐδήλου τὸ καταπέτασμα διεσχισμένον οὐ μερικῶς, ἀλλ' ὅλον δι' ὅλου. τοῦτο γάρ ἐστι τό Ἄνωθεν ἕως κάτω. οἰκειότατον δὲ καὶ πολὺ μᾶλλον πρεπωδέστατον τῇ τῶν θείων μυστηρίων ἀποκαλύψει φαμὲν τὸν καιρὸν, καθ' ὃν τὴν ψυχὴν ὑπὲρ ἡμῶν τέθεικεν ὁ Σωτὴρ, ὡς ἀπολακτίσαντος ἤδη τοῦ Ἰσραὴλ τὴν χάριν, καὶ τῆς εἰς Θεὸν ἀγάπης ὁλοκλήρως ἀποπηδήσαντος, διὰ τῆς εἰς αὐτὸν παροινίας καὶ ἀπηχεστάτων τολμημάτων. ἐλλελοιπὸς γὰρ οὐδὲν τοῖς ἐκείνων ἀνοσιουργήμασι κατίδοι τις ἂν καὶ μέχρι θανάτου κατακομισθέντα μαθὼν τὸν τῆς ζωῆς χορηγόν. Οἶμαι μὲν οὖν ἀποχρώντως ἡμῖν εἰρῆσθαι καὶ ταῦτα, καὶ οὐκ ἀπὸ σκοποῦ τοῦ πρέποντος τὸν τῶν θείων θεωρημάτων ἐξοίχεσθαι λογισμόν· ἐπειδὴ δὲ μετὰ δριμείας τινὸς τῆς ἐπιτηρήσεως εὑρίσκεται λέγων ὁ θεσπέσιος Εὐαγγελιστής Ὡς δὲ ἐξέπνευσεν, ἐῤῥάγη τὸ καταπέτασμα τοῦ ναοῦ· μόνον γὰρ οὐχὶ τὸν τοῦ πράγματος καιρὸν διὰ τούτων ἡμῖν ἀναγκαίως ἐπισημαίνεται· φέρε δή τι πρὸς οἷς ἔφαμεν ἀρτίως ἐπινοήσωμεν ἕτερον, οὐ μετρίαν ἔχον, ὥς γε μοι δοκεῖ, τὴν ἐν τῷ νοεῖσθαι κομψείαν· ἁλώσεται γὰρ οὐδαμῶς τῆς τῶν ἀναγκαίων 3.101 διαπίπτον χρείας τε καὶ χάριτος. ἔθος τοιγαροῦν παρὰ τοῖς Ἰουδαίων δήμοις τε καὶ ἡγουμένοις ἐκράτει τοιοῦτον· ἐπαθροῦντες γάρ τι πραττόμενον ὃ λυπεῖν ὅτι μάλιστα τὸν νομοθέτην ἐδόκει, ἤγουν ἐπαΐοντές τι τῶν ἀπηχεστάτων, ῥημάτων δὲ δηλονότι φημὶ τῶν τελούντων εἰς βλασφημίαν, τὴν ἐσθῆτα περιεῤῥήγνυντο, καὶ τὸ τοῖς πενθοῦσι πρέπον ἐπλάττοντο σχῆμα, ἀπολογούμενοι τρόπον τινὰ διὰ τούτου Θεῷ, καὶ δι' ὧν ἔχειν ἐδόκουν οὐ φορητῶς, τῆς τῶν πεπλημμεληκότων μανίας καθορίζοντες δίκην, ἔξω τε πάσης τῆς ἐπὶ τούτοις αἰτίας τὴν οἰκείαν ὥσπερ ποιούμενοι κεφαλήν. καὶ γοῦν τοῦ Σωτῆρος οἱ μαθηταὶ, Βαρνάβας δὲ οὗτοι καὶ Παῦλος, ὅτε τινὲς αὐτοὺς τῶν οὔπω πεπιστευκότων οἰηθέντες εἶναι θεούς· "ἐκάλουν γὰρ "τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν·" τοῖς ἱερεῦσιν ὁμοῦ θυσίας καὶ στέμματα παρενεγκόντες, ἐπεχείρουν ἤδη καὶ θυσίαις τιμᾷν, τοῦ δωματίου καταπηδήσαντες, ἅτε δὴ καὶ τῆς θείας δόξης ἀδικουμένης, εἰ προκομισθεῖεν ὅλως ἀνθρώποις θυσίαι, διέῤῥηξαν τὰ ἱμάτια ἑαυτῶν, καθὰ γέγραπται, καὶ τὸ ἀμαθὲς τῶν εἰδωλολατρούντων ἐγχείρημα τοῖς καθήκουσιν ἀπεκρούοντο λόγοις. κρινομένου δὲ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ παρὰ τοῖς Ἰουδαίων καθηγηταῖς, καὶ τίς τε εἴη καὶ πόθεν διδάσκειν ἀπαιτουμένου, λέγοντός τε σαφῶς "Ἀμὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου "καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν "νεφελῶν τοῦ οὐρανοῦ," τῶν ἱερῶν ἀναπήδησας δίφρων ὁ Καϊάφας "διέῤῥηξε τὰ ἱμάτια ἑαυτοῦ λέγων Ἐδυσφήμησεν." ἔθει τοιγαροῦν τῷ παρ' αὐτοῖς κρατήσαντι καὶ αὐτὸς ὁ θεῖος ὥσπερ ἐχρήσατο ναὸς, διαῤῥήξας ὡς ἱμάτιον τὸ ἴδιον καταπέτασμα, τοῦ Σωτῆρος ἡμῶν εὐθὺς ἀποπνεύσαντος. τῆς γὰρ Ἰουδαίων ἀφιλοθεΐας κατεψηφίζετο τὴν εἰς αὐτὸν δυσσέβειαν. θείᾳ δὲ δὴ πάντως ἐνεργείᾳ καὶ τοῦτο ἐπληροῦτο, ἵνα πενθοῦντα τὸν Ἰσραὴλ καὶ αὐτὸν ἡμῖν τὸν ἅγιον ἐπιδείξῃ ναόν. 3.102 Οἱ οὖν Ἰουδαῖοι, ἐπεὶ παρασκευὴ ἦν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου· ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. Οὐκ εὐλάβειαν ἐπιμαρτυρῶν τοῖς ἀγρίως τε καὶ ἀνημέρως μιαιφονεῖν εἰωθόσι, καὶ ἐπὶ τοῖς οὕτως ἀνοσίοις κατεγνωσμένοις, τὰ τοιαῦτά φησιν ὁ μακάριος Εὐαγγελιστὴς, ἐκεῖνο δὲ πάλιν ἐπιδεικνὺς ἀσυνέτως τε καὶ ἀμαθῶς ὑπομένοντας, ὅπερ ἔφη Χριστός· διυλίζουσι γὰρ "τὸν κώνωπα, τὴν κάμηλον καταπίνοντες," τὰ μὲν γὰρ τῶν ἀσεβημάτων ὑπερφερῆ τε καὶ πάνδεινα λόγου παντελῶς οὐδενὸς ἀξιοῦντες ἁλίσκονται· τὰ δέ γε λεπτότατά τε καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σμικρότατα μετὰ πολλῆς τινος τῆς ἀκριβείας περιεργάζονται, καθ' ἑκάτερον ἀμαθαίνοντες. καὶ γείτων ὁ ἔλεγχος. ἰδοὺ γὰρ ἰδοὺ Χριστὸν ἀποκτείναντες τὴν ἐν σαββάτῳ αἰδῶ ποιοῦνται περὶ πολλοῦ, καὶ τοῖς ὑπὲρ λόγον τολμήμασι τὸν νομοθέτην ὑβρίσαντες, τὴν εἰς τὸν νόμον εὐλάβειαν σχηματίζονται· μεγάλην δὲ οὖσαν ἐκείνου δὴ μάλιστα τοῦ σαββάτου τὴν ἡμέραν προσποιοῦνται τιμᾶν, οἱ τὸν τῆς μεγάλης ἡμέρας ἀνελόντες Κύριον, αἰτοῦσί τε χάριν τὴν αὐτοῖς καὶ μόνοις πρεπωδεστάτην. συνθραύεσθαι γὰρ αὐτῶν τὰ σκέλη παρακεκλήκασι, θερμοτέραν τοῦ θανάτου τὴν ἔφοδον, διὰ τῆς ἀφορήτου λοιπὸν αἰκίας τοῖς ἤδη καμοῦσι κατασκευάζοντες. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ, ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ ἐξῆλθεν εὐθὺς αἷμα καὶ ὕδωρ. καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν αὐτοῦ ἡ μαρτυρία, 3.103 καὶ ἐκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. ἐγένετο γὰρ ταῦτα, ἵνα πληρωθῇ ἡ γραφή Ὀστοῦν οὐ συντρι βήσεται ἀπ' αὐτοῦ. καὶ πάλιν ἑτέρα γραφὴ λέγει Ὄψονται εἰς ὃν ἐξεκέντησαν. Τὴν τῶν Ἰουδαίων ἀποπληροῦντες αἴτησιν οἱ γείτονα τῆς ἐνούσης αὐτοῖς ὠμότητος νοσοῦντες μανίαν, τοὺς Πιλάτου δὲ δῆλον στρατιώτας φαμὲν, τῶν μὲν δύο λῃστῶν, ἅτε δὴ καὶ ἐν ζῶσιν ἔτι κατειλημμένων, τὰ σκέλη συνθραύουσιν, ὀξυτέραν αὐτοῖς τῆς ἀνηκέστου συμφορᾶς τιθέντες τὴν ἀπειλὴν, καὶ ὥσπερ ἐξ ἀνάγκης ἤδη δυσαχθεστέρας συνωθοῦντες εἰς θάνατον. ἀποκλίναντα δὲ τὴν κεφαλὴν εὑρόντες τὸν Ἰησοῦν, ἀποπνεύσαντά τε ἤδη κατειληφότες, εἰκαῖον ἔτι νομίζουσι τὸ συνθραῦσαι τὰ σκέλη, βραχὺ δέ τι καὶ ἀπιστήσαντες, ὡς ἤδη τεθνήκοι, λόγχῃ διανύττουσι τὴν πλευρὰν, ἡ δὲ μεμιγμένον ὕδατι τὸ αἷμα διέβλυσε, τῆς μυστικῆς εὐλογίας καὶ τοῦ ἁγίου βαπτίσματος εἰκόνα καὶ ἀπαρχὴν ὥσπερ τινὰ τιθέντος ἡμῖν τοῦ Θεοῦ τὸ γεγενημένον. Χριστοῦ γὰρ ὄντως ἐστὶ καὶ παρὰ Χριστοῦ τὸ ἅγιον βάπτισμα, καὶ τῆς μυστικῆς εὐλογίας ἡ δύναμις ἐκ τῆς ἁγίας ἡμῖν ἀνέφυ σαρκός. Πιστοῦται γεμὴν ὁ σοφώτατος Εὐαγγελιστὴς ἀπὸ τῶν συμβεβηκότων τοὺς ἀκροωμένους, ὅτι περ αὐτὸς εἴη ὁ Χριστὸς, ὁ πάλαι διὰ τῆς ἁγίας γραφῆς προαναφωνούμενος· συνῳδὰ γὰρ τοῖς περὶ αὐτοῦ γεγραμμένοις ἐξέβη τὰ πράγματα. οὔτε γὰρ ὀστοῦν αὐτοῦ συνετρίβη, καὶ τῇ τῶν στρατιωτῶν ἐξεκεντήθη λόγχῃ, κατὰ τὰς γραφάς. ἐπόπτην δὲ ὥσπερ καὶ θεωρὸν τοῦ πράγματος αὐτὸν γενέσθαι φησὶ τὸν περὶ τῶν τοιούτων μαρτυρήσαντα μαθητὴν, εἰδέναι τε κατὰ ἀλήθειαν, ὅτι μεμαρτύρηκεν ἀληθῆ, ἑαυτὸν κἂν τούτῳ καὶ οὐχ ἕτερόν τινα σημαίνων. παρῃτήσατο γὰρ γυμνότερον εἰπεῖν, τὴν τῆς φιλοδοξίας ὑπόληψιν ὡς ἀνόσιόν τι χρῆμα καὶ νόσον ἀποκρουόμενος τὴν ἐσχάτην. 3.104 Περὶ τῆς αἰτήσεως τοῦ κυριακοῦ σώματος. Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμα θαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος. ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα αὐτοῦ. Κατηγορεῖ μὲν ὁ λόγος καὶ τῆς Ἰουδαίων ἀνοσιότητος οὐ μετρίως καταβοᾷ, σφαλερὸν εἶναι δεικνὺς καὶ οὐ παντελῶς ἀζήμιον τὸ μαθητεύεσθαι τῷ Χριστῷ· λανθάνειν γὰρ ὅτι μάλιστα διεσπουδακότα τὸν ἐπιεικέστατον τουτονὶ νεανίαν, φημὶ δὴ τὸν Ἰωσὴφ, εἰσκεκόμικεν ἐναργῶς, καίτοι ταῖς διὰ Χριστοῦ διδασκαλίαις ἀναπεπεισμένον λατρείαν ἑλέσθαι τὴν ὄντως ἀληθῆ καὶ τῆς νομικῆς ἐντολῆς ἀμείνω τε καὶ ἡδίονα τῷ φιλαρέτῳ Θεῷ, ὁμοῦ δὲ καὶ βεβαιοῖ τὸ εἰς πίστιν ἡμῖν ἀναγκαῖον. ἔδει γὰρ ἔδει πιστεύειν ὅτι τέθεικεν ὑπὲρ ἡμῶν τὴν ψυχὴν ὁ Χριστός. ὅπου γὰρ ἐνταφιασμὸς, πῶς οὐκ ἀναγκαίως ἕψεται τὸ διακεῖσθαι καὶ ἀραρότως, ὅτι καὶ θάνατος ἦν; καταψηφίσαιτο δ' ἄν τις, καὶ οὐκ ἀπὸ σκοποῦ, τὴν ἐσχάτην ἀγριότητα τῆς Ἰουδαίων ἀλαζονείας καὶ γνώμης ἀσυμπαθοῦς καὶ ἀφιλοστόργου φρονήματος, οἳ μηδὲ τὴν τοῖς τεθνεῶσι χρεωστουμένην ἀπονέμουσιν αἰδῶ τῷ Χριστῷ, μηδὲ ὁσίᾳ τιμῶσιν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄπνουν καὶ νεκρὸν ὁρῶντες κείμενον, καίτοι γινώσκοντες ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, πολλάκις δὲ καὶ θαυματουργοῦντα καταπεπληγμένοι, εἰ καὶ δριμὺς ὢν ὁ φθόνος γνησίως αὐτοῖς ἐνιζάνειν τὴν ἐκ τῆς θαυματουργίας ὄνησιν συγκεχώρηκεν οὐδαμῶς. εἰς κρῖμα τοίνυν τῆς Ἰουδαίων ἀπανθρωπίας, καὶ εἰς ἔλεγχον τῶν Ἱεροσολυμιτῶν ὁ ἐκ τῆς Ἀριμαθαίας ἔρχεται μαθητὴς καὶ ταῖς καθηκούσαις θεραπείαις τιμᾷ, ὃν γυμνῇ μὲν οὔπω, λαθραίᾳ δ' οὖν ὅμως τῇ πίστει τετίμηκε διὰ τὸν φόβον τῶν Ἰουδαίων, καθά φησιν ὁ μακάριος Εὐαγγελιστής. 3.105 Ἦλθε δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτὸς τὸ πρῶτον, φέρων μίγμα σμύρνης καὶ ἀλόης, ὡσεὶ λίτρας ἑκατόν. Οὐχ ἕνα φησὶ μαθητὴν βεβουλεῦσθαι σωφρόνως προθυμότατά τε καὶ λίαν ἐλθεῖν εἰς περιστολὴν τοῦ ἁγίου σώματος, ἐπισυνάπτει δὲ τῷ πρώτῳ καὶ δεύτερον· Νικόδημος οὗτος ἦν· μαρτυρίαν ὥσπερ τὴν κατὰ νόμον τετιμημένην συλλέγων τῷ πράγματι. "Ἐπὶ στόματος γὰρ, φησὶ, δύο ἢ καὶ τριῶν "μαρτύρων σταθήσεται πᾶν ῥῆμα." δύο τοιγαροῦν οἱ ἐνταφιάσαντες, Ἰωσήφ τε καὶ Νικόδημος, ἔχοντες μὲν εἴσω τὴν πίστιν εἰς νοῦν, ἀσυνέτῳ γεμὴν ἔτι καταπτοούμενοι δείματι, καὶ τῆς ἐπιγείου τιμῆς τε καὶ δόξης οὔπω προτιμήσαντες τὴν παρὰ Θεῷ. ἦ γὰρ ἂν τὸν ἐκ τῶν Ἰουδαίων ἀποπεμψάμενοι φόβον, καὶ ὀλίγα παντελῶς τῆς εἰς ἐντεῦθεν φροντίσαντες ἀπειλῆς, ἐλευθέραν τῇ πίστει παρέσχον τὴν ἄδειαν, ὅσιοί τε καὶ ἀγαθοὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐντολῆς ἐδείχθησαν φύλακες. Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν. ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν ἐν ᾧ οὐδέπω οὐδεὶς ἦν τεθειμένος. Ἐλογίσθη μὲν ἐν νεκροῖς, ὁ δι' ἡμᾶς μὲν ἐν νεκροῖς κατὰ σάρκα, ζωὴ δὲ δι' ἑαυτὸν καὶ τὸν φύσαντα νοούμενός τε καὶ ὑπάρχων κατὰ ἀλήθειαν. ἵνα δὲ πᾶσαν πληρώσῃ δικαιοσύνην, τὴν τῷ ἀνθρωπίνῳ δὲ δηλονότι πρέπουσαν σχήματι, οὐχὶ τῷ τεθνάναι μόνον καθ' ἑκούσιον βούλησιν τὸν οἰκεῖον ὑπετίθει ναὸν, ἀλλὰ καὶ τοῖς μετὰ τοῦτο, φημὶ δὴ πάλιν, τῷ τε ἐνταφιασμῷ καὶ καταθέσει τῇ εἰς τὸ μνημεῖον. ἐν κήπῳ δὲ τοῦτο καὶ καινὸν εἶναί φησιν ὁ συγγραφεὺς, κατασημαίνοντος ὥσπερ ἡμῖν ἐν τύπῳ καὶ ὑπογραμμῷ τοῦ πράγματος, ὅτι τῆς εἰς τὸν παράδεισον εἰσδρομῆς καὶ πρόξενος 3.106 ἡμῖν καὶ ἀρχὴ γέγονεν ὁ Χριστοῦ θάνατος. "πρόδρομος "γὰρ ὑπὲρ ἡμῶν εἰσῆλθεν" αὐτός. τί γὰρ ἕτερον ἢ αὐτὸ δὴ τοῦτο κατασημήνειεν ἂν τὸ νεκρὸν ἐν κήπῳ διακεκομίσθαι τὸν Ἰησοῦν; διὰ δὲ τῆς τοῦ μνημείου καινότητος, τὸ ἀτριβὲς ὥσπερ καὶ ξένον τῆς ἐκ θανάτου πρὸς ζωὴν ἀναδρομῆς, καὶ ἡ κατὰ τῆς φθορᾶς ἐπινοηθεῖσα καινοτομία διὰ Χριστοῦ σημαίνεται. καινὸς γὰρ ἡμῶν ὁ θάνατος ἐν θανάτῳ Χριστοῦ εἰς ὕπνου τρόπον τινὰ μετατεθειμένος δύναμίν τε καὶ χρείαν. ζῶμεν γὰρ τῷ Θεῷ ζήσειν μέλλοντες, κατὰ τὰς γραφάς. τοιγάρτοι καὶ ὁ μακάριος Παῦλος ἄνω τε καὶ κάτω κεκοιμημένους καλεῖ τοὺς ἐν Χριστῷ τελευτήσαντας. πάλαι μὲν γὰρ κατὰ τῆς ἡμετέρας φύσεως τὸ δεινὸν τοῦ θανάτου κατεθρασύνετο. βεβασίλευκε γὰρ "ἀπὸ Ἀδὰμ καὶ μέχρι "Μωυσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ," καὶ πεφορέκαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, καθ' ὁμοιότητα τὴν ἐκείνου, τὸν ἐκ τῆς θείας ἀρᾶς ὑπομένοντες θάνατον. ἐπειδὴ δὲ ὁ δεύτερος ἡμῖν ἐπέλαμψεν Ἀδὰμ, ὁ θεῖός τε καὶ ἐξ οὐρανοῦ, καὶ τῆς ἁπάντων ὑπεραθλήσας ζωῆς, τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς τὴν ἁπάντων ζωὴν ἐξεπρίατο, καὶ τὸ τῆς φθορᾶς καταλύσας κράτος ἀνεβίω πάλιν, μετεπλάσθημεν εἰς εἰκόνα τὴν πρὸς αὐτὸν, καινὸν ὥσπερ τινὰ θάνατον ὑπομένοντες, οὐκ εἰς ἀτελεύτητον ἡμᾶς καταλύοντα φθορὰν, ἀλλ' ὕπνον ἐμβάλλοντα τὸν ἐλπίδος γέμοντα καλῆς, καθ' ὁμοιότητα δὲ δηλονότι τοῦ καὶ ταύτην ἡμῖν ἐγκαινίσαντος τὴν ὁδὸν, τουτέστι Χριστοῦ. Εἰ δὲ δή τις ἐθέλοι προσκατασκευάσαι διὰ τοῦ καινὸν εἶναι τὸ μνημεῖον εἰπεῖν, μηδένα τε ὅλως ἐν αὐτῷ τεθεῖσθαι πρότερον, καλῶς ἂν ἔχοι καὶ τοῦτο. ἵνα γάρ φησι μὴ ἕτερός τις παρὰ τὸν Ἰησοῦν ἐγηγέρθαι πιστεύηται, καινὸν εἶναί φησι τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μνῆμα, οὐδενὸς ἐν αὐτῷ τεθέντος πώποτε. 3.107 Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν. Οὐχὶ μόνον ἁπλῶς ὅτι κεκήδευταί φησιν, ἤγουν ὅτι κῆπος ἦν ἐγγὺς τοῦ σταυροῦ, καὶ καινὸν ἐν αὐτῷ μνημεῖον, ἀλλ' ὅτι καὶ κατετέθη δηλοῖ, οὐδὲ τὸ βραχὺ τῶν γεγονότων καταλιπὼν ἀνεξήγητον. ἀναγκαιοτάτη γὰρ ὄντως εἰς τὴν τοῦ μυστηρίου συναίνεσίν τε καὶ σύστασιν, ἡ περὶ τοῦ τεθνάναι Χριστὸν ὁμολογία καὶ γνῶσις. διὰ τοῦτο καὶ ὁ σοφώτατος Παῦλος τὸν τῆς πίστεως ἡμῖν κανόνα διοριζόμενος οὕτω φησίν "Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ "ἐν τῇ καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, ὅτι ἐὰν εἴπῃς ἐν τῷ στόματί σου Κύριος Ἰησοῦς, "καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν "ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν," ἀλλὰ καὶ ἑτέρωθί που πάλιν "Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ "καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν "ἡμῶν κατὰ τὰς γραφὰς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται "τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς." οὐκοῦν ἀναγκαιοτάτην καὶ τὴν περὶ τούτων ἡμῖν ἐξήγησιν ὁ τοῦ βιβλίου ποιεῖται συγγραφεύς. ἔδει γὰρ ἔδει πιστεύειν ὅτι καὶ ἀπέθανε καὶ ἐτάφη. λοιπὸν γὰρ εἰσβήσεται μετὰ τοῦτο τὸ πιστεύειν ἀληθῶς, ὅτι καὶ τὰ τοῦ θανάτου διαῤῥήξας δεσμὰ, πρὸς τὴν ἰδίαν ὡς Θεὸς ἀνεφοίτησε ζωήν. οὐ γὰρ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπὸ τοῦ θανάτου. ζωὴ γὰρ ὢν κατὰ φύσιν, πῶς ἂν ὑπέμεινε τὴν φθοράν; ὁ δὲ ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν, πῶς ἂν τοῖς τῆς ἡμετέρας φύσεως ὑπηνέχθη νόμοις, καὶ οὐχὶ μᾶλλον ὡς Θεὸς ἐζωογόνησεν εὐκόλως τὸ ζωῆς ἐπιδεές; 3.108 Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν· ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον· ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον, καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπί στευσεν· οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Οὐκ ἂν ἐκαρτέρησεν οἴκοι μένειν ἡ σπουδαιοτάτη καὶ φιλόθεος αὕτη γυνὴ, οὐδ' ἂν ἀπελείφθη τοῦ μνήματος, εἰ μὴ τὸν ἐπὶ τῷ σαββάτῳ καταδείσασα νόμον, καὶ τὴν τοῖς παραβαίνουσιν ἐπαρτηθεῖσαν δίκην, τὸ τῆς εἰς τοῦτο προθυμίας παρέκοψε θερμὸν, καὶ τοῖς ἀρχαίοις ἔθεσιν ἀπονέμουσα τὸ ἔτι κρατεῖν, τῶν ὅτι μάλιστα ποθουμένων καὶ οὐχ ἑκοῦσαν ἐξείργειν ᾤετο δεῖν τὴν ἑαυτῆς διάνοιαν. οἰχομένου δὲ ἤδη τοῦ σαββάτου, καὶ ἄρτι τῆς γείτονος ἀνατελλούσης ἡμέρας, δρόμῳ μέτεισι τὸν τόπον· εἶτα τῶν τοῦ μνημείου στομάτων ἐκκεκυλισμένον ἰδοῦσα τὸν λίθον, εἰς εὐλόγους ὑποψίας συναρπάζεται, καὶ τὸν ἀτελεύτητον τῶν Ἰουδαίων ἐννοήσασα φθόνον, μετακεκομίσθαι νομίζει τὸν Ἰησοῦν, ταῖς ἐκείνων ἀπονοίαις καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐπιγράφουσα τὸ δυσ 3.109 σέβημα. ἐπειδὴ δὲ ἐν τούτοις τὸ γύναιον ἦν, καὶ τοῖς ἐκ τοῦ εἰκότος ἐβάλλετο λογισμοῖς, πρὸς τοὺς ἀγαπῶντας τὸν Κύριον ὑπονοστεῖ, συλλήπτορας ὥσπερ τῆς ἐπ' αὐτῷ ζητήσεως τοὺς τῶν μαθητῶν γνησιωτάτους ποιεῖσθαι σπουδάζουσα. ἱδρυμένην δὲ ὥσπερ καὶ ἀπόρθητον ἔχουσα τὴν πίστιν, οὐ παρεκομίσθη πρὸς ὀλιγωρίαν διὰ τῶν ἐπὶ τῷ σταυρῷ παθῶν, Κύριον δὲ συνήθως ἀποκαλεῖ καὶ τεθνεῶτα Χριστόν· τοιαύτη γὰρ ὄντως ἡ φιλόθεος ἕξις. οἱ δὲ ἐπείπερ ἐπύθοντο ταυτὶ τοῦ γυναίου διηγγελκότος· Πέτρος δὲ ἦσαν καὶ Ἰωάννης ὁ τοῦ βιβλίου συγγραφεὺς, ἑαυτὸν γὰρ εἶναί φησι τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἕτερον μαθητήν· ὅσον ἦν εἰκὸς δύνασθαι συντείνονται δρόμῳ, καὶ πρὸς αὐτὸ τὸ μνημεῖον ἀφίκοντο γοργῶς, καὶ τοῦ παραδόξου γίνονται θεωροὶ, ἀποχρώντως ἔχοντες εἰς μαρτυρίαν τοῦ πράγματος· δύο γὰρ ἦσαν κατὰ τὸν νόμον. καὶ ἐγηγερμένῳ μὲν ἐκ νεκρῶν οὔπω περιτυγχάνουσι τῷ Χριστῷ, ἀπὸ δὲ τῆς τῶν ὀθονίων συλλογῆς ἐννοοῦσι τὴν ἀνάστασιν, πιστεύουσί τε λοιπὸν, ὅτι καὶ αὐτὰ τὰ τοῦ θανάτου διέῤῥηξε δεσμὰ, τοῦτο καὶ πάλαι βοώσης τῆς ἁγίας γραφῆς. οὐκοῦν τοῖς ἀληθέσι προμηνύμασι τὰ ἐκ τῶν πραγμάτων συμβαίνοντα τέλη καταλαμβάνοντες, ἑδραιοτάτην ἤδη δέχονται τὴν πίστιν. Σημειωτέον δὲ ὅτι ὁ μὲν μακάριος Εὐαγγελιστὴς Ἰωάννης τὸν τῆς ἀναστάσεως ἡμῖν καταμηνύων καιρόν Τῇ μιᾷ φησι τῶν σαββάτων πρωῒ σκοτίας ἔτι οὔσης ἔρχεται εἰς τὸ μνημεῖον Μαρία ἡ Μαγδαληνή· Ματθαῖος γεμὴν τὴν αὐτὴν ἡμῖν ποιούμενος δήλωσιν, ἑσπέρας ἔφη βαθείας οὔσης γενέσθαι τὴν ἀνάστασιν. ἀλλ' οἶμαι μηδένα διαφωνεῖν οἴεσθαι τοὺς πνευματοφόρους, μήτε μὴν διαφόρους τῆς ἀναστάσεως ἐξηγεῖσθαι καιρούς. εἰ γάρ τις βούλοιτο τῶν σημαινομένων ἐννοῆσαι τὴν δύναμιν, εἰς ταὐτὸν συμβαινούσας εὑρήσει τὰς τῶν ἁγίων φωνάς. ὄρθρος γὰρ ὡς ἐγῷμαι βαθὺς καὶ ἑσπέρα 3.110 βαθεῖα, πρὸς ἕν τι καταφέρει τὸ σημαινόμενον, καὶ εἰς τὸν μεσαίτατον, ἵν' οὕτως εἴπω, τοῦ τῆς νυκτὸς διαστήματος ἔρχεται τόπον. οὐδεμία τοιγαροῦν ἡ διαφωνία. ὁ μὲν γὰρ ἀπὸ τοῦ τέλους τῆς νυκτὸς, ὁ δὲ ἀπὸ τῆς ἀρχῆς λαβὼν, πρὸς τὸ βάθος ἕρπει τῶν ὡρῶν, καὶ εἰς αὐτὸ κάτεισι, καθάπερ ἔφην ἀρτίως, τὸ μεσαίτατον. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί· Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον ἔξω κλαίουσα. Ἀποχρῶσαν ἤδη τῇ τοῦ Σωτῆρος ἡμῶν ἀναστάσει τὴν πληροφορίαν συλλέξαντες οἱ σοφώτατοι μαθηταὶ, ἱδρυμένην τε λοιπὸν καὶ ἀσάλευτον ὠδίνοντες πίστιν, ἀπό τε τῆς τῶν δρωμένων ἐκβάσεως, καὶ τῆς τῶν ἁγίων γραφῶν προῤῥήσεως, οἴκαδε πάλιν ἀνεκομίζοντο, καὶ πρὸς τοὺς σφετέρους κατά γε τὸ εἰκὸς συλλειτουργοὺς ἠπείγοντο, διαγγελοῦντές τε τὸ θαῦμα, καὶ διασκεψόμενοι μετὰ τοῦτο τὴν τῶν πρακτέων ὁδόν. ἴοι δ' ἂν οὐκ ἀπὸ σκοποῦ τὸ καὶ ἕτερόν τι πεπράχθαι νομίζειν παρ' αὐτῶν. ἐν ἀκμαῖς γὰρ ὄντος ἔτι τοῦ τῶν Ἰουδαίων θυμοῦ, καὶ φονώντων ἐκθύμως τῶν καθηγεῖσθαι λαχόντων κατὰ παντὸς μὲν ἀνθρώπου τὸν τοῦ Σωτῆρος ἡμῶν θαυμάζοντος λόγον, καὶ τὴν ἄῤῥητον αὐτοῦ καὶ θεοπρεπεστάτην ἀποδεχομένου δύναμίν τε καὶ δόξαν, μάλιστα δὲ κατ' αὐτῶν τῶν ἁγίων μαθητῶν· τὸ ἐμπεσεῖν εἰκότως παραιτούμενοι, πρὸ αὐγῆς τῆς τελείας ἀποφοιτῶσι τοῦ μνήματος, ὡς οὐκ ἐξὸν ἀκινδύνως τοῦτο δρᾶν, εἰ ὁρῷντο μεθ' ἡμέραν, τῆς τοῦ ἡλίου λαμπάδος τοῖς ἁπάντων αὐτοὺς ἀνακαλυπτούσης ὄμμασι. καὶ οὐ δήπου δειλίαν ἐροῦμεν τὴν ἄνανδρον αἰτίαν ὥσπερ αὐτοῖς τῆς οὕτως ἐμμελεστάτης καταστῆναι φυγῆς, οἰησόμεθα δὲ μᾶλλον τοῦ χρησίμου τὴν γνῶσιν ταῖς τῶν ἁγίων ψυχαῖς ἐντεθεῖσθαι παρὰ Χριστοῦ, ἀωρὶ κινδυνεύειν οὐκ ἐπιτρέποντος τοὺς οἵπερ ἔμελλον ἔσεσθαι τῆς οἰκουμένης φωστῆρες καὶ διδάσκαλοι. ἔδει γὰρ 3.111 ἀληθῆ τὸν παρ' αὐτοῦ φαίνεσθαι λόγον, ὃν ἔφη περὶ αὐτῶν πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα "Πάτερ ἅγιε, τήρησον "αὐτοὺς, φησὶν, ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, ἵνα ὦσιν "ἓν καθὼς ἡμεῖς ἕν. ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν "αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, καὶ ἐφύλαξα "αὐτοὺς, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς "ἀπωλείας." ὑποφεύγουσι τοίνυν οἱ μαθηταὶ, περιμεῖναι δεῖν οἰόμενοι τὸν τῆς παῤῥησίας καιρόν. ἔδρων δὲ τοῦτο τοῖς τοῦ Σωτῆρος καταπειθόμενοι λόγοις. "παρήγγειλε γὰρ "αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, καθὰ γέγραπται, "περιμένειν δὲ τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἤκουσαν "αὐτοῦ, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, αὐτοὶ δὲ βαπτισθήσονται ἐν Πνεύματι Ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας·" ὃ δὴ καὶ εἰς πέρας ἐκβεβηκὸς εὑρήσομεν κατὰ τὰς ἡμέρας τῆς ἁγίας πεντηκοστῆς, ὅτε "ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον "αὐτῶν." τότε γὰρ λίαν εἰς εὔτονόν τε καὶ εὐτολμοτάτην μετασκευασθέντες διάνοιαν, καὶ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρωπίνης ἀσθενείας ὡς πορῤῥωτάτω κείμενοι ταῖς τῶν Ἰουδαίων μανίαις ἀνθωπλίζοντο, καὶ λόγον οὐδένα τῆς παρ' ἐκείνων ἐπιβουλῆς ποιεῖσθαι δεῖν ἐδοκίμαζον. οἱ μὲν οὖν σοφώτατοι μαθηταὶ κατεκρύπτοντο χρησίμως, καθάπερ ἔφην ἀρτίως· ἡ δέ γε φιλόχριστος Μαριὰμ, ἅτε δὴ καὶ παντὸς ἐλευθέρα δείματος, καὶ τὴν τῶν Ἰουδαίων ὀργὴν οὐκ ἔχουσα λίαν ἐν ὑποψίαις, προσεδρεύει μὲν ἰταμώτερον, τὸ δὲ ταῖς θηλείαις ἀεί πως προσπεφυκὸς ὑπομένει πάθος, ἀνοιμώζει γὰρ ἀπληστότερον, καὶ ἀκορέστως τῶν ἰδίων ὀμμάτων ἀποθλίβει τὸ δάκρυον, οὐχ ὅτι τετελεύτηκε καταθρηνοῦσα μόνον, ἀλλ' ὅτι καὶ μετατεθεῖσθαι τοῦ μνήματος ᾠήθη τὸν Κύριον. 3.112 Ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι Γύναι, τί κλαίεις; Ἄθρει δὴ πάλιν, ὡς οὐκ ἀμισθὶ τὸ ἐπὶ Χριστῷ καταχεῖται δάκρυον, ἀλλ' οὐδὲ τῆς εἰς αὐτὸν ἀγάπης μακρὰν ὁ καρπὸς, γείτων δὲ ὥσπερ καὶ παρεζευγμένη τοῖς πόνοις ἕψεται χάρις καὶ πλουσία πάντως ἀντίδοσις. ἰδοὺ γὰρ ἰδοὺ προσεδρευούσῃ τῇ Μαριὰμ, καὶ πόθῳ μὲν φιλοθέῳ τηκούσῃ τὸ σπλάγχνον, γνήσιον δὲ τῷ Δεσπότῃ τηρούσῃ τὸ φρόνημα, διὰ φωνῆς ἁγίων ἀγγέλων τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν γνῶσιν ὁ Σωτὴρ ἐχαρίζετο. ἐθεᾶτο γὰρ ἀγγέλους ἐν ἐσθήμασι λαμπροῖς, τῆς ἀγγελικῆς καθαρότητος τὸ εἰλικρινέστατον κάλλος τῆς τῶν ἱματίων σημαινούσης περιστολῆς, οἳ καὶ τοῦ θρηνεῖν ἀποπαύοντες λέγουσι Γύναι τί κλαίεις; οὐ γὰρ δήπου τὴν αἰτίαν τῆς τῶν δακρύων καταβολῆς ἀξιοῦσι μαθεῖν· ᾔδεσαν γὰρ καὶ εἰ μὴ λέγοι τυχὸν ἡ γυνὴ, καὶ αὐτὸς δὲ ὁ τοῦ πράγματος σκοπὸς οὐ μετρίαν ἐξ ἑαυτοῦ εἶχε τὴν δήλωσιν· παραινοῦσι δὲ μᾶλλον περιστεῖλαι τὸ δάκρυον, ὡς οὐκ ἐν καιρῷ τῷ πρέποντι, καὶ ἐφ' οἷς ἥκιστα χρῆν ἑλομένῃ τὸν θρῆνον· λελυμένου γὰρ τοῦ θανάτου καὶ ἀτονησάσης ἤδη τῆς φθορᾶς, ἐγηγερμένου δὲ διὰ τοῦτο τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ καινοτομήσαντος τοῖς νεκροῖς τὴς εἰς ἀφθαρσίαν καὶ ζωὴν ἀναδρομὴν, τοῦ δὴ χάριν καιροῦ μὲν, ὦ γύναι, τοῦ πρέποντος ἀποσφάλλῃ, φασὶν, ἀλύεις δὲ δὴ, καὶ σφόδρα πικρῶς, τῆς τῶν πραγμάτων ἐκβάσεως καλούσης εἰς τὸ ἐναντίον; χαίρειν γὰρ ὄντως καὶ διευθυμεῖσθαι μᾶλλον ἐχρῆν. τί τοιγαροῦν κλαίεις, ἀδικοῦσα τρόπον τινὰ τὸ τῇ πανηγύρει χρεωστούμενον σχῆμα; Φαίνονται δὲ καθεζόμενοι πρός τε τῇ κεφαλῇ καὶ τοῖς ποσὶν ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ, μόνον οὐχὶ καὶ διὰ 3.113 τούτου τῇ γυναικὶ σημαίνοντες οἰομένῃ μετατεθεῖσθαι τὸν Κύριον, ὡς οὐκ ἂν ἠδίκησέ τις τὸ ἅγιον σῶμα, προσεδρευόντων ἀγγέλων καὶ δυνάμεων ἁγίων κύκλῳ τὸν θεῖον ναὸν περιεχουσῶν· ᾔδεσαν γὰρ τὸν ἴδιον δεσπότην. ζητῆσαι δ' ἄν τις, καὶ μάλα εἰκότως, διὰ ποίαν αἰτίαν τοῖς μὲν ἁγίοις μαθηταῖς οὐδὲν προσελάλησαν οἱ μακάριοι ἄγγελοι, οὐδὲ μὴν ὤφθησαν ὅλως, φαίνονται δὲ καὶ προσλαλοῦσι τῇ γυναικί. ἐροῦμεν οὖν, ὅτι σκοπὸς ἦν τῷ Σωτῆρι Χριστῷ τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν πληροφορίαν ταῖς τῶν ἀγαπώντων αὐτὸν ἐγκατασπείρειν ψυχαῖς, ἐτελεῖτο δὲ διάφορος τῆς πληροφορίας ὁ τρόπος, τῇ τῶν πληροφορουμένων ἕξει προσεοικώς τε καὶ πρέπων. τοῖς μὲν οὖν ἁγίοις μαθηταῖς αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις τῇ παρὰ ταῖς θείαις γραφαῖς ἐλπίδι συμβαίνουσα πρὸς πληροφορίαν ἐξήρκεσε, καὶ πίστιν ἐνετίθει τὴν οὐδαμόθεν ἀμφίβολον. πεπιστευκότες γὰρ ἀνεχώρουν ταῖς ἁγίαις γραφαῖς, καὶ ἦν πως ἔτι περιττὸν τοῖς οὕτω βεβαίαν ἔχουσι τὴν πίστιν καὶ τὸ διὰ τῆς τῶν ἁγίων ἀγγέλων ἐκδιδάσκεσθαι φωνῆς· ἀναγκαιότατον δὲ τὸ χρῆμα τῇ γυναικὶ, τὴν ἱεράν τε καὶ θείαν οὐκ ἐπισταμένῃ γραφὴν, οὔτε μὴν καθ' ἕτερόν τινα τρόπον τὸ βαθὺ τῆς ἀναστάσεως εἰδυίᾳ μυστήριον. Λέγει αὐτοῖς Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστι. Βραδεῖα μέν πως εἰς σύνεσιν ἡ γυνὴ, μᾶλλον δὲ σύμπαν τὸ θηλειῶν γένος. μανθάνει γὰρ οὔπω τὸ ἐκ τῆς ὀπτασίας ὑποδηλούμενον, ἀπαγγέλλει δ' οὖν ὅμως τοῦ θρήνου τὴν πρόφασιν. ἐπειδὴ δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κύριον ὀνομάζουσα τὸν Χριστὸν οὐ κατέληξεν, ἐδείκνυε δὲ καὶ διὰ τούτου τὴν εἰς αὐτὸν ἀγάπησιν, εὐλόγως ἤδη καὶ αὐτῆς τῆς τῶν ποθουμένων ἀπολαύει θέας. ὁρᾷ γὰρ τὸν Ἰησοῦν, εἰ καὶ οὔπω παρόντα νοεῖ, καὶ διὰ 3.114 ποίαν αἰτίαν; ἢ γὰρ ἔτι δυνάμει θεοπρεπεῖ κατακρύπτοντος ἑαυτὸν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ οὐ λίαν ἕτοιμον εἰς ἐπίγνωσιν τοῖς τῶν θεωμένων παρέχοντος ὀφθαλμοῖς, ὑπομένει τὴν ἄγνοιαν· ἢ ἐπείπερ ὄρθρος ἦν ἔτι βαθὺς, τὴν τοῦ φαινομένου διάκρισιν οὐκ εἶχεν εὐκόλως ἑλεῖν, οὐκ ἐφιείσης τρόπον τινὰ τοῦτο δρᾶν τῆς νυκτὸς, παραδεικνυούσης δὲ μόλις τοῦ πλησίον ἰόντος τὸ σχῆμα. τοιγάρτοι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων διαμέμνηταί πως τῶν ἐν τῇδε τῇ νυκτὶ περιπάτων, καὶ ἰκμάδων τῶν ἐκ δρόσου τῆς ἑωθινῆς, οὕτω λέγων " Οτι ἡ "κεφαλή μου ἐπλήσθη δρόσου καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός." Λέγει αὐτῇ ὁ Ἰησοῦς Γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ Κύριε, εἰ σὺ ἐβάστα σας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ ἀρῶ αὐτόν. Σκοτίας μὲν οὔσης ἔτι καὶ λελυμένης οὔπω παντελῶς τῆς νυκτὸς, θεωρεῖ τὸν Ἰησοῦν ἐγγὺς γεγονότα μόλις, καὶ τίς μέν ἐστιν ἀγνοεῖ, τὴν τοῦ σώματος εἰκόνα καὶ τοῦ προσώπου τὸν χαρακτῆρα διακρίνειν οὐκ ἔχουσα· κατακροᾶται δὲ λέγοντος τό Γύναι τί κλαίεις; καὶ πρᾶος μὲν ἀληθῶς τοῦ Σωτῆρος ὁ λόγος, ἐντεκεῖν δ' οὖν ὅμως εἰς ὑποψίαν ἱκανὸς, ὅτι πρέποι μάλιστά τινι τῶν τοῦ κήπου προεστηκότων· διακεῖσθαι δὲ πάλιν ἀκόλουθον οὐχὶ πάντως ἐρωτῶντα τοῦ κλαίειν τὰς ἀφορμὰς τὰ τοιαῦτα φάναι τὸν Κύριον, ἀλλ' οὐδὲ μαθεῖν ἐθέλοντα τὸν παρ' αὐτοῦ ζητούμενον, ἀφιστάντα δὲ μᾶλλον τοῦ κατοιμώζειν αὐτὴν, καθάπερ ἀμέλει καὶ ἡ τῶν μακαρίων ἀγγέλων δυὰς, αὐτὸς γὰρ ἦν καὶ ἐν ἐκείνοις λαλῶν. τί τοίνυν κλαίεις, ὦ γύναι φησί· τίνα ζητεῖς; τουτέστι, περίστειλόν σου τὸ δάκρυον, ἔχουσα τὸν ζητούμενον. ἐγώ σοι, φησὶν, ἡ τοῦ θρήνου πρόφασις, 3.115 ὡς τεθνεὼς δηλονότι καὶ ἀνήκεστα παθὼν, καὶ πρὸς τούτοις ἔτι τῶν μνημάτων ἐκκεκομισμένος. ἐπειδὴ δὲ ζῶ καὶ πάρειμι, παρεῖσα τοὺς γόους μεταχώρει πρὸς εὐθυμίαν. οὐκοῦν τὸ θρηνεῖν περιστέλλοντος ἡ ἐρώτησις. ἔδει γὰρ ἔδει καὶ τούτου τοῦ μέρους ἐπανορθωτὴν γενέσθαι τὸν Κύριον. διὰ μὲν γὰρ τὴν ἐν Ἀδὰμ παράβασιν πρὸς ὅλην εἴρητο τοῦ ἀνθρώπου τὴν φύσιν, ὡς ἐν ἀπαρχῇ τοῦ γένους τῷ πρώτῳ, τό "Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ," πρὸς δέ γε τὴν γυναῖκα καὶ ἰδικῶς, τό "Ἐν λύπαις τέξῃ τέκνα." οὐκοῦν τὸ πλουτεῖν ἐν λύπαις ὡς ἐν τάξει ποινῆς ἐπεκρεμᾶτο τῇ γυναικί. ἦν οὖν ἀναγκαῖον διὰ τῆς τοῦ καταδικάσαντος φωνῆς, τὸ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς ἀναλύεσθαι βάρος, ἀφαιροῦντος ἤδη τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καὶ τῆς θηλείας τὸ δάκρυον, μᾶλλον δὲ παντὸς τοῦ θηλειῶν γένους, ὡς ἐν ἀπαρχῇ τῇ Μαριάμ. πρώτη γὰρ αὕτη γυναικῶν, τῷ τοῦ Σωτῆρος ἐπιστυγνάσασα πάθει, καὶ λύπην λαβοῦσα τὴν ἐπ' αὐτῷ, τῆς τοῦ κλαίειν ἀνακοπτούσης ἠξιώθη φωνῆς, διικνουμένης δηλονότι τῆς τοῦ λόγου δυνάμεως καὶ εἰς ἅπαν τὸ θηλειῶν γένος, εἴπερ ἐπαλγύνοιτο τοῖς κατὰ Χριστοῦ τολμήμασι τὴν εἰς αὐτὸν τιμήσασα πίστιν, καὶ μονονουχὶ τὸ ἐν ψαλμοῖς ἐκεῖνο λέγουσα "Οὐχὶ τοὺς μισοῦντάς σε Κύριε ἐμίσησα, καὶ ἐπὶ "τοῖς ἐχθροῖς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν "αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι." Ἀλλ' ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θρηνεῖν ἀπαλλάττων αὐτὴν τὰ τοιαῦτά φησιν, ἡ δὲ τῶν γηπόνων ἕνα νομίζουσα τὸν λαλοῦντα ὑπάρχειν, μετακομίσειν εὖ μάλα προθύμως τοῦ Σωτῆρος τὸ λείψανον ἐφ' ἑτέρους ὑπισχνεῖτο τόπους, εἰ παραδειχθείη μόνον, ὅπου περ αὐτὸν μετατέθεικεν. οὔπω γὰρ συνεῖσα τὸ μέγα τῆς ἀναστάσεως μυστήριον, ταῖς εἰς τοῦτο καλούσαις ὑποψίαις ἐβάλλετο. δυσμαθέστεραι γάρ 3.116 πως αἱ γυναικῶν εἰσι φρένες, καὶ ἀμελετήτως ἔχουσι πρὸς τὸ δύνασθαι ῥᾳδίως καὶ τοῖς οὐ σφόδρα δυσκόλοις προσβαλεῖν, καὶ πολλῷ γε πλεῖον τοῖς ὑπὲρ λόγον θαύμασιν. Λέγει αὐτῇ ὁ Ἰησοῦς Μαρία. στραφεῖσα δὲ ἐκείνη λέγει αὐτῷ ἑβραϊστί Ῥαββουνὶ, ὃ λέγεται διδάσκαλε, καὶ προσέδραμεν ἅψασθαι αὐτοῦ. Καλεῖ πρὸς ἐπίγνωσιν τὴν ἐμφανεστέραν ἤδη τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γυναίου τὸν νοῦν, ἑαυτὸν δὲ παραθεὶς ἀδιακωλύτως εἰς θέαν, ἅτε δὴ καὶ ἀγαπώσῃ γοργότερον, μονονουχὶ καὶ καταιτιᾶται λοιπὸν οὐ μετρίως μελλήσασαν εἰς τὸ δύνασθαι νοεῖν, ὅτιπερ αὐτὸς εἴη ὁ Χριστός· ὑπεμφαίνει γάρ τι τοιοῦτον καλέσας ὀνομαστί· ἡ δὲ συνίησί τε παραχρῆμα, καὶ τῶν ἐν ἀρχαῖς ὑποψιῶν δι' αὐτῆς ἤδη τῆς θέας ἀποπηδήσασα, τὴν αὐτῷ συνήθη προσάγει τιμὴν Ῥαββουνὶ λέγουσα, τουτέστι Διδάσκαλε, θυμηδίας δὲ τῆς ἀνωτάτω τὸν οἰκεῖον ἐμπλήσασα νοῦν προσέθει θερμῶς ἁψομένη τε τοῦ ἁγίου σώματος, καὶ τὴν εὐλογίαν κερδανοῦσα τὴν παρ' αὐτοῦ. Λέγει αὐτῇ ὁ Ἰησοῦς Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου. Οὐκ εὐκάτοπτος τοῖς πολλοῖς ἡ τοῦ λόγου δύναμις, κέκρυπται γὰρ ἐν αὐτῷ μυστήριον· βασανιστέον δ' οὖν ὅμως διὰ τὸ χρήσιμον. χαριεῖται γὰρ ἡμῖν τῶν ἑαυτοῦ ῥημάτων τὴν γνῶσιν ὁ Κύριος. ἀπείργει μὲν γὰρ ἐπιτρέχον αὐτῷ τὸ γύναιον, καὶ τοῖς ποσὶ περιπλέκεσθαι προθυμούμενον οὐκ ἐᾷ· τὴν δέ γε τοῦ πράγματος αἰτίαν φανερὰν ἡμῖν καθιστάς Οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου φησίν. ἀλλὰ τί δὴ τοῦτο δηλοῦν οἰησόμεθα, ζητητέον. τί γὰρ εἰ μήπω 3.117 πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀναβέβηκε Πατέρα, πρόφασις δὲ αὕτη πῶς ἂν γένοιτο διαρκὴς τοῦ μὴ χρῆναι θιγεῖν τῆς ἁγίας σαρκὸς τοὺς ἀγαπῶντας αὐτόν; ἆρα γάρ τις ἀνεγκλήτως οἰήσεται τὸν ἐκ τῆς ἐπαφῆς μολυσμὸν παραιτούμενον, ἢ καὶ ἵνα καθαρὸς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀνίοι Πατέρα, ταυτὶ πρὸς ἐκείνην εἰπεῖν τὸν Κύριον; εἶτα πῶς οὐκ ἀσύνετός τε ὢν κομιδῇ καὶ παράφρων ἁλώσεται; οὐ γὰρ ἂν ἡ θεία φύσις μολυνθείη ποτέ. ὅνπερ γὰρ τρόπον καὶ βορβόροις ἔσθ' ὅτε καὶ ταῖς κατὰ γῆν ἑτέραις ἀκαθαρσίαις τῆς ἡλιακῆς ἀκτῖνος προσβάλλον τὸ φῶς οὐδὲν ὑπομένει τὸ βλάβος, μένει γὰρ τοῦθ' ὅπερ ἐστὶν, ἀκηλίδωτον δηλονότι, καὶ τῆς τῶν παραπιπτόντων δυσωδίας ἀμοιρῆσαν παντελῶς, οὕτως ἡ θεία τε καὶ πάναγνος φύσις τὸν ἐκ τοῦ μολύνεσθαι ῥύπον οὐκ ἂν ἐπιδέξαιτό ποτε. τίς οὖν ἄρα ἐστὶν ὁ τοῦ κεκωλύσθαι λόγος προσιοῦσαν αὐτῷ τὴν Μαριὰμ, καὶ τῆς ἁγίας σαρκὸς γλιχομένην ἀποθιγεῖν; τί δ' ἂν βούλοιτο κατασημῆναι λέγων ὁ Κύριος Οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα, διασκεπτέον ἤδη κατά γε τὸ ἡμῖν ἐφικτόν. φαμὲν τοίνυν, ὅτι τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ἡ πρόφασις πολλὴ μέν τις ἐστὶ καὶ διάφορος, μία δὲ αὕτη καὶ ἀναγκαιοτάτη, καὶ διὰ τῆς αὐτοῦ παραδειχθεῖσα φωνῆς "Οὐ "γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν." Πρὸ τοίνυν τοῦ σωτηρίου σταυροῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, οὔπω τῆς καθ' ἡμᾶς οἰκονομίας τὸ αὐτῇ πρέπον λαβούσης τέλος, δικαίοις τε καὶ ἀδίκοις ἐπεμίσγετο, καὶ συνήσθιε μὲν τελώναις καὶ ἁμαρτωλοῖς, ἐλευθέραν δὲ καὶ τοῖς ἐθέλουσιν ἅπτεσθαι τῆς ἁγίας σαρκὸς ἐδίδου τὴν πρόσοδον, ἵνα πάντας ἁγιάσῃ καὶ καλέσῃ πρὸς ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἀνακομίσῃ πρὸς ἕξιν τὴν ὑγιᾶ τοὺς ἠῤῥωστηκότας, καὶ τοῖς ἐξ ἁμαρτιῶν συντετριμμένους νοσήμασι. τοιγάρτοι καὶ ἔφη πάλιν αὐτοῖς "Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, 3.118 "ἀλλ' οἱ κακῶς ἔχοντες." οὐκοῦν πρὸ μὲν τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν ἀδιαφόρως ἐπεμίσγετο δικαίοις τε καὶ ἁμαρτωλοῖς· ἀπεσόβει δὲ παντελῶς οὐδένα τῶν προσιόντων αὐτῷ. καὶ γοῦν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατακεκλιμένῳ ποτὲ, γυνὴ παρειστήκει κλαίουσα, "ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλὸς," καθὰ γέγραπται, καὶ τὴν ἀειφιλόκοσμον ἀπολύσασα τρίχα, καὶ μόλις ἀνεῖσα τῶν ἀρχαίων κακῶν περιέματτε τοὺς πόδας, καὶ διακωλύσας οὐ φαίνεται· ἀλλὰ καὶ ὅτε τοῦ ἀρχισυναγώγου τὸ κόριον ἐγερῶν ἀπῄει, πάλιν προσελθοῦσα "γυνὴ ἐν ῥύσει "αἵματος οὖσα ἥψατο τοῦ κρασπέδου αὐτοῦ," καὶ χαλεπαίνοντα μὲν οὐδαμῶς εὑρήσομεν, λόγου δὲ μᾶλλον αὐτὴν ἀξιώσαντα χρηστοῦ· "Θύγατερ γὰρ, ἔφη, ἡ πίστις σου σέσωκέ σε, "πορεύου εἰς εἰρήνην." ἀλλὰ τότε μὲν οἰκονομικῶς, καὶ τοῖς ἀκαθάρτοις ἔτι καὶ μεμολυσμένον ἔχουσι καὶ σῶμα καὶ νοῦν, ἀδιακωλύτως ἐξῆν καὶ αὐτῆς τῆς ἁγίας ἅπτεσθαι σαρκὸς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ ἁπάσης εὐλογίας ἀπολαύειν τῆς παρ' αὐτοῦ· ἐπειδὴ δὲ τὴν καθ' ἡμᾶς πληρώσας οἰκονομίαν, καὶ αὐτὸν ὑπέμεινε τὸν σταυρὸν καὶ τὸν ἐπὶ σταυρῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θάνατον, ἀνεβίω τε πάλιν, καὶ θανάτου κρείττονα τὴν οἰκείαν φύσιν ἀποδεικνὺς, ἀποκωλύει λοιπὸν, καὶ οὐχ ἑτοίμως ἔτι χαρίζεται τοῖς προσιοῦσιν αὐτῷ τὸ καὶ αὐτῆς τῆς ἁγίας ἅπτεσθαι σαρκὸς, τύπον ταῖς ἁγίαις ἐκκλησίαις καὶ τῷ καθ' ἑαυτὸν μυστηρίῳ τὸ πρᾶγμα τιθεὶς, ὃν καὶ αὐτὸς ἡμῖν ὁ διὰ τοῦ πανσόφου Μωυσέως ἐδήλου νόμος, ὅτε καὶ εἰς εἰκόνα Χριστοῦ διετύπου σφάζεσθαι τὸν ἀμνόν· "πᾶς γάρ φησιν "ἀπερίτμητος οὐκ ἔδεται ἀπ' αὐτοῦ," ἀπερίτμητον λέγων τὸν ἀκάθαρτον. ἀκάθαρτος δὲ κατά γε τὴν οἰκείαν φύσιν ἡ ἀνθρωπότης νοοῖτ' ἂν εἰκότως. τί γὰρ ἡ ἀνθρώπου φύσις ὡς πρὸς τὴν ἐνοῦσαν τῷ Θεῷ καθαρότητα; δεῖ τοιγαροῦν οὐκ ἀπεριτμήτους ἔτι, τουτέστιν, ἀκαθάρτους τυγχάνοντας 3.119 τοῦ ἁγίου σώματος ἅπτεσθαι, καθαροὺς δὲ μᾶλλον ἀποδεδειγμένους, διὰ τῆς ἐν πνεύματι νοουμένης περιτομῆς. "περιτομὴ γὰρ καρδίας ἐν πνεύματι," κατὰ τὴν τοῦ Παύλου φωνήν. ἀλλ' οὐκ ἂν ἐν ἡμῖν ἡ ἐν πνεύματι γένοιτο περιτομὴ, μὴ ἐνοικισθέντος ἐν ἡμῖν τοῦ Ἁγίου Πνεύματος, διά τε τῆς πίστεως καὶ τοῦ ἁγίου βαπτίσματος. πῶς οὖν οὐκ ἔδει τὴν Μαριὰμ ἐξείργεσθαι τέως τῆς τοῦ σώματος ἐπαφῆς, τοῦ ἁγίου δὲ δηλονότι, λαβοῦσαν οὔπω τὸ Πνεῦμα; εἰ γὰρ καὶ ἐγήγερτο Χριστὸς ἐκ νεκρῶν, ἀλλ' οὔπω τὸ Πνεῦμα δέδοτο τῇ ἀνθρωπότητι παρὰ Πατρὸς δι' αὐτοῦ. ἀνελθὼν γὰρ πρὸς τὸν Θεὸν καὶ Πατέρα, κατέπεμψεν ἡμῖν αὐτὸ, διὸ καὶ ἔλεγε "Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω, ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ "παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς· ἐὰν δὲ ἀπέλθω, "πέμψω αὐτὸν πρὸς ὑμᾶς." οὔπω τοιγαροῦν καταπεμφθέντος ἡμῖν τοῦ Ἁγίου Πνεύματος, οὔπω γὰρ ἀναβεβήκει πρὸς τὸν Πατέρα, ὡς οὔπω τὸ Πνεῦμα λαβοῦσαν ἀπείργει τὴν Μαριὰμ, λέγων Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα, τουτέστιν, οὔπω τὸ Ἅγιον Πνεῦμα κατέπεμψα πρὸς ὑμᾶς. ἐντεῦθεν ταῖς ἐκκλησίαις ὁ τύπος. τοιγάρτοι καὶ τῆς ἱερᾶς τραπέζης ἐξείργομεν καὶ τοὺς ἐγνωκότας μὲν αὐτοῦ τὴν θεότητα καὶ ὁμολογήσαντας ἤδη τὴν πίστιν, τουτέστι, τοὺς ἔτι κατηχουμένους, μὴ μὴν καὶ τὸ Ἅγιον Πνεῦμα πλουτήσαντας. τοῖς γὰρ οὔπω βεβαπτισμένοις οὐκ ἐνοικεῖ. ἐπὰν δὲ τοῦ Ἁγίου Πνεύματος ἀποδειχθεῖεν μέτοχοι, τότε καὶ ἅπτεσθαι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ κωλύον οὐδέν. τοιγάρτοι καὶ τοῖς μετασχεῖν ἐθέλουσιν εὐλογίας τῆς μυστικῆς, οἱ τῶν θείων μυστηρίων προσφωνοῦσι λειτουργοί ΤΑ ἉΓΙΑ ΤΟΙΣ ἉΓΙΟΙΣ, πρεπωδεστάτην εἶναι διδάσκοντες τῶν ἁγίων τὴν μέθεξιν τοῖς ἡγιασμένοις ἐν Πνεύματι. 3.120 ΚΕΦΑΛΗ Α. Ὅτι κατὰ φύσιν Θεός ἐστιν ὁ Υἱὸς, κἂν εὑρίσκηται δι' ἡμᾶς Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλῶν. Πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. ΔΙ' αἰτίας μὲν ἃς ἤδη προείπαμεν, οὐκ ἐφίησι θιγεῖν τῆς ἑαυτοῦ σαρκὸς καίτοι σφόδρα διψήσασαν τούτου τυχεῖν ἐκ φιλοθεΐας τὴν Μαριάμ· ἀμείβεται δὲ τῆς προσεδρείας αὐτὴν, καὶ τῆς οὕτως ἐντόνου πίστεως καὶ ἀγάπης διπλοῦν ἀπένειμε τὸν μισθὸν, οὐκ ἄκαρπον τοῖς ἐπιτηδεύουσιν ἀποδεικνὺς τὴν εἰς ἑαυτὸν εὐσέβειαν. καὶ τό γε τούτων ἔτι λαμπρότερον, ἐν αὐτῇ γὰρ καὶ πρώτῃ, φημὶ δὴ τῇ Μαριὰμ, σύμπαν ὡς εἰπεῖν τὸ θηλειῶν γένος διττῇ στεφανοῦται τιμῇ, καὶ τῶν ἀρχαίων ἀῤῥωστημάτων ἐκομίζετο τὴν διάλυσιν. πρώτη γὰρ οὕτω θρηνήσασα, καὶ τῶν δακρύων τὴν πρόφασιν λαβοῦσα Χριστὸν, μεθίστη τὸ πένθος εἰς θυμηδίαν, μὴ χρῆναι κλαίειν ἀκούσασα παρὰ τοῦ καὶ πάλαι καταδικάσαντος καὶ ταῖς τῆς λύπης ἐφόδοις εὐκαταγώνιστον ἀποφήναντος. εἴρητο γάρ που πρὸς τὴν γυναῖκα παρὰ Θεοῦ "Εν λύπαις τέξῃ "τέκνα." ἀλλ' ὥσπερ αὐτὴν ὑπετίθει ταῖς λύπαις κατὰ τὸν παράδεισόν ποτε, ταῖς τοῦ ὄφεως διακονησαμένην φωναῖς, καὶ ταῖς τοῦ διαβόλου κακουργίαις ὑπηρετήσασαν, οὕτω δὴ πάλιν ἐν κήπῳ κελεύει μηκέτι κλαίειν αὐτήν. ἀπολύων δὲ 3.121 καὶ αὐτῆς τῆς ἀρᾶς ἐφ' ᾗ λυπεῖσθαι προστέτακτο, τῶν μεγάλων ἀγαθῶν κελεύει γενέσθαι πρωτάγγελον, καὶ τὴν πρὸς τὸ ἄνω βάδισιν εὐαγγελίζεσθαι τοῖς μαθηταῖς· ἵν' ὥσπερ ἡ πρώτη καὶ πασῶν ἀρχαιοτάτη γυνὴ ταῖς τοῦ διαβόλου φωναῖς ὑπουργήσασα κατεκρίθη, καὶ δι' ἐκείνης σύμπαν τὸ θηλειῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γένος, οὕτω καὶ αὐτὴ τοῖς τοῦ Σωτῆρος ἡμῶν ὑπηρετήσασα λόγοις, καὶ τὰ εἰς ζωὴν ἀναφέροντα τὴν αἰώνιον ἀπαγγείλασα, σύμπαν τῆς αἰτίας τὸ θηλειῶν ἀπαλλάξῃ γένος. χαρίζεται τοίνυν τῇ Μαριὰμ πρὸς τὸ μηκέτι κλαίειν μηδὲ εἰς λύπας εὔκολον τὴν καρδίαν ἔχειν ὁ Κύριος, καὶ τὸ ὡραίους κεκτῆσθαι τοὺς πόδας. κατὰ γὰρ τὴν τοῦ προφήτου φωνήν "Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων "τὰ ἀγαθά·" καίτοι τῆς πρώτης ἐκείνης οὐχ ὡραίους ἐχούσης τοὺς πόδας, οὐ γάρ τι τῶν ἀγαθῶν εὐηγγελίζετο, τὰ πρὸς παράβασιν τῆς θείας ἐντολῆς τῷ προπάτορι συμβουλεύσασα. ὅτι δὲ ἀξιάγαστος ἡ Μαριὰμ, κἀντεῦθεν συνήσεις· μνήμης γὰρ ἠξιώθη προφητικῆς. τί γὰρ ἔφη περὶ αὐτῆς καὶ τῶν σὺν αὐτῇ γυναικῶν, αἳ τὴν τοῦ Σωτῆρος ἀνάστασιν τοῖς ἁγίοις εὐηγγελίζοντο μαθηταῖς; "Γυναῖκες "ἐρχόμεναι ἀπὸ θέας δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων "σύνεσιν." τὰς μὲν γὰρ φιλοχρίστους ἀληθῶς ταυτασὶ γυναῖκας, μονονουχὶ καὶ ὀξυτέρῳ φέρεσθαι δρόμῳ τὸ θεῖον ἐν τούτοις διακελεύεται λόγιον, ἵν' ὧν γεγόνασι θεωροὶ, ταῦτα καὶ ἀπαγγείλειαν· καταδικάζει δὲ τῆς Ἰουδαίων ἀσυνεσίας, ἅτε δὴ καὶ αὐτὸν τὸν περὶ τῆς ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ διαγελώντων λόγον. Εἰ δὲ καὶ ἑτέρων οὐσῶν γυναικῶν· δοκεῖ γὰρ καὶ τοῦτο τοῖς ἑτέροις εὐαγγελισταῖς· ὁ σοφὸς Ἰωάννης μόνης ἐποιήσατο μνήμην τῆς Μαριὰμ, οὐκ ἀλλήλοις ἐναντίους εὑρήσομεν τῶν ἁγίων τοὺς λόγους. εἰκὸς γὰρ ὅτι μόνης ἐπεμνήσθη τῆς Μαριὰμ τῆς Μαγδαληνῆς Ἰωάννης, ἅτε δὴ καὶ θερμότερον ἐχούσης τὸ κίνημα πρὸς ἀγάπην τὴν εἰς Χρι 3.122 στὸν, καὶ προπηδώσης τῶν ἄλλων, εἴς γε τὸ ἰδεῖν τὸ μνημεῖον καὶ τὸ ἐν τῷ κήπῳ γενέσθαι, καὶ πάντα τόπον περινοστεῖν τῷ μνημείῳ γείτονα πρὸς τὴν τοῦ σώματος ζήτησιν. ᾤετο γὰρ ἀληθῶς μετατεθεῖσθαι τὸν Κύριον. ἐπιγράφεται δέ πως ἀεὶ τοῖς ἡγουμένοις μάλιστα καὶ βουλῆς καὶ πράγματος τὰ τῶν ἐκβάσεων τέλη, κἂν ἕτεροί τινες εἶεν οἱ συσκεπτόμενοι καὶ συμπράττοντες. Οὐκοῦν εἰς τιμὴν καὶ δόξαν καὶ εἰς καύχημα διηνεκὲς ἐχαρίζετο τῇ Μαριὰμ ὁ Σωτὴρ τὸ εὐαγγελίσασθαι τοῖς ἀδελφοῖς ὅτι ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν· σὺ δέ μοι πάλιν τὸ βαθὺ δὴ τοῦτο καὶ μέγα δέχου μυστήριον, τῆς τῶν θείων δογμάτων ὀρθότητος τὸν κανόνα διαπηδᾶν τὴν ἑαυτοῦ καρδίαν οὐκ ἐφιείς. ἀκούεις ὅπως γέγονε καθ' ἡμᾶς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵνα καὶ ἡμεῖς κατ' αὐτὸν, κατά γε τὸ ἐφικτὸν τῇ φύσει καὶ ὅσον ἧκεν εἰπεῖν εἰς τὸν διὰ τῆς χάριτος ἀνακαινισμόν; τεταπείνωκε γὰρ ἑαυτὸν, ἵνα πρὸς τὸ ἴδιον ὕψος ἀναγάγῃ τὸ ταπεινὸν κατὰ φύσιν, καὶ τὴν τοῦ δούλου μορφὴν πεφόρεκε, καίτοι κατὰ φύσιν Κύριός τε ὑπάρχων καὶ Υἱὸς, ἵνα τὸ τῇ φύσει δοῦλον εἰς τὴν τῆς υἱοθεσίας μετακομίσῃ δόξαν, καθ' ὁμοιότητα τὴν ἑαυτοῦ καὶ ὡς πρὸς αὐτόν. ὡς οὖν καθ' ἡμᾶς γεγονὼς, τουτέστιν ἄνθρωπος, ἵνα καὶ ἡμεῖς κατ' αὐτὸν, φημὶ δὴ θεοὶ καὶ υἱοὶ, δέχεται μὲν εἰς ἑαυτὸν τὰ ἡμῶν ἰδικῶς, ἀντιδίδωσι δὲ ἡμῖν τὰ ἑαυτοῦ, πῶς ἢ τίνα τρόπον, ἐρέσθαι δὴ πάντως θελήσεις εὐλόγως. οὐκοῦν ἐρῶ κατὰ δύναμιν. πρῶτον μὲν γὰρ ἐν οἰκετῶν ὄντας τάξει τε καὶ φύσει· δοῦλα γὰρ τοῦ ποιητοῦ τὰ ποιήματα· καλεῖ μὲν ἰδίους ἀδελφοὺς, Πατέρα δὲ κοινὸν ἑαυτοῦ τε καὶ ἡμῶν ὀνομάζει τὸν Θεὸν, οἰκειούμενος δὲ διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν τὰ ἀνθρώπινα, Θεὸν ἑαυτοῦ τὸν ἡμῶν ἐκάλεσε Θεὸν, καίπερ ὢν Υἱὸς κατὰ φύσιν, ἵν' ὥσπερ 3.123 ἡμεῖς εἰς τὸ ὑπὲρ φύσιν ἀξίωμα διὰ τῆς πρὸς αὐτὸν ὁμοιώσεως ἀναβαίνομεν· οὐ γὰρ ὄντες υἱοὶ κατὰ φύσιν υἱοὶ κεκλήμεθα Θεοῦ, κράζει γὰρ ἐν ἡμῖν διὰ τοῦ ἰδίου Πνεύματος "Ἀββᾶ ὁ πατήρ·" οὕτω καὶ αὐτὸς ἐπείπερ τὴν ἡμετέραν ἐδέξατο μόρφωσιν, γέγονε γὰρ ἄνθρωπος κατὰ τὰς γραφὰς, Θεὸν ἔχῃ τὸν Θεὸν, καίτοι Θεὸς ὑπάρχων ἐκ Θεοῦ κατὰ φύσιν καὶ ἀληθινός. μὴ τοίνυν σκανδαλισθῇς, κἂν ἀκούσῃς ὅτι Θεὸν ἑαυτοῦ τὸν Θεὸν ἀποκαλεῖ, περιάθρει δὲ μᾶλλον ὡς φιλομαθὴς, καὶ περισκέπτου φρονίμως τοῦ λόγου τὴν ἀκρίβειαν. ἑαυτοῦ μὲν γὰρ Πατέρα φησὶν εἶναι τὸν Θεὸν, καὶ ἡμῶν δὲ Θεὸν, πρᾶγμα λέγων καθ' ἑκάτερον ἀληθές. φύσει μὲν γὰρ καὶ ἀληθείᾳ Πατήρ ἐστι τοῦ Χριστοῦ ὁ τῶν ὅλων Θεὸς, ἡμῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ οὐκέτι κατὰ φύσιν Πατὴρ, Θεὸς δὲ μᾶλλον, ὡς ποιητὴς καὶ Κύριος· ἀλλ' ἑαυτὸν ἡμῖν οἱονεί πως ἀνακιρνὰς ὁ Υἱὸς, τὸ μὲν ἑαυτῷ κυρίως τε καὶ ἰδικῶς ὑπάρχον ἀξίωμα τῇ ἡμετέρᾳ χαρίζεται φύσει, Πατέρα κοινὸν ὀνομάζων τὸν ἑαυτοῦ γεννήτορα· τὸ δὲ τῇ ἡμετέρᾳ φύσει προσπεφυκὸς δέχεται πάλιν εἰς ἑαυτὸν, διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. Θεὸν γὰρ ἑαυτοῦ τὸν ἴδιον ὀνομάζει Πατέρα, οὐ θελήσας ἀτιμάσαι τὴν πρὸς ἡμᾶς ὁμοίωσιν διὰ τὴν ἐνοῦσαν αὐτῷ φιλανθρωπίαν τε καὶ ἡμερότητα. ἂν τοίνυν ἐξ ἀμαθίας ἐγκαλεῖν ἐθελήσῃς τῇ τοιαύτῃ φωνῇ, καὶ ἀφόρητόν πως εἶναί σοι δοκῇ τὸ φάναι τὸν Κύριον Θεὸν ἑαυτοῦ τὸν Πατέρα καὶ Θεὸν, αἰτιάσῃ παραφρόνως τὴν διὰ σὲ γενομένην οἰκονομίαν, καὶ δέον εὐχαριστεῖν, ἀτιμάσεις τὸν εὐεργέτην, καὶ τῆς ἀγαπήσεως τῆς εἰς ἡμᾶς γενομένης τὸν τρόπον ἀσυνέτως διαβαλεῖς. εἰ γὰρ τεταπείνωκεν ἑαυτὸν αἰσχύνης καταφρονήσας καὶ διὰ σὲ γενόμενος ἄνθρωπος, τῆς σῆς, ὦ οὗτος, ἐστὶ τὸ ἔγκλημα ταπεινότητος· τῷ δὲ καὶ τοῦτο παθεῖν ἑλομένῳ διὰ σὲ, μέγα τε καὶ ἐξαίσιον ὀφείλεται θαῦμα. καταπλήττομαι δὲ, 3.124 ὅτι κένωσιν ὅλως ἀκούων· κεκένωκε γὰρ ἑαυτὸν δι' ἡμᾶς· οὐ λογίζῃ τὴν πλήρωσιν, καὶ ταπείνωσιν βλέπων τὸ ὕψος οὐκ ἐννοεῖς. κεκένωται γὰρ πῶς, εἰ μὴ τέλειον ἐννοεῖς ὑπάρχειν, ὡς Θεόν; τεταπείνωται δὲ κατὰ τίνα τρόπον, εἰ μὴ τῆς ἀῤῥήτου φύσεως αὐτοῦ λογίζῃ τὰ ὑψώματα; οὐκοῦν πλήρης ὑπάρχων καὶ παντέλειος ὡς Θεὸς κεκένωται διὰ σὲ, πρὸς τὴν σὴν ἑαυτὸν κατακομίσας ὁμοίωσιν, καὶ ὑψηλὸς ὑπάρχων ὡς Υἱὸς καὶ ἐξ αὐτῆς τῆς οὐσίας τοῦ Πατρὸς, τεταπείνωκεν ἑαυτὸν, ἐπείπερ γέγονεν ἄνθρωπος, ὁ τῶν ὑψωμάτων τῆς θείας δόξης τοσοῦτον ἡττώμενος, ὅσον οἶδεν ἡ φύσις. ὅτε τοίνυν ἐν ταὐτῷ τέ ἐστι Θεὸς καὶ ἄνθρωπος, ὑψηλὸς μὲν διὰ τὸν φύσαντα· Θεὸς γάρ ἐστιν ἐκ Θεοῦ καὶ Υἱὸς ἐκ Πατρὸς ἀληθῶς· ταπεινὸς δὲ δι' ἡμᾶς, ἄνθρωπος γὰρ καθ' ἡμᾶς γέγονε δι' ἡμᾶς· ἀτάραχον ἔχε τὸν νοῦν, ὅταν ἀκούσῃς λέγοντος Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. πρέποι γὰρ ἂν καὶ μάλα εἰκότως, ὡς Θεῷ μὲν καὶ Υἱῷ κατὰ φύσιν Πατέρα καλεῖν τὸν γεννήτορα, ὡς δὲ ἀνθρώπῳ καθ' ἡμᾶς, Θεὸν ἑαυτοῦ τὸν Θεὸν ὀνομάζειν. Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον καὶ ταῦτα εἶπεν αὐτῇ. Θεραπεύεται τὸ νενοσηκὸς μάλιστα γένος, φημὶ δὴ τὸ θηλειῶν, διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν φιλανθρωπίας ἀνακεφαλαιουμένου τρόπον τινὰ τὴν τῶν καθ' ἡμᾶς ἀῤῥωστημάτων ἀρχὴν, καὶ μετατιθέντος τοῖς δευτέροις ἐπὶ τὸ ἄμεινον. ἀπαγγέλλει γὰρ ἡ Μαριὰμ, ὅτι καὶ θεάσοιτο τὰ τοῦ θανάτου δεσμὰ διαφυγόντα τὸν Κύριον, καὶ τίνα λέγοντος ἤκουσε, διεκόμισέ τε τοῖς μαθηταῖς τοὺς τῆς ζωῆς λόγους καὶ τῶν θείων εὐαγγελίων τὰς ἀπαρχάς. 3.125 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ αὐτοῦ συνη γμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς Εἰρήνη ὑμῖν. καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν καθ' ἣν ὤφθη τε καὶ διείλεκται τῇ Μαριὰμ, καὶ αὐτοῖς τοῖς ἁγίοις ἐπέλαμψε μαθηταῖς, τὰς τῶν ἀνοσίων Ἰουδαίων ἀφορήτους καταδρομὰς καταπεφρικόσι, καὶ εἰς οἶκόν τινα διὰ τοῦτο συγκεκομισμένοις. οὐ γὰρ ἦν εἰκὸς ἀμοιρῆσαί ποτε τοῦ πρέποντος λογισμοῦ τοὺς οὕτω πεπαιδευμένους, καὶ τὰς τῶν φονώντων ὀργὰς διαδιδράσκειν ἐπείγεσθαι κεκελευσμένους πολλάκις. ἐπιφαίνεται δὲ παραδόξως αὐτοῖς. κεκλεισμένων γὰρ, ὥς φησι, τῶν θυρῶν, ἀδοκήτως εἰς μέσον ἔστη Χριστὸς, ἀφάτῳ τινὶ δυνάμει καὶ θεοπρεπεῖ καὶ τὰς τῶν πραγμάτων ἀκολουθίας ὑπεριπτάμενος, καὶ τοῦ τοῖς δρωμένοις πρέποντος λογισμοῦ τε καὶ σχήματος ἀμείνων ἀναδεικνύμενος. μὴ γὰρ δή τις λεγέτω Πῶς ἐν σώματι τῷ παχεῖ τυγχάνων ὁ Κύριος ἀδιακωλύτως εἰσήλασε, καίτοι τῶν θυρῶν κεκλεισμένων· ἐννοείτω δὲ μᾶλλον, ὡς οὐ περί τινος τῶν καθ' ἡμᾶς τὰ τοιαῦτά φησιν ὁ θεσπέσιος Εὐαγγελιστής· περὶ αὐτοῦ δὲ μᾶλλον τοῦ συνεδρεύοντος τῷ Θεῷ καὶ Πατρὶ, καὶ πάντα δρῶντος εὐκόλως ὅσαπερ ἂν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βούλοιτο. ἔδει γὰρ ἔδει Θεὸν ὄντα κατὰ φύσιν καὶ ἀληθινὸν μὴ ταῖς τῶν πραγμάτων ἀκολουθίαις ὑποκεῖσθαι, καθάπερ ἀμέλει καὶ τὰ παρ' αὐτοῦ γεγονότα, κατεξουσιάζειν δὲ μᾶλλον καὶ ἀνάγκης αὐτῆς καὶ λογισμοῦ τοῦ καθήκοντος καὶ πρεπωδεστάτου τῶν τελουμένων ἑκάστῳ. ἐπεὶ κατὰ τίνα τρόπον θάλασσαν μὲν τοῖς ἰδίοις ὑπετίθει ποσὶ, διέθει δὲ καθάπερ ἐπὶ ξηρᾶς τοῦ κύματος, καίτοι τῶν ἡμετέρων σωμάτων τὴν ἐφ' ὕδασιν ὁδὸν οὐκ ἐχόντων ὑπεστρωμένην; ἢ πῶς τὰς ἑτέρας ἐπλήρου θαυ 3.126 ματουργίας ἐν ἐξουσίᾳ θεοπρεπεῖ; ἀλλ' ἐκεῖνα δὴ πάντως ἐρεῖς ὑπὲρ λόγον. οὐκοῦν τίθει μετ' ἐκείνων καὶ τοῦτο, καὶ μὴ καθάπερ ἔδοξέ τισιν ἐκ τῆς ἐνούσης αὐτοῖς ἐλαφρίας συνηρπασμένοις ἐπὶ τὸ βούλεσθαι φρονεῖν ἅπερ ἥκιστα χρῆν, οἰηθῇς διὰ τοῦτο μὴ μετὰ τοῦδε τοῦ σώματος ἐγηγέρθαι τὸν Κύριον, γυμνὸν δὲ σαρκὸς καὶ ἀσύμπλοκον παντελῶς τοῦ ληφθέντος ναοῦ. εἰ γὰρ μὴ δύνασαι νοεῖν τῆς ἀῤῥήτου φύσεως τὴν ἐνέργειαν, τί μὴ μᾶλλον τῆς ἀνθρωπίνης ἀσθενείας καταβοᾷς; τοῦτο γὰρ εἶναί φημι καὶ σοφώτερον· εἶτα στέργεις σιωπῇ τὸ διορισθέν σοι μέτρον παρὰ τοῦ δημιουργοῦ, ἀποσειόμενος δὲ ὥσπερ τὸν σώφρονα λογισμὸν, ἀδικεῖς τὸ μέγα τῆς ἀναστάσεως μυστήριον, ἐφ' ᾧ πᾶσαν ἔχομεν τὴν ἐλπίδα. διαμεμνήσθω γάρ τις βοῶντος τοῦ Παύλου "Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγή"γερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις "ὑμῶν καὶ ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν," εἶτα πάλιν "Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυ"ρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ "ἤγειρεν εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται." τί γὰρ ὅλως τὸ ἐγερθὲν εἰ μὴ τὸ πεσὸν, ἢ τί τὸ ἀναστὰν εἰ μὴ τὸ κεκλιμένον εἰς θάνατον; πῶς δὲ ἡμεῖς προσδοκήσομεν τὴν ἀνάστασιν, εἰ μὴ τὸν οἰκεῖον ἤγειρε ναὸν ὁ Χριστὸς, ἀπαρχὴν τῶν κεκοιμημένων, καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν ἑαυτὸν ὑπὲρ ἡμῶν καθιστάς. ἢ πῶς ἐνδύσεται τὸ φθαρτὸν τοῦτο τὴν ἀφθαρσίαν, εἰ καθάπερ οἴονταί τινες εἰς ἀπώλειαν παντελῆ κατοιχήσεται; πῶς γὰρ οὐ τοῦτο πείσεται, μηδεμίαν ἔχον εἰς ἀναβίωσιν τὴν ἐλπίδα; μὴ τοίνυν τὴν ἐν τῷ πιστεύειν ὀρθότητα ζημιωθῇς διὰ τὸ παραδόξως τετελεσμένον, προστίθει δὲ τοῖς ἑτέροις θαύμασι καὶ τοῦτο σωφρόνως. Ἄθρει γὰρ ὅπως διὰ μὲν τοῦ παραδόξως εἰσελάσαι κεκλεισμένων τῶν θυρῶν, δέδειχε πάλιν ὅτι Θεός ἐστι κατὰ 3.127 φύσιν, καὶ οὐχ ἕτερος παρ' ἐκεῖνον τὸν αὐτοῖς καὶ πάλαι συνδιαιτώμενον· διὰ δὲ τοῦ καὶ αὐτὴν ἀπογυμνῶσαι τοῦ σώματος τὴν πλευρὰν καὶ τοὺς τύπους ἐπιδεῖξαι τῶν ἥλων, πεπληροφόρηκεν ἐμφανῶς ὅτι τὸν ἐπ' αὐτοῦ τοῦ σταυροῦ κεκρεμασμένον ἤγειρε ναὸν, καὶ ὅπερ πεφόρεκε σῶμα, τοῦτο πάλιν ἀνέστησε, καταργήσας δηλονότι τὸν τῇ σαρκὶ πρέποντα θάνατον, ἐπείπερ ἐστὶ κατὰ φύσιν ζωὴ καὶ Θεός. ἐπεὶ τίς ἡ χρεία τῆς τῶν χειρῶν καὶ τῆς πλευρᾶς ἐπιδείξεως, εἴπερ ὅλως κατὰ τήν τινων ἀβελτερίαν οὐ μετὰ τῆς ἰδίας ἐγήγερται σαρκός; εἰ γὰρ ἕτερόν τι περὶ αὐτοῦ φρονεῖν ἠθέλησε τοὺς μαθητὰς, τί μὴ μᾶλλον αὐτοῖς ἐν ἑτέρῳ διεφαίνετο σχήματι, καὶ τὸ τῆς σαρκὸς ἀτιμάσας εἶδος, πρὸς ἑτεροίας αὐτοὺς ἐννοίας ἐκάλει; νυνὶ δὲ τοσοῦτον ὁρᾶται πεφροντικὼς τοῦ χρῆναι πιστεύειν ἔσεσθαι τῆς σαρκὸς τὴν ἀνάστασιν, ὥστε καὶ καιροῦ καλοῦντος ἤδη μετασκευάζειν εἰς δόξαν ἄῤῥητόν τινα καὶ ὑπερφυᾶ τὸ ἴδιον σῶμα, φαίνεσθαι πάλιν ὅπερ ἦν συγκεχώρηκεν οἰκονομικῶς, ἵνα μὴ ἕτερον ἔχων παρ' ἐκεῖνο νομίζηται ἐν ᾧ καὶ πέπονθε τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. ὅτι γὰρ οὐκ ἂν ἐγένετο φορητὴ τοῖς ἡμετέροις ὄμμασιν ἡ τοῦ ἁγίου σώματος δόξα, εἴπερ αὐτὴν ἐξαπλοῦν ἠβουλήθη Χριστὸς καὶ πρὶν ἀναβῆναι πρὸς τὸν Πατέρα, συνήσεις εὐκόλως, τὸν ἐν τῷ ὄρει ποτὲ παραδειχθέντα τοῖς ἁγίοις μαθηταῖς μετασχηματισμὸν ἐνθυμούμενος. γράφει γὰρ ὁ μακάριος Ματθαῖος ὁ Εὐαγγελιστὴς, ὅτι παραλαβὼν ποτε "Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, "ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, "καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ἀστραπὴ, τὰ δὲ "ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡσεὶ χιὼν," οἱ δὲ τὴν θέαν οὐκ ἐνεγκόντες πεπτώκασιν. οἰκονομικώτατα τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὔπω πρὸς δόξαν τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῷ χρεωστουμένην καὶ πρέπουσαν τὸν οἰκεῖον μεταστοιχειώσας ναὸν, 3.128 ἐν τοῖς πρώτοις ἔτι διεφαίνετο σχήμασι, τὴν τῆς ἀναστάσεως πίστιν οὐκ ἐφ' ἕτερόν τι σχῆμα καὶ σῶμα μετακομίζεσθαι θέλων ἢ εἰς ὅπερ ἔλαβεν ἐκ τῆς ἁγίας παρθένου, ἐν ᾧ καὶ σταυρωθεὶς ἀπέθανε κατὰ τὰς γραφὰς, τῆς τοῦ θανάτου δυνάμεως κατὰ μόνης τρεχούσης τῆς σαρκὸς, ἐξ ἧς καὶ ἀπελήλαται. εἰ γὰρ μὴ ἀνέστη τὸ τεθνηκὸς αὐτοῦ σῶμα, ποῖος νενίκηται θάνατος, ποῦ δὲ ἠτόνησε τὸ τῆς φθορᾶς κράτος; οὐ δι' ἑνὸς ἀποθανόντος τῶν λογικῶν κτισμάτων, οὐ ψυχῆς, οὐκ ἀγγέλου, μήτι γε καὶ αὐτοῦ τοῦ Θεοῦ Λόγου; ὅτε τοίνυν περὶ μόνον τὸ φθείρεσθαι πεφυκὸς τὸ τοῦ θανάτου γίνεται κράτος, περὶ αὐτὸ δὴ πάντως καὶ ἡ τῆς ἀναστάσεως δύναμις νοοῖτ' ἂν εἰκότως, ἵνα καὶ ἡ τοῦ τυραννήσαντος παραλύηται δύναμις. τὸ δὲ εἰσελθεῖν τῶν θυρῶν κεκλεισμένων τὸν Κύριον, τοῖς ἄλλοις αὐτοῦ σημείοις συντετάξεται παρά γε τοῖς σώφροσι. κατασπάζεται δὲ τοὺς ἁγίους μαθητάς. εἰρήνη γὰρ ὑμῖν φησιν, ἑαυτὸν εἶναι λέγων τὴν εἰρήνην. οἷς γὰρ ἂν παρείη Χριστὸς, τούτοις ἕψεται δὴ πάντως καὶ τὸ ἐν ἀταράχῳ διατηρεῖσθαι πνεύματι. ὃ δὴ καὶ Παῦλος ὑπάρξαι παρὰ Θεοῦ τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπηύχετο λέγων "Η εἰρήνη τοῦ Χριστοῦ ἡ ὑπερέχουσα "πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα "ὑμῶν·" εἰρήνην Χριστοῦ τὴν ἐπέκεινα νοῦ παντὸς, οὐχ ἑτέραν εἶναι λέγων παρὰ τὸ Πνεῦμα αὐτοῦ, οὗπερ εἴ τις μετάσχοι, παντὸς ἀνάπλεως ἔσται καλοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. Τοῖς τοῦ Σωτῆρος ῥήμασιν ἐπιμαρτυρεῖ τὴν ἀλήθειαν κἀν τούτῳ δὴ πάλιν ὁ μακάριος Εὐαγγελιστὴς, θυμηδίας καὶ χαρᾶς ἀναπεπλῆσθαι λέγων τοὺς μαθητὰς, ἐπείπερ εἶδον τὸν Ἰησοῦν. μεμνήμεθα γὰρ ὅτι πρὸς αὐτοὺς αἰνιγματωδῶς τοὺς περὶ τοῦ τιμίου σταυροῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἐξυφαίνων λόγους "Μικρὸν ἔφη, καὶ οὐκέτι θεωρεῖτέ με, καὶ 3.129 "πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ χαρήσεται ὑμῶν ἡ "καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς ἀρεῖ ἀφ' ὑμῶν." ἔχαιρον μὲν γὰρ οἱ πάσης ἀποπληξίας τὸν νοῦν ἀνάμεστον ἔχοντες Ἰουδαῖοι, σταυρῷ προσηλούμενον βλέποντες τὸν Ἰησοῦν· λύπῃ δὲ ἀκράτῳ καὶ δυσαχθεστάτῃ κατεφορτίζετο τῶν ἁγίων μαθητῶν ἡ καρδία. ἀλλ' ἐπείπερ ἐστὶ κατὰ φύσιν ζωὴ, καταλύσας τοῦ θανάτου τὸ κράτος ἀνεβίω πάλιν, καὶ ἡ μὲν τῶν Ἰουδαίων ἀπέσβη χαρὰ, τοῖς γεμὴν ἁγίοις ἀποστόλοις μετακεχώρηκε μὲν ὁ κοπετὸς εἰς χαρὰν, ἀναπόβλητος δὲ παντελῶς καὶ ἀναφαίρετος ἀνεβλάστησε θυμηδία. τεθνήξεται γὰρ οὐκέτι Χριστὸς ἅπαξ ἀποθανὼν "εἰς ἀθέτησιν "ἁμαρτίας," καθὰ γέγραπται. ζῶν γὰρ ἀεὶ καὶ ὑπάρχων, ἀτελεύτητον δῆλον ὅτι τοῖς ἐλπίζουσιν ἐπ' αὐτῷ διατηρήσει τὸ χαίρειν. κατασπάζεται δὲ πάλιν, τὸ σύνηθες ἐκεῖνο λέγων, τουτέστιν Εἰρήνη ὑμῖν, νόμον ὥσπερ τινὰ καὶ τὸν ἐπὶ τούτῳ τιθεὶς τοῖς τῆς Ἐκκλησίας τέκνοις. τοιγάρτοι καὶ ἐν ταῖς ἁγίαις μάλιστα συνόδοις ἤτοι συνάξεσι παρ' αὐτὰς τοῦ μυστηρίου τὰς ἀρχὰς, τοῦτο καὶ ἡμεῖς ἀλλήλοις φαμέν. τὸ γὰρ εἰρηνεύειν ἡμᾶς πρός τε ἀλλήλους καὶ Θεὸν, πηγή τις ὥσπερ καὶ ἀρχὴ παντὸς ἂν ὑπάρχειν νοοῖτο καλοῦ. τοιγάρτοι καὶ Παῦλος τὰ πάντων ὑπάρξαι κάλλιστα τοῖς κεκλημένοις ἐπευχόμενος "Χάρις ὑμῖν καὶ εἰρήνη φησὶν ἀπὸ "Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ," προτρέπων δὲ πάλιν εἰς εἰρήνην τὴν ὡς πρὸς Θεὸν τοὺς οὔπω πιστεύσαντας "Ὑπὲρ Χριστοῦ, φησὶ, πρεσβεύομεν, ὡς τοῦ "Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, "καταλλάγητε τῷ Θεῷ·" παραθήγει δὲ οὐδὲν ἧττον ἡμᾶς καὶ ὁ προφήτης Ἡσαΐας βοῶν "Ποιήσωμεν εἰρήνην αὐτῷ, "ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι." πρέπουσα τοίνυν ἡ τοῦ λόγου δύναμις τῷ τὴν εἰρήνην βραβεύοντι, μᾶλλον δὲ τῇ πάντων εἰρήνῃ, τουτέστι Χριστῷ· "Αὐτὸς γάρ ἐστιν ἡ "εἰρήνη ἡμῶν," κατὰ τὰς γραφάς. 3.130 Καὶ εἶπεν αὐτοῖς πάλιν Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ ζῶν Πατὴρ κἀγὼ ἀποστέλλω ὑμᾶς. Κεχειροτόνηκε μὲν ἐν τούτοις ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοὺς τῆς οἰκουμένης καθηγητάς τε καὶ διδασκάλους καὶ τῶν θείων αὐτοῦ μυστηρίων οἰκονόμους, οὓς καὶ φωστήρων δίκην ἀναλάμψαι τε ἤδη καὶ καταυγάσαι κελεύει οὐχὶ μόνην τῶν Ἰουδαίων τὴν χώραν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ τὸ μέτρον τῆς νομικῆς ἐντολῆς διηκούσης "ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ," κατὰ τὸ γεγραμμένον, μᾶλλον δὲ τὴν ὑφ' ἡλίῳ σύμπασαν καὶ τοὺς πανταχόσε κατεσπαρμένους καὶ κατῳκηκότας. ἀληθὴς οὖν ἄρα λέγων ὁ Παῦλος, ὡς "οὐχ ἑαυτῷ τις λαμβάνει τὴν "τιμὴν, ἀλλ' ὁ καλούμενος παρὰ τοῦ Θεοῦ." κέκληκε γὰρ εἰς εὐκλεεστάτην ἀποστολὴν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς πρὸ τῶν ἄλλων ἁπάντων τοὺς ἑαυτοῦ μαθητὰς, καὶ μονονουχὶ σειομένην καὶ πίπτουσαν ὅλην ἔπηξε τὴν γῆν, ἀναδείξας ὡς Θεὸς τὰ ὑποστηρίγματα αὐτῆς καὶ τοὺς ἀντερείδειν ἰσχύοντας. τοιγάρτοι καὶ ἔφη διὰ τῆς τοῦ ψάλλοντος φωνῆς περί τε τῆς γῆς καὶ τῶν ἀποστόλων ὅτι "ἐγὼ "ἐστερέωσα τοὺς στύλους αὐτῆς·" στύλοι γὰρ ὥσπερ καὶ ἑδραίωμα τῆς ἀληθείας οἱ μακάριοι γεγόνασι μαθηταὶ, οὓς δὴ καὶ ἀποστεῖλαί φησιν, ὥσπερ αὐτὸν ἀπέστειλεν ὁ Πατὴρ, ὁμοῦ μὲν τῆς ἀποστολῆς τὸ ἀξίωμα δεικνὺς, καὶ τῆς δοθείσης αὐτοῖς ἐξουσίας τὴν ἀσύγκριτον δόξαν· ἐν ταὐτῷ δὲ ὡς εἰκὸς καὶ τῶν ἀποστολικῶν ἐπιτηδευμάτων ὑποφαίνων τὴν ὁδόν. εἰ γὰρ οὕτως ἀποστέλλειν ᾤετο δεῖν αὐτὸς τοὺς οἰκείους μαθητὰς, ὥσπερ οὖν αὐτὸν ἀπέστειλεν ὁ Πατὴρ, πῶς οὐκ ἀναγκαῖον ἰδεῖν τοὺς, οἵ γε τῶν ἴσων ἔμελλον ἔσεσθαι μιμηταὶ, τί δὴ καὶ δράσοντα τὸν Υἱὸν ἀπέστειλεν ὁ Πατήρ; Οὐκοῦν τῆς ἰδίας ἀποστολῆς τὸν τρόπον διαφόρως ἡμῖν ἐξηγούμενος, ποτὲ μὲν ἔφασκεν "Οὐκ ἦλθον καλέσαι δι 3.131 "καίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν," καὶ πάλιν "Οὐ "χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς "ἔχοντες·" καὶ ἔτι πρὸς τούτοις ποτὲ μέν " Oτι καταβέ"βηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν "ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με," ποτὲ δὲ πάλιν "Οὐ "γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα "κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ." ἐν ὀλίγοις τοιγαροῦν τοῖς ῥήμασι τὰ τῆς ἀποστολῆς ἐπιτηδεύματα συνελὼν, οὕτως ἀποστεῖλαί φησιν αὐτοὺς, καθάπερ αὐτὸν ὁ Πατὴρ, ἵν' εἰδεῖεν ἐντεῦθεν, ὡς καλεῖν ὀφείλουσιν ἁμαρτωλοὺς εἰς μετάνοιαν, θεραπεύειν δὲ τοὺς κακῶς ἔχοντας, σωματικῶς τε καὶ πνευματικῶς, ἐν δὲ ταῖς τῶν πραγμάτων οἰκονομίαις τὸ ἴδιον οὐχὶ πάντως θέλημα ζητεῖν, ἀλλὰ τὸ τοῦ ἀποστείλαντος, σώζειν τε καθόσον ἐνδέχεται ταῖς διδασκαλίαις τὸν κόσμον. καὶ γοῦν διὰ τούτων ἁπάντων διαπρέπειν σπουδάζοντας καὶ αὐτοὺς εὑρήσομεν τοὺς ἁγίους μαθητὰς, καὶ ὁ τῆς πληροφορίας πόνος οὐ πολὺς τῷ γε ἅπαξ ἐγκύψαντι τῇ τῶν πράξεων συγγραφῇ καὶ ταῖς τοῦ ἁγίου Παύλου φωναῖς. Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς Λάβετε Πνεῦμα Ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Λαμπροὺς ἀποφήνας τῷ μεγάλῳ τῆς ἀποστολῆς ἀξιώματι, καὶ τῶν θείων θυσιαστηρίων, καθάπερ ἔφην ἀρτίως, οἰκονόμους τε καὶ ἱερουργοὺς ἀναδείξας, ἁγιάζει παραχρῆμα τὸ ἴδιον αὐτοῖς Πνεῦμα διδοὺς δι' ἐμφανοῦς ἐμφυσήματος, ἵνα καὶ ἡμεῖς ἀραρότως πιστεύωμεν ὡς οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ Ἅγιον Πνεῦμά ἐστιν, ἀλλ' ὁμοούσιον αὐτῷ, καὶ δι' αὐτοῦ προϊὸν τὸ ἐκ τοῦ Πατρός. ἔδειξε δὲ ὅτι τοῖς εἰς θείαν ἀποστολὴν δι' αὐτοῦ προχειριζομένοις ἡ τοῦ Πνεύματος δόσις ἀναγκαίως ἀκολουθεῖ. καὶ διὰ ποίαν αἰτίαν; οὐ γὰρ 3.132 ἄν τι δράσειαν τῶν ἀρεσκόντων Θεῷ, ἀλλ' οὐδ' ἂν τῶν τῆς ἁμαρτίας καταneaνιεύσαιντο βρόχων, μὴ τὴν ἐξ ὕψους πρότερον ἐνδυσάμενοι δύναμιν, καὶ εἰς ἕτερόν τι παρ' ὅπερ ἦσαν μεταστοιχειούμενοι. διὸ καὶ πρός τινα τῶν ἀρχαιοτέρων ἐλέγετο, ὅτι "ἁλεῖται ἐπὶ σὲ Πνεῦμα Κυρίου, καὶ στραφήσῃ "εἰς ἄνδρα ἄλλον," ἀλλάξειν δὲ ἰσχὺν τοὺς ὑπομένοντας τὸν Θεὸν καὶ ὁ προφήτης ἡμῖν Ἡσαΐας ἐπηγγέλλετο· Παῦλος δὲ ὁ σοφώτατος κεκοπιακέναι φάσκων ὑπέρ τινας, ἐν τοῖς ἀποστολικοῖς δηλονότι κατορθώμασιν, ἐπήνεγκεν εὐθὺς, ὅτι "Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν "ἐμοί." πρὸς δέ γε τούτῳ κἀκεῖνό φαμεν, ὡς οὐκ ἂν ὅλως συνῆκαν τὸ ἐπὶ Χριστῷ μυστήριον, οὐδ' ἂν ἀκριβεῖς ἐγένοντο μυσταγωγοὶ, εἰ μὴ διὰ τῆς τοῦ Πνεύματος δᾳδουχίας ἰόντες εἰς ἀποκάλυψιν τῶν ὑπὲρ νοῦν καὶ λόγον, πρὸς τὸ διδάσκειν οὕτως ἃ χρῆν ἀναβαίνειν ἰσχύουσαν· λέγει γάρ "Οὐδεὶς δύναται εἰπεῖν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κύριος Ἰησοῦς," κατὰ τὴν τοῦ Παύλου φωνὴν, "εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ." ἐπειδὴ τοίνυν ἔμελλον ἐρεῖν ὅτι Κύριος Ἰησοῦς, τουτέστιν, ἀνακηρύττειν αὐτὸν ὡς Θεὸν καὶ Κύριον, ἀναγκαίως ἤδη λοιπὸν τῷ τῆς ἀποστολῆς ἀξιώματι παρεζευγμένην δέχονται τὴν τοῦ Πνεύματος χάριν, διδόντος αὐτὸ τοῦ Χριστοῦ, καὶ οὐχ ὡς ταῖς ἑτέρου φιλοτιμίαις διακονουμένου τυχὸν, χορηγοῦντος δὲ μᾶλλον ἐξ ἑαυτοῦ· διήκοι γὰρ ἂν οὐχ ἑτέρως εἰς ἡμᾶς παρὰ Πατρὸς εἰ μὴ δι' Υἱοῦ. ὁ μὲν οὖν ἀρχαῖος καὶ ἐν γράμμασι νόμος, σκιὰς ἔχων καὶ τύπους τῶν ἀληθινῶν, σωματικωτέραν, ἵν' οὕτως εἴπω, καὶ ἐν παχυτέροις ὁρωμένην πράγμασι τὴν τῶν ἱερῶν ἀνάῤῥησιν τελεῖσθαι προσέταττεν. ὁ γάρ τοι μακάριος Μωυσῆς, Θεοῦ πάλιν αὐτῷ προστάττοντος, ὕδασι μὲν ἀπονίζεσθαι τόν τε Ἀαρὼν αὐτὸν καὶ τοὺς Λευΐτας ἐκέλευεν· εἶτα τὸν τῆς τελειώσεως κατασφάξας κριὸν κατέ 3.133 χρισεν ἐκ "τοῦ αἵματος τὸν λοβὸν τοῦ ὠτὸς τοῦ δεξιοῦ," καθὰ γέγραπται, ἐπέθηκε δὲ καὶ "ἐπὶ τὸ ἄκρον τῆς χειρὸς "τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ," τοῦ κατὰ Χριστὸν μυστηρίου τὸν τύπον ὡς ἐν εἰκόνι ζωγραφῶν. ἔνθα γὰρ ὕδωρ καὶ αἷμά ἐστι, τὰ δι' ὧν ὁ ἁγιασμὸς, πῶς ἢ πόθεν ἀμφίβολον, ὅτι τῆς ἀληθείας τὸ κάλλος ἐν ἀφανεστέροις ἔτι διεπλάττετο τύποις; ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, εἰς ἀληθείας δύναμιν τὸ σχῆμα τοῦ νόμου μεταθεὶς, τοὺς τῶν θείων θυσιαστηρίων ἱερουργοὺς τελειοῖ δι' ἑαυτοῦ. καὶ γάρ ἐστιν αὐτὸς ὁ τῆς τελειώσεως κριός. τελειοῖ δὲ δι' ἁγιασμοῦ τοῦ κατὰ ἀλήθειαν, τῆς ἰδίας φύσεως κοινωνοὺς διὰ τῆς τοῦ Πνεύματος μετουσίας ἀναδεικνὺς, καὶ μεταχαλκεύων τρόπον τινὰ τὴν ἀνθρώπου φύσιν εἰς τὴν ὑπὲρ ἄνθρωπον δύναμίν τε καὶ δόξαν. Ἀλλ' ὅτι μὲν τῆς ἀληθείας οὐκ ἔξω που φανεῖται καὶ ὁ περὶ τούτων ἡμῖν γεγονὼς λόγος, οὐκ ἀμφίβολον. πλὴν ἐκεῖνό τις λέγων ἀφίξεται τυχὸν καὶ φιλοπευστήσει χρηστομαθῶς, ἐρεῖ δὲ ἴσως Ποῖ δὴ ἄρα καὶ πότε τὴν διὰ τοῦ Πνεύματος χάριν οἱ τοῦ Σωτῆρος ἡμῶν ἐκομίσαντο μαθηταί; ὅτε κατ' οἶκον αὐτοῖς ἐπέλαμψεν ὁ Σωτὴρ εὐθὺς μετὰ τὴν ἀνάστασιν, ἐνεφύσησέ τε λέγων Λάβετε Πνεῦμα Ἅγιον· ἢ ἐν ταῖς ἡμέραις τῆς ἁγίας πεντηκοστῆς, ὅτε δὴ πάλιν εἰς ἕνα συναχθέντων τόπον "Ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ "ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ὤφθησαν αὐτοῖς "διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα "ἕκαστον αὐτῶν, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις "καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς." ἢ γὰρ, φησὶ, διττὴν δεδόσθαι τὴν χάριν αὐτοῖς οἰησόμεθα, ἤγουν τὸν καιρὸν ἀγνοήσομεν, καθ' ὃν ἀληθῶς γεγόνασι μέτοχοι τοῦ Ἁγίου Πνεύματος, εἴπερ ἀληθὴς καὶ ὁ τοῦ Σωτῆρος ἡμῶν εὑρίσκοιτο λόγος καὶ τὸ ἐν ταῖς πράξεσι γεγραμμένον περὶ τῶν ἁγίων μαθητῶν. ἀλλ' ἐνδοιασμοῦ μὲν ἄξιον τὸ 3.134 χρῆμά ἐστι, μάλισθ' ὅτι καὶ αὐτὸς ἔφη που Χριστός "Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ "παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς· ὅταν δὲ ἀπέλθω, "πέμψω αὐτὸν πρὸς ὑμᾶς." ἐρεῖ γὰρ ἴσως ὁ ἐκεῖνα ζητῶν Ψευδομυθεῖν οὐκ οἶδεν ἡ ἀλήθεια, τουτέστι Χριστός· ὅτε τοίνυν ἔφη σαφῶς, ὡς οὐκ ἂν ἔλθοι πρὸς ὑμᾶς ὁ Παράκλητος, οὐκ ἀναληφθέντος αὐτοῦ πρὸς τὸν Πατέρα, πέμψειν δὲ τότε καὶ ἀραρότως, ὅταν ἄνω γένηται παρ' αὐτῷ, πῶς εὑρίσκεται τὸ Πνεῦμα διδοὺς, καίτοι τὴν ἐντεῦθεν ἀποδημίαν οὔπω στειλάμενος; πλὴν εἰ καὶ λίαν ἀσυμφανὲς τὸ ζητούμενον καὶ περισκελὴς ὁ λόγος, ἐκταράξαι τε καὶ σφόδρα ἱκανὸς, ἀλλ' ἔχει τὴν λύσιν τὴν αὐτῷ πρεπωδεστάτην, ὅταν μὴ τῶν καθ' ἡμᾶς ὑπάρχειν ἕνα πιστεύωμεν τὸν Χριστὸν, Θεὸν δὲ μᾶλλον ὡς ἐκ Θεοῦ καὶ τῶν ἰδίων κατεξουσιάζοντα λόγων διὰ τὴν τοῖς πράγμασι πρεπωδεστάτην οἰκονομίαν. Ἐπηγγείλατο μὲν γὰρ καταπέμψειν ἡμῖν ἐξ οὐρανοῦ τὸν Παράκλητον, ὅταν ἄνω γένηται παρὰ τῷ Θεῷ καὶ Πατρὶ, ὃ δὴ καὶ πέπραχεν ἀποδημήσας πρὸς τὸν Πατέρα, καὶ δαψιλεστάτην τοῖς ἐθέλουσιν ἑλεῖν τὴν τοῦ Πνεύματος ἔκχυσιν ἐπιδούς· ἕλοι δ' ἄν τις αὐτὸ διὰ πίστεως δηλονότι τῆς εἰς αὐτὸν, καὶ τοῦ ἁγίου βαπτίσματος· ἐπληροῦτο δὲ τότε τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς εἰρημένον, ὅτι "ἐκχεῶ ἀπὸ τοῦ "Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα." ἀλλ' ἔδει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ Πνεύματος χορηγὸν καὶ τῷ Πατρὶ συνδοτῆρα φαίνεσθαι τὸν Υἱὸν, ἔδει συνιέναι τοὺς πιστεύοντας εἰς αὐτὸν, ὅτι περ αὐτός ἐστιν ἡ τοῦ Πατρὸς δύναμις, ἡ τόδε τὸ σύμπαν δημιουργήσασα, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρενεγκοῦσα τὸν ἄνθρωπον. ἦν μὲν γὰρ ὁ Θεὸς καὶ Πατὴρ διὰ τοῦ ἰδίου Λόγου τὸ ἐν ἀρχαῖς χοῦν μὲν λαβὼν ἀπὸ τῆς γῆς, καθὰ γέγραπται, διαπλάσας δὲ τὸ ζῷον, φημὶ δὴ τὸν ἄνθρωπον, ψυχώσας τε 3.135 καθὼς οἶδεν αὐτὸς καὶ τῇ τοῦ ἰδίου Πνεύματος μετουσίᾳ καταφαιδρύνας αὐτόν· "ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον "αὐτοῦ πνοὴν ζωῆς," καθὰ γέγραπται. ἐπειδὴ δὲ συνέβη πεσεῖν ἐκ παρακοῆς εἰς τὸν θάνατον, καὶ τῆς ἀρχαίας ἐκείνης διολισθῆσαι τιμῆς τὸν ἄνθρωπον, ἀνέκτισεν πάλιν αὐτὸν ὁ Θεὸς καὶ Πατὴρ καὶ εἰς καινότητα ζωῆς ἀνεκόμισε δι' Υἱοῦ, καθάπερ ἐν ἀρχῇ· ἀνεκόμισε δὲ πῶς ὁ Υἱός; τῷ θανάτῳ τῆς ἁγίας σαρκὸς νεκρώσας τὸν θάνατον, καὶ εἰς ἀναδρομὴν ἀφθαρσίας τὸ ἀνθρώπινον γένος ἀνενεγκών· ἐγήγερται γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστός. ἵνα τοίνυν αὐτὸν ἐκεῖνον ὄντα μανθάνωμεν τὸν ἐξ ἀρχῆς τῆς ἡμετέρας φύσεως γεγονότα δημιουργὸν, καὶ τῷ Ἁγίῳ δὲ ἡμᾶς κατασφραγίσαντα Πνεύματι, πάλιν ἡμῖν ὁ Σωτὴρ ὡς ἐν ἀπαρχῇ τῆς ἀνακαινιζομένης φύσεως τοῖς ἁγίοις μαθηταῖς δι' ἐμφυσήματος ἐναργοῦς τὸ Πνεῦμα χαρίζεται. γράφει γὰρ ὁ Μωυσῆς περὶ τῆς ἀρχαίας ἡμῶν δημιουργίας, ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. ὡς οὖν ἐξ ἀρχῆς ἐπλάσθη καὶ γέγονεν, οὕτω καὶ ἀνακαινίζεται, καὶ ὥσπερ ἐμορφώθη τότε κατ' εἰκόνα τοῦ κτίσαντος, οὕτω καὶ νῦν τῇ τοῦ Πνεύματος μετουσίᾳ πρὸς ἐμφέρειαν μεταπλάττεται τοῦ ἰδίου ποιητοῦ. ὅτι γὰρ τοῦ Σωτῆρος τὴν μόρφωσιν ἐνθλίβει τὸ Πνεῦμα ταῖς τῶν δεχομένων αὐτὸ ψυχαῖς, πῶς οὐκ ἀναμφίλογον τοῖς εἰς νομικὴν ἐπιτήρησιν διωλισθηκόσιν ἐκ ῥᾳθυμίας ἐπιστέλλοντος τοῦ Παύλου σαφῶς "Τεκνία μου, οὓς πάλιν "ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν." οὐχ ἑτέρως γὰρ ἐν αὐτοῖς μορφωθήσεσθαι λέγει Χριστὸν, ἢ διὰ τοῦ μετασχεῖν Ἁγίου Πνεύματος, πολιτεύεσθαί τε κατὰ νόμον τὸν εὐαγγελικόν. οὐκοῦν, ὡς ἐν ἀπαρχῇ τῆς ἀνανεουμένης κτίσεως εἰς ἀφθαρσίαν τε καὶ δόξαν καὶ εἰς εἰκόνα τὴν θεοειδῆ κατοικίζει πάλιν τὸ ἴδιον πνεῦμα Χριστὸς ἐν τοῖς 3.136 ἑαυτοῦ μαθηταῖς. ἔδει γὰρ ἔδει κἀκεῖνο πρὸς τούτῳ νοεῖν, ὅτι τοῦ Πνεύματός ἐστι χορηγὸς καὶ δοτήρ. τοιγάρτοι καὶ ἔφασκεν, ὅτι "πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν." ἔχει δὲ ὁ Πατὴρ ἐξ ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ τὸ ἴδιον Πνεῦμα, ἔχει τοῦτο ἐν ἑαυτῷ καὶ ὁ Υἱός, ἐπείπερ ἐστὶν ὁμοούσιος αὐτῷ, καὶ ἐξ αὐτοῦ πέφηνεν οὐσιωδῶς, πάντα τὰ τοῦ γεννήσαντος ἴδια φυσικῶς ἔχων ἐν ἑαυτῷ. Ὅτι δὲ καίτοι πολλὰ πολλάκις καὶ ἐν καιρῷ τῷ πρέποντι δράσειν ὑπισχνούμενος, ἔδρασεν ὅμως καὶ πρὸ καιροῦ τοῦ διωρισμένου πρὸς πληροφορίαν ἡμετέραν, ἵνα πιστεύωμεν ἀληθῶς ὅτι δὴ πάντως ἐκβήσεται τὰ εἰρημένα παρ' αὐτοῦ, δείξομεν ἐντεῦθεν. ἐπηγγέλλετο τοὺς νεκροὺς ἐγείρειν καὶ ἀνακομίσειν αὖθις εἰς ζωὴν τοὺς ἐν γῇ κειμένους καὶ χώματι. " Ερχεται γὰρ ὥρα, φησὶ, καθ' ἣν οἱ νεκροὶ ἀκούσουσι τῆς "φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ ἐξελεύσονται, οἱ μὲν τὰ "ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα "πράξαντες εἰς ἀνάστασιν κρίσεως." ὅτι δὲ καὶ τοῦτο κατορθώσει ῥᾳδίως πληροφορεῖν ἐπειγόμενος, ἐδίδασκε μὲν λέγων "Εγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή." ἐπεὶ δὲ ἡ τοῦ πράγματος ὑπερβολὴ τὸ ἀναβιώσεσθαί ποτε τοὺς νεκροὺς ἄπιστόν πως ἐτίθει, φθάνει χρησίμως τὸν τῆς ἀναστάσεως καιρὸν, καὶ δεικνύει τὸ σημεῖον ἐγείρων τὸν Λάζαρον καὶ τὸν τῆς χήρας υἱὸν καὶ τὸ Ἰαείρου κόριον. καὶ τί πρὸς τούτοις ἕτερον; ἐπιδοξοτάτην τινὰ λέγων ἔσεσθαι τὴν τῶν ἁγίων ἀνάστασιν "Τότε, γάρ φησιν, οἱ δίκαιοι ἐκλάμψουσιν "ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν," ἵνα πάλιν ὡς ἀληθῆ λέγων πιστεύηται, πρόωρον τοῖς μαθηταῖς καὶ τὴν τούτου θέαν ἐχαρίζετο. "παραλαβὼν γὰρ Πέτρον καὶ Ἰά"κωβον καὶ Ἰωάννην ἀνέβη εἰς τὸ ὄρος καὶ μετεμορφώθη "ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς "ἀστραπὴ, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡσεὶ χιών." 3.137 ὥσπερ οὖν καίτοι κατὰ καιροὺς ἰδίους τὰ τοιαῦτα δράσειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπισχνούμενος καθάπερ τινὰς ἀῤῥαβῶνας τοῦ κατὰ πάντων ἔσεσθαι προσδοκωμένου καὶ γενικωτάτου πράγματος, τὰ κατὰ μέρος εἰργάζετο καὶ πρὸ καιροῦ τοῦ δέοντος, ἵνα καὶ ἀνενδοιάστως πιστεύηται· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον πέμψειν εἰς ἡμᾶς τὸν Παράκλητον εἰπὼν, ὅταν ἀπέλθῃ πρὸς τὸν Πατέρα, καὶ καιρὸν τῇ κατὰ πάντων καὶ ἐπὶ πάντας χάριτι τοῦτον διορισάμενος, ἀπαρχὴν ὥσπερ τινὰ τῆς ἐπαγγελίας ἐν τοῖς μαθηταῖς εἰργάζετο, διὰ πολλὰς εὐλόγους τε καὶ ἀναγκαίας ἀφορμὰς ἃς προείπομεν. Οὐκοῦν δέχονται μὲν τὴν τοῦ Ἁγίου Πνεύματος μέθεξιν, ὅτε καὶ ἐνεφύσησεν αὐτοῖς λέγων Λάβετε Πνεῦμα Ἅγιον· οὐδὲ γὰρ ἦν διαψεύσασθαι λέγοντα τὸν Χριστὸν, οὐδ' ἂν ἔφη Λάβετε, μὴ διδούς· ἐν δὲ ταῖς ἡμέραις τῆς ἁγίας πεντηκοστῆς ἐμφανεστέραν τῆς χάριτος τὴν ἀνάῤῥησιν καὶ τὴν φανέρωσιν τοῦ ἐνοικισθέντος αὐτοῖς Ἁγίου Πνεύματος τιθέντος Θεοῦ, ὤφθησαν αἱ γλῶσσαι διὰ πυρὸς, οὐκ ἀρχὴν ἐν αὐτοῖς τῆς δωρεᾶς σημαίνουσαι, εἰς ἀρχὴν δὲ μᾶλλον ἀναφέρουσαι τοῦ λόγου. γέγραπται γοῦν ὅτι "ἤρξαντο λαλεῖν ἑτέραις "γλώσσαις καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐ"τοῖς." ἀκούεις ὅπως ἤρξαντο λαλεῖν, οὐ τοῦ ἁγιάζεσθαι, καὶ ὅτι γλωσσῶν διανομὴ καταπεφοίτηκεν ἐπ' αὐτοὺς, τοῦ ἐν αὐτοῖς ὄντος Πνεύματος ἐνεργοῦντος καὶ τοῦτο; ὥσπερ γὰρ ἐξ οὐρανοῦ πεφώνηκεν ὁ Πατὴρ ἐπιμαρτυρήσας τῷ ἰδίῳ γεννήματι καὶ λέγων "Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς "ἐν ᾧ ηὐδόκησα," καὶ δέδρακε τοῦτο πρὸς πληροφορίαν τῶν ἀκροωμένων, ὀργανικὴν ὥσπερ τινὰ καὶ τοῖς ἡμετέροις ὠσὶν ἐμπίπτουσαν καταῤῥήξας φωνὴν, ἤτοι γενέσθαι ποιήσας, οὕτω καὶ ἐπὶ τῶν ἁγίων ἀποστόλων ἐμφανεστέραν ἐτίθει τῆς χάριτος τὴν ἀνάδειξιν, ἐν εἴδει πυρὸς τὰς γλώσσας αὐτοῖς ἐπαφεὶς, καὶ τῆς "φερομένης βιαίας πνοῆς" τὸν ἦχον τὴν 3.138 τοῦ Πνεύματος κάθοδον ἀπομιμεῖσθαι παρασκευάσας. ὅτι δὲ καθάπερ ἐν τάξει σημείου καὶ τοῦτο αὐτὸ τοῖς Ἰουδαίοις ἐδόθη, συνήσεις εὐκόλως, ὅταν ἀκούσῃς τοῦ πάντων δεσπότου Θεοῦ διὰ τῆς τοῦ προφήτου λέγοντος φωνῆς " Οτι ἐν "ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέρων λαλήσω τῷ λαῷ "τούτῳ," καὶ οὐ μὴ πιστεύσωσιν. οὐκοῦν ἵνα πιστεύωμεν, ὅτι περ ἀληθῶς μέτοχοι τοῦ Ἁγίου Πνεύματός εἰσιν οἱ μακάριοι μαθηταὶ, καὶ ἄνωθεν τῇ παρὰ Χριστοῦ κατεστεμμένοι χάριτι λοιπόν εἰσι, καὶ ἱκανοὶ πρὸς τὴν τῆς ἀληθείας ἐξήγησιν, καὶ ἀξιοζήλωτον ἔχουσι τῆς ἰδίας ἀποστολῆς τὸ καύχημα, τῇ ἐξ ὕψους μεμαρτυρημένοι δωρεᾷ, καταπεφοίτηκε τὸ πῦρ ἐν εἴδει γλωσσῶν. Διαρκῶς μὲν οὖν ὑπολαμβάνω ταυτὶ παρ' ἡμῶν εἰρῆσθαι νυνὶ πρὸς παράστασιν ἀκριβῆ τῆς τῶν προκειμένων θεωρίας· ἐπειδὴ δὲ πᾶσαν ἡμᾶς τοῦ λόγου ποιεῖσθαι προσήκει πρόνοιαν, ὡς ἂν μή τι τοῖς ἀδελφοῖς ἀναφύοι τὸ σκάνδαλον διὰ τῆς τινων συκοφαντίας, φέρε τοῖς εἰρημένοις προσθέντες καὶ τοῦτο, καὶ τὰς ἔσεσθαι προσδοκωμένας παρά του τυχὸν ἀθυρογλωττίας διακρουσώμεθα. εὑρήσομεν τοίνυν ἐν τοῖς ἐφεξῆς γεγραμμένον, ὅτι "Θωμᾶς ὁ λεγόμενος Δίδυμος οὐκ "ἦν μετὰ τῶν μαθητῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς." πῶς οὖν, ἐρεῖ τις καὶ μάλα δικαίως, εἴπερ ἀπῆν, ἀληθῶς τοῦ Ἁγίου Πνεύματος ἀνεδείχθη μέτοχος, ὅτε τοῖς μαθηταῖς ἐπέλαμψεν ὁ Σωτὴρ, ἐνεφύσησέ τε λέγων Λάβετε Πνεῦμα Ἅγιον; φαμὲν οὖν, ὅτι κατὰ παντὸς ἐχώρει τοῦ λαβόντος τὴν χάριν ἡ τοῦ Πνεύματος δύναμις, καὶ τὸν τοῦ διδόντος ἐπλήρου σκοπόν. δέδωκε δὲ ὁ Χριστὸς οὔ τισιν ἀνὰ μέρος, ἀλλ' ὅλοις τοῖς μαθηταῖς. οὐκοῦν δέχονται καὶ εἰ μὴ παρῆσάν τινες, τῆς τοῦ διδόντος φιλοτιμίας οὐκ εἰς μόνους τοὺς παρόντας συστελλομένης, ἀλλ' εἰς ἅπαντα διηκούσης τὸν τῶν ἁγίων ἀποστόλων χορόν. ὅτι δὲ βίαιον οὐδὲν πεφρονήκαμεν ἐν τούτοις, ἀλλ' οὐδὲ ἀναίσχυντος ἡμῖν ὁ τοιοῦτος φανεῖται 3.139 λόγος, ἐξ αὐτῶν σε τῶν ἱερῶν γραμμάτων πιστώσομαι, παραθεὶς εἰς ἀπόδειξιν τὰ τοῖς Μωυσαϊκοῖς ἐγκείμενα βιβλίοις. οὐκοῦν ἐκέλευέ ποτε τῷ πανσόφῳ Μωυσῇ Κύριος ὁ Θεὸς ἄνδρας πρεσβυτέρους ἐκ τῆς τῶν Ἰουδαίων συναγωγῆς ἐπιλέξασθαι τὸν ἀριθμὸν ἑβδομήκοντα, ἐπηγγέλλετό τε σαφῶς ὅτι "ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"ἐπιθήσω αὐτοῖς." καὶ δὴ συνεκόμισεν ὁ Μωυσῆς καὶ τὸ θεῖον ἐπλήρου θέσπισμα. δύο γεμὴν ἀπελείφθησαν μόνοι τῶν ἐντεταγμένων τῷ ἀριθμῷ τῶν ἑβδομήκοντα πρεσβυτέρων, καὶ ἀπέμειναν ἐν τῇ συναγωγῇ Ἐλδὰδ καὶ Μωδάδ. εἶτα τὸ θεῖον ἅπασιν ἐπιθέντος πνεῦμα τοῦ Θεοῦ κατὰ τὴν ἤδη δοθεῖσαν ὑπόσχεσιν, προεφήτευον μὲν παραχρῆμα λαβόντες τὴν χάριν, οἱ συνενεχθέντες διὰ Μωυσέως· προεφήτευον δὲ οὐδὲν ἧττον καὶ οἱ δύο πάλιν οἱ ἐν τῇ συναγωγῇ, φθανούσης καὶ ἐπ' αὐτοὺς τῆς ἄνωθεν χάριτος. καὶ γοῦν Ἰησοῦς ὁ καλούμενος τοῦ Ναυῆ, Μωυσῇ προσεδρεύων ἀεὶ, καὶ τὴν τοῦ μυστηρίου δύναμιν ἀγνοήσας παραχρῆμα, οἰηθεὶς δὲ ὅτι κατὰ μίμησιν Δαθάν τε καὶ Ἀβειρὼν ἀντιπροφητεύουσι καὶ οὗτοι τοῖς συνενεχθεῖσι διὰ Μωυσέως, ἔφη πρὸς αὐτόν "Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρ"εμβολῇ, κύριέ μου Μωυσῆ κώλυσον αὐτούς." καὶ τί πρὸς ταῦτά φησιν ὁ σοφὸς ὄντως ἐκεῖνος καὶ μέγας, τῆς δοθείσης αὐτοῖς χάριτος τὴν ἐνέργειαν καὶ τὴν τοῦ Πνεύματος δύναμιν ἐννοήσας, ὡς σοφός "Μὴ ζηλοῖς σὺ ἐμοί; τίς γὰρ "δοίη τῷ λαῷ Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ "Πνεῦμα αὐτοῦ ἐπ' αὐτούς;" ὁρᾷς ὅπως ἐπιλαμβάνεται τῶν Ἰησοῦ ῥημάτων οὐκ εἰδότος τὸ τετελεσμένον; εἴθε γὰρ εἴθε, φησὶν, ἐδόθη τὸ Πνεῦμα παντὶ τῷ λαῷ, ἀλλ' ἔσται τοῦτο κατὰ καιροὺς, ὅταν αὐτοῖς ὁ πάντων Δεσπότης, τουτέστι Χριστὸς, τὸ ἴδιον αὐτοῖς χαρίσηται Πνεῦμα, καθάπερ ἐν ἀπαρχῇ τῶν ὀφειλόντων λαβεῖν τοῖς ἁγίοις ἀποστόλοις 3.140 ἐμφυσήσας καὶ λέγων Λάβετε Πνεῦμα Ἅγιον. οὐκοῦν εἰ καὶ ἀπελείφθη Θωμᾶς, οὐκ ἐξέπεσε τοῦ λαβεῖν, κατὰ παντὸς τοῦ λαβεῖν ὀφείλοντος καὶ ἐντεταγμένου τῷ ἀριθμῷ τῶν τετιμημένων τοῦ Πνεύματος τρέχοντος. Δοὺς δὲ τὸ Πνεῦμα Χριστός Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφέωνταί φησιν· ἄν τινων κρατῆτε, κεκράτηνται, καίτοι μόνου τοῦ κατὰ φύσιν ὄντος Θεοῦ δυναμένου τε καὶ ἐξουσίαν ἔχοντος ἀπολύειν ἁμαρτίας τοὺς ἡμαρτηκότας· τίνι γὰρ ἂν καὶ προσήκοι τὸ χαρίζεσθαί τισι τὰ ἐφ' οἷσπερ ἂν ἁλοῖεν εἰς τὸν θεῖον πλημμελήσαντες νόμον, εἰ μὴ τῷ τὸν νόμον ὁρίσαντι; ἐξ αὐτῶν δὲ τῶν καθ' ἡμᾶς ἀθρητέον, εἰ δοκεῖ, τοῦ λόγου τὴν δύναμιν· τίς τοῖς θεσπίσμασι τῶν ἐπὶ γῆς βασιλέων ἐξουσιαστικῶς ἐπιφύεται, καὶ παραλύειν ἐπιχειρεῖ τὰ διὰ τῆς τῶν κρατούντων συντεταγμένα ψήφου τε καὶ γνώμης, εἰ μὴ ἄρα τις εἴη τυχὸν τῶν τὴν βασιλίδα περικειμένων τιμήν τε καὶ δόξαν; τόπον γὰρ ἐν ἐκείνοις οὐκ ἔχει τῆς παρανομίας τὰ ἐγκλήματα. τοιγάρτοι καὶ σοφὸν ἔφη λόγιον "Ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρανομεῖς." κατὰ τίνα τοιγαροῦν ἄρα τρόπον τε καὶ λόγον, τὸ μόνῃ πρέπον ἀξίωμα τῇ θείᾳ φύσει τοῖς ἑαυτοῦ μαθηταῖς περιέθηκεν ὁ Σωτήρ; ἀλλ' οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος ὁ ἐν Πατρὶ Λόγος, ἔδρα δὲ τοῦτο καὶ σφόδρα καλῶς. ᾤετο γὰρ δεῖν τοὺς τὸ θεῖόν τε καὶ δεσποτικὸν ἔχοντας ἐν ἑαυτοῖς ἤδη Πνεῦμα, καὶ τοῦ διαφεῖναι τάς τινων ἁμαρτίας εἶναι κυρίους, καὶ ὧνπερ ἂν βούλωνται κρατεῖν, τοῦ ἐνοικισθέντος αὐτοῖς Ἁγίου Πνεύματος ἀφιέντος τε καὶ κρατοῦντος κατὰ βούλησιν οἰκείαν, κἂν δι' ἀνθρώπων τελῆται τὸ πρᾶγμα τυχόν. Ἀφιᾶσι γεμὴν ἁμαρτίας ἤτοι κατέχουσιν οἱ πνευματοφόροι κατὰ δύο τρόπους, κατά γε διάνοιαν ἐμήν. ἢ γὰρ καλοῦσιν ἐπὶ τὸ βάπτισμα τοὺς οἷς ἂν ἤδη καὶ τούτου τυχεῖν ὠφείλετο διὰ τὴν τοῦ βίου σεμνότητα καὶ τὸ δεδοκι 3.141 μασμένον εἰς πίστιν, ἢ διακωλύουσί τινας καὶ τῆς θείας χάριτος ἐξείργουσιν ἔτι οὔπω τέως γεγονότας ἀξίους· ἢ καὶ καθ' ἕτερον τρόπον ἀφιᾶσί τε καὶ κρατοῦσιν ἁμαρτίας, ἐπιτιμῶντες μὲν ἁμαρτάνουσι τοῖς τῆς Ἐκκλησίας τέκνοις, μετανοοῦσι δὲ συγγινώσκοντες, καθάπερ ἀμέλει καὶ Παῦλος τὸν ἐν Κορίνθῳ πορνεύσαντα παρεδίδου μὲν "εἰς ὄλεθρον "τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ," προσίετο δὲ αὖθις, ἵνα μὴ "τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ," καθάπερ αὐτὸς ἐπιστέλλων φησί. ὅτε τοίνυν τὸ Πνεῦμα Χριστοῦ γεγονὸς ἐν ἡμῖν τὰ μόνῳ Θεῷ πρέποντα πληροῖ, πῶς οὐκ ἂν εἴη κατὰ φύσιν Θεὸς, τὸ τῆς θείας φύσεως λαμπρὸν ἀξίωμα περικείμενον φυσικῶς, καὶ τῶν ἱερῶν κατεξουσιάζον νόμων; Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. ἔλεγον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί Ἑωράκαμεν τὸν Κύριον. ὁ δὲ εἶπεν αὐτοῖς Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Τὰ ὑπερφερῆ τῶν θαυμάτων ἀεί πως ἔχει παρεπομένην τὴν ἀπιστίαν, καὶ ὅπερ ἂν τῶν δρωμένων τὸν τοῦ καθήκοντος ὑπερτρέχῃ λόγον οὐ λίαν ἐστὶ τοῖς ἀκροωμένοις εὐπρόσδεκτον· δυσωπεῖ δέ γε μόλις ἡ θέα πρὸς τοῦτο, καθάπερ ἐξ ἀνάγκης καὶ βίας ἕλκουσα πρὸς συναίνεσιν. τοιοῦτόν τι πεπονθὼς καὶ ὁ σοφώτατος Θωμᾶς, ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν ἀναστάσει τὴν τῶν ἑτέρων μαθητῶν ἀληθῆ μαρτυρίαν εὐχερῶς οὐ προσίεται, καίτοι τοῦ κατὰ Μωυσέα διειπόντος νόμου, δύο καὶ τριῶν ἐπὶ στόματος μαρτύρων ἅπαν σταθήσεται ῥῆμα. δοκεῖ δέ μοι μᾶλλον οὐ τοσοῦτον ἀπιστῆσαι τοῖς εἰρημένοις ὁ μαθητὴς, ὅσον τῆς λύπης ἐλάσαι πρὸς 3.142 αὐτὸ τὸ ἀκρότατον, ὅτι μὴ καὶ αὐτὸς τῆς τοῦ Σωτῆρος ἡμῶν ἠξιώθη θέας. ᾠήθη γὰρ ἴσως ἀμοιρήσειν αὐτῆς παντελῶς. οἶδε γὰρ ζωὴν ὄντα κατὰ φύσιν τὸν Κύριον, καὶ οὐκ ἀνικάνως ἔχοντα πρὸς τὸ καὶ αὐτὸν διαδρᾶναι τὸν θάνατον, καὶ τὸ τῆς φθορᾶς καταλῦσαι κράτος· ὃς γὰρ ἑτέρων τοῦτον ἐξήλασε, πῶς οὐκ ἂν μᾶλλον ἀπέστησε τῆς ἰδίας σαρκός; ἐκ πολλῆς δὲ ἄγαν τῆς περιχαρείας, ἐγγὺς ἀπιστίας γίνεται, καὶ μονονουχὶ γοργόν τι καὶ μέγα πηδήσας, ἰδεῖν τε ἤδη παρόντα ποθεῖ, καὶ πληροφορεῖσθαι τελείως ὅτι περ ἀνεβίω πάλιν, κατὰ τὴν παρ' αὐτοῦ γενομένην ὑπόσχεσιν. "Τεκνία" γὰρ, ἔφασκεν ὁ Σωτὴρ, "μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με, καὶ "πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ χαρήσεται ὑμῶν ἡ καρ"δία." οἶμαι δὲ δὴ πάλιν οἰκονομικώτατα σφόδρα τὴν τοῦ μαθητοῦ γεγονέναι πρὸς καιρὸν ὀλιγοπιστίαν, ἵνα διὰ τῆς αὐτοῦ πληροφορίας καὶ ἡμεῖς οἱ μετ' αὐτὸν ἀνενδοιάστως πιστεύωμεν ὅτι τὴν σάρκα τὴν ἐπὶ τοῦ ξύλου κρεμαμένην καὶ παθοῦσαν τὸν θάνατον ἐζωοποίησεν ὁ Πατὴρ δι' Υἱοῦ. διὸ καὶ Παῦλός φησιν " Οτι ἐὰν εἴπῃς ἐν τῷ στόματί σου ὅτι "Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς "αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ." ἐπειδὴ γὰρ οὐχ ἡ τῆς σαρκὸς φύσις αὕτη γέγονε πρόξενος τῆς ζωῆς, ἐνεργείᾳ δὲ μᾶλλον τῆς θείας τε καὶ ἀῤῥήτου φύσεως τὸ πρᾶγμα τετέλεσται, ᾗ καὶ τὸ δύνασθαι τὰ πάντα ζωογονεῖν ἐνυπάρχει φυσικῶς· ἐνεργὸς ὁ Πατὴρ δι' Υἱοῦ καὶ εἰς τὸν θεῖον ἐκεῖνον γέγονε ναὸν, οὐχ ὡς ἀσθενοῦντος τοῦ Λόγου τὸ ἴδιον ἀναστῆσαι σῶμα, ἀλλ' ὅτι πᾶν ὅπερ ἂν ἐργάσηται τυχὸν ὁ Πατὴρ, ἐργάσεται δι' Υἱοῦ· δύναμις γάρ ἐστιν αὐτοῦ, καὶ ὅπερ ἂν ὁ Υἱὸς ἐπιτελῇ, τοῦτο δὴ πάντως ἐστὶ παρὰ τοῦ Πατρός. παιδευόμεθα τοίνυν, ὀλιγοπιστήσαντος ἠρέμα τοῦ μακαρίου Θωμᾶ, ὅτι τὸ τῆς ἀναστάσεως μυστήριον περὶ τὸ γήϊνον ἡμῶν ἐνεργεῖται σῶμα καὶ ὡς ἐν ἀπαρχῇ τοῦ γένους ἐν Χριστῷ, καὶ οὔτε φάσμα ἦν ἢ σκιὰ κατά τινας, τὸ ἀνθρώ 3.143 πινον πλαττομένη σχῆμα, καὶ τῆς ἡμετέρας ἰδέας ψευδομένη τοὺς χαρακτῆρας, οὔτε μὴν, ὡς ἑτέροις ἔδοξεν ἀσυνέτως εἰπεῖν, σῶμα πνευματικὸν, τουτέστι λεπτομερές τε καὶ ἀερῶδες καὶ ἕτερόν τι παρὰ τὴν σάρκα. δοκεῖ γὰρ οὕτω τισὶ νοεῖν τε καὶ δέχεσθαι τὸ πνευματικόν. ἐπειδὴ δὲ ὅλος ἡμῶν τῆς ἐλπίδος ὁ λόγος καὶ ἡ τῆς ἀνεγκλήτου πίστεως δύναμις μετὰ τὴν ὁμολογίαν τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος εἰς τὸ περὶ τῆς σαρκὸς μυστήριον τέτραπταί τε καὶ βλέπει, χρησιμώτατα λίαν καὶ αὐτὸ δὴ τουτὶ τοῖς ὀπίσω κεφαλαίοις συντέταχεν ὁ μακάριος Εὐαγγελιστής. θέα γὰρ ὅπως οὐχ ἁπλῶς ἰδεῖν ἐπιθυμεῖ τὸν Κύριον ὁ Θωμᾶς, ζητεῖ δὲ τοὺς τύπους τῶν ἥλων, τουτέστι, τὰ περὶ τὴν σάρκα γεγονότα τραύματα. πιστεύσειν γὰρ οὕτως εὖ μάλα διισχυρίζεται καὶ συναινέσειν τοῖς ἄλλοις, ὅτιπερ ἀληθῶς ἀνεβίω Χριστός· ἀνεβίω δὲ δηλονότι κατὰ τὴν σάρκα. τὸ γάρ τοι τεθνηκὸς παλινδρομεῖν ἂν εἰκότως νοοῖτο πρὸς ζωὴν, καὶ περὶ ὃ γέγονεν ὁ θάνατος, περὶ ἐκεῖνο δὴ πάντως καὶ ἡ ἀνάστασις. Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἔσω ἦσαν οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλει σμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν Εἰρήνη ὑμῖν. εἶτα λέγει τῷ Θωμᾷ Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλευράν μου, καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός. Ἐπέλαμψε πάλιν τοῖς ἑαυτοῦ μαθηταῖς παραδόξως ὡς Θεός. οὐ γὰρ δὴ καθ' ἡμᾶς ἀνοιγνύναι τὰς θύρας αὐτῷ διεκελεύσατο πρὸς τὸ ἔσω βαδίζοντι, τὸν δὲ τῇ τοῦ πράγματος φύσει πρέποντα μονονουχὶ καὶ ἀτιμάσας λόγον, εἴσω τε γέγονε τῶν θυρῶν καὶ κατὰ μέσην ἀδοκήτως ἀναφαίνεται τὴν ἑστίαν, τὸν ἴσον ὡς ἔοικε τοῦ θαύματος τρόπον καὶ αὐτῷ δωρούμενος τῷ μακαρίῳ Θωμᾷ. ἔδει γὰρ ἔδει φαρμάκου τῷ μάλιστα πεπονθότι καὶ βραχυτέρῳ περὶ τὴν πίστιν. 3.144 κέχρηται δὲ λόγῳ τῷ διὰ γλώττης αὐτῷ καὶ συνήθει πάλιν, καὶ τὸ τῆς εἰρήνης ἀγαθὸν σεμνὴν ἐποιήσατο πρόσρησιν εἰς τύπον ἡμέτερον, καθάπερ ἤδη προείπομεν. καταπλαγείη δ' ἄν τις εἰκότως καὶ τὴν ἐν τούτοις ἀκρίβειαν, φημὶ δὴ τοῖς προκειμένοις. ἀκριβὴς γὰρ οὕτω γέγονεν ἡ ἐπιτήρησις τῷ τὸ βιβλίον συντεθεικότι, καὶ σπουδαιοτάτην οὕτως ἐποιήσατο τὴν ἐπιτήρησιν, ὡς μὴ ἁπλῶς εἰπεῖν ὅτι πεφανέρωκεν ἑαυτὸν ὁ Χριστὸς, τοῖς ἁγίοις δὲ δηλονότι μαθηταῖς, ἀλλ' ὅτι μεθ' ἡμέρας ὀκτὼ, καὶ τοῦτο συνηγμένοις. τὸ γὰρ εἰς οἶκον ἕνα συγκεκομίσθαι τοὺς πάντας, τί ἂν εἴη ἕτερον παρὰ τοῦτο; οὐκοῦν ἐκεῖνό φαμεν διὰ τὴν ἀκριβῆ ταύτην καὶ ἀξιάγαστον ἐπιτήρησιν, ὅτι τῶν συνελεύσεων, ἤτοι συνάξεων, τῶν ἐφ' ἑαυτῷ τὸν καιρὸν φανερὸν ἡμῖν ἐτίθει καὶ διὰ τοῦτο Χριστός. ἐπιφοιτᾷ γὰρ πάντως καὶ τρόπον τινὰ συναυλίζεται τοῖς δι' αὐτὸν συνηγμένοις, κατὰ τὴν ὀγδόην μάλιστα, τουτέστι τὴν κυριακήν· ἀναλογισώμεθα γὰρ, εἰ δοκεῖ· ποτὲ μὲν ὤφθη τοῖς ἑτέροις μαθηταῖς, ποτὲ δὲ αὖ πάλιν αὐτοῖς ἐπιφαίνεται παρόντος Θωμᾶ. γέγραπται τοίνυν ἐν τοῖς ὀπίσω βραχύ "Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, "καὶ τῶν θυρῶν κεκλεισμένων, ἔστη εἰς τὸ μέσον." σύνες δὴ οὖν ὅπως τῇ μιᾷ τῶν σαββάτων, τουτέστι, τῇ τῶν σαββάτων κυριακῇ συνηγμένοις ἐφάνη τοῖς μαθηταῖς, καὶ πάλιν οὐδὲν ἧττον κατὰ τὴν ἑξῆς ὀγδόην ἐπιλάμψας ὁρᾶται. οὐ γὰρ ἐπειδήπερ εἴρηκε μεθ' ἡμέρας ὀκτὼ, τὴν ἐννάτην αὐτὸν σημαίνειν ὑποληψόμεθα, συμπεριλαβὼν δὲ τῷ ἀριθμῷ καὶ αὐτὴν τὴν ὀγδόην, καθ' ἣν ἐπεφάνη, τὰ τοιαῦτά φησιν. Εὐλογώτατα τοιγαροῦν τὰς ἁγίας συνόδους ἐν ταῖς ἐκκλησίαις ποιούμεθα κατὰ τὴν ὀγδόην. καὶ εἰ χρή τι καὶ μυστικώτερον εἰπεῖν, διὰ τὴν τῶν νοημάτων ἀπαραίτητον χρείαν, 3.145 ἀποκλείομεν μὲν τὰς θύρας, ἐπιφοιτᾷ δὲ καὶ ἐπιφαίνεται πᾶσιν ἡμῖν ὁ Χριστὸς, ἀοράτως τε καὶ ὁρατῶς· ἀοράτως μὲν ὡς Θεὸς, ὁρατῶς δὲ πάλιν ἐν σώματι. ἐπιτρέπει δὲ καὶ δίδωσι τῆς ἁγίας αὐτοῦ σαρκὸς ἀποθίγειν. πρόσιμεν γὰρ κατὰ χάριν Θεοῦ τῇ μεθέξει τῆς μυστικῆς εὐλογίας, εἰς χεῖρας δεχόμενοι τὸν Χριστὸν, ἵνα καὶ ἡμεῖς ἀραρότως πιστεύσωμεν ὅτι τὸν ἴδιον ἀληθῶς ἤγειρε ναόν. ὅτι γὰρ ἡ κοινωνία τῆς μυστικῆς εὐλογίας ὁμολογία τίς ἐστι τῆς ἀναστάσεως τοῦ Χριστοῦ, σαφὲς ἂν γένοιτο, καὶ μάλα ῥᾳδίως, δι' ὧν αὐτὸς ἔφη τὸν τοῦ μυστηρίου τύπον ἐπιτελέσας δι' ἑαυτοῦ· διακλάσας γὰρ τὸν ἄρτον, καθὰ γέγραπται, διεδίδου, λέγων "Τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν διδόμενον "εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνη"σιν." ἔστι τοίνυν ὁμολογία τις ἀληθὴς καὶ ἀνάμνησις τοῦ τεθνάναι τε καὶ ἀναβιῶναι δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τὸν Κύριον, τῶν ἁγίων μυστηρίων ἡ μέθεξις πρὸς τὸ καὶ θείας ἡμᾶς εὐλογίας ἀναπίμπλασθαι διὰ τοῦτο. παραιτώμεθα τοίνυν ὡς ὀλέθριόν τι χρῆμα τὴν ἀπιστίαν καὶ μετὰ τὸ ἅψασθαι τοῦ Χριστοῦ, πιστότατοι δὲ μᾶλλον καὶ βέβαιον ἔχοντες εὑρισκώμεθα φρόνημα. Διαμεμνήσθω δὲ πάλιν ὁ φιλομαθὴς, ὅτι Μαρίαν μὲν τὴν Μαγδαληνὴν ἀπεῖργε τῆς ἀφῆς, σαφέστατα λέγων "Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα·" Θωμᾷ γεμὴν ἐπιτρέπει καὶ τὴν πλευρὰν ψηλαφῆσαι, καὶ τοὺς τύπους τῶν ἥλων δακτύλῳ περιεργάζεσθαι. καὶ διὰ ποίαν αἰτίαν, εἴρηται μὲν ἤδη σαφῶς, ἀναμνήσω δὲ οὐδὲν ἧττον, τὸ μῆκος τῶν λόγων ἐπιτεμών. τῇ μὲν γὰρ οὔπω καιρὸς ἐδίδου τὸ ἅψασθαι, διὰ τὸ μήπω τῇ τοῦ Πνεύματος ἡγιάσθαι χάριτι· σὺν ἡμῖν γὰρ ὄντος ἔτι τοῦ Χριστοῦ, καὶ οὔπω πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀναβεβηκότος Πατέρα, τὴν τοῦ παρακλήτου κάθοδον οὐκ ἦν ἐν ἀνθρώποις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τετελειωμένην 3.146 ἰδεῖν· τῷ δὲ ἦν ἤδη καὶ τοῦτο πρέπον, ὡς ὁμοῦ τοῖς ἄλλοις τὸ Πνεῦμα πλουτήσαντι. ὡς γὰρ ἤδη φθάσαντες εἴπομεν, οὐκ ἐπείπερ ἀπελείφθη, διὰ τοῦτο τοῦ Πνεύματος ἀμέτοχος ἦν. ἐξετείνετο γὰρ καὶ εἰς αὐτὸν ἡ τοῦ διδόντος φιλοτιμία, ὅλῳ τῷ πληρώματι τῶν ἁγίων μαθητῶν ἀπονεμηθείσης τῆς δωρεᾶς. Οἶμαι δὲ δεῖν ἐπὶ τούτοις ἐρευνῆσαι κἀκεῖνο. ἐψηλάφησεν ὁ Θωμᾶς τὴν τοῦ Σωτῆρος πλευρὰν, καὶ τὰ ἐκ τῆς λόγχης τῆς στρατιωτικῆς ἐζήτησε τραύματα· εἶδε τοὺς τύπους τῶν ἥλων. εἶτα πῶς, ἐρεῖ τις τυχὸν, ἐν τῷ ἀφθάρτῳ σώματι τὰ τῆς φθορᾶς διεφαίνετο σημεῖα; φθορᾶς γὰρ σωματικῆς ἀπόδειξιν ἔχει, καὶ χειρῶν καὶ πλευρᾶς ἔτι μένουσά τε καὶ σωζομένη διάτρησις, καὶ τραυμάτων ἰδέαι καὶ ἀποκεντήσεων τῶν διὰ σιδήρου γεγενημένων, καίτοι τοῦ πρὸς ἀφθαρσίαν ἀναπλασθέντος σώματος ὁ ἀληθής τε καὶ ἀνυπαίτιος λόγος εἰς τὸ χρῆναι βλέπει συναποδύσασθαι τῇ φθορᾷ καὶ πάντα τὰ ἐξ αὐτῆς. ἆρα γὰρ εἴ τις χωλεύοι τυχὸν ἀναβιώσεται πάλιν τὴν τοῦ ποδὸς ἤτοι τοῦ σκέλους πήρωσιν ἔχων; εἰ δὲ καὶ ὀφθαλμοὺς ἀπολωλεκώς τις εἴη κατὰ τόνδε τὸν βίον, ἆρα τοῦ βλέπειν ἔρημος ἐγερθήσεται; πῶς οὖν ἔτι, φαίη τις ἂν, ἀπεσεισάμεθα τὴν φθορὰν, εἰ τὰ ἐξ αὐτῆς ἔτι σώζεται πάθη, καὶ τῶν ἡμετέρων κατακρατεῖ σωμάτων; καὶ ζητήσεως μὲν ἀναγκαίας ἀμοιρεῖν οὐκ οἶμαι τὸν ἐπὶ τούτῳ λόγον, πλὴν ἐκεῖνό φαμεν ταῖς τῶν προκειμένων ἀπορίαις, καθόσον ἐνδέχεται, συνειπεῖν σπουδάζοντες, ὅτι κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν οὐδὲν ἐν ἡμῖν περιλειφθήσεται φθορᾶς τῆς ἐπεισάκτου λείψανον, ἀλλ' ὥσπερ ὁ σοφὸς ἔφη Παῦλος περὶ τοῦδε τοῦ σώματος, τὸ ἐσπαρμένον "ἐν ἀσθενείᾳ ἐγείρεται ἐν δυνά"μει," καὶ τὸ ἐσπαρμένον "ἐν ἀτιμίᾳ ἐγείρεται ἐν δόξῃ." τί δ' ἂν ἕτερον εἴη τυχὸν τὸ ἐν δυνάμει καὶ δόξῃ τὴν τοῦδε 3.147 τοῦ σώματος ἀνάστασιν ἔσεσθαι προσδοκᾶν, εἰ μὴ ὅτι πᾶσαν ἀποβεβληκὸς ἀσθένειάν τε καὶ ἀτιμίαν τὴν ἀπὸ φθορᾶς καὶ παθῶν, εἰς τὴν ἐξ ἀρχῆς ἀναδραμεῖται ποίησιν; πεποίηται γὰρ οὐκ ἐπὶ θανάτῳ καὶ φθορᾷ. ἐπειδὴ δὲ πρὸς πληροφορίαν σαφῆ καὶ τοῦτο ἐξῄτησεν ὁ Θωμᾶς, ἀναγκαίως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς πρόφασιν οὐδεμίαν ταῖς ἡμετέραις ὀλιγοπιστίαις ἐνδιδοὺς, ὡς ἐζήτησεν ἰδεῖν, οὕτω καὶ φαίνεται, ἐπείτοι καὶ εἰς αὐτὸν ἀναβαίνων τὸν οὐρανὸν, καὶ γνωρίζων ταῖς ἄνω δυνάμεσιν, ἀρχαῖς τε καὶ ἐξουσίαις, καὶ τοῖς τῶν ἀγγελικῶν ταγμάτων προεστηκόσι καὶ προεδρεύουσι, τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν δύναμιν, ἐν αὐτῷ δὴ τούτῳ διεφαίνετο πάλιν τῷ σχήματι, ἵνα δὴ καὶ ὄντως ἄνθρωπόν τε γενέσθαι δι' ἡμᾶς πιστεύσειαν τὸν ἐκ Πατρός τε καὶ ἐν Πατρὶ Λόγον, καὶ εἰδεῖεν ὅτι τοσαύτην ποιεῖται τῶν ἰδίων κτισμάτων τὴν πρόνοιαν, ὡς καὶ τῆς ἡμετέρας προτεθνάναι ζωῆς. ὑπὲρ δὲ τοῦ σαφεστέραν γενέσθαι τοῖς ἀκροωμένοις τοῦ λόγου τὴν δύναμιν, αὐτὰ παραθήσω τὰ διὰ φωνῆς Ἡσαΐου περὶ τούτων αὐτῶν εἰρημένα. λέγει τοιγαροῦν "Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδὼμ, ἐρύθημα ἱματίων "αὐτοῦ ἐκ Βοσόρ;" ἀλλ' οἱ ταῦτα βοῶντες καὶ λέγοντες, φημὶ δὴ τό Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδὼμ, τουτέστιν ἐκ γῆς, ἄγγελοι καὶ δυνάμεις εἰσὶ λογικαί· ἀναβαίνοντα γὰρ θαυμάζουσιν εἰς οὐρανοὺς τὸν Κύριον. μόνον δὲ οὐχὶ τῷ ἰδίῳ πεφοινιγμένον αἵματι βλέποντες, λέγουσι πρὸς αὐτὸν, οὔπω συνέντες τὸ μυστήριον "Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, "καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ;" οἴνῳ γὰρ μάλιστα τῷ νέῳ καὶ ἄρτι πεπατημένῳ τὴν τοῦ αἵματος εὔχροιαν παραβάλλουσι. καὶ τί πρὸς αὐτοὺς ὁ Χριστός; πρῶτον μὲν ἵνα νοῆται κατὰ φύσιν ὑπάρχων Θεός "Ἐγὼ," φησὶ, "διαλέγομαι δικαιοσύνην," τό Διαλέγομαι πάλιν, ἀντὶ 3.148 τοῦ διδάσκω τιθείς. ὁ δὲ διδάσκων δικαιοσύνην, πῶς οὐκ ἂν νοοῖτο νομοθέτης ὁμολογουμένως· εἰ δὲ νομοθέτης, πῶς οὐχὶ πάντως καὶ Θεός; εἶτα πρὸς αὐτὸν οἱ ἄγγελοι λέγουσι, τοὺς τύπους τῶν ἥλων καὶ αὐτοῖς ὥσπερ ἐπιδεικνύντος Χριστοῦ "Τί αὗται αἱ πληγαὶ ἀνὰ μέσον τῶν χειρῶν σου;" πρὸς αὐτοὺς δὲ ὁ Κύριος " Ας ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου." οἶκος γὰρ ὢν ἀγαπητὸς ὁ Ἰσραὴλ ἔπληξεν ἥλοις καὶ λόγχῃ τὸν Κύριον. τὰ γὰρ τῶν στρατιωτῶν τολμήματα ταῖς Ἰουδαίων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κεφαλαῖς εἰκότως ἂν ἐπιγράφοιτο. προσήγαγον γὰρ αὐτοὶ τῷ παθεῖν τὸν Κύριον. ὅτε τοίνυν καὶ αὐτοὺς ἐθελήσας πληροφορῆσαι Χριστὸς τοὺς ἁγίους ἀγγέλους, ὅτι καὶ ἄνθρωπος γέγονεν ἀληθῶς, καὶ ὅτι τὸν ὑπὲρ ἡμῶν ὑπέμεινε σταυρὸν, ἐγήγερται καὶ ἀνεβίω πάλιν ἐκ νεκρῶν, οὐχὶ μόνοις ἠρκέσθη λόγοις, ἀλλὰ τὰ τοῦ πάθους ἔδειξε σημεῖα· τί τὸ θαυμαστὸν ἢ ξένον, εἰ καὶ αὐτὸν τὸν μακάριον ἀπαλλάξαι τῆς ἀπιστίας θελήσας Θωμᾶν, τοὺς τύπους ἔδειξε τῶν ἥλων, καὶ παρ' αὐτὸ τὸ εἰκὸς ὀφθεὶς διὰ τὸ πᾶσι συμφέρον, καὶ ἵνα τὸ τῆς ἀναστάσεως πεπράχθαι μυστήριον ἀναμφιλόγως πιστεύωμεν, οὐχ ἑτέρου τινὸς ἐγηγερμένου σώματος, ἀλλὰ τοῦ παθόντος τὸν θάνατον; Ἀπεκρίθη αὐτῷ Θωμᾶς καὶ λέγει αὐτῷ Ὁ κύριός μου καὶ ὁ Θεός μου.9 Ὀξὺς εἰς ὁμολογίαν ὁ ἄρτι βραδὺς περὶ τὸ χρῆναι πιστεύειν αὐτῷ, ἐν ὀλίγῳ δὲ παντελῶς τεθεράπευται καιρῷ. ὀκτὼ γὰρ ἡμέραι διαγεγόνασι μόναι, καὶ τὰ τῆς ὀλιγοπίστιας διακωλύματα κατηργήθη παρὰ Χριστοῦ, τούς τε τῶν ἥλων τύπους καὶ αὐτὴν ἐπιδείξαντος τὴν πλευράν. ἀλλ' ἴσως τις πρὸς τοῦτο ἐρεῖ Τί γὰρ, εἰπέ μοι, διὰ τῆς οὕτω λεπτῆς 3.149 ζητήσεως καὶ ἀκριβεστάτης ἐρεύνης ὁ τῶν ἁγίων μαθητῶν ἔρχεται νοῦς; οὐ γὰρ ἐξήρκεσεν ἂν εἰς ἀπόδειξιν τοῦ ἐγηγέρθαι τε κατ' ἀλήθειαν ἐκ νεκρῶν, καὶ ἐπιγνωσθῆναι τὸν Κύριον, ἡ τοῦ σώματος ὄψις, ὁ τοῦ προσώπου χαρακτὴρ, τῆς ἡλικίας τὸ μέτρον; καὶ τί πρὸς τοῦτό φαμεν; οὐκ ἐλευθέραν ἐνδοιασμοῦ τὴν διάνοιαν εἶχον οἱ θεσπέσιοι μαθηταὶ, καίτοι τεθεαμένοι τὸν Κύριον. ᾤοντο μὲν γὰρ οὐκ ἐκεῖνον αὐτὸν ὑπάρχειν κατὰ ἀλήθειαν τὸν πάλαι συνόντα τε αὐτοῖς καὶ συνδιαιτώμενον, καὶ ἐπὶ ξύλου κεκρεμασμένον, πνεῦμα δὲ μᾶλλον πρὸς τὴν τοῦ Σωτῆρος εἰκόνα διαπεπλασμένον ἀστείως, καὶ μορφῆς ἧς ᾔδεσαν τὰ ἴχνη ψευδόμενον. κατώλισθον γεμὴν εἰς τὸ οὕτω φρονεῖν, οὐκ ἀφορμῆς τινος δίχα τῆς εἰς τοῦτο καλούσης εὐλόγως. ἐπειδὴ δὲ τῶν θυρῶν κεκλεισμένων παραδόξως εἰσήλασε, τοῦ γεώδους καὶ παχυτέρου σώματος τὴν ἀποχρῶσαν αὐτῷ ζητοῦντος εἴσοδον, καὶ τὸ τοσοῦτον ἀνευρύνεσθαι τὰς τῶν δωματίων εἰσβολὰς ἀναγκάζοντος, ὅσον τὸ ἑκάστου μέγεθος ἔχει· τοιγαροῦν καὶ σφόδρα χρησίμως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἀπεγύμνωσε μὲν τῷ Θωμᾷ τὴν πλευρὰν, τὰ δὲ ἐν τῇ σαρκὶ τραύματα καθίστη διαφανῆ, πάντας δι' ἐκείνου πληροφορῶν. μόνου μὲν γὰρ τοῦ ἁγίου Θωμᾶ φέρεται λόγος "Ἐὰν μὴ "βάλω τὰς χεῖράς μου καὶ ἴδω τοὺς τύπους τῶν ἥλων, καὶ "βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πι"στεύσω," ἀλλ' ἦν πως ἅπασι κοινὰ τὰ τῆς ὀλιγοπιστίας ἐγκλήματα, καὶ τῶν ἄλλων μαθητῶν οὐκ ἔξω θορύβου τὸν νοῦν εὑρήσομεν, καίτοι καὶ αὐτῶν λεγόντων τῷ ἁγίῳ Θωμᾷ "Ἑωράκαμεν τὸν Κύριον." ὅτι δὲ τῆς ἀληθείας ἡμῖν ὁ λόγος οὐκ ἐξοίχεται, χαλεπὸν οὐδὲν ἐκμαθεῖν δι' ὧν ἔφη περὶ τούτων ὁ θεῖος ἡμῖν Λουκᾶς "Ταῦτα γὰρ αὐτῶν λα"λούντων, φησὶν, ἔστη ἐν μέσῳ αὐτῶν·" αὐτὸς δὲ δηλονότι Χριστός· "καὶ λέγει αὐτοῖς Εἰρήνη ὑμῖν. πτοηθέντες δὲ "καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν. καὶ εἶπεν 3.150 "αὐτοῖς Τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ "ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ἴδετε τὰς χεῖράς μου "καὶ τοὺς πόδας μου, ὅτι ἐγώ εἰμι αὐτός. ψηλαφήσατέ με "καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ "θεωρεῖτε ἔχοντα. καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς "χεῖρας καὶ τοὺς πόδας. ἔτι δὲ ἀπιστούντων αὐτῶν καὶ "θαυμαζόντων ἀπὸ τῆς χαρᾶς εἶπεν αὐτοῖς Ἔχετέ τι βρώ"σιμον ἐνθάδε; οἱ δὲ ἐπέδωκαν αὐτῷ, φησὶν, ἰχθύος ὀπτοῦ "μέρος καὶ ἀπὸ μελισσίου κηρίου, καὶ λαβὼν ἐνώπιον αὐτῶν "ἔφαγεν." ὁρᾷς ὅπως ὁ τῆς ἀπιστίας ἐνδομυχεῖ λογισμὸς, οὐκ ἐν μόνῳ τῷ μακαρίῳ Θωμᾷ, νοσεῖ δὲ τὸ πάθος καὶ τῶν ἑτέρων μαθητῶν ὁ νοῦς; ἰδοὺ γὰρ ἰδοὺ καὶ μετὰ τὴν θέαν τῶν ἐπὶ τῷ σταυρῷ τραυμάτων ὀλιγοπιστοῦντας ὁρῶν, ἀναπείθειν ᾤετο δεῖν καὶ δι' ἑτέρου πράγματος, κατ' οὐδένα μὲν τρόπον πνεύματι πρέποντος, ἀνήκοντος δὲ μᾶλλον ἰδικῶς τοῖς ἀπὸ γῆς σώμασι καὶ τῇ τῶν σαρκῶν φύσει. κατεδήδοκε γὰρ τὸ προκομισθὲν ἰχθύδιον, ἤτοι τὸ ἐξ αὐτοῦ μέρος. ἀνάγκης δὲ ὥσπερ ἔργον ἑκάτερον εἶναι δώσομεν. φθορᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ὅλως σωζομένης οὐκέτι μετὰ τὴν ἀνάστασιν τῆς ἁγίας μάλιστα σαρκὸς, ἐπείπερ ἀνεβίω πρὸς ἀφθαρσίαν, ἀλλ' οὐδὲ τροφῆς τῆς συνήθους δεδεῆσθαι πεπιστευμένης, καθάπερ καὶ πρότερον, τύπους ἥλων ἐπέδειξε, καὶ τροφῆς μεταλαχεῖν οὐκ ἀνένευσεν, ἵνα τὸ μέγα τῆς ἀναστάσεως ῥιζώσῃ μυστήριον, καὶ τὴν ἐπὶ τούτῳ πίστιν ταῖς ἁπάντων ἡμῶν ἐμφυτεύσῃ ψυχαῖς. ἐργάζεται δὲ τὰ τῆς τῶν πνευμάτων φύσεως παντελῶς ἀλλότρια. τύποι γὰρ ἥλων, καὶ τραυμάτων ἴχνη, καὶ τροφῆς μέθεξις σωματικῆς, πόθεν ἂν ἢ πῶς ἐνυπάρχοι πνεύματι γυμνῷ τε παντάπασι καὶ ἀσυμπλόκῳ σαρκὶ, ᾗπερ ἂν πρέποι κατά γε τὸν λόγον τῆς ἰδίας φύσεως καὶ τὸ ἐν τούτοις γίνεσθαι φιλεῖν; οὐκοῦν ἵνα μὴ πνεῦμα λεπτὸν οἴωνταί τινες ἐγηγέρθαι τὸν Κύριον, μήτε μὴν ἀνέπαφον 3.151 σῶμα, σκιοειδές τε καὶ ἀέριον, ὅπερ ἔθος τισὶν ὀνομάζειν πνευματικὸν, ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ ἐσπαρμένον ἐν φθορᾷ κατὰ τὴν τοῦ Παύλου φωνὴν διαναστὰν πιστεύηται, τὰ σώματι πρέποντα τῷ παχεῖ δέδρακέ τε καὶ δέδειχεν. ἀποδημήσει γεμὴν οὐκ ἀπὸ τοῦ πρέποντος λογισμοῦ τὸ εἰπεῖν ἐν ἀρχαῖς, οὐ τοσοῦτον ἀπιστῆσαι διὰ γνώμης ἀσθένειαν τὸν μακάριον μαθητὴν, ὅσον ἐκ περιχαρείας τῆς ἄγαν τοῦτο παθεῖν. ἀκηκόαμεν γὰρ τοῦ μακαρίου φάσκοντος Λουκᾶ καὶ περὶ τῶν ἄλλων ἁπάντων ὅτι "ἀπιστούντων αὐτῶν καὶ "θαυμαζόντων ἀπὸ τῆς χαρᾶς." οὐκοῦν τὸ θαυμάσαι, τὸ ἐπὶ τῇ πίστει βράδος τοῖς μαθηταῖς ἐνειργάζετο. ἐπειδὴ δὲ λοιπὸν ἀπροφάσιστος ἦν τοῖς ὁρῶσιν ἡ ἀπιστία, ἀκολούθως ὁ μακάριος Θωμᾶς ὀρθοτάτην ἐπ' αὐτῷ τὴν ὁμολογίαν ἐποιεῖτο λέγων Ὁ Κύριός μου καὶ ὁ Θεός μου. τῷ γὰρ κατὰ φύσιν Κυρίῳ καὶ τὸ κατὰ πάντων ἔχοντι κράτος παρέποιτο ἂν ἀληθῶς τε καὶ ὁμολογουμένως καὶ τὸ εἶναι Θεῷ ὥσπερ οὖν ἀμέλει καὶ τῷ κατὰ φύσιν Θεῷ προσὸν ὁρῷτο δὴ παντελῶς καὶ τὸ τῶν ὅλων δύνασθαι κρατεῖν, καὶ τὴν τῆς κυριότητος ἀμπέχεσθαι δόξαν. Ἐπιτηρητέον δὲ ὅτι μοναδικῶς καὶ συνάρθρως Ὁ Κύριός μου φησὶ καὶ ὁ Θεός μου. οὐ γὰρ ἁπλῶς ἔφη Κύριός μου καὶ Θεός μου, ἵνα μή τις οἴηται καθ' ὁμοιότητα τὴν ἡμετέραν ἤγουν τῶν ἁγίων ἀγγέλων κύριον αὐτὸν εἰρῆσθαι καὶ Θεόν· πολλοὶ γὰρ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς κύριοί τε καὶ θεοὶ, καθάπερ ὁ σοφὸς ἡμᾶς ἐδίδαξε Παῦλος· ἀλλ' ἕνα Κύριον αὐτὸν ἰδικῶς καὶ Θεὸν, ὡς ἐκ τοῦ κατὰ φύσιν Κυρίου καὶ Θεοῦ γεννηθέντα Πατρός Ὁ Κύριός μου καὶ ὁ Θεός μου φησὶ, καὶ τὸ ἔτι μεῖζον εἰς παράστασιν ἀληθείας, ἀκήκοε τοῦτο λέγοντος ὁ Σωτὴρ τοῦ ἰδίου μαθητοῦ, διακειμένου τε καὶ πεπιστευκότος ὅτι δὴ κατὰ ἀλήθειαν ὁ Κύριός τε αὐτὸς ὑπάρχοι καὶ ὁ Θεὸς, ἀλλ' ἐπιτιμᾶν οὐκ ᾤετο δεῖν. 3.152 οὐκοῦν ἐπῄνει πεπιστευκότα, καὶ λίαν ὀρθῶς. ἴδοις δ' ἂν τοῦτο ὑπάρχον ἀληθὲς, καὶ μάλα ῥᾳδίως. πρὸς γὰρ τὸν οὕτω πεπιστευκότα καὶ διακείμενον, ἐπὶ τέλει τοῦ εὐαγγελίου φησί "Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη." εἰ δὲ οὕτως ἔχοντα γνώμης πάντα τὰ ἔθνη διδάσκειν κελεύει, καὶ μυσταγωγὸν αὐτὸν ἀνέδειξεν οἰκουμενικὸν, οὐχ ἑτέραν ἡμᾶς ἔχειν βούλεται τὴν πίστιν. Κύριος γὰρ ὄντως ἐστὶ κατὰ φύσιν καὶ Θεὸς καὶ ὅτε γέγονεν ἄνθρωπος. κατανόει γὰρ ὅτι χεῖράς τε καὶ πόδας καὶ πλευρὰν ψηλαφήσας ὁ μαθητὴς προσκεκόμικεν αὐτῷ τὴν ὁμολογίαν, οὐκ εἰς υἱῶν δυάδα διατεμὼν τὸν Ἐμμανουὴλ, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἐπιγινώσκων μετὰ σαρκός· εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς κατὰ τὰς γραφάς. Λέγει αὐτῷ ὁ Ἰησοῦς Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. Οἰκονομικώτατος σφόδρα τοῦ Σωτῆρος ὁ λόγος, καὶ πλείστην ὅσην ἡμῖν τὴν ὄνησιν ἐμποιεῖν ἱκανός. προενόησε γὰρ οὐ μετρίως κἂν τούτῳ τῶν ἡμετέρων ψυχῶν, ἐπείπερ ἐστὶν ἀγαθὸς καὶ "πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ "εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν," κατὰ τὸ γεγραμμένον. τὸ δέ γε τοῦ θαύματος αἴτιον ἐκεῖνό ἐστιν. ἔδει μὲν γὰρ ἀνεξικακῆσαι συνήθως ἐκεῖνο λέγοντι τῷ Θωμᾷ, ἀλλὰ καὶ τοῖς ἑτέροις σὺν αὐτῷ μαθηταῖς, οἰηθεῖσιν ὅτι πνεῦμά ἐστι καὶ φάντασμα, ἐπιδεῖξαί τε καὶ μάλα προθύμως εἰς πληροφορίαν οἰκουμενικὴν καὶ τύπους τῶν ἥλων καὶ τῆς πλευρᾶς τὴν διάτρησιν, οὐδὲν δὲ ἧττον καὶ παρὰ τὸ εἰωθὸς αὐτὸ, καὶ τὴν χρείαν καὶ τροφῆς μεταλαχεῖν, ἵνα μηδεμία παντελῶς περιλείπηται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρόφασις καλοῦσα πρὸς ἀπιστίαν τοὺς διὰ τῶν τοιούτων ὠφελεῖσθαι ζητήσαντας. ἀλλ' ἦν ἀναγκαῖον οὐ μικροῦ τινος ἀξιῶσαι λόγου καὶ τὴν εἰς ἡμᾶς ἀσφάλειαν. ἔδει πρὸς ἐκείνῳ καὶ τὸ ἕτερον ἰδεῖν, φημὶ δὴ τὸ μηδαμόθεν εὐκόλως κατασύρεσθαι πρὸς ἀπιστίαν τοὺς ἐν τοῖς ἐφεξῆς 3.153 ἐσομένους καιροῖς. ἦν γὰρ δή τινας εἰκὸς ἔξω τῆς εὐθείας ἰόντας ὁδοῦ, καὶ νόθην εὐλάβειαν ἐξ ἀμαθίας ἐπιτηδεύοντας ἀποπέμπεσθαι τὴν πίστιν, οὐ προσίεσθαι τῶν νεκρῶν τὴν ἀνάστασιν, ἥκειν τε εἰς μέσον κατ' ἐκεῖνον ἡμῖν ἐροῦντας τὸν ἀπιστήσαντα μαθητήν "Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ "τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν "πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω." εἶτα τίς ἂν αὐτοῖς πληροφορίας ἔτι διαρκὴς ἐγένετο τρόπος, οὐκ ὄντος μὲν ἐπὶ γῆς σωματικῶς ἔτι Χριστοῦ, ἀναβεβηκότος δὲ μᾶλλον εἰς οὐρανούς; πῶς δὲ οὐκ ἂν ὑπωπτεύθησαν ἔσθ' ὅτε τὰ τοιαῦτα λέγειν ὀρθῶς, ὅτε ζηλοῦντες ἐφαίνοντο τοῦ Σωτῆρος τὸν μαθητὴν, καὶ ὡς ἄριστόν τι χρῆμα τὸ μὴ πιστεῦσαι προχείρως ἐπιλεξάμενοι, ἐξαιτεῖν δὲ μᾶλλον πρὸς πληροφορίαν ἀσφαλῆ διετείνοντο τὰ καὶ αὐτοῖς τοῖς ἁγίοις ἐπιδειχθέντα μαθηταῖς; ἀνασειράζει τοιγαροῦν ὁ Χριστὸς καὶ τὴν ἐν τοῖς τοιούτοις ἐσομένην ἔσθ' ὅτε καταδρομὴν, καὶ περιστέλλει τὸν ὄλισθον. ᾔδει γὰρ ᾔδει Θεὸς ὑπάρχων ἀληθινὸς τὴν τοῦ διαβόλου φιλοκακοῦργον γνώμην, καὶ τὸ εἰς ἀπάτην εὐμήχανον. διὸ μακαρίους ἀποφαίνει τοὺς καὶ δίχα τοῦ ἰδεῖν πιστεύοντας· θαυμάσιοι γὰρ ὄντως. καὶ διὰ ποίαν αἰτίαν; τοῖς μὲν γὰρ ἐν ὄψει κειμένοις οὐδαμόθεν ἀμφίλογος ὀφείλεται πίστις· τὸ γὰρ ἐνδοιάζειν ὅλως ἀναπεῖθον οὐδέν. ὃ δὲ μὴ τεθέαταί τις εἰ παραδέξαιτο, καὶ ἀληθὲς εἶναι πιστεύσειεν ὅπερ ἂν εἰς ὦτα διακομίσειαν τοῦ μυσταγωγοῦντος οἱ λόγοι, ἀξιολογωτάτῃ τετίμηκε πίστει τὸν κηρυττόμενον. ἕψεται τοίνυν ὁ μακαρισμὸς παντὶ τῷ πιστεύοντι διὰ τῆς τῶν ἁγίων ἀποστόλων φωνῆς, οἳ καὶ αὐτόπται καὶ θεωροὶ τῶν κατορθωμάτων γεγόνασι καὶ ὑπηρέται τοῦ λόγου, καθά φησιν ὁ Λουκᾶς· οἷς καὶ προσέχειν ἡμᾶς ἀναγκαῖον, εἰ τῆς αἰωνίου ζωῆς καθεστήκαμεν ἐρασταὶ, καὶ τὸ ἐν ταῖς ἄνω μοναῖς αὐλίζεσθαι περὶ πολλοῦ ποιεῖσθαι σπουδάζομεν. 3.154 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν αἰώνιον ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ. Ἀνακεφαλαιοῦται τρόπον τινὰ τὴν ἰδίαν συγγραφὴν, ἐμφανῆ τε τοῖς ἀκροωμένοις τὸν τῶν εὐαγγελικῶν κηρυγμάτων σκοπὸν ἐργάζεται. ἵνα γὰρ πιστεύσητέ φησι καὶ πιστεύσαντες ἔχητε τὴν αἰώνιον ζωὴν, συνετέθη ταυτί· πολλὰ δὲ εἶναί φησι τὰ σημεῖα, καὶ οὐ μέχρι τῶν αὐτῷ καὶ μόνῳ διεγνωσμένων τε καὶ εἰρημένων τὰ τοῦ Σωτῆρος ἡμῶν ἵστησι κατορθώματα καὶ τὰς παραδόξους ἐνεργείας, ἀπονέμει δὲ ὥσπερ καὶ τοῖς ἑτέροις εὐαγγελισταῖς ἅπερ ἂν αὐτοῖς διὰ μνήμης ἴοι τῆς ἀκριβοῦς παρακομίζειν, εἰ βούλοιντο. γέγραπται γὰρ οὐ πάντα, φησὶν, ἐν τῷ βιβλίῳ τούτῳ, ταυτὶ δὲ καὶ μόνα διὰ τῆς ἐμῆς ἐνετέθη φωνῆς, ἅπερ ἦν εἰκὸς ἐξαρκέσειν οὐ μετρίως πρὸς τὸ ἀναπεῖσαι δύνασθαι τοὺς ἀκροωμένους ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Ταυτὶ μὲν οὖν ὁ θεσπέσιος Εὐαγγελιστής· ἐγὼ δὲ δὴ πάλιν οἰήσομαι δεῖν ἐκεῖνο φάναι χρησίμως. εἰ γὰρ ὅλη τῶν γεγραμμένων ἡ δύναμις τοιαύτην ἡμῖν ἐνεργάζεται πίστιν, διακεῖσθαί τε καὶ σφόδρα καλῶς ἀναπείθει, ὡς ὁ γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου, ὃς καὶ ἐπεκλήθη Ἰησοῦς διὰ τῆς τοῦ ἀγγέλου φωνῆς, αὐτὸς οὗτός ἐστιν ὁ διὰ τῆς θεοπνεύστου γραφῆς κηρυττόμενος Χριστός· αὐτὸς δέ ἐστιν οὗτος, καὶ οὐχ ἕτερος, οὐχ ἁπλῶς υἱός, ἀλλ' Ὁ Υἱὸς τοῦ Θεοῦ μοναδικῶς τε καὶ ἰδικῶς, τί δράσαιεν ἄρα, τί δὲ καὶ φθέγξαιντο, καὶ ποῖον ἕξουσι κρῖμα, κατὰ τὸν τῆς μεγάλης ἡμέρας καιρὸν, οἱ ἐξ ἀμαθίας διακρινόμενοι περὶ τὴν πίστιν, καὶ πρὸς τούτῳ διδάσκειν ἑτέρους ἐπιχειρήσαντες δύο νομίζειν εἶναι χριστούς; 3.155 κατατέμνουσι γὰρ εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς Θεὸν Λόγον ἰδικῶς καὶ μετὰ τὴν ἕνωσιν καὶ τὴν ἄφραστόν τε καὶ ἀπερινόητον παντελῶς πρὸς τὸ σῶμα σύνοδον.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιγάρτοι πεπλάνηνται, καὶ πόῤῥω που τῆς ἀληθείας ἐρχόμενοι τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην ἠρνήσαντο. τὸν μὲν γὰρ τῆς φύσεως ἐξετάζοντες λόγον, ὅταν τι νοῶμεν περὶ Χριστοῦ, ἑτέραν οὖσαν τὴν σάρκα παρὰ τὸν ἐκ Πατρός τε καὶ ἐν Πατρὶ Θεὸν Λόγον εὑρίσκωμεν· τὴν δὲ τῆς συνόδου τῆς πρὸς αὐτὸν κατασκεπτόμενοι δύναμιν, βασανίζοντές τε κατὰ τὸ ἐγχωροῦν τὸ ἐξαίσιον τουτὶ καὶ ὑπὲρ νοῦν μυστήριον, ὡς ἕν τι μετὰ τῆς ἰδίας σαρκὸς νοοῦμεν τὸν Λόγον, οὐκ εἰς σάρκα μεταβεβλημένον· οὐ γὰρ τοῦτό φαμεν, ἔστι γὰρ ἄτρεπτός τε καὶ ἀναλλοίωτος καὶ τροπῆς ἁπάσης ἀνεπίδεκτος παντελῶς ἡ τοῦ Λόγου φύσις· ἀλλ' ὅτι κατὰ τὴν ἁγίαν ἡμῶν καὶ θεόπνευστον γραφὴν, ἔκ τε τοῦ θείου ναοῦ ὁλόκληρον ἔχοντος τῆς ἀνθρωπότητος τὸν ὅρον, καὶ ἐκ τοῦ ζῶντος Λόγου νοούμενος, εἷς ἐστι λοιπὸν ὁ Ἰησοῦς καὶ Χριστὸς καὶ Υἱός. νοῆσαι δ' ἂν τοῦτο αὐτὸ καὶ ἐφ' ἡμῶν ἀληθές τε ὑπάρχον καὶ οὕτως ἔχον τῇ φύσει. συγκείμεθα γὰρ εἰς ἕνα ἄνθρωπον τὸν ἐκ ψυχῆς καὶ σώματος, ἑτέρου μὲν ὄντος τοῦ σώματος, ἑτέρας δὲ αὖ τῆς ἐν τῷ σώματι ψυχῆς, κατά γε τὸν ἐφ' ἑκατέρῳ λόγον, πλὴν εἰς ἑνὸς ζῴου συνθεόντων ἀνάδειξιν, καὶ διαιρεῖσθαι τὸ παράπαν οὐκ ἀνεχομένων μετὰ τὴν εἰς ἄλληλα συμπλοκήν. Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐφανέρωσε δὲ οὕτως. ἦσαν ὁμοῦ Σίμων Πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος δίδυμος καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας καὶ οἱ υἱοὶ Ζεβεδαίου καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. λέγει αὐτοῖς Σίμων Πέτρος Ὑπάγω ἁλιεύειν· λέγουσιν αὐτῷ Ἐρχόμεθα καὶ ἡμεῖς 3.156 σὺν σοί. ἐξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. πρωΐας δὲ ἤδη γενομένης ἔστη Ἰησοῦς ἐπὶ τὸν αἰγιαλὸν, οὐ μέντοι ἔγνωσαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. λέγει αὐτοῖς ὁ Ἰησοῦς Παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ Οὔ. ὁ δὲ εἶπεν αὐτοῖς Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. οἱ δὲ εἶπον Δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ σῷ ὀνόματι βαλοῦμεν. ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυον ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Ἐπιδαψιλεύεται πάλιν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἑαυτοῦ πολυεύκτου θέας τὴν ἀπόλαυσιν, καὶ τρίτην αὐτοῖς ἐφ' ἑτέραις ἤδη δυσὶ δωρεῖται τὴν ἐπιφοίτησιν, ἵνα δηλονότι βέβαιόν τε καὶ ἐν πίστει τῇ εἰς αὐτὸν ἀκλινῶς ἱδρυμένον ἐνεργάσηται φρόνημα. οἱ γὰρ οὐχ ἅπαξ, ἀλλ' ἤδη καὶ τρίτον τεθεαμένοι, πῶς οὐκ ὀλιγοπιστίας ἁπάσης τὸν οἰκεῖον ἀπαλλάξαντες νοῦν, καὶ τοῖς ἄλλοις ἅπασιν ἀκριβεῖς ἂν ἐγένοντο μυσταγωγοὶ τῶν τῆς εὐσεβείας δογμάτων; ἔξεισι τοίνυν ὁ Πέτρος ἁλιεύων τοῖς ἄλλοις ὁμοῦ· συνθέουσι γὰρ καὶ πρὸς τοῦτο βαδίζοντι, τάχα τι καὶ διὰ τούτων οἰκονομοῦντος χρήσιμον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. ἔφη μὲν γάρ που πρὸς αὐτοὺς, ὅτε τὸν τῆς μαθητείας ἐπετίθει ζυγὸν καὶ πρὸς τὴν τῆς ἀποστολῆς ἀξίαν ἐκάλει "Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς "ἀνθρώπων." ἵνα δὲ πάλιν αὐτοὺς ὡς ἐν τύπῳ πληροφορήσῃ παχεῖ, ὅτι δὴ πάντως τὸ εἰρημένον ἐκβήσεται, καὶ εἰς τὴν τῆς ἀληθείας ἐκτελευτήσει δύναμιν ἡ ὑπόσχεσις, ἐξ αὐτοῦ τοῦ μετὰ χεῖρας ὄντος ἐπιτηδεύματος ἀναπείθει σαφῶς. οἱ μὲν γὰρ μακάριοι μαθηταὶ τὰ ἐκ τῆς οἰκείας ἐνεργήσαντες τέχνης, ἰχθυοθῆραι δὲ ἦσαν, ἐπίασαν οὐδὲν, 3.157 καίτοι δι' ὅλης κεκοπιακότες τῆς νυκτός. πρωΐας δὲ ἤδη γενομένης, ἀρξαμένου δὲ ἤδη διαχεῖσθαι φωτὸς καὶ τῆς ἡλίου βολῆς, ἔστη Ἰησοῦς ἐπὶ τὸν αἰγιαλόν. οἱ δὲ οὐκ ᾔδεσαν μὲν, ὅτι περ αὐτός ἐστι. διερωτῶντι γεμὴν καὶ λέγοντι μὴ ἆρά τι τῶν εἰς τραπέζης τελούντων χρείαν εἴσω γέγονε δικτύων αὐτοῖς, οὐδὲν τὸ παράπαν εἰληφέναι φασίν. εἶτα κελεύει καθεῖναι τὸ δίκτυον εἰς μέρη τοῦ πλοίου τὰ δεξιά· οἱ δέ Καίτοι διὰ νυκτὸς ὅλης εἰκαίους τε καὶ ἀνονήτους δαπανήσαντες πόνους, ἐπὶ τῷ σῷ ῥήματι σαγηνεύσομεν, φασίν. οὗ δὴ δρωμένου, τὴν τῶν ἀνελκόντων ἰσχὺν ἐβιάζετο λοιπὸν τῶν τεθηραμένων τὸ βαρός. Ταυτὶ μὲν οὖν ἡμῖν ὁ θεσπέσιος Εὐαγγελιστὴς ἐξηγήσατο· ἐπειδὴ δὲ ἀρτίως ἐλέγομεν, ὡς διὰ πράγματος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐναργεστάτου τε λίαν καὶ τετελεσμένου κατὰ ἀλήθειαν πεπληροφόρηκεν ὁ Σωτὴρ τοὺς ἁγίους ἀποστόλους ὅτι δὴ μέλλοιεν ἔσεσθαι κατὰ τὴν αὐτοῦ φωνὴν ἁλιεῖς ἀνθρώπων, φέρε μεθιστάντες, ὡς ἔνι, καλῶς εἰς ἀληθείας δήλωσιν τὰ ὡς ἐν τύπῳ πεπληρωμένα, τοῖς τοῦ Σωτῆρος λόγοις μαρτυρήσωμεν τὴν ἀλήθειαν, ἕκαστα δὲ τῶν γεγονότων κατά γε τὸ ἐγχωροῦν διαπτύξαντες, παραθῶμεν τοῖς ἐντευξομένοις θεωρίας πνευματικῆς οὐ μετρίας, ὡς ἐγῷμαι, τὰς ἀφορμάς· "Δίδου γὰρ σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώ"ριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι." οἶμαι τοίνυν ὅτι τὸ διὰ νυκτὸς μὲν ὅλης ἁλιεῦσαι τοὺς μαθητὰς, μὴ μὴν ἑλεῖν τι παντελῶς, εἰκαίους δὲ ἀνατλῆσαι πόνους, σημαίνει τι τοιοῦτον, ὅτι τοῖς τῶν ἀρχαιοτέρων διδασκάλων κηρύγμασιν οὐδένα τὸ παράπαν ἀναπεπεισμένον εὑρήσομεν, καὶ εἰς τὸ τελείως ἀρέσκον τῷ Θεῷ σεσαγηνευμένον, ἢ ὀλίγους κομιδῇ. ἐν ἴσῳ δὲ τῷ μηδενὶ τὸ σφόδρα βραχὺ, ὅταν ἐκ πολλοῦ μάλιστα λαμβάνηται. πολὺς δὲ δὴ λίαν ὁ κατὰ πᾶσαν τὴν οἰκουμένην ἄνθρωπος νοεῖται πρεπόντως. τί οὖν 3.158 ἄρα τὸ διακωλῦσαν καὶ ἐμποδὼν εὑρεθὲν, ὃ καὶ τῶν ἀρχαιοτέρων τὸν πόνον εἰκαῖον ἐτίθει; τί δὲ καὶ ἄκαρπον ὥσπερ αὐτοῖς ἀπετέλει τὸ κήρυγμα; νὺξ ἦν καὶ σκότος ἔτι καὶ νοητή τις ἀχλὺς καὶ δαιμονιώδης ἀπάτη τοῖς τῆς διανοίας ὀφθαλμοῖς ἐνιζάνουσα, καὶ τὸ θεῖον ὄντως καὶ ἀληθὲς ἰδεῖν οὐκ ἐφιεῖσα φῶς. οὐ γὰρ ἦν ὁ ποιῶν χρηστότητα, κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, οὐκ ἦν ἕως ἑνὸς, ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. εἰ δὲ καὶ τεθήρευτό πως διὰ Μωυσέως ὁ Ἰσραὴλ, ἀλλ' ἦν ἐν ἴσῳ τοῖς οὐδ' ὅλως τεθηρευμένοις, τὴν ἐν σκιαῖς καὶ τύποις ἐπιτηδεύων λατρείαν, καὶ τῷ τελειοῦντι μηδὲν παιδαγωγούμενος νόμῳ. ὅτι γὰρ ἀχρειοτάτην ὥσπερ καὶ ἀπῳδὸν τῷ Θεῷ τὴν ἐν τύποις λατρείαν εὑρήσομεν, εὔκολον ἰδεῖν ἐξ ὧν τὰς δι' αἱμάτων παρωθεῖται θυσίας καὶ πᾶν εἶδος προσαγωγῆς γεώδους τε καὶ σωματικῆς " Ινα τί γάρ μοι, φησὶ, λίβανον ἐκ σαβᾶ φέρετε καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ "εἰσὶ δεκτὰ, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν με." Καὶ ταῦτά φαμεν, οὐ τὴν πρώτην καὶ πάλαι δοθεῖσαν ἀτιμάζοντες ἐντολὴν, οὔτε μὴν τοῦ νόμου κατηγορεῖν ἐγνωκότες, ἐκεῖνο δὲ μᾶλλον τοῖς ἀκροωμένοις ἐθέλοντες ὑποδηλοῦν, ὅτι τοῦ πάντων Δεσπότου Θεοῦ πρὸς μόνον ὁρῶντος τῆς εὐαγγελικῆς πολιτείας τὸ κάλλος, καὶ οἱ διὰ νόμου τεθηρευμένοι πρὸς τὴν ἐν σκιαῖς καὶ τύποις ἀνόνητον λατρείαν ἐν ἴσῳ πως τέθειντο τοῖς οὔπω τεθηρευμένοις, ἄχρις ἂν ὁ τῆς διορθώσεως ἐπιλάμψῃ καιρὸς, λέγοντος ἐναργῶς τοῦ Χριστοῦ, ὅτε γέγονεν ἄνθρωπος "Ἐγώ εἰμι ἡ "ἀλήθεια." εἰ δὲ δεῖ τούτοις καὶ ἕτερόν τι ἐπειπεῖν, οὐκ ὀκνήσω διὰ τὸ χρήσιμον. οἱ πρὸς τὴν ἐκ νόμου μάθησιν κεκλημένοι διὰ Μωυσέως, καὶ αὐτὸν τὸν δοθέντα διαπτύσαντες νόμον καὶ μονονουχὶ πλατὺ γελῶντες κατὰ τῆς ἁγίας ἐντολῆς, ἐτράποντο πρὸς διδασκαλίας ἐντάλματα ἀνθρώπων· κατώλισθον δὲ πρὸς τοῦτο σκληρᾶς καὶ ἀτέγκτου βουλῆς, 3.159 ὡς καὶ τὸν τῶν ἁγίων προφητῶν ἀτονῆσαι λόγον. τοιγάρτοι καὶ ἔκραζον "Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;" Ἱερεμίας δὲ πάλιν "Οἴμοι ἐγὼ, μῆτερ, ὡς τινά με ἔτεκες ἄν"δρα δικαζόμενον καὶ δικαρινόμενον ἐν πάσῃ τῇ γῇ, οὔτε "ὠφέλησα, οὔτε ὠφέλησέ με οὐδείς· ἡ ἰσχύς μου ἐξέλιπεν "ἐν τοῖς καταρωμένοις με." πῶς οὖν οὐκ ἐν ἴσῳ τεθεῖσθαι δοίη τις ἂν τοῖς μηδόλως τεθηρευμένοις τὸν ἀπειθῆ καὶ δυσήνιον Ἰσραὴλ, ὅτε καὶ αὐτὸν τὸν διορισθέντα διὰ Μωυσέως πεπάτηκε νόμον; ὅτι δὲ καὶ αὐτὴ τῶν ἐθνῶν ἡ πληθὺς ἀσαγήνευτός τε ἦν ἔτι, καὶ τῆς τῶν θείων μαθημάτων περιβολῆς ἔξω μένουσα παντελῶς, οὐδενὸς ἂν ἡμῖν πρὸς ἀπόδειξιν δεήσαι λόγου. ἐκείνοις οὖν ἄρα σκότος ἦν ἐν καρδίᾳ καὶ νὺξ διαβολικὴ, τὸ τῆς ἀληθοῦς θεογνωσίας ἐξείργουσα φῶς. οὐκοῦν δι' ὅλης ὡς ἔπος εἰπεῖν κοπιάσαντες τῆς νυκτὸς, ἰχθύων ἔτι χηρεύουσαν τὴν σαγήνην εἶχον τὴν νοητὴν οἱ πρὸ τῆς ἐπιδημίας· πρωΐας δὲ γενομένης, τουτέστι, διαλελυμένης ἤδη τῆς διαβολικῆς ἀχλύος καὶ ἀνίσχοντος τοῦ φωτὸς τοῦ ἀληθινοῦ, δῆλον δὲ ὅτι Χριστοῦ, πυθομένου τε παρὰ τῶν κεκοπιακότων Μὴ ἄρα τι τῶν λίνων ἔχουσιν ἐντὸς, ὅπερ ἂν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γένοιτο τροφὴ τῷ τὴν ἁπάντων ἡμῶν σωτηρίαν οἱονεὶ πεινῶντι Θεῷ· βρῶσιν γὰρ οἰκείαν ὠνόμασεν ἡ γραφὴ τὴν Σαμαρειτῶν ἐπιστροφήν· ἐναργῶς τε τῶν ἐρωτωμένων διωμολογηκότων ὡς οὐδὲν τὸ παράπαν ἐστὶν αὐτοῖς, καθεῖναι πάλιν ἐπιτάττει τὸ δίκτυον εἰς τὰ τοῦ πλοίου δεξιά. καθῆκε μὲν γὰρ καὶ ὁ μακάριος Μωυσῆς τὸ τῆς ὑφηγήσεως λίνον, διὰ νομικοῦ δὲ δηλονότι γράμματος· ἀλλ' ἐγένετό πως ἐν εὐωνύμοις ἡ θήρα, νοουμένης ἐν δεξιᾷ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐντολῆς. μείζων γὰρ ἀσυγκρίτως καὶ ἀμείνων κατὰ πολὺ κατά τε τιμὴν καὶ δόξαν τῶν νομικῶν ἐνταλμάτων ἡ διὰ Χριστοῦ νοεῖται παίδευσις, ἐπεὶ καὶ τῶν τύπων προκείσεται πάντως ἡ ἀλήθεια, καὶ οἰκέτου Δεσπότης, καὶ τοῦ 3.160 κατακρίνοντος γράμματος ἡ δικαιοῦσα τοῦ Πνεύματος χάρις. ἐν δεξιοῖς οὖν ἄρα στήσεται τὰ διὰ Χριστοῦ, τὴν ὑπεροχὴν ἡμῖν τὴν κατὰ νόμου καὶ προφητῶν τοῦ δεξιοῦ σημαίνοντος. Ἀμελλητὶ τοιγαροῦν τοῖς τοῦ Σωτῆρος ἡμῶν διατάγμασιν ἀναπεπεισμένοι χαλῶσι τὸ δίκτυον οἱ θεσπέσιοι μαθηταί. σημαίνει δὲ καὶ τοῦτο ἡμῖν ὡς οὐχ ἑαυτοῖς τὴν τῆς ἀποστολῆς ἥρπασαν χάριν, ἀλλὰ τοῖς αὐτοῦ διατάγμασιν ἐπὶ τὴν θήραν ἐξῆλθον τὴν πνευματικήν· "Πορευθέντες γάρ φησι "μαθητεύσατε πάντα τὰ ἔθνη·" καὶ αὐτοί δέ φασιν, ὡς ἐπὶ τῷ ῥήματι τοῦ Χριστοῦ χαλῶσι τὸ δίκτυον. σαγηνεύουσι γὰρ οὐχ ἑτέρως ἢ τοῖς τοῦ Σωτῆρος ἡμῶν ῥήμασι καὶ εὐαγγελικοῖς προστάγμασι. τῶν γεμὴν εἴσω δικτύων γεγονότων ἰχθύων πολύ τι τὸ πλῆθος ἦν, ὡς καὶ ἀνέλκειν αὐτὸ μηκέτι ῥᾳδίως δύνασθαι τοὺς μαθητάς. ἀναρίθμητοι γὰρ οἱ σεσαγηνευμένοι καὶ πιστεύσαντες, καὶ τῆς τῶν ἁγίων ἀποστόλων ἰσχύος μεῖζόν τε ἤδη καὶ ὑπερτεροῦν ἀληθῶς τὸ ἐπὶ τούτῳ θαῦμα φαίνεται. Χριστοῦ γάρ ἐστιν ἡ ἐνέργεια, τὴν τῶν σωζομένων πληθὺν ἰδίᾳ δυνάμει συλλέγοντος καθάπερ εἰς λίνον ἀποστολικὸν τὴν ἐπὶ γῆς Ἐκκλησίαν. Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ Ὁ κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνὸς, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν· οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πήχεων διακο σίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. ὡς οὖν ἐπέβησαν ἐπὶ τὴν γῆν βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικεί μενον καὶ ἄρτον· καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. ἀνέβη οὖν Σίμων Πέτρος καὶ 3.161 εἵλκυσε τὸ δίκτυον εἰς τὴν γῆν, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον· λέγει αὐτοῖς ὁ Ἰησοῦς Δεῦτε ἀριστήσατε. οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν Σὺ τίς εἶ, εἰδότες ὅτι ὁ Κύριός ἐστιν. ἔρχεται ὁ Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν. Ἑαυτὸν εἶναι πάλιν κἀνθάδε φησὶ τὸν ἀγαπώμενον μαθητὴν ὁ τόδε συνθεὶς τὸ βιβλίον. ἠγαπᾶτο δὲ λίαν, διὰ πλείστην ὡς ἐοικὸς ἀγχίνοιαν καὶ νοῦ καθαρότητα καὶ ὀφθαλμῶν καρδίας ὀξύτητα, ἐπιτηδείως τε ἔχειν εὖ μάλα πρὸς τὸ δύνασθαί τι συνιέναι γοργῶς. καὶ γοῦν προαρπάσας τῶν ἄλλων ἁπάντων τοῦ σημείου τὴν αἴσθησιν, ἔγνω παρόντα Χριστὸν, καὶ τοῖς ἑτέροις διαμεμήνυκεν, οὐδὲν ἐνδοιάσας ὅλως, ἀναφωνήσας δὲ μᾶλλον καὶ σφόδρα τεθαῤῥηκότως Ὁ Κύριός ἐστι. καὶ προεξάλλεται μὲν ὁ θεσπέσιος Πέτρος βραδυτέραν ἔσεσθαί πως καὶ τὴν διὰ σκάφους ἐννοήσας ἄφιξιν· θερμὸς γὰρ εἰς προθυμίας ἀεὶ, καὶ κεκινημένος πρὸς εὐτολμίαν καὶ ἀγάπην τὴν ἐπὶ Χριστῷ· ἕπονται δὲ καὶ οἱ λοιποὶ τῷ προὔχοντι ὁμοῦ τῷ πλοίῳ τὸ δίκτυον ἄγοντες. εἶτα θεωροῦσιν ἀνθρακιὰν κειμένην, παραδόξως καὶ πυρὰν ἀνακαύσαντος τοῦ Χριστοῦ καὶ ὀψάριον ἐνθέντος τῇ ἀῤῥήτῳ δυνάμει δηλονότι τεθηρευμένον, οἰκονομικῶς τε καὶ τοῦτο. οὐ γὰρ ἡ τῶν ἁγίων ἀποστόλων ἤρξατο χεὶρ, ἤτοι τὸ κήρυγμα τῆς ἐφ' ἡμῶν νοουμένης ἄγρας πνευματικῆς, ἀλλ' ἡ τοῦ Σωτῆρος ἰσχύς. ἐσαγήνευσε γὰρ πρῶτος, ὡς ἐν ἀπαρχῇ τῶν μελλόντων ἕνα, καὶ οὐχὶ δὴ πάντως ἕνα φαμὲν, διὰ δὲ τοῦ ἑνὸς τὸ μὴ σφόδρα πολλοὺς σημαίνεται· εἶτα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετὰ τοῦτο σαγηνεύουσιν οἱ μαθηταὶ τὸ πλῆθος, τοῖς αὐτοῦ πάλιν θεοπρεπεστάτοις νεύμασι καὶ εἰς τὸ δύνασθαί τι λαβεῖν τῶν ζητουμένων νευρούμενοι. ἀνέλκει γεμὴν τὴν σαγήνην ὁ Πέτρος, δι' οὗ πάλιν 3.162 ἔξεστι νοεῖν, τὸ μὴ ἀτέλεστον ἔσεσθαι τῶν ἁγίων ἀποστόλων τὸν πόνον. παρέστησαν γὰρ τῷ θηρᾶσθαι διατεταχότι τῶν τεθηρευμένων τὸν ὄχλον, ὃς καὶ ἐν ἰχθῦσι σημαίνεται τὸν ἀριθμὸν ρνγ΄· τοῦ μὲν ἑκατὸν, ὥς γε μοι φαίνεται καὶ δοκεῖ καλῶς ἔχειν, τὸ πλήρωμα τῶν ἐθνῶν σημαίνοντος· πληρέστατος γὰρ ὁ ἑκατὸν ἀριθμὸς ἐκ δεκάδων δέκα συγκείμενος, τοιγάρτοι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ποτὲ μὲν ἑκατὸν εἶναί φησι τὰ ὑπάρχοντα αὐτῷ πρόβατα, τὸ τελείως ἔχειν ἐν ἀριθμῷ τὰ λογικὰ κτίσματα διὰ τούτου δηλῶν, ποτὲ δὲ γῆν τὴν ἀρίστην ρ΄ καρποφορήσειν διισχυρίσατο, τὸ τέλειον εἰς εὐκαρποφορίαν τῆς ὁσίας ψυχῆς διὰ τούτου σημαίνων· τοῦ δέ γε πεντήκοντα παρατιθέντος εἰς νόησιν οἱονεὶ τὸ κατ' ἐκλογὴν λεῖμμα χάριτος τῶν ἐξ Ἰσραὴλ, ἐν ἡμίσει γὰρ τῶν ἑκατὸν τὰ πεντήκοντα, καὶ λείπεται τοῦ τελείου πρὸς ἀριθμόν· τῶν δέ γε τριῶν εἰσκομίζειν δυναμένων τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος ὡς ἐν ἀριθμῷ μόνῳ τὴν δήλωσιν, ἧς εἰς δόξαν καὶ ἀκατάληκτον εὐφημίαν, ἡ τῶν διὰ πίστεως τεθηρευμένων ἀναγράφεται ζωὴ καὶ νοεῖται συνεζευγμένως. Θεὸς γὰρ ἐν ὅλοις ἐστὶ τοῖς πιστεύουσιν ἐγγὺς ἔχων, κατά γε τὸν ἐν ἁγιασμῷ νοούμενον τρόπον, τοὺς τοῖς εὐαγγελικοῖς ἀναπεπεισμένους κηρύγμασιν. ἐπειδὴ δὲ καὶ ἀνειλκύσθη τὸ δίκτυον, ἔφη πάλιν ὁ Κύριος ἡμῶν τοῖς ἁγίοις μαθηταῖς Δεῦτε ἀριστήσατε, καὶ διὰ τούτου δὲ δηλονότι δικάσκων, ὅτι μετὰ πόνους καὶ ἱδρῶτας τοὺς ἐπὶ τοῖς κεκλημένοις τε καὶ ἀνασεσωσμένοις, συνανακλιθήσονται πάλιν αὐτῷ, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνὴν, καὶ συνέσονται διὰ παντὸς, παρακειμένης αὐτοῖς τῆς ἀῤῥήτου τρυφῆς, πνευματικῆς δῆλον ὅτι θείας τε καὶ ὑπὲρ νοῦν τὸν ἡμέτερον. μόνον δὲ οὐχὶ κατασημᾶναι βούλεται Χριστὸς τὸ ἐν ψαλμοῖς εἰρημένον ὅτι "Τοὺς καρποὺς τῶν πόνων σου 3.163 "φάγεσαι." οὐχ ἑαυτοῖς δὲ λαβόντες ἐσθίουσι, διαδίδωσι δὲ μᾶλλον αὐτοῖς ὁ Χριστὸς, ἵνα δὴ πάλιν ὡς ἐν τύπῳ μανθάνωμεν, ὅτι περ ἔσται καὶ κατ' ἐκεῖνο καιροῦ πάλιν αὐτὸς ὁ Χριστὸς τῶν θείων ἡμῖν χαρισμάτων ὁ χορηγὸς, καὶ τῶν ὠφελεῖν εἰωθότων διανομεὺς, ὡς Κύριος. Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; λέγει αὐτῷ Ναὶ Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε· λέγει αὐτῷ Βόσκε τὰ ἀρνία μου. λέγει αὐτῷ πάλιν δεύτερον Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; λέγει αὐτῷ Ναὶ Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε· λέγει αὐτῷ Ποίμαινε τὰ πρόβατά μου. λέγει αὐτῷ τρίτον Σίμων Ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον Φιλεῖς με· καὶ εἶπεν αὐτῷ Σὺ οἶδας Κύριε πάντα· σὺ γινώσκεις ὅτι φιλῶ σε· λέγει αὐτῷ ὁ Ἰησοῦς Βόσκε τὰ πρόβατά μου. Προενήρξατο τῶν ἄλλων ὁ Πέτρος καὶ πρὸς αὐτὴν, ὡς ἐοικὸς, τὴν διὰ τοῦ σκάφους ὀλιγωρήσας ἄφιξιν, διὰ τὸ τῆς εἰς Χριστὸν ἀγάπης ἀσυγκρίτως θερμὸν καὶ ἀξιοζήλωτον. διὸ καὶ πρῶτος ἄνεισι καὶ ἕλκει τὸ δίκτυον· εὐπερίστροφος γὰρ ἀεί πως ἦν ἄνθρωπος, κεκεντρωμένος οὐ μετρίως εἰς τὴν ἐπὶ τὸ δρᾶσαί τε καὶ εἰπεῖν προθυμίαν. διὸ δὴ καὶ πρῶτος ὡμολόγει τὴν πίστιν, ὅτε δὴ πεῦσιν αὐτοῖς προσκεκόμικεν ὁ Σωτὴρ περὶ "τὰ μέρη τῆς Φιλίππου Καισαρείας εἰπών Τίνα "με λέγουσιν οἱ ἄνθρωποι τὸν υἱὸν τοῦ ἀνθρώπου;" εἰρηκότων γὰρ τῶν ἑτέρων, οἱ μὲν Ἡλίαν, οἱ δὲ "Ιερεμίαν ἢ "ἕνα τῶν προφητῶν·" προσερωτῶντος δὲ πάλιν καὶ λέγοντος τοῦ Χριστοῦ "Ὑμεῖς δὲ τίνα με λέγετε," προεξάλλεται πάλιν τῶν ἄλλων ὁ κορυφαῖος καὶ τῶν ἄλλων προτεταγμένος, καί φησι "Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ "ζῶντος." καὶ μὴν καὶ ὅτε τῶν στρατιωτῶν ἡ σπεῖρα 3.164 παρῆν τοῖς Ἰουδαίων ὑπηρέταις ἀναμὶξ πρὸς τὸ τοῖς ἄρχουσιν ἀποκομίσαι τὸν Ἰησοῦν, οἱ μὲν ἄλλοι "πάντες ἀφέντες "αὐτὸν ἔφυγον," κατὰ τὸ γεγραμμένον, Πέτρος δὲ τῇ μαχαίρᾳ τὸ τοῦ Μάλχου διέκοψεν ὠτίον. ᾤετο γὰρ δεῖν διὰ παντὸς ἐπαμύνειν τρόπου τῷ οἰκείῳ διδασκάλῳ, εἰ καὶ ἀπᾴδουσαν αὐτῷ παντελῶς ἐποιεῖτο τὴν ἐγχείρησιν. ἀφικομένῳ τοιγαροῦν τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλων γοργότερον προσάγει τὴν πεῦσιν, εἰ πλεῖον αὐτῶν ἀγαπᾷ, καὶ τοῦτο εἰς τρίτον γέγονε. συγκατανεύει δὲ Πέτρος καὶ ἀγαπᾶν ὁμολογεῖ, τῆς ἐνυπαρχούσης αὐτῷ διαθέσεως αὐτὸν εἶναι λέγων τὸν μάρτυρα· ἐφ' ἑκάστῃ δὲ τῶν ὁμολογιῶν διαφόρως ἀκούει τῆς τῶν λογικῶν προβάτων ἔχεσθαι φροντίδος. Οἶμαι δὲ ἔγωγε· χρῆναι γὰρ ὄντως φημὶ καὶ τὴν κεκρυμμένην ἐν τούτοις διερευνῆσαι διάνοιαν· οὐκ εἰκῇ γεγράφθαι καὶ ταῦτα, ὠδίνει δέ τι πάλιν ὁ λόγος, καὶ τῶν προκειμένων ὁ νοῦς ἔχει τι πάντως τὸ ἐνδομυχοῦν· ἢ γὰρ οὐκ ἐρεῖ τις εὐλόγως Μόνον ἐρωτᾷ τὸν Σίμωνα, καίτοι τῶν ἄλλων παρεστώτων μαθητῶν, διὰ ποίαν αἰτίαν; τί δ' ἂν βούλοιτο δηλοῦν τό Βόσκε τὰ ἀρνία μου, καὶ τὰ τούτοις ἀδελφά; φαμὲν οὖν ὅτι κεχειροτόνητο μὲν ἤδη πρὸς τὴν θείαν ἀποστολὴν ὁμοῦ τοῖς ἑτέροις μαθηταῖς ὁ θεσπέσιος Πέτρος· αὐτὸς γὰρ αὐτοὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀποστόλους ὠνόμασε κατὰ τὸ γεγραμμένον· ἐπειδὴ δὲ πραχθῆναι συμβέβηκε τὰ τῆς Ἰουδαίων ἐπιβουλῆς, καί τι μεταξὺ διεπταίσθη καὶ γέγονεν· ἀκράτῳ γὰρ δείματι καταληφθεὶς ὁ θεσπέσιος Πέτρος ἠρνήσατο τρὶς τὸν Κύριον· θεραπεύει τὸ πεπονθὸς, καὶ ἀνταπαιτεῖ ποικίλως τὴν εἰς τρίτον ὁμολογίαν, ἀντίσταθμον ὥσπερ ἐκείνῳ τοῦτο τιθεὶς καὶ ἀντίῤῥοπον τοῖς πταίσμασιν ἐξαρτύων τὴν ἐπανόρθωσιν. τὸ γὰρ λόγῳ διαπταισθὲν καὶ ἐν ψιλοῖς ἔχον ῥήμασι τῶν ἐγκλημάτων τὴν δύναμιν, κατὰ τὸν ἴσον δοίη τις ἂν ἀπολύεσθαι τρόπον. 3.165 ἐξαιτεῖ δὲ εἰπεῖν, εἰ καὶ πλέον τῶν ἄλλων ἀγαπᾷ. καὶ γάρ τοι κατὰ ἀλήθειαν, ἅτε δὴ καὶ μείζονος ἀπολελαυκὼς ἀνεξικακίας, καὶ οἱονεὶ πλουσιωτέρᾳ χειρὶ τὴν τοῦ πλημμελήματος κομισάμενος ἄφεσιν, τῆς τῶν ἄλλων ἀγάπης μείζονα πῶς οὐκ ἂν εἰκότως συλλέξας ἐν ἑαυτῷ, ταῖς εἰς ἄκρον ἡκούσαις εὐνοίαις τὸν εὐεργέτην ἠμείψατο; κοινὸν μὲν γὰρ ἅπασι τοῖς ἁγίοις μαθηταῖς τὸ τετράφθαι πρὸς φυγὴν, τῆς Ἰουδαίων ἀπανθρωπίας ἀφόρητον αὐτοῖς ἐντιθείσης τὸ δεῖμα, καὶ τῆς τῶν στρατιωτῶν ἀγριότητος τὸν ὠμὸν ἀπειλούσης θάνατον, ὅτε συλληψόμενοι παρῆσαν τὸν Ἰησοῦν· ἰδιαζόντως γεμὴν πρὸς τούτῳ συνέβη τὸ τοῦ Πέτρου πλημμέλημα, τὸ διὰ τῆς εἰς τὸ τρίτον ἀρνήσεως. Οὐκοῦν, ὡς πλείονα τῶν ἄλλων τὴν ἄφεσιν κομισάμενος, ἐξαιτεῖται λέγειν εἰ καὶ πλεῖον ἀγαπᾷ· κατὰ γὰρ τὴν τοῦ Σωτῆρος φωνὴν, ᾧ πολὺ ἀφίεται, πολὺ καὶ ἀγαπήσει. τύπος δὲ πάλιν ταῖς μὲν ἐκκλησίαις ἐντεῦθεν εἰς τὸ χρῆναι τρίτον διερωτᾶν τὴν εἰς Χριστὸν ὁμολογίαν τοὺς ἀγαπᾶν αὐτὸν ἑλομένους, διὰ τοῦ καὶ προσελθεῖν τῷ ἁγίῳ βαπτίσματι. διδασκάλοις δὲ γνῶσις διὰ τῆς τῶν προκειμένων εἰσβέβηκε θεωρίας, ὡς οὐκ ἂν ἑτέρως εὐαρεστήσαιεν τῷ πάντων ἀρχιποιμένι, τουτέστι Χριστῷ, εἰ μὴ τῆς τῶν λογικῶν προβάτων εὐρωστίας καὶ τῆς εἰς τὸ εὖ εἶναι διαμονῆς ποιοῖντο φροντίδα. τοιοῦτός τις ἦν ὁ θεσπέσιος Παῦλος, τοῖς ἀσθενοῦσι συνασθενῶν, καύχημα δὲ τῆς ἰδίας ἀποστολῆς καὶ χαρὰν καὶ στέφανον ὀνομάζων τοὺς δι' αὐτοῦ πιστεύσαντας, καὶ διὰ τῆς τῶν ἔργων λαμπρότητος εὐδοκιμεῖν ἑλομένους. ᾔδει γὰρ ᾔδει τῆς εἰς Χριστὸν τελείας ἀγάπης καρπὸν εἶναι τοῦτον ἐμφανῆ. λογισμῷ δὲ τοῦτο καλῷ τε καὶ ἀγαθῷ θεωρήσαι τις ἄν. εἰ γὰρ ἀπέθανεν ὑπὲρ ἡμῶν, πῶς οὐκ ἂν ἁπάσης ἠξίωσε φροντίδος τὴν ἁπάντων ἡμῶν σωτηρίαν καὶ ζωήν; καὶ 3.166 εἴπερ ἀληθῶς εἰς Χριστὸν ἁμαρτάνουσιν οἱ "ἁμαρτάνοντες "εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν ἀσθενοῦσαν τὴν "συνείδησιν," πῶς οὐκ ἀληθὲς εἰπεῖν ὅτι περ εἰς αὐτὸν εὐσεβοῦσι τὸν Κύριον οἱ τῶν ἤδη πεπιστευκότων καὶ τῶν εἰς τοῦτο καλεῖσθαι προσδοκωμένων χειραγωγοῦντες τὸν νοῦν, καὶ διὰ πάσης αὐτοῖς ὠφελείας τὸ βέβαιον ἐν πίστει περιποιεῖν σπουδάζοντες; οὐκοῦν διὰ μὲν τῆς εἰς τρίτον ὁμολογίας τοῦ μακαρίου Πέτρου τὸ ἐν τριπλῷ γεγονὸς εἰς ἀπάρνησιν κατηργήθη πλημμέλημα· διὰ δὲ τοῦ φάναι τὸν Κύριον Βόσκε τὰ ἀρνία μου, ἀνανέωσις ὥσπερ τις τῆς ἤδη δοθείσης ἀποστολῆς αὐτῷ γενέσθαι νοεῖται, τὸν μεταξὺ λύουσα τῶν πταισμάτων ὀνειδισμὸν, καὶ τὴν ἐκ τῆς ἀνθρωπίνης ἀσθενείας μικροψυχίαν ἐξαφανίζουσα. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλοι ζώσουσί σε καὶ ἀποίσουσί σε ὅπου οὐ θέλεις· τοῦτο δὲ εἶπε σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ Ἀκολούθει μοι. Χαριέντως δὴ σφόδρα καὶ λίαν ἀστείως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῷ οἰκείῳ μεμαρτύρηκε μαθητῇ τῆς εἰς αὐτὸν ἀγάπης τὸ γνήσιον, καὶ τῆς εἰς ἄκρον ἡκούσης εὐσεβείας τε καὶ ὑπομονῆς τὸ καύχημα. εἰς τί γὰρ αὐτῷ τὰ τῆς ἀποστολῆς ἐκτελευτήσει ποτὲ διαγορεύει σαφῶς, καὶ ποῖον αὐτὸν τοῦ βίου διαδέξεται τέλος. προμεμήνυκε γὰρ ὅτι τις αὐτὸν καὶ εἰς ἀνεθέλητόν τινα χώραν ἀποκομιεῖ, τουτέστι, τὸν ἐν ᾧ κατέπηξαν τὸν σταυρὸν οἱ διώκοντες, ἤτοι τὴν εἰς αἷμα τιμωρίαν ἐπιθέντες αὐτῷ. ἀνεθέλητον δὲ τῷ Πέτρῳ τὸν τοῦ σταυροῦ τόπον εἶναί φησι. πάσχει γὰρ οὐδεὶς τῶν 3.167 ἁγίων ἑκών. ἀλλ' εἰ καὶ πικρὸς ὁ θάνατος, ἔπεισί τε καὶ λίαν ἀνεθελήτως αὐτοῖς, ἀλλά γε τῆς δόξης τῆς παρὰ Θεοῦ γλιχόμενοι καὶ τῆς ἐπιγείου καταφρονοῦσι ζωῆς. ἀποκομισθήσεσθαι τοιγαροῦν τὸν μακάριον Πέτρον προανεφώνησεν ὁ Χριστὸς εἰς ἀπᾴδοντά τε καὶ μεμισημένον τοῦ θανάτου τόπον. ἀλλ' οὐκ ἂν εἰς τοῦτο κατέληξε δόξης, οὐδ' ἂν ἐσταυρώθη διὰ Χριστὸν, εἰ μὴ τῆς τῶν λογικῶν προβάτων ἐπιμελείας ἠκολούθει τὰ ἐγκλήματα, καὶ τῆς εἰς Χριστὸν ἀγάπης ἐῤῥιζωμένην ἔχων τὴν δύναμιν ἐκάλει πρὸς εὐπείθειαν τοὺς ταῖς διαβολικαῖς ἀπάταις σεσαγηνευμένους πρὸς πλάνησιν. ἀπεκτόνασι γὰρ τὸν μακάριον Πέτρον οἱ καὶ τοῦτο δρᾶσαι τολμήσαντες, οὐχ ἑτέρας αἰτίας ἐπιγράφειν ἔχοντες αὐτῷ, μόνην δὲ τὴν εἰς Χριστὸν ἐγκαλοῦντες εὐσέβειαν. ἔστι τοίνυν καὶ διὰ τούτων ἰδεῖν, ὅτι χρησίμως τε καὶ ἀναγκαίως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς προανεφώνησε τοῦ Πέτρου τὴν τελευτὴν, ἵνα δι' ὧν ἔμελλε παθεῖν κατασφραγίσῃ τρόπον τινὰ καὶ ἀληθὲς ἐπιδείξῃ τὸ πρὸς αὐτὸν εἰρημένον "Ναὶ, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε." τὸ γὰρ ὅλως τελευτῆσαι διὰ τὸ κήρυγμα, πῶς οὐκ ἂν γένοιτο σαφής τε καὶ ἀναμφίλογος τοῦ φιλεῖν ἀπόδειξις, καὶ ὅτι τῆς τελείας ἀγάπης, φημὶ δὴ τῆς εἰς Χριστὸν, κατ' οὐδένα τρόπον ἀπελιμπάνετο; ἐπιλέγει γεμὴν οἷς ἔφη Χριστὸς τῷ Πέτρῳ τό Ἀκολούθει μοι, δήλωσιν μὲν ἔχον, ὡς ἐν διανοίᾳ κοινῇ τῆς κατὰ μαθητείαν νοουμένης ἀκολουθήσεως, αἰνιγματωδῶς δὲ πάλιν ὑπεμφαῖνον κατά γε τὸ εἰκὸς ἕτερον οὐδὲν, ἢ ὅτι Κατ' ἴχνος ἔρχου κινδύνων τῶν ἐμῶν, καὶ τὴν αὐτὴν οἱονεὶ βαδίζων ὁδὸν, ἔργῳ τε καὶ λόγῳ τὰς τῶν κεκλημένων ὠφελήσας ψυχὰς, καὶ ἐπ' αὐτὸν ἰέναι κατόκνει μηδαμῶς τὸν ἐπὶ ξύλου θάνατον, ὃν καὶ συμβῆναί φησιν ὅταν εἰς γῆρας ἐλάσῃ, 3.168 πρόωρον αὐτῷ γενέσθαι τὴν πτοίαν οὐκ ἐφιεὶς, ἀλλ' εἰς μακροὺς ἀνατείνων χρόνους τοῦ φόβου τὴν ἔφοδον. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπεν αὐτῷ Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; τοῦτον οὖν ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ Κύριε, οὗτος δὲ τί; λέγει αὐτῷ ὁ Ἰησοῦς Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σύ μοι ἀκολούθει. ἐξῆλθεν οὖν οὗτος ὁ λόγος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀπο θνήσκει· οὐκ εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Ἑαυτὸν δὴ πάλιν ἀφανέστερον μὲν, κατασημαίνει δ' οὖν ὅμως ὁ θεσπέσιος Εὐαγγελιστής. καὶ αὐτὸς γάρ ἐστιν ὁ ἀγαπώμενος καὶ ἐπὶ τὸ στῆθος ἀναπεπτωκὼς τοῦ Χριστοῦ κατὰ τὸν τοῦ δείπνου καιρὸν, ἤρετό τε τίς ὁ παραδώσων αὐτόν. τοῦτον τοιγαροῦν τεθεαμένος ὁ Πέτρος, φιλοπευστεῖν ἐπειρᾶτο καὶ μαθεῖν ἠξίου, ποίοις ἄρα καὶ τίσιν ὁμιλήσει καὶ αὐτὸς τοῖς μετὰ ταῦτα κινδύνοις, ἢ καὶ εἰς τί καταλήξει τυχὸν καὶ αὐτῷ τοῦ βίου τὸ πέρας. ἀλλ' ἔξω λόγου τοῦ πρέποντος ἡ πεῦσις ἐφαίνετο, καὶ περιεργίας μᾶλλον ἢ χρηστομαθείας ἔργον ἦν, τῶν καθ' ἑαυτὸν λαβόντα τὴν εἴδησιν τὰ ἐφ' ἑτέροις ἐσόμενα ζητεῖν. διὰ οὖν ταύτην οἶμαι τὴν αἰτίαν ὁ Κύριος ἀπεκρίνατο μέν τι, πλὴν οὐκ εὐθὺ τῶν ἐρωτωμένων, ἤτοι τῶν ζητουμένων, ἀποκομίζων δέ πως εἰς ἕτερα τοῦ διερωτῶντος τὸν σκοπὸν, οὐκ ἀθάνατον ἔσεσθαι τὸν Ἰωάννην φησίν· ἀλλ' εἰ βουλοίμην αὐτὸν διαζῆν ἕως ἔρχομαι, τί ἄρα τοῦτο πρὸς σέ; τουτέστιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀκήκοας, ὦ 3.169 Πέτρε, τὰ κατὰ σαυτὸν, τί σοι τὰ ἑτέρων φιλοπευστεῖν, καὶ τῶν θείων κριμάτων ἀνορύττειν ὥσπερ οὐκ ἐν καιρῷ τὴν εἴδησιν; εἰ γὰρ καὶ μηδόλως τελευτῴη, φησὶν, ἄρα τί τοῦτο τὴν σὴν φροντίδα παραμυθήσεται; ἀδιαφορήσει τοιγαροῦν ὁ σοφός τε καὶ ἔμφρων, εἴπερ τι καὶ μέλλοι παθεῖν, εἴτε σώζοιτό τις ἕτερος, εἴτε καὶ μή· κείσεται γὰρ αὐτῷ τὰ οἰκεῖα παθεῖν, οὐδὲν τὸ παράπαν ἐκ τῆς ἑτέρου συμφορᾶς ἤγουν εὐθυμίας εἰς παραψυχὴν δεχομένῳ. ταυτί πως ἡ τῶν προκειμένων ὠδίνει δύναμις. ὑποσημαίνει δὲ ἡμῖν ὁ περὶ τούτων λόγος, ὅτι ὡς πάντη τε καὶ πάντως, ἢ κατὰ τὸν ἴσον τρόπον, ἢ καθ' ἕτερόν τινα τυχὸν καὶ αὐτοῦ κινδυνεύειν μέλλοντος Ἰωάννου ποτὲ, οἱονεὶ πρὸς παραμυθίαν τῶν καθ' ἑαυτὸν ὁ μακάριος Πέτρος καὶ τὰ αὐτῷ συμβήσεσθαι μέλλοντα φιλαγρύπνως περιειργάζετο. καὶ μή τοι θαυμάσῃς, ἐννόει δὲ μᾶλλον ἐκεῖνο. κοινὸν γάρ πως ἐν ἡμῖν καὶ τοῦτό ἐστιν, εἰ καὶ παντελῶς ἀνόνητον, τὸ φιλεῖν ἔσθ' ὅτε μὴ μόνους ὁρᾶσθαι πάσχοντας, ἤγουν τι τῶν ἀπευκτῶν ὑπομένειν μέλλοντας, ἀκροᾶσθαι δὲ μᾶλλον καὶ τὰ ἑτέρων, ἢ τῶν ἤδη πεπονθότων, ἤγουν εἰς τοῦτο πεσεῖσθαι προσδοκωμένων. Οὗτός ἐστιν ὁ μαθητὴς ὁ καὶ μαρτυρῶν περὶ τούτων, ὁ καὶ γρά ψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν αὐτοῦ ἡ μαρτυρία. Ἐνδοιάσειν οἶμαι μηδένα τῶν νουνεχεστέρων, ὡς οὐκ ἂν ἠγάπησε τὸν Ἰωάννην ὁ Κύριος, εἰ μή τις ἦν λίαν ἐξαίρετος καὶ περιφανὴς εἰς ἀρετὴν, καὶ εἰς πᾶν ὁτιοῦν ἀγαθὸν ἐπιτηδείως τε ἔχων καὶ τελείως ἀπηρτισμένος. οὐδὲ γὰρ ἂν ἁλοίη Θεὸς ἀλόγοις τισὶ προσκεκλιμένος ῥοπαῖς τοῖς οὐκ ἀξίοις ἀγάπης τῆς παρ' αὐτοῦ, ἀνθρωποπρεπῆ γὰρ μᾶλλόν ἐστι τὰ τοιαῦτα πάθη· ὁ δὲ τῆς ἐκ παθῶν ἐφόδου καὶ καταδρομῆς παντελῶς ἀπείρατος ὢν, ἑδραιότατα δὲ βεβηκὼς εἰς πᾶν εἶδος 3.170 ἀρετῆς, μᾶλλον δὲ αὐτὸς πᾶν εἶδος ὑπάρχων ἀρετῆς, πῶς οὐκ ἂν δρῴη κεκριμένως καὶ τοῦτο, καὶ ἀλοιδόρητον παντελῶς ἐποιήσατο τὴν ῥοπὴν, τὴν εἰς τὸ χρῆναί φημι τῆς ἀγάπης ἀξιοῦν τὸν τούτου τυχεῖν ὀφείλοντα; προεξηγησάμενος τοίνυν εὖ μάλα καὶ ἠγαπῆσθαι προειρηκὼς, ἀκόμπως τε καὶ ἀφιλοδόξως κομιδῇ μεμαρτυρηκέναι φησὶ περὶ τούτων, ἀξιαγάστως ἤδη καὶ καλῶς τὸ συννεῦσαι τοὺς ἀκροωμένους οἷς γέγραφέ τε καὶ μεμαρτύρηκεν, ὡς ἐξ ἀνάγκης αἰτῶν· οὐ γὰρ ἂν ἐψεύσατο τῆς ἀληθείας ὁ κῆρυξ. διὰ τοῦτο καί φησιν οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. σφαλερὸν οὖν ἄρα καὶ πάνδεινον ἀληθῶς ψευδομυθεῖν τὸ παράπαν, οὐκ εἰδότος ἀνδρὸς μὴ προΐεσθαι φωνήν· οὐ γὰρ ἂν αὐτὸν ἠγάπησεν ἡ ἀλήθεια παραλύοντα τὴν ἀλήθειαν. Ἔστι δὲ καὶ ἄλλα πολλὰ ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γρά φηται καθ' ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία, ἀμήν. Πολλὴ μὲν ἄγαν, φησὶν, ἡ τῆς θεοσημίας πληθὺς, καὶ ἀναρίθμητος παντελῶς ὁ τῶν κατορθωμάτων φανεῖται κατάλογος, καὶ ἐκ μυρίων ὅσων ἐλήφθη ταυτὶ, πληρεστάτην ἐμποιῆσαι τοῖς ἀκροωμένοις τὴν ὄνησιν οὐκ ἀνικάνως ἔχοντα. τὸν δὲ συγγεγραφότα τὴν βίβλον μὴ καταιτιάσθω, φησὶν, ὁ φιλακροάμων καὶ χρηστομαθὴς, εἰ καὶ μὴ τῶν ἑτέρων ἐμνήσθη. καὶ γὰρ τὸ καθ' ἓν εἰ γέγραπται τῶν τετελεσμένων, παραλειφθέντος οὐδενὸς, ἐπλήρωσεν ἂν τὴν οἰκουμένην ὁ τῶν βιβλίων ἀχώρητος ὄχλος. ὑπερβολικῶς δὲ καὶ νῦν τὴν τοῦ λόγου δύναμιν πεποιῆσθαί φαμεν. μυρία γὰρ ὄντως ἐννοῆσαι τις ἂν διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἰσχύος πεπληρῶσθαι θαύματα. γεγράφασι γεμὴν τῶν εὐαγγελίων οἱ κήρυκες τὰ ἐν τοῖς γεγονόσι λαμπρότερα, κατά γε τὸ εἰκὸς, καὶ δι' ὧν ἦν μάλιστα τοὺς ἀκροωμένους δύνασθαι βεβαιοῦσθαι πρὸς πίστιν τὴν ἀπαράφθορον, καὶ παίδευσιν ἔχειν 3.171 ἠθικήν τε καὶ δογματικὴν, ἵνα πίστει μὲν ὀρθῇ διαπρέποντες, ἔργοις δὲ τοῖς εἰς εὐσέβειαν βλέπουσι πολυτρόπως ἠγλαϊσμένοι, καὶ εἰς αὐτὴν καταντήσαντες τὴν ἄνω πόλιν, καὶ τῇ τῶν πρωτοτόκων Ἐκκλησίᾳ συναπτόμενοι, καὶ εἰς αὐτὴν εἰσελάσειαν τὴν τῶν οὐρανῶν βασιλείαν ἐν Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας, Ἀμήν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.